ἐγὼ δὲ [15] οὐκ ἀποστερέω μὲν οὐδὲ αὐτὸς τὴν τύχην; ἔργου οὐδενός· ἡγεῦμαι δὲ, τοῖσι μὲν κακῶς θεραπευομένοισι νουσήμασι, τὰ πολλὰ τὴν ἀτυχίην ἕπεσθαι· τοῖσι δὲ εὖ, τὴν εὐτυχίην. ἔπειτα δὲ καὶ πῶς οἷόν τε ἐστὶ τοῖς ὑγιανθεῖσιν ἄλλο τι αἰτιάσασθαι ἢ τὴν τέχνην, εἴπερ χρεώμενοι αὐτῇ καὶ ὑπουργέοντες, ὑγιάνθησαν; τὸ μὲν γὰρ τῆς τύχης εἶδος ψιλὸν, οὐκ ἠβουλήθησαν θεήσασθαι, ἐν ᾧ τῇ τέχνῃ ἐπέτρεψαν σφᾶς αὐτούς· ὥστε τῆς μὲν ἐς τὴν τύχην ἀναφορῆς, ἀπηλλαγμένοι εἰσί· τῆς μὲν τοι ἐς τὴν τέχνην, οὐκ ἀπηλλαγμένοι. ἐν ᾧ γὰρ ἐπέτρεψαν καὶ ἐπίστευσαν αὐτῇ σφᾶς αὐτοὺς, ἐν τούτῳ αὐτῆς καὶ τὸ εἶδος ἐσκέψαντο, καὶ τὴν δύναμιν περανθέντος τοῦ ἔργου ἔγνωσαν. ἐρεῖ δὴ ὁ τἀναντία λέγων, ὅτι πολλοὶ ἤδη καὶ οὐ χρησάμενοι ἰητρῷ νοσέοντες ὑγιάνθησαν. καὶ ἐγὼ τῷ λόγῳ οὐκ ἀπιστέω. δοκεῖ δέ μοι οἷόν τε εἶναι καὶ ἰητρῷ μὴ χρεωμένους ἰητρικῇ περιτυχεῖν· οὐ μὴν ὥστε εἰδέναι ὅτι ὀρθὸν ἐν αὐτῇ ἐνείη, [16] καὶ ὅτι μὴ ὀρθόν. ἀλλ' ὥστ' ἂν ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς, ὁποῖά περ ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρέοντο. καὶ τοῦτό γε τεκμήριον μέγα τῇ οὐσίῃ τῆς τέχνης, ὅτι ἐοῦσα τέ ἐστι καὶ μεγάλη. ὅπου γε φαίνονται καὶ οἱ μὴ νομίζοντες αὐτὴν εἶναι, σωζόμενοι δι' αὐτήν. πολλὴ γὰρ ἀνάγκη καὶ τοὺς μὴ χρεωμένους ἰητροῖσιν, νοσήσαντας δὲ καὶ ὑγιασθέντας εἰδέναι, ὅτι ἢ δρῶντές τι, ἢ μὴ δρῶντες, ὑγιάνθησαν. ἢ γὰρ ἀσιτίῃ, ἢ πολυφαγίῃ, ἢ ποτῷ πλείονι, ἢ δίψῃ, ἢ λουτροῖσιν, ἢ ἀλουσίῃ, ἢ πόνοισιν, ἢ ἡσυχίῃ, ἢ ὕπνοισιν, ἢ ἀγρυπνίῃ, [17] ἢ τῇ ἁπάντων τούτων παραχρῇ χρεώμενοι, ὑγιάνθησαν. καὶ τῷ ὠφελεῖσθαι πολλὴ ἀνάγκη αὐτούς ἐστιν ἐγνωκέναι, ὅ, τι ἦν τὸ ὠφελῆσαν· [18] καὶ εἴ τι τ' ἐβλάβησαν, καὶ τὸ βλαβῆναι· καὶ ὅ, τι ἦν τὸ βλάψαν. τὰ γὰρ τῷ ὠφελεῖσθαι καὶ τὰ τῷ βεβλάφθαι ὡρισμένα, οὐ πᾶς ἱκανὸς γνῶναι. εἰ τοίνυν ἐπιστήσεται, ἢ ἐπαινέειν, ἢ ψέγειν ὁ νοσήσας τῶν διαιτημάτων τι οἷσιν ὑγιάνθη, πάντα ταῦτα τῆς ἰητρικῆς ὄντα εὑρήσει. καὶ ἐστὶν οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων μαρτύρια τῇ τέχνῃ, εἰς τὸ εἶναι. τὰ μὲν γὰρ ὠφελήσαντα, τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησαν· τὰ δὲ βλάψαντα, τῷ μηκέτι ὀρθῶς προσενεχθῆναι, ἔβλαψαν. καίτοι ὅπου τὸ ὀρθὸν, καὶ τὸ μὴ ὀρθὸν, ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγέ φημι ἀτεχνίην εἶναι, ὅπου μήτε ὀρθὸν εἴη μηδὲν, μήτε οὐκ ὀρθόν. ὅπου δὲ τούτων ἔνεστιν ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνης ἔργον, ἀλλ' ἀτεχνίης εἴη; ἔτι τοίνυν εἰ μὲν [19] ὑπὸ φαρμάκων τῶν τε καθαιρόντων καὶ τῶν ἱστάντων ἡ ἴησις τῇ τε ἰητρικῇ καὶ τοῖς ἰητροῖσι μοῦνον ἐγίνετο, ἀσθενὴς ἦν ὁ ἐμὸς λόγος. Νῦν δὲ δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι, καὶ διαιτήμασιν ἰώμενοι, καὶ ἄλλοισί τε εἴδεσιν, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. ὅπου δὴ οὐδὲν οὔτε ἐν τοῖς ἀγαθοῖσι τῶν ἰητρῶν, οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστιν, ἀλλ' ἐν τοῖς πλείστοισι τῶν τε φυομένων καὶ τῶν ποιευμένων, ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν καὶ τῶν φαρμάκων, οὐκ ἔ-

οὐκ ἔστιν ἐπὶ οὐδενὶ τῶν ἀεὶ ἰητρῶν ὑγιαζομένων, τὸ αὐτόματον αἰτιήσασθαι ὀρθῷ λόγῳ. τὸ μὲν γὰρ αὐτόματον, οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον. πᾶν γὰρ τὸ γινόμενον, διά τι εὑρίσκοιτ' ἂν γινόμενον, καὶ ἐν τῷ διά τι. τὸ δὲ αὐτόματον, οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίην, ἀλλ' ἢ οὔνομα μοῦνον. ἡ δὲ ἰητρικὴ, καὶ ἐν τοῖς διά τι καὶ ἐν τοῖσι προνοουμένοισι φαίνεταί τε καὶ φανεῖται ἐπὶ οὐσίην ἔχουσα. τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν ὑγιείην προστιθεῖσι, τὴν δὲ τέχνην ἀφαιρέουσι, τοιαῦτ' ἄν τις λέγοι. τοὺς δ' ἐν τῇσι τῶν ἀποθνησκόντων συμφορῇσι τὴν τέχνην ἀφανίζοντας 10 θαυμάζω ὅτῳ ἐπαιρεόμενοι ἀξιοχρέῳ λόγῳ, τὴν μὲν τῶν ἀποθνησκόντων ἀκρασίην, οὐκ αἰτίην καθιστᾶσι, τὴν δὲ τῶν ἰητρικὴν μελετησάντων σύνεσιν, αἰτίην. ὡς τοῖσι μὲν ἰητροῖσιν ἔνεστι, τὰ μὴ δέοντα ἐπιτάξαι, τοῖσι δὲ νοσέουσιν, οὐκ ἔστι τὰ προσταχθέντα παραβαίνειν. καὶ μὴν πολύ γε εὐλογώτερον τοῖσι κάμνουσιν ἀδυνατεῖν τὰ προστασσόμενα ὑπουργεῖν, ἢ τοῖσιν ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν. οἱ μὲν γὰρ ὑγιαινούσῃ γνώμῃ, μεθ' ὑγιαίνοντος σώματος ἐγχειρέουσι, λογισάμενοι τά τε παρεόντα, τῶν τε παροιχομένων τὰ ὁμοίως διατεθέντα τοῖσι παρεοῦσιν. 20 ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν, ὅτι ἀπήλλαξαν. οἱ δ' οὔτε ἃ κάμνουσιν, οὔτε δι' ἃ κάμνουσιν, οὐδ' ὅ,τι ἐκ τῶν παρεόντων ἔσται, οὐδ' ὅ,τι οὖν ἐκ τῶν τουτέοισιν ὁμοίων γίνεται εἰδότες ἐπιτάσσονται· ἀλγέοντες μὲν τοῖς παρεοῦσι, φοβεύμενοι δὲ τὸ μέλλον. καὶ πλήρεις μὲν τῆς νούσου· κενοὶ δὲ σιτίων. ἐθέλοντες τὰ πρὸς τὴν νοῦσον ἡδέα μᾶλλον, ἢ τὰ πρὸς τὴν ὑγιείην προσδέχεσθαι· οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερεῖν ἀδυνατέοντες. οὕτω δὲ διακειμένους, πότερον εἰκὸς τούτους τὰ ὑπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα ποιεῖν, ἢ ἄλλα ποιεῖν, ἃ οὐκ ἐπετάχθησαν. ἢ τοὺς ἰητροὺς τοὺς ἐκείνως 30 διακειμένους, ὡς ὁ πρόσθεν λόγος ἡρμήνευσεν, ἐπιτάσσειν τὰ μὴ δέοντα. ἆρ' οὐ πολὺ μᾶλλον, τοὺς μὲν δεόντως ἐπιτάσσειν· τοὺς δὲ, εἰκότως ἀδυνατεῖν πείθεσθαι, μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισιν; ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι, τὰς αἰτίας τοῖς οὐδὲν αἰτίοις ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες. Εἰσὶ δέ τινες, οἳ καὶ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων, μέμφονται τὴν ἰητρικὴν λέγοντες, ὡς ταῦτα μὲν καὶ αὐτὰ ὑφ' αὑτῶν ἂν ἐξυγιάζοιτο, ἃ ἐγχειρέουσιν ἰᾶσθαι· ἃ δ' ἐπικουρίης δεῖται, οὐχ ἅπτονται. 40 δεῖν δὲ εἴπερ ἦν ἡ τέχνη, πάνθ' ὁμοίως ἰᾶσθαι. οἱ μὲν οὖν ταῦτα λέγοντες, εἰ ἐμέμφοντο τοῖς ἰητροῖς, ὅτι αὐτέων τοιαῦτα λεγόντων, οὐκ ἐπιμελοῦνται ὡς παραφρονεόντων, εἰκότως ἂν ἐμέμφοντο μᾶλλον, ἢ ἐκεῖνα μεμφόμενοι. εἰ γάρ τις τέχνην, ἐς ἃ μὴ τέχνη, ἢ φύσιν, ἐς ἃ μὴ πέφυκεν, ἀξιώσειε δύνασθαι, ἀγνοεῖ μανίην ἁρμόζουσαν ἀγνοίην μᾶλλον, ἢ ἀμαθίην. ὧν γάρ ἐστιν ἡμῖν, τοῖσί τε τῶν φύσεων, τοῖσί τε τῶν τεχνέων ὀργάνοις ἐπικρατεῖν, τούτων ἔστιν ἡμῖν δημιουργοῖς εἶναι· ἄλλων δὲ οὐκ ἔστιν. ὅταν οὖν τι πάθῃ ὥνθρωπος κακὸν, ὃ κρέσσον ἐστὶ τῶν 50 ἐν τῇ ἰητρικῇ ὀργάνων, οὐδὲ προσδοκᾶσθαί που δεῖ ὑπὸ ἰητρικῆς

non est certe quòd quis eorum qui citra Medici operam curati sunt, ad id quod temere fit huius causam re vera referre debeat. Quod enim temerè fit, nihil prorsus esse constat. Siquidem quicquid fit, propter quid fieri deprehenditur, & ad aliquid refertur. At quod temere fit, nullo modo subsistere videtur, sed nomen tantùm inane esse. Ars autem Medica ex his esse cernitur, quæ ob aliquam causam prouidentia quadam sunt instituta, prætereaque etiam subsistere conspicietur. Atque ad eos, qui fortunæ sanitatem acceptam ferunt, arti verò eam denegant, huiusmodi oratione quis vti possit. At verò, qui ex morientium calamitatibus artem funditus delere conantur, miror quánam satis iusta oratione elati, in morientium intemperantiam causam non reiiciunt, sed eorum, qui Medicinam exercent, prudentiam accusant, quasi Medicorum sit, quæ non conueniant præscribere, in ægrorum autem facultate non sit, aliquid contra imperata admittere. Atqui longè magis est rationi consentaneum, ægros non posse imperatis obsequi, quàm Medicos ea quæ minimè conueniunt imperare. Hi enim sana mente & corpore, tum præsentia, tum ex præteritis, quæ cum præsentibus similiter se habent in considerationem adhibentes, ad curationem aggrediuntur, adeò vt qui curatus est aliquando fateatur se illorum ope à morbo liberatum. Illi verò, neque quo morbo, neque quam ob causam laborent, neque quid ex præsentibus euenturum sit, neque quid ex his, quæ sunt eiusmodi, fiat, intelligentes, imperata facere iubentur, præsenti quidem morbo afflicti, euentum verò rerum metuentes, & morbo quidem grauati, cibis verò vacui, ea quæ morbo grata sunt potiùs eligunt, quàm quæ ad sanitatem conferunt, non quòd mori desiderent, sed quòd toleranter ferre morbum nequeant. Hos verò sic affectos an est vero similius, quæ à Medicis imperantur, quàm alia, quæ non imperantur facere? an Medicos eiusmodi quales antea exposuimus, ea quæ minimè conueniunt imperare? Nónne longè æquius est, eos quidem recte imperare, illos verò, vt par est, parêre non posse, eamque ob causam mortem incurrere? Quorum quidem causam, qui non recta ratione reputant, in eos qui culpa vacant reiiciunt, illis absolutis, qui maximè culpæ sunt obnoxij. Non desunt autem, qui artem Medicam reprehendunt, eo quòd nullus iis, qui à morbis sunt superati manus admouere velit, dicentes eos quidem morbos quos curatione aggrediuntur posse per sese sanari, eos verò qui auxilio indigent, non attingere. oportere autem, siquidem ars sit, omnibus ex æquo curationem admouere. Qui ergo huiusmodi verbis vtuntur, si Medicos accusant, quòd talia dicentium, tanquam delirorum, curam non suscipiunt, multò certe iustius, ob ea, quàm ob illa, incusant. Si quis enim artis facultatem, ad ea, quæ artis non sunt, aut naturæ, ad ea, ad quæ minimè apta est, requirat, is istud non intelligit magis ad insaniam cum ignorantia coniunctam, quàm ad imperitiam accedere. Quorum enim facultatem tum per naturæ, tum per artium instrumenta consequimur, eorum nos opifices profiteri possumus, aliorum non item. Si quid igitur homini contigerit, quòd Medicinæ instrumenta superet, id ne sperandum quidem est ab arte Medica

euinci posse. Atque vt exemplo rem ipsam doceamus; Ignis eorum omnium, quæ in Medicina vrendi facultatem habent, summè vrit, eo verò minùs alia plæraque. Atqui certe ex leuioribus, quæ sunt præstantiora, an curari possint nondum planè constat. Ex potentissimis autem quis dubitet ea, quæ præstantiora sunt curari non posse? In his enim quæ ignis non efficit, an non ea, quæ ab ipso superari nequeunt, satis arguunt, alia opus esse arte quàm ea, quæ igne vtitur vt instrumento. Eadem verò mihi dicenda sunt de his, quæ Medicinæ subseruiunt, in quibus singulis si res Medico non succedit pro animi sententia, meo quidem iudicio, in morbi vehementiam, non in artem ipsam culpa reiicienda est. Qui igitur eos reprehendunt, qui victis à morbo manus non admouent, non minus adhortantur ad ea suscipienda, quæ attingere fas non est, quàm quæ fas est. In eóque apud eos, qui nomine tenus Medici sunt admirationem sibi conciliant, ab artis verò peritis ridentur. Neque verò huius artificij periti tam imprudentes aut reprehensores, aut laudatores morantur, sed eos, qui recta ratione iudicant, quemnam ad finem deductæ artificum actiones perfectæ sint, & quanam in re deficientes, imperfectæ. Ac præterea earum imperfectarum actionum, quænam ad artifices, quænam etiam ad ipsa effecta sint referendæ. Quæ igitur alias artes spectant, aliud tempus aliámque orationem postulant. Quæ verò ad Medicinam pertinent, quænam sint & quomodo diiudicanda, partim quidem superiore, partim verò præsenti oratione dicentur. Sunt enim apud eos, qui artem istam probè callent, morbi partim quidem non obscuri, iique pauci, partim verò non manifesti, iique multi. Qui enim ad internas corporis partes vertunt, obscuri, qui verò ad corporis superficiem erumpunt, aut tumorem faciunt, manifesti. Sui enim copiam faciunt, tum visu, tum tactu, vt eorum durities & mollitudo sentiatur, & quinam calidi, quinam frigidi, & quorum in singulis præsentia aut absentia tales existunt. Atque in eorum quidem omnium remediis non peccatur. non quòd sint facilia, sed quòd inuentione constent. Et sanè non sunt à quibusuis inuenta, sed ab his qui recta inueniendi facultate valent. Valent autem tum qui in bonis disciplinis liberaliter sunt educati, tum qui à natura non infœliciter sunt comparati. Hoc igitur modo ad manifestos morbos curandos artem facultate abundare oportet. Neque sanè eam in minùs manifestis deficere conuenit. Sunt autem hi qui ad ossa & cauitatem internam vergunt. Neq; verò vnum corpus habet, sed plures. Duæ nanq; sunt quæ cibum recipiunt, & demittunt, aliæq; præter has plures, quas ij norunt, quibus ista curæ sunt. Quæcunque enim membra carnem in orbem circundatam habent, quam musculum nominant, ea omnia cauitatem habent. Quicquid enim minimè coaluit, siue pellicula, siue carne tegatur, cauum est, quod dum homo valet, spiritu quidem, dum verò ægrotat, sanie plenum est. Habent itaque brachia huiusmodi carnem, habent & femora, habent & tibiæ. Quin & in partib. carnis expertibus, huiusmodi caro inest, qualem in bene carnosis inesse diximus. Nam & thorax dictus, quo iecur concluditur, & capitis

κρατηθῆναι ἄν. αὐτίκα γὰρ τῶν ἐν ἰητρικῇ καιόντων, πῦρ ἐσχάτως καίει. τούτου δὲ ἧσσον, καὶ ἄλλα πολλά. τῶν μὲν οὖν ἡσσόνων, τὰ κρέσσω οὔπω δῆλον ὅτι κ' ἀνίητα. τῶν δὲ κρατίστων, τὰ κρέσσω πῶς οὐ δηλονότι ἀνίητα; ἃ γὰρ πῦρ οὐ δημιουργέει, πῶς οὐ τὰ τούτῳ μὴ ἁλισκόμενα δηλοῖ, ὅτι ἄλλης δεῖται τέχνης, καὶ οὐ ταύτης, ἧς ἐν τὸ πῦρ ὄργανον; οὗτος δέ μοι λόγος καὶ ὑπὲρ τῶν ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργεῖ, ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου μὴ κατατυχόντα τὸν ἰητρὸν τὴν δύναμιν αἰτι- 10 ᾶσθαι τοῦ πάθεος, μὴ τὴν τέχνην. οἱ μὲν οὖν μεμφόμενοι τοῖσι τοῖς κεκρατημένοισι μὴ ἐγχειρέουσι, παρακελεύονται καὶ ὧν μὴ προσήκει ἅπτεσθαι οὐδὲν ἧσσον, ἢ ὧν προσήκει. παρακελευόμενοι δὲ ταῦτα, ὑπὸ μὲν τῶν τῷ ὀνόματι ἰητρῶν, θαυμάζονται· ὑπὸ δὲ τῶν καὶ τέχνῃ, καταγελῶνται. [22] οὐ μὴν οὕτως ἀφρόνων οἱ ταύτης τῆς δημιουργίας ἔμπειροι, οὔτε μωμητῶν, οὔτ' αἰνετῶν δέονται· ἀλλὰ λελογισμένων πρὸς ὅ, τι αἱ ἐργασίαι τῶν δημιουργῶν τελευτώμεναι, πλήρεις εἰσί. καὶ ὅτευ ὑπολειπόμεναι ἐνδεεῖς. ἔτι τε τῶν ἐνδειῶν, ἅς τε 20 τοῖς δημιουργεῦσιν αἰτιατέον, ἅς τε τοῖσι δημιουργευμένοισι. τὰ μὲν οὖν κατὰ τὰς ἄλλας τέχνας, ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει· τὰ δὲ κατὰ τὴν ἰητρικὴν, οἷά τε ἐστὶν, ὥστε κριτέα· τὰ μὲν ὁ παρῳχημένος· τὰ δὲ ὁ παρὼν διδάξει λόγος. ἔστι γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι, τὰ μὲν τῶν νοσημάτων, οὐκ ἐν δυσόπτῳ κείμενα, καὶ οὐ πολλά· τὰ δ' οὐκ ἐν εὐδήλῳ, καὶ πολλά ἐστι. [22] τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα ἐν δυσόπτῳ· τὰ δ' ἐξανθεῦντα εἰς τὴν χροιὴν, ἢ οἰδέοντα, ἐν εὐδήλῳ. παρέχει γὰρ ἑωυτῶν τῇ τε ὄ- 30 ψει, τῇ τε ψαῦσαι, τῆς στερεότητος, καὶ τῆς ὑγρότητος αἰσθάνεσθαι. καὶ ἅ τε αὐτῶν θερμὰ, ἅ τε ψυχρά. ὧν τε ἑκάστου, ἢ παρεούσῃ, ἢ ἀπεούσῃ, [23] τοιαύτη ἐστί. τῶν μὲν δὴ τοιούτων πάντων ἐν ἅπασι τὰς ἀκεσίας, ἀναμαρτήτους δεῖ εἶναι. οὐχ ὡς ῥηϊδίας, ἀλλ' ὅτι ἐξεύρηνται. ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσιν, ἀλλὰ τούτων τοῖσι δυνηθεῖσι. δύνανται δὲ, οἷσι τά τε τῆς παιδείης μὴ ἐκποδὼν, τά τε τῆς φύσιος μὴ ταλαίπωρα. πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων, [24] οὕτω δεῖ εὐπορέειν τέχνην. δεῖ γε μὴν αὐτὴν, μηδὲ πρὸς τὰ ἧσσον φανερὰ ἀπορέειν. ἔστι 40 δὲ ταῦτα, ἃ πρός τε τὰ ὀστέα τέτραπται [25] καὶ τὴν νηδύν. ἔχει δὲ τὸ σῶμα, οὐ μίαν, ἀλλὰ πλείους. δύο μὲν γὰρ αἱ τὸν σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι. ἄλλαι δὲ τουτέων πλείους, ἃς ἴσασιν, οἷσι τουτέων ἐμέλησεν. ὅσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. [26] πᾶν γὰρ τὸ ἀσύμφυτον, ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι. πληροῦταί τε ὑγιαῖνον μὲν, πνεύματος· ἀσθενῆσαν δὲ, ἰχῶρος. ἔχουσι μὲν τοίνυν οἱ βραχίονες, σάρκα τοιαύτην. ἔχουσι δ' οἱ μηροί. ἔχουσι δ' αἱ κνῆμαι. ἔτι δὲ καὶ ἐν τοῖς ἀσάρκοισι, τοιαύτη ἐν- 50 εστιν, οἵη καὶ [27] ἐν τοῖσιν εὐσάρκοισιν εἶναι δέδεικται. ὅ, τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται· ὅ, τε τῆς κεφαλῆς

φαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος· τό, τε νῶτον, πρὸς ὃ ὁ πνεύμων, τούτων οὐδὲν ὅ,τι οὐ καὶ αὐτὸ κενόν ἐστι, [28] πολλῶν διαφύσιων μεστόν. οἷσιν οὐδὲν ἀπέχει πολλὸν ἀγγεῖα εἶναι· τῶν μέντοι βλαπτόντων τὸν κεκτημένον, τῶν δὲ καὶ ὠφελεόντων. ἔτι δὲ πρὸς τούτοισι, καὶ φλέβες πολλαὶ καὶ νεῦρα, οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖς ὀστέοισι [29] προστεταμένα, σύνδεσμός ἐστι τῶν ἄρθρων. καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ συμβολαὶ τῶν κινεομένων ὀστέων ἐγκυκλέονται. καὶ τούτων οὐδέν, [30] ὅ,τι οὐχ ὑπαφρόν ἐστι, καὶ ἔχον περὶ αὐτὸ θαλάμας, ἃς καταγγέλλει ἰχώρ, [31] ὃς ἐκ διοιγομένων αὐτέων, πολύς τε καὶ πολλοὺς λυπήσας ἐξέρχεται. [32] οὐ γὰρ δὴ ὀφθαλμοῖσί γε ἰδόντι τούτων τῶν εἰρημένων, οὐδενὶ οὐδέν ἐστιν εἰδέναι. [33] διὸ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται, καὶ τῇ τέχνῃ κέκριται εἶναι, οὐ μὴν ὅτι ἄδηλα κεκράτηκεν, ἀλλ' εἰ δυνατὸν κεκράτηται. δυνατὸν δέ, [34] ὅσον αἵ τε τῶν νοσεόντων φύσιες ἐς τὸ σκεφθῆναι παρέχουσιν, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πεφύκασι. [35] μετὰ πλείονος μὲν γὰρ πόνου, καὶ οὐ μετ' ἐλάσσονος χρόνου τοῖσιν ὀφθαλμοῖσιν ὁρᾶταί τε καὶ γινώσκεται. ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψει κεκράτηται. ὅσα δὲ ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσιν, οὐχ οἱ θεραπεύοντες αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος. ὁ μὲν γὰρ ἐπεὶ οὐκ ἦν αὐτῷ ὄψει ἰδεῖν τὸ μοχθέον, οὐδὲ ἀκοῇ πυθέσθαι, λογισμῷ μετῄει. καὶ γὰρ δὴ καὶ ἃ πειρῶνται οἱ τὰ ἀφανέα νοσέοντες ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσιν, δοξάζοντες μᾶλλον ἢ εἰδότες ἀπαγγέλλουσιν. εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖς. τῆς γὰρ αὐτῆς ξυνέσιός ἐστιν, ἧσπερ τὸ εἰδέναι τῶν νούσων τὰ αἴτια, καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι πάσῃσι τῇσι θεραπείῃσιν, αἳ κωλύουσι τὰ νουσήματα μεγαλύνεσθαι. ὅτε οὖν οὐδὲ ἐκ τῶν ἐπαγγελλομένων ἐστὶ τὴν ἀναμάρτητον σαφήνειαν ἀκοῦσαι, προσωτέρω τι καὶ ἄλλο τῷ θεραπεύοντι. ταύτης οὖν τῆς βραδυτῆτος οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις αἰτίη ἡ τῶν σωμάτων. ἡ μὲν γὰρ αἰσθανομένη, ἀξιοῖ θεραπεύειν, σκοποῦσα ὅπως μὴ τόλμῃ μᾶλλον ἢ γνώμῃ, [36] καὶ ῥαστώνῃ μᾶλλον ἢ βίῃ θεραπεύῃ. ἡ δ' ἢν μὲν διαρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ ἰαθῆναι· ἢν δὲ ἐν ᾧ τοῦτο ὁρᾶται, κρατηθῇ, διὰ τὸ βραδέως αὐτὸν ἐπὶ τὸν θεραπεύσοντα ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ, οὐκ ἔστι θᾶσσον. προλαβὸν δέ, θᾶσσον. προλαμβάνει δέ, διά τε τὴν τῶν σωμάτων στενότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσιν αἱ νοῦσοι· [37] διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην. ἐπιτίθενται γάρ, λαμβανόμενοι δὲ ὑπὸ τῶν νοσημάτων, ἐθέλουσι θεραπεύεσθαι. ἐπεὶ τήν γε τέχνης τὴν δύναμιν, ὁκόταν τινὰ τῶν τὰ ἄδηλα νοσεύντων ἀναστήσῃ, θαυμάζειν ἀξιώτερον, ἢ ὁκόταν ἐγχειρέῃ τοῖς ἀδυνάτοις. οὐκοῦν ἐν ἄλλῃ δημιουργίῃ τῶν ἤδη εὑρημένων οὐδεμιῇ ἔνεστιν οὐδὲν τοιοῦτον, [38] ἀλλ' αὐτέων ὅσαι πυρὶ δημιουργέονται, τούτου μὴ παρεόντος ἀεργοί εἰσι· [39] μετὰ δὲ τούτου ἁφθῆναι ἐνεργοί.

orbis, in quo cerebrum comprehenditur, ipsumque dorsum, cui annexi sunt pulmones, hæc omnia prorsus sunt vacua, multis interuallis referta, quæ ferè vasorum naturam obtinent, cùm res eas continent, quæ partim quidem eum, qui eas possidet, iuuant, partim etiam lædunt. Ad hæc etiam venæ sunt multæ, & nerui, non ij quidem in carne extantes, sed ad ossa protensi, articulos colligant. Quinetiam ipsi articuli, in quibus ossium, quæ mouentur, connexiones voluuntur. Quorum nihil est, quod non aliquantulum spumosum sit, & circa se latibula habeat, quæ sanies ipsa arguit, quæ iis apertis copiosa, & multis molesta effluit. Neque enim sanè eorum, quæ dicta sunt, quicquam oculis intuenti conspicere licet. Ideóque non manifesti morbi à me appellati sunt, & ab arte esse censentur, non tamen quia non manifesti, naturam nostram euincunt, sed, si modò fieri potest, ab ea superantur. Potest autem fieri, cùm & ægrorum naturæ se ad inuestigationem exhibent, & qui peruestigaturi sunt ad industriam rectè sunt à natura comparati. Neque enim sine multo labore & longo tempore, oculis cernuntur & cognoscuntur. Quæ nanque oculorum aspectum effugiunt, ea mentis acie comprehenduntur. Quæ verò ex eo ægris contingunt, quòd non protinus statim affectus cernatur, eorum culpa non in Medicos, sed tum in ægrotantis, tum in morbi naturam reiicienda est. Ille enim cùm neque doloris causam oculis cernere, neque auditione cognoscere queat, ratiocinatione consequitur. Qui namque obscuro morbo laborant, si quid de morbo Medicis indicare conantur, id ex opinione potiùs quàm ex certa cognitione denunciant. Neque enim si certò scirent, ipsis se committerent, cùm eiusdem sit prudentiæ, tum morborum causas cognoscere, tum omnibus præsidiis, quæ morbos augeri prohibeant, eos curare nosse. Cùm igitur ex his, quæ denunciata sunt, non liceat ad aliquam certam cognitionem peruenire, aliò sanè, qui curationem instituit respicere debet. Huius igitur moræ causa, ad corporum naturam, non ad artem ipsam referenda est. Hæc enim vbi morbum percepit, curationem instituendam censet, id vnum spectans, ne temeritate magis quàm consilio, & vt facilitate potius quàm vi curationem adhibere videatur. Illa verò si tandiu morbum ferre possit, vt à Medico rectè perspici possit, curationem etiam benè feret. Sin verò interim dum morbus cognoscitur, à morbo euicta fuerit, vel quòd seriùs ad Medicum accesserit, vel ob morbi celeritatem æger peribit. Neque enim, qui ex æquo ad curationem procedit, morbus celer existimandus est, sed qui præuertit. Præuertit autem tum ob corporum densitatem, in qua non conspicui morbi delitescunt; tum etiam propter ægrotantium negligentiam, qua curationem differunt, sed tum demum morbis correpti curationem expetunt. Quare artis facultatem admirari longè certè æquius est, si quem ex obscuro morbo laborantem restituerit, quàm si, quæ fieri non possunt, aggressa fuerit. Neque verò in vlla quapiam arte iam inuenta tale quippiam inesse conspicitur, verùm ex his quæcunque igne opus suum perficiunt, si eis desit, ab omni opere feriantur, vbi verò eum contrectarunt, in opere continentur.

Et quæcunque in facilè emendabili materia opus suum exercent, vt in lignis quædam, aliæ in coriis, quædam etiam stylo, ære, ferro, atque id genus aliis quamplurimæ. Quæ tamen opera ex his & per has perficiuntur, quanquam facilè emendari possunt, non tamen celeritatem magis ad opificium requirunt, quàm vt rite minimeque perfunctoriè tractentur: sed si quod instrumentum defuerit, ab opere quiescunt: & quamuis illis mora sit ad emolumentum incommoda, ea tamen pluris æstimatur. At verò Medicina, his quidem ex pure in thorace collecto, aliis verò ex hepate & renibus, aliis etiam ex omnibus, quæ ventre continentur laborantibus, cùm ea intensa oculorum acie contueri nequeat, (quod certe omnes apertissimè vident) aliarum tamen facultatum subsidia adhibuit. Ex vocis namque claritate & tarditate, & destillationibus, quæ singulis, quà exitus datur, defluere consueuerunt, earúmque partim quidem odoribus, partim coloribus, modò etiam tenuitate ac crassitudine diligenti trutina ponderatis, tum iam affectarum partium, tum verò ad affectum opportunarum signa colligit. Vbi verò ista de se significationem præbuerint, neque ea sponte natura dimittit, necessarias vias quasdam inuenit, per quas vi impulsa citra noxiam ea emittat, remissa verò & languida, artis peritis, quæ porro facienda sunt planè indicat. Ac partim quidem ignem in nobis connatum, cibi potúsque acrimonia, vt pituitam diffundat cogit, partim verò spiritum ipsum, tanquam morbi delatorem, itinere & cursu per accliuia facto, morbum prodere cogit, quò coniectura colligatur, quid sibi in his visum fuerit, quæ vt conspicerentur fabricata est. Quinetiam sudores priùs commemoratis ciendos esse, ex aquarum calidarum exhalationibus colligit. Quædam præterea per vesicam prodeuntia, euidentius morbum ostendunt, quàm quæ per carnes exeunt. Huiusmodi igitur cibos & potus adinuenit, qui cùm calidis succis sint calidiores, eos & eliquant & fluxiles reddunt, qui nunquam effluerent, nisi hoc illis contingeret. Itaque alia ex aliis, & alia per alia, tum corpus peruadunt, tum morbum denunciant, vt proinde nemini mirum videri debeat, si ad eorum cognitionem longius tempus requiratur, eósque pauci aggrediantur, cùm per aliorum expositionem ad Medici curantis cognitionem narratione deuenerint. Quòd igitur ars Medica adhibendi remedij abundantem per se habeat rationum facultatem, quódque meritò morbis, qui corrigi nequeunt, manus non admoueat, aut in iis aggrediendis inculpatam se exhibeat, tum præsens oratio manifestè indicat, tum viri huius artis periti, re ipsa lubentiùs quàm verbis demonstrant, qui non tam orationis dictioni student, quàm quòd vulgi fidem ex his, quæ vidit firmiorem, quàm ex his, quæ audierit, sibi comparaturos existimant.

καὶ ὅσαι καὶ τοῖσιν εὐεπανορθώτοισι τοῖσι σώμασι δημιουργέουσιν. αἱ μὲν μετὰ ξύλων· αἱ δὲ, μετὰ σκυτέων. αἱ δὲ, γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ. καὶ τοῖσι τούτων ὁμοίοισιν αἱ πλεῖσται. τὰ δ' ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα, καὶ εὐεπανόρθωτα, ὅμως οὐ τοῖς τάχεσι μᾶλλον, ἢ τοῖς ὡς δεῖ δημιουργεῖται, οὐδ' ὑπερβατῶς· ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων, [40] ἐλλινύει. καίτοι κἀκείναις τὸ βραδὺ πρὸς τὸ λυσιτελέστερον ἀσύμφορον· ἀλλ' ὅμως προτιμᾶται. Ἰητρικὴ δὲ, τοῦτο μὲν, τῶν ἐμ-
10 πύων· τοῦτο δὲ, τὸ ἧπαρ ἢ τοὺς νεφροὺς, τοῦτο δὲ τῶν ξυμπάντων ἐν τῇ νηδύϊ νοσεόντων ἀποστερευμένη τῇ δεινοψίῃ. [41] τὰ πάντα πάντες ἱκανωτάτως ὁρῶσιν. ὅμως ἄλλας εὐπορίας συνεργοὺς ἐφεῦρε. [42] φωνῆς τε γὰρ λαμπρότητα καὶ βραδυτῆτα καὶ ῥεύματα, ἃ διαρρεῖν εἴωθεν ἑκάστοισι, δι' ὧν ἔξοδοι δέδονται. ὧν τὰ μὲν, ὀδμῇσι· τὰ δὲ, χροιῇσι· τὰ δὲ, λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται, ὧν τε σημεῖα ταῦτα, ἅ τε πεπονθότων, ἅ τε παθεῖν δυναμένων. ὅταν δὲ ταῦτα μηνύωνται, μηδ' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, [43] ἀνάγκας
20 εὕρηκεν, ᾗσιν ἡ φύσις ἀζήμιος βιασθεῖσα μεθίησιν. ἀνεθεῖσα δὲ δηλοῖ τοῖσι τὰ τῆς τέχνης εἰδόσιν, ἃ, ποιητέα. βιάζεται δὲ τοῦτο μὲν πῦρ τὸ σύντροφον φλέγμα διαχεῖν, σιτίων δριμύτητι, καὶ πομάτων. ὅπως τεκμαρῆται τι ὀφθὲν περὶ ἐκείνων, ὧν αὐτῇ ἐμηχανᾶτο ὀφθῆναι. τοῦτο δ' αὖ πνεῦμα ὃν κατήγορον, ὁδοῖσί τε προσάντεσι καὶ δρόμοις ἐκβιᾶται κατηγορεῖν. ἱδρῶτάς τε τούτοισι τοῖσι προειρημένοισιν ἄγουσα, ὑδάτων θερμῶν ἀποπνοίῃσι τεκμαίρεται. ἔστι δὲ ἃ καὶ διὰ τῆς κύστιος διελθόντα, ἱκανώτερα τὴν νοῦσον δηλῶσαί ἐστιν, ἢ διὰ τῆς σαρ-
30 κὸς ἐξιόντα. ἐξεύρηκεν οὖν καὶ τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα γινόμενα, τήκει τε ἐκεῖνα, καὶ διαρρεῖν ποιεῖ. ἃ οὐκ ἂν διερρύη, μὴ τοῦτο παθόντα. ἕτερα μὲν οὖν πρὸς ἑτέρων, καὶ ἄλλα δι' ἄλλων ἐστὶ τά τε διιόντα, τά τ' ἐξαγγέλλοντα. ὥστ' οὐ θαυμάσιον αὐτῶν, [44] τάς τε πίστιας, χρονιωτέρας γίνεσθαι, τάς τ' ἐγχειρήσιας, βραχυτέρας, οὕτω δι' ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν θεραπεύουσαν σύνεσιν ἑρμηνευομένων. ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους εἰς τὰς ἐπικουρίας ἔχει ἡ ἰητρικὴ, καὶ οὐκ εὐδιορθώτοισι δι-
40 καίως οὐκ ἂν ἐγχειρέοι τῇσι νούσοισιν, ἢ ἐγχειρευμένας ἀναμαρτήτους ἂν παρέχῃ, οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσιν, αἵ τε τῶν εἰδότων τὴν τέχνην ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων ἥδιον, ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσιν, [45] οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθει ἐξ ὧν ἂν ἴδωσιν οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν ἀκούσωσι.

ΙΠΠΟ-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΡΧΑΙΗΣ ἰητρικῆς.

HIPPOCRATIS DE PRISCA MEDICINA, LIBER.

Ὁκόσοι ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν ἢ γράφειν, ὑπόθεσιν σφίσιν αὐτέοισιν ὑποθέμενοι τῷ λόγῳ, θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, ἢ ἄλλ' ὅ, τι ἂν ἐθέλωσιν, ἐς βραχὺ ἄγοντες, τὴν ἀρχὴν τῆς αἰτίης τοῖσιν ἀνθρώποισι τῶν νούσων τε καὶ τοῦ θανάτου, καὶ πᾶσι τὴν αὐτὴν, ἓν ἢ δύο προθέμενοι, ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶν ἁμαρτάνοντες. μάλιστα δὲ ἄξιον μέμψασθαι, ἀμφὶ τέχνης ἐούσης, ᾗ χρέωνταί τε πάντες ἐπὶ τοῖσι μεγίστοισι, καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας. εἰσὶ δὲ δημιουργοὶ, οἱ μὲν φλαῦροι, οἱ δὲ, πολὺ διαφέροντες. ὅπερ, εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἐσκέπτο, μηδ' εὕρητο μηδὲν. οὐκ ἂν ἦν, ἀλλὰ πάντες ἂν ὁμοίως αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν, καὶ τύχῃ πάντα τὰ τῶν καμνόντων διοικεῖτο. νῦν δ' οὐχ οὕτως ἔχει, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν ἀλλήλων διαφέρουσι κατὰ χεῖρα καὶ κατὰ γνώμην, οὕτω δὴ καὶ ἐπὶ ἰητρικῆς. διὸ οὐκ ἠξίουν ἔγωγε κενῆς αὐτὴν ὑποθέσιος δεῖσθαι, ὥσπερ τὰ ἀφανέα τε καὶ ἀπορεόμενα· περὶ ὧν ἀνάγκη ἤν τις ἐπιχειρέειν λέγειν, ὑποθέσει χρῆσθαι. οἷον περὶ τῶν μετεώρων ἢ τῶν ὑπὸ γῆν, εἰ λέγοι τις καὶ γινώσκοι ὡς ἔχει, οὔτ' ἂν αὐτῷ λέγοντι, οὔτε τοῖς ἀκούουσι δῆλα ἂν εἴη, εἴτε ἀληθέα ἐστὶν, εἴτε μή. οὐ γάρ ἐστι πρὸς ὅ, τι χρὴ ἐπανενέγκαντα εἰδέναι τὸ σαφές. ἰητρικῇ δὲ πάντα πάλαι ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται, ἐν πολλῷ χρόνῳ καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τε ὤν, καὶ τὰ εὑρημένα εἰδὼς, ἐκ τούτων ὁρμώμενος ζητέῃ. ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ, καὶ ἑτέρῳ σχήματι ἐπιχειρέειν ζητέει, καί φησί τι εὑρηκέναι, ἐξηπάτηται, καὶ ἐξαπατᾶται. ἀδύνατον γάρ, δι' ἃς δὲ ἀνάγκας ἀδύνατον, ἐγὼ πειρήσομαι ἐπιδεῖξαι, λέγων καὶ δεικνὺς, τὴν τέχνην ὅ, τι ἐστίν. ἐκ δὲ τούτου καταφανὲς ἔσται ἀδύνατα ἐόντα ἄλλως πως εὑρίσκεσθαι. μάλιστα δέ μοι δοκέει περὶ ταύτης δεῖν λέγοντα τῆς τέχνης, γνωστὰ λέγειν τοῖσιν δημότῃσιν. οὐ γὰρ περὶ ἄλλου τινὸς, οὔτε ζητέειν προσήκει, οὔτε λέγειν, ἢ περὶ τῶν παθημάτων ὧν αὐτοὶ οὗτοι νοσέουσιν. αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθήματα καταμαθεῖν ὥστε γίνεται καὶ παύεται, καὶ δι' οἵας προφάσιας αὔξεταί τε καὶ φθίνει, ἰδιώτας ἐόντας, οὐ ῥᾴδιον· ὑπ' ἄλλου δ' εὑρημένα καὶ λεγόμενα, εὐπετές. οὐδὲν γὰρ ἕτερον ἢ ἀναμιμνήσκεται ἕκαστος ἀκούων τῶν ἑωυτῷ ξυμβαινόντων. εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀπολείψεται, καὶ μὴ διαθήσει τοὺς ἀκούοντας, οὕτω τοῦ ἐόντος ἀπολείψεται. καὶ διὰ ταῦτα οὖν οὐδὲν δεῖται ὑποθέσιος. τὴν γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη τέχνη ἡ ἰητρικὴ, οὔτ' ἂν ἐζητήθη. οὐδὲν γὰρ αὐτῆς ἔδει, εἰ τοῖσι κάμνουσι τῶν ἀνθρώπων, τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες ἐσθίουσί τε καὶ πίνουσι,

QVI de Medicina dicere aut scribere conantur, & suæ quæstionis genus calidum, aut frigidum, aut humidum, aut siccum, aut aliud quiduis proposuerunt, ij, dum rem breui contrahunt, & idem morborum & mortis in vniuersum causæ principium, vnum vel duo constituunt, in multis quidem quæ dicunt, planè errasse arguuntur. At verò iustiùs artis nomine reprehendendi sunt, quæ re vera existit, quámque omnes in rebus maximis adhibent, cuiusque peritos artifices summis honoribus dignantur. Sunt autem opifices, alij quidem mali, alij verò multùm præstantes. Quod sanè minimè contingeret, si prorsus non existeret ars Medica, nihilque in ea vel obseruatione, vel inuentione constaret, omnesq; illius ex æquo inexperti & ignari essent, ægrotantiumq; rebus fortuna præesset. Verùm aliter se res habet, sed non secus ac in reliquis omnibus artibus, opifices longè inter se, tum manu, tum mente præstant, sic etiam in arte Medica. Quamobrem equidem ipsam non censeo in inane quæstione versari oportere, sicuti quæ sunt obscura & dubia, de quibus si quis dicere velit, eum rei de qua agitur accommodatam quæstionem proponere necesse est. Velut si quis de rebus sublimibus aut sub terra positis disserat, aut earum naturam se nosse profiteatur, ea vera sint nécne, neque iis, qui disserunt, neque iis, qui audiunt, satis fuerit manifestum. Neque enim datur ad quod quis veri cognitionem referat. At verò in Medicina iam pridem omnia subsistunt, in eaque principium & via inuenta est, per quam præclara multa longo temporis spatio sunt inuenta, & reliqua deinceps inuenientur, si quis probè comparatus fuerit, vt ex inuentorum cognitione ad ipsorum inuestigationem feratur. Qui verò his omnibus reiectis ac repudiatis, aliam inuentionis viam aut modum aggreditur, & aliquid se inuenisse iactitat, is cùm fallitur, tum alios fallit. Neque enim istud vllo pacto fieri potest. Quas autem ob causas istud fieri nequeat, postea ostendam, vbi artem esse dixero ac docuero. Ex quo etiam manifestum fiet, nihil omninò alia ratione inueniri posse. Ac mihi quidem maximè videtur, qui de hac arte disserere instituit, quæ plebeiis nota sunt dicere debere; cùm de nullo alio vel quærere, vel dicere conueniat, quàm de morbis quibus ij ipsi tentantur. Cùm igitur rudes sint, neq; morbos quibus ægrotant nosse, neq; quomodo oriantur, aut desinant, neq; quas ob causas increscant, aut minuatur, iis est facile; ab alio verò inuentos & expositos, procliue, cùm nil aliud quisq; recordetur, quàm quæ sibi contigisse audit. Quòd si quis popularium sententiam nō assequitur, nec se audientibus conciliat, is quod verè existit non assequetur, & neq; propterea vlla proposita materia indiget. Principio sanè neq; inuenta fuisset, neq; inuestigata ars Medica, neq; enim ea ægrotis opus esset, si eadem victus ratio iis offerretur, qua qui valent, vtuntur,

quinetiam alia victus ratio contulisset, nisi essent istis alia meliora. At nunc necessitate homines coacti, artem Medicam inuenerunt & inuestigarunt, quòd ægrotis oblata bene valentium victus ratio nihil contulerit, vt ne nunc quidem confert. Ad hæc superioribus equidem sæculis, neminem istam bene valentium victus rationem & alimoniam, qua nunc vtuntur, inuenturum fuisse existimo, si idem cibus & potus homini, boui & equo, & cæteris præter hominem animantibus satis fuisset, ea nempe, quæ ex terra oriuntur, fructus, herbæ & fœnum, quibus nutriuntur & augentur, & sana degunt, nullo alio victu indigentia. Quanquam equidem per initia hominum eodem alimento vsum esse existimo. At cibaria, quibus nunc vtuntur, non nisi arte inuenta & excogitata, longoq; temporis interuallo in vsum deducta mihi videntur, cùm nimirum ex robusto & firmo victu, intemperatis & nimium valentibus ingestis cibariis, in multos & graues morbos homines inciderent, in quos etiam hoc tempore, si iisdem vterentur, incurrerent, ex quibus grauibus doloribus & morbis correpti, breui vitam cum morte commutarent. Etsi verò est simile his malis minus conflictatos fuisse propter consuetudinem, quamuis tunc quidem grauiter laborarint, & plurimos quidem imbecilliore natura præditos, interiisse, eos verò qui virib. præstarent, diutiùs exstitisse: non secus ac hoc tempore, quidam ex valentibus cibariis facilè, alij non nisi cum multis doloribus & molestiis vindicantur. Eaque sanè necessitate mihi adducti illi videntur consentaneum naturæ alimentum inuestigasse, & id quo nunc vtimur inuenisse. Triticum igitur macerantes, & omninò pinsentes, molis frangentes, subigentes, & assantes, panem confecerunt. Ex hordeo verò mazam, & plurima alia magna circa eam adhibita opera coxerunt, assarunt, miscuerunt, valentiaq; & intemperata cum imbecillib. temperantes, omnia pro hominis natura & viribus cõposuere, rati cibos valentiores ingestos, quod à natura superari non possent, dolores, morbos, & mortem afferre, eos verò, qui à natura superarentur, alimentum, incrementum & sanitatem præstare. Huic autem inuento quodnam iustius aut conuenientius quàm Medicinæ nomen imponi queat? quandoquidem ad hominis sanitatem, nutritionem & salutem inuentum est, quod in illius victus rationis vicem succederet, ex qua dolores & morbi nascuntur. Quòd si quis hanc ipsam artem esse non existimet, non absurdè prorsus sentiat. Cuius enim artis propter vsum & necessitatem nemo rudis est, sed omnes periti, illius artificem aliquem vocari fas non est. Quanquam inuentum hoc longè præstãs est, & multa arte ac obseruatione constat. Quinetiam in hodiernum vsq; diem, qui rei gymnasticæ & viribus reficiendis præsunt, eadem via inuestigãdo semper aliquid inueniunt, quo quis pro cibo & potu vsus, reliquis in certamine longè superior & seipso robustior euadat. Medicinam igitur, quã omnes ægrorum causa inuentam esse fatentur, in considerationem adhibeamus, num & nomen & artifices habeat, ipsisque superior esse velit, & vndénam originẽ traxerit.

καὶ κατ' ἄλλα διαιτωμένοις ξυνέφερε, εἰ μὴ ἦν ἕτερα βελτίω. νῦν δὲ αὐτὴ ἡ ἀνάγκη ἰητρικὴν ἐποίησε ζητηθῆναί τε καὶ εὑρεθῆναι ἀνθρώποισιν· ὅτι τοῖσι κάμνουσι τ' αὐτὰ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες, οὐ ξυνέφερεν· ὡς οὐδὲ νῦν ξυμφέρει. ἔτι δὲ ἄνωθεν ἔγωγε ἀξιῶ, οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφὴν ᾗ νῦν χρέονται εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ ταυτὰ ἐσθίοντι καὶ πίνοντι, βοΐ τε καὶ ἵππῳ, καὶ πᾶσιν ἐκτὸς ἀνθρώπου· οἷα τὰ ἐκ τῆς γῆς φυόμενα καρποὺς τε καὶ ὕλην, καὶ χόρτον. οἱ ἀπὸ τούτων τε καὶ τρέφονται, καὶ αὔξονται, καὶ ἄπονοι διάγουσιν, οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. καί τοι τήν γε ἀρχὴν ἔγωγε ἀξιῶ, καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι. τὰ δέ γε νῦν διαιτήματα εὑρημένα, τετεχνημένα ἐν πολλῷ χρόνῳ γεγενῆσθαί μοι δοκεῖ. ὡς γὰρ ἔπασχον πολλά τε καὶ δεινὰ ἀπὸ ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης σώματα, ὠμά τε καὶ ἄκρητα, καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι, οἷά περ ἂν καὶ νῦν ὑπ' αὐτέων πάσχοιεν, πόνοισί τε ἰσχυροῖσι καὶ νούσοισι περιπίπτοντες, καὶ διὰ τάχεος θανάτοισιν. ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν, διὰ τὴν συνήθειαν. ἰσχυρῶς δὲ καὶ τότε, καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας, ἀπόλλυσθαι εἰκὸς τοὺς δὲ τούτων ὑπερέχοντας, πλείω χρόνον ἀντέχειν. ὥσπερ καὶ νῦν ἐκ τῶν ἰσχυρῶν βρωμάτων, οἱ μὲν γὰρ ῥηϊδίως ἀπαλλάσσονται· οἱ δὲ, μετὰ πολλῶν πόνων τε καὶ κακῶν. διὰ δὴ ταύτην τὴν χρείην, καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσει, καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρεώμεθα. ἐκ μὲν οὖν τῶν πυρῶν βρέξαντες καὶ πτίσαντες πάντα, καὶ καταλέσαντες, καὶ διασήσαντες, καὶ φορύξαντες, καὶ ὀπτήσαντες, ἀποτελέσαι ἄρτον. ἐκ δέ γε τῶν κριθέων μάζαν, ἄλλα τε συχνὰ περὶ ταύτην πραγματευσάμενοι, ἥψησάν τε καὶ ὤπτησαν, καὶ ἔμιξαν, καὶ ἐκέρασαν ἰσχυρά τε καὶ ἄκρητα τοῖσιν ἀσθενεστέροις. πλάσσοντες πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν, ἡγεύμενοι, ὅσα μὲν ἰσχυρότερα ᾖ, οὐ δυνήσεται κρατέειν ἡ φύσις, ἢν ἐσβάλλῃ, ἀπὸ τούτων δὲ αὐτῶν, πόνους τε καὶ νόσους, καὶ θανάτους ἔσεσθαι. ὅσων δὲ ἂν δύνηται ἐπικρατέειν, ἀπὸ τούτων τροφήν τε καὶ αὔξησιν, καὶ ὑγιείην. τῷ δὲ εὑρήματι, τί ἂν οὖν ὄνομα δικαιότερον ἄν τις προσθήκην μᾶλλον θεῖτο, ἢ ἰητρικήν; ὅτι εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ τροφῇ καὶ σωτηρίῃ, ἄλλαγμα κείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ νοῦσοι γίνονται. εἰ δὲ μὴ τέχνη αὐτὴ νομίζεται εἶναι, οὐκ ἀπεικός. ἧς γὰρ μηδείς ἐστιν ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι. ἐπεὶ τό γε εὕρημα καὶ μέγα καὶ πολλῆς τέχνης τε καὶ σκέψιος. ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀσκησίων ἐπιμελούμενοι, αἰεί τι προσεξευρίσκουσι κατὰ τὴν αὐτὴν ὁδὸν ζητέοντες, ὅ, τι ἔδων τε καὶ πίνων, ἐπικρατήσει τε αὐτέων μάλιστα, καὶ ἰσχυρότερος ἑωυτοῦ ἔσται. Σκεψώμεθα γοῦν, καὶ τὴν ὁμολογουμένως ἰητρικὴν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην, εἰ καὶ οὔνομα καὶ τεχνίτας ἔχει, καὶ κρατεῖν καὶ αὐτὴ τῶν αὐτέων ἐθέλοι, καὶ ὁπόθεν ποτὲ ἤρκται.

ἐμοὶ

ἐμοὶ μὲν γὰρ ὅπερ ἐν ἀρχῇ εἶπον, οὐδ᾽ ἂν ζητῆσαι δοκέει ἰητρικὴν οὐδείς, εἰ ταὐτὰ διαιτήματα τοῖσί τε κάμνουσιν, καὶ τοῖσιν ὑγιαίνουσιν ἥρμοζεν. ἔτι γοῦν καὶ νῦν, ὅσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι [12] καὶ τῶν ἑλλήνων ὅμοιοι, τὸν αὐτὸν τρόπον ὥσπερ ὑγιαίνοντες διαιτέονται, πρὸς ἡδονὴν καὶ οὔτ᾽ ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσιν, οὐδὲ στείλαιντο. οἱ δὲ ζητήσαντές τε καὶ εὑρόντες ἰητρικὴν, τὴν αὐτὴν ἐκείνοισι διάνοιαν ἔχοντες περὶ ὧν μοι ὁ πρότερος λόγος εἴρηται, πρῶτον μὲν οἶμαι, ὑφεῖλον τοῦ πλήθεος τῶν σιτίων αὐτέων τουτέων, καὶ ἀντὶ πλειόνων ὀλίγα ἐποίησαν. ἐπεὶ δὲ αὐτέοισι τοῦτο ἐπὶ μὲν ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε, καὶ φανερὸν ἐγένετο ὠφελῆσαι, οὐ μέντοι πᾶσί γε, ἀλλ᾽ ἦσάν τινες οὕτως ἔχοντες, ὡς μηδ᾽ ὀλίγων σιτίων δύνασθαι ἐπικρατέειν, ἀσθενεστέρου δή τινος ἐδόκεον οἱ τοιοῦτοι δεῖσθαι, εὗρον ῥοφήματα μίξαντες ὀλίγα τῶν ἰσχυρῶν πολλῷ τῷ ὕδατι, καὶ ἀφαιρεόμενοι τὸ ἰσχυρὸν τῇ κρήσει τε καὶ ἑψήσει. ὁκόσοι δὲ μηδὲ τῶν ῥοφημάτων ἐδύναντο ἐπικρατέειν, ἀφεῖλον καὶ ταῦτα, καὶ ἀφίκοντο ἐς πόματα; [13] καὶ ταῦτα τῇσι τε κρήσεσι, καὶ τῷ πλήθει διαφυλάσσοντες ὡς μετρίως ἔχῃ, μήτε πλείω τῶν δεόντων, μήτε ἀκρητέστερα προσφερόμενοι, μὴ δ᾽ ἐνδεέστερα. εὖ δὲ χρὴ εἰδέναι τοῦτο, ὅτι τὰ ῥοφήματα ἐν τῇσι νούσοισιν οὐ ξυμφέρει, ἀλλ᾽ ἄντικρυς ὅταν ταῦτα ποιήσωσι παροξύνονται σφίσιν οἵ τε πυρετοὶ καὶ τὰ ἀλγήματα· καὶ δῆλον τὸ προσενεχθὲν, τῇ μὲν νούσῳ τροφή τε καὶ αὔξησις γινόμενον, τῷ δὲ σώματι φθίσις τε καὶ ἀρρωστίη. ὁκόσοι δ᾽ ἂν τῶν ἀνθρώπων, ἐν ταύτῃ τῇ διαθέσει ἐόντες, προσενέγκωνται ξηρὸν σιτίον, ἢ μᾶζαν, ἢ ἄρτον, καὶ ἢν πάνυ σμικρὸν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν, ἢ ῥοφέοντες, δι᾽ οὐδὲν ἄλλο, ἢ διὰ τὴν ἰσχὺν τοῦ βρώματος πρὸς τὴν διάθεσιν. καὶ ᾧ γε ῥοφεῖν συμφέρει, ἐσθίειν δ᾽ οὔ. εἰ γὰρ πλείω φάγοι, πολὺ ἂν ἔτι κακωθείη, κἢν ὀλίγα, πονήσειεν ἄν. πάντα δὴ τὰ αἴτια τοῦ πόνου, εἰς τὸ αὐτὸ ἄγεται, [14] τὰ ἰσχυρότατα μάλιστά γε καὶ ἐπιφανέστατα, λυμαίνεσθαι τὸν ἄνθρωπον, καὶ τὸν ὑγιέα ἐόντα, καὶ τὸν νοσέοντα. τί οὖν φαίνεται ἑτεροῖον διανοηθεὶς, ὁ καλεύμενος ἰητρὸς, καὶ ὁμολογημένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας δίαιτάν τε καὶ τροφὴν, ἢ κεῖνος ὁ ἀπ᾽ ἀρχῆς τοῖσι πᾶσιν ἀνθρώποισι τροφὴν, ἣν νῦν χρεόμεθα, ἐξ ἐκείνης τῆς ἀγρίης καὶ θηριώδεος, εὑρών τε καὶ παρασκευάσας διαίτης; ἐμοὶ μὲν γὰρ φαίνεται ωὐτὸς τρόπος, καὶ ἕν τι καὶ ὅμοιον τὸ εὕρημα. ὁ μὲν, ὅσων μὴ ἠδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ἐπικρατέειν ὑγιαίνουσα, ἐμπιπτόντων διὰ τὴν ἀγριότητά τε καὶ ἀκρησίην· ὁ δὲ, ὅσων ἡ διάθεσις ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος, μὴ ἠδύνατο ἐπικρατέειν, ταῦτα ἐζήτησεν ἀφελεῖν. τί δὴ τοῦτ᾽ ἐκείνου διαφέρει; ἀλλ᾽ ἢ πλέον τό, τε εἶδος; καὶ ὅτι ποικιλώτερον καὶ πλείονος πραγματείης· ἀρχὴ δὲ κείνη ἡ πρότερον γενομένη. εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιταν πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν βλαβερωτέρην, ἤπερ τὴν ἥ τις τῶν καμνόντων θηρίων τε καὶ τῶν ἄλλων ζώων. ἀνὴρ γὰρ κάμνων νοσήματι, μήτε τῶν χαλεπῶν τε καὶ ἀφόρων, μήτ᾽ αὖ παντάπασιν εὐηθέων,

Ac mea quidem opinione (quod supra dixi) nemo ad Medicinam inuestigandam animum applicaturus fuisset, si eadem victus ratio & ægris & sanis accommodata esset. Quare etiam in hunc vsque diem barbari & Græcis finitimi, apud quos nullus est Medicinæ locus, eadem victus ratione, qua sani ad voluptatem vtuntur, neque eo quod expetunt, abstinent, neque sibi temperant. At verò qui Medicinam perscrutando inuenêre, eandem quam qui à me superiore oratione dicti sunt sententiam secuti, primùm quidem (vt sentio) de suis cibis copiam detraxerunt, deinde pro multis paucos sumpserunt. Quod cùm ægrotantibus quibusdam satis esset, palamque prodesse non tamen omnibus constaret, verùm quòd erant quidam ita affecti, vt ne paucos quidem cibos conficere possent, quibus sanè imbecilliore quodam cibo opus esset, sorbitiones inuenerunt, valentes cibos paucos multa aqua diluentes, eorúmque vim temperatione & coctione detrahentes. Quòd, si qui neque sorbitiones superare possent, iis etiam detractis, potiones substituerunt, obseruantes vt & vsu & copia moderatæ essent, neque iusto copiosiores, neque meraciores, neque pauciores exhiberentur. Imprimis autem animaduertere oportet, quibus in morbis sorbitiones minimè conueniunt, sed continuò vbi assumptæ sunt, febres ac dolores exacerbari, ex quo efficitur, vt quod assumptum est morbum quidem foueat & augeat, corpus verò imminuat, & imbecillius reddat. At verò, qui ita affecti cibum siccum, aut mazam, aut panem quantumuis modicum assumunt, ij decuplo magis atque manifestiùs læduntur, quàm si sorbitione vtantur, neque aliam ob causam, quàm quòd cibus viribus sit valentior quàm affectus requirat, tum quòd cui sorbere, ei edere minimè conueniat. Quò nanque plura comederit, eò peius afficietur, si verò pauca, etiam dolebit. Atq; ad id sanè referuntur omnes doloris causæ, quòd valentissima edulia maximè & euidentissimè homini tam sano quàm ægro sunt noxia. Quámnam igitur aliam habuisse mentem videtur, is qui Medicus, & omnium confessione artifex vocatur, cùm victus rationem, qua ægri vtuntur, inuenit, aut qui ab initio omnibus mortalibus victum illum quo nunc vtimur, loco illius agrestis ac ferinæ victus rationis adinuenit & apparauit? mihi equidem eadem esse ratio, & vno eodémque modo excogitata videtur. Hîc enim ea quæ occurrerent, & à natura humana bene valente propter feritatem & incommoderationem superari non poterant, ille verò quæ quiuis quomodolibet affectus minimè superare poterat, detrahere studuit. At quid inter hoc & illud est discriminis? nisi quòd hoc multiplici & vario magis genere constat, & plus habet negocij, originem autẽ præbuit quod priùs fuit institutum. Quòd si quis in considerationem adhibeat, atq; inter se conferat, tum ægrotantium, tum bene valentium victus rationem, is eam quæ feratum est & cæterarum animãtium, illa quæ ægrorũ est, magis noxiam inueniet. Si quis enim morbo tentetur neque omnino difficili & intolerabili, neq; prorsus leui,

sed quem neq; qui peccat sit cogniturus, si panem, aut carnem, aut aliud quiddam eorum quod sanos iuuet, comedat, non multùm quidem, sed longè parcius, quàm sanus poterat: contrà verò aliquis sanus natura non omninò imbecilla, neq; rursus robusta, aliquid eorum quæ boui aut equo prosunt, comedat, nempe eruum, aut hordeum, aut aliud quidpiam eiusmodi, non multũ quidem, sed multò minus quàm ferre possit: quamuis id sanus fecerit, non minus vtiq; grauabitur aut periclitabitur, quàm qui ægrotus panem aut mazam intempestiuè assumpsit. Ex quibus omnibus colligitur, artem Medicam via quadã inuestigatam & inuentam esse. Quòd si re vera, quemadmodũ existimant, quæ quidẽ sunt valentiora læderent, quæ verò imbecilliora, tum ægros, tum sanos iuuarent & nutrirent, res facili negocio conficeretur. Longè enim tutius ageretur, si res ad imbecillimum deducatur. At nunc non leuiùs peccatur, neq; minùs læditur si quis pauciora & infra modum assumat. Fames enim plurimum potest in hominum natura, tum ad sanitatem & imbecillitatem, tum ad mortem inferendam. Multa verò alia mala & varia quidẽ ex plenitudine oriuntur, neq; verò minùs grauia ex inanitione, vt proinde in his maxima insit varietas, & magna diligentia requiratur. Modum enim quadam coniectura colligere oportet. Modum autem, neq; pondus, neq; vllũ alium numerum, ad quem ista referas, vt exactè cognoscas, nõ vllum aliũ inuenias, quàm corporis sensum. Quocirca istud adeo exactè cognoscere, vt leuiter in vtramq; partem pecces, operosa res est. Quanquam equidem vehementer hunc Medicum laudarim, qui parũ peccet. At exacta certitudo raro cernitur. Quare Medicorum plæriq; malorũ nauium gubernatorum mihi simillimi videntur, qui si trãquillo mari nauẽ regunt, nemo eos peccare deprehẽdat. Quòd si eos vehemens ventus aut tẽpestas oppresserit, iam omnibus manifestè cõstat eorum imperitia & culpa nauẽ fuisse perditam. Ad hũc sanè modum improbi plæriq; Medici, dum leuiter affectos curant, in quibus vel grauissimi errores commissi, nihil periculi admittunt (cùm multi huiusmodi morbi ac longè frequentiùs quàm grauiores, hominibus contingant) in iis quidem si delinquant, plebeios latent: vbi verò in magnum & vehementem, ac periculosum morbum inciderint, tum ipsorũ ars & errores omnibus sunt conspicui. Horum enim cuiusq; vindices pœnæ præstò sunt, neq; in longum differuntur. Quòd autem non minores affectus ex intempestiua vacuatione quàm repletione homini cõtingant, ex bene valentibus probè cognoscas. Quibusdam enim semel tantùm cibum sumere confert, idq; quòd conferat sibi constituerunt. Quidam etiam prandêre ob eandem causam, quòd iis conferat, coguntur. Quod non iis contingit, qui propter voluptatem aut alium quemuis casum, horum alterutrum facere student. Plærisq; enim nihil refert vtrumlibet secuti, vel semel tãtùm cibũ capere, vel prandêre etiam assuescant. Quidam verò si quid incõmodè fecerint, non facilè degunt, verùm eorum vtrisq; die altero vix nec temerè exacto, supra modũ grauis oritur affectio.

[15] ἀλλ' οὔτε αὐτέῳ ἁμαρτάνοντι μέλλει ἐπίδηλον ἔσεσθαι, εἰ ἐθέλει καταφαγεῖν ἄρτον, κρέα, ἢ ἄλλο τι ὧν οἱ ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται, μὴ πολὺ, ἀλλὰ πολλὸν μεῖον ἢ ὑγιαίνων ἠδύνατο. ἄλλος τε τῶν ὑγιαινόντων φύσιν ἔχων μήτε πάμπαν ἀσθενέα, μήτ' αὖ ἰσχυρὴν, φαγὼν τι ὧν βοῦς ἢ ἵππος φαγὼν, ὠφελοῖτό τε καὶ ἐσθίει ὀρόβους, ἢ κριθὰς, ἢ ἄλλο τι τῶν τοιουτέων μὴ πολὺ, ἀλλὰ πολλὸν μεῖον, ἢ δύναιτο. [16] κἂν ἧσσον ὑγιαίνων τοῦτο ποιήσας πονήσειέ τε καὶ κινδυνεύσειε, κείνου τοῦ νοσέοντος, ὃς τὸν ἄρτον ἢ τὴν μάζαν ἀκαίρως [10] προσηνέγκατο. ταῦτα δὴ πάντα τεκμήρια, ὅτι αὕτη ἡ τέχνη ἡ ἰητρικὴ τῇ ὁδῷ ζητεομένη, εὑρίσκοιτο ἄν. καὶ εἰ μὲν ἦν ἁπλῶς ὥσπερ ὑφηγεῖται, ὅσα μὲν ἦν ἰσχυρότερα, ἔβλαπτεν, ὅσα δὲ ἦν ἀσθενέστερα, ὠφέλει τε καὶ ἔτρεφε τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὐπετὲς ἂν ἦν τὸ χρῆμα. πολλὸν γὰρ τοῦ ἀσφαλέος ἂν ἔδει περιλαμβάνοντας, ἄγειν ἐπὶ τὸ ἀσθενέστατον. νῦν δὲ οὐκ ἔλασσον ἁμάρτημα, οὐδὲ ἧσσον λυμαίνεται τὸν ἄνθρωπον ἢν ἐλάσσονα καὶ ἐνδεέστερα τῶν ἱκανῶν προσφέρηται. τὸ γὰρ τοῦ λιμοῦ μένος, δύναται ἰσχυρῶς ἐν τῇ φύσει τοῦ ἀνθρώπου, καὶ ὑγιῶσαι καὶ ἀσθενέα ποιῆσαι, καὶ ἀπο[20]κτεῖναι. πολλὰ δὲ καὶ ἄλλα κακὰ ἑτεροῖα μὲν τῶν ἀπὸ πληρώσιος, οὐχ ἧσσον δὲ ἅμα δεινὰ κενώσιος. διὸ πολλὸν ποικιλωτέρη τε, καὶ διὰ πλέονος ἀκριβείης ἐστί. δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι· μέτρον δὲ, οὐδὲ σταθμὸν, οὐδὲ ἀριθμὸν οὐδένα ἄλλον πρὸς ὃ ἀναφέρων εἴσῃ τὸ ἀκριβὲς, οὐκ ἂν εὑρήσεις ἄλλο ἢ τοῦ σώματος τὴν αἴσθησιν. διὸ ἔργον οὕτω καταμαθεῖν ἀκριβῶς, ὥστε μικρὰ ἁμαρτάνειν ἔνθα ἢ ἔνθα. κἂν ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς ἐπαινέοιμι, τὸν σμικρὰ ἁμαρτάνοντα. τὸ δὲ ἀκριβὲς ὀλιγάκις ἐστὶ κατιδεῖν. ἐπεὶ οἱ πολλοί γε τῶν ἰητρῶν, ταὐτά μοι δοκέουσι τοῖσι κακοῖσι κυβερνήτῃσι πάσχειν. καὶ γὰρ ἐκεῖνοι ὅταν [30] ἐν γαλήνῃ κυβερνῶντες ἁμαρτάνωσιν, οὐ καταφανέες εἰσίν· ὅταν δὲ αὐτοὺς καταλάβῃ ἄνεμός τε μέγας, καὶ χειμὼν φανερῶς ἤδη πᾶσιν ἀνθρώποισι δι' ἀγνωσίην καὶ ἁμαρτίην δῆλοί εἰσιν ἀπολέσαντες τὴν ναῦν. οὕτω δὴ καὶ οἱ κακοί τε καὶ πλεῖστοι ἰητροὶ, ὅταν μὲν θεραπεύωσιν ἀνθρώπους μηδὲν δεινὸν ἔχοντας, ἐς οὓς ἄν τις καὶ τὰ μέγιστα ἁμαρτάνων, οὐδὲν δεινὸν ἐργάσαιτο (πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα, καὶ πολὺ πλέον τῶν δεινῶν ἀνθρώποισι συμβαίνει) ἐν μὲν δὴ τοῖσι τοιούτοισιν ἁμαρτάνοντες, οὐ καταφανέες εἰσὶ τοῖσιν ἰδιώτῃσιν. ὁκόταν δὲ τύχωσι μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπισφαλεῖ νοσήματι, τότε [40] σφέων τά θ' ἁμαρτήματα καὶ ἡ τέχνη πᾶσι καταφανής ἐστιν. οὐ γὰρ ἐς μακρὸν αὐτέων ἑκάστου αἱ τιμωρίαι, ἀλλὰ διὰ ταχέος παρέασιν. ὅτι δὲ οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπάθειαι γίνονται τῷ ἀνθρώπῳ, ἢ καὶ ἀπὸ πληρώσιος, καταμανθάνειν καλῶς ἔχει, ἐπαναφέροντας ἐπὶ τοὺς ὑγιαίνοντας. ἔστι γὰρ οἷσιν αὐτέων ξυμφέρει μονοσιτεῖν. καὶ τοῦτο διὰ τὸ ξυμφέρειν τοῖσιν αὐτοῖσιν ἐτάξαντο. ἄλλοισί τε ἀριστᾶν, διὰ τὴν αὐτὴν ἀνάγκην. οὕτω γὰρ αὐτοῖς ξυμφέρει, καὶ μὴ τούτοισιν οἳ δι' ἡδονὴν ἢ δι' ἄλλην τινὰ συγκυρίην, ἐπετήδευσαν ὁπότερον αὐτέων. τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώπων, οὐδὲν διαφέρει ὁπότερον ἂν ἐπιτηδεύσωσιν, εἴτε μονοσιτέειν, εἴτε ἀριστᾶν, τούτῳ τῷ ἔθει χρῆσθαι. εἰσὶ δέ τινες οἳ οὐκ ἂν δύναιντο ἔξω τοῦ συμφέροντος ποιέοντες, ῥηϊδίως ἀπαλλάσσειν. [17] ἀλλὰ ξυμβαίνει αὐτέων ἑκατέροισι, παρ' ἡμέρην μίην καὶ ταύτην οὐχ ὅλην μεταβαλοῦσιν, ὑπερφυῶς κακοπαθεῖν.

εἰ μὲν

[18] οἱ μὲν γὰρ ἢν ἀριστήσωσι μὴ ξυμφέροντος αὐτέοισιν, εὐθὺς βαρέες, καὶ νωθροὶ τὸ σῶμα, καὶ τὴν γνώμην, χάσμης τε καὶ νυσταγμοῦ καὶ δίψης πλήρεες. ἢν δὲ ἐπιδειπνήσωσι, [19] καὶ φῦσα, καὶ στρόφος, καὶ ἡ κοιλίη καταρρήγνυται. καὶ πολλοῖσιν ἀρχὴ νούσου αὕτη μεγάλης ἐγένετο, ἢν τὰ αὐτὰ σιτία, ἃ μεμαθήκει ἅπαξ ἀναλίσκειν, δὶς προσενένκηται καὶ μηδὲν ἔτι πλέον. τοῦτο δὲ εἰ ἀριστᾷν μεμαθηκώς τις, καὶ οὕτως αὐτέῳ ξυμφέρον, μὴ ἀριστήσῃ, ὅταν τάχιστα παρέλθῃ ἡ ὥρη, εὐθὺς ἀδυναμίη δεινή, τρόμος, ἀψυχίη· ἐπὶ τούτοισιν, ὀφθαλμοὶ χλωρότεροι, οὖρον παχὺ καὶ θερμὸν, στόμα πικρὸν, καὶ τὰ σπλάγχνα οἱ δοκέει κρέμασθαι, σκοτοδίνη, δυσοργίη, δυσθυμίη. ταῦτα δὲ πάντα, ὅταν δειπνεῖν ἐπιχειρήσῃ. ἀναλίσκειν δὲ οὐ δυνατὸς ὁ ἀριστιζόμενος, ἃ πρότερον ἐδείπνει. ταῦτα δὲ αὐτὰ μετὰ στρόφου τε καὶ ψόφου καταβαίνοντα ξυγκλείει τὴν κοιλίην. δυσκοιτέουσί τε καὶ ἐνυπνιάζονται τεταραγμένα καὶ θορυβώδεα. πολλοῖσι δὲ καὶ τουτέων, αὕτη ἀρχὴ νούσου ἐγένετο. σκέψασθαι δὲ χρὴ διὰ τίνας προφάσιας αὐτέοισι ταῦτα ξυνέβη. τῷ μὲν οἶμαι μεμαθηκότι μονοσιτεῖν, ὅτι οὐκ ἀνέμεινε τὸν χρόνον τὸν ἱκανὸν μέχρις αὐτέου ἡ κοιλίη, τῶν τῇ προτεραίῃ προσενηνεγμένων σιτίων ἀπολαύσῃ τελέως, καὶ ἐπικρατήσῃ, καὶ λαπαχθῇ τε καὶ ἡσυχάσῃ· ἀλλ' ἐπὶ ζέουσάν τε [20] καὶ ἐζυμωμένην καινὰ ἐπεσηνέγκατο. αἱ δὲ τοιαῦται κοιλίαι, πολλῷ τε βραδύτερον πέσσουσι, [21] καὶ πλέονος δέονται ἀναπαύσιός τε καὶ ἡσυχίης. ὁ δὲ μεμαθηκὼς ἀριστίζεσθαι, ὅτι οὐκ ἐπεὶ τάχιστα ἐδεήθη τροφῆς τὸ σῶμα, καὶ τὰ πρότερα κατηνάλωτο καὶ οὐκ εἶχεν οὐδεμίαν ἀπόλαυσιν, εὐθέως αὐτέῳ παρεγένετο καινὴ τροφή. φθίνει δὲ καὶ συντήκεται ὑπὸ λιμοῦ. πάντα γὰρ ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον, λιμῷ ἀνατίθημι. φημὶ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, οἳ ἂν ἄσιτοι δύο ἢ τρεῖς ἡμέρας γένωνται, ταῦτα πείσεσθαι, οἷα περὶ τῶν ἀναρίστων γενομένων εἴρηκα. τὰς δὲ τοιαύτας φύσιας ἔγωγέ φημι, ταχέως τε καὶ ἰσχυρῶς [22] τῶν ἁμαρτημάτων ἀπολαυούσας, ἀσθενεστέρας εἶναι τῶν ἑτέρων. ἐγγύτατα δὲ τοῦ ἀσθενέοντός ἐστιν ὁ ἀσθενής. ἔστι δὲ ἀσθενέστερος ὁ ἀσθενέων, καὶ μᾶλλον αὐτῷ προσήκει, ὅ,τι ἂν τοῦ καιροῦ ἀποτυγχάνῃ, πονεῖν. χαλεπὸν δὲ τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην, [23] τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου. [24] πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκριβείην ἥκει, περὶ ὧν εἰρήσεται. οὔ φημι δὴ διὰ τοῦτο δεῖν τὴν τέχνην ὡς οὐκ ἐοῦσαν, οὐδὲ καλῶς ζητευμένην τὴν ἀρχαίην ἀποβαλέσθαι, εἰ μὴ ἔχει περὶ πάντα ἀκριβείην· ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς εἶναι τοῦ ἀτρεκεστάτου ὁμοῦ δύνασθαι ἥκειν λογισμῷ, ἐκ πολλῆς ἀγνωσίης, θαυμάζειν τὰ ἐξευρημένα, ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται, καὶ οὐκ ἀπὸ τύχης. ἐπὶ δὲ τὴν τῶν καινὸν τρόπον τὴν τέχνην ἐξ ὑποθέσιος ζητεόντων λόγον ἐπανελθεῖν βούλομαι. εἰ γάρ ἐστι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, τὸ λυμαινόμενον τὸν ἄνθρωπον, καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα βοηθεῖν, τῷ μὲν θερμῷ, ἐπὶ τὸ ψυχρὸν· τῷ δὲ ψυχρῷ, ἐπὶ τὸ θερμόν· τῷ δὲ ξηρῷ, ἐπὶ τὸ ὑγρόν· τῷ δ' ὑγρῷ, ἐπὶ τὸ ξηρόν. ἔστω μοι ἄνθρωπος, μὴ τῶν ἰσχυρῶν φύσει, ἀλλὰ τῶν ἀσθενεστέρων. [25] οὗτος δὲ πυροὺς ἐσθιέτω

Si enim pransi fuerint, quibus prandêre non conducit, ij continuò graues totoque corpore & mente segnes euadunt, cum oscitatione, somnolentia, multáque siti. Quòd si insuper etiã cœnauerint, & flatus & tormina excitantur, & venter erumpit. Ac multis magni morbi origo fuit, si cibos quos semel absumere consueuerant, bis assumpsissent, nec quicquam ampliùs. Ad hæc si quis prandêre consuetus, atque cui prandêre conducat, non prandeat, protinus vbi tempus præteriit, statim grauis impotentia exoritur, tremor, & animi defectio, ad hæc oculi pallidiores fiunt, vrina crassa & calida redditur, os amarulentum euadit, viscera ei pendêre vidētur, tenebricosa vertigine corripitur, vehementer irascitur & mœret. Ista verò omnia cauere volenti contingunt, neq; cibos quos priore cœna assumpsit, qui prandêre consueuit, conficere potest, sed cum torminibus & strepitu descendunt, & aluum concludunt, ipsi verò noctem inquietam agũt, & insomniis perturbatis ac tumultuosis vexantur, quod plærisque etiam morbi initium extitit. Quæ quas ob causas his accidunt, consideranda sunt. Nempe quòd is opinor, qui semel tantùm cibum assumere consueuit, non expectauerit idoneum tempus, dum venter hesternos cibos planè confecerit, superauerit, emollitus fuerit, ac conquieuerit, sed in ipsum feruentem & fermentatum recentes ingesserit. At huiusmodi ventres multò tardiùs concoquũt, maioreq; ocio & quiete opus habẽt. Qui verò prandêre cõsueuit, quoniam, vbi quamprimum alimento corpus indiguit, prioribus cibis consumptis, nec habuit ampliùs quo frueretur, non statim ipsi nouum alimẽtum adfuit, ideoq; fame imminuitur & contabescit. Quæcunque enim eiusmodi hominibus accidunt, ad famem referenda censeo. Quinetiam iis omnib. qui duos aut tres dies sine cibo transierint, eadem contingere dico, quæ de his, qui minimè prandent, diximus. Ac eiusmodi naturas, quæ celeriter ac vehemẽter suorum delictorum incommoda percipiũt, equidem reliquis imbecilliores esse censeo. Qui verò imbecillus est, proximè ad eum, qui ægrotat, accedit, estq; imbecillior qui ægrotat, multoq; grauiùs afficitur, si quid intempestiuè fecerit. Cùm autẽ eiusmodi exacta diligentia in arte Medica adhibenda sit, quod est certissimum semper assequi difficile est. Multa tamen in re Medica, tam exactam diligentiam obtinẽt, de quibus dicetur. Neque sanè priscam artem Medicam ideo quòd omnium exactam diligentiam non habeat, quasi ars nulla sit, aut non recte inuestigata, reiiciendam censeo: verùm cùm prope ad veritatem accedere liceat, simulq; eò ratiocinando peruenire, multò magis admiranda veniunt, quæ sunt ex magna ignoratione eruta, velut probè & rectè, non autem fortuitò inuenta. At verò nunc ad eos, qui noua quadam ratione artem ex proposita materia inuestigant, nostra reuertatur oratio. Si quidem est calidum, aut frigidum, aut siccum, aut humidum quod hominem lædit, & eum, qui recte mederi volet, oportet calido per frigidum, frigido per calidum, sicco per humidum, & humido per siccum opitulari. Exhibeatur mihi aliquis natura non admodum robusta, sed imbecilliore, qui triticum crudum, & inelaboratũ edat,

quale ex arca sustulit, & carnes crudas, & aquam bibat. Ex qua victus ratione nõ dubiũ est quin multa & grauia sit perpessurus. Nã & doloribus conflictabitur, & imbecillo erit corpore, & vẽtriculus corrumpetur, neq; diu vitã tolerare poterit. Quodnam igitur ita affecto præsidium comparandum? calidumne, an frigidum, an siccũ, an humidum? si quidem horũ quodq; simplex est. Namq; si quod lædit ab his ipsis est diuersum, contrario dissoluere conuenit, velut ipsi fatentur. Est enim certissima & euidentissima medela, sublatis quib. vtebatur cibis, pro tritico panem exhibere, & pro crudis carnibus, coctas, & insuper vinum propinare. Neq; fieri potest quin his cõmutatis conualescat, nisi diuturniore ista victus ratione prorsus fuerit corruptus. Quid ergo dicemus? Nũ ei à frigido malè affecto, calida hæc exhibita profuerunt, an contraria? Equidẽ quid ad interrogata respondere debeat, multùm dubitaturum existimo. Qui enim panem ex tritico apparat, calidum, aut frigidum, aut siccũ, aut humidum tollit. Quòd nanq; in ignem & aquam mittatur, multisq; aliis modis cõfectus sit, quorum singula propriam facultatem & naturam obtinent, eorũ quidem quæ natura existunt, quædam reiiciuntur, aliis verò temperantur & commiscentur. Nam & hoc sanè noui plurimùm referre, vtatúrne quis pane puro, aut non puro, aut ex tritico cortice nõ repurgato, an purgato, an copiosa aqua subacto, aut nullo modo subacto, an excocto, aut crudiore, aliisq; præterea innumeris. Similiter quoq; de maza. Quorum cuiusq; magnæ sunt facultates, ac nihil inter se similes. At qui hæc subducta secum ratione non reputat, quonã modo is affectum vllum, quo quis detinetur, cognoscere poterit? Cùm ab eorum quoq; hoc vel illo modo afficiatur & immutetur, atque ex his & bene valentium omnium, & ex morbo conualescentiũ, & ægrotorum vita constet. Ex quo sanè efficitur, vt nihil neq; ad cognitionem vtilius, neq; magis necessarium existat. Vt rectè conuenienterq; ratiocinando inuestigasse mihi videantur, & ad hominum naturam accommodatè primi ista inuenisse, artémque dignam iudicasse, quæ ad Deum authorem ex maiorũ institutis referretur. Nam neq; sicco, neq; humido, neque calido, neq; frigido, neque horum quoquam hominem lædi existimauerunt, neq; horum aliquo ei opus esse. Sed quod in vnoquoque potentius esset, & supra naturam humanam adeò vt ab ea superari non posset, id lædere censuerunt, & tollere conati sunt. Est autem valentissimum inter dulcia dulcissimum, inter amara amarissimum, inter acida acidissimum, & quod in re quaque summum est. Hæc enim in homine inesse, eique nocere videbant. In homine nanque inest & amarum, & salsum, & dulce, & acidum, & acerbum, & insipidum, aliaque sexcenta, quæ pro copia & viribus, varias habent facultates. Et hæc quidem mixtione & mutua inter se contemperatione, neque cernuntur, neque quenquam molestia afficiunt. At vbi horum quidpiam secretum fuerit, & per se extiterit, tunc & conspicuum fit, & hominem molestia afficit. Quinetiam ex cibariis, quæ minimè nobis conueniunt, quæque in corpus ingesta homini sunt noxia, eorum quodque aut amarum est, & minimè temperatum,

ὡς ἂν ἀπὸ τῆς ἅλω ἀνέλῃ, ὠμοὺς καὶ ἀργοὺς, καὶ κρέα ὠμὰ καὶ πινέτω ὕδωρ. ταύτῃ χρεώμενος τῇ διαίτῃ, εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά. καὶ γὰρ πόνους πονήσει, καὶ τὸ σῶμα ἀσθενὲς ἔσται, καὶ ἡ κοιλίη φθαρήσεται, καὶ ζῆν πολὺν χρόνον οὐ δυνήσεται. τί δὴ δεῖ τοι γὰρ οὕτω βοήθημα παρεσκευάσθαι ὧδ' ἔχοντι; θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν; ἁπλοῦν γὰρ ὅτι τούτων τι. εἰ γὰρ τὸ λυμαινόμενον αὐτὸν ἐστι τούτων τὸ ἕτερον, τὸ ὑπεναντίον προσήκει λῦσαι, ὡς ὁ ἐκείνων λόγος ἔχει. τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον, ἀφελόντα τὰ διαιτήματα, οἷσιν ἐχρῆτο, ἀντὶ μὲν τῶν πυρῶν, ἄρτον διδόναι, ἀντὶ δὲ τῶν ὠμῶν κρεῶν, ἑφθὰ, πίνειν τε ἐπὶ τούτοισιν οἶνον. ταῦτα μεταβάλλοντα οὐχ οἷόν τε μὴ ὑγιέα γενέσθαι, ἤν γε μὴ παντάπασιν ᾖ διεφθαρμένος ὑπὸ χρόνου τε καὶ τῆς διαίτης. τί δὴ φήσομεν; πότερον αὐτέῳ ὑπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα προσενέγκαντες ὠφέλησαν, ἢ τἀναντία; οἶμαι γὰρ ἔγωγε πολλὴν ἀπορίην ἐρωτηθέντι παρασχεῖν. ὁ γὰρ τὸν ἄρτον σκευάζων τῶν πυρῶν τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν ἀφείλετο. [26] ὁ γὰρ καὶ πυρὶ καὶ ὕδατι δέδοται, καὶ πολλοῖσιν ἄλλοισιν εἴργασται, ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει. καὶ τὰ μὲν τῶν ὑπαρχόντων ἀποβέβληκεν, ἄλλοισι δὲ κέκρηται καὶ μέμικται. οἶδα μὲν γὰρ καὶ τάδε δήπου, ὅτι διαφέρει εἰς τὸ σῶμα τοῦ ἀνθρώπου, καθαρὸς ἄρτος [27] ἢ συγκομιστὸς, [28] ἢ ἀπτίστων πυρῶν, ἢ ἐπτισμένων, ἢ πολλῷ ὕδατι πεφυρημένος, ἢ ἀφύρητος, ἢ ἐξόπτος, ἢ ἔνωμος· ἄλλα τε πρὸς τουτέοισι μυρία. ὡς δ' αὔτως καὶ περὶ μάζης. καὶ αἱ δυνάμιες δὲ μεγάλαι τε ἑκάστου, καὶ οὐδὲν ἡ ἑτέρη τῇ ἑτέρῃ ἐοικυῖα. ὅστις δὲ ταῦτα μὴ σκεπτόμενος, οὐκ οἶδε, πῶς ἄν τι οὗτος δύναιτο τῶν κατὰ τὸν ἄνθρωπον παθημάτων εἰδέναι; ὑπὸ γὰρ ἑνὸς ἑκάστου τουτέων, πάσχει τε καὶ ἑτεροιοῦται ὥνθρωπος, ἢ τοῖον, ἢ τοῖον. καὶ διὰ τουτέων πᾶς ὁ βίος καὶ ὑγιαίνοντι καὶ ἐκ νούσου ἀναφερομένῳ καὶ κάμνοντι. οὐκ ἂν οὖν ἕτερα τουτέων χρησιμώτερα, οὐδ' ἀναγκαιότερα εἴη εἰδέναι δήπου. ὡς δὲ καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες, πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτὰ, οἱ πρῶτοι εὑρόντες, καὶ ᾠήθησαν ἀξίην [29] τὴν τέχνην θεῷ προσθεῖναι, ὡς καὶ νομίζεται. οὐ γὰρ τὸ ξηρὸν οὐδὲ τὸ ὑγρὸν οὐδὲ τὸ θερμὸν οὐδὲ τὸ ψυχρὸν, οὐδ' ἄλλο τουτέων οὐδὲν ἡγησάμενοι, οὔτε λυμαίνεσθαι, οὔτε προσδεῖσθαι οὐδενὸς τουτέων τὸν ἄνθρωπον· ἀλλ' ὅ, τι ἰσχυρὸν ἑκάστου, καὶ τὸ κρέσσον τῆς φύσιος τῆς ἀνθρωπίνης, οὗ μὴ ἠδύνατο κρατέειν, τοῦτο βλάπτειν ἡγήσαντο, καὶ τοῦτο ἐζήτησαν ἀφελεῖν. ἰσχυρότατον δέ ἐστι, τοῦ μὲν γλυκέος, τὸ γλυκύτατον· τοῦ δὲ πικροῦ, τὸ πικρότατον· τοῦ δὲ ὀξέος, τὸ ὀξύτατον· ἑκάστου δὲ πάντων τῶν ἐόντων, ἡ ἀκμή. ταῦτα γὰρ ἑώρων καὶ τῷ ἀνθρώπῳ ἐνεόντα, καὶ λυμαινόμενα τὸν ἄνθρωπον. ἔνι γὰρ ἀνθρώπῳ καὶ πικρὸν, καὶ ἁλμυρὸν, καὶ γλυκὺ, καὶ ὀξὺ, [30] καὶ στρυφνὸν, καὶ πλαδαρὸν, καὶ ἄλλα μυρία παντοίας δυνάμιας ἔχοντα, πλῆθός τε καὶ ἰσχύν. ταῦτα μὲν μεμιγμένα καὶ κεκρημένα ἀλλήλοισιν, οὔτε φανερά ἐστιν, οὔτε λυπέει τὸν ἄνθρωπον. ὅταν δέ τι τουτέων ἀποκριθῇ καὶ αὐτὸ ἐφ' ἑωυτοῦ γένηται, τότε καὶ φανερόν ἐστι, καὶ λυπέει τὸν ἄνθρωπον. τοῦτο δὲ τῶν βρωμάτων ὅσα ἡμῖν ἀνεπιτήδειά ἐστι καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, τουτέων ἕκαστον, ἢ πικρόν τι καὶ ἄκρητόν ἐστιν, ἢ ἁλμυ-

ἢ ἁλμυρὸν ἢ ὀξὺ ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρὸν καὶ διὰ τοῦτο ταρασσόμεθα ὑπ' αὐτέων. [31] ὥσπερ καὶ ὑπὸ τῶν ἐκ τοῦ σώματος ἀποκρινομένων. πάντα δὲ ὅσα ἄνθρωπος ἐσθίει ἢ πίνει, τὰ τοιαῦτα βρώματα ἥκιστα τούτου χυμοῦ ἀκρήτου τε καὶ διαφέροντος, δῆλά ἐστι μετέχοντα. οἷον ἄρτος τε καὶ μᾶζα, καὶ τὰ ἑπόμενα τουτέοισιν, οἷσιν εἴθισται ἄνθρωπος πλείστοισί τε καὶ αἰεὶ χρέεσθαι, ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον ἠρτυμένων τε καὶ ἐσκευασμένων. καὶ ἀπὸ τουτέων πλείστων ἐσιόντων ἐς τὸν ἄνθρωπον, ταραχή τε [32] καὶ ἀπόκρισις τῆς ἀμφὶ τὸ σῶμα δυνάμιος ἥκιστα γίνεται. ἰσχύς τε καὶ αὔξησις, καὶ τροφὴ μάλιστα δι' οὐδὲν ἕτερον γίνεται, ἢ ὅτι εὖ τε συγκέκρηται, καὶ οὐδὲν ἔχει ἄκρητον, οὐδ' ἰσχυρόν. ἀλλ' ὅλον ἕν τε γέγονε, [33] καὶ ἁπλόον, καὶ ἰσχυρόν. ἀπορέω δ' ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες, καὶ ἀπάγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ ὑπόθεσιν τὴν τέχνην, [34] τίνα ποτὲ τρόπον θεραπεύσουσι τοὺς ἀνθρώπους, ὥσπερ ὑποτίθενται. οὐ γάρ ἐστιν αὐτέοισιν, ὡς ἐγὼ οἶμαι, ἐξευρημένον αὐτό τι ἐφ' ἑωυτοῦ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, μηδενὶ ἄλλῳ εἴδεϊ κοινωνέον. ἀλλ' οἶμαι ἔγωγε ταῦτα πόματα καὶ βρώματα αὐτέοισιν ὑπάρχειν, οἷσι πάντες χρώμεθα. προστιθέασι δὲ τῷ μὲν, εἶναι θερμῷ· τῷ δὲ, ψυχρῷ· τῷ δὲ, ξηρῷ· τῷ δὲ, ὑγρῷ. ἐπεὶ ἐκεῖνό γε ἄπορον προστάξαι τῷ κάμνοντι, θερμόν τι προσενέγκασθαι. εὐθὺς γὰρ ἐρωτήσει τί ἐστιν, ὥστε ληρεῖν ἀνάγκη, [35] ἢ ἐς τουτέων τι τῶν γινωσκομένων καταφυγεῖν. εἰ δὲ δὴ τυγχάνει τὸ μὲν θερμὸν ἐὸν στρυφνὸν, ἄλλο δὲ θερμὸν, πλαδαρὸν, ἄλλο δὲ θερμὸν, [36] ταραχὴν ἔχον. ἔστι γὰρ καὶ ἄλλα τε θερμὰ, καὶ ἄλλας δυνάμιας ὑπεναντίας ἑωυτοῖσιν ἔχοντα, [37] δεήσει δέ τι αὐτέων προσενεγκεῖν, ἢ τὸ θερμὸν καὶ στρυφνὸν ἢ τὸ θερμὸν καὶ πλαδαρὸν ἢ ἅμα τὸ ψυχρὸν καὶ στρυφνόν. ἔστι γὰρ καὶ τοῦτο καὶ τὸ ψυχρόν τε καὶ πλαδαρόν. ὡς μὲν γὰρ ἔγωγε οἶδα, πᾶν τοὐναντίον ἐφ' ἑκατέρου αὐτέων ἀποβαίνει καὶ οὐ μόνον ἐν ἀνθρώπῳ, ἀλλὰ καὶ ἐν σκύτεϊ, καὶ ἐν ξύλῳ, καὶ ἐν ἄλλοισι πολλοῖσιν, ἅ ἐστιν ἀνθρώπου ἀναισθητότερα. οὐ γὰρ τὸ θερμόν ἐστι τὸ τὴν μεγάλην δύναμιν ἔχον, ἀλλὰ τὸ στρυφνὸν καὶ πλαδαρὸν, καὶ τἄλλα ὅσα μοι εἴρηται, καὶ ἐν τῷ ἀνθρώπῳ, καὶ ἔξω τοῦ ἀνθρώπου, καὶ ἐσθιόμενα καὶ πινόμενα, καὶ ἔξωθεν ἐπιχριόμενά τε καὶ πως πλασσόμενα. ψυχρότητα δ' ἔγωγε καὶ θερμότητα πασέων ἥκιστα τῶν δυναμίων νομίζω δυναστεύειν ἐν τῷ σώματι, διὰ τάσδε τὰς προφάσιας. ὃν μὲν ἂν δήπου χρόνον μεμιγμένα αὐτὰ αὐτέοισιν ἅμα τὸ ψυχρὸν καὶ θερμὸν ᾖ, οὐ λυπέει. κρῆσις γὰρ καὶ μετριότης, τῷ μὲν ψυχρῷ γίνεται ἀπὸ τοῦ θερμοῦ, τῷ δὲ θερμῷ, ἀπὸ τοῦ ψυχροῦ. ὅταν δὲ ἀποκριθείη χωρὶς ἑκάτερον, τότε λυπέει. ἐν δὲ δὴ τουτέῳ τῷ καιρῷ, ὅταν τὸ ψυχρὸν ἐπέλθηται, καὶ λυπήσῃ τὸν ἄνθρωπον, διὰ τάχεος, πρῶτον δι' αὐτὸ τοῦτο πάρεστι τὸ θερμὸν αὐτόθεν ἐκ τοῦ ἀνθρώπου, οὐδεμιῆς βοηθείης, οὐδὲ παρασκευῆς δεόμενον. καὶ ταῦτα καὶ ἐν ὑγιαίνουσι τοῖσιν ἀνθρώποισιν ἀπεργάζεται, καὶ ἐν κάμνουσιν. τοῦτο μὲν, εἴ τις θέλει ὑγιαίνων χειμῶνος διαψύξαι τὸ σῶμα, ἢ λουσάμενος ψυχρῷ, ἢ ἄλλῳ τῷ τρόπῳ, ὅσῳ ἂν αὐτὸ ἐπὶ πλέον ποιήσῃ. καὶ ἤν γε μὴ παντάπασι παγῇ τὸ σῶμα, ὅταν εἵματα λάβῃ καὶ ἔλθῃ ἐς τὴν σκέπην, μᾶλλον καὶ ἐπὶ πλέον θερμαίνεται τὸ σῶμα. τοῦτο δὲ, εἰ ἐ-

aut salsum, aut acidum, aut alio quodam modo intemperatum & vehemens, ideoque perturbationem in corpore efficiunt, non secus ac ea, quæ ex corpore excernuntur. At edulia, quæ homo nunc edit aut bibit, ea huius intemperati & præstantis succi minimam partem habere constat, panem dico & mazam, atque his finitima, quibus homines copiosè & semper vti consueuere, præter ea, quæ ad voluptatem & satietatem condiuntur, & apparantur. Ex quib. quamuis magnâ copiâ ingerantur, turbatio & facultatum corporis secretio minimè contingit, sed robur, incrementum, & alimentum, idque nullam aliam ob causam, quàm quòd probè contemperata, nihil habent intemperati neque vehementis, sed omnia vnum fiunt, & simplex, & validum. Neque verò mihi satis compertum est, qui hac oratione vtuntur, & artem Medicam ab ista via ad materiam propositam abducunt, quonam tandem modo homines ex materia proposita curaturi sint. Neque enim (opinor) ipsis est inuentum quidnam sit per se calidum, aut frigidum, aut siccum, aut humidum, ac nullius alterius particeps. Verùm vt sentio, iidem apud illos potus & cibi existunt, & ij quibus omnes vtimur, sed huic calidi, illi frigidi, huic sicci, illi humidi nomen apponunt. Quandoquidem illud dubitationem habet, si Medicus vt aliquid calidum ægro offeratur imperet, cùm si protinus quæratur quodnam illud sit, vel nugari cogatur, vel ad horum aliquid confugere. Quòd si fit calidum quoddam acerbum, aliud verò calidum insipidum, aliud quoque calidum turbulentam in corpore motionem excitans (sunt enim & alia calida, quæ contrarias inter se facultates habent) quodnam eorum offerri debeat, anne calidum & acerbum, vel calidum & insipidum, an frigidum simul & acerbum (tale nanque quoddam est) an frigidum & insipidum? Nanque equidem noui planè contrarium in eorum quoque euenire, neque in homine solùm, verumetiam in corio & ligno cæterisque plærisque homine longè hebetiorem sensum habentibus. Neque enim calidum est, quod magnam vim habet, verùm acerbum & insipidum, cæteraque de quibus dixi, tum in homine, tum extra hominem, in iis, quæ eduntur aut bibuntur, vel foris illinuntur, vel quacunque forma corpori admouentur. Frigidum quidem & calidum inter omnes facultates, minimũ in corpore posse has ob causas existimo. Quandiu enim calidum & frigidum inter se permixta fuerint, molestia neutiquam afficiunt. Contemperationem enim & commoderationem habet frigidum à calido, & calidum à frigido. At vbi alterum ab altero seiunctum fuerit, tunc offendit. Quo itaque tempore frigus innascitur & hominem affligit, primùm ex eo ipso calidum indidem ex homine præstò est, sine vllo præsidio atque apparatu, idque tum in sanis, tum in ægrotantibus efficit. Quòd si quis sanus hyeme siue lotione frigida, siue quouis alio modo corpus refrigerare volet, quò plus id fecerit, si planè corpus non congelarit, is vbi vestimenta sumpserit, & sub tectum se receperit, eò magis & vehementiùs corpore incalescet. At verò si multùm cale-

fieri, vel balneo calido, vel copioso igne cupiat, moxque cum eadem veste, eodem loco quo quis perfrigeratus fuerat, commorari, is multò frigidior, atq; aliàs magis inhorrescere conspicietur. Aut qui in magno æstu ventulo per flabellum excitato, hoc modo sibi frigus conciliare parat, is decuplo maiorem ardorem & æstum sentiet, quàm qui horum nihil fecerit. Atque istis sanè sunt multò maiora, quæ qui per niues, aut alia frigora itinere facto, supra modum pedibus, vel manibus, vel capite perfrigerati, noctu patiuntur, cùm vestibus contecti, & loco calido se continentes, pruritu & ardore diuexantur, quibusdam etiam pustulæ velut igne ambustis attolluntur, neque id iis sine caloris sensu accidit. Tam facilè eorum alteri alterum succedit. Quibus & sexcenta alia adiicere possem, verùm quæ circa ægrotos accidunt, spectemus. An non quibus rigor exoritur, iis acutissima febris instar flammæ emicat? Et quæ non adeò vehementer affligit, sed intra breue tempus quiescit, & alioqui ferè innoxia, quæque quandiu adfuerit, calore totum corpus peruadit, ea maximè in pedes desinit, in quibus rigor & frigus vehementissimum diutissimè perdurarunt. Rursus vbi sudor eruperit, & febris decesserit, multò vehemētiùs perfrigescit, quàm si per initia non prehendisset. Ab eóne igitur, quid magnum aut graue expectes, aut cuiusnam magni præsidij indigeat, cui contrarium tam citò succedit, quod eius vires sponte aufert? At obiiciat aliquis febre ardente, aut pulmonum inflammatione, vel aliis vehementibus morbis detentos, qui neque calore citò liberantur, neque frigori calor succedit. Istud verò mihi magno argumento esse videtur, quòd neque calidum simpliciter febricitantium, neque ipsum solum affectionis causa sit, sed est & amarum & calidum idem, & calidum & acutum, & salsum & calidum, aliáque innumera, ac rursus frigidum aliis facultatibus coniunctum. Hæc sunt igitur, à quibus noxa prouenit, sed & calidum adiunctum est, robur ac veluti principatum habens, quod incitat, & vnà cum eo, cui coniunctum est, auget, nullam tamen peculiarem vim, quàm conueniat, maiorem obtinet. Atque ista ad hunc modum se habent. Ad hæc verò accedunt indicia imprimis quidem manifestissima, quorum iampridem omnes sæpiùs vsum accepimus, & in dies periclitationem percipimus. Siquidem vbi nobis grauedo exoritur, & ex naribus humor effluit, qui priore, & eo, qui quotidie per nares fertur, cùm longè sit acrior, nasum non modò in tumorem attollit, & calentem summoque feruentem exurit. Quòd si longiore tempore perseuerauerit, & manum admoueas, etiam locus exulceratur minimè carnosus & durus. At verò narium ardor tū sedatur, nō cùm fluxio fit, & inflāmatio adest, sed cùm humor crassior, & minùs acris extiterit, ac cōcoctus, eiq; qui priùs aderat, magis permixtus. Quibusdam verò ex sola frigiditate, & nullius alterius accessione, hic affectus planè excitatur. Qui omnes liberātur, si ex frigore quidē percalescant, ex ardore verò perfrigescant,

θέλοι [38] ἐκθερμανθῆναι ταχέως, ἢ λουτρῷ θερμῷ, ἢ πολλῷ πυρί. ἐκ δὲ τουτέου, τὸ ωὐτὸ εἷμα ἔχων ἐν τῷ αὐτέῳ χωρίῳ τὴν διατριβὴν ποιέεσθαι· ὥσπερ ὁ διεψυγμένος πολὺ φανεῖται καὶ ψυχρότερος, καὶ ἄλλως φρικαλεώτερος, ἢ ῥιπιζόμενός τις ὑπὸ πνίγεος καὶ παρασκευάζων αὐτὸς ἑωυτῷ ψῦχος [39] ἐκ τουτέου τοῦ τρόπου διαπαύσηται. παρὰ τοῦτο ποιέοντι δεκαπλάσιον πάρεστι τὸ καῦμα καὶ τὸ πνῖγος, ἢ τῷ μηδὲν τουτέων ποιέοντι. τὰ δὲ δὴ καὶ πουλὺ μείζω, ὅσοι ἂν διὰ χιόνος ἢ ἄλλης ψύξιος βαδίσαντες, ῥιγώσωσι διαφερόντως πόδας, ἢ χεῖρας, ἢ κεφαλήν, [40] οἷα πάσχουσιν ἐς τὴν νύκτα, ὅταν περισταλέωσί τε καὶ ἐν ἀλέῃ γένωνται ὑπὸ καύματος καὶ κνησμοῦ, καὶ ἔστιν οἷσι φλυκταῖναι ἀνίστανται ὡς ἀπὸ πυρὸς κατακεκαυμένοισι. καὶ οὐ πρότερον τοῦτο πάσχουσιν, πρὶν ἢ θερμανθῶσιν. οὕτως ἑτοίμως ἑκάτερον αὐτέων ἐπὶ θάτερον παραγίνεται. μυρία δ᾽ ἂν καὶ ἕτερα ἔχοιμι εἰπεῖν. τὰ δὲ κατὰ τοὺς νοσέοντας, οὐχ οἷσιν ἂν ῥῖγος γένηται, τουτέοισιν ὀξύτατος [41] ὁ πυρετὸς ἐκλάμπει. καὶ οὐχ οὕτως ἰσχυρῶς, ἀλλὰ καὶ παυόμενος δι᾽ ὀλίγου, καὶ ἄλλως τὰ πολλὰ ἀσινής, καὶ ὅσον ἂν χρόνον παρῇ διάθερμος, καὶ διεξιὼν διὰ παντὸς τελευτᾷ ὡν ἐς τοὺς πόδας μάλιστα, [42] οὗπερ τὸ ῥῖγος καὶ ἡ ψύξις νεηνικωτάτη, καὶ ἐπὶ πλέον ἐχρόνισε. πάλιν δὲ ὅταν ἱδρώσῃ καὶ ἀπαλλαγῇ ὁ πυρετός, πολὺ μᾶλλον ἔψυξεν, ἢ εἰ μὴ ἔλαβε τὴν ἀρχήν. ὧ οὖν διὰ ταχέος οὕτω παραγίνεται τὸ ἐναντιώτατόν τε καὶ ἀφελόμενον τὴν δύναμιν ἀπὸ ταὐτομάτου, τί ἂν ἀπὸ τουτέου μέγα ἢ δεινὸν γένοιτο; ἢ τίνος δεῖ πολλῆς ἐπὶ τουτέῳ βοηθείας; εἴποιεν ἄν τις. [43] ἀλλ᾽ οἱ πυρεταίνοντες τοῖσι καύσοισί τε καὶ περιπλευμονίῃσι, καὶ ἄλλοισιν ἰσχυροῖσι νουσήμασιν, οὐ ταχέως ἐκ τῆς θέρμης ἀπαλλάσσονται. οὐδὲ πάρεστιν ἐνταῦθα τὸ θερμὸν ἐπὶ τὸ ψυχρόν. ἐγὼ δὲ τοῦτό μοι μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, [44] ὅτι οὐ διὰ τὸ θερμὸν ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, οὐδὲ τοῦτο εἴη τὸ αἴτιον τῆς κακώσιος μοῦνον· ἀλλ᾽ ἔστι καὶ πικρὸν, καὶ θερμὸν τὸ αὐτό· καὶ θερμὸν καὶ ὀξύ· καὶ ἁλμυρὸν καὶ θερμόν· καὶ ἄλλα μυρία· καὶ πάλιν γε ψυχρὸν μετὰ δυναμίων ἑτέρων. τὰ μὲν οὖν λυμαινόμενα, ταῦτά ἐστι. συμπάρεστι δὲ καὶ τὸ θερμὸν, ῥώμης μετέχον. ὡς ἂν τὸ ἡγεύμενον, καὶ παροξυνόμενον, καὶ αὐξανόμενον ἅμα κείνῳ. δύναμιν δὲ οὐδεμίαν πλείω τῆς προσηκούσης δηλαδή. ταῦτ᾽ ὧδε ἔχει. ἐπὶ τῶνδε τῶν σημείων, πρῶτον μέν ἐστι φανερώτατα, ὧν πάντες ἔμπειροι πολλάκις ἤδη ἐσμέν τε καὶ γενόμεθα. τοῦτο μὲν ὅσοισιν ἂν ἡμέων κόρυζα ἐγγένηται, καὶ ῥεῦμα κινηθῇ διὰ τῶν ῥινέων, τοῦτο ὡς πολὺ δριμύτερον τοῦ πρότερον γινομένου τε καὶ ἰόντος, ἐκ τῶν ῥινέων καθ᾽ ἑκάστην ἡμέρην, καὶ οἰδέειν μὲν ποιέει τὴν ῥῖνα, καὶ συγκαίει θερμήν τε καὶ διάπυρον ἐσχάτως. [45] ἢν δὲ τὴν χεῖρα προσφέρῃς, καὶ πλείω χρόνον παρῇ, καὶ ἐξελκοῦται τὸ χωρίον, ἄσαρκόν τε καὶ σκληρὸν ἐόν. παύεται δέ πως τό γε καῦμα ἐκ τῆς ῥινὸς, οὐχ ὅταν τὸ ῥεῦμα γίνηται, καὶ ἡ φλεγμονὴ ᾖ· ἀλλ᾽ ἐπειδὰν παχύτερόν τε καὶ ἧσσον δριμὺ, πέπον τε καὶ μεμιγμένον μᾶλλον, τῷ πρότερον γινομένῳ, τότ᾽ ἤδη καὶ τὸ καῦμα πέπαυται. ἄλλοισι δὲ ὑπὸ ψύχεος, φανερῶς αὐτοῦ μόνου γίνεται, μηδενὸς ἄλλου ξυμπαραγενομένου. πᾶσιν δὲ αὕτη ἡ ἀπαλλαγὴ, ἐκ μὲν τῆς ψύξιος διαθερμανθῆναι· ἐκ δὲ τοῦ καύματος, διαψυχθῆναι.

καὶ ταῦτα

καὶ ταῦτα ταχέως παύεται· καὶ πέψιος οὐδεμιῆς προσδεῖται. τὰ δ' ἄλλα πάντα ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας φημὶ ἔγωγε γίνεσθαι, τὸν αὐτὸν τρόπον ἀποκαθίστανται κρηθέντα, καὶ πεφθέντα. ὅσα τ' αὖ ἐπὶ τοὺς ὀφθαλμοὺς τρέπεται τῶν ῥευμάτων, ὡς ἰσχυρὰς καὶ παντοίας δριμύτητας ἔχοντα ἑλκοῖ μὲν βλέφαρα, καταβιβρώσκει δὲ ἐνίων γνάθους τε καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖς, ἐφ' ὅ,τι ἂν ἐπιῤῥυῇ, ῥήγνυσί τε καὶ διεσθίει [46] τὸν ἀμφὶ τὴν ὄψιν χιτῶνα. ὀδύναι δὲ καὶ καῦμα καὶ φλεγμὸς ἔσχατος κατέχει μέχρι τινός, μέχρις ἂν τὰ ῥεύματα πεφθῇ, καὶ γένηται παχύτερα, καὶ λήμη ἀπ' αὐτέων εἴη. τὸ δὲ πεφθῆναι, γίνεται ἐκ τοῦ μιχθῆναι, κρηθῆναί τε ἀλλήλοισι, καὶ συνεψηθῆναι. τοῦτο δὲ ὅσα ἐς τὴν φάρυγγα, ἀφ' ὧν βράγχοι γίνονται, κυνάγχαι, ἐρυσιπέλατα, περιπλευμονίαι· πάντα ταῦτα τὸ μὲν πρῶτον ἁλμυρά τε καὶ ὑγρὰ, καὶ δριμέα ἀφίει· καὶ ἐν τοῖσι τοιούτοισιν, ἔρρωται τὰ νοσήματα. ὅταν δὲ παχύτερα καὶ πεπαίτερα γένηται, καὶ πάσης δριμύτητος ἀπηλλαγμένα, τότε ἤδη καὶ οἱ πυρετοὶ λύονται, καὶ τἆλλα τὰ λυπέοντα τὸν ἄνθρωπον. δεῖ δὲ δή που ταῦτα αἴτια ἑκάστου ἡγεῖσθαι ὧν παρεόντων μὲν, τοιοῦτον τρόπον ἀνάγκη γίνεσθαι· μεταβαλλόντων δὲ ἐς ἄλλην κρῆσιν, παύεσθαι. ὁκόταν οὖν ἀπὸ αὐτέης τῆς θέρμης εἰλικρινέος ἢ ψύξιος γίνηται, καὶ μὴ μετέχῃ ἄλλης δυνάμιος μηδεμιῆς, οὕτω παύοιτ' ἂν, ὅταν μεταβάλλῃ ἐκ τοῦ ψυχροῦ ἐς τὸ θερμὸν καὶ ἐκ τοῦ θερμοῦ ἐς τὸ ψυχρόν. μεταβάλλει δὲ ὅνπερ μοι προείρηται τρόπον. ἔτι τοίνυν τἆλλα ὅσα κακοπαθεῖ ἄνθρωπος, πάντα ἀπὸ δυναμίων γίνεται. τοῦτο μὲν, [47] ὅταν πικρότης τις ἀποχυθῇ, ἣν δὴ χολὴν ξανθὴν καλέομεν, οἷαι ἆσαι, καὶ καῦμα, καὶ ἀδυναμίαι κατέχουσιν· ἀπαλλασσόμενοί τε τούτων ἐνίοτε, καὶ καθαιρόμενοι, ἢ αὐτόματοι, ἢ ὑπὸ φαρμάκου, ἢν ἐν καιρῷ τι αὐτέων γένηται, φανερῶς καὶ τῶν πόνων καὶ τῆς θέρμης ἀπαλλάσσονται. ὅσον δ' αὖ χρόνον ταῦτα μετέωρα ᾖ καὶ ἄπεπτα καὶ ἄκρητα, μηχανὴ οὐδεμίη, οὔτε τῶν πόνων παύσασθαι, οὔτε τῶν πυρετῶν. [48] καὶ οἷσι μὲν ὀξύτητες προσίστανται δριμεῖαί τε καὶ ἰώδεες, οἷαι λύσσαι, καὶ δήξιες σπλάγχνων καὶ θώρηκος καὶ ἀπορίη· οὐ παύεται τούτων πρότερον πρὶν ἀποκαθαρθῇ τε καὶ καταστορεσθῇ, καὶ μιχθῇ τοῖσιν ἄλλοισι. πέσσεσθαι δὲ, καὶ μεταβάλλειν, καὶ λεπτύνεσθαι καὶ παχύνεσθαι ἐς χυμῶν εἶδος, διὰ πολλῶν εἰδέων καὶ παντοίων. διὸ καὶ αἱ κρίσιες καὶ οἱ ἀριθμοὶ τῶν χρόνων, ἐν τοῖσι τοιούτοισι μέγα δύνανται. πάντων δὴ τούτων, ἥκιστα προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν. οὔτε γὰρ ἂν τοῦτό γε σαπῇ, οὔτε παχυνθῇ. τί δ' αὖ αὐτὸ φαίημεν εἶναι; [49] κρῆσις τε αὐτέων, πλείω πρὸς ἄλληλα ἔχουσα δύναμιν. ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν παύεται τῆς θέρμης, ἢ τῷ ψυχρῷ· οὐδέ γε πάλιν τὸ ψυχρὸν, ἢ τῷ θερμῷ. [50] τὰ δ' ἄλλα περὶ τὸν ἄνθρωπον, ὅσῳ ἂν πλέοσι μίσγηται, τοσούτῳ ἠπιώτερα καὶ βελτίονα. πάντων δὲ ἄριστα διάκειται ὥνθρωπος, ὅταν πέσσηται καὶ ἐν ἡσυχίῃ ᾖ, μηδεμίην δύναμιν ἰδίην ἀποδεικνύμενος. περὶ μὲν οὖν τούτων, ἱκανῶς μοι ἡγεῦμαι ἐπιδεδεῖχθαι. λέγουσι δέ τινες καὶ ἰητροὶ, καὶ σοφισταὶ, ὡς οὐκ ἔνι δυνατὸν ἰητρικὴν εἰδέναι, ὅστις μὴ οἶδεν ὅ,τι ἐστὶν ἄνθρωπος· καὶ ὅπως ἐγένετο πρῶτον, καὶ ὅπως συνεπάγη.

quæ celeriter contingunt, & nullius concoctionis indigent. Reliqua autem omnia, quæ ex humorum acrimonia & incommoderatione oriri assero, eodē modo sedantur, commoderata & concocta. At fluxiones in oculos irruentes ex vehementi & cuiusuis humorum acrimonia, palpebras quidem exulcerant, & quibusdam genas, subiectasq; oculis partes, ad quas confluxerint, erodunt, tunicam etiam pupillam ambientem rumpunt & exedunt. Dolor autem & ardor summaq; inflammatio tandiu detinet, dum fluxio cōcocta fuerit, & crassior euaserit, lemæq; ab iis redditæ fuerint. Concoquitur verò vbi mutua fuerit permixtio, contemperatio & cum aliis coctio. Quinetiā quæ in fauces feruntur, ex quibus raucedines oriuntur, anginæ, erysipelata, & pulmonū inflammationes, hæc omnia primùm quidem salsa, humida & acria demittunt, & in his morbi cōfirmantur. At verò vbi crassiora & magis cocta fuerint, omnemq; acrimoniā deposuerint, tum iam & febres, & quæ molestia afficiebant, desinunt. Eas verò rei cuiusq; causas existimare oportet, quæ quidē cùm adsunt, hoc modo prouenire necesse est, & quibus in aliud temperamētum cōmutatis, cessare. Quando igitur ab ipsa pauca caliditate & frigiditate, nulliusq; alterius facultatis participe, hæc contigerint, hac ratione cessabunt, si ex frigido in calidum, & ex calido in frigidum cōmutata fuerint. Commutantur verò ad eum, quem dixi modum. Præter hæc quæcunq; hominem malè afficiunt, ea omnia ex facultatibus oriuntur. Veluti quidem, si amarus humor aliquis, quem bilem flauam nuncupare solemus, effusus fuerit, quænam anxietates, æstus & impotentiæ detinent? Quib. interdum liberati vel spontanea purgatione, vel medicamento, si quid horum tempestiuè contingat, doloribus planè & calore defunguntur. At quandiu ista sublata, incocta & minimè cōtemperata fuerint, nulla arte neq; dolores neq; febres finientur. Et quibus quidem acuti, acres & æruginosi humores instant, quinam furores, & viscerum ac thoracis lancinationes, animique abiectio inde oriuntur? Neque priùs hæc quiescunt, quàm emaciati, deiecti, & aliis permixti fuerint. Multis autem variisq; modis concoqui, permutari, tenuari, & in humorum naturam crassescere possunt. Ideoq; in istis, & indicationes, & temporum numeri, magnum pondus habere mihi videntur. At nihil istorum sine calido aut frigido cōtingere solet, cùm neque putrescere, neque incrassari possit. Quid verò hoc ipsum esse dicemus? Nempe eorum contemperationem esse, verùm ea cùm mutuò inter se fiat, tum vim habere. Quandoquidem calidum nullius alterius permixtione, quàm frigidi calidum esse desinet, neque contrà frigidum, quàm calidi. At reliqua omnia, quæ in homine insunt, quò pluribus permiscentur, eò mitiora & meliora euadūt. Isque tum demùm optimè affectus est, vbi concoquit, & quietem agit, nihilque in eo existit, quod propria facultate præpolleat. Ac de his quidem abunde mihi dixisse videor. At verò Medici quidam & sophistæ fieri non posse dicunt, vt quis artem Medicam cognoscat, nisi idem nouerit quid sit homo, & quænam eius prima generatio & compositio.

Equidē quæ ab his de natura vel dicta vel scripta sunt, non tam ad artem Medicam, quàm ad pictoriam spectare existimo. At manifestam naturæ cognitionem non aliunde quā ex arte Medica haberi censeo, quam is facilè percipiet, qui vniuersam artē Medicam probè complexus fuerit. Quò quidem plæriq; mihi peruenisse vidētur, & istorum notitiam habuisse, vt quid sit homo, quænam eius ortus causæ, reliquáque certè cognoscerent. Quandoquidem naturæ cognitio mihi Medico esse necessaria videtur, isque omni studio contendere debet (si modò quid rectè præstare volet) vt intelligat, quonam modo quis ad ea, quæ comedū tur & bibuntur se habeat, & quidnam cuiq; ex singulis eueniat, neq; simpliciter tantùm existimet caseum malum esse edulium, quòd qui se eo ingurgitat, dolorem sentiat, sed noscat quemnam dolorem, & quasnam ob causas inferat, & cuinam eius vsus minimè sit accommodatus. Cùm enim alij plæriq; sint, tum cibi, tum potus, natura praui, nō tamen eodem modo hominem afficiunt. Quod ita se habere hac oratione veluti exemplo confirmo. Vinum merum copiosius epotum hominem quadam imbecillitate afficit, idque qui vident, omnes nouerunt eas esse vini vires, & in ipsum noxiam referunt, sed & quasnam hominis partes præcipuè afficiat, nouimus. Quod & in reliquis ita planè constat. Caseus siquidem (quoniam hoc in medium protulimus) non omnibus est noxius; sed sunt nonnulli, qui vbi eo se expleuerint, ne tantillum quidem offenduntur, quinetiam gracilibus mirū in modum conferre perhibetur, quidam etiam nō nisi cum molestia degunt. Horum autem naturæ hac ratione inter se differunt. Quod in corpore caseo est inimicum, ab eo excitatur & commouetur, in quibus eiusmodi humor plurimus in corpore redundat, quóque maiorem dominatum in corpore habuerit, eò grauiùs affici æquum est. Quòd si vniuersæ hominū naturæ infestus esset, omnibus vtique noceret. Quæ si quis nouerit, nullo modo ab eis offendatur. In iis verò, qui ex morbis conualescunt, ac præterea longis morbis conflictantur, multi velut instructa acie conflictus fiunt, partim sponte, partim ex iis, quæ sine delectu offeruntur. Plærosq; autem Medicos noui, qui non secus ac idiotæ, si quid forte eadem die innouassent, lauando videlicet, aut deambulādo, vel alienum aliquem cibum edendo, quæ omnia etsi adhibuisse quàm omisisse præstiterat, nihilominus tamen in eorum aliquod causam reiecerūt, cùm quidem causam nō agnoscerēt, & id fortasse quod fortè maximè erat commodum prorsus extinguerent. Quod certe minimè facere conuenit, sed nouisse oportet quid balnei vsus intempestiui efficiat, quid item defatigatio. Neq; enim ista eodem modo malè afficiūt, neq; quicquā aliud, vt neq; repletio, neq; hic vel ille cibus. Qui igitur hæc singula quemadmodū se ad hominem habeant, ignorat, is neq;, quæ ab iis proueniunt, cognoscet, neq; iis rectè vti poterit. At verò mihi etiam cognoscendæ affectiones videntur, quæ homini tum à facultatibus, tū à figuris proueniunt. Facultatem quidem intelligo, extremas humorum qualitates & vires nosse; figuras verò, ea quæ in homine insunt. Quædā enim caua sunt, & ex latitudine in angustum coacta,

"ἐγὼ δὲ τουτέων μὲν ὅσα τινὶ εἴρηται σοφιστῇ, ἢ ἰητρῷ, ἢ γέγραπται περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν, ἢ τῇ γραφικῇ. νομίζω δὲ ὅτι περὶ φύσιος γνῶναί τι σαφὲς, οὐδαμόθεν ἄλλοθεν ἐστὶν, ἢ ἐξ ἰητρικῆς. τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτὴν τις τὴν ἰητρικὴν, ὀρθῶς πᾶσαν περιλάβῃ. μέχρι δὲ τουτέου πολλοῦ μοι δοκεῖ δεῖν. λέγω δὲ τὴν ἱστορίην ταύτην εἰδέναι, ἄνθρωπος τί ἐστι, καὶ δι' οἵας αἰτίας γίνεται, καὶ τἄλλα ἀκριβέως. ἐπεί τοι γέ μοι δοκεῖ ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ, περὶ φύσιος εἰδέναι, καὶ πάνυ σπουδάσαι ὡς 10 εἴσεται, εἴπερ τι μέλλει τῶν δεόντων ποιήσειν ὅ, τί ἐστιν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενα καὶ πινόμενα. καὶ ὅ, τι ἀφ' ἑκάστου ἑκάστῳ συμβήσεται. καὶ μὴ ἁπλῶς οὕτω δοκεῖν, ὅτι πονηρὸν βρῶμα τυρός. πόνον γὰρ φέρει τῷ πληρωθέντι αὐτοῦ· ἀλλὰ τίνα τε πόνον, καὶ διὰ τί, καὶ τίνι τῶν ἀνθρώπων ἐνεόντων ἀνεπιτήδειον. ἔστι γὰρ καὶ ἄλλα πολλὰ βρώματα καὶ πόματα φύσει πονηρὰ, καὶ διατίθησι τὸν ἄνθρωπον, οὐ τὸν αὐτὸν τρόπον. οὕτως οὖν μοι ἔστω ὁ λόγος, οἷον οἶνος ἄκρητος πουλὺς ποθεὶς, διατίθησί πως τὸν ἄνθρωπον, ἀσθενέα. καὶ ἅπαντες ἂν ἰδόντες, τοῦτο γνοίησαν, ὅτι αὕτη ἡ δύναμις οἴνου, καὶ αὐτὸς ἐστιν αἴτιος. καὶ οἷσί γε τῶν 20 ἐν τῷ ἀνθρώπῳ τοῦτο μάλιστά γε δύναται, οἴδαμεν. τοιαύτην δὴ βούλομαι ἀληθείην καὶ περὶ τῶν ἄλλων φανῆναι. τυρὸς γὰρ, ἐπειδὴ τουτέῳ σημείῳ ἐχρησάμην, οὐ πάντας ἀνθρώπους λυμαίνεται· ἀλλ' εἰσὶν οἵτινες αὐτοῦ πληρεύμενοι, οὐδ' ὁτιοῦν βλάπτονται· ἀλλὰ καὶ τοῖς ἰσχύουσιν ἂν ξυμφέρειν θαυμασίως παρέχεται. εἰσὶ δὲ οἳ χαλεπῶς ἀπαλλάσσουσι. διαφέρουσι δὲ τουτέων αἱ φύσιες. διαφέρουσι δὲ κατὰ τοῦτο, ὅπερ ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ, ὑπὸ τοιουτέου ἐγείρεταί τε καὶ κινέεται. οἷσιν ὁ τοιοῦτος χυμὸς τυγχάνει πλέον ἐνεὼν, καὶ μᾶλλον ἐνδυναστεύων ἐν τῷ σώματι, 30 τουτέους μᾶλλον καὶ κακοπαθέειν εἰκός. εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει ἦν κακὸν, πάντας ἂν ἐλυμαίνετο. ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν πάσχοι. τὰ δ' ἐν τῇσιν ἀνακομιδῇσι, τῇσιν ἐκ τῶν νούσων, ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι γίνονται " πολλαὶ συνταράξιες. αἱ μὲν, ἀπὸ ταὐτομάτου αἱ δὲ, καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων. οἶδα δὲ τοὺς ἰητροὺς τοὺς πολλοὺς, ὡς τοὺς ἰδιώτας, ἢν τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες, ὡς λουσάμενοι, ἢ περιπατήσαντες, ἢ φαγόντες τι ἑτεροῖον, ταῦτα δὲ πάντα βελτίω, προσενηνεγμένα ἢ μὴ, οὐδενὸς ἧσσον τὴν αἰτίην 40 τουτέων τινὶ ἀνατιθέντας· τὸ μὲν αἴτιον ἀγνοεῦντας, τὸ δὲ συμφορώτατον, ἢν οὕτως τύχωσιν, ἀφανίσαντες. δεῖ δὲ οὔ, ἀλλ' εἰδέναι τί λουτρὸν ἀκαίρως προσγινόμενον ἐργάσεται, καὶ τί κόπος. οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπάθεια τουτέων, οὐδ' ἑτέρου, οὐδέ γε ἀπὸ πληρώσιος, οὐδέ γε ἀπὸ βρώματος, τοίου ἢ τοίου. ὅστις οὖν ταῦτα μὴ εἴσεται, ὡς ἕκαστα ἔχει πρὸς τὸν ἄνθρωπον, οὔτε γινώσκειν τὰ γινόμενα ἀπ' αὐτέων δυνήσεται, οὔτε χρέεσθαι ὀρθῶς. δεῖν δέ μοι δοκεῖ καὶ ταῦτ' εἰδέναι, ὅσα τῷ ἀνθρώπῳ παθήματα ἀπὸ δυναμίων ἔρχεται, καὶ ὅσα ἀπὸ σχημάτων. λέγω δὴ τί τοῦτο· δύνα- 50 μιν μὲν εἶναι, τῶν χυμῶν εἰδέναι, τὰς ἀκρότητάς τε καὶ ἰσχύς. σχήματα δὲ λέγω, ὅσα ἔνεστιν ἐν τῷ ἀνθρώπῳ. τὰ μὲν γὰρ, κοῖλά τε καὶ ἐξ εὐρέος εἰς στενόν ἐστι συνηγμένα· τὰ δὲ,

τὰ δὲ, καὶ ἐκπεπταμένα· τὰ δὲ, στερεά τε καὶ στρογγύλα· τὰ δὲ, πλατέα καὶ ἐπικρεμάμενα· τὰ δὲ, διατεταμένα· τὰ δὲ, μακρά· τὰ δὲ, πυκνά· τὰ δὲ, μανά τε [13] καὶ τεθηλότα· τὰ δὲ, σπογγοειδέα, καὶ ἀραιά. τοῦτο μὲν ἑλκύσαι ἐφ᾽ ἑωυτὸ, καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ ἄλλου σώματος, πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα, ἢ τὰ στερεά τε καὶ στρογγύλα, ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν ἐξ εὐρέος συνηγμένα, δύναιτ᾽ ἂν μάλιστα. οἶμαι μέντοι τὰ τοιαῦτα εἰς στενὸν συνηγμένα ἐκ κοίλου τε καὶ εὐρέος. καταμανθάνειν δὲ δεῖ αὐτὰ ἔξωθεν ἐκ τῶν φανερῶν. τοῦτο μὲν γὰρ, τῷ στόματι κεχηνὼς, ὑγρὸν οὐδὲν ἀνασπάσαις. [14] προμυλλήνας δὲ καὶ συστείλας, πιέσας τε τὰ χείλεα. ἔτι τε αὐλὸν προσθέμενος, ῥηϊδίως ἀνασπάσαις ἂν, ὅτι θέλεις. τοῦτο δὲ, αἱ σικύαι προσβαλλόμεναι ἐξ εὐρέος εἰς στενώτερον ἐστενωμέναι, πρὸς τοῦτο τετεχνέαται, πρὸς τὸ ἕλκειν ἀπὸ τῆς σαρκὸς, καὶ ἐπισπᾶσθαι, ἄλλά τε πολλὰ τοιουτότροπα. τῶν δ᾽ ἔσω τοῦ ἀνθρώπου, φύσις καὶ σχῆμα τοιοῦτον κύστις τε καὶ κεφαλὴ, καὶ ὑστέρα γυναιξί. καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει. καὶ πλήρεά ἐστιν [15] ἐπακτοῦ ὑγρότητος αἰεί. τὰ δὲ κοῖλα καὶ ἐκπεπταμένα, ἐπιρρυεῖσαν μὲν ἂν ὑγρότητα μάλιστα δέξαιτο πάντων. ἐπισπάσαιτο δ᾽ ἂν, οὐχ ὁμοίως. τὰ δέ γε στερεὰ καὶ στρογγύλα, οὔτ᾽ ἂν ἐπισπάσαιτο, οὔτ᾽ ἂν ἐπιρρυεῖσαν ἐδέξατο. περιολισθάνοι τε γὰρ ἂν, καὶ οὐκ ἔχοι ἕδρην, ἐφ᾽ ἧς μένοι. τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιὰ, οἷον σπλὴν, πνεύμων, καὶ μαζοὶ, προσκαθεζόμενα μάλιστα ἀναπίοι, καὶ σκληρυνθείη καὶ αὐξηθείη ὑγρότητος προσγενομένης [16] ταῦτα μάλιστα. οὐ γὰρ ἂν ὥσπερ ἐν κοιλίῃ ἐνῇ τὸ ὑγρὸν, ἔξω τε περιέχει [17] αὐτὴν ἡ κοιλίη τὸ ὑγρὸν, καὶ ἐξαγγίζοιτ᾽ ἂν καθ᾽ ἑκάστην ἡμέρην. ἀλλ᾽ ὅταν πίῃ καὶ δέξηται αὐτὸ ἐς ἑωυτὸ τὸ ὑγρὸν, τὰ κενὰ καὶ ἀραιὰ, καὶ τὰ σμικρὰ πάντα. καὶ ἀντὶ ἀραιοῦ τε καὶ μαλθακοῦ, σκληρός τε καὶ πυκνὸς ἐγένετο. καὶ οὔτ᾽ ἐκπέσσει, οὔτ᾽ ἀφίησι. ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος. ὅσα δὲ φῦσάν τε καὶ [18] εἰλήματα ἐνεργάζονται ἐν τῷ σώματι, προσήκει ἐν μὲν τοῖσι κοίλοισί τε καὶ εὐρυχωρήεσσιν, οἷον κοιλίῃ τε καὶ θώρηκι, ψόφον τε καὶ πάταγον ἐμποιέειν. ὅτι γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως ὥστε στῆναι, ἀλλ᾽ ἔχῃ μεταβολάς τε καὶ κινήσιας, ἀνάγκη ὑπ᾽ αὐτέων καὶ ψόφον καὶ καταφανέας κινήσιας γίνεσθαι. ὅσα δὲ σαρκώδεά τε καὶ μαλθακὰ, ἐν τοῖσι τοιούτοισι [19] ναρκαί τε καὶ πληρώματα, οἷα ἐν τοῖσιν ἀποσφαγεῖσι γίνεται. ὅταν δ᾽ ἐγκύρσῃ πλατεῖ τε καὶ ἀντικειμένῳ, καί τι πρὸς αὐτὸ ἀντιπέσῃ, καὶ φύσει τοῦτο τύχῃ, μήτε ἰσχυρὸν ἐὸν, ὥστε δύνασθαι ἀντέχεσθαι τῆς βίης, καὶ μηδὲν κακὸν παθεῖν. μήτε μαλθακόν τε καὶ ἀραιὸν, ὥστ᾽ ἐκδέξασθαί τε καὶ ὑπεῖξαι, ἁπαλόν τε καὶ τεθηλὸς, καὶ ἔναιμον καὶ πυκνὸν οἷον ἧπαρ, διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα, ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει. φῦσα δὲ ὑποδεχομένη, αὔξεταί τε καὶ ἰσχυροτέρη γίνεται. [20] καὶ ὁρμᾷ μάλιστα πρὸς τὸ ἀντιπαῖον. διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα, οὐ δύναται ἄνευ πόνων εἶναι. καὶ διὰ ταύτας τὰς προφάσιας, ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο χωρίον γίνονται ἐκπυήματά τε καὶ φύματα πλεῖστα. γίνεται δὲ καὶ ὑπὸ φρένας ἰσχυρῶς. ἧσσον δὲ πολλόν. διάτασις μὲν γὰρ φρενῶν πλατείη καὶ ἀντικειμένη. φύσις δὲ νευρωδεστέρη τε καὶ ἰσχυροτέρη

quædam etiam expassa, alia solida & rotunda, alia lata & pendentia, alia distenta, alia longa, alia densa, alia rara & florida, alia verò spongiosa & laxa. Videndum certè quodnam ex his humorem ex reliquo corpore ad se attrahat & pelliciat, num quæ caua & expassa, an solida & rotunda, an quæ caua & ex latitudine in angustum cōtracta sunt, id maximè efficere possint. Ac mea quidē sententia, quę ex cauo & lato in angustum contracta sunt. Ista verò ex rebus externis manifestè percipere licet. Veluti quidē si ore hiante fueris, nullum humorē attraxeris, vbi verò protensis labris constrinxeris ac compresseris, pretereaq; fistulam admoueris, quicquid libuerit, attrahes. Hoc verò quæ admouentur cucurbitulæ ex latitudine in angustū contractæ declarant, quæ eum in vsum fabricatæ sunt, vt ex carne trahant & auellant, aliaq; id genus permulta. Est autem earū, quæ intra hominem sunt, partium natura & figura eiusmodi, vesicæ, capitis, & vteri in mulieribus, eæq; maximè attrahere, & semper attracto humore refertæ conspiciuntur. Quæ verò caua sunt & expassa, ea affluentem quidem humorem omnium maximè recipiunt. Verùm non perinde attrahunt. At solida & rotunda neq; attrahūt, neq; affluentem humorem recipiunt, qui certè circum elabitur, cùm sedem in qua permaneat, non habeat. Spongiosa autem & rara, velut lien, pulmo & mammæ, prope admota maximè exugunt, eaq; præcipuè accedente humore indurescunt & augentur. Neque enim, si in ventriculo humor insit, eumq; foris contineat, & singulis diebus euacuetur, verùm cùm eum in seipso receperit, eumq; vacua & rara, ac parua penitus imbiberint, pro raro & molli durus & densus euadit, neq; concoquit, neque emittit. Itaq; illi ex figuræ natura contingunt. Quæ verò flatus eorumq; conuolutiones in corpore efficiunt, ea in cauitatibus ac laxioribus spaciis, velut ventre & thorace, strepitum & sonitum excitare æquum est. Cùm enim non sic impleat, vt consistant, sed mutationes & motiones habeant, ab ipsis strepitum & euidentes motiones fieri necesse est. Quæ verò tum carnosa, tum mollia, in iis stupores & repletiones quales iugulatis fiunt. Quòd si in latum & renitens incurrat, eiq; aliquid resistat, quod natura neq; sit adeò robustum, vt vim eius sustinere, neque ab eo malè affici queat, neque ita molle & rarum, vt in se recipiat & cedat, sed tenerum, floridum, sanguine præditum, & densum velut hepar, ob densitatem quidem & latitudinem renititur, neque cedit, flatus verò subiens increscit, robustior efficitur, & impetu in id, quod obluctatur, fertur; verùm quia tenerum & sanguine præditum, doloris expers esse non potest. Easque ob causas tum grauissimi creberrimique dolores eo in loco excitantur, tum suppurationes & tubercula quàm plurima. Quæ etiam circa septum transuersum, sed longè minore vi contingunt. Septi enim transuersi natura in latum protensa & renitens, cumque sit neruosior & robustior,

ideò doloribus minùs opportuna. In his tamen & dolores & tubercula exoriuntur. Permultæ præterea tum intra, tum extra corpus existunt figurarum formæ, quæ pro affectuum ratione magnopere differũt, tam in ægris, quàm in bene valentibus, velut capita parua aut magna, ceruices graciles aut crassæ, longæ aut breues, ventres longi aut rotũdi, thoracis & costarum latitudo aut angustia, atque alia sexcenta, quorum omniũ differentias nouisse oportet, quò cognita cuiusque causa, eas rectè obseruare possis. De humorum autem facultatibus, quemadmodum etiam antea dictum est, quid eorum quisq; in homine efficere possit, considerandum, quasq; inter se cognationes habeant. Quod est, si dulcis humor in aliam formam mutetur, non per alterius contemperationem, sed ab aliis separatus qualis nam plurimùm futurus sit, amarus, an salsus, an acerbus, an acidus. Certè omnium humorum, qui assumuntur, acidus minimè accommodatus fuerit, siquidem dulcis omnium maximè accommodatus existit. Ad hunc modum si quis rerum externarum naturam inuestigando assequi possit, is semper ex omnibus quod melius est facilè eliget. Optimum verò id est, quod longissimè abest ab eo, quod humanæ naturæ minimè est accommodatum.

διὰ ἧσσον ἐπώδυνά ἐστι. γίνονται δὲ καὶ περὶ ταῦτα, καὶ πόνοι καὶ φύματα. πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος εἴδεα σχημάτων, ἃ μεγάλα ἀλλήλων διαφέρει πρὸς τὰ παθήματα καὶ νοσέοντι καὶ ὑγιαίνοντι. οἷον κεφαλαὶ σμικραὶ ἢ μεγάλαι· τράχηλοι λεπτοὶ ἢ παχέες· μακροὶ ἢ βραχέες· κοιλίαι μακραὶ ἢ στρογγύλαι· θώρηκος καὶ πλευρέων πλατύτητες ἢ στενότητες· καὶ ἄλλα μυρία, ἃ δεῖ πάντα εἰδέναι ᾗ διαφέρει· ὅπως τὰ αἴτια ἑκάστων εἰδὼς, ὀρθῶς τηρέῃς. περὶ δὲ δυνάμιων χυμῶν, αὐτέων 10 τε ἕκαστος ὅ, τι δύναται ποιέειν τὸν ἄνθρωπον ἐσκέφθαι, ὥσπερ καὶ πρότερον εἰρέαται, τὰς ξυγγενείας ὡς ἔχουσι πρὸς ἀλλήλους. λέγω δὲ τὸ τοιοῦτον· εἰ γλυκὺς χυμὸς μεταβάλλοι ἐς ἄλλο εἶδος, μὴ ἀπὸ ξυγκρήσιος, ἀλλ' αὐτὸς ἐξιστάμενος, ποῖός τις πρῶτος γένοιτο, πικρὸς· ἢ ἁλμυρὸς· ἢ στρυφνὸς· ἢ ὀξύς. ἄρα ὀξὺς χυμὸς ἀνεπιτήδειος προσφόρων ἂν τῶν λοιπῶν μάλιστα εἴη. εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. οὕτως εἴ τις δύναιτο ζητέων ἔξωθεν ἐπιτυγχάνειν, δύναιτ' ἂν πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιον. βέλτιστον δέ ἐστι, τὸ προσωτάτω τοῦ ἀνε- 20 πιτηδείου ἀπέχον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΙΗΤΡΟΥ.

HIPPOCRATIS DE MEDICO, LIBER.

HOc scripto Medico imperamus & dicimus quomodo officinam Medicam instruere debeat. Ad eius quidem authoritatem mihi pertinere videtur, vt pspiciat, quoad eius natura feret, bene colorato & optimè habito sit corpore. Qui enim bona nõ sunt corporis habitudine, vulgò existimantur cæterorum curam nõ recte habere posse. Deinde eius cultus mundus esto, vestis sit decora, & vnguentis vtatur beneolẽtibus, citra omnem odoris suspicionem. Istud enim iucundũ esse ægrotantibus solet. Eum quoq; spectare oportet, vt animi temperantiam excolat, non taciturnitate solùm, verumetiã reliqua totius vitæ moderatione. Quod ad illi comparãdam gloriam plurimùm adfert adiumenti. Bonis etiã ac honestis sit moribus, vnaq; grauitatem cũ humanitate cõiunctam habeat. Temeraria nanq; procliuitas & promptitudo, quãuis valde sit vtilis, despectui est. At cõsiderandum quando his vti liceat. Eadem enim apud eosdem, cùm rara sunt, æstimantur. Quòd ad gestum attinet, vultu sit ad prudentiam composito, non aspero tamen, ne superbus & inhumanus videatur. Qui verò in risum effusus est, & supra modũ hilaris, molestus habetur, quod vel imprimis vitandum est. Æquum autem in omni vitæ consuetudine se præstare debet. Nam cùm omnib. in rebus multum sit in iustitia pręsidij, tum verò Medico cum ęgris nõ parum est cõmercij. Ij enim se huic tractandos summittunt, isq; nunquam non ferè cũ mulieribus virginib. conuersatur, eosq; magni pretij cõtrectat, à quibus omnibus sibi temperare debet. Atq; his tum animi, tum corporis virtutibus, eum præstare oportet. Quæ verò ad artẽ Medicam præcepta pertinent ex quib. artifex habendus est, & a quib. discendi initia sumi debent, ab initio nobis breuiter ob ocu-

Τ[1]Ο μὲν γράμμα ἐστὶν ἰητροῦ προστασίη, καὶ παράγγελμα πῶς χρὴ κατασκευάζειν ἰητρεῖον. ἰητροῦ μὲν εἶναι προστασίην, [2] ὁρῆν εὔχρως τε καὶ εὔσαρκος ἔσται πρὸς τὴν ὑπάρχουσαν αὐτῷ φύσιν. ἀξιοῦνται γὰρ ὑπὸ τῶν πολλῶν οἱ μὴ εὖ διακείμενοι τὸ σῶμα οὕτως, ὡς οὐδ' ἂν ἑτέρων ἐπιμεληθῆναι καλῶς. ἔπειτα περὶ αὐτὸν [3] καθαρίειν ὡς ἔχειν ἐσθῆτι χρηστῇ, καὶ χρίσμασιν εὐόδμοις· ὀδμὴν ἔχουσιν ἀνυπόπτως πρὸς ἅπαντα. τοῦτο γὰρ ἡδέως ἔχειν ξυμβαίνει τοὺς νοσέοντας. δεῖ δὲ τοῦτον σκοπέειν τάδε περὶ τὴν ψυχὴν σώ- 30 φρονα, μὴ μόνον τὸ σιγᾶν· ἀλλὰ καὶ περὶ τὸν βίον πάνυ εὔτακτον. μέγιστα γὰρ ἔχει πρὸς δόξαν ἀγαθά. τὸ δὲ ἦθος εἶναι καλὸν καὶ ἀγαθόν. τοιοῦτον δ' ὄντα πᾶσι καὶ σεμνὸν καὶ φιλάνθρωπον. [4] τὸ γὰρ προπετὲς καὶ τὸ πρόχειρον καταφρονεῖται, κἂν πάνυ χρήσιμον ᾖ. σκοπὸν δὲ ἐπὶ τῆς ἐξουσίης. τὰ γὰρ αὐτὰ παρὰ τοῖς αὐτέοις σπανίως ἔχουσιν, ἀγαπᾶται. σχήμασι δὲ ἀπὸ μὲν προσώπου, σύννουν μὴ πικρῶς. [6] αὐθάδης γὰρ δοκέει εἶναι καὶ μισάνθρωπος ὁ δὲ εἰς γέλωτα ἀνιέμενος καὶ λίην ἱλαρὸς, φορτικὸς ὑπολαμβάνεται. φυλακτέον δὲ τὸ τοιοῦτον, οὐχ ἥκιστα· δίκαιον δὲ πρὸς πᾶσαν ὁμιλίην εἶναι. χρὴ 40 γὰρ πολλὰ ἐπικουρέειν, δικαιοσύνην. πρὸς δὲ ἰητρὸν οὐ μικρὰ συναλλάγματα τοῖσι νοσοῦσιν ἐστίν. καὶ γὰρ αὑτοὺς ὑποχειρίους ποιέουσιν τοῖς ἰητροῖς· καὶ πᾶσαν ὥρην ἐντυγχάνουσιν γυναιξὶν, παρθένοις, καὶ τοῖς ἀξίοις πλείστου κτήμασιν. ἐγκρατέως οὖν δεῖ πρὸς ἅπαντα ἔχειν ταῦτα. τὴν μὲν οὖν ψυχὴν καὶ τὸ σῶμα, οὕτω διακεῖσθαι. τὰ δὲ εἰς τὴν ἰητρικὴν τέχνην παραγγέλματα, δι' ὧν ἐστιν εἶναι τεχνικὸν, ἀπ' ἀρχῆς συνοπτέον, ἀφ' ὧν καὶ μανθάνειν ἄνθρωπος ἄρξαιτο.

[...] τὰ τοίνυν ἐν ἰητρείῳ θεραπευόμενα, σχεδὸν μανθάνοντας ἐστίν. δεῖ δὲ πρῶτον μὲν, τόπον ἔχειν τῆς οἰκίης. ἔσται δὲ τοῦτο ἐὰν μήτε πνεῦμα εἰς αὐτὸν παραγινόμενον ἐνοχλῇ, μήθ' ἥλιος ἢ αὐγὴ λυπέῃ. φῶς δὲ τηλαυγὲς τοῖς μὲν θεραπεύουσι ἄλυπον· οὐχ ὁμοίως δὲ τοῖς θεραπευομένοις ὑπάρχει. πάντως μὲν οὖν τοιαύτην τῆς αὐγῆς μάλιστα φευκτέον, δι' ἣν ξυμβαίνει τοὺς ὀφθαλμοὺς νοσέειν. ὃ μὲν οὖν φῶς, τοιοῦτον εἶναι παρήγγελται. τοῦτο δὲ ὅπως μηδαμῶς ἐναντίως ἕξει τὰ πρόσωπα ταῖς αὐγαῖς. προσενοχλεῖ γὰρ τὴν ὄψιν ἀσθενέως ἔχουσαν. πᾶσα δὴ ἱκανὴ πρόφασις, ἀσθενέοντας ὀφθαλμοὺς ἐπιταράξαι. τῷ μὲν οὖν φωτὶ, τοῦτον τὸν τρόπον χρηστέον ἐστίν. τοὺς δὲ δίφρους ὁμαλοὺς εἶναι τοῖς ὕψεσιν ὅτι μάλιστα, ὅπως κατ' αὐτοὺς ὦσιν. χαλκώματι δὲ, πλὴν τῶν ὀργάνων, μηδενὶ χρῆσθαι. καλλωπισμὸς γάρ τις εἶναί μοι δοκεῖ φορτικὸς, σκεύεσι τοιουτέοισι χρῆσθαι. ὕδωρ δὲ παρέχειν δεῖ πότιμον τοῖς θεραπευομένοις, καὶ καθαρόν. τοῖς δὲ ἀπομάγμασι, καθαροῖς καὶ μαλθακοῖς χρῆσθαι. πρὸς μὲν τοὺς ὀφθαλμοὺς, ὀθονίοις· πρὸς δὲ τὰ τραύματα, σπόγγοις· αὐτόματα γὰρ ταῦτα βοηθεῖν δοκεῖ καλῶς. τὰ δὴ ὄργανα πάντα εὐήρη πρὸς τὴν χρείαν ὑπάρχειν δεῖ τοῖς μεγέθεσι, καὶ βάρει, καὶ λεπτότητι. τὰ δὲ προσφερόμενα ἅπαντα μὲν χρὴ συνορῶν ὅπως συνοίσει. μάλιστα δὲ πλεῖστον, εἰ ὁμιλεῖν μέλλει τοῖς νοσοῦσι μέρεσι. ταῦτα δέ ἐστιν ἐπιδέσματα, καὶ φάρμακα· καὶ τὰ περὶ τὸ ἕλκος ὀθόνια, καὶ τὰ καταπλάσματα. πλεῖστον γὰρ χρόνον ταῦτα περὶ τοὺς νοσέοντας ἐστὶ τόπους. ἡ δὲ μετὰ ταῦτα, ἀφαίρεσις τούτων· ἀνάψυξίς τε καὶ περικάθαρσις· καὶ τῶν ὑδάτων κατάντλησις, ὀλίγου τινός ἐστι χρόνου. καὶ τί ποιῆσαι, ὅπου χρὴ μᾶλλόν τε καὶ ἧσσον ἐσκέφθαι δεῖ. τούτων γὰρ ἀμφοτέρων ἡ χρῆσις εὔκαιρός τε, καὶ μὴ γινομένων, μεγάλην ἔχει διαφορήν. ἔστι δὲ οἰκείη ἐπίδεσις τῆς ἰητρικῆς, ἀφ' ἧς ὠφελεῖσθαι τὸν θεραπευόμενον. μέγιστα δὲ ὠφελεῖ δύο ταῦτα, οἷς ἐστι χρηστέον, πιέσαι ὅκου δεῖ, καὶ ἀνειμένως ἐπιδῆσαι. πρὸς δὲ τοὺς χρόνους τῆς ὥρης, ποτὲ δεῖ σκεπαστικῶς καὶ μὴ, συνορῶν ὅκως μηδὲ ἀσθενῆ λεληθὼς ποτέρῳ τούτων ἔνοχος χρηστέον. εὐρύθμους δὲ ἐπιδέσιας καὶ θεητρικὰς μηδὲν ὠφελούσας, ἀπογινώσκειν. φορτικὸν γὰρ τὸ τοιοῦτον καὶ παντελῶς ἀλαζονικόν. πολλάκις τε βλάβην οἶσον τῷ θεραπευομένῳ. ζητεῖται ὁ νοσέων, οὐ καλλωπισμὸν, ἀλλὰ τὸ συμφέρον. ἐπὶ δὲ τῶν χειρουργιῶν ὅσαι διὰ τομῆς εἰσὶν ἢ καύσιος τὸ ταχέως ἢ βραδέως ὁμοίως ἐπαινεῖται. χρῆσις γάρ ἐστιν ἀμφοτέρων. ἐν οἷς μὲν γὰρ ἐστι διὰ μιῆς τομῆς ἡ χειρουργία, χρὴ ποιέεσθαι ταχεῖαν τὴν διαίρεσιν. ἐπεὶ γὰρ συμβαίνει τοὺς τεμνομένους πονέειν μὲν τὸ λυπέον, ὡς ἐλάχιστον χρόνον δεῖ παρεῖναι. τοῦτο δὲ ἔσται, ταχείης τῆς τομῆς γινομένης. ὅπου δὲ πολλὰς ἀναγκαῖον γίνεσθαι τὰς τομὰς, βραδείῃ χρηστέον τῇ χειρουργίῃ. ὁ μὲν γὰρ ταχὺς, ξυνεχῆ ποιέει τὸν πόνον καὶ πουλύν. ὁ δὲ διαλιπὼν, ἀνάπαυσιν ἔχει τινὰ τούτων τοῖς θεραπευομένοις. τὸ δὴ αὐτὸ ἐπὶ τῶν ὀργάνων λέγοιτ' ἄν. τοῖς δὲ μαχαιρίοις, ὀξέσι δεῖ χρῆσθαι καὶ πλατέσιν οὐκ ἐπὶ πάντων ὁμοίως παραγγέλλομεν. μέρη γάρ τινά ἐστι τοῦ σώματος, ἃ ἐν τάχει μὲν ἔχει τὴν ῥύμην τοῦ αἵματος,

los ponenda. Quæ ergo in officina Medica curantur, ea propemodum discenda sunt. Ac primùm quidem domus locus tam commodus habeatur, vt neque accedens ventus molestiam afferat, neque sol aut splendor grauis sit. Lucis enim splendor, vt non sit curantibus molestus, non item tamen iis, qui curantur. Is ergo prorsus vitandus est, per quem oculos offendi contingit. Atque hoc quidem de lumine præcipitur. Deinde verò vt nequaquam splendori facies sit aduersa. Oculorum enim aciem debilem molestia afficit, cùm quæuis occasio debiles oculos perturbare possit. Atque hic luminis vsus esto. Sellæ quo ad eius fieri potest, altitudine sint æquales, vt illis sese accommodent. Æris, præterquam in instrumentis, nullus vsus esto. Talis enim supellectilis vsus, apparatus quidam molestus esse mihi videtur. Aqua iis, qui curantur, potui commoda & pura exhiberi debet. Detersoriis puris & mollibus vtendum, ad oculos quidem, linteis; ad vulnera verò, spongiis. Hæc enim per se magno auxilio esse videntur. Instrumenta autem omnia ad vsum aptè comparata esse, oportet, conuenienti magnitudine, grauitate & tenuitate. Quæ verò admouentur, omnia quidem vt conferant, attendendum, potissimùmque si ad laborantem partem diutiùs adhærescere debeant, cuiusmodi sunt vincula, medicamenta, & ad vlcus adhibita lintea & cataplasmata, quæ diutissimè in affectis partibus commorantur. At verò, quæ postea consequuntur, horum ablatio, refrigeratio item, & perpurgatio, & aquæ perfusio, parui cuiusdam sunt temporis. In quibus, si quid faciendum, magis ne an minus adhibendum sit, diligenter attendere oportet. Permagni enim interest, an his tempestiuè vsus fueris, an verò ea neglexeris. Est autem Medicinæ accommodata deligatio, ex qua, qui curatur vtilitatem percipit. Hæc autem duo, quibus vtendum est, maximè iuuant, comprimere vbi expedit, & remissè deligare. Quòd ad anni tempora videndum, quando contegere oporteat nécne, simúlque ne imbecillitatis ignarus, vtro horum vtendum sit hæreas. Deligationes autem concinnæ, & ad speciem comparatæ, quæque nihil prosunt, repudiandæ. Sunt enim eiuscemodi molestæ, & omninò ad ostentationem factæ, ac plærunq; ei, qui curatur, noxiam afferunt, qui non tam ornatum quàm vtilitatem requirit. At verò in iis, quæ manus operam postulant, & sectione aut vstione efficitur, celeritas ac tarditas ex æquo commendantur, cùm vtraq; opus sit. Nam quibus quidem vna sectione manus opera perficitur, ea celeriter fieri debet. Nam cùm sine dolore sectio minimè contingat, debet id quod dolorem facit quàm minimo tempore adesse, quod fiet celeriter administrata sectione. At vbi multas fieri sectiones necesse est, tarda manuum opera vtendum. Qui enim celeriter sectionem adhibet, continentem multumq; dolorem infert. At qui intermittit, alleuationem quandam iis, qui curantur, exhibet. Quod de instrumentis etiam dicatur. Gladiolis enim acutis & latis vt vtendum, ita non in omnibus id ex æquo fieri edicimus. Quædam nanque corporis partes velocem habent sanguinis impetum,

quem continere non est facile, cuiusmodi sunt varices, & aliæ quædam venæ, quarum angustas sectiones esse oportet. Sic enim nunquam fiet immodica profusio, ab his tamen sanguinem interdum detrahere confert. In his verò partibus, in quibus nihil inest periculi, & quæ tenuem sanguinem minimè continent, latioribus gladiolis vtendum, alioqui sanguis nequaquam profluet. Est autem turpissimum per manus operam non assequi quod cupias. At verò cucurbitulæ duobus modis vtiliter admoueri possunt. Cùm enim procul ab exteriore carne fluxio constiterit, eius circulum paruum esse oportet, ipsa verò ventrem minimè amplum habeat, sed qua parte manu apprehenditur, prominens sit, & minimè grauis. Quę enim est eiuscemodi, in directum trahit, & procul distantes serosos humores ad carnem probè reuellit. At dolore per carnis magnitudinem disperso, in reliquo quidem similis, sed circulus magnus sit. Hoc enim pacto, quod dolorem mouet, ex plurimis partibus quò oportet adducere comperies. Neque enim circulus magnus esse potest, quin caro ex pluribus locis contrahatur. Quæ verò grauis est, ad superiores partes vergit, ab inferioribus tamen magis detrahit, ita vt plærunque morbos minimè attingat. Instantibus igitur fluxionibus, proculque à superioribus partibus positis, lati circuli multa simul ex reliqua carne attrahunt. Quod facit vt inde tracta humiditas, ad serosum humorem, in inferioribus partibus collectum apponatur, & ea quidem, quæ molestiam afferunt, relinquantur, quæ verò nihil nocent, detrahantur. Quin & de cucurbitulæ magnitudine, vt partibus quibus admoueri debet, sit vsui, coniectura capienda est. Cùm verò pertundere voles, altiùs scalpellum adigere oportet. Sanguis enim ex locis manus opera dissectis conspicuus profluere debet. Alioqui ne circulum quidem attractum pertundere oportet. Laborantis namque loci caro contenta magis est. Gladiolis autem recuruis, in summo non valde acutis vtendum. Prodeunt enim quandoque humores serosi, glutinosi & crassi, qui in incisuris, si angustæ fuerint, ne subsistant, periculum est. Ac verò brachiorum venæ vinculis comprehensæ detinendæ. Quæ enim eas integit caro, in multis non probè venæ coaptata est. Quæ cùm lubrica existat, vtrorumque sectiones sibi inuicem respondentes fieri nequeunt. Vena enim contecta intumescit, & sanguis fluxus impeditur, ob idq; in multis pus colligitur. Ac sanè duplici de causa eiusmodi manus opera noxia videtur, tum quòd ei, qui secatur dolorem, tum verò ei, qui secat dedecus adfert. Quod ipsum in omnibus fieri præcipitur. Atque ea sunt in officina Medica instrumenta, quibus artificiosè vti eum, qui discit, necesse est. Volsellis enim quibus tum dentes, tum columellæ comprehenduntur, quemlibet vti licet, cùm simplex earũ vsus esse videatur. De tuberculis autem & vlceribus, quæ inter maiores morbos recensentur, istud tenendum est. Tubercula quidem coercere ac dissoluere posse, eorúmque concretiones prohibere, maximè ad artem pertinere. Deinde verò ea in locum conspicuum & quàm breuissimum contrahere, ipsumq; concretionem æquabilem per totũ reddere.

καὶ καταγεῖν ἐστὶν οὐ ῥηΐδιον. ταῦτα δέ ἐστιν, οἵ τε κίρσοι, καί τινες ἄλλαι φλέβες· τὰς μὲν τομὰς χρὴ εἶναι τῶν τοιουτέων στενάς. οὐ γὰρ οἷόν τε τὴν ῥύσιν γίνεσθαι καταχορῆ. ξυμφέρει δέ ποτε ἀπὸ τῶν τοιουτέων, αἵματος ἀφαίρεσιν ποιέεσθαι. πρὸς δὲ τοὺς ἀκινδύνους τόπους, καὶ περὶ οὓς μὴ λεπτόν ἐστι τὸ αἷμα, πλατυτέροις χρῆσθαι τοῖς μαχαιρίοισι. τὸ γὰρ αἷμα, προρυείη ἄν. ἄλλως δὲ, οὐδαμῶς. πάνυ δ᾽ ἐστὶν αἰσχρὸς μὴ ξυμβαίνειν ἀπὸ τῆς χειρουργίης ὅτι θέλει. σικύων δὴ δύο τρόπους εἶναι χρησίμους· [10] ὅτε μὲν γὰρ ῥεῦμα ξυνεστηκὸς πόρρω τῆς ἐπιφαινομένης σαρκὸς, τὸν μὲν κύκλον αὐτῆς εἶναι δεῖ βραχύν. αὐτὴν δὲ μὴ γαστρώδη. προμήκη δὲ πρὸς τὴν χεῖρα μέρος, μὴ βαρεῖαν. τοιαύτην γὰρ οὖσαν, ἕλκειν ἐς ἰθὺ ξυμβαίνει, καὶ τοὺς ἀφεστῶτας ἰχῶρας καλῶς ἀνεσπᾶσθαι πρὸς τὴν σάρκα. τοῦ δὲ πόνου πλείονος κατεσκεδασμένου τῆς σαρκός· τὰ μὲν ἄλλα παραπλησίην, τὸν δὲ κύκλον μέγαν. οὕτω γὰρ ἐκ πλείστων μερῶν εὑρήσεις ἄγουσαν ἐς ὃν δεῖ τὸ λυποῦν τόπον. [10] οὐ γὰρ οἷόν τε μέγαν εἶναι τὸν κύκλον, μὴ συναγομένης τῆς σαρκὸς ἐκ πλείονος τόπου. βαρεῖα δ᾽ οὖσα ῥέπει καὶ ἐς τοὺς ἄνω τόπους. κάτω δὲ μᾶλλον τὴν ἀφαίρεσιν. καὶ πολλάκις ὑπολείπεσθαι τὰς νόσους. τοῖσι μὲν οὖν ἀφεστῶσι ῥεύμασιν καὶ μακρὰν ἀπέχουσιν ἀπὸ τῶν ἄνω τόπων, οἱ πλατεῖς κύκλοι, πολλὰ ξυνεπισπῶνται παρὰ τῆς ἄλλης σαρκός. ἐπιπροσθεῖν οὖν ξυμβαίνει τὴν ἐνθένδε ἑλκομένην νοτίδα τῷ ξυναγομένῳ κάτωθεν ἰχῶρι. καὶ τὰ μὲν ἐνοχλεῦντα, ὑπολείπεσθαι· τὰ δ᾽ οὐδὲν λυπέοντα ἀφαιρεῖσθαι. μέγεθος δὲ σικύης τὸ χρήσιμον στοχάζεσθαι χρὴ πρὸς τὰ μέρη τοῦ σώματος, οἷς ἂν δέῃ προσβάλλειν. [11] ὅταν δὲ καταπρούειν κάτωθεν δέχεσθαι. τὸ γὰρ αἷμα φανερὸν εἶναι δεῖ τῶν χειρουργουμένων τόπων. ἄλλως δὲ οὐδὲ τὸν κύκλον τὸν ἑλκυσθέντα χρὴ καταπρούειν. [12] εὐτονωτέρη γάρ ἐστιν ἡ σὰρξ τοῦ πονήσαντος. μαχαιρίοις δὲ τοῖς καμπύλοις ἐξ ἄκρου μὴ λίην στενοῖς. ἐνίοτε γὰρ ἰχῶρες ἔρχονται γλίσχροι καὶ παχεῖς. κίνδυνος οὖν ἐστὶν ὑποστῆναι τῇσι τομῇσιν, ὅταν στεναὶ τμηθέωσιν. τὰς δ᾽ ἐπὶ τῶν βραχιόνων φλέβας τῇσι καταλήψεσιν χρὴ φυλάσσειν. ἡ γὰρ καλύπτουσα σὰρξ πολλοῖς οὐ καλῶς συνήρμοσται τῇ φλεβί. τῆς γὰρ σαρκὸς ὀλισθηρῆς οὔσης, οὐ καθ᾽ ἑαυτὰς ξυμβαίνει τὰς τομὰς ἀμφοτέρων γίνεσθαι. [13] τὴν γὰρ φλέβα ἐκφυσᾶσθαι ξυμβαίνει καλυφθεῖσαν, καὶ τὴν ῥύσιν τοῦ αἵματος κωλύεσθαι. πολλοῖσι δὲ καὶ πύος διὰ τοῦτο ξυνίστασθαι. δὴ δοκεῖ δύο βλάβας φέρειν ἡ τοιαύτη χειρουργίη· τῷ μὲν μηθέντι, πόνον· τῷ δὲ τέμνοντι, πολλὴν ἀδοξίην. τὸ δ᾽ αὐτὸ κατὰ πασῶν παρήγγελται γίνεσθαι. τὰ μὲν οὖν κατ᾽ ἰητρεῖον ἀναγκαῖα ὄργανα, καὶ περὶ ἃ δεῖ τεχνικὸν εἶναι τὸν μανθάνοντα, ταῦτ᾽ ἐστίν. ὀδοντάγρῃσι γὰρ καὶ σταφυλάγρῃσι χρῆσθαι τὸν τυχόντα ἐστίν. ἁπλῆ γὰρ ἡ χρῆσις αὐτῶν εἶναι δοκεῖ. περὶ δὲ φυμάτων καὶ ἑλκέων ὁκόσα μειζόνων ἐστὶ νοσημάτων. τὰ μὲν φύματα, τεχνικώτατον ὑπειληφέναι καὶ δύνασθαι διαλύειν· καὶ τὰς συστάσεις αὐτῶν κωλύειν. ἐχόμενον δὲ τούτων στέλλειν εἰς τὸν ἐπιφανῆ τόπον, ὡς εἰς βραχύτατον. καὶ τὴν σύστασιν ὁμαλῶς διὰ παντὸς ποιεῖσθαι τοῦ φύματος.

ἀνωμά-

ἀνωμάλως γὰρ ἔχοντος αὐτοῦ, ῥαγῆναί τε καὶ δυσθεράπευτον τὸ ἕλκος κίνδυνός ἐστι γενέσθαι, ἐξομαλίζειν τε χρὴ πέσσοντα πάντα ὁμοίως. καὶ μήτε διαιρεῖν πρότερον, μήτε αὐτόματον ἐᾷν ῥαγῆναι. τὰ δὲ ἐκπέψαι δυνάμενα ὁμαλῶς ἐν ἑτέροις εἴρηται. τὰ δὲ ἕλκεα δοκεῖ πορείας ἔχειν τέσσαρας· μίαν μὲν εἰς βάθος. ταῦτα δ' ἐστὶ τὰ συριγγώδεα, καὶ ὅσα ὕπουλά ἐστι καὶ ἔνδοθεν κεκοιλασμένα. ἡ δ' ἑτέρη, εἰς ὕψος τὰ ὑπερσαρκέοντα. τρίτη δ' ἐστὶν εἰς πλάτος· ταῦτα δ' ἐστὶ τὰ καλεόμενα ἑρπυστικά. τετάρτη ὁδός ἐστιν· αὕτη δὲ μόνη κατὰ φύσιν εἶναι δοκέει κίνησις. αὗται μὲν οὖν ξυμφοραὶ τοιαῦται σαρκός εἰσιν. [14] πᾶσαι δὲ κοιναὶ τοῦ ξυμφέροντος· καὶ τὰ μὲν τούτων, ἐν ἑτέροις σημεῖα δεδήλωται, καὶ ᾗ χρηστέον ἐστὶν ἐπιμελείᾳ. δι' ὧν δὲ τὸ ξυμφυόμενον διαλυθήσεται, καὶ τὸ πληρούμενον, ἢ κοῖλον γινόμενον, ἢ τὴν εἰς πλάτος πορείαν ποιούμενον, προσηκόντως περὶ τούτων ἐν ἄλλοις [15] εἴρηται σημεῖα. περὶ δὲ καταπλασμάτων ὧδε. τῶν ἐπιτιθεμένων ὀθονίων ὅκου ἂν ἡ χρῆσις κατὰ τοῦ νοσήματος ἀκριβὴς εἶναι δοκέῃ, καὶ τῷ ἕλκει ἁρμόζον τὸ ἐπιτιθέμενον ὀθόνιον. τῷ δὲ καταπλάσματι πρὸς τὸν κύκλῳ τόπον τοῦ ἕλκεος χρέω. χρῆσις γὰρ αὕτη καταπλάσματος ἔντεχνός τε καὶ πλεῖστα ὠφελεῖν δυναμένη. ἐδόκει γὰρ τῷ μὲν ἕλκει βοηθεῖν ἡ τῶν περιτιθεμένων δύναμις. [16] τὸ δὴ ὀθόνιον, φυλάσσειν τὰ δ' ἔξω μὲν τοῦ ἕλκεος, τὸ κατάπλασμα ὠφελέει. τὴν μὲν οὖν χρῆσιν αὐτέων, εἶναι δεῖ τοιαύτην. περὶ δὲ καιρῶν, ὁκότε τούτοις ἑκάστοις χρηστέον ἐστὶ καὶ τὰς δυνάμιας ὡς χρὴ τῶν γεγραμμένων καταμανθάνειν παραλελείφθαι δὲ τὰ τοιαῦτα. [17] ἐπεὶ πλείων προσήκει τῆς κατ' ἰητρικὴν ἐπιμελείας καὶ πόρρω τῆς τέχνης ἤδη προεληλυθότος ἐστίν. ἑπόμενον δὲ τούτων ἐστὶ καὶ κατὰ στρατιὴν γινομένων τρωμάτων χειρουργίη περὶ τὴν ἐξαίρεσιν τῶν βελέων. ἐν τῇσι κατὰ πόλιν διατριβῇσι βραχεῖά τις ἐστὶν τούτων ἡ χρῆσις. ὀλιγάκις γὰρ ἐν παντὶ τῷ χρόνῳ γίνονται πολιτικαὶ στρατιαὶ καὶ πολεμικαί. ξυμβαίνει δὲ τὰ τοιαῦτα, πλειστάκις καὶ ξυνεχέστατα περὶ τὰς ξενικὰς στρατιὰς γίνεσθαι. τὸν μὲν οὖν μέλλοντα χειρουργεῖν, στρατεύεσθαι δεῖ καὶ παρηκολουθηκέναι στρατεύμασι ξενικοῖς. οὕτω γὰρ ἂν εἴη γεγυμνασμένος πρὸς ταύτην τὴν χρείαν. ὃ δὲ εἶναι δοκεῖ περὶ ταῦτα τεχνικώτερον, εἰρῆσθαι. τὸ γὰρ ὅπλων ἐνόντων καὶ σημεῖα πεποιῆσθαι, τέχνης ἐστὶ πλεῖστον μέρος καὶ τῆς πρὸς ταῦτα χειρουργίας. τούτου γὰρ ὑπάρξαντος, οὐκ ἂν παραλίποιτο τρωματίας ἀγνοηθείς, [18] ὅτου χειρουργῆται μὴ προσηκόντως. μόνος δ' ἂν ὁ τῶν σημείων ἔμπειρος εἰκότως ἐπιχειρεῖν. περὶ δὲ τούτων ἁπάντων ἐν ἑτέροις γεγραμμένον ἐστίν.

Nisi enim æquabile fuerit, vt rumpatur & vlcus ægrè curabile euadat, periculum est. Æquabile itaque reddere, & ex æquo omne concoquere oportet, ac neque ante tempus aperire, neque vt sponte rumpatur sinere. Quæ verò æquabilem habent concoquendi vim, alibi dicta sunt. At verò vlcera quatuor progrediendi modos mihi habere videntur. Vnum quidem in profundum, cuiusmodi sunt fistulosa, cicatrice obducta, & intus caua. Alterum quo ad superiora tendunt, velut quæ superexcrescentem carnem habent. Tertium in latum, qualia quæ serpentia dicuntur. Quartus modus est, qui solus secundum naturam motus videtur. Atque eæ quidem sunt carnis calamitates, quæ omnes communem habent vtilitatis rationem. Quorum quidem signa alibi demonstrata sunt, & quænam curatio adhibenda sit. Quanam autem ratione quod coaluit, dissolui possit, & quod impletum est, aut cauum redditum, aut quod in latitudinem progressionem fecit; de eorum signis in aliis libris quantum conueniebat, dictum est. De iis verò, quæ in cataplasmate adhibentur, sic habeto. Quo in morbo imponendorum linamentorum accuratus vsus esse videtur, ipsi vlceri accommodatum linamentum adhibeto, quod verò cataplasmate apponitur, ad vlceris ambitum vtitor. Hic enim cataplasmatis vsus multum habet artis, plurimùmque vtilitatis præstat. Siquidem quod vlceri circumponitur, iuuandi facultatem habere videtur, & linamentum continere. Partes verò vlceris exteriores cataplasma iuuat. Ac eorum quidem vsum talem esse cōuenit. Quod ad tempora attinet, quibus horum singulis vtendum sit, & quemadmodum eorum, quæ scripta sunt, facultates addiscere oporteat, hæc à nobis prætermittuntur, quandoquidem maiorem artis Medicæ diligentiam exigunt, & ad eum pertinent, qui magnos iam in arte progressus fecerit. Ad hæc verò consequitur vulnerum in militia acceptorum tractatio, quo ad telorum extractionem, cuius in vrbium commerciis paruus vsus existit. Quandoquidem ciuiles & hostiles expeditiones raræ ferè sunt, quæ sæpissimè assidueque circa externa bella contingere solent. Is igitur, qui hanc manus operam exercere volet, vt externos exercitus sequatur, oportet. Hac enim ratione ad eam vsum exercitationem sibi comparabit. At de his quod maximè ad artem mihi pertinere videtur, hoc dixisse satis est. Quod artis & eius, quæ huc spectat manus operæ non minimum munus est, tela in corpus subeuntia certis notis deprehendere. Ex quo efficitur vt ignorari non possit, quando is, qui vulnus acceperit, minimè conuenientem manus operam expertus fuerit. Qui autem signorum cognitionem habuerit, is solus ritè ad curationem aggredietur. At de his omnibus in aliis libris scriptum est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΥΣΧΗμοσύνης.

HIPPOCRATIS LIBER, DE DECENTI HABITV, AVT DECORO.

QVI sapientiam istam, quæ in vitæ communione versatur, ad multa esse vtilem allegāt, ij mihi non temere facere videntur. Multæ nanque ad ambitiosam quandam operam comparatæ videntur, eæ videlicet, quæ de nulla re vtili quæstiones agitant. Harum tamen partes ad illas referri possunt, cùm nulla ociositas, neque verò improbitas adsit. Quod enim ociosum est, nihilque agit, ad improbitatem viam affectat, ad eámque tendit. Vigilantia verò & ad aliquid mentis contentio earum disputationes ad nullam vtilitatem spectantes, ad se pertrahit, & ad vitæ honestatem refert. Maiorem enim apud alium sibi gratiam conciliat, si ad artem traducatur, eique decus & gloriam comparat. Quæcunque nanque neque ad turpem quæstum sunt comparatæ, neque illiberales, eæ via quadam artificiali opus suum efficiunt, quod nisi extra culpam sit, publicatur. Adolescentes enim iis sese committunt, vbi verò adoleuerint, præ pudore, eorum conspectum sine sudore non sustinent. At senes effecti, propter amarulentiam, eas publica legum sanctione vrbibus expellunt. Ij enim conuentu facto, ambitiosa & quæstuosa sua professione decipientes, in vrbium circulis versantur. Quos ex vestitu & cæteris ornamentis quis cognoscere poterit. Quinetiam quò sumptuosiùs ornati fuerint, eò maiore odio auersandi, & ab eis, qui eos conspexerint, fugiendi. Ex vsu autem fuerit contrarium in his spectare, quibus non inest exquisitus neque curiosus ornatus, qui sese ex cultus venustate & frugalitate, non tam ad superfluam curiositatem, quàm ad optimam existimationem, prudentiam, & animi moderationem compararunt. Ad incessum verò eo semper sunt habitu, minimè diffluentes aut superflui, in hominum concursibus graues, ad respondendum appositi, aduersus altercantes difficiles, in similium familiaritatibus contrahendis prospicientes, erga omnes moderati, ad emotiones taciturni, ad respondendum arguti & tolerantes, in occasione prudenter captanda appositi & accommodati, in victu frugales & paucis contenti, ad sustentandam occasionem tolerantes, oratione efficaces, qui quicquid doctrina acceperunt, in medium proferunt, & facultate dicendi vtuntur, ad gratiam comparati, & pro gloria quæ inde prouenit, decertare parati, doctrinam suam ad veritatis lucem repurgantes. Ad hæc igitur prædicta omnia præcipuè dux est natura. Etenim si adfuerit his, qui artibus instructi sunt, ad prædicta omnia aditus erit amplissimus. Vsus nanque, qui tum in sapientia, tum in arte ei adiuncta doceri nequit, in doctrinam cadet, vt inde initium ducatur. Defluit autem natura & sapientiæ permiscetur, vt cognoscantur, quæ ab ipsa natura facta sunt. Multi etenim in vtrisque rationibus superati, neutiquam vtrisq; ad rerum demonstrationem vsi sunt. Si quis igitur eorum aliquid, quæ ratione proponuntur ad veritatem expenderit,

ΟΥκ ἀλόγως, οἱ προσβαλλόμενοι τὴν σοφίην πρὸς πολλὰ εἶναι χρησίμην, ταύτην δὴ τὴν ἐν τῷ βίῳ. αἱ γὰρ πολλαί,[2] πρὸς περιεργίην φαίνονται γεγενημέναι. λέγω δὲ αὗται, αἱ μηδὲν χρέος, τῶν πρὸς ἃ διαλέγονται. ληφθείη δὲ ἂν τουτέων μέρεα ἐς σχῆμα ἢ ὅτι οὐκ ἀργεῖν, οὐδὲ μὴν κακίην. τὸ γὰρ σχολάζον καὶ ἄπρηκτον, ζητεῖ ἐς κακίην καὶ ἀφέλκεται. τὸ δὲ ἐγρηγορὸς καὶ πρός τι τῆς διανοίας ἐντεταχὸς,[3] ἐφελκύσατο τε τῶν πρὸς κοσμιότητα βίου τεινόντων ἑαυτῷ. τουτέων τὰς μηδὲν ἐς χρέος πιπτούσας διαλέξιας. περιεργίη γὰρ καὶ πρὸς ἑτέρην[4] μέν τι ἐς τέχνην πεποιημένην. τέχνην δὲ πρὸς εὐσχημοσύνην καὶ δόξαν. πᾶσαι γὰρ αἱ μὴ μετ' αἰσχροκερδείης καὶ ἀσχημοσύνης, κἀκεῖνοισι μέθοδός τις ἐοῦσα τεχνικὴ ἐργάζεται.[5] ἀλλ' εἴγε μὴ πρὸς ἀναιτίην δημεύονται. νέοι γὰρ αὐτέοισιν ἐμπίπτουσιν.[6] ἀκμάζοντες δὲ διὰ τὴν ἐντροπίην, ἱδρῶτας τίθενται βλέποντες. πρεσβῦται δὲ, διὰ πικρίην, νομοθεσίην τίθενται ἀναίρεσιν ἐκ τῶν πόλεων.[7] καὶ γὰρ ἀγορὴν ἐργαζόμενοι οὗτοι, μετὰ βαναυσίης ἀπατέοντες καὶ ἐν πόλεσιν ἀνακυκλέοντες οἱ αὐτοί. ἴδοι δέ τις καὶ ἐπ' ἐσθῆτος, καὶ τῇσιν ἄλλῃσι περιγραφῇσι. κἢν γὰρ ἔωσιν ὑπερηφανέως κενοσμημένοι,[8] πολὺ μᾶλλον φευκτέοι, καὶ μισητέοι τοῖσι θεωμένοισιν εἰσί. τὴν δὲ ἐναντίην χρέοδες σκοπέειν οἷς οὐ διδακτὴ κατασκευή, οὐδὲ περιεργίη. ἔκ τε γὰρ περιβολῆς καὶ τῆς ἐν ταύτῃ εὐσχημοσύνης, καὶ ἀφελίης, οὐ πρὸς περιεργίην πεφυκυίης· ἀλλὰ μᾶλλον πρὸς εὐδοξίην, τό, τε σύννουν, καὶ τὸ ἐν νῷ πρὸς ἑωυτοὺς διακεῖσθαι, πρός τε τὴν πορείην, οἵ τε ἑκάστῳ σχήματι τοιοῦτοι. ἀδιάχυτοι. ἀπερίεργοι·[9] πικροὶ πρὸς τὰς συναντήσιας· εὔθετοι πρὸς τὰς ἀποκρίσιας· χαλεποὶ πρὸς τὰς ἀντιπλώσιας·[10] πρὸς τὰς ὁμοιότητας εὔστοχοι καὶ ὁμιλητικοί·[11] εὔκρητοι πρὸς ἅπαντας· πρὸς τὰς ἀναστάσιας σιγητικοί·[12] πρὸς τὰς ἀποσιγήσιας ἐνθυμηματικοὶ καὶ καρτερικοί· πρὸς τὸν καιρὸν εὔθετοι καὶ ληψματικοί· πρὸς τὰς τροφάς, εὔχρηστοι καὶ αὐτάρκεες· ὑπομονητικοὶ πρὸς καιρὸν πρὸς ὑπομονήν·[13] πρὸς λόγους ἀνυστοί·[14] πᾶν τὸ ὑποδειχθὲν ἐκφέροντες· εὐεπίῃ χρώμενοι· χάριτι διακείμενοι· δόξῃ τῇ ἐκ τουτέων διϊσχυριζόμενοι·[15] ἐς ἀλήθειαν πρὸς τὸ ὑποδειχθὲν ἀποτελματιζόμενοι. ἡγεμονικώτατον μὲν οὖν τουτέων ἁπάντων τῶν προειρημένων, ἡ φύσις. καὶ γὰρ οἱ ἐν τέχνῃσιν ἐοῦσι πρὸς ἣν αὐτέοισι τοῦτο, διὰ πάντων τουτέων προσπορεύονται τῶν προειρημένων. ἀδίδακτον γὰρ τὸ χρέος ἔν τε σοφίῃ, καὶ ἐν τῇ τέχνῃ προστεθεμένη διδαχθῆ, εἰς τὸ ἀρχὴν λαβεῖν. ἡ δὲ φύσις κατέρρυη καὶ κέχυται. τῇ δὲ σοφίῃ, ἐς τὸ εἰδῆσαι τὰ ἀπ' αὐτέης τῆς φύσιος ποιεύμενα. καὶ γὰρ ἐν ἀμφοτέροισι λόγοισι πολλοὶ κρατηθέντες, οὐδαμῇ σφι ἀμφοτέροισιν ἐχρήσαντο τοῖσι πράγμασιν[16] ἐς δεῖξιν. ἐστὶν οὖν τις αὐτέων ἐξετάζῃ τε πρὸς ἀλήθειαν τῶν ἐν ῥήσει τιθεμένων,

οὐδαμῇ

οὐδαμῇ τὰ πρὸς φύσιν αὐτέοισι χωρήσει.[17] εὑρίσκοντες
γοῦν οὗτοι παραπλησίην ὁδὸν ἐκείνοισι πεπορευμένοι.
διότι ἀπογυμνούμενοι, τὴν πᾶσαν ἀμφιέννυνται κα-
κίην καὶ ἀτιμίην. καλὸν γὰρ ἐκ τοῦ διδαχθέντος ἔργου λό-
γος. πᾶν γὰρ τὸ ποιηθὲν τεχνικῶς, ἐκ λόγου ἀνεώχθη.
τὸ δὲ ῥηθὲν τεχνικῶς, μὴ ποιηθὲν δὲ, μεθόδου ἀτέχνου δεί-
κτικὸν ἐλήλυθε. τὸ γὰρ οἴεσθαι μὲν, μὴ πρήσσειν δὲ, ἀμα-
θίης καὶ ἀτεχνίης σημεῖόν ἐστιν.[18] οἴησις γὰρ μάλιστα ἐν ἰητρι-
κῇ αἰτίην μὲν τοῖσι κεχρημένοισιν, ὄλεθρον δὲ τοῖσι χρεο-
μένοισιν ἐπιφέρει. καὶ γὰρ ἢν ἑωυτοὺς ἐν λόγοισι πείσαν- 10
τες, οἰηθῶσιν εἰδέναι ἔργον τὸ ἐκ μαθήσιος, καθάπερ χρυ-
σὸς φαῦλος ἐν πυρὶ κριθεὶς τοιούτους αὐτοὺς ἀπέδειξε.[19]
καίτοι γε τοιαύτη ἡ προῤῥησις ἀπαρηγόρητον εἰς σύνεσιν
ὁμογενέσιν ὡς ἐστιν ὀρθοῦ, ὃ πέρας ἐδήλωσε γνῶσις. τὴν δὲ
ὁ χρόνος, καὶ τὴν τέχνην[20] εὔοδα κατέστησεν, ἢ τοῖσιν ἐς
τὴν παραπλησίην εἶμον ἐμπίπτουσιν τὰς ἀφορμὰς δή-
λους ἐποίησε. διὸ δεῖ ἀναλαμβάνοντα τουτέων τῶν προει-
ρημένων ἕκαστα, μετάγειν τὴν σοφίην ἐς τὴν ἰητρι-
κὴν, καὶ τὴν ἰητρικὴν ἐς τὴν σοφίην. ἰητρὸς γὰρ φιλό-
σοφος, ἰσόθεος.[21] πολλὴ γὰρ διαφορὴ ἐπὶ τὰ ἕτερα. καὶ 20
ἔνι τὰ πρὸς σοφίην, ἐν ἰητρικῇ πάντα. ἀφιλαργυρίη.
ἐντροπή. ἐρυθρίησις. καταστολή. δόξα. κρίσις.[22] ἡσυχίη.
ἀπάντησις. καθαριότης. γνωμολογίη. εἴδησις τῶν πρὸς
βίον χρηστῶν καὶ ἀναγκαίων καθαρσίων.[23] ἀπεμπόλησις.
[24] ἀδεισιδαιμονίη. ὑπεροχὴ θεία. ἔχουσι γὰρ ἃ ἔχουσι πρὸς
ἀκολασίην, πρὸς βαναυσίην, πρὸς ἀπληστίην, πρὸς
ἐπιθυμίην, πρὸς ἀφαίρεσιν, πρὸς ἀναιδείην ἐνδεῖν.
αὕτη γὰρ γνῶσις τῶν προσιόντων, καὶ χρῆσις τῶν πρὸς φι-
λίην,[25] καὶ ὡς ὀχέως τε πρὸς τέκνα, πρὸς χρήματα. ταύ-
τῃ μὲν οὖν ἐπικοινωνός σοφίη τις. ὅτι καὶ ταῦτα τὰ πλεῖστα ὁ 30
ἰητρὸς ἔχει. καὶ γὰρ μάλιστα ἡ περὶ θεῶν εἴδησις[26] ἐν νόῳ αὐτῇ
ἐμπλέκεται. ἐν γὰρ τοῖσιν ἄλλοισι πάθεσι καὶ ἐν συμπτώμασιν
εὑρίσκεται τὰ πολλὰ πρὸς θεῶν ἐντίμως κειμένη ἡ ἰη-
τρική. οἱ δὲ ἰητροὶ θεοῖσι παρακεχωρήκασιν. οὐ γάρ ἔνι πε-
ριττὸν ἐν αὐτέῃ τὸ δυναστεῦον. καὶ γὰρ οὗτοι πολλὰ μὲν με-
ταχειρέονται, πολλὰ δὲ καὶ κεκράτηνται αὐτέοισι δι' ἑωυτέων.
ἃ δὲ κατὰ πλεονεξίην νῦν ἡ ἰητρικὴ, ἐνθένδε παρέξει. τίς
γὰρ ὁδὸς τῆς ἐν σοφίῃ, ὧδε.[27] καὶ γὰρ αὐτέοισιν ἐκείνοι-
σιν, οὕτω δὴ οὐκ οἴονται, ὁμολογέουσιν ὧδε, τὰ περὶ σώμα-
τα παραγινόμενα. ἃ δὴ διὰ πάσης αὐτῆς πεπόρευνται, 40
μετασχηματιζόμενα ἢ μεταποιούμενα. ἃ δὲ, μετὰ χειρουρ-
γίης ἰώμενα. ἃ δὲ, βοηθούμενα, θεραπευόμενα ἢ διαιτώ-
μενα. τὸ δὲ κεφαλαιωδέστατον ἔστω, εἰς τὴν τουτέων
εἴδησιν. ἐόντων οὖν τουτέων, τῶν προειρημένων ἁπάν-
των, χρὴ τὸν ἰητρὸν, ἔχειν τινὰ εὐτραπελίην παρακειμέ-
νην. τὸ γὰρ αὐστηρὸν, δυσπρόσιτον καὶ τοῖσιν ὑγιαίνουσι,
καὶ τοῖσι νοσέουσι. τηρεῖν δὲ χρὴ ἑωυτὸν ὅτι μάλιστα,[28] μὴ
πολλὰ φαίνοντα τῶν τοῦ σώματος μερέων. μὴ δὲ πολλὰ
λεσχηνευόμενον τοῖσιν ἰδιώτῃσιν, ἀλλ' ἀναγκαῖα. νο-
μίζει γὰρ τοῦτο βίην εἶναι[29] ἐς πρόσκλησιν θεραπείης. 50

nequaquam iis suppeditabuntur, quę à natura insunt. Isti itaque consimili cum illis via progressi deprehenduntur. Quapropter veritate nudati omnem improbitatem atque ignominiam induunt. Præclara enim res est, quæ ex opere quod quis didicit proficiscitur oratio. Quicquid enim artificiosè factum est, à ratione profectum est. Quicquid autem artificiosè dictū est, non autem factum, viam & rationem artis expertem arguit. Opinabile siquidem sine actione, inscientiæ & nullius artis indicium est. Opinatio enim cùm præcipuè in arte Medica, ea quidem vtentibus crimini vertitur, his verò qui ea indigent exitium adfert. Si nanque suis verbis persuasi, existimant se opus ex scientia profectum nouisse, quemadmodum aurum adulterinum igni probatur, tales seipsi etiam produnt. Quanquam eiusmodi prædictio iis qui cognatam habent naturam, ad intelligentiam nullius est solatij, quòd finis quàm rectus sit cognitio indicet. At horum arti tempus expeditam viam constituit, aut his qui simili via insistunt, facultates manifestò suppeditat. Quapropter prædicta singula colligere oportet, & sapientiam ad Medicinam traducere, & Medicinam ad sapientiam. Medicus enim Philosophus Deo æqualis habetur. Nam neque multum inter se differunt, & quæ ad sapientiam requiruntur, in Medicina insunt omnia, pecuniæ contemptio, pudor, verecundia, modestia in vestitu, existimatio, iudicium, lenitas, occursatio, mundicies, sententiarum elocutio, vtilium ac necessariarum in vita purgationum cognitio, earúmque liberatio, superstitiosi Deorum metus auersatio, præstantia diuina. Habent enim quæ faciunt ad demonstrandam incontinentiam, quæstuosam & sordidam professionem, inexplebilem habendi sitim, cupiditatem, detractionem, impudentiam. Siquidem ista spectant ad eorum cognitionem cum quibus conuersantur, & ad vsum eorum quæ ad contrahendam amicitiam pertinent, quoque animo erga liberos & pecunias esse oporteat. Hactenus igitur cum sapientia communionem, eorúmque etiam plurima habet Medicus. Nam & Deorum cognitionem ipse potissimùm animo complectitur, cúmque aliis in affectibus & casibus Medicina multùm Deos colere comperitur, tum verò medici Diis plurimùm concedunt. Neque enim ipsa superuacaneam potentiam sibi arrogat, cùm siquidem ipsi multa aggrediūtur, in multis verò ab iis superantur. In quibus autem Medicina nunc superior existit, hinc manifestum erit. Nam & via eius quædam secundum sapientiam se habet hoc modo. Etenim illis ipsis (quod tamen non existimant) pro confesso ita se habere concedunt, quæ circa corpora obueniunt, quæ sane per totam ipsam procedunt, dum transformantur aut permutantur, partim quidem per manus operam sanantur, partim verò per auxilia aut victus rationem curationem accipiunt. Præcipuum verò omnium caput est, vt horum cognitio habeatur. Cùm igitur prædicta omnia ita se habeant, Medicum vrbanitatem quandam sibi adiunctam habere cõuenit. Austeritas enim tum sanis, tum ægris difficilem accessum præbet. Obseruare autem eum maximè oportet, vt ne multas corporis partes nudat, neque cùm plebeiis de rebus multis, sed tantum necessariis, confabuletur. Hoc enim vis quædam ad eliciendam curationem esse solet.

Hor um verò nihil neque nimis curiosè, neque ex o-
pinione agat. In istis autem omnibus vidẽdum vt hæc
tibi sint ad facultatem vt decet præparata, alióq; cùm
opus fuerit, inopia semper aderit. Horum verò omniũ
diligens in re Medica cura habenda est, cum omni
habitu demisso, quæ ad frictionem, illitionem, & per-
fusionem pertinent, vt cum concinna manuum tra-
ctatione adhibeantur. Quò ad linamenta concerpta,
splenia, vincula, ea quæ ex temporis conditione pe-
tuntur, medicamenta tum ad vulnera, tum ad oculos
comparata, & ex his quæ ad genus quódque referun-
tur, vti tibi sint accommodata, instrumenta, machi-
næ, ferramenta denique. Horum nanque penuria,
mentis inopiam & detrimentum affert. Alter verò ti-
bi sit apparatus simplicior, quo ad manus operam v-
taris, ad peregrinationes accommodatus. Promptissi-
mus autem est, qui via quadam & ratione compara-
tur. Neque enim fieri potest vt omnia Medicus enu-
meret. Medicamenta autem, tum eorum simplices
facultates, tum si quæ descriptæ sunt, probè tibi me-
moria teneantur. In animi etiam notione reponantur
quæ ad morborum curationem pertinent, eorúmque
modi, quot, & quo modo in singulis se habeant. Hoc
enim in re Medica principium, medium & finem ob-
tinet. Malagmatum quoque genera ad singulos vsus
præparata habeas, potiones item incidendi facultate
præditas, ex descriptione præparatas, cuique generi
accommodatas. Ad manum etiam sint quæ ad me-
dicamentorum purgationes faciunt, ex locis conue-
nientibus desumpta, eo quo decet modo pro suo quę-
que genere & magnitudine præparata, tum quæ ad
vetustatem diligenter sunt reposita, tum quæ recen-
tia pro temporis occasione in vsum veniunt, reliquá-
que ad eandem rationem, vt his adornatis, cùm ad æ-
grotum ingressus fueris, nequaquam animo hæreas,
cùm singula habeas ad id quod fieri debeat apposité
accõmodata. Prius quàm verò ad ægrum ingrediaris,
fac cognitum habeas quid agendum sit. Pleraq; enim
nõ ratiocinatione, sed auxilio indigent. Euenta igitur
per experientiam cognita, prædicenda. Id enim glo-
riam adfert, & cognitu est facile. In ingressu autem te
meminisse conuenit sessionis, demissi habitus, vesti-
tus, grauitatis, breuiloquentiæ, vt ne quid perturbato
animo facias, vt ægro assideas, in omnibus diligen-
tiam adhibeas, vt ad ea quæ obiiciuntur respondeas,
& ad omnes perturbationes animi constantiam adfe-
ras, tumultus verbis castiges, & ad omnia submini-
stranda te promptum exhibeas. Ad hæc primum ap-
paratum te memoria tenere oportet, sin minus, vidẽ-
dum vt in reliquis, quæ vt in promptu sint præcipiun-
tur, opinione tua minimè excidas. Crebrò ægrũ inui-
se, diligentem consideratione adhibeas, vt iis qui de-
cepti sunt per mutationes occurras. Facilior enim tibi
cognitio supetet, simulq; te promtius expedies. Insta-
biliter enim mouentur quæ in humidis consistunt, id-
eóq; facilem cùm à natura, tum à fortuna mutationẽ
habẽt. Quæ nisi in tempore cùm subministrari opor-
tet percipiantur, suo impetu præoccupant & interi-
munt, cùm nõ adsit quod opẽ afferre possit. Multa. n.
simul concurrunt, quę molestia afficiunt. At quod si-
gillatim se cõsequitur, promptũ quidẽ magis & ad ex-
perientiam accommodatum. Obseruandi sunt autẽ

ποιέειν δὲ κάρτα μηδὲν περιέργως αὐτέων, μὴ δὲ μετὰ
φαντασίης. ἐσκέφθω δὲ ταῦτα πάντα ὅκως ἦ σοι προ-
κατηρτισμένα εἰς τὴν εὐπορίην, ὡς δέοι. εἰ δὲ μὴ, ἐπὶ
τοῦ χρέους, ἀπορίη ἀεὶ δή. μελετᾶν δὲ χρὴ ἐν ἰητρικῇ
ταῦτα, μετὰ πάσης καταστολῆς. περὶ ψηλαφίης, καὶ ἐγ-
χρίσιος, καὶ ἐγκαταντλήσιος πρὸς τὴν εὐρυθμίην
τῶν χειρέων. περὶ πλμάτων. περὶ σπληνῶν. περὶ ἐπι-
δέσμων. περὶ τῶν ἐκ καταστάσιος. περὶ φαρμάκων,
ἐς τρώματα, καὶ ὀφθαλμικά. καὶ τουτέων πρὸς τὰ
10 γένεα. ἵν᾽ ἦ σοι προκατηρτισμένα, ὄργανά τε καὶ μηχα-
ναὶ, καὶ σίδηρος ὁ ἑξῆς. ἡ γὰρ ἐν τουτέοισιν ἀπορίη, ἀ-
μηχανίη καὶ βλάβη ἐστίν. ἔστω δέ σοι ἑτέρη παρέξοδος ἡ
λιτοτέρη [30] πρὸς τὰς ἐπιδημίας, ἡ διὰ χειρέων. [31] ἡ δὲ
εὐχερεστάτη, διὰ μεθόδων. οὐ γὰρ οἷόν τε διέρχεσθαι
πάντα τὸν ἰητρόν. ἔστω δέ σοι εὐμνημόνευτα, φάρμακά
τε καὶ δυνάμιες ἁπλαῖ, καὶ ἀναγεγραμμέναι, εἴ-
περ ἄρα ἐστὶν ἐν νόῳ καὶ τὰ περὶ νούσων ἰήσιος, καὶ οἱ
τουτέων τρόποι, ὁσαχῶς, καὶ ὃν τρόπον περὶ ἑκάστων ἔχου-
σιν. αὕτη γὰρ ἀρχὴ ἐν ἰητρικῇ, καὶ μέσα, καὶ τέλος.
20 προκατασκευάσθω δέ σοι, καὶ μαλαγμάτων γένεα.
πρὸς τὰς ἑκάστων χρήσιας. ποτήματα τέμνειν δυνά-
μενα, ἐξ ἀναγραφῆς ἐσκευασμένα πρὸς τὰ γένεα.
προητοιμάσθω δὲ καὶ τὰ πρὸς φαρμακίην ἐς τὰς
καθάρσιας εἰλημμένα, ἀπὸ τόπων τῶν καθηκόντων, ἐ-
σκευασμένα, εἰς ὃν δὴ τρόπον πρὸς τὰ γένεα καὶ τὰ με-
γέθεα ἐς παλαίωσιν μεμελετημένα, τὰ δὲ πρόσφατα
ὑπὸ τὸν καιρὸν, καὶ τἄλλα κατὰ λόγον. ἐπὴν δὲ ἐ-
σίῃς πρὸς τὸν νοσέοντα, τουτέων σοι ἀπηρτισμένων, ἵνα
μὴ ἀπορῇς, εὐθέτως ἔχων ἕκαστα πρὸς τὸ ποιησόμενον.
30 ἴσθι δὲ γινώσκων, ὃ χρὴ ποιέειν πρὶν ἐσελθεῖν. πολλὰ γὰρ
οὐδὲ συλλογισμοῦ, ἀλλὰ βοηθείης δεῖται τῶν πρη-
γμάτων. προδιαστέλλεσθαι οὖν χρὴ τὸ ἐκβησόμενον
ἐκ τῆς ἐμπειρίης. ἔνδοξον γὰρ καὶ εὐμαθές. ἐν δὲ εἰσό-
δῳ μεμνῆσθαι καὶ καθέδρης· καὶ καταστολῆς· περιστο-
λῆς· [32] ἀνακυριώσιος· βραχυλογίης· ἀταραξοποιη-
σίης· προσεδρίης· ἐπιμελείης· [33] ἀντιλέξιος πρὸς τὰ ἀ-
παντώμενα· πρὸς τοὺς ὄχλους τοὺς ἐπιγινομένους, εὐ-
σταθίης τῆς ἐν ἑαυτῷ. πρὸς τοὺς θορύβους ἐπιπλήξιος·
πρὸς τὰς ὑπουργίας, ἑτοιμασίης· ἐπὶ τουτέοισι μέ-
40 μνησο παρασκευῆς τῆς πρώτης. εἰ δὲ μὴ τὰ κατ᾽ ἄλ-
λα ἀδιάπτωτον. ἐξ ὧν παραγγέλλεται εἰς ἑτοιμασίην.
ἐσόδῳ χρέο πυκνῶς, ἐπισκέπτεο ἐπιμελέστερον, τοῖσιν ἀ-
πατεομένοισιν, ἐπὶ τὰς μεταβολὰς ἀπαντῶν. ῥᾶον
γὰρ εἴσῃ, ἅμα δὲ καὶ εὐμαρέστερος ἔσῃ. ἄστατα γὰρ τὰ
ἐν ὑγροῖσι. διὸ καὶ εὐμετάποιητα ὑπὸ φύσιος καὶ
ὑπὸ τύχης. ἀβλεπτηθέντα γὰρ τὰ κατὰ τὸν καιρὸν
τῆς ὑπουργίης, ἔφθασαν ὁρμήσαντα καὶ ἀνελόντα. οὐ γὰρ
ἦν τὸ ἐπικουρῆσον. πολλὰ γὰρ ἅμα τὰ ποιέοντά τι χα-
λεπόν. [34] τὸ γὰρ καθ᾽ ἓν κατ᾽ ἐπακολούθησιν εὐθετώτε-
50 ρον καὶ ἐμπειρότερον. [35] ἐπιτηρεῖν δὲ δεῖ καὶ τὰς ἁμαρτίας τῶν
καμνόντων,

καμνόντων, δι' ὧν πολλοὶ πολλάκις διεψεύσαντο, ἐν τοῖσι προσφάρμασι τῶν προσφερομένων. [36] ἐπεὶ τὰ μισητὰ ποτήματα λαμβάνοντες, ἢ φαρμακευόμενοι, ἢ θεραπευόμενοι, ἀπηρέθησαν. καὶ αὐτῶν μὲν οὐχ ὡς ὁμολογίαν τρέπεται τὸ ποιηθέν· τῷ δ' ἰητρῷ τὴν αἰτίαν προσῆψαν. ἐσκέφθαι δὲ χρή, καὶ τὰ περὶ ἀνακλίσεων. ἃ μὲν αὐτέων πρὸς τὴν ὥρην, ἃ δὲ καὶ πρὸς τὰ γένεα. [37] οἱ μὲν γὰρ αὐτέων, ἐς θερινούς. οἱ δέ, ἐς καταγείους καὶ σκοτεινοὺς τόπους. τά τε ἀπὸ ψόφων καὶ ὀσμῶν, μάλιστα δὴ ἀπὸ οἴνου, χειροτέρη γὰρ αὕτη. φυγεῖν δὲ καὶ μετιθέναι. πρήσσειν δὴ ἅπαντα ταῦτα ἡσύχως, εὐσταλέως. μεθ' ὑπουργίης, τὰ πολλὰ [38] τὸν νοσέοντα ὑποκρυπτόμενον, ὧδε χρή, παρακελευόντα ἱλαρῶς καὶ εὐδεινῶς [39] σφέτερα δὲ ἀποτρεπόμενον, ἅμα μὲν ἐπιπλήσσειν [40] μετὰ πικρίης καὶ ἐντάσεων, ἅμα δὲ παραμυθέεσθαι μετ' ἐπιστροφῆς [41] καὶ ὑποδέξιος, μηδὲν ὑποδεικνύντα τῶν ἐσομένων, ἢ ἐνεστώτων αὐτέοισι. πολλοὶ γὰρ δι' αἰτίην ταύτην, [42] ἐφ' ἑκάτερα ἀπεώσθησαν, διὰ τὴν πρόρρησιν τὴν προειρημένην τῶν ἐνεστώτων, ἢ ἐπεσομένων. τῶν δὲ μανθανόντων ἔστω τις ὁ ἐφεστώς, ὅκως τοῖσι παραγγέλμασιν οὐ πικρῶς χρήσηται. ποιήσῃ δ' ὑπουργίην τὸ προσταχθέν. ἐκλέγεσθαι δὲ ἀπ' αὐτέων ἤδη τοὺς ἐς τὰ τέχνης εἰλημμένους, προσδοῦναί τι τῶν ἐς τὸ χρέος, ἢ ἀσφαλέως προσενεγκεῖν. ὅκως τε ἐν διαστήμασι μηδὲν λανθάνῃ σε. ἐπιτροπὴν δὲ τοῖσιν ἰδιώτῃσι μηδέποτε διδοὺς περὶ μηδενός. εἰ δὲ μή, τὸ κακῶς πρηχθέν, εἰς σὲ χωρήσει τοῦ ψόγου, [43] ἐὰν μήποτ' ἀμφιβόλως ἔχῃ, ἐξ ὧν τὸ μεθοδευθὲν χωρήσει, καὶ οὐ σοὶ τὸν ψόγον περιάψει, καὶ τευχθὲν δέ, πρὸς τὸ γένος ἔσται. προλέγε οὖν ταῦτα πάντα, ἐπὶ τῶν ποιευμένων, οἷς καὶ τὸ ἐπιγνῶσθαι πρόκειται. τουτέων οὖν ἐόντων, τῶν πρὸς εὐδοξίην καὶ εὐσχημοσύνην, τῶν ἐν τῇ σοφίῃ καὶ ἰητρικῇ, καὶ ἐν τῇσιν ἄλλῃσι τέχνῃσι, χρὴ τὸν ἰητρὸν διειληφότα τὰ μέρεα περὶ ὧν εἰρήκαμεν, περιεννύμενον πάντοτε [44] τὴν ἑτέρην διατηρέοντα φυλάσσειν, καὶ παραδιδόντα ποιέεσθαι. εὔκλεα γὰρ ἐόντα πᾶσιν ἀνθρώποισιν, διαφυλάσσεται. οἵ τε δι' αὐτέων ὁδεύσαντες, δοξαστοὶ, πρὸς γονέων καὶ τέκνων. κἢν τινες αὐτέων μὴ πολλὰ γινώσκωσιν, ὑπ' αὐτέων τῶν πρηγμάτων ἐς σύνεσιν καθίστανται.

ægrotorum errores, ex quibus multi frustrati sunt in oblatis assumendis, quandoquidem exosis sumptis potionibus, aut medicationibus, aut curationibus, e medio sublati sunt. Quod quidem se fecisse minimè fatentur, sed culpam in Medicum conferunt. In considerationem verò etiam adhibendi sunt eorum decubitus, partim quidem pro anni tempestate, partim verò pro suo quique genere. Quidam enim in sublimibus, alij verò in subterraneis & obscuris locis decumbunt. Strepitus quoque & odores, vinique præcipuè (hic enim deterrimus est) fugiendi & permutandi. Quæ omnia placidè & succinctè facienda, ità vt plærunque in ipsa administratione ægrum celet, hilari & sereno vultu esse iubeat, eumque à suis cupiditatibus deterreat, & simul quidem cum amarulentia vehementer increpet, simulque eum commonefaciendo & blandè excipiendo cōsoletur, neq; quicquam eorum quæ instant aut facta sunt ipsis indicet. Iccirco enim multi ob commemoratam instantium aut post futurorum prædictionem, ad extremorum alterutrum detrusi sunt. Adsit autem ex discipulis aliquis qui præsit, quò præceptionibus citra amarulentiam vtatur, & quod imperatum est subministretur. Ex his verò deligendi qui iam in arte prouecti sunt, vt ea quæ sunt vsui exhibere, vel securè offerre sciant, neque in interuallis quicquam te lateat. Nullius verò rei curam plebeiis vnquam committas, alioqui eius quod malefactum est reprehensio ad te redundabit. Quòd si minimè fuerit ambiguum, ex quibus quod via & ratione tractatum est procedat, neque tibi vituperationem comparabit, & rei euentus ad genus referetur. Quamobrem ista omnia dum fiunt iis qui ad istorum cognitionem incumbunt, prædicito. Cùm igitur hæc ad comparandam existimationem & vetustatem, tum in sapientia, tum in Medicina, tum in reliquis artibus valeant, Medicus eas de quibus diximus partes complecti debet, & semper alteram sibiipsi superimponere, obseruare ac custodire, & in opere ipso cum cæteris communicare. Hæc enim ab omnibus propter nominis splendorem obseruantur, quique hac via incedunt, gloriam tum apud maiores, tum apud posteros sibi comparabunt. Qui etsi non multarum rerum cognitionem habēt, earum tamen vsu assiduo prudentiam assequuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΑΡΑΓΓΕΛΙΑΙ.

HIPPOCRATIS PRAECEPTIONES.

Χ[1]ΡΟΝΟΣ ἐστίν, ἐν ᾧ καιρός. καὶ καιρός, ἐν ᾧ χρόνος οὐ πολύς. ἄκεσις χρόνῳ. ἔστι δ' ἡνίκα καὶ καιρῷ. δεῖ γε μὴν ταῦτα εἰδότα, μὴ λογισμῷ πρότερον πιθανῷ προσέχοντα ἰητρεύειν, ἀλλὰ τριβῇ μετὰ λό-

TEMPVS dicendum est, in quo occasio consistit. Occasio autem, in qua tempus nō multum. Medicatio in tempore fit, aliquando etiam occasionem requirit. Qui igitur ista norit, ad curationem aggredi debet, neque priùs ad ratiocinationis persuasionem, quàm ad vsum cum ratione coniunctum animum

adhibere. Ratiocinatio enim in eorum quæ sensu comprehenduntur recordatione quadam consistit. Sensus nanque euidenti imaginatione conceptus, primam eorum quæ subiecta sunt perpensionem suscipit, & ad cogitationem transmittit. Hæc verò vbi receperit, frequenterque quibus, quando & qualiter conuenit ista conseruarit, in sese reponit & recordatur. Ratiocinationem igitur plurimùm laudo, siquidem ex fortuita occasione initium ducat, & ipsam delationem ex apparentibus via quadam persequatur. Ex his enim quæ manifestò perficiuntur, si ratiocinatio initium duxerit, in mentis potestate, quæ ab aliis singula recipit, esse deprehendetur. Quamobrem existimandum est naturam à multis & cuiuslibet generis rebus vi quadam cogente moueri ac doceri. Mens autem vbi ab ea acceperit, quemadmodum antè dixi, postea ad veritatem deducit. Quòd si non ex euidenti incursione, verùm ex probabili rationis fictione initium ducatur, plærunque grauem & molestam infert affectionem. Ij verò nulla via rem ipsam aggrediuntur. Quidnam enim mali contingat, si mercedem auferant qui Medica opera publicè malè exercent? At nunc ægrotis ipsis, cùm sint extra culpam, non satis esse vis morbi visa est, nisi etiam Medici imperitia accederet. Ac de his quidem hæc satis dicta sunt, nisi quòd nullum ex his quæ sola ratione concluduntur fructum percipere licet, verùm ex his quæ operis demonstrationem habent. Fallax enim & ad errorem procliuis asseueratio, quæ est cum garrulitate coniuncta. Quocirca his quæ fiunt in vniuersum insistere oportet, & circa ea vel maximè versari, si quis facilem & eum extra culpam habitum, quem certè Medicinam vocamus, sibi comparare velit. Maximam enim vtilitatem tum ægrotis, tum iis qui illorum res administrant comparabit. Neque vero pigeat ex plebeiis sciscitari, si quid ad curandi opportunitatem conferre videatur. Sic enim censeo artem vniuersam commonstratam fuisse, quòd singula ex fine obseruata, & ad eadem aggregata fuerint. Animum igitur adhibere oportet fortuitæ occasioni, quæ plærunque se offert, quæque cum vtilitate & lenitudine potiùs coniuncta est, quàm cum pollicitatione & facti defensione. Vtile verò etiam eorum quæ ægro offeruntur varietatem constituere. Neque enim asseuerare oportet quòd vnum aliquod exhibitum remedium profuturum sit. Affectiones etenim omnes ob varias casuum attributiones & mutationes, diuturniore quadam mora assident. Quin & istud vt consideretur admonitione indiget. Si nanque à mercede initium duxeris (quod ad totum negotium aliquid confert) ægroto quidem istam iniicies opinionem, te eo relicto non discessurum. Quòd nisi cum eo conueneris, quòd & eum neglecturus sis, neque de quibusdam ad rem præsentem necessariis sis admonitutus. De mercede igitur constituẽda curam habere oportet. Eiusmodi enim animi inductionem ægro inutilem esse existimamus, idq; multò magis in morbo acuto. Morbi enim celeritas, cùm nullã ad reuersionem occasionem exhibeat, bonum Medicum minimè impellit. vt suam vtilitatem quærat, verùm vt potiorem suæ existimationis rationẽ habeat. Itaque longè satius est a morbo seruatis exprobrare,

γου. ὁ γὰρ λογισμὸς, μνήμη τίς ἐστι ξυνθετικὴ τῶν μετ'
αἰσθήσεως ληφθέντων. ἐφαντασιώθη γὰρ ἐναργέως. ἥ-
τε αἴσθησις προπαθὴς καὶ ἀναπομπὸς ἐοῦσα εἰς διά-
νοιαν τῶν ὑποκειμένων. ἡ δὲ παραδεξαμένη πολλάκις,
οἷς, ὅτε καὶ ὁμοίως, [2] ταῦτα τηρήσασα καὶ ἐς ἑωυτὴν κα-
ταθεμένη, ἐμνημόνευσε. ξυγκαταινέω μὲν οὖν καὶ τὸν λο-
γισμὸν, ἤν περ ἐκ περιπτώσιος ποιῆται τὴν ἀρχὴν,
καὶ τὴν καταφορὴν ἐκ τῶν φαινομένων μεθοδεύῃ. ἐκ
γὰρ τῶν ἐναργέως ἐπιτελεομένων, ἢν τὴν ἀρχὴν ποι-
10 ήσηται ὁ λογισμὸς, ἐν διανοίης δυνάμει ὑπάρχων εὑ-
ρίσκεται, παραδεχομένης αὐτῆς ἕκαστα παρ' ἄλλων. ὑ-
πολη πτέον οὖν [3] τὴν φύσιν ὑπὸ τῶν πολλῶν καὶ παν-
τοίων πρηγμάτων κινηθῆναί τε καὶ διδαχθῆναι, βίης ὑπο-
εούσης. ἡ δὲ διάνοια παρ' αὐτῆς λαβοῦσα ὡς προείρηται,
ὕστερον εἰς ἀληθείην ἤγαγεν. [4] εἰ δὲ μὴ ἐξ ἐναργέος ἐ-
φόδου, ἐκ δὲ πιθανῆς ἀναπλάσιος λόγου, πολλάκις
βαρείην καὶ ἀνιαρὴν ἐπήνεγκε διάθεσιν. οὗτοι δὲ ἀνο-
δίην χωρίζουσι. εἰ γὰρ αὖ ἦν κακὸν, ἢν τὰ ἐπιχείρα ἐ-
κομίζοντο, οἱ τὰ τῆς ἰητρικῆς ἔργα κακῶς δημιουργέον-
20 τες; νῦν δὲ τοῖσιν ἀναιτίοισιν ἐοῦσι τῶν καμνόντων, ὁκόσοι-
σιν οὐχ ἱκανὴ ἐφαίνετο ἐοῦσα τοῦ νοσέειν βίη, εἰ μὴ ξυνέλ-
θοι τῇ τοῦ ἰητροῦ ἀπειρίη. περὶ μὲν οὖν τουτέων, ἅλις ἔ-
στω διηλεγμένα. τῶν δὲ ὡς λόγου μόνου ξυμπεραινομέ-
νων, μὴ εἴη ἐπαύρεσθαι, τῶν δὲ ὡς ἔργου ἐνδείξιος. σφα-
λερὴ γὰρ καὶ εὔπταιστος ἡ μετ' ἀδολεσχίης ἰσχύρησις. διὸ
καὶ καθόλου δεῖ ἔχεσθαι τῶν γινομένων, καὶ περὶ ταῦτα
μὴ ἐλαχίστως γίγνεσθαι, ἢν μέλλῃ ἕξιν ῥηϊδίην καὶ ἀνα-
μάρτητον ἕξειν, ἣν δὴ ἰητρικὴν προσαγορεύομεν. κάρ-
τα γὰρ μεγάλην ὠφελίην περιποιήσει τοῖσί γε νοσέου-
30 σι, καὶ τοῖσι τουτέων δημιουργοῖσιν. μὴ ὀκνέειν δὲ παρὰ ἰ-
διωτέων ἱστορέειν, ἤν τι δοκέῃ ξυμφέρειν, εἰς καιρὸν θερα-
πείης. οὕτω γὰρ δοκέω τὴν ξύμπασαν τέχνην ἀναδει-
χθῆναι, διὰ τὸ ἐξ ἑκάστου τοῦ τέλους τηρηθῆναι, καὶ
εἰς ταὐτὰ ξυναυλισθῆναι. προσέχειν οὖν δεῖ περιπτώ-
σει τε τῇ ὡς ἐπιτοπολύ. καὶ μετ' ὠφελείης καὶ ἠρεμαιό-
τητος μᾶλλον, ἢ ἐπαγγελίης καὶ ἀπολογίης τῆς μετὰ πρή-
ξιος. χρήσιμος δὲ καὶ ποικίλος τῶν προσφερομένων τῷ
νοσέοντι, καὶ ὁ προσερεισμὸς, ὅτι μόνον τι προσενεχθὲν ὠ-
φελήσει. οὐ γὰρ ἰσχυρήσιος δεῖ. πάντα γὰρ τὰ πάθη
40 διὰ πολλὰς περιστάσιας καὶ μεταβολὰς μονῇ τινι προσ-
καθίζει. παραινέσιος δὲ αὖ καὶ τοῦτο ἐπιδεηθείη τῆς θεω-
ρίης. εἰ γὰρ ἄρξαιο περὶ μισθαρίων, ξυμβάλλει γάρ
τι καὶ τῷ ξύμπαντι, τῷ μὲν ἀλγέοντι τοιαύτην διανόη-
σιν ἐμποιήσεις, τὴν ὅτι οὐκ ἀπολιπὼν αὐτὸν πορεύσῃ, μὴ
ξυνθέμενος, καὶ ὅτι ἀμελήσεις, καὶ οὐχ ὑποθήσεις τι-
νὰ τῷ παρεόντι. ἐπιμελεῖσθαι δεῖ οὖν περὶ στάσιος μι-
σθοῦ. ἄχρηστον γὰρ ἡγεύμεθα ἐνθύμησιν ὀχλεομέ-
νου τὴν τοιαύτην, πολὺ δὲ μᾶλλον, [7] ἐν ὀξεῖ νοσήματι.
νούσου γὰρ ταχύτης καιρὸν μὴ διδοῦσα ἐς ἀναστροφὴν, οὐκ
50 ἐποτρύνει τὸν καλῶς ἰητρεύοντα ζητεῖν τὸ λυσιτελὲς, ἔχε-
σθαι δὲ δόξης μᾶλλον. κρέσσον οὖν σεσωσμένοισιν ὀνειδίζειν, ἢ
ἐλε-

[9] ὀλεθρίως ἔχοντας προσεμύξαι. καίτοι ἔνιοι νοσέοντες ἀξιοῦσι τὸ ξενοπρεπὲς καὶ τὸ ἄδηλον προκρίνοντες, ἄξιοι μὲν ἀμελίης, οὐ μέντοι γε κολάσιος προκρίνοντες. διὸ τουτέοισιν ἀντιτάξῃ εἰκότως μεταβολῆς ἐπὶ σάλου πορθουμένοισι. τίς γὰρ ὦ πρὸς θεῶν, ἠδελφισμένος ἰητρὸς, ἢν δὴ μὴ πίστει [10] ἢ ἀτεραμνίῃ. ὥστ᾽ ἐν ἀρχῇ ἀνακρινέοντας περὶ πάθος, μὴ ὑποτίθεσθαί τινα ξυμφέροντα ἐς θεραπείην, ἀποθεραπεῦσαί τε τὸν νοσέοντα καὶ μὴ παριδεῖν· τῆς δ᾽ ἐπικαρπίης μὴ αἰτεῖν τῆς ἐπισκευαζούσης πρὸς, μάθησιν ἐπιθυμίης. παρακελεύομαι δὲ μὴ λίην ἀπανθρωπίην εἰσάγειν, ἀλλ᾽ ἀποβλέπειν ἔς τε περιουσίην καὶ οὐσίην. ὅτε δὲ προῖκα, ἀναφέρων μνήμην εὐχαριστίης προτέρην, ἢ παρεοῦσαν εὐδοκίμην. ἢν δὲ καιρὸς εἴη χορηγίης ξένῳ τε ἐόντι καὶ ἀπορέοντι, μάλιστα ἐπαρκέειν τοῖσι τοιουτέοισιν. ἢν γὰρ παρῇ φιλανθρωπίη, πάρεστι καὶ φιλοτεχνίη. ἔνιοι γὰρ νοσέοντες, ᾐσθημένοι τὸ περὶ ἑωυτοὺς πάθος μὴ ἐὸν ἐν ἀσφαλείῃ, καὶ τῇ τοῦ ἰητροῦ ἐπιεικείῃ εὐδοκιμέουσι, μεταλλάσσοντες ἐς ὑγιείην. εὖ δ᾽ ἔχει νοσεόντων μὲν ἐπιστατέειν, ἕνεκεν ὑγιείης· ὑγιαινόντων δὲ φροντίζειν, ἕνεκεν ἀνοσίης. φροντίζειν καὶ ὑγιαινόντων, ἕνεκεν εὐσχημοσύνης. οἱ μὲν οὖν ἐόντες ἐν βυθῷ ἀτεχνίης, τῶν προλελεγμένων οὐκ ἂν αἰσθάνοιντο. καὶ γὰρ οὗτοι ἀϊητροὶ ἐόντες, ἔλεγχοι καὶ ποδὸς ὑφειμένοι, τύχης γε μὴν δεόμενοι, ὑπό τινων εὐπόρων [11] καὶ γενῶν ἔνδοσιν ἀναλαμβάνονται. ἑκάτεροι ἐπὶ τεύχεσιν εὐδοκιμέοντες καὶ διαπίπτοντες ἐπὶ τὸ χεῖρον, καταχλιδῶσι καταμεμεληκότες [12] τὰ τῆς τέχνης ἀνυπεύθυνα. ἐφ᾽ οἷς ἂν ἰητρὸς ἀγαθὸς ἀκμάζοι ὁμότεχνος καλεόμενος. ὁ δὲ τὰς ἀκέσιας ἀναμαρτήτους ῥηϊδίως ἐπιτελέων, οὐδὲν τουτέων παραβαίη, οὐ πολλοῦ ἀπορίῃ τοῦ δύνασθαι. οὐ γὰρ ἄπιστός ἐστιν ὡς ἐν ἀδικίᾳ. περὶ γὰρ θεραπείην οὐ γίνονται σκοπέοντες [13] διάθεσιν, φθονώδεα φυλασσόμενοι, ἑτέρων ἰητρῶν ἐπεισαγωγήν. αἰνοῦντες ἐν μισοπονείῃ βοηθήσιος. οἵ τε νοσέοντες ἀνιώμενοι, νήχονται ἐπὶ ἑκατέρῃ μοχθηρίῃ, μὴ ἐγκεχειρικότες ἑωυτοὺς ἕως τέλεος τῇ ἐν τῇ τέχνῃ πλείονι θεραπείῃ. ἄκεσις γὰρ νούσου τινὸς κάμνοντι παρέχει μεγάλην διεωρίην. διὸ δεόμενοι τὴν ὑγιηνὴν διάθεσιν, οὐκ ἐθέλουσι τὴν αὐτὴν χρῆσιν αἰεὶ προσδέχεσθαι, ὁμοιοῦντες ἰητροῦ ποικιλίην. πολυτελείης γὰρ ἀπορέουσιν οἱ νοσέοντες, κακοτροπίην προσκυνεῦντες καὶ ἀχαριστέοντες. ξυντυχεῖν, δυνατοὶ δ᾽ ἐόντες, εὐπορέειν, [14] διαγωνίζονται περὶ μισθαρίων ἀρεχέως ἐθέλοντες ὑγιέες εἶναι εἵνεκεν ἐργασίης τόκων, ἢ γεωργίης, ἀφειδέοντες τουτέων λαμβάνειν. [15] παρασημασίης τοιαύτης ἅλις ἔστω. ἄνεσις γὰρ καὶ ἐπίτασις νοσέοντος, [16] ἐπινέμουσιν ἰητρικὴν κέκλησιν). οὐκ ἀσχήμον δὴ, οὐδ᾽ ἢν τις ἰητρὸς στενοχωρέων τῷ παρεόντι ἐπί τινι νοσέοντι καὶ ἐπισκοτεόμενος τῇ ἀπειρίῃ, κελεύῃ καὶ ἑτέρους εἰσάγειν εἵνεκα τοῦ ἐκ κοινολογίης ἱστορῆσαι τὰ περὶ τὸν νοσέοντα, καὶ συνεργοὺς γενέσθαι ἐς εὐπορίην βοηθήσιος. [17] εἰ γὰρ κακοπαθίης παρεδρίης ἐπιτείνοντος τοῦ πάθεος δι᾽ ἀπορίην τὰ πλεῖστα ἐκκλίνουσι τῷ παρεόντι.

ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθίσταται, ἔμπυον ἔσεσθαι σημαίνει. [20] καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τ' ωὐτό. ὁκόσα μὲν οὖν ἐπώδυνά τε ἐστὶ, καὶ σκληρὰ καὶ μεγάλα σημαίνει κίνδυνον θανάτου, ὀλιγοχρόνιον. ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων. τὰς δ' ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται, τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν. [21] ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ εἰς ἀποπύησιν τρέπεται. αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι. ἀπάντων δ' χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ ταῦτα τὰ χωρία, ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας. τὰ δ' διαπυήματα ὧδε δεῖ σκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι. μικρά τε ἐόντα. καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω. καὶ ἐς ὀξὺ ἀποκυρτούμενα. τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα. ὅσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἔστι προεσταλμένα τε, καὶ ἀνώδυνα. καὶ πᾶν τὸ ἔξω χωρίον, [22] ὁμόχροον φαίνεται. Τὸ δ' πῦον, ἄριστον λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. τὸ δ' ἐναντίον τουτέου, κάκιστον. Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νουσημάτων πάντες κακοί. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν. ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι, ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος. οἱ δ' ἀπὸ τοῦ ἥπατος. οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται, οἵ τε πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι ἔχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων, καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι. ὁκόσοισι δ' ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίνονται, βηχές τε καὶ [23] θυμὸς τούτοισιν ἐγγίνεται. καὶ οὐδὲν τι ἀποπτύουσιν ἄξιον λόγου. καὶ οἱ πόδες οἰδέουσι. καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην. καὶ περὶ τὴν κοιλίην γίνονται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερὰ, [24] ἱστάμενά τε, καὶ καταπαυόμενα. κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες, ψυχρὰ ἐόντα, κακόν. τῆς τε κοιλίης καὶ τῶν πλευρῶν, θερμῶν ἐόντων. ἄριστον δὲ καὶ ὅλον τὸ σῶμα, θερμόν τε ἐὸν καὶ μαλθακόν. στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγέοντα καὶ ἐν τοῖσιν μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο, καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνότερον. εἰ δ' πρὸς τῷ βάρει καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται προσδόκιμος ὁ θάνατος παραυτίκα. μελαινόμενοι δ' παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσίν. ἀλλὰ καὶ τ' ἄλλα σημεῖα σκέπτεσθαι χρή. ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν, καὶ ἄλλο τι τῶν περιεστηκότων πρὸς τουτέοισι τοῖσι σημείοισιν ὑποδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς. ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν. ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα. Περὶ δ' ὕπνον ὥσπερ κατὰ φύσιν συνήθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην, ἐγρηγορέναι χρή. τὴν δὲ νύκτα, καθεύδειν.

ἢν δὲ

ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροι εἰσί. κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνοίη, ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου. Διαχώρημα δὲ ἐστὶν ἄριστον, τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς. καὶ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν ἐσιόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει[25] μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι. καὶ κατ' ὀλίγον ὑποχωρέειν. κοπιῇ γὰρ ὁ ἄνθρωπος, ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος, καὶ ἀγρυπνοίη ἄν. εἰ δὲ ἀθρόον πολλάκις διαχωρέοι, κίνδυνος λειποθυμῆσαι. ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, ἢ δὶς, ἢ τρὶς τῆς ἡμέρης ὑποχωρέειν. τῆς δὲ νυκτὸς, ἅπαξ.[26] πλείονα δ' ἐπὶ τὸ πρωῒ, ὥσπερ συνήθές ἐστι τῷ ἀνθρώπῳ. παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νόσου. ὑπόπυρρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες.[27] ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς κρίσιν ἰούσης τῆς νόσου. δεῖ δὲ ἐν παντὶ τῷ νοσήματι, λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον. ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα. ἔτι δὲ πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον. τουτέων δὲ θανατωδέστερα ἂν εἴη, τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πέλια, ἢ ἰώδεα, ἢ κάκοδμα. τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ τὰ τοιαῦτα, ξυσματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα, καὶ μέλανα. ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι. ποτὲ δὲ κατὰ μέρος. φῦσαν δὲ ἄνευ ψόφου καὶ παρδήσιος διεξιέναι, ἄριστον. κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν,[28] ἢ αὐτοῦ ἀνειλέεσθαι. καὶ οὕτω διεξιοῦσα σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν. ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται. Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ. καὶ μάλιστα μὲν διεξιὼν, ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ. ἢν δὲ μὴ,[29] καὶ αὐτὸς δὴ περαιωθεὶς, ὠφελέει. ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία. Τὸ δὲ οὖρον ἄριστόν ἐστι, ὅταν ᾖ λευκή τε ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ ἀσφάλειάν τε καὶ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοιτο, ποτὲ δὲ ὑφίσταται τὸ λευκὸν, καὶ λεῖον, χρονιωτέρη γίνεται ἡ νοῦσος, καὶ ἧσσον ἀσφαλής. εἰ δὲ εἴη τό, τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτέου ὁμοίη, καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα. κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν αἱ ὑποστάσιες, πονηραί. τουτέων δὲ εἰσι κακίους, αἱ πεταλώδεες. αἱ λευκαὶ δὲ καὶ λεπταὶ, κάρτα φλαῦραι. τουτέων δ' ἔτι κακίους εἰσὶν, αἱ πιτυρώδεες.[30] νεφέλαι ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαί. μέλαιναι δὲ φλαῦραι.

Quòd si istud immutatum fuerit, deterius existimandum. At minimùm offenditur æger, si prima luce dormiat ad tertiam diei partem. Qui verò postea somnus contingit, deterior est. Pessimum autem si neque noctu, neque interdiu dormiat. Nam aut ob dolorem insania adest, aut delirij affuturi hæc nota est. Alui deiectio optima est, si mollis est & consistat, eoque tempore quo per sanitatem deiici soleat, copia verò ciborum ingestorum rationi responderit. Talis enim exitus inferiorem aluum bene valere declarat. At liquida alui egestio ex vsu est, si neque stridet, neque crebrò, neque ex breuibus interuallis excernitur. Frequens enim desidendi labor ægrum fatigat, eique insomniam adfert. Quòd si affatim & sæpe deiicit, periculum est ne animus deficiat. Verùm pro ingestorum ciborum copia, bis aut ter interdiu, & noctu semel, deiici debet, plus tamen prima luce, pro hominis consuetudine. Crassiorem autem fieri deiectionem oportet, morbo ad iudicationem procedente. Sit etiam subfulua, neque admodum graueolens. Lumbricos quoque rotundos cum alui excretione prodire, morbo in iudicationem tendente expedit. In omni verò morbo ventrem mollem esse, & mediocriter extumescere conuenit. At valde aquosum, aut album, aut ex viridi pallidum, aut vehementer rubrum, aut spumans deiici, hæc omnia mala sunt. Præter hæc quoque malum est, quod exiguum, glutinosum, candidum, ex viridi subpallidum & læue existit. His verò magis lethalia sunt nigra, aut pinguia, aut liuida, aut æruginosa aut fœtida. Varia autem his quidem sunt diuturniora, nihilo tamen minus exitialia. Huiusmodi sunt strigmentosa, biliosa, cruenta, porracea & nigra, modò simul inter se mixta, modò per vices prodeuntia. Flatum autem sine sonitu quidem ac crepitu exire optimum. Præstat tamen cum strepitu prodire, quàm isthic reuolui. At qui eo modo prodit, ægrum aliquo dolore vexari, aut delirare indicat, nisi æger sua sponte hoc modo flatum emiserit. At præcordiorum dolores & tumores, recentes quidem & sine inflammatione, murmur soluit circa præcordia exortum, idque potissimùm si cum stercore, vrina & flatu prodierit, aliôqui vbi ipsum per se transmissum fuerit, iuuat, idq; magis si ad inferiores sedes descenderit. Vrina optima est, in qua per omne tempus, quoad morbus iudicatus fuerit, subsidet album, læue & æquale. Securitatem enim breuemque morbum fore significat. Quòd si intermittat, & interdum quidem pura meiatur, interdum etiam subsidet album & læue, diuturnior & minùs securus morbus euadit. At vrina subrubra, similéque quod subsidet, & læue, hæc longè quidem diuturnior quàm prima fit, valde tamen salutaris. Sedimenta autem in vrinis crassiores hordei tosti non exactè moliti partes referentia, praua sunt, hisque peiora laminis similia. Alba verò & tenuia, valde praua, atque his etiam deteriora furfuracea. Nubeculæ quæ per vrinas feruntur, albæ quidem, bonæ; nigræ verò, malæ sunt.

Quoad autem vrina fulua fuerit & tenuis, crudum esse morbum indicat. Quòd si diutiùs talis vrina perseueret, periculum est ne non possit æger sufficere, quoad vrina concoquatur. At exitiosiores sunt vrinæ fœtidæ, & aquosæ, & nigræ, & crassæ. Ad hæc in viris quidem & mulieribus vrinæ nigræ, in pueris aquosæ, deterrimæ. Quibus vrinæ tenues & crudæ multo tempore redduntur, si reliqua signa salutaria sint, in iis abscessus ad loca infra septum transuersum expectari debet. Quinetiam pinguedines supra innatantes araneorum telas referentes, damnare oportet, colliquationem namque significant. In vrinis autem quæ nubeculas habent, considerandum venit, an supernè, an infernè ferantur, & quosnam habeant colores. Et quæ quidem deorsum feruntur, cum dictis coloribus, bonæ censendæ & commendandæ, at quæ sursum feruntur, malæ & vituperandæ. Neque verò tibi imponat vesica quoquo modo affecta, si huiusmodi vrinas reddiderit. Non enim totius corporis, sed ipsius per se indicium est. Vomitus perquam est vtilis, qui bilem pituitæ quàm maximè permixtam habet, ac neque admodum crassus est, neque multus. Qui enim sinceriores, peiores sunt. Si verò quod vomitione reiicitur porrum colore referat, aut liuidum, aut nigrum fuerit, quisquis horum colorum adfuerit, prauus existimandus est. Quòd si eodem vomitu omnes hi colores reiiciantur, id exitiale est admodum. At liuidus vomitus, si grauiter olet, celerrimam mortem denunciat. Omnésque subputres & graues odores, in omnibus vomitionibus mali. In omnibus pulmonis & laterum doloribus, sputum celeriter promptéque expui conuenit, sputóque flauum valde permixtum apparere. Etenim si multò post doloris initium, quod flauum est, aut fuluum, aut multam tussim exhibeat, neque valde pexmixtum expuatur, deterius est. Flauum quippe si sincerum fuerit, periculum subesse testatur, album autem & viscidum, & rotundum, inutile. Malum quoque valde viride, aut pallidum, itemque spumans. At si adeò sincerum fuerit, vt etiam nigrum appareat, id illis deterius est. Malum quoque vbi nil expurgatur, neque ipsum proiicit pulmo, sed propter multitudinem feruet in gutture. In omnibus pulmonis morbis grauedines & sternutationes, tum præire, tum subsequi, malum. Verùm in aliis maximè lethalibus morbis, sternutamenta vtilitate non carent. At in pulmonis inflammationibus si inter initia morbi sputum excernitur flauum non multo permixtum sanguine, salutare est & confert admodum. Septimo verò die ac tardius non adeo securum. Omnia autem sputa mala sunt, quę dolorem non sedant, pessima etiam nigra. At omnium quæ excreantur optima, quæ dolorem sedant. Horum verò locorum dolores, qui neq; per sputorum purgationes, neq; fæcum alui deiectionem, neq; venæ sectionem, aut medicamenta purgantia, & victus rationem sedantur, eos ad suppurationem tendere sciendum est.

[31] ἔστ᾽ ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον καὶ λεπτὸν, σημαίνει τὸ νούσημα ἄπεπτον εἶναι. [32] ἢν δὲ καὶ πουλυχρόνιον εἴη τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, [33] ἔστ᾽ ἂν πεπανθῇ τὸ οὖρον. θανατωδέστερα δὲ τῶν οὔρων, τάδε δυσώδεα, καὶ ὑδατώδεα, καὶ μέλανα καὶ παχέα. ἔτι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν οὔρων, κάκιστα. τοῖσι δὲ παιδίοισι, τὰ ὑδατώδεα. [34] ὁκόσοι δ᾽ ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πουλὺν χρόνον, ἤν τ᾽ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία. καὶ τὰς λιπαρότητας δὲ τὰς [35] ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι. συντήξιος γὰρ σημεῖα. σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσι αἱ νεφέλαι ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι. καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖς χρώμασιν, οἵοισιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν, καὶ ἐπαινέειν. τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν, οἵοισιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιάσδε. μὴ ἐξαπατάτω δέ σε ἤν γε ἡ κύστις τι νούσημα ἔχουσα, τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ᾽ αὐτῆς καθ᾽ ἑωυτῆς. Ἔμετος δὲ ὠφελιμώτατος, [36] ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος, καὶ μὴ παχὺς κάρτα, μηδὲ πολὺς, ὡς μάλιστα. οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν. εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πελιὸν, ἢ μέλαν, ὅ,τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ ωὐτὸς ἄνθρωπος ἐμέει, κάρτα ὀλέθριον τοῦτο γίνεται. τάχιστα γὰρ θάνατον σημαίνει τὸ πελιὸν τῶν ἐμεσμάτων, εἰ ὄζει δυσῶδες. πᾶσαι δὲ αἱ ὑποσαπροὶ καὶ δυσώδεες ὀσμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν. [37] Πτύελον χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πλεύμονα καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπτύεσθαι, καὶ εὐπετέως. ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν, ἰσχυρῶς τῷ πτυέλῳ. εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται. τό,τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες. τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές. κακὸν δὲ καὶ τὸ χλωρὸν ἐὸν κάρτα καὶ τὸ ἀφρῶδες. εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων. κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν, ζέῃ ἐν τῷ φάρυγγι. κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα νουσήμασι, προγεγονέναι, ἢ ἐπιγίνεσθαι κακόν. ἀλλ᾽ ἐν τοῖσιν ἄλλοισιν νουσήμασι τοῖς θανατωδεστάτοισιν, οἱ πταρμοὶ λυσιτελοῦσιν. αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν, ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστικὸν καὶ κάρτα ὠφελέει. ἑβδομαίῳ δὲ ἐόντι καὶ παλαιοτέρῳ, ἧσσον ἀσφαλές. πάντα δὲ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ. κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. τὰ δὲ παύοντα ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα. ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύηται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε, καὶ φαρμακείας, καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα.

* τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύοιτο, ἤν τε ὁμοῦ. μάλιστα δὲ ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα, ἀπὸ τουτέου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος. ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα, ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μήτι αὐτέῳ ἐπιγένηται ἀγαθόν. ἔστι δὲ τὰ μὲν ἀγαθὰ, τάδε. εὐπετέως φέρειν τὸ νόσημα. εὔπνοον εἶναι. τῆς ὀδύνης ἀπηλλάχθαι. τό, τε πτύελον, ῥηϊδίως ἀναβήσσειν. τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ μαλθακόν. καὶ δίψαν μὴ ἔχειν. οὖρα τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι. οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος. ἢν δὲ τὰ μέν τι αὐτέων ἐπιγίνοιτο. τὰ δὲ μὴ, οὐ πλείονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ' ἂν ὁ ἄνθρωπος. κακὰ δὲ τὰ ἐναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον. πνεῦμα μέγα καὶ πυκνὸν εἶναι. τὴν ὀδύνην μὴ παύεσθαι. τὸ πτύελον μόλις ἀναβήσσειν. δίψην κάρτα. τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι. καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς, θερμὰς εἶναι ἰσχυρῶς. τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας ὡς διαγέγραπται ἕκαστα εἰδέναι, κακὰ ἐόντα. οὕτως γὰρ εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλλοιτο ἂν ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. οὕτως οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἐπιγινόμενά τε κακὰ καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τουτέων, χρὴ τὰς προῤῥήσιας προλέγειν. οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα. αἱ δὲ ἄλλαι ἐκπυήσιες, ῥήγνυνται αἱ πλεῖσται. αἱ μὲν εἰκοσταῖαι. αἱ δὲ τριηκοσταῖαι. αἱ δὲ τεσσαρακονθήμεροι. αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται. ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρης, ἢ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, ἢ εἴ ποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε. καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεεν. ταῦτα γὰρ ἐν ἀρχῇσι γίγνεται τῶν ἐμπυημάτων. ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους.[39] εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε, καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοισι, μήτι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ. καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾷν εἴ τι αὐτῷ δοκέει βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερον ἐστὶ τὸ ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίνηται.[40] τοὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ, τοῖσι δὴ τοῖσι σημείοισι. πρῶτον μὲν εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων. καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται. βῆχές τε καὶ θυμὸς ἐγγίνεται αὐτέοισιν. καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου: καὶ οἱ μὲν ὀφθαλμοὶ, ἔγκοιλοι γίνονται. αἱ δὲ γνάθοι, ἐρυθήματα ἴσχουσι. καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν, γρυποῦνται. οἱ δὲ δάκτυλοι, θερμαίνονται. καὶ μάλιστα ἄκροι. καὶ ἐν τοῖσι ποσὶν, οἰδήματα γίνεται. καὶ σιτίων οὐκ ἐπιθυμέουσι. καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα,

Ex ſuppurationibus autem admodum exitiales ſunt, quæ ſputo adhuc quidem bilioſo exiſtente ſuppurantur, ſiue bilioſum illud ſeparatim, ſiue vnà cum pure expuatur. Idque potiſſimùm, ſi ab huiuſmodi ſputo ſuppuratio procedere cœperit, cùm morbus ad diem ſeptimum peruenerit. Qui verò talia ſpuit, ne decimo quarto die moriatur metus eſt, niſi quid boni acceſſerit. At in bonis quidem ſignis hæc numerantur, facilè morbum ſuſtinere, bene ſpirare, dolore leuari, ſputum ſine difficultate reiicere, corpus æqualiter calidum & molle videri, ſine ſiti eſſe, vrinas etiam & alui excrementa, & ſomnos, & ſudores, velut deſcriptum eſt, ſingula ſuperuenire, bona exiſtimanda ſunt. His enim omnibus ſic cõtingentibus, haudquaquam æger morietur. Quòd ſi ex his quædam quidem contingant, quædam minimè, non vltra decimumquartum diem æger vitam producet. Contrà verò, morbum ægrè ſuſtinere, ſpirationem magnam & denſam eſſe, dolorem minimè ſedari, ſputum ægrè reiicere, vehementem ſitim eſſe, corpus à febre inæqualiter detineri, aluum quidem & latera vehementer calere, fronte, manibus & pedibus frigidis, vrinas verò & alui excrementa, & ſomnos, & ſudores, vnaquæque qualia deſcripta ſunt, mala eſſe noſſe conuenit. Si quid enim ex his ſputo ſuperuenerit, morietur æger priùs quàm ad decimumquartum diem perueniat, aut nono, aut vndecimo die. Sic igitur coniicere oportet, quòd cùm ſputum iſtud valde lethale ſit, neque etiam ad decimumquartum diem perducit. Ex his verò, tum malorum, tum bonorum ſubducta ratione, prædictiones facere oportet. Sic enim quis potiſſimùm verũ aſſequatur. Reliquæ verò ſuppurationes magna ex parte rumpuntur, partim quidem vigeſimo die, partim etiam trigeſimo, quædam quoque quadrageſimo, aliquæ etiã ad ſexageſimum diem deueniunt. Suppurationis autem initium fore ratione comprehendere oportet, ab eo die quo primùm æger febricitauit, aut etiam primùm rigor prehendit, & ſi pro dolore, ſibi pondus ineſſe in eo loco qui dolore affligebatur, dixerit. Iſta namq; circa ſuppurationum initia fieri ſolent. Ex hoc igitur tempore ſuppurationum ruptionem fore intra prædicta tempora expectandum eſt. Quod ſi in altero tantùm latere ſuppuratio fuerit, tum vertere, tum ediſcere ad hęc conuenit, num dolor aliquis alterum latus detineat, & num altero calidius fuerit, atque vbi in latus ſanum decubuerit, interrogare ſi quod ei põdus deſuper impendere videatur. Sic enim altero latere, in quo pondus extiterit, ſuppuratio eſt. At purulentos omnes his ſignis dignoſcere oportet. Primùm quidem ſi febris non demittit, verùm interdiu leuior quidem, noctu verò maior detinet, & ſudores multi oboriuntur, tuſſeſque & tuſſiendi cupiditas ipſis ineſt, nihil tamen effatu dignum expuunt, oculique caui redduntur, malæ ruborem contrahunt, & vngues quidem in manibus adunci fiunt, digiti verò maximeq; ſummi incaleſcunt, & in pedibus tumores fiunt, cibos minimè appetunt, & puſtulæ toto corpore oriuntur,

Diuturnæ igitur suppurationes, his indicantur signis, quibus multa fides habenda est. Quæ verò breue habent spatium sic indicantur, si quid eorum appareat, quæ inter initia fiunt, simulq; si etiam aliquantò difficiliùs spiret æger. At ex his quæ citiùs aut tardiùs rumpuntur, sic deprehendere licet. Si quidem dolor inter initia oriatur, & spirandi difficultas, ac tussis sputatioq; perseuerant & ad vigesimum diem extenduntur, intra hoc tempus, aut adhuc priùs ruptionem expectato. Quòd si mitior dolor fuerit, iisque cætera omnia pro huius ratione respondeant, tardiùs ruptionem sperato. At ante puris eruptionē dolorem oboriri, & spirandi difficultatem, & sputi excretionem necesse est. Supersunt autē ex morbo hi potissimùm, quos febris eodem post ruptionem die dimisit, quiq; cibos celeriter expetiuerint, & siti liberātur, venterq; tum exigua, tum coacta deiicit, & si pus album & læue, eiusdemq; coloris fuerit, & à pituita liberum, citraq; dolorem aut tussim vehementem educatur. Sic quidem optimè & celerrimè liberantur, sin minùs, qui ad ista proximè accedent. Moriuntur verò, quos febris non dimiserit, aut cùm dimisisse videatur, iterum accenditur, & siti quidem vexantur, cibos verò non expetiuerint, & si aluus liquida deiecerit, pusque ex viridi pallidum, aut pituita permixtum & spumosum expuerint. Si hæc omnia contigerint, moriuntur. At quibus eorum partim quædam contigerint, partim minimè, ex his nonnulli quidem intereunt, quidam etiam ex lōgo temporis interuallo supersunt. Sed ex omnibus his signis existētibus, tum in his, tum in reliquis omnibus coniecturam facito. Quibus ex morbis pulmonis ad aures abscessus oboriuntur, & ad inferiores sedes suppurant, & fistula facta aperiuntur, iis secunda valetudo contingere solet. Ista verò hunc in modum consideranda sunt. Si febris detinet, neq; dolor conquiescit, neq; sputum ex ratione procedit, neque biliosæ sunt alui egestiones, neque bene solutę ac sinceræ, neq; vrina admodum multa, & copiosum habet sedimentum, suffragātur verò ad salutem reliqua omnia salutaria signa, in his huiusmodi fore abscessus expectato. Ac hi oriuntur quidem in locis inferioribus, quibus circa præcordia inflammationis aliquid subest, illi autem in superioribus, quibus præcordia mollia & doloris expertia perseuerant, cumq; difficultate spirandi aliquandiu vexatus fuerit, quæ citra vllam aliam euidentem occasionem quieuerit. In vehementibus & periculo proximis pulmonum inflammationibus, abscessus ad crura omnes sanè vtiles. Optimi verò qui fiunt sputo mutationem subeunte. Si namque tumor & dolor suboriatur, sputo pro flauo in pus verso, & foras prodeunte, hoc modo tum securissimè æger superstes futurus est, tum citissimè citra dolorem abscessus conquiescet. Quòd si neque sputum rectè excernatur, neque vrina bonam subsidentiam habere videatur, periculum est ne articulo claudicet æger, aut ei multum negotij exhibeatur. Si verò dispareant abscessus & intrò recurrant, sputo nō prodeunte, & detinente febre grauis morbi periculum, & delirij, & mortis, ægro imminet. Ex suppuratis

ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα. καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα. [41] ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι τουτέων, ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν. ἅμα δὲ καὶ ἤν τι δυσπνοώτερος ᾖ ὁ ἄνθρωπος. τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρή. ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γένηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βήξ, καὶ ὁ πτυαλισμὸς διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι πρόσθεν. ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ, καὶ τἄλλα πάντα τουτέοισι κατὰ λόγον τουτέου, προσδέχεσθαι τὴν ῥῆξιν, ἐς ὕστερον. [42] γίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος. [43] περιγίνονται δὲ τουτέων μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν. καὶ σιτίων ταχέως ἐπιθυμέωσιν. καὶ δίψης ἀπηλλαγμένοι ἔωσι. καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ. καὶ τὸ πύον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ καὶ φλέγματος ἀπηλλαγμένον. καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται. ἄριστα μὲν οὕτως καὶ τάχιστα ἀπαλλάσσουσιν, ἢν δὲ μή, οἷσιν ἂν ἐγγυτάτω τουτέων γένηται. ἀπόλλυνται δὲ οὓς ἂν ὅτε πυρετὸς μὴ ἀφιείη, ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος. καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι. καὶ ἡ κοιλίη ὑγρὴ ᾖ. καὶ τὸ πύον χλωρὸν καὶ πέλιον πτύῃ. ἢ φλεγματῶδες καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γένηται, ἀπόλλυνται. ὁκόσοισι δ᾽ ἂν τουτέων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μή. οἱ μὲν αὐτέων ἀπόλλυνται· οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. ἀλλ᾽ ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι, σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισι πᾶσιν. [44] ὁκόσοισι δὲ ἀποστάσιες γίνονται ἐκ τῶν περιπλευμονικῶν νοσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπυοῦσιν ἐς τὰ κάτω χωρία, καὶ συριγγοῦνται. οὗτοι δὲ περιγίνονται. ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα, ὧδε. ἢν ὅ τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ παύηται, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον. μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔλυτοί τε καὶ ἄκρητοι γίγνοιντο, καὶ μηδὲ τὸ οὖρον πουλύ τε κάρτα, καὶ πολλὴν ὑπόστασιν ἔχον, [45] ὑπηρετῆται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστικῶν σημείων, τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγίνηται. [46] αἱ δὲ ἄνω, οἷσι τὸ ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ. δύσπνους δέ τινα χρόνον γενόμενος, παύσηται, ἄτερ φανερῆς προφάσιος ἄλλης. Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι. ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος γιγνόμεναι. εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γινομένου, καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ, τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα παύσεται. εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν. ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν. κίνδυνος γὰρ μὴ παραφρονήσῃ, καὶ ἀποθάνῃ ὁ ἄνθρωπος. [47] τῶν δὲ ἐμπύων, τῶν

πύων, τῶν ἀπὸ τῶν περιπλευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται. ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν. αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθριαι κάρτα. προσέχειν οὖν δεῖ, τὸν νόον τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων ἐπιφαίνηται τι πονηρὸν, ἀνέλπιστος ὁ ἄνθρωπος. [48] ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πύον ᾖ καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται. [49] εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τὰ ἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες. Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι. ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται. καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι, ἱκανοὶ ἀποκτεῖναι. καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν τουτέῳ τῷ χρόνῳ, εἰ μὴ σκληρόν τι καὶ πρὸς ἀνάγκην. λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν. [50] ἢν δὲ μήτε τῷ οὔρῳ μηδὲν ἐνδιδῷ ὁ πόνος, μήτε ἡ κύστις μαλάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος, ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι. ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαίδεκα ἔτεα γένωνται. Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. [51] οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται, ἢ πρόσθεν. οἵ, τε δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ. ἡ δὲ δευτέρη, ἐς τὴν ἑβδόμην περιάγεται. ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην. ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην. ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην. ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. [52] αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νουσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν, ἐκ προσθέσιος τελευτῶσιν. οὐ δύνανται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων [53] ἀριθμεῖσθαι ἀτρεκέως. οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμεῖσθαι. [54] μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων. ἡ δὲ β' τεσσαράκοντα ἡμερέων. ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων. τουτέων δὲ ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτατον διαγινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι. ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι. καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι. καὶ οὐ λήσεται ὅπῃ τρέψεται τὸ νούσημα. γίνεται δὲ ἡ τῶν τεταρταίων κατάστασις, [55] ἐκ τοῦ τοιούτου κόσμου. τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα γινώσκεσθαι. μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέων ἐστίν. οἱ μὲν γὰρ περιεσόμενοι, εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι. καὶ κοιμῶνται τὰς νύκτας. τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. οἱ δὲ ἀπολλύμενοι, δύσπνοοι γίνονται. [56] ἀλλοφάσσοντες. ἀγρυπνέοντες. τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. ὡς οὖν τουτέων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νουσημάτων. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν

autem quos pulmonum morbi concitarunt, ferè ſeniores moriuntur, at ex cæteris ſuppurationibus, iuniores potiùs intereunt. At lumborum & inferiorum partium dolores, qui cum febre affligunt, ſi relictis inferioribus ad ſeptum tranſuerſum tranſeant, exitiales ſunt admodum. Ad alia igitur ſigna animum adhibere oportet. Si quidem ex prauis ſignis quippiam apparuerit, omni ſpe deſtitutus eſt æger. Cùm verò ſuppurati vruntur, quibus purum quidem pus eſt & album, & minimè fœtidum, ij ſeruantur. at quibus ſubcruentum & cœnoſum, moriuntur. Quòd ſi irruente ad ſeptum tranſuerſum morbo, reliqua ſigna minimè praua ſe oſtenderint, hunc ſuppuratum fore magna ſpes eſt. At veſicæ tum duræ, tum dolẽtes, graue prorſus & exitiale periculum minantur. Maximè autem exitiales quæ cũ febre aſſidua fiunt. Nam & ipſarum veſicarum dolores, ad mortem inferendam ſatis ſunt, neque alui hoc tempore excernunt, niſi durum quiddam & coactum. Soluit autem purulenta micta vrina, album & læue habens ſedimentum. Quòd ſi neq; cum vrina quicquam dolor remiſerit, neque mollior veſica reddatur, febriſq; aſſidua fuerit, laborantem intra primos morbi circuitus moriturum ſperandum eſt. Hoc autem modo potiſſimùm tentantur pueri à ſeptimo anno ad decimumquintum. Febrium iudicationes iiſdem numerantur diebus, quibus & euadunt, & moriuntur homines. Nam & mitiſſimæ febres, & quæ ſecuriſſimis fulciuntur ſignis, die quarto aut ante deſinũt. Maximè verò malignæ, & quæ cum grauiſſimis ſignis fiunt, quarto vel priùs interficiunt. Primus itaque earum inſultus ad hunc modum deſinit, ſecundus ad ſeptimum deducitur, tertius ad vndecimum, quartus ad decimum quartum, quintus ad decimumſeptimum, ſextus ad vigeſimum. Hi igitur circuitus ex acutiſſimis morbis per quatuor facta acceſſione, ad vigeſimum terminantur. Neq; verò horum quicquam integris diebus exactè numerari poteſt, cùm neque annus etiam, neque menſes, integris menſibus numerari ſoleant. Poſt hæc autem eadem ratione iuxta eandem adiectionem, primus circuitus eſt quatuor & triginta dierum, ſecundus quadraginta, tertius ſexaginta. At inter horum initia perquam difficile eſt dignoſcere quinam longo temporis ſpatio iudicari debeant, quòd ſimilima ſint eorum principia. Verùm à primo die aduertere animum oportet, & pro ſingulorum quaternariorum additione conſiderationem adhibere, nec latebit quonam ſe vertat morbus. Quartanarum quoq; conditio eundem ſeruat ordinem. Qui verò intra breuiſſimum temporis ſpatium iudicationem ſunt ſubituri, faciliùs dignoſcuntur, cùm maximè inter ſe ab initio diſſideant. Qui enim ex morbo ſuperfuturi ſunt, facilè ſpirant, dolore vacant, noctu dormiunt, aliaq; ſecuriſſima ſigna habent. His igitur ſic ſe habentibus, de morbis ad iudicationem tendentibus, tum ex tempore, tum ex vnaquaque adiectione coniectura facienda eſt. Ad eandem quoque rationem & mulieribus iudicationes ex

partu contingunt. Capitis dolores vehementer ac continenter cum febre, aliquo quidem ex signis accedente, admodum exitiales. Quòd si sine signis eiusmodi, dolor vigesimum diem superet, & febris detineat, sanguinis ex naribus eruptionem, aut aliũ quendam abscessum ad inferiores sedes suspectari oportet. Verùm quoad dolor recens fuerit, eodem modo sanguinis ex naribus eruptionem aut suppurationem expectare conuenit, cùm aliàs, tum si dolor circa tempora & frontem affuerit. At sanguinis eruptio magis expectanda venit in his qui nondum quintum & trigesimum annum attigerunt, in senioribus verò suppuratio. Auris dolor acutus cum febre cõtinua & vehementi grauis. Periculum enim delirij & mortis ægro adfert. Cùm igitur his modus sit lubricus, celeriter à primo die ad omnia signa animum adhibere oportet. Moriuntur autem ex hoc morbo, iuniores quidem homines septimo die aut etiam citiùs, senes verò multò tardiùs. Nam & febres & deliria minùs eis suboriuntur, auresq; eam ob causam suppuratio præoccupat. Verùm his quidem ætatibus succedentes morbi reuersiones plurimos interficiunt, iuniores verò priùs quàm auris suppuret, intereunt. Quando quidem si pus album ex aure fluxerit, iuniorem superfuturum spes est, si quidem aliud quoddam ei bonum signum superuenerit. Fauces exulceratæ cum febre, graue aliquid portendunt. At si aliud aliquod etiam signũ adfuerit, ex his quæ antè praua esse censuimus, ægrum in periculo versari denunciandum est. Angina grauissima quidem est & celerrimè interimit, quæ neque in faucibus, neque in ceruice quicquam conspicuum facit, plurimum verò dolorem exhibet, & difficultatem spirandi, quæ erectâ ceruice obitur, inducit. Hæc enim eodem etiam die, & secundo, & tertio, & quarto strangulat. At quæ in reliquis quidem similiter dolorem exhibet, in faucibus verò tumorem ac rubores excitat, admodũ quidem exitialis est, priore tamẽ longè diuturnior, si ingens rubor fuerit. Hæc verò diuturnior, cùm nõ solùm fauces, sed ceruicem quoque rubor occupat, ex eaque præcipuè euadunt, si ceruicem & pectus rubor detineat, neque ad interna erysipelas reuertatur. Quòd si neque diebus iudicatoriis dispareat erysipelas, neq; tuberculum ad exteriorem sedem se vertat, neque pus per tussim reiiciat, facileq; ac sine dolore habere videatur, mortem indicat, aut ruboris reuersionem. At securius est tumorem & ruborem ad externa conuerti. Quòd si ad pulmonem se vertat, dementiã excitat, & ex his nonnulli suppurati plærunque euadunt. Curgulio, quoad rubor & tumor occupat, non sine periculo resecatur aut pertunditur. Inflammationes enim & sanguinis profluuia ei succedunt. Verùm talia vt extenuentur aliis rationibus eo tempore tentanda sunt. Vbi verò id totum, quod σταφυλὴν Græci, hoc est vuam nominant, iam secretum fuerit, & summa curgulionis pars maior & rotunda, superior autem tenuior extiterit, per id tempus manum admouere tutum est.

τόκων γίνονται. κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες, ξὺν πυρετῷ. ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίνοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, [57] ὅ,τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν, ἐς τὰ κάτω χωρία. [58] ἔστ' ἂν δὲ καὶ ἡ ὀδύνη ᾖ νεαρά, προσδέχεσθαι χρὴ ὡσαύτως, αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν. ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους καὶ τὸ μέτωπον ᾖ. μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι, πέντε καὶ τριήκοντα ἐτέων. τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκπύησιν. ὠτὸς δὲ ὀξεῖη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ, δεινόν. κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. ὡς οὖν τουτέου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν, ἀπὸ πρώτης ἡμέρης. ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων, ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον ὑπὸ τουτέου τοῦ νοσήματος. οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. [59] οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι, ἧσσον αὐτέοισιν ἐπιγίνονται. καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι, ἀποκτείνουσι τοὺς πλείστους. οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπὴν γε ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτός, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, ἤν γε καὶ ἄλλο τι αὐτέῳ ἐπιγένηται χρηστὸν σημεῖον. φάρυγξ δὲ ἑλκουμένη, σὺν πυρετῷ, δεινόν, ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου. [60] Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιρέουσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι, μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχένι. πλεῖστον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. ὅσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δέ, καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι μὲν κάρτα. [61] χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται. [62] ὁκόσοισι δὲ ξυνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχήν, αὗται δὴ χρονιώτεραι. καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἤν ὅ,τε αὐχὴν καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω. [63] ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσσῃ, ῥηϊδίως τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι. [64] ἢν δὲ ἐς τὸν πνεύμονα τραπείη, παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς ὡς τὰ πολλὰ γίνονται. [65] Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι, καὶ ἀποτάμνεσθαι, καὶ ἀποσχάζεσθαι, ἔστ' ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι. καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμορραγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ. ὁπόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερές, τὸ δὲ ἀνώτερον, λεπτότερον ἐν τουτέῳ τῷ καιρῷ, ἀσφαλὲς διαχειρίζειν.

ἄμεινον

ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα χειρουργίῃ χρέεσθαι. ἢν ὅ, τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος. [66] Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται, μήτε σημείων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν. [67] Ὅστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήκετι ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα. μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης εἴς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον ἐκ τῶν κάτω. μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι τριήκοντα ἐτέων. ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων, ὑπερβάλλῃ. τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνεται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι, συνεχέος ἐόντος τοῦ πυρετοῦ. ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ, πεπλανημένον τρόπον. [68] καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ. ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον [69] τοῖσι τριήκοντα ἐτέων, καὶ γεραιτέροισι. τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ, τοῦ χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσον δὲ παλινδρομεούσας. Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν, [70] ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος πάρεστι. ἢν δὲ καὶ ῥῖγος προσγένηται καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα τοῦτο ταχέως ἐμεῖται. τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, [71] τεταρταῖοι πιέζονται μάλιστα καὶ πεμπταῖοι. ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλείονες αὐτῶν, ἄρχονται μὲν πονέεσθαι, τριταῖοι. χειμάζονται δὲ μάλιστα, πεμπταῖοι. ἀπαλλάσσονται δὲ ἐναταῖοι, ἢ ἑνδεκαταῖοι. οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τ' ἄλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίνηται, [72] ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. γίνεται δὲ ταῦτα, τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶ, ἐν τοῖσι τριταίοισι μάλιστα. τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι. μᾶλλον δὲ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσιν, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι. οἷσι δ' ἂν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσι, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, [73] ἢ μαρμαρυγαὶ προσφαίνονται. ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερὰ, ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ, μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν τούτοισι ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου. μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι. τοῖσι δὲ τριήκοντα ἔτεσι καὶ γεραιτέροισιν, ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοις προσδέχεσθαι. [74] τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν ἢ πελιὸν, ἢ ἐρυθρὸν ἴσχωσι. γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι, τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα,

Præstat tamen vbi aluum subduxeris, manus operam adhibere, si per tempus liceat, neque suffocetur æger. Quibus febres cessant neque apparentibus solutionis signis, neque diebus iudicatoriis, iis recidiua expectanda est. In longa febre, salutariter tamen affecto ægro, si neque ob inflammationem aliquam, neque ob vllam aliam euidentem occasionem dolor detinet, in hoc abscessus cum tumore aut dolore ad articulum aliquem expectandus, maximéque in inferioribus locis. Magis tamen & breuiori tempore huiusmodi abscessus contingere solent iis qui trigesimum annum non attigerunt. At statim in considerationem adhibenda sunt quæ ad abscessum spectant, si vltra vigesimum diem febris detinet, quæ tamen per longiores febres, senioribus minùs contingunt. Huiusmodi autem abscessum expectare conuenit si febris continua fuerit, in quartanam verò firmari debere, vbi intermiserit, & errabundum in modum prehenderit, & ita ad autumnum deducatur. Vt verò abscessus oriuntur in his qui triginta annis minores sunt, ita quartanæ potiùs annum agentibus trigesimum, aut senioribus. Scire autem conuenit abscessus hyeme magis contingere, & tardiùs desinere & minùs intrò recurrere. Si quis in febre non lethali dixerit caput dolere, aut tenebricosum quiddam ante oculos obuersari, si etiam oris ventriculi morsus accesserit, biliosa vomitio aderit. Quòd si quoque rigor subortus fuerit, & inferiores præcordiorum partes frigidas habuerit, adhuc citiùs vomitio aderit. Si verò sub id tempus biberit quidpiam aut ederit, id quàm celerrimè euomitur. Inter hos autem quibus primo die dolor cœpit, ij quarto & quinto die potissimùm affliguntur, at septimo liberantur. Quinetiam eorum plærique tertio die dolore vexari incipiunt, conflictantur autem maximè quinto, verùm nono aut vndecimo periculo defunguntur. Qui verò quinto die dolore affligi cœperint, & reliqua pro ratione prioribus respondeant, ad decimumquartum diem iudicatur morbus. Ista autem viris quidem & mulieribus, in tertianis præcipuè contingunt. Iunioribus verò, cùm in iis ipsis, tum etiam magis in febribus perassiduis, & legitimis tertianis. At quibus per huiusmodi febrem caput dolet, & pro tenebris ante oculos apparentibus visus hebetudo contingit, vibrantésque splendores obuersari videntur, & pro oris ventriculi morsu, in præcordiis dextra aut sinistra parte contentio quædam, neque cum dolore, neque cum inflammatione suboritur, iis pro vomitu sanguinem è naribus profluxurum expectandum est. Potius tamen & eo casu in iuuenibus sanguinis fluorem expectato. Iis verò qui trigesimũ annum attingunt, & senioribus minùs, sed in his vomitiones expectabis. Pueris conuulsiones accidunt, si febris acuta fuerit, venter nõ deiiciat, si vigilent, perterreantur, plorent assiduè, & color immutetur, & ex viridi pallidus, aut liuidus, aut rubor contrahatur. Hæc autem pueris quidem recens natis ad septimum vsque annum promptissimè eueniunt.

At grandiores pueri & viri non adeò per febres conuulsionibus prehenduntur, nisi vehementissimum & pessimum quoddam signum, ex his quæ in phrenitide fieri solent, affuerit. Morituros autem & superfuturos tum pueros, tum alios, ex omnibus signis coniicies, velut in singulis singula descripta sunt. Atque hæc à me & de morbis acutis, & de his qui ab iis oriuntur dicuntur. Qui verò superfuturos ex morbo, & morituros, eósque quibus pluribus diebus, & quibus paucioribus perseuerabit morbus, rectè prænoscere volet, is intelligentia comprehensam omniũ signorum doctrinam, æstimare debet, & eorum vires inter se collatas ratione expendere, velut scriptum est, cùm in aliis, tum in vrinis & sputis, vbi vnà & pus & bilis tussi reiecta fuerint. Quinetiam morborum semper vulgariter grassantium impetum, & tempestatis conditionem citò animo concipere oportet. Atqui quòd ad proprias cuiusque rei notas & reliqua signa attinet, probè nosse miniméque ignorare cõuenit, quòd quouis anno, & quouis anni tempore, mala malum, & bona bonũ denunciant. Quandoquidem & in Libya, & in Delo, & in Scythia, prædicta signa vera esse comprobantur. Ex quibus scire licet quòd non difficile est in iisdem regionibus, vt quis longè plurima ex ipsis assequatur, si ea cognitione complexus, recta mentis acie diiudicare & perpendere nouerit. Neque verò est quòd vllius morbi nomen, quod hîc adscriptum non sit, desideres. Omnes etenim qui prædictis temporibus iudicantur, ex iisdem signis cognosces.

τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες, οὐκ ἔτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μὴ τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷα ἐπ' ἐν τῇσι φρενίτισι γίνεται. τοὺς δὲ ἀπολουμένους τε καὶ περιεσομένους τῶν παιδίων τε καὶ τῶν ἄλλων, τεκμαίρεσθαι τοῖς ξύμπασι σημείοισιν ὡς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται. ταῦτα δὲ λέγω, περί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται.[75] χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νούσημα, καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντας πάντα δύνασθαι κρίνειν, λογιζόμενον τὰς δυνάμεις αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται, περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν.[76] χρὴ δὲ καὶ τὰς φορὰς τῶν νουσημάτων ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμεῖσθαι, τήν τε τῆς ὥρης κατάστασιν. εὖ μέντοι χρὴ εἰδέναι, περὶ τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακὸν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν.[77] ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα.[78] ἐξ ὧν χρὴ εἰδέναι, ὅτι ἔν τε τῇσιν αὐτῇσι χωρίοισιν, οὐδὲν δεινόν, τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν, ἢν ἐκμαθών τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίσταται. ποθέειν δὲ χρὴ οὐδενὸς νουσήματος ὄνομα, ὅ,τι μὴ τυγχάνῃ ἐνθάδε γεγραμμένον. πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσι αὐτέοισι σημείοισιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΧΥΜΩΝ.

HIPPOCRATIS DE HVMORIBVS LIBER.

HVMORVM color, nisi ij ad profunda corporis se receperint, velut in cute efflorescens conspicitur. Ducere oportet quam in partem momento feruntur, per loca accommodata, nisi quorum maturationes progressu temporis contingunt, quæ vel foras, vel intrò, vel aliò quò expedit tendunt. Cautio, imperitia, experiendi difficultas, glabrities, viscerum vacuitas, inferioribus repletio, superioribus nutritio, sursum inclinatio, deorsum inclinatio, quæ sua sponte sursum aut deorsum tendunt, quæ iuuant aut nocent, connata forma, regio, consuetudo, ætas, anni tempestas, morbi constitutio, exuperantia, defectio, quibus quantum linquitur, aut non, purgatio, euacuatio, remedia, declinatio, deriuatio in caput, in latera, quà præcipuè tendit, aut reuulsio, in superiobus deorsum, sursum in infernis, aut exiccare, aut quibusdam inferiora, aut quibusdam superiora, aut eluitur, aut quibusdam lenietur. Humores ex vasis effusos, intrò ne intercipito, sed aditus exiccato.

Τὸ χρῶμα τῶν χυμῶν,[2] ὅκου μὴ ἄμπωτις ἐστὶ τῶν χυμῶν, ὥσπερ ἀνθέων.[3] ἀκτέα ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων, πλὴν ὧν οἱ πεπασμοὶ ἐν τῶν χρόνων. οἱ πεπασμοὶ ἔξω, ἢ εἴσω ῥέποιεν, ἢ ἄλλῃ ὅπῃ δεῖ.[4] εὐλαβείη. ἀπειρίη. δυσαπειρίη. μαδαρότης. σπλάγχνων κενότης. τοῖσι κάτω, πλήρωσις. τοῖσιν ἄνω, τροφή. ἀναρροπίη. καταρροπίη. τὰ αὐτόματα ἄνω καὶ κάτω, ἃ ὠφελεῖ καὶ βλάπτει. συγγενὲς εἶδος. χώρη. ἔθος. ἡλικίη. ὥρη. κατάστασις νούσου. ὑπερβολή. ἔλλειψις. οἷσιν ὁκόσον λείπεται, ἢ οὔ.[5] ἄκη.[6] ἔκκλισις.[7] παροχέτευσις ἐς κεφαλήν. ἐς τὰ πλάγια, ᾗ μάλιστα ῥέπει. ἢ ἀντίσπασις. ἐπὶ τοῖσιν ἄνω, κάτω. ἄνω, ἐπὶ τοῖσι κάτω.[8] ἢ ξηρῆναι. ἢ οἷσι τὰ κάτω. ἢ οἷσι τὰ ἄνω. ἢ ἐκπλυνεῖται, ἢ οἷσι παρηγορήσεται.[9] μὴ τὰ ἐκκεχυμένα εἰς τὸ εἴσω ἀπολαμβάνειν, ἀλλὰ τὰς ἀφόδους ξηραίνειν.

πρᾶξις.

παράξις. κατάκλισις. διάνιψις. οἷσιν ἀποστήσεται πρὸς
ἕδρην, [10] ὅθεν ἀμέλγεται. ἢ φάρμακον. ἢ ἕλκος. ἢ χυμός
τις συνεστηκώς. ἢ βλάστημα, ἢ φῦσα, ἢ σῖτος, [11] ἢ θηρίον, ἢ
καῦμα. ἢ ἄλλο τι πάθος. σκεπτέα ταῦτα. τὰ αὐτόματα λή-
γοντα. ἢ οἷαι αἱ ἀπὸ καυμάτων ἐπιφλεγόμεναι φλύκτεις.
ἐφ' οἷσιν οἷα βλάπτεται, ἢ ὠφελέει. σχήματα. κίνησις. με-
τεωρισμός, παλινίδρυσις, ὕπνος, [12] ἐγρήγορσις, ἅ τε ποιη-
τέα ἢ κωλυτέα φθάσαι. [13] παίδευσις ἐμέτου. κάτω δι-
εξόδου. ἢ πτυάλου. μύξις. βηχός, ἐρεύξιος. λυγμοῦ.
[14] φύσις. οὔρου. πταρμοῦ. δακρύων. κνησμῶν. τιλμῶν. 10
ψαυσίων. δίψης. λιμοῦ. [15] πλησμονῆς. ὕπνων. πόνων. ἀπο-
νίης. σώματος. γνώμης. μαθήσιος. [16] μνήμης. φωνῆς. σιγῆς.
[17] τῇ ὑστερικῇ. καθάρσιες. τὰ ἄνωθεν καταρρηγνύμενα καὶ
στροφοῦντα. λιπαρά. ἄκρητα. ἀφρώδεα. θερμά. δάκνον-
τα. ἰώδεα. ποικίλα. ξυσματώδεα. τρυγώδεα. αἱματώ-
δεα. ἄφυσα. ὠμά. ἑφθά. αὖα. ἅπαντα περιρρέει. εὐφορίην
καθορέειν. δυσφορίην, πρὶν κίνδυνον ἰέναι. [18] οἷα οὐ δεῖ
παύειν. πεπασμός. κατάβασις τῶν κάτω. ἐπιπόλασις
τῶν ἄνω. καὶ τὰ ἐξ ὑστερέων. [19] καὶ ἐν ὠσὶ ῥύπος. [20] ὀργα-
σμός. ἄνοιξις. κένωσις. θάλψις. ψύξις. ἔσωθεν ἔξωθεν. τῶν 20
μὲν, [21] τῶν δ' οὔ. ὁκόταν ᾖ κάτωθεν ὀμφαλοῦ τὸ στρέφον.
βραδὺς. μαλθακὸς ὁ στρόφος. ἐς τοὐναντίον. τὰ διαχωρέ-
οντα, ἢ ῥέπει. ἄναφρα. πέπονα. ὠμά. ψυχρά. δυσώδεα,
ξηρά. ὑγρά. ὀδμὴν κακώδεα. δίψα πρόσθεν μὴ ἐνεοῦσα.
μὴ τὸ καῦμα, μηδὲ ἄλλη πρόφασις. οὖρον. ῥινὸς ὑγρα-
σμός. [22] τὴν ἔρριψιν, [23] καὶ τὸν αὐασμὸν καὶ τὸ ἀσύμπτωτον.
[24] καὶ τὸ θολερὸν πνεῦμα. ὑποχόνδριον. ἄκρεα. ὄμματα
προσκακούμενα. χρώματος μεταβολή. σφυγμοί. ψύ-
ξις. παλμοί. σκληρυσμὸς δέρματος. νεύρων. ἄρθρων. φω-
νῆς. γνώμης. σχῆμα ἑκούσιον. τρίχες. ὄνυχες. τὸ εὔφορον. ἢ 30
μή. οἷα δεῖ. σημεῖα ταῦτα. ὀδμαὶ χρωτός. στόματος.
διαχωρήματος. ὠτός. φύσης. οὔρου. ἕλκεος. ἱδρῶτος.
πτυάλου. ῥινός. χρὼς ἁλμυρός. ἢ πτύαλον. ἢ ῥίς. ἢ δά-
κρυον. ἢ ἄλλοι χυμοί. πάντη ὅμοια τὰ ὠφελέοντα. τὰ
βλάπτοντα. ἐνύπνια, οἷα ἂν ὁρέῃ. καὶ ἐν τοῖσιν ὑπνοῖσιν,
οἷα ἂν ποιέῃ. ἢν ἀκούῃ ὀξύ. καὶ πείθεσθαι προθυμέηται
ἐν τῷ λογισμῷ μέζω ἰσχυρότερα τὰ πλείω. ἐπίκαιρα
τὰ σώζοντα τῶν ἑτέρων, ἢν αἰσθάνωνται πάσῃ αἰσθήσει,
πάντων καὶ φέρωσιν. ὁκοῖον ὀδμάς. λόγους. εἵματα. σχή-
ματα. τοιαῦτα εὐφόρως, ἅπερ καὶ αὐτόματα ἐπιφαινό- 40
μενα ὠφελέει. καὶ ὁκότε κρίσιν τὰ τοιαῦτα ἐμποιέει. καὶ
τοσαῦτα. καὶ τοιαῦτα οἷον φῦσαι. οὖρον. οἷον καὶ ὁκόσον καὶ
ὁκότε. ὁκόσα δὲ τἀναντία, ἀποτρέπειν μάχεσθαι αὐτοῖσι.
[25] τὰ ἐγγὺς καὶ τὰ κοινὰ τοῖσι παθήμασι πρῶτα καὶ μά-
λιστα κακοῦται. κατάστασιν δὲ ἐκ τῶν πρώτων ἀρχο-
μένων, ὅ, τι ἂν ἐκκρίνηται ἐκ τῶν οὔρων. ὁκοῖα ἂν ᾖ. καὶ
οἵη τις σύμπτωσις. χροιῆς ἀπάλλαξις. πνεύματος μι-
νύθησις. καὶ τ' ἄλλα μετὰ τούτων τὰ διαιτήματα. τὸ μὲν
εἰ ὅμοια τὰ ἀπιόντα δεῖ εἰδέναι. διέξοδοι. οὖρα καθ' ὑστέρας,
πτύαλα κατὰ ῥῖνας. ὄμματα. ἱδρὼς ἐκ φυμάτων. ἐκ τραυμά- 5
των. ἐξανθημάτων. ὁκόσα αὐτόματα. ὁκόσα τέχνῃσιν.

Conturbatio, perfusio, abluitio, quibus ad sedem aliquid abscedit, vnde emulgetur, aut medicamentum, aut vlcus, aut humor aliquis concretus, aut pullulatio, aut flatus, aut cibi recrementum, aut animalculum, aut æstus aliáve quæpiam affectio. Hæc diligenter consideranda quæ sua sponte desinunt, an velut pustulæ ab ardoribus excitatæ, in quibus quænam nocent aut iuuant. Figuræ, motio, in tumorem sublatio, ac rursum depressio, somnus, vigilia, quæque fieri aut prohiberi debent, præuertito. Vomitionis institutio, eorum quæ per inferiora subducuntur, aut sputi, muci, tussis, ructus, singultus, flatus, vrinæ, sternutamenti, lachrymarum, pruritum, vellicationum, contactuum, sitis, famis, repletionis, somnorum, laborum, ocij, corporis, mentis, disciplinæ, memoriæ, vocis, silentij. Mulieri vteri affectibus laboranti, purgationes, supra prorumpentia, & intestina torquent, pinguia, meraca, spumantia, calida, mordacia, æruginosa, varia, ramentosa, fæculenta, cruenta, flatu carentia, cruda, cocta, sicca, quæcunque vndique confluunt, tolerandi leuitas spectanda & molestia prius quam in periculum incidatur, quæque sedare minime oportet. Maturatio, eorum quæ infra sunt per inferiora demissio, fluitatio eorum quæ supra sunt, & quæ ex vteris exeunt, & sordes quæ est in auribus, emollitio, adaperitio, vacuatio, calefactio, refrigeratio, intra, extra, horum quidem, horum verò minimè. Vbi infra vmbilicum fuerit quod intestina torquet, tardus & leuis est intestinorũ cruciatus, vice versa, contrà. Quæ per aluum secedunt, qua tendunt, minime spumantia, cocta, cruda, frigida, fœtida, sicca, humida, malum odorem spirantia. Sitis non prius existens, neque æstus, neque alia occasio, vrina, nasi humectatio. Proiectionem & siccitatem, corporis molem in se non subsidentem, spiritum turbidum, præcordia, extremitates, oculos malè affectos spectabis. Coloris mutatio, pulsus, refrigeratio, palpitationes, cutis durities, neruorum, articulorum, vocis, mentis, figura voluntaria, pili, vngues, tolerandi leuitas, aut secus, & qualia oportet consideranda. Signa sunt hæc, corporis odores, oris, egestionis alui, auris, flatus, vrinæ, vlceris, sudoris, sputi, naris. Corpus salsum, aut sputum, aut nasus, aut lachryma, aut alij humores, omninò similia quę iuuant, quæ nocent. Insomnia qualia quis cernat spectãda, & in somnis quæ faciat, an acutè audiat, & prompto animo obediat, an quæ commoda sunt & salutem adferunt, reliquis plura sint & valentiora, an erga omnia omnibus sensibus vigeant, & ferant, velut odores, sermones, vestitus, figuras, atque hęc facilè, quæ etiã cùm sponte apparent, iuuant, & quando eiusmodi iudicationem afferũt, & tot, & talia, velut flatus, vrina, qualis, & quanta, & quando. Quæ verò cõtraria sunt, auertere iisque aduersari oportet. Quæ propinqua & communia sunt, affectionibus, ea prima & maximè vitiantur. Constitutionem autem spectato, ex his quæ prima incipiunt, quicquid tandè excernatur, ex vrinis quonã sint, & quænam sit corporis concidentia, coloris immutatio, spiritus imminutio, reliquaque cũ his victus rationes. Id quidem sciendum, num quæ prodeunt sint similia, transitus, vrinæ, per vteros, sputa, per nares, oculi, sudor, ex tuberculis, ex vulneribus, pustulis quæ sua sponte, quæ per artem.

Quod similia sunt inter se omnia quæ iudicationem faciunt, quæq; prosunt, quæq; nocent, & quæ tollunt, vt illa quidem euitans, auertat, hæc verò prouocans admoueat ac suscipiat. Aliaq; etiam eodem modo, in cute, extremis partibus, præcordiis, articulis, oculo, ore, figuris, somnis, quænam iudicationem denunciant, & quãdo eiusmodi omni ratione moliri oportet. Adhæc verò quinam huiusmodi abscessus oriuntur, quænam iuuant, cibis, potionibus, odoribus, visis, auditionibus, notionibus, secessibus, humoribus, calefactione, refrigeratione, siccitatibus, humectando, siccando, inunctionibus, illitionibus, iis quæ in cataplasmate apponuntur, emplastris, iis quæ insperguntur, & iis quæ imponuntur. Figuræ, frictio, medela, labor, otium, somnus, vigiliæ. Spiritibus, supra, infra, communibus, propriis, arte comparatis. In accessionibus nec præsentibus, nec futuris, neq; dum pedes refrigerãtur, sed cùm morbus inclinat. In accessionibus quæ per circuitus repetunt, nulla alimenta offerenda, neq; adurgẽda, sed ante iudicationes de his quæ apponuntur auferendum. Quæ iudicationem faciunt, aut perfectè iudicata sunt, neq; mouere, neq; vllo modo innouare, siue medicamentis, siue aliis irritamentis, sed sinere oportet. Concocta medicamentis purgantibus agitanda, nõ cruda, neq; in principiis, nisi impetu suo ad excretionem ferantur, plærunq; verò minimè ad exitum festinant. Quæ ducenda sunt, quò maximè vergunt, eò per loca conuenientia ducere oportet. Quæ prodeunt, copia minimè sunt æstimanda, sed quandiu prodeant qualia oportet, & æger facilè ferat. Vbi verò virium debilitatem, aut animi defectionem iudicare oportet, quandiu hoc feceris, aliò vertendũ, aut siccandum, aut humectandum, aut reuellendum cuius gratia id fit, si sufficere æger possit. Quod ex his est coniectãdum, sicca quidem calida erunt, humida verò frigida, aluum autem deiicientia, plærunq; contraria. Hæc imparibus diebus supra fiunt, si & circuitus, & constitutio ex ipsis accessionibus talis extiterit. Plurima autem diebus paribus infra contingunt. Sic enim etiam quæ sponte eueniunt iuuant, nisi circuitus accessiones diebus paribus faciant. In talibus autem, paribus diebus, supra, imparibus verò infra fiunt. Paucæ autem sunt eiusmodi, talesque constitutiones difficiliorem habent iudicationem. Quinetiam quæ vltra tempore procedunt, sic contingere necesse est, velut quę ad diem decimumtertium & ad decimumquartum perueniunt, decimotertio quidem infra, decimoquarto verò supra fient. Sic enim ad iudicationem confert. Et quæ ad vigesimum diem pertingunt, præter quàm quæ infra feruntur, plærunque purgare oportet, eaque non prope iudicationem sed longiùs. In acutis autem rarò multa ducenda sunt, in his verò qui lassitudinis sensim habent, totũ. In febribus ad articulos & ad maxillas præcipuè abscessus contingũt, in vicinia dolorum cuiusque, ad superiorem partem magis, & in totũ. Si tardus fuerit morbus & deorsum feratur, infra etiam abscessus contingent. Maximeq; pedes calidi, infra futurum abscessum, frigidi verò supra, denunciant. Iis qui ex morbis conualescunt, si statim in manibus & pedibus dolores contingunt, in his abscessus oriuntur. Quinetiam si quæ pars ante morbum laborarit, ibi morbi sedes erit, velut iis contingit qui in Perintho tussi & angina laborarunt.

ὅτι ὅμοια ἀλλήλοισι, πάντα τὰ κρίνοντα, καὶ τὰ ὠφελέοντα, καὶ τὰ βλάπτοντα, καὶ τὰ ἀπολλύοντα. ὡς τὰ μὲν προφθάνοντα ἀποτρέπῃ· τὰ δὲ προσκαλέων, καὶ ἄγῃ καὶ δέχηται. καὶ τ' ἄλλα δὲ οὕτω. δέρματος. ἀκρέων. ὑποχονδρίων. ἄρθρων. ὄμματος. στόματος. σχημάτων. ὕπνων. οἷα κρίνει. καὶ ὅ, τε τὰ τοιαῦτα μηχανάασθαι καὶ ἐπὶ ὅσαι τοιαῦται ἀποστάσιες γίνονται. [26] οἷαι ὠφελέουσι, βρώμασι. πόμασιν. ὀδμῆσιν. ὁράμασιν. ἀκούσμασιν. ἐννοήμασιν. ἀφόδοισιν. ὑγροῖσιν. θάλψει. ψύξει. ξηροῖσιν. ὑγρῶναι. ξηρῶναι. χρίσμασιν. ἐγχρίσμασιν. ἐπιπλάστοισιν. ἐμπλάστοισιν. ἐπιπάστοισιν. ἐπὶ δὲ τοῖσιν ἐπιθέτοισι. σχήματα. ἀνάτριψις. ἴησις. πόνος. ἀργίη. ὕπνος. ἀγρυπνίη. πνεύμασιν ἄνωθεν, κάτωθεν. κοινοῖσιν. ἰδίοισιν. τεχνητοῖσιν. ἐν τοῖσι παροξυσμοῖσι μήτε ἐοῦσι, μήτε μέλλουσι. μήτε ποδῶν ψύξει, ἀλλ' ἐν καταρρόπῳ τῇ νούσῳ. [27] τοῖσιν ἐν τοῖσι περιόδοισι, παροξυσμοῖσι, τὰ προσφέρματα, μὴ διδόναι μηδὲ ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθεσίων, πρὸ τῶν κρισίων. τὰ κρινόμενα καὶ τὰ κεκριμένα, [28] ἀρτίως μὴ κινέειν, μήτε νεωτεροποιέειν, μήτε φαρμακίοισι, μήτε ἄλλοις ἐρεθισμοῖσιν, ἀλλ' ἐᾶν. [29] πέπονα φαρμακεύειν, καὶ κινέειν μὴ ὠμά, μηδὲ ἐν ἀρχῆσιν, εἰ μὴ ὀργᾷ. τὰ δὲ πολλὰ, οὐκ ὀργᾷ. [30] ἃ δεῖ ἄγειν, ὅπη ἂν μάλιστα ῥέπῃ, διὰ τῶν ξυμφερόντων χωρίων, ταύτῃ ἄγειν. τὰ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ἕως ἂν χωρέῃ, οἷα δεῖ, καὶ φέρῃ εὐφόρως. [31] ὅκου δὲ δεῖ γνῶσαι, ἢ λειποθυμῆσαι ἕως ἂν τοῦτο ποιήσῃς, ἐπ' ἄλλα ῥέψαι, ἢ ξηρῆναι, ἢ ὑγρῆναι, ἢ ἀντισπάσαι, οὕνεκα τοῦτο ποιέεται, ἢν ἐξαρκέῃ ὁ νοσέων, τούτοισι τεκμαίρεσθαι. τὰ μὲν ξηρὰ, θερμά ἐστι, τὰ δὲ ὑγρὰ, ψυχρά. διαχωρητικὰ δὲ τοὐναντίον ὡς ἐπὶ τὸ πολύ. ταῦτα τῇσι περισσῇσιν ἄνω, ἢν καὶ αἱ περίοδοι [32] καὶ ἡ κατάστασις τοιαύτη ἔῃ τῶν παροξυσμῶν. γίνεται δὲ τὰ πλεῖστα τῇσιν ἀρτίῃσι κάτω. οὕτω γὰρ καὶ αὐτόματα ὠφελέει, ἢν μὴ αἱ περίοδοι τοὺς παροξυσμοὺς ἐν τῇσιν ἀρτίῃσι ποιέωνται. ἐν δὲ τοῖσι τοιούτοισιν, ἐν μὲν ἀρτίῃσιν ἄνω· ἐν δὲ τῇσι περισσῇσι, κάτω. ὀλίγαι δὲ τοιαῦται. αἱ δὲ τοιαῦται, καὶ δυσκριτώτεραι καταστάσιες. ἀτὰρ καὶ τὰ πρόσω χρόνου προήκοντα ἀνάγκη οὕτως. οἷον τρισκαιδεκαταῖα. τεσσαρεσκαιδεκαταῖα. τρισκαιδεκάτῃ μὲν κάτω. τεσσαρεσκαιδεκάτῃ δὲ ἄνω. πρὸς γὰρ τὸ κρίσιμον, οὕτω ξυμφέρει. καὶ ὅκοσα εἰκοσταῖα. πλὴν ὅκοσα κάτω, πολλὰ δὲ δεῖ καθαίρειν. [33] ταῦτα δὲ ἐγγὺς οὕτω κρισίος, ἀλλὰ προσωτέρω. δεῖ δὲ ὀλιγάκις ὀξέσι, πολλὰ ἄγειν. τοῖσι κοπιώδεσι τὸ σύμπαν, [34] ἐν τοῖσι πυρετοῖσιν εἰς ἄρθρα, καὶ παρὰ γνάθους μάλιστα ἀποστάσιες γίνονται ἐγγύς τι τῶν πόνων ἑκάστου, ἐπὶ τὸ ἄνω μᾶλλον καὶ τὸ σύμπαν. ἢν ἀργὸς ἡ νοῦσος ἔῃ καὶ καταρρόπος, κάτω καὶ ἀποστάσιες. μάλιστα δὲ πόδες θερμοὶ, κάτω σημαίνουσι. ψυχροὶ δὲ ἄνω. οἷσι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, αὐτίκα δὴ ἐν χερσὶν ἢ ποσὶ πονέουσί τι, ἐν τούτοισιν ἀφίστανται. ἀτὰρ καὶ ἤν τι πεπονηκὸς ἔῃ, πρὶν ἢ νοσέειν ἐς ταῦτα ἀποστηρίζεται. οἷον καὶ τοῖσιν ἐν Περίνθῳ βηχώδεσι καὶ κυναγχικοῖσιν.

ποιέουσι γὰρ αἱ βῆχες τὰς ἀποστάσιας, ὥσπερ οἱ πυρετοὶ τοιαῦται. κατὰ τὸν αὐτὸν λόγον συμβαίνει ἢ ἀπὸ χυμῶν ἢ σώματος συντήξιος[36] καὶ ψυχῆς. τοὺς μὲν οὖν χυμοὺς εἰδέναι ἐν ᾗσιν ὥρῃσιν ἀνθέουσι, καὶ οἷα ἐν ἑκάστοισι νοσήματα ποιέουσι. καὶ οἷα ἐν ἑκάστῳ νουσήματι παθήματα. τὸ δὲ σῶμα τὸ ἄλλο, ἐς ὅ, τι μάλιστα νόσημα ἡ φύσις ῥέπει. οἷόν τι, σπλὴν οἰδέων ποιέει, τούτων τι καὶ ἡ φύσις. σχεδόν τι καὶ χρώματα κακίω.[37] καὶ σώματα σφρεοῖ, καὶ εἴ τι ἄλλο, ταῦτα διαγεγυμνάσθαι,[38] ψυχῆς ἀκρασίη ποτῶν καὶ βρωμάτων, ὕπνου, ἐγρηγόρσιος, ἢ δι' ἔρωτάς τινας, οἷον κύβων, ἢ διὰ τέχνας, ἢ δι' ἀνάγκας καρτερίη πόνων, καὶ ὧν τινων τεταγμένη, ἢ ἄτακτος.[39] αἱ μεταβολαὶ ἐξ οἵων εἰς οἷα. ἐκ τῶν ἠθέων φιλοπονίη ψυχῆς.[40] ἢ ζητέων, ἢ μελετέων, ἢ ὁρέων, ἢ λέγων, ἢ εἴ τι ἄλλο, οἷον λῦπαι, δυσοργησίαι, ἐπιθυμίαι, τὰ ἀπὸ συγκυρίης, λυπήματα γνώμης, ἢ διὰ τῶν ὀμμάτων, ἢ διὰ τῆς ἀκοῆς, οἷα τὰ σώματα. μύλης μὲν τριφθείσης πρὸς ἑωυτὴν, ὀδόντες ἡμώδησαν.[41] παρά τε κοῖλον παριόντι, σκέλεα τρέμει. ὅταν δὲ τῇσι χερσὶν ὧν δεῖται ἆραι, αὗται τρέμουσιν.[42] ὄφις ἐξαίφνης ὀφθεὶς, χλωρότητα ἐποίησεν, οἱ φόβοι, οἷον αἰσχύνη, λύπη, ἡδονὴ, ὀργὴ, τ' ἄλλα τοιαῦτα[43] οὕτως ὑπακούει. ἑκάστῳ δὲ τὸ προσῆκον τοῦ σώματος τῇ πρήξει, ἐν τούτοισιν ὑπακούει, ἱδρῶτες, καρδίης παλμὸς, καὶ τὰ τοιαῦτα τῶν δυνάμιων τὰ ἔξωθεν ὠφελέοντα, ἢ βλάπτοντα, ἄλειψις, κατάχυσις, κατάχρισις, κατάπλασις, ἐπίδεσις ἐρίων καὶ τῶν τοιούτων, καὶ τὰ ἔνδοθεν ὑπακούει τῶν τοιούτων, οὐ μόνον ὥσπερ τὰ ἔξω τῶν εἴσω προσφερομένων, ἀτὰρ καὶ τάδε[44] ἐν ἐρίοισι κοίτη πινώδεσι,[45] καὶ τὸ παρὰ βασιλεῖ λεγόμενον κύμινον ὁρῶσιν. ὀσφραινομένοισιν[46] ὅσα κεφαλῆς ἀγωγὰ, ταρακτικὰ, λόγοι, φωνὴ, καὶ τὰ τοιαῦτα, μαζοὶ, γονὴ, ὑστέρη, σημήϊα τά τε ἐν τῇσιν ἡλικίῃσι. καὶ ἐν τοῖσι πνιγμοῖσι, καὶ βηξὶ, τὰ πρὸς ὄρχιν.[47] ὥσπερ τοῖσι δένδροισιν ἡ γῆ, οὕτω τοῖσι ζώοισιν ἡ γαστὴρ. καὶ τρέφει, καὶ θερμαίνει, καὶ ψύχει. ψύχει μὲν κενουμένη, θερμαίνει δὲ πληρουμένη,[48] ὥσπερ γῆ κοπρευομένη, χειμῶνος θερμὴ, οὕτω καὶ ἡ κοιλίη, δένδρεα φλοιὸν λεπτὸν ξηρὸν ἔχει. ἔσωθεν δὲ ξηρόσαρκα, ὑγιηρὰ, ἄσηπτα, χρόνια, καὶ ζώων, οἷον χελῶναι, καὶ ὅ, τι τοιοῦτον, ἡλικίῃσιν, ὥρῃσιν, ἐνιαυτοῖσιν ὅμοια. τὰ ζῶντα οὐ τρίβεται χρωμένοισι μετρίως βελτίω,[49] ὥσπερ ὑδρίον νέον διαπηδᾷ, παλαιούμενον στέγει. οὕτω καὶ ἡ γαστὴρ, διίει τὴν τροφὴν, καὶ ὑπόσταθμον ἴσχει ὥσπερ ἀγγεῖον, οἱ τρόποι τῶν νούσων, τὰ μὲν συγγενικά ἐστιν εἰδέναι πυθόμενον, καὶ τὰ ἀπὸ τῆς χώρης. οἰκέονται γὰρ διὰ πλειόνων, καὶ πολλοὶ ἴσασι. τὰ δὲ ἐκ τοῦ σώματος καὶ τῶν διαιτημάτων,[50] καὶ καταστάσιος τῆς νούσου, ἢ ἀπὸ ὡρέων. αἱ δὲ χῶραι πρὸς τὰς ὥρας κακῶς διακείμεναι, τοιαῦτα τίκτουσι νουσήματα, ὁκοίῃ ἂν ὥρῃ ὁμοῖαι ἔωσιν. οἷον[51] ἀνώμαλον θάλπος, ἢ ψῦχος, τῆς αὐτῆς ἡμέρης, ὅταν τοιαῦτα ποιέῃ φθινοπωρινὰ ἐν τῇ χώρῃ τὰ νουσήματα. καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσι κατὰ λόγον.[52] τὰ μὲν ἀπὸ ὀδμέων βορβορωδέων, ἢ ἑλωδέων. τὰ

Tusses enim non secus ac febres, abscessus excitant. Simili etiam ratione contingit vel ab humoribus, vel corporis colliquatione & animi. Humores igitur quibus anni temporibus efflorescunt, nosse oportet, & quales in singulis morbos efficiant, & quasnam in vnoquoq; morbo affectiones pariant. Reliquũ quoq; corpus, quem ad morbum natura præcipuè inclinat, quale quid lien in tumorem sublatus facit. Quorum quiddam etiam natura facit, fereq; colores deteriores sunt, & corpora arefacit. Et si quid sit aliud, in his te exercitatum esse oportet, velut si quis animi intemperantia ducatur ad cibos & potiones, somnum & vigilias, vel amore quodam vt alearum, vel arte, vel necessitate labores toleret, iique vel certo, vel non certo ordine contingunt. Mutationes ex quibus ad quænam fiant, considerandæ. Ex moribus animi industria, vel si quid inuestiget, vel cogitet, vel videat, vel dicat, vel aliud quid faciat, velut dolores, iracundiæ cupiditates, quæ ex casu accidunt, mentis molestiæ, quæ per visionem aut auditionem cõtrahuntur, quales corporum affectiones. Molæ quidem in sese attritu, dentium stupor oboritur. Iuxta foueam transeuntem, crurum tremor occupat. Cùm quis ea quibus opus habet manibus sustulerit, eas tremor corripit. Serpens de repente conspectus, pallorem inducit. Metus, velut pudor, dolor, lætitia, ira sic afficiunt. Quod autem in corpore ad actionem pertinet, horum vnicuique morem gerit. Sudores, cordis palpitatio, atque id genus facultates. Quæ foris iuuant aut nocent, vnctio, perfusio, illitus, quæ in cataplasmate adhibentur. Lanarum & eorum quæ sunt eiusmodi deligatio. Interna etiam talibus afficiuntur, nõ solùm velut externa ab his quæ intrò assumũtur. Quinetiam quæ in lanis ouium sorde inquinatis admouentur, & quod Regium dictum est omnium videntibus, olfacientibus. Quæ ex capite deducunt, perturbationem adferunt sermones, vox & talia. Mammæ, genitale semen, vterus, signa quęque in ætatibus, & in suffocationibus, & tussibus, quæ ad testes perueniunt. Vt se habet terra in arboribus, ita in animantibus venter, alit, calefacit & refrigerat. Refrigerat quidem dum vacuatur, calefacit verò cùm impletur. Non secus ac stercorata terra hyeme calida est, ita etiã ventriculus. Arbores corticem tenuem siccum habẽt, intrinsecus autẽ carne sunt sicca, sanæ, imputres, diuturnæ. Et ex animantibus velut testudines, & quicquid est eiuscemodi. Ætatibus, anni temporibus, annis similia. Quæ viuunt nõ atteruntur, & quibus moderatè vtũtur, melius habẽt. Quemadmodũ hydria parua recens transmittit, inueterata continet, ita & ventriculus alimentum trãsmittit, & subsidens retrimentũ retinet velut conceptaculum quoddã. Morborum formæ diuersæ sunt, cùm partim quidã sint cõgeniti, de quibus percontãdo licet cognoscere, partim quidã ex regionibus oriuntur, cùm multis sint familiares, & plerique ipsos norint, partim verò ex corpore, & vitæ institutis, & morbi constitutione, vel ex anni temporibus. Regiones autẽ ad anni tempora malè affectæ, cuius temporis similitudinem habent, eiusmodi morbos pariunt. Verbi gratia inæqualis calor & frigus, si eadem die contigerint, autumnales morbos in regio[illegible]e creabũt, & in reliquis anni temporibus eadẽ ra[illegible]tio seruabitur. Alij quidem ab odoribus cœnosi[illegible] aut palustribus, alij

verò ab aquis, calculosi, lienosi, alij à ventis, tum bonis, tum malis originem ducunt. Quales verò futuri sunt anni temporis morbi, talis etiam ex his constitutiones ducentur. Si anni tempora tempestiuam & ordine procedentem temperiem habuerint, iudicatu faciles morbos pariunt. Familiares autem anni temporibus morbi, mutationes indicant. Pro anni autem temporis varietate, similes aut dissimiles erunt morbi, qui hoc tempore oriũtur. Quòd si simpliciter procedat, aut eiusmodi morbi erunt, aut ad tale quid deducentur, velut ad morbum regium autumnalem, cum frigora caloribus, & calor frigori succedit. Si verò æstas biliosa extiterit, bilisque increscens intus remanserit, etiam aliquantulum lienosi erunt. Cùm igitur ver quoq; hoc modo processerit, vere etiam morbi regij oriuntur. Ad hanc enim formam hic motus anni tempori proximus est. At vbi æstas veri similis extiterit, sudores in febribus, eæque faciles, neq; peracutæ erunt, neque linguas vehementer aridas habebunt. Cùm verò ver hybernum fuerit, & extremæ hyemis frigora senserit, hyberni etiam morbi fient, & tusses, & pulmonum inflammationes, & anginæ. Et autumnus si non suo tempore, ac de repente ad hyemis naturam vergat, non continenter tales morbos facit, propterea quòd non suo tempore incœpit, sed inæqualiter fit. Quapropter etiam anni tempora iudicatione carent, & instabilia fiunt, quemadmodum morbi quoque, si ante tempus erumpant, aut excerni anticipent, aut intus relinquãtur. Anni enim tempora morborum reuersiones plærunque afferre solent, sicut & eiusmodi morbos facere. Illud præterea spectandum est, quomodo affecta sint corpora, cùm ab anni temporibus excipiuntur. Austri auditus grauitatem afferunt, oculis caliginem offundunt, capitis grauitatem inducunt, membrorum torporem ac langorem faciunt. Cùm hic inualuerit, eiuscemodi in morbis contingunt, vlcera madentia, os præsertim, pudendũ, aliasque partes occupant. Quòd si aquilonia fuerit tempestas, tusses fiunt, faucium asperitates, alui duriores, vrinæ difficultates, horrores, laterum & pectoris dolores. Hac præualente, ei[illegible]modi morbi maximè expectandi sunt. Quòd si magis redundarit, magnas siccitates febres consequuntur, itemq; imbres, qualescunque humorum redundantiæ contigerint, & quomodocunq; affecta corpora ex alio anni tempore exceperint, & quicunq; tandem humor in corpore præualuerit. Quinetiam siccitates Austrinæ sunt & Aquilonales. Differunt enim & alia ad hunc modum. Nam & hoc magnum est. Et alius in alio anni tempore & regione magnus est. Velut æstas bilem gignit, Ver sanguinem, & alia tempora, vt singulorum fert natura. Mutationes potissimùm morbos pariunt, eæque præcipuè maximæ. Et in anni temporibus magnæ mutationes, itemq; in aliis. Quædam sensim accessione facta fiunt, eaque anni tempora sunt securissima, non secus ac victus rationes, & frigus, & calor, maximè si paulatim ex additione progrediãtur, itemque ætates ad hunc modum immutatę. Naturæ quòd ad anni tempora attinet, aliæ ad æstatem, aliæ ad hyemem benè aut malè affectæ sunt, quædam verò ad regiones, & ætates, victus rationem, & alias aëris conditiones. Morbi alij ad alia anni tempora benè vel malè se habent, ætates quoque ad tempora, & regiones, &

δὲ ἀπὸ ὑδάτων, λιθιῶντα, σπληνώδεα. τὰ δὲ ἀπὸ πνευμάτων, χρηστῶν τε καὶ κακῶν ἀρχῶν. [53] ὥρης δὲ οἷα ἔσονται νοῦσοι, καὶ καταστάσιες ἐκ τῶνδε. ἢν αἱ ὧραι ὡραίως, εὐτάκτως, εὐκρινέας νόσους ποιέουσιν. αἱ δὲ ἐπιχώριοι τῇσιν ὥρῃσι νοῦσοι, δηλοῦσι τοὺς τρόπους. ὅ, τι δ' ἂν ἐξαλλάξῃ ἡ ὥρη, ὅμοια ἢ ἀνόμοια ἔσται τὰ νουσήματα, οἷα ἐν τῇ ὥρῃ ταύτῃ γίνεται. ἢν δ' ὁμοίως ἄγῃ, ἢ τοιουτότροπα καὶ ἐπὶ τοιοῦτο εἰλκυσμένα, οἷον ἴκτερον φθινοπωρινόν. ψύχεα γὰρ ἐκ θαλπέων, καὶ θάλπος ἐκ ψύχεος. καὶ ἢν τὸ θερινὸν χολῶδες γένηται, καὶ αὐξηθὲν ἐγκαταλειφθῇ, καὶ σπληνώδεες. [54] ὅταν οὖν καὶ ὁ ἀὴρ οὕτως ἀγάγῃ, καὶ ἦρος γίνονται ἰκτεροι. ἐγγυτάτω γὰρ αὕτη ἡ κίνησις τῇ ὥρῃ κατὰ τοῦτο τὸ εἶδός ἐστιν. ὅταν δὲ θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτες ἐν τοῖσι πυρετοῖσι. καὶ εὔτροποι, καὶ οὐ κατόξεες, οὐδὲ καταξηροὶ γλώσσῃσιν. ὅταν δὲ χειμέριον γένηται ἦρ [55] καὶ ὀπισθοχειμὼν, χειμεριναὶ καὶ αἱ νοῦσοι. καὶ βηχώδεες. καὶ περιπνευμονικαί. ἢ κυναγχικαί. [56] καὶ φθινοπώρου, ἢν μὴ ἐν ὥρῃ καὶ ἐξαίφνης χειμάσῃ, μὴ συνεχῶς τοιαύτας νόσους ποιέει, διὰ τὸ μὴ ἐν ὥρῃ ἦρχθαι, ἀλλὰ ἀνώμαλα γίνεσθαι. διόπερ καὶ αἱ ὧραι, ἄκριτοι καὶ ἀκατάστατοι γίνονται. ὥσπερ καὶ αἱ νοῦσοι, [57] ἐὰν προεκρηγνύωνται, ἢ προεκκρίνωνται, ἢ ἐγκαταλείπωνται. φιλυπόστροφοι γὰρ καὶ αἱ ὧραι γίνονται, ὥσπερ αἱ οὕτω νοσοποιέουσαι. προσλογιστέον οὖν, ὁκοίως ἂν ἔχοντα τὰ σώματα, αἱ ὧραι παραλαμβάνωσι. [58] νότοι βαρυηκόοι. ἀχλυώδεες. καρηβαρικοὶ, νωθροὶ, διαλυτικοὶ, ὅταν οὗτος δυναστεύῃ, τοιουτότροπα ἐν τῇσι νούσοισι πάσχουσιν. ἕλκεα μαδαρὰ, μάλιστα στόμα, αἰδοῖον, καὶ τἄλλα. ἢν δὲ βόρειον, βῆχες, φάρυγγες, κοιλίαι σκληρότεραι, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων, ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι μᾶλλον τὰ νουσήματα. [59] ἢν μᾶλλον πλεονάζῃ, αὐχμοῖσιν οἱ πυρετοὶ ἕπονται. καὶ ὄμβροισιν ἐξ ὁποίων ἂν οἱ πλεονασμοὶ μεταπέσωσι. καὶ ὅκως ἂν ἔχοντα τὰ σώματα παραλάβωσιν ἐκ τῆς ἑτέρης ὥρης. καὶ ὁκοίου τινος οὖν χυμοῦ δυναστεύοντος ἐν τῷ σώματι. ἀτὰρ αὐχμοὶ, νότιοι, βόρειοι. διαφέρει γὰρ καὶ τἄλλα οὕτω. μέγα γὰρ καὶ τοῦτο. ἄλλος γὰρ ἐν ἄλλῃ ὥρῃ καὶ χώρῃ, μέγας. οἷον τὸ θέρος χολοποιόν. ἦρ ἔναιμον. τἄλλα ὡς ἕκαστα. [60] αἱ μεταβολαὶ μάλιστα τίκτουσι νουσήματα. καὶ αἱ μέγισται μάλιστα, καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ, καὶ ἐν τοῖσιν ἄλλοισι. τὰ δὲ ἐκ προσαγωγῆς γίνεται. αἱ ὧραι αὗται ἀσφαλέσταται, ὥσπερ καὶ δίαιται. καὶ ψύχος καὶ θάλπος μάλιστα ἐκ προσαγωγῆς. καὶ ἡλικίαι οὕτω μεταβαλλόμεναι. φύσιες δὲ ὡς πρὸς τὰς ὥρας. αἱ μὲν πρὸς θέρος. αἱ δὲ, πρὸς χειμῶνα εὖ καὶ κακῶς πεφύκασιν. αἱ δὲ πρὸς χώρας. καὶ ἡλικίας. καὶ διαίτας. [61] καὶ τὰς ἄλλας καταστάσιας τῶν νούσων, ἄλλαι πρὸς ἄλλας εὖ καὶ κακῶς πεφύκασι. καὶ ἡλικίαι πρὸς ὥρας, καὶ χώρας, καὶ

διαίτας,

δίαιτας,[62] καὶ πρὸς καταστάσιας νούσων. καὶ ἐν τῇσιν ὥρῃσι, δίαιται, καὶ σιτία, καὶ ποτὰ, οἷα ὅτι ὁ μὲν χειμὼν, ἀργὸς ἔργων, καὶ πέπονα τὰ εἰσιόντα καὶ ἁπλᾶ. μέγα γὰρ καὶ τοῦτο. αἱ ὀπῶραι δὲ, ἐργάσιμοι, ἡλιώσιες, τὰ πινόμενα πυκνὰ, ἀκατάστατα σιτία· οἶνοι, ἀκρόδρυα. ὥσπερ δὲ ἐκ τῶν ὡρέων τὰς νούσους ἐστὶ τεκμήρασθαι, ἔστι ποτὲ καὶ ἐκ τῶν νούσων,[63] ὕδατα, καὶ ἀνέμους, καὶ ἀνυδρίας προγινώσκειν. οἷον βόρεια, νότια. ἔστι γὰρ εὖ μαθόντι καὶ ὀρθῶς ὅθεν σκεπτέα. οἷαι καὶ λέπραι τινὲς, καὶ περὶ τὰ ἄρθρα πόνοι, ὕδατα ὅταν μέλλῃ, κνησμώδεές εἰσι καὶ ἄλλα τοιαῦτα. καὶ τῶν ὑσμάτων οἷα ἢ διὰ τρίτης, ἢ ἑκάστης, ἢ διὰ περιόδων ἄλλων· καὶ τὰ συνεχέα. καὶ ἄνεμοι οἱ μὲν, πολυήμεροι πνέουσι, καὶ ἀντιπνέουσιν ἀλλήλοισιν· ἄλλοι δὲ, διὰ βραχυτέρων. οἱ δὲ καὶ αὐτοὶ, κατὰ περιόδους. ταῦτα ἔχει τῇσι καταστάσεσιν, ὁμοιότητας. ἐπὶ βραχύτερον δὲ τὰ τοιαῦτα.[64] ἢν μὲν ἐπὶ πλέον δὲ ἔτος τοιοῦτο ἐν τοίῃ καταστάσει ἐποίησεν, ἐπὶ πλέον καὶ τὰ νουσήματα τοιαῦτα. καὶ ἢν μᾶλλον ἰσχυρότερα, καὶ μέγιστα νουσήματα οὕτως ἐγένετο καὶ κοινότατα, καὶ ἐπὶ πλεῖστον χρόνον. ἐκ τῶν πρώτων ὑδάτων, ὅταν ἐξ ἀνυδρίης πολλῆς μέλλῃ ὕδωρ ἔσεσθαι, ἔστι περὶ ὑδρώπων προλέγειν. καὶ ὁκόταν τ' ἄλλα σμικρὰ σημήια φανῇ ἐν νηνεμίῃ, ἐν μεταβολῇ. συνακτέον δὲ, ὅσαι μὲν ἐφ' οἵοισιν ὕδασιν ἢ ἀνέμοισιν αἱ νοῦσοι ἐπισημαίνουσι, καὶ ἀκουστέον εἴ τις οἶδεν[65] ὅτι τοιούτου χειμῶνος προγενομένου, τοῖον ἦρ ἢ θέρος ἔσται. τὰ χρώματα οὐχ ὁμοῖα ἐν τῇσιν ὥρῃσιν, οὐδὲ ἐν βορείοισι καὶ νοτίοισιν, οὐδ' ἐν τῇσιν ἡλικίῃσιν, αὐτὸς πρὸς ἑωυτόν. οὐδ' ἄλλος ἄλλῳ οὐδέν. σκεπτέον δὲ ἐξ ὧν ἴσμεν καὶ παρεόντων καὶ ἀτρεμεόντων, περὶ χροιῶν. καὶ ὅτι αἱ ἡλικίαι τῇσιν ὥρῃσιν ἐμφερέες εἰσὶ καὶ χροιῇ, καὶ τρόπῳ.[66] οἱ αἱμορροΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπλευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν ἁλίσκονται.[67] ἴσως δὲ οὐδὲ λέπρῃσιν. ἴσως δὲ οὐδὲ ἀλφοῖσιν. ἰηθέντες γε μὴν ἀκαίρως,[68] συχνοὶ τοῖσι τοιούτοισιν οὐ βραδέως ἥλωσαν· καὶ ὀλέθρια οὕτως.[69] καὶ ὅσαι ἄλλαι ἀποστάσιες, οἷον σύριγγες ἑτέρων ἄκος.[70] ὅσα πέφυκεν ἐπιφαινόμενα παύειν, ῥύεται τούτων προγενόμενα κωλύματα. ἄλλοισιν αἱ κοινωνίαι.[71] οἱ ὕποπτοι τόποι, ὑποδεξάμενοι πόνῳ, ἢ βάρει, ἢ ἄλλῳ τινὶ, ῥύονται.[72] ἄλλοισιν αἱ κοινωνίαι διὰ τὴν ῥοπὴν, οὐκ ἔτι αἷμα ἔρχεται, ἀλλὰ κατὰ τὸν χυμὸν τὴν συγγενείην, τοιαῦτα πτύουσιν. ἔστιν οἷσιν αἷμα ἀφιέναι ἐν καιρῷ, ἐπὶ τοῖσι τοιούτοισιν. ἐπ' ἄλλοισι δὲ ὥσπερ ἐπὶ τούτοισιν, τοῦτο οὐκ εἰκὸς[73] κώλυσις. ἐπὶ τοῖσι δὴ αἱματώδεα πτύουσιν. ὥρη, πλευρίτης, χολή.[74] τὰ παρὰ τὰ οὖς, ὅσοισιν ἂν ἀμφὶ κρίσιν γινόμενα, ἢν μὴ ἐκπυήσῃ, τούτου ἀπαλλασσομένου ὑποστροφὴ γίνεται. καὶ κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς κρινόμενα, αὖτις αἴρεται καὶ παραμένει· ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ, ἐν ὁμοίῃ περιόδῳ. ἐπὶ τούτοισιν ἐλ-

victus genera, & morborum constitutiones. Atque in anni temporibus, victus genera, cibi & potiones quales sint videndum, quòd hyems quidem ab operibus cessans, quæ ingeruntur cocta & similia postulat. Id enim permagni etiam refert. Autumnus autem laboribus dicatus est, insolatus habet, crebros potus, cibos instabiles, vina & arboreos fructus. Ac quemadmodum ex anni temporibus de morbis coniecturam facere licet, ita quandoq; ex morbis aquas, vẽtos, & siccitates cognoscere licet, velut aquilonales & austerinos status. Hoc enim ei erit integrum, qui probè & rectè nouerit, vnde hæc spectanda sint. Velut etiam lepræ quædam, & circa articulos dolores. Vbi aquæ futuræ sunt, pruritum excitant, aliaque eiuscemodi. Et quæ pluuiæ aut tertio quoque die, aut singulis diebus, aut per alios circuitus, aut continenter contingunt. Et venti quidam per multos dies, & inter se aduersi spirant, iidemque per circuitum. Atque hæc similitudines habent cum temporum constitutionibus, eiusmodi tamen bieuiores. Quòd si annus magna ex parte talis esse pergat, eiusmodi quoq; morbi magna ex parte erunt, & quò magis inualuerint, sic quoque maximi morbi maximéque communes erunt, & longissimo tempore perdurabunt. Ex primis aquis, cùm post multam siccitatem aqua futura est, licet aquam inter cutem prædicere, & cùm alia parua signa in ventorum cessatione & aeris mutatione apparuerint. Colligendum igitur qui quidem morbi, qualibus aquis aut ventis de se significationem præbeant, neque negligendus est, qui cuiusmodi hyems præcesserit, tale ver aut æstatem fore nouerit. Colores neque in anni temporibus, neque in aquilonalibus, neque in australibus constitutionibus similes sunt, neque in ætatibus, neque cùm sibi quispiam, neq; cùm alter ad alterum confertur. Spectandi autem colores sunt ex his quæ præsentia & quiescentia esse nouimus, quodq; ætates anni temporibus, & colore, & modo, similes sunt. Qui sanguinem per ora venarum quæ in ano sunt profundere solent, ij neque lateris dolore, neque pulmonis inflammatione, neque vlcere exedente (phagedænam vocant) neque furunculis corripiuntur, neq; tuberculis, quæ à ciceris similitudine therminthi dicũtur, ac forte ne lepra quidem, fortassis verò neque vitiliginibus. Intempestiuè tamen curati multi, nõ ita multò post huiusmodi morbis correpti sunt, neq; ita perniciosè habuerunt. Quod in reliquis abscessibus contingit, velut fistulis quæ aliorum medela sunt. Quæ sedare solent, cùm postea apparent, ea si priùs fiant, impedimenta, ab iis liberant. Cum aliis communionem habent suspecta ad excipiendum loca, aut ob dolorem, aut ob grauitatem, aut ob aliud quippiam, & liberant. Quæ cum aliis communionem habent, iis ob inclinationem non ampliùs sanguis prodit, sed iuxta humoris cognationem talia expuunt. Interdum in talibus tempestiuè sanguis mitti potest, in aliis verò, perinde atque his minimè consentaneum. Impedimento est iis qui cruenta expuunt, anni tempus, lateris dolor, bilis. Quibus sub iudicationis tempus, iuxta aures exorta tubercula minimè suppurarint, eo subsidente, morbi reuersionem fieri contingit. Factaque pro recidiuarum ratione iudicatione, rursus attolluntur & permanent, non secus ac febrium reuersiones, eodem circuitu. In his aliquid ad articulos abscedere

posse sperandum est. Vrina crassa, alba, qualis Archigenis puero aderat, in febribus cum lassitudinis sensu quarto die interdum prodit, abscessuque liberat, idque si præter hæc sanguis è naribus abundè & copiosè profluat. Qui articulari morbo detentus, intestini dolore dextra parte vexabatur, quietior erat, hoc autem curato, magis dolebat.

πις ἐς ἄρθρα ἀφίσαται, οὖρον παχὺ, λευκὸν, οἷον τῷ Ἀρχιγένεος. ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοισιν ἔστιν ὅτε ἔρχεται, καὶ ῥύεται τῆς ἀποστάσιος. ἢν δὲ πρὸς τούτῳ καὶ αἱμορραγήσῃ, ἀπὸ ῥινῶν ἱκανῶς [75] καὶ πάνυ. καὶ [76] ᾧ τὸ ἔντερον ἐπὶ δεξιὰ ἀρθριτικῷ πάθει ἤλγεε, ἦν ἡσυχαίτερος· ἐπεὶ δὲ τοῦτο ἰητρεύθη, ἐπιπονώτερος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΡΙΣΙΩΝ.

HIPPOCRATIS DE IVDICATIONIBVS LIBER.

IVDICATIONVM quæ breui meliorem fore statum portendunt, eadem ferè quæ sanitatis signa sunt. Sudores enim optimi & citissimè febrem sedare censentur, qui decernentibus diebus contingunt, & febrem ex toto finiunt. Boni etiam æstimandi, qui ex toto corpore proueniunt, & leuiorem morbum reddunt. Qui verò horum nihil præstant, inutiles si contingant. Morbo autem ad iudicationem tendente, deiectionem crassiorem reddi oportet, subfulua verò nec admodum graueolens esto. Lumbricos etiam sub iudicationem exire commodum est. Vrina optima est quæ per totum morbi tempus, quoad iudicationem subierit, albissimum, læue & æquale habet sedimentum. Securum enim ac breuem fore morbum indicat. Si suborto sudore morbus cesset, & vrina fulua cum sedimento albo conspiciatur, iis eodem die febris reuertitur, quæ quinto die sine periculo iudicatur. Qui paucissimo tempore sani futuri sunt, iis in totum maxima signa contingunt. Ij enim citra dolorem & periculum perseuerant, noctu dormiunt, cæteraq; securitatis signa præ se ferunt. Quibus in febre minimè lethali, capitis dolor est, aliaq; signa circumsistunt, in his bilis superat. Qui primis diebus dolore vexati, quarto & quinto die magis vrgentur, hi sub septimum diem febre liberantur. Febrium verò iudicationes iisdem numero diebus contingunt, quibus homines moriuntur, & quibus superstites euadunt. Leuissimæ enim febres & cum securissimis signis, quarto die aut priùs finiunt. Maximè verò lethales, & quæ cum periculosissimis signis contingunt, quarto die aut priùs interficiunt. Primus igitur earum impetus sic finitur, alter ad septimum deducit, tertius ad vndecimum, quartus decimumquartum, quintus ad decimum septimum, sextus ad vigesimum. Hæ igitur in acutissimis morbis accessiones per quatuor fiunt, & ad viginti dies producuntur. Fieri verò non potest vt horum quicquam integris exactè diebus numeretur. Neque enim anni, neque menses integris diebus constare solent. In febribus ardentibus bona signa, si qualia in sanis scripta sunt existant, minora quidem tertio die remissionem fore indicant, crassiora verò

ΠΕΡΙ κρισίων ξυντόμως ἐπὶ τὸ ἄμεινον, τὰ μὲν πλεῖστα ταῦτ' ἐστὶν, ἅπερ ὑγιείης σημεῖα. [2] ἱδρῶτες γὰρ ἄριστοί εἰσι, καὶ τάχιστα πυρετὸν παύοντες, οἱ ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσιν γινόμενοι, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάσσοντες. ἀγαθοὶ δὲ καὶ ὅσοι, διὰ παντὸς τοῦ σώματος γινόμενοι, εὐπετεστέρως τὸ νόσημα φέρειν ποιήσωσιν. οἱ δὲ ἂν τουτέων τι μὴ ἐργάσωνται, οὐ λυσιτελέουσιν γινόμενοι. [3] παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου. εἶναι δὲ τὸ ὑπόπυρρον, καὶ μὴ σφόδρα δυσῶδες. ἐπιτήδειον δὲ καὶ ἕλμινθας ἐξιέναι πρὸς τὴν κρίσιν. οὖρον δὲ ἄριστόν ἐστιν, ὃ ἂν ἔχῃ λευκότατον ὑπόστημα καὶ λεῖον καὶ ὁμαλὸν παρὰ πάντα τὸν χρόνον ἕως ἂν κριθῇ τὸ νόσημα. σημαίνει γὰρ ἀσφαλέα καὶ ὀλιγοχρονίην τὴν νοῦσον ἔσεσθαι. ἢν ἱδρῶτος ἐπιγενομένου ἡ νοῦσος ἐκλίπῃ, καὶ τὸ οὖρον πυρρὸν θεωρηθῇ λευκὴν ὑπόστασιν ἔχον, τουτέοισιν αὐθημερὸν ὑποστροφὴ τοῦ πυρετοῦ γίνεται, οὗτος καὶ ἐν πέντε ἀκινδύνως κρίνεται. τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ὑγιάζεσθαι μέγιστα σημεῖα ἅπαντα γίνεται. [4] ἀπονώτεροι γὰρ διατελοῦσιν, καὶ ἀκίνδυνοι, καὶ τὰς νύκτας κοιμέονται, καὶ τὰ ἄλλα σημεῖα προφαίνουσιν ἀσφαλέα. οἷς ἐν πυρετῷ μὴ θανατώδει, κεφαλῆς ἄλγημα καὶ τὰ ἄλλα προσέστηκε σημεῖα, χολὴ τουτέων κρατεῖ. οἷς ἂν ἄρξηται ὁ πόνος τῇσι πρώτῃσιν ἡμέρῃσιν, τεταρταῖοι τε μᾶλλον, καὶ πεμπταῖοι πιέζονται. ἐς δὲ τὴν ἑβδόμην, ἀπαλλάσσονται τοῦ πυρετοῦ. [5] οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσιν τὸν ἀριθμὸν, ἐξ ὧν ἀπόλλυνται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν περιγίνονται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων, τεταρταῖοι παύονται, ἢ πρόσθεν. οἵ τε φονικώτατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσι, ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος οὕτω τελευτᾷ. ἡ δὲ ἑτέρη, ἐς ἑπτὰ προσάγει. ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην. ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην. ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην. ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐπὶ τῶν ὀξυτάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσι προσθέσεις. οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως. οὐδὲ γὰρ οἱ ἐνιαυτοί τε καὶ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν, οὐδὲ ξυνεστήκασιν. ἐν τοῖσι καύσοισι τὰ ἀγαθὰ σημεῖα γινόμενα, οἷα ἐν τῇσιν ὑγιείῃσι γέγραπται. [6] μείονα μὲν ἐόντα, ἐς τρίτην λύσιν δηλοῖ. παχύτερα δὲ

αὐεκ

αὔξεον πολύ. παχέα δὲ αὐθημερόν. ἐν τοῖσι καύσοισιν ἢν ἑβδομαίῳ ὕστερον ἐπιγένηται ἴκτερος, δῆλον ἱδρῶτος. τὸ γὰρ νόσημα οὐ φιλέει ἐξιδροῦν, οὐδὲ ἄλλῃ ἀφίστασθαι οὐδαμῇ,[7] ἀλλὰ ὑγιὴς γίνεται. ἀνάγκη[8] τοῦ θερμοῦ ἀπιόντος ἐφ' ἑωυτὸ τὸ ὑγρὸν ἑλκύσαντος, τῷ πυρετῷ κρίσιν γενέσθαι. καὶ τὰ οὖρα τὰ ἀποχωρέοντα ἢ καὶ τὰ διαχωρήματα κοιλίης, ἢ αἵματος ἐκ τῶν ῥινέων ῥύσιν, ἢ οὔρησιν πολλὴν,[9] ἢ διὰ ὑγρὴν ἰσχυρὴν, ἱδρῶτα, ἢ ἔμετον. γυναικὶ δὲ καὶ ἐπιμηνίων ὁδόν. μάλιστα μὲν οὖν, ταῦτα ποιέει κρίσιν, ἢ ὅ,τι ἂν τουτέων ἐγγὺς γίνεται. ποιέει δὲ καὶ ἑτέρας κρίσιας. ἧττον μὲν τουτέων. ἴκτερος δὲ ἢν ἑβδομαίῳ ἐπιγένηται, ἢ ὕστερον ἐν καύσῳ καὶ δυσχερείᾳ σιάλου πολλοῦ ἀποχώρησις, ἔν τε τοῖς καυσώδεσι πυρετοῖς καὶ τοῖς ἄλλοις, ἢν μηδενὸς τουτέων τῶν σημείων γινομένων, ἀφίῃ ὁ πυρετὸς, ἀνάγκη τοιάσδε κρίσιας ἀντὶ τουτέων γενέσθαι. ἢ φυμάτων μεγάλων ἀπόστασιν. ἢ ὀδύνας ἰσχυρὰς ἀπὸ τῆς ἀποστάσιος. ἢ τηκεδόνας τῶν ὑγρῶν ἐκ τοῦ θερμοῦ. κρίσιες δὲ καὶ ἀφέσιες τῶν καύσων σημαινόντων, μακροτέρα ἡ νοῦσος. τῶν δὲ ἰσχυρῶν, θάνατος ὡς ἐπὶ τὸ πουλύ. οἱ δὲ λοιποὶ ἀσφαλέες παύονται καῦσοι, ἑβδομαῖοι ἢ τεσσαρεσκαιδεκαταῖοι. φιλέει δὲ καὶ ἐς λιπυρίην περιΐστασθαι. καὶ λαμβάνει μάλιστα τεσσαράκοντα ἡμέρας καὶ ἐξηπιαλοῦται. καὶ ἡ λιπυρίη τῆς αὐτῆς ἡμέρης, λαμβάνει τε καὶ μεθίησι. γίνεται δὲ καὶ τῆς κεφαλῆς ὀδύνη. ἐὰν δὲ μὴ μεθίῃ αὐτὸν ἡ λιπυρίη ἐν ταῖς τεσσαράκοντα ἡμέραις, ἀλλ' ἄρχῃ, καὶ ὀδύνη ἔχῃ τὴν κεφαλὴν, καὶ φλυηρέῃ, ἐπικάθαιρε αὐτόν. λήγοντος δὲ καύσου ἂν ἐπιγένηται ἴκτερος, οὐ φιλέει ἔτι ἱδροῦν,[10] οὐδὲ ἄλλῃ ἐφίστασθαι οὐδαμῇ, ἀλλ' ὑγιὴς γίνεται.[11] τριταῖος κρίνεται ἐν ἑπτὰ περιόδοισιν, ὡς ἐπὶ τὸ πουλύ.[12] ὁκόσοις ἐν ἀφορήτοις πυρετοῖς τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι γίνονται, ἀγαθὸν, ἐὰν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν γένηται, εἰ δὲ μὴ, ἐνδοιαστόν.[13] τὰ ὀξέα νοσήματα κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν ὡς ἐπὶ τὸ πουλύ.[14] ἱδρῶτες πυρεταίνοντι ἢν γίνωνται τριταίοις καὶ πεμπταίοις, καὶ ἑβδομαίοις, καὶ ἐναταίοις, καὶ ἑνδεκαταίοις, καὶ τεσσαρεσκαιδεκαταίοις, καὶ μιῇ καὶ εἰκοσταίοις, καὶ τριηκοσταίοις, οὗτοι οἱ ἱδρῶτες νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνους σημαίνουσιν. αἱ πεπάνσιες τῶν οὔρων κατὰ μικρὸν ἐκπεπαινόμεναι ἐν τοῖς κρισίμοις ἐὰν πεπανθῶσιν, λύουσι τὴν νοῦσον.[15] παράδειγμα δὲ τῶν οὔρων τὰ ἕλκεα ποιέεσθαι. τά τε γὰρ ἕλκεα, ἢν μὲν ἀνακαθαίρηται πύῳ λευκῷ, ταχεῖαν θεραπείαν δηλοῖ. ἐὰν δὲ μεταβάλλῃ ἐς τοὺς ἰχῶρας, κακοήθη γίνεται. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ οὖρα σημαίνει. ἐὰν ἐκ πόνου λεπτὰ γένηται, ἀπὸ τῆς προφάσιος δεῖ λογίζεσθαι,[16] ἢν τὸ νόσημα παρεγένετο, καὶ ταύτην ὁρᾶν ἐπὴν παύεται, ὡς ταύτης ἐπιλειπομένης, τῶν ἄλλων σημείων ἐπιγινομένων οἵων δεῖ, οὐκ εἴη ἀπαλλαγὴν τῇ νούσῳ οἰητέον. ἐὰν ἀλγέῃ ἡ κεφαλὴ, καὶ ἀπὸ τουτέου πυρετὸς ἐπιγένηται, τουτέου μὴ καταπαύσηται, μηδὲ τῆς ὀδύνης παυομένης, οὐ κρίσιμος ὁ πυρετός. κρίσεως μακρῆς ἔτι ἐπὶ τὸ ἄμεινον, πλεῖστα ταῦτ' ἐστὶ, καὶ ἐπὶ τουτέων ἅπερ ἐς ὑγιείην ἐόντα.[17] ἐν τοῖσιν ὑποχονδρίοισιν οἰδήματα μαλθακὰ

in crastinum omninò, sed crassa eodem die. Febribus ardentibus si post septimum diem morbus regius succedat, sudoris indicium est. Neq; enim exudare morbus, neque aliâs vsquam abscessum facere consueuit, sed sanescit. Cùm calor discesserit & humiditatem ad se attraxerit, febri iudicationem fieri necesse est, & vrinas aut etiam alui egestiones procedere, aut sanguinis ex naribus fluxionem, vel copiosam mictionem, aut ob humiditatem vehementem, sudorem aut vomitum. Mulieri verò etiam mensium via patefit. Hæc igitur præcipuè iudicationem faciũt, aut quodcunque ad hæc proximè accedit. Subit autem & alias iudicationes, minùs quidem quàm has. At si morbus regius in febre ardente septimo die aut postea contingat, ægréque multum sputum procedat, tam in ardentibus quàm in aliis febribus, si nullis ex his signis contingentibus febris demittat, has iudicationes pro illis fieri necesse est, aut maiorum tuberculorum abscessus contigere, vel dolores vehementes ex abscessu, aut humorũ ex calore colliquationes. Eorum quæ febrem ardentem denunciant, iudicationes & remissiones longiorem morbum ostendunt. Si verò vehementia fuerint, ferè mortem adferunt. Reliquæ febres ardentes secutæ, septimo aut decimoquarto finiunt. Solet autem in lipyriam transire, feréque quadraginta diebus occupat, & in epialũ hoc est febrem algidam desinit. Et lypiria eodem die præhendit & dimittit, capitis etiam dolor oritur. Quòd si cum lipyria febris per quadraginta dies non dimiserit, sed longiùs deducta fuerit, dolórque caput detinuerit, ac delirauerit, eum purgato. At febre ardente finiente si morbus regius succedat, non solet ampliùs sudare, neque alibi vsquam abscessum facere, sed sanus euadit. Tertiana vt plurimùm septem circuitibus iudicatur. Quibus in molestis febribus septimo, nono, aut decimo quarto die morbi regij oriuntur, bonum est, nisi dextra præcordia obduruerint, sin minùs, res in dubium venit. Acuti morbi intra dies quatuordecim ferè iudicantur. Sudores febricitanti si tertio, quinto, septimo, nono, vndecimo, decimo quarto, vigesimo primo & trigesimo die contingunt, huiusmodi sudores morbos iudicant. Qui verò non sic contingunt, labores portendunt. Vrinarum concoctiones paulatim maturescentes, si diebus iudicatoriis concoctæ fuerint, morbum soluunt. Vrinas cum vlceribus conferre oportet. Vlcera nanque si repurgando pus album reiiciant, celerem curationem denunciant, sed si ad saniosos humores conuertantur, maligna euadunt. Ad eundem etiam modum vrinæ prænunciant, si ex dolore tenues euadunt, occasionem ex qua morbus adest ratione colligere oportet, eámque inspicere cùm sedatur. Si enim hæc deficiat, aliaque signa qualia oportet accedant, nullam esse morbi solutionem est existimandum. Si capitis dolor adsit, ex quo febris succedat, neque hæc sedetur, dolore non cessante, febris iudicatione non finitur. Plurima sanè eiusmodi sunt iudicationis longæ ad melius tendentis, quæ etiam cernuntur in his quæ ad sanitatem tendũt. Præcordiorum tumores molles,

doloris expertes, & tactui cedentes, longiores quidem, sed minus formidandas, quàm his contraria tubercula, iudicationes faciunt. Ad eundem se habent modum reliqua ventris tubercula. Ex vrinis si partim quidem reddita pura sit, partim verò subsidentiam albam & læuem habeat, longiorem iudicationem, aut minorem securitatem quàm optima vrina portendit. Quòd si quandoque vrina subrubra fuerit, subsidentiamque subrubram ac læuem habeat, longè quidem diuturniorem quàm prior hæc morbum significat, admodum tamen salutarem. Quibus pedum dolores contingunt, ij citra inflammationem diebus quadraginta desinunt, in his plæraque longa iudicatione in melius tendunt. Quæ ad mortem inclinant, intra diem & noctem iudicantur, quæ debilitatis signa sunt, velut epoto medicamento, aluo sursum & deorsum exturbata, anxietudine, & aliis id genus. Horum igitur signa si die ac nocte soluuntur, satis est, alioqui lethalia reputanda sunt. Sudores pessimi frigidi quiq; circa ceruicem oboriuntur, hi enim mortem & morborum longitudinem prænunciant. Alui deiectiones variæ, nigris aliisque exitialibus deiectionibus diuturniores quidem, nihilò tamen minùs perniciosæ. Cuiusmodi sunt ramentis similes, biliosæ, cruentæ porri colorem referentes, nigræ, eæq; interdum simul quidem omnes, interdum etiam singulæ per se deiiciuntur. Vrina quandoque quidem pura reddita, quandoque verò sedimentum album & læue habens, tardiorem minoremque securitatem quàm optima vrina portendit. Si per multum tempus vrina fulua & tenuis fuerit, periculũ est ne quoad concocta fuerit æger sufficere non possit. Quòd si alioqui salutaria signa fuerint, his abscessum fore in locis septo transuerso inferioribus experta. In febribus si vrina mutationes habent, temporis longitudinem indicat, ægrumque tum ad deteriora, tum in alteram partem necessariò commutari. Vrinæ primis minimè sint similes, sed ex crassis tenues euadant, & omninò tenues, eæ difficilem & minimè certam iudicationem faciunt. Sudores frigidi cum acuta quidem febre lethales, cum mitiore verò, morbi longitudinem denunciant. Et quacunque corporis parte calor aut frigus inest, ibi morbus est, eique celeres in toto corpore mutationes contingant. Quòd si corpus perfrigescat, aut rursus incalescat, colorq; subinde mutetur, ista morbi longitudinem portendunt. Si febricitanti sudor succedat, neque febris desinat, malo est, producitur enim morbus, & humiditatem significat. Febricitanti sudores frigidi contingentes, febrem longam denunciãt. Sano sudor copiosus immodicè contingens, morbum portẽdit, æstate quidem minorem, frigore verò maiorem. Quæ eodem concedunt, si consistere permiseris, veluti ramenta subsident, si parum, paruus est morbus, si multùm, magnus, his aluũ subluere cõfert. Quibus in inferiore per aluum deiectione bilis atræ quid subest, si copiosius, maior est morbus, si parcius, minor. Si venæ pulsent, & facies bene habita fuerit, præcordia minimè mollia, sed sublata, diuturnus morbus significatur, neq; sine conuulsione, aut copiosa ex naribus sanguinis profusione,

καὶ ἀνώδυνα καὶ ὑπείκοντα ἐπὶ θιγγάνοντος αὐτέου, χρονιωτέρας μὲν τὰς κρίσιας ποιέει, ἧσσον δὲ φοβερὰς τῶν ἐναντίων τουτέοις φυμάτων. ὡσαύτως δὲ ἔχει καὶ περὶ τῶν ἐν τῇ ἄλλῃ κοιλίῃ φυμάτων. οὔρων δὲ ἢν τὸ μὲν εὑρεθὲν [18] μὴ καθαρὸν ᾖ, τὸ δὲ ὑπόστημα λευκόν τε καὶ λεῖον ἔχῃ, χρονιωτέρη ἡ κρίσις. ἢ καὶ ἧσσον ἀσφαλὲς τοῦ βελτίστου οὔρου. ἢν δέ ποτε ὑπέρυθρον οὖρον καὶ τὸ ὑπόστημα ὑπέρυθρόν τε καὶ λεῖον, πουλυχρονιώτερον μὲν τούτου, τοῦ προτέρου, σωτήριον δὲ κάρτα. [19] ὁκόσα δὲ ποδαγρικὰ νοσήματα γίγνεται, ταῦτα ἐν τεσσαράκοντα ἡμέρας ἀφλέγμαντα καθίσταται. κρίσιος μακρῆς ἐπὶ τὸ ἄμεινον ἐπὶ τουτέων τὰ πλεῖστά ἐστιν. ἀτὰρ ἐς θάνατον ἐν ἡμέρῃ καὶ νυκτὶ κρίνεται. ἀτὰρ ἀσθενεώσιος σημεῖα. οἷς φαρμακοποσίης, κοιλίης ἐκταράξιος καὶ ἄνω καὶ κάτω, ἄσης, καὶ τῶν ἄλλων τῶν τοιουτέων. ἢν μὲν οὖν ἀπαλλάσσηται τούτων τὰ σημεῖα ἐν ἡμέρῃ καὶ νυκτί. εἰ δὲ μὴ, θανατῶδες νομίζειν εἶναι. [20] τῶν ἱδρώτων κάκιστοί εἰσιν, οἱ ψυχροί τε, καὶ περὶ τὸν αὐχένα γινόμενοι, οὗτοι γὰρ θανάτους καὶ μῆκος νούσων προσσημαίνουσιν. τὰ ποικίλα ὑποχωρήματα, χρονιώτερα μὲν τῶν μελάνων, καὶ τῶν ἄλλων θανασίμων ὑποχωρημάτων. οὐδὲν δὲ ἧσσον ὀλέθρια. ἔστι δὲ τοιάδε, ξυσματώδεα, χολώδεα, αἱματώδεα, πρασοειδέα, μέλανα. καὶ ποτὲ μὲν ὁμοῦ πάντα διαχωρέει. ποτὲ δὲ κατὰ μέρος ἕκαστον. [21] οὖρον δὲ ἐὰν ποτὲ μὲν καθαρὸν οὐρηθῇ. ποτὲ δὲ ὑπόστημα ἔχον λευκόν τε καὶ λεῖον χρονιώτερα καὶ ἧσσον ἀσφαλῆ, ταῦτ' ἐστι, τοῦ βελτίστου οὔρου. ἐὰν πυῤῥὸν καὶ λεπτὸν ᾖ τὸ οὖρον πολὺν χρόνον, κίνδυνος μὴ οὐ δυνήσεται διαρκέσαι ὁ ἄνθρωπος, ἕως ἂν πεπανθῇ τὸ οὖρον, καὶ ἢν ἄλλως περιεσομένου σημεῖα ᾖ, προσδέχου τουτέοις ἀπόστασιν προσεσομένην ἐς τὰ κάτω τῶν φρενῶν χωρία. [22] ἐν τοῖσι πυρετοῖσι ἐὰν μεταβολὰς ἔχῃ τὸ οὖρον, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ ἀσθενέοντι μεταβάλλειν ἐπὶ τὰ χείρω, καὶ ἐπὶ θάτερα. ἢν ἐρχόμενα οὖρα μὴ ὅμοια ᾖ, ἀλλὰ γίνηται παχέα ἐκ λεπτῶν, καὶ παντελῶς λεπτὰ, δύσκριτα καὶ ἀβέβαια τὰ τοιαῦτα. [23] ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ, θανάσιμοι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος σημαίνουσι τῆς νούσου. καὶ ὅκου τοῦ σώματος θερμὸν, ἢ ψυχρὸν, ὅπου τοῦτο ἔνι, ἐνταῦθα ἡ νοῦσος. [24] καὶ τουτέῳ ἐν ὅλῳ τῷ σώματι, μεταβολαὶ ὀξεῖαι γίνονται. καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ τὸ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλληται μῆκος νούσου σημαίνουσιν. [25] ἢν πυρέσσοντι, ἱδρὼς ἐπιγίνηται μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην σημαίνει. πυρέσσοντι ψυχροὶ ἱδρῶτες ἐπιγινόμενοι, μακρὸν τὸν πυρετὸν σημαίνουσιν. ἱδρὼς πουλὺς ἀκρήτως γινόμενος [26] ὑγιαίνοντι νόσον σημαίνει. θέρεος μὲν μείω. ψύχεος δὲ πλείω [27] ἐς τὸ αὐτὸ χωρέοντα, ἐὰν ἐάσῃς ξυστῆναι, ὑφίσταται οἷον ξύσματα. ἢν ὀλίγα, ὀλίγη ἡ νοῦσος. ἢν πολλὰ, πολλή. τουτέοισι ξυμφέρει τὴν κοιλίην ἐπικλύζειν. [28] ὁκόσοισι δὲ ἐν τῇ κάτω ὑποχωρήσει χολῆς μελαίνης ὕπεστιν, ἢν πλέον, πλείων ἡ νοῦσος. ἢν ἐλάσσων, ἐλάσσων. [29] ἐὰν αἱ φλέβες σφύζωσι, καὶ τὸ πρόσωπον ἐῤῥωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ λαπαρὰ, ἀλλὰ ἐπηρμένα, χρονίη ἡ νοῦσος, καὶ οὐκ ἄνευ σπασμοῦ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινέων ῥύσιος, ἢ ὀδύνης

ἢ ὀδύνης ἰσχυρῆς. καὶ οἱ παλμοὶ ἐν τῇσι χερσὶν πουλυχρονίου πυρετοῦ σημεῖον, ἢ κρίσεως ξυντόμου ἐπὶ τὸ κάκιον. καὶ ἐπὶ τούτων τὰ πλεῖστα ἀπὸ ἐς θάνατον. Τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ἀπόλλυσθαι, μέγιστα σημεῖα ἀπ' ἀρχῆς γίνεται. δυσπνόοι γάρ εἰσιν, καὶ οὐ κοιμέονται τὰς νύκτας, καὶ τὰ σημεῖα παρεμφαίνουσι ἐπικίνδυνα. ξυνεχοῦς δὲ πυρετοῦ ἐὰν τεταρταῖος πονέηται καὶ ἑβδομαῖος, καὶ μὴ κριθῇ ἑνδεκαταῖος, ὀλέθριος ὡς τὰ πολλά. [30] ὅσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τῇσι τέσσαρσιν ἡμέραις ἀπόλλυνται. ἢν δὲ ταύτας ἀποφύγωσιν, ὑγιέες γίνονται. ἐν τοῖσι καύσοισιν ἐὰν ἐπιγένηται ἴκτερος καὶ λύγξ πεμπταίῳ ἐόντι, θανατῶδες. ὑποστροφαὶ λαμβάνονται. οἷς δὲ ἀπυρέτοισιν γινομένοισιν, ἀγρυπνίαι ἐρρωμέναι παραγίνωνται, ἢ ὕπνοι ταραχώδεες, ἢ ῥώμη τοῦ σώματος, ἢ ἀλγήματα ἑνὸς ἑκάστου τῶν μελέων. καὶ ὅσοις δὲ οἱ πυρετοὶ παύσονται, [31] μήτε σημείων γινομένων λυτηρίων, μήτ' ἐν ἡμέρῃσι κρισίμῃσι. καὶ ἐὰν ἐκλελοιπότος τοῦ πυρετοῦ καὶ ἱδρῶτος ἐπιγινομένου πυρρὸν οὖρον οὐρήσῃ, λευκὴν ὑπόστασιν ἔχον, προσδέχου τούτοις ὑποστροφὴν πυρετοῦ αὐθημερόν. [32] αὗται δὲ καὶ ὑποστροφαὶ, πεμπταῖαι κρίνονται ἀκίνδυνοι. καὶ ἢν κρίσιος ἐκ γινομένης οὖρον ἐρυθρὸν οὐρήσῃ ὑπόστασιν ἔχον ἐρυθρὴν, καὶ τουτέοις ὑποστροφὴ γὰρ τοῦ πυρετοῦ αὐθημερὸν, καὶ ὀλίγοι ἐκ ταύτης σώζονται. ὅταν ὑποστρέψῃ ὁ καῦσος, τὰ πολλὰ καὶ ἐξιδροῖ. [33] καὶ ἢν ἡμέρας λάβῃ ὑποστρέψας ὅσας τὸ πρότερον. ὑποτροπιάζει δὲ καὶ τρεῖς πυρετὸς ἢν μὴ περισσῇ ἡμέρῃ ἀφῇ· ὑποτροπιάσας τὰ πολλὰ ἐὰν ἀπέπτων ἐόντων τῶν οὔρων, καὶ τῶν ἄλλων σημείων μὴ κατὰ λόγον ἐόντων. [34] ἡ νοῦσος κρισίμῃ ἡμέρῃ ὑποτροπιάζει. [35] ὅταν δὲ καὶ ὑποστρέφῃ ἐν κρισίμῃ ἡμέρῃ τουτέων καταλειπομένων τοιούτων. [36] τὰ παρ' οὖς οἷς ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τουτέων ἀπαλλασσομένων, ὑποστροφὴ γίνεται κατὰ λόγον τῶν ὑποστροφῶν, ὁμοία περιόδῳ ἐπὶ τουτέοις ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. [37] ἢν οὖρον παχὺ, οἷον τὸ λευκὸν, ἐπὶ τοῖς κοπιώδεσι τεταρταίοισι, ῥύεται τῆς ἀποστάσιος. ἐνίοις δὲ τουτέων, καὶ αἱμοῤῥαγίαι γίνονται ἐκ τῶν ῥινέων. [38] ἥτις τεταρταίοις, οὐ λυτική. καὶ τοῖς πύα ἀποχωρέοντα ὑγιάζειν νούσοις. [39] τοῖς μελαγχολικοῖς μετὰ φρενιτίδων ἐχομένοις, αἱμοῤῥοΐδες ἐγγινόμεναι ἀγαθόν. [40] ὅσοι μαίνονται, ἢ αὐτόματοι ἀπαλλασσόμενοι ἐκ τῶν νούσων, τουτέοις τὴν μανίην, ὀδύνη ἐς τοὺς πόδας εἰσελθοῦσα, ἢ ἐς στῆθος, ἢ βὴξ ἰσχυρὴ γινομένη λύει. ἐὰν τουτέων μηδὲν γένηται λυομένης τῆς μανίης, στέρησις τοῦ ὀφθαλμοῦ γίνεται. [41] ὁκόσοι ἐν τῇ γλώσσῃ παφλάζουσι τῶν χειλέων μὴ κρατέοντες, ἐὰν ταῦτα παύσηται, ἔμπυοι γίνονται. [42] ἡ ὀδύνη ἰσχυρὴ ἐν τοῖς κάτω χωρίοις λύει. ἢ κωφότης. ἢ αἷμα πολὺ ἐκ τῶν ῥινῶν ῥυέν. [43] ἡ μανίη τοῦ μεγάλου νοσήματος, ἐν ἔθει γινομένου λύσις. [44] ὅσοις ἐν τοῖσι καύσοισιν ἰσχίων ὀδύνη. ὀφθαλμῶν διαστροφὴ, ἢ τύφλωσις. ἢ ὀρχέων οἴδησις. ἢ τιτθῶν ἔπαρσις. καῦσον λύει. ἢ καὶ αἵματος ἐκ ῥινῶν ῥύσις. ἐν καύσῳ ἐὰν ἐπιλάβῃ ῥῖγος, φιλέει ἐξιδροῦν. [45] ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγινομένου λύσις. [46] ὅσοις ἐν τοῖσι

vbi horum quicquam vel minus, vel copiosius fuerit, aut in corpore separatum, nec reliquis omnibus contemperatum. Cùm enim horum aliquid secesserit, & per se constiterit, necesse est non solùm locum ex quo excessit morbo tentari, sed eum etiam in quem nimia copia influxerit, dolore & labore vexari. Nam si quid horum ampliùs quàm redundantia requirat, extra corpus effluat, euacuatio ipsa dolorem exhibet. Sin contrà intrò vacuationem & transitionem, ac ab aliis secretionem fecerit, duplicem sanè dolorem (velut dictum est) vt concitet necesse est, & vnde excessit, & vbi redundat. At sanè cùm dixerim quæcunque hominem esse affirmaro, ea me semper talia esse, & pro instituto, & pro natura, demonstraturum. Iccirco assero sanguinem esse, & pituitam, & bilem, tum flauam, tum nigram. Atq; horum quidem primùm nomina instituto distincta esse asseuero, nulliique ipsorum idem esse nomen inditum. Deinde naturâ formas discrepare, nullamq; pituitam similem esse sanguini, neque bilem sanguini, neque pituitæ bilem. Quænam enim eorum inter se similitudo esse possit, quæ neque colore ad visum, neque ad manus contactum similia esse videntur, cùm neque consimiliter calida, neque frigida, neque sicca, neque humida existant? Itaque cùm tantùm inter se, tum formâ, tum facultate differant, ea non vnum esse necesse est, siquidem neque ignis & aqua idem sunt. Ex his autem tibi constabit, quod hæc omnia vnum non sint, sed suam quodque ipsorum facultatem & naturam obtineat. Si enim alicui medicamentum exhibueris quod pituitam educat, pituitam tibi vomitione reddet, & si medicamentum quod bilem ducat exhibeas, bilem tibi euomet. Eadem quoq; ratione, atram bilem purgat medicamentum quod dederis atram bilem ducens. Quòd si aliqua corporis parte sauciata vulnus accipias, sanguis inde effluet. Atque hæc omnia tibi vsuuenient semper tam interdiu, quàm noctu, & hyeme quàm æstate, quoad spiritum ad se trahere vicissimq; reddere valebit. Valebit autem, donec aliquo ex his, quæ illi sunt connata, priuatus fuerit. Sunt autem quæ diximus connata. Qua enim ratione connata non sint? cùm primùm quidem hæc omnia homo quoad vita fruitur, semper in se manifestè contineat. Deinde ex homine natus sit hæc omnia obtinente. Postea in homine nutritus sit, ista omnia quæ nunc quidem asseuero & demonstro habente. Qui verò vnum esse hominē asserunt, ij mihi in hanc opinionem venisse videntur, quòd ex iis, qui epotis medicamentis, per nimias purgationes interiissent, hos quidem bilem, illos pituitam euomere conspicati, horum vnumquodque hominem esse existimarunt, in cuius purgatione eum morientem viderunt. Eadem etiam ratione nituntur, qui sanguinem esse hominem asseuerant, cùm iugulatis hominibus manantem ex corpore sanguinem conspicati, eum hominis animum esse existimant, hisque argumentis omnes inter disserendum vtuntur. Quanquam primùm quidem in immodicis purgationibus, sola euacuata bile nullus vnquam mortuus est. Verùm epoto medicamento quod bilem ducat, primùm sanè quis bilem vomitione refundet, mox etiam pituitam, deinde quoque præter bilem, atram bilem, idque per vim,

sub mortem verò sanguinem etiam purum euomet. Idem quoq; contingit ex medicamentis pituitam ducentibus. Primùm enim pituitā euomunt, mox bilem flauam, deinde atram, sub exitū verò purum sanguinem, sub eoq; moriuntur. Etenim cùm medicamentū corpus subierit, primùm quidem quodcunque sibi ex omnibus quæ in corpore insunt, secundum naturam maximè familiare fuerit, educit: deinde verò reliqua etiam trahit & purgat. Non aliter quàm quæ ex terra oriuntur, & in eam cōseruntur, vbi terram subierint, eorum quodq; trahit quod suę naturę accōmodatum in terra inest. Est autem & acidum, & amarū, & dulce, & salsum, & cuiusque modi. Imprimis igitur ex eo plurimùm quod suæ naturæ accommodatum fuerit ad se allicit, tum etiam reliqua attrahit. Tale quiddā etiam medicamenta in corpore faciunt. Quæ enim bilem educūt, primùm meracissimam quidem bilē purgant, deinde mixtam. Itemq; quæ pituitam respiciūt medicamenta, primùm quidem eā meracissimam educūt, pòst etiam mixtam. Et in iugulatis, primùm quidē sanguis tum calidissimus, tum maximè ruber, mox verò magis pituitosus, magisq; biliosus profluit. Per hyemē verò augetur in homine pituita, cùm ea ex omnibus quæ in corpore insunt, ad hyemis naturā maximè accedat, quòd sit frigidissima. Cuius rei hęc sunt indicia pituitam esse frigidissimam, quòd si pituitam & bilem & sanguinem attingere voles, pituitam frigidissimam esse comperies. Quæ quamuis est lentissima, nec nisi summa vi, secundum atrā bilem, educitur: (quæ verò per vim veniunt, ea per violētiam compulsa calidiora redduntur.) Nihilò minus tamen præ his omnibus pituita suapte natura frigidissima esse cōspicitur. Quòd autem hyeme corpus pituita repleatur, hinc constat, quòd per hyemem homines maximè pituitosa tū expuunt, tum emungunt, hocq; anni tempore pręcipuè, tumores laxi & albi (οἰδήματα dicti) & reliqui morbi pituitosi oriuntur. At verò adhuc quidem in corpore viget pituita, sed sanguis increscit, quòd & frigora remittant, & imbres succedāt. Tuncq; sanguis augetur, tum ex imbribus, tum ex dierum calore. Eorum enim naturæ id anni tempus cùm sit calidum & humidum, maximè respondet. Quod hinc cognoscas, quòd homines verno ęstiuoq; tempore potissimùm intestinorum difficultatibus corripiantur, iisq; sanguis ex naribus profluat, & sint maximè calidi & rubicundi. Æstate verò sanguis adhuc viget, & bilis in corpore attollitur, & in autumnū protēditur. At per autumnum modicus quidem sanguis gignitur, quòd illius naturæ autumnus aduersetur. Bilis autem æstate & autumno in corpore obtinet. Quod his indiciis cognoscas, cùm hac tempestate homines sua spōte bilem euomant, & per medicamentorum potiones biliosa repurgentur. Id quoq; ex febribus & hominum coloribus patet. At pituita ęstate longe imbecillior est, quòd ea tēpestate, ob siccitatem & caliditatem, eius naturæ aduersetur. Per autumnum verò sanguis paucissimus in homine gignitur, siquidem siccus est autumnus, & hominem iam refrigerare incipit. Bilis autem atra autumno, tum plurima, tum vehementissima est. At ineunte hyeme, bilis perfrigerata pauca gignitur, & pituita

τελευτῶντες δὲ καὶ αἷμα ἐμέουσι καθαρόν. τὰ αὐτὰ δὲ πάσχουσι καὶ ὑπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων. πρῶτον μὲν γὰρ φλέγμα ἐμέουσιν, ἔπειτα χολὴν ξανθὴν, ἔπειτα μέλαιναν, τελευτῶντες δὲ αἷμα καθαρὸν, καὶ ἐν τῷδε ἀποθνήσκουσιν. [37] τὸ γὰρ φάρμακον, ὁκόταν ἐσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει, ὃ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ, τῶν ἐν τῷ σώματι ἐνεόντων. ἔπειτα δὲ καὶ τἄλλα ἕλκει τε καὶ καθαίρει. [38] ὥσπερ τὰ φυόμενά τε καὶ σπειρόμενα, ὁκόταν εἰς τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαστον τὸ κατὰ φύσιν ἑωυτῷ ἐνεὸν ἐν τῇ γῇ. ἔνι δὲ καὶ ὀξὺ 10 καὶ πικρὸν καὶ γλυκὺ καὶ ἁλμυρὸν καὶ παντοῖον. [39] πρῶτον μὲν οὖν πλεῖστον τούτου εἵλκυσεν εἰς ἑωυτὸ, ὅ τι ἂν ᾖ ἑωυτέῳ κατὰ φύσιν, ἔπειτα δὲ ἕλκει καὶ τἄλλα. [40] τοιοῦτον δέ τι καὶ τὰ φάρμακα ποιέει ἐν τῷ σώματι. ὁκόσα ἂν χολὴν ἄγει, πρῶτον ἀκρητεστάτην ἐκάθηρε χολὴν, ἔπειτα δὲ μεμιγμένην. καὶ πάλιν τὰ τοῦ φλέγματος φάρμακα, πρῶτον μὲν ἀκρητέστατον τὸ φλέγμα ἄγει, ἔπειτα δὲ μεμιγμένον. καὶ τοῖσιν ἀποσφαζομένοισιν, πρῶτον μὲν τὸ αἷμα ῥέει, θερμότατόν τε καὶ ἐρυθρότατον, ἔπειτα δὲ ῥέει φλεγματωδέστερον καὶ χολωδέστερον. [41] αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ, τὸ μὲν φλέγμα χειμῶνος. 20 [42] τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν μάλιστα τῶν ἐν τῷ σώματι ἐνεόντων. ψυχρότατον γάρ ἐστι. τεκμήρια δὲ τουτέων, ὅτι τὸ μὲν φλέγμα ψυχρότατον. εἰ ἐθέλεις ψαῦσαι φλέγματος καὶ χολῆς, καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότατον ἐόν, καί τοι γλισχρότατόν ἐστι καὶ βίῃ μάλιστα ἄγεται μετὰ χολὴν μέλαιναν. [43] ὁκόσα δὲ βίῃ ἔρχεται, θερμότερα γίνεται, ἀναγκαζόμενα ὑπὸ τῆς βίης. ἀλλ᾽ ὅμως καὶ πρὸς πάντα ταῦτα ψυχρότατον ἐὸν τὸ φλέγμα φαίνεται ὑπὸ τῆς φύσιος τῆς ἑωυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ σῶμα φλέγματος, γνοίης ἂν τοῖσδε. οἱ ἄνθρωποι πτύουσί τε [44] καὶ ἀπομύσσονται φλε- 30 γματωδέστατον τοῦ χειμῶνος. [45] καὶ τὰ οἰδήματα, λευκὰ μάλιστα γίνεται ταύτην τὴν ὥρην καὶ τἄλλα νοσήματα φλεγματώδεα. τοῦ δὲ ἦρος, [46] τὸ φλέγμα, ἔτι μὲν ἰσχυρόν ἐστιν ἐν τῷ σώματι, καὶ τὸ αἷμα αὔξεται. τά τε γὰρ ψύχεα ἐξανίει καὶ τὰ ὕδατα ἐπιγίνεται. [47] τὸ δὲ αἷμα κατὰ ταῦτα αὔξεται, ὑπό τε τῶν ὄμβρων, καὶ τῶν θερμημεριῶν. [48] κατὰ φύσιν γὰρ αὐτέῳ ταῦτα ἐστὶ μάλιστα τοῦ ἐνιαυτοῦ. ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. γνοίης δ᾽ ἂν τοῖσδε. οἱ ἄνθρωποι τοῦ ἦρος καὶ τοῦ θέρεος, μάλιστα ὑπό τε τῶν δυσεντεριῶν ἁλίσκονται, [49] καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ αὐτέοισι. καὶ θερμότατοι εἰσὶ καὶ ἐρυθροί. τοῦ δὲ θέρεος, 40 τό τε αἷμα ἰσχύει ἔτι, [50] καὶ ἡ χολὴ ἀείρεται ἐν τῷ σώματι, καὶ παρατείνει ἐς τὸ φθινόπωρον. [51] ἐν δὲ τῷ φθινοπώρῳ, τὸ μὲν αἷμα ὀλίγον γίνεται. [52] ἐναντίον γὰρ αὐτέου τὸ φθινόπωρον τῇ φύσει ἐστίν. ἡ δὲ χολὴ, τὴν θερείην κατέχει τὸ σῶμα, καὶ τὸ φθινόπωρον. γνοίης δ᾽ ἂν τοῖσδε. οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι, καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστερα καθαίρονται. δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι, καὶ τοῖσι χρώμασι τῶν ἀνθρώπων. [53] τὸ δὲ φλέγμα τῆς θερείης, ἀσθενέστατόν ἐστιν αὐτὸ ἑωυτοῦ. ἐναντίη γὰρ αὐτέου ἐστὶ τῇ φύσει, ἡ ὥρη. [54] ξηρή τε γάρ ἐστι καὶ θερμή. τὸ δὲ αἷμα τοῦ φθινοπώρου, [55] ἐλάχιστον γίνεται ἐν τῷ ἀνθρώπῳ. ξηρόν τε γάρ ἐστι τὸ φθινόπωρον, καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολὴ, τοῦ φθινοπώρου πλείστη τε καὶ ἰσχυροτάτη ἐστίν. ὁκόταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη, ὀλίγη γίνεται, καὶ τὸ φλέγμα

αὔξεται

αὔξεται πάλιν, ἀπό τε τῶν ὑετῶν τοῦ πλήθεος, καὶ ὑπὸ τοῦ μήκεος τῶν νυκτῶν. ἔχει μὲν οὖν ταῦτα πάντα αἰεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπὸ δὲ τῆς περιϊσταμένης ὥρης, ποτὲ μὲν, πλείω γίνεται σφῶν αὐτὰ ἑωυτέων, ποτὲ δὲ, ἐλάσσω ἕκαστα κατὰ μέρος καὶ κατὰ φύσιν. ὥσπερ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶς πάντων, καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν, καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν. οὐ γὰρ ἂν μείνειεν τουτέων οὐδὲν, οὐδένα χρόνον, ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ' εἰ ἕν τι ἐκλίποι, πάντ' ἂν ἀφανισθείη. ἀπὸ γὰρ τῆς αὐτέης ἀνάγκης, πάντα ξυνέστηκέ τε καὶ τρέφεται ὑπ' ἀλλήλων. οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλίποι τουτέων τῶν ξυγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος. ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ, τοτὲ μὲν, ὁ χειμὼν μάλιστα· τοτὲ δὲ, τὸ ἔαρ· τοτὲ δὲ, τὸ θέρος· τοτὲ δὲ, τὸ φθινόπωρον. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, τοτὲ μὲν, τὸ φλέγμα ἰσχύει· τοτὲ δὲ, τὸ αἷμα· τοτὲ δὲ, ἡ χολὴ πρῶτον μὲν ἡ ξανθὴ, ἔπειτα δὲ ἡ μέλαινα καλεομένη. μαρτύριον δὲ σαφέστατον, εἰ ἐθέλεις τῷ αὐτέῳ ἀνθρώπῳ δοῦναι τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμέεταί σοι τοῦ μὲν χειμῶνος, φλεγματωδέστατα· τοῦ δὲ ἦρος, ὑγρότατα· τοῦ δὲ θέρεος, χολωδέστατα· τοῦ δὲ φθινοπώρου, μελάντατα. ὀφείλει οὖν τουτέων ὧδε ἐχόντων, ὁκόσα μὲν τῶν νοσημάτων τοῦ χειμῶνος αὔξεται, θέρεος λήγειν· ὁκόσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν· ὁκόσα μὴ αὐτέων, ἐν περιόδῳ ἡμερέων ἀπαλλάσσεται. τὴν δὲ περίοδον αὖθις φράσω, τῶν ἡμερέων. ὁκόσα δὲ ἦρος γίνεται νοσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπαλλαγήν. ὁκόσα δὲ φθινοπωρινὰ νοσήματα, τουτέων τοῦ ἦρος ἀνάγκη τὴν ἀπαλλαξιν γενέσθαι. ὅτι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νόσημα, εἰδέναι χρὴ ὡς ἐνιαύσιον αὐτὸ ἐσόμενον. καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἰῆσθαι τὰ νοσήματα, ὡς ἑκάστου τουτέων ἰσχύοντος ἐν τῷ σώματι κατὰ τὴν ὥρην τὴν ἑωυτοῦ κατὰ φύσιν οὖσαν μάλιστα. εἰδέναι δὲ χρὴ καὶ τάδε, πρὸς ἐκείνοισιν, ὅτι ὁκόσα πλησμονὴ τίκτει νοσήματα, κένωσις ἰῆται· ὁκόσα δὲ, ἀπὸ κενώσιος γίνεται νοσήματα, πλησμονὴ ἰῆται· ὁκόσα δὲ, ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται· ὁκόσα δ' ὑπ' ἀργίης τίκτεται, ταλαιπωρίη ἰῆται. τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρὸν, ἐναντίον ἵστασθαι τοῖσι καθεστῶσι καὶ νουσήμασι, καὶ εἴδεσι, καὶ ὥρῃσι, καὶ ἡλικίῃσι, καὶ τὰ συντείνοντα λύειν, καὶ τὰ λελυμένα συντείνειν. οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο, ἥ τε ἴησις, τοῦτό μοι δοκέει εἶναι. αἱ δὲ νοῦσοι γίνονται, αἱ μὲν ἀπὸ τῶν διαιτημάτων· αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι ζῶμεν. τὴν δὲ διάγνωσιν χρὴ ἑκατέρων ὧδε ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ νουσήματος ἑνὸς πολλοὶ ἄνθρωποι ἁλίσκονται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τουτέῳ, ὅ, τι κοινότατόν ἐστι, καὶ μάλιστα αὐτέῳ πάντες χρεώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ δὴ, ὅτι τὰ διαιτήματα ἑκάστου ἡμῶν, οὐκ αἴτιά ἐστιν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς, καὶ τῶν νεωτέρων, καὶ τῶν πρεσβυτέρων, καὶ γυναικῶν καὶ ἀνδρῶν ὁμοίως καὶ τῶν θωρησσομένων καὶ τῶν ὑδροποτεόντων· καὶ τῶν μάζαν ἐσθιόντων, καὶ τῶν ἄρτον σιτεομένων· καὶ τῶν πολλὰ ταλαιπωρεόντων, καὶ τῶν ὀλίγα. οὐκ ἂν οὖν τά γε διαιτήματα αἴτια εἴη, ὁκόταν διαιτώμενοι πάντας τρόπους οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῆς αὐτέης νούσου. ὁκόταν δὲ αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρό-

rursus augetur, tum ob pluuiarum copiam, tum noctium longitudinem. Hæc igitur omnia perpetuò hominis corpus obtinet, sed pro circunstantis anni temporis ratione, singula tum pro parte, tum pro natura, modò inter se augentur, modò etiam imminuũtur. Vt annus omnis omnium quidem & calidorum, & frigidorum, & siccorum, & humidorum est particeps: neque enim eorum quicquam, ne minimo quidẽ tempore, sine omnibus quæ in hoc mundo existunt, perdurauerit, verùm si vnum quodpiam deficiat, omnia aboleantur, cùm ex eadem necessitate consistant omnia & alantur inuicem: ita si quid ex his quæ in homine sunt connata defecerit, is vtiq; viuere nequeat. In anno autẽ, modò hyems maximè viget, modò ver, nunc etiam æstas, nunc autumnus. Sic quoque in homine, modò quidem pituita inualescit, modò sanguis, interdum etiam bilis, primùm quidẽ flaua, mox quoque atra appellata. Cuius rei euidentius est argumentum, quòd si eidem homini idem medicamentũ quater in anno exhibere voles, hyeme quidem maximè pituitosa tibi euomet, vere autem valde humida, æstate admodum biliosa, & autumno nigerrima. Cùm igitur hæc ita se habeant, oportet morbos qui hyeme augentur, æstate desinere, & eos qui æstate increscũt, hyeme cessare, nisi intra certum dierum circuitũ soluantur. De hoc autem dierum circuitu, aliàs nobis dicendum est. Morborum verò qui vere oriuntur liberatio ad autumnum expectanda est, & autumnalium morborum discessum, vere fieri necesse est. Quòd si quis hæc anni tempora morbus superauerit, hunc annuum fore sciendum est. Atque ita Medicum morbis mederi conuenit, adhibita horum cuiusque consideratione, quod in corpore præualet, pro anni temporis ratione, quod suæ naturæ maximè accommodatũ existit. Insuper hæc quoq; nosse oportet, quòd morbos quos repletio parit, sanat euacuatio; & qui ex euacuatione oriuntur, repletione curantur; & qui ex immoderato labore fiunt, eos quies sanat; quique ex otio gignuntur, immoderato labore tolluntur. Omninoque Medicum sua prudẽtia obuiam ire conuenit morbis instãtibus, & naturis, & anni temporibus, & ætatibus, contentaq; soluere, & soluta intendere. Hac nanq; ratione vel maximè quod molestiam exhibet quieuerit, eaque mihi curandi ratio esse videtur. Morbi verò partim ex viuendi ratione, partim etiam ex spiritu quem viuendo trahimus, proueniunt. At vtrunq; hac ratione discernas. Vbi complures vno morbo eadem tempestate vexantur, in id quod maximè commune est, quoq; omnes vtimur potissimum reiicienda causa est. Id autẽ est quod inspirando trahimus. Quòd enim viuendi cuiusq; nostrûm ratio in causa non sit, iam liquidò constat, cùm morbus omnes cõtinenter attingat, & iuuenes & senes, & mulieres & viros, perindeque temulentos & abstemios, tam eos qui maza, quàm qui pane victitant, & eos qui multis, quàm qui paucis exercitationibus vtuntur. Non igitur victus rationi assignanda causa est, cùm cuiusuis generis victu vtentes, eodem morbo corripiuntur. Cùm verò eodem tempore cuiusque modi morbi oriun-

tur, sua proculdubio cuique viuendi ratio in causa est, adhibendaq; curatio, aduersus morbi causam instando, quemadmodum aliàs etiam à nobis dictum est, & victus rationem immutando. Quandoquidē constat victus genus quo quis vtitur, aut ex toto, aut magna ex parte, aut in eorum aliquo minimè ei esse accōmodatum. Quo cognito, immutare, & adhibita in considerationē cuiusq; natura, ætate, forma, anni tempore, & morbi genere, ad curationem aggredi oportet, nūc quidē detrahendo, nunc verò addendo, ita vt (quemadmodum iamdudum à me dictum est) ad singulas ætates, & anni tempora, & naturas, & morbos, contrariam tum medicamētorum, tum victus rationem adhibeas. At verò vbi morbus aliquis populariter grassatus fuerit, nō victus rationem in causa esse, sed quod spirādo ducimus, manifestum est, ipsumq; morbosam quādam excretionem planè obtinere. Eo igitur tempore his exhortationibus homines sunt admonēdi, vt ne victus quidem rationē immutēt, cùm morbi causa minimè existat. Prouideāt etiam, vt corpus quàm minimè intumescat, sitq; attenuatissimū, tum cibos, tum potus quibus vti cōsueuerint sensim demēdo. Si quis enim subitò victus rationem immutet, ne quid in corpore ex immutatione innouetur, periculū est. Sed solita victus ratio seruanda est, vbi nihil quidem lædere videtur, atq; insuper vt aëris quam minimū in corpus influat, isq; vt maximè peregrinus sit, prouidēdum, tū regionum loca, in quibus morbus cōsistit, quoad eius fieri poterit permutando, tū corpora extenuando. Ita enim minimè multum ac frequētem spiritū homines ex necessitate attrahēt. Morbi autē à validissima corporis parte orti, grauissimi existunt. Etenim si vnde originem sumpserunt, isthic perstiterint, cùm pars valētissima laboret, corpus vniuersum laborare necesse est. Quòd si ad imbecilliorem aliquam ex validissima deuenerint, difficiles habent absolutiones. Quicunq; verò ab imbecilliorib. ad valentiores veniunt, faciliùs soluuntur, quod quæ influūt facilè per vim liberātur. At venę crassissimę hūc natura ortū sortitæ sunt. Quarum cùm sint in corpore paria quatuor; Vnū quidem ex capite retro per ceruicē, parte exteriore ad vtraq; spinæ latera, indeq; in coxendices & crura peruadit, deinde per tibias ad exteriores malleolos & pedes peruenit. In dorsi igitur & coxendicum doloribus, ex poplitibus & malleolis exterioribus venæ sectiones fieri debent. Alteræ autē venę ex capite exortæ, iuxta aures per ceruicem, iugulares dictę, intro secundū spinam vtraq; ex parte ad lumbos, in testes & femora, & per poplites interiore ex parte, indeq; p tibias ad malleolos internos & ad pedes deferuntur. Proinde in lūborum & testium doloribus, sanguis ex poplitibus & malleolis interiorib. mittendus est. Tertiū par venarū ex temporibus per ceruicem subter scoptula operta, inde ad pulmonē defertur, & hæc quidē ex dextris ad sinistra, illa verò à sinistris ad dextra, puenit. Et dextra quidē ex pulmone māmam subiēs, & ad lienem & ad renem tendit. Quæ verò à sinistris ad dextra procedit, ex pulmone māmam subiens, & iecur, & renem petit.

νον, δῆλον ὅτι τὰ διαιτήματα ἐστὶν αἴτια ἕκαστα ἑκάστοισι. καὶ τὴν θεραπείην χρὴ ποιέεσθαι ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ ἐκ τῆς διαιτημάτων μεταβολῆς. δῆλον γὰρ ὅτι οἷσί γε χρῆσθαι εἴωθεν ὁ ἄνθρωπος διαιτήμασιν, οὐκ ἐπιτήδειά οἱ ἐστὶν, ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων. ἃ δεῖ καταμαθόντα μεταβάλλειν, καὶ σκεψάμενον τοῦ ἀνθρώπου τὴν φύσιν, τήν τε ἡλικίην, καὶ τὸ εἶδος, καὶ τὴν ὥρην τοῦ ἔτεος, καὶ τῆς νούσου τὸν τρόπον, τὴν θεραπείαν ποιέεσθαι. ποτὲ μὲν ἀφαιρέοντα, ποτὲ δὲ προστιθέντα. ὥσπερ μοι καὶ πάλαι εἴρηται, 10 πρὸς ἑκάστας τῶν ἡλικιέων, καὶ τῶν ὡρέων, καὶ τῶν ἰδεῶν, καὶ τῶν νούσων, [65] ἔν τε τῇσι φαρμακίῃσι προτρέπεσθαι καὶ ἐν τοῖσι διαιτήμασιν. ὁκόταν δὲ νοσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ, δῆλον ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν τοῦτο αἴτιόν ἐστι. καὶ δῆλον ὅτι τοῦτο [66] νοσηρήν τινα ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι, τοιάσδε. τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς νούσου. [67] τὸ δὲ σῶμα ὁρᾷν, ὅκως ἔσται ὡς ἀογκότατον καὶ ἀσθενέστατον, τῶν σιτίων τε ἀφαιρέοντα, καὶ τῶν ποτῶν, οἷσιν εἰώθει χρέεσθαι κατ' ὀλίγον. ἢν γὰρ μεταβολὴ ταχέως τῆς διαίτης, κίνδυνος 20 καὶ ἀπὸ τῆς μεταβολῆς νεώτερόν τι γίνεσθαι ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι μὲν διαιτήμασιν οὕτω χρέεσθαι, ὅτε γε φαίνονται μηδὲν ἀδικέοντα τὸν ἄνθρωπον. τοῦ δὲ πνεύματος, ὅκως ἐλαχίστη ἡ ῥύσις ἐς τὸ σῶμα ἐσίοι, καὶ ὡς ξενοτάτη ἔσται προμηθέεσθαι. τῶν τε χωρίων τοὺς τόπους μεταβάλλοντα εἰς δύναμιν, ἐν οἷσιν ἂν ἡ νοῦσος καθεστήκῃ, καὶ τὰ σώματα λεπτύνοντα. οὕτω γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρῄζοιεν οἱ ἄνθρωποι. ὁκόσα δὲ τῶν νοσημάτων ἀπὸ τοῦ σώματος γίνεται τῶν μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστι. καὶ γὰρ ἢν αὐτοῦ μένῃ ἔνθα ἂν ἄρξηται, ἀνάγκη τοῦ ἰσχυροτάτου τῶν μελέων πονεομένου, ἅπαν τὸ 30 σῶμα πονέεσθαι. καὶ ἢν ἐπί τι τῶν ἀσθενεστέρων ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτέρου, χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. ὁκόσα δ' ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθοι, εὐλυτώτερά ἐστιν. [68] ὑπὸ γὰρ τῆς ἰσχύος ἀπαλλάσσεται ῥηιδίως τὰ ἐπιρρέοντα. [69] αἱ παχύταται δὲ τῶν φλεβῶν, ὧδε πεφύκασι. τέσσαρα ζεύγεά ἐστιν ἐν τῷ σώματι. καὶ ἓν μὲν αὐτέων, [70] ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν ἐπὶ τὴν ῥάχιν, ἔνθεν τε καὶ ἔνθεν παρὰ τὰ ἰσχία ἀφικνέεται, καὶ ἐς τὰ σκέλεα. ἔπειτα διὰ τῶν κνημέων καὶ τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας διήκει. δεῖ οὖν τὰς φλεβοτομίας τὰς ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ 40 καὶ τοῖσιν ἰσχίοισιν, ἀπὸ τῶν ἰγνύων ποιέεσθαι καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. αἱ δ' ἕτεραι φλέβες ἔχουσιν ἐκ τῆς κεφαλῆς παρὰ τὰ οὔατα, διὰ τοῦ αὐχένος, αἱ σφαγίτιδες καλεόμεναι, [71] ἔσωθεν παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρονται παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηρούς. καὶ διὰ τῶν ἰγνύων, ἐκ τοῦ ἔσωθεν μέρεος. ἔπειτα διὰ τῶν κνημέων παρὰ τὰ σφυρὰ ἔσωθεν, καὶ ἐς τοὺς πόδας. δεῖ οὖν τὰς φλεβοτομίας, πρὸς τὰς ὀδύνας ποιέεσθαι, τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὀρχίων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. αἱ δὲ τρίται φλέβες, ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος, ὑπὸ τὰς ὠμοπλάτας. ἔπειτα συμφέρονται ἐς τὸν πλεύμονα, καὶ ἀφικνέονται. [72] ἡ μὲν ἀπὸ τῶν δεξιῶν, ἐς τὰ ἀριστερά, ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν, ἐς τὰ δεξιά. καὶ ἡ μὲν δεξιὴ, ἀφικνέεται ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸν σπλῆνα, καὶ ἐς τὸν νεφρόν. ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν, ἐς τὰ δεξιά, ἐκ τοῦ πλεύμονος, ὑπὸ τὸν μαζὸν [73] καὶ ἐς τὸ ἧπαρ, καὶ τὸν νεφρόν.

[74] τελευ-

[74] τελευτῶσι δὲ εἰς τὴν ἕδρην, αὗται ἑκάτεραι. αἱ δὲ τέταρται φλέβες, ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν, ὑπὸ τὸν αὐχένα καὶ τὰς κληῖδας. [75] ἔπειτα ὑπὲρ τῶν βραχιόνων, ἄνωθεν εἰς τὰς συγκαμπάς. ἔπειτα δὲ [76] διὰ τῶν πηχέων καὶ τῶν χειρῶν ἄνωθεν, καὶ ἐπὶ τοὺς καρποὺς καὶ τοὺς δακτύλους. [77] ἔπειτα ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν πηχέων καὶ τῶν χειρῶν ἄνωθεν εἰς τὰς συγκαμπάς, καὶ διὰ τῶν βραχιόνων τοῦ κάτωθεν μέρεος, εἰς τὰς μασχάλας. καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν, ἡ μὲν, εἰς τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ, εἰς τὸ ἧπαρ. ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. καὶ αἱ μὲν παχύταται τῶν φλεβῶν, ὧδε ἔχουσιν. [78] εἰσὶ δὲ καὶ αἱ ἀπὸ τῆς κοιλίης φλέβες, ἀνὰ τὸ σῶμα πάμπολλαί τε καὶ παντοῖαι. καὶ δι᾽ ὧν ἡ τροφὴ ἐν τῷ σώματι ἔρχεται. φέρουσι δὲ ἀπὸ τῶν παχέων φλεβῶν [79] εἰς τὴν κοιλίην καὶ εἰς τὸ ἄλλο σῶμα, [80] καὶ ἀπὸ τῶν ἔξω καὶ ἀπὸ τῶν ἔσω. καὶ εἰς ἀλλήλας διδόασιν, αἵ τε ἔσωθεν ἔξω καὶ αἱ ἔξωθεν ἔσω. τὰς οὖν φλεβοτομίας δεῖ ποιέεσθαι, [81] κατὰ τούτους τοὺς λόγους. ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς, ὡς προσωτάτω τάμνειν ἀπὸ τῶν χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκασι γίνεσθαι, καὶ τὸ αἷμα συλλέγεσθαι. οὕτως γὰρ ἂν ἥ τε μεταβολὴ ἥκιστα μεγάλη γίνοιτο ἐξαπίνης. καὶ τὸ ἔθος μεταστήσαις ἂν, ὥστε μηκέτι εἰς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι.

ὁκόσοι πῦον πολλὸν πτύουσιν, ἄτερ πυρετοῦ ἐόντες, καὶ ὁκόσοισιν ὑπὸ τὸ οὖρον πῦον ὑφίσταται πολλὸν, ἄτερ ὀδύνης ἐοῦσης. καὶ ὁκόσοισι τὰ ὑποχωρήματα, αἱματώδεα, ὥσπερ ἐν τῇσι δυσεντερίῃσι καὶ χρόνια ἀνέουσιν ἐοῦσι, πέντε καὶ τριήκοντα ἐτέων, καὶ γεραιτέροισι, τουτέοισι πᾶσιν [82] ἀπὸ τοῦ αὐτέου τὰ νοσήματα γίνεται. ἀνάγκη γὰρ τουτέους, ταλαιπώρους τε γενέσθαι καὶ φιλοπόνους τῷ σώματι, καὶ ἐργάτας νεανίσκους ἐόντας. ἔπειτα δὲ ἐξανεθέντας τῶν πόνων, σαρκωθῆναι μαλθακῇ σαρκὶ, καὶ πουλὺ διαφερούσῃ τῆς προτέρης. καὶ πολλὸν διακεκριμένον ἔχειν τὸ σῶμα, τό τε προϋπάρχον καὶ τὸ ἐπιτραφὲν, ὥστε μὴ ὁμονοεῖν. ὁκόταν οὖν νόσημά τι καταλάβῃ τοὺς οὕτω διακειμένους, τὸ μὲν παραχρῆμα διαφεύγουσιν. ὕστερον δὲ μετὰ τὴν νοῦσον, χρόνῳ τήκεται τὸ σῶμα, καὶ ῥέει διὰ τῶν φλεβῶν, ἢ μὲν εὐρυχωρίη μάλιστα τύχῃ, ἰχωροειδές. ἢν μὲν οὖν ὁρμήσῃ ἐς τὴν κοιλίην τὴν κάτω, σχεδὸν οἷόνπερ ἐν τῷ σώματι ἐνείη, τοιοῦτον καὶ τὸ διαχώρημα γίνεται. ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος ἐούσης, οὐχ ἵσταται πολλὸν χρόνον ἐν τῷ ἐντέρῳ. ὁκόσοισι δ᾽ ἂν ἐς τὸ στῆθος ἐσρυῇ, ὑπόπυοι γίνονται. ἅτε τῆς καθάρσιος ἀνάντεος ἐούσης, [83] καὶ χρόνον ἐναυλιζόμενον πουλὺν ἐν τῷ στήθει, κατασήπεται, καὶ γίνεται πυοειδές. ὁκόσοισι δ᾽ ἂν ἐς τὴν κύστιν ἐξερεύγηται, [84] ὑπὸ τῆς θερμότητος τοῦ χωρίου τοῦτο καὶ θερμὸν καὶ λευκὸν γίνεται, καὶ διακρίνεται. καὶ τὸ μὲν ἀραιότατον, ἐφίσταται ἄνω. τὸ δὲ παχύτατον, κάτω, ὃ δὴ πῦον καλέεται. γίνονται δὲ καὶ οἱ λίθοι τοῖσι παιδίοισι διὰ τὴν θερμότητα τοῦ χωρίου τουτέου, καὶ τοῦ ὅλου σώματος. τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι, διὰ τὴν ψυχρότητα τοῦ σώματος. εὖ γὰρ χρὴ εἰδέναι, ὅτι ὁ ἄνθρωπος, τῇ πρώτῃ τῶν ἡμερέων, θερμότατός ἐστιν αὐτὸς ἑωυτοῦ. τῇ δὲ ὑστάτῃ, ψυχρότατος. ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι. ὁκόταν δὲ ἄρχηται μαραίνεσθαι τὸ σῶμα, [85] καταρρέον πρὸς τὴν ἀπέτειαν, ψυχρότερον γίνεται. κατὰ τουτέον τὸν λόγον. ὁκόσον τουτέων τῶν ἡμερέων τὴν πρώτην πλεῖστον αὔξεται ὁ ἄνθρωπος, τοσοῦτον θερμότερος γίνεται.

Vtraque postremò in rectum intestinū desinit. Quartum par ex interiore capitis parte & oculis, sub ceruicem & clauiculas, indeque per superiora in brachiorum flexus tendit, posteaque per cubitos, ad primas manuum iuncturas & digitos, rursusque à digitis per cubitos & superiores manuum partes in flexuras, & per superiorem brachiorum partem ad axillas, perq; summas costas hæc quidem ad lienem, altera verò ad iecur deuenit, postea supra ventrem in pudendum vtraque desinit. Atque ea est venarum crassissimarum natura. Existunt etiam ex ventriculo permultæ & variæ venæ, per quas in corpus alimentum transmittitur. Quod etiam ex crassis venis, tam externis, quàm internis, in ventriculum & reliquum corpus deferūt, sibique mutuò subministrant, internæ externis, vicissimque externæ internis. Hæ igitur mittendi sanguinis rationes seruandæ sunt, studendumq; est, vt quàm longissimè à locis, in quibus dolores fieri, & sanguis colligi consueuit, venarum sectiones fiant. Hac nanq; ratione, cùm minimè magna de repēte mutatio continget, tum etiam consuetudinem tollendo effeceris, vt ne amplius eodem colligatur. Qui pus copiosum citra febrem expuunt, quibusque absque dolore pus multum in vrina subsidet, & qui alui deiectiones, velut in difficultatibus intestinorum, cruentas habent & diuturnas, quales in iuuenibus annos quinque & triginta natis, & grandioribus natu inesse solent, iis omnibus ex eadem causa morbi oriuntur. Hos nanque immodicis corporis exercitationibus & laboribus addictos, & cùm iuuenes essent operas exercuisse necesse est. Deinde dimissis laboribus, molli carne & multùm à superiore differente expletos, tam longè inter se dissidentem corporis habitum habere, vt pristinus cum eo qui postea accreuit, nulla in re consentiat. Qui igitur ita affecti sunt, si quando in morbum incidunt, ij confestim euadunt, sed post à morbo temporis successu corpus liquatur, & per venas, quâ latissimę esse solent, saniei quiddam non dissimile defluit. Si quidem igitur ad inferiorem aluum impetu deferatur, quale quid fere in corpore inest, tale etiam per deiectiones secedit. Neq; enim, cùm via decliuis sit, diutiùs in intestinis subsistit. At quibus in pectus influit, ij purulenti fiunt, quòd nimirum cùm purgatio accliuis sit, & diutius moram trahere in pectore computrescat, & puris simile euadat. Quibus verò in vesicam effunditur, ex loci calore incalescit, exalbescit & secernitur, quodq; rarissimum existit supra innatat, crassissimū verò, quod sanè pus appellatur, subsidet. In pueris quoque ob loci huius & totius corporis caliditatem gignuntur calculi, quod viris ob corporis frigiditatem minime vsuuenit. Istud enim probe nosse conuenit, hominem prima ætate in omni vita esse calidissimum, postrema verò frigidissimū. Siquidem quod augescit corpus & ad robur tendit calidum esse necesse est, at vbi marcescere & ad exitiū pręcipitare cœperit, frigidius euadit. Atq; hac ratione quò magis his primis diebus homo increscit, eò calidior euadit,

& quantò magis vltimis diebus marcescit, tantò frigidiorem esse necesse est. Qui autem sic affecti sunt, sua sponte sanescunt, plærique quidem quo anni tempore colliquescere cœperint, quinto & quadragesimo die. Qui verò hoc anni tempus superauerint, anno conualescunt, nisi quid aliud hominem male habuerit. Qui morbi ex paruo temporis interuallo oriuntur, & quorum causæ cognitu sunt faciles, ij securissimè prædicantur. Quorum curationem sic instituere oportet, vt morbi causæ occurramus. Ita siquidē quod morbum in corpore excitauit, facilè dissoluatur. Quibus in vrina arenulæ vel lapilli subsident, iis per initia ad crassam venam tubercula enascuntur, & suppurant, deinde cùm ea tubercula haud ita citò rumpantur, lapilli ex pure coalescunt, qui per venam cum vrina in vesicam foras extruduntur. At quibus vrinæ quidem cruentæ sunt, iis in venis vitium est. Quibus vna cum vrina crassa prodeunt minutæ carunculæ capillamentorum speciem referentes, eas à renibus & articulari morbo laborantibus prodire nosse conuenit. Quibus vrina pura est, & aliàs atque aliàs furfuracea quædam per summam vrinam feruntur, iis vesica scabie laborat. Febres magna ex parte à bile oriuntur, quarum genera sunt quatuor, præter eas quæ dolores eximios comitatur. Earum autem nomina sunt, continens, quotidiana, tertiana & quartana. Quæ continens appellatur, ex copiosissima & meracissima bile prouenit, & perquàm breui iudicatur. Corpus nanq; vehementi calore incalescens, neq; vnquam refrigescens, celeriter colliquescit. Quotidiana secundum continentem ex plurima bile ortum habet, & præ aliis citissimè liberat, at continente eò longior, quò ex pauciore bile prouenit, quódq; in ea corpus requietem habet, quod in continente nullo vnquam tempore quiescit. Tertiana verò quotidiana longior, & à pauciore bile fit, quóque diutius in ea, quàm in quotidiana corpus quiescit, eò diuturnior hæc febris est, quàm quotidiana. At quartanæ in reliquis eandem rationem obtinent, sed tertianis tantò longiores sunt, quantò minùs bilis calorem exhibētis obtinent, tum quia in his corpus liberaliùs refrigeratur, iisque ab atra bile is cumulus accedit, vt non nisi ægrè depelli possint. Bilis enim eorum omnium quæ in corpore insunt cùm sit glutinosissima, maximè diuturnas stationes facit. Quòd autem quartanæ humoris melancholici sint participes, ex eo cognosces, quòd autumno præcipuè homines quartanis corripiantur, & ea ætate quæ est ab anno vigesimo quinto ad quadragesimum quintum, tum etiam quòd hæc ætas inter alias omnes atræ bili potissimùm est obnoxia, vt & inter anni tempora autumnale maximè accommodatum. Si qui verò extra hoc anni tempus & eam ætatem quartana correpti fuerint, pro comperto habeas hanc febrem, nisi quid aliud hominem malè habeat, minimè diuturnam fore.

καὶ τῇ ὑστάτῃ τῶν ἡμερέων, ὅσον πλεῖστον καταμαραίνεται, τοσοῦτον ἀνάγκη ψυχρότερον εἶναι. ὑγιέες δὲ γίγνονται αὐτόματοι, οἱ οὕτως διακείμενοι. πλεῖστοι μὲν ἐν τῇ ὥρῃ, ἣν ἄρξωνται τήκεσθαι, πέντε καὶ τεσσαρακονθήμεροι. ὁκόσοι δ' ἂν τὴν ὥρην ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι ὑγιέες γίνονται, ἢν μή τι ἄλλο κακουργεῖται ὁ ἄνθρωπος. ὁκόσα τῶν νοσημάτων ἐξ ὀλίγου γίνεται, καὶ ὁκόσων αἱ προφάσιες εὔγνωστοι, ταῦτα δὲ ἀσφαλέστατά ἐστι προσαγορεύεσθαι. τὴν δὲ ἴησιν χρὴ ποιέεσθαι αὐτέων ἐναντιούμενον τῇ προφάσει τῆς νόσου. οὕτω γὰρ ἂν λύοιτο τὸ τὴν νοῦσον παρέχον ἐν τῷ σώματι. [86] Ὁκόσοισι ψαμμοειδέα ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τουτέοισι τὴν ἀρχὴν φύματα ἐγένετο πρὸς τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. ἔπειτα δὲ ἅτε οὐ ταχέως ἐκραγέντων τῶν φυμάτων, πῶροι συνεστράφησαν ἐκ τοῦ πύου, οἵτινες ἔξω θλίβονται διὰ τῆς φλεβός, σὺν τῷ οὔρῳ ἐς τὴν κύστιν. ὁκόσοισι δὲ [87] αἱματώδεα μὲν τὰ οὐρήματα, τουτέοισιν αἱ φλέβες πεπονήκασιν. ὁκόσοισι δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι, σαρκία μικρὰ τριχοειδέα συνέρχεται, ταῦτα δὲ ἀπὸ τῶν νεφρῶν, εἰδέναι χρὴ ἐόντα καὶ ἀπὸ ἀρθριτικῶν. ὁκόσοισι δὲ καθαρὸν τὸ οὖρον, ἄλλοτε καὶ ἄλλοτε, [88] οἷον δὲ πίτυρα ἐπιφέρεται ἐν τῷ οὐρήματι, τουτέων ἡ κύστις ψωριᾷ. οἱ πλεῖστοι τῶν πυρετῶν, γίνονται ἀπὸ χολῆς. εἴδεα δὲ σφέων εἰσὶ τέσσαρα, χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων, [89] τῇσιν ἀποκεκριμένῃσιν. ὀνόματα δ' αὐτέοισίν ἐστι· ξυνόχος, ἀμφημερινός, τριταῖος, τεταρταῖος. ὁ μὲν οὖν ξυνόχος καλεόμενος, γίνεται ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης. καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται. τὸ γὰρ σῶμα, οὐ διαψυχόμενον οὐδένα χρόνον, συντήκεται ταχέως, ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν ξυνόχον, ἀπὸ πλείστης χολῆς γίνεται, καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων. μακρότερος δέ ἐστι τοῦ ξυνόχου, ὁκόσῳ ἀπὸ ἐλάσσονος γίνεται χολῆς, καὶ ὅτι ἔχει ἀνάπαυσιν τὸ σῶμα, ἐν δὲ τῷ ξυνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τριταῖος, μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ, καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται. ὁκόσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ τῷ ἀμφημερινῷ, τὸ σῶμα διαναπαύεται, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. οἱ δὲ τεταρταῖοι, τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον. χρονιώτεροι δὲ μᾶλλον τῶν τριταίων εἰσίν. ὁκόσῳ ἔλαττόν τι μέρος μετέχουσι χολῆς, τῆς τὴν θερμασίην παρεχούσης, οὔτε διαψύχεσθαι τὸ σῶμα, πλεῖον μετέχουσι. [90] προσγίνεται δὲ αὐτέοισιν, ἀπὸ μελαίνης χολῆς, τὸ περιεὸν τοῦτο καὶ δυσαπάλλακτον. μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων χυμῶν, γλισχρότατον, καὶ τὰς ἕδρας χρονιωτάτας πεποίηται. γνώσῃ δὲ ἐν τῷδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ. φθινοπώρῳ γὰρ μάλιστα οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῶν τεταρταίων, καὶ ἐν τῇ ἡλικίῃ, ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων, ἕως τῶν πέντε καὶ τεσσαράκοντα. [91] ὅτι καὶ ἡ ἡλικίη αὕτη ὑπὸ μελαίνης χολῆς κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, ἥ τε φθινοπωρινὴ ὥρη μάλιστα πασέων τῶν ὡρέων ἐπιληπτοτάτη. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης, καὶ τῆς ἡλικίης, ὑπό τε τεταρταίου, εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν πυρετόν, ἢν μὴ ἄλλό τι κακουργῆται ὁ ἄνθρωπος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΟΝΗΣ.

HIPPOCRATIS DE GENITVRA, LIBER.

ΝΟΜΟΣ μὲν, πάντα κρατύνει· ἡ δὲ γονὴ τοῦ ἀνδρὸς, ἔρχεται[2] ἀπὸ παντὸς τοῦ ὑγροῦ, τοῦ ἐν τῷ σώματι ἐόντος, τὸ ἰσχυρότατον ἀποκριθέν. τούτου δὲ ἱστόριον, τόδε, ὅτι ἀποκρίνεται τὸ ἰσχυρότατον, ὅτι ἐπὴν λαγνεύσωμεν, σμικρὸν οὕτω μεθέντες, ἀσθενέες γινόμεθα. ἔχει δὲ οὕτω. φλέβες καὶ νεῦρα ἀπὸ παντὸς τοῦ σώματος, τείνουσιν ἐς τὸ αἰδοῖον, οἷσιν ὑποτριβομένοισι καὶ θερμαινομένοισι καὶ πληρευμένοισιν, ὥσπερ κνησμὸς ἐμπίπτει,[3] καὶ τῷ σώματι παντὶ ἡδονὴ καὶ θέρμη ἐκ τούτου παραγίνεται. τριβομένου δὲ τοῦ αἰδοίου καὶ τοῦ ἀνθρώπου κινευμένου, τὸ ὑγρὸν θερμαίνεται ἐν τῷ σώματι, καὶ διαχέεται, καὶ κλονέεται ὑπὸ τῆς κινήσιος, καὶ ἀφρέει καθάπερ καὶ τἄλλα ὑγρὰ ξύμπαντα κλονεόμενα ἀφρέει. οὕτω δὲ καὶ τῷ ἀνθρώπῳ, ἀποκρίνεται ἀπὸ τοῦ ὑγροῦ ἀφρέοντος, τὸ ἰσχυρότατον καὶ τὸ πιότατον, καὶ ἔρχεται εἰς τὸν νωτιαῖον μυελόν.[4] τείνουσι γὰρ ἐς τοῦτον, ἐκ παντὸς τοῦ σώματος. καὶ διαχέει ἐκ τοῦ ἐγκεφάλου εἰς τὴν ὀσφὺν, καὶ ἐς πᾶν τὸ σῶμα, καὶ ἐς τὸν μυελὸν, καὶ ἐξ αὐτοῦ τείνουσιν ὁδοὶ, ὥστε καὶ ἐπιέναι τὸ ὑγρὸν ἐς αὐτὸν καὶ ἀποχωρέειν. ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον τὸν μυελὸν ἡ γονὴ, χωρέει παρὰ τοὺς νεφρούς. ταύτῃ γὰρ ἡ ὁδός ἐστι διὰ φλεβῶν. κἢν οἱ νεφροὶ ἑλκωθῶσιν, ἔστιν ὅτε καὶ αἷμα ξυμφέρεται. παρὰ δὲ τῶν νεφρῶν, ἔρχεται διὰ τῶν ὀρχίων μεσάτων ἐς τὸ αἰδοῖον· καὶ χωρέει οὐχ ὅπη τὸ οὖρον, ἀλλά οἱ ἄλλη ὁδός ἐστιν αὐτῆς ἐχομένη. καὶ οἱ ἐξονειρώσσοντες διὰ τάδε ἐξονειρώσσουσιν· ἐπὴν τὸ ὑγρὸν ἐν τῷ σώματι, διακεχυμένον ᾖ καὶ διάθερμον, εἴτε ὑπὸ ταλαιπωρίης, εἴτε ὑπὸ ἄλλου τινὸς, ἀφρέει· καὶ ἀποκρινομένου ἀπ' αὐτοῦ ὁρᾷν παρίσταται, οἷον λαγνεύειν. ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὥσπερ λαγνεύοντι. ἀλλ' οὐ μοι περὶ ὀνειρωσσόντων καὶ παντὸς τοῦ νοσήματος τί ἐστι, καὶ ὁκόσα ἐργάζεται, καὶ διότι πρὸ λαγνείης. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἰρέαται. οἱ δὲ εὐνοῦχοι διὰ ταῦτα οὐ λαγνεύουσιν, ὅτι σφέων ἡ δίοδος ἀμαλδύνεται τῆς γονῆς. ἔστι γὰρ δι' αὐτῶν τῶν ὀρχίων ἡ ὁδός. καὶ νεῦρα τείνει λεπτὰ καὶ πυκνὰ, εἰς τὸ αἰδοῖον ἐκ τῶν ὀρχίων, οἷσιν αἴρεται καὶ καθίεται. καὶ ταῦτα ἐν τῇ τομῇ ἀποτέμνεται, διότι καὶ οὐχ ὑπάρχουσιν οἱ εὐνοῦχοι χρήσιμοι. τῶν δὲ τάδε ἐκτεθλιβέντων, ἡ ὁδὸς τῆς γονῆς ἐμπέφρακται. πωρεῦνται γὰρ οἱ ὄρχιες καὶ τὰ νεῦρα σκληρὰ καὶ νωθρὰ γινόμενα ὑπὸ τοῦ πώρου, οὐ δύναται τείνειν καὶ χαλᾶν. ὁκόσοι δὲ παρ' οὖς τετμημένοι εἰσὶν, οὗτοι λαγνεύουσι μὲν καὶ ἀφίασιν, ὀλίγον δὲ, καὶ ἀσθενὲς, καὶ ἄγονον. χωρέει γὰρ τὸ πλεῖστον τοῦ γόνου, ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα, εἰς τὸν νωτιαῖον μυελόν. αὕτη δὲ ἡ δίοδος ὑπὸ τῆς τομῆς οὐλῆς γενομένης, στερεὴ γέγονεν. τοῖσι δὲ παιδίοισι, λεπτὰ τὰ φλέβια ἐόντα καὶ πληρεύμενα,

Lex quidem omnia sibi subiicit. At verò viri genitura ex vniuerso humido, quod in corpore continetur, proficiscitur, vbi id, quod validissimum est, excernitur. Cuius rei istud est argumentum, quòd vbi rem veneream exercemus, tantillo emisso, imbecilles euadimus. Istud verò sic se habet. Ex toto corpore venę & nerui in pudendum procedunt, quorum attritu, excalefactione & repletione, velut pruritus exoritur, indeq; ad totum corpus voluptas & calor permanat. Trito autem pudendo & moto homine, humidum in corpore concalescit & diffunditur, & motum agitatur & spumescit, non secus ac reliqua omnia humida agitata spumescunt. Sic verò etiam in homine quod validissimum est & pinguissimum, à spumescente humore secernitur, & ad spinalem medullam progreditur. In hanc enim ex toto corpore viæ quædam feruntur, & ex cerebro in lumbos, vniuersum corpus, & spinalem medullam diffunditur, ex eaq; viæ quædam procedunt, ita vt ad eam humidum deferri, & ex ea secedere queat. At vbi ad spinalem medullam genitura peruenerit, per venas quasdam, quibus illi via patet, ad renes fertur, quibus exulceratis, interdum etiam sanguis vnà defertur. A renibus autem per medios testes ad pudendum peruenit, neque quà via vrinæ est prodit, sed alia ipsi via est huic proxima. At verò qui per somnum veneris ludibrio tentantur, ideò per somnum venerea exercent, quòd humidum in corpore diffusum & excalefactum, siue ex vehementi exercitatione, siue ex alia quauis causa spumescat, dum ab ipso excernitur, veneris imaginem quandam exhibet. Perinde enim se habet hoc humidum, vt in eo qui venerem exercet. Sed neque de his qui per somnum venerem exercent, neq; de toto morbo quid sit, quæve efficiat, neque cur coitus loco habeatur, dicendum nobis est, & de his quidem hactenus. At verò eunuchi eam ob causam venerem minimè peragunt, quia geniture transitus ipsis aboletur. Per ipsos enim testes ei via est, & nerui tenues & crebri ex testibus in pudendum feruntur, quibus assurgit & demittitur, iique in ipsa exectione dum castrantur rescinduntur, ideoque ad obeundam venerem inutiles existunt. Qui verò istorum attritionem passi sunt, iis genituræ via obstructa est. Callum enim contrahere testes solent, neruiq; à callo indurati & hebescentes, neque pudendum intendere, neque laxare possunt. At qui iuxta aures sectionem experti sunt, ij venerem quidem exercent, verùm semẽ paucum, imbecillum & infœcũdum emittunt. Maxima siquidem seminis pars è capite secundum aures in spinalem medullam fertur, ipse verò transitus, sectione ad cicatricẽ perducta, solidior euasit. Pueris autem venę exiles & plenæ,

genituram ferri prohibent, neq; pruritus eodem modo excitatur, nec proinde humidum in corpore agitatur, vt genitura secerni queat. Virginibus quoque eandem ob causam, intra pubertatis annos, menses minimè prodeunt. Vbi verò adoleuerint, tum virgo, tum puer venæ quæ ad pueri pudendum, & in virginis vterum feruntur, incremento accepto ampliores redduntur, & aperiuntur, viaque & transitus per illarum angustias patet, tuncq; humidum agitari incipit, & spatia ampliora in quibus agitetur habet, pueroque cùm adultus fuerit, ob eam causam & virgini mēstrua prodeunt. Atque ista mihi ad hunc modum se habere comperta sunt. At verò genituram ex toto corpore, & ex solidis & mollibus partibus, & ex vniuerso totius corporis humido secerni asseuero. Humidi autē quatuor sunt species, sanguis, bilis, aqua, & pituita. Homo enim tot sibi cognatas species habet, ex quibus tum morbi fiunt, tum diiudicantur. Atque hæc mihi quidem de genitura dicta sunt, & vnde, & quanam ratione, & quanam ex causa ortum habeat, & in quibus, & quare nulla insit, simulq; de virginum mensibus. Mulieribus autem in coitu attrito pudendo & commotis vteris, pruritus quidam in seipsis sentitur, & reliquo corpore voluptas calorq; exoritur. Semen verò è corpore etiam emittit mulier, interdum quidem in vterum, ex quo humidus redditur; nonnunquam verò foras, si plus æquo vterus dehiscat. Illa etiam vbi coire cœperit, toto tempore voluptatem percipit, dum vir semen emiserit. Quòd si coitum ardenter quidem mulier appetat, ante quàm vir semen emittit, neque deinceps eadem voluptate perfunditur: sin verò venerem non vehementer appetat, vnà cum viro voluptate affici desinit. Ac habet se res ad hunc modum, vt si quis ad aquam feruentem frigidam affundat, feruere desinit, ita etiam virile semen in vterum illapsum, mulieris calorem & voluptatem extinguit. Effertur autem voluptas & calor, simul ac semen in vterum decidit, deinde desinit, non secus ac si quis ad flammam vinum affundat, ea primùm ad vini affusionem attollitur, & paulatim increscit, deinde desinit: eodem modo in muliere calor ad viri semen effertur, postea desinit. At verò in venere exercēda longè minorem quàm vir, voluptatem mulier percipit, vir verò etiam diuturniorem. Cumque maiorem vir percipiat voluptatem, ei repente ab humido maiore agitatione quàm mulieri secernitur. Sic autem se res habēt mulierum, si quidem cum viris rem habeant, magis sanę sunt; sin contrà, minùs bene habent. Nam & coitu vteri humidiores euadunt, qui si plus æquo siccescant, vehementer contrahuntur, sicq; contracti corpori dolorem afferunt, simulq; coitus sanguinem excalefaciens & humectans, causa est vt menses faciliùs profluant, quibus minimè prodeuntibus, morbis obnoxiæ mulieres redduntur. Cuius rei causam in morbis muliebribus exponemus. Ac de his quidē hæc dixisse satis sit. Post coitum autem, siquidem mulier minimè conceptura sit, semen ab vtrisque emissum, pro more foras cùm volet, profluet. Quòd si conceptura sit, semen minimè foras profluit, sed in ipso vtero manet. Eo nanque excepto vterus clauditur & retinet,

κωλύει τὴν γονὴν ἰέναι. καὶ ὁ κνησμὸς, οὐχ ὁμοίως παραγίνεται. διὰ ταῦτα οὐδὲ κλονέεται ἐν τῷ σώματι τὸ ὑγρὸν, ἐς ἀπόκρισιν τῆς γονῆς. καὶ τῇσι παρθένοισι μέχρις ἂν νέαι ἔωσιν, οὐ χωρέει τὰ καταμήνια, δι' αἴτιον τὸ αὐτό. ἐπὴν δὲ αὔξωνται καὶ παρθένος καὶ παῖς, αἱ φλέβες αἱ ἐς τὸ αἰδοῖον τείνουσαι τοῦ παιδὸς, καὶ τῆς παρθένου, καὶ ἐπὶ τὰς μήτρας, εὐρέαι γίνονται ὑπὸ τῆς αὔξης, καὶ στομοῦνται, καὶ ὁδὸς καὶ δίοδος διὰ στενῶν γίνεται· καὶ τὸ ὑγρὸν κλόνησιν τότε ἴσχει. εὐρυχωρίη γὰρ οἱ τότε γίνεται, ἔνθα κλονήσεται· καὶ τῷ παιδὶ χωρέει, ἐπὴν ἁδρὸς ἔῃ, διὰ τόδε 10 καὶ τῇ παρθένῳ τὰ καταμήνια. ταῦτα δέ μοι οὕτως ἀποπέφανται. τὴν δὲ γονὴν φημὶ ἀποκρίνεσθαι ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ τῶν στερεῶν, καὶ ἀπὸ τῶν μαλθακῶν, καὶ ἀπὸ τοῦ ὑγροῦ παντὸς τοῦ ἐν τῷ σώματι. εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ ὑγροῦ αἷμα χολὴ ὕδωρ, καὶ φλέγμα. τοσαύτας γὰρ ἰδέας ἔχει ξυμφυέας ὁ ἄνθρωπος ἐν ἑωυτῷ, καὶ ἀπὸ τουτέων αἱ νόσοι γίνονται, ἢ αἱ ἐκ νόσων διακρίσιες. καὶ ταῦτα μὲν εἰρέαταί μοι περὶ γονῆς, ὁκόθεν γίνεται, καὶ ὅκως, καὶ διότι, καὶ οἷσιν οὐ γίνεται ἡ γονὴ, καὶ διότι οὐ γίνεται, καὶ περὶ καταμηνίων παρθένων. τῇσι δὲ γυναιξὶν ἐν τῇ μίξει τριβομένου τοῦ αἰδοίου, καὶ 20 τῶν μητρέων κινευμένων, ὥσπερ κνησμὸν ἐμπίπτειν ἐς αὐτὰς, καὶ τῷ ἄλλῳ σώματι ἡδονὴν καὶ θέρμην παρέχειν. μεθίει δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ σώματος ὁτὲ μὲν ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι ἰκμαλέαι γίνονται, ὁτὲ δὲ καὶ ἔξω, ἢν χάσκωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ. καὶ ἥδεται ἐπὴν ἄρξηται μίσγεσθαι διὰ παντὸς τοῦ χρόνου, μέχρις ἂν αὐτὴν μεθίῃ ὁ ἀνήρ. κὴν μὲν ὀργᾷ ἡ γυνὴ μίσγεσθαι, πρόσθεν τοῦ ἀνδρὸς ἀφίει· καὶ τὸ λοιπὸν οὐκ ἔτι ὁμοίως ἥδεται ἡ γυνή. ἢν δὲ μὴ ὀργᾷ, συντελέει τῷ ἀνδρὶ ἡδομένη· καὶ ἔχει οὕτως, ὥσπερ εἴ τις ἐπὶ ὕδωρ ζέον, ἕτερον ψυχρὸν ὕδωρ ἐπιχέει, παύεται τὸ ζέον. 30 οὕτω καὶ ἡ γονὴ πεσοῦσα τοῦ ἀνδρὸς ἐς τὰς μήτρας, σβέννυσι τὴν θέρμην, καὶ τὴν ἡδονὴν τῆς γυναικός. ἐξαΐσσει δὲ ἡ ἡδονὴ καὶ ἡ θέρμη ἅμα τῇ γονῇ πιπτούσῃ εἰς τὰς μήτρας, ἔπειτα λήγει· ὥσπερ εἴ τις ἐπὶ φλόγα οἶνον ἐπιχέει, συμβαίνει πρῶτα μὲν ἐξαΐσσειν τὴν φλόγα καὶ αὔξεσθαι δι' ὀλίγου, πρὸς τὴν ἐπίχυσιν τοῦ οἴνου, ἔπειτα λήγειν. ὡσαύτως δὲ καὶ τῇ γυναικὶ ἡ θέρμη ἐξαΐσσει πρὸς τὴν γονὴν τοῦ ἀνδρὸς, ἔπειτα λήγει. ἧσσον δὲ πολλῷ ἥδεται ἡ γυνὴ τοῦ ἀνδρὸς, ἐν τῇ μίξει. [7] πλείονα δὲ χρόνον, ὁ ἀνήρ. διότι δὲ μᾶλλον ὁ ἀνὴρ ἥδεται, ἀποκρίνεται αὐτῷ ἐξαπίνης ἀπὸ τοῦ ὑγροῦ ἀπὸ ταραχῆς ἰσχυροτέρης, ἢ τῇ γυναικί. ἔχει 40 δὲ τόδε οὕτως τῇσι γυναιξὶν, ἢν μὲν μίσγωνται ἀνδράσι, μᾶλλον ὑγιαίνουσιν· ἢν δὲ μὴ, ἧσσον. ἅμα μὲν αἱ μῆτραι, ἰκμαλέαι γίνονται ἐν τῇ μίξει. [8] καὶ οὐ ξηραὶ ἐοῦσαι μᾶλλον τοῦ καιροῦ, συστρέφονται ἰσχυρῶς. συστρεφόμεναι δὲ ἰσχυρῶς, πόνον τῷ σώματι παρέχουσιν· ἅμα δὲ ἡ μίξις τὸ αἷμα θερμαίνουσα καὶ ὑγραίνουσα, ποιέει ὁδὸν ῥηιτέρην τοῖσι καταμηνίοισι. τῶν δὲ καταμηνίων μὴ χωρεόντων, τὰ σώματα τῶν γυναικῶν ἐπίνοσα γίνονται. διότι δὲ ἐπίνοσα γίνονται, εἰρήσεταί μοι ἐν τῇσι γυναικείῃσι νούσοισι. καὶ ταῦτα μέν μοι εἰρέαται ἐς τοσοῦτον. ἐπὴν δὲ μιχθῇ ἡ γυνὴ, ἢν μὲν δὴ μὴ μέλλῃ λήψεσθαι πρὸς ἑωυτὴν, πρὸς τὸ ἔθος χωρέει ἔξω ἡ γονὴ ἀπ' ἀμφοτέρων, ὁκόταν ἡ γυνὴ ἐθελήσῃ. ἢν δὲ μέλλῃ λήψεσθαι, οὐ χωρέει ἔξω, ἀλλ' ἐμμένει ἐν τῇσι μήτρῃσιν ἡ γονή. αἱ γὰρ μῆτραι δεξάμεναι καὶ μύσασαι, ἔχουσιν ἐν ἑωυτῇσιν, ἅτε

συσπασθέντος

συναλισθέντος τοῦ σώματος ἀπὸ τῆς ἰκμάδος, καὶ μίσγεται ὁμοῦ, τό τε ἀπὸ τοῦ ἀνδρὸς ἐλθὸν, καὶ τὸ ἀπὸ τῆς γυναικός· καὶ ἢν ἡ γυνὴ τόκων ἔμπειρος ἔῃ, καὶ ἐννοήσῃ ὁκότε ἡ γονὴ μὴ ἐξέλθῃ ἀλλ' ἐμμείνῃ, εἴσεται ὅσῃ ἡμέρῃ ἔλαβεν ἐς ἑωυτήν. ἔχει δὲ οὕτως καὶ τόδε. ὅτε μὲν ἰσχυρότερόν ἐστι τὸ μεθιέμενον ἀπὸ τῆς γυναικὸς, ὅτε δὲ ἀσθενέστερον· καὶ τὸ ἀπὸ τοῦ ἀνδρὸς, ὡσαύτως. καὶ ἔστι καὶ ἐν τῷ ἀνδρὶ τὸ θῆλυ σπέρμα καὶ τὸ ἄρσεν καὶ ἐν τῇ γυναικὶ ὁμοίως. ἰσχυρότερον δέ ἐστι τὸ ἄρσεν τοῦ θήλεος. ἀνάγκη οὖν ἀπὸ ἰσχυροτέρου σπέρματος γίνεσθαι. ἔχει δὲ καὶ τόδε, οὕτω. ἢν μὲν ἀπ' ἀμφοτέρων τὸ σπέρμα ἰσχυρότερον ἔλθῃ, ἄρσεν γίνεται· ἢν δὲ ἀσθενὲς, θῆλυ. ὁκότερον δ' ἂν κρατήσῃ κατὰ πλῆθος, ἐκεῖνο καὶ γίνεται. ἢν γὰρ πολλῷ πλέον τὸ ἀσθενὲς σπέρμα τοῦ ἰσχυροτέρου, κρατέεται τὸ ἰσχυρὸν, καὶ μιχθὲν τῷ ἀσθενεῖ, ἐς θῆλυ περιειώρηθη. ἢν δὲ πλέον ἔῃ τὸ ἰσχυρὸν τοῦ ἀσθενέος, κρατηθῇ τε τὸ ἀσθενὲς, ἐς ἄρσεν περιειώρηθη. ὥσπερ εἴ τις κηρὸν καὶ στέαρ μίξας ὁμοῦ, πλέον ποιήσας τὸ στέαρ, τήξειε πρὸς πῦρ, μέχρις μὲν ὑγρὸν ἔῃ, οὐ διάδηλον γίνεται τὸ κρατέον. ἐπὴν δὲ παγῇ, τότ' ἐμφανὲς γίνεται, ὅτι κρατεῖ τὸ στέαρ τοῦ κηροῦ κατὰ πλῆθος. οὕτως ἔχει καὶ τοῦ ἄρρενος καὶ τοῦ θήλεος ἡ γονή. ξυμβάλλεσθαι δὲ παρέχει, ὅτι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, ἔστι γόνος καὶ θήλεος καὶ ἄρσενος, τοῖσιν ἐμφανέσι γινομένοισι. πολλαὶ γὰρ γυναῖκες ἤδη ἐθηλυτόκησαν παρ' ἀνδράσιν ἰδίοις, παρὰ δὲ ἑτέροις ἀνδράσιν ἐλθοῦσαι, ἐκουροτόκησαν. καὶ οἱ ἄνδρες οἱ αὐτοὶ κεῖνοι, παρ' οἷσιν ἐθηλυτόκεον αἱ γυναῖκες, ἑτέρων γυναικῶν ἐς μίξιν ἀφικόμενοι, ἄρσενα γόνον ἐποίησαν· καὶ οἷσιν ἄρσεν γόνος ἐγίνετο, εἰς ἑτέρας γυναῖκας μιχθέντες, θῆλυν γόνον ἐποίησαν. οὕτως ὁ λόγος ἐρέει καὶ τὸν ἄνδρα, καὶ τὴν γυναῖκα, ἔχειν καὶ θῆλυν γόνον, καὶ ἄρσενα. παρὰ μὲν τοῖσιν ἐθηλυτόκεον, ἐκρατέετο τὸ ἰσχυρότερον, πλέονος γινομένου τοῦ ἀσθενέος, καὶ ἐγίνετο θήλεα. παρὰ δὲ τοῖσιν ἐκουροτόκεον, [10] ἐκρατέετο τὸ ἀσθενέστερον, καὶ ἐγίνετο ἄρσενα. χωρέει δὲ οὐκ αἰεὶ τοῦτο [11] ἀπὸ τοῦ αὐτέου ἀνδρὸς ἰσχυρὴ ἀλλ' οὐδὲ ἀσθενὴς ἐς αἰεὶ ἀλλ' ἄλλοτε ἀλλοίη. [12] καὶ τῆς γυναικὸς οὕτως ἔχει· ὡς μὴ θαυμάζειν τὰς αὐτὰς γυναῖκας καὶ τοὺς αὐτοὺς ἄνδρας, γόνον καὶ ἄρσενα καὶ θῆλυν ποιέειν. ἔχει δὲ [13] καὶ τοῖσι κτήνεσιν οὕτως, τὰ περὶ γονῆς θήλεος καὶ ἄρρενος. καὶ ἐν αὐτῇ σφι τῇ γονῇ, ἐξέρχεται καὶ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς, ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ τῶν ἀσθενέων, ἀσθενὴς· καὶ ἀπὸ τῶν ἰσχυρῶν, ἰσχυρή. καὶ τῷ τέκνῳ οὕτως ἐστὶν ἀνάγκη ἀποδίδοσθαι. [14] καὶ ὁκόθεν ἀπὸ τοῦ σώματος τοῦ ἀνδρὸς πλέον ἔλθῃ ἐς τὴν γονὴν ἢ τῆς γυναικὸς, τὸ τέκνον κεῖνο κάλλιον ἔοικε τῷ πατρί· ὁκόθεν δὲ πλέον ἔλθῃ [15] ἀπὸ τῆς γυναικὸς τοῦ σώματος, κεῖνο κάλλιον ἔοικε τῇ μητρί. ἔστι δὲ οὐκ ἀνυστὸν πάντα τῇ μητρὶ ἐοικέναι, τῷ δὲ πατρὶ μηδέν. [16] ἢ τὸ ἐναντίον τούτου, μηδ' ἑτέρῳ ἐοικέναι μηδέν· ἀλλ' ἀμφοτέροισιν, ἀνάγκη τίς ἐστιν ἐοικέναι τινί. [17] εἴπερ ἀπ' ἀμφοτέρων τῶν σωμάτων, τὸ σπέρμα χωρέει ἐς τὸ τέκνον. ὁκότερος δ' ἂν πλέον ξυμβάληται ἐς τὸ ἐοικέναι καὶ ἀπὸ πλεόνων χωρίων τοῦ σώματος, κείνῳ τὰ πλείονα ἔοικε. καὶ ἔστιν ὅτε θυγάτηρ γινομένη, τὰ πλείονα ἔοικε κάλλιον τῷ πατρὶ, ἢ τῇ μητρὶ, καὶ κοῦρος γι-

eius nimirum osculo ob humiditatem contracto, simulq; miscetur tum quod à viro, tum quod à muliere procedit. Quòd si mulier partum aliquando experta fuerit, & animaduerterit quando genitura non exciderit, sed intus remanserit, sciet quâ die conceperit. Sic quoque se res habet. Quod à muliere emissum est, quandoque quidem robustius est, quandoque verò imbecillius. Similiter quoque quod à viro emissum est se habet. Et in viro tum muliebre, tum masculum semen inest, eodémque modo in muliere se habet. Masculum verò fœmineo robustius est. Generationem igitur à robustiore fieri necesse est. Hoc quoque modo se res habet. Si quod ab vtroque semen prodit robustius fuerit, mas generatur, si debile, fœmina. Vtrumlibet verò copia superarit, illud ipsum generat. Si nanque debilius semen multò maiore copia valentius superet, euincitur quod valentius est, & debili permixtum ad fœminam transfertur. Quòd si validum debili copiosius fuerit, superatur debile, & ad marem redigitur. Ac veluti si quis ceram & adipem simul commisceat, & adipe multò maiore copia addito, ea ad ignem liquefaciat, dum quidem liquida fuerint, quod copia superat manifestum non est, vbi verò concreta fuerint, tunc quòd adeps ceram copia superat conspicuum est. Sic maris & fœminæ genituram se habere existimandum est. Quòd autem tam in muliere quàm viro, tum fœmineum, tum masculum semen insit, ex his quæ manifestè contingunt conijcere licet. Plæręque enim mulieres suis viris fœminas iam peperêre, quæ cum aliis congressæ, ex iis filios susceperunt. Et viri illi ipsi quibus mulieres fœminas peperêre, cum aliis mulieribus congressi, masculam prolem genuerunt, & quibus masculus fœtus suscipiebatur, cum aliis mulieribus congressi, fœminas genuerunt. Eoque modo hæc ratio demonstrat, tam virum quàm fœminam, & fœmineum, & masculum semen continere. Siquidem quæ fœminas suscipiebât, in iis quod erat validius à debilioris copia superabatur, & fœmellæ generabantur. Neque verò ab eodem viro semen validum, neque semper debile procedit, sed aliàs aliud, & in muliere ad eundem modum se habet, vt proinde minus mirum videatur, easdem mulieres eosdemq; viros & masculam & fœmineam prolem gignere. Eadem verò in brutis, tum fœminam, tum marem procreandi, seminisque ipsius est ratio. Prodit autem & mulieri & viro ab vniuerso corpore, & ab imbecillibus imbecillum, & à validis validum, eodemque modo fœtui distribui necesse est. Cumque plus ex viri quàm mulieris corpore ad genituram accesserit, fœtus ille patris magis erit similis, cùm verò plus ex muliere prodierit, matrem magis referet. Neque verò fieri potest, vt per omnia matris similis sit, patrem nihil referat, aut contrà, neque alterum referat. Verùm vtriusque aliqua in re similem esse necesse est, siquidem ex vtrisque semen ad procreandum fœtum prouenit. Quisquis autem plus & ex pluribus corporis partibus ad similitudinem contulerit, illius pluribus in rebus similis erit. Ac interdum contingit, vt nata filia maiore ex parte, patrem meliùs quàm matrem referat, & editus filius non-

nunquam matris magis quàm patris similis existit. Atque hæc mihi tamque multa sunt superioris sententiæ argumenta, quòd tum in muliere, tum in viro, & masculæ, & fœmineæ prolis generandæ facultas inest. Quinetiam istud interdum contingit, vt tenues & imbecilli fœtus ex parentibus crassis & robustis gignantur. Quòd si multis iam editis eiusmodi liberis accidat, fœtum in vtero ægrotasse perspicuum est, vel à matre aliquid eius incrementi foras prodiisse, vtero nimirum dehiscente, proindeque debilem existere. Animantium autem quodcunq; pro virium suarum ratione ægrotare videtur. At verò si omnes editi liberi debiles extiterint, vteri plus æquo angusti in causa esse existimantur. Si quidem cùm desit amplum spatium in quo fœtus nutriatur, ipsum debilem existere necesse est, deficiente nimirum satis amplo ad incrementum spatio. Quòd si neq; desit amplum spatium, neque fœtus ægrotet, æquum esse videtur, vt ex magnis parentibus magnus partus edatur. Istud autem hoc modo se habet, perinde ac si quis cucumerem iam deflorescentem, tenellum tamen & adhuc cucumerario adhærescentem, in vas aliquod angustum imposuerit, æqualis ac similis ipsius vasis angusti cauitati euadet. At si quis in vas amplum imponat, quod probè cucumerem capere possit, neque eo multò maius sit, æqualis etiam & similis vasis cauitati cucumis euadet. Increscendo enim vasis capacitatem æmulatur, & quæ è terra ferè nascuntur omnia, eodem quo quis ipsa coëgerit proueniunt modo. Ad eundem quoque modum in puero se habet, siquidem ampliore loco incrementum accipiat, maior, sin verò angustiore, minor euadit. At verò mutilari in vtero puerum censeo, vel collisione, si circa fœtum mater percussa fuerit, vel in eum ceciderit, vel aliam vim quampiã perpessa fuerit. Quâ verò parte colliditur, ea mutilatur puer. Quòd si vehementiùs etiam colliditur, ita vt quæ eum continet membrana disrupta sit, corrũpitur fœtus. Quin & alio huiuscemodi modo mutilantur pueri, vbi vteri locus in quo mutilati fuerint angustus fuerit, cùm necesse sit corpus quod angusto loco mouetur, illic mutilum fieri. Non secus ac arbores quæ terra continentur, neque satis amplum spatium habent, sed vel à lapide, vel alia quapiam re detinentur, cùm exoriuntur, tortuosæ euadunt, aut parte vna crassæ, altera tenues: sic certe circa puerum contingit, si pars quædam corporis in vtero angustiore loco quàm antea contineatur. Ex mutilatis autem hominibus vt integri pueri nascantur, vt plurimùm contingere solet, cùm quod mutilatum est omnem partium numerum expleuerit, perinde ac sanum. Verùm vbi parentes morbo aliquo laborare contigerit, neq; humidi ipsius, ex quo semen oritur, species quatuor quę naturâ insunt, genituram totam præbuerint, sed imbecillior sit quæ ex mutilato membro prouenit, nil mirũ videri debet, si vt parens ita & fœtus mutiletur. Et hæc mihi ea de re dicta satis sunt. Iam verò quem initio proposui sermonem repetam.

νόμενος, ἔστιν ὅτε κάλλιον ἔοικε τῇ μητρὶ, ἢ τῷ πατρί. καὶ ταῦτά μοι καὶ τοσαῦτα ἐστὶν ἰσόεια τῷ προτέρῳ λόγῳ, ὅτι ἔνεστι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, καὶ κουρογονίη καὶ θηλυγονίη. γίνεται δὲ καὶ τόδε. ἔστιν ὅτε τὰ τέκνα λεπτὰ καὶ ἀσθενέα γίνεται, ἐκ πατρὸς καὶ μητρὸς, παχέων τε καὶ ἰσχυρῶν ἐόντων. καὶ ἢν μὲν πολλῶν ἤδη γινομένων τῶν παιδίων [18] τοιοῦτον γένηται), δῆλον ὅτι ἐν τῇσι μήτρῃσιν ἐνόσησε τὸ ἔμβρυον, [19] καὶ ἀπὸ τῆς μητρὸς, ἢ τῆς αὔξης αὐτοῦ ἔξω παρῆλθε, τῶν μητρέων χαυνοτέρων μᾶλλον, καὶ διὰ τοῦτο ἀσθενὲς ἐγένετο. νοσέει δὲ ζῶον ἕκαστον, κατὰ τὴν ἰσχὺν ἑωυτοῦ. ἢν δὲ πάντα τὰ γινόμενα παιδία ἀσθενέα ᾖ, αἱ μῆτραι αἴτιαι εἰσὶ, στενότεραι ἐοῦσαι τοῦ καιροῦ. ἢν γὰρ μὴ ἔχῃ εὐρυχωρίην, ἔνθα τὸ ἔμβρυον τραφείη, ἀνάγκη ἐστὶν αὐτὸ λεπτὸν γενέσθαι, ἅτε οὐκ ἔχον τῇ αὔξῃ εὐρυχωρίην. ἢν δὲ ἔχῃ εὐρυχωρίην καὶ μὴ νοσήσῃ, ἐπιεικές ἐστι μεγάλων τοκέων, μέγα τέκνον γίνεσθαι. ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις σίκυον ἤδη ἀπηνθηκότα, ἐόντα δὲ νεογνὸν, καὶ προσεόντα τῷ σικυηλάτῳ, [20] θείη ἐς ἀρυστῆρα, ἔσται τοῦ ἀρυστῆρος τῷ κοίλῳ καὶ ὅμοιος. ἢν δέ τις ἐς ἄγγος θῇ μέγα, [21] ὅτι καὶ ἐπιεικές ἐστι σίκυον χάδειν, ἀλλὰ μὴ πολλῷ κάρτα μέζον τῆς φύσιος τοῦ σικύου, ἴσος ἔσται ὁ σίκυος τοῦ ἄγγεος τῷ κοίλῳ καὶ ὅμοιος· ἐρίζει γὰρ ἐν τῇ αὔξῃ τῷ κοίλῳ τοῦ ἄγγεος. σχεδὸν δὲ καὶ πάντα τὰ φυόμενα οὕτως ἔχει, ὅκως ἄν τις καταναγκάσῃ αὐτά. οὕτω δὴ ἔχει καὶ τῷ παιδίῳ, ἢν μὲν εὐρυχωρίη οἱ ἔῃ ἐν τῇ αὔξῃ, μεῖζον γίνεται· ἢν δὲ στενοχωρίη, ἔλασσον. τὸ δὲ πηρωθὲν ἐν τῇσι μήτρῃσι παιδίον, φημὶ αὐτὸ, ἢ φλασθὲν πηρωθῆναι, τῆς μητρὸς πληγείσης κατὰ τὸ ἔμβρυον, ἢ πεσούσης, ἢ ἄλλου τινὸς βιαίου παθήματος προσγινομένου τῇ μητρί. [22] ἢν δὲ φλασθῇ ταύτῃ, πηροῦται τὸ παιδίον. ἢν δὲ μᾶλλον φλασθῇ τὸ ἔμβρυον, τοῦ ὑμένος ῥαγέντος τοῦ περιέχοντος αὐτὸ, φθείρεται τὸ ἔμβρυον· ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται παιδία, ἐπὴν ἐν τῇσι μήτρῃσι κατὰ τὸ χωρίον καθ' ὅτι καὶ ἐπηρώθη στενὸν ᾖ, ἀνάγκη ἐν στενῷ κινευμένου τοῦ σώματος, πηροῦσθαι κατ' ἐκεῖνο τὸ χωρίον. ὥσπερ καὶ τῶν δένδρων ὅσα ἐν τῇ γῇ ἐόντα, μὴ ἔχῃ εὐρυχωρίην, ἀλλ' ὑπὸ λίθου ἢ ὑπό τινος ἄλλου ἀπολειφθῇ, διάστελλον σκολιὸν γίνεται, [23] ἢ τῇ μὲν παχὺ, τῇ δὲ λεπτόν. οὕτω δὲ ἔχει [24] καὶ τῷ παιδίῳ γίνεσθαι, ἢν ἐν τῇσι μήτρῃσι κατά τι τοῦ σώματος στενότερον ᾖ ἕτερον τοῦ ἑτέρου. ὅτι καὶ ἐκ πεπηρωμένων ἀνθρώπων, ὑγιέα τίκτονται τὰ παιδία, ὡς ἐπιπλεῖστον συμβαίνει. ἔχει γὰρ τὸν ἀριθμὸν πάντα τὸ πεπηρωμένον τῷ ὑγιεῖ, ἐπὴν δέ τι οἱ νόσημα προσπέσῃ, [25] καὶ τοῦ ὑγροῦ αὐτῷ, ἀφ' οὗ σπέρμα γίνεται, τέσσαρες ἰδέαι ἐοῦσαι ὁκόσαι ἐν φύσει ὑπῆρξαν, τὴν γονὴν, οὐχ ὅλην παρέχουσιν. [26] ἀσθενέστερον δὲ τὸ καὶ τὸ πεπηρωμένον. οὐ θαῦμα δέ μοι δοκεῖ, καὶ πηρωθῆναι, καθάπερ ὁ τοκεύς. ταῦτα δέ μοι εἰς τοῦτο εἰρέαται. ἀναβήσομαι δὲ αὖθις ὀπίσω, εἰς τὸν λόγον ὃν ἔλεγον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ.

HIPPOCRATIS DE NATURA PUERI, LIBER.

ἮΝ ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρῶτον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, καὶ ἀθροΐζεται καὶ παχύνεται θερμαινομένη. ἔπειτα πνεῦμα ἴσχει, ἅτε ἐν θερμῷ ἐοῦσα. ἔπειτα τῆς μητρὸς πνεούσης. ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, ὁδὸν οἱ αὐτὸ ἑωυτῷ ἔξω ποιέει. καὶ κατὰ μέσον τῆς γονῆς τὸ πνεῦμα ἔξεισιν. ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω θερμῷ ἐόντι, αὖθις ἕτερον ψυχρὸν εἰσπνέει ἀπὸ τῆς μητρός. καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. θερμαίνεται μὲν γὰρ, ἅτε ἐν τῷ θερμῷ ἐοῦσα· ψυχρὸν δὲ ἴσχει, ἀπὸ τῆς μητρὸς πνεούσης. πάντα δὲ ὁκόσα θερμαίνεται, πνεῦμα ἴσχει. τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει οἱ ὁδὸν αὐτὸ ἑωυτῷ καὶ χωρέει ἔξω. αὐτὸ δὲ τὸ θερμαινόμενον, ἕλκει ἐς ἑωυτὸ αὖθις ἕτερον πνεῦμα ψυχρὸν διὰ τῆς ῥαγῆς ἀφ' οὗ τρέφεται. τοῦτο δὲ γίγνεται καὶ ἐπὶ τῶν ξύλων, καὶ ἐπὶ τῶν φύλλων, καὶ βρωτῶν καὶ ποτῶν ὁκόσα θερμαίνεται ἰσχυρῶς. ἐννοῆσαι δὲ παρέξει ξύλα καιόμενα. ἅπαντα μὲν γὰρ ξύλα ποιήσει τοῦτο, μάλιστα δὲ τὰ ὑπόχλωρα. μεθίησι γὰρ κατὰ τὴν τομὴν πνεῦμα. τὸ δὲ πνεῦμα ὁκόταν ἔξω χωρήσει, ἑλίσσεται περὶ τὴν τομήν. καὶ τοῦτο γινόμενον ὁρῶμεν ἀεί. δῆλος οὖν ὁ ἐκλογισμός ἐστι τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ ἐὸν θερμὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται, καὶ ὑπὸ ἑωυτοῦ ἀφίησιν. εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦμα εἱλίσσετο ἔξω ἰόν. πᾶν γὰρ τὸ θερμὸν, τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ. καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, πνεῦμα γενόμενον, χωρέει ἔξω· καὶ τῇδε ἐξιὸν ἔξω τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. ποιέει δὲ τοῦτο καὶ φύλλα χλωρὰ ὅταν δὲ καίηται πνεῦμα ἴσχει. ἔπειτα ῥήγνυσι τὸ πνεῦμα καὶ ὁδὸν ποιέεται, καὶ χωρεῖ ἔξω ἑλισσόμενον. χωρέον δὲ ψόφον παρέχει, ᾗ τὴν εἰσπνοὴν ποιέεται. καὶ χέδροπα καὶ σῖτος, καὶ ἀκρόδρυα θερμαινόμενα, πνεῦμα ἴσχει, καὶ ἔξω ἐξέρχεται ῥαγὴν ποιησάμενον. καὶ ἢν νοτερὰ ἔῃ πλέον τὸ πνεῦμα ἀφίησι, καὶ τὴν ῥαγὴν μέζω ποιέεται. καὶ τί δεῖ μακρηγορέειν; πάντα γὰρ ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ, ἀφ' οὗ τρέφεται. καὶ αὗται μοι ἀνάγκαι προειρημέναι εἰσὶν, ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι, πνεῦμα ἴσχει καὶ ἀφίησι. ἅμα δὲ καὶ ἀπὸ τῆς μητρὸς πνεούσης, πνοὴν ἴσχει καὶ ἡ γονή. ὁκόταν γὰρ ἡ μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωυτὴν ἀπὸ τοῦ ἠέρος, ἐπαυρίσκεται ἡ γονή. θερμὴ δέ ἐστιν, ἅτε δὴ ἐν θερμῷ ἐοῦσα· καὶ τότε δὴ πνεῦμα ἴσχει καὶ ἀφίησι. καὶ ἡ γονὴ ὑμενοῦται φυσωμένη. περιτέτακται γὰρ ἀμφ' αὐτὴν τὸ ἔξωθεν, συνεχὲς γινόμενον ἅτε γλίσχρον ἐὸν, ὥσπερ ἐπ' ἄρτῳ ὀπτωμένῳ, λεπτὸν ἐξίσταται ἐπιπολῆς ὑμενοειδ-

SI genitura ab vtroque parente profecta in mulieris vtero permanserit, primùm quidem, cùm mulier minimè quiescat, simul permiscetur, condensatur, & calore incrassescit, deinde spiritum cōcipit, tum quia loco calido existit, tum quia mater spirat. Quæ cùm spiritus plena fuerit, viam ipse sibi foras facit, qua per mediam genituram exeat. Vbi verò via facta spiritus ille calidus foras eruperit, alium rursus frigidū à matre ad se attrahit, idque toto tempore perseuerat. Incalescit siquidem cùm loco calido existat, matre autem spirante, frigidum concipit. Quæ verò calent omnia, spiritum continent. Erumpit autem spiritus, viamque ipse sibi aperit & foras fertur. Quod verò incalescit, alium rursus ad se spiritum frigidum, quo nutriatur, per scissuram attrahit. Quod etiam contingit in lignis, foliis, & cibis, & potibus, quæ vehementer incalescunt. Id verò videre licet in lignis ardentibus. Quæ quidem omnia istuc faciunt, tum verò præcipuè si subuiridia fuerint. Spiritum siquidē per sectionem emittunt, qui vbi foras prodierit, circa fissuram conuoluitur, idque perpetuo fieri videmus. Bene igitur subducta ratione, existimare licet, quòd spiritus in ligno cùm calidus existat, alium frigidum, à quo nutriatur, attrahat, & à seipso dimittat. Nisi enim attraheret, spiritus exiens minimè conuolueretur. Omne namque calidum frigido moderato nutritur. Et vbi percalefactum fuerit humidum, quod in ligno inest, & in spiritum conuersum fuerit, foras prodit, eademque via qua exit calor ille, qui in ligno existit, alium frigidum, quo nutriatur, attrahit. Ad eundem quoq; modum folia viridia cùm vruntur spiritum concipiunt, qui postea erumpit, & viam sibi faciens, foras conuolutus prodit, cùmque exit strepitum exhibet, qua parte inspirationem facit. Quin & legumina, triticum & arborei fructus, vbi incaluerint, spiritum concipiunt, qui rima facta foras prodit, & si humida fuerint, copiosiorem spiritum emittunt, & rupturam maiorem efficiunt. Et quid longiore oratione opus est? Quæcunq; enim incalescunt, spiritum emittunt, & alium frigidum vicissim, quo nutriuntur, attrahunt. Atque eæ quidem à me adductæ rationes necessariò efficiunt, vt genitura in vtero incalescens, spiritum habere & emittere videatur, simulq; à matre spirante spirationem habere. Cùm enim mater aerem frigidum ad se attraxerit, eo genitura fruitur. Quæ cùm loco sit calido, calida est, tuncque sanè spiritum concipit & emittit, & spiritu distenta, membrana obducitur. Ei enim exteriore parte quiddam obtenditur, quod cùm viscidum sit, vndique sibi cohæret, & non secus ac in pane tosto, tenue quippiam ad instar membra-

næ in superficie extat, qui incalescens & inflatus attollitur. Quâ verò parte inflatur, isthinc quod membranam refert, exoritur. At verò vbi genitura tota incaluit, & flatu intumuit, ei exteriore parte membrana circunducitur, per quam ad mediam genituram intro & foras spiritui transitus fit, eáque parte membranæ tenue quiddam à genitura recedit, quæ in his locis paucissima inest, ipsa verò reliqua in membrana continetur. Equidem genituram sex diebus in vtero retentam & foras prolapsam ipse vidi, & qualis tunc meo iudicio visa est, ex eo reliquorum coniecturam facio. Quanam autem ratione istud viderim, enarrabo. Mulieri nobis familiari perelegans erat fidicina, quæ cum viris conuersabatur, & quam minimè decebat grauidam esse, ne viliore loco haberetur. Hæc audierat quæ mulieres inter se narrant, si quando mulier conceptura sit, genituram intus manere, neque foras egredi. Quibus auditis & intellectis, ea semper in animo habuit, cumque aliquando genituram non exire percepisset, rem ad dominam detulit, quæ ad me etiam peruenit. Quo audito ipsa vt in terram desiliret iussi. Quod cùm iam septies fecisset genitura in terram cum sonitu defluxit. Quam illa videns non sine admiratione spectauit, ego verò qualis erat referam. Vt si quis ouo crudo externam testam vndique auferat, in quo interiore membrana contentus humor pelluceat, ad hunc ferè modum (vt vno verbo dicam) se habebat liquor ille, prætereaque ruber erat & rotundus. Conspiciebantur autem fibræ albæ & tenues in membrana cum sanie crassa & rubra contentæ, & ipsa membrana exteriore parte cruore ad instar sugillatorum suffusa erat. In cuius medio tenue quiddam extabat, quod mihi vmbilicus esse videbatur, & per illum primùm respirasse, ex eoque protendebatur membrana tota genituram complectens. Atque hæc quidem mihi visa est genitura sex diebus concepta. Adducam autem paulò post aliam cognitionis rationem, his omnibus qui horum desiderio tenentur manifestam, quæ quantum homini de re eiusmodi dicere conceditur, omnem orationem meam probabit. Ac de his quidem hactenus. Cùm verò genitura in membrana continetur, spirationem intro & foras habet, & sanguine à matre in vterum delapso incrementum accipit. Neque enim menses prodeunt mulieri quæ prægnans est, si puer sanus futurus sit, præter quàm quibusdam perpusillum primo mense, sed promanans ab vniuerso muliebri corpore sanguis, omni ex parte foris circum membranam diffunditur, isque vnà cum spiritu per membranam, quà perforata est & extat, attractus condensatur, & in futuri animalis augmentum cedit. Succedente autem tempore rursus aliæ multæ tenues membranæ, eo modo quo prima, intra primam protenduntur, eæque ex vmbilico dependentes, mutuis inter se vinculis connexæ sunt. Quod cùm extiterit, ex delapso & concreto materno sanguine caro gignitur, ex cuius medio vmbilicus extat, per quem spiritum & incrementum recipit. At verò mulier cùm vtero gerit, etiamsi menses minimè prodeant, neque

δές. θερμαινόμενος γὰρ καὶ φυσώμενος αἴρεται. [6] ἡ δ' ἂν φυσᾶται, κείνῃ τὸ ὑμενῶδες γίνεται. τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ πάσῃ, ὑμὴν ἔξωθεν περιγίνεται, κατὰ δὲ τὸ μέσον τῆς γονῆς, τῷ πνεύματι δίοδος καὶ ἔξω καὶ ἔσω γίνεται διὰ τοῦ ὑμένος. καὶ ταύτῃ τοῦ ὑμένος ἀπέχει τὸ λεπτὸν καὶ τῆς γονῆς ἐν αὐτοῖσιν ὀλίγιστόν ἐστιν. αὕτη δὲ ἡ ἄλλη γονὴ στρογγύλη ἐστὶν ἐν ὑμένι. καὶ μὴν ἓξ ἡμέρας μείνασαν ἐν τῇ γαστρὶ γονὴν καὶ ἔξω πεσοῦσαν αὐτὸς εἶδον. καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ' ἐκείνων τὰ λοιπὰ 10 τεκμήρια ποιεῦμαι. ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην ἐοῦσαν, ἐγὼ διηγήσομαι. [7] γυναικὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος, παρ' ἄνδρας φοιτέουσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρί, ὅκως μὴ ἀτιμοτέρη ἔῃ. ἀκηκόει δὲ ἡ μουσοεργὸς ὁκοῖα γυναῖκες λέγουσι πρὸς ἀλλήλας· ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρί, οὐκ ἐξέρχεται ἡ γονή, ἀλλ' ἔνδον μένει. ταῦτα ἀκούσασα ξυνῆκε, καὶ τοῦτο ἐφύλασσεν αἰεί. [8] καί πως ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονήν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν ἕως ἐμέ. καὶ ἐγὼ ἀκούσας ἐκέλευσα μὲν αὐτὴν πρὸς τὴν γῆν πηδῆ- 20 σαι, [9] καὶ ἑπτάκις ἤδη ἐπεὶ ἐπεπήδητο, ἡ γονὴ κατερρύη ἐπὶ τὴν γῆν, καὶ ψόφος ἐγένετο. [10] κἀκείνη δὲ ἰδοῦσα, ἐθηεῖτο καὶ ἐθαύμασεν. [11] ὁκοῖον δὲ ἦν, ἐγὼ ἐρέω· οἷον εἴ τις ὠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοιεν, ἐν τῷ ἔνδον ὑμένι, τὸ ἔνδον ὑγρὸν διαφαίνοιτο. τρόπος μὲν τις ἦν τοιοῦτος, ἄλις εἰπεῖν. ἦν δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον. ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι ἶνες λευκαὶ καὶ παχεῖαι, [12] εἰλημμέναι ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ, καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν [13] αἱμάλωπες. κατὰ δὲ μέσον τοῦ ὑμένος, ἀπεῖχε λεπτόν, ὅ, τι μοι ἐδόκεεν εἶναι ὀμφαλός· κἀκείνῳ τὴν πνοὴν 30 καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ πρῶτον. καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο ἅπας, περιέχων τὴν γονήν. τοιαύτην μὲν ἐγὼ εἶδον ἑκταίην οὖσαν τὴν γονήν. ἐρέω δὲ καὶ ἄλλην διάγνωσιν [14] ὀλίγον ἐπὶ τούτῳ ὕστερον ἐκφανέα, παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι· καὶ ἱστόριον, παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀληθὴς ὡς εἰπεῖν ἄνθρωπος περὶ τοιούτου πρήγματος· καὶ ταῦτα μέν, ἐς τοῦτο μοι εἴρηται. ὅτι δὲ ἡ γονὴ ἐν ὑμένι ἐστί, καὶ πνοὴν ἔχει καὶ εἴσω καὶ ἔξω, καὶ αὔξεται ὑπὸ τῆς μητρὸς τοῦ αἵματος κατιόντος ἐπὶ τὰς μήτρας. [15] τὰ γὰρ καταμήνια οὐ χωρεῖ, ὁκόταν γυνὴ λάβῃ πρὸς 40 ἑωυτήν, ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν· εἰ μὴ ἔστιν ἧσιν ἐπισημαίνει τὸ πρῶτον μηνὶ ὁκόσον ὀλίγον· ἀλλὰ κατιὸν τὸ αἷμα ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικός, κυκλόσε περιΐσταται περὶ τὸν ὑμένα ἔξω. ἅμα δὲ τῇ πνοῇ ἑλκόμενον εἴσω τοῦ αἵματος διὰ τοῦ ὑμένος, κατὰ τὸ τετρημένον καὶ ἀπέχον συμπήγνυται καὶ αὔξει τὸ μέλλον ζῶον ἔσεσθαι. ὁκόταν δὲ χρόνος ἐγγένηται, αὖθις ἕτεροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ καὶ πολλοὶ περιτείνονται, τρόπῳ τοιούτῳ, οἵῳ καὶ ὁ πρῶτος ὑμὴν ἐγένετο. τεταμένοι δέ εἰσι καὶ οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἐς ἀλλήλους διαδέσμους ἔχουσιν. ὁκόταν δὲ ἤδη τοῦτο γένηται, κατιόντος τοῦ αἵματος ἀπὸ τῆς μητρὸς καὶ πηγνυμένου σὰρξ γίνεται. κατὰ δὲ μέσον τῆς σαρκὸς ὁ ὀμφαλὸς ἀπέχει, δι' οὗ πνέει καὶ τὴν αὔξησιν ἴσχει. ἡ δὲ γυνὴ ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων μὴ χωρεόντων, διὰ

πό

τόδε οὐ πονέεται, ὅτι τὸ αἷμα οὐ ταράσσεται, [16] βύζην ἀπιὸν κατὰ μῆνα ἕκαστον· ἀλλὰ χωρέει ἡσυχῇ καὶ κατ' ὀλίγον ἄνευ πόνου καθ' ἡμέρην εἰς τὰς μήτρας. καὶ τὸ ἔνδον ἐν τῇσι μήτρῃσιν ἐνεὸν αὔξεται· καθ' ἡμέρην δὲ ἑκάστην, τούτου ἕνεκα χωρέει, ἀλλ' οὐκ ἐς ἅπαξ κατὰ μῆνα· ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεοῦσα, ἕλκει ἀπὸ τοῦ σώματος αἰεί, ὅκως ἂν καὶ δυνάμιος ἔχῃ. [17] ταύτῃ καὶ ἡ πνοή. καὶ τὸ μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται· καὶ τὸ αἷμα ὀλίγον χωρέει ἀπὸ τῆς μητρός. ὁκόταν δὲ ἡ πνοὴ ἐπὶ πλεῖον γίνηται, μᾶλλον ἕλκει τὸ αἷμα, καὶ ἐπὶ πλεῖον κατέρχεται ἐπὶ τὰς μήτρας. τῇσι δὲ ἐν γαστρὶ μὴ ἐχούσῃσι, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ τάδε ὁ πόνος γίνεται. πρῶτα μὲν ταράσσεται τὸ αἷμα ἐν τῷ σώματι κατὰ μῆνα ἕκαστον, ὑπὸ ἀνάγκης τοιῆσδε· ὅτι μὴν μηνὸς διαφέρει πουλύ, καὶ κατὰ ψῦξιν καὶ κατὰ θερμασίην. καὶ τούτου αἰσθάνεται τῆς γυναικὸς τὸ σῶμα. ὑγρότερον γάρ ἐστιν ἢ τὸ τοῦ ἀνδρός, καὶ ταραχθέντος τοῦ αἵματος καὶ πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ' αὐτοῦ. [18] καὶ πῶς τοῦτο ἐν τῇ ἀρχῇ τῇ φύσει ὑπῆρξεν. ὥστε ἣν μὲν ἀποκένωται τοῦ αἵματος ἡ γυνή, λαμβάνει ἐν γαστρί· ἣν δὲ πλήρης ᾖ, οὔ. κενέων γὰρ τῶν μητρέων καὶ τῶν φλεβῶν γινομένων τοῦ αἵματος, λαμβάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τοὺς παῖδας. μετὰ γὰρ τῶν καταμηνίων τὴν κάθαρσιν, [19] αἱ γυναῖκες λαμβάνουσιν ἐν γαστρί. αἴτιον δὲ τὸ εἰρημένον. ὁκόταν δὲ ταραχθὲν τὸ αἷμα καὶ ἀποκριθέν, μὴ χωρέῃ ἔξω, ἀλλ' ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι μὴ χάνωσι, θερμαινόμεναι δὴ ὑπὸ τοῦ αἵματος χρονιώτερον μένοντος αἱ μῆτραι θέρμην τῷ ἄλλῳ σώματι παρέχουσιν. ἔστι δ' ὅτε καὶ διαδιδοῦσιν αἵματος ἐς τὰς φλέβας τοῦ σώματος, ὅπῃ αἱ φλέβες πληρεύμεναι πονέουσι, καὶ οἰδήματα παρέχουσιν. ἔστι δ' ὅτε καὶ κίνδυνος ἐκ τοῦ τοιούτου χωλωθῆναι. ἔστι δ' ὅτε καὶ πρὸς τὴν κύστιν προσίστανται, καὶ πιέζουσι [20] καὶ κακοῦσι τὴν κύστιν, καὶ στραγγουρίην παρέχουσιν. ἔστι δ' ὅτε πλήρεες αἵματος ἐοῦσαι αἱ μῆτραι προσπίπτουσιν ἢ πρὸς τὰ ἰσχία, ἢ πρὸς ὀσφῦν, καὶ πόνον παρέχουσιν. ἔστι δὲ ὁκόταν ἐγχρονίσῃ τὸ αἷμα μῆνας πέντε ἢ ἓξ ἐν τῇσι μήτρῃσι σαπέν, πῦος γίνεται. καὶ ἐνίῃσι κατὰ τὸ αἰδοῖον ἐξέρχεται τὸ πῦος. ἔστι δὲ ᾗσι καὶ κατὰ τὸν βουβῶνα ὡς φῦμα γίνεται, κἀκεῖ πῦον γενόμενον, ἐξῆλθε. καὶ ἄλλα πολλὰ κακὰ τῇσι γυναιξὶ τοιουτότροπα γίνονται, ὁκόταν μὴ ἀποκαθαίρωνται τὰ καταμήνια. ἀλλὰ τί δεῖ λέγειν αὐτὰ ἐνθάδε; εἰρήσεται γὰρ ἐν τοῖσι γυναικείοισι νοσήμασιν. ἀλλ' ὅθεν ἀπέλιπον περανέω τὸν λόγον. ὁκόταν δὲ γένηται σάρξ, τότε οἱ ὑμένες αὐξομένου τοῦ ἐν τῇσιν μήτρῃσιν αἵματος, αὔξονται καὶ αὐτοὶ καὶ κολποῦνται, καὶ μάλιστα οἱ ἔξωθεν. καὶ τὸ αἷμα κατελθόν, τὸ ἀπὸ τῆς μητρός, ὅ,τι ἂν ἡ σὰρξ πνέουσα ἑλκύσῃ, καὶ ἡ αὔξη ἐγγένηται [21] καὶ χρήσιμον ᾖ, ἐς τοὺς κόλπους τῶν ὑμένων ἀποκρίνεται. καὶ ὁκόταν κολπωθῶσι καὶ τὸ αἷμα δέξωνται, τότε ἤδη καλέεται χωρίον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. ἡ δὲ σὰρξ αὐξομένη ὑπὸ τοῦ πνεύματος διαρθροῦται, καὶ ἔρχεται ἐν ταύτῃ ἕκαστον ὅμοιον, ὡς τὸ ὅμοιον. τὸ πυκνόν, ὡς τὸ πυκνόν· τὸ ἀραιόν, ὡς τὸ ἀραιόν· τὸ ὑγρόν, ὡς τὸ ὑγρόν. καὶ ἕκαστον ἔρχεται εἰς χώρην ἰδίην κατὰ τὸ ξυγγενές, ἀφ' οὗ καὶ ἐγέ-

tamen iccirco laborat, quòd ſanguis ſingulis menſibus cumulatè exire ſolitus, non agitetur, ſed ſenſim paulatimque quotidie in vterum citra dolorem ſecedit, ex quo augetur, quod intro in vtero continetur. Singulis autem diebus, & non quolibet menſe ſemel, iccirco defertur, quod genitura quæ in vtero continetur, ſemper aliquid è corpore, pro virium ratione trahit, ad eundemque modum etiam ſpiratio habet. Ac primò quidem parua eſt ſpiratio, & paucus ſanguis ex matre fertur. Cùm verò amplior fit ſpiratio, plus quoque ſanguinis attrahit, & maiore copia in vterum deſcendit. Iis verò quæ minimè vtero gerunt, vbi menſes non prodierint, eas ob cauſas dolor accedit. Primùm quidem quolibet menſe ſanguis in corpore ex eo neceſſario agitatur, quòd menſes plurimùm inter ſe frigore & calore diſtant, id quod mulier ſenſu percipit, cùm viro longè ſit humidior. Vbi autem agitatur ſanguis & venas impleuerit, ex corpore deorſum fertur, id quod ei quodammodo ab initio à natura inſitum eſt. Quare ſi illo ſanguine vacuata mulier fuerit, concipit, ſi verò is redundarit, minimè. Vteris enim & venis ſanguine vacuis, mulieres fœtus concipiunt. Hæ nanque poſt menſtruam purgationem, ob iam dictas cauſas, vtero concipiunt. Quòd ſi agitatus ille & ſecretus ſanguis, minimè foras, ſed in vterum feratur, isque non hiarit, tum ſanè diutiùs immorante ſanguine incaleſcit, caloremque reliquo corpori diſtribuit, eſt vbi etiam ſanguine in venas corporis refuſo, eæ impletæ dolent, & tumores excitant. Nonnunquam verò ex eo claudicationis periculum impendet. Quinetiam interdum veſicam offendunt, eamque premunt & vrunt, vrinæque ſtillicidium adferunt. Quandoque verò vteri ſanguine redundantes, in coxendicem & lumbos procumbunt, doloréſque exhibent. Eſt vbi ſanguis quinque aut ſex menſibus in vtero immoratus, ibique putreſcens in pus vertitur, quod quibuſdam per pudendum extra fertur. Nonnullis etiam in inguine velut tuberculum oboritur, ibique in pus conuerſum foras prodit, & plæraque alia eiuſmodi mala mulieribus contingunt, quæ per purgationes menſtruas non repurgantur. Sed quid ea hoc loco recenſere opus eſt? De his ſiquidem in morbis muliebribus dicetur. Verùm eò vnde digreſſi ſumus reuertamur. Cùm caro producta fuerit, tum ſanguine in vtero increſcente, etiam ipſæ membranæ, præcipuéque externæ, augentur, & in ampliores ſinus diſtenduntur. Et quicquid ſanguinis à matre deſcendit, & caro ſpirando attraxerit, & in incrementum ceſſerit, quódque vtile fuerit, in membranarum ſinus ſecernitur, quæ vbi in ſinus excauatæ fuerint, & ſanguinem exceperint, tum rectè Græcis χωρίοι, Latinis Loci & Secundæ appellantur. Ac de iſtis hæc mihi dicta ſint. At verò caro dum increſcit à ſpiritu diſcernitur, in eáque ſimile quódque ad id, quod ſibi ſimile eſt, fertur, denſum ad denſum, rarum ad rarum, humidum ad humidum, ferturq; vnumquodq; in propriũ locum, ad id cum quo cognationem habet, & ex quo etiam

ortum est. Et quæcunque ex densis orta sunt, densa sunt, & quæcunque ex humidis, humida, reliquáque ad eandem rationem augentur, caloreque ossa condensata durescunt. Ac sanè ad instar arboris in ramos etiam diuiduntur, multoque meliùs in membra tum corporis interna, tum externa distinguntur, ipsumque caput ab humeris distans exoritur, brachia item & cubiti à costis, & crura inter se separantur, neruique ad articulos prosiliunt, os per se diducitur, nasus & aures in carne eminent & perforantur, oculi humore puro implentur, pudendum quodnam sit, manifestum est, & viscera ipsa conspicuò discernuntur. At sanè superioribus etiam partibus, ore nempe & naribus, spiritum trahit, & venter spiritu inflatur, eoque inflata intestina, ex superioribus per vmbilicum insuper spiritum accipiunt, & absumunt, & à ventre ac intestinis in podicem, similiterque in vesicam via foras patet. Atque horum singula vi spiritus distinguntur. Spiritu nanque distenta omnia, pro generis affinitate distant. Quemadmodum si vesicæ fistulam alligaris, per eamque in vesicam terram, arenam, & tenuia plumbi ramenta iniicias, deinde aqua per fistulam affusa flatum immittas: primùm quidem illa cum aqua permiscebuntur, deinde verò temporis progressu, flatu agitata secedent, plumbumque ad plumbum, arena ad arenam, & terra ad terram se conferet. Ac si quis ea arescere permittat, disruptaque vesica contempletur, simile ad sui simile se contulisse comperiet. Ad eundem certe modum genitura & caro discernuntur, in eaque simile quodque ad sui simile secedit. Atque ista quidem ea de re à me dicta sunt. Iam verò genitus est infans eoque peruenit, vt fœmina quidem primam concretionem duobus & quadraginta diebus, cùm longissimè, accipiat, mas verò triginta diebus, quod longissimum. Vt plurimùm enim intra hoc tempus, vel paulò minus, vel maius, ista distingui contingit. Nam & purgatio à partu fit mulieribus vt plurimùm, iis quidem quæ fœminam susceperunt, duobus & quadraginta diebus, eaque vt maximè diuturna, ita perfecta est. Extra tamen periculum fuerit, si etiam quinque & viginti diebus purgetur. In masculo verò purgatio diebus triginta contingit, sicque cùm longissima, perfecta est, quæ tamen extra periculum posita fuerit, si diebus viginti perseueret. Postremis verò diebus, quàm minima purgatio procedit. Quin & iuniores paucioribus diebus, seniores verò, pluribus repurgantur. In partu autem & puerperij purgamentis maximè laborant, quæ primos partus expertæ sunt, & quæ minùs sæpè, quàm quæ sæpiùs peperere, magis conflictantur. At verò purgationes à partu ea de causa mulieribus contingunt, quòd primo tempore ad duos & quadraginta dies in fœmina, in masculo verò ad dies triginta, paucissimus sanguis in pueri alimentum cedit, ex eo verò ad partum vsq; tempore, copiosior. Ac sanè purgationem in partus purgamentis reddi & foras exire pro dierum ratione oportet.

νετο. καὶ ὅσ' ἀπὸ πυκνῶν ἐγένετο, πυκνά ἐστι· καὶ ὅσα ἀπὸ ὑγρῶν, ὑγρά. καὶ τ' ἄλλα κατὰ τὸν αὐτὸν λόγον γίνεται ἐν τῇ αὐξήσει. καὶ τὰ ὀστέα σκληρύνεται ὑπὸ τῆς θέρμης πηγνύμενα. καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον. καὶ διαρθροῦται ἔτι ἄμεινον, καὶ τὰ εἴσω τοῦ σώματος, καὶ τὰ ἔξω. καὶ ἥ τε κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων. καὶ οἱ βραχίονες καὶ οἱ πήχεες ἀπὸ τῶν πλευρέων. καὶ τὰ σκέλεα διΐσταται ἀπ' ἀλλήλων. καὶ τὰ νεῦρα [22] ἐπαΐσσεται ἀμφὶ τὰς φύσιας τῶν ἄρθρων, καὶ [23] αὐλοστομοῦται. καὶ ἡ ῥὶς, καὶ τὰ οὔατα ἀφίσταται ἐν τῇσι σαρξὶ, καὶ τετραίνεται. καὶ οἱ ὀφθαλμοὶ ἐμπίπλανται ὑγροῦ καθαροῦ. καὶ τὸ αἰδοῖον δῆλον γίνεται, ὁκότερόν ἐστι. καὶ τὰ σπλάγχνα διαρθροῦται. καὶ δὴ καὶ τοῖσιν ἄνω τὴν πνοὴν ποιέεται, τῷ τε στόματι καὶ τῇ ῥινί. καὶ ἥ τε κοιλίη φυσᾶται. καὶ τὰ ἔντερα καταφυσώμενα κατὰ τὸ ἄνωθεν ἐπιλαμβάνει τὴν διὰ τοῦ ὀμφαλοῦ πνοὴν [24] καὶ ἀμαλδύνει. καὶ [25] ἐς τὸν κύσταρον ὁδὸς γίνεται ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων ἔξω, καὶ ἐς τὴν κύστιν ὁδὸς ἔξω. τούτων δὲ διαρθροῦται ὑπὸ τῆς πνοῆς ἕκαστα. φυσώμενα γὰρ διΐσταται ξύμπαντα κατὰ συγγλύξαν. καὶ γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι τῇ κύστει, καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον, καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας φυσᾷν διὰ τοῦ αὐλίσκου, πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι. ἔπειτα δὲ, χρόνῳ φυσώμενα ἐλεύσεται ὅ, τε μόλιβδος, ὡς τὸν μόλιβδον· καὶ ἡ ψάμμος, ὡς τὴν ψάμμον· καὶ ἡ γῆ, ὡς τὴν γῆν. [26] καὶ ἤν τις αὐτὰ ἀναθῆναι ἐάσῃ, καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτῶν τὸ ὅμοιον ἐς τὸ ὅμοιον ἐληλυθός. οὕτω δὴ καὶ ἡ γονὴ καὶ σὰρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν αὐτῇ, τὸ ὅμοιον ὡς τὸ ὅμοιον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. καὶ γέγονεν ἤδη παιδίον, καὶ εἰς τοῦτο ἀφικνέεται, τὸ μὲν θῆλυ τὴν πρώτην πῆξιν, ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον· τὸ δὲ ἄρσεν, ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον. ὡς γὰρ ἐπὶ πολὺ ξυμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μείονι, ἢ ὀλίγῳ πλείονι, ταῦτα διαρθροῦσθαι. [27] καὶ γὰρ ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς ἐπὶ τὸ πολὺ, ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρῃσι τεσσαράκοντα καὶ δύο. οὕτως ἡ χρονιωτάτη, τελείη. ἀκίνδυνος δ' ἂν εἴη, καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν, εἰ καθαίροιτο. ἐπὶ δὲ τῷ κούρῳ, ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα. οὕτως ἡ χρονιωτάτη τελείη. ἀκίνδυνος δ' ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν εἰ καθαίροιτο. τοῦ δὲ ὑστάτου χρόνου, ἐλαχίστη χωρέει ἡ κάθαρσις. ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσοσιν ἡμέρῃσι καθαίρονται· ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι, πλείοσι. μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ, καὶ ἐν τοῖσι λοχίοισιν αἱ πρωτοτόκοι, καὶ αἱ ἐλάσσω τετοκυῖαι, τῶν πλείω τετοκυιέων, μᾶλλον πονέονται. αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξὶ, τούτου εἵνεκα γίνονται, ὅτι ἐν τῷ πρὸ τοῦ χρόνῳ, μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, ἐπὶ δὲ τῷ κούρῳ, μέχρι τριήκοντα ἡμερέων ἐλάχιστον αἷμα κατέρχεται ἐπὶ τὴν αὔξην τῷ παιδίῳ. τὸ δὲ ἀπὸ τούτου πλεῖον, μέχρι τέκῃ. δεῖ δὴ τὴν κάθαρσιν ἀποδοθῆναι ἐν τοῖσι λοχίοισι, καὶ ἐξιέναι ἔξω, κατὰ τὸν λόγον τῶν ἡμερέων.

ἀρχὴ δὲ γίνεται τῇ τοιαύτῃ τῇ γυναικὶ ἐν τῇ ὠδῖνι τὸ αἷμα ταράσσεται τῇ γυναικὶ καὶ θερμαίνεται πάνυ ὑπὸ τῆς κινήσιος τοῦ παιδίου ἀθεναρῆς ἐούσης. Ταραχθὲν δὲ, πρῶτον μὲν ἔρχεται ἔξω. [28] μετὰ δὲ τὸ παιδίον, ἰχὼρ παχὺς αἱματώδης καὶ ὑφήγησις ἐγένετο τούτῳ, ὥσπερ ὕδατι ἐπὶ τραπέζης· ἔπειτα μετ' ἐκεῖνον ἀνὰ πάσας τὰς ἡμέρας χωρέει ἡ κάθαρσις, ἕως τοῦ εἰρημένου χρόνου, [29] πλῆθος ἀττικὴ κοτύλη ὅλη καὶ ἡμίσεα τὸ πρῶτον, ἢ ὀλίγῳ πλείω, ἢ ὀλίγῳ ἐλάσσω, κατὰ λόγον τούτου μέχρις ἂν λήξῃ. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου ἢν ὑγιαίνῃ ἡ γυνὴ, καὶ ἢν μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται· ἢν δὲ μὴ ὑγιαίνῃ ἡ γυνὴ, μηδὲ μέλλῃ ὑγιαίνειν, χωρέει ἡ κάθαρσις ἐλάσσων, καὶ εἶδος πονηροτέρη, καὶ οὐ ταχὺ πήγνυται. ὧδε δὲ τοῦτο ἔχει. ἤν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ μὴ συγγενὲς, [30] ἐν τῇ λοχίῳ καθάρσει ἀπόλλυται. ἢν δὲ μὴ ἀποκαθαίρηται ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἐν γαστρὶ ἔχουσα, εὐθέως ὑγιεινὴ ἐοῦσα, εἴτε καὶ μὴ, ἐξαπίνης δὲ οἱ ἡ κάθαρσις, εἴτε ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη ἐξαίφνης, κατὰ λόγον τῶν ἡμερέων χωρήσει, ὧν οὐ χωρέει ἐς ἅπαξ. ἢν γὰρ μὴ ἀποκαθαίρηται τὰ λόχια ἡ γυνὴ, νοῦσος αὐτῇ μεγάλη ἔσται καὶ 20 κινδυνεύσει ἀποθανεῖν, ἢν μὴ μελεδαίνηται ἐν τάχει, καί τις αὐτῇ προσήκουσαν ἐπάγῃ τὴν κάθαρσιν. Ταῦτα εἰσενήνοχα ὧδε διὰ τοῦτο, ὅκως ἀποφήνω ὅτι τῶν παιδίων γίνεται ἡ διάκρισις τῶν μελέων ἡ μακροτάτη ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν· ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα ἡμέρῃσιν. ἰσόρροπον ἡ κάθαρσις τῶν λοχίων, ὅτι ἐπὶ μὲν τῇ κούρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν, ἡ χρονιωτάτη. μέλλω δὴ τὸ δεύτερον νῦν ὀνομάζειν, σαφηνείης ἕνεκα. φημὶ γὰρ ἀνταποδίδοσθαι, ὅτι ἐν τῇσι μήτρῃσιν 30 ἐνεούσῃ τῇ γονῇ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐπὶ τὰς μήτρας θήλειαν γονὴν ἐχούσης ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐν γὰρ ταύτῃσι διαρθροῦται τὰ μέλεα τῶν παιδίων. ἀπὸ δὲ τούτου τοῦ χρόνου, ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα καὶ ἐπὶ τῷ κούρῳ πάλιν, κατὰ λόγον τῶν τριήκοντα ἡμερέων. ὧδε δὲ ἔχει ἕτερον ἰσόρροπον τοιόνδε ὅτι ταῦτα ἐστὶν ἀληθέα. τῇσι πρώτῃσι τῶν ἡμερέων ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας πέσῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας. ἔπειτα δὲ ἐπὶ πλεῖον. εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοὴν ἔχειν, ἀλλ' 40 ἀποπνιγείη ἂν τοῦ αἵματος ἰόντος πολλοῦ. ἀνταποδίδοται δὲ ἐν τῇ καθάρσει τοὐναντίον. χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχίων ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, πλείστη. εἶτα ἐπὶ ἐλάσσω, ἕως λήξῃ. πολλαὶ δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, καὶ ἄναρθρον ἐφαίνετο. ὁκόσα δὲ ὕστερον, ἢ ἅμα τῇσι τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα· καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερέων ὁκόταν διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων. ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον, ἤν τε ὕστερον, ὧδε φαίνεται, καὶ λόγῳ καὶ ἀνάγκῃ ἡ διάρθρωσις ἐοῦσα· ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν· ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα. ἰσορρέουσι γὰρ αἱ ἐξαμβλώσιες τῶν παιδίων, καὶ τῶν λοχίων αἱ καθάρσιες.

Cuius in eiusmodi muliere tale est principium. In partus doloribus sanguis mulieri commouetur, & à valido pueri motu vehementer incalescit. Commotus verò is quidem primus foras prodit, post puerum verò sanies crassa & cruenta, fitque huic ductus quidam, non secus ac aqua in mensam effusa. Post quam singulis diebus, toto quo diximus tempore, purgatio foras procedit, primò quidem quantum hemina Attica vna & dimidia, vel paulò plus, aut minùs, pro eius ratione, dum cesset. Prodit autem velut à victima sanguis, si bene habeat, & bene habitura sit mulier, citoque concrescit. Quòd si neque rectè valeat, neque sana futura sit, purgatio tum parcior, tum specie deterior prodit, neque citò concrescit. Sic autem se res habet. Si mulier vterum gerens morbo aliquo minimè cognato laboret, in partus purgatione perit. Quòd si vterum gerens statim primis diebus non repurgetur, siue benè valeat, siue non, eique de repente purgatio siue sponte, siue à medicamento commoueatur, pro ratione dierum, quibus non semel profluxit, procedet. Nisi enim à partus purgamentis mulier repurgetur, magno morbo tentabitur, vitæque periculum incurret, nisi quis celeri adhibita curatione conuenientem purgationem promoueat. Hæc eo loco à me adducta sunt, quò demonstrarem membrorum distinctionem in pueris fieri, fœminæ quidem intra duos & quadraginta dies, vt longissimè, masculo verò intra dies triginta. Cuius rei fidem faciunt partus purgamenta, quæ quidem, si suscepta puella fuerit, duobus & quadraginta diebus contingunt, si verò masculus editus fuerit, quàm longissimè, triginta diebus. Ac sanè denuo ista, quò clariora sint, repetam. Asseuero enim quòd semine in vtero contento, sanguis ille qui à muliere in vtero fœmineam genituram gerente paucissimus venit, duobus & quadraginta diebus vicissim redditur. Puerorum enim membra his diebus distinguntur. Ex eo verò tempore copiosior sanguis affluit. Quod rursum in masculo pro ratione triginta dierum accidit. Quæ quidem ita esse hoc altero argumento constat. Postea quàm in vteros genitura delapsa est, primis diebus paucissimus sanguis à muliere in vterum fertur, deinde verò copiosior. Si enim confertus multúsque vnico impetu accederet, genitura spiritum trahere non posset, sed sanguinis irruentis copia suffocaretur. Contrà verò in purgatione vicissim redditur. Partus enim purgamenta primis diebus plurima prodeunt, deinde sensim imminuuntur, donec desinant. Pleræque autem iam mulieres fœtum masculum paulò ante trigesimum diem obortione reddidere, sed is indistinctus conspectus est. Qui verò paulò post, aut eo ipso die reiecti sunt, omnes distinctis membris visi sunt. Sic etiam in fœmella pro ratione duorum & quadraginta dierum; si quando abortu perierit, membrorum distinctio apparet. Siue autem prius, siue posterius puer abortione pereat, sic se habere membrorum distinctio necessaria ratione conspicitur; in puella quidem duobus & quadraginta diebus, in puero verò, triginta. Huius siquidē rei fidē faciunt fœtuum abortiones & puerperij purgationes.

Quòd autem fœmella posteriùs concrescat & membrorum distinctionem recipiat, in causa est ipsius genitura imbecillior & humidior quàm mascula, eáque ratione fœmellam tardiùs quàm masculum concrescere necesse est, & in puella diuturniorem esse purgationem quàm in masculo. Nunc verò ad id, vnde digressus sum, reuertar. Postea quàm in membra distinctus puer fuerit, tum eorum forma increscit, tum etiam ossa duriora euadunt & excauantur, eáque vi spiritus proueniunt. Ex quo caua reddita, ad se à carnibus, quicquid in sanguine pinguissimum est, attrahunt, & temporis successu extrema ossa in ramos diducũtur, & quemadmodum arborum summæ partes postremò in ramos scinduntur, sic & in puero manuum & pedum digiti inter se dissident, eorumque partibus extremis vngues adnascuntur. Venæ enim omnes corporis humani in pedum & manuum digitos desinunt. Et crassissimæ quidem venæ sunt in corpore, & in capite, deinde in cruribus, brachiis, & cubitis. At in pedibus & manibus tenuissimæ, densissimæ, & plurimæ venæ sunt, itémque nerui tenuissimi, densissimi, & plurimi, ossáque magnitudine minima, eaque præcipuè in manuum ac pedum digitis. Ex digitis autem, nimirum cùm ossa densa & parua habeant, venas etiam ac neruos itidem paruos ac densos, ita ex ipsis vngues tenues & densi oriuntur, qui extremas venas comprehendunt, adeò vt nec vlteriùs progrediantur, neque alia aliam excedat. Vt proinde minimè mirum videri debeat, si vngues exteriore corporis parte densissimi sint, cùm ex densissimis constent. Quinetiam vnà cum vnguibus pili in capite radices accipiunt, eorumque natura sic se habet. Hi siquidem maximi & plurimi nascuntur, quâ summa corporis cuticula rarissima est, & vbi pilus moderatum habet humorem quo nutriatur. Ac sicubi summa cuticula postea rara euadit, ibi postea quoque pili nascuntur, veluti in mento, pube, & alio quouis loco. Nam simul ac genitale semen oritur, caro & extrema cuticula rarior euadit, venulæque magis quàm antea aperiuntur. Cùm enim adhuc puer est, venulæque tenues existunt, neque per eas genitura ferri potest. Eadémque ratio est de mensibus virginum. At simul ac mensibus & genituræ via patet, tum puero & virgini, extrema cuticula rarescente, pilus in pube nascitur, simulque moderatum neque pauciorem quo alatur humorem habet. Ad eundem modum de pilo in viri mento se res habet. Rarescit enim summa cuticula, delata in eam à capite humiditate. Simul siquidem & in coitu, & intermedio tempore, moderatam humiditatem qua nutriatur pilus habet, túmque maximè, cùm humiditas in coitu à capite descendens, in mento longè à pectore restiterit, ibique moram fecerit. In rarissimis autem summæ cuticulæ partibus pilos enasci indicio est, quòd si inusta extrema cuticula, pustulam solùm excites, eamque persanaueris, vbi summa cutis densior euaserit, nullum ex cicatrice pilum emittet.

αἴτιον δέ ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται, ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης ἢ τοῦ ἄρρενος. καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄρρεν· καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ θηλείᾳ ἢ τῷ ἄρσενι. ἀναβήσομαι δὲ αὖθις ὀπίσω, ὅθεν ἀπέλιπον. ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων αὐξομένου αὐτοῦ, τά τε ὀστέα ἐπισκληρότερα γίνεται, καὶ κοιλαίνεται, καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται. κοῖλα δὲ ἐόντα, ἕλκει ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν [31] τοῦ αἵματος τὸ πιότατον. καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων, ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται· οὕτω καὶ τοῦ παιδίου διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν. ἐπὶ δὲ αὐτῶν τῶν ἄκρων οἱ ὄνυχες φύονται. τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι, εἰς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν. καὶ παχύταται μέν εἰσιν αἱ ἐν τῷ σώματι φλέβες, [32] αἱ ἐν τῇ κεφαλῇ. ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι καὶ τοῖσι βραχίοσι καὶ τοῖσι πήχεσιν. ἐν δὲ τοῖσι ποσὶ καὶ τῇσι χερσὶ, λεπτόταταί τε, καὶ πυκνόταται, καὶ πλεῖσται φλέβες εἰσὶ, καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα, καὶ πλεῖστα· καὶ ὀστέα ἐλάχιστα τῷ μεγέθει· τῶν δὲ χειρῶν καὶ τῶν ποδῶν, ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστιν. ἐκ δὲ τῶν δακτύλων ἅτε πυκνὰ ἐχόντων ὀστέα σμικρὰ καὶ φλέβας καὶ νεῦρα, οὕτως οἱ ὄνυχες φύονται ἐξ αὐτῶν, λεπτοὶ καὶ πυκνοί. καὶ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥστε μηκέτι αὔξεσθαι αὐτὰς, μηδὲ προέχειν ἑτέρην ἑτέρης. ὥστε μὴ θαυμάζειν ὅτι οἱ ὄνυχες ἐξωτάτω τοῦ σώματος πυκνότατοί εἰσιν. ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν. ἅμα δὲ τοῖσιν ὄνυξι καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται. ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος. φύονται μὲν γὰρ μέγισται καὶ πλεῖσται, ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστὶ, καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. καὶ ὅκου ἡ ἐπιδερμὶς ὕστερον ἀραιὴ γίνεται, ἐκεῖ καὶ ὕστερον αἱ τρίχες φύονται, ἐπί τε τῷ γενείῳ καὶ τῇ ἥβῃ, καὶ εἴ που ἄλλοθι. ἅμα γὰρ τῷ γόνῳ γινομένῳ, ἡ σὰρξ ἀραιὴ γίνεται, καὶ ἡ ἐπιδερμὶς, καὶ τὰ φλέβια στομοῦται μᾶλλον, ἢ ἐν τῷ πρὶν χρόνῳ. παιδὶ γὰρ ἐόντι, καὶ τῶν φλεβίων λεπτῶν ἐόντων, οὐκ ἐχωρέει δι' αὐτῶν ἡ γονή· καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων, ωὑτὸς λόγος. ἅμα δὲ ὁδὸς πορεύσιμος γίνεται, καὶ τοῖσι καταμηνίοισι καὶ τῇ γονῇ, τῇσι παρθένοισι. καὶ τριχοῦται ἡ ἥβη τοῦ παιδὸς καὶ τῆς παρθένου, ἀραιῆς τῆς ἐπιδερμίδος γινομένης. καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην εἰς τὴν τροφὴν ἔχει καὶ οὐκ ἐλάσσονα. οὕτω δὲ καὶ ἡ ἐπὶ τοῦ γενείου τοῦ ἀνδρὸς ἔχει. ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης εἰς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς. ἅμα μὲν γὰρ καὶ ἐν τῇ λαγνείῃ, ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ, ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφὴν τότε μάλιστα, ὁκόταν ὁ χρόνος ἐγγένηται τῷ ὑγρῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ. [33] ἀπέχων τῶν στηθέων, ἐπὶ τὸ γένειον. σημήιον δὲ ὅτι ἐν τοῖσι ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες εἴ τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα, καὶ φλυκταίνας μόνον ποιῆσαι καὶ ὑγιῆναι, πυκνὴ γινομένη ἡ ἐπιδερμὶς κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσει.

ὁκόσοι

ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, διὰ τοῦτο οὔτε ἡβῶσιν, οὔτε γενειῶσι, λεῖοί τε γίνονται ὅλοι, ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγινομένη, οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τῷ ξύμπαντι δέρματι. ἀπολέληπται γὰρ ἡ ὁδὸς τῆς γονῆς ὥσπερ μοι εἴρηται, ὀλίγῳ πρότερον. αἱ δὲ γυναῖκες λεῖαι γίνονται τό τε γένειον καὶ τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ σφέων τὸ ὑγρὸν, οὐχ ὁμοίως κλονεόμενον ὡς τὸ τοῦ ἀνδρὸς, τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. ὁκόσοι δὲ φαλακροὶ γίνονται,[35] οὗτοι δὴ φλεγματώδεές εἰσι. καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, προσπῖπτον πρὸς τὴν ἐπιδερμίδα καίει τῶν τριχῶν τὰς ῥίζας, καὶ ἐκρέουσιν αἱ τρίχες. οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρή. οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ, καίει τὰς τῶν τριχῶν ῥίζας.[36] αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, ὅτι ἐν πολλῷ χρόνῳ διϊκνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον, καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα. καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκουσα ἢ ἐν τῷ πρὶν χρόνῳ, λευκοτέρη γίνεται, καὶ ἡ ἐπιδερμὶς, καὶ μᾶλλον ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίνεται. καὶ ὁκόσοι ἐκ γενετῆς πολιόν τι ἔχουσιν ἐν τῇ κεφαλῇ, κείνοισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστίν. ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. ἔχει δὲ καὶ τόδε, ὧδε. ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκῃ, ἤν τε λευκὴν, ἤν τε πυῤῥὴν, ἤν τε μέλαιναν, τοιαύτην τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. ἐλεύσομαι δὲ αὖθις[37] εἰς τὸ ἀπόλειπες τοῦ λόγου. ὅταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω, καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται. καὶ ὁ χρόνος ἐς τοῦτο γίνεται. τῷ μὲν ἄρσενι, τρεῖς μῆνες· τῇ δὲ θηλείῃ, τέσσαρες. ὧδε γὰρ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει. ἔστι δ' ἃ καὶ πρόσθεν τὰ παιδία τούτου τοῦ χρόνου κινέεται. κινέεται δὲ πρότερον τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος. καὶ πρότερον πήγνυται τὸ ἄρσεν, ἀπὸ γὰρ ἰσχυροτέρης καὶ παχυτέρης γονῆς γίνεται. ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί. οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ ὀργῶσι. τὸ δὲ γάλα οὐ χωρέει. καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν, ὕστερον τὸ γάλα ἐπισημαίνει καὶ ἔρχεται. τῇσι δὲ ἀραιοσάρκοισι, πρόσθεν. [38] δι' ἀνάγκην δὲ τοιήνδε, γίνεται τὸ γάλα. ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζωσι τὴν κοιλίην τῆς γυναικός. τῆς δ' ὁκόταν πλήρεος ἐούσης ὁ πιεσμὸς γίνηται, ἀποπηδᾷ τὸ πιότατον ἀπό τε τῶν βρωτῶν καὶ τῶν ποτῶν ἔξω, ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα. ὥσπερ δέρμα εἴ τις ἀλείψειεν ἐλαίῳ πολλῷ, καὶ ἐῴη ἀναπιεῖν, καὶ ἐπὴν ἀναπίῃ πιέζοι τὸ δέρμα, διαπηδοίη ἂν πιεζομένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον. οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν πιεζομένης ὑπὸ τῶν μητρέων,[39] διαπηδᾷ τὸ πῖαρ εἰς τὸ ἐπίπλοον καὶ ἐς τὴν σάρκα. καὶ ἢν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνε) τῆς διαπηδήσιος· ἢν δὲ μὴ, ὕστερον. καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἤν μή τι νοσέῃ ὑπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου, πιότερα γίνεται διὰ τοῦτο. ὁμοίως δὲ καὶ ἡ γυνή. ἀπὸ γὰρ τοῦ πίονος διαθερμαινομένου καὶ λευκοῦ ἐόντος τὸ γλυκαινόμενον ἀπὸ τῆς θέρμης

Qui verò ætate adhuc puerili eunuchi existunt, eam ob causam neque in pube, neque in mente pilos habent, læuesque toti sunt, quòd, cùm nondum via geniture facta sit, nusquam rarescit summa superficiei cuticula. Nam quemadmodum paulò ante à me dictum est, intercepta est genituræ via. Mulieres autem mento & toto corpore glabræ sunt, quòd ipsis in actu venereo non perinde agitatus humor ac viris, summam cuticulam rarā efficere nequeat. At qui caluescunt, ij sanè phlegmate redundant, quod per coitum in eorum capite agitatum & incalescens, in summam cuticulam illapsum, pilorum radices exurit, ita vt pili effluant. Eunuchi autem eam ob causam non caluescunt, quòd neque vehementiùs moueantur, neque phlegma in coitu incalescens, pilorum radices exurat. Cani autem ob id contingunt, quòd longo tempore permeante in homine humido, id quod candidissimum est secernitur, & in summam cuticulam illabitur, ita vt attracta candidiore humiditate pilus quàm antea candidior euadat, ipsaque summa cuticula, eo præsertim loco vbi cani sunt, quàm quouis alio candidior existat. Quique à prima origine canos habent in capite, illis summa cuticula, vbi cani sunt, quàm alia quæuis candidior existit, quòd illic albissima humiditas insit. Sic autem se res habet. Qualem humorem caro attraxerit, siue album, siue flauum, siue nigrum, talem etiam colorem capillus imbuit. Ac de his quidem hactenus. Deinceps verò quod est reliquum persequar. Postea autem quàm summæ corporis pueri partes ramos foras emiserint, vnguesque ac capilli radices egerint, tunc sanè etiam mouetur: ad idque masculo trium mensium tempus conceditur, fœmellæ verò quatuor. Sic enim vt plurimùm contingit, etsi etiam quidam pueri ante hoc tempus mouentur. Primùm autem mas mouetur, quòd fœmella sit robustior: primùm quoque concrescit masculus, cùm ex validiore & crassiore genitura constet. Cùm autem fœtus mouetur, tunc sanè lac de se significationem matri exhibet. Mammæ enim attolluntur, & papillæ turgescunt, neq; tamen lac prodit. Et mulieribus quidem, quæ denso sunt corporis habitu, tardior est lactis significatio, seriusque fertur, citiùs verò his quæ rarum habent corporis habitum. Lac autem propterea necessariò gignitur. Cùm vterus fœtu intumescens, mulieris ventrem comprimit, si eo pleno compressio illa contingat, quod in cibo & potu est pinguissimum foras in omentum & carnem prosilit. Ac veluti si corium copioso oleo perunctum quis imbibi sinat, eoque imbibito corium premat, quo compresso foras oleum exilierit: sic certè vbi venter pinguedinem à cibis & potibus continet, & ab vtero comprimitur, quod pingue est in omentum & carnem transilit. Et si raro habitu mulier fuerit, hanc exudationem faciliùs percipit, sin minùs, tardiùs. Quin & pecora cùm vterum gerunt, nisi morbo aliquo laborent, potu ciboq; ob eam causam pinguiora euadūt, itidemq; mulier. Pingui nanq; incalescente & candido effecto, quod vteri calore edulca-

tum eſt, in mammas expreſſum tendit, & in vteros quoque exigua portio per eaſdem venas defertur. Ad mammas enim & vteros eiuſmodi venulæ & conſimiles aliæ feruntur. Cúmque ad vterum peruenerit, lactis formam habet, eoq; exiguo puer fruitur. Mammæ verò vbi lac exceperint, attolluntur & implentur. Atque vbi mulier pepererit, ſuppeditato motus initio, lac in ipſas mammas fertur, ſi puerum lactauerit. Sic enim ſe res habet. Dum mammæ exuguntur, venæ quæ ad eas tendunt, ampliores redduntur, & ampliores effectæ, quod pingue eſt à ventre attrahunt, & in mammas tranſmittunt. Vir nanque ſi venerem crebrò exerceat, ampliores venæ redditæ, ſemen attrahunt. Quinetiam hæc ſe res habet ad hunc modum. Cùm, quæ à matre ferri conſueuerunt, ad vterum peruenerint, tum pueri nutriri & augeri incipiunt, atque vt mater ſana ac debilis eſt, ita etiam puer valet. Et quemadmodum quæ è terra gignuntur, è terra nutriuntur, quæ & eodem, quo terra, ſe habent modo. Semen enim cùm in terram demiſſum fuerit, humore quodam ab ipſa impletur, cùm cuiuſuis generis humorem terra in ſe contineat, quo, quæ ex ea naſcuntur, nutrire poſſit. At ſemen humoris plenum, flatu diſtenditur & intumeſcit, & vis quæ in ſemine leuiſſima eſt, ab humore cogitur, illaque vi ſpiritus coacta, & humore in folia verſo, ſemen rumpit, & primùm folia foras emergunt. Quæ cùm emerſerint, vbi amplius ab humore, qui in ſemine ineſt, nutriri non poſſunt, tum folia inferiore parte rumpuntur, ipſumque à foliis coactum, vim ſuam, quæ in eo propter grauitatem eſt reliqua, ad inferiora demittit, & ex foliis oriuntur radices, ex iiſque dependent. Vbi verò planta firmas radices in terram iecerit, ex eaque alimentum ſumpſerit, tum ſanè totum euaneſcit, & in plantam, excepto cortice qui ſolidiſſimus eſt, abſumitur. Qui rurſus etiam in terra putreſcens, progreſſu ſanè temporis euaneſcit, & folia quædam in ramos finduntur. Ex ſemine igitur vtpote ex humido ortum, quandiu quidem molle & aquoſum fuerit, ad incrementum tum inferiore, tum ſuperiore parte fertur, & nullum fructum edere poteſt. Neque enim facultas valida & pinguis ei ineſt, vt ex eo ſemen cogatur. Vbi verò temporis ſucceſſu ſoliditatem maiorem acceperit, & firmiores radices egerit, tum iam etiam venas amplas, tum ſuperiore, tum inferiore parte obtinent, tuncque ſanè ex terra non ampliùs aquoſum attrahit, ſed craſſius, pinguius, & copioſius, quod à ſole calefactum, in extremitates efferueſcit, & fructus naſcitur, cum eo ex quo ortum eſt cognationem habens, multúsq; ex pauco iccirco oritur, quòd quæ è terra naſcuntur, copioſiorem ex ea vim trahant, quàm ex quo orta ſunt, neque vno in loco, ſed pluribus efferueſcunt. Quo ex feruore prodiens fœtus, planta ſua nutritur, quæ quicquid ex terra trahit, in fructum transfert. Sol autem ab ipſo aquoſum ad ſe alliciens, fructum coquit & ſolidiorem reddit. Atque hæc à me quidem dicta ſunt de his, quæ ex ſemine de terra & aqua producuntur.

τῆς ἀπὸ τῶν μητρέων, ἀποθλιβόμενον ἔρχεται εἰς τοὺς μαζούς. καὶ εἰς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται, διὰ τῶν αὐτέων φλεβῶν. τείνουσι γὰρ εἰς τοὺς μαζοὺς καὶ εἰς τὰς μήτρας, φλέβια ταῦτά τε καὶ παραπλήσια ἄλλα. καὶ ὁκόταν ἀφίκηται εἰς τὰς μήτρας ἰδέην ἴσχει τοῦ γάλακτος, [40] καὶ τὸ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον. οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα, αἴρονται πιμπλάμενοι. καὶ ὁκόταν τέκῃ, ἀρχῆς κινήσιος ὑπογενομένης, χωρεῖ τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, ἢν θηλάζῃ. ἔχει γὰρ οὕτω. θηλαζομένοιν 10 τοῖν μαζοῖν, εὐρυώτερα γίνεται τὰ φλέβια ἐς τοὺς μαζούς. εὐρυώτερα δὲ γενόμενα, ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν, τοῖν μαζοῖν διαδιδόασι. καὶ γὰρ καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ πολλὰ, εὐρυώτερα γινόμενα τὰ φλέβια, [41] μᾶλλον ἐπάγει τὴν λαγνείην. ἔχει δὲ καὶ τόδε, ὧδε ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίνεται, [42] ὁκόταν ἐν τῇσι μήτρῃσιν ἴῃ τὰ ἀπὸ τῆς μητρός. καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ, ὑγιείης ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει. ὥσπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς. καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ. τό, τε γὰρ σπέρμα, ὁκόταν κατα- 20 βληθῇ εἰς τὴν γῆν, ἰκμάδος τινὸς ἐμπίμπλαται ἀπ' αὐτῆς. ἔχει γὰρ ἐν αὐτῇ ἡ γῆ ἰκμάδα παντοίην, ὥστε τρέφειν τὰ φυόμενα. ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα, φυσᾶται καὶ οἰδεῖ, καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος συστρέφεσθαι ἡ δύναμις, ἥ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. συστραφεῖσα δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος, καὶ τῆς ἰκμάδος φύλλα γενομένης, ῥήγνυσι τὸ σπέρμα, καὶ ἀνατέλλει πρῶτον ἔξω τὰ φύλλα. ἀνατείλαντα δὲ, ὁκόταν μηκέτι δύνηται τρέφεσθαι τὰ φύλλα ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, ῥήγνυταί τε ἐς τὸ κάτω τό, τε σπέρμα καὶ τὰ φύλλα. καὶ 30 βιώμενον ὑπὸ τῶν φύλλων, μεθίησι τῆς δυνάμιος ἐς τὸ κάτω, ἣ ἐν αὐτῷ ὑπολείπεται διὰ τὴν βαρύτητα. καὶ γίνονται ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. ὁκόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυὲν, καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, τότε ἤδη ἠφάνισται πᾶν, καὶ ἀνήλωται ἐς τὸ φυὲν πλὴν τοῦ λεπυρίου, ὅτι στερεώτατόν ἐστιν. αὖθις δὲ τὸ λεπύριον σαπὲν ἐν τῇ γῇ, ἄδηλον γίνεται χρόνῳ δή, καὶ ὄζεταί τινα τῶν φύλλων. ἐκ σπέρματος γοῦν ἅτε ἀφ' ὑγροῦ γενόμενον, τέως μὲν ἁπαλὸν ἔῃ καὶ ὑδαρὲς, εἰς αὔξησιν ὡρμημένον καὶ ἐς τὸ κάτω καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρ- 40 πὸν ἐκβάλλειν. οὐ γάρ ἐστιν αὐτῷ δύναμις ἰσχυρὴ καὶ πιαρὰ, ἐξ ἧς τὸ σπέρμα συστραφήσεται. ὁκόταν δὲ στερεωθῇ μᾶλλον καὶ ῥιζωθῇ τὸ πεφυκὸς ὑπὸ χρόνου, τότε ἤδη καὶ φλέβας ἴσχει εὐρείας, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω. καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκεται, οὐκ ἔτι ὑδαρὲς, ἀλλὰ παχύτερον καὶ πιότερον καὶ πλεῖον. τὸ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, ἐκζεῖ ἐς τὰ ἄκρα, καὶ γίνεται καρπὸς, κατὰ τὸ ξυγγενὲς ἐξ ὁκοίου καὶ ἐγένετο. καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίνεται, ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα, ἢ ἐξ οὗ ἐγένετο. καὶ ἐκζεῖ οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά. ὁκόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου. ἕλκει γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς, τῷ καρπῷ ἐκδίδωσιν. ὁ δὲ ἥλιος πέσσει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστερον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. καὶ ταῦτα μὲν εἴρηταί μοι, περὶ τῶν ἐκ σπέρματος φυομένων, ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος.

[43] τὰ δὲ

[43] τὰ δὲ ἐκ φυτευτηρίων, ἀπὸ δενδρέων δένδρεα γίνεται, τρό-
πῳ τοιῷδε· τραῦμα ἴσχει ὁ κλάδος ἐν τῷ κατωτάτῳ πρὸς
τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη ὅθεν αἱ ῥίζαι ἀφίεν-
ται. τρόπῳ δὲ τοιούτῳ μεθίενται· ὁκόταν τὸ φυτὸν τὸ ἐν τῇ γῇ
ἐνεὸν, ἰκμάδα λάβῃ ἀπὸ τῆς γῆς, οἰδέει καὶ πνεῦμα ἴσχει.
τὸ δὲ ὑπὲρ τῆς γῆς, οὐδέπω. τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς συ-
στρέψασαι ἐν τῷ κάτω τοῦ φυτοῦ τὴν δύναμιν, ὅση ἦν
βαρυτάτη, ἔρρηξεν εἰς τὸ κάτω, καὶ γίνονται ἐξ αὐτοῦ ῥίζαι
ἁπαλαί. ὁκόταν δὲ ἐς τὸ κάτω λάβωνται, τότε δὴ ἕλκει ἐκ
τῆς ῥίζης ἰκμάδα, καὶ διαδίδωσι τῷ ὑπὲρ γῆς ἐόντι. καὶ 10
τότε δὴ αὐτῆς τὸ ἄνω οἰδέει καὶ πνεῦμα ἴσχει. καὶ ὅση δύνα-
μις ἐν τῷ φυτῷ κούφη ἐστὶ ξυστραφεῖσα φύλλα γινομέ-
νη βλαστάνει, καὶ ἐς τὸ ἄνω ἤδη τὴν αὔξησιν ποιέεται, καὶ ἐς
τὸ κάτω. οὕτως ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῶν ἐκ τοῦ
σπέρματος γινομένων, καὶ τῶν ἐκ τοῦ φυτευτηρίου περὶ τοῦ
βλαστοῦ. πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φύλλον ἀνα-
τέλλει, ἔπειτα αἱ ῥίζαι εἰς τὸ κάτω ἀφίενται. τὸ δὲ δένδρον,
ῥιζοῦται πρῶτον, ἔπειτα φυλλοῦται, διὰ τόδε, ὅτι ἐν μὲν
τῷ σπέρματι αὐτῷ, ἰκμάδος πλῆθος ἔνεστι, καὶ ἐν τῇ γῇ
ἐνεόντι, τροφὴ ἔνεστι τὸ πρῶτον τῷ φύλλῳ ἀρκέουσα, 20
ὅθεν τὸ φύλλον τρέφεται, μέχρις ἂν ῥιζωθῇ. ἐν δὲ τῷ
κλάδῳ οὐ γίνεται. οὐ γὰρ γίνεται ἐξ ἑτέρου ὅθεν τὸ φύλλον τὸ πρό-
τερον τροφὴν ἕξει, ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶν, ὥσπερ καὶ τὸ δέν-
δρον ἔχει. καὶ τοῦτο ὑπὲρ γῆς ἐστὶ πολύ. ὥστε οὐκ ἂν δύναι-
το ὑπὲρ γῆς ἐὸν, ἰκμάδος πληθῦναι, εἰ μὴ ἐκ τοῦ κάτω
μεγάλη τις δύναμις ἐλθοῦσα, τῷ ἄνω ἐκδώσει τὴν ἰκμά-
δα. καὶ πρῶτον τὸ φυτευτήριον, ἀνάγκη ἐστὶν ἑωυτῷ τρο-
φὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσιν, ἔπειτα οὕτως ἀπὸ
τῆς γῆς ἕλκειν ἄνω ἀποδιδόναι, καὶ φύλλα ὁρμῆται εἰς βλα-
στόν τε καὶ αὔξησιν. ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὀζοῦται ὑπ' 30
ἀνάγκης τοιῆσδε, ἣν ἐρέω. ὁκόταν ἰκμάδος αὐτῷ πλέον
προσγένηται ἐκ τῆς γῆς ἑλκομένης ὑπὸ τοῦ πλήθεος, ῥή-
γνυσιν, ᾗ ἂν πλείστη ἔῃ, καὶ ταύτῃ ὀζοῦται τὸ φυτόν. [44] αὔξεται
δὲ καὶ ἐς τὸ εὖρος, καὶ ἐς τὸ ἄνω, καὶ ἐς τὸ κάτω, διὰ τόδε ὅτι
τὸ κάτω τῆς γῆς, τοῦ μὲν χειμῶνος θερμόν ἐστι· τοῦ δὲ θέρεος,
ψυχρόν. τοῦτο δὲ διὰ τόδε ἐστὶν ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶν ἐν
χειμῶνι ὑπὸ τοῦ ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος, καὶ
πιέζεται ἐφ' ἑωυτῇ, ἅτε βαρυτέρης οὔσης τῆς ἰκμάδος.
πυκνοτέρη δέ ἐστιν ὑπὸ τούτου καὶ οὐκ ἔχει διαπνοὴν
οὐδεμίην. οὐ γὰρ ἔτι ἔνεστι τὸ ἀραιὸν μέγα καὶ διὰ τοῦτο τὸ 40
κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. [45] καὶ γὰρ ἡ κόπρος
ἡ συνεαλμένη μὲν θερμοτέρη ἐστὶν, ἢ ἡ ἀραιὴ ἐοῦσα, καὶ
ἄλλως, τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα ὑπὸ σφῶν αὐ-
τῶν ἐκθερμαίνεται, καὶ ἐν τάχει κάρτα ὑπὸ τῆς θερμα-
σίης συγκαιόμενα σήπεται. οὐ γὰρ δίεισι τὸ πνεῦμα δι' αὐτῶν,
ἅτε πυκνῶν ἐόντων. ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα,
πολλῷ ἧσσον θερμαίνεται καὶ σήπεται. οὕτω δὲ καὶ πυροὶ καὶ κρι-
θαὶ νοτερὰ ἐόντα καὶ βεβρεγμένα, [46] θερμότερά ἐστιν, ἢ
εἰ ξηρὰ εἴη καὶ ἀραιῶς κείμενα· καὶ ἱμάτια συνδεδεμένα καὶ κατεσφιγμένα [47] ἰσχυρῶς διεικῆ, κατακαίεται ὑπὸ
σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, ὥσπερ ὑπὸ πυρὸς ἐκκαέντα. καὶ τἄλλα εἴ τις θέλοι ἐνθυμηθῆναι [48] πάντα ὅσα πε-
πίεσται ὑπὸ σφῶν αὐτῶν, θερμότερα εὑρήσει, ἢ τὰ ἀραιῶς κείμενα. οὐ γὰρ ἔχει ἀναπνεῖν ψυχρὸν ὑπὸ τῶν ἀνέμων.

At deplantatis in terram surculis, ex arboribus aliæ arbores hunc in modum producuntur. Ramus in infima ad terram parte, quâ ab arbore euulsus est, vulnus habet, & vnde radices prodeunt, quod hoc fit modo. Cùm planta in terram defixa, ab ea humorem acceperit, intumescit, & spiritum concipit, quod non facit quod terræ supereminet. Spiritus autem & humor, collecta in inferiore plantæ parte vi, efficiunt vt quod grauissimum est deorsum erumpat, ex eoque teneræ radices oriuntur. Quod cùm inferiore parte acceperit, tunc sanè ex radice attractum humorem ei, quod supra terram eminet, transmittit; tuncque certè superiore parte intumescit & spiritum cõcipit, & collecta facultate quæ in planta leuis inest, folia germinant, iamque tam superiore quàm inferiore parte incrementum capessit. Sic iam contrario modo germinant quæ ex semine, & quæ ex taleis in terram defixis proueniunt. Prius enim ex semine folium oritur, deinde radices ad inferiora demittuntur. At arbor primùm radices agit, deinde folia accipit, quandoquidem in ipso semine humoris copia inest, & ei quod terra continetur, tantum per initia alimenti suppetit, quantum ad alendum folium satis sit, donec radices iecerit. Quod in talea non contingit. Neque enim ex alio nascitur vnde folium primùm alatur, verùm ramus ipse arboris loco est, eiusque magna pars supra terram prominet, vt proinde humore repleri nequeat, nisi ex inferioribus partibus magna vis quædam proueniat, quæ ad superiora humorem transmittat. Et primùm quidem necesse est taleam è terra sibi ad radices alimentum subministrare, deinde à terra attractum sursum transmittere, indeq; folia erumpere & increscere. Cùm autem planta incrementum ceperit, ista de causa necessariò ramos emittit. Vbi magnam humoris copiam è terra attraxerit, præ copia erumpit, qua parte abundat, illicq; planta ramos emittit. Increscit autem & in latum, tum supra, tum infra, quòd terræ inferiora hyeme quidem sint calida, æstate verò frigida. Quod ea de causa contingit, quoniam terra hyeme imbribus è cœlo delabentibus madet, iisque grauioribus existentibus in sese comprimitur, ideóque densior euadit, & nullam prorsus transpirationem habet. Neque enim ampliùs magna raritas adest, ideóque terræ inferior pars hyeme calida est. Nam & fimum densiùs pressum, maiorem in se calorem habet, quàm quod rarum est, præterеáque humecta quidem & compressa per seipsa incalescunt, & à calore exusta putrescunt, quòd cùm densa sint, per ea spiritus permeare nequeat. Sicca verò & rara, multò minùs incalescunt & putrescunt. Sic etiam triticum & hordeum humidum & madefactum, multò citiùs incalescit, quàm si siccum fuerit & rarum. Quin & vestes pelliceæ vehementer colligatæ & compressæ, per se exuruntur, velut ego vidi, non secus ac si igne conflagrarint. At si cui reliqua in considerationem adhibere placeat, is ea omnia quæ compressa sunt, calidiora ex se comperiet, quàm quæ laxiùs sunt composita, cùm perflari nequeant.

Sic quoque cùm terræ inferiora humore plena sint, ipsaq; cùm humore grauis sit & densa, per se comprimatur, per hyemem incalescit, quòd nullam prorsus habeat caloris perspirationē. Verùm postea quàm de cœlo aqua in ipsam delapsa fuerit, in eaq; spiritum excitarit, is vltra propter terrę grauitatem permeare non potest, sed contrà in aquam fertur, eamq; ob causam & fontes & mare hyeme quàm ęstate, tum calidiores, tum copiosiores sunt. Excitatus nanque spiritus, cùm propter terrę densitatem per eam permeare nequeat, in aquam conuertitur, quæ sua copia quocunque fertur, eo prorumpit, viamq; sibi ampliorem facit, quàm si modica esset. Neque enim aqua in terra consistere potest, sed semper in decliuem locum fertur. Quòd si spiritum ex aqua prouenientem terra per hyemem transmitteret, paucior ex ipsa aqua prodiret, neq; per hyemem fontes increscerent. Atque ista omnia eò à me dicta sunt, quò terræ inferiora hyeme quàm æstate calidiora esse constet. Nunc verò dicēdum est, cur terræ inferiora æstate quàm hyeme frigidiora esse cōspiciantur. Terra ęstate rara est & leuis, nimirum cùm sol vehementiùs irruat, & omnem ad se ex ea humorem attrahat. Aquam autem plus minùsve terra semper in se continet. Spiritus verò omnes nobis ex aquis proueniūt. Quod ita se habere efficiam vt coniicere possis. Ex omnibus enim fluminibus & nubibus semper spiritus prodeunt. Sunt autem nubes aqua in aëre continua. Ac tunc sanè terra per æstatem rara est & leuis, aquamque in se continet, quæ in decliue profluit, eaque decurrente, alius ex alio spiritus inde semper excitatur. Is autem spiritus, per terram leuem & raram fertur, terramque ita refrigerat, vt simul quoque aqua perfrigeretur. Exempli gratia, veluti si quis aquam vtre contentam vehementer premat, & per acus puncturam, vel paulò minorem, aquę perspiramentum exhibeat, vtremque in sublimi suspendat, spiritus quidem nullus sed aqua tantùm per foramen prodibit, quòd amplum satis spatium, quo exhalet, aqua non habeat. Ad eundem sanè modum aqua in terra per hyemem se habet. Quòd si vtre sublimi suspenso, aquæ in eo contentæ amplius spatium concesseris, per foramen spiritus exibit. Spatium enim amplius quo per vtrem exeat, aqua mota habet, eamque ob causam per foramen spiritus peruadit. Sic certè per æstatem in terra aqua se habet. Amplum enim satis locum ob terræ raritatem obtinet, quódque sol ab ea ad se humorem attrahit, ipsaque terra spiritum frigidum ab aqua excitatum, cùm rara sit & leuis, per se transmittit. Ideóque pars eius inferior frigida existit, quin & aqua multò magis quàm spiritus in terra frigidus, ipsaque in sese & in terram spiritum immittit. Simul quoque aquam quæ ex parte hauritur, semper spiritus, velut flabellum agitat, qui & aquę frigiditatem inducit. Quæ verò non hauritur æstate, sed immota manens densatur, ea neque perinde vt illa spiritum à terra in sese suscipit, neque ex sese in terram transmittit, simulq; à sole & aëre per puteum minimè disperso, sed stabili manente, summa eius superficie primùm incalescit, deinde altera pars alteri,

οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω πλείης ἐούσης καὶ αὐτῆς ὑφ' ἑωυτῆς πεπιεσμένης, ἅτε βαρείης καὶ πυκνῆς ἐούσης ὑπὸ τῆς ἰκμάδος θερμαίνεται ἐν χειμῶνι.[49] οὐ γάρ ἐστιν αὐτῆς διαπνοὴ οὐδεὶς τοῦ θερμοῦ. ἀλλ' ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐς αὐτὴν, ὅταν ἀποπνέῃ ἐν τῇ γῇ ἀπ' αὐτοῦ, οὐ δίδωσι πρόσω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς· ἀλλ' ἡ πνοὴ ὀπίσω ἐς τὸ ὕδωρ ἔρχεται. καὶ διὰ τοῦτο αἱ πηγαὶ καὶ ἡ θάλασσα θερμότεραί εἰσι τοῦ χειμῶνος, καὶ μείζους, ἢ τοῦ θέρεος· ὅτι ἀποπνέοντος τοῦ πνεύματος, ὀπίσω ἔρχεται ἐς τὸ ὕδωρ, ἅτε τῆς γῆς πυκνοτέρης 10 ἐούσης, καὶ οὐ διιείσης δι' αὐτῆς τὸ πνεῦμα. καὶ τὸ ὕδωρ πολὺ ἐὸν, ᾗ ἂν τύχῃ, τοῦτο δὴ ῥήγνυσι χωρέον, καὶ ὁδὸν οἱ αὐτῷ ποιέεται εὐρυτέρην, ἢ εἰ ὀλίγον εἴη. τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐκ ἕστηκεν, ἀλλ' ἀεὶ χωρέει εἰς τὸ κάταντες. εἰ δὲ δίδωσι τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὸ πνεῦμα, ἡ γῆ δι' ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἐχώρεεν ἐξ αὐτῆς. καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. πάντα ταῦτα εἴρηταί μοι, ὅτι τῆς γῆς τὸ κάτω θερμότερον φαίνεται ἐὸν τοῦ χειμῶνος, ἢ τοῦ θέρεος. νῦν δὲ θέλω εἰπεῖν ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς, ψυχρότερον φαίνεται ἐὸν ἢ τοῦ χειμῶνος. ἡ γῆ τοῦ θέρεος, ἀραιή ἐστι καὶ κούφη, ἅτε τοῦ ἡλίου σφοδρό-20 τερον προσβάλλοντος, καὶ ἕλκοντος ἀπ' αὐτῆς πρὸς ἑωυτὸν τὰς ἰκμάδας. ἔχει δὲ ὕδωρ ἡ γῆ ἐν αὐτῇ ἀεὶ πλέον ἢ ἔλασσον. τὰ δὲ πνεύματα ἡμῖν ἐστι πάντα ἀφ' ὑδάτων. τούτου δὲ πέρι, ὅτι δείξω συμβαλέσθαι, ὅτι οὕτως ἔχει. ἀπὸ γὰρ τῶν ποταμῶν πάντων, πνεύματα χωρέει ἑκάστοτε, καὶ τῶν νεφέων. τὰ δὲ νέφεα ἐστὶν ὕδωρ ξυνεχὲς ἐν ἀέρι, καὶ τότε δὴ ἡ γῆ ἀραιή ἐστι καὶ κούφη τοῦ θέρεος καὶ ὕδωρ ἐν αὐτῇ ἔχουσα καὶ τὸ ὕδωρ ῥέει εἰς τὰ κατάντεα· χωρέοντος δὲ τοῦ ὕδατος, ἀεὶ ἀποπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα. τὸ δὲ ἀποπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης, καὶ ψῦχος τῇ γῇ 30 ποιέει. καὶ αὐτὸ τὸ ὕδωρ συμψύχεται. ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειεν ἰσχυρῶς, καὶ τὰ διαπνοὰ τῷ ὕδατι ποιήσειεν, κέντημα βελόνης[50] ἢ μικρῷ μείζονι, καὶ τὸν ἀσκὸν κρεμάσας αἰωρεῖν, οὐδὲν διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ' ὕδωρ. οὐ γὰρ ἔχει εὐρυχωρίην ἢ ἀποπνεύσει τὸ ὕδωρ. ὧδε δὴ ἔχει καὶ τοῦ χειμῶνος τῷ ὕδατι ἐν τῇ γῇ. ἣν δὲ τῷ ὕδατι ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωρέῃς τὸν ἀσκὸν, πνεῦμα διαχωρήσει διὰ τοῦ τετρημένου. εὐρυχωρίη γάρ ἐστι τῷ πνεύματι ἀπὸ τοῦ ὕδατος κινευμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ. καὶ διὰ τοῦ τετρημένου 40 τὸ πνεῦμα[51] διὰ τόδε δίδωσιν. ὧδε δὴ ἔχει καὶ τοῦ θέρεος ἐν τῇ γῇ τῷ ὕδατι. εὐρυχωρίη γάρ ἐστιν αὐτῷ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης, καὶ τοῦ ἡλίου ἕλκοντος ἀπ' αὐτῆς τῆς ἰκμάδος πρὸς ἑωυτὸν, καὶ δίδωσι τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν ἀπὸ τοῦ ὕδατος δι' αὐτῆς ἀραιῆς ἐούσης καὶ κούφης. διὰ τοῦτο ψυχρὸν ἐὸν αὐτῆς τὸ κάτω τοῦ θέρεος. καὶ τὸ ὕδωρ μᾶλλον τοῦ πνεύματος, τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος,[52] καὶ αὐτὸ ἀφίησιν ἐς ἑαυτὸ τὸ πνεῦμα, καὶ ἐς τὴν γῆν. καὶ ἅμα τὸ ἀντλεόμενον ἐν τῷ φρέατι, ἀεὶ διακινέει τὸ πνεῦμα, ὥσπερ ῥιπίς. καὶ ποιέει αὐτὸ, ψῦχος παρέχειν τῷ ὕδατι. τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ' ἑστηκὸς, πυκνὸν ἐὸν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα ἐς ἑωυτὸ ἀπὸ τῆς γῆς· οὐδὲ ἐς τὴν γῆν ἀπ' ἑωυτοῦ ἀποδίδωσι. καὶ ἅμα ἀπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος,[53] οὐ σκιδναμένου ἐν τῷ φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεται πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς· ἔπειτα τὸ ἕτερον ἐπὶ τῷ ἑτέρῳ

ἐς τὸ κάτω

ἐς τὸ κάτω διαδίδωσι τὴν θερμασίην. καὶ διὰ τοῦτο τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, θερμότερόν ἐστι τοῦ ἀντλεομένου. αἵ τε πηγαὶ αἱ βαθεῖαι μάλιστα τοῦ θέρεος ἀεὶ ψυχραί εἰσι. καὶ ἀρυσθὲν τὸ ὕδωρ τοῦ χειμῶνος τῆς γῆς θερμῆς ἐούσης, ἐκ ταύτης τὸ μὲν παραυτίκα θερμόν ἐστιν. ὅταν δὲ χρόνος διίῃ, ψυχρόν ἐστιν ὑπὸ τοῦ ἠέρος δηλονότι γινόμενον, ψυχροῦ ἐόντος. ἐξαεροῦται γὰρ ὑπὸ τοῦ ἀνέμου, καὶ τὸ πνεῦμα δι' αὐτοῦ διηθέει. καθάπερ καὶ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀρυσθῇ, ψυχρὸν αὐτίκα ἐστί. θερμὸν δὲ γίνεται διὰ τόδε· ὅτι τῆς γῆς ἀραιῆς ἐούσης, καὶ πνεύματος ἐόντος ἐν αὐτῇ, ψύχεται. ὅταν δὲ ἀρυσθέντι χρόνος ἐγγένηται, στάσιμον γίνεται καὶ θερμὸν ὁρᾶται. θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος, θερμοῦ ἐόντος. ὥσπερ καὶ τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ φρέατι τοῦ θέρεος, διὰ τοῦτο θερμὸν γίνεται. ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. ἀναλήψομαι δὲ αὖθις, ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρόν ἐστι· τοῦ δὲ χειμῶνος, θερμόν. τὸ δὲ ἄνω τῆς γῆς, τοὐναντίον τούτου. καὶ δεῖ τῷ δενδρέῳ, μὴ δύο θερμὰ ὁμοῦ προσγίνεσθαι, μὴ δὲ δύο ψυχρὰ ὁμοῦ, ἢν μέλλῃ ὑγιαίνειν· ἀλλ' ἢν μὲν ἐκ τοῦ ἄνωθεν προσγίνηται θερμόν, ἐκ τοῦ κάτωθεν δεῖ ψυχρὸν αὐτῷ προσγίνεσθαι. καὶ πάλιν, ἢν ἐκ τοῦ ἄνωθεν προσέλθῃ ψυχρόν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν αὐτῷ προσγίνεσθαι. αἵ τε ῥίζαι ὅταν ἑλκύσωσι, τῷ δενδρέῳ προσδιδόασι, καὶ τὸ δένδρεον τῇσι ῥίζῃσι. καὶ γίνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ. ὥσπερ τῷ ἀνθρώπῳ ἐσιόντων ἐς τὴν κοιλίην σιτίων, ὅσα πεσσόμενα θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ ποτοῦ. οὕτω καὶ τῷ δενδρέῳ δεῖ ἀνταποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω, καὶ ἀνάπαλιν. καὶ αὔξεται τὸ δένδρεον, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω διὰ τόδε, ὅτι ἡ τροφή ἐστι καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν. καὶ ἕως μὲν ἂν ἁπαλὸν ἔῃ σφόδρα, οὐ καρποφορεῖ. οὐ γάρ ἐστιν αὐτῷ πίειρα δύναμις, οὐδὲ παχείη, ἥτις ἐς καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστιν. ὁκόταν δὲ χρόνος ἐγγένηται, τότε ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρεῖαι γινόμεναι, ποιεῦνται ἐν αὐτῷ ἐκ τῆς γῆς πίειραν καὶ παχείαν τὴν ῥύσιν. ὁ δὲ ἥλιος διαχέων αὐτήν, ποιέει ἐκζέειν ἅτε κούφην ἐοῦσαν ἐς τὰ ἄκρα καὶ καρποῦσθαι. καὶ τὴν μὲν λεπτὴν ἰκμάδα, ἀπὸ τοῦ καρποῦ ἀποφέρει· τὴν δὲ παχείην, πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει. τὰ δὲ οὐ καρποφορέοντα τῶν δενδρέων, οὐκ ἔχει πῖαρ ἐν αὐτοῖσιν, ὅσον ἐς τὸν καρπὸν ἐκδώσεται. τὸ δὲ πᾶν δένδρεον ὁκόταν ὑπὸ χρόνου στερεωθῇ, καὶ λάβηται ἐκ τῆς κάτω τῇσι ῥίζῃσιν, ἤδη βεβαίως πέπαυται αὐξόμενον πάντῃ. ὁκόσοισι δὲ ἐς δένδρεα ἀφ' ἑτέρων δενδρέων ὀφθαλμοὶ ἐνετέθησαν, καὶ δένδρεα γινόμενα ἐν τοῖσι δένδρεσι, ζῇ καὶ καρποφορεῖ καρπὸν οὐχ ὅμοιον οἷσιν ἐγκείμενά ἐστιν. ἔστι δ' ὅπως τοιῶσδε τοῦτο γίνεται. ξυμβαίνει τῷ ὀφθαλμῷ, πρῶτον μὲν βλαστάνειν. τροφὴν γὰρ εἶχε, πρῶτον μὲν ἀπὸ τοῦ δενδρέου, ἀφ' οὗ ἀπηωρήθη. ἔπειτα ἐν ᾧ ἐνετέθη. ὁκόταν δὲ βλαστήσῃ, οὕτως μεθίησιν ἐς τὸ δένδρεον ῥίζας ἀπ' αὐτοῦ λεπτάς. καὶ πρῶτον ἀπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔγκειται. ἔπειτα χρόνου ἐγγενομένου, ἀφίησι ῥίζας ἐς τὴν γῆν, διὰ τοῦ ἐν ᾧ ἐνετέθη. καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκον τὴν ἰκμάδα. καὶ τροφὴ αὐτῷ ἐκεῖθέν ἐστιν. ὥστε μὴ θαυμάζειν ἑτερόκαρπα εἶναι τὰ ἐντεθέντα τῶν δενδρέων. ζῇ γὰρ ἀπὸ τῆς γῆς. ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν, διὰ τόδε, ὅτι οὐχ οἷόν τε ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν. ἀναβήσομαι δὲ αὖθις ὀπί-

ad imum vsque, caliditatem suam communicat. Eaq; causa est cur aqua, quæ æstate non hauritur, eâ, quæ hauritur, sit calidior. Quin & fontes multùm profundi, æstate semper frigidi sunt, & aqua ex iis per hyemem hausta, quãdo terra calet, ea quidem calida est, intercedẽte verò tempore frigida est, ab aëre scilicet frigido refrigerata. A vento quippe perflatur, & per eam spiritus percolatur. Quemadmodum etiã aqua per æstatẽ protinus ac hausta fuerit, frigida est, eamq; ob causam calescit. Refrigeratur siquidem quòd terra rara sit, & spiritum in se contineat. At postquam hausta fuerit, si tempus intercedat, quia immota manet, calida cõspicitur. Incalescit siquidem ab aëre calido, non secus ac putealis aqua per æstatem, quæ non hauritur, ob idipsum calida redditur. Ac ista quidem hac de re à me dicta sunt. Rursus autẽ repetam, quòd inferior terræ pars æstate frigida est, hyeme verò calida. Superior autem terræ pars, contrariò se habet modo. Neque arbori opus est, si modò valere debeat, geminum simul calorem aut frigus adesse. Verùm si superiore quidem parte calor adsit, inferiore refrigerari oportet, contraque, si superiore parte frigus accedat, eam inferiore parte incalescere necesse est. Ac radices vbi attraxerint, arbori communicant, arborq; radicibus, sicque calidi & frigidi mutua fit dispensatio. Atq; haud aliter quam in homine ingestis in ventriculum cibis, qui dum concoquuntur, calefaciunt, frigiditatẽ à potu reddi oportet, sic & in arbore, mutua quædam retributio ex imis ad summa, & contrà, fieri debet. Ideoq; tum inferiore, tum superiore parte arbor increscit, quòd alimentum ex inferioribus & superioribus partibus capessat. Et quandiu tenella admodum fuerit, fructum non profert. Neque enim vis illi pinguis & crassa inest, quæ ad fructum satis esse possit. Procedente verò tempore, tunc iam ampliores venæ effectę, in eam ex terra pinguem & crassum humoris fluxum deducunt, quem sol diffundens, & cùm leuis sit, efferuescentem in summas partes educit, fructumq; profert, & ab eo tenuem quidem humorem deducit, crassiorem verò concoquens & calefaciens condulcat. Quæ verò arbores fructum non ferunt, non tantã habent in se pinguedinem, quæ in fructum consumatur. Quęcunq; autem arbor temporis spatio robur acceperit, & firmas radices egerit, iam penitus omni ex parte crescere desiit. At verò arbores, quæ ex aliarum inoculatione proueniunt, eæ non illarum similem, in quas insitæ sunt, fructum ferunt. Quod hoc modo cõtingit. Principio quidem oculus germinare incipit, cùm siquidem alimentũ habeat, primùm quidem ab arbore à qua auulsus est, tum verò ab ea in quam insitus est. Vbi pullularit, tenues ex se radices in arborem demittit, primumque arboris humore, in quam insitus est, fruitur. Deinde temporis spatio radices in terram demittit, per eam in quam insitus est, & attracto è terra humore fruitur, indeq; alimentum sumit: vt proinde minimè mirum videri debeat, si insitæ arbores alios fructus proferant, cùm è terra viuant. Hæc quidem de arboribus & fructibus istam ob causam dicta sunt, quòd imperfecta oratio relinqui à me non debuerit. Nunc verò ad ea reuertar,

quorum gratia ista à me dicta sint. Quæ ex terra nascuntur, ea omnia ex terræ humore viuere assero, & quemadmodum terræ humor habet, ita & se habere, quæ ex ipsa oriuntur. Sic & puer in vtero ex matre viuit, & vt valet mater, ita & puer. Quòd si quis, quæ de istis dicta sunt, ab initio ad finem vsque secum reputare volet, is eorum quæ è terra nascuntur, & hominum naturam per omnia similem esse comperiet. Ac de his satis. At verò puer vbi in vtero existit, manibus ad genas adhæret, caputq; pedibus proximum habet, neq; certò dignoscere queas, etiamsi puerum in vtero videas, vtrum caput sursum, an deorsum vergat. Verùm quę eum sustinent membranæ, ex vmbilico protendũtur. Nunc verò rationem eam explicabo, quam paulò antea me demonstraturum dixi, quæ, quãtum humanum ingenium consequi potest, aperta est iis omnibus, qui ea de re nosse volẽt, quòd genitura membrana continetur, & in eius medio vmbilicus extat, per quem primùm spiritum ad se attrahit, & foras emittit, quódque ex vmbilico membranæ protenduntur. Quin & reliquam pueri naturam, velut à me demonstrata est, ita prorsus se habere comperiet, qui his argumentis, quæ à me proferentur, vti volet. Si quis enim oua viginti, aut etiam plura, gallinis duabus, aut pluribus, vt excludantur, supponat, & singulis diebus, à secundo exorsus, ad vltimum vsque, quo oui putamen detrahetur, subtrahat, frangat, diligenter inspiciat, is eo, quo dixi, modo, omnia se habere deprehendet, si modo auis naturam cum humana conferre licet. Ex vmbilico enim membranæ protendi, aliaq; omnia quæ de puero dicta sunt, eodem prorsus se habere modo in ouo gallinaceo comperies. Quanquam, qui hæc nondum obseruauit, is in ouo gallinaceo vmbilicum inesse mirabitur. Atqui ista ad hunc, quæ à me dicta sunt, modum, se habere conspiciũtur. Quando verò mulieri partus instat, tum se mouente puero, & manibus ac pedibus se iactante, membranam quandam internam abrumpi contingit. Qua rupta cæteræ imbecilliores fiunt, primumq; rumpuntur, quæ illam contingunt, deinde postrema. Ruptis autem membranis, tum fœtus vinculo exoluitur, & agitatus foras prodit. Neque enim laxatis membranis quicquam ampliùs virium habet, neq; vteri puerum ampliùs continere possunt, laxatis vti dixi membranis & ab ipsis ablatis. Et membranæ quæ puerum circumplectuntur, nõ admodum magna vi vtero adhærescunt. Cùm verò puer prodit, vtero dilatato, qui mollis est, vi sibi viam aperit, & in caput fertur, si secundum naturam exierit. Grauissimæ enim ei sunt superiores partes, ex vmbilico libratæ. Quãdiu autem in vteris manet, validior semper euadit, dum membranas decimo mense perrumpat, quando matri partus instat. Quòd si vis quædam puero cõtingat, etiam ante præfinitũ tempus ruptis membranis foras prodit. Quinetiam si alimento à matre priùs destituatur, sic quoque ante tempus matri partio ingruit, & ante decimum mensem puer egreditur. At verò si quæ vltra decem menses vtero gestare sibi visæ sunt, (quod iam sa pè audiui) eæ hoc, quem referam, modo fallunt.

οὗ εἵνεκά μοι λέγω τάδε ἀμφὶ τῶνδε εἴρηται. φημὶ γὰρ τὰ ἐν τῇ γῇ φυόμενα, πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος, καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν. οὕτω καὶ τὸ παιδίον ζῇ ἀπὸ τῆς μητρὸς, ἐν τῇσι μήτρῃσι. καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. ἢν δέ τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων, ἐξ ἀρχῆς ἐς τέλος εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν, τῶν τε ἐκ γῆς φυομένων, καὶ τὴν τῶν ἀνθρώπων. καὶ ταῦτα μοι ἐς τοῦτο εἴρηται. τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσιν ἐὸν, τὰς χεῖρας ἔχει πρὸς τῇσι γνάθοισι, καὶ τὴν κεφαλὴν πλησίον τοῖν ποδοῖν. καὶ οὐκ ἔστιν ἀτρεκέως κρῖναι, οὐδ' ἂν ἴδῃς ἐν τῇσι μήτρῃσι τὸ παιδίον, πότερον τὴν κεφαλὴν ἄνω ἔχει ἢ κάτω. ἐκ δὲ τοῦ ὀμφαλοῦ τεταμένοι εἰσὶν οἱ ὑμένες, αἱ ἔχοντες αὐτό. νῦν δὲ ἐρέω τὴν διάγνωσιν, ἣν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον, ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ ἐμφανέα ἐοῦσαν, πᾶσι τοῖς θέλουσιν εἰδέναι τούτου πέρι. ὅτι ἡ γονὴ ἐν ὑμένι ἐστί. ἐπὶ δὲ μέσον αὐτοῦ ὁ ὀμφαλὸς ἐστί. κἀκείνη πρῶτον τὸ πνεῦμα ἕλκει ἐς ἑωυτὴν, καὶ μεθίησιν ἔξω. καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσί. καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου ἣν εἴρηκα, ὧδε ἔχουσαν εὑρήσεις πᾶσαν, μέχρις ἐς τέλος, ὅκως μοι ἐν τοῖσι λόγοισιν ἀποπέφανται, εἰ βούλεταί τις τοῖσιν τεκμηρίοισιν, ὁκόσοισι μέλλω λέγειν, χρῆσθαι. εἰ γάρ τις ἐθέλει ὠὰ εἴκοσιν ἢ καὶ πλείονα ὅκως ἐκλεπισθῇ, ὑποθεῖναι ἀλεκτορίσιν, εἴτε δύο εἴτε καὶ πλείοσι, καὶ ἑκάστης ἡμέρης ἀπὸ τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὑστάτης ἢ ἐκλέψει τὸ ὠὸν, ἀφαιρέων καὶ καταγνύων, σκοπῶν, εὑρήσει ἔχοντα πάντα κατὰ τὸν ἐμὸν λόγον, ὡς χρὴ ὄρνιθος φύσιν ξυμβάλλειν ἀνθρώπου φύσει. ὅτι γὰρ ὑμένες εἰσὶν ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι, καὶ τὰ ἄλλα ὁπόσα εἴρηται περὶ τοῦ παιδίου, οὕτως ἔχοντα ἐν τῷ ὠῷ τῷ ὀρνιθείῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος. καί τοι ἤν τις μηδέπω εἶδε, θαυμάσει ἐν ὀρνιθείῳ ὠῷ ἐνεόντα ὀμφαλόν. ἔχει δὲ ὧδε τάδε. καὶ ταῦτα δέ μοι ὧδε εἴρηται. ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, ξυμβαίνει τότε τῷ παιδίῳ κινεομένῳ, καὶ ἀσκαρίζοντι χερσί τε καὶ ποσὶ, ῥῆξαί τινα τῶν ὑμένων τῶν ἔνδον. ῥαγέντος δὲ ἤδη ἑνὸς, καὶ οἱ ἄλλοι ἀκιδνοτέρην δύναμιν ἔχουσι. καὶ ῥήγνυνται πρῶτον μὲν, οἱ κείνου ἐχόμενοι ἔπειτα ὁ ὕστατος. ὁκόταν δὲ ῥαγῶσιν οἱ ὑμένες, τότε λύεται ἀπὸ τοῦ δεσμοῦ τὸ ἔμβρυον καὶ χωρέει ἔξω κλονηθέν. οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων. οὐδὲ αἱ μῆτραι δύνανται ἐπὶ τὸ παιδίον ἴσχειν, τῶν ὑμένων, ὡς ἔφην προδόντων, καὶ τούτων ἀπενεχθέντων. προσλαμβάνονται γὰρ οἱ ὑμένες καὶ τῶν μητρέων ὁκόταν ἀμφὶ τὸ παιδίον ἑλίσσονται οὐ πολλῇ δυνάμει. ὁκόταν δὲ χωρέῃ τὸ παιδίον, βιῆται καὶ εὐρύνει τὰς μήτρας ἐν τῇ διεξόδῳ, ἅτε ἁπαλὰς ἐούσας. χωρέει δὲ ἐπὶ κεφαλὴν, εἰ κατὰ φύσιν ἴῃ. βαρύτατα γάρ ἐστιν αὐτῷ, τὰ ἄνω ἐκ τοῦ ὀμφαλοῦ σταθμεόμενα. ἐν δὲ τῇσι μήτρῃσι ἐνεὸν, εἵλκει τὸ πλεῖστον χρόνον εἰς τὴν τῶν ὑμένων κατάρρηξιν, ἅμα δεκάτῳ μηνὶ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγένηται. ἢν δὲ βίαιόν τι πάθημα πάθῃ τὸ παιδίον, καὶ πρόσθεν τοῦ ὁρισμένου χρόνου ῥαγέντων τῶν ὑμένων ἐξέρχεται. καὶ ἢν ἡ τροφὴ πρόσθεν λήξῃ ἀπὸ τῆς μητρὸς τῷ παιδίῳ, καὶ οὕτω πρόσθεν ὁ τόκος τῇ μητρὶ παραγίνεται. θᾶσσον δὲ δέκα μηνῶν ἐξέρχεται. ἀλλ' ὅσαι δὴ ἔδοξαν πλείονα χρόνον δέκα μηνῶν ἔχειν, ἤδη γὰρ τοῦτο πολλάκις ἤκουσα, ἐξηπάτηνται δὲ τρόπῳ τοιῷδε, ὃν μέλλω ἐρεῖν.

ὁκόταν αἱ μῆτραι πνεῦμα λάβωσιν ἐς σφᾶς αὐτὰς ἀπὸ τῆς κοιλίης φύσης παρεχούσης καὶ ἐξαρθῶσι. γίνεται γὰρ τοῦτο, δοκέουσι δὴ αἱ γυναῖκες πρὸς σφᾶς ἔχειν τότε. καὶ ἢν καταμήνια μὴ χωρέοντα ξυστραφῇ ἐν τῇσι μήτρῃσι, καὶ ἐπὶ χρονιώτερα, αἰεὶ διχωρέοντα ἐς τὰς μήτρας· ἔστι μὲν ὅτε ξὺν τῷ ἀπὸ τῆς κοιλίης πνεύματι· ἔστι δ' ὅτε καὶ θερμαινόμενα. καὶ δὴ καὶ τότε ἐν γαστρὶ δοκέουσιν ἔχειν αἱ γυναῖκες, ἅτε τῶν καταμηνίων μὴ χωρεόντων, καὶ τῶν μητρέων ἠρμένων. εἶτα ἔστιν ὅτε τὰ καταμήνια ἐρράγη αὐτόματα, ἢ ἑτέρων ἐπικατελθόντων ἀπὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατενεχθέντων τὰ πρότερα, καὶ φῦσα ἐξῆλθε, καὶ 10 πολλῇσιν ἤδη εὐθέως μετὰ τὴν τῶν καταμηνίων κάθαρσιν αἱ μῆτραι ἔχασμον, καὶ κατὰ τὸ αἰδοῖον ἐτράφησαν, καὶ τηνικαῦτα μιχθεῖσαι ἀνδράσιν, ἔλαβον πρὸς σφᾶς τὸν γόνον, αὐθημερὸν ἢ ἅμα ὀλίγῃσιν ἡμέρῃσιν. λογίζονται δ' αἱ ἄπειροι τούτων τοῦ λόγου καὶ τῶν πρηγμάτων ἐκεῖνον τὸν χρόνον ἐν γαστρὶ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι, καὶ αἱ μῆτραι ἠρμέναι ἐτύγχανον. ὅτι δ' οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν ἐν γαστρὶ ἔχειν, ἐγὼ φράσω. ἡ τροφὴ καὶ ἡ αὔξησις ἡ ἀπὸ τῆς μητρὸς κατιοῦσα, οὐκ ἔτι ἀρκέουσα τῷ παιδίῳ ἐστὶν, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι καὶ τὸ ἔμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀπὸ τοῦ 20 αἵματος ἐς ἑωυτὸ τὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον. ὁκόταν δ' αὐτῷ σπανιώτερα ταῦτα γένηται, καὶ ἁδρὸν ἔῃ τὸ παιδίον, ποθέον πλείονα τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει καὶ τοὺς ὑμένας ῥήγνυσι. καὶ μᾶλλον τοῦτο πάσχουσιν αἱ τῶν γυναικῶν πρωτοτόκοι. ἐπιλείπει γὰρ τοῖσι παιδίοισιν ἡ τροφὴ ἐς τὸ ἀρκέσαι, ἄχρις αὖ τῶν δέκα μηνῶν. ἐπιλείπει δὲ διὰ τρόπον τοιόνδε. εἰσὶ τῶν γυναικῶν τινες, αἳ μὲν, ἀρκέοντα τὰ καταμήνια καθαίρονται, αἱ δὲ, ἐλάσσονα. τοῦτο δὲ ἢν αἰεὶ γίνηται ἐν φύσει καὶ ἐν γένει, μητρόθεν σφίν ἐστιν. αἱ δὲ τὰ καταμήνια ὀλίγα μεθιεῖσαι, αὗται καὶ τοῖς παι- 30 δίοισι, τοῦ χρόνου τὸ ὕστατον, ὅταν ἤδη ἁδρὸν ἔῃ, τὴν τροφὴν σπανιωτέρην παρέχουσαι, ποιέουσιν ἀσκαρίζειν, καὶ πρόσθεν τῶν δέκα μηνῶν ἐξελθεῖν ἐπείγει. ὀλίγον γὰρ ἀπὸ τῶν νέων μητρῶν χωρέει τὸ αἷμα. ὡς δὲ καὶ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει, καὶ ἀγαλάκτους εἶναι ταύτας τὰς γυναῖκας, τὰς ὀλίγα τὰ καταμήνια μεθιείσας. ξηρότεραι γὰρ καὶ πυκνοσαρκότεραί εἰσιν. τούτῳ δὲ τῷ λόγῳ ὅτι ἐπιλειπούσης τῆς τροφῆς ἐξέρχεται τὸ ἔμβρυον, ἢν μή τι αὐτῷ βίαιον πάθημα προσπέσῃ, καὶ ἴσδελον τόδε ἐστί· τὸ ὄρνεον γίνεται ἐκ τοῦ ᾠοῦ τοῦ χλωροῦ, τρόπῳ τοιῷδε· ἐπικαθεζομένης τῆς μητρὸς 40 θερμαίνεται τὸ ᾠόν. καὶ τὸ ἐν τῷ ᾠῷ ἐνεὸν, ἀπὸ τῆς μητρὸς κινέεται. θερμαινόμενον δὲ πνεῦμα ἴσχει τὸ ἐν τῷ ᾠῷ ἐνεὸν, καὶ ἀντισπᾷ ἕτερον ψυχρὸν ἀπὸ τοῦ ἠέρος, διὰ τοῦ ᾠοῦ. τὸ γὰρ ᾠὸν ἀραιόν ἐστιν οὕτως, ὡς πνοὴν ἑλκομένην ἀρκέουσαν, διϊέναι τῷ ἔνδον ἐόντι. καὶ αὔξεται τὸ ὄρνεον ἐν τῷ ᾠῷ. καὶ διαρθροῦται τρόπῳ τῷ αὐτῷ τε καὶ παραπλησίῳ, ὥσπερ καὶ τὸ παιδίον, ὥς μοι ἤδη καὶ πρότερον εἴρηται. γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ᾠοῦ τὸ ὄρνεον. τροφὴν δὲ καὶ αὔξησιν ἔχει, τὸ λευκὸν τὸ ἐν τῷ ᾠῷ. τοῦτο ἤδη πᾶσιν ἐμφανὲς ἐγένετο, ὁκόσοι προσέσχον τὸν νόον. ὁκόταν δὲ ἐπιλείπῃ ἡ τροφὴ τῷ νεοσσῷ ἐκ τοῦ ᾠοῦ, οὐκ ἔχον ἀρκέουσαν ἀφ' ἧς ζήσεται, κινέεται ἰσχυρῶς ἐν τῷ ᾠῷ, ζητέον τροφὴν πλείονα. καὶ οἱ ὑμένες περιέρρηγνυνται. καὶ ὁκόταν ἡ ὄρνις αἴσθηται τοῦ νεοσσοῦ κινηθέντα ἰσχυρῶς, κολάψασα ἐξέλεψεν. καὶ ταῦτα ξυμ-

Cum vteri à ventre flatum suppeditãte spiritu distenduntur & intumescunt (id enim contingit) tunc mulieres se concepisse existimant. Et si menses minimè prodeuntes in vteris collecti fuerint, longioremque moram fecerint, subinde alij eò confluunt, interdum quidem flatibus, qui à ventre procedũt, permixti, interdum verò incalescentes. Tunc quoque sanè non prodeuntibus mensibus, & in tumorem sublatis vteris, mulieres vtero sibi gestare vidẽtur. Deinde quandoque menses sua sponte erumpunt, aut cùm alij insuper ad vteros ferantur, & priores deturbent, etiam flatus egreditur, ac multis iam statim post mẽstruam purgationem vteri dehiscunt, & ad pudendum conuertuntur, atque eo tempore cum viris congressę, eodem ipso die, vel paulò pòst, concipiunt. Atq; harum rationum ac rerum ignaræ, eo tempore se concepisse reputant, quo menses suppressi erant & vteri intumuerant. Cur autem nõ longiore quàm decem mensium spatio, fœtum vtero gestari contingat, referam. Post exactos decem menses, vbi fœtus grandior est, alimentum & incrementum, quod à matre demittitur, non ampliùs puero sufficere potest. Quod enim in sanguine dulcissimum est, ad sese attrahit, simulq; aliquãtula lactis portione fruitur. Quæ cùm ipsi pauciora sint, puerque iam plenior factus, plus alimenti quàm adsit, requirat, ipse sese iactans, membranas disrumpit. Idque frequentiùs experiuntur mulieres quę primùm pariunt. Neque enim pueris alimentum ad decimum mensem satis esse potest. Quod ad hunc modum deficit. Mulieribus quibusdam quidẽ menstruę purgationes abundantes, quibusdam pauciores expurgantur. Quod si in natura & in genere semper cõtingat, ipsis vterinum est. At quibus pauciora menstrua effluunt, hæ pueris quoq; sub postremum tempus, vbi iam auctiores fuerint, cùm parcius alimẽtum suppeditent, eos vt iactentur cogunt, & vt ante decimum mensem prodeant, compellunt. Paucus enim sanguis de iuuenculis matribus fertur. Vt plurimùm verò, quę pauca menstrua demittunt, eas sine lacte esse contingit. Sicciores enim sunt, & densiore corporis habitu. Quòd verò deficiente alimento fœtus exeat, nisi vis quædam inferatur, hoc argumento comprobatur. Auis ex oui luteo nascitur hoc modo. Vbi mater insidet, ouum incalescit, & quod in ouo continetur, à matre agitatur, concalfactumq; spiritum concipit, & alium frigidũ ab aëre per ouum attrahit. Ouum enim adeò rarum est, vt attractum spiritum satis copiosum ei, quod intus est, transmittat. Et increscit auis in ouo, & eodem prorsus consimiliq; modo in membra distinguitur, velut puer, vti iã antea à me dictum est. Procreatur autem auis ex oui luteo, alimentum verò & incrementum continet, quod in ouo est candidum. Quod omnibus qui animum aduerterint, conspicuum esse potest. Cùm autem alimentum ex ouo pullo deficit, neque satis ei suppetit vnde viuat, copiosius alimentum postulans, vehementer mouetur in ouo, & membranę circumcirca disrumpuntur. Et vbi auis pullum vehementer moueri senserit, putamen tundendo excauans, ipsum excludit. Atq; hæc

intra viginti dies contingere solent, idq; ita se habere manifestum est. Nam vbi volucris oui testam cōtundendo excauarit, nihil penitus humoris, quod alicuius sit momenti, in ea inest, quòd totus in pullum absumptus sit. Sic etiam cùm puer increuerit, mater ei sufficiens alimentum ampliùs suppeditare nō potest. Plus itaq; alimenti quàm quod adsit fœtus postulans, sese iactando membranas disrumpit, simulq; vinculis solutus foras prodit. Atque ista, vt longissimè, decimo mense contingunt. Eaq; est ratio, cur brutis & feris eo ipso tempore, quo quæque parere consueuit, nec tardiùs, partus ingruat. Vnicuiq; enim animanti tempus esse necesse est, in quo fœtui parcius alimentum suppetat ac deficiat, tumq; partio instet. Et quæ quidem minùs alimenti fœtui suppeditant, celeriùs pariunt, quæ verò plus, tardiùs. Atque de his quidem hactenus. Puer autem, vbi circuncirca disruptæ sunt membranæ, siquidem suo momento in caput magis inclinet, facilè mulier parit. Quòd si in latus, aut in pedes prodeat, (id enim sæpiùs contingit, si illuc momētum vergat, vel propter vteri amplitudinem, vel si mater in ipso partus dolore primùm quiescere nō potuerit) si sic inquam prodeat, difficilem partum mulier sentiet. Iam verò ex his plurimę, vel ipsi fœtus, vel vnà etiam cū suis fœtibus matres periere. Ex puerperis autem præcipuè laborant, quæ primos partus experiuntur, eò quòd doloribus non assueuerint, & totum quidem corpus dolor occupat, præcipuè verò lumbos & coxendices, quæ ipsis diducuntur. Quæ verò magis partus expertæ sunt, minores dolores sentiunt, quàm quæ primùm pariunt. At quæ multoties peperēre, omnium minimè dolent. Quòd si fœtus in caput feratur, primùm caput foras prodit, deinde alia membra consequūtur, postremus est vmbilicus, ex quo secundæ dependēt. Post hæc humor exit cruentus, à capite & reliquo corpore vi doloris & caloris secretus, qui viam partus purgamentis facit. Post exitum autem saniei, purgatio procedit, quo ante dictum est tempore. Et tum mammæ, tum aliæ partes humidiores, mulieribus effunduntur, minimùm quidem in ea quæ primùm parit, ac in aliis deinceps, quò plures partus expertæ sunt, eò magis offenduntur, venis à puerperij purgamentis euacuatione exinanitis. Atque ista à me hac de re dicta sunt. Gemelli autem ex vno veneris complexu procreantur ad hunc modum. Vteri sinus plures & incuruos habent, hos quidē longiùs distantes, illos verò pudendo viciniores. Et ex animalibus, quæ plura gignunt, plures sinus habent, quàm quæ pauca. Quod in auibus, feris & volucribus ad eūdem se habet modum. Cùm genitura ad duos sinus diuisa peruenerit, eamq; vteri receperint, neq; sinus alter ad alterum transmiserit, ea vtroque sinu separata, membrana vestitur, vitamq; eo modo accipit, quo & vnus fœtus, de quo hæc diximus. Quòd verò ex vno congressu gemini procreentur, hoc argumento constat. Canis, sus, & alia animalia, vno cōgressu duos & plures fœtus pariunt, quorum quisq; in vtero suo sinu & membrana conditur. Atq; hæc ipsi contingere cernimus, eosq; omnes eodem vt plurimùm die parere. Ad eundem quoque modum in muliere, ex vno veneris complexu nati gemelli, vterque suo sinu & inuolucro

τροφὴ γίνεται, ἐν εἴκοσιν ἡμέρῃσι. καὶ ἐμφανές ἐστιν, ὅτι ὧδε ἔχει. ὁκόταν γὰρ κατάξῃ τὸ ὄρνεον, ἐπὶ τοῖσι λεπυρίοισι τοῦ ᾠοῦ, ὑγρὸν ἔνεστιν οὐδὲν, ὅ,τι καὶ ἄξιον λόγου. ἐξαναλοῦται γὰρ ἐς τὸν νεοσσόν. οὕτω δὲ καὶ τὸ παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δύναται ἡ μήτηρ τροφὴν παρέχειν ἀρκέουσαν. ζητέον οὖν πλείω τροφὴν τῆς παρεούσης τὸ ἔμβρυον, ἀσπαρίζον ῥήγνυσι τοὺς ὑμένας. καὶ λυθὲν τοῦ δεσμοῦ, χωρέει ὁμοῦ ἔξω. καὶ ταῦτα γίνεται ἐν δέκα μησὶ τὸ μακρότατον. καὶ κατὰ τοῦτον τὸν λόγον, καὶ τοῖσι κτήνεσι καὶ τοῖσι θηρείοισιν, ὁ τόκος παραγίνεται ἐν χρόνῳ ᾧ ἕκαστον τίκτει οὐ μακρότερον. ἑκάστῳ γὰρ τῶν ζώων ἀνάγκη ἐστὶ χρόνον εἶναι, ἐν ᾧ ἡ τροφὴ ἀσθενεστέρη ἔσται τῷ ἐμβρύῳ καὶ ἐπιλείψει, καὶ ὁ τόκος παρέσται. καὶ τὰ μὲν ἐλάσσω τροφὴν ἐν τοῖσιν ἐμβρύοισιν ἔχοντα, θᾶσσον τίκτει. τὰ δὲ πλείω, ὕστερον. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. τὸ δὲ παιδίον ὅταν περιρραγῶσιν οἱ ὑμένες, [67] ἢν μὲν δὴ ἐπικρατήσῃ ἡ ἐπὶ τὴν κεφαλὴν ῥοπὴ, ῥηϊδίως τίκτει ἡ γυνή. ἢν δὲ πλάγιον ἢ ἐπὶ πόδας χωρήσῃ, γίνεται γὰρ οὕτω πολλάκις, [68] ἢν οὕτως ἡ ῥοπὴ τύχῃ, γινομένη ἢ ὑπὸ εὐρυχωρίης τῶν μητρέων, ἢ καὶ ἢν ἡ μήτηρ ἐν τῇ ὠδῖνι μὴ ἡσυχάσῃ τὸ πρῶτον. κἢν οὕτω χωρέῃ, χαλεπῶς τέξεται ἡ γυνή. πολλαὶ δὲ ἤδη ἢ αὐταὶ ὤλοντο, ἢ τὰ παιδία, ἢ ἅμα αἱ μητέρες, καὶ τὰ ἐν αὐτῇσιν. ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσιν αἱ πρωτοτόκοι, διὰ τὴν ἀπειρίην τῶν πόνων. καὶ πονέουσι μὲν πᾶν τὸ σῶμα· μάλιστα δὲ τὴν ὀσφῦν τε καὶ τὰ ἰσχία. διΐστανται γὰρ σφέων τὰ ἰσχία. αἱ δὲ μᾶλλον ἔμπειροι τόκων, ἧσσον πονέουσι τῶν πρωτοτόκων. αἱ δὲ πολυτόκοι, πάμπαν ἧσσον πονέουσι. ἢν δὲ ἐπὶ κεφαλὴν ἴῃ τὸ ἔμβρυον, ἡ κεφαλὴ πρῶτον ἔξω χωρέει· ἔπειτα τὰ ἄλλα μέλεα ἑπόμενα. ὕστατος δὲ ὁ ὀμφαλός. ἐκ δὲ τοῦ ὀμφαλοῦ, [69] τὸ χορίον τεταμένον ἐστί. μετὰ δὲ ταῦτα, [70] ὕδρωψ ἔρχεται αἱματώδης, ἀπό τε τῆς κεφαλῆς, καὶ τοῦ ἄλλου σώματος, ἀποκριθεὶς ὑπὸ βίης τε καὶ πόνου καὶ θέρμης. καὶ ὁδὸν ἀφηγήσατο τῇ τῶν λοχίων καθάρσει. μετὰ δὲ τὴν ἔξοδον τοῦ ἰχῶρος, ἡ κάθαρσις γίνεται, χρόνον τὸν πρόσθεν εἰρημένον, [71] καὶ οἵ τε μαζοὶ καὶ τὰ ἄλλα μέλεα ὁκόσα ὑγρότερά ἐστι καταρρήγνυται τῶν γυναικῶν, ἥκιστα μὲν ἐν τῷ πρώτῳ τόκῳ. ἔπειτα δὲ, ὡς αἱ πλειόνων πειρέωνται τόκων, ἔτι μᾶλλον καταρρήγνυται διακενουμένων τῶν φλεβῶν ὑπὸ τῆς καθάρσιος τῶν λοχίων. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. [72] δίδυμα δὲ γίνονται ἀφ᾽ ἑνὸς λαγνεύματος, οὕτως. ἔχουσιν αἱ μῆτραι κόλπους συχνοὺς καὶ γαμψοὺς τοὺς μὲν τηλοτέρω, τοὺς δὲ πλησιαιτέρω τοῦ αἰδοίου. καὶ τὰ πολύγονα τῶν ζώων, πλείους ἔχει κόλπους, τῶν ὀλίγα κυεόντων. ὁμοίως δὲ καὶ τὰ πρόβατα, θηρία τε καὶ ὄρνεα. ὅταν δὲ ἡ γονὴ τύχῃ σχισθεῖσα εἰς δύο κόλπους ἀφικομένη, καὶ αἱ μῆτραι δέξωνται τὴν γονὴν, οἵ κόλποι τε μὴ ἕτερος [73] πρὸς τὸν ἕτερον χαλάσῃ, ἡ χωρισθεῖσα ἐν ἑκατέρῳ κόλπῳ, ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπῳ, ὥσπερ καὶ τὸ ἓν οὗ εἵνεκεν εἴπομεν. ὅτι δὲ ἀφ᾽ ἑνὸς λαγνεύματος δίδυμα γίνεται, ἱστόριον τόδε. ἐστὶ κύων καὶ ὗς καὶ ἄλλα ζῶα, ὅσα ἀφ᾽ ἑνὸς λαγνεύματος τίκτει καὶ δύο καὶ πλείονα, καὶ ἕκαστον τῶν ζώων ἐν τῇσι μήτρῃσιν, ἐν κόλπῳ [74] καὶ ὑμένι ἐστί. καὶ ταῦτα αὐτοὶ ὁρέομεν γινόμενα. καὶ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπὶ τὸ πλεῖστον. ὧδε δὲ καὶ τῇ γυναικὶ ἀπὸ μιῆς μίξιος γινόμενα τὰ παιδία, ἑκάτερον ἐν κόλπῳ καὶ χορίῳ ἐστί.

καὶ

ἐστι. καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα, καὶ τὸ πρότερον θάτερον χωρέει ἔξω, καὶ τὸ χωρίον αὐτοῦ. ὅτι δὲ θῆλυ καὶ ἄρσεν δίδυμα γίνεται, φημὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, καὶ ἐν παντὶ ζώῳ, ἑκάστῳ γονῆς ἐνεῖναι καὶ ἀσθενεστέρην καὶ ἰσχυροτέρην. καὶ οὐκ ἐς ἅπαξ χωρέει ἡ γονὴ, ἀλλὰ καὶ ἐς δὶς καὶ τρὶς ἀποβαίνεται. καὶ οὐκ αὐτὸν ἀεὶ ὁμοίως εἶναι πάνυ ἰσχυρὸν, τό, τε πρόσθεν ἐξιὸν, καὶ τὸ ὕστερον. ἐς ὁκότερον ἂν οὖν τῶν κόλπων τύχῃ ἡ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη ἐσιοῦσα, κεῖθι ἄρσεν γίνεται. ἐς ὁκότερον δὲ ἡ ὑγροτέρη καὶ ἀσθενεστέρη, κεῖθι θῆλυ γίνεται. ἢν δὲ ἐς ἄμφω ἰσχυρὴ εἰσέλθῃ, ἄμφω ἄρσενα γίνεται. ἢν δὲ ἀσθενὴς ἐς ἄμφω, ἄμφω θήλεα γίνεται. οὗτος ὁ λόγος ὧδε εἰρημένος ἅπας, τέλος ἔχει.

conditur, & eadem die in lucem prodit, alterumque prius cũ suo inuolucro foras egreditur. Quod autem ex gemellis vnus mas sit, alter fœmina, id ideò contingere asseuero. In muliere & in viro, & in quouis animalium genere, in vnoquoque tum imbecillior, tum valentior genitura inest, neq; vnico impetu genitura procedit, sed & secunda & tertia iactatione emittitur, neque fieri potest, vt quæ priùs & quæ posteriùs exit, eiusdem sint roboris. Quemcunque ergo sinum crassior validiorq; genitura subierit, in eo mas procreatur, quemcunq; verò humidior ac imbecillior, in eo fœmella generatur. At si in vtrunque valida subeat, ambo mares nascuntur, sin debilis vtrunque, ambo fœmellæ. Atque omnis ista oratio, ad hunc exposita modum, ad finem perducta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΑΡΚΩΝ.

HIPPOCRATIS DE CARNIBVS, LIBER.

Ἐγὼ τὰ μέχρι τοῦ λόγου τούτου κοινῇσι γνώμῃσι χρέομαι ἑτέρων τε τῶν ἔμπροσθεν, ἀτὰρ καὶ ἐμεωυτοῦ. ἀναγκαίως γὰρ ἔχει κοινὴν ἀρχὴν ὑποθέσθαι τῇσι γνώμῃσι βουλόμενον ξυνθεῖναι τὸν λόγον τόνδε περὶ τῆς τέχνης τῆς ἰητρικῆς. περὶ δὲ τῶν μετεώρων, οὐδὲν δέομαι λέγειν, ἢν μὴ τοσοῦτον ἐς ἄνθρωπον ἀποδείξω, καὶ τὰ ἄλλα ζῶα, ὁκόσα ἔφυ καὶ ἐγένετο· καὶ ὅτι ψυχή ἐστιν· καὶ ὅτι τὸ ὑγιαίνειν καὶ ὅτι τὸ κάμνειν· καὶ ὅτι τὸ ἐν ἀνθρώπῳ κακὸν καὶ ἀγαθὸν, καὶ ὅθεν ἀποθνήσκει. νῦν δὲ ἀποφαίνομαι αὐτὸς ἐμεωυτοῦ γνώμας. [2] δοκέει δέ μοι ὃ καλέομεν θερμὸν, ἀθάνατόν τε εἶναι καὶ νοέειν πάντα καὶ ὁρῆν καὶ ἀκούειν καὶ εἰδέναι πάντα καὶ τὰ ὄντα, καὶ τὰ μέλλοντα ἔσεσθαι. τοῦτο οὖν τὸ πλεῖστον, ὅτε ἐταράχθη πάντα ἐξεχώρησεν εἰς τὴν ἀνωτάτω περιφορήν. [3] καὶ ὀνομῆναί μοι αὐτὸ δοκέουσιν οἱ παλαιοὶ αἰθέρα. ἡ δευτέρη μοῖρα [4] κάτωθεν αὐτὴ καλέεται μὲν γῆ ψυχρὸν καὶ ξηρὸν καὶ πουλὺ κινοῦν· καὶ ἐν τούτῳ ἔνι δὴ πουλὺ τοῦ θερμοῦ. ἡ δὲ τρίτη μοῖρα, καὶ τοῦ ἠέρος μέσον χωρίον εἴληφε θερμόν τι ὄν. ἡ δὲ τετάρτη τοῦ ἐγγυτάτω πρὸς τῇ γῇ ὑγρότατόν τε καὶ παχύτατον. κυκλεομένων δὲ τούτων ὅτε οὖν ἐταράχθη, ἀπελείφθη τοῦ θερμοῦ πουλὺ ἐν τῇ γῇ ἄλλοθι. τὰ μὲν, μεγάλα· τὰ δὲ, ἐλάσσω· τὰ δὲ καὶ πάνυ σμικρὰ [6] πλῆθος πολλά. καὶ τῷ χρόνῳ ὑπὸ τοῦ θερμοῦ ξηραινομένης τῆς γῆς, ταῦτα καταλειφθέντα περὶ αὐτὰ, σηπεδόνας ποιέει [7] οἷον περὶ χιτῶνας. καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανεν ἐκ τῆς γαίης σηπεδόνος λιπαρόν τε ἐὸν καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον, τάχιστα ἐξεκαύθη καὶ ἐγένετο ὀστέα. ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα δὲ θερμαινόμενα οὐκ ἠδύνατο ἐκκαυθῆναι, [8] οὐδὲ μὴν τοῦ ὑγροῦ γενέσθαι, ἀλλὰ τοῦτο εἶδος ἀλλοιότερον ἔλαβε τῶν ἄλλων, καὶ ἐγένετο νεῦρα στερεά. [9] οὐδὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτοῖσι. αἱ δὲ φλέβες τοῦ ψυχροῦ εἶχον πουλύ. καὶ τούτου τοῦ ψυχροῦ τὸ μὲν πέριξ, ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ

Eqvidem adhuc vsque communibus sententiis, tum eorum, qui ante me fuerunt, tum etiam meis vsus sum. Necesse enim est eum, qui hanc de arte Medica tractationem suscipere volet, cõmune sententiis principium ponere. De cœlestibus autem rebus & in sublimi positis nihil dicere attinet, nisi quantum conferunt ad demonstrandum de homine & de reliquis animantibus, quòd ex his constant & procreata sunt, quódq; animo sunt prædita, & quòd sanitas & morbus, quódque in homine inest boni vel mali, & mors ipsa inde proficiscitur. Nunc verò ipse meam sententiam proferam. Quod calidum vocamus, id mihi immortale esse videtur, cunctaque intelligere, videre & audire, sentireq; omnia tum præsentia tũ futura. Cuius pars maxima, cùm omnia perturbata essent, in supremum ambitũ secessit, quod mihi veteres videntur Æthera appellasse. Altera pars locum infimũ sortita, terra quidem appellatur, frigida & sicca, multasque motiones habens, & in qua multùm sanè calidi inest. Tertia verò pars medium aëris locum nacta est, calidum quid existens. Quarta pars terræ proximum locum obtinẽs, humidissima & crassissima. His igitur in orbem agitatis, cùm turbata essent, calidi magna pars aliàs in terra relicta est, partim quidẽ magna, partim verò minor, aliàs etiam valde parua, sed in multas partes diuisa. Et temporis successu resiccata terra, ista in ea tanquam in membranis contenta, circum se putredines excitant. Ac longo tempore incalescens, quod quidem ex terræ putredine pinguedinem sortitũ est, & minimum humidi habet, id citissimè exustum, ossa produxit. Quæ verò naturam glutinosiorem sortita sunt, & frigidi communionem habent, ea neq; calefacta exuri potuerunt, neq; etiam humida fieri, ideò formam longè ab aliis diuersam nacta sunt, & nerui solidi extiterunt, cùm non multũ in iis frigidi inesset. At venæ frigidi multum habebãt, cuius pars circumcirca ambiens, & quod erat glutinosissimum, à calido

exassatū, membrana extitit. Quod verò erat frigidum à calido superatum, dissolutum est, ideoq; humidum euasit. Ad eandem omninò rationē, fauces, gula, venter, & intestina ad podicem vsq; caua extiterunt. Frigido enim semper incalescente, quod in eius ambitu glutinosum erat exassatum est, & ambiēs membrana tunica euasit. Quod verò frigidū intus erat, quoniam in ipso neq; pingue, neq; glutinosum multum inerat, colliquatum est, & humidum extitit. Eadem quoque vesicæ ratio fuit: frigidum multum relictū in eius ambitu, à calido calefactum & dissolutum, humidū extitit, cùm neq; in eo pingue, neque glutinosum inesset. Quod verò superfuit tunica euasit. Sed & alia quę caua sunt ad eundem habent se modum. Vbi enim glutinosum pingue superauit, membrana in tunicā euasit. Et vbi pingue supra glutinosum abūdauit, ossa extiterunt. Ossium verò eadem est ratio. Vbi enim glutinosum minimè inerat, sed pingue & frigidū abundauit, id celeriter propter pinguedinem exustū fuit, ossaq; durissima & maximè solida facta sunt. Vbi verò pingue & glutinosum simili portione respōdent, hæc ossa sunt fistulosa. Ac de his quidem hæc videtur esse ratio. Frigidum quidem densat, calidū verò dissipat, longo etiā interposito tempore exiccat. Quòd si quid pinguedinis affuerit, citiùs exurit & exiccat. Verùm vbi glutinosum cum frigido affuerit, citra pinguedinem exuri non solet, sed temporis successu incalescēs cōdensatur. At verò cerebrum frigidi & glutinosi sedes est & matrix, calidum verò pinguedinis sedes & matrix. Quod enim dum incalescit primùm omnium diffunditur, pingue fit. Atq; iccirco cerebrum, quòd minimum pinguis, plurimum verò glutinosi habeat, à calido exuri nequit, sed temporis spatio tunicā membranam, videlicet crassam, nactū est, circa membranam verò ossa, ex eo quod calidū superauit, & in quo pingue inerat. Medulla etiā, quæ dorsalis appellatur, à cerebro ducitur, & neq; in ipsa multum pinguis, neq; glutinosi inest, non aliter quàm cerebro, eáq; ob causam neq; medullæ nomine iure donatur. Neq; enim reliquorum ossiū medullæ similis est, cùm sola membranas habeat, quas alia medulla non habet. Atq; horū manifesta sunt indicia, quòd, si quis neruosa & glutinosa, itemq; alia assare volet, cætera quidem citò assentur, neruosa tamen & glutinosa assari nequeant, cū minimum pinguedinis habeant, quod verò dulcissimum est & pingue, celerrimè assatur. At verò viscera hoc modo mihi constare videntur. Et de venis quidē antea à nobis dictum est. Cor autē multum glutinosi & frigidi obtinet, quod à calido calefactū, caro dura & viscida euasit, ipsumq; membrana inuolutū cauum factū est, non quēadmodum venæ, & ad venæ maximè cauæ caput annexum est. Duæ enim sunt à corde venæ cauæ, & hęc quidem arteria, illa verò vena caua nominatur, iuxta quam cor positū habet. Arteria verò calidi plus continet quàm vena caua, & spiritus penus est. Ac præter has duas venas, aliæ quoq; in corpore insunt. Quæ autē valde caua est, & cordi annectitur, ventrem totum & septum transuersum peruadit, & in vtrunq; renem & lumbos scinditur, tūq; alias in partes, tum in vtrūq; crus fertur. Quinetiam supra cor ad arteriam, partim quidem dextra, partim etiam sini-

ἐξοπτηθὲν μῆνιγξ ἐγένετο.[10] ὃ δὲ ψυχρὸν ἐὸν ἐκρατήθη ὑπὸ τοῦ θερμοῦ, διελύθη καὶ ἐγένετο ὑγρὸν διὰ τοῦτο. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ φάρυγξ, καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ, καὶ τὰ ἔντερα ἐς τὸν ἀρχὸν, κοῖλα ἐγένοντο. τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου, τὸ μὲν περὶξ ἐξωπτήθη ὅσον αὐτοῦ κολλῶδες ἦν, καὶ ἐγένετο χιτὼν ὁ περὶ αὐτὸν μῆνιγξ.[11] ὃ δὲ ἐντὸς τοῦ ψυχροῦ, οὐ γὰρ ἐνῆν ἐν αὐτῷ, οὔτε λιπαρὸν, οὔτε κολλῶδες πουλὺ ἐνετάκη καὶ ἐγένετο ὑγρόν. κατὰ δὲ αὐτὸν λόγον καὶ ἡ κύστις πολὺ ψυχρὸν ἀπολειφθὲν[12] ὃ περὶξ αὐτῆς ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, διελύθη καὶ ἐγένετο ὑγρόν. οὐ γὰρ ἐνῆν ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος. ὅσα δὲ περιῆν χιτὼν ἐγένετο. ἀτὰρ καὶ περὶ τῶν ἄλλων ὅσα κοῖλα τὸν αὐτὸν ἔχει τρόπον. ὅκου μὲν ἦν τοῦ κολλώδεος πλέον ἢ τοῦ λιπαροῦ, χιτὼν, μῆνιγξ ἐγένετο. ὅκου δὲ τοῦ λιπαροῦ πλέον ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο. ωὐτὸς δὲ λόγος καὶ τῶν ὀστέων. ὅκου μὲν μὴ ἐνῆν τοῦ κολλώδεος, τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ, ἐξεκαίετο θᾶσσον διὰ τὸ λιπαρόν. καὶ ταῦτα τῶν ὀστέων σκληρότατα[13] καὶ στριφνότατα. ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες παραπλήσια. ταῦτα δὲ τῶν ὀστέων, σηραγγώδεα. περὶ μὲν τουτέων οὕτως. τὸ μὲν ψυχρὸν, πήγνυσιν· τὸ δὲ θερμὸν, διαχέει.[14] ἐν δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ. ὅκου δὲ τοῦ λιπαροῦ ξυνῇ τι, τουτέοισι θᾶσσον ἐκκαίει καὶ ξηραίνει. ὅκου δὲ αὖ κολλῶδες ξυνῇ τῷ ψυχρῷ ἄνευ τοῦ λιπαροῦ, οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον πήγνυται. ὁ δὲ ἐγκέφαλος,[15] ἐστι μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος. τὸ δὲ θερμὸν τοῦ λιπαροῦ μητρόπολις. θερμαινόμενον γὰρ τὸ πρῶτον πάντων διαχεόμενον, λιπαρὸν γίνεται, καὶ διὰ τοῦτο ἐγκέφαλος, ὅτι ὀλίγιστον ἔχει τοῦ λιπαροῦ, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δύναται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ. ἀλλ' ἐν τῷ χρόνῳ χιτῶνα μήνιγγα παχείην ἔλαβεν. περὶ δὲ τὴν μήνιγγα ὀστέα ὁκόσον τὸ θερμὸν ἐκράτησεν. καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν, καὶ ὁ μυελὸς ὁ καλεόμενος νωτιαῖος, καθήκει ἀπὸ τοῦ ἐγκεφάλου. καὶ οὐκ ἔστιν ἐν ωὐτῷ τοῦ λιπαροῦ ἢ τοῦ κολλώδεος πολὺ, ὥσπερ καὶ τῷ ἐγκεφάλῳ. διὰ τοῦτο οὐκ ἂν δικαίως[16] καὶ αὐτῷ εἴη μυελὸς οὔνομα. οὐ γὰρ ὁμοίως τῷ ἄλλῳ μυελῷ ὡς ἐν τοῖσιν ἄλλοισιν ὀστέοισιν ἔνι. μοῦνος γὰρ μήνιγγας ἔχει, ὁ δὲ ἄλλος οὐκ ἔχει. τεκμήρια δὲ τουτέων σαφέα, εἴτις ἐθέλοι ὀπτᾶν νευρώδεά τε καὶ κολλώδεα. καὶ τὰ ἄλλα δὲ τὰ μὲν ἄλλα, ταχὺ ὀπτᾶται· τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα, οὐκ ἐθέλει ὀπτᾶσθαι. ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ.[17] τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται. τὰ δὲ σπλάγχνα, ὧδέ μοι δοκεῖ ξυστῆναι. περὶ μὲν οὖν τῶν φλεβῶν, εἴρηταί μοι πρότερον. ἡ δὲ καρδίη, πολὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει. καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον. καὶ μῆνιγξ περὶ αὐτήν. καὶ ἐκοιλώθη, οὐχ ὥσπερ φλέβες. καὶ ἔστιν ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης. τῇ μὲν οὔνομα ἀρτηρίη· τῇ δὲ κοίλη φλέψ. πρὸς ᾗ ἡ καρδίη ἐστίν. καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ἢ ἡ κοίλη φλέψ καὶ ταμιεύει τὸ πνεῦμα. πρὸς δὲ τῇσι τοῖν φλεβοῖν ἄλλαι κατὰ τὸ σῶμα. ἡ δὲ κοιλοτάτη φλέψ πρὸς ᾗ ἡ καρδίη, διὰ τῆς κοιλίης ἁπάσης διήκει καὶ διὰ τῶν φρενῶν. καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν. καὶ ἐπὶ τῇ ὀσφύϊ σχίζεται καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα, καὶ ἐς ἑκάτερον σκέλος. ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι, τὰ μὲν, ἐπὶ δεξιὰ τὰ δὲ ἐπ' ἀρι-

ἐπ' ἀριστερά. καὶ τότε ἐπὶ τὴν κεφαλὴν ἄνεισι, καὶ ἐν τοῖσι κρο-
τάφοισι σχίζεται ἑκατέρη. ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέ-
βας τὰς μεγίστας. ἐνὶ δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς, καὶ ἀπὸ
τῆς ἀρτηρίης ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶ-
μα. κοιλόταται δὲ γὰρ αἱ παρὰ τῇ καρδίῃ καὶ τῷ αὐχένι καὶ τῇ κε-
φαλῇ, καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων. καὶ τὸ θερ-
μὸν πλεῖστον [18] ἐν τῇσι φλεψὶν καὶ τῇ καρδίῃ. καὶ διὰ τοῦτο
πνεῦμα ἡ καρδίη ἔχει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀν-
θρώπῳ. ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, ὅτι θερμόν ἐστι τὸ πνεῦ-
μα. ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεί, καὶ τὸ θερ- 10
μότατον πλεῖστον ἔνι ἐν τῇσι φλεψίν. καὶ διὰ τοῦτο πνεῦμα
ἡ καρδίη ἕλκει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ.
ἔστι δὲ καὶ ἄλλως γνῶναι. [19] πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι
ὁκόταν ἄνεμος μὴ εἰσπνέῃ, φλὸξ κινέεται, τοτὲ μὲν, μᾶλλον,
τοτὲ δὲ, ἧσσον. [20] καὶ λύχνος καιόμενος τὸν αὐτὸν τρόπον κινέεται.
τοτὲ μὲν, μᾶλλον, τοτὲ δὲ, ἧσσον, ἀνέμου οὐδενὸς κινέοντος,
ὅν τινα καὶ ἡμεῖς οἷοί τε ἐσμὲν γινώσκειν πνέοντα. καὶ τροφή ἐστιν
τῷ θερμῷ τὸ ψυχρόν. [21] τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ συνέχον
τὰ χείλεα μύζει ἐκ τῶν μητρέων τῆς μήτρης, καὶ ἕλκει τὴν
τε τροφὴν, καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω. τοῦτο γὰρ θερ- 20
μότατόν ἐστιν ἐν τῷ παιδίῳ, ὁκόταν περ ἡ μήτηρ ἀναπνέῃ.
τοῦτο δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερ-
μὸν, καὶ τοῖς ἄλλοις πᾶσιν. εἰ δέ τις ἐρωτοίη πῶς τοῦτο εἰδέ-
ναι, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μύζει, [22] τάδε αὐ-
τῷ ἐστιν ἀποκρίνασθαι. κόπρον ἔχοντα ἐν τοῖσιν ἐντέροι-
σιν γίνεται, καὶ ἀποπατέει ἐπειδὰν γένηται τάχιστα καὶ οἱ ἄν-
θρωποι καὶ τὰ πρόβατα, [23] καίτοι οὐκ ἂν εἶχε κόπρον εἰ
μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν. οὐδ' ἂν θηλάζειν τὸν μαζὸν
ἠπίστατο γινόμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. καὶ
περὶ μὲν τῆς κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει. 30
ὁ δὲ πνεύμων παρὰ τῇ καρδίῃ ἐγένετο ὧδε. τοῦ ὑγροῦ ὁκό-
σον ἦν κολλωδέστατον ἡ καρδίη θερμὴ ἐοῦσα, ταχὺ ἐξήρα-
νεν, ὅκως περ ἀφρὸν καὶ ἐποίησεν σηραγγῶδες καὶ φλέβια
πολλὰ ἐν αὐτέῳ. διὰ δὲ τοῦτο ἐποίησεν τὰ φλέβια. ὁκόσον
ἐν τῷ κολλώδει ἐνῆν ψυχρὸν τοῦτο μὲν ὑπὸ τοῦ θερμοῦ
διετάκη, καὶ ἐγένετο ὑγρόν. τὸ δὲ ἀπὸ τοῦ κολλώδεος, αὐτὸς ὁ
χιτών. τὸ δὲ ἧπαρ ὧδε ξυνέστη. ξὺν τῷ θερμῷ [24] πουλὺ τοῦ
ὑγροῦ ἀποληφθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ, ἐ-
κράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ καὶ ἐπάγη. τεκμήριον δέ μοι
τόδε. ὁκόταν σφάξῃ τις ἱερεῖον, τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν 40
ἐστιν τὸ αἷμα· ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη. ἢν δέ τις αὐτὸ τι-
νάσσῃ, οὐ πήγνυται. αἱ γὰρ ἶνές εἰσι ψυχραὶ καὶ κολλώδεες. ὁ δὲ
σπλὴν ὧδε συνέστη. ξὺν τῷ θερμῷ καὶ κολλώδει καὶ τοῦ θερ-
μοῦ πλεῖστον, τοῦ δὲ ψυχροῦ ἐλάχιστον· τοσοῦτον μόνον, ὁκόσον
πῆξαι τὸ κολλῶδες αὐτό. ὅ εἰσιν αἱ ἐνοῦσαι ἐν τῷ σπληνί.
καὶ διὰ τὰς ἶνας ταύτας, μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης.
οἱ δὲ νεφροὶ, ξυνέστησαν ὧδε. ὀλίγον τοῦ κολλώδεος, τοῦ θερ-
μοῦ ὀλίγον. τοῦ ψυχροῦ πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου καὶ
ἐγένετο σκληρότατον τὸ σπλάγχνον, καὶ ἥκιστα ἐρυθρὸν, ὅτι οὐ πουλὺ τοῦ θερμοῦ ξυνέστη. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν σαρ-
κῶν. τὸ μὲν ψυχρόν, ἔστησε καὶ ξυνέπηξε καὶ ἐποίησε σάρκα· τὸ δὲ κολλῶδες, τρώγλαι ἐγένοντο. [25] ἐν δὲ τῇσι τρώγλῃσι ταύ-
τῃσι τὸ ὑγρόν, ὥσπερ καὶ ἐν τῇσι φλεψὶν, τῇσι μεγάλῃσιν. τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι, [26] πλεῖστον δὲ τῷ σώματι

stra tendit, moxq; ad caput ascendit, & in tempora v-
traq; scinditur. Possunt aūt & maximæ venæ numero
recenseri, sed vt vno verbo cōprehendam, à vena caua,
& ab arteria reliquæ venæ in totum corpus dispersæ
sunt. Sunt autē maximè cauæ, quæ ad cor, ceruicem,
& caput tendunt, & infra cor ad coxendices vsq;. Ca-
lidumq; plurimum in venis & corde inest, eamq; ob
causam spiritum cor in se continet, quòd sit omnium
quæ in homine sunt membrorum maximè calidum.
Quòd autem spiritus sit calidus, facilè intelligas. Cor
& venæ cauæ semper mouentur, calidiq; plurimùm
in venis inest, & quia ex omnibus hominis membris
cor sit maximè calidum, eam ob causam spiritū attra-
hit. Id verò & aliter cognoscas licet. Si quis ignem in
domo, in qua nullus ventus spiret, accendere volet,
flāma modò minùs, modò magis mouetur. Sed & lu-
cerna accensa ad eundem modū, modò magis, modò
minùs agitatur, nullo, quem quidē spirare sentiamus,
vento mota, frigidumq; calido alimētum est. At verò
puer dum in vtero est, cōpressis labris ex matris vtero
tum alimētum sugit, tum etiam spiritum, qui in puero
calidissimus est, vbi sanè mater respirat, in cor attra-
hit. Quinetiā hoc calidū reliquo corpori & omnibus
aliis partibus motū præbet. Quòd si quis roget, vnde
hoc quis noscit, quòd puer in vtero trahat & sugat,
hoc illi respondere licet. Pueri cùm in lucē prodeunt,
stercus in intestinis habere conspiciuntur, & simul ac
in lucem editi sunt, tùm homines, tū pecora, id iis per
ventrem secedit. Atqui neq; stercus haberet, nisi in v-
tero sugeret, neq; vt primùm puer natus est, vbera su-
gere nosset, nisi in vtero suxisset. Ac de cordis quidem
& venarum motione, ad hunc se res habet modum.
Pulmo autem iuxta cor sic extitit. Quod in humido
glutinosissimum erat, cor calefaciēs, celeriter exicca-
uit, veluti spumam, & fistulosum reddidit, multisque
venulis respersit. At venulas eam ob causam cōdidit.
Quod in glutinoso inerat frigidi, id ipsum à calido col
liquatum, humidum est redditū, quod verò glutinosi
fuit reliquum, in ipsam tunicam abiit. Iecur verò hūc
in modum constitutum est. Humido multo cū calido
relicto, absq; glutinoso & pingui, frigidum superauit
calidū, & cōdensatum est. Cuius rei hoc à me propo-
nitur argumentū. Cùm quis victimam iugulat, quan-
diu sanguis calidus est, liquidus etiam manet, vbi verò
perfrixit, concrescit. Quòd si quis ipsum agitet, mini-
mè concrescit, quòd fibrę nimirū glutinosę sint & fri-
gidę. At lien hunc in modū constitutus est. Cū calido
& glutinoso, calidi quidē plurimùm, frigidi verò mi-
nimum remansit, quantum scilicet ipsum glutinosum
cogat, quod fibræ ipsæ in liene existentes constituūt,
propter quas mollis & fibrosus ipse redditur. At renes
hoc modo compacti sunt. Glutinosi parum, parumq;
calidi à plurimo frigido cōdensatum est, & viscus du-
rissimum extitit, & minimùm rubrum, quòd nō mul-
tùm calidi simul coierit. Eadem quoque de carnibus
ratio est, frigidū quidē carnem constituit, cōdensauit
& fecit, glutinosum autē in foramina abiit, in quibus,
velut in magnis venis, humidū inest. Calor per vniuer
sum corpus spargitur, isq; plurimus in corpore inest,

& multum frigidi in humido, nimirum quantum humidum condensare queat, verùm à calore superatum ab eo diffunditur. Quòd autem humidũ sit calidum, sic ostenditur. Si quis corporis humani particulã quãcunq; volet, secet, sanguis calidus effluet, & quandiu quidem calidus fuerit, liquidus erit. Vbi verò, tum ab insito, tum ab externo frigido perfrixerit, pellicula & mẽbrana obducitur. Qua detracta, si quis pauco tempore sinat, aliam enatam pelliculam videbit, eamq; si quis semper auferat, alia à frigido pellicula producetur. Sed huius rei gratia longior sum, vt ostẽdam corporis summum aeri obuersum, à frigido & ventis ingruentibus necessariò pelliculam cõtrahere. Articuli verò hunc in modum producti sunt. Quãdo ossa constituta sunt, quod quidẽ in his pingue fuit, celerrimè exustum est, queãdmodum superiore oratione à nobis dictum fuit. Quod autem ex his glutinosum erat, id cùm peruri nequiret, medio loco inter vstũ & exiccatum comprehensum, à calido in neruos & mucum transiit. In mucum verò, quatenus quod ex glutinoso humidissimum erat, calefactum crassius euasit, cùm humidum esset, indeq; mucus extitit. Ex hoc ipso autem glutinoso vngues producti sunt. Quod enim in eo maximè est humidũ, ab ossibus & articulis semper in vngues foras secedit, & à calore exiccatum & arefactum glutinosum redditur. Dẽtes autem postremi istam ob causam gignuntur. Ex capitis & maxillarum ossibus glutinoso incrementum accedit, & pingue quod inest, à calido exiccatũ exuritur, & dentes fiunt reliquis ossibus duriores, quoniam nihil frigidi inest. Ac primi quidem dẽtes ex victus ratione in vtero nascuntur, & vbi in lucem editus est puer, ex lacte, dum mãmam sugit. Cùm verò hi exciderint, ex cibo & potu. Excidunt autem, vbi ad primi alimẽti annos deuenerint, quibusdam etiam priùs, si ex morbido alimẽto pullularint, plurimis verò cùm ad annos septem peruenerint. At qui postea nascuntur, ad senectutem vsq; remanent, nisi ex morbo corrumpantur. Istã verò ob causam dentes reliquis partibus tardiùs oriuntur. In maxilla venæ sunt, eæq; huic ossi inter omnia ossa ex ventre inferiore alimentũ exhibent. Ossa autẽ qualia quidem sunt, tale dant incrementum, vt & reliqua omnia tale exhibent incrementũ, qualia ipsa existunt. Venæ enim quæ per ventrem & intestina feruntur, in quibus cibi & potus coaceruantur, vbi hi incaluerint, id quod est tenuissimum & humidissimum attrahũt, crassissimum autem isthic relictũ, in inferioribus intestinis in stercus abit. Tenuissimũ, inquam, venę trahunt ex ventre & intestinis quæ supra ieiunũ sunt, vbi cibi incaluerint. Qui superato ieiuno in inferiora intestina collecti, in stercus abeunt. At postquã alimentum eò peruenerit, vnumquodq; eam quã habuerat formam cuiq; reddit. Irrigata nanq; alimento singula incrementũ accipiunt, calidum, frigidũ, glutinosum, pingue, dulce, amarũ, & ossa, & reliqua omnia quæ in homine insunt. Ideoque posteriùs dentes producuntur. Dictum autem à me etiã est antea, maxillas solas inter ossa venas in sese habere, vt proinde copiosius ad eas alimentum, quàm ad reliqua ossa trahatur.

[27] καὶ τοῦ ψυχροῦ πολὺ ἐν τῷ ὑγρῷ· τοσοῦτο δέ ἐστι τοῦ ψυχροῦ, [28] ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν· ἀλλὰ νενίκηται ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ. ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστιν. εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὁκοῦ ἐθέλοι, ῥυήσεται αἷμα θερμόν. καὶ τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρὸν ἔσται· ἐπειδὰν δὲ ψυχθῇ, ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ, καὶ τοῦ ἐκτὸς ἐγένετο δέρμα καὶ ὑμήν. καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα, ἐάσειεν ὀλίγον χρόνον, ὄψεται ἄλλο δέρμα γινόμενον. εἰ δέ τις τοῦτο αἰεὶ ἀφαιρέοι, ἄλλο δέρμα γίνοιτ' ἂν πρὸς τοῦ ψυχροῦ. 10 τούτου δὲ εἵνεκα πλείω ἔλεξα τέως ἀποδείξω, ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τὸν ἠέρα ἀναγκαίως ἔχει δέρμα γενέσθαι ὑπὸ τοῦ ψυχροῦ, καὶ τῶν πνευμάτων προσβαλλόντων. τὰ δὲ ἄρθρα ὧδε ἐγένετο. ὅτε τὰ ὀστέα ξυνίστατο, ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ. ὁκόσον δὲ αὐτέων κολλῶδες ἦν, τοῦτο δὲ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀποληφθὲν [29] τοῦ καιομένου ξηραινομένου ὑπὸ τοῦ θερμοῦ νεῦρα καὶ σίαλον ἐγένετο. τὸ δὲ σίαλον, ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν, τοῦτο θερμαινόμενον, παχύτερον ἐγένετο ὑγρὸν ἐόν· καὶ ἀπὸ τούτου 20 σίαλον ἐγένετο. οἱ δὲ ὄνυχες ἀπὸ τουτέου ἐγένοντο τοῦ κολλώδεος. ἀπὸ γὰρ τῶν ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ [30] τὸ ὑγρότατον αὐτέου ἀπιὸν κολλῶδες γὰρ ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον καὶ ἐξαυαινόμενον [31] ῥέει ἐς ὄνυχας. οἱ δὲ ὀδόντες ὕστερον γίνονται, διὰ τόδε. ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖν γνάθοιν ἡ αὔξησις γὰρ τοῦ κολλώδεος [32] τοῦ λιπαροῦ. τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται, καὶ γίνονται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔστι τοῦ ψυχροῦ. καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης ἐν τῇ μήτρῃ καὶ ἐπὴν γένηται ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ. ἐπειδὰν δὲ 30 οὗτοι ἐκπέσωσιν ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. ἐκπίπτουσι δὲ ἐπειδὰν ἐπὶ τὰ ἔτεα εἴη τῆς πρώτης τροφῆς, ἔστι δὲ καὶ οἷς πρότερον ἢν ἀπὸ νοσερῆς τροφῆς φύσωσιν. τοῖς δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται. οἱ δὲ μεταφύοντες συγκαταγηράσκουσιν, ἢν μὴ ὑπὸ νούσου διαφθαρῶσι. διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων. [33] ἐν τῇ γνάθῳ φλέβες εἰσί, καὶ ἐν τῇ κάτω κοιλίῃ μούνοισι τῶν ὀστέων, αὗται τὴν τροφὴν παρέχουσι τῶν ὀστέων. τὰ δὲ ὀστέα τοιαύτην αὔξησιν ὁποῖά περ ἐστίν. καὶ τὰ ἄλλα δὲ πάντα, τοιαύτην ἀποδίδωσιν αὔξησιν, ὁποῖα αὐτὰ ἐστίν. [34] καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος 40 τῶν ἐντέρων, εἰς ἃ συλλέγεται τά σιτία καὶ τὰ ποτά, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον. [35] τὸ δὲ παχύτατον αὐτέου καταλείπεται, καὶ γὰρ κόπρος ἐν τοῖσιν ἐντέροισι τοῖσι κάτω. τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος [36] καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος θερμαινομένων τῶν σιτίων. ἐπὴν δὲ παρέλθῃ τὴν νῆστιν, ἐς τὰ κάτω ἔντερα ξυνεστράφη καὶ κόπρος ἐγένετο. ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται ἕκαστον, τοιαύτην ἀπέδωκε τὴν εἰδέην ἑκάστου οἵα περ ἦν. ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα, τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ κολλῶδες, καὶ τὸ λιπαρόν, καὶ τὸ γλυκύ, καὶ τὸ πικρόν, καὶ τὰ ὀστέα, καὶ τὰ ἄλλα ξύμπαντα, ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἐστί. διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται. εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσιν αὗται ἐν ἑωυτῇσι. καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ ἐς τὰ ἄλλα ὀστέα.

[37] καὶ πλείονα

[37] καὶ πλέονα τῆς τροφῆς ἔχοντα καὶ ἀθροωτέρην τὴν ἐπίρροιαν, ἀποτίκτει αὔξησιν αὐτὰ ἀφ' ἑωυτέων τοιαύτην, οἷά περ ἐστὶν αὐτὰ, τέως ἄν περ καὶ ἄνθρωπος ὅλος αὐξάνηται. αὐξάνεται δὲ, ἐπὴν γένηται ἐπίδηλος. ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπταετέος μέχρι τεσσαρεσκαιδεκαταίου. καὶ ἐν τούτῳ τῷ χρόνῳ, οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται καὶ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσιν, οἳ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ. αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, [38] ἐν ᾗ νεηνίσκος γίνεται μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων. καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων, [39] οὓς καλέουσι σωφρονιστῆρες. αἱ δὲ τρίχες φύονται ὧδε. ὀστέα εἰσὶ καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τοῦ περιὲξ κολλώδεος, ὅπως περ τοῖσι νεύροισιν, καὶ τοῦ λιπαροῦ οὐκ ἔνεστιν. εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ἐκ τοῦ θερμοῦ. τάχα δὲ θαυμάσειεν ἄν τις ὅτι καὶ ἐν τῇσι μασχάλῃσι [40] καὶ ἐν τῷ ἐπισείῳ τρίχες πολλαὶ καὶ ἐν τῷ σώματι πάντῃ εἰσίν. [41] οὗτος ὁ λόγος περὶ τούτου. ὅπου τοῦ σώματος τὸ κολλῶδές ἐστιν, ἐνταῦθα αἱ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ. ἀκούει δὲ διὰ τόδε. τὰ τρήματα τῶν οὐάτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν ὅμοιον λίθῳ. τοῦτο δὲ πέφυκε πρὸς ὀστέον κοίλωσις σηραγγώδης. οἱ δὲ ψόφοι ἀπερείδονται πρὸς τὸ σκληρόν. τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ. τὸ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστιν ὥσπερ ἀράχνιον, ξηρότατον τοῦ ἄλλου δέρματος. τεκμήρια δὲ πολλὰ, ὅτι ξηρότατον ἠχεῖ μάλιστα. ὅταν δὲ μέγιστον ἠχήσῃ τότε μάλιστα ἀκούομεν. καὶ εἰσί τινες, οἳ ἔλεξαν φύσιν ξυγγράφοντες, ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων. τοῦτο δὲ οὐκ ἂν γένοιτο. αὐτὸς μὲν γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστι καὶ μῆνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχείη καὶ περὶ τὴν μήνιγγα ὀστέα. οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ ξηρά. τὰ δὲ ἠχέοντα, ἀκοὴν ποιεῖ. ὀσφραίνεται δὲ ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν αὐτὸς τῶν ξηρῶν, ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι [42] διὰ τῶν βρογχίων ξηρῶν ἐόντων. προσήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα. καὶ ταύτῃ αὐτῷ οὐκ ἔστιν ἐπιπροσθεν ὀστέον οὐδέν, ἀλλὰ χονδρίον μαλακὸν ὅκωσπερ σπόγγος, οὔτε κρέας, οὔτε ὀστέον. καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ὀσμᾶσθαι τῶν ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερός ἐστιν. ὕδατος γὰρ οὐκ ὀδμᾶται. ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου ἐὰν μὴ σαπῇ. σηπόμενον γὰρ τὸ ὕδωρ, παχύτερον γίνεται καὶ τὰ ἄλλα πάντα. ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες [43] οὐ δύναται ὀσφραίνεσθαι. οὐ γάρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. ταύτῃ δὲ [44] καὶ ὅταν ἀποτήκῃ ὁ ἐγκέφαλος πλεῖστον αὐτὸς ἀφ' ἑωυτοῦ ἐς τὴν ὑπερῴην καὶ τὴν φάρυγγα, καὶ τὸν πνεύμονα, καὶ ἐς τὴν ἄλλην κοιλίην, γινώσκουσιν οἱ ἄνθρωποι καὶ φασὶ καταρρέειν ἐκ τῆς κεφαλῆς. καταρρέει δὲ καὶ ἐς τὸ ἄλλο σῶμα [45] καὶ ἔστι τρόπῳ τῷ θερμῷ. ὁρῇ δὲ διὰ τοῦτο. ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν [46] διὰ τοῦ ὀστέου ἑκατέρην. διὰ ταύτην τῶν φλεβῶν ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου. [47] καὶ διὰ τοῦτο αὐτὸ περὶ αὐτὸ δέρμα ποιέει τοιοῦτον, οἷόν περ περὶ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ τὸ πρὸς τοῦ ἠέρος πρὸς ὃ προσβάλλει τὰ πνεύματα, κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα.

Et quę copiosius habent alimentum & vberiorem affluxum, ea tale ex se incrementum pariunt, qualia sanè ipsa existunt, quandiu homo ad integritatē increscit. Increscit autem vbi conspicuò adolescere cernitur, quod pręcipuè à septennio ad decimumquartum annum apparet. Quo tempore tum maximi, tū cæteri omnes dentes producūtur, postquam exciderint, qui ab alimento ex vtero orti sunt. Increscit autem & ad tertium annorum septenarium, in quo adolescens euadit, ad quartum vsq; & quintū septenarium. Quinetiam hominibus plęrisq; quarto septenario duo dentes enascuntur, qui moderatores nominantur. Capilli autem ad hunc modum oriuntur. Ab ossibus & cerebro eiusmodi incrementum prouenit, ab eo videlicet glutinoso, quod circumcirca existit, in quo pinguis nihil inest, quemadmodum & neruis accidit. Si quid enim pinguis inesset, à calido exustū esset. Ac fortassis mirum aliquē subeat, cur in axillis & pube, & reliquo corpore pili multi succrescant. Cuius rei hęc est ratio; quòd vbicunq; in corpore glutinosum existit, ibi pili à calore gignuntur. Hanc verò ob causam auditio fit. Aurium foramina ad os durum & siccum lapidi simile perueniunt, cui cauitas fistulosa addita est. Soni autem in durum impingunt, & os cauum per ipsum durum insonat. Pellicula verò in ipso meatu auditorio iuxta os durum tenuis est, ad instar telæ aranei, prę reliquis pelliculis siccissima. Quod autem siccissimum est, id ad sonum concipiendum maximè facere, multis argumētis cōprobari potest. Cùm ergo plurimùm resonat, tum maximè audimus. Etsi nonnulli naturæ historiam scriptis mādantes, cerebrum ipsum sonum facere dixerunt, quod tamen nullo modo fieri potest. Cerebrum enim ipsum humidū est, & ipsum ambiēs membrana humida & crassa, eamq; ossa circundant. Atqui nullum humidum sonum facit, sed quæ sicca sunt. Quę verò resonant, auditionem faciunt. At verò cerebrum odorādi facultatem habet, cùm humidum existat, aridorum odorem cum aëre per cartilaginosa corpora, quæ sicca sunt, attrahēs. Cerebrum enim ad nasi cauitatem progreditur, hacq; parte nullum ei os obtenditur, sed mollis cartilago spongiæ instar, quam neq; carnem, neq; os appellare queas. Et cùm quidem nariū caua sicca fuerint, ipsum per se exquisitè magis rerum siccarum odorem percipit. Neq; enim aquam olfacit, cùm cerebro sit humidior, nisi computruerit. Putrefacta nanque aqua crassior euadit, & reliqua omnia. At cùm nares humidæ fuerint, olfacere nequit, cùm ad se cerebrum aërem non attrahat. Ad eundem etiam modum cùm cerebrum colliquatū plurimam materiam ex se in palatum, & fauces, & pulmonem reliquumq; ventrem detruserit, id percipiunt homines, & ex capite destillare dicunt, etsi in reliquum etiam corpus destillat, idque cum calore quodam contingit. At verò eam ob causam videt, quòd à cerebri membrana ad vtrūq; oculum per os pertinet. Per has duas venas ex glutinoso, quod est maximè tenue, ex cerebro veluti per colū transmittitur, atq; ideo ipsam circum se tunicā quæ aëri obuersatur, & ad quā venti ingruunt, talem facit, quale est ipsum oculi pellucidū, eadem planè ratione quā de cæteris tunicis diximus.

Sunt autē multæ hæ tunicæ, quæ oculi pellucido prætenduntur, ipſiq; ſunt ſimiles. In hoc enim pellucido lumen & ſplendida cuncta lucem reflectunt. Per hoc igitur in quo lumen reflectitur, viſio fit. Quod verò minimè eſt ſplendidum, neque oblucet, per illud viſio non fit. Reliquum circum oculos album, caro eſt. Pupilla autem oculi nominata, nigra ob id apparet, quòd in profundo ſita ſit, & tunicę eam ambientes nigræ exiſtunt. Tunicam verò appellamus, id quod vel ut pellicula ineſt, quæ neutiquam ad conſpectum nigra eſt, ſed alba & pellucida, & oculi humidum, glutinoſum. Sæpe enim conſpeximus oculo diſrupto, prodiiſſe humorem glutinoſum, qui quandiu calidus eſt, liquidus exiſtit, vbi verò perfrixit, ſiccus euadit, ad inſtar thuris tranſparens. Quod in hominibus & feris ad eundem modum ſe habet. At oculo infeſtum eſt, quicquid in eum incurſat, & venti, & quæcunque ſplendidiora quàm in ſeipſo ſint. Idq; quis ideo fieri iudicet, quòd vnius & eiuſdem ſint coloris. Quemadmodum os & lingua, & reliquus venter, humida exiſtunt. Sermonis autem in homine cauſa eſt, quòd totum corpus ſpiritum intrò trahit, eumq; plurimum in ſuas quiſque cauitates. Is verò per inane foras pulſus, ſtrepitum facit. Caput enim reſonat, lingua verò in faucibus interſeptum, ſuo appulſu format, & ad palatum ac dentes impingens, clarum reddit. Quòd niſi lingua ſuo ſemper appulſu formaret, nō diſtinctè homo loqueretur, ſed ſingula vnam naturâ vocem ederent. Cuius rei indicio ſunt muti à primo ortu, qui diſtinctè loqui nequeunt, ſed ſolam vocem edunt. Neque verò ſi quis ſpiritu foras emiſſo loqui conetur, id facere queat, quod hinc cōſtat. Qui magnam volunt vocem edere, ij attractum externum ſpiritum foras propellunt, & quādiu perdurat ſpiritus, magnam vocem fundunt, quæ poſtea deficit. Quinetiam citharœdi, ſi vt magna voce vtantur opus ſit, ſpiritum intrò ſummopere attrahunt, & plurimum emittunt, ac vociferantur, vocemq; quandiu ſpiritus ſuffecerit, magnam edunt. Vbi verò ſpiritus defecerit, deſinunt. Ex quibus manifeſtum eſt, ſpiritum vocem edere. Vidi præterea quoſdam, qui, cùm ſeipſos iugulaſſent, guttur in totum ſibi præſecuerant. Atque hi viuunt quidem, verùm nullam vocem emittunt, niſi quis guttur conſtringat, ac tum demum ij vocem edunt. Quin & hoc patet, quod præſecto ſummo gutture, ſpiritus in cauitates internas attrahi nequit, ſed per præſectam partem foras effertur. Ita ſanè de voce ac ſermone ſimili modo ſe res habet. Hominis autem vita ſeptem dierum numero circūſcribitur. Ac primùm quidem, vbi genitura ad vteros peruenerit, habet intra ſeptem dies, quæcunque ex corpore ei accedere neceſſe eſt. Id verò quomodo nouerim fortaſſe quis mirabitur, verùm multa ad hunc modum vidi. Meretrices publicæ, quæ in ſeipſis ſæpiùs id expertæ ſunt, vbi cum viro congreſſæ ſunt, noſcunt quando conceperint, moxq; conceptum intra ſe perdunt. Quo poſtea iam perdito, veluti caro excidit. Eam in aquam cōiectam ſi accuratiùs inſpexeris, membra omnia habere deprehēdas, & oculorum regiones, & aures, & brachia. Quin & manuum digiti, & crura, & pedes, & pedum digiti, & pudendum, & reliquū totum corpus in conſpectu eſt.

πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα,[48] πρὸ τοῦ ὁρέοντος διαφανέος, ὁκοῖόν περ αὐτό ἐστιν. τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγεῖ τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα. τουτέῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι. ὅτι δὲ μὴ λαμπρόν ἐστι,[49] μὴ δὲ ἀνταυγῇ, τουτέῳ οὐχ ὁρῇ. τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκὸν κρέας ἐστίν. ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ, μέλαν φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθει ἐστὶν, καὶ χιτῶνες περὶ αὐτὸ εἰσὶ μέλανες. χιτῶνα δὲ καλέομεν, τὸ ἐνεὸν ὥσπερ δέρμα. ἔστι δὲ οὐ μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές. τὸ δὲ ὑγρὸν, κολλῶδες. πολλάκις γὰρ ὀπώπαμεν ἐπὶ συῤῥαγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν, κολλῶδες. καὶ ἕως μὲν ἦ ἔτι θερμὸν, ὑγρόν ἐστιν. ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν, ὥσπερ λιβανωτὸς διαφανής· καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὅμοιόν ἐστι. τὸν δὲ ὀφθαλμὸν ἀνιᾷ πᾶν ὅτι ἂν ἐμπέσῃ, καὶ τὰ πνεύματα προσβάλλοντα, καὶ τὰ ἄλλα ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι.[50] καὶ ἤν τις ἐγχρίσῃ διὰ τόδε, ὅτι ὁμόχροια ἐστίν. ὥσπερ τὸ στόμα καὶ ἡ γλῶσσα, καὶ ἡ ἄλλη κοιλίη, ἔνυγρά ἐστιν. διαλέγεται δὲ[51] διὰ τὸ πνεῦμα ἕλκων εἴσω πᾶν τὸ σῶμα. τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα αὐτὸς ἑωυτῷ. αὐτὸ δὲ θύραζε ὠθεόμενον διὰ τὸ κενὸν ψόφον ποιεῖ· ἡ κεφαλὴ γὰρ ἐπηχεῖ· ἡ δὲ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἐν τῷ φάρυγγι ἀποφράσσουσα, καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην καὶ πρὸς τοὺς ὀδόντας ποιεῖ σαφηνίζειν. ἢν δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διελέγετο, ἀλλ' ἢ ἕκαστα φύσει τὰ μονόφωνα. τεκμήριον δέ ἐστι τουτέῳ,[52] οἱ κωφοὶ οἱ ἐκ γενεῆς, οὐκ ἐπίστανται διαλέγεσθαι· ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν. [53] οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. δῆλον δὲ τόδε. οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω, ὠθέουσι θύραζε, καὶ φθέγγονται μέγα ὡς ἂν τέχῃ τὸ πνεῦμα· ἔπειτα δὲ, καταμαραίνεται τὸ φθέγμα. καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοῖς μακροφωνεῖν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω[54] πουλὺ ἐκτείνουσι τὴν ἐκφορὴν, καὶ φωνοῦσι καὶ φθέγγονται μέγα ὡς ἂν τέχωσιν τῷ πνεύματι. ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται. τουτέοισι δῆλον ὅτι τὸ πνεῦμά ἐστιν τὸ φθεγγόμενον. εἶδον δὲ ἤδη οἳ σφάξαντες ἑωυτοὺς,[55] ἀπέταμον τὸν φάρυγγα παντάπασιν. οὗτοι, ζῶσι μὲν· φθέγγονται δὲ οὐδὲν, εἰ μή τις συλλάβῃ τὸν φάρυγγα. οὗτοι δὲ φθέγγονται. δῆλον δὲ καὶ οὕτω,[56] ὅτι τὸ πνεῦμα οὐ δύναται διατετμημένου τοῦ λάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνεῖ. οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξεως.[57] ὁ δὲ αἰὼν ἐστὶ τοῦ ἀνθρώπου, ἑπταήμερος. πρῶτον μὲν ἐπὴν[58] ἐς τὰς μήτρας ἔλθῃ ὁ γόνος ἐν ἑπτὰ ἡμέρῃσιν ἔχει ὁκόσα περ ἐστὶν ἔχειν τοῦ σώματος. τοῦτο δὲ τις ἂν θαυμάσειεν, ὅκως ἐγὼ οἶδα. πολλὰ δὲ εἶδον τρόπῳ τοιῷδε. αἱ ἑταῖραι αἱ δημόσιαι αἵ τινες αὐτέων πεπείρανται πολλάκις, ὁκόταν παρὰ ἄνδρα ἔλθῃ, γινώσκουσιν ὁκόταν λάβωσιν ἐν γαστρὶ κἄπειτα ἐνδιαφθείρουσιν. ἐπειδὰν δὲ ἤδη διαφθαρῇ, ἐκπίπτει ὥσπερ σάρξ. ταύτην τὴν σάρκα ἐς ὕδωρ ἐμβαλὼν, σκεπτόμενος ἐν τῷ ὕδατι εὑρήσεις ἔχειν πάντα μέλεα, καὶ τῶν ὀφθαλμῶν τὰς χώρας, καὶ τὰ οὔατα, καὶ τὰ γυῖα. καὶ τῶν χειρῶν οἱ δάκτυλοι, καὶ τὰ σκέλεα, καὶ οἱ πόδες, καὶ οἱ δάκτυλοι τῶν ποδῶν· καὶ τὸ αἰδοῖον, καὶ τὸ ἄλλο πᾶν σῶμα δῆλον.

δῆλον. εὔδηλον δὲ καὶ ὅταν λάβῃ ἐς γαστέρα τῇσιν ἐπισταμένῃσιν, αὐτίκα ἔφριξεν καὶ θέρμη καὶ βρυγμὸς[60] καὶ σπασμὸς ἔχει καὶ τὸ ἄρθρον καὶ τὸ σῶμα πᾶν, καὶ τὴν ὑστέρην ὄκνος. καὶ ὁκόσαι καθαραί εἰσι, ταῦτα πάσχουσιν. ὁκόσαι δὲ παχεῖαι καὶ βλεννώδεες, οὐ γινώσκουσι τουτέων τῶν γυναικῶν πολλαί. ἥδε μοι ἔδειξαν, κατὰ τοῦτο δὴ καὶ ἐπίσταμαι εἰδέναι. δῆλον δὲ τόδε ὅτι ἑπτὰ ἡμέρας ὁ αἰὼν, εἴ τις ἐθέλει ἑπτὰ ἡμέρας φαγεῖν ἢ πιεῖν μηδέν. οἱ μὲν πολλοὶ ἀποθνήσκουσιν ἐν αὐτῇσιν· εἰσὶ δέ τινες καὶ οἳ ὑπερβάλλουσιν, ἀποθνήσκουσι δ' ὅμως. εἰσὶ δέ τινες οἳ καὶ ἐπείσθησαν ὥστε μὴ ἀποκαρτερῆσαι, ἀλλὰ φαγεῖν τε καὶ πιεῖν· ἀλλ' ἡ κοιλίη οὐκέτι καταδέχεται. ἡ γὰρ νῆστις συνεφύη ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν· ἀλλὰ θνήσκουσι καὶ οὗτοι. ἔστι δὲ καὶ τόδε τεκμήρασθαι. τὸ παιδίον ἑπτάμηνον γόνον γενόμενον, λόγῳ γεγένηται καὶ ζῇ, καὶ λόγον ἔχει τοιοῦτον καὶ ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. ὀκτάμηνον δὲ γενόμενον, οὐδὲν βιοῖ πώποτε. ἐννέα δὲ μηνῶν καὶ δέκα ἡμερέων γόνος γίγνεται καὶ ζῇ, καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας.[61] τέσσαρες δεκάδες ἑβδομάδων ἡμέραι εἰσὶν διηκόσιαι ὀγδοήκοντα. ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων, ἑβδομήκοντα ἡμέραι. ἔχει δὲ καὶ τὸ ἑπτάμηνον γενόμενον, τρεῖς δεκάδας ἑβδομάδων. ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι δέκα καὶ διηκόσιαι. καὶ αἱ νοῦσοι οὕτω τοῖς ἀνθρώποις ὀξύταται γίνονται,[62] ἡμερέων παρελθουσέων ἐν τῇσιν διακρίνονται, καὶ ἀπέθανον ἢ ὑγιέες ἐγένοντο. καὶ τριταῖοι ἕνδεκα ἡμέρῃσιν ἐν μιῇ ἑβδομάδι καὶ ἡμίσει ἑβδομάδος.[63] καὶ τεταρταῖοι ἐν δυσὶν ἑβδομάσιν. καὶ αἱ πεμπταῖαι,[64] ἐν δυοῖν δεούσῃσι εἴκοσιν ἡμέρῃσιν. δυοῖν τε ἑβδομάδοιν καὶ ἡμίσει ἑβδομάδος. αἱ δὲ ἄλλαι νοῦσοι οὐκ ἔχουσι διὰ γνώμην ἐν ὁκόσῳ ὑγιέες ἔσονται ἀποφαίνεσθαι. οὕτω δὲ καὶ τὰ ἕλκεα τὰ μεγάλα τὰ ἐν τῇ κεφαλῇ καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι, τεταρταῖα φλεγμαίνειν ἄρχεται. ἐν ἑπτὰ δὲ καθίσανται φλεγμαίνοντα, καὶ ἐν τεσσαρεσκαίδεκα,[65] δυοῖν δεούσῃσιν.[66] ἢν δέ τις ἀνακῶς θεραπεύῃ, καὶ μὴ καθαρθῇ ἐν τουτέῳ τῷ χρόνῳ τὰ ἐν τῇσι κεφαλῇσι μεγάλα ἕλκεα, ἀποθνήσκουσιν οἱ ἄνθρωποι. θαυμάσειε δ' ἄν τις καὶ τοῦτο ὅστις ἄπειρος ἢ εἰ ἑπτάμηνον γίνεται παιδίον. ἐγὼ μὲν οὖν αὐτὸς ὤπωπα καὶ συχνά. εἰ δέ τις βούλεται καὶ τοῦτο ἐλέγξαι, ῥηΐδιον πρὸς τὰς ἀκεστρίδας αἳ πάρεισι τῇσι τικτούσῃσιν ἐλθόντα πυθέσθω. ἔστι δὲ καὶ ἄλλο τεκμήριον. τοὺς ὀδόντας οἱ παῖδες ἑπτὰ ἐτέων διελθόντων πληροῦσι, καὶ ἐν ἑπτὰ ἔτεσιν. ἔστι δὲ λόγῳ καὶ ἀριθμῷ ἀτρεκέως[67] δεκάδες ἑβδομάδων ἑξήκοντα καὶ τριηκόσιαι. τὸ δὲ φύσιος τὴν ἀνάγκην, διότι ἐν ἑπτὰ τουτέων ἕκαστα διοικεῖται, ἐγὼ φράσω ἐν ἄλλοισιν.

spicuo est. Liquidò autem constat harum rerum peritis, quòd mulier vbi concepit, statim inhorrescit, & incalescit, ac dentibus stridet, & articulum reliquumque corpus conuulsio prehendit, & vterum torpor, idq; iis quæ puræ sunt accidit. Quæ verò crassæ & mucosæ istud experiuntur, earum plæræq; hoc non sentiunt. Ac sanè quantum illæ mihi ita indicarunt, tantum etiam me scire profiteor. Quòd verò hominis vita septem dierum numero circunscribatur, hoc quoque manifestum est. Plærique quidem ex his qui septem diebus nihil edere aut bibere volunt, in his moriuntur, quòd si qui eos superauerint, nihilominus tamen moriuntur. Nonnulli etiam ne per inediam à vita discederent, sed vt comederent & biberent persuasi sunt, verùm venter non amplius admittit. Ieiunum enim intestinum in his diebus cohæresscit, quin etiam illi moriuntur. Quin & illud ipsum ex his conijcere licet. Puer septimo mense natus, certa ratione in lucem prodit & vitalis est, cùm is rationem & numerum exactè ad hebdomadas respondentem habeat. Octauo autem mense natus, nullus vnquam vixit. Nouem autem mensium & decem dierum fœtus editur & vitalis est, numerumq; ad hebdomadas exactè respondentem habet. Quatuor nempe decades hebdomadarum, dies sunt ducenti & octoginta. Hebdomadarum autem decuriam dies septuaginta constituunt. At septimo mense editus partus tres hebdomadarum decurias obtinet, & ad vnamquanque decuriam dies concurrunt septuaginta. Tres itaque hebdomadarum decuriæ, in totum dies ducentos & decem faciunt. Quinetiam morbi acutissimi ad hunc modum hominibus contingunt, voluentibus diebus quibus iudicantur, & moriuntur, aut conualescunt. Et tertianæ diebus vndecim, vna & dimidia hebdomada. Quartanæ duabus hebdomadis. Quintanæ duodeuiginti diebus, hoc est, duabus hebdomadis & dimidia. In cæteris verò morbis, quoto tempore homines sani euadent, certa sententia pronunciari non potest. Ad eundem autem modum, vlcera quoq; magna in capite & reliquo corpore, quarto die inflammatione tentari incipiunt, septimo verò inflammatio sedatur, aut decimoquarto, aut duodeuigesimo. Quòd si quis diligentem curam adhibeat, neque vlcera capitis magna hoc tempore sedentur, homines moriūtur. Ac fortè quis harum rerum imperitus, mirabitur fœtum septimo mense nasci, atque id quidem certè, & sæpiùs vidi. Quòd si quis volet, id facilè deprehendet, obstetrices quæ parturientibus præsunt adeundo & percontando. Est verò & aliud argumentū. Pueri sæpiùs septimo anno exacto dentes explent. Et septem annos pleno & iusto numero exactè trecentę & quinquaginta hebdomades cōficiunt. Quòd autem horum singula septenariis à natura regantur, alias declarabo.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΤΑΜΗΝΟΥ.

HIPPOCRATIS DE SEPTIMESTRI PARTV, LIBER.

Septimestres nascuntur diebus centum & octoginta duobus, & insuper addita quadã diei particula. Si etenim primi mensis dies quindecim supputaueris, quinque verò mensium dies centum quadraginta septem & dimidium (sexaginta nanque diebus, vno dempto, ferè duo menses constant) his sic se habentibus, ad septimum mensem supersunt dies plus quàm viginti, quod est anni dimidium, vnà cum aliquantula parte ad diei partem accedente. Cùm fœtus iam auctior ad hanc perfectionem deuenerit, & robur increuerit, ipso iam perfectè aucto magis quam cæteris temporibus, membranæ in quibus iam inde ab initio enutritus est, elaxantur, non secus ac spicarum membranæ, ad id vi impulsæ, antequam fructus perfectè auctus fuerit, & fructus quidem robustissimi & maximè pleni, vi illata membranas dilacerant, partumq; accelerant, & ex his plæriq; pereunt. Nam cùm parui existant, maiore quàm cæteri vtuntur mutatione, & ex vtero expressi per quadraginta dies ex necessitate malè afficiuntur, quod etiam multos decimo mẽse natos interimit. Ex his autem, qui septimo mẽse nati sunt, supersunt quidam, licet ex multis pauci, propterea quòd ratio & tempus, quo enutriti sunt in vtero, effecit, vt ea omnia consequantur, quorum etiã perfectissimi, & qui maximè superstites euadunt, compotes fiũt, tum etiam quòd permutationem senserunt, priùs à matre in lucem emissi, quàm octauo mense ægrotarent. Etenim si hos labores superant, ita vt in lucem puer prodeat, is tamen superesse nequit ob commemoratas affectiones, quas octauo mense, multos quoque decimo natos, interimere affirmo. Multi autem fœtus eius ætatis, quæ est septem mensium, cùm laxatis membranis in id quod cedit secedunt, ibiq; alimentum capiunt, primis quidem quadraginta diebus, hi quidem magis, alij minùs laborant. Ac propter permutationem ex locis in quibus alebantur, alterationem sentiunt, & circa vmbilicum vellicantur, alioq; migrant, tum etiam propter matris labores. Membranæ nanque dum tenduntur, & vmbilicus vellicatur, dolores matri pariunt, fœtusq; pristino vinculo exolutus grauior euadit. Plæreq; etiam mulieres ex hoc casu insuper febre corripiuntur, quędam quoque vnà cum fœtu pereunt: verùm omnes hac febre paucis diebus tentantur. At verò se vteros difficillimè gestare nono mense rectè dicunt. Est autem octauus mensis, non solùm tempus hoc, verumetiam dies à septimo mense, & nono, & ab anno accedunt. Verùm dies non eodem modo, vel dicunt, vel agnoscunt mulieres. Ex eo enim decipiuntur, quòd neq; eodem modo se habent, verumetiã quòd quandoq; plures dies à septimo ad quadraginta accedunt,

Οἱ δὲ ἑπτάμηνοι γίνονται, ἐκ τῶν ἑκατὸν ἡμερέων [1] καὶ ὀγδοήκοντα, καὶ δύο, καὶ προσεόντος μορίου. ἢν γὰρ τοῦ πρώτου λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας· τῶν δὲ πέντε μηνῶν ρμ΄, καὶ ζ΄, καὶ ἥμισυ ἡμέρας. τὴν γὰρ ἑξήκοντα μιῆς δεούσης ἡμέρης ἐγγύτατα δύο μῆνες ἐκτελεῦνται. οὕτως δὴ τούτων ἐόντων, ἐς τὸν ἕβδομον μῆνα περιγίνονται ἡμέραι πλέον ἢ εἴκοσιν, ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τῆς ἡμέρης, τοῦ μέρεος τῷ μέρει προσγινομένου. ὁκόταν ἐς τὴν ἀρχὴν τῆς τελειώσεως ἔλθῃ ταύτην ἁδρυνομένου τοῦ ἐμβρύου, καὶ τὴν ἰσχὺν πολὺ ἐπιδιδόντος ἐν τῇ τελειώσει μᾶλλον, ἢ ἐν τοῖς ἄλλοις χρόνοις· οἱ ὑμένες ἐν οἷς τὴν ἀρχὴν ἐτράφη, ὥσπερ καὶ τῶν ἀσταχύων, ὁπότ' ἐξεχάλασαν, πρόσθεν ἀναγκαζόμενοι ἢ τελείως ἐξαδρυνθῆναι τὸν καρπόν, τὰ μὲν ἰσχυρότατα καὶ ἁδρότατα τῶν ἐμβρύων βιησάμενα, καὶ διαρρήξαντα τοὺς ὑμένας, ἠνάγκασε τὸν τόκον γίνεσθαι. καὶ τὰ μὲν πλεῖστα τουτέων ἀπώλλοντο. μικρὰ γὰρ ὄντα, τῇ μεταβολῇ μείζονι χρέονται τῶν ἄλλων. καὶ τὰς τεσσαράκοντα ἡμέρας κακοπαθείην ἀναγκάζονται κακοπαθεῖν, ἐξηθέντα ἐκ τῆς μήτρης. καὶ τῶν δεκαμήνων πολλὰ ἀποκτείνει. ἔστι δὲ ἃ τούτων τῶν ἑπταμήνων καὶ περιγίνονται ἐκ πολλῶν ὀλίγα· ὅτι ὁ λόγος [2] καὶ ὁ χρόνος ἐς ὃν ἐτράφη ἐν τῇ μήτρῃ κατέστησεν ὥστε μετέχειν πάντων, ὧν περ καὶ τὰ τελεώτατα μετέχει, καὶ μάλιστα περιγινόμενα. [3] καὶ ἐξήλλαξε τῆς μητρὸς πρόσθεν κυούσης, ἅτε ἐν τῷ ὀγδόῳ μηνὶ νενοσευμένα. τούτοις γὰρ τοῖς πόνοις ἢν ἐπιγίνωνται, ὥστ' εἰς τοὐμφανὲς ἐλθεῖν τὸ παιδίον, ἀδύνατον περιγίνεσθαι, διὰ τὰς πάθας τὰς προειρημένας ἃς ἐγὼ φημὶ τοὺς ὀκταμήνους ἀποκτείνειν· πολλοὺς δὲ καὶ τῶν δεκαμήνων. τὰ δὲ πολλὰ τῶν ἐμβρύων τῶν ἐν αὐτῇ τῇ ἡλικίῃ τῇ ἑπταμήνῳ, ὅταν οἱ ὑμένες χαλῶσι, μετεχώρησαν ἐς τὸ ὑπεῖξαν, καὶ ἐν ταύτῃ τὴν τροφὴν ποιέεται. τὰς μὲν τεσσαράκοντα ἡμέρας τὰς πρώτας πονοῦντα, τὰ μὲν, μᾶλλον, τὰ δὲ, ἧττον. διὰ δὲ τὴν μεταβολὴν τὴν ἐκ τῶν χωρίων τῶν θρεψάντων, μετεβάλλετο, [4] καὶ αὐτὶ τοῦ ὀμφαλοῦ ἔσπασε καὶ μετεχώρησε καὶ διὰ τῆς μητρὸς τοὺς πόνους. οἱ γὰρ ὑμένες τεινόμενοι καὶ ὁ ὀμφαλὸς σπασθεὶς ὀδύνας ποιέει τῇ μητρί. καὶ τὸ ἔμβρυον ἐκ τοῦ παλαιοῦ συνδέσμου ἐκλυθὲν, βαρύτερον γίνεται. πολλαὶ δὲ τῶν γυναικῶν, καὶ ἐπιπυρεταίνουσι τούτων γινομένων. αἱ δὲ καὶ ἀπόλλυνται σὺν τοῖς ἐμβρύοις. [5] χρῶνται δὲ πᾶσαι ἐν ὀλίγῳ περὶ τούτου. φασὶ δὲ τοὺς ὀγδόους τῶν μηνῶν, καὶ χαλεπώτατα φέρειν τὰς γαστέρας, ὀρθῶς λέγουσαι. ἔστι δὲ ὄγδοος μὴν, οὐ μόνον ὁ χρόνος οὗτος, [6] ἀλλὰ καὶ ἡμέρας προσέσθαι ἀπὸ τοῦ ἑβδόμου μηνὸς, καὶ τοῦ ἐννάτου, καὶ ἀπὸ τοῦ ἐνιαυτοῦ. ἀλλὰ τὰς ἡμέρας οὐχ ὁμοίως, οὔτε λέγουσιν, οὔτε γινώσκουσιν αἱ γυναῖκες. πλανῶνται γὰρ διὰ τὸ μήτε κατ' ταὐτὸ γίνεσθαι, ἀλλ' ὅτε μὲν ἀπὸ τοῦ ἑβδόμου μηνὸς, πλέονας ἡμέρας προσγίνεσθαι, ἐς τὰς τεσσαράκοντα

[7] ὅτε δὲ

[7] ὁτὲ δὲ ἀπὸ τοῦ ἐννάτου. [8] πότε γὰρ ἀνάγκη γίνεσθαι, ὅκως ἂν τύχῃ ἡ γυνὴ ἐν γαστρὶ λαβοῦσα, τοῦ μηνός τε καὶ τοῦ χρόνου. ὁ δὲ μὴν ὁ ὄγδοος [9] ἀναμφισβήτητός ἐστι. κατὰ τοῦτον γὰρ γίνεται, [10] ὥστε δυσκρίτως ἔχειν. [11] κατ' ἐμὲ καὶ τὸ μέρος ἐν τοῖς ἕνδεκα μησὶ, μηνός ἐστιν, ὥστε τοῦτον οὐ μνημονευτέον ἐστί. [12] χρὴ δὲ πιστεύειν ταῖς γυναιξὶ περὶ τῶν τόκων. [13] λέγουσι γὰρ πάντα, καὶ αἰεὶ λέγουσι, καὶ αἰεὶ ἐρέουσιν. οὐ γὰρ ἂν πεισθείησαν οὔτ' ἔργῳ, οὔτε λόγῳ, [14] ἀλλ' ὅ,τι γνῶναι ἐν τοῖσι σώμασιν αὐτέων γινόμενον. [15] τὰς δὲ βουλομένας ἄλλο λέγειν ἔξεστιν. αἱ δὲ κρίνουσαι, καὶ τὰ νικητήρια διδοῦσαι περὶ αὐτέου τοῦ λόγου, αἰεὶ ἐρέουσι, καὶ φήσουσι τίκτειν καὶ ἑπτάμηνα, καὶ ὀκτάμηνα, καὶ ἐννεάμηνα [16] καὶ δεκάμηνα, καὶ τουτέων [17] τὰ ὀκτάμηνα οὐ περιγίνεσθαι. φήσουσι δὲ καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι. καὶ τἄλλα τὰ καταγεγραμμένα ἐν τῇσι τεσσαρακοντάσι, καὶ ἐν τοῖσι μησὶν ἑκάστοισιν. ὅταν δὲ τῷ ἑβδόμῳ μηνὶ περιρραγέωσιν οἱ ὑμένες, καὶ τὸ ἔμβρυον μεταχωρήσῃ, ὑπέλαβον οἱ πόνοι οἱ περὶ τὸν μῆνα τὸν ὄγδοον [18] γινεαλογούμενοι, καὶ περὶ τὴν ἕκτην τεσσαρακοντάδα. τούτου δὲ τοῦ χρόνου παρελθόντος ὁπόσαις μέλλει εὖ εἶναι, αἱ φλεγμοναὶ ἐλύθησαν καὶ τοῦ ἐμβρύου, καὶ τῆς μήτρης, [19] ὥστε γαστὴρ μαλαχθῇ, [20] καὶ ὁ ὄγκος ὑποκαταβῇ, ἀπὸ τῶν ὑποχονδρίων, καὶ τῶν κενεώνων εἰς τὰ κάτω χωρία [21] ἐς εὐτρεπίην τὴν ἐπὶ τοὺς τόκους τροπὴν, καὶ τὴν ἑβδόμην τεσσαρακοντάδα [22] ἐντεῦθέν ἐστι τὸ πλεῖστον τοῦ χρόνου τὰ ἔμβρυα. τὰ γὰρ χωρία αὐτοῖς μαλθακὰ καὶ αἱ μετακινήσιες αὐτοῖς εὐπετέστεραι γίνονται καὶ πυκνότεραι. καὶ διὰ ταῦτα κατέστη πρὸς τὸν τόκον εὐλυτώτερα. καὶ πάσης τῆς τεσσαρακοντάδος. [23] ταύτας αἱ γυναῖκες φέρουσι τὰς τελευταίας ἡμέρας εὐπετέστερον τὰς γαστέρας, [24] ἔστ' ἂν ἁρμόσῃ τὸ ἔμβρυον στρέφεσθαι. μετὰ δὲ ταῦτα, [25] αἵ τε ὠδῖνές εἰσι καὶ οἱ πόνοι ἐπίκεινται, ἔστ' ἂν ἐλευθερωθῇ τοῦ παιδίου καὶ τοῦ ὑστέρου. ὅσαι δὲ τῶν γυναικῶν ἔτεκον πολλὰ παιδία, καί τι αὐτέων ἐγένετο χωλὸν, ἢ τυφλὸν, ἢ ἄλλο τι κακὸν ἔχον, [26] φήσουσιν ἐπὶ τῶν τουτέων τοῦ παιδίου τὸν ὄγδοον μῆνα, χαλεπώτερον διαγαγεῖν, ἢ ἐφ' ὧν ἔτεκεν, οὐδὲν κακὸν ἐχόντων. τὸ γὰρ ἔμβρυον τὸ πηρωθὲν, ἐν τῷ ὀγδόῳ μηνὶ [27] ἰσχυρῶς ἐνόσησεν, [28] ὥστε καὶ ἀπόστασιν ἐποίησεν ἡ νοῦσος· ὡς καὶ τοῖς ἀνδράσιν αἱ ἰσχυραὶ νόσοι ἐποίησαν. ὅσα δ' ἂν τῶν ἐμβρύων [29] ἐν ἄλλῳ χρόνῳ ἰσχυρῶς νοσήσῃ, ἀπόλλυται πρόσθεν, ἢ αὐτέῳ ἀπόστασιν γίνεσθαι. ὅσα δ' ἂν τῶν ὀκταμήνων ἐμβρύων μὴ σφόδρα νοσήσῃ, [30] ἀλλὰ κατά τι ἓν ἐκ τῆς μεθόδου κακοπαθήσῃ, τὰς μὲν τεσσαράκοντα ἡμέρας διετέλεσεν ἐν ἀσθενείῃ. τὰ δὲ πλεῖστα, ἐν τῇ μήτρῃ, διὰ τὰς ἀνάγκας τὰς προειρημένας, ἐγίνοντο δὲ ὑγιαίνοντα. ὅτι δ' ἂν γένηται ἐν τεσσαράκοντα ἡμέραις ταύταις, ἀδύνατον περιγίνεσθαι. νοσέοντι γὰρ αὐτέῳ ἔτι ἐν τῇ μήτρῃ, ἐπιγίνονται αἱ μεταβολαὶ καὶ αἱ κακοπάθειαι, μετὰ τὸν τόκον. ὅτι δ' ἂν ἀπονοσῆσαν ἐν τῇ μήτρῃ, ἐς τὸν ἔννατον μῆνα ἔλθῃ, καὶ ἐν τουτέῳ τῷ μηνὶ γένηται, περιγίνεται. [31] περιγίνεται μὲν οὐκ ἔλασσον ἢ ἑπτάμηνα. ὀλίγα δὲ καὶ τουτέων ἐκτρέφεται. οὔτε γὰρ τὴν παχύτητα ἴσχουσιν ὥσπερ τὰ τελεώτατα ἔχουσιν, [32] οὔτε πόνοι οἱ ἐν τῇ μήτρῃ, οὐ πάλαι πεπονημένοι εἰσὶν αὐτέοις, ὥστε λεπτὸν γίνεσθαι. σω-

quandoque verò à nono. Sic enim pro ratione mensis ac temporis in quo mulier conceperit, contingere necesse est. At mensis octauus minimè ambiguus est. Per hunc enim cōtingit, vt indicatio difficilis sit. Mea sententia pars in vndecim mensibus, mensis est, licet nō admodum commemorari debeat. Mulieribus autem de partu fides habenda est. Nā & omnia narrant, semperq; dicunt, & semper proferunt. Neq; aut opere aut sermone cuiusquam se persuaderi sinunt, sed ex eo, quod sibi contigisse norunt. Etsi verò volentibus aliud dicere licet, quæ tamen decernendi, aut de hac sententia pronunciandi victoriæ potestatem habent, semper proferunt & affirmant septimo mense, & octauo, & nono, & decimo, & vndecimo, partus in lucem prodire, & ex his octauo mense natos minimè superesse. Quin & abortiones plurimas primis quadraginta diebus contingere asseuerant, & cætera quę in quadragenariis ac singulis mensibus euenire conscripta sunt. Cùm verò septimo mēse disruptis membranis fœtus sedē mutarit, labores, qui circa octauum mensem & circa sextum quadragenarium in partu edendo fieri recensentur, prehendunt. Quo tempore elapso, quibus partus fœliciter successurus est, inflammationes tum fœtus, tum matris dissoluuntur, adeò vt venter emolliatur, tumorque ex præcordiis & laterum inanitate in loca inferiora descendat, ad aptam conuersionem, quę facilem partus progressionem faciat. Et septimo quadragenario magnam temporis partem fœtus illic permanent. Nam & loci ipsis molles sunt, & transmotiones ipsis faciliores & frequentiores cōtingunt, ideoq; ad partum expeditiores reddūtur. Et ex toto quadragenario, per vltimos hos dies mulieres faciliùs vteros ferunt, quoad fœtum cōuerti cōtigerit. Postea verò partus dolores & labores incūbunt, donec puero & secundis mulier liberetur. Quæ verò mulieres multos pueros pepererūt, in quibus aliquis claudus, aut cœcus, aut alioqui malè affectus fuit, eæ affirmant se in his gestandis, pueri octauū mensem molestiùs tulisse, quàm in his quos nullo modo malè affectos pepererūt. Mutilus enim fœtus octauo mense vehementer ægrotauit, adeò vt etiam morbus abscessum fecerit, non secus ac viris morbi grauissimi facere consueuerunt. At fœtus, qui alio quouis tempore vehementer ægrotarint, ij priùs intereunt, quam eiusmodi abscessum morbus experiatur. Octimestres autem fœtus, qui non valdè ægrotant, sed vna quapiam parte propter digressionē malè affecti sunt, eorum plęriq; per quadraginta quidem dies, ob commemoratas causas necessarias, in vtero imbecilles sunt, verùm sani euadunt. Qui verò intra hos quadraginta dies natus fuerit, is superesse nequit, cùm huic adhuc in vtero ægrotanti, post partum mutationes & afflictiones præterea accedant. At qui in vtero ægrotans ad nonum mensem peruenerit, eoque editus fuerit, is quidem superesse poterit. Et supersunt quidem hi non minùs quàm septimestres, quanquam etiam ex his pauci educantur. Neque enim eam habent corpulentiam, quam perfectissimi nacti sunt, & laboribus quos in vtero non ita pridem pertulerunt, conflictantur, ita vt tenues reddantur. Is ve-

τὸν δὲ χρόνον τοῦτον πινέτω καθεψοῦσα ἐν οἴνῳ εὐώδει λευκῷ καὶ ὡς ἡδίστῳ γλυκεῖ, δᾶιδα ὡς πιοτάτην καταξύσασα λεπτὰ, καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου αἰθιοπικοῦ καρπὸν, καὶ λιβανωτὸν ὡς κάλλιστον. τούτου πινέτω νῆστις ὁκόσον ἂν δοκέῃ μέτριον εἶναι τὸ πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ ἅλις ἔχειν. [60] καὶ ἐσθιέτω σκυλάκια ἑφθὰ, [61] καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν γλυκεῖ. καὶ τοῦ ζωμοῦ πινέτω. καὶ κράμβην ἑφθὴν. καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ διψήτω. καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ τοῦτον, ἢν μὲν χωρέῃ κατὰ τὸ στόμαχον καὶ φαίνηταί τι ἔξω καθάρσιος, πίνειν τε ἐπὶ τοῦ πόματος ἡμέρην μίαν, καὶ δύο. καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένους. καὶ πειρῆσθαι καθαίρειν τὰς μήτρας προσθέτοισιν φαρμάκοισι. ἢν τινὶ δὲ τοῦ στομάχου ὀρθοῦ [62] καὶ μεγάλου καὶ ὑγιέος ἐόντος καὶ καλῶς ἔχοντος, καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν ἢ ἐλάσσονα, καὶ διὰ πλείονος χρόνου, καὶ μὴ ὑγιηνὰ, τὴν νοῦσον ἀνευρὼν, ἣν τινα ἔχουσιν αἱ μῆτραι. ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι ἐξευρὼν τὸ αἴτιον, ἀφ' ὅτου οὐ κυΐσκεται. καὶ ταῦτα οὕτως ἔχῃ, τὴν ἴησιν ποιέεσθαι προσφέρων [63] ἢν δέχηται θεραπείην, ἀρχόμενος ἐξ ἰσχυρῶν, ὁκόσον ἂν δοκέῃ καιρὸς εἶναι. τελευτῶν δὲ ἐς μαλθακώτερα ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρη, καὶ ὁ στόμαχος καθεστηκέναι ὀρθῶς ἔχων, καὶ ἐν τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ ἀπὸ τοῦ ποτοῦ καὶ τοῦ φαρμάκου μὴ προσχωρήσῃ, μηδὲ πιούσης χρόνον τὸν μέτριον, τούτου δὲ οὐ παύεσθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ τὸ ἀπὸ τῶν μηλέων ἔργου, μαλθάξαι τὸ στόμα τοῦ στομάχου καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὁδὸν τῷ προσθέτῳ, ἀπό τε θυμιημάτων καὶ φαρμάκων καὶ μαλθακτηρίων. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμίησιος, προστιθεὶς φάρμακον, κάθαρσιν ποιέεσθαι τῆς μήτρης ὡς ἂν δοκέῃ καλῶς ἔχειν, ἀρχόμενος ἐκ μαλθακῶν ἐπὶ ἰσχυρότερα. τελευτῶν δὲ αὖθις, εἰς μαλθακὰ καὶ εὐώδεα. τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα, ἑλκοῖ τὸ στόμαχον καὶ δάκνει. ἔπειτα τόν τε στόμαχον καθιστᾶν, ἐς ὀρθὸν καὶ ὑγιέα. καὶ καλῶς ἔχοντα πρὸς τὴν δέξιν τῆς γονῆς· καὶ τὴν μήτρην ξηρὴν ποιέειν, [64] καὶ φῦσαι ἐμποιέειν. ἢν γυνὴ δοκέῃ ὑπὸ πιμελῆς τὰς μήτρας βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. ὥρη δὲ ἐαρινὴ [65] ἀρίστη κυήσιος. ὁ δὲ ἀνὴρ μὴ μεθυσκέσθω. μηδὲ οἶνον λευκὸν πινέτω ἀλλ' ὅστις ἰσχυρότατος καὶ ἀκρητέστατος. καὶ σιτία ὡς ἰσχυρότατα. καὶ μὴ θερμολουτείτω. ἰσχυέτω δὲ καὶ ὑγιαινέτω. καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. ὅταν βούληται ἄρσεν φυτεύειν, τῶν ἐπιμηνίων ἀπολληγόντων, ἢ ἐκλελοιπότων μίγνυσθαι καὶ ὠθέειν ὡς μάλιστα, [66] ἕως ἂν ἐκμήνηται. ὅταν δὲ θῆλυ βούληται γενέσθαι, ὅταν πλεῖστα ἐπιμήνια εἴη τῇ γυναικὶ [67] καὶ ἔτι ῥεόντων. τὸν δὲ ὄρχιν τὸν δεξιὸν ἀποδῆσαι, ὡς ἂν μάλιστα καὶ ἀνέχεσθαι δύνηται. ἐπὴν δὲ ἄρσεν βούληται φυτεύειν, τὸν ἀριστερὸν ἀποδῆσαι. στόμα τῆς μήτρης ἀπὸ μὲν θυμιημάτων ξυμμεμυκὸς ἀναχάσκει. ἀπὸ δὲ τῶν μαλθακτηρίων, μαλθάσσεται. θυμιῆν δὲ λωτοῦ φλοιὸν, σπέρμα δάφνης, καὶ [68] φύλλα τὰ αὐτὰ χλωρὰ κεκομμένα λιβανωτὸν σμύρναν ἀρτεμισίης καρπὸν, ἢ φύλλα καὶ ἄννησον κόψας, ἢ στέαρ καὶ κηρὸν, καὶ θεῖον, καὶ κυπαρίσσου σπέρμα

τὰ κέδρου

πευκεδάνου ῥίζαν, μυρσίνης φύλλα χλωρὰ κεκομμένα,
[69] καστόρεος ὄρχιν, ὀνίδας ἄρσενος ὄνου, σκόροδα, στύρακα,
ὑὸς στέαρ. καὶ ἀπεστραμμένον ᾖ τὸ στόμα, τουτέοισι θυμιῆν.
ἀναχάσκει μὲν οὖν οὕτως καὶ στρέφεται. μαλθάσσειν δὲ ἀπὸ τού-
των τὸ στόμα τῆς μήτρης. σανδαράκην, στέαρ αἰγὸς. [70] ὀπὸν σι-
κύης, ὀπὸν σιλφίου, κυκλαμίνου χυλὸν, θαψίην, ὀπὸν τιθυ-
μάλου. [71] καρδαμώμου καρπὸν, ποίην ἣ καλεῖται πέπλος,
[72] καστόρεος ὄρχιν, λίνου καρπὸν, λίτρον, ἄρου ῥίζαν, σταφίδα
ἀγρίην, καλαμίνθης φύλλα χλωρὰ, στρουθίου καρπὸν,
[73] σκίλλης τὸ ἐκ τοῦ μέσου. φάρμακα μαλθακτήρια καὶ πρὸς 10
τὸ ἰσχυρὴν κάθαρσιν ἄγειν. ἀνακινῆσαι θαψίης ῥίζαν, μυ-
ελὸν βοὸς, χηνὸς στέαρ, ῥόδινον. ταῦτα τρίψασα καὶ ἀναζέ-
σασα προστιθέσθω ἡμέρας τέσσαρας. [74] καὶ πινέτω πράσου
χυλὸν καὶ οἶνον γλυκὺν λευκὸν καὶ ῥητίνην καὶ ἔλαιον χλιαρὸν
καὶ κύμινον, λίτρον. [75] ῥητίνην, μέλι ἐν ῥυπαρῷ εἰρίῳ χρήσθω
ἡμέρας τέσσαρας, πινέτω σελίνου καρπὸν. [76] καὶ λιβανωτοῦ πυ-
ρῆνας πέντε καὶ κύμινον αἰθιοπικὸν ἐν οἴνῳ λευκῷ ἀκρήτῳ
γλυκεῖ. καὶ λουέσθω δὶς τῆς ἡμέρης. σμύρνα, λίβανος, βοὸς χολὴ,
ῥητίνη τερεβινθίνη, ἢ νέτωπον. τουτέων ἴσον ἑκάστου μίξασα,
προστιθέσθω ἐν εἰρίῳ καθαρῷ, ἢ ῥάκει λεπτῷ. βάψασα δὲ 20
τὸ ῥάκος ἐν μύρῳ λευκῷ αἰγυπτίῳ εὐώδει, καὶ ἀποδήσασα
λίνῳ λυσαμένη προστιθέσθω. καὶ πώλυπον φλάσασα ἐσθι-
έτω, καὶ πινέτω σελίνου καρπὸν, καὶ ἀσπαράγου. καὶ οἶνον λευκὸν
τρὶς τῆς ἡμέρης νῆστις ἐοῦσα. σμύρνα, κασίη, λιβανωτὸς, κιννά-
μωμον, νέτωπον. τουτέων ἑκάστου τὸ ἴσον ἐν εἰρίῳ ἢ βαλάνους
ποιέουσα προστιθέσθω. [77] κολοκύνθης ἀγρίης, κύμινον πε-
φρυγμένον, ἀνήθου καρπὸν, κυπαρίσσου ῥίζαν. ταῦτα τρίψας
λεῖα, μέλιτι ἑφθῷ φυρήσας βαλάνους ποιέων δίδου προσ-
τιθέναι. καὶ πινέτω γλυκυσίδης ῥίζαν, σελίνου καρπὸν, σιλφίου
χυλὸν σὺν οἴνῳ. ἀλλὰ τὸ βόλβιον καὶ αὐτὸ καθαίρει προστι- 30
θέμενον. [78] καὶ σμύρναν πρώτην, ἄνθος ὀλίγον ἐν οἴνῳ λευκῷ
εὐώδει προστιθέναι. φάρμακα πρόσθετα εἰς τὸ μήτρην κα-
θῆραι ἐπιτηδειότατα. λαβὼν ἄνθος χαλκοῦ καὶ λίτρου τρίτον
μέρος, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιῆσαι, ὁκόσαι ἂν
δοκέωσι μέτριαι εἶναι [79] μέγεθος καὶ πάχος, οὕτως προστιθέναι
πρὸς τὸ στόμα τῆς μήτρης. ἢν δὲ βούλῃ ἰσχυρότερον εἶναι, ἐλα-
τήριον παραμίξαι καὶ τὸ ἄνθος μοῦνον. καὶ οὕτως ποιέων, δίδου
προστιθέναι. [80] καὶ κράδης παραμιγνύναι φλοιὸν ξύων, καὶ
τρίβων λεῖον, ὅταν τὸ στόμα δοκέῃ ξηρότερον εἶναι τῆς μήτρης, τὸ
ἥμισυ ὡσαύτως. Ἄλλο. Τρίψας ἐλατήριον καὶ ἄνθος χαλ- 40
κοῦ λεῖα, δύο μοίρας ἄνθους, ἐλατηρίου δὲ μίαν, ταῦτα διέντα,
κυκλαμίνου τρίψας, ταύτῃ ἀναμίξαι, ὅκως ἂν δοκέῃ και-
ρὸς εἶναι. καὶ ποιησαμένη πρόσθετα, προστιθέσθω ἐν εἰρίῳ.
[81] Πρόσθετα λευκὰ καθαίροντα. Ἀρτεμισίην τὴν ποίην, λίτρον,
κυκλάμινον ἡμίξηρον, κύμινον. Ἕτερον. Ἀρτεμισίην ποίην
χλωρὴν τρίψας καὶ σμύρνης τρίτον μέρος οἴνῳ ἀναμίξας
εὐώδεος, εἰρίῳ λευκῷ περιελίξας αὐτὸ, ἐν οἴνῳ τε βρέξας,
δὸς προστιθέσθαι. [82] Ὅταν δὲ χαλῶσιν αἱ μῆτραι, λίτρον, σι-
κύης ἐντεριώνην, κυκλάμινον ἡμίξηρον ἐν εἰρίῳ προστι-
θέναι. Πρόσθετα παντοῖα καθαίρειν δυνάμενα. Σταφίδα 50
ἀγρίην τρίψας χλωρὴν περιπλάσας, ἀρτεμισίης ποίης
τρίψας τὰ φύλλα, [83] φλοιῷ τε πλάσας καὶ ξηρήνας ἐν σκιῇ, ἀπὸ τουτέων ποίει πρόσθετα. καὶ δίδου τῇ γυναικὶ προστιθέσθαι.

peucedani radicem, myrti folia viridia contusa, castoreum, asini masculi stercus, allia, styracem, adipē suillum. Quin & si distortum os fuerit, ex his suffitus adhibendus. Hoc quidem igitur modo dehiscit & conuertitur. Ad emolliendū autem os vteri hęc adhibeto, sandaracham, adipem caprinum, fici succum, laseris succum, cyclamini succum, thapsiam, tithymali succum, cardamomi semen, herbā peplum nominatam, castoreum, lini semen, nitrum, ari radicem, staphim agriam, calaminthæ folia viridia, struthij semen, scillę interiorem partem. Medicamenta emollientia, & vehementem purgationem faciētia & cientia. Thapsiæ radicem, medullam bouis, anserinum adipem, rosaceum, hæc trita & simul feruefacta, per quatuor dies in subdititio medicamento apponat, & porri succum, vinumq; dulce album bibat. Et resinam, oleum tepidum, cuminum, nitrū. Resina & mel, lana sordida excepta, per dies quatuor adhibeātur, apij semen, thuris granula quinq; & cuminum Æthiopicum in vino albo mero dulci bibat, bisq; die lauet, myrrha, thus, fel bubulum, resina terebinthina, aut netopum, horum singula æquali pondere mixta, in lana pura, aut tenui linteo, subdititio apponātur. Linteum autē vnguento albo Ægyptio odorato intinctum, & filo obligatum, lota in subdititio apponat, & polypum cōtusum edat, apij & asparagi semē ex vino albo ter die ieiuna bibat. Myrrha, casia, thus, cinnamomum, netopum, singula æquali portione lana excepta, aut in glandes efformata, in subdititio apponantur. Cucurbitæ agrestis interiorem partem, cuminum tostū, anethi semē, cupressi radicē, læuissimè trita, & melle cocto subacta, in glandulas efformata, subdititio apponito, & pæoniæ radicem, apij semen, & laseris succum in vino bibat. Quin & bulbulus ipse in subdititio appositus purgat. Et myrrham primariam, & floris ęris modicū, cum vino albo odorato, in pesso subdito. Medicamenta in subdititio apposita ad vterum purgādum maximè accōmodata. Æris florem & nitri tertiā partem, melle cocto subigito, & in glādulas eius magnitudinis & crassitudinis quę conuenire videatur, efformata, ad vteri os in subdititio apponito. Quòd si valentius medicamentum voles, elaterium & solum æris florem admisceto, & ita efformatas glandulas in subdititio apponendas præbeto. Et ficulnei rami corticem derasum ac læuissimè tritum ammisceto, cùm os vteri siccius esse videbitur, dimidia portione eodem modo apponito. Aliud. Elaterium & æris florem læuiter trita, ad duas æris partes vna elaterij addita, hæc diluito, cyclaminum tritum cùm opportunum esse videbitur, huic ammisceto, & in subdititia medicamēta efformata, in vellere apponito. Medicamenta subdititia albos humores purgātia. Artemisiam herbam, nitrum, cyclaminum siccissimum cuminum. Aliud. Artemisiam herbam viridem tritam, & myrrhæ tertiam partem, vino odorato ammixto, lana alba conuolutam, eamq; vino madefactam, in subdititio apponendam exhibeto. Vbi verò laxati fuerint vteri, nitrum, cucumeris agrestis medullam, cyclaminum siccissimum in vellere apponito. Subdititia medicamenta omnis generis humores purgare valentia. Staphidem agriam viridem tritam in glandulas efformatam, artemisiæ herbæ folia trita melle cocto obducta, & in vmbra siccata, in subdititia medicamēta redacta, mulieri vt subdat exhibeto.

Aliud. Aëris florem mixtum, aut alumen Ægyptium cyclamino dilutum, velut priora melle cocto obducito, vel in ficum siccum etiam myrrhæ modicum indito. Aliud. Cyclaminum tritum vino albo odorato ammixto, in linteo tenuissimo filo puro obligatum, subdendum exhibeto. Aliud. Cyclaminum siccissimum, nitrum, cantharidas, adipem, sandaracam, eodem modo apponito. De virgine. Virgini, si menses suo tempore non appareant, multum & febricitat, & dolet, sitit, esurit, vomit, insania vexatur, ac rursus ad mentem redit. Vteri mouentur, & cùm ad viscera vertuntur, vomitus & febris, ac delirium accedunt. At vbi cessant, esurit & sitit, & febris mitis ac lenta Epialos dicta detinet. Huic quidem pelles agninas cum lana & villis calidas ad ventrem adhibere oportet, eáque super amphoræ collo desidere iussa, in ipsa pudenda quam penitissimè fumum immittere. Myrrham fabæ quantitate, & thuris duplam portionem, hæc mixta & feruefacta simul confracta ad suffitum adhibeto, & in ignem iniicito maximè cùm ieiuna est, multaque calida lauato. Subdititium medicamentum. Alumen Ægyptium liquidum, lana conuolutum, in subdititio medicamento apponat. Aliud. Artemisiam tritam, & vino albo maceratam, in subdititio apponendam exhibeto. Ad puerperam recens enixam. Rosaceum, myrrham, ceram, mixta, in vellere subdenda exhibeto. Cùm verò vteri prociderint, sicca & acerba, tum bibenda, tum admouenda offerto: ficum nigram, allium, nitrum, cuminum, hæc omnia læuissimè trita, in vellere subdenda exhibeto. Aliud. Sepiæ testam læuissimè tusam, & vino maceratam, cum leporinis pilis in vellere subdito. Quòd si à partu vteri doleant, ptisanam, porrum, & adipem caprinum coquat, ex eo modicum sorbeat. Subdititium medicamentum. Nitrum, cuminum, fici ęquam portionem. Purgans subdititium & emolliens. Netopum, rosaceum vnguentum, anserinus adeps, tenuibus linteis excepta. Si menses multi decurrant, pœoniæ grana nigra bis septem cum vini cyathis duobus propinato. Quòd si vteri crebrò exeant, muliere supina reclinata, vteros tepida perluito, admixto mali punici putamine, galla, rhoe rubra in vino contrita, eo illitum vterum intro reponito. Deinde lauri folia ex vino austero propinato. Si verò prægnans mensium profluuio vexetur, stercus asininum siccum, minium, sepiæ testam, læuiter trita, linteo obligata, in subdititio apponito. Quòd si secunda non purgetur, elaterium oboli Attici pondere tritum, in vini albi cyathi mensura potui exhibeto & purgabitur.

Ἄλλο· Ἄνθος μιγνὺς χαλκοῦ, ἢ στυπτηρίην αἰγυπτίην διεὶς τῇ κυκλαμίνῳ, ὥσπερ τὰ πρότερα ἐν ἑφθῷ μέλιτι πλάσας, ἢ ἐν ἰσχάδι ποιήσας καὶ σμύρνην ὀλίγην. Ἄλλο· Τὴν κυκλάμινον τρίψας [84] τὴν λευκὴν οἴνῳ εὐώδεϊ παραμίξας, ἐν ῥάκει δήσας ὡς λεπτοτάτῳ λίνῳ καθαρῷ δίδου προστίθεσθαι. Ἄλλο· Κυκλάμινον ἡμίξηρον· λίτρον· κανθαρίδας· στέαρ· σανδαράκην. Περὶ παρθένου. Παρθένῳ ὁκόταν τὰ ὡραῖα μὴ φαίνηται, πολλὰ καὶ πυρεταίνει καὶ ὀδυνᾶται· διψῇ, καὶ πεινῇ καὶ ἐξεμεῖ, καὶ μαίνεται, καὶ πάλιν σωφρονεῖ· κινέονται αἱ μῆτραι· καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα τράπωνται, ἐξεμεῖν καὶ πυρέσσειν, καὶ παραφρονεῖν αὐτῇ ἔρχεται. ὅταν δὲ ἀπολείπωσιν, πεινῇ καὶ διψῇ, καὶ [85] ἠπίαλος πυρετὸς ἔχει. [86] Χρὴ ταύτῃ γε ἀρνακίδας προστιθέναι θερμὰς πρὸς γαστέρα· καὶ ὑποκαπνίζειν ἐς αὐτὰ τὰ αἰδοῖα ὅτι μάλιστα ἐπ' ἀμφορέως αὐχένι καθίσας. σμύρνης ὅσον κύαμον· λιβανωτόν τε δὶς ὅσον, [87] τοῦτο μίξας καὶ ζέσας, ἐρηειγμένας ὁμοῦ θυμιῆν, καὶ ἐπὶ τὸ πῦρ ἐπιβάλλων, νῆστις ὡς μάλιστα, καὶ λούειν πολλῷ θερμῷ. Πρόσθετον· Αἰγυπτίην στυπτηρίην μαλθακὴν, εἰρίῳ περιελίσσασα προστιθέσθω. Ἄλλο· Ἀρτεμισίην τρίψας, ἐν οἴνῳ τε λευκῷ δεύσας, δίδου προστιθέναι. Νεοτόκῳ γυναικί. Ῥόδινον, σμύρναι, κηρὸν μίξαντα ἐν εἰρίῳ δοῦναι προστίθεσθαι. ὅταν δὲ αἱ προπίπτωσιν αἱ μῆτραι, τὰ ξηρὰ καὶ στρυφνὰ προσφέρειν, καὶ πίνειν, καὶ προσέχειν. [88] Σῦκον μέλαν· σκόροδον· λίτρον· κύμινον· ταῦτα πάντα τρίψας λεῖα, ἐν εἰρίῳ δοῦναι προστίθεσθαι. Ἕτερον· σηπίης ὄστρακον κόψας λεῖον ἐς οἶνόν τε δεύσας σὺν λαγωοῦ θριξὶ καὶ εἰρίῳ προστίθεσθαι. ἢν δὲ μετὰ τόκον τὰς ὑστέρας ἀλγέῃ, πτισάνην καὶ πράσα καὶ στέαρ αἴγειον ἑψήσασα, ῥοφείτω τούτου ὡς ὀλίγιστον. Πρόσθετον· λίτρον· κύμινον· σύκου τὸ ἴσον. [89] Καθαρτήριον πρόσθετον καὶ μαλθακτήριον. Νέτωπον· ῥόδινον μύρον· χηνὸς ἄλειφαρ, ἐς ὀθόνια λεπτά. [90] Ἢν τὰ ἐπιμήνια πολλὰ φαίνηται, γλυκυσίδης κόκκους τοὺς μέλανας δὶς ἑπτὰ πίνειν ἐν οἴνῳ δυσὶ κυάθοις. ἢν δὲ ἐξέρχωνται αἱ μῆτραι πυκναὶ, βρέξας ὕδατι χλιαρῷ τὰς μήτρας ὑπτίην ἀνακλίνας, μίξας σίδιον, κηκίδα, ῥοῦν τὴν ἐρυθρὴν, ἐν οἴνῳ λευκῷ διατρίψας, τούτῳ χρίσας ἐντιθέναι. ἔπειτα πίσαι δάφνης φύλλα ἐν οἴνῳ αὐστηρῷ. ὅταν γυνὴ κύσα προρρέηται, ὀνίδα ξηρὴν, καὶ μίλτον, καὶ ὄστρακον σηπίης, ταῦτα τρίψασα λεῖα, ἐν ῥάκει ἀποδήσασα προστιθέναι. [91] ἢν δὲ μὴ καθαρθῇ τὸ ὕστερον, λεαίας ἐν οἴνῳ λευκῷ, ὅσον κυάθου, καὶ τρίψας ὀβολὸν ἀττικὸν διδόναι πίνειν καὶ καθαίρεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΔΟΝΤΟΦΥΙΑΣ.

HIPPOCRATIS DE DENTITIONE, LIBER.

Τὰ φύσει εὔτροφα τῶν παιδίων, οὐκ ἀνάλογον τῆς σαρκώσιος καὶ τὸ γάλα θηλάζει. τὰ βορὰ καὶ πολὺ ἕλκοντα γάλα, οὐ πρὸς λόγον σαρκοῦται. τὰ πουλὺ διουρέοντα τῶν θηλαζόντων, ἥκιστα ἐνιαύσια. ὁκόσοισι πολλὴ φέρεται ἡ κοιλίη, καὶ εὖ πέσσουσιν, ὑγιεινότερα. ὁκόσοισιν ὀλίγη, βορέοισιν ἐοῦσι, καὶ μὴ ἀνάλογον τρεφομένοισιν, ἐπίνοσα. ὁκόσοισι δὲ πουλὺ γαλακτῶδες ἀπεμεῖται, κοιλίη ξυνίσταται. ὁκόσοισιν ἐν ὀδοντοφυΐῃ ἡ κοιλίη πλείω ὑπάγει,[2] ἧσσον σπᾶται, ἢ οὕτως ὀλιγάκις. ὁκόσοισιν ἐπὶ ὀδοντοφυΐῃ πυρετὸς ὀξὺς ἐπιγίνεται, ὀλιγάκις σπῶνται. ὁκόσα ὀδοντοφυέοντα εὔτροφα μένει, καταφορικὰ ἐόντα, κίνδυνος σπασμὸν ἐπιλαβεῖν. τὰ ἐν χειμῶνι ὀδοντοφυέοντα, τῶν ἄλλων ὁμοίων ἐόντων, βέλτιον ἀπαλλάσσει. οὐ πάντα τὰ ἐπὶ ὀδοῦσι σπασθέντα, τελευτᾷ· πολλὰ δὲ καὶ διασώζεται. τὰ μετὰ βηχὸς ὀδοντοφυέοντα, χρονίζει. ἐν δὲ τῇ διακεντήσει, ἰσχναίνεται μᾶλλον. ὁκόσα ἐν τῇ ὀδοντοφυΐῃ χειμῶνας ἔχει, ταῦτα καὶ προσεχόντως ἠμμένα, ῥᾷον φέρει ὀδοντοφυΐαν. τὰ διουρέοντα πλέον ἢ διαχωρέοντα πρὸς λόγον εὐτροφώτερα. ὁκόσοισιν οὐρεῖται μὴ πρὸς λόγον, κοιλίη δὲ πυκνῶς ὠμὸν ἐκ παιδίων παρηθεῖ, ἐπίνοσα. τὰ εὔυπνα καὶ εὔτροφα πουλὺ ἀναλαμβάνει καὶ προσδέχεται[3] οὐχ ἱκανῶς διωκημένον. τὰ παρεσθίοντα ἐν τῷ θηλάζειν, ῥᾷον φέρει ἀπογαλακτισμόν.[4] τὰ πολλάκις παρηθεῦντα αἱμῶδες καὶ ἄπεπτον κατὰ κοιλίην, πλεῖστα τῶν ἐν πυρετῷ ὑπνώδεα. τὰ ἐν παρισθμίοις ἕλκεα ἄνευ πυρετῶν γινόμενα, ἀσφαλέστερα. ὁκόσοισιν ἐν τῷ θηλάζειν τῶν νηπίων βὴξ προσίσταται, σταφυλὴν εἰώθεν μείζονα ἔχειν. ὁκόσοισι ταχέως ἐν παρισθμίοις[5] νομαὶ ἐφίστανται τῶν πυρετῶν μενόντων καὶ βηχῶν, κίνδυνος πάλιν γενέσθαι ἕλκεα.[6] τὰ παλινδρομήσαντα ἐν ἰσθμίοις ἕλκεα τοῖσιν ὁμοίοισι, κινδυνώδη. τοῖσι παιδίοισιν ἀξιολόγοις ἕλκεσιν ἐν παρισθμίοισι, καταπινομένων, σωτηρίας ἐστίν. ὁκόσα δὴ μᾶλλον τῶν πρότερον μὴ δυναμένων καταπίνειν ἐν παρισθμίοισιν ἕλκεσι,[7] πουλὺ τὸ χολῶδες αἱρεῖσθαι, ἢ κατὰ κοιλίαν ἔρχεσθαι, κινδυνῶδες. ἐν τοῖσιν ἐν παρισθμίοισιν ἕλκεσιν, ἀραχνιῶδές τι ἐὸν οὐκ ἀγαθόν. ἐν τοῖσι παρισθμίοισιν ἕλκεσι μετὰ τοὺς πρώτους χρόνους, διαρρεῖν φλέγμα διὰ τοῦ στόματος πρότερον οὐκ ὄν, χρήσιμον. ὅμως ἀνακτέον. ὧν ἡ ἀρχὴ ἤδη ξυνιδοῦσα παντῶς, ἀσμενιστέον. τὸ μὴ οὕτως διαρρέον, εὐλαβητέον. ῥευματιζομένοις παρίσθμια, κοιλίη καταρραγεῖσα πλείω λύει τὰς ξηρὰς βῆχας. παιδίοισιν ἀνενεχθέν τι πεπεμμένον, πλείω λύει. τὰ πολὺν χρόνον ἐν παρισθμίοις ἕλκεα ἀναύξη μένοντα, ἀκίνδυνα πρὸ τῆς πέμπτης ἢ ἕξ ἡμερέων. τὰ πουλὺ γάλα τῶν θηλαζόντων ἀναλαμβάνοντα,[8] ὡς

PVERI naturâ pleniores, etiam pro corpulentiæ ratione lac non sugunt. Voraces & qui magnam lactis copiam trahunt, non pro ratione incrassantur. Ex lactentibus qui vrinam multam reddunt, minimè per annum durant. Quibus aluus multùm defertur, si bene concoquunt, ij meliùs habent. At quibus parum fertur, si voraces fuerint, neque pro ratione nutriantur, ij morbosi sunt. Quibus verò lacteus cibus multus vomitione refunditur, iis aluus sistitur. Quibus cùm dentes erumpũt, aluus crebriùs demittit, minus conuulsione tentantur, quàm quibus sic raro aluus subducitur. Quibus in dentitione febris acuta accedit, ij raro conuulsionibus tentantur. Qui cum dentitione, bene habito corpore permanent, graui somno premuntur, periculum est ne eos conuulsio prehendat. Quibus hyeme dentes erumpunt, si cętera similiter se habeant, ij meliùs degunt. Non omnes dẽtibus erumpentibus conuulsione tentati moriuntur, plerique etiam seruantur. Qui cũ tussi dentiunt, iis tardiùs dentes erumpunt, in ipsa autẽ punctione, magis extenuãtur. Quibus dentientibus hyems superuenit, ij si diligenter curentur, dentitionem faciliùs ferunt. Qui plus meiũt quàm egerũt, ij pro ratione pleniores sunt. Qui nõ pro ratione meiunt, aluus verò à puero cruda crebrò transmisit, ij morbis sunt obnoxij. Qui bene dormiunt, & bene habito sunt corpore, ij copiosum alimentum assumunt, & corpori apponitur non sufficienter distributum. Qui interim dum lac sugũt cibum capiunt, faciliùs à mamma depelluntur. Qui sæpiùs cruentum & crudum per aluum transmittunt, plærique cùm febricitant, somnolenti sunt. Tonsillarum vlcera quę sine febre contingunt, securiora sunt. Quos infantes dum lac sugunt tussis vrget, ij vuam maiorem habere consueuerunt. Quibus in tonsillis vlcera serpentia citò superueniũt, febribus & tussi perseuerantibus, periculum est ne vlcera recurrentia suboriantur. His vlcera in faucium angustiis periculi plena. Pueri qui effatu digna habent tõsillarum vlcera, si deglutiant, salutis signum est. Qui verò in tonsillarum vlceribus, magis quàm priores deuorare nõ possunt, iis bilem vomitione refundere, aut per aluum prodire, periculosum. In tonsillarum vlceribus si quid araneosum insit, non bonum. In tonsillarum vlceribus, post prima tempora, pituitam per os defluere, quod antea non adfuit, vtile, educenda tamen est. Quòd si cùm incœperit, postea omninò remittat, lubẽter amplectendum. Si verò non sic defluat, verendum. Quibus tonsillæ destillatione tentantur, plurimùm subducta aluus tusses siccas discutit. Pueris quid concoctum supernè eductum, magis soluit. Tonsillarum vlcera longo tempore citra augmentum manentia, antè quintum aut sextũ diem periculo carent. Qui dum mammam sugunt, multum lactis assumunt, vt pluri-

mùm somnolenti sunt. Qui cùm mãmam sugunt, non bene habito sunt corpore, ij macilenti permanent, & ægrè reficiuntur. Tonsillarum vlcera æstate suborta, peiora sunt quàm quæ aliis oriuntur temporibus, citò enim serpunt. Serpentia circa vuam tonsillarum vlcera, in iis qui seruantur, vocem immutant. Serpẽtia circa fauces vlcera, quæ magnam molestiam exhibent, & acuta magis sunt, vt plurimùm spirandi difficultatem adferunt.

τὸ πολὺ ὑπνώδη. τὰ μὴ εὐτροφέα τῶν θηλαζόντων, ἄτροφα καὶ δυσανάληπτα. ἕλκεα ἐν θέρει γινόμενα ἐν παρισθμίοις, χείρονα τῶν ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν. τάχιον γὰρ νέμεται. τὰ περὶ σταφυλὴν νεμόμενα ἕλκεα ἐν παρισθμίοισιν, σωζομένοισι τὴν φωνὴν ἀλλοιοῖ. τὰ περὶ φάρυγγα νεμόμενα ἕλκεα, χαλεπώτερα καὶ ὀξύτερα, ὡς ἐπὶ πολὺ δύσπνοιαν ἐπιφέρει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΑΡΔΙΗΣ.

HIPPOCRATIS DE CORDE, LIBER.

Cor figura quidem metæ similis, colore autẽ admodum puniceo, tunica læui circũtegitur, in qua humor modicus, qualis vrina inest, vt cor in vesica cõuersari existimes. Ea verò de causa extitit, vt validum in custodia vigeat. Humiditatem autem tãtam habet, quanta maximè ad æstuantis medelã satis sit. Hoc humidum, cor in serum vertit, pulmonis potũ elambendo ebibens, assumens & consumens. Nam cùm quis bibit, maximam partem in ventrem demittit. Gula enim velut infundibulum, & potus copiã, & quæcunq; expetimus excipit. Cùm bibit autem in guttur demittit, verum quasi ex mamma sugens, quantum suo impetu influens latere possit. Epiglottis enim Græcè dicta, operculum exactum, ne ampliorem quidem potum transmiserit. Cuius rei hoc est indicium: Si quis enim aquam cœruleo colore aut minio inquinatam, valde sitienti potui exhibeat, præcipuè verò sui. (hoc enim pecus, neq; curam adhibet, & immundum est.) Deinde adhuc bibenti iugulum secuerit, hunc potu coloratum reperiet. Verùm nõ cuiuis hanc manuum actionem aggredi datur. Nõ igitur nobis fides est detrahenda de potu, quòd in hominis arteriam conuertatur. Verùm quanã ratione aqua affatim incidẽs, molestiam & multam tussim exhibet? hac sanè de causa, quòd ex aduerso respirationi occurrit. Nam quod per rimam influit, cùm iuxta parietẽ feratur, aëris sursum elationi non obsistit, sed quãdam vel læuem ipsi viam humectatio præbet. Hunc autem humorem vnà cum aere à pulmone abducit. Aërem itaque, cùm medela existat, retrò vt per eandem viam per quam adduxit, ex necessitate reiiciat oportet. Humoris verò partem quidem in suam vaginam absorbet, partem etiã rursus vnà cum aere foras ferri permittit. Istaq; via cùm spiritus retrofertur palatum diuidit. Iusta autem ratione retro recurrit. Neq; enim hæc hominem alere possunt. Qua verò ratione ventus & aqua, cruda cùm sint, in hominis alimentum cedant? Verùm connatæ affectioni potiùs moderãtur. Sed vt ad institutum sermonem reuertatur nostra oratio, cor musculus est validus admodum non neruo, verùm carnis spissamento, duos discretos habens in vno amictu ventriculos, vtrinque quidem vnum, qui nullo modo inter se sunt similes. Vnus quidem in dextris ad os situm habet, alteram venam attingens, & hic dexter, inquam, in sinistris. (In his enim totum cor sedem fixit.) Quinet-

Καρδίη, σχῆμα μὲν ὁκοίη πυραμὶς, χροιὴν δὲ κατακορὴς φοινικέα. καὶ περιβέβληται χιτῶνα λεῖον. καὶ ἔστιν ἐν αὐτέῳ ὑγρὸν σμικρὸν ὁποῖον οὖρον. ὥστε δόξεις ἐν κύστει τὴν καρδίην ἀναστρέφεσθαι. γέγονε δὲ τούτου εἵνεκα ὅκως θάλληται ῥωσκομένως ἐν φυλακῇ. ἔχει δὲ τὸ ὕγρασμα, ὁκόσον μάλιστα καὶ πυρευμένῃ ἄκος. τοῦτο δὲ τὸ ὑγρὸν διουρέει ἡ καρδίη πίνουσα, ἀναλαμβανομένη καὶ ἀναλίσκουσα, λάπτουσα τοῦ πνεύμονος τὸ ποτόν. πίνει γὰρ ὤνθρωπος τὸ μὲν πολλὸν, ἐς νηδύν. ὁ γὰρ στόμαχος,[2] ὁκοῖον χῶνος καὶ ἐκδέχεται τὸ πλῆθος, καὶ ἅσσα προαιρεύμεθα. πίνει δὲ, καὶ ἐς φάρυγγα·[3] ὀλίγον δὲ οἷον καὶ ὁκόσον ἂν λάθοι διὰ ῥύμης ἐσρυέν.[4] πῶμα γὰρ ἀτρεκὲς ἡ ἐπιγλωσσὶς οὐκ ἂν δέξαιτο μεῖζον ποτοῦ οὐδέν. σημήϊον τοῦτο. ἢν γάρ τις κυανῷ ἢ μίλτῳ φορύξας ὕδωρ δοίη δεδιψηκότι πάνυ πιεῖν, μάλιστα δὲ συΐ. (τὸ γὰρ κτῆνος[5] οὐκ ἔστιν ἐπιμελὲς, οὐδὲ φιλόκαλον)[6] ἔπειτα δὲ εἰ ἔτι πίνοντος ἀνατέμνοις τὸν λαιμὸν, εὕροις ἂν τοῦτον κεχρωσμένον τῷ ποτῷ. ἀλλ' οὐ παντὸς ἀνδρὸς ἡ χειρουργία. οὐκοῦν ἀπιστητέον ἡμῖν περὶ τοῦ ποτοῦ[7] εἰ εὐτρεπίζει τὴν σύριγγα τῷ ἀνθρώπῳ. ἀλλὰ πῶς[8] ὕδωρ ἀναιδὲς εἰσρυὲν ὄχλον καὶ βῆχα παρέχει πολλήν; οὕνεκα φημὶ, ἀπαντικρὺ τῆς ἀναπνοῆς φέρεται. τὸ γὰρ διὰ τῆς ῥύμης ἐσρέον, ἅτε παρὰ τοιχίον, οὐκ ἐνίσταται τῇ ἀναφορῇ τοῦ ἠέρος, ἀλλά τινα καὶ λείην ὁδὸν οἱ παρέχει ἡ ἐπίτεγξις. τοῦτο δὲ τὸ ὑγρὸν, ἀπάγει τοῦ πνεύμονος ἅμα τῷ ἠέρι. τὸν μὲν οὖν ἠέρα χρὴ γινόμενον θεραπείην, ἀναλκῆ ὀπίσω τὴν αὐτὴν ὁδὸν ἐκβαίνειν ἔνθεν ἤγαγεν. τὸ δὲ ὑγρὸν, τὸ μὲν εἰς τὸν κουλεὸν αὐτέης[10] ἀποπτύει, τὸ δὲ αὖ ξὺν τῷ ἠέρι, θύραζε χωρέειν ἐᾷ.[11] Ταύτῃ καὶ διαιρεῖ τὸν οὐρανὸν ὀχετὸν παλινδρομέον τὸ πνεῦμα· παλινδρομέει δὲ κατὰ δίκην. οὐ γάρ ἐστιν ἀνθρώπου φύσιος τροφὴ ταῦτα. πῶς γὰρ ἀνθρώπου τροφὴ ἄνεμος καὶ ὕδωρ τὰ ὠμά; ἀλλὰ μᾶλλον ἴημα εἴη ξυγγενέος πάθης. περὶ δὲ οὗ ὁ λόγος,[12] ἡ καρδίη μῦς ἐστιν κάρτα ἰσχυρὸς, οὐ τῷ νεύρῳ, ἀλλὰ πιλήματι σαρκός. καὶ δύο γαστέρας ἔχει διακεκριμένας ἐν ἑνὶ περιβόλῳ, τὴν μὲν, ἔνθα· τὴν δὲ, ἔνθα. οὐδὲν δὲ ἐοίκασιν ἀλλήλῃσιν. ἡ μὲν γὰρ ἐν τοῖσι δεξιοῖσιν ἐπὶ στόμα κέεται[13] ὁμιλέουσα τῇ ἑτέρῃ φλεβί·[14] ἡ δὲ δεξιὴ φημὶ τὴν ἐν λαιοῖς. ἡ γὰρ πᾶσα καρδίη, τουτέοισι τὴν ἕδρην ἐμπεποίηται.

ἀπα-

ἀτὰρ ἥδε καὶ πάμπαν εὐρυκοίλιος,[15] καὶ λαγαρωτέρη πολλῷ τῆς ἑτέρης, οὐδὲ τῆς καρδίης νέμεται τὴν ἐσχατιὴν,[16] ἀλλ' ἐγκαταλείπει τὸν οὔραχον καὶ στερεόν ἐστιν, ὥσπερ ἔξωθεν προσερραμμένη. ἡ δ' ἑτέρη κέεται ὑπένερθεν μὲν μάλιστα, καὶ κατ' ἰθυωρίην, μάλιστα μὲν μαζοῦ ἀριστεροῦ, ὅπῃ καὶ διασημαίνει τὸ ἅλμα.[17] περίβολον δ' ἔχει παχὺν, καὶ βόθρον ἐμβεβόθρωται τὸ εἶδος εἴκελον ὅλμῳ.[18] ἀλλὰ γὰρ ἤδη καὶ τοῦ πνεύμονος ἐνδύεται μαλθακότητί τε, καὶ κολάζει τὴν ἀκρασίην τοῦ θερμοῦ περιβαλλομένη. ὁ γὰρ πνεύμων φύσει ψυχρός· ἀτὰρ καὶ ψυχόμενος τῇ εἰσπνοῇ.[19] ἄμφω γε μὴν δασεῖαι τὰ ἔνδον, καὶ ὥσπερ ὑποδιαβεβρωμέναι μᾶλλον τῆς δεξιῆς ἡ λαιή. τὸ γὰρ ἔμφυτον πῦρ οὐκ ἐν τῇ δεξιῇ, ὥστε θαῦμα τρηχυτέρην γενέσθαι τὴν λαιὴν ἐσπνέουσαν ἀκρήτου.[20] ταύτῃ καὶ παχετὸν ἐνδεδόμηται φυλακῆς εἵνεκα τῆς ἰσχύος τοῦ θερμοῦ. στόματα δ' αὐτέοισιν οὐκ ἀνεῴγασιν, εἰ μή τις ἀποκείρῃ τῶν οὐάτων τὴν καρδίην καὶ τῆς καρδίης τὴν κεφαλήν. ἢν δ' ἀποκείρῃ, φαίνεται καὶ δισσὰ στόματα ἐπὶ δυσὶ γαστέροιν. ἡ γὰρ παχείη φλὲψ ἐκ μιῆς ἀναθέουσα, πλανᾷ τὴν ὄψιν ἢν ἀνατμηθῇ.[21] αὗται πηγαὶ φύσιος ἀνθρώπου καὶ οἱ ποταμοὶ ἐνταῦθα ἀνὰ τὸ σῶμα, τοῖσιν ἄρδεται τὸ σκῆνος. οὗτοι δὲ καὶ ζωὴν φέρουσιν τῷ ἀνθρώπῳ. κἢν αὐανθέωσιν, ἀπέθανεν ὥνθρωπος.[22] ἀρχῇ δὲ τῆς ἐκφύσιος τῶν φλεβῶν σώματα τῇσι κοιλίῃσιν ἀμφιβεβήκασιν, μαλθακὰ σηραγγώδεα, ἃ κλήσκεται μὲν οὔατα,[23] τρήματα δ' οὐκ ἔστιν οὐάτων. ταῦτα γὰρ οὐκ ἐνακούουσιν ἰαχῆς· ἔστι δ' ὄργανα τοῖσιν ἡ φύσις ἁρπάζει τὸν ἠέρα. καίτοι δοκέω τὸ ποίημα χειρώνακτος ἀγαθοῦ. κατασκεψάμενος γὰρ στερεὸν ἐσόμενον τὸ σπλάγχνον[24] διὰ τὸ πιλητικὸν τοῦ ἐγχύματος, ἔπειτα, πᾶν ἐὸν ἑλκτικὸν,[25] παρέθηκεν αὐτέῳ φύσας, καθάπερ τοῖσι χοάνοισιν οἱ χαλκέες. ὥστε διὰ τουτέων χειροῦται τὴν πνοήν. τεκμήριον δὲ τοῦ λόγου. τὴν μὲν γὰρ καρδίην, ἴδοις ἂν ῥιπταζομένην[26] οὐλομελῆ. τὰ δ' οὔατα κατ' ἰδίην ἀναφυσώμενά τε καὶ ξυμπίπτοντα.[27] διὰ τοῦτο δέ φημι, καὶ φλέβια μὲν ἐργάζεται τὴν ἀναπνοὴν ἐς τὴν ἀριστερὴν κοιλίην· ἀρτηρίη δ' ἐς τὴν ἄλλην. τὸ γὰρ μαλακὸν, ἑλκτικώτερον, καὶ ἐπιδόσιας ἔχον. ἔδει δὲ ἡμῖν μᾶλλον τὰ ἐπικείμενα τῆς καρδίης διαψύχεσθαι βλήματα.[28] ἔστι γὰρ τὸ θερμὸν ἐν τοῖσι δεξιοῖσιν.[29] ὥστε διὰ τὴν πάθην οὐκ ἔλαβεν εὐπετὲς ὄργανον, ἵνα μὴ πάμπαν κρατηθῇ ὑπὸ τοῦ ἐσιόντος. λοιπός ἐστιν ὁ λόγος ὁ τῆς καρδίης ὑμένες ἀφανέες, ἔργον ἀξιαγαπητότατον. ὑμένες γὰρ καὶ ἄλλοι τινὲς ἐν τῇσι κοιλίῃσιν ὁκοῖον ἀράχναι διαπετέες ζώσαντες πάντῃ τὰ στόματα,[30] κληδόνας ἐμβάλλουσιν ἐς τὴν στερεὴν καρδίην. οὗτοί μοι δοκέουσιν οἱ τόνοι τοῦ σπλάγχνου καὶ τῶν ἀγγείων, ἀρχαὶ τῇσιν ἀορτῇσιν.[31] ἔστι δ' αὐτέων ζεῦγος, οἷ θύρῃσι μεμηχάνηνται τρεῖς ὑμένες ἑκάστῃ, περιφερέες ἐξ ἄκρου ὁκόσον ἡμίτομα κύκλου. οἵ τε ξυνιέντες θαυμάζουσιν ὡς κλείουσι τὰ στόματα τῶν ἀορτέων πέρας.[32] καὶ τὴν καρδίην ἀποθανόντος ἤν τις ἐξεπιστάμενος, τὸν ἀρχαῖον κόσμον ἀφελὼν, τὸν μὲν ἀποστερήσῃ, τὸν δὲ ἐπαναλκλίνῃ, οὔτε ὕδωρ ἂν διέλθοι εἰς τὴν καρδίην, οὔτε φῦσα ἐμβαλλομένη. καὶ μᾶλλον τῶν τῆς ἀριστερῆς.[33] τοιγὰρ ἐμηχανήθησαν ἀτρεκέστερον κατὰ δίκην. γνώμη γὰρ ἡ τοῦ ἀνθρώπου πέφυκεν ἐν τῇ λαιῇ κοιλίῃ, καὶ ἄρχει

iam hic in totum ampliorem habet capacitatē, & longè altero laxior est, neq; cordis extremam partem occupat, sed postremum mucronem relinquit, solidus item est, tanquam foris assutus. Alter verò sub sinistra quidem mamma præcipuè situs est, cui maximè è directo respōdet, vbi etiam saltu ipso de se significationem præbet. Septum autem habet crassum, & intus tanquam fossicula excauatur, quæ est ad instar pilæ. Quinetiam pulmonem subit, & suo circumiectu caloris incrementum blandè moderatur. Pulmo enim naturâ frigidus, quin & inspiratione perfrigeratur. Ac ambo quidem interiore parte sunt asperi ac velut aliquantulum erosi, & sinister magis quàm dexter. Connatus enim à natura ignis in dextro non est, vt mirum subeat sinistrum asperiorē fieri, cùm intemperatum aerē inspiret. Sed hac parte vt calidi robur custodiat, crassitudo intus extructa est. Eorū verò oscula aperta non sunt, nisi quis cordis auriculas eiusq; caput præcîdat, tuncq; duplicia oscula in duobus ventriculis erunt conspicua. Vena enim crassa ex vno decurrens, si secetur, visum fallit. Hi sunt humanę naturæ fontes, hincq; flumina excurrunt, quibus corporis alueus irrigatur. Atq; hæc vitam homini conferunt, & si resiccata fuerint, homo perit. Prope autem venarū exortum, ventriculis circumobducta sunt corpora mollia, caua, quæ aures quidem nominantur. Neque aurium foramina habent, non enim clamorē obaudiunt, verùm instrumenta sunt, quibus aerem natura ad se rapit. Et certè præstantis artificis opus esse censeo. Qui cùm speculatus fuisset, viscus ipsum ex sanguinis extra venas effusi distensione forma solida futurum, totumq; trahēdi facultate præditum, huic folles admouit, quemadmodum fornacibus fusoriis fabri assolēt, per quos spiritum acciperet. Huius autem orationis inde sumas argumentum, quòd cor tota sua natura agitari cernas, aures verò priuatim tum intumescere, tum concidere. Atq; eam ob causam, quod sentio, venulæ quidem in sinistrum vētriculum respirationem efficiunt, arteria verò in alterum. Quod enim molle magis attrahit & augetur. Nobis autem erat ex vsu superiniecta cordi tegumēta magis perfrigerari. In dextris enim calor inest, adeoq; ob affectionem nō susceperunt amplum instrumentum, vt ne in totum ab eo quod ingreditur superarentur. Reliquæ sunt cordis membranæ latentes oratione explicandæ, opus maximè vtile. Aliæ nanque quædam membranæ in ventriculis, velut aranearum telæ expansæ, oscula vndiq; cingunt, & in solidam cordis substantiam filamenta immittunt. Hæ mihi vidētur visceris esse nerui, & vasorum principia aortis exhibere. Est autem earum par vnum. Tres enim membranæ ad ostiola singula excogitatæ sunt, in summo rotundæ, quantum dimidiatus circulus. Adeò vt qui rem intelligunt, mirentur quomodo oscula ipsa, hoc est aortarum fines claudāt. Ac si quis veteris instituti probè gnarus, mortui animalis corde exempto, hanc quidem demat, illā verò reclinet, neq; aqua in cor penetrare, neq; flatus emitti poterit. Eæq; præcipuè in sinistræ partis vasis, iusta ratione exactiorem sunt molitionē adeptæ. Mens enim humana in sinistro ventriculo à natura insita est, & re-

liquæ animæ imperat. Neq; verò nutritur cibis ac potibus, qui ex inferiore ventre prodeunt, verùm ex pura & clara abundantia ex sanguinis secretione orta. Alimentum autem ei abundè suppetit ex proximo sanguinis conceptaculo, radios immittens, & tanquam distribuens ex inferiore ventre intestinorum non naturale alimentũ. Ne verò quæ in arteria insunt, cibum in fluctuatione constitutum remorētur, viam quæ ad ipsam tendit conclusit. Arteria enim magna ventrem & intestina depascitur, & alimento non primario referta est. Quòd verò arteria magna non alatur eo sanguine qui cernitur, ex hoc manifestum est. Iugulati animalis aperto ventriculo sinistro, in totum solitudo apparet, præterquàm serosi cuiusdam humoris, & flauæ bilis, & membranatũ de quibus iam à me dictum est. At arteria minimè sanguine destituta est, neque dexter ventriculus. Hoc igitur vas, meo quidem iudicio, membranis occasionem dedit. At rursus quod ex dextro ventriculo fertur, id quidē etiam ipsum membranatum commissura coniungitur, sed propter imbecillitatem non magno cum assultu impetit. Verùm aperitur quidem in pulmones, vt eis sanguinem ad alimentum præbeat, in cor autem clauditur, non confertim tamen, quò aër quidem ingrediatur, neque tamen admodum multus. Imbecillum enim his est calidum, frigidi copia superatum. Neq; enim sanguis natura calidus est, vt neq; alia quædam aqua, sed calescit. Plerisque tamen natura calidus videtur. Et de corde ista quidem à me dicta sint.

τῆς ἀλόγης ψυχῆς. τρέφεται δὲ οὔτε σιτίοισιν, οὔτε ποτοῖσιν ἀπὸ τῆς νηδύος, ἀλλὰ καθαρῇ καὶ φωτοειδεῖ περιουσίῃ γεγενημένῃ ἐκ τῆς διακρίσιος τοῦ αἵματος.[34] εὐπορέει δὲ τὴν τροφὴν ἐκ τῆς ἔγγιστα δεξαμενῆς τοῦ αἵματος διαβάλλουσα τὰς ἀκτῖνας. καὶ νεμομένη, ὥσπερ ἐκ νηδύος τῶν ἐντέρων τὴν τροφὴν[35] οὐ κατὰ φύσιν.[36] ὅκως δὲ μὴ ἀνακωχῇ τὸ σιτίον τὰ ἐόντα ἐν τῇ ἀρτηρίῃ ἐν ζάλῃ ἐόν, ἀποκλείει τὴν ἐπ' αὐτὴν κέλευθον. ἡ γὰρ μεγάλη ἀρτηρίη βόσκεται τὴν γαστέρα καὶ τὰ ἔντερα, καὶ γέμει[37] τροφῆς οὐχ ἡγεμονικῆς. ὅτι δὲ οὐ τρέφεται βλεπομένῳ 10 αἵματι ἡ μεγάλη ἀρτηρίη δῆλον ὧδε.[38] ἀποσφαγέντος τοῦ ζώου, διαιρεθείσης τῆς ἀριστερῆς κοιλίης ἐρημίην φαίνεται πᾶσα, πλὴν ἰχῶρός τινος, καὶ χολῆς ξανθῆς, καὶ τῶν ὑμένων περὶ ὧν ἤδη μοι πέφανται. ἡ δὲ ἀρτηρίη οὐκ ἀλφαιμώδεσα, οὐδὲ ἡ δεξιὴ κοιλίη.[39] τουτέων μὲν οὖν τὰ ἄγγεα κατ' ἐμὸν νόον ἥδε πρόφασις τῶν ὑμένων. τὸ δ' αὖ φερόμενον ἐκ τῆς δεξιῆς, ζυγοῦται μὲν καὶ ὑπὸ τῇ ξυμβολῇ τῶν ὑμένων, πλὴν οὐ κάρτα ἐθρώσκεν ὑπὸ ἀσθενείης. ἀλλ' ἀνοίγεται μὲν,[40] ἐς πνεύμονος ἄγγεια αἷμα παρέχειν αὐτοῖς τὴν τροφήν. κλείεται δὲ ἐς τὴν καρδίην οὐχ ἀθρόως, ὅκως ἐσίῃ μὲν ὁ ἠήρ, οὐ πάνυ δὲ 20 πολύς. ἀσθενὲς γὰρ ἐνταῦθα τὸ θερμόν, δυναστευόμενον χρήματι ψυχροῦ.[41] τὸ αἷμα γὰρ οὐκ ἔστι τῇ φύσει θερμόν, οὐδὲ γὰρ ἄλλο τι ὕδωρ, ἀλλὰ θερμαίνεται. δοκέει δὲ τοῖσι πολλοῖσι φύσει θερμόν. περὶ δὲ καρδίης, τοιαῦτα εἰρήσθω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΔΕΝΩΝ.

HIPPOCRATIS DE GLANDVLIS, LIBER.

Glandularum integra & absoluta natura sic se habet. Earum quidem natura spongiosa, raræ, siquidem & pingues, & neque carnem habēt reliquo corpori similem, neq; aliud quicquam corpori simile, sed friabilem & multis venis refertã. Quam si seces, sanguis copiosus, specie albus, & velut pituita effunditur, ad tactum verò tanquam lana apparet. Ac si multa vi digitis contrectaris, oleosum humorem glãdula emittit, ipseq; plerunq; conteritur ac dissoluitur. Neq; verò admodum ægrotant, verùm cum reliquo corpore. Cùm autem vel proprio morbo laborant, (parũ nanq; etiam cum corpore affectionem cõmunicant) morbi suboriuntur, tubercula, & strumæ subsiliunt, febrisq; corpus detinet. Quibus afficiũtur, vbi humore ad eas ex reliquo corpore confluente, impletæ fuerint. Ex reliquo autem corpore influit per venas, quæ per eas multæ & raræ extenduntur, ita vt ad eas attractus humor facilè consequatur. Quòd si copiosa & morbosa fluxio fuerit, glandulę etiam reliquum corpus distendunt, eoque modo febris accenditur, glandulæ attolluntur, & inflammationem concipiunt. Glandulæ autem in corpore subsunt plures & maiores in ipsius cauitatibus, quàm in articulis, & quæcunq; in aliis hu-

Περὶ δὲ ἀδένων οὐλομελίης, ὧδε ἔχει. φύσις μὲν αὐτέοισιν ἡ σπογγώδης· ἀραιαὶ μὲν καὶ πίονες·[3] καὶ ἔστιν οὔτε σαρκία ἴκελα τῷ ἄλλῳ σώματι, οὔτε ἄλλό τι ὅμοιον τῷ σώματι, ἀλλὰ ψαφαρά, καὶ φλέβας ἔχει συχνάς. εἰ δὲ διαταμοίης, αἱμορραγίην λάβοις·[4] τὸ εἶδος λευκή, καὶ οἷον φλέγμα. ἐπαφωμένῳ δὲ οἷον εἴρια. κὴν ἐργάσῃ τοῖς δακτύλοισιν ἐπὶ 30 πουλὺ βιησάμενος, ἡ ἀδὴν ὑγρὸν ἀφίησιν ἐλαιῶδες[5] καὶ αὐτὴ θρύπτεται πολλὰ καὶ ἐξαπόλλυται. πονέουσι δὲ οὐ κάρτα ἀλλὰ τῷ ἄλλῳ σώματι. ἐπὴν πονέωσι δὲ ἢ δι' ἰδίην νοῦσον. παῦρα δὲ καὶ τῷ σώματι ξυμπονέουσιν. αἱ νοῦσοι, φύματα γίνονται καὶ χοιράδες ἀναπηδῶσι, καὶ πῦρ ἔχει τὸ σῶμα. πάσχουσι δὲ ταῦτα,[6] ἐπὴν ὑγρασίης πληρωθῶσι τῆς ἐπὶ τοῦ ἄλλου σώματος ἐπιρρεούσης ἐς αὐτάς. ἐπιρρέει δὲ ἐκ τοῦ ἄλλου σώματος διὰ τῶν φλεβῶν, αἳ δι' αὐτῶν τέτανται πολλαὶ καὶ κοῖλαι, ὥστε ἀκολουθεῖν τὸ ὑγρὸν ὅτι αἱ ἕλκουσιν εὐπετέως ἐς αὐτάς. κὴν 40 πουλὺ εἴη καὶ νοσῶδες ἡ ῥοή,[7] ξυντείνουσιν αἱ ἀδένες ἐπὶ σφᾶς τὸ ἄλλο σῶμα, καὶ οὕτω πυρετὸς ἐξάπτεται, καὶ ἀείρονται καὶ φλογῶσιν αἱ ἀδένες. ἀδένες δὲ ὕπεισιν ἐν τῷ σώματι, πλείους ἢ μείζους ἐν τοῖσι κοίλοισιν αὐτέου ἢ ἐν τοῖσιν ἄρθροισιν, καὶ ὁκόσαι ἐν τοῖσι ἄλλοισι ὑγροδόκοι

δον καὶ κατὰ τὰ αἱματώδεα χωρία· αἱ μὲν ὡς τὸ ἐπιρρέον ἄνωθεν ἐς τὰ κοῖλα ἐπιδεχόμεναι ἐπὶ σφέας ἕλκωσιν. αἱ δὲ ὥστε τὴν αὖθις γινομένην [8] ἀπὸ τῶν πόνων ἐργασίην ἐκδεχόμεναι, ἐν τοῖσιν ἄρθροισιν τὴν πληθώρην, ἥν τινα μεθίησι τὰ ἄρθρα· οὕτω πλάδος οὐκ ἔνι ἐν τῷ σώματι. εἰ γάρ τι καὶ γίνοιτο παραυτίκα οὐκ ἂν ἐπιγίνοιτο πλάδος ὀπίσω. κατδρασιμοῦται γὰρ καὶ τὸ πουλὺ καὶ τὸ ὀλίγον ἐς τὰς ἀδένας. καὶ οὕτως τὴν πλεονεξίην τοῦ ἄλλου σώματος αἱ ἀδένες κέρδος ποιεύμεναι, [10] τροφὴ ξύντροφος αὐτέῃσιν ἐστίν. [11] ὥστε ὅκου τελματώδεα, ἐκεῖ καὶ ἀδένες. σημεῖον. ὅκου ἀδὴν, ἐκεῖ καὶ τρίχες. ἡ γὰρ φύσις ποιεῖ ἀδένας καὶ τρίχας, [12] ἄμφω χρέος τωὐτὸ λαμβάνουσιν, αἱ μὲν ἐς τὸ ἐπιρρέον ἐκδεχόμεναι, ὡς καὶ ἔμπροσθεν εἴρηται· αἱ δὲ τρίχες, τὴν ἀπὸ τῶν ἀδένων ἐπικαιρίην ἔχουσαι φύονταί τε καὶ αὔξονται, ἀναλεγόμεναι τό, τε περισσὸν [13] καὶ ἐκβιαζόμενον ἐπὶ τὰς ἐσχατιάς. ὅκου δὲ αὖον ἐὸν τὸ σῶμα, οὔτε ἀδὴν, οὔτε θρίξ. τὰ δὲ ἁπαλὰ καὶ πονεύμενα καὶ κάθυγρα, ἀδὴν ὧδε καὶ τρίχες. ἀδένες δὲ καὶ κατὰ τοῖν οὐάτοιν ἔνθα καὶ ἔνθα ἑκατέρωθεν κατὰ τὰς σφαγὰς τοῦ τραχήλου, τρίχες τε ἐνταῦθα. ἑκατέρωθεν ἐπὶ ταῖς μασχάλῃσιν ἀδένες καὶ τρίχες. βουβῶνες καὶ ἐπίσιον ἰκέλως μασχάλῃσιν ἀδένας καὶ τρίχας. ταῦτα μὲν κοῖλα τῶν ἐν τῷ σώματι καὶ ῥηΐδια ἐς περιουσίην ὑγροῦ. καὶ γὰρ πονεῖ ταῦτα καὶ κινέεται μάλιστα τῶν ἐν τῷ σώματι. τὰ δὴ ἄλλα ὁκόσα ἀδένας ἔχει μοῦνον, οἷον ἔντερα (ἔχει γὰρ καὶ ταῦτα ἀδένας ἐς τὸ ἐπίπλοον μείζονας) τρίχας οὐκ ἔχει. καὶ γὰρ ἐν τοῖσι τέλμασι τῆς γῆς καὶ καθύγροισιν, οὐ φύεται τὸ σπέρμα, [14] οὔτ᾽ ἐθέλει ἀναβαίνειν τῆς γῆς ἄνω, ἀλλ᾽ ἀποσήπεται καὶ ἀποπνίγεται τῇ πλεονεξίῃ. βιῆται γὰρ τὸ σπέρμα. βιῆται δὲ καὶ ἐν τοῖσιν ἐντέροισιν ἡ πληθὺς, καὶ τὸ ὑγρὸν πουλὺ, [15] καὶ οὐκ ἂν φύσαι τρίχας. αἱ δὲ ἀδένες μείζονες ἤκου ἄλλοθι τοῦ σώματος. καὶ νέμονται αἱ ἀδένες ἐν τοῖσιν ἐντέροισιν ἐκπιεζόμεναι τὸν πλάδον. τὰ δὲ ἔντερα ἐκ τῶν τευχέων ἐς τὰ ἐπίπλοα ἐκδέχεται καὶ καθίησι τὴν ὑγρασίην. τὸ δὲ ἐπίπλοον [16] διαδίδοι τῇσιδε ἀδένῃσιν. ἔχουσι δὲ καὶ οἱ νεφροὶ ἀδένας, καὶ γὰρ οὗτοι κρείσκονται πολλῆς ὑγρασίης. μείζους δὲ αἱ ἀδένες ταύτῃ, ἢ αἱ ἄλλαι ἀδένες ἐοῦσαι. οὐ γὰρ ἐμπίνεται τοῖσι νεφροῖσιν τὸ ὑγρὸν τὸ ἐπιρρέον. ἀλλὰ διαρρέει ἐπὶ κύστιν κάτω. ὥστε ὁποῖον ἀποκερδαίνωσιν ἀπὸ τῶν ὀχετῶν, τοῦτο ἕλκουσι πρὸς σφέας. καὶ ἄλλαι δέ εἰσιν ἐν τῷ σώματι ἀδένες σμικραὶ καὶ πάνυ, ἀλλ᾽ οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον. ἐς γὰρ τὰς ἐπικαίρους, ἡ γραφή. νῦν δὲ ἀναβήσομαι τῷ λόγῳ καὶ ἐρέω περὶ ἀδένων οὐλομελίης τραχήλου. τράχηλος [17] τὰ μέρεα αὐτοῦ ἑκάτερα ἔνθα καὶ ἔνθα ἀδένας ἔχει, καὶ παρίσθμια καλέονται αἱ ἀδένες αὗται χροιῇ τοιῇδε. ἡ κεφαλὴ ὑπέρκειται ἄνω κοίλη ἐοῦσα καὶ περιφερὴς, [18] καὶ τῆς περὶ αὐτὴν ἀπὸ τοῦ ἄλλου σώματος ὑγρασίης, καὶ ἅμα ἀναπέμπει τὸ σῶμα ἀτμοὺς ἐς τὴν κεφαλὴν παντοίους ἄνω, οὓς αὖθις ἡ κεφαλὴ ὀπίσω ἀφίησιν. οὐ γὰρ δύναται ἐμμένειν τὸ ἐπιρρέον οὐκ ἔχον ἔνθα ἕδρην, ἢν μὴ τὴν κεφαλὴν πονέῃ, τότε οὐκ ἀνίησιν, ἀλλ᾽ αὐτοῦ κρατεῖ. [19] ἐπὴν δὲ ἀνῇ τὴν ἕλξιν, ἐς τὰς ἀδένας ἡ ῥοὴ γίνεται, καὶ οὐδὲν λυπεῖ τὸ ῥεῦμα, ἔστ᾽ ἂν ὀλίγον τε ᾖ καὶ ξύμμετρον, καὶ ἐγκρατέες ἐῶσιν

mectis & ſanguine redundantibus locis continentur. Atq; illæ quidem, vt id quod ex ſuperioribus locis in cauitates influit exceptum ad ſe trahant. Hę verò vt in articulis ſubortam ex laboribus copioſam humiditatem, quamcunq; articuli emittunt, excipiant, ſicq; ſuperflua humiditas in corpore minimè redundet. Si quid enim ſtatim ſuboriatur, nō tamen poſtea ſuccedet nimia corporis humectatio. Etenim tũ multa, tum pauca in glandulas expēditur. Eoq; modo reliqui corporis abundantiã, glandulæ in lucro ponunt, & iis eſt alimentum accōmodatum. Quare vbi vliginoſæ corporis partes, ibi etiã glandulæ ſunt. Quod hoc indicio conſtat, quoniam vbi glandula, ibi etiam ſunt pili. Natura ſiquidem glandulas & pilos creat, ambo eiuſdem vtilitatis gratia. Illas quidē, vt quod influit (quemadmodum antè dictum eſt) excipiant. Pilos verò, vt ex glandulis opportunitatem nacti, producantur & augeātur, quodq; in extremas partes redundat & expellitur, colligant. Vbi autē corpus ſiccum, ibi neq; glandula, neque pilus ineſt. Teneræ verò & labore agitatæ partes ac humectæ, glandulas & pilos habent. Glandulę verò etiam ſunt ad vtranq; aurium partem, circa iugulares colli venas, pili quoq; ibidem. Sub alis vtraque ex parte & glandulæ & pili ſunt. Inguina & pubes non ſecus ac alæ glandulas & pilos habet. Hæ quidem inter corporis partes cauæ ſunt, & facilè humoris abundātiam excipiunt. Ex omnibus enim corporis partibus, hæ maximè laborant & mouentur. Reliquæ autem quæ glandulas tantùm habent, velut inteſtina, (habent enim & hęc glandulas ad omentum maiores) pilos nō habent. Neq; enim in vliginoſis & humectis terræ locis ſemen naſcitur, neq; ſurſum emergit, ſed humoris redundantia, quæ vim ſemini infert, putreſcit & ſuffocatur. Quinetiam in inteſtinis redundātia & humoris copia vim infert, neque pilos exoriri ſinit. Glandulæ verò maiores ſunt quàm alia corporis parte, & expreſſam ex inteſtinis redundantem humiditatem depaſcuntur. At inteſtina ex vaſis ad omentum pertingentibus, humiditatem excipiunt & emittunt, omentum verò his glandulis tranſmittit. Sed & renes glandulas habent, hi ſiquidem multa humiditate redundant. Sũt autem hac parte maiores, quã aliæ quæuis glandulæ. Neque enim qui influit humor, in renes imbibitur, ſed infra ad veſicã defluit. Quare quicquid ex ductibus lucrifaciunt, id ad ſeſe attrahunt. Sunt & aliæ in corpore glandulæ admodum paruæ. Sed nolo mea oratione longiùs aberrare, cũ ad inſignes tantùm hæc noſtra ſcriptio inſtituta ſit. Nũc igitur vt ad inſtitutũ ſermonem reuertar, de integra glãdularum colli natura dicēdum. Collum vtraq; ex parte, hinc & hinc glandulas habet, tonſillas vocant, in hunc vſum comparatas. Caput cauum & rotundum ſuperiore parte ſitum eſt, & humiditatem ex reliquo corpore circum ſe complectitur, ſimulq; vapores cuiuſuis generis ſurſum ad caput tranſmittit, quos rurſus caput retro demittit. Neque enim quod influit, cùm illic ſedem non habeat, immorari poteſt, niſi caput ęgrotet. Tũc enim nō dimittit, ſed illic retinet. Vbi verò quod attractum eſt remiſerit, fluxio fit in glandulas, quę nullam adfert moleſtiam, quoad pauca & moderata fuerit, eamque

glandulæ retineat. Si enim copiosa & acris fluxio fuerit, & acris & glutinosa perseueret, inflammatur & intumescit, collumq; distenditur, sicq; ad aurem procedit. Et si quidem ad vtranq; aurem, vtraq; auris, si verò ad alteram, altera dolet. Quòd si pituitosa, copiosa ac lenta fluxio fuerit, sic etiam inflammationem concipit, ex qua, cùm humor sit stabilis, strumæ generantur, iique pessimi colli morbi numerantur. In alas autem tunc quidem etiam quid confluit, verùm vbi copiosi & serosi humores fuerint, ad hunc modum in ipsis quoq; tubercula oriuntur. Quin & in inguinibus glandula ex superioribus partibus humiditatẽ trahit, aliòqui si magna copia fuerit, inguinum tumores, bubones dicti fiunt, qui pus colligunt, & inflãmationem concipiunt, non secus ac alæ & collum. Atq; hæc tum bona, tum mala præstare videntur. Et de his quidem hactenus. At verò intestina multùm à cibis & potibus explentur. Quin & humiditatem sub cute continent, quæ tota, veluti prior, absumitur. Morbos verò nõ facit, quemadmodum etiam in articulis contingit. Crebræ siquidem glandulæ & expassæ, neque cauæ sunt, neq; admodum altera alterius copia fruitur, quando si qua plus abundare velit, neq; tunc copiam cõtinere queat. Sed quod in articulum influit, in singulas paucum, & in multas partes diuisum, æqualitatẽ ipsis præbet. Caput quoq; ipsum glandulas habet, cerebrum nempe glandulæ simile. Cerebrum enim non secus ac glãdulæ, album est & friabile, iisdemq; commodis quibus glandulæ sunt præditæ caput afficit, cùm id humiditate, quæ, ob prædictas à me causas, inest, cerebrum, velut auxilium adferens, defraudat, & ad extremitates magna ex parte per fluxiones, foras emittit. Maius autem est cerebrum quàm reliquæ glandulæ, & capilli etiã maiores quàm reliqui pili. Maius enim cerebrũ, & in amplo capitis spacio situm habet. Morbos autem & minores & maiores parit, quàm reliquæ glandulæ. Parit verò cùm ad inferiores corporis partes copiam qua redundat, mandarit. De capite autem fluxiones velut secretione contingunt, per aures secundum naturam, per oculos, per nares, tres numero. Aliæ per palatum in fauces, in gulam, aliæ per venas in spinalem medullam, in sanguinem, omnes numero septem. Eæ si discedunt, cerebri purgamenta sunt, & nisi discedant, ipsi morbum creant, non secus ac reliquo corpori, si intrò, & minimè foras discesserint. Ac rursus multa turbatio affatim attrahit, si quidem cerebrum acrem fluxionem emittat, quæ cæteras fluxiones corrodit & attrahit. Et si quidem quod influit magna copia fuerit, descendens fluxio minimè cessabit, quoad defluentem copiam exhauserit. Et id quidem quod affluit foras emittens, alterum verò excipiens, semper eodem statu consistens, tum humores trahit, tum morbos creat. Amboq; magna molestia naturam debilitant, licet affectiones malitia distent. Prædictæ siquidem fluxiones naturam affligentes, copiam molestè admodum ferunt, & mordentur si quid præter rationem & consuetudinem contingat. At cerebrum noxiam sentit, ipsumque etiam non bene habet. Sed si quidem mordeatur, multam turbationem habet, & mens desipit, cerebrumque conuulsionem sentit, totumque hominem trahit, neque in se vocem edit, sed suffocatur, huicque affectioni apoplexiæ nomen est.

αἱ ἀδένες. ἢν γὰρ πουλὺ ἐπιῤῥυῇ δριμὺ, ἢν μὲν ᾖ δριμὺ καὶ χολῶδες, φλεγμαίνει, καὶ ἀνοιδίσκεται, καὶ ξυντείνει ὁ τράχηλος καὶ οὕτω περαιοῦται ἐς οὖς. καὶ ἢν μὲν ἐς ἑκάτερα τὰ μέρεα, ἑκάτερον· ἢν δὲ ἐς θάτερον, πονέει θάτερον. ἢν δὲ ἡ φλεγματώδης καὶ πουλὺ καὶ ἀργὸν ἡ ῥοὴ, φλεγμαίνει δὲ καὶ ὧδε. καὶ ἡ φλεγμονὴ, στάσιμον ἐὸν ὑγρὸν, χοιράδες ἐγγίνονται.[20] αὗται χείρους αἱ νοῦσοι τραχήλου. μασχάλῃσι δὲ, ξυῤῥέει μὲν καὶ ἐνταῦθα, ἀλλ' ὁπόταν πλῆθος ᾖ, δριμέες ἰχῶρες, καὶ ὧδε γίνονται φύματα κατὰ ταῦτα. καὶ ἐν τοῖσι βουβῶσιν ἕλκει τὴν ἀπὸ τῶν ὑπερκειμένων ὑγρασίην ἡ ἀδήν· ἄλλως εἰ πλῆθος λάβοι, βουβωνοῦται, καὶ διαπύσκεται καὶ φλεγμαίνει ἴκελος μασχάλῃσί τε καὶ τραχήλῳ. τὰ δ' αὐτὰ καὶ δοκέει παρέχειν ἀγαθὰ καὶ κακά. καὶ ταῦτα μὲν ἀμφὶ τῶνδε. τὰ δὲ ἔντερα ἔχει χώρην πολλὴν ἀπό τε σιτίων καὶ ποτῶν· ἔχει δὲ καὶ τὴν ὑπὸ τοῦ δέρματος ὑγρασίην.[21] αὕτη πᾶσα ἀπομυασιμοῦται ἴκελη τῆς πρόσθεν. νούσους δὲ οὐ ποιεῖ τὰ πολλὰ, ὅκως περ καὶ ἐν τοῖσιν ἄρθροισιν γίνεται. συχναὶ γάρ τοι ἀδένες καὶ ἀναπετέες καὶ οὐ κοῖλαι, καὶ οὐ πολὺ πλῆθος ἐπαυρισκόμεναι ἡ ἑτέρη τῆς ἑτέρης. ἐπεὶ μᾶλλον πλεονεκτεῖν ἐθέλουσα,[22] οὐδὲ μὴν τότε πλῆθος ἔχειν δύναται, ἀλλ' ἐς ὀλίγον ἑκάστης ξυῤῥέον ἐς τὸ ἄρθρον ἐς πολλὰ διαιρεόμενον, ἰσότης ἐστὶν αὐτέῃσιν. ἡ κεφαλὴ καὶ αὐτὴ τὰς ἀδένας[23] ἔχει, τὸν ἐγκέφαλον ἴκελον ἀδένι. ἐγκέφαλος γὰρ καὶ λευκὸς καὶ ψαφαρὸς, ὅκως περ καὶ ἀδένες. καὶ ταὐτὰ ἀγαθὰ τῇσιν ἀδέσι ποιέει τὴν κεφαλὴν [24] ἐοῦσαν, διὰ τὰ εἰρημένα μοι, τιμωρέων ὁ ἐγκέφαλος ἀποστερέει τὴν ὑγρασίην, καὶ ἐπὶ τὰς ἐσχατιὰς ἔξω ἀποστέλλει τὸ πλέον ἀπὸ τῶν ῥόων. μείζων δ' ὁ ἐγκέφαλος τῶν ἄλλων ἀδένων, καὶ αἱ τρίχες μείζους ἢ αἱ ἄλλαι τρίχες. μείζων τε γὰρ ὁ ἐγκέφαλος καὶ ἐν εὐρυχωρίῃ κέεται τῇ κεφαλῇ. ποιέει δὲ νούσους καὶ ἥσσονας καὶ μείζονας ἢ αἱ ἄλλαι ἀδένες. ποιέει δὲ ὁκόταν ἐς τὰ κάτω τοῦ σώματος τὴν σφετέρην πλεονεξίην ἀποστείλῃ. ῥόοι δὲ, ἀπὸ κεφαλῆς[25] ἕως ἀποκρίσιος, δι' ὤτων κατὰ φύσιν, δι' ὀφθαλμῶν, διὰ ῥινῶν τρεῖς οὗτοι. καὶ ἄλλοι δι' ὑπερῴης ἐς φάρυγγα, ἐς στόμαχον. ἄλλοι διὰ φλεβῶν ἐπὶ νωτιαῖον, ἐς τὸ αἷμα. οἱ πάντες ἑπτά. οὗτοι τοῦ τε ἐγκεφάλου λύματά εἰσιν ἀπιόντες καὶ εἰ μὴ ἀπίοιεν, νοῦσος αὐτέῳ· οὕτω δὲ καὶ τῷ ἄλλῳ σώματι.[26] ἢν δ' ἐς τὰ ἔνδον ἀπίωσι καὶ μὴ ἔξω,[27] καὶ αὖθις ὄχλος πολὺς χλυδόθεν ἕλκει καὶ ἀδριμὺ μένει, περαιοῖτο ὁ ἐγκέφαλος ῥεῦμα, ὃ τὰς ἐπιῤῥοὰς ἐσθίει καὶ ἑλκοῖ. καὶ τὸ μὲν ἐπιὸν, ἢν ᾖ πλῆθος, κατιὸν τέλος οὐκ ἂν ἔχοι ὁ ῥόος, ἔστ' ἂν εἰς ἀρεῖα λε τὴν πληθὺν τοῦ κατιόντος. καὶ τὸ μὲν ἐπιῤῥέον ἀποπέμπων ἔξω, ἕτερον δὲ εἰσδεχόμενος, ἐς τὸ ὅμοιον αἰεὶ καθιστάμενος· τά τε ὑγρὰ ἕλκει καὶ ποιέει νούσους.[28] ἄμφω δὲ ἐν ἀηδίῃ καταγνῦ τὴν φύσιν καὶ ἢν πάθῃ, δύεστον κακίᾳ. τὰ μὲν γὰρ πάθη τῆς φύσεως οἱ προειρημένοι ῥόοι δυσφορέουσι τὸ πλῆθος, καὶ ὀδάξονται τὸ ἄλογον καὶ οὐ ξυνήθεες ὄν. ὁ δὲ ἐγκέφαλος, πῆμα ἴσχει καὶ αὐτὸς οὐχ ὑγιαίνων. ἀλλ' εἰ μὲν δάκνοιτο, τάραχον πουλὺν ἴσχει,[29] καὶ ὁ νόος ἀφραίνει, καὶ ὁ ἐγκέφαλος σπᾶται καὶ ἕλκει τὸν ὅλον ἄνθρωπον.[30] ἐν ἑωυτῷ δ' οὐ φωνέει καὶ πνίγεται, ἀποπληξίη τῷ πάθει τοὔνομα.

ἀλλ'

ἀλλ᾽ ὅτε δὲ δριμὺ μὲν οὐ ποιέει αὐτῷ τὸ ῥεῦμα, πλῆθος δὲ
ὂν τὸ ἐμπεσὸν, πονέει τοῦτο καὶ ἡ γνώμη ταράττεται. καὶ παρεῖν-
σιν ἀλλοῖα φρονέων, καὶ ἀλλοῖα ὁρέων, φέρων τὸ ἦθος τῆς νούσου
[31] σεσηρόσι μειδήμασι καὶ ἀλλοκότοισι φαντάσμασιν. ἄλλος
ῥόος ἐπ᾽ ὀφθαλμοὺς, ὀφθαλμία. καὶ οἰδέουσιν αἱ ὄψιες. εἰ δὲ
ἐπὶ ῥῖνας ὁ κατάρροος, ὀδάξονται μυκτῆρες καὶ ἄλλο οὐδὲν
δεινόν. αἵ τε γὰρ ὁδοὶ τουτέων εὐρέες καὶ ἱκαναὶ ἐπιμερέειν σφί-
σιν. πόρος δὲ καὶ ἀσύστροφον τὸ ἀπιὸν αὐτέῃσι. τὰ δὲ οὔατα,
σκολιὸς μὲν πόρος καὶ στενός· ὁ δὲ ἐγκέφαλος, πλησίον αὐ-
τέων αὐτοῖσιν ἐμπιέζεται. νοσέων δὲ τὴν νοῦσον ταύτην τὰ πολ- 10
λὰ ἀποκρίνει, [32] καὶ τὸ οὖς ἀπὸ τῆς πυκινῆς ῥοῆς ἀνὰ χρόνον
περιέσταί τε καὶ ῥέει δυσῶδες πῦον. [33] οὕτως ἐς τὰ ἔξω δῆλοι
τοῖς ὀφθαλμοῖς ῥόοι, καὶ οὐ πάμπαν θανατώδεες. ἢν δὲ τὸ
ὀπίσω ῥεῦμα ἢ διὰ ὑπερῴης τὸ ἀφικόμενον φλέγμα ἐς
τὴν κοιλίην ῥέουσι μὲν καὶ αἱ κοιλίαι τούτων, νοσέουσι δὲ, οὔ.
[34] ἀναμένοντος κάτω τοῦ φλέγματος, εἰλεοὶ τὰ πάθη χρό-
νια. ἄλλοις δὲ ὑπερῴης ἐπὶ φάρυγγα, ἢν πουλὺ ῥυῇ, καὶ
ἐπὶ πουλὺ αἱ νοῦσοι φθινάδες. κρέσκονται γὰρ τοῦ φλέγμα-
τος οἱ πνεύμονες, [35] καὶ γίνεται τὸ πῦον. τοῦτο διεσθίει τοὺς πνεύ-
μονας, καὶ οἱ νοσέοντες, οὐ ῥᾶον περιγίνονται. καὶ ἡ γνώμη οὐ 20
ἰητροῦ, καὶ ἢν ἀγαθὸς, καὶ ἢν ἀγχίνοος τὰ πολλὰ ξυνετέει τῆς
προφάσιος. [36] ἄλλη ἡ νοῦσος διὰ φλεβῶν ἐπὶ νωτιαῖον ἀ-
πὸ καταρρόου κεφαλῆς· ἀΐσσει δὲ ἐνταῦθα ἐπὶ ἱερὸν ὀστέον ἄ-
γων τὴν ἐπιρροὴν ὁ νωτιαῖος, [37] καὶ ἐναπέθετο τῇσι κοτύ-
λῃσι τῶν ἰσχίων· καὶ ἢν ποιέῃ φθίσιν καὶ μαραίνεται ὁ ἄνθρω-
πος ὧδε καὶ ὧδε, καὶ ζώειν οὐκ ἐθέλει. ταχὺ γὰρ πονέει τὴν σπά-
θην, καὶ ἅμα τὼ πόδε καὶ μηρὼ παρέπονται. καὶ αἰεὶ τελέως
ὄλλυνται χρόνῳ πολλῷ μελεδαινόμενοι, [38] καὶ οὔτε ἀπηύδηκε
καὶ θνήσκει. ταῦτά μοι περὶ ῥόων ἀπὸ κεφαλῆς εἴρηται. καὶ πά-
θεα ἐγκεφάλου καὶ ἄλλαι νοῦσοι, παραφροσύναι, καὶ μανίαι, καὶ 30
QVI artem Medicam recta inuestigatione consequi volet, is primùm quidē anni tempora in considerationem adhibere debet, quid horū quidq; possit. Neq; enim quicquam habent simile, sed cùm inter se plurimùm differunt, tum etiam propter varias quæ in eis contingunt mutationes. Deinde verò vētos tum calidos, tum frigidos, præcipuè quidem eos qui omnibus sunt communes, ac deinceps eos qui cuique regioni sunt familiares. Quinetiam aquarum facultates animo reputare oportet. Quemadmodum enim gustu & pondere, ita & facultate singulæ plurimùm differunt. Quare si quis ad vrbem sibi ignotam peruenerit, is eius situs curam habere debet, vt cognoscat quomodo ad ventos aut solis exortum sit exposita. Neque enim easdem vires habet, quæ ad septentrionē, & quæ ad austrum sita est, vt neque eius quæ ad exorientem solem aut occidentem spectat. Et hæc quidem optimè animo concipienda sunt, & quomodo ad aquas habeant, num palustribus & mollibus vtantur, an duris, & ex sublimi ac saxosis locis scaturientibus, siue salsis ac coctu difficilibus. Terra etiam ipsa inspicienda, nuda ne sit & aquis careat, an densa & irrigua, & an cauo loco sita sit & æstuoso, an verò sublimi & frigido. Hominum quoq; victus ratio, quanam maximè delectentur, inspicienda, an potui & cibis, & otio dediti, an exercitationibus & laboribus gaudeāt, & an edaces sint, & à potu sibi temperent. Et ex his singula reputare oportet. Hæc enim præcipuè quidem omnia, aut certè plurima probè qui agnouerit, cùm ad vrbē sibi ignotā peruenerit, eum neq; morbi regioni familiares, neq; communium quę sit natura latēre poterit, vt neque in eorū curatione hæsitare aut aberrare possit. Quæ certè contingere solēt, si quis istorum cognitionem non antè animo perceptam habuerit. Qui verò ista rectè cognouerit, is cuiusq; temporis impendentis, & anni statum prædicere poterit, & quinam morbi tam æstate quàm hyeme, in vrbe communiter sint grassaturi, tum etiam quinā cuiq; priuatim ex victus mutatione impendere debeant. Qui enim temporum mutationes, astrorumque ortus & obitus, vt horum quæque eueniant, tenuerit, is vtique futurum anni statum præuidere poterit. Hac ratione inuestigando qui temporum occasiones præsenserit, is maximè cuiusque naturam cognouerit, & plærunq; sanitas illi succedet, minimumque in arte à recta via aberrauerit.

Quòd si cui ista ad rerum sublimium speculationem pertinere videantur, is si sententia destiterit, facilè intelliget, ad artem Medicam Astronomiam ipsam non minimùm sed plurimùm potiùs cōferre, quippe cùm vnà cum anni temporibus hominum ventriculi mutationem accipiant. Quonam autem pacto quæ diximus singula consideranda & exploranda sint, deinceps aperiam. Ciuitas quæ ventis calidis est exposita, iis videlicet qui inter brumalem solem exorientem & occidentem perflant, eiq; sunt peculiares, à septentrionalibus autem ventis tecta est, ea aquarum subsalsarum copia abundat, quæ cùm è sublimi scaturiāt, eas æstate quidem calidas, hyeme verò frigidas esse necesse est. Et vrbes quidem quæ soli & ventis probè sunt expositæ, & aquis probis vtuntur, eę quidem huiusmodi mutationes minùs sentiunt. Quæ verò aquis palustribus ac lacustribus vtuntur, neq; probè ventis ac soli sunt expositæ, eę magis sunt obnoxiæ. Ac siquidem ęstas sicca fuerit, morbi celeriùs desinunt, sin verò imbribus scateat, diuturni fiunt, vlceraq; exedentia (phagedænas vocant) ex quauis occasione in vlceribus suboriri est consentaneum. Hyeme verò frigida, homines capita humida & pituita redundātia habere æquum est, & pituita ex capite defluente, eorum aluos crebrò exturbari, eosque vt plurimùm, habitu corporis esse debiliore, ac neque probè edere nec bibere posse. Quibus enim capita debilia fuerint, ij nunquam egregij potores fuerint, quòd eos crapula magis vexet. Morbi autem hi sunt patrij. Primùm quidem mulieres morbis & fluxionibus sunt obnoxiæ, deinde multæ ex morbo, non natura steriles, crebrisque abortionibus conflictantur. Pueris verò conuulsiones impendent, & crebri anhelitus, quos puerilem affectum efficere, & sacrum esse existimant. Viris autem intestinorum difficultates & alui profluuia, febres algidæ, & hybernæ diuturnæ, pustulæ multæ nocturnæ epinyctides dictæ, & sanguinis profluuia per ora venarum quæ in ano sunt, hæmorrhoides vocantur. Morbi autem laterales, pleuritides dictæ, & pulmonum inflammationes, febres ardentes, & quicunq; acuti morbi censentur, rarò contingunt. Neq; enim eiusmodi morbi, vbi alui liquidæ fuerint, inualescere possunt. Lippitudines verò humidæ oboriuntur, neque molestæ, neque longæ, nisi ex temporum immutatione morbus aliquis omnibus cōmunis inuadat. Ac vbi quinquagesimum annum excesserint, destillationes ex cerebro superueniunt, quę homines aliqua corporis parte resolutos reddunt, vbi caput de repente soli expositum, aut frigore correptum fuerit. Atque ij quidem morbi his sunt patrij, præter quàm quòd si morbus aliquis omninò communis ex anni temporum mutatione occupauerit, huius etiam participes existunt. At quæ ciuitates his contrarium situm habent, & ventis frigidis inter ortum & occasum solis æstiuum sunt expositæ, iisq; hi venti sunt patrij, ab austro autem & æstiuis obtectæ sunt, de his sic se res habet. Primùm quidem aquæ tum duræ, tum frigidæ, ferè dulces euadunt. Homines autem robustos & exuccos esse necesse est, & plerosque ventres inferiores indomitos & duros habere, superiores verò flu-

εἰ δὲ δοκέοι τις ταῦτα μετεωρόλογα εἶναι, εἰ μεταστα‹ί›η τῆς γνώμης, μάθοι ἂν ὅτι οὐκ ἐλάχιστον μέρος συμβάλλεται ἀστρονομίη ἐς ἰητρικήν, ἀλλὰ πάνυ πλεῖστον. ἅμα γὰρ τῇσιν ὥρῃσιν, καὶ αἱ κοιλίαι μεταβάλλουσιν τοῖσιν ἀνθρώποισιν, ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως. ἥτις μὲν πόλις πρὸς τὰ πνεύματα κεῖται τὰ θερμά· ταῦτα δ' ἐστὶ μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμέων τῶν χειμερινῶν. καὶ αὐτέῃ ταῦτα τὰ πνεύματά ἐστι ξύννομα. τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων, σκέπη. ἐν ταύτῃ τῇ πόλει ἐστί, τά τε ὕδατα πολλὰ καὶ ὕφαλα, καὶ ἀνάγκη εἶναι [6] μὴ μετέωρα. τοῦ μὲν θέρεος, θερμά, τοῦ δὲ χειμῶνος, ψυχρά. [7] καὶ ὁκόσαι μὲν τῶν πολίων κέονταί γε καλῶς τοῦ ἡλίου καὶ τῶν πνευμάτων, ὕδασί τε χρέονται ἀγαθοῖσιν, αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιούτων μεταβολέων. ὁκόσαι δ' ὕδασί τε ἑλείοισι χρέονται καὶ λιμνώδεσιν, κεῖνται τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. κἢν μὲν ὁ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νοῦσοι. ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίνονται. [8] καὶ φαγεδαίνας κινδυνεύει ἐγγίνεσθαι ἀπὸ πάσης προφάσιος ἢν ἕλκος ἐγγένηται. τοῦ δὲ χειμῶνος ψυχροῦ, τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν καὶ φλεγματώδεας, τάς τε κοιλίας αὐτέων πυκνὰ ἐκταράσσεσθαι ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταρρέοντος. τά τε εἴδεα ἐπὶ τὸ πλῆθος αὐτέων ἀτονώτερα εἶναι. ἐσθίειν δ' οὐκ ἀγαθοὺς εἶναι οὐδὲ πίνειν. ὁκόσοι μὲν γὰρ κεφαλὰς ἀσθενέας ἔχουσιν, οὐκ ἂν εἴησαν ἀγαθοὶ πίνειν. ἡ γὰρ κραιπάλη μᾶλλον πιέζει. νοσήματα τάδε ἐπιχώρια εἶναι. πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας εἶναι. ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νόσου καὶ οὐ φύσει, ἐκτιτρώσκεσθαί τε πυκνά. τοῖσί τε παιδίοισιν, ἐπιπίπτειν σπασμοὺς καὶ ἄσθματα, ἃ νομίζουσι τὸ παιδίον ποιέειν, καὶ ἱερὴν νοῦσον εἶναι. [10] τοῖσι δὲ ἀνδράσιν, δυσεντερίας, καὶ διαρροίας, καὶ ἠπιάλους, καὶ πυρετοὺς πολυχρονίους χειμερινούς, καὶ ἐπινυκτίδας πολλάς, καὶ αἱμορροΐδας ἐν τῇ ἕδρῃ. πλευρίτιδες δὲ καὶ περιπνευμονίαι καὶ καῦσοι, καὶ ὁκόσα ὀξέα νοσήματα νομίζονται, οὐκ ἐγγίνονται πολλά. [11] οὐ γὰρ οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἔωσι, τὰς νούσους ταύτας ἰσχύειν. ὀφθαλμίαι τε ἐγγίνονται ὑγραὶ καὶ οὐ χαλεπαί, ὀλιγοχρόνιοι, ἢν μή τι κατάσχῃ νόσημα πάγκοινον ἐκ μεταβολῆς. καὶ ὁκόταν τὰ πεντήκοντα ἔτεα ὑπερβάλλωσι, κατάρροοι ἐπιγινόμενοι ἐκ τοῦ ἐγκεφάλου παραπληκτικοὺς ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν κεφαλὴν ἢ ῥιγώσωσι. [12] ταῦτα μὲν τὰ νοσήματα αὐτέοισιν ἐπιχώριά ἐστιν. χωρὶς δὲ ἤν τι πάγκοινον κατάσχῃ νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τουτέου μετέχουσιν. ὁκόσαι δ' ἀντικέονται τουτέων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν τοῦ ἡλίου καὶ τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτῇσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστιν, τοῦ δὲ νότου καὶ τῶν θερμῶν πνευμάτων σκέπη. ὧδε ἔχει περὶ τῶν πολίων τουτέων. πρῶτον μὲν τὰ ὕδατα τὰ σκληρά τε καὶ ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος γλυκέα εἶναι. τοὺς δὲ ἀνθρώπους ἐντόνους τε [13] καὶ σκελιφροὺς ἀνάγκη εἶναι. τούς τε πλείους [14] τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκλη-

ρὰς τὰς

ἐς τὰς κάτω. τὰς δὲ ἄνω εὐρωστέρας, χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληράς. ῥηγματίαι τε εἰσὶν ἐπὶ τὸ πλῆθος. νοσεύματα δὲ αὐτέοισιν [15] ἐπιδήμια, πλευρίτιδές τε πολλαί, αἵ τε ὀξεῖαι νομιζόμεναι νοῦσοι. ἀνάγκη δὲ ὧδε ἔχειν. ὁκόταν κοιλίαι σκληραὶ ἔωσιν, ἔμπυοί τε πολλοὶ γίνονται ἀπὸ πάσης προφάσιος. τουτέου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις καὶ ἡ σκληρότης τῆς κοιλίης. ἡ γὰρ ξηρότης ῥηγματίας ποιέει εἶναι, καὶ τοῦ ὕδατος ἡ ψυχρότης. ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι καὶ οὐ πολυπότας. οὐ γὰρ οἷόν τε ἅμα πολυβόρους τε εἶναι καὶ πολυπότας. ὀφθαλμίας τε γίνεσθαι μὲν διὰ χρόνου. γίνεσθαι δὲ σκληρὰς καὶ ἰσχυράς. καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα. αἱμοῤῥοίας δὲ ἐκ τῶν ῥινέων τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίνεσθαι ἰσχυρὰς τοῦ θέρεος. τά τε ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ. μακροβίους δὲ τοὺς ἀνθρώπους τουτέους μᾶλλον εἰκὸς εἶναι ἑτέρων. τά τε ἕλκεα οὐ φλεγματώδεα ἐγγίνεσθαι, οὐδὲ ἀγριοῦσθαι. [16] τά τε ἤθεα, ἀγριώτερα ἢ ἡμερώτερα. [17] τοῖσι μὲν ἀνδράσι τὰ νοσήματα ἐπιχώρια ἐστὶ. καὶ χωρὶς ἢν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων. τῇσι δὲ γυναιξὶ πρῶτον μὲν [18] στρυφναὶ πολλαὶ γίνονται διὰ τὰ ὕδατα ὄντα σκληρά τε καὶ ἀτέραμνα, καὶ ψυχρά. αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί. ἔπειτα τίκτουσι χαλεπῶς. ἐκτιτρώσκουσι τε οὐ σφόδρα. ὁκόταν δὲ τέκωσιν, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσί. τὸ γὰρ γάλα ἀποσβέννυται ἀπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης. φθίσιές τε γίνονται συχναὶ ἀπὸ τοῦ τόκου. ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα. τοῖς δὲ παιδίοισιν ὕδρωπες ἐγγίνονται ἐν τοῖσιν ὄρχεσιν ἕως μικρὰ ᾖ. ἔπειτα προϊούσης τῆς ἡλικίης ἀφανίζονται. ἡβῶσι τε ὀψὲ ἐν ταύτῃ τῇ πόλει. περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν, καὶ τῶν πολίων τουτέων, ὧδε ἔχει ὡς προείρηται. ὁκόσαι δὲ κέονται πρὸς τὰ πνεύματα μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου, καὶ τῶν χειμερινῶν, καὶ ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει περὶ αὐτέων. ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέονται, ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων, καὶ τῶν πρὸς τὰ θερμά, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. πρῶτον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν. ἔπειτα τὰ ὕδατα ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστιν, ταῦτα λαμπρά τε εἶναι ἀνάγκη, καὶ εὐώδεα καὶ μαλακὰ καὶ ἐρατεινὰ ἐγγίνεσθαι ἐν ταύτῃ τῇ πόλει. ὁ γὰρ ἥλιος κωλύει ἀνίσχων καὶ καταλάμπων. τὸ γὰρ ἑωθινὸν ἑκάστοτε αὐτὸς ὁ ἠὴρ [19] ἐπέχει ὡς ἐπὶ τὸ πολύ. τά τε εἴδεα τῶν ἀνθρώπων, εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον, ἢν μή τις νοῦσος ἄλλη κωλύῃ. λαμπρόφωνοί τε οἱ ἄνθρωποι. ὀργήν τε καὶ ξύνεσιν βελτίους εἰσὶ τῶν πρὸς βορέην. εἴπερ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις, ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. τά τε νοσεύματα ἐλάσσω μὲν γίνεται καὶ ἀσθενέστερα. ἔοικε δὲ τοῖς ἐν τῇσι πόλεσιν γινομένοις νοσεύμασιν, τῇσι πρὸς τὰ θερμὰ τὰ πνεύματα ἐστραμμένῃσιν. αἵ τε γυναῖκες αὐτόθι, ἐναρικύμονες εἰσὶ σφόδρα, καὶ τίκτουσι ῥηιδίως. περὶ μὲν τουτέων ὧδε ἔχει. ὁκόσαι δὲ πρὸς τὰς δύσιας κέονται, καὶ αὐτῇσιν ἐστὶ σκέπη τῶν πνευμάτων

xiliores, bileq; magis quàm pituita redundare. Capita sana & dura habent, & plæraque vasa ipsis intrò rumpuntur. Morbi autem apud eos passim vagantur, laterales multi & qui acuti esse censentur. Quod fit se habere necesse est, cùm alui duræ existant. Multi quoq; quauis ex occasione pus intrò colligūt. Cuius rei causa est corporis distensio, & ventris durities. Siccitas enim & aquæ frigiditas in causa sunt, vt vasa intrò rumpantur. Eiusmodi autem naturas cibis, non multis potibus obnoxias esse necesse est. Neq; enim fieri potest vt simul multum edant aut bibāt. Lippitudines autem iis quidem per interualla contingunt, ita tamen asperæ ac vehementes, vt confertim oculi rumpantur. Æstate verò iis qui nondum trigesimum annum attigerunt, vehemētes fiunt sanguinis è naribus eruptiones. Morbi enim qui sacri appellātur, pauci ij quidem, sed vehementes. Hos longioris esse vitæ quàm cæteros æquum est, iisq; vlcera citra inflammationem suboriri, neq; admodum exasperari, moresque agrestes potiùs esse quàm mansuetos. Ac viris quidem hi morbi sunt familiares, præter quàm si quis omnes communiter ex temporum anni mutatione inuadat. Quòd autem ad mulieres attinet, multæ ob aquas duras, coctu difficiles & frigidas, duræ sunt. Neque enim commodæ contingunt purgationes menstruæ, sed paucæ & prauæ. Deinde non nisi ægrè pariunt, neque admodum abortionibus tentantur. Cùm verò pepererunt, pueros enutrire non possunt. Lac siquidem aquarum duritate & cruditate extinguitur. Tabes etiam frequentes à partu contingunt. Præ violentia enim ruptis ac vulsionibus præhenduntur. Pueris verò dum parui sunt, testium tumores aquosi suboriuntur, qui procedente ætate disparent, seroq; hac in ciuitate pubescūt. Ac de ventis quidem calidis & frigidis, & iis expositis vrbibus, quēadmodum antè dictum est, ita se res habet. At verò ciuitates quæ ad ventos inter æstiuum solis ortum & hybernum sunt expositæ, & quæ iis contrario modo se habent, de his sic se res habet. Quę quidem soli orienti sunt expositæ, eas salubriores esse par est, his quæ ad septentriones & ventos calidos obuersæ sunt, etsi stadium vnum intersit. Primùm siquidem calor & frigus temperatè se habent, deinde aquas quę solis ortum spectant, omnes limpidas esse, & odoratas ac molles, & amœnas in hac ciuitate suboriri necesse est. Sol nanque emergens & perlustrans eas reprimit. Diluculum enim ipse aër vt plurimùm semper affundit. Hominū habitus coloratiores & viuidiores sunt, nisi alius quis morbus prohibeat. Homines clara voce sunt prēditi, & ad irā ac prudentiam melius sunt comparati quàm septentrionales, siquidem & reliqua illic nascentia præstantiora sunt. Ac ferè sic sita ciuitas, quo ad calidi & frigidi temperationem, veri similis est, tum etiam morbi quidem pauciores & debiliores gignuntur, eorumque morborum sunt similes, qui in ciuitatibus, quæ ad calidos ventos spectant, oriuntur. Et mulieres illic valdè fœcunda euadunt, facileque pariunt. Ac de his hoc quidem habet modo. At verò quæ ad occasus sunt expositæ, & à ventis qui

ab oriente spirant obtectæ, tũ à calidis ventis, tũ etiam frigidis à septentrione leuiter perflantur, harũ vrbium situm maximè morbo esse obnoxium necesse est. Primùm siquidem aquæ minimè sunt limpidæ. Cuius rei causa est, quòd aër plurimùm matutinum tempus occupat, qui aquæ admixtus, illius splẽdorem obscurat. Neq; enim nisi in altum euectus sol splendescit. Per æstatem verò mane quidem auræ frigidæ spirant, & ros decidit, de reliquo verò, ad ipsas sol se demittẽs, quàm maximè homines percoquit. Quare & decolores eos esse par est & infirmos, prædictisq; omnibus morbis participare, cùm nulla ex parte ab eis separentur. Grauem etiam & raucam vocem eos habere est cõsentaneũ, ob aërem qui isthic vt plurimũ impurus & morbosus existit. Neq; enim ab aquilonibus multùm perpurgatur, cùm non assiduè perflent, qui verò assiduè perflant iisq; incũbunt, aquosissimi sunt. Quandoquidem qui ab occasu spirant venti, autumno ferè similes sunt, similisq; est hic ciuitatis situs, quo ad diei mutationem ꝙ multum inter matutinũ & vespertinũ tempus intercedit. Ac de ventis quidem conueniẽtes sint nécne, sic se res habet. Deinceps verò de aquis nobis cõmemorandum est, & quę morbosæ, & quę saluberrimæ existant, & quæ ab aqua tũ mala, tũ bona prouenire ęquũ est. Plurimùm enim momenti ad sanitatem confert. Quæ igitur sunt palustres, & stabiles, & lacustres, eas per æstatẽ quidẽ calidas, crassas & olidas esse necesse est. Cùm enim nõ perfluant, sed semper nouo imbre accedente augeãtur, & à sole exurãtur, eas decolores esse & prauas, & biliosas necesse est. Per hyemem verò glaciatas & frigidas, & tũ à niue, tũ à glacie returbidas, adeoq; maximè pituitã gignere, & raucedinem excitare. Bibentibus autem lienes semper magnos esse & compressos, ventres verò duros & tenues, ac calidos. Humeros verò & iugula, & faciẽ extenuari. In lienẽ enim carnes colliquescunt, ideoq; graciles sunt. Tales verò edaces & siticulosos esse necesse est, ventresq; tum superiores, tum inferiores siccissimos habere, proindeq; medicamentis valentioribus indigere. Hic quidẽ morbus ipsis & per æstatẽ & per hyemem est consuetus. Ad hæc etiam aquæ inter cutem tum frequentes, tũ maximè lethales contingũt. Multę enim intestinorum difficultates, & alui profluuia per ęstatem incidunt, & febres etiam quartanæ diuturnę. Hi autẽ morbi cùm longiùs producuntur, huiusmodi naturas ad aquam inter cutem deducunt, & perimũt. Et hi quidem morbi ipsis per ęstatem contingunt. Per hyemem verò iunioribus pulmonum inflãmationes & insaniæ: senioribus autem febres ardentes, ob ventris duritiem. Mulieribus verò tumores proueniunt & pituita alba, vixq; concipiunt, & cũ difficultate fœtus magnos & tumidos pariũt, quiq; postea dum educantur cõtabescunt, & deteriores euadũt. Neq; bona post partum mulieribus purgatio cõtingit. Pueris verò herniæ potissimùm superueniunt, & varices viris, tibiarumq; vlcera, vt proindè eiusmodi naturæ longę esse vitæ nequeant, sed antè tempus senescant. Præterea mulieres sibi prægnantes videntur, & cùm pariendi tempus instat, ventris moles disparet. Quod

τῶν ἀπὸ τοῦ ἠοῦς πνεόντων, τά τε θερμὰ πνεύματα παρέρχεται καὶ τὰ ψυχρὰ ἀπὸ τῶν ἄρκτων, ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κέεσθαι νοσερωτάτην. πρῶτον μὲν γὰρ τὰ ὕδατα, οὐ λαμπρά. αἴτιον δὲ ὅτι ὁ ἠὴρ τὸ ἑωθινὸν κατέχει, ὡς ἐπὶ τὸ πολύ, ὅστις τῷ ὕδατι ἐγκαταμιγνύμενος τὸ λαμπρὸν ἀφανίζει. ὁ γὰρ ἥλιος πρὶν ἄνω ἀρθῆναι οὐκ ἐπιλάμπει. τοῦ δὲ θέρεος ἕωθεν μὲν αὖραι ψυχραὶ πνέουσι. καὶ δρόσοι πίπτουσιν. τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύνων. ὥστε μάλιστα διέψει τοὺς ἀνθρώπους, διὸ καὶ ἀχρόους τε εἰκὸς εἶναι καὶ ἀῤῥώστους. τῶν τε νοσευμάτων πάντων μετέχειν μέρος τῶν προειρημένων οὐδὲν αὐτέοις ἀποκέκριται. βαρυφώνους τε εἰκὸς εἶναι καὶ βραγχώδεας διὰ τὸν ἠέρα ὅτι ἀκάθαρτος ὡς ἐπὶ τὸ πολὺ αὐτόθι γίγνεται, καὶ νοσώδης. οὔτε γὰρ ὑπὸ τῶν βορείων ἐκκρίνεται σφόδρα. οὐ γὰρ προσέχουσι τὰ πνεύματα. ἅ τε προσέχουσιν αὐτέοισιν καὶ προσκέεται, ὑδατεινότατά ἐστιν. [20] ἐπεὶ τὰ ἐπὶ τῆς ἑσπέρης πνεύματα ἔοικεν εἴ τε μετοπώρῳ μάλιστα ἡ θέσις ἡ τοιαύτη τῆς πόλιος κατὰ τάς τε ἡμέρης μεταβολάς, ὅτι πολὺ τὸ μέσον γίγνεται τοῦ τε ἑωθινοῦ καὶ τοῦ πρὸς τὸ δείλην. περὶ μὲν πνευμάτων, ἅ τέ ἐστιν ἐπιτήδεια καὶ ἀνεπιτήδεια ὧδε ἔχει. περὶ δὲ τῶν λοιπῶν ὑδάτων βούλομαι διηγήσασθαι. ἅ τέ ἐστι νοσώδεα, καὶ ἃ ὑγιεινότατα, καὶ ὁκόσα ἀφ' ὕδατος κακὰ εἰκὸς γίνεσθαι, καὶ ὅσα ἀγαθά. πλεῖστον γὰρ μέρος ξυμβάλλεται ἐς τὴν ὑγιείην. [21] ὁκόσα μὲν οὖν ἐστιν ἐλώδεα, καὶ στάσιμα, καὶ λιμναῖα, ταῦτα ἀνάγκη τοῦ μὲν θέρεος εἶναι θερμὰ καὶ παχέα, καὶ ὀδμὴν ἔχοντα, ἅτε οὐκ ἀπόῤῥυτα ἐόντα, [22] ἀλλὰ τοῦ τε ὀμβρίου ὕδατος ἐπιτρεφομένου αἰεὶ νέου, τοῦ τε ἡλίου καίοντος, ἀνάγκη ἄχροά τε εἶναι καὶ πονηρὰ καὶ χολώδεα. τοῦ δὲ χειμῶνος, παγετώδεά τε καὶ ψυχρὰ [23] καὶ τεθολωμένα, ὑπό τε χιόνος καὶ παγετοῦ, ὥστε φλεγματωδέστατα εἶναι [24] καὶ βραγχωδέστατα. τοῖσι δὲ πίνουσι, σπλῆνας μὲν αἰεὶ μεγάλους εἶναι [25] καὶ μεμυωμένους. καὶ τὰς γαστέρας, σκληράς τε καὶ λεπτὰς καὶ θερμάς. τοὺς δὲ ὤμους καὶ τὰς κληῗδας καὶ τὸ πρόσωπον καταλελεπτύνθαι. ἐς γὰρ τὸν σπλῆνα αἱ σάρκες ξυντήκονται, διότι ἰσχνοί εἰσιν. ἐδωδούς τε εἶναι τοὺς τοιούτους καὶ διψηρούς. [26] τάς τε κοιλίας ξηροτάτας τε καὶ τὰς ἄνω καὶ τὰς κάτω ἔχειν, ὥστε τῶν φαρμάκων ἰσχυροτέρων δεῖσθαι. [27] τοῦτο μὲν τὸ νόσημα αὐτέοισιν ξύντροφόν ἐστιν καὶ θέρεος καὶ χειμῶνος. πρὸς δὲ τουτέοισιν οἱ ὕδρωπές τε καὶ πλεῖστοι γίνονται καὶ θανατωδέστατοι. τοῦ γὰρ θέρεος δυσεντερίαι τε πολλαὶ ἐμπίπτουσι, καὶ διάῤῥοιαι καὶ πυρετοί τε τεταρταῖοι πολυχρόνιοι. ταῦτα δὲ τὰ νοσεύματα μηκυνθέντα, τὰς τοιαύτας φύσιας ἐς ὕδρωπας καθίστησι, καὶ ἀποκτείνει. ταῦτα μὲν αὐτέοισι τοῦ θέρεος γίγνεται. τοῦ δὲ χειμῶνος, τοῖσι νεωτέροισι μὲν περιπνευμονίαι τε καὶ μανιώδη νοσεύματα. τοῖσι δὲ πρεσβυτέροισι, καῦσοι, διὰ τὴν τῆς κοιλίης σκληρότητα. τῇσι δὲ γυναιξὶν, οἰδήματα ἐγγίνεται. καὶ φλέγμα λευκόν. καὶ ἐν γαστρὶ ἴσχουσι μόλις. καὶ τίκτουσι χαλεπῶς. μεγάλα τε τὰ ἔμβρυα καὶ οἰδέοντα. ἔπειτα ἐν τῇσι τροφῇσι φθινώδεά τε καὶ πονηρὰ γίγνεται. ἥ τε κάθαρσις τῇσι γυναιξὶν οὐκ ἐπιγίγνεται χρηστὴ μετὰ τὸν τόκον. τοῖσι δὲ παιδίοισιν, κῆλαι ἐπιγίγνονται. μάλιστα μὲν τοῖσι ἀνδράσιν κιρσοὶ καὶ ἕλκεα ἐν τῇσι κνήμῃσιν, ὥστε τὰς τοιαύτας φύσιας, οὐχ οἷόν τε μακροβίους εἶναι, ἀλλὰ προγηρᾶσκειν χρόνου τοῦ ἱκνευμένου. ἔτι δὲ αἱ γυναῖκες δοκέουσιν ἔχειν ἐν γαστρὶ, καὶ ὁκόταν ὁ τόκος ᾖ, ἀφανίζεται τὸ πλήρωμα τῆς γαστρός.

τοῦτο δὲ

[28] τοῦτο δὲ γίγνεται ἀπὸ ὕδερος ὁκόταν ὑδρωπιήσωσιν αἱ ὑστέραι. τὰ μὲν τοιαῦτα ὕδατα νομίζω μοχθηρὰ εἶναι πρὸς ἅπαν χρῆμα. δεύτερα δὲ ὅσων εἶεν αἱ πηγαὶ ἐκ πετρέων. σκληρὰ γὰρ ἀνάγκη εἶναι. ἢ εἴτε ἐκ γῆς θερμὰ ὕδατα ἐστίν. ἢ σίδηρος γίγνεται. ἢ χαλκός. ἢ ἄργυρος. ἢ χρυσός. ἢ θεῖον. ἢ στυπτηρία. ἢ ἄσφαλτον. ἢ νίτρον. ταῦτα γὰρ πάντα ὑπὸ βίης γίνονται τοῦ θερμοῦ. οὐ τοίνυν ἐκ τοιαύτης γῆς ὕδατα ἀγαθὰ γίνεσθαι, ἀλλὰ σκληρά τε καὶ καυσώδεα. διουρέεσθαι χαλεπά. καὶ πρὸς τὴν διαχώρησιν [29] ἐναντία εἶναι. [30] ἄριστα δὲ ὁκόσα ἐκ μετεώρων χωρίων ῥέει καὶ λόφων γεηρῶν. αὐτά τε γάρ ἐστι γλυκέα καὶ λευκά. καὶ τὸν οἶνον φέρειν ὀλίγον οἷά τέ ἐστι. τοῦ δὲ χειμῶνος θερμὰ γίνεται. τοῦ δὲ θέρεος, ψυχρά. οὕτω γὰρ ἂν εἴη ἐκ βαθυτάτων πηγέων. μάλιστα δὲ ἐπαινέω, ὧν τὰ ῥεύματα πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου ἐῤῥώγασι καὶ μᾶλλον πρὸς τὰς θερινάς. ἀνάγκη γὰρ λαμπρότερα εἶναι καὶ εὐώδεα καὶ κοῦφα. ὁκόσα δέ ἐστιν ἁλυκὰ καὶ ἀτέραμνα καὶ σκληρά. [31] τὰ μὲν πάντα πίνειν οὐκ ἀγαθά. εἰσὶ δὲ ἔνιαι φύσιες καὶ νοσεύματα εἰς ἃ ἐπιτήδειά ἐστι τὰ τοιαῦτα ὕδατα πινόμενα, περὶ ὧν φράσω αὐτίκα. ἔχει δὲ καὶ περὶ τουτέων ὧδε. ὁκόσων μὲν αἱ πηγαὶ πρὸς τὰς ἀνατολὰς ἔχουσι, ταῦτα μὲν ἄριστα αὐτὰ ἑωυτέων ἐστίν. δεύτερα δὲ τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων ἐστὶ τοῦ ἡλίου καὶ δυσίων. καὶ μᾶλλον τὰ πρὸς τὰς ἀνατολάς. τρίτα δὲ τὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν καὶ τῶν χειμερινῶν. φαυλότατα δὲ τὰ πρὸς τὸν νότον [32] καὶ τὰ μεταξὺ θερινῆς ἀνατολῆς καὶ δύσιος. καὶ ταῦτα τοῖσι μὲν νοτίοισι πάνυ πονηρά. τοῖσι δὲ βορείοισιν ἀμείνω. τουτέοισι δὲ πρέπει ὧδε χρέεσθαι. ὅστις μὲν ὑγιαίνει τε καὶ ἔῤῥωται, μηδὲν διακρίνειν. ἀλλὰ πίνειν αἰεὶ τὸ παρεόν. ὅστις δὲ νούσου εἵνεκα βούλεται τὸ ἐπιτηδειότατον πίνειν, ὧδε ἂν ποιέων μάλιστα τυγχάνοι τῆς ὑγιείης. ὁκόσων μὲν αἱ κοιλίαι σκληραί εἰσι καὶ συγκαίειν ἀγαθαὶ εἶναι, τουτέοισι μὲν τὰ γλυκύτατα ξυμφέρει καὶ κουφότατα καὶ λαμπρότατα. ὁκόσων δὲ μαλθακαὶ αἱ νηδύες καὶ ὑγραί εἰσι καὶ φλεγματώδεες, τουτέοισι δὲ τὰ σκληρότατα καὶ ἀτεραμνότατα καὶ τὰ ὑφαλικά. οὕτω γὰρ ἂν ξηραίνοιτο μάλιστα. ὁκόσα γὰρ ὕδατά ἐστιν ἕψειν ἄριστα, [33] καὶ τὰ τακερώτατα, ταῦτα καὶ τὴν κοιλίην διαλύειν εἰκὸς μάλιστα καὶ διατήκειν. ὁκόσα δέ ἐστιν ἀτέραμνα καὶ σκληρὰ καὶ ἥκιστα ἕψειν ἀγαθά, ταῦτα δὲ ξυνίστησι μᾶλλον τὰς κοιλίας καὶ ξηραίνει. ἀλλὰ γὰρ ψευσάμενοι εἰσὶν οἱ ἄνθρωποι τῶν ἁλμυρῶν ὑδάτων περὶ δι' ἀπειρίην, καὶ ὅτι νομίζεται διαχωρητικά. τὰ δὲ ἐναντιώτατά ἐστι πρὸς τὴν διαχώρησιν, ἀτέραμνα γὰρ καὶ ἀνέψανα, ὥστε καὶ τὴν κοιλίην ὑπ' αὐτῶν στύφεσθαι μᾶλλον ἢ τήκεσθαι. καὶ περὶ μὲν τῶν πηγέων ὑδάτων ὧδε ἔχει. περὶ δὲ τῶν ὀμβρίων, καὶ ὁκόσα ἀπὸ χιόνος φράσω ὅκως ἔχει. [34] τὰ μὲν οὖν ὄμβρια κουφότατα καὶ γλυκύτατά ἐστι καὶ λεπτότατα καὶ λαμπρότατα. [35] τήν τε γὰρ ἀρχὴν ὁ ἥλιος ἀνάγει καὶ ἀναρπάζει τοῦ ὕδατος τό τε λεπτότατον καὶ κουφότατον. δῆλον δὲ αἱ ἅλες ποιέουσιν. τὸ μὲν γὰρ ἁλμυρὸν λείπεται αὐτέου ὑπὸ πάχεος καὶ βάρεος, καὶ γίνεται ἅλες. τὸ δὲ λεπτότατον ὁ ἥλιος ἀναρπάζει ὑπὸ κουφότητος. ἀνάγει δὲ τοῦτο οὐκ ἀπὸ τῶν ὑδάτων μόνον τῶν λιμναίων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάσσης. καὶ ἐξ ἁπάντων ἐν ὁκόσοισιν ὑγρόν τί ἐστιν. ἔνεστι δὲ ἐν παντὶ χρήματι. καὶ ἐξ αὐτέων τῶν ἀνθρώπων ἄγει τὸ λεπτότατον τῆς ἰκμάδος, καὶ κουφότατον

contingit ob aquam inter cutem, cùm ea vteri laborarint. Ac huiusmodi quidem aquas ad quiduis paratas esse censeo. Secũdo loco eas quarum fontes in saxosis locis sunt (quas duras esse necesse est) aut si vbi calidæ æquæ existũt, aut ferrum nascitur, aut æs, aut argentũ, aut aurum, aut sulphur, aut alumen, aut bitumen, aut nitrũ. Hæc enim omnia caloris vi proueniunt. Neq; igitur ex huiusmodi terra bonæ aquæ nascuntur, sed duræ & æstuosæ, quæq; per vrinas nõ facilè ferũtur, & alui egestioni aduersantur. At verò optimæ sunt, quæ ex sublimib. locis & terræ tumulis profluũt. Hæ enim 10 dulces sunt & albæ, modicumq; vinum ferre queunt, per hyemem calidæ, per æstatem frigidæ. Tales enim ex profundissimis fontibus proueniũt. Maximè verò cõmendantur, quarum fontes ad solis exortus, præsertimq; æstiuos decurrunt. Limpidiores enim & boni odoris, & leues esse necesse est. Salsæ verò & indomitæ, & duræ, in totum quidem vt bibantur, improbandæ. Sunt tamen naturæ quædam & morbi, quibus tales aquæ potu sunt cõmodæ, de quibus mox dicam. Ac de his res ita se habet. Quarum quidem fontes ad oriẽtes spectant, eæ inter omnes optimæ. Secundum has, quæ sunt inter æstiuos solis exortus & occasus, sed præcipuè ad exortus. Tertio loco, quæ sunt inter occasus æ- 20 stiuos & hybernos. Deterrimæ verò quæ ad austrum spectãt, quæq; sunt inter æstiuum ortum & occasum. Et hæ iis quidem qui sunt ad austrum, valdè prauæ, iis verò qui ad septentrionẽ, præstantiores. His hoc modo vti conuenit. Qui sanus est ac valet, is nullo habito discrimine, semper eã quæ adest, bibat. Qui verò morbi causa eam quæ maximè conueniat bibere volet, is hoc modo præcipuè sanitatem cõsequatur. Quorum quidẽ ventres duri sunt, & qui promptè succẽduntur, iis certè dulcissimæ, leuissimæ, & limpidissimæ conferunt. Quibus verò ventres inferiores molles sunt, humidi & maximè pituitosi, iis durissimæ, & maximè co- 30 ctu difficiles, & aliquantulum salsæ accõmodatæ sunt. Hoc enim modo maximè resiccari poterint. Quæ nãque aquæ coquendo sunt optimæ & facilè liquescunt, eas vẽtrem dissoluere ac liquefacere maximè æquũm est. Indomitæ verò ac duræ, & quæ coquẽdo minimè idoneæ, eæ ventres magis cogunt & resiccãt. At verò de aquis salsis propter imperitiam falluntur quidam, quodq; aluum soluere existimẽtur, cùm maximè alui deiectioni repugnent. Indomitæ enim sunt & coqui nequeunt, proindeq; ab eis venter potiùs adstringitur quàm eliquetur. At de fontiũ quidem aquis hoc modo se res habet. Quæ autem ex imbribus colliguntur, 40 & ex niue fiunt, quomodo se habeãt enarrabo. Aquæ igitur ex imbribus collectæ, leuissimæ & dulcissimæ sunt, tenuissimæ & limpidissimæ. Sol enim quod imprimis in aqua est tenuissimum & leuissimum sursum educit & rapit. Id autẽ ex ipso mari patet, in quo quod salsum est, propter crassitudinem & grauitatem remanet, & mare euadit; tenuissimum verò propter leuitatem sol ad se rapit. Neque verò tale quid ex aquis solùm lacustribus sursum educit, verùm etiam ex ipso mari, & ex omnibus in quibus aliquid humoris inest, quod quauis in re inest. Quinetiam ex ipsis hominibus tenuissimum ac leuissimum humorem educit.

Cuius rei maximū est indicium, cùm homo vestibus indutus in sole ambulauerit aut sederit. Quascunq; enim corporis partes sol aspicit, hæ nullum sudorem emittunt. Sol enim quicquid sudoris cōparet, ad se rapit. Quæ verò veste, aut alia quauis re cōteguntur, hæ exudant. Per vim enim à sole sudor elicitur, seruatur autem à tegumento, ne à sole deleatur. Cùm verò ad vmbram peruenerit, tū corpus æqualiter sudore diffluit. Neq; enim amplius sol affulget. Atq; eā ob caussam inter aquas etiam hæ citissimè putrescunt, odoremq; prauum habet aqua pluuia, & quòd ex pluribus collecta est & permixta, proindeq; celerrimè putrescat. Ad hæc quoque cùm rapta est in sublime euecta circumfertur & aëri permiscetur, quod quidem in ea est turbidum & noctem referens, excernitur & secedit, & aër ac nebula euadit. Tenuissimum verò & leuissimum relinquitur, & à sole vstum & coctum dulcescit. Quin & alia omnia quæ coquūtur semper dulcia euadunt. Dum igitur dispersa nec dū collecta fuerit, in sublime fertur. At vbi coaceruata & à vētis inter se aduersariis de repente in se coacta fuerit, tum deorsum prorumpit, qua parte copiosa collecta fuerit. Tūc enim istud magis cōtingere par est, cùm nubes vento stabilitatem minimè habente agitatæ ac delatæ, de repente cōtrario vento & aliis nubibus occursarint. Hic quidem prima ipsius pars cogitur. Posterior verò insuper accedit, eaq; ratione crassior & nigrior euadit, ac pondere deorsum prorumpit, imbresq; oriuntur. Atq; has quidē aquas optimas esse rationi est consentaneum, vt tamen excoquātur & excolentur opus habent. Sin minus, odorem prauum obtinent, & bibentibus raucitatem & vocis grauitatem adesse æquū est. Prauæ verò omnes quæ ex niue & glacie fiunt. Vbi enim semel concreuerint, nō amplius ad pristinam naturam redeunt. Sed quod in his quidem est splendidū, & leue, & dulce, excernitur & euanescit, remanet verò quod turbidissimum & pōderosissimum. Quod hac ratione deprehēdas. Si enim hyemis tempore vasculum certa aquæ mensura affusa, sub dio exponere voles, vti maximè congeletur, deinde postridie in locum calidum delatum, vbi glacies maximè liquescat, cumq; soluta fuerit, iterū aquam metiaris, aquā multò pauciorē reperias. Hoc certè indicio cognosces, quòd congelatione id quod est leuissimum & tenuissimum euanescit & expirat, non quod grauissimū & crassissimū, cùm id ei contingere nequeat. Hāc igitur ob caussam aquas de niue & glacie liquatas, earūq; similes, ad quiduis pessimas esse existimo. Atq; de aquis quidem quę ex imbribus, niuibus & glacie colliguntur, ad hūc se res habet modum. At verò calculo maximè tentantur, & renū morbis, ac vrinæ stillicidio, & coxēdicum affectionibus corripiūtur, herniæq; iis suboriūtur, qui cuiusq; modi aquas bibūt, aut de magnis fluminibus, in q alia decurrūt, & de stagno in quod multarū & cuiusuis generis aquarū riuuli deueniūt, quiq; aduectitiis aquis vtūtur, quæ ex longo & minimè breui interuallo deducūtur. Neq; enim fieri potest vt aquæ inter se similes sint, verùm alię dulces sunt, aliæ salsæ, & aluminosæ, aliæ de calidis effluūt. Atq; hæ simul permixtæ inter se dissident, & semper superat quæ valentissima est. Neq; semper eadē viribus pollet, sed alias alia.

τεκμήριον δὲ μέγιστον, ὅταν ἄνθρωπος ἐν ἡλίῳ βαδίζῃ ἢ καθίζῃ ἱμάτιον ἔχων. ὁκόσα μὲν τοῦ χρωτὸς ὁ ἥλιος ἐφορᾷ, οὐχ ἱδρώη ἄν. ὁ γὰρ ἥλιος ἀναρπάζει τὸ προφαινόμενον τοῦ ἱδρῶτος. ὁκόσα δὲ ὑπὸ τοῦ ἱματίου ἐσκέπασται, ἢ ὑπ' ἄλλου του, ἱδροῖ. ἐξάγεται μὲν γὰρ ὑπὸ τοῦ ἡλίου καὶ βιάζεται. σώζεται δὲ ὑπὸ τῆς σκέπης, ὥστε μὴ ἀφανίζεσθαι ὑπὸ τοῦ ἡλίου. ὁκόταν δὲ εἰς σκιὴν ἀφίκηται, ἅπαν τὸ σῶμα ὁμοίως διΐει. οὐ γὰρ ἔτι ὁ ἥλιος ἐπιλάμπει. διὰ ταῦτα δὲ καὶ σήπεται τῶν ὑδάτων τάχιστα ταῦτα, καὶ ὀδμὴν ἴσχει πονηρὴν τὸ ὄμβριον. ὅτι ἀπὸ πλείστων συνῆκται καὶ συμμέμικται, ὥστε σήπεσθαι τάχιστα. ἔτι δὲ πρὸς τουτέοισιν ἐπειδὰν ἁρπασθῇ καὶ μετεωρισθῇ περιφερόμενον καὶ καταμεμιγμένον ἐς τὸν ἠέρα, τὸ μὲν θολερὸν αὐτοῦ καὶ νυκτοειδὲς ἐκκρίνεται καὶ ἐξίσταται καὶ γίνεται ἠὴρ καὶ ὁμίχλη. τὸ δὲ λεπτότατον καὶ κουφότατον αὐτοῦ, λείπεται καὶ γλυκαίνεται ὑπὸ τοῦ ἡλίου καιόμενόν τε καὶ ἑψόμενον. γίνεται δὲ καὶ τἄλλα πάντα τὰ ἑψόμενα αἰεὶ γλυκέα. ἕως μὲν οὖν διεσκεδασμένον ᾖ καὶ μήπω ξυνεστήκῃ, φέρεται μετέωρον. ὁκόταν δέ κου ἀθροισθῇ καὶ ξυστραφῇ ἐς τὸ αὐτὸ ὑπὸ ἀνέμων ἀλλήλοισιν ἐναντιωθέντων ἐξαίφνης, τότε καταρρήγνυται ᾗ ἂν τύχῃ πλεῖστον ξυστραφέν. τότε γὰρ ἐοικὸς τοῦτο μᾶλλον γίνεσθαι, ὁκόταν τὰ νέφεα μὴ ὑπὸ ἀνέμου στάσιν ἔχοντος, ὡρμημένα ἐόντα καὶ χωρέοντα ἐξαίφνης ἀντικόψῃ πνεῦμα ἐναντίον καὶ ἕτερα νέφεα, ἐνταῦθα μὲν πρῶτον αὐτοῦ ξυστρέφεται. τὰ δὲ ὄπισθεν, ἐπιφέρεταί τε, καὶ οὕτω παχύνεται καὶ μελαίνεται καὶ ξυστρέφεται ἐς τὸ αὐτὸ, καὶ ὑπὸ βάρεος καταρρήγνυται, καὶ ὄμβροι γίνονται.[36] ταῦτα μὲν ἐστιν ἄριστα κατὰ τὸ εἰκός. δεῖται δὲ ἀφέψεσθαι[37] καὶ ἀποσήπεσθαι. εἰ δὲ μὴ, ὀδμὴν ἴσχει πονηρὴν, καὶ βράγχος καὶ βαρυφωνίη τοῖς πίνουσι προσίσταται. τὰ δὲ ἀπὸ χιόνος καὶ κρυστάλλων, πονηρὰ πάντα.[38] ὁκόταν γὰρ ἅπαξ παγῇ, οὐκ ἔτι ἐς τὴν ἀρχαίην φύσιν καθίσταται, ἀλλὰ τὸ μὲν αὐτοῦ λαμπρὸν καὶ κοῦφον καὶ γλυκὺ ἐκκρίνεται καὶ ἀφανίζεται. τὸ δὲ θολωδέστατον καὶ σταθμωδέστατον, λείπεται. γνοίης δ' ἂν ὧδε. εἰ γὰρ βούλει ὅταν οἱ χειμῶνες ἄριστον μέτρῳ ἐγχέας ὕδωρ, θεῖναι ἐς τὴν αἰθρίην ἵνα πήξεται μάλιστα. ἔπειτα τῇ ὑστεραίῃ εἰσενεγκὼν εἰς ἀλέαν, ὅπου χαλάσει μάλιστα ὁ παγετός. ὁκόταν δὲ λυθῇ, ἀναμετρεῖν τὸ ὕδωρ, εὑρήσεις ἔλασσον συχνῷ. τοῦτο τεκμήριον[39] ὅτι ὑπὸ τῆς πήξιος, ἀφανίζεται καὶ ἀναξηραίνεται τὸ κουφότατον καὶ λεπτότατον, οὐ τὸ βαρύτατον καὶ παχύτατον, οὐ γὰρ ἂν δύναιτο. ταύτῃ οὖν νομίζω πονηρότατα ταῦτα τὰ ὕδατα εἶναι τὰ ἀπὸ χιόνος καὶ κρυστάλλου, καὶ τὰ τουτέοισιν ἑπόμενα πρὸς ἅπαντα χρήματα. περὶ μὲν οὖν ὀμβρίων ὑδάτων, καὶ τῶν ἀπὸ χιόνος καὶ κρυστάλλων, οὕτως ἔχει. λιθιῶσι δὲ μάλιστα ἄνθρωποι, καὶ ὑπὸ νεφριτίδων καὶ στραγγουρίης ἁλίσκονται καὶ ἰσχιάδων, καὶ κῆλαι γίνονται, ὅκου ὕδατα πίνουσι παντοδαπώτατα, καὶ ἀπὸ ποταμῶν μεγάλων εἰς οὓς ποταμοὶ ἕτεροι ἐμβάλλουσιν, καὶ ἀπὸ λίμνης, εἰς ἣν ῥεύματα πολλὰ καὶ παντοδαπὰ ἀφικνεῦνται. καὶ ὁκόσοι ὕδασιν ἐπακτοῖσι χρέονται διὰ μακροῦ ἀγομένοισι, καὶ μὴ ἐκ βραχέος. οὐ γὰρ οἷόν τε ἕτερον ἑτέρῳ ἐοικέναι ὕδωρ. ἀλλὰ τὰ μὲν γλυκέα εἶναι, τὰ δὲ ἁλυκά τε καὶ στυπτηριώδεα, τὰ δὲ ἀπὸ θερμῶν ῥέειν. ξυμμισγόμενα δὲ ταῦτα ἐς τωὐτὸ ἀλλήλοισι στασιάζει, καὶ κρατεῖ αἰεὶ τὸ ἰσχυρότατον. ἰσχύει δὲ οὐκ αἰεὶ τωὐτό. ἀλλ' ἄλλοτε ἄλλα.

καὶ τὰ

καὶ τὰ πνεύματα· τοῖσι μὲν γὰρ βορέης τὴν ἰσχὺν παρέχεται. τοῖσι δὲ, ὁ νότος. καὶ τῶν λοιπῶν πέρι ὡυτὸς λόγος. ὑφίστασθαι οὖν τοῖσι τοιουτέοισιν ἀνάγκη ἐν τοῖς ἀγγείοις ἰλεὼ καὶ ψάμμον. καὶ ἀπὸ τούτων πινομένων τὰ νοσήματα γίγνεται τὰ προειρημένα. ὅτι δὲ οὐχ ἅπασιν ἑξῆς φράσω. ὁκόσων μὲν ἥ τε κοιλίη εὔροός τε καὶ ὑγιηρής ἐστιν. καὶ ἡ κύστις μὴ πυρετώδης.[40] μηδὲ ὁ στόμαχος τῆς κύστιος ξυμπέφρακται λίην. οὗτοι μὲν διουρέουσι ῥηϊδίως. καὶ ἐν τῇ κύστει οὐδὲν ξυστρέφεται. ὁκόσων δὲ ἂν ἡ κοιλίη πυρετώδης ἦ ἀνάγκη καὶ τὴν κύστιν ταὐτὸ πάσχειν. ὁκόταν γὰρ θερμανθῇ μᾶλλον τῆς φύσιος, ἐφλέγμηνεν αὐτῆς ὁ στόμαχος. ὁκόταν δὲ ταῦτα πάθῃ, τὸ οὖρον οὐκ ἀφίησιν, ἀλλ' ἐν ἑωυτέῳ ξυνέψει καὶ συγκαίει. καὶ τὸ μὲν λεπτότατον αὐτέου, ἀποκρίνεται, καὶ τὸ καθαρώτατον, διεῖ καὶ ἐξουρέεται. τὸ δὲ παχύτατον καὶ θολωδέστατον, ξυστρέφεται καὶ συμπήγνυται. τὸ μὲν πρῶτον μικρόν. ἔπειτα μεῖζον γίγνεται. κυλινδούμενον γὰρ ὑπὸ τοῦ οὔρου, ὅτι ἂν ξυνίστηται παχὺ, ξυναρμόζει πρὸς ἑωυτό. καὶ οὕτως αὔξεταί τε καὶ πωροῦται. καὶ ὁκόταν οὐρέῃ, πρὸς τὸν στόμαχον τῆς κύστιος προσπίπτει ὑπὸ τοῦ οὔρου βιαζόμενον, καὶ κωλύει οὐρέειν, καὶ ὀδύνην παρέχει ἰσχυρήν. ὥστε τὰ αἰδοῖα τρίβουσι καὶ ἕλκουσι τὰ παιδία τὰ λιθιῶντα. δοκέει γὰρ αὐτέοις τὸ αἴτιον ἐνταῦθα εἶναι τῆς οὐρήσιος. τεκμήριον δὲ ὅτι οὕτως ἔχει. τὸ γὰρ οὖρον λαμπρότατον οὐρέουσιν οἱ λιθιῶντες πρὸς τὸν γινόμενον ἀρρόν. ὅτι τὸ παχύτατον καὶ χολωδέστατον αὐτέου μένει[41] καὶ συστρέφεται, τὰ μὲν πλεῖστα οὕτω λιθιᾷ. γίγνεται δὲ παισὶν καὶ ἀπὸ τοῦ γάλακτος, ἢν μὴ ὑγιηρὸν ᾖ, ἀλλὰ θερμόν τε λίην καὶ χολῶδες. τὴν γὰρ κοιλίην διαθερμαίνει καὶ τὴν κύστιν, ὥστε τὸ οὖρον ξυγκαιόμενον ταῦτα πάσχειν. καὶ φημὶ ἄμεινον εἶναι τοῖς παιδίοισιν τὸν οἶνον ὡς ὑδαρέστατον διδόναι. ἧσσον γὰρ τὰς φλέβας ξυγκαίει καὶ συναυαίνει.[42] τοῖσι δὲ θήλεσιν αἰδοίοις γίγνεται οὐχ ὁμοίως. ὁ γὰρ οὐρητὴρ βραχύς ἐστιν ὁ τῆς κύστιος καὶ εὐρύς, ὥστε βιάζεται τὸ οὖρον ῥηϊδίως. οὔτε γὰρ τῇ χειρὶ τρίβει τὸ αἰδοῖον, ὥσπερ τὸ ἄρσεν. οὔτε ἅπτεται τοῦ οὐρητῆρος.[43] ἐς γὰρ τὰ αἰδοῖα ξυντέτρηνται. καὶ διότι οἱ οὐρητῆρες εἰσὶν εὐρέες, καὶ πίνουσι πλεῖον, ἢ οἱ παῖδες. περὶ μὲν οὖν τουτέων ὧδε ἔχει, ἢ ὅτι τουτέων ἐγγύτατα. περὶ δὲ ἐτῶν ὧδε ἄν τις ἐνθυμεύμενος διαγινώσκῃ, ὁκοῖόν τι μέλλει ἔσεσθαι τὸ ἔτος. εἴ τε νοσερὸν εἴτε ὑγιηρόν.[45] ἢν μὲν γὰρ κατὰ λόγον γένηται τὰ σημεῖα ἐπὶ τοῖς ἄστροισι δύνουσί τε καὶ ἐπιτέλλουσιν. ἔν τε τῷ μετοπώρῳ ὕδατα γένηται. καὶ ὁ χειμὼν μέτριος. καὶ μήτε λίην εὔδιος, μήτε ὑπερβάλλων τὸ ψῦχος. ἔν τε τῷ ἦρι ὕδατα γένηται ὡραῖα καὶ ἐν τῷ θέρει. οὕτω τὸ ἔτος ὑγιεινότατον εἰκὸς εἶναι.[46] ἢν δὲ ὁ μὲν χειμὼν, αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἦρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετῶδες γίνεσθαι,[47] καὶ ὀφθαλμίας ἐμποιεῖν. ὁκόταν γὰρ τὸ πνῖγος ἐπιγένηται ἐξαίφνης, τῆς τε γῆς ὑγρῆς ἐούσης ὑπὸ τῶν ὄμβρων τῶν ἐαρινῶν, καὶ ὑπὸ τοῦ νότου,[48] ἀνάγκη διπλόον τε καῦμα εἶναι, ἀπό τε τῆς γῆς διαβρόχου ἐούσης καὶ θερμῆς, καὶ ὑπὸ τοῦ ἡλίου καίοντος,[49] τῶν τε κοιλιῶν μὴ ξυνεστηκυσῶν τοῖς ἀνθρώποις. μή τε τοῦ ἐγκεφάλου ἀνεξηρασμένου. οὐ γὰρ οἷόν τε τοῦ ἦρος τοιουτέου ὄντος,[50] μὴ οὐ πλαδᾶν τὸ σῶμα καὶ τὴν σάρκα, ὥστε τοὺς πυρετοὺς ἐπιπίπτειν ὀξυτάτους ἅπασιν. μάλιστα δὲ τοῖσιν

Sed & ex ventis, huic quidem boreas vires præbet, illi verò auster, & de reliquis eadem est ratio. Ex his igitur limum & arenam in vasis subsidere necesse est, & ex earum potu prędicti morbi gignuntur. Quòd verò nō omnibus, deinceps dicam. Quibus quidem aluus tum fluida, tum sana est, & vesica minimè ignea, neq; vesicę os cum ea valde conspirat, ij quidem facilè vrinam emittunt, neque quicquam in vesica colligitur. Quibus verò aluus ignea fuerit, vesicā etiam eadem affectione teneri necesse est. Cùm enim magis quàm natura postulet calefacta fuerit, os ipsius inflammatione tentatur. Sic autem affectum, vrinam non emittit, sed in sese concoquit & adurit, & quod quidem in ea est tenuissimum secernitur, quodque purissimum trāsit & cum vrina educitur, quod verò crassissimum ac turbidissimū, colligitur & concrescit, primùm quidem minore copia, deinde maiore. Cùm enim per vrinam volutatur, quicquid crassum constitit, ad sese applicat, eoque modo augetur, & in tofum durescit. Dumq; vrinam emittit, ab vrina vi propulsum ad vesicæ os collabitur, & vrinam impedit, doloremq; vehementem exhibet. Proindeque pueri calculo laborantes pudenda confricant & vellicāt, quòd ipsis reddendæ vrinæ causa eo loco esse videatur. Hoc autem ita se habere indicio est, quòd qui calculo laborant vrinam ad instar seri limpidissimam reddūt, cùm quod in ea est crassissimum ac maximè returbidum isthic maneat ac versetur. Ac plærique quidem hoc modo calculum gignunt. Gignitur autem & pueris ex lacte, si non salubre fuerit, sed valde calidum & biliosum. Ventrem enim concalefacit & vesicam, ac proinde dum vrina simul aduritur istam affectionem sentit. Et mea quidem sententia, præstat pueris vinū quàm maximè dilutum exhibere, cùm nimirum venas minùs adurat & resiccet. At in muliebribus pudendis nō eodem modo cōtingit. Vesicæ enim fistula vrinaria breuis est & ampla, vt facilè vrinam propellat. Neq; enim manu pudendum, velut masculus, confricat, neque fistulam vrinariam contingit, quòd intra pudenda perforata sit. Cumq; meatus vrinarij ampli sint, plus enim quàm pueri bibunt. Ac de his quidem hoc modo se res habet, aut ad hæc quàm proximè accedit. De annis autem hoc modo cōsideratione adhibita quis statuat, qualisnam annus futurus sit, númne salubris, an morbosus. Si quidem secūdum rationem in syderum ortu & occasu signa appareant, si per autumnū pluat, & hyems sit moderata, neq; admodum blanda, neq; præter modum frigida, & vere ac æstate aquæ tempestiuæ eueniant, sic annum saluberrimum esse consentaneum est. Quòd si hyems quidem sicca & aquilonia, ver verò pluuium & austrinum fuerit, æstatem febribus abundare, & lippitudines inducere necesse est. Vbi enim ab imbrib. vernis & ab austro terra humectata fuerit, & plenior æstus de repente superuenerit, tum à terra madida & calida existente, tum à sole adurente, ardorem conduplicari necesse est, hominum ventribus minimè consistentibus, neq; resiccato cerebro. Neque enim vbi ver tale extiterit, fieri potest, quin corpus & caro nimio humore diffluant, ita vt omnibus, ac maximè pituitosis, acutissimæ febres

immineant. Mulieribus verò & naturis maximè humidis, intestinorum difficultates contingere par est. Ac siquidem sub caniculæ exortum aqua & hyberna tempestas superuenerit, etesiæque spirauerint, quietis spes est, autumnumque salubrem fore. Aliôqui periculum est ne pueri & mulieres moriantur, minimè verò senes, aut ne qui euaserint in quartanas tandem incidant, & ex quartanis in aquam inter cutem. At si hyems quidē austrina, pluuiosa & placida fuerit. Ver verò aquilonium, siccum & tempestuosum, primùm quidem mulieres quæ prægnantes extiterint, & quibus partus in ver imminet, abortionem facturas esse verisimile, quæ verò etiam pepererint, adeò imbecillos ac morbosos fœtus parituras, vt aut statim pereant, aut tenues, debiles, & valetudinarij viuant. Atq; hæc quidem mulieribus, reliquis verò intestinorum difficultates & lippitudines siccas, nonnullisq; defluxiones à capite in pulmonem. Pituitosis itaque intestinorum difficultates fieri par est, ac mulieribus pituita à cerebro defluente propter naturæ humiditatem. Biliosis verò lippitudines siccas, ob carnis caliditatem & siccitatem. Senibus autem defluxiones ob venarum raritatem ac distentionem, vt ex his nonnulli repente intereant, alij dextra parte resoluti iaceant. Cùm enim hyeme existente austrina & calida, corpus non constringatur, neque venæ, vere aquilonio & sicco, ac frigido superueniente, cerebrum quod vna cum vere dissolui & purgari à grauedine & raucedine oportebat, tunc densatur & cogitur, proindeq; accedente de repente æstate, æstuque ac mutatione contingente, hi morbi ingruant, tandemq; reliquis morbis, cùm ventres facilè resiccari nequeant, intestinorum læuitates, & aquæ inter cutem succedant. Si verò æstas pluuiosa fuerit & austrina, & autumnus similiter, morbosam esse hyemem necesse est, iisq; qui pituita abundant, & quadragesimum annum excesserunt, febres ardentes contingere æquum est, biliosis verò morbos laterales, & pulmonum inflammationes. At si æstas sicca & aquilonia fuerit, autumnus verò pluuius & austrinus, sub hyemem capitis dolores & cerebri syderationes fieri par est, ac præterea raucedines, grauedines, & tusses, & nonnullis quoque tabes. Quòd si aquilonius & siccus fuerit autumnus, ac neque sub canem, neq; sub arcturum pluuiosus, pituitosis quidem præcipuéque natura humidis & mulieribus confert, biliosis verò hoc est maximè aduersum. Admodum enim resiccantur, iisque lippitudines aridæ contingunt, & febres acutæ ac diuturnæ, quibusdam etiam melancholiæ. In bile nanque quicquid est humidissimum & aquosissimum consumitur, quod verò crassissimum & acerrimum remanet, quod in sanguine eadem quoque ratione accidit, vnde ij morbi illis contingunt. Pituitosis verò hæc omnia auxilio sunt. Resiccantur enim & ad hyemem perueniunt, ab aliis temporibus inuicem succedentibus resiccati. Qui igitur hęc mente complexus & contemplatus fuerit, is ex mutatio-

φλεγματίησι. καὶ δυσεντερίας εἰκός ἐστι γίγνεσθαι καὶ τῇσι γυναιξὶν[51] καὶ τοῖς εἴδεσιν τοῖς ὑγροτάτοισι.[52] καὶ ἢν μὲν ἐπὶ κυνὸς ἐπιτολῇ ὕδωρ ἐπιγένηται καὶ χειμὼν, καὶ οἱ ἐτησίαι πνεύσωσιν ἐλπὶς παύσασθαι, καὶ τὸ μετόπωρον ὑγιηρὸν γενέσθαι. ἢν δὲ μὴ, κίνδυνος θανάτους τε γενέσθαι τοῖσι παιδίοισι καὶ τῇσι γυναιξίν. τοῖσι δὲ πρεσβύτῃσιν ἥκιστα. τούς τε περιγενομένους εἰς τεταρταίους ἀποτελευτᾶν. καὶ ἐκ τῶν τεταρταίων ἐς ὕδρωπας.[53] ἢν δ' ὁ χειμὼν νότιος γένηται, καὶ ἔπομβρος, καὶ εὔδιος, τὸ δὲ ἦρ βόρειόν τε καὶ αὐχμηρὸν καὶ χειμέριον. πρῶτον μὲν τὰς γυναῖκας ὁκόσαι ἂν τύχωσιν ἐν γαστρὶ ἔχουσαι, καὶ ὁ τόκος αὐτέῃσιν ᾖ,[54] πρὸς τὸ ἦρ ἐκτιτρώσκεσθαι. ὁκόσαι δ' ἂν καὶ τέκωσιν, ἀκρατέα τὰ παιδία τίκτειν καὶ νοσώδεα. ὥστε ἢ αὐτίκα ἀπόλλυσθαι, ἢ ζῶσι λεπτά τε ἐόντα καὶ ἀσθενέα καὶ νοσώδεα. ταῦτα μὲν τῇσι γυναιξίν. τοῖς δὲ λοιποῖσι δυσεντερίας, καὶ ὀφθαλμίας ξηράς. καὶ ἐνίοισι καταρροὺς ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν πνεύμονα.[55] τοῖσι μὲν οὖν φλεγματίησι τὰς δυσεντερίας εἰκὸς γίγνεσθαι. καὶ τῇσι γυναιξὶ φλέγματος ἐπικαταρρυέντος ἀπὸ τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα τῆς φύσιος. τοῖσι δὲ χολώδεσιν,[56] ὀφθαλμίαι ξηραὶ διὰ τὴν θερμότητα καὶ ξηρότητα τῆς σαρκός.[57] τοῖσι δὲ πρεσβύτῃσι, καταρροὺς διὰ τὴν ἀραιότητα καὶ τὴν ἔκτασιν τῶν φλεβῶν. ὥστε ἐξαίφνης τοὺς μὲν ὑπὸ φρενίτιδος ἀπόλλυσθαι. τοὺς δὲ παραπλήκτους γίνεσθαι τὰ δεξιά.[58] ὁκόταν γὰρ τοῦ χειμῶνος ἐόντος νοτίου τοῦ θερμοῦ τοῦ σώματος μὴ ξυνίσταται, μηδὲ φλέβες, τοῦ ἦρος ἐπιγενομένου βορείου καὶ αὐχμηροῦ καὶ ψυχροῦ ὁ ἐγκέφαλος ὁπηνίκα αὐτὸν ἔδει ἅμα καὶ τῷ ἦρι διαλύεσθαι καὶ καθαίρεσθαι ὑπό τε κορύζης καὶ βράγχων, τηνικαῦτα πήγνυταί τε καὶ συνίσταται, ὥστε ἐξαίφνης τοῦ θέρεος ἐπιγενομένου καὶ τοῦ καύματος καὶ τῆς μεταβολῆς ἐπιγινομένης, ταῦτα τὰ νοσεύματα ἐπιπίπτειν. καὶ λειεντερίαι καὶ ὕδρωπες τελευτῶσι τοῖσι νοσεύμασι ἐπιγίγνονται. οὐ γὰρ ἀποξηραίνονται αἱ κοιλίαι ῥηϊδίως.[59] ἢν δὲ τὸ θέρος ἔπομβρον γένηται, καὶ νότιον,[60] καὶ τὸ μετόπωρον, χειμῶνα ἀνάγκη νοσερὸν εἶναι, καὶ τοῖς φλεγματίησι, καὶ τοῖς γεραιτέροισι τεσσαράκοντα ἐτέων, καύσους γίγνεσθαι εἰκός: τοῖσι δὲ χολώδεσιν, πλευρίτιδας, καὶ περιπλευμονίας.[61] ἢν δὲ τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον. τὸ δὲ μετόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίας ἐς τὸν χειμῶνα, καὶ σφακέλους τοῦ ἐγκεφάλου εἰκὸς γίγνεσθαι. καὶ προσέτι βράγχους, καὶ κορύζας, καὶ βῆχας, ἐνίοισι δὲ καὶ φθίσιας.[62] ἢν δὲ βόρειόν τε ᾖ καὶ ἄνυδρον, καὶ μήτε ὑπὸ κύνα ἔπομβρον, μήτε ἐπὶ τῷ ἀρκτούρῳ, τοῖσι μὲν φλεγματίησι φύσει ξυμφέρει μάλιστα καὶ τοῖς ὑγροῖς τὰς φύσιας καὶ τῇσι γυναιξίν. τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατον γίγνεται. λίην γὰρ ἀναξηραίνονται, καὶ[63] ὀφθαλμίαι αὐτέοισιν ἐπιγίγνονται ξηραί, καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι ἐνίοισιν, καὶ μελαγχολίαι.[64] τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον ἀναλοῦται, τὸ δὲ παχύτατον καὶ δριμύτατον λείπεται, καὶ τοῦ αἵματος κατὰ τὸν αὐτὸν λόγον. ἀφ' ὧν ταῦτα νοσεύματα αὐτέοις γίγνεται. τοῖσι δὲ φλεγματίησι, πάντα ταῦτα ὠφελιμά ἐστιν.[65] ἀποξηραίνονται γὰρ καὶ ἐς τὸν χειμῶνα ἀφικνέονται, ὑπὸ ἄλλων τῶν ἐς ἄλλα ἀναξηραινόμενοι. ἢν δὲ ὁ χειμὼν, βόρειος γένηται καὶ ξηρὸς, τὸ δὲ ἦρ, νότιον καὶ ἔπομβρον, κατὰ τὸ θέρος ὀφθαλμίαι γίνονται ἰσχυραί· τοῖσι δὲ παισὶ καὶ γυναιξὶν, πυρετοί. κατὰ ταῦτα τίς ὁ νοεύμενος καὶ σκοπούμενος, προειδείη ἂν τὰ πλεῖστα

πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων. φυλάσσεσθαι δὲ χρὴ μάλιστα τὰς μεταβολὰς τῶν ὡρέων τὰς μεγίστας, καὶ μήτε φάρμακον διδόναι ἑκόντα, μήτε καίειν ὅ τι ἐς κοιλίην, μήτε τέμνειν πρὶν παρέλθωσιν αἱ ἡμέραι δέκα ἢ καὶ πλείονες· μέγισται δέ εἰσιν αἱ δέκα. καὶ ἐπικινδυνόταται ἡλίου τροπαὶ ἀμφότεραι, καὶ μᾶλλον θεριναί· καὶ ἰσημεριναὶ νομιζόμεναι εἶναι ἀμφότεραι, μᾶλλον δὲ αἱ μετοπωριναί. δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι, καὶ μάλιστα τοῦ κυνός, ἔπειτα ἀρκτούρου, καὶ ἐπὶ πληιάδων δύσιν. τά τε γὰρ νοσήματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν κρίνεται, καὶ τὰ μὲν ἀποφθίνει[67] τὰ δὲ λήγει, τὰ δὲ ἄλλα πάντα μεθίσταται εἰς ἕτερον εἶδος, καὶ ἑτέρην κατάστασιν. περὶ μὲν τούτων οὕτως ἔχει. βούλομαι δὲ περὶ τῆς Ἀσίης καὶ τῆς Εὐρώπης δεῖξαι, ὁκόσον διαφέρουσιν ἀλλήλων ἐς τὰ πάντα, καὶ περὶ τῶν ἐθνῶν τῆς μορφῆς, τί διαλλάσσει, καὶ μηδὲν ἔοικεν ἀλλήλοισι. περὶ μὲν οὖν ἁπάντων πολὺς ἂν εἴη λόγος· περὶ δὲ τῶν μεγίστων, καὶ πλεῖστον διαφερόντων, ἐρέω ὥς μοι δοκέει ἔχειν.[68] τὴν Ἀσίην πλεῖστον διαφέρειν φημὶ τῆς Εὐρώπης, ἐς τὰς φύσιας τῶν ξυμπάντων τῶν τε ἐκ τῆς γῆς φυομένων, καὶ τῶν ἀνθρώπων. πολὺ γὰρ καλλίονα καὶ μείζονα πάντα γίγνεται ἐν τῇ Ἀσίῃ. ἥ τε χώρη τῆς χώρης ἡμερωτέρη,[69] καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων ἠπιώτερα καὶ εὐεργητότερα. τὸ δὲ αἴτιον τουτέων, ἡ κρᾶσις τῶν ὡρέων, ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν ἀνατολῶν κεῖται πρὸς τὴν ἠῶ, τοῦ τε ψυχροῦ πορρωτέρω. τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ᾖ ἐπικρατέον βιαίως, ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ. ἔχει δὲ κατὰ τὴν Ἀσίην οὐ πανταχῇ ὁμοίως. ἀλλ' ὅση μὲν τῆς χώρης ἐν μέσῳ κεῖται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, αὕτη μὲν εὐκαρποτάτη ἐστίν, καὶ εὐδενδροτάτη, καὶ εὐδιεστάτη, καὶ ὕδασι κάλλιστα κέχρηται, τοῖσί τε οὐρανίοισιν, καὶ τοῖσιν ἐκ τῆς γῆς. οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ ἐκκέκαυται λίην, οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης ἀναξηραίνεται,[70] οὔτε ὑπὸ ψύχεος βεβιασμένη. νοτία τε καὶ διάβροχος ἐστὶν ὑπό τε ὄμβρων πολλῶν καὶ χιόνος. τά τε ὡραῖα αὐτόθι πολλὰ ἐοικὸς γίνεσθαι, ὁκόσα τε ἀπὸ σπερμάτων, καὶ ὁκόσα αὐτὴ ἡ γῆ ἀναδιδοῖ φυτά. ὧν τοῖσι καρποῖσι χρέονται ἄνθρωποι, ἡμεροῦντες ἐξ ἀγρίων, καὶ εἰς ἐπιτήδειον μεταφυτέοντες. τά τε ἐντρεφόμενα κτήνεα εὐθηνεῖν εἰκὸς καὶ μάλιστα τίκτειν τε πυκνότατα, καὶ ἐκτρέφειν κάλλιστα. τούς τε ἀνθρώποις εὐτραφέας εἶναι, καὶ τὰ εἴδεα καλλίστους, καὶ μεγέθη μεγίστους, καὶ ἥκιστα διαφόρους ἐς τά τε εἴδεα αὐτῶν καὶ τὰ μεγέθεα. εἰκός τε τὴν χώρην ταύτην τοῦ ἦρος ἐγγυτάτω εἶναι κατὰ τὴν φύσιν καὶ τὴν μετριότητα τῶν ὡρέων.[71] τὸ δὲ ἀνδρεῖον, καὶ τὸ ταλαίπωρον, καὶ τὸ ἔμπονον, καὶ τὸ θυμοειδές, οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίγνεσθαι[72] μήτε ὁμόφυλον, μήτε ἀλλόφυλον, ἀλλὰ τὴν ἡδονὴν κρατέειν, διότι πολύμορφα γίγνεται τὰ ἐν τοῖς θηρίοις. περὶ μὲν οὖν Αἰγυπτίων καὶ Λιβύων, οὕτως ἔχειν μοι δοκεῖ. περὶ δὲ τῶν ἐν δεξιᾷ[73] τοῦ ἡλίου τῶν ἀνατολῶν τῶν χειμερινῶν μέχρι Μαιώτιδος λίμνης (οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης) ὧδε ἔχει περὶ αὐτέων. τὰ δὲ ἔθνεα ταῦτα, ταύτῃ διαφέρει αὐτὰ ἑωυτέων μᾶλλον ἢ τὰ προδιηγημένα, διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν.

nibus plurima ferè præuidebit. Præcipuè verò maximæ anni temporum mutationes obseruandæ sunt, vt neque medicamentum purgans lubenter exhibeamus, neq; partes circa ventrem vramus aut secemus, ante dies decem, aut etiam plures. Maximè tamen sufficient decem. Ac maximi periculi plena sunt ambo solstitia, præcipueq; æstiuum. Periculosissima etiam ambo æquinoctia existimantur, maximè verò autumnale. Syderum quoq; ortus obseruandi, præcipueq; caniculæ, deinde arcturi, & vergiliarum occasus. His enim potissimùm diebus morbi iudicationē subeunt, & alij quidē perimunt, alij verò desinunt, aliiq; omnes in aliam formā & statum transeunt. Ac de his quidem ad hūc se res habet modum. Ac de Asia & Europa indicare volo quantum inter se per omnia distent, tum quantū homines formis varient, nihilq; inter se simile habeant. De omnibus certè longa foret oratio, verùm de præcipuis & plurimùm inter se differētibus dicam vt se res habere mihi videatur. Mea quidem sententia Asia plurimùm Europæ præstat, tum eorum omnium natura quę è terra producuntur, tum hominum. Longè enim pulchriora & maiora omnia in Asia gignuntur, regioq; ipsa hac nostra mitior, & hominum mores humaniores & benigniores. Quorum quidem causa est, tempestatum anni temperatio, cùm in medio solis exortu ad auroram sit exposita, à frigore longè procul remota. Incrementū autem & moderationē omnium maximè præbet, cū nihil sit quod per vim superet, sed omnium sit æquabilis potestas. Neq; tamen vbiq; per totam Asiam ad eundem modū se habent omnia. Sed quæ quidem regio in medio calidi & frigidi sita est, ea certè feracissima est, & arboribus maximè consita, & blandissima, aquisque præcipuè fruitur cœlestibus & ex terra prouenientibus. Neq; enim calore admodum exuritur, neq; squaloribus & aquarum penuria resiccatur, neq; frigore violatur, sed austrō obiecta, imbribus multis & niue perfunditur, multaq; illic sua tempestiuitate nasci par est, quæ ex seminibus quæque ex terræ plantis proueniunt, quorum fructibus homines fruūtur, ex agrestibus domesticos faciēdo, & in suum vsum transferendo. Pecoraq; illic enutrita abundare vel maximè æquum est, crebriusq; parere, & optimè educare. Hominesq; habitiores esse, formaq; pręstantes, & magnitudinis eximiæ, formaque & corporum proceritate non admodum inter se dissimiles. Hanc regionem ad anni temporum naturam & moderationem proximè accedere consentaneum est. Virilis autem animus, ærumnarum & laborum tolerantia, atq; audacia, in huiusmodi naturis innasci nequit, neque eiusdem generis aut diuersi coniunctione ducuntur, verùm in ipsis libidinem dominari necesse est. Ideoque multiformes in feris partus gignuntnr. Atque de Ægyptiis ac Libycis ad hunc quidem modum se res habere videtur. De his verò qui sunt ad hyberni solis ortus dexteram, ad Mæotidem vsq; paludem; quæ est Europæ atq; Asiæ terminus, habet se res ad hunc modum. Atq; hæ quidem gentes, cùm propter anni tempestatum mutationes, tum ob regionis naturam, lōgè magis inter se differunt, quàm quę antè sunt enarratę.

Habet autem hoc solùm eodem planè modo, quo etiam apud reliquos homines. Vbi nanq; anni tempora maximas & creberrimas mutationes faciunt, illic efferatissima & maximè inæqualis regio existit, montesq; plurimos & densos, campos item & prata in ea inuenias. At vbi anni tempora non admodum variãt, illic ea regio maximè æqualis est. Ad eundẽ verò modum se in hominibus habet, si quis animum aduertat. Sunt enim quædam naturæ, montosis locis, syluosis, & aqua caretibus similes, quædam tenuibus & aquosis, quædam etiam pratorum & paludum naturam referunt, quædam etiam ad planitiei, nudorumque & siccorum naturã accedunt. Anni enim tempora, quæ formatum naturam variant, inter se differunt, cumq; inter se diuersa existant, varias & multiplices formas producunt. Ac eas quidem gentes quæ parum inter se differunt, prætermittam, quæ verò plurimùm aut natura, aut institutis inter se discrepant, de his quemadmodum se habeant mihi dicendum est, imprimisque de Macrocephalis, cùm ex his nulla alia gens capita similia habeat. Ac initio quidem hominũ institutum longitudinis capitis causa fuisse videtur. Nũc verò natura etiã ad institutũ accedit. Lõgissima enim habentes capita, generosissimos existimant. Huiusmodi autem est institutũ. Cùm primùm editus est infans, caput eius adhuc tenellum & molle manibus effingunt, & in longitudinem adolescere cogunt, vinculis & idoneis artibus adhibitis, quibus capitis rotunditas vitietur, & lõgitudo augeatur. Hoc institutum primum huiusmodi naturæ dedit initium. Successu verò temporis, in naturã abiit, vt proinde instituto nil ampliùs opus esset. Semen enim genitale ex omnibus corporis partibus prouenit, ex sanis quidem sanum, & ex morbosis, morbosum. Si igitur ex caluis calui gignuntur, ex cæsiis cæsij, & ex distortis, vt plurimũ distorti, eademq; in cæteris formis valet ratio, quid prohibet cur non etiam ex Macrocephalo Macrocephalus gignatur? Etsi nunc quoq; perinde vt antea nõ nascuntur, obsolescente per hominum incuriam instituto. Ac de his quidem sic sentio. Iam verò de his qui Phasim accolũt. Regio est palustris, calida, aquosa & densa, imbribusq; copiosis & vehementibus ferè semper perfunditur. Homines in paludibus vitam degunt, & domos ligneas & arundineas in aquis fabrefactas habent, raro vrbes & emporia adeunt, verùm nauigiis ex ligno vno cauatis sursum ac deorsum traiiciunt, cũ fossas habeant plurimas. Aquas bibunt calidas, statarias, sole putrefactas, & imbribus auctas. Ipseq; Phasis præ cæteris fluminibus maximè stagnans est, & leuissimè defluit; fructusq; quæ illic nascuntur, nullum incrementum accipiunt, effœminati sunt, & præ aquarum copia imperfecti, ideoq; ad maturitatem minimè perueniunt. Aër quoq; caliginosus ab aquis sublatus hanc regionẽ occupat. His sanè de causis Phasiani corporis formam à cæteris hominibus longè diuersam habent. Proceritate enim corporis & crassitudine valdè excedunt, neq; articulus vllus, neque venæ comparent, pallidoq; sunt colore, velut morbo regio

ἔχει δὲ καὶ κατὰ τὴν γῆν ὁμοίως, ὥσπερ καὶ κατὰ τοὺς ἄλλους ἀνθρώπους. ὅκου γὰρ αἱ ὧραι μεγίστας μεταβολὰς ποιέονται καὶ πυκνοτάτας, ἐκεῖ καὶ ἡ χώρη ἀγριωτάτη καὶ ἀνωμαλωτάτη ἐστίν. καὶ εὑρήσεις ὄρη τε πλεῖστα καὶ δασέα καὶ πεδία καὶ λειμῶνας ἐόντας. ὅκου δὲ αἱ ὧραι μὴ μεγάλαι ἀλλάσσουσιν, ἐκείνοις ἡ χώρη ὁμαλωτάτη ἐστίν. οὕτω δὲ ἔχει καὶ περὶ τῶν ἀνθρώπων, εἴ τις βούλεται ἐνθυμέεσθαι.[74] εἰσὶ γὰρ φύσιες, αἱ μὲν ὄρεσιν ἐοικυῖαι, δενδρώδεσί τε καὶ ἐφύδροισι. αἱ δὲ, λεπτοῖσί τε καὶ ἀνύδροις.[75] αἱ δὲ λειμακεστέροισί τε καὶ ἑλώδεσι. αἱ δὲ πεδίῳ τε καὶ ψιλῇ καὶ ξηρῇ. αἱ γὰρ ὧραι αἱ μεταλλάσσουσαι τῆς μορφῆς τὴν φύσιν, εἰσὶ διάφοροι. ἢν δὲ διάφοροι ἔωσι μετὰ σφῶν αὐτέων, διαφοραὶ καὶ πλείονες γίνονται τοῖς εἴδεσιν. καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων, παραλείψω. ὁκόσα δὲ μεγάλα ἢ φύσει ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. καὶ πρῶτον περὶ τῶν μακροκεφάλων. τουτέων γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίως τὰς κεφαλὰς ἔχον οὐδέν. τὴν μὲν γὰρ ἀρχὴν, ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκεος τῆς κεφαλῆς. νῦν δὲ, καὶ ἡ φύσις ξυμβάλλεται τῷ νόμῳ. τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται. ἔχει δὲ περὶ νόμου ὧδε. τὸ παιδίον ὁκόταν γένηται, τάχιστα τὴν κεφαλὴν αὐτέου ἔτι ἁπαλὴν ἐοῦσαν μαλακοῦ ἐόντος, ἀναπλάσσουσι τῇσι χερσὶν, καὶ ἀναγκάζουσιν ἐς τὸ μῆκος αὔξεσθαι, δεσμά τε προσφέροντες, καὶ τεχνήματα ἐπιτήδεια ὑφ᾽ ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται, τὸ δὲ μῆκος αὔξεται. οὕτως τὴν ἀρχὴν ὁ νόμος κατειργάσατο, ὥστε τοιαύτην τὴν φύσιν γενέσθαι. τοῦ δὲ χρόνου προϊόντος, ἐν φύσει ἐγένετο, ὥστε τὸν νόμον μηκέτι ἀναγκάζειν.[76] ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς τοῦ σώματος, ἀπό τε τῶν νοσερῶν, νοσερός. εἰ οὖν γίγνονται ἔκ τε τῶν φαλακρῶν, φαλακροί, καὶ ἐκ γλαυκῶν, γλαυκοί, καὶ ἐκ διεστραμμένων, στρεβλοί, ὡς ἐπὶ τὸ πλῆθος, καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος, τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφαλον γίγνεσθαι; νῦν δὲ ὁμοίως[77] οὐκέτι γίγνονται ὡς πρότερον. ὁ γὰρ νόμος οὐκέτι ἰσχύει, διὰ τὴν ἀμελίαν τῶν ἀνθρώπων. περὶ μὲν οὖν τουτέων, οὕτως μοι δοκεῖ. περὶ δὲ τῶν ἐν Φάσει, ἡ χώρη ἐκείνη ἑλώδης ἐστὶ, καὶ θερμὴ, καὶ ὑδατεινὴ, καὶ δασεῖα. ὄμβροι τε αὐτόθι γίγνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί. ἥ τε δίαιτα τοῖς ἀνθρώποις ἐν τοῖς ἕλεσίν ἐστιν. τά τε οἰκήματα ξύλινα καὶ καλάμινα ἐν ὕδασι μεμηχανημένα. ὀλίγῃ τε χρέονται βαδίσει κατὰ τὴν πόλιν, καὶ τὸ ἐμπόριον,[78] ἀλλὰ μονοξύλοις διαπλέουσιν ἄνω καὶ κάτω. διώρυγες γὰρ πολλαί εἰσιν. τὰ δὲ ὕδατα, θερμὰ καὶ στάσιμα πίνουσιν, ὑπό τε τοῦ ἡλίου σηπόμενα, καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα. αὐτός τε ὁ Φάσις στασιμώτατος πάντων τῶν ποταμῶν, καὶ ῥέων ἠπιώτατα. οἵ τε καρποὶ γινόμενοι αὐτόθι πάντες[79] ἀναλθέες εἰσὶν καὶ τεθηλυσμένοι καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος. διὸ καὶ οὐ πεπαίνονται.[80] ἠήρ τε πουλὺς κατέχει τὴν χώρην ἀπὸ τῶν ὑδάτων. διὰ ταύτας δὴ τὰς προφάσιας, τὰ εἴδεα ἀπηλλαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχουσιν οἱ Φασιανοί. τά τε γὰρ μεγέθη μεγάλοι· τὰ πάχεα δ᾽ ὑπέρπαχέες. ἄρθρον τε κατάδηλον οὐδὲν, οὐδὲ φλέψ. τήν τε χροιὴν ὠχρὴν ἔχουσιν, ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι. φθέγγονταί τε

ταί τε βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεώμενοι οὐ λαμπρῷ, ἀλλὰ χνοώδει τε[81] καὶ διερῷ. πρὸς ταλαιπωρέειν τε τὸ σῶμα ἀργότεροι πεφύκασιν. αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσιν, οὔτε πρὸς τὸ πνῖγος, οὔτε πρὸς τὸ ψῦχος. τά τε πνεύματα πολλὰ νότια, πλὴν αὔρης μιῆς ἐπιχωρίης. αὕτη δὲ πνέει ἐνίοτε, βίαιος καὶ χαλεπὴ καὶ θερμὴ, καὶ κέγχρονα ὀνομάζουσι τοῦτο τὸ πνεῦμα. ὁ δὲ βορέης οὐ σφόδρα ἀφικνέεται. ὁκόταν δὲ πνέῃ ἀσθενὴς καὶ βληχρός. [82] περὶ μὲν τῆς φύσιος, καὶ τῆς διαφορῆς, καὶ τῆς μορφῆς τῶν ἐν τῇ Ἀσίῃ καὶ τῇ Εὐρώπῃ, οὕτως ἔχει.[83] περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων καὶ τῆς ἀνανδρείης, ὅτι ἀπολεμώτεροί εἰσι τῶν Εὐρωπαίων οἱ Ἀσιηνοὶ, καὶ ἡμερώτεροι τὰ ἤθεα, αἱ ὧραι αἴτιαι μάλιστα, οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι, οὔτε ἐπὶ τὸ θερμὸν, οὔτε ἐπὶ τὸ ψυχρὸν, ἀλλὰ παραπλήσιαι. οὐ γὰρ γίνονται ἐκπλήξιες τῆς γνώμης, οὔτε μετάστασις ἰσχυρὴ τοῦ σώματος. ἀφ' ὅτων εἰκὸς τὴν ὀργὴν ἀγριοῦσθαί τε, καὶ τοῦ γνώμονος καὶ θερμοῦ μετέχειν μᾶλλον, ἢ ἐν τῷ αὐτέῳ αἰεὶ ὄντα. αἱ γὰρ μεταβολαί εἰσι τῶν πάντων,[84] αἵ τε ἀγείρουσι τὴν γνώμην τοῦ ἀνθρώπου, καὶ οὐκ ἐῶσι ἀτρεμίζειν. διὰ ταύτας ἐμοὶ δοκέει τὰς προφάσιας,[85] ἄναλκες εἶναι τὸ γένος τὸ Ἀσιηνόν. καὶ προσέτι διὰ τοὺς νόμους. τῆς γὰρ Ἀσίης τὰ πολλὰ βασιλεύεται. ὅκου δὲ μὴ αὐτοὶ ἑωυτέων εἰσὶ καρτεροὶ ἄνθρωποι, μηδὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, οὐ περὶ τούτου αὐτέοισιν ὁ λόγος ἐστὶν, ὅπως τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως μὴ δόξωσι μάχιμοι εἶναι. οἱ γὰρ κίνδυνοι οὐχ ὅμοιοι εἰσίν. τοὺς μὲν γὰρ στρατεύεσθαι εἰκὸς, καὶ ταλαιπωρέειν, καὶ ἀποθνήσκειν ἐξ ἀνάγκης ὑπὲρ τῶν δεσποτῶν, ἀπό τε παιδίων καὶ γυναικὸς ἐόντας, καὶ τῶν λοιπῶν φίλων. καὶ ὁκόσα μὲν ἂν χρηστὰ καὶ ἀνδρεῖα ἐργάσωνται, οἱ δεσπόται ἀπ' αὐτέων αὔξονταί τε καὶ ἐκφύονται. τοὺς δὲ κινδύνους καὶ θανάτους αὐτοὶ καρποῦνται. ἔτι δὲ πρὸς τούτοισι τῶν τοιούτων ἀνθρώπων,[86] ἀνάγκη ἐρημοῦσθαι τὴν γῆν ὑπό τε πολεμίων καὶ ἀργίης, ὥστε καὶ εἴ τις φύσει πέφυκεν ἀνδρεῖος καὶ εὔψυχος, ἀποτρέπεσθαι τὴν γνώμην ἀπὸ τῶν νόμων. μέγα δὲ τεκμήριον τούτων. ὁκόσοι γὰρ ἐν τῇ Ἀσίῃ Ἕλληνες ἢ βάρβαροι μὴ δεσπόζονται, ἀλλ' αὐτόνομοί εἰσι καὶ ἑωυτέοισι ταλαιπωρεῦσιν, οὗτοι μαχιμώτατοι εἰσὶ πάντων. τοὺς γὰρ κινδύνους ἑωυτέων πέρι κινδυνεύουσιν. καὶ τῆς ἀνδρείης αὐτέοι τὰ ἆθλα φέρονται, καὶ τῆς δειλίης τὴν ζημίην ὡσαύτως.[87] εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωυτέων, τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας. τουτέων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖς προτέροισι. καὶ περὶ μὲν τῶν ἐν τῇ Ἀσίῃ, οὕτως ἔχει. ἐν δὲ τῇ Εὐρώπῃ, ἔστιν ἔθνος σκυθικὸν, ὃ περὶ τὴν λίμνην οἰκεῖ τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων, Σαυρομάται καλεῦνται. τουτέων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσιν, καὶ ἀκοντίζουσιν ἀπὸ τῶν ἵππων, καὶ μάχονται τοῖς πολεμίοις, ἕως ἂν παρθένοι ἐῶσιν. οὐκ ἀποπαρθενεύονται δὲ μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι. καὶ οὐ πρότερον συνοικέουσιν,[88] ἤπερ τὰ ἱερὰ θύσουσαι τὰ ἐν νόμῳ. ἣ δ' ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου στρατείης. τὸν δεξιὸν δὲ

detenti: cũq; aëre vtâtur minimè puro, sed caliginoso & maximè humido, grauissimâ præ aliis omnib. vocẽ edunt. Sunt etiam ad corporis exercitationem natura pigriores, anniq; tempestates, quo ad æstũ aut frigus, non multũ variant. Venti iis plurimi sunt austrini, potissimùm vnus eius regionis peculiaris, qui interdum violentior, molestior & calidior spirat, quem Cenchrona nominant. Boreas verò non admodum huc peruenit, quòd si aliquando spiret, debilis tamen & valdè lenis existit. Atque hunc quidem in modum, qui Asiam & Europam incolunt, tum natura, tum forma inter se differũt. Quòd autem ad animi ignauiam & mollitiem attinet, cur Asiatici Europæis minùs bellicosi existant, & moribus sint lenioribus, anni tempestates in causa sunt, quæ non magnas tum ad calorem, tum ad frigus permutationes faciunt, verùm similes permanent, vnde neque mens stupore percellitur, neque corpus vehementer à suo statu dimouetur. Ex quibus iram exasperari, ac prudentiæ & caloris compotes fieri magis ęquum est, quàm si eodem semper statu permaneant. Mutationes enim inter omnia hominis mentem semper excitant, neque sinunt quiescere. Quas ob causas mihi Asiaticorum genus omni ope destitutum videtur, quibus præterea eorum instituta accedere debent. Multò enim maxima Asiæ pars regum imperio regitur. Qui verò sui potestatem non habent, neque sui iuris sunt, sed dominis subditi, ij rerum bellicarum nullam curam habent, sed vt ne bellicosi videantur. Neque enim ęqualia pericula impendent. Hos siquidem pro dominis in militiam proficisci, & labores tolerare, mortemq; oppetere necesse est, relictis domi liberis, vxore, ac reliquis amicis. Quòd si probè ac viriliter se gesserint, inde dominis opes augentur & crescunt, ipsi præter pericula & cædes nullum fructum percipiunt. Ad hæc ab huiusmodi hominibus propter rei militaris inertiam ac otium, regionem relinqui necesse est, cùm vt quisque natura fortis est & magni animi, ita maximè leges detrectat. Cuius rei hoc magnum est indicium, quòd quicunque in Asia Græci ac Barbari dominis minimè sunt subditi, sed liberi, & sui laboris quæstum faciunt, ij omnium bellicosissimi existunt. Sibi enim ipsis pericula subeunt, & vt fortitudinis præmia reportant, ita ignauiæ pœnas luunt. Asiaticos autem plurimùm inter se differre, & hos quidem nobiliores, illos verò ignobiliores esse comperior. Quorum quidem causa ad anni tempestatum mutationes, quemadmodum antea diximus, referenda est. Atque sic quidem de his qui Asiam incolũt. In Europa autem gens est Scythica, quæ Mæotim paludem incolit, & à reliquis plurimùm differt, Sauromatæ appellantur. Eorum fœminæ equitant, arcu vtuntur, & ex equo iaculantur, & cum hostibus bellum gerunt, quoad virgines existunt, neque antè virginitatem deponunt, quàm tres hostes interfecerint, neque priùs cum viris congrediũtur, quã sacra Deo patrio more peregerint. Quòd si qua sibi virum delegerit, equitatu soluta est, nisi cõmunis expeditionis necessitas ingruat. Dextrã autem

mammam non habēt. Puellis enim adhuc infantibus, ferro ad id fabricato & candente, dextræ mammę admoto, eam matres exurunt, vt ne incrementum accipiat, sed ad dextrum humerū & brachium omne robur & copia transmittatur. De reliquis autem Scythis, cùm forma inter se sint similes, & aliis dissimiles, eadē ratio quæ de Ægyptiis habenda est, nisi quòd hi calore, illi frigore vrgentur. At verò solitudo Scythica appellata, in planicie sita est, & pratis abundat, nuda & modicè aquosa est. Magni enim fluuij aquam ex campis per riuos deducunt. In hac Scythæ Nomades dicti degunt, quòd domos nullas habeant, sed in curribus habitent, quorum vel minimi quatuor, reliqui sex rotis agūtur. Hi autem insuper coactilibus ex lana crassa compactis sunt obducti, & ad instar domorum fabricati, alij quidem simplici, alij etiam triplici tabulato, ipsiq; in angustū coarctati aduersus omnes aquarum, niuis, ac ventorum iniurias. Currus trahunt alios quidem duo boum paria, alios tria, atq; hi prę frigore cornua non habent. His igitur in curribus mulieres degunt, ipsi verò viri in equis vehuntur. Eos sequuntur pecorum greges, & boues, & equi. Tandiuque vno in loco subsistunt, quoad ipsis pecoribus pabulum sufficit, quo deficiente ad aliam regionem commigrant. Carnibus coctis vescuntur, & lacte equino in potu vtuntur, & hippaco, hoc est caseo equino victitant. Ac de eorū victus ratione & curribus hactenus quidem dictum est, simulq; de anni temporibus, quodq; Scythica gens forma multùm à reliquis hominibus diuersa est, sibi ipsi similis, non secus ac Ægyptij. Minimè fœcundum est hoc hominum genus, ipsaq; regio paucissimas feras alit, neq; magnitudine, neque multitudine insignes. Sub ipsis enim vrsis Riphæ isque montibus, vnde Boreas spirat, est posita, solq; cùm ad extremam conuersionem æstiuam venerit, proximè accedit, & tunc quidem exiguo tempore calefacit. Neque venti ex calidis locis spirantes, nisi rari ac debiles, huc admodum perueniunt, sed venti frigidi ab vrsis, niue, glacie, & multis aquis, perpetuò spirant, neque vnquam montes deserunt, vnde non nisi ægrè habitari possunt. Aërq; multus tota die campos occupat, ipsique in humidis locis degunt. Quare perpetua fere illis est hyems, æstas verò paucissimis diebus, neque his admodum magna. Planities enim illis sublimis est & nuda, neq; montibus cincta, sed sub vrsis accliuis. Neque feræ illis magnæ, sed quæ sub terra abscondi possint, nascuntur. Hyems enim & terræ nuditas prohibet, quanquam & apricis & opacis locis caret. Nā neq; magnæ, neq; vehementes sunt anni temporum mutationes, sed similes & parum differentes, vnde & formas inter se similes habent. Eodem etiam victu semper & amictu vtūtur hyeme & æstate, aërēq; aquosum & crassum attrahunt, & aquas ex niuibus & glacie bibunt, nullaq; corporis exercitatione vtuntur,

μαζὸν οὐκ ἔχουσιν. παιδίοις γὰρ ἐοῦσιν ἔτι νηπίοις, αἱ μητέρες χάλκεον τετεχνημένον [89] ἢ ἐπ' αὐτῷ τουτέῳ διάπυρον ποιέουσαι, πρὸς τὸν μαζὸν τιθέασι τὸν δεξιὸν, καὶ ἐπικαίεται, ὥστε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν καὶ τὸ πλῆθος ἐκδιδόναι. περὶ δὲ τῶν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ αὐτοῖσιν ἐοίκασι, καὶ οὐδαμῶς ἄλλοις, ωὑτὸς λόγος καὶ περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσὶ βεβιασμένοι, οἱ δ' ὑπὸ τοῦ ψυχροῦ. ἡ δὲ Σκυθέων ἐρημίη καλουμένη, πεδιάς ἐστι, [90] καὶ λειμακώδης, [91] καὶ ψιλὴ, καὶ ἔνυδρος μετρίως. ποταμοὶ γάρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων. ἐνταῦθα καὶ οἱ Σκύθαι διαιτεῦνται, Νομάδες δὲ καλεῦνται, ὅτι οὐκ ἔστιν οἰκήματα, ἀλλ' ἐν ἁμάξαις οἰκεῦσιν. αἱ δὲ ἁμάξαι εἰσὶν, αἱ μὲν ἐλάχισται, τετράκυκλοι, αἱ δὲ ἑξάκυκλοι. [92] αὗται δὲ πίλοις περιπεφραγμέναι. εἰσὶ δὲ καὶ τετεχνασμέναι, ὥσπερ οἰκήματα τὰ μὲν ἁπλᾶ, τὰ δὲ τριπλᾶ. [93] ταῦτα δὲ καὶ στεγνὰ πρὸς ὕδωρ, καὶ πρὸς χιόνα, καὶ πρὸς τὰ πνεύματα. τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα, τὰς μὲν δύο, τὰς δὲ τρία βοῶν κέρως ἄτερ. οὐ γὰρ ἔχουσι κέρατα ὑπὸ ψύχεος. ἐν ταύτῃσι μὲν οὖν τῇσιν ἁμάξῃσιν αἱ γυναῖκες διαιτεῦνται. αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται οἱ ἄνδρες. ἕπονται δὲ αὐτέοις [94] καὶ τὰ πρόβατα ἐόντα καὶ αἱ βόες καὶ οἱ ἵπποι. μένουσι δ' ἐν τῷ αὐτέῳ τοσοῦτον χρόνον, ὅσον ἂν ἀπόχρῃ ωὐτέοισιν τοῖς κτήνεσιν ὁ χόρτος. ὁκόταν δὲ μηκέτι, εἰς ἑτέρην χώρην ἔρχονται. αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ, καὶ πίνουσι γάλα ἵππων. [95] καὶ ἱππάκην τρώγουσιν, τοῦτο δ' ἐστὶ τυρὸς ἵππων. τὰ μὲν εἰς τὴν δίαιταν αὐτέων οὕτως ἔχει καὶ τοὺς νόμους, περί τε τῶν ὡρέων καὶ τῆς μορφῆς, ὅτι πολὺ ἀπήλλακται τῶν λοιπῶν ἀνθρώπων τὸ Σκυθικὸν γένος, καὶ ἔοικεν αὐτὸ ἑωυτέῳ, ὥσπερ τὸ Αἰγύπτιον. καὶ ἥκιστα πολύγονόν ἐστι καὶ ἡ χώρη ἐλάχιστα θηρία τρέφει κατὰ μέγεθος καὶ πλῆθος. κεῖται γὰρ ὑπ' αὐτῇσι τῇσιν ἄρκτοις, καὶ τοῖς ὄρεσι τοῖς Ῥιπαίοισιν, ὅθεν ὁ βορέης πνέει. ὅ τε ἥλιος τελευτῶν ἐγγύτατα γίγνεται, ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους, καὶ τότε ὀλίγον χρόνον θερμαίνει. καὶ οὐ σφόδρα τὰ διαπνεύματα τὰ ἀπὸ τῶν θερμῶν πνέοντα ἀφικνεῖται, ἢν μὴ ὀλιγάκις καὶ ἀσθενέα, ἀλλ' ἀπὸ τῶν ἄρκτων ἀεὶ πνέουσι πνεύματα ψυχρὰ ἀπό τε χιόνος καὶ κρυστάλλων, καὶ ὑδάτων πολλῶν. οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει. ἀπὸ τουτέων δὲ δυσοίκητά ἐστιν. ἠήρ τε κατέχει πουλὺς τῆς ἡμέρης τὰ πεδία. καὶ ἐν τούτοισι διαιτεῦνται. ὥστε τὸν μὲν χειμῶνα, ἀεὶ εἶναι. τὸ δὲ θέρος, ὀλίγας ἡμέρας, καὶ ταύτας μὴ λίην. μετέωρα γὰρ τὰ πεδία καὶ ψιλὰ καὶ οὐκ ἐστεφάνωνται ὄρεσιν, [96] ἀλλ' ἀνάντη ὑπὸ τῶν ἄρκτων αὐτόθι. καὶ τὰ θηρία οὐ γίγνεται μεγάλα. ἀλλ' οἷά τέ ἐστιν ὑπὸ γῆν σκεπάζεσθαι. ὁ γὰρ χειμὼν κωλύει, καὶ τῆς γῆς ἡ ψιλότης. καί τοι οὐκ ἔστιν ἀλέα, οὐδὲ σκέπη. αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι, οὐδὲ ἰσχυραὶ, ἀλλ' ὅμοιαι καὶ ὀλίγον μεταβάλλουσαι. διότι καὶ τὰ εἴδεα, ὅμοια αὐτὰ ἑωυτέοις εἰσίν. σιτίοισί τε χρέονται αἰεὶ ὁμοίοις, ἐσθῆτί τε τῇ αὐτέῃ καὶ θέρεος καὶ χειμῶνος. τόν τε ἠέρα ὑδατεινὸν ἕλκοντες καὶ παχύν. τά τε ὕδατα πίνοντες ἀπὸ χιόνος καὶ παγετῶν. τοῦ τε ταλαιπώρου ἀπεόντες.

οὐ γὰρ οἷόν τε τὸ σῶμα ταλαιπωρέεσθαι, οὐδὲ τὴν ψυχήν, ὅκου μεταβολαὶ μὴ γίγνονται ἰσχυραί. διὰ ταύτας τὰς ἀνάγκας, τὰ εἴδεα αὐτῶν παχέα ἐστὶ καὶ σαρκώδεα.[97] καὶ ἄρθρα ὑγρὰ καὶ ἄτονα. αἵ τε κοιλίαι ὑγρόταται πασέων κοιλιῶν αἱ κάτω. οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ χώρῃ καὶ φύσει καὶ ὥρης καταστάσει, ἀλλὰ διὰ πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα, τά τε εἴδεα ἔοικεν ἀλλήλοισιν, τά τε ἄρσενα τοῖς ἄρσεσιν, καὶ τὰ θήλεα τοῖς θήλεσι. τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων, φθοραὶ οὐκ ἐγγίνονται οὐδὲ κακώσιες[98] ἐν τῇ τοῦ γόνου ξυμπήξει, ἢν μή τινος ἀνάγκης βιαίου τύχῃ ἢ νούσου. μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι. Σκυθέων γὰρ τοὺς πολλούς, ἅπαντας ὅσοι Νομάδες, εὑρήσεις κεκαυμένους τούς τε ὤμους καὶ τοὺς βραχίονας, καὶ τοὺς καρποὺς τῶν χειρέων, καὶ τὰ στήθεα ἰσχία, καὶ τὴν ὀσφύν, δι' ἄλλ' οὐδέν, ἢ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τὴν μαλακίην. οὐ γὰρ δύνανται οὔτε τοῖς τόξοις ξυντείνειν, οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὤμῳ ὑπὸ ὑγρότητος καὶ ἀτονίης. ὁκόταν δὲ καυθῶσιν, ἀναξηραίνεται ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ. καὶ ἐντονώτερα μᾶλλον γίγνεται καὶ τροφιμώτερα καὶ ἠρθρωμένα τὰ σώματα μᾶλλον.[99] ῥοϊκὰ δὲ γίγνεται καὶ πλατέα, πρῶτον μὲν ὅτι οὐ σπαργανοῦνται, ὥσπερ ἐν Αἰγύπτῳ,[100] οὐδὲ νομίζουσιν διὰ τὴν ἱππασίην ὅκως ἂν εὔεδροι ἔωσιν. ἔπειτα δὲ διὰ τὴν ἕδρην. τά τε γὰρ ἄρσενα ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππου ὀχέεσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηται ἐν τῇ ἁμάξῃ καὶ βραχὺ τῇ βαδίσει χρέονται, διὰ τὰς μεταναστάσιας καὶ περιελάσιας. τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοϊκά ἐστι τὰ εἴδεα.[101] πυρρὸν δὲ τὸ γένος ἐστὶ τὸ Σκυθικὸν διὰ τὸ ψύχος, οὐκ ἐπιγινομένου ὀξέος τοῦ ἡλίου. ὑπὸ δὲ τοῦ ψύχεος, ἡ λευκότης ἐπικαίεται, καὶ γίγνεται πυρρή. πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην. οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίνεται πολλὴ διὰ τὴν ὑγρότητα τῆς φύσιος, καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ τὴν ψυχρότητα, ἀπὸ τῶν, ἥκιστα εἰκὸς εἶναι ἄνδρα οἷόν τε λαγνεύειν· καὶ ἔτι ὑπὸ τῶν ἵππων αἰεὶ κοπτόμενοι, ἀσθενέες γίγνονται εἰς τὴν μίξιν. τοῖσι μὲν ἀνδράσιν αὗται αἱ προφάσιες γίγνονται· τῇσι δὲ γυναιξὶν, ἥ τε πιότης τῆς σαρκὸς καὶ ὑγρότης. οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον. οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτέῃσι γίνεται ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου. τό, τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται, καὶ οὐχ ὑποδέχεται τὸν γόνον. αὗταί τε ἀταλαίπωροι καὶ πιεραί. καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαί. καὶ ὑπὸ τουτέων τῶν ἀναγκέων οὐ πολύγονόν ἐστι τὸ ἔθνος τὸ Σκυθικόν. μέγα δὲ τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν.[102] οὐ γὰρ φθάνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι, καὶ ἐν γαστρὶ ἴσχουσι διὰ τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός. ἔτι τε πρὸς τουτέοισιν εὐνουχίαι γίνονται οἱ πλεῖστοι ἐν Σκύθῃσιν, καὶ γυναικεῖα ἐργάζονται, καὶ ὡς αἱ γυναῖκες διαλέγονταί τε ὁμοίως. καλεῦνταί τε οἱ τοιοῦτοι[103] ἀνανδριεῖς. οἱ μὲν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ, καὶ σέβονται τουτέους τοὺς ἀνθρώπους, καὶ προσκυνέουσι, δεδοικότες περί τε ωὑτέων ἕκαστοι. ἐμοὶ δὲ καὶ αὐτέῳ δοκεῖ ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἄλλα πάντα καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον, οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα θεῖα. ἕκαστον

cùm vel corpus, vel animus exerceri nequeat, vbi mutationes non sunt vehementes. Has ob causas eos habitu esse crasso & carnoso necesse est, articulis verò humidis & eneruatis, & ventribus maximè humidis, omnium tamen maximè inferiore aluo. In hac enim regione, natura, & tempestatum anni constitutione, ipsa resiccari nequit. Sed propter pinguedinē & carnis glabritiem, forma inter se sunt similes, tum mares maribus, tum fœminæ fœminis. Cùm enim anni tempora similiter se habeant, nullæ corruptiones, neq; vitia in prima seminis conformatione contingunt, nisi violēto aliquo casu, aut morbo id accidat. Eorum autem humiditatis magnum hoc est argumētum, quòd Scythas plærosque, ac præcipuè Nomadas, humeris, brachiis, primis manuum iuncturis, pectoribus, coxendicibus, & lumbis exustis esse comperias, nullam sanè aliam ob causam, quàm naturæ humiditatem & mollitiem. Nam neq; arcus intendere, neq; humero iaculum contorquere, ob humiditatem ac impotentiam possunt. Cùm verò vruntur, ex articulis humoris copia resiccatur, eorumq; corpora validiora, habitiora, & firmioribus articulis redduntur. fluida verò fiūt & lata, primùm quidem quòd fasciis non inuoluātur, quemadmodū fieri solet in Ægypto, neq; id pro more habent, ob equitationem, quò firmiùs equis insideāt, deinde verò ob vitam sedentariam. Ex his nanq; mares quoad equis vehi nequeunt, lōgo tempore in curribus sedent, parumq; propter locorum trāsmutationes & peragrationes inambulāt. At mulieres stupendum in modum habitu sunt corporis fluxo. Gens autem Scythica propter frigus fuluo est colore, cùm ad eos sol vehemens non accedat. A frigore autem albedo exuritur, fitq; fulua. Fœcunda verò eiusmodi natura esse non potest. Neque enim viri multa coeundi cupiditate tenentur, ob corporis humiditatem, ventrisq; molliciem & frigiditatem. Ex quibus viros minimè venerē exercere posse par est. Eò accedit, quòd perpetua equitatione fracti, ad coitū imbecilles redduntur. Atq; eæ quidem in viris causæ sunt. In mulieribus verò, carnis pinguedo & humiditas. Neq; enim vteri genitale semen ad se rapere queunt. Neq; eis vt decet menstrua purgatio, sed parcior & longiore tempore cōtingit, ipsumq; vteri os præ pinguitudine concluditur, semenq; genitale minimè suscipit. Ipsæque nulla corporis exercitatione vtuntur, & præpingues sunt, earumq; ventres frigidi & molles. Ex quibus necessariò consequitur non admodum fœcundam esse Scytharum gentem. Cuius rei magnam coniecturam præbent famulæ, quæ cùm virorum congressum non appetant, propter exercitationem & carnis gracilitatem concipiunt. Ad hæc quoq; plærique Scythæ eunuchi fiunt, & munia muliebria obeunt, ac velut mulieres factitant & loquuntur, vocanturque hi Eurati aut Effœminati. Ac regionis quidem incolæ causam Deo acceptam referunt, & huiusmodi homines reuerentur & colunt, sibi quisque timentes ne quid tale contingat. At mea quidem sentētia hi omnes affectus diuini sunt, vt & reliqui omnes, nullusq; altero diuinior aut humanior existit, sed diuini omnes, cùm ho-

rum quodq; suam naturam habeat, neque quicquam citra naturam fiat. Atqui quomodo hic affectus mihi cõtingere videatur, enarrabo. Ex equitatione eos prehendunt diuturnæ ex defluxione affectiones (quæ *κέδματα* dicuntur) nimirum semper pendentibus ex equis eorum pedibus. Deinde qui vehementer ægrotant, claudicant, iisq; coxendices contrahuntur. Hac autem ratione sibi medentur. Cùm ægrotare cœperint, vtranque venam post aures incidunt, cumq; sanguis effluxerit, præ imbecillitate somno corripiuntur & obdormiscunt, deinde alij quidem sani excitantur, alij minimè. Ac mihi quidem videntur hac curatione seipsos perdere. Iuxta aures enim venæ sunt, quas si quis incidat, sectione sterilitatem inducũt. Has igitur venas mihi secare videntur. Postea verò vbi ad vxorem accedunt, neq; cum iis rem habere possunt, primùm nil animo reputantes quiescunt, cùm autem bis, ter, aut sæpiùs id tentantes, nihil profecerint, dum in quem culpam conferunt se offendisse existimantes, muliebri stola amicti, suam ignauiã accusant, & cum mulieribus victitantes, earum opera tractant. Qua affectione tentantur opulentissimi quiq; Scythæ, minimè verò infimi sed generosissimi, & qui ad maximas opes per equitationem ascenderunt, pauperes autem qui nõ equitant, minùs. Quanquam oportebat si hæc affectio cæteris diuinior esset, vt non generosissimos & opulentissimos Scythas solos, sed omnes ex æquo inuaderet, idq; potius eos qui paucas opes possident, neq; honorem exhibent, si modò Dij hominum cultu gaudent, & pro eo his beneficia conferunt. Diuites enim, cùm pecunias quidem possideant, Diis sæpè sacra facere, & donaria offerre, eosq; honoribus afficere æquũ est, pauperes verò minus, cùm nihil habeant, qui etiam eos incusant, quòd eis opes non suppeditẽt, ac proinde qui pauca possidẽt, suorum scelerum pœnas luere potiùs q̃ diuites, videantur. Verùm (quemadmodum iam antè dixi) hæc quidem diuina sunt, perinde vt reliqua, & secundum naturã quæquæ accidũt. Et hic quidem morbus, ob eam quam dixi causam, Scythis contingit. Quin & in reliquis hominibus ad eundem se habet modum. Vbi enim plurimùm & creberrimè homines equitant, ibi plurimi diuturnis ex defluxione affectionibus, coxendicum morbis, pedumq; doloribus corripiuntur, & ad venerem exercendam pessimè se habẽt. Hæc autem Scythis adsunt, & ob eas causas omnium ineptissimi ad coitum redduntur, tum etiam quòd fœminalia semper gestant, & in equis magnam temporis partem degunt, vt ne quidem pudenda manu attrectare liceat, neq; præ frigore & lassitudine coeundi appetentiam sentiant, nilque aliud pensi habent, quàm vt virilitate priuentur. Atq; hactenus quidem de Scytharum gente. At reliquum in Europa hominum genus, tum magnitudine, tũ forma, inter se est dissimile, propter magnas & crebras anni temporum mutationes. Habent enim calores vehementes, & hyemes acres, ac imbres multos, rursusque squalores diuturnos, & ventos multos, ex quibus multæ & omnis generis mutationes contingunt. Neque est à ratione alienum ex his aliam percipi generationem in seminis conformatione,

δὲ ἔχει φύσιν τῶν τοιουτέων, καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται. καὶ τοῦτο δὲ τὸ πάθος ὥς μοι δοκεῖ γίγνεσθαι, φράσω. ὑπὸ τῆς ἱππασίης αὐτέους [104] κέδματα λαμβάνει, ἅτε αἰεὶ κρεμαμένων ἀπὸ τῶν ἵππων τοῖς ποσίν. ἔπειτα ἀποχωλοῦνται καὶ ἕλκονται τὰ ἰσχία [105] οἳ ἂν σφόδρα νοσήσωσιν. ἰῶνται δὲ σφᾶς αὐτοὺς τρόπῳ τοιῷδε. ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ ὠτὸς ἑκατέρην φλέβα τάμνουσιν. ὅταν δὲ ἀπορρυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείας, καὶ καθεύδουσιν. ἔπειτα ἀνεγείρονται, οἱ μέν τινες ὑγιέες ἐόντες, οἱ δ᾽ οὔ. ἐμοὶ μὲν οὖν δοκεῖ ἐν ταύτῃ τῇ ἰήσει διαφθείρεσθαι. [106] εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιτάμῃ, ἄγονοι γίνονται οἱ ἐπιτμηθέντες. ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. οἱ δὲ μετὰ ταῦτα, ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκα, καὶ μὴ οἷοί τε ὦσι χρῆσθαι σφίσιν αὐταῖς, τὸ πρῶτον οὐκ ἐνθυμοῦνται, ἀλλ᾽ ἡσυχίην ἔχουσιν. ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτέοισι πειρωμένοισι μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, νομίσαντές τι ἡμαρτηκέναι τῷ θεῷ ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην καταγνόντες ἑωυτέων ἀνανδρείην. γυναικίζουσί τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν, ἃ καὶ ἐκεῖναι. τοῦτο δὲ πάσχουσι Σκυθέων οἱ πλούσιοι, οὐχ οἱ κάκιστοι, ἀλλ᾽ οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην κεκτημένοι, διὰ τὴν ἱππασίην· οἱ δὲ πένητες, ἧσσον. οὐ γὰρ ἱππάζονται. καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστιν, οὐ τοῖς γενναιοτάτοις τῶν Σκυθέων καὶ τοῖς πλουσιωτάτοις προσπίπτειν μούνοις, ἀλλὰ τοῖς ἅπασιν ὁμοίως. καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, οὐ τιμωμένοισιν ἤδη, εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ᾽ ἀνθρώπων, καὶ ἀντὶ τουτέων χάριτας ἀποδιδοῦσιν. εἰκὸς γὰρ τοὺς μὲν πλουσίους, θύειν πολλὰ τοῖς θεοῖς, καὶ ἀνατιθέναι ἀναθήματα ὄντων χρημάτων, καὶ τιμᾶν. τοὺς δὲ πένητας, ἧσσον, διὰ τὸ μὴ ἔχειν. ἔπειτα καὶ ἐπιμεμφομένους, ὅτι οὐ διδόασι χρήματα αὐτέοισιν. ὥστε τῶν τοιουτέων ἁμαρτιῶν τὰς ζημίας, τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον, ἢ τοὺς πλουσίους. ἀλλὰ γὰρ ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτα ἐστὶν ὁμοίως τοῖς ἄλλοις· γίγνεται δὲ κατὰ φύσιν ἕκαστα. καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖς Σκύθαις γίγνεται, οἵην εἴρηκα. ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως. ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν ἁλίσκονται, καὶ λαγνεύειν κάκιστοί εἰσι. ταῦτα δὲ τοῖσι Σκύθῃσι πρόσεστι, καὶ εὐνουχοειδέστατοί εἰσιν ἀνθρώπων διὰ τὰς προφάσιας, [107] καὶ ὅτι ἀναξυρίδας ἔχουσιν αἰεί, καὶ εἰσὶν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου. ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε τοῦ ψύχεος καὶ τοῦ κόπου ἐπιλανθάνεσθαι τοῦ ἱμέρου καὶ τῆς μίξιος, καὶ μηδὲν παρακινεῖν πρότερον, [108] ἢ ἀνανδρωθῆναι. περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος. τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ διάφορον αὐτὸ ἑωυτῷ ἐστι, καὶ κατὰ τὸ μέγεθος, καὶ κατὰ τὰς μορφὰς διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι μεγάλαι γίνονται καὶ πυκναί. καὶ θάλπη τε ἰσχυρά, καὶ χειμῶνες καρτεροί. καὶ ὄμβροι πολλοὶ καὶ αὖθις αὐχμοὶ πολυχρόνιοι, καὶ πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ καὶ παντοδαπαί. [109] ἀπὸ τουτέων εἰκὸς αἰσθάνεσθαι καὶ τὴν γένεσιν ἐν τῇ συμπήξει τοῦ γόνου ἄλλως

καὶ μὴ τὴν

καὶ μὴ τὰς αὐτὰς τὴν αὐτέην γίνεσθαι, εἴτε τῷ θέρει, καὶ τῷ χειμῶνι, μηδὲ ἐν ἐπομβρίῃ καὶ αὐχμῷ.[110] διότι τὰ εἴδεα διηλλάχθαι νομίζω τῶν Εὐρωπαίων μᾶλλον, ἢ τῶν Ἀσιηνῶν. καὶ τὰ μεγέθεα διαφορώτατα αὐτὰ ἑωυτοῖσι εἶναι κατὰ πόλιν ἑκάστην.[111] αἱ γὰρ φθοραὶ πλείονες ἐγγίνονται τοῦ γόνου ἐν τῇ ξυμπήξει ἐν τῇσι μεταλλαγῇσι τῶν ὡρέων πυκνῇσι ἐούσῃσιν, ἢ ἐν τῇσι παραπλησίῃσι καὶ ὁμοίῃσιν. περί τε τῶν ἠθέων ὁ αὐτὸς λόγος. τό, τε ἄγριον,[112] καὶ τὸ ἀμίαιτον, καὶ τὸ θυμοειδὲς ἐν τῇ τοιαύτῃ φύσει ἐγγίνεται. αἱ γὰρ ἐκπλήξιες πυκναὶ γινόμεναι τῆς γνώμης τὴν ἀγριότητα ἐντιθέασιν, τὸ δὲ ἥμερόν τε καὶ ἤπιον ἀμαυροῦσιν.[113] διότι εὐψυχοτέρους νομίζω τοὺς Εὐρώπην οἰκοῦντας εἶναι, ἢ τοὺς τὴν Ἀσίην. ἐν μὲν γὰρ τῷ αἰεὶ παραπλησίως αἱ ῥαθυμίαι ἔνεισιν.[114] ἐν δὲ τῷ μεταβαλλομένῳ, αἱ ταλαιπωρίαι τῷ σώματι καὶ τῇ ψυχῇ. καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥαθυμίης, ἡ δειλίη αὔξεται· ἀπὸ δὲ τῆς ταλαιπωρίης καὶ τῶν πόνων, αἱ ἀνδρεῖαι. διὰ τοῦτο εἰσὶ μαχιμώτεροι οἱ τὴν Εὐρώπην οἰκοῦντες, καὶ διὰ τοὺς νόμους, ὅτι οὐ βασιλεύονται, ὥσπερ οἱ Ἀσιηνοί. ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους εἶναι. εἴρηται δέ μοι καὶ πρότερον. αἱ γὰρ ψυχαὶ δεδούλωνται, καὶ οὐ βούλονται παρακινδυνεύειν ἑκόντες εἰκῆ ὑπὲρ ἀλλοτρίης δυνάμιος. ὅσοι δὲ αὐτόνομοι (ὑπὲρ αὐτῶν γὰρ τοὺς κινδύνους αἱρεῦνται, καὶ οὐκ ἄλλων) προθυμεῦνται ἑκόντες, καὶ ἐς τὸ δεινὸν ἔρχονται. τὰ γὰρ ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται. οὕτως οἱ νόμοι οὐχ ἥκιστα τὴν εὐψυχίην ἐργάζονται. τὸ μὲν οὖν ὅλον καὶ τὸ ἅπαν, οὕτως ἔχει, περί τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίης. ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φῦλα διάφορα ἕτερα ἑτέροις, καὶ τὰ μεγέθεα, καὶ τὰς μορφάς, καὶ τὰς ἀνδρείας. τὰ δὲ διαλλάσσοντα ταῦτά ἐστιν, ἃ καὶ ἐπὶ τῶν προτέρων εἴρηται. ἔτι δὲ σαφέστερον φράσω.[115] ὁκόσοι μὲν χώρην ὀρεινήν τε οἰκοῦσι τρηχείην καὶ ὑψηλὴν καὶ ἔνυδρον, καὶ αἱ μεταβολαὶ αὐτέοισι γίνονται τῶν ὡρέων μέγα διάφοροι, ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι, καὶ πρὸς τὸ ταλαίπωρον, καὶ τὸ ἀνδρεῖον εὖ πεφυκότα. καὶ τό, τε ἄγριον καὶ τὸ θηριῶδες αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν. ὁκόσοι δὲ κοῖλα χωρία, καὶ λειμακώδεα, καὶ πνιγηρά, καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσι ἢ τῶν ψυχρῶν, ὕδασί τε χρέονται θερμοῖς, οὗτοι δὲ μεγάλοι μὲν οὐκ ἂν εἴησαν,[116] οὐδὲ κανονίαι. ἐς εὖρος δὲ πεφυκότες καὶ σαρκώδεες, καὶ μελανότριχες, καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι· φλεγματίαι δὲ ἧσσον ἢ χολώδεες. τό, τε ἀνδρεῖον καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ, φύσει μὲν[117] οὐκ ἂν ὁμοίως ἐνείη. νόμος δὲ προσγενόμενος, ἀπεργάσαιτ᾽ ἄν. καὶ εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵτινες ἐκ τῆς χώρης ἐξοχετεύουσι τό, τε στάσιμον καὶ τὸ ὄμβριον, οὗτοι ἂν ὑγιηροί τε εἴησαν καὶ λαμπροί. εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα κρηναῖά τε καὶ στάσιμα πίνοιεν καὶ ἑλώδεα, ἀνάγκη τὰ τοιαῦτα[118] τῆς γαστρὸς ἀτηρέα εἶναι καὶ σπληνώδεα. ὁκόσοι δὲ ὑψηλήν τε οἰκέουσι χώρην,[119] καὶ λείην, καὶ ἀνεμώδεα, καὶ ἔνυδρον, εἶεν ἂν εἴδεα μεγάλα, καὶ ἑωυτοῖς παραπλήσια, καὶ ἀνορθότερα καὶ ἠπιώτεραι αἱ γνῶμαι.[120] ὁκόσοι λεπτά τε καὶ ἄνυδρα καὶ ψιλά,[121] ταῖς δὲ μεταβολαῖς τῶν ὡρέων οὐ κέκρηνται, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκός τε σκληρά τε εἶναι καὶ εὔτονα, καὶ ξανθότερα, ἢ μελάντερα.

neq; ex eodem eandem esse, vel æstate, vel hyeme, vel pluuioso, vel sicco tẽpore. Eaq; de causa, vt existimo, Europœi magis quàm Asiatici forma inter se variãt, & per singulas vrbes magnitudines maximè inter se sunt differẽtes. Plures enim corruptiones circa seminis cõcretionem contingunt, vbi crebræ fiunt anni temporum mutationes, quàm si eædẽ sint & similes. Eadem autem est de moribus ratio. Agrestes, hominum societate minimè gaudentes, & animosæ huiusmodi naturæ existunt. frequẽtes enim mentis emotiores, morum ferociam inducunt, lenitatem autem & comitatem retundunt. Quocirca eos qui Europam incolunt, plus animi quàm Asiaticos habere censeo. Rerum siquidem vno se habentium modo æquabilitas, socordiam ingenerat, varietas verò, corpus & animum ad laborem excitat. Quinetiam socordia & quiete ignauia crescit, exercitatione verò & laboribus, animi fortitudo. Hanc ob causam bellicosiores sunt qui Europam incolunt, iam etiam propter leges, quoniam Regum imperio non parent Asiatici. Qui enim Regibus subiiciuntur, eos timidissimos esse necesse est, & velut antea à nobis dictum est, seruitute pressi animi, neque lubenter, neque volentes, temere sese pro alieno imperio periculis obiiciunt. Hi verò cum suis legibus viuant, sibi non aliis pericula subeunt, & magna animi alacritate volentes ad grauia queq; feruntur, cùm pro re gesta victoriæ præmia sint accepturi. Ita vt constet leges ad animi magnitudinem plurimùm facere. De Europa igitur & Asia in genere ac toto, sic se res habet. Sunt autem in Europa gentes, tum magnitudine, tum forma, tum magnanimitate inter se differentes. Varietatis causæ eædem quæ supra dictæ sunt, quasq; iam manifestiùs aperiam. Qui regionem quidẽ montanam, asperam, altam, & aquis carentem incolunt, & anni temporum mutationes habent admodum differẽtes, illic hominum formas magnas esse par est, tum ad laborem, tum ad robur à natura optimè esse comparatas, at agrestibus & ferinis moribus eiusmodi naturæ non parum sunt præditæ. At qui loca concaua, herbosa & æstuosa habitãt, quiq; ventis calidis magis quàm frigidis perflantur, & aquis vtuntur calidis, hi magni quidem esse non possunt, neq; recti & ventre substricto, in amplam verò corporis molem à natura producuntur, corpore sunt carnoso, & capillis nigris, colore potius nigro quàm candido, & minùs pituitosi quàm biliosi. At animi robore & laborum tolerantia, non æquè à natura valent, sed accedẽs vitę institutum id efficit. Quòd si flumina ea regio habeat, quæ stagnantes & pluuias aquas educant, ij incolumes degũt, & colore cutis sunt splendido. Sin verò nulla sint flumina, aquasque fontanas statarias & malè olentes bibant, has ventri & lieni noxias esse necesse est. Qui verò regionem altam, planam, ventis perflatam & aquosam incolunt, ij corporis habitu sunt prægrandi, inter se similes, & erecti, & animo trãquilliore. At qui gracilia & arida loca, aquis carentia & nuda tenent, neque temperatas habent anni temporum mutationes, hac in regione homines duro & robusto corporis habitu esse par est, & colore flauo potiùs quàm nigro,

moribus & animi appetitionibus sibi nimis placentes & superbos, & in concepta opinione permanentes. Vbi enim anni temporum mutationes, tum crebrę, tum plurimùm inter se differunt, ibi & formas, & mores, & naturas plurimùm diuersas comperias. Atque hæ quidem maximæ causæ sunt, cur naturæ permutetur, deinde etiam regio in qua quis nutritur, & aquæ. Magna enim ex parte hominum formas & mores regionis naturam imitari reperias. Vbi enim terra pinguis est, & mollis, & aquosa, aquæ verò valdè sublimes, ita vt æstate sint calidæ, & hyeme frigidæ, quæq; ad anni tempora probè habet, ibi homines carnosi sunt, articulis non discreti, humidi, labores non ferentes, ac vt plurimùm praui animi. Quinetiam segnes sunt & somnolenti, & ad artes crassi, neq; subtiles, neque acuti. Ast vbi regio nuda est, non munita, aspera, queq; hyeme prematur, & sole exuratur, ibi duros, graciles, articulis discretos, carnosos & hirsutos homines cernas, & qui ad aliquid agendum natura sunt industrij & vigilantes. Mores autem habent superbos, in iram procliues & pertinaces, magisq; feritatis quàm lenitatis participes, eosq; ad artes acutiores & solertiores, & ad res bellicas gerendas meliores deprehendas. Quin & reliqua omnia quæ è terra producuntur, terræ ipsius naturam sequuntur. Atque maximè quidem contrariæ naturæ & formæ sic se habent, ex quibus coniectura ducta, si reliqua consideres, minimè aberrabis.

καὶ τὰ ἤθεα[122] καὶ τὰς ὀργὰς αὐθάδεις τε καὶ ἰδιογνώμονας. ὅκου γὰρ μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων, καὶ πλεῖστον διαφέρουσι αὐταὶ ἑωυτέῃσιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις πλεῖστον διαφερούσας. μέγισται μὲν οὖν εἰσιν αὗται τῆς φύσιος διαλλαγαί. ἔπειτα δὲ[123] καὶ ἡ χώρη ἐν ᾗ ἄν τις τρέφεται καὶ τὰ ὕδατα.[124] εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσει ἀκολουθοῦντα καὶ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. ὅκου μὲν γὰρ[125] ἡ γῆ πιειρὰ καὶ μαλθακὴ καὶ ἔνυδρος[126] καὶ τὰ ὕδατα κάρτα μετέωρα, ὥστε θερμὰ εἶναι τοῦ θέρεος, καὶ χειμῶνος ψυχρὰ, καὶ τῶν ὡρέων καλῶς κέεται, ἐνταῦθα καὶ οἱ ἄνθρωποι σαρκώδεές εἰσι καὶ ἄναρθροι καὶ ὑγροὶ καὶ ἀταλαίπωροι· καὶ τὴν ψυχὴν κακοὶ[127] ὡς ἐπὶ τὸ πολύ. τό, τε ῥᾴθυμον καὶ τὸ ὑπνηρὸν ἔστιν ἐν αὐτέοισιν. ἔς τε τὰς τέχνας παχέες, οὐ λεπτοὶ, οὐδ' ὀξέες. ὅκου δ' ἐστὶν ἡ χώρη ψιλή τε[128] καὶ ἀνώχυρος καὶ τρηχείη, καὶ ὑπὸ τοῦ χειμῶνος πιεζομένη, καὶ ὑπὸ τοῦ ἡλίου κεκαυμένη, ἐνταῦθα δὲ σκληρούς τε[129] καὶ ἰσχνοὺς καὶ διηρθρωμένους, καὶ ἐντόνους καὶ δασεῖς.[130] τό, τε ἐργατικὸν ὀξὺ ἔνεον ἐν τῇ φύσει τῇ τοιαύτῃ, καὶ τὸ ἄγρυπνον. τά τε ἤθεα καὶ τὰς ὀργὰς, αὐθάδεας καὶ ἰδιογνώμονας. τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας, ἢ τοῦ ἡμέρου· ἔς τε τὰς τέχνας, ὀξυτέρους τε καὶ συνετωτέρους,[131] καὶ τὰ πολέμια ἀμείνους εὑρήσεις, καὶ τἄλλα τὰ ἐν τῇ γῇ φυόμενα πάντα, ἀκόλουθα ὄντα τῇ γῇ. αἱ μὲν ἐναντιώταται φύσιές τε καὶ ἰδέαι, ἔχουσιν οὕτως. ἀπὸ δὲ τουτέων τεκμαιρόμενος, τὰ λοιπὰ ἐνθυμέεσθαι, καὶ οὐχ ἁμαρτήσῃ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΩΝ.

HIPPOCRATIS DE FLATIBVS, LIBER.

ARTES quædam sua quidem cognitione quibusdam multum laboris exhibent, vsu verò nonnullis vtiles existunt, & vulgo quidem commune bonum conferunt, his autem qui eas tractant plenę sunt molestiæ. Ex quarum artium numero est quam Græci Medicinam appellant. Medicus enim non nisi quæ periculo sunt proxima intuetur, & quæ sunt ingrata contrectat, ac ex aliorum calamitatibus sibi dolorem conciliat. Ægrotantes verò artis opera maximis malis, morbis, laboribus, dolore & morte vindicantur. His enim omnibus Medicina manifestam medelam adhibere deprehenditur. Huius autem artis vilia nosse difficilè, seria verò facilè. Ac vilia quidem ipsis Medicis, vulgò autem minimè sunt cognita, cùm mentis quidem non corporis opera existant. Quæcunq; quidem manuum tractationem postulant, ea in vsum traducere oportet. Est enim manuum vsus, optimus docendi magister. At obscurissimos & maximè difficiles morbos, opinio magis quàm ars iudicat, etsi in his plurimùm imperitiæ peritia præstat. In quibus sanè hoc præcipuum est, quænam sit morborum causa, & ex quo principio ac veluti fonte corporis vitia oriantur. Qui enim morbi causam cognouerit, is vtique ex

ΕἸσί[1] τινες τῶν τεχνέων, αἳ τοῖσι μὲν κεκτημένοισιν, εἰσὶν ἐπίπονοι· τοῖσι δὲ χρεωμένοισιν, ὀνήϊστοι. καὶ τοῖσι μὲν ἰδιώτῃσι, ξυνὸν ἀγαθὸν· τοῖσι δὲ μεταχειριζομένοισιν σφᾶς, λυπηραί. τῶν δὲ δὴ τοιούτων ἐστὶ τεχνέων, καὶ ἣν οἱ Ἕλληνες καλέουσιν ἰητρικήν.[2] ὁ μὲν γὰρ ἰητρὸς, ὁρέει τὰ δεινὰ, θιγγάνει τε ἀηδέων, καὶ ἐπ' ἀλλοτρίῃσιν ξυμφορῇσιν, ἰδίας καρποῦται λύπας. οἱ δὲ νοσέοντες, ἀπαλλάσσονται τῶν μεγίστων κακῶν διὰ τὴν τέχνην νούσων, πόνων, λύπης, θανάτου. πᾶσι γὰρ τουτέοισιν, ἄντικρυς ἰητρικὴ εὑρίσκεται ἀκεστορίς. ταύτης δὲ τῆς τέχνης τὰ μὲν φλαῦρα, χαλεπὸν γνῶναι· τὰ δὲ σπουδαῖα, ῥηΐδιον.[3] καὶ τὰ μὲν φλαῦρα, τοῖσι ἰητροῖσι, καὶ οὐ πᾶσιν ἰδιώτῃσιν. οὐ γὰρ σώματος, ἀλλὰ γνώμης ἔργα εἰσίν.[4] ὅσα μὲν χειρουργῆσαι δεῖ, χρὴ συνεθισθῆναι. τὸ γὰρ ἔθος τῇσι χερσὶ κάλλιστον διδασκάλιον. περὶ δὲ τῶν ἀφανεστάτων καὶ χαλεπωτάτων νουσημάτων, δόξῃ μᾶλλον ἡ τέχνη κρίνεται· διαφέρει δὲ ἐν αὐτέοισι πλεῖστον, ἡ πείρη τῆς ἀπειρίης. ἓν δή τι τῶν τοιούτων ἐστὶ, τόδε. τί ποτε τὸ αἴτιόν ἐστι τῶν νούσων, καὶ τίς ἀρχὴ καὶ πηγὴ γίγνεται τῶν ἐν τῷ σώματι κακῶν.[5] εἰ γάρ τις εἰδείη τὴν αἰτίην τοῦ νοσήματος, οἷός τ' ἂν εἴη προσφέρειν τὰ ξυμφέροντα

τῶν ἐν

τῶν ἐν τῷ σώματι, ἐκ τῶν ἐναντίων ἐπιστάμενος τὰ ἰήματα. αὕτη γὰρ ἡ ἰητρική, μάλιστα κατὰ φύσιν ἐστίν. αὐτίκα γὰρ λιμός, νοῦσός ἐστιν. ὅ, τι γὰρ ἂν λυπέῃ τὸν ἄνθρωπον, τοῦτο καλέεται νοῦσος. τί οὖν λιμοῦ φάρμακον; ὅ, τι παύει λιμόν. τοῦτο δ' ἐστὶ βρῶσις. τούτῳ ἄρα ἐκεῖνο ἰητέον. αὖθις αὖ δίψαν ἔπαυσε πόσις. πάλιν αὖ, πλησμονὴν ἰῆται κένωσις· κένωσιν δὲ πλησμονή. πόνον δὲ, ἀπονίη. ἀπονίην δὲ, πόνος. ἑνὶ δὲ συντόμῳ λόγῳ, τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰήματα. ἰητρικὴ γάρ ἐστι, πρόσθεσις καὶ ἀφαίρεσις· ἀφαίρεσις μὲν τῶν ὑπερβαλλόντων, πρόσθεσις δὲ τῶν ἐλλειπόντων. ὁ δὲ κάλλιστα τοῦτο ποιέων, ἄριστος ἰητρός, ὁ δὲ τούτου πλεῖστον ἀπηλλαγμένος, πλεῖστον ἀπήλλακται καὶ τῆς τέχνης. ταῦτα μὲν οὖν ἐν παρέργῳ τοῦ λόγου τοῦ μέλλοντος εἴρηται. τῶν δὲ δὴ νούσων ἁπασέων, ὁ μὲν τρόπος ὁ αὐτός· ὁ δὲ τόπος διαφέρει. δοκεῖ μὲν οὖν τὰ νουσήματα οὐδὲν ἀλλήλοισιν ἐοικέναι, διὰ τὴν ἀλλοιότητα καὶ ἀνομοιότητα τῶν τόπων. ἔστι δὲ μία τῶν νούσων ἁπασῶν καὶ ἰδέη, καὶ αἰτίη ἡ αὐτή. τίς δέ ἐστιν αὕτη, διὰ τοῦ μέλλοντος λόγου φράσαι πειρήσομαι. τὰ γὰρ σώματα τῶν τε ἀνθρώπων καὶ τῶν ἄλλων ζώων, ὑπὸ τρισσέων τροφῶν τρέφονται. ἔστι δὲ τῇσι τροφῇσι ταύτῃσι ταῦτα τὰ ὀνόματα, σῖτα, ποτά, πνεύματα. πνεύματα δὲ τὰ μὲν ἐν τοῖσι σώμασι, φῦσαι καλέονται, τὰ δὲ ἔξω τῶν σωμάτων, ἀήρ. οὗτος δὲ μέγιστος ἐστὶν ἐν ἅπασι τῶν συμπάντων δυνάστης. ἄξιον δὲ αὐτοῦ θεάσασθαι τὴν δύναμιν. ἄνεμος γάρ ἐστιν ἠέρος ῥεῦμα, καὶ χεῦμα. ὅταν οὖν πολὺς ἀὴρ, ἰσχυρὸν τὸ ῥεῦμα ποιήσῃ, τά τε δένδρεα ἀνασπαστὰ πρόρριζα γίνεται διὰ τὴν βίην τοῦ πνεύματος. τό, τε πέλαγος κυμαίνεται. ὁλκάδες τε ἄπειροι τῷ μεγέθει, ἐς ὕψος διαρριπτέονται. τοιαύτην μὲν οὖν ἐν τούτοισιν ἔχει δύναμιν. ἀλλὰ μήν ἐστί γε τῇ μὲν ὄψει, ἀφανής· τῷ δὲ λογισμῷ, φανερός. τί γὰρ ἄνευ τούτου γένοιτο ἄν; ἢ τίνος οὗτος ἀπέστιν; ἢ τίνι οὐ ξυμπάρεστιν; ἅπαν γὰρ τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ, πνεύματος ἔμπλεόν ἐστι. τοῦτο καὶ χειμῶνος καὶ θέρεος αἴτιον. ἐν μὲν τῷ χειμῶνι, πυκνὸν καὶ ψυχρὸν γινόμενον. ἐν δὲ τῷ θέρει, πρᾳῢ καὶ γαληνόν. ἀλλὰ μὴν ἡλίου καὶ σελήνης καὶ ἄστρων ὁδός, διὰ τοῦ πνεύματός ἐστι. τῷ γὰρ πυρὶ, τὸ πνεῦμα τροφή. τοῦ δὲ πνεύματος τὸ πῦρ στερηθέν, οὐκ ἂν δύναιτο ζῆν. ὥστε καὶ τὸν τοῦ ἡλίου δρόμον ἀέναον ἐόντα ὁ ἀὴρ ἀέναος καὶ λεπτὸς ἐών,[10] τὸ εἶναι παρέχεται. ἀλλὰ μὴν καὶ περὶ τοῦ πελάγεος ὅτι μέθεξιν ἔχει τοῦ πνεύματος, πάντῃ που δῆλον. οὐ γὰρ ἄν ποτε τὰ πλωτὰ ζῶα ζῆν ἠδύνατο, μὴ μετέχοντα πνεύματος· μετέχοιεν δὲ πῶς ἂν ἄλλως, ἀλλ' ἢ διὰ τοῦ ὕδατος, κἀκ τοῦ ὕδατος ἕλκοντα τὸν ἀέρα;[11] καὶ τῇ μήνῃ, ἐπὶ τούτου τὸ βάθρον, οὗτός γε τῆς γῆς ὄχημα, κενεόν τε οὐδέν ἐστιν τούτου. διότι μὲν τοῖσιν ἄλλοισιν ὁ ἀὴρ ἔρρωται, εἴρηται. τοῖσι δ' αὖ θνητοῖσιν οὗτος αἴτιος τοῦ τε βίου, καὶ τῶν νοσέων τοῖσι νοσέουσι. τοσαύτη δὲ τυγχάνει πᾶσι χρείη τοῖσι σώμασι τοῦ πνεύματος ἐοῦσα, ὥστε τῶν μὲν ἄλλων ἁπάντων ἀποσχόμενος ὁ ἄνθρωπος, καὶ σιτίων, καὶ ποτῶν, δύναιτ' ἂν ἡμέρας δύο καὶ τρεῖς καὶ πλείονας διάγειν· ἢν δέ τις ἀπολάβοι τὰς τοῦ πνεύματος εἰς τὸ σῶμα διεξόδους, ἐν βραχεῖ μέρει ἡμέρης, ἀπόλλοιτο ἄν·[12] ὡς μεγίστης χρείης ἐούσης τῷ σώματι τοῦ πνεύματος. ἔτι

his quæ in corpore insunt, adepta per contraria morborum cognitione, facilè poterit quæ cōferunt offerre. Ipsa enim ars Medica maximè à natura inest. Ne longè abeam, fames morbus est. Quicquid enim homini molestiā adfert, morbus appellatur. Quodnam igitur famis est remedium? hoc certè quod famem sedat. Id autē cibus facit, illius ergo hic medela est. Rursus quoq; sitim potio sedat. Plenitudinem itidem euacuatio sanat, euacuationem verò plenitudo, laborem otium, & otium labor. Atq; vt vno verbo dicam, contrariorum cōtraria sunt remedia. Medicina enim additio est & substractio. Et eorum quidem quæ exuperant substractio, eorum verò quæ deficiunt additio. Qui verò istud optimè facit, is optimus Medicus existimandus est, quiq; plurimùm abest ab eo præstādo, is plurimùm in arte Medica deficere censetur. Atque hæc quidē obiter præter instituti sermonis rationem dicta sunt. Morborum autē omnium cùm idem modus sit, locus tamen diuersus est. Morbi igitur ob locorum varietatem & dissimilitudinem, nihil inter se habere simile videntur. Est tamen vna & eadem omnium morborum forma & causa, quam procedente oratione quænā sit declarare conabor. Hominum enim & reliquorum animantium corpora triplici alimento nutriuntur, cuius hæc sunt nomina, cibus, potus, spiritus. Ac spiritus quidem qui in corporibus insunt, flatus nominantur, qui verò extra corpora, aër. Qui cùm in omnia quæ corpori accidunt plurimùm habeat facultatis, illius vim inspicere operæ pretium videtur. Ventus enim est aëris fluxio & effusio. Cùm igitur copiosus aër vehementem fluxionem fecerit, tum & arbores vi spiritus è terra radicitus euelluntur, mare æstu fluctuat, & immensæ naues onerariæ in altum iactantur. Hanc igitur vim in ista obtinet. Qui etsi oculis minimè cernitur, ratione tamen conspicuus est. Quid enim sine hoc fit tandem? aut a quonam hic abest, aut cui non præsens est? Quod enim cœlum & terram interiacet, id omne spiritu p enū est, idq; hyemis & æstatis causa existit, per hyemem quidem condensatum & frigidum, per æstatem verò leue & tranquillum. Quinetiam solis, lunæ & astrorum viam spiritus dirigit. Igni enim spiritus nutrimentum præbet, eoq; priuatus ignis viuere non potest. Atq; adeò perennem solis cursum, aër perennis & tenuis esse facit. Quin & in mari quādam esse spiritus communionem cuiuis est manifestum. Neq; enim natantia animātia sine spiritu viuere possent. Quónam autem alio pacto cum illo commercium habeant, si non per aquam & ex aqua spiritum attraherent? Et lunæ in eo sedes est ac fundamentum, hicq; terræ vehiculum, neq; quicquam spiritu est vacuum. Atq; hæc quidem causa, cur in cæteris aer tantum possit, dicta est. Mortalibus autem hic tum vitæ, tum morborum ægrotis causa est. Tantaque corporibus omnibus spiritus inest necessitas, vt si quidem aliis omnibus & cibis, & potionibus quis abstineat, duos tamen & tres, vel plures dies possit vitam ducere. At si quis spiritus in corpus vias intercipiat, vel exigua diei parte, homini pereūdum sit. Adeò necessarius est vsus spiritus in corpore. Ad hæc

quoq; cùm ab omnibus aliis actionibus homines quiescant, quòd mutationibus innumeris vita sit exposita, ab hac tamen sola actione nunquam desistunt animantia, quin aut spiritū adducant, aut reddant. Quòd igitur omnibus animantibus cum aere maxima intercedit communio dictum est. Huic quoque orationi subiiciendum, morbos vnquam vix aliunde quàm ab aere oriri posse, cùm is aut copiosior, aut parcior, aut etiam plenior, aut & morbidis inquinamẽtis infectus in corpus subierit. De tota re igitur hæc mihi sufficere videtur. Deinceps autem ad opera ipsa oratione progressus, morbos omnes istius sobolem esse, & ab hoc oriundos demonstrabo. Ac primùm à febre maximè communi morbo exordium ducam, quæ omnium aliorum morborum, præcipuè verò inflammationis comes est. Quod indicant ex pedum offensionibus exortæ noxiæ. Mox enim cum inflammatione inguinum tumor & febris consequitur. febrium autẽ duo sunt genera (vt id quoq; hîc attingam) vnum quidem omnibus commune, pestis appellatur, alterum verò ob priuatam cuiusque malam victus rationem contingens. Horum autem vtriusque aer author existit. Communis igitur febris ideò communiter omnes inuadit, quòd eundem omnes spiritum attrahunt, & simili corpori spiritu similiter permixto, similes oriuntur febres. At fortè obiiciat quispiam, cur igitur non omnibus animantibus, sed alicui ipsorum generi eiusmodi morbi contingunt? Cuius rei causam esse dixerim, quòd corpus à corpore, natura à natura, & alimentum ab alimento differt. Neque enim cuiuis animantium generi eadem sunt commoda aut incõmoda, sed alia aliis conueniunt. Cùm igitur aer inquinamentis huiusmodi, quæ hominum naturæ aduersantur, plenus fuerit, tum homines ægrotãt. Quando verò alteri cuidam animãtium generi aer incommodus fuerit, tunc eo morbo corripitur. Quinam igitur populares sint morbi, & quamnam ob causam, & quanam ratione, ex quibus, & vnde oriantur, dictum est. febrem autem quæ ex praua victus ratione oritur, tibi deinceps exponam. Est autem eiusmodi praua victus ratio, primùm quidem cùm quis copiosiores cibos, aut liquidos, aut siccos corpori exhibeat, quàm ipsum ferre possit, neq; labore aliquo ciborum copiam compensat: Deinde cùm varios & dissimiles inter se cibos immittat. Dissimilia enim seditionem excitant, & alia citiùs, alia tardiùs concoquuntur. At cum multis cibis multum etiam spiritum ingeri necesse est. Nam cum omnibus his quæ eduntur aut bibuntur, spiritus aut copiosior, aut paucior subit. Atq; id inde manifestum est, quòd eructationes plærisque post assumptos cibos & potus accidunt, nimirum cùm inclusus aer recurrat, vbi bullas in quibus latet perfregerit. Quando igitur corpus cibis expletum fuerit, tum spiritus quoque magna copia accedit, diutiùs immorantibus cibis, qui quidem cùm præ multitudine exire nequeãt, diutiùs immorantur. Obstructo autem inferiore ventre, in vniuersum corpus flatus percurrunt, & ad sanguine refertas corporis partes illapsi, eas refrigerãt. At refrigeratis his locis, in quibus fontes & radices sanguinis continentur, per vniuersum corpus horror pe-

ζώειν τὰ μὲν ἄλλα πάντα διαλείπουσιν οἱ ἄνθρωποι πρήσσοντες. [13] ὁ γὰρ βίος μεταβολέων πλέως ἐστί. τοῦτο δὲ μοῦνον ἀεὶ διατελέουσιν ἅπαντα τὰ θνητὰ ζῶα πρήσσοντα, ποτὲ μὲν ἐμπνέοντα, ποτὲ δὲ, ἐκπνέοντα. ὅτι μὲν οὖν μεγάλη κοινωνίη ἅπασι τοῖσι ζώοισι τοῦ ἠέρος ἐστὶν, εἴρηται. μετὰ τοῦτο εἶναι, αὐθέως ῥητέον, ὅτι οὐκ ἄλλοθέν ποθεν εἰκός ἐστι γίνεσθαι τὰς ἀρρωστίας μάλιστα, ἢ ἐντεῦθεν· ὅταν τοῦτο ἢ πλέον, ἢ ἔλασσον, ἢ καὶ ἀθροώτερον, [14] καὶ μεμιασμένοι νοσηροῖσι μιάσμασιν, ἐς τὸ σῶμα ἐσέλθῃ. [15] περὶ μὲν οὖν ὅλου τοῦ πρήγματος, ἀρκεῖ μοι ταῦτα. μετὰ δὲ ταῦτα, πρὸς αὐτὰ τὰ ἔργα τῷ λόγῳ πορευθεὶς, ἐπιδείξω τὰ νοσήματα τούτου ἀπόγονά τε καὶ ἔκγονα πάντα ἐόντα. πρῶτον δὲ ἀπὸ τοῦ κοινοτάτου νοσήματος ἄρξομαι πυρετοῦ. τοῦτο γὰρ τὸ νόσημα πᾶσι ἐφεδρεύει τοῖσιν ἄλλοισιν νουσήμασι, μάλιστα δὲ φλεγμονῇ. [16] δηλοῖ δὲ τὰ γινόμενα προσκόμματα. ἅμα γὰρ τῇ φλεγμονῇ εὐθὺς βουβῶν, καὶ πυρετὸς ἕπεται. ἔστι δὲ διττὰ ἔθνεα πυρετῶν, ὡς ταύτῃ διελθεῖν. ὁ μὲν κοινὸς ἅπασι, καλεόμενος λοιμός· ὁ δὲ διὰ πονηρίην δίαιταν ἰδίην, τοῖσι πονηρῶς διαιτεομένοισι γινόμενος. ἀμφοτέρων δὲ τουτέων, αἴτιος ὁ ἀήρ. [17] ὁ μὲν οὖν κοινὸς πυρετὸς, διὰ τοῦτο τοιοῦτός ἐστιν, ὅτι τὸ πνεῦμα τωὐτὸ πάντες ἕλκουσιν. [18] ὁμοίου δὲ ὁμοίως τοῦ πνεύματος τῷ σώματι μιχθέντος, ὅμοιοι καὶ οἱ πυρετοὶ γίνονται. ἀλλ' ἴσως φήσει τις. διὰ τί οὖν οὐχ ἅπασι τοῖσι ζώοισι, [19] ἀλλ' ἔθνεϊ τινὶ αὐτέων ἐμπίπτουσιν αἱ τοιαῦται νοῦσοι; διότι, φαίην ἂν, διαφέρει σῶμα σώματος, καὶ φύσις φύσιος, καὶ τροφὴ τροφῆς. οὐ γὰρ πᾶσι τοῖσιν ἔθνεσι τῶν ζώων ταῦτα οὔτ' ἀνάρμοστά, οὔτ' εὐάρμοστά ἐστιν, ἀλλ' ἕτερα ἑτέροισι ξύμφορα. ὁκόταν μὲν οὖν ὁ ἀὴρ τοιουτέοισι πληθῇ μιάσμασι, ἃ τῇ ἀνθρωπίνῃ φύσει πολέμιά ἐστιν, ἄνθρωποι τότε νοσέουσιν. ὅταν δὲ ἑτέρῳ τινὶ ἔθνει ζώων ὁ ἀὴρ ἀνάρμοστος ᾖ, [20] τὸ νούσημα κεῖνα νοσέουσιν. αἱ μὲν οὖν δημόσιαι οὖσαι τῶν νόσων, εἴρηνται. καὶ ὅ, τι, καὶ ὅκως, καὶ οἷσι, καὶ ἀφ' ὧν γίνονται. τὸν δὲ διὰ πονηρὴν δίαιταν γινόμενον πυρετὸν, διέξειμί σοι. πονηρὴ δέ ἐστιν ἡ τοιήδε δίαιτα· τοῦτο μὲν οὖν ὅταν τις πλείονας τροφὰς ἢ ὑγρὰς, ἢ ξηρὰς δίδωσι τῷ σώματι ἢ τὸ σῶμα δύναται φέρειν, [21] καὶ πόνον μηδένα τῷ πλήθει τῶν τροφῶν ἀντιτιθῇσι· τοῦτο δὲ ὅταν ποικίλας καὶ ἀνομοίους ἀλλήλῃσιν ἐσπέμπῃ τροφάς. τὰ γὰρ ἀνόμοια στασιάζει. καὶ τὰ μὲν θᾶσσον, τὰ δὲ σχολαίτερον πέσσεται. μετὰ δὲ πολλῶν σιτίων ἀνάγκη, καὶ πολλὸν πνεῦμα εἰσιέναι. μετὰ πάντων γὰρ τῶν ἐσθιομένων καὶ πινομένων, εἴσεισι πνεῦμα ἐς τὸ σῶμα, ἢ πλέον, ἢ ἔλασσον. φανερὸν δὲ τοῦτο, τῷδε ἐστίν. ἐρυγμοὶ γὰρ γίνονται μετὰ τὰ σιτία καὶ τὰ ποτὰ τοῖσι πλείστοισιν. ἀναβρέχει γὰρ ὁ κατακλεισθεὶς ἀὴρ, ὁκόταν ἀναρρήξῃ τὰς πομφόλυγας, ἐν ᾗσι κρύπτεται. ἐπὴν οὖν τὸ σῶμα σιτίων πληθῇ, καὶ πνεύματος πλησμονὴ ἐπὶ πλεῖον γίνεται, τῶν σιτίων χρονιζομένων. χρονίζεται δὲ τὰ σιτία, διὰ πλῆθος [22] οὐ δυνάμενα διελθεῖν. ἐμφραχθείσης δὲ τῆς κάτω κοιλίης, εἰς ὅλον τὸ σῶμα διέδραμον αἱ φῦσαι. [23] προσπεσοῦσαι δὲ πρὸς τὰ ἐναιμότατα τοῦ σώματος, ἔψυξαν. [24] τουτέων δὲ τῶν τόπων ψυχθέντων, ὅκου αἱ πηγαὶ καὶ αἱ ῥίζαι τοῦ αἵματός εἰσι, διὰ παντὸς τοῦ σώματος ἡ φρίκη διῆλθε.

ἁπάντων

ἅπαντος δὲ τοῦ αἵματος ψυχθέντος, ἅπαν τὸ σῶμα φρίσσει.
διὰ τοῦτο μὲν οὖν πρῶτον, αἱ φρῖκαι γίνονται περὶ τῶν πυ-
ρετῶν. ὅκως δ᾽ ἂν ὁρμήσωσιν αἱ φῦσαι πλήθει καὶ ψυχρότη-
τι, τοιοῦτον γίνεται καὶ ῥῖγος. ἀπὸ μὲν πλεόνων καὶ ψυχροτέρων,
ἰσχυρότερον· ἀπὸ δὲ ἐλασσόνων, καὶ ἧσσόν τι ψυχρῶν,[25] ἧσσον
ἰσχυρόν. ἐν δὲ τῇσι φρίκῃσι καὶ οἱ τρόμοι τοῦ σώματος, κατὰ τόν-
δε γίνονται τὸν τρόπον. τὸ αἷμα φοβεόμενον τὴν παρεοῦσαν
φρίκην, συνθέει καὶ διέξεισι κατὰ παντὸς τοῦ σώματος ἐς τὰ
θερμότατα. αὗται μὲν οὖν αἱ ἅλαι. καθαλλομένου δὲ τοῦ αἵ-
ματος ἐκ τῶν ἀκρωτηρίων τοῦ σώματος, τὰ σπλάγχνα τρο-
μέουσι, καὶ αἱ σάρκες. τὰ μὲν γὰρ τοῦ σώματος, γίνεται πολύαι-
μα· τὰ δὲ ἄναιμα. τὰ μὲν οὖν ἄναιμα,[26] διὰ τὴν ψύξιν
οὐκ ἀτρεμέουσιν, ἀλλὰ πάλλονται. τὸ γὰρ θερμὸν ἐξ αὐτέων
ἐκλέλοιπε. τὰ δὲ πολύαιμα, διὰ τὸ πλῆθος τοῦ αἵματος,
τρέμουσι καὶ φλεγμονὰς ἐμποιεῖ. οὐ γὰρ δύναται πολλὸν γι-
νόμενον ἀτρεμίζειν. χασμῶνται δὲ πρὸ τῶν πυρετῶν, ὅτε
πολὺς ὁ ἀὴρ ἀθροισθεὶς,[27] ἀθρόον τε ἄνωθεν διεξιὼν,
ἐξεμόχλευσε, καὶ διέστησε τὸ στόμα. ταύτῃ γὰρ εὐδιέξοδός
ἐστιν. ὡς γὰρ ἀπὸ τῶν λεβήτων ἀτμὸς ἀνέρχεται πολὺς ἑψο-
μένου τοῦ ὕδατος, οὕτω καὶ σώματος θερμαινομένου, διέξεισι διὰ
τοῦ σώματος[28] ὁ ἀὴρ ξυνεστραμμένος, καὶ βίῃ φερόμενος.[29] καὶ
τά τε ἄρθρα διαλύονται πρὸ τῶν πυρετῶν. χλιαινόμε-
να γὰρ τὰ νεῦρα διίστανται. ὁκόταν δὲ συναλισθῇ ἀθροισθὲν
τὸ πλεῖστον τοῦ αἵματος, διαθερμαίνεται πάλιν ὁ ἀὴρ, ὁ ψύ-
ξας τὸ αἷμα, κρατηθεὶς ὑπὸ τῆς θερμότητος.[30] διάπυρος
δὲ καὶ μύδρος γινόμενος ἐν ὅλῳ τῷ σώματι τὴν θερμασίην
ἐνεργάσατο. συνεργὸν δ᾽ αὐτῷ τὸ αἷμα ἐστί.[31] τήκεται γὰρ
πυρούμενον, καὶ γίνεται πνεῦμα ἐξ αὐτοῦ. τοῦ δὲ πνεύματος
προσπίπτοντος πρὸς τοὺς πόρους τοῦ σώματος, οἱ ἱδρῶτες
γίνονται. τὸ δὲ πνεῦμα συνιστάμενον, ἐς ὕδωρ ἔρχεται, καὶ διὰ
τῶν πόρων διεξελθὸν, ἔξω περαιοῦται, τὸν αὐτὸν τρόπον, ὅνπερ
ἀπὸ τῶν ἑψομένων ὑδάτων ὁ ἀτμὸς ἐπανιὼν, ἢν ἔχῃ στε-
ρέωμα πρὸς ὅ, τι χρὴ προσπίπτειν, παχύνεται, καὶ πυκνοῦ-
ται, καὶ σταγόνες ἀποπίπτουσιν ἀπὸ τῶν σωμάτων, οἷσιν ἂν ὁ ἀτμὸς
προσπίπτῃ. πόνοι δὲ τῆς κεφαλῆς ἅμα τῷ πυρετῷ γίνονται,
διὰ τόδε. στενοχωρίη τῇσι διεξόδοισιν ἐν τῇ κεφαλῇ τοῦ αἵ-
ματος γίνεται.[32] πεπλήρωνται γὰρ ἠέρος. πληρωθεῖσαι δὲ καὶ
φραχθεῖσαι, τὸν πόνον ἐμποιέουσιν ἐν τῇ κεφαλῇ.[33] βίῃ γὰρ τὸ
αἷμα βιαζόμενον διὰ στενῆς ὁδοῦ θερμὸν ἐὸν, οὐ δύναται
περαιοῦσθαι ταχέως. πολλὰ γὰρ ἐμπόδων ἐστὶν αὐτῷ κω-
λύματα καὶ ἐμφράγματα. διὸ δὴ καὶ οἱ σφυγμοὶ γίνον-
ται ἀμφὶ τοὺς κροτάφους. οἱ μὲν οὖν πυρετοὶ διὰ τοῦτο, ὡς
ἔφην, γίνονται, καὶ τὰ μετὰ τῶν πυρετῶν ἀλγήματα καὶ
νοσήματα. τῶν δὲ ἄλλων ἀρρωστημάτων ὁκόσοι μὲν ἂν εἰ-
λεοὶ εἶεν,[34] ἢ εἰλήματα, ἢ στρόφοι,[35] ἢ ἕτερα ἀποστηρίγμα-
τα, φύσας εἶναι αἰτίας ἅπασιν ἡγεῦμαι φανερὸν εἶναι. πάντων
γὰρ τῶν τοιουτέων αἰτίη τοῦ πνεύματος[36] ἡ διέξοδος. τοῦτο γὰρ
ὁκόταν προσπέσῃ πρὸς τόπους ἁπαλοὺς καὶ ἀήθεας καὶ
ἀθίκτους, ὥσπερ τόξευμα ἐσκείμενον διαδύνον, διὰ τῆς σαρκὸς προσπίπτει ποτὲ μὲν πρὸς τὰ ὑποχόνδρια, ποτὲ
δὲ πρὸς τὰς λαπάρας, ποτὲ δὲ ἐς ἀμφότερα. διὸ δὴ καὶ θερμαίνοντες ἔξωθεν πυριήμασι, πειρῶνται μαλθάσσειν τὸν
πόνον.[37] ἀραιουμένου γὰρ ὑπὸ τῆς θερμασίης τοῦ χρωτὸς τοῦ πυριήματος, διέρχεται τὸ πνεῦμα διὰ τοῦ σώματος,

netrat. Vniuerso autem sanguine perfrigerato, totum
quoq; corpus horror occupat. Hanc igitur ob causam
primùm horrores antè febres oriuntur, & quò maio-
re copia & frigiditate flatus irruperint, talis quoq; ri-
gor consequitur, à pluribus quidem & frigidioribus,
vehementior, à paucioribus verò minusque frigidis,
minus quoq; vehemens. Cùm horroribus autem cor-
poris quoque tremores ad hunc modum contingunt.
Sanguis enim præsentem horrorem metuens, per to-
tũ corpus perreptat, & ad maximè calidas partes con-
currit. Atq; hi sunt eius saltus. Desiliente autem ab ex-
tremis corporis partibus sanguine, & viscera, & car-
nes contremiscunt. Aliæ enim corporis partes copio-
so sanguine refertæ, aliæ exangues existunt. Atq; ex-
angues quidem ob frigus minimè conquiescunt, sed
concutiuntur, quòd eas calor destituerit. Quæ verò
sanguine replentur, ob sanguinis copiam contremi-
scunt, & inflammationes excitant. Neque enim fieri
potest vt sanguinis copia cõquiescat. Oscitationes au-
tem febres præcedunt, cùm magna copia coaceruа-
tus aër fuerit, cõfertimq; ad superiora erumpens, tan-
quã machinatione aliqua os diducit, quòd hâc ei fa-
cillimus exitus pateat. Quemadmodũ enim ab aqua
in lebetibus ebulliente, vapor copiosus euehitur, sic
corpore concalefacto, aër coaceruatus & vi quadam
delatus, per os erumpit. Articuli quoq; ante febres ex-
soluuntur. Calefacti enim nerui relaxantur. Coacto
autem cumulatim plurimo sanguine, aër ipse qui san-
guinem refrigerauit, à calore superatur, rursus incale-
scit, incensusq; ac velut igneus existens, in toto corpo-
re calorem excitat, ad id etiam subseruiente ipso san-
guine. Quod enim incensum est liquatur, ex eoq; spi-
ritus oritur, quo ad corporis meatus irrumpente, su-
dores fiunt. Coactus autem spiritus in aquam abit, &
per meatus subiens, ad eundem modum foras erũpit,
quo à feruentibus aquis sublatus vapor, si ad solidum
quiddam impingat, incrassescit ac condensatur, gut-
tæq; ab his corporibus, in qua vapor impegit, decidũt.
Capitis autem dolores vna cũ febre, hanc ob causam
oriuntur. Sanguinis in capite viis angustia contingit,
cũ aëre replentur, eæq; repletæ ac distentæ capiti do-
lorem afferunt. Sanguis enim vi pulsus, cùm calidus
existat, per angustam viam transire celeriter nequit,
quòd eum multa remorentur quæ impediunt & ob-
struunt. Eamq; sanè ob causam pulsationes circa tem-
pora contingunt. Ad hunc ergo modum, quem dixi,
febres contingunt, & cum febribus dolores & morbi.
Aliarum autem ægritudinum, quales sunt voluuli, aut
intestinorum conuolutiones, aut tormina, aut alij ob-
firmati & inhærentes morbi, à flatibus causam depen-
dere cuiuis esse manifestum existimo. Horum enim
omnium spiritus traiectio causa est. Hic enim vbi ad
loca tenera, inassueta, nec priùs attacta incubuit, ad
instar spiculi infixi carnes subit, & interdum qui-
dem ad præcordia, interdum etiam ad laterum ina-
nitates, quandoq; verò ad vtranque partem irrumpit.
Eam sanè ob causam etiam foris adhibitis calidis fo-
mentis, dolorem lenire conatur. Rarefacta enim cute
per fomenti calorem, spiritus extra corpus peruadit,

ac proinde dolorem quies quædam consequitur. Ac fortasse dixerit quispiam. Quanam ergo ratione fluxiones à flatibus contingunt? aut quonam modo sanguinis eruptionum circa pectus causa existunt? Hæc autem istis de causis fieri me declaraturum existimo. Cùm capitis venæ aere repletæ fuerint, primùm quidem caput vrgentibus flatibus grauatur. Deinde spiritus vnà cum sanguine propter viarum angustiã intus conuoluitur, id verò quod in sanguine est tenuissimum, per venas foras eliditur. Hoc sanè humidum vbi copiosum coaceruatum fuerit, per alios meatus effluit, cumq; confertum ad aliquam corporis partem peruenerit, ibi morbus cõtrahitur. Vbi igitur ad oculos venerit, ij laborant; si ad aures, ibi morbus est; si ad nares, grauedo exoritur; si ad pectus, raucedo appellatur. Pituita nanq; acribus humoribus permixta, vbi in loca minimè assueta irruperit, ea exulcerat. Cùm verò ad fauces teneras etiam fluxio ingruit, eas exasperat. Spiritus enim per fauces respiratione attractus, ad pectus fertur, ac rursus per eandem viam effertur. At vbi deorsum delata pituita spiritui ascendenti occurrerit, tussis superuenit, & pituita supernè reiicitur. Quibus ita se habentibus, fauces exulcerãtur, exasperantur, & incenduntur, calefactæ verò humorem ex capite attrahunt, caput autem rursus à reliquo corpore assumens, iis transmittit. Cùm igitur hunc in modum fluxio effluere consueuerit, meatusque velut in torrentis alueum excauati fuerint, ad pectus quoque transfundunt. Acris autem existens pituita, & in carnem irrumpens, venas exulcerat & refringit. Sanguis verò in alienum locum effusus, mora computrescens in pus vertitur, neq; sursum conscendere, neque infra subire potest. Neq; enim naturæ humidæ, vt neq; quibusuis aliis rebus quæ in se admixtam grauitatem habent, facilis est sursum via, cùm accliuis existat. Infra autem subire septum transuersum vetat. Quam sanè ob causam fluxionem interdum citra spiritum perrumpi contingit, & partim sponte quidem, partim verò ob dolores. Ac spõtè quidem, cùm aer vltro venas subiẽs, sanguinis vias coarctat. Compressus enim sanguis, sua copia, qua maximè impressionem fecerit, venas perrumpit. Vbi verò sanguinis copia effusa fuerit, in his etiam dolores spiritu venas complẽt. Affectum enim locum spiritum continere necesse est, aliaq; dictis similia contingere. At verò ruptiones has ob causas contingunt, cùm vi quadam à se inuicem carnes discedunt ac diuellũtur, & in ipsam discessionem spiritus dolorem inferẽs subierit. Quòd si flatus per carnes perrumpentes, corporis meatus rarefecerint, eos humiditas consequitur, cui viam aer antea struxit. Corpore autem madore perfuso, carnes quidem colliquescunt, tumores ad tibias descendunt, & morbus hic hydrops dicitur. Quòd autem huius morbi causa ad flatum referri debeat, id maximo est argumento, quòd iam perniciosè affecti quidam, aqua euacuata planè sunt liberati. Quæ quidem simul atq; è ventre erumpit, multa apparet, paulùm autem morata, imminuitur. Cuius rei etiam causa manifesta est, quòd quæ quidem statim erumpit aqua aere plena est, eoq; val-

ὥστε παύσασθαί τινα χρόνον τῶν πόνων. ἴσως δ' ἂν τις εἴποι, πῶς οὖν τὰ ῥεύματα γίνεται διὰ τὰς φύσας; ἢ τίνα τρόπον τῶν αἱμορραγιῶν τῶν περὶ τὰ στέρνα τοῦτο αἴτιόν ἐστιν; οἶμαι δὲ καὶ ταῦτα δηλώσειν, διὰ ταῦτα γινόμενα. [38] ὅταν περὶ τὴν κεφαλὴν αἱ φλέβες γεμισθῶσιν ἠέρος, πρῶτον μὲν ἡ κεφαλὴ βαρύνεται τῶν φυσέων ἐγκειμένων. [39] ἔπειτα ἐκθλίβεται τὸ πνεῦμα κατὰ τὸ αἷμα διὰ τὴν στενότητα τῶν ὁδῶν. τὸ δὲ λεπτότατον τοῦ αἵματος, διὰ τῶν φλεβῶν ἐκθλίβεται. [40] οὗτο δὴ τὸ ὑγρὸν ὅταν ἀθροισθῇ, ῥεῖ δι' ἄλλων πόρων. ὅκου δ' ἂν ἀθρόον ἀφίκηται τοῦ σώματος, ἐνταῦθα ξυνίσταται ἡ νοῦσος. ἐπὴν μὲν οὖν ἐπὶ τὴν ὄψιν ἔλθῃ, ταύτης ὁ πόνος· ἢν δὲ ἐς τὰς ἀκοάς, ἐνταῦθ' ἡ νόσος· ἢν δὲ ἐς τὰς ῥῖνας, κόρυζα γίνεται· ἢν δὲ ἐς τὰ στέρνα, βράγχος καλέεται. τὸ γὰρ φλέγμα δριμέσι χυμοῖσι μεμιγμένον, ὅποι ἂν προσπέσῃ ἐς ἀήθεας τόπους ἑλκοῖ. τῇ δὲ φάρυγγι ἁπαλῇ ἐούσῃ καὶ τὸ ῥεῦμα προσπίπτον, τραχύτητα ἐργάζεται. τὸ γὰρ πνεῦμα τὸ διαπνεόμενον διὰ τῆς φάρυγγος, ἐς τὰ στέρνα βαδίζει, καὶ πάλιν ἐξέρχεται διὰ τῆς ὁδοῦ ταύτης. [41] ὅταν δὲ ξυμβάλλῃ τῷ πνεύματι τὸ ῥεῦμα κάτωθεν τῷ ἀνιόντι, βὴξ ἐπιγίνεται, καὶ ἀναρρίπτεται ἄνω τὸ φλέγμα. τουτέων δὲ τοιουτέων ὄντων, ἡ φάρυγξ ἑλκοῦται, καὶ τρηχύνεται, καὶ θερμαίνεται, καὶ ἕλκει τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν θερμὴ ἐοῦσα. [42] ἡ δὲ κεφαλὴ πάλιν παρὰ τοῦ ἄλλου σώματος λαμβάνουσα, ταύτῃ διδῶσιν. ὁκόταν γοῦν ἐθισθῇ τὸ ῥεῦμα οὕτως ῥέειν [43] καὶ χαραδρωθέωσιν οἱ πόροι, διαδίδωσι δὴ καὶ ἐς τὰ στέρνα. δριμὺ δὲ ὂν τὸ φλέγμα προσπῖπτόν τε τῇ σαρκί, ἑλκοῖ καὶ ἀναρρηγνύει τὰς φλέβας. ὁκόταν δὲ ἐκχυθῇ τὸ αἷμα εἰς ἀλλότριον τόπον, χρονιζόμενον καὶ σηπόμενον, γίνεται πῦον. καὶ οὔτε ἄνω δύναται ἀνελθεῖν, οὔτε κάτω ὑπελθεῖν. ἄνω γὰρ οὐκ εὔπορος ἡ πορείη προσάντης τις οὖσα [44] ὑγρῷ χρήματι καὶ ἑτέρῳ παντὶ βάρος ἔχοντι· κάτω δὲ κωλύει φραγμὸς ὁ τῶν φρενῶν. [45] διότι δή ποτε τὸ ῥεῦμα τὸ ἀπὸ πνεύματος ἀναρρηγνύμενον, ἀναρρήγνυται τὸ μὲν αὐτόματον, τὸ δὲ διὰ πόνους· αὐτόματον μὲν οὖν, ὅταν αὐτόματος ὁ ἀὴρ εἰσελθὼν εἰς τὰς φλέβας, στενοχωρίην ποιήσῃ τῇσι τοῦ αἵματος διεξόδοισι. τὸ γὰρ πιεζόμενον τὸ αἷμα πολὺ γινόμενον, ἀναρρηγνύει τοὺς πόρους, [46] ἢ ἂν ὡς τὰ μάλιστα βρίσῃ. ὁκόταν δὲ πλῆθος αἱμορραγήσῃ, καὶ τούτοισιν οἱ πόνοι πνεύματος ἐμπιπλῇσι τὰς φλέβας (ἀνάγκη γὰρ τὸν πονέοντα τόπον κατέχειν τὸ πνεῦμα) τἄλλα τοῖσιν εἰρημένοισιν ὅμοια γίνεται. [47] τὰ δὲ ῥήγματα γίνεται διὰ τάδε. ὁκόταν ὑπὸ βίης διαστέωσιν αἱ σάρκες ἀπ' ἀλλήλων, ἐς δὲ τὴν διάστασιν ὑποδράμῃ πνεῦμα, τοῦτο τὸν πόνον παρέχει. ἢν δὲ διὰ τῶν σαρκῶν αἱ φῦσαι διεξιοῦσαι τοὺς πόρους τοῦ σώματος ἀραιοὺς ποιήσωσιν· ἕπεται δὲ τῇσι φύσεσιν ὑγρασίη, ἧς τὴν ὁδὸν ὁ ἀὴρ προεργάσατο. διαβρόχου δὲ γινομένου τοῦ σώματος, ἀποτήκονται μὲν αἱ σάρκες, οἰδήματα δὲ ἐς τὰς κνήμας καταβαίνει· καὶ λέγεται τὸ τοιοῦτον νόσημα, ὕδρωψ. μέγιστον δὲ σημεῖον, ὅτι φῦσαι τοῦ νοσήματος εἰσὶν αἴτιαι, τόδε ἐστίν. ἤδη τινὲς ὀλεθρίως ἔχοντες, [48] ἐκλύθησαν, καὶ ἐκενώθησαν τοῦ ὕδατος. παραυτίκα μὲν οὖν τὸ ἐξιὸν ἐκ τῆς κοιλίης ὕδωρ, πολὺ φαίνεται. χρονιζόμενον δέ, ἔλασσον γίνεται. [49] διότι δὴ γίνεται καὶ τοῦτο δῆλον· ὅτι παραυτίκα μὲν τὸ ὕδωρ, ἠέρος πλῆρές ἐστιν· ὁ δὲ ἀήρ, ὄγκον παρέχεται μέ-

γαν.

γεῖν. ἀπιόντος δὲ τοῦ πνεύματος, ὑπολείπεται τὸ ὕδωρ αὐτό. διὸ δὴ φαίνεται μὲν μικρὸν ἐόν, ἔστι δὲ ἴσον. ἄλλο δὲ αὐτῷ τόδε σημεῖον. κενωθείσης γὰρ παντελῶς τῆς κοιλίης, οὐ τρεῖς ἡμέραι διέλθωσι, καὶ πάλιν πλήρης γίνεται. τί οὖν ἄρα ἐστὶ τὸ πληρῶσαν, ἀλλ' ἢ τὸ πνεῦμα; τί γὰρ ἂν οὕτως ἄλλο ταχέως ἐξεπλήρωσεν; οὐ γὰρ δήπου ποτὸν ἴσως τοσοῦτον,[50] ἐσῆλθεν ἐς τὸ σῶμα. καὶ μὴν οὐδὲ σάρκες ὑπάρχουσιν αἰτίαι ἀποτακησόμεναι. λείπεται γὰρ ὀστέα, καὶ νεῦρα, καὶ ἶνες, ἀφ' ὧν οὐδενὸς οὐδεμίην δύναιτ' ἂν αὔξησις ὕδατος γεγενῆσθαι. τὸ μὲν οὖν αἴτιον τοῦ ὕδρωπος ἤδη εἴρηται. αἱ δὲ ἀποπληξίαι γίνονται καὶ αὗται διὰ τὰς φύσας. ὅταν γὰρ αἱ φῦσαι ψυχραὶ οὖσαι καὶ πολλαὶ διαδύνωσι, καὶ ἐμφυσήσωσιν ἐς τὰς σάρκας, ἀναίσθητα γὰρ ταῦτα γίνεται τοῦ σώματος. ἢν μὲν οὖν πολλαὶ φῦσαι ἐν ὅλῳ τῷ σώματι διαβρέχωσιν, ὅλος ὁ ἄνθρωπος ἀπόπληκτος γίνεται· ἢν δὲ ἐν μέρει τινί, τοῦτο τὸ μέρος. καὶ ἢν μὲν οὖν ἀπέλθωσιν αὗται, παύεται ἡ νοῦσος· ἢν δὲ παραμένωσι, παραμένει. ὅτι δὲ ταῦτα οὕτως ἔχει, χασμῶνται συνεχῶς. δοκεῖ δέ μοι καὶ τὴν ἱερὴν καλεομένην νόσον τοῦτο εἶναι τὸ παρεχόμενον. οἷσι δὲ λόγοισιν ἐμαυτὸν ἔπεισα, τούτοισιν αὐτέοισι καὶ τοὺς ἀκούοντας πείσειν πειράσομαι. ἡγέομαι δὲ ἔμπροσθεν μηδὲν εἶναι μᾶλλον τῶν ἐν τῷ σώματι ξυμβαλλομένων ἐς φρόνησιν ἄν, ἢ τὸ αἷμα. τοῦτο δὲ ὅταν ἐν τῷ καθεστηκότι σχήματι μένῃ, μένει καὶ ἡ φρόνησις· ἐξαλλάσσοντος δὲ τοῦ αἵματος, μεταπίπτει καὶ τὸ φρόνημα. ὅτι δὲ ταῦθ' ὧδε ἔχει, πολλὰ τὰ μαρτυρέοντα. πρῶτον μὲν ὅπερ ἅπασι ζώοισι κοινόν ἐστιν, ὁ ὕπνος, οὗτος μαρτυρεῖ τοῖσιν εἰρημένοισιν.[51] ὅταν γὰρ ἐπέλθῃ τῷ σώματι ὁ ὕπνος, τότε τὸ αἷμα ψύχεται. φύσει γὰρ πέφυκεν ὁ ὕπνος ψύχειν. ψυχθέντος δὲ τοῦ αἵματος, νωθρότεραι γίνονται αἱ διέξοδοι. δῆλον δέ. ῥέπει γὰρ τὰ σώματα, καὶ βαρύνεται. πάντα γὰρ τὰ βαρέα, πέφυκεν ἐς βυθὸν φέρεσθαι.[52] καὶ τὰ ὄμματα κλείεται. καὶ ἡ φρόνησις ἀλλοιοῦται. δόξαι δέ τινες ἕτεραι ἐνδιατρίβουσιν, ἃ δὴ ἐνύπνια καλέονται. πάλιν ἐν τῇσι μέθῃσι, πλέονος ἐξαίφνης γινομένου τοῦ αἵματος, μεταπίπτουσιν αἱ ψυχαί, καὶ τὰ ἐν τῇσι ψυχῇσι φρονήματα, καὶ γίνονται τῶν μὲν ὄντων κακῶν ἐπιλήσμονες, τῶν δὲ μελλόντων εὐέλπιδες ἀγαθῶν. ἔχοιμι δ' ἂν πολλὰ τοιαῦτα εἰπεῖν, ἐν οἷς αἱ τοῦ αἵματος ἐξαλλαγαί, τὴν φρόνησιν ἐξαλλάσσουσιν. ἢν μὲν οὖν παντελῶς ἅπαν ἀναταραχθῇ τὸ αἷμα, παντελῶς ἡ φρόνησις ἐξαπόλλυται.[53] τὰ γὰρ παθήματα καὶ τὰ ἀναγνωρίσματα, ἐθίσματά ἐστιν. ὅταν δὲ τοῦ εἰωθότος ἔθεος μεταστῶμεν, ἀναιρεῖται ἡμῖν ἡ φρόνησις. φημὶ δὲ τὴν ἱερὴν νοῦσον ὧδε γίνεσθαι· ὅταν πολὺ πνεῦμα κατὰ πᾶν τὸ σῶμα πάντῃ τῷ αἵματι μιχθῇ, πολλὰ ἐμφράγματα γίνονται, πολλαχῇ ἀνὰ τὰς φλέβας. ἐπειδὰν οὖν ἐς τὰς παχείας καὶ πολυαίμους τῶν φλεβῶν πολὺς ἀὴρ βρίσῃ, βρίσας δὲ μένῃ, κωλύεται τὸ αἷμα διεξιέναι.[54] τῇ μὲν οὖν ἔστηκε, τῇ δὲ νωθρῶς διεξέρχεται, τῇ δὲ θᾶσσον. ἀνομοίης δὲ τῆς πορείης τοῦ αἵματος διὰ τοῦ σώματος γινομένης, παντοῖαι ἀνομοιότητες. πᾶν γὰρ τὸ σῶμα πάντοθεν ἕλκεται καὶ τετάρακται τὰ μέρη τοῦ σώματος,[55] ὑπηρετοῦντος τῷ θορύβῳ καὶ ταραχῇ τοῦ αἵματος·

dè intumeſcit. Cùm autem ſpiritus deceſſerit, eadem planè aqua relinquitur, quæ ſanè quidem pauca apparet, cùm tamen æqualis ſit. Eſt & hoc aliud eius rei indicium, quòd venter penitus vacuatus, intra tridui ſpatium, rurſus impletur. Quidnam igitur aliud quàm ſpiritus impleat? quidve aliud tam citò implere poſſit? Neq; enim tanta potus copia in corpus ingeſta eſt, ac neq; carnes quæ colliqueſcent, in cauſa eſſe poſſunt, cùm oſſa ſuperſint, & nerui, & fibræ, ex quibus nulla quidem tãta aquę copia augeri poteſt. Atq; hydropis quidem cauſa iam dicta eſt. At verò etiã ſyderationes corporis (apoplexię dictę) ex flatibus oriuntur, nimirũ quando flatus frigidi & copioſi carnes ſubierint & inflarint. Hæ enim corporis partes ſtupidæ redduntur. Et ſiquidem multi flatus totum corpus permeant, totus homo attonitus redditur, ſi verò partem aliquam, pars illa. Atq; vbi quidem flatus illi diſceſſerint, morbus ceſſat, vbi verò permanſerint, permanet & morbus. Hæc autem ita ſe habere continuæ oſcitationes indicant. Ac mea quidem opinione, hi etiam morbum ſacrum vulgò dictum, producere videntur. Quibus autem rationibus adductus ſim, iiſdem eos qui audire volent, perſuadere conabor. Imprimis autem in animum induco, ex iis quæ in corpore inſunt, nihil magis ad intelligentiam conferre quàm ſanguinem. Is nanque vbi conſiſtente habitu perſiſtit, prudentia etiam conſtat. Permutato verò ſanguine, ſimul quoque intelligentia concidit. Cuius rei multa ſunt teſtimonia. Ac primùm quidem ſomnus, qui animantibus omnibus communis eſt, quæ dicta ſunt confirmat. Is enim vbi corpus corripuerit, tum ſanguis refrigeratur, cùm ſuapte naturâ ſomnus refrigerare ſoleat. Perfrigerato autem ſanguine, tardiores ſunt eius pertranſitus. Id verò inde fit manifeſtum, quòd corpora ſua grauitate inclinentur (cùm grauia omnia ad imum ferri natura ſoleant) oculi clauduntur, & intelligentia permutatur, opiniones etiam alienæ diutiùs immorantur, quæ certè inſomnia appellantur. Rurſus verò per ebrietatem aucto repente ſanguine, animi functiones, eiuſque intellectus concidit, & malorum inſtãtium obliti, futurorum bonorum optimam ſpem concipiunt. Multa etiam eiuſmodi commemorare poſſem, in quibus ſanguinis permutationes, intelligentiam immutant. Perturbato igitur in totũ ſanguine, prorſus quoque intelligentia deperit. Affectus enim & recognitiones inter cõſuetudines numerantur. Cùm verò à ſolita conſuetudine diſcedimus, intelligentia nobis tollitur. At ſacrum morbum ad hunc modum fieri cenſeo, cùm ſpiritu copioſo per totum corpus vniuerſo ſanguini permixto, obſtructiones multæ multis modis circa venas cõtingunt. Cùm igitur in craſſiores & ſanguine abundãtes venas, copioſus aër prorupit, progreſſuſque immoretur, ſanguinis pertrãſitus prohibetur, atq; hîc quidẽ ſiſtitur, ibi verò tardiùs permeat, alibi autem citiùs. Ex qua per corpus peruadẽtis ſanguinis inęqualitate, varię inęqualitates contingunt. Totũ enim corpus vndiq; contrahitur, & corporis partes perturbãtur, ſanguine ipſo ad tumultũ & conturbationẽ ſubminiſtram operã ſuppeditante,

& ex sanguinis peruersione, variæ etiam vndiq; corporis peruersiones oriũtur. Sub id verò tempus, nihil omninò sentiunt, neq; quæ dicuntur audiunt, neque quæ fiunt vident, neq; vllos dolores sentiunt. Ad hũc enim modum conturbatus aër, simul quoque sanguinem conturbauit & infecit. Quinetiam spuma per os non sine causa excurrit. Per iugulares enim venas aër subiens, exit quidem ipse, secumq; id quod in sanguine est tenuissimum subuehit, humidum verò simul permixtũ, albescit. Aër enim purus per tenues membranas pellucidus apparet, eamq; sanè ob causam spumæ omnes albæ conspiciuntur. Qui igitur hoc morbo corripiuntur, quomodo morbo & præsenti tempestate liberentur, ego enarrabo. Cùm laboribus exercitatum corpus incaluerit, incalescit etiam sanguis, qui calefactus, flatus quoque calefacit. Ij verò calefacti dissoluuntur, & sanguinem coactum simul dissoluunt, partimq; cum spiritu, partim cum pituita foras prodeunt. At vbi deferbuit spuma, & sanguis conquieuit, tranquillitasque in corpore oborta est, morbus cessat. Horum igitur sanè omnium multis modis flatus causæ esse videntur, cætera verò omnia vel adiuuantis, vel consequentis causæ rationem habere. Hæc verò esse morborũ causa nobis est demonstrata, quod me declaraturum receperam. Spiritum autem cùm in aliis rebus, tum vel maximè in animantium corporibus plurimùm posse demonstraui. Orationem verò ad morborum & ægritudinum cognitionem perduxi, in quibus hoc argumentum verum esse apparuit. Quòd si reliquas ægritudines oratione persequi velim, prolixior sanè foret oratio, nihilò tamen minùs aut veritatis aut fidei habitura.

[56]ὑπὸ δὲ τῆς διαστροφῆς τοῦ αἵματος, αἱ διαστροφαὶ τοῦ σώματος παντοῖαι γίνονται. κατὰ δὲ τοῦτον τὸν καιρὸν, ἀναίσθητοι πάντων εἰσὶ, κωφοί τε τῶν λεγομένων, καὶ τυφλοὶ τῶν γινομένων, ἀνάλγητοί τε πρὸς τοὺς πόνους. οὕτω γὰρ ὁ ἀὴρ ταραχθεὶς, ἀνετάραξε καὶ τὸ αἷμα καὶ ἐμίηνε. καὶ ἀφροὶ διὰ τοῦ στόματος ἀναβρέχουσι εἰκότως. διὰ γὰρ τῶν σφαγιτίδων φλεβῶν διαδύνων ὁ ἀὴρ, ἔρχεται μὲν αὐτὸς, ἀνάγει δὲ μετ' αὐτοῦ τὸ λεπτότατον τοῦ αἵματος. τὸ δὲ ὑγρὸν τὸ περιμισγόμενον, λευκοῦται. διὰ λεπτῶν γὰρ 10 ὑμένων καθαρὸς ἐὼν ὁ ἀὴρ διαφαίνεται. διὸ δὴ λευκοὶ φαίνονται πάντες οἱ ἀφροί. πότε μὲν οὖν παύονται τῆς νόσου[57] καὶ τοῦ παρεόντος χειμῶνος, οἱ ὑπὸ τοῦ νοσήματος ἁλισκόμενοι, ἐγὼ φράσω. ὁκόταν γυμνασθὲν ὑπὸ τῶν πόνων τὸ σῶμα θερμανθῇ, θερμαίνεται καὶ τὸ αἷμα· τὸ δὲ αἷμα θερμανθὲν, ἐξεθέρμανε τὰς φύσας.[58] αὗται δὲ θερμανθεῖσαι, διαλύονται, καὶ διαλύουσι τὴν ξύστασιν τοῦ αἵματος· αἱ μὲν οὖν ἐξελθοῦσαι μετὰ τοῦ πνεύματος, αἱ δὲ μετὰ τοῦ φλέγματος· ἀποζέσαντος δὲ τοῦ ἀφροῦ, καὶ καταστάντος τοῦ αἵματος, καὶ γαλήνης ἐν τῷ σώματι γενομένης, πέ- 20 παυται τὸ νόσημα. φαίνονται οὖν αἱ φῦσαι[59] διὰ πάντων τούτων, πολυτροπώτεραι αἰτίαι οὖσαι· τὰ δ' ἄλλα πάντα, συναίτια καὶ μεταίτια. ὃ δὲ αἴτιον τῶν νούσων ἐὸν, τοῦτο ἐπιδέδεικταί μοι.[60] ὑπεσχόμην δὲ τὸ αἴτιον τῶν νουσημάτων φράσαι. ἐπέδειξα δὲ τὸ πνεῦμα καὶ ἐν τοῖσιν ἄλλοισι πρήγμασι δυναστεῦον, καὶ ἐν τοῖσι σώμασι τῶν ζώων. ἤγαγον δὲ τὸν λόγον ἐπὶ τὸ γνώρισμα καὶ τῶν νοσημάτων, καὶ τῶν ἀρρωστημάτων, ἐν οἷσιν ἀληθὴς ὑπόθεσις ἐφάνη.[61] ἀμφὶ δὲ τῶν ἀρρωστημάτων εἰ λέγοιμι, μακρότερος μὲν ὁ λόγος γίνοιτ' ἂν, ἀτρεκέστερος δὲ οὐδὲν ἧττον, οὐδὲ πιστότερος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΙΗΡΗΣ ΝΟΣΟΥ.

HIPPOCRATIS DE MORBO SACRO, LIBER.

De Morbo sacro vulgò appellato sic se res habet, neque quicquam aliis morbis diuinius aut sacratius, sed eandem ex qua reliqui morbi oriuntur naturam habere mihi videtur. Homines verò ex imperitia & admiratione ei naturam quandam & causam diuinam inesse censuerunt, quòd nulla in re reliquorum morborum similis esset. Et per consilij inopiam quòd morbum non cognoscunt, illi diuinitatem asseruant, per facilè parabilem verò curationis modum, ei medentur, cùm expiationibus & incantationibus ab eo liberentur. Quòd si ideò diuinus esse censeatur, quòd admirabilitatem quandam habeat, multi morbi sacri futuri sunt, & non vnus, quos ego diuersos esse demonstrabo, neque minùs admirabiles, neque minùs prodigiosos, eos tamen nemo sacros esse existimat. Ac primùm quidem febres quotidianæ, & tertianæ, & quartanæ, neque minùs sacræ esse, neque minùs quàm hic morbus à Deo fieri mihi vi-

ΠΕΡΙ[1] μὲν τῆς ἱερῆς νόσου καλεομένης, ὧδ' ἔχει. οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων, οὐδὲ ἱερωτέρη, ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ λοιπὰ νου- 30 σήματα, ὅθεν γίνεται. φύσιν δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖον εἶναι, ὑπὸ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισι.[2] καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γινώσκειν, τὸ θεῖον αὐτῇ διασώζεται. κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος, ἰῶνται. ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν, ἢ ἐπαοιδῇσιν. εἰ δὲ διὰ τὸ θαυμάσιον, θεῖον νομιεῖται, πολλὰ τὰ ἱερὰ νουσήματα ἔσται, καὶ οὐχὶ ἕν. ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια, οὐδὲ τερατώδεα, ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. τοῦτο μὲν γὰρ οἱ πυρετοὶ οἱ ἀμ- 40 φημερινοὶ, καὶ οἱ τριταῖοι, καὶ οἱ τεταρταῖοι, οὐδὲν ἧσσόν μοι δοκέουσιν ἱεροὶ εἶναι, καὶ ὑπὸ θεοῦ γίνεσθαι ταύτης τῆς νούσου, καὶ

σι, καὶ οὐ θαυμασίως ἔχουσι. τοῦτο δὲ ὁρέω μαινομένους ἀν-
θρώπους, καὶ παραφρονέοντας, ἀπὸ μηδεμιῆς προφά-
σιος ἐμφανέος. καὶ πολλά τε ἅμα καὶ ἄκαιρα ποιέοντας.
ἔν τε τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας. τοὺς
δὲ καὶ πνιγομένους. τοὺς δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας ἔ-
ξω, καὶ παραφρονέοντας [3] μέχρις ἂν ἐξεγρέωνται. ἔπει-
τα δὲ καὶ ὑγιέας ἐόντας καὶ φρονέοντας ὥσπερ καὶ πρότερον.
ἐόντας τε αὐτοὺς ὠχρούς τε καὶ ἀσθενέας. καὶ ταῦτα οὐχ ἅ-
παξ, ἀλλὰ πολλάκις. ἄλλα τε πολλά ἐστι καὶ παντοδα-
πὰ, ὧν ἕκαστον λέγειν, πολὺς ἂν εἴη λόγος. Ἐμοὶ δὲ δοκέουσιν 10
οἱ πρῶτοι τοῦτο τὸ νόσημα ἀφιερώσαντες, τοιοῦτοι εἶναι ἄν-
θρωποι. οἷοι καὶ νῦν εἰσὶ μάγοι τε καὶ καθάρται. καὶ ἀγύρται.
[4] καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες
εἶναι, καὶ πλέον τι εἰδέναι. [5] οὗτοι τοίνυν παραμπεχόμενοι καὶ
προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης τοῦ μὴ ἴσχειν ὅ, τι προσ-
ενέγκαντες ὠφελήσουσιν, ὡς μὴ κατάδηλοι ἔωσιν, οὐδὲν
ἐπιστάμενοι. ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι. καὶ λόγους ἐ-
πιλέξαντες ἐπιτηδείους, τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφα-
λὲς σφίσιν ἑωυτοῖσι, καθαρμοὺς προσφέροντες καὶ ἐπαοι-
δάς. λουτρῶν τε ἀπέχεσθαι κελεύοντες, καὶ ἐδεσμάτων πολ- 20
λῶν, καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν. θαλασ-
σίων μὲν τρίγλης. καὶ μελανούρου. κεστρέος. ἐγχέλυος. [6] οὗ-
τοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι. κρεῶν δὲ αἰγείου καὶ
ἐλαφείου. καὶ χοιρείων καὶ κυνός. [7] ταῦτα γὰρ κρεῶν ταρακτι-
κώτατά ἐστι τῆς κοιλίης. ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγό-
νος. [8] ὠτίδος. ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι. λαχάνων
δὲ μίνθης. σκορόδου καὶ κρομμύου. δριμὺ γὰρ ἀσθενέοντι οὐ-
δὲν ξυμφέρει. ἱμάτιον δὲ μέλαν μὴ ἔχειν, θανατῶδες γὰρ
τὸ μέλαν. μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι, μηδὲ
φορέειν, μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν. μηδὲ χεῖρα ἐπὶ χειρί. 30
ταῦτα γὰρ πάντα, κωλύματα εἶναι. ταῦτα δὲ πάντα τοῦ θείου
εἵνεκεν προστιθέασιν. ὡς πλέον τι εἰδότες καὶ ἄλλας προ-
φάσιας προλέγοντες. ὅκως εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δό-
ξα εἴη καὶ ἡ δεξιότης. εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο
αὐτῶν αἱ ἀπολογίαι. καὶ ἔχοιεν πρόφασιν, ὡς οὐκ αἴτιοι εἰσὶν
αὐτοὶ, ἀλλ' οἱ θεοί. οὔτε γὰρ φαγεῖν οὔτε πιεῖν ἔδοσαν φάρμακον
οὐδέν. οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιον εἶναι. ἐγὼ
δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγαιον οἰκεόντων, οὐδένα ὑγιαίνειν,
ὅτι ἐν αἰγείοισι δέρμασι κατακείονται, καὶ κρέασι αἰγείοισι
χρῶνται, ἐπεὶ οὐκ ἔχουσι οὔτε στρῶμα οὔτε ἱμάτιον, οὔτε ὑ- 40
πόδημα, ὅ, τι μὴ αἴγειόν ἐστιν. οὐ γάρ ἐστιν αὐτοῖς ἄλλο προ-
βάτιον οὐδὲν, ἢ αἶγες καὶ βόες. εἰ δὲ ταῦτα προσφερόμενα καὶ
ἐσθιόμενα [10] τὴν νοῦσον αὔξει, καὶ μὴ ἐσθιόμενα ἰῆται, οὐκ ἔ-
στιν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς, οὐδὲ οἱ καθαρμοὶ ὠφελέου-
σιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά τε καὶ βλάπτοντα. τοῦ δὲ
θείου ἀφανίζεται ἡ δύναμις. οὕτως οὖν ἔμοιγε δοκέουσιν οἱ
τινες τοῦτον τὸν τρόπον ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα,
οὔτε ἱερὰ νομίζειν εἶναι, οὔτε θεῖα. ὅκου γὰρ ὑπὸ καθαρ-
μῶν τοιούτων μετάσταται γίγνεται, καὶ ὑπὸ θεραπείης τοιῆσ-
δε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν, ἀπογίνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μη-
κέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. ὅστις γὰρ οἷός τε περικαθαίρων καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος,

dētur, quamuis admirationem nullam habeant. Deinde verò furore correptos ac desipientes multos ex nulla manifesta causa, cùm multa, tum simul etiam intempestiua facere videmus. Quinetiam multos in somno lugentes & vociferantes vidi, quosdam etiam suffocatos, quosdam exilientes & fugientes, ac desipientes quoad excitarentur, postea verò sanitati restitutos, & vt antea resipiscentes, quamuis pallidos & debiles. Idque non semel sed sæpiùs contingere vidimus. Quin & multa sunt & varia, quæ si sigillatim enumerare velimus, prolixa foret oratio. Ac mihi certè qui primi hunc morbum ad deos retulerunt, tales esse videntur, quales sunt Magi, expiatores, circulatores, ac arrogantes ostentatores, qui se valde pios esse plurimumq; scire simulant. Hi quippe diuinitatis obtentu ac prætextu, cùm nulla ope prodesse possent, ne inscitiam suam proderent, sacram hanc esse affectionem censuerunt, & additis idoneis rationibus, tutam sibi curationis viam proposuerunt, oblatis expiationibus & incantationibus, balneisque interdictis, & multis cibis ad laborãtium vsum minimè accommodatis. Ac marinis quidem, mullo, melanuro, mugili & anguilla, qui pisces præcipuè vitandi sunt. Carnibus verò, caprina, ceruina, suilla & canina. Nã & eiusmodi carnes ventriculum maximè conturbant. Ex volucribus, gallo, turture & otide, prætereaque ab his quę valentissima esse censentur. Ex oleribus autem, mentha, allio, & cæpa. Acrimonia enim ægrotanti nullo modo conducit. Vestimento etiam nigro vti prohibent, quòd niger color mortem significet, aut in pelle caprina decumbere, aut eam gestare, ac ne pedem pedi, aut manum manui superimponere. Hæc enim omnia curationem impedire. Quæ omnia diuinitatis gratia addunt, velut amplius quiddam scientes, & alia in specie prætexentes, vti si conualescat æger, istud eorum gloriæ & solertiæ attribuatur, sin verò moriatur, tutam sibi proponant defensionem, & occasionem nanciscantur, quominus ij in causa, sed dij esse videantur, cùm nullum quidem medicamentum edendum aut bibendum exhibuerint, neque balneis excoxerint, vt in eos causa reiici possit. Ac mea quidem opinione, ex iis qui Africæ mediterranea incolunt, nullus ab hoc morbo sanus euadet, quòd in pellibus caprinis recumbant, & caprinis carnibus vtantur, cùm ne stragulum quidem, neque vestimentum, neq; calceamentum aliud habeant quàm caprinum. Neq; enim aliam vllã habent pecudem, quàm capras & boues. Quòd si ista oblata & cibo sumta morbum augent, & cibo minimè sumta medentur, nullius sanè Deus author est, neq; expiationes iuuant, sed quæ eduntur medentur & nocent, numinisque vim obscurant. Quare qui hoc modo ad istorũ morborum curationem aggrediuntur, hos neq; sacros, neque diuinos reputare mihi videntur. Si enim huiusmodi expiationibus taliq; curatione tolluntur, quid prohibet quominus ex similibus artibus ab hominibus remoueantur, aut in eosdem incidãt? Adeò vt non amplius diuinum, sed humanum quiddam in causa mihi esse videatur. Quisquis enim lustrationibus & magicis artibus huiusmodi affectionem abigere valuerit,

is etiam aliis artibus abiget, istaque ratione diuinitatis opinio prorsus deperditur. Hac oratione & molitione multam scientiam præ se ferunt, hominesque decipiunt, his lustrationes & purificationes proponendo, cùm multum faciant de diuinitate & numine sermonem. Quanquam mihi quidem non de pietate (vt rentur) verùm de impietate potiùs verba facere videntur, & Deos non esse profiteri, eorumque pietas & diuinitas, in impietatem & nefarium scelus vertitur. Si enim lunam deducere, & solem obscurare, tempestatemque ac serenitatem inducere, & imbres ac siccitates, mareque sterile & terram facere, cæteraque id genus se scire profitentur, siue ex sacrorum mysteriis, siue ex alio quouis consilio aut cura hanc sibi potentiam vendicent, qui his rebus operam nauant, mihi quidem impij esse videntur, neq; deos esse existimare, neq; si sint, quicquam posse, neq; aliquod summum malum propulsare posse. Cuius rei gratia, cur non ipsis infesti sint? Si quis enim magicis artibus & sacrificiis lunam deducet & solem obscurabit, tempestatemque & serenitatem inducet, non equidem horum quicquam diuinum, sed humanum esse censuerim, si vtique diuina potentia humano consilio superatur, & in seruitutem asseritur. Ac fortassis hæc aliter se habent, sed homines in vitæ inopia multa & varia moliuntur, & tum ad reliqua omnia, tum etiam ad hunc morbum variè se habent, in vnaquaq; affectionis specie Deo causam attribuentes. Neque enim semel sed sæpiùs eadem meminerunt. Siquidem nanq; capram imitentur, & balatum edant, dextramque in partem conuellantur, deorum matrem in causa esse asserunt. Si verò acutiorem & vehemētiorem vocem edat æger, equo simile esse dicunt, & ad Neptunum causam referunt. Quòd si stercoris aliquid emittat (quod nonnullis morbo pressis contingit) Hecates Enodię appellatio adhibetur. Sin autem tenuius & crebriùs deiiciat, velut aues, Apollo Nomi⁹. Si verò spumam ex ore demittat, & pedibus calcitret, Mars author est. Pauores verò qui noctu adsunt, timores, deliria, & terriculamenta, cùm ægri è cubili exiliunt & fugiunt, Hecates insidias, & Heroum inuasiones esse affirmant, expiationibusq; & incantationibus vtuntur, ac meo quidem iudicio, sceleratissimum & maximè impium diuinum numen faciunt. Morbo enim detentos expiant, & sanguine aliisq; quibusdam sceleribus inquinatos ac facinerosos & sceleratos, aut quibus ab hominibus est exhibitum venenum, aut eos qui nefarium aliquod facinus perpetrarunt, quos contrà facere decuerat, sacra facere nimirum & precari, ad templa deducere, & diis supplicare. Nunc verò horum quidem nihil faciunt, sed expiant, & partim quidem expiationes in terra recōdunt, partim in mare proiiciūt, partim etiā in montes deportant, vbi eas nemo attingat aut cōculcet. Has autem oportuerat, si quidem Deus author est, ad templa delatas, Deo reddere. Neq; tamē hominis corpus à Deo inquinari existimo, impurissimum à purissimo. Quin si fortè contingat vt ab alio coinquinetur, aut quid patiatur, à Deo expiari ac purificari magis q̄ inquinari cupiat.

εἰ τι καὶ ἐπάγῃ ἑτέρα τεχνησάμενος, πάντως καὶ τοῦτο τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. τοιαῦτα λέγοντες καὶ μεμηχανημένοι προσποιέονται πλέον τι εἰδέναι. καὶ ἀνθρώποις ἐξαπατέουσι, προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, ὅ τε πουλὺ αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει, καὶ τὸ δαιμόνιον. καί τοι ἔμοιγε οὐ περὶ εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείης μᾶλλον. καὶ ὡς οἱ θεοὶ οὐκ εἰσί. τό, τε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω. [11] εἰ 10 γὰρ σελήνην τε καθαιρεῖν. καὶ ἥλιον ἀφανίζειν. χειμῶνά τε καὶ εὐδίην ποιέειν. καὶ ὄμβρους καὶ αὐχμούς. καὶ θάλασσαν ἄφορον, καὶ γῆν, καὶ τ' ἄλλα τὰ τοιουτότροπα πάντα, ἐπιδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων. εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν οἷοί τε εἶναι, οἱ ταῦτα ἐπιτηδεύοντες, δυσσεβέειν ἔμοιγε δοκέουσι, καὶ θεοὺς οὔτε εἶναι νομίζειν, οὔτε ἐόντας, ἰσχύειν οὐδέν. οὔτε εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων [12] ποιέοντες ἕνεκά γε, πῶς οὐ δεινοὶ ἄρ' αὐτοῖσιν εἰσίν; εἰ γὰρ ἄνθρωπος μαγεύων τε καὶ θύων σελήνην τε καθαιρήσει. καὶ ἥλιον ἀφανίσει. καὶ χειμῶνα καὶ 20 εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον. εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ' ἄνθρωποι βίου δεόμενοι, πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν, ἔς τε τ' ἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην ἑκάστῳ εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες. οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις τ' αὐτὰ μέμνηνται. ἢν μὲν γὰρ αἶγα μιμῶνται, [13] ἢν βρύχωνται, ἢν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶ αἰτίην εἶναι. ἢν δὲ ὀξύτερον καὶ εὐτο- 30 νώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι. καὶ φασὶ, Ποσειδῶνα αἴτιον εἶναι. ἢν δὲ καὶ τῆς κόπρου τι παρείη, ὃ πολλάκις τοῖσι γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν, [14] Ἐνοδίου προσόκειται ἡ προσωνυμίη. [15] ἢν δὲ λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ, καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται, καὶ φόβοι καὶ παράνοιαι, καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης, καὶ φόβητρα, καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβουλάς, καὶ ἡρώων ἐφόδους. καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ 40 ἀνοσιώτατόν γε [16] καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον. καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ, αἵματι καὶ τοῖσιν ἄλλοισι τοῖσι μιάσμασιν ἔχοντας, [17] ἢ ἀλάστορας, ἢ πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν τἀναντία τούτοισι ποιέειν. θύειν τε καὶ εὔχεσθαι, καὶ εἰς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς. νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ. καὶ τὰ μὲν τῶν καθαρμῶν, γῇ κρύπτουσι. τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι. τὰ δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπῃ μηδεὶς ἅψεται, μηδὲ ἐπιβήσεται. τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γε ἐστὶν αἴτιος. οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ, ἀνθρώπου σῶμα μιαίνεσθαι, [18] τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου. ἀλλὰ κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον, ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι, καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι.

τὰ γοῦν

τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα, τὸ θεῖόν ἐστι, τὸ καθαῖρον καὶ ἁγνίζον, καὶ ῥῦμμα γινόμενον ἡμῖν. αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν, καὶ τῶν τεμενέων ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνοι, ἢν μὴ ἁγνεύοι, εἰσιόντες τε περιρραινόμεθα, οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. καὶ περὶ μὲν τῶν καθαρμῶν, οὕτω μοι δοκεῖ ἔχειν. τὸ δὲ νούσημα τοῦτο, οὐδέν τί μοι δοκεῖ θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ ἄλλα νουσήματα. καὶ πρόφασιν, ὅθεν ἕκαστα γίνεται. φύσιν δὲ τοῦτο καὶ πρόφασιν, ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι, ἀφ' ὅτου καὶ τἆλλα πάντα. καὶ ἰητὸν εἶναι. καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅτι μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ἔη, ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων τῶν προσφερομένων. ἄρχεται δὲ ὥσπερ καὶ τἆλλα νουσήματα κατὰ γένος. εἰ γὰρ ἐκ τοῦ φλεγματώδεος, φλεγματώδης. καὶ ἐκ χολώδεος, χολώδης γίνεται. καὶ ἐκ φθινώδεος, φθινώδης. καὶ ἐκ σπληνώδεος, σπληνώδης, τί κωλύει ὅτου πατὴρ καὶ μήτηρ εἴχετο τούτῳ τῷ νοσήματι, τούτῳ καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα; ὡς ὁ γόνος ἔρχεται πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν, ὑγιηρὸς, ἀπό τε τῶν νοσερῶν, νοσερός. ἕτερον δὲ μέγα τεκμήριον, ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν νουσημάτων. τοῖσι γὰρ φλεγματώδεσι, φύσει γίνεται· τοῖσι δὲ χολώδεσιν, οὐ προσπίπτει. καίτοι εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίνεσθαι τὴν νόσον ταύτην. καὶ μὴ διακρίνειν μήτε χολώδεα, μήτε φλεγματώδεα. ἀλλὰ γὰρ αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων. ὅτεῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου, ἐστὶ διπλόος, ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασι. τὸ δὲ μέσον αὐτοῦ διαιρεῖ μῆνιγξ λεπτή. διότι οὐκ ἀεὶ κατὰ τὸ αὐτὸ τῆς κεφαλῆς ἀλγεῖ, ἀλλ' ἐν μέρει ἑκάτερον. ὁτὲ δὲ ἅπασα. καὶ φλέβες τε εἰς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ λεπταί. δύο δὲ παχεῖαι. ἡ μὲν ἀπὸ τοῦ ἥπατος. ἡ δὲ ἀπὸ τοῦ σπληνός. καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ὧδε ἔχει. τὸ μέντοι τῆς φλεβὸς, κάτω τείνει, διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψύαν, ἐς τὸ ἐντὸς τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ. ἡ δὲ ἑτέρη, ἄνω τείνει διὰ φλεβῶν τῶν δεξιῶν καὶ τοῦ πνεύμονος. ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην, καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν. τὸ δὲ λοιπὸν, ἄνω φέρει διὰ τῆς κληῗδος εἰς τὰ δεξιὰ τοῦ αὐχένος, ἐς αὐτὸ τὸ δέρμα, ὥστε καταδήλος ἐστι. παρὰ δὲ τὸ οὖς κρύπτεται. καὶ ἐνταῦθα σχίζεται. καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον καὶ κοιλότατον, ἐς τὸν ἐγκέφαλον τελευτᾷ. τὸ δὲ ἐς τὸ οὖς τὸ δεξιόν, φλέβιον λεπτόν. τὸ δὲ ἐς τὸν ὀφθαλμὸν τὸν δεξιόν. τὸ δὲ ἐς τὸν μυκτῆρα. ἀπὸ μὲν τοῦ ἥπατος, οὕτως ἔχει τῶν φλεβῶν. διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλέψ, εἰς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ καὶ ἀπὸ τοῦ ἥπατος. λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη. κατὰ ταύτας δὲ τὰς φλέβας καὶ ἐσαγόμεθα τὸ πουλὺ τοῦ πνεύματος. αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος, τὸν ἠέρα εἰς σφᾶς ἕλκουσαι. καὶ ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσαι. καὶ κατὰ τὰ φλέβια καὶ ἀναψύχουσι καὶ πάλιν ἀφιᾶσιν. οὐ γὰρ οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ

Maxima ergo & sceleratissima peccata Deus expiat & purificat, tutelaque nostra existit, nosque Diis ipsis templorum ac delubrorum terminos constituimus, quos nemo nisi purus transcendat, & ingressi, nõ tanquam inquinati, respergimur, sed vt si quod etiam antea scelus contraximus, illud expiemus. Ac de expiationibus quidem ad hunc modum se res habere mihi videtur. At verò hic morbus nihil mihi reliquis diuinius, sed eandem etiam quam alij morbi naturam, & originis causam habere videtur, eiusq; natura & causa, vt aliorum omniũ diuina existimanda est, nihiloq; minus quàm cæteri curationem recipit, nisi ex longo temporis spatio vrgeat atq; adeò inualescat, vt oblata medicamenta superet. Initium autem ducit, veluti alij morbi, secundum cognationem. Si enim ex pituitoso pituitosus, & ex bilioso biliosus oritur, & ex tabido tabidus, & ex lienoso lienosus, quid vetat vt cuius parentes hoc morbo detineantur, eo quoq; & posterorum aliquis corripiatur? Cùm nempe genitura ab omnibus corporis partibus procedat, à sanis sana, & à morbosis morbosa. Est præterea magnum aliud argumentum, hunc morbum reliquis nihilò diuiniorem esse, quòd natura pituitosis oboriatur, biliosis verò minimè contingat. Quanquam si reliquis diuinior esset, omnibus ex æquo morbum hunc contingere oporteret, neq; biliosorum & pituitosorum discrimen facere. Sed enim ipsis huius affectionis cerebrũ, velut etiam aliorum magnorum morborum in causa est. Quod quónam modo & quanam ex causa contingat, apertè enarrabo. Cerebrum homini, vt reliquis omnibus animantibus, duplex est. Cuius medium tenuis membrana diuidit. Ideò non semper eadem capitis pars dolet, sed sigillatim vtraque, interdum verò totum. Quinetiam venæ multæ & tenues ex vniuerso corpore ad ipsum feruntur, duæ verò crassæ, vna quidem ab iecore, altera autem à liene. Et quæ ex iecore ducitur, ad hunc se habet modum. Vna quidem venæ pars ad dexteram, iuxta ipsum renem & lumbum, ad internam femoris partem, deorsum fertur, & ad pedem pertingit, vocaturq; vena caua. Altera verò per venas dextras & pulmonem sursum tendit, & in cor & brachium dextrum discinditur. Reliqua autem parte per iugulum ad dextram ceruicis partem sursum tendit in ipsam cutem, quò conspicua fiat. Iuxta aurem autem conditur, ibique scinditur, & crassissima, maxima & amplissima sua parte, in cerebrum desinit, altera verò parte, quæ vena tenuis est, ad aurem dextram fertur, altera ad oculum dextrum, altera ad nasum. Atque hoc modo venæ ab iecore se habent. A liene autem vena etiam ad sinistram deorsum & sursum contendit, non secus quàm ab hepate, tenuior tamẽ & imbecillior. Per has verò venas plurimũ spiritum adducimus. Hæc enim corporis nostri sunt spiracula, cùm aërem ad se trahant, & in reliquum corpus deducant, ac per venulas refrigerent, rursusq; emittant. Neque enim fieri potest vt spiritus consistat, sed

eum sursum ac deorsum ferri necesse est. Vbi enim sistitur & intercipitur, pars ea ad motionem impotens redditur. Cui rei hoc est indicio, cùm sedenti aut iacenti venulæ ita comprimũtur, vt spiritus à vena non irrumpat, statim torpor occupat. At reliquæ venæ hoc modo se habent. Hic autem morbus pituitosis contingit, biliosis verò minimè. Ac originis initium sumit, cùm adhuc fœtus in vtero existit. Purgatur enim & adolescit etiam cerebrum, velut aliæ partes, priùs quàm in lucem edantur. Quę purgatio si rectè & moderatè processerit, neque plus minúsve quàm oporteat defluxerit, hoc modo maximè sanum caput fœtus habet. Sin verò à toto cerebro copiosior colliquatio facta fuerit, cùm adoleuerit, morbis obnoxium & sonitus plenum caput habebit, neque solem, neque frigus perferet. Sin verò vnius cuiusdam partis colliquatio facta fuerit, nimirum oculi, aut auris, aut vna aliqua gracilis reddita fuerit, sic ille malè afficitur, prout sanè ex colliquatione se habebit. Quòd si purgatio non accesserit, sed in cerebro collecta fuerit, hoc modo pituitosum fœtum esse necesse est. Ac quibus quidem in puerili ætate vlcera in caput, in aures, & reliquum corpus erumpunt, si saliuosi mucosique extiterint, ij procedente quidem ætate facillimè degent. Tunc enim pituita, quam in vtero repurgari oportuerat, emittitur & purgatur, quique sic purgati fuerint, ferè hoc morbo comitiali minimè corripiuntur. Qui verò puri fuerint, vt neque vlcus vllum habuerint, neque mucus aut saliua vlla prodierit, neque in vtero repurgati fuerint, periculum est, ne ij hoc morbo corripiantur. Quòd si defluxio ad cor viam affectarit, cordis palpitatio & anhelationes præhendunt, pectus corrumpitur, quidam etiam incuruantur. Vbi enim pituita ad pulmonem & cor deuenerit, refrigescit sanguis, venæque per vim refrigeratæ ad pulmonem & cor resiliunt, corque palpitat, indeque necessario anhelatio & spiratio quæ erecta ceruice trahitur, incidit. Neque enim spiritum suscipere potest, donec quod influxit à pituita superatum, & calefactum per venas diffusum fuerit. Deinde palpitatio & anhelatio cessat, idque prout eius copia se habuerit. Si enim magna copia defluxerit, tardiùs, si pauciore, citiùs. Et siquidem crebriores defluxiones fuerint, frequentior morbi insultus fit, sin minùs, rarior. Atque hoc modo afficiuntur, cùm pulmonem & cor defluxio petierit. Quod si ad ventrem feratur, alui profluuia corripiunt. Sin verò his quidem viis excludatur, sed ad commemoratas venas defluxionem fecerit, tum voce deficitur, tum suffocatur, spumaque ore effluit, & dentes inter se cohærent, manus contrahuntur, & oculi peruertuntur, ac nihil intelligunt, nonnullis etiam stercus per inferiora demittitur. Atque hæc quidem interdum sinistra, interdum dextra, quandoque etiam vtraq; parte contingunt. Quanam autem ratione in singulis afficiatur, enarrabo. Vox quidem deficit, vbi pituita de repente in venas subiens, spiratione intercepta aërem excluserit, neq;

χωρέει ἄνω καὶ κάτω. ἢν γὰρ στῇ που καὶ ἀποληφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος, ὅπου ἂν στῇ. τεκμήριον δὲ, ὁκόταν γὰρ καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι ἀπὸ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. περὶ μὲν τῶν φλεβῶν τῶν λοιπῶν, οὕτως ἔχει. Η δὲ νοῦσος αὕτη γίνεται, τοῖσι μὲν φλεγματίῃσιν. τοῖσι δὲ χολώδεσιν, οὔ. ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου ἔτι ἐν τῇ μήτρῃ ἐόντος. καθαίρεται γὰρ καὶ αὐξέει, ὥσπερ τ' ἄλλα μέρεα πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. ἐν ταύτῃ δὲ τῇ [10] καθάρσει, ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ, καὶ μήτε πλέον μήτε ἔλασσον τοῦ δέοντος ἀποῤῥυῇ, οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν ἔχει. ἢν δὲ πλείων ἀπὸ παντὸς τοῦ ἐγκεφάλου γένηται ἡ ἀπότηξις, νοσώδεά τε τὴν κεφαλὴν ἕξει αὐξόμενος, καὶ ἤχου πλέην. καὶ οὔτε ἥλιον, οὔτε ψύχος ἀνέξεται. ἢν δὲ ἀπὸ ἑνός τινος γένηται, ἢ ἀπὸ ὀφθαλμοῦ, ἢ οὔατος, ἢ φλὲψ τις συνισχναθῇ, ἐκεῖνος κακοῦται οὕτως, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος ἔχῃ. ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν [20] ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν, καὶ ἐς τὰ οὔατα, καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα γένηται καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥήιστα διάγει προϊούσης τῆς ἡλικίης. ἐνταῦθα γὰρ ἀφίει καὶ καθαίρεται τὸ φλέγμα, ὃ ἔχρην ἐς τὴν μήτρην καθαρθῆναι. καὶ τὰ οὕτω καθαρθέντα, οὐκ ἐπιληπτα γίνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πολύ. ὁκόσα δὲ καθαρά ἐστι καὶ μήθ' ἕλκος μηδὲν, μήτε μύξα, μήτε σίαλον προέρχεται μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, τοῖσι τοιούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου. ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥοος τὴν πορείην, παλμὸς ἐπιλαμβάνει [30] καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίνονται. ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πνεύμονα, ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα. αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι, πρὸς τῷ πνεύμονι καὶ τῇ καρδίῃ πηδῶσι. καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν, καὶ τὴν ὀρθοπνοίην. οὐ γὰρ δέχεσθαι τὸ πνεῦμα ἐθέλει, [22] μέχρις ἂν κρατηθῇ ὑπὸ τοῦ φλέγματος τὸ ἐπιῤῥυὲν, καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας. ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος. παύεται δὲ [40] ὅκως ἂν τοῦ πλήθεος ἔχῃ. ἢν μὲν γὰρ πλέον ἐπικαταῤῥυῇ, σχολαίτερον. ἢν δὲ ἔλασσον, θᾶσσον. καὶ ἢν μὲν πυκνότεροι ἔωσιν οἱ κατάῤῥοοι, πυκνότερα ἐπίληπτος γίνεται. ἢν δὲ μὴ, ἀραιότερα. ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πνεύμονα καὶ τὴν καρδίην ἴῃ. ἢν δὲ ἐς τὴν κοιλίην, διαῤῥοιαι λαμβάνουσιν. ἢν δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, εἰς δὲ τὰς φλέβας ἃς προείρηκα τὸν κατάῤῥοον ποιήσηται, ἄφωνός τε γίνεται καὶ πνίγεται. καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει. [22] καὶ οἱ ὀδόντες συνηρήκασι. καὶ αἱ χεῖρες συσπῶνται. καὶ τὰ ὄμματα διαστρέφονται. καὶ οὐδὲν φρονέουσιν. ἐνίοισι καὶ ὑποχωρέει ἡ κόπρος κάτω. καὶ ταῦτα γίνεται, ὁτὲ μὲν ἐς τὰ ἀριστερά. ὁτὲ δὲ ἐς τὰ δεξιά. ὁτὲ δὲ ἐς ἀμφότερα. Ὅκως δὲ τούτων ἕκαστον πάσχει, ἐγὼ φράσω. ἄφωνος μέν ἐστιν, ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας, ἀποκλείσῃ τὸν ἀέρα, καὶ

μὴ παρα-

μὴ παραδέχηται, μήτε ἐς τὸν ἐγκέφαλον, μήτε ἐς τὰς φλέβας τὰς κοίλας, μήτε ἐς τὰς κοιλίας· ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν. ὅταν γὰρ ἐπιλάβῃ αἱ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας, τὸ πνεῦμα πρῶτον μὲν ἐς τὸν ἐγκέφαλον ἔρχεται. ἔπειτα δὲ ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος. τὸ δὲ ἐπὶ τὸν πνεύμονα· τὸ δὲ ἐπὶ τὰς φλέβας. ἐκ τουτέων δὲ σκίδναται ἐς τὰ λοιπὰ μέρεα κατὰ τὰς φλέβας. καὶ ὅσον ἐς μὲν τὴν κοιλίην, διαψύχει καὶ ἄλλο τι οὐδὲν ξυμβάλλεται. τοῦτο δ' ἐς τὸν πνεύμονα. ὁ δὲ ἐς τὰς φλέβας ἀὴρ, ξυμβάλλεται ἐς τὰς κοιλίας εἰσιὼν καὶ ἐς τὸν ἐγκέφαλον. καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει. ὥστε ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος, καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. αἱ δὲ χεῖρες ἀκρατέες γίνονται καὶ σπῶνται, τοῦ αἵματος ἀτρεμίσαντος καὶ μὴ διαχεομένου ὥσπερ εἰώθει. καὶ οἱ ὀφθαλμοὶ διαστρέφονται τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος,[23] καὶ σφύζονται.[24] ἀφρὸς δὲ ἐκ τοῦ στόματος προέρχεται, ἐκ τοῦ πνεύμονος. ὅταν γὰρ τὸ πνεῦμα μὴ εἰσίῃ ἐς ἑωυτὸν, ἀφρέει καὶ ἀναβλύει, ὥσπερ ἀποθνήσκων. ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου. πνίγεται δὲ τοῦ ἥπατος καὶ τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων,[25] καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου. προσπίπτει δὲ ὁκόταν τὸ πνεῦμα μὴ εἰσίῃ ἐς τὸ στόμα ὅσον εἰώθει. λακτίζει δὲ τοῖσι ποσὶν,[26] ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι, καὶ μὴ οἷός τε ἔῃ διεκδῦναι ἔξω, ὑπὸ τοῦ φλέγματος· ἀΐσσων διὰ τοῦ αἵματος, ἄνω καὶ κάτω σπασμὸν ἐμποιέει καὶ ὀδύνην, διὸ λακτίζει. ταῦτα δὲ πάσχει πάντα, ὁκόταν τὸ φλέγμα ψυχρὸν παραῤῥυῇ ἐς τὸ αἷμα θερμὸν ἐόν. ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα. κἢν μὲν τὸ ῥεῦμα πουλὺ ἔῃ καὶ παχὺ, αὐτίκα ἀποκτείνει. κρατέει γὰρ τοῦ αἵματος τῷ ψύχει καὶ πήγνυσιν. ἢν δὲ ἔλασσον ἔῃ, τὸ μὲν παραυτίκα κρατέει, ἀποφράξαν τὴν ἀναπνοήν. ἔπειτα τῷ χρόνῳ, ὁκόταν σκιδνασθῇ κατὰ τὰς φλέβας, καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ οὕτως, ἐδέξαντο τὸν ἠέρα αἱ φλέβες, καὶ ἐφρόνησαν. καὶ ὁκόσα μὲν παιδία σμικρὰ καταληπτὰ γίνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσκει, ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται, καὶ νότιον ἔῃ. τὰ γὰρ φλέβια λεπτὰ ἐόντα, οὐ δύναται παραδέχεσθαι τὸ φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, ἀλλ' ἀποψύχεται καὶ πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει.[27] ἢν δὲ ὀλίγον ἐὸν ἐς ἀμφοτέρας τὰς φλέβας τὸν κατάῤῥοον ποιήσηται, ἢ ἐς τὰς ἐπὶ θάτερα, περιγίνεται ἐπίσημα ἐόντα. ἢ γὰρ στόμα παρέσπασται, ἢ ὀφθαλμὸς, ἢ αὐχὴν, ἢ χεὶρ, ὁκόθεν ἂν τὸ φλέβιον πληρωθὲν τοῦ φλέγματος, κρατηθῇ καὶ ἀπισχνωθῇ. τούτῳ οὖν τῷ φλεβίῳ, ἀνάγκη ἀσθενέστερον εἶναι καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν. ἐς δὲ τὸν πλείονα χρόνον, ὠφελέει ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται, ἢν ἅπαξ ἐπισημανθῇ,[28] διὰ τόδε. ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται, καὶ μέρος τι συνισχναίνονται. ὡς τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάῤῥοον, μηκέτι ὁμοίως παραῤῥέειν. ἀσθενέστερα μέντοι ὁμοίως τὰ μέλεα εἰκὸς εἶναι, τῶν φλεβῶν κακωθεισῶν.[29] ὁκόσοισι δ' ἂν πρεσβυτέροισί τε, καὶ πάνυ ὀλίγον παραῤῥυῇ, καὶ ἐς τὰ δεξιὰ, ἀσήμως περιγίνονται. κίνδυνος δὲ

in cerebrum, neque in venas cauas, neque in ventriculos receperit. Cùm enim spiritum ore & naribus homo accipiat, primùm quidem cerebrum petit, deinde magna ex parte in ventriculum fertur, pars quidem ad pulmonem, pars etiam ad venas, indeque per venas ad reliquas partes dispergitur. Quique ad ventriculum fertur refrigerat, nihilq; aliud confert, quod etiam ad pulmonem delatus præstat. Aër verò qui ad venas peruenit, cerebrum subiens ad ventriculos accedit, sicque intelligentiam & motionem membris præbet. Quare vbi pituita à venis aërem excluserit, eumque minimè admiserint, voce defectum & minimè intelligentem hominem efficiunt. Manus autem ad motionem impotentes redduntur, & contrahuntur, sanguine conquiescente, neque, vt consueuit, diffuso. Oculi peruertuntur cùm venæ aëre excluduntur & contorquentur. Spuma autem ex pulmone per os prodit. Cùm enim spiritus in ipsum minimè subit, velut moriens spumescit & ebullit. Stercus verò submittitur, dum violenter suffocatur. Quod fit cùm hepar & ventriculus ad septum transuersum irrumpit, & os ventris occluditur. Irrumpit verò, cùm spiritus non quantus solebat in os ingreditur. Pedibus autem calcitrat, cùm aër in membris interclusus, foras præ pituita emergere non valet, & cum sanguine sursum ac deorsum impetu delatus, conuulsionem & dolorem infert, ideoque calcitrat. Atque hæc quidem omnia patitur, cùm pituita frigida in sanguinem calidum defluens, eum sistit & refrigerat. Et si quidem fluxio copiosa & crassa fuerit, statim necat. Sanguinem enim frigore superat & congelat. Sin verò paucior extiterit, in præsentia quidem superat & respirationem intercipit. Deinde temporis spatio cùm per venas dispersa, & copioso sanguini ac calido permixta fuerit, si hoc modo superetur, venæ aërem suscipiunt, ægrique ad intelligentiam redeunt. Qui ætate paruula hoc morbo corripiuntur, plærunque intereunt, si copiosa & humida fluxio contingat. Venæ nanque cùm tenues existant, pituitam crassam & copiosam recipere nequeunt, sed refrigeratur & condensatur sanguis, hocque modo pereunt. Quòd si pauca fuerit & in vtrasque, aut alterius partis defluxionem fecerit, superstites euadunt, nota ex morbo impressa relicta. Aut enim os contrahitur, aut oculus, aut ceruix, aut manus, quacunque parte venula pituita repleta, superata & extenuata fuerit. Hanc igitur venulam debiliorem esse, istamque corporis partem læsam viribus deficere necesse est. At verò in longius tempus plærunque iuuat. Neque enim si semel notam ex morbo impressam habuerit, ampliùs morbo corripitur. Eam ob causam venæ reliquæ necessariò malè afficiuntur, simúlque quadam ex parte graciles efficiuntur, ita vt aërem quidem suscipiant, & pituitæ defluxio non ampliùs similiter affluat. Venis tamen malè affectis membra simili modo debilia esse par est. Quibus autem grandiori ætate & valdè etiam pauca pituita, & in dextram partem affluxerit, ij citra notam ex morbo relictam supersunt, periculum tamen

est ne morbus familiaris reddatur, & simul increscat, nisi accommodata curatio adhibeatur. Pueris igitur ista, aut his proxima contingunt, grandiores verò natu, cùm superuenerit, neque interficit, neque contorquet. Nam & venę amplam habent cauitatem, & sanguine calido refertæ sunt, ideoq; neque superare pituita potest, neque sanguinem refrigeratum cogere, sed ipsa superatur, & celeriter sanguini permiscetur, hocq; modo venæ aërem suscipiunt, & intelligentia permanet, & propter virium robur, signa priùs commemorata minùs prehendunt. Valdè senes autem, cùm superuenerit hic morbus, ideò interficit, aut parte aliqua resolutos reddit, quòd venæ iam vacuæ redditæ, paucum sanguinem, tenuem & aquosum continent. Si quidem igitur copiosa fluxio fuerit, & hyems instet, interficit. Suffocando enim spirationem intercipit, & sanguinem congelat, si in vtranque partem defluxio contingat, sin verò in alteram partem tantùm, parte quadam syderatum reddit. Neque enim sanguis, tenuis cùm sit, frigidus & paucus, pituitam superare potest, sed superatus ipse congelatur, vt proinde partes illæ in quibus corruptus sanguis fuerit, ad motionem impotentes euadant. In partem autē dextram magis quàm in sinistram defluxio fit, quia venæ ampliores sunt & plures quàm in sinistris, cùm de iecore & liene tendant. Pueris autem maximè defluxio fit & eliquatur, quibus sanè siue ex sole, siue ex igne caput concaluerit, siue etiam de repente cerebrum inhorruerit, tum etiam pituita excernetur. Colliquescit siquidem calore & cerebri diffusione, frigore autem & concretione excernitur, sicque defluxio fit. Et hæc quidem quibusdam causa est, quibusdam etiam cùm post aquilonares ventos auster mutationem fecerit, concretum ac debile cerebrum de repente soluitur & laxatur, ita vt pituita exundet, sicq; defluxionem faciat. Insuper etiam defluit, si obscurus aliquis metus contingat, si vociferante quidem aliquo terreatur, aut etiam cùm plorat, si spiritum quidem citò recipere nequeat, qualia frequenter pueris contingunt. Ex quibus sanè totum corpus inhorrescit, vox ægrum deficit, & spiritum non attrahit, sed spiritus conquiescit, & cerebrum concrescit, sanguisq; sistitur, sicq; pituita excernitur & defluit. Ac pueris quidem hæ per initia comitialis morbi causæ sunt. Grandioribus autē natu hyems maximè est infensa. Cùm enim ad multum ignem caput & cerebrum concalefecerit, deinde ex frigore rigore correptus fuerit, & ex frigore ad locũ tepidum accesserit, & iuxta ignem sederit, hoc idem etiam patitur. Atque hoc morbo, velut antè est commemoratum, ad hũc modum corripitur. Multùm autem periclitatur, ne idem per ver patiatur, si caput ad solem exponatur, per æstatem verò minimè, cùm tunc repentinę mutationes non contingāt. Cùm verò vigesimum annum præterierit, non ampliùs prehendit hic morbus, aut certè paucos, aut nullum, nisi pueritiæ fuerit familiaris. Venę enim sanguine refertæ sunt, & cerebrum compactum est & rigidum, ita vt non defluat in venas. Quòd si defluxerit, sanguinem copiosum & calidum minimè superat.

ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπεύωσι τοῖσιν ἐπιτηδείοισι. τοῖσι μὲν οὖν παιδίοισιν οὕτω γίνεται, ἢ ὅτι τούτων ἐγγυτάτω. τοὺς δὲ πρεσβυτέρους οὐκ ἀποκτείνει ὁκόταν ἐπιγένηται οὐδὲ διαστρέφει. αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι, καὶ αἵματος μεσταὶ θερμοῦ, διότι οὐδὲ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, οὐδὲ ἀποψύξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι. ἀλλ' αὐτὸ κρατέεται καὶ καταμίγνυται τῷ αἵματι ταχέως. καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα γίνεται. τά τε σημεῖα τὰ προειρημένα, ἧσσον ἐπιλαμβάνει διὰ τὴν ἰσχύν. τοῖσι δὲ πρεσβυτάτοισιν, ὁκόταν ἐπιγένηται τοῦτο τὸ νόσημα, διὰ τοῦτο ἀποκτείνει, ἢ παράπληκτον ποιέει, ὅτι αἱ φλέβες κεκένωνται, καὶ τὸ αἷμα ὀλίγον τέ ἐστι, καὶ λεπτὸν, καὶ ὑδαρές. ἢν μὲν οὖν πολὺ καταρρυῇ καὶ χειμῶνος ᾖ καιρὸς, ἀποκτείνει. ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς, καὶ ἀπέπηξε τὸ αἷμα ἢν ἐπ' ἀμφότερα ὁ κατάρρος γένηται. ἢν δὲ ἐπὶ θάτερα, μεῖον παράπληκτον ποιέει. οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος, λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν, ἐπάγη. ὥστε ἀκρατέα ἐστὶν ἐκεῖνα, καθ' ἃ τὸ αἷμα διεφθάρη. ἐς δὲ τὰ δεξιὰ μᾶλλον καταρρέει, ἢ ἐς τὰ ἀριστερὰ, ὅτι αἱ φλέβες εἰσὶ κοιλότεραι καὶ πλείονες, ἢ ἐν τοῖσιν ἀριστεροῖσιν. ἀπὸ γὰρ τοῦ ἥπατος τείνουσι, καὶ ἀπὸ τοῦ σπληνός. ἐπικαταρρέει δὲ καὶ ἀποτήκεται, τοῖσι μὲν παιδίοισι, μάλιστα, οἷσι δὴ ἂν διαθερμανθῇ ἡ κεφαλὴ, ἤν τε ὑπὸ ἡλίου, ἤν τε ὑπὸ πυρός. ἤν τε καὶ ἐξαπίνης φρίξῃ ὁ ἐγκέφαλος, καὶ τότε ἀποκρίνεται τὸ φλέγμα. ἀποτήκεται μὲν γὰρ ἐκ τῆς θέρμης, καὶ διαχύσιος τοῦ ἐγκεφάλου. ἀποκρίνεται δὲ ἀπὸ τῆς ψύξιός τε καὶ ξυστάσιος. καὶ οὕτως ἐπικαταρρέει. τοῖς μὲν αὕτη ἡ πρόφασις γίνεται. τοῖσι δὲ καὶ ἐπειδὰν ἐξαπίνης μετὰ βόρεια πνεύματα νότος μεταβάλῃ, ξυνεστηκότα τὸν ἐγκέφαλον καὶ ἀσθενέοντα ἔλυσεν καὶ ἐχάλασεν ἐξαίφνης, ὥστε πλημμυρεῖν τὸ φλέγμα, καὶ οὕτω τὸν κατάρροον ποιέεται. ἐπικαταρρέει δὲ καὶ ἐξ ἀδήλου φόβου γινομένου, ἢν δείσῃ μὲν ἢ βοήσαντός τινος. ἢ καὶ μεταξὺ κλαίων, μὴ οἷός τε ᾖ τὸ πνεῦμα ταχέως ἀναλαβεῖν, οἷα γίνεται παιδίοισι πολλάκις. ὅ,τι ἂν τούτων αὐτῷ γένηται, εὐθὺς ἔφριξε τὸ σῶμα. καὶ ἄφωνος γενόμενος τὸ πνεῦμα οὐχ εἵλκυσεν. ἀλλὰ τὸ πνεῦμα ἠρέμισε, καὶ ὁ ἐγκέφαλος ξυνέστη, καὶ τὸ αἷμα ἔστη, καὶ οὕτως ἀπεκρίθη καὶ ἐπικατεῤῥύη τὸ φλέγμα. τοῖσι μὲν παιδίοισιν, αὗται αἱ προφάσιες τῆς ἐπιλήψιος εἰσὶ τὴν ἀρχήν. τοῖσι δὲ πρεσβύτῃσι, χειμὼν πολεμιώτατός ἐστιν. ὅταν γὰρ παρὰ πυρὶ πολλῷ διαθερμανθῇ τὴν κεφαλὴν καὶ τὸν ἐγκέφαλον, ἔπειτα ἐν ψύχει γένηται καὶ ῥιγώσῃ, καὶ ἐκ ψύχεος εἰς ἀλέην ἔλθῃ, καὶ παρὰ πῦρ καθίσῃ, καὶ αὐτὸ τοῦτο πάσχει, καὶ οὕτως ἐπίληπτος γίνεται κατὰ τὰ προειρημένα. κίνδυνος δὲ πολὺς καὶ ἦρος παθεῖν, τὸ αὐτὸ τοῦτο ἢν ἡλιωθῇ ἡ κεφαλή. τοῦ δὲ θέρεος, ἥκιστα. οὐ γὰρ γίνονται μεταβολαὶ ἐξαπιναῖοι. Ὁκόταν δὲ εἴκοσιν ἔτεα παρέλθῃ, οὐκ ἔτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, ἢν μὴ ἐκ παιδίου σύντροφος ᾖ, ἀλλ' ἢ ὀλίγους, ἢ οὐδένα. αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος. καὶ ὁ ἐγκέφαλος συνέστηκεν,[30] καὶ ἔστι στρυφνὸς,[31] ὥστε οὐκ ἐπικαταρρέει ἐπὶ τὰς φλέβας. ἢν δὲ ἐπικαταρρυῇ, τοῦ αἵματος οὐκ ἐπικρατέει, πολλοῦ καὶ θερμοῦ ἐόντος.

ὧδε

ᾧ δὲ ἀπὸ παιδίου συνηύξηται, καὶ συντέτροφεν, ἔθος πεποίηκεν ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν, καὶ ἐπίληπτον ὡς τὰ πολλὰ γίνεσθαι, καὶ μάλιστα ἐν τοῖσι νοτίοισιν, ἥτε ἀπάλλαξις χαλεπὴ γίνεται. ὁ γὰρ ἐγκέφαλος ὑγρότερος γίνεται τῆς φύσιος, καὶ πλημμυρεῖ ὑπὸ τοῦ φλέγματος, ὥστε τοὺς μὲν καταῤῥόους, πυκνοτέρους γίνεσθαι. ἐκκριθῆναι δὲ μηκέτι οἷόν τε εἶναι τὸ φλέγμα, μηδὲ ἀναξηρανθῆναι τὸν ἐγκέφαλον, ἀλλὰ διαβρέχεσθαι, καὶ εἶναι ὑγρόν. γνοίη δ' ἄν τις τόδε μάλιστα, τοῖσι προβάτοισι, τοῖσι καταλήπτοισι γινομένοισιν ὑπὸ τῆς νόσου ταύτης, καὶ μάλιστα τῇσιν αἰξίν. αὗται γὰρ πυκνότατα λαμβάνονται. ἢν διακόψῃς τὴν κεφαλήν, εὑρήσεις τὸν ἐγκέφαλον ὑγρὸν ἐόντα, καὶ ἱδρῶτος περίπλεων, καὶ κακὸν ὄζοντα. καὶ ἐν τούτῳ δηλονότι γνώσῃ, ὅτι οὐχ ὁ θεὸς τὸ σῶμα λυμαίνεται, ἀλλ' ἡ νόσος. οὕτω δ' ἔχει καὶ τῷ ἀνθρώπῳ. ὁκόταν γὰρ ὁ χρόνος γένηται τῇ νούσῳ, οὐκ ἔτι ἰήσιμος γίνεται. διεσθίεται γὰρ ὁ ἐγκέφαλος ὑπὸ τοῦ φλέγματος καὶ τήκεται. τὸ δὲ ἀποτηκόμενον, ὕδωρ γίνεται. καὶ περιέχει τὸν ἐγκέφαλον ἐκτὸς καὶ περικλύζει. καὶ διὰ τοῦτο πυκνότερον ἐπίληπτοι γίνονται καὶ ῥᾷον. διὸ δὴ πολυχρόνιος ἡ νοῦσος, ὅτι τὸ ἐπιῤῥέον λεπτόν ἐστιν ὑπὸ πολυπληθίης. καὶ εὐθὺς κρατέεται ὑπὸ τοῦ αἵματος καὶ διαθερμαίνεται. Ὁκόσοι δὲ ἤδη ἐθάδες εἰσὶ τῇ νούσῳ, προγινώσκουσιν ὁκόταν μέλλωσι λήψεσθαι, καὶ φεύγουσιν ἐκ τῶν ἀνθρώπων. ἢν μὲν ἐγγὺς αὐτῶν ὁ οἶκος ᾖ, οἴκαδε. ἢν δὲ μή, ἐς τὸ ἐρημότατον, ὅπη μέλλουσιν ὄψεσθαι αὐτὸν ἐλάχιστοι πεσόντα, εὐθύς τε ἐγκαλύπτεται. τοῦτο δὲ ποιεῖ ὑπ' αἰσχύνης τοῦ πάθεος, καὶ οὐχ ὑπὸ φόβου, ὡς οἱ πολλοὶ νομίζουσι, τοῦ δαιμονίου. Τὰ δὲ παιδάρια τὸ μὲν πρῶτον πίπτουσιν ὅπη ἂν τύχωσιν ὑπὸ ἀηθίης. ὅταν δὲ πλεονάκις καταληπτοὶ γίνωνται, ἐπειδὰν προαισθάνωνται, φεύγουσι παρὰ τὰς μητέρας, ἢ παρὰ ἄλλον ὅντινα μάλιστα γινώσκουσιν ὑπὸ δέους καὶ φόβου τοῦ πάθεος. τὸ γὰρ αἰσχύνεσθαι παῖδες ὄντες, οὔπω γινώσκουσιν. Ἐν δὲ τῇσι μεταβολῇσι τῶν πνευμάτων, διὰ τάδε φημὶ ἐπιλήπτους γίνεσθαι, καὶ μάλιστα τοῖσι νοτίοισιν. ἔπειτα καὶ τοῖσι βορείοισιν. ἔπειτα καὶ τοῖσι λοιποῖσι πνεύμασι. ταῦτα δέ ἐστιν, ὅσα τῶν πνευμάτων ἰσχυρότατά ἐστι, καὶ ἀλλήλοισιν ἐναντιώτατα κατὰ τὴν στάσιν καὶ κατὰ τὴν δύναμιν. ὁ μὲν γὰρ βορέης, ξυνίστησι τὸν ἠέρα. καὶ τὸ θολερόν τε καὶ τὸ νεφῶδες ἐκκρίνει, καὶ λαμπρότερον καὶ διαφανέα ποιεῖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τἄλλα πάντα τὰ ἐκ τῆς θαλάσσης ἀρξάμενα, καὶ τῶν ἄλλων ὑδάτων. ἐκκρίνει γὰρ ἐξ ἁπάντων τὴν νοτίδα καὶ τὸ δνοφερόν, καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων, διὸ καὶ ὑγιεινότατός ἐστι τῶν ἀνέμων. ὁ δὲ νότος, τἀναντία τούτῳ ἐργάζεται. πρῶτον μὲν γὰρ ἄρχεται τὸν ἠέρα ξυνεστεῶτα τήκειν καὶ διαχέειν. καθότι καὶ οὐκ εὐθὺς πνέει μέγας, ἀλλὰ γαληνίζει πρῶτον, ὅτι οὐ δύναται ἐπικρατῆσαι τοῦ ἠέρος αὐτίκα, τοῦ πρόσθεν πυκνοῦ τε ἐόντος, καὶ ξυνεστηκότος, ἀλλὰ τῷ χρόνῳ διαλύει. ὁ δ' αὐτὸ τοῦτο καὶ τὴν γῆν ἐργάζεται, καὶ τὴν θάλασσαν, καὶ τοὺς ποταμούς, καὶ τὰς κρήνας, καὶ τὰ φρέατα, καὶ ὅσα φύεται, καὶ ἐν οἷσιν ὑγρὸν ἔνεστιν. ἔστι δὲ ἐν παντί, ἐν μὲν τῷ πλέον, ἐν δὲ τῷ ἔλασσον. ἅπαντα δὲ ταῦτα αἰσθάνεται τοῦ πνεύματος τούτου. καὶ ἔκ τε λαμπρῶν, δνοφερώδεα γίνεται. ἔκ τε ψυχρῶν, θερμά. καὶ ἐκ ξηρῶν, νοτώδεα.

In quo verò vnà à puero increuit & adoleuit, is p ventorum mutationes id pati consueuit, & plærunq; hoc morbo corripi, præcipueq; australi temporis conditione difficilis eius liberatio contingit. Cerebrū enim humidius quàm pro natura existit, & pituita exundat, ita vt crebriores defluxiones contingat, neq; amplius fieri possit vt pituita excernatur, neq; vt cerebrum resiccetur, sed irriguum & humidum esse necesse est. Id ipsum autem præcipuè ex ouibus hoc morbo correptis quis cognoscere queat, ac præsertim capris, quæ frequentissimè hoc morbo prehenduntur. Harum si caput secueris, cerebrum humidum, & sudore redundans, & malè olens deprehēdes. Ex quo certè cognosces morbum, non Deum, corpus infestare. Sic etiam in homine se res habet. Cùm enim inueterauerit morbus, ampliùs curari non potest. Cerebrum enim à pituita eroditur & colliquescit. Quod colliquatum est, in aquam vertitur, foris cerebrum ambit & circumcirca alluit. Ideoq; frequentiùs & faciliùs hoc morbo corripiuntur. Diuturnus verò ob id morbus est, quoniam quod affluit præ copia tenue est, & statim à sanguine superatur & incalescit. Quibus verò morbus iam in consuetudinem venit, ij se correpturos iri præsentiunt, & hominum conspectum fugiunt, domumque, si propè sit, se cōferunt, sin minùs, in solitudinem, quò quàm paucissimi eos cadentes videant, statimq; se contegunt. Quod facinus propter affectionis verecundiam, non (vt plærique existimant) propter numinis metum. At verò pueri primùm quidem propter insuetam nouitatem, quocunque loco sors obtigerit, concidunt. Cùm autem sæpiùs prehēdantur, vbi præsenserint, ad matres, aut alium quemuis maximè sibi notum, propter affectionis timorem ac metum confugiunt. Neq; enim, cùm pueri sint, verecundiam adhuc sentiunt. In ventorum autem mutationibus has ob causas morbo corripi censeo, ac precipuè austrinis tempestatibus, deinde etiam borealibus, postea verò reliquis etiam flantibus ventis, ex iisq; qui sunt valentissimi, & inter se, tum situ, tum viribus, maximè aduersi. Aquilo siquidem aëra cogit, turbulētum ac nubilosum secernit, limpidum & lucidū reddit. Ad eundem verò modum reliqui etiam omnes venti ex mari & aliis aquis venientes. Ex omnibus enim atque ex ipsis hominibus humiditatem & caliginem expurgāt. Ideoque ventorum saluberrimus est aquilo. Huic autem contraria auster efficit. Primum siquidem concretum aëra liquare & diffundere incipit, ex quo etiam non confestim vehemens est, sed primò leuiter spirat, cùm aërem priùs densum & coactum statim superare non possit, quem tamen temporis spatio dissoluit. Idem etiam ipsum per terram efficit, per mare, per flumina, per fontes & puteos, & ea quæ ex terra nascūtur, ac in quibus humidum inest. Id autem quauis in re, modò plus, modò minus inest. Hæc verò omnia istius venti vim sentiunt, & ex lucidis caliginosa, ex frigidis calida, & ex siccis humida redduntur.

Quæq; in domibus vasa fictilia in terra sita sunt, vino aut alio quouis liquore plena, ea omnia austrum sentiunt, formamq; aliam in speciem transmutant. Solem autem & lunam, & sydera, longè quàm sint naturâ hebetiora facit. Cùm igitur in hæc tam magna & valida tãtum possit, corpusq; sensu afficiat, & in horum ventorum permutationibus transmutet, ab austris quidem cerebrum dissolui & humescere, venasq; magis elaxari necesse est, ab aquilonibus autem, quod in cerebro maximè sanũ est cogi, quod verò maximè morbosum est & humidum secerni, & foris circumcirca alluere, eaq; ratione defluxiones in horum ventorum mutationibus contingere. Sic morbus hic oritur & pullulat, tum ab his quæ adsunt, tum ab his quæ decedunt, nihiloque eius curatio aut cognitio reliquis est difficilior, neque magis quàm cæteri diuinus est. Ac nosse homines conuenit, non aliundè nobis voluptates, lætitias, risus, & iocos, quàm hinc contingere, itemq; dolores, molestias, tristitias, & eiulatus. Hacq; parte præcipuè sapimus & intelligimus, & videmus, & audimus & turpia & honesta cognoscimus, malaq; & bona, itemq; quæ iucunda sunt & iniucunda, partim quidem consuetudine discernimus, partim verò vtilitate percipimus. Hac etiam parte voluptates & molestias temporibus dignoscimus, neq; eadem nobis placent. Eademq; ipsa parte & insanimus & deliramus, terroresq; & metus, partim quidẽ noctu, partim etiam interdiu nos circunstant, insomniaq; & errores intempestiui, & curæ non conuenientes, indeq; rerum præsentium ignoratio, desuetudo & imperitia nobis prouenit. Atque hæc omnia ex cerebro nobis contingunt, cùm minimè sanum, sed natura calidius extiterit, aut frigidius, aut humidius, aut siccius, aut aliam quandam præter naturam & consuetudinem affectionem senserit. Ac insania quidem nobis ab humiditate contingit. Cùm enim natura humidius fuerit, agitari necesse est, atque vbi mouetur affectio, neque visionem, neq; auditionem conquiescere, sed aliud interdum cernere & audire necesse est, linguámque eadem quæ singulis momentis videt & audit effari. Quoq; tempore cerebrum conquiescit, eo etiam homo sapit. At cerebri corruptio ex pituita & bile oritur, vtrunque autem hoc modo dignosces. Qui ex pituita quidem insaniunt, quieti sunt, neque vociferantur, neque tumultuantur, qui verò ex bile, clamosi & maligni, & minimè quieti, semper aliquid intempestiuum faciunt. Ex his igitur causis continuò insaniũt. Quòd si terrores & metus adsunt, ex cerebri trãsmutatione contingit, quod fit, dum à bile cerebrum incalescit, vbi per venas sanguinem deferentes in cerebrum ex corpore impetu delata fuerit. Metus autem circunstat, donec rursus in venas & corpus redierit, deinde sedatur. Intempestiuè autẽ tristatur & angitur, dum cerebrum perfrigescit, & præter cõsuetudinem cogitur. Id verò & ex pituita cõtingit, ex eaq; affectione obliuiosus euadit. At vbi cerebrum de repente percalescit, nocte clamat & vociferatur (idq; biliosis contingit, minimè verò pituitosis, cũ hi non percalefiant)

ὁκόσα τε ἐν οἰκήμασι κεράμια κατὰ γῆς ἐστι[34] μετ' οἴνου ἢ ἄλλου τινὸς ὑγροῦ, πάντα ταῦτα αἰσθάνεται τοῦ νότου, καὶ διαλλάσσει τὴν μορφὴν εἰς ἕτερον εἶδος. τὸν δ' ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα, πολὺ ἀμβλυωπότερα καθίστησι τῆς φύσιος. ὅτε οὖν καὶ τούτων οὕτω μεγάλων ἐόντων καὶ ἰσχυρῶν τοσοῦτον ἐπικρατέει, καὶ τὸ σῶμα ποιέει αἰσθάνεσθαι, καὶ μεταβάλλειν ἐκ τῶν ἀνέμων τούτων[35] ἐν τῇσι μεταλλαγῇσιν, ἀνάγκη τοῖσι μὲν νοτίοισι λύεσθαί τε[36] καὶ φλυδᾷν τὸν ἐγκέφαλον, καὶ τὰς φλέβας χαλαρωτέρας εἶναι. τοῖσι δὲ βορείοισι ξυνίστασθαι τὸ ὑγιηρέστατον τοῦ ἐγκεφάλου. τὸ δὲ νοσερώτατον καὶ ὑγρότατον, ἐκκρίνεσθαι καὶ περικλύζειν ἔξωθεν. καὶ οὕτω τοὺς καταῤῥόους ἐπιγίνεσθαι ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τούτων. οὕτως ἡ νοῦσος αὕτη γίνεται καὶ θάλλει ἀπὸ τῶν προσιόντων τε καὶ ἀπιόντων.[37] καὶ οὐδέν ἐστιν ἀπορωτέρη τῶν ἄλλων, οὔτε ἰῆσθαι, οὔτε γνῶναι, οὔτε θειοτέρη ἢ ὡς αἱ ἄλλαι. εἰδέναι δὲ χρὴ τοὺς ἀνθρώπους, ὅτι ἐξ οὐδενὸς ἡμῖν αἱ ἡδοναὶ γίνονται, καὶ αἱ εὐφροσύναι, καὶ γέλωτες, καὶ παιδιαὶ, ἢ ἐνθένδε. καὶ λῦπαι, καὶ ἀνίαι, καὶ δυσφροσύναι, καὶ κλαυθμοί. καὶ τούτῳ φρονέομεν μάλιστα καὶ νοοῦμεν. καὶ βλέπομεν. καὶ ἀκούομεν. καὶ γινώσκομεν τά τε αἰσχρὰ καὶ τὰ καλά. καὶ τὰ κακὰ καὶ ἀγαθά. καὶ ἡδέα καὶ ἀηδέα. τὰ μὲν, νόμῳ διακρίνοντες· τὰ δὲ, τῷ συμφέροντι αἰσθανόμενοι. τῷ δὲ τὰς ἡδονὰς καὶ τὰς ἀηδίας, τοῖσι καιροῖσι διαγινώσκοντες. καὶ οὐ ταὐτὰ ἀρέσκει ἡμῖν, τῷ δὲ αὐτῷ τούτῳ καὶ μαινόμεθα καὶ παραφρονέομεν. καὶ δείματα καὶ φόβοι παρίστανται ἡμῖν. τὰ μὲν, νύκτωρ· τὰ δὲ, μεθ' ἡμέρην. καὶ ἐνύπνια καὶ πλάνοι ἄκαιροι. καὶ φροντίδες οὐχ ἱκνεύμεναι καὶ ἀγνωσίη τῶν καθεστεώτων. καὶ ἀηθίη. καὶ ἀπειρίη. καὶ ταῦτα πάσχομεν ἀπὸ τοῦ ἐγκεφάλου πάντα, ὅταν οὗτος μὴ ὑγιαίνῃ, ἀλλ' ἢ θερμότερος τῆς φύσιος γένηται, ἢ ψυχρότερος, ἢ ὑγρότερος, ἢ ξηρότερος, ἤτι ἄλλο πεπόνθῃ πάθος παρὰ τὴν φύσιν, ὃ μὴ εἰώθει.[38] καὶ μαινόμεθα μὲν ὑπὸ ὑγρότητος. ὁκόταν γὰρ ὑγρότερος τῆς φύσιος ἔῃ, ἀνάγκη κινέεσθαι. κινευμένου δὲ τοῦ πάθεος, μήτε τὴν ὄψιν ἀτρεμίζειν, μήτε τὴν ἀκοὴν, ἀλλ' ἄλλοτε ἄλλο ὁρᾷν καὶ ἀκούειν. τὴν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὁκόσον δ' ἂν ἀτρεμήσῃ ὁ ἐγκέφαλος χρόνον, τοσοῦτον καὶ φρονέει ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου, ὑπὸ φλέγματος καὶ χολῆς. γνώσῃ δὲ ἑκάτερα, ὧδε. οἱ μὲν γὰρ ὑπὸ τοῦ φλέγματος μαινόμενοι, ἥσυχοί τε εἰσὶ, καὶ οὐ βοῶσιν, οὐδὲ θορυβέουσιν.[39] οἱ δὲ ὑπὸ χολῆς, κεκράκται καὶ κακοῦργοι, καὶ οὐκ ἀτρέμαιοι, αἰεί τι ἄκαιρον δρῶντες. ἢν μὲν οὖν ξυνεχέως μαίνωνται, αὗται αὐτοῖς αἱ προφάσιές εἰσιν. ἢν δὲ δείματα καὶ φόβοι παριστῶνται, ὑπὸ μεταστάσιος τοῦ ἐγκεφάλου. μεθίσταται δὲ, θερμαινόμενος. θερμαίνεται δὲ, ὑπὸ τῆς χολῆς, ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐγκέφαλον,[40] κατὰ τὰς φλέβας τὰς αἱματίτιδας ἐκ τοῦ σώματος. καὶ φόβος παρέστηκε, μέχρις ἀπέλθῃ πάλιν ἐπὶ τὰς φλέβας καὶ τὸ σῶμα. ἔπειτα πέπαυται. ἀνιᾶται δὲ[41] ἀσᾶται παρὰ καιρὸν, ψυχομένου τοῦ ἐγκεφάλου, καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. τοῦτο δὲ ὑπὸ φλέγματος πάσχει. ὑπὸ αὐτοῦ δὲ τοῦ πάθεος καὶ ἐπιλήθεται. ἐκ νυκτῶν δὲ βοᾷ καὶ κέκραγεν, ὁκόταν ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται. τοῦτο δὲ πάσχουσιν οἱ χολώδεες. οἱ φλεγματώδεες δὲ, οὐ διαθερμαίνονται.

ἐπεὶ

ἐπὴν δὲ τὸ αἷμα ἐπέλθῃ πουλὺ ἐπὶ τὸν ἐγκέφαλον καὶ ἐπιζέσῃ. ἔρχεται δὲ κατὰ τὰς φλέβας πολὺ τὰς προειρημένας. ὁκόταν τυγχάνῃ ὁ ἄνθρωπος ὁρέων ἐνύπνιον φοβερὸν, καὶ ἐν τῷ φόβῳ ἔῃ, ὥσπερ οὖν καὶ εἰ ἐγρηγορὼς, τότε μᾶλλον τὸ πρόσωπον [42] φλογιᾷ. καὶ οἱ ὀφθαλμοὶ ἐρυθαίνονται, ὁκόταν φοβῆται. καὶ ἡ γνώμη ἐπινοῇ τι κακὸν ἐργάσασθαι, οὕτω καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὁκόταν δὲ ἐπεγερθῇ, καὶ καταφρονήσῃ, καὶ τὸ αἷμα πάλιν ἀποσκεδασθῇ εἰς τὰς φλέβας τὰς προειρημένας, πέπαυται. κατὰ ταῦτα νομίζω τὸν ἐγκέφαλον δύναμιν πλείστην ἔχειν ἐν τῷ ἀνθρώπῳ. οὗτος γὰρ ἡμῖν ἐστι τῶν ἀπὸ τοῦ ἠέρος γινομένων ἑρμηνεὺς, ἢν ὑγιαίνων τυγχάνῃ. τὴν δὲ φρόνησιν αὐτῷ ὁ ἀὴρ παρέχεται. οἱ δὲ ὀφθαλμοὶ, καὶ τὰ οὔατα, καὶ ἡ γλῶσσα, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, οἷα ἂν ὁ ἐγκέφαλος γινώσκῃ, τοιαῦτα ὑπηρετοῦσι. γίνεται γὰρ παντὶ τῷ σώματι τῆς φρονήσιος, ὡς ἂν μετέχῃ τοῦ ἠέρος. ἐς δὲ τὴν σύνεσιν, ὁ ἐγκέφαλός ἐστιν ὁ διαγγέλλων. ὁκόταν γὰρ σπάσῃ τὸ πνεῦμα ὁ ἄνθρωπος ἐς ἑωυτὸν, ἐς τὸν ἐγκέφαλον πρῶτον ἀφικνέεται. καὶ οὕτως ἐς τὸ λοιπὸν σῶμα σκίδναται ὁ ἀὴρ, καταλιπὼν ἐν τῷ ἐγκεφάλῳ ἑωυτοῦ τὴν ἀκμὴν, καὶ ὅτι ἂν ἔῃ φρόνιμόν τε καὶ γνώμην ἔχον. εἰ γὰρ ἐς τὸ σῶμα πρῶτον ἀφικνέεται, καὶ ὕστερον ἐς τὸν ἐγκέφαλον, ἐν τῇσι σαρξὶ καὶ ἐν τῇσι φλεψὶ καταλελοιπὼς τὴν διάγνωσιν, ἐς τὸν ἐγκέφαλον ἂν εἴη θερμὸς ἔτι ἐών. καὶ οὐχὶ ἀκραιφνὴς, ἀλλ' ἐπιμεμιγμένος τῇ ἰκμάδι τῇ ἀπὸ τῶν σαρκῶν καὶ τοῦ αἵματος, ὥστε μηκέτι εἶναι ἀκριβής. διότι φημὶ τὸν ἐγκέφαλον εἶναι τὸν ἑρμηνεύοντα τὴν ξύνεσιν. αἱ δὲ φρένες ἄλλως ὄνομα ἔχουσι τῇ τύχῃ κεκτημένον, καὶ τῷ νόμῳ, τῷ δ' ὄντι οὐκ, οὐδὲ τῇ φύσει, οὐδὲ οἶδα ἔγωγε, τίνα δύναμιν ἔχουσιν αἱ φρένες, ὥστε φρονέειν τε καὶ νοεῖν. πλὴν εἴ τι ὁ ἄνθρωπος ὑπερχαρῇ ἐξ ἀδοκήτου, ἢ ἀνιηθείη, πηδῶσι [43] καὶ ἄσην παρέχουσιν ὑπὸ λεπτότητος. καὶ ὅτι ἀνατέτανται μάλιστα ἐν τῷ σώματι. καὶ κοιλίην οὐκ ἔχουσι πρὸς ἣν δέξωνται ἢ ἀγαθὸν ἢ κακὸν προσπίπτον, ἀλλ' ὑπ' ἀμφοτέρων τούτων τεθορύβηνται διὰ τὴν ἀσθενείην τῆς φύσιος, ἐπεὶ αἰσθάνονταί γε οὐδενὸς προτέρου τῶν ἐν τῷ σώματι ἐνεόντων, ἀλλὰ μάτην οὕτω τὸ ὄνομα ἔχουσιν. καὶ τὴν αἰτίην, ὥσπερ τὰ πρὸς τῇ καρδίῃ ἀπ' ὦτα καλέεται, οὐδὲν ἐς τὴν ἀκοὴν ξυμβαλλόμενα. [44] λέγουσι δέ τινες ὡς φρονέομεν τῇ καρδίῃ, καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ τὸ φροντίζον. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ σπᾶται μὲν ὥσπερ αἱ φρένες, καὶ μᾶλλον διὰ ταύτας αἰτίας. ἐξ ἅπαντος γὰρ τοῦ σώματος, φλέβες ἐς αὐτὴν συντείνουσι. καὶ συγκλείσας ἔχει ὥστε αἰσθάνεσθαι, ἤν τις πόνος [45] ἢ σύστασις γίνηται τῷ ἀνθρώπῳ. ἀνάγκη γὰρ καὶ ἀνιώμενον φρίσσειν τὸ σῶμα. καὶ συντείνεσθαι. καὶ ὑπερχαίροντα τὸ αὐτὸ τοῦτο πάσχειν. διότι ἡ καρδίη αἰσθάνεταί τε μάλιστα καὶ αἱ φρένες. τῆς μέντοι φρονήσιος, οὐδετέρῳ μέτεστιν. ἀλλὰ πάντων τουτέων ὁ ἐγκέφαλος αἴτιός ἐστιν. ὥσπερ οὖν καὶ τῆς φρονήσιος καὶ τοῦ ἠέρος πρῶτος αἰσθάνεται ὁ ἐγκέφαλος τῶν ἐν τῷ σώματι ἐνεόντων. οὕτως καὶ ἤν τις μεταβολὴ ἰσχυροτέρη γένηται ἐν τῷ ἠέρι, ὑπὸ τῶν ὡρέων, καὶ αὐτὸς ἑωυτοῦ διάφορος γίνηται ἐν τῷ ἠέρι. ὁ γὰρ ἐγκέφαλος διὰ τοῦτο πρῶτος αἰσθάνεται, διότι καὶ τὰ νουσήματα [46] ἐς αὐτὸν ἐμπίπτειν φημὶ ὀξύτατα, καὶ μέγιστα, καὶ θανατωδέστατα, καὶ δυσκριτώτατα τοῖσι ἀπείροισι.

postquam copiosus sanguis cerebrũ inuaserit, in eoq; ebullierit. Is autem multus subit per venas prædictas. Cùm fortè contingit vt quis horrendum insomnium videat, & in metu sit, non secus certè ac si vigilaret, tũc magis facies exardescit cũ rubore, & oculi rubescunt, cùm timuerit, mensq; aliquod malum perpetrare cogitat, sicq; ei etiam per somnum contingit. Ac vbi experrectus fuerit & ad se redierit, sanguisque rursus in venas commemoratas dispersus fuerit, cessat. In hæc ipsa plurimam vim hominis cerebrũ habere existimo. Hoc enim si sanum esse contigerit, nobis quæ ab aëre fiunt indicat. Prudentiam verò ei aër subministrat. Oculi autem, aures, lingua, manus & pedes, ea quæ cerebrum cognoscit administrãt. Quantum enim aëre communicarit, tantùm vniuerso corpori prudentiæ accedit. Intelligentiæ autem cerebrum internuncius est. Cùm enim quis ad se spiritum attraxerit, primò in cerebrum defertur, itaque in reliquum corpus aër dispergitur, in cerebro suam relinquens vigorem, & quicquid habuit prudentiæ & mentis. Quòd si primùm ad corpus deueniret, posteaq; ad cerebrum, relicto in carnibus & venis indicio, in cerebrum calidus adhuc, & minimè sincerus, sed carnium & sanguinis humori permixtus subiret, proindeq; neque ampliùs exactè purus esset. Quocirca cerebrum intelligentiæ indicem & nuncium esse censeo. At septum transuersum (φρένες Græcis dictum) temerè ac fortuitò sortitum nomen videtur, & ex instituto, non re vera, neq; à natura. Neq; sanè video quámnam vim ad prudentiam & intelligentiam septum transuersum habeat, præter quàm si quis ex insperato nimio gaudio aut tristitia affectus fuerit, salit & anxietatem præ tenuitate exhibet, & quòd in corpore vehementer distenditur, neq; ventriculum habet in quem bonum vel malum illapsum suscipiat, sed ab eorum vtroq; propter natiuam imbecillitatem perturbatur. Siquidem nihilo peius quàm cætera quæ in corpore insunt, sentit, sed frustrà hoc nomen & causam habet, non secus ac quæ cordi annexæ sunt aures appellatæ, cũ nihil ad auditionem conferant. Quidam autem nos corde sapere dicunt, quodq; ipsum tristitiam & curam sentit. Verùm non ita se res habet, sed contrahitur quidem velut septum transuersum, atque etiam magis easdem ob causas. Ex toto enim corpore ad ipsum venæ tendunt, illicque clauduntur, vt sentiat cùm quis dolore aut molesto aliquo sensu contrahitur. Cùm enim molestiam sentit corpus inhorrescere & distendi necesse est, idémque contingere si quis summo gaudio afficiatur. Quamobrem cor præcipuè & septum transuersum sentiunt, neutrum tamen prudentiæ ius habet, sed horum omnium cerebrum author est. Quemadmodum igitur ex omnibus quæ in corpore insunt, cerebrũ primum intelligentiam & aërem percipit, ita si quæ vehementior mutatio per anni tẽpora in aëre contingat, ipsum etiam in aëre sibi dissentit. Hanc enim ob causam primum sentit cerebrum, quia in ipsum (vt censeo) grauissimi, maximi, præcipueq; lethales morbi incidunt, quiq; apud inexpertos difficilimum habẽt iudicium.

Hic verò morbus qui sacer appellatur, ex iisdem caussis ex quibus etiam reliqui originem trahit, ex his nempe quæ accedunt & decedunt, velut frigore, sole, ventis, & mutationibus nunquam conquiescentibus. Atque hæc diuina sunt, vt nihil opus sit existimare hunc morbum reliquis diuinitate præstare, sed omnes diuini, omnesque humani reputandi. Naturam autem & vim in se quisque habet, & nullus est qui remedium aut auxilium respuat, & plærique ab iisdem, à quibus oriuntur, sanantur. Alterum enim alteri alimentum est, alteri verò pernicies. Hoc igitur Medicum, cuiusque captata temporis occasione, nosse conuenit, quodque huic quidem per alimentum incrementum dabit, illum verò detrahet & imminuet. Oportet autem tum in hoc, tum in reliquis omnibus morbis, non augere morbos, sed properanter profligare, id quod cuique morbo est maximè aduersum, non amicum aut familiare exhibendo. Ab eo enim quod est consuetum viget & augetur, ab eo verò quod est inimicum, extenuatur & retunditur. Quisquis autem huiusmodi mutationem in hominibus adhibere nouerit, & per victus rationem hominem humidum & siccum, calidum item & frigidum reddere poterit, is sanè hunc morbum citra expiationes & magicas artes, citraque omnem sordidam huiusmodi & illiberalem professionem, si eorum quæ conferunt opportunitatem dignoscat, curare poterit.

Αὕτη δὲ ἡ νοῦσος ἡ ἱερὴ καλεομένη, ἐκ τῶν αὐτῶν προφασίων γίνεται, ἀφ' ὧν καὶ αἱ λοιπαὶ, ἀπὸ τῶν προσιόντων καὶ ἀπιόντων, οἷον ψύξιος. ἡλίου. πνευμάτων, [47] μεταβαλλομένων τε, καὶ μηδέποτε ἀτρεμιζόντων. ταῦτα δ' ἐστι θεῖα, ὥστε μηδὲν διακρίνοντα τὸ νούσημα, θειότερον τῶν λοιπῶν νουσημάτων νομίζειν, ἀλλὰ πάντα θεῖα, καὶ ἀνθρώπινα πάντα. φύσιν δὲ ἔχει ἕκαστον καὶ δύναμιν ἐν ἑωυτῷ. καὶ οὐδὲν ἄπορόν ἐστιν οὐδὲ ἀμήχανον. [48] ἀκεστά τε τὰ πλεῖστά ἐστιν αὐτοῖσι τούτοισιν, ἀφ' ὅτων καὶ γίνεται. ἕτερον γὰρ 10 ἑτέρῳ, τροφή ἐστι. [49] τῷ δὲ, κάκωσις. τοῦτο οὖν δεῖ τὸν ἰητρὸν ἐπίστασθαι, καὶ τὸν καιρὸν διαγινώσκειν ἑκάστου, [50] ὡς ἂν τὸ μὲν, ἀποδώσει τροφὴν, καὶ αὐξήσει· τὸ δὲ ἀφαιρέσει καὶ μειώσει. [51] χρὴ δὲ καὶ ἐν ταύτῃ τῇ νούσῳ, καὶ ἐν τῇσιν ἄλλῃσιν ἁπάσῃσι, μὴ αὔξειν τὰ νουσήματα, ἀλλὰ σπεύδειν τρύχειν προσφέροντας τῇ νούσῳ τὸ πολεμιώτατον ἑκάστῃ, μὴ τὸ φίλον καὶ σύνηθες. ὑπὸ μὲν γὰρ τοῦ συνηθείης, θάλλει καὶ αὔξεται. ὑπὸ δὲ τοῦ πολεμίου, [52] φθίνει καὶ ἀμαυροῦται. [53] ὅστις δὲ ἐπίσταται ἐν ἀνθρώποις τὴν τοιαύτην μεταβολὴν, καὶ δύναται ὑγρὸν καὶ ξηρὸν ποι- 20 έειν, καὶ θερμὸν καὶ ψυχρὸν ὑπὸ διαίτης τὸν ἄνθρωπον, οὗτος καὶ ταύτην τὴν νοῦσον, ἰῷτο ἂν, εἰ τοὺς καιροὺς διαγινώσκει τῶν ξυμφερόντων, ἄνευ καθαρμῶν καὶ μαγευμάτων, καὶ πάσης ἄλλης βαναυσίης τοιαύτης.

Finis Sectionis tertiæ.

IN LIBRVM HIPPOCRATIS, DE NATVRA HOMINIS, BREVES NOTÆ.

Ὅστις μὲν εἴωθεν] De huius fœtus origine minimè laborádum videtur, cùm Galenus ipse tot testimoniis, & ex ipso Platonis Phœdro, ad Hippocratem referat, &ad Asclepiadarum familiam liberali asserat causa manu. Quod etiã ex libro de Elementis satis constat, in quo cùm plæraque ex hoc libello excutiantur, tum verò hoc initium fusissimè explicatur. Exemplaria verò manuscripta in collocationis ordine minimè consentiunt, & quędam lõgo postea interuallo eum collocant, vt etiam ex Caluo satis apparet. Nos tamen inter φυσικὰ aut αἰτιολογικὰ ex Erotiano eum reponimus, & iure quodam, velut à natura exordium sumentes, primum ei locum in hoc ordine concedimus. Constat autem hos de Natura humana libros, antiquis ad libros περὶ διαίτης adiunctos fuisse, ex his quæ de Venis Hippocrati adscripta sunt, quæ Galenus lib. 6. de plac. Hippocr. & Plat. ad librum de Natura humana, & lib. 2. περὶ διαίτης adiecta fuisse scribit.

² οὔτε γὰρ τὸ πάμπαν] Galenus lib. 1. de Elementis hunc locum subnotat, fusissimeque explicat, & τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, τουτέστιν οὐ παντελῶς ἕν, οὔτε μόνον, exponit.

³ ὅτι μὴ φανερόν ἐστιν ἓν ἐόν] Gal. lib. 1. de Elementis disertissimis verbis hîc diuisis syllabis ἓν ἐὸν legendum esse monet, vt & hoc Commentario, cùm ἐνεὸν plæraq; haberent exemplaria.

⁴ ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπίλογον] ἐπίλογον hîc συλλογισμὸν ex Galeno lib. 1. de Elemẽtis expono, hoc est ratiocinationem & eam rationem quæ ex mutua elementorũ mutatione orta est, quaq; ij vtuntur qui vnum quodlibet esse elementum statuebant, alij conclusionem vertunt.

⁵ φασὶ γὰρ ἕν τι εἶναι] Gal. lib. 1. de Elementis hîc legit, φασὶ γὰρ ἕν τι εἶναι, &, κατὰ δὲ τὰ ὀνόματα ἀλλήλοις οὐχ ὁμολογέουσι.

⁶ λέγει δὲ αὐτῶν] Rursus Gal. hoc sic legit, λέγει δὲ αὐτῶν ὁ μέν τις ἠέρα εἶναι, τοῦτο τὸ ἕν τε καὶ τὸ πᾶν, ὁ δὲ ὕδωρ, ὁ δὲ γῆν, ὁ δὲ πῦρ.

⁷ μαρτύριά τε καὶ τεκμήρια] Hæc testimonia ἀναπόδεικτα vocat Galenus, & nugacia ac fallacia, & quæ potiùs suas rationes euertãt, quàm aliquid conficiant, ideóque nullius sunt momenti, nempe cùm de diuersis ac pugnantibus rebus eandem inferre demonstrationem conentur.

⁸ ὅτι μὲν γὰρ τῇ αὐτῇ γνώμῃ] Eorum inscitiam damnat Galenus lib. 1. de Elementis, his verbis, οἱ γὰρ αἰσθάνονται διαφόρων τε καὶ μαχομένων πραγμάτων ἀπόδειξιν μίαν καὶ τὴν αὐτὴν εἰσχρουσιῶντες λέγειν, huncque locum explicat, vbi χρέοντες legit, & ὅτι οὐδὲ γινώσκουσιν.

⁹ πρὸς τὸν ὄχλον] ὄχλον hîc vocat Galenus ἀπαιδεύτων δηλονότι πλῆθος ἀνθρώπων οὐκ εἰδότων, ὅ, τι ποτέ ἐστιν ἀπόδειξις. lib. 1. de Elementis, vbi etiam περιγίνεται τῷ λόγῳ legisse videtur.

¹⁰ ἀλλ' ἐμοί γε δοκέουσιν] Sic leg. Gal. lib. 1. de Elementis, ἀλλ' ἐμοί γε δοκέουσιν οἱ τοιοῦτοι αὐτοὶ ἑαυτοὺς καταβάλλειν τοῖς ὀνόμασι τῶν λόγων αὐτῶν ὑπὸ ἀξυνεσίης. τὸν δὲ μελίσσου λόγον ὀρθοῦν. vbi etiam quanam ratione Melissi opinionem confirment, aut restituant, fusissimè docet.

¹¹ τῶν δὲ ἰητρῶν] Hunc etiam locum aliter legit Galenus lib. de Elementis.

¹² οὐδὲ γὰρ αἷμα] Hunc quoque locum fusissimè exponit Gal. lib. 1. de Elementis, vbi etiam ὑφ' ὅτου legit.

¹³ ἀλλ' ἢ ὥρην τινὰ] Et locum istum Gal. adducit lib. de Elementis, vbi istud paulò aliter legit hoc modo, ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τῆς τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἓν ἐὸν φαίνεται αὐτό, ἐν ἑωυτῷ ὅ, τι ἐστί. τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα μόνον εἶναι, τὸν ἄνθρωπον, καὶ περὶ τοῦ φάσκοντος χολήν. Quæ vltima verba etsi meliore loco sunt, quàm quæ in codicibus nostris scribuntur, pluralitatem tamen maximè secutus sum. Et si quædam exemplaria legunt, περὶ φάσκοντος φλέγμα εἶναι τὸν ἄνθρωπον, facili & aperta lectione. Quibus in verbis Cornarius φλέγμα μόνον legisse videtur, aut ex sensu addidisse cum cæteris Interpretibus. Sunt etiam quædam exemplaria quæ ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ legunt, & μίαν γε τινὰ ὥρην ἐν ᾗ φαίνεται αὐτὸ ἐφ' ἑωυτοῦ ἓν ἐόν. Quædam etiam legunt, ἐν ᾗ αἷμα ἓν ἐὸν φαίνεται μοῦνον ὁ ἄνθρωπος. Cæterùm monendum quoque videtur quædam exemplaria manu scripta hîc μεταμείβοντα τὴν ἰδέην legere, negatione prætermissa. Hunc verò etiam locum adducit & explicat Gal. lib. 2. de Elementis.

¹⁴ καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν] κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν quid significaret apud Hippocratem fusissimè exposuimus in nostra OEconomia, simulque hunc locum subnotauimus. Exemplaria verò quædam pro εἰ ταῦτα: ἀεὶ ταῦτα legunt, & ὁμοίως.

¹⁵ πρῶτον μὲν οὖν] Hunc locum aliis paulò verbis, sed longè apertioribus, legit Galenus lib. 1. de Elementis hunc in modum; πρῶτον μὲν οὖν ἀνάγκη τὴν γένεσιν γίνεσθαι μὴ ἀφ' ἑνός. πῶς γὰρ ἂν ἕν γε ὄν, ἄλλο τι γεννήσειεν, εἰ μή τινι μιχθείη ἄλλῳ. Quædam etiam exemplaria, & γένεσιν αὐτέου legunt, & πῶς γὰρ ἕν γε ἐὸν τι, γεννήσειεν ἄλλο, εἰ μή τινι μιχθείη; Exemplaria etiam quædam pro μίσγηται, μίγνυται legunt.

¹⁶ καὶ πάλιν] Hunc etiam locum profert & exponit Gal. lib. 1. de Elementis.

¹⁷ ὥστε πῶς εἰκὸς] Hunc quoq; locum profert Galenus lib. 1. de Elementis, vbi hunc in modum legit, ὥστε πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι, ὅπου γε οὐδὲ ἀπὸ τῶν πλειόνων γίνεται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς πρὸς ἄλληλα κοινωνίας.

¹⁸ ἀνάγκη τοίνυν] Et hunc quoque locum profert ibidem Galenus, vbi ἐούσης pro ὑπαρχούσης bis legit.

¹⁹ καὶ πάλιν γε ἀνάγκη] Galenus lib. 1. de Elementis hoc producto loco confirmat Hippocratem elementa vocare substantias ipsas, in quibus summæ qualitates insunt, non solas qualitates, quòd hæ vita animali functo, intereant quidem, non tamen ad propriam naturam redeant aut secedant. Vbi tamen τελευτῶντος ἀνθρώπου legit, non vt hîc, τελευτῶντος τοῦ σώματος τοῦ ἀνθρώπου. Cæterùm exemplaria manu scripta, τό τε ὑγρὸν προσχωρῇ πρὸς τὸ ὑγρὸν legunt, quædam etiam προσχωρῆσαι.

²⁰ τοιαύτη δὲ] Galenus quoque hunc locum profert lib. 1. de Elementis, vt confirmet Hippocratem non solùm hominis, sed etiam rerum omnium hæc quatuor elementa statuere, vbi dictionem istam [πάντων] quater hîc vsurpari disertissimis verbis scribit, & istius orationis clausulam paulò aliter legit, καὶ πάντα κατὰ τὸ εἰρημένον ἐς ταυτό, ὅθεν περ συνέστηκεν ἕκαστον, ἐνταῦθ' οὖν καὶ ἀπεχώρησεν.

²¹ τὸ δὲ σῶμα τοῦ ἀνθρώπου] Hunc locum integrum adfert Galenus lib. περὶ μελαίνης χολῆς, & lib. 8. de placitis Hippocr. & Plat. vbi eum exponit, & paulò aliter legit, mutuamque inter se temperationem omittit.

²² ὑγιαίνει δὲ] Apud Galenum legitur, ὑγιαίνει δὲ ὁκόταν τι τουτέων ἔλασσον ἢ πλέον ἤδη χωρισθῇ ἐν τῷ σώματι, καὶ μεμιγμένον ᾖ τοῖσι πᾶσι. Verùm vitiosam esse lectionem satis apparet, & μὴ μεμιγμένον pro μὴ κεκρημένον legendum, velut legitur lib. 8. de plac. Hippocr. & Plat. vbi legitur ἢ πλέον χωρισθῇ ἐν τῷ σώματι, καὶ μὴ κεκρημένον ᾖ τοῖσι πᾶσιν.

²³ ἀνάγκη γὰρ] Hoc sic legit Galenus, ἀνάγκη γὰρ ὅταν τι τουτέων χωρισθῇ, καὶ ἐφ' ἑωυτοῦ στῇ, οὐ μόνον τοῦτο τὸ χωρίον, ἔνθεν ἐξέστη, ἐπίνοσον γίνεται, ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ ὑπερπιμπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχει. γίνεσθαι tamen & παρέχειν malim, vt legitur etiam lib. 8. de plac. Hippocr. & Plat. etsi aliàs vitiosa est lectio.

²⁴ καὶ γὰρ ὅταν τι τουτέων] Istud aliter legitur lib. 8. de plac. Hippocr. & Plat. καὶ γὰρ ὅταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει, ἢ καὶ νόσον.

²⁵ ἢν ταῦτα πάλιν] Sic legit Gal. ἢν τ' αὖ πάλιν εἴσω ποιέηται τὴν κένωσιν, καὶ τὴν μετάστασιν, καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτῷ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα ἔνθεν τε ἐξέστη, καὶ ἔνθα ὑπερέβαλεν. At lib. 8. de plac. Hippocr. & Plat. sic legitur, ἢν τ' αὖ εἴσω ποιέηται τὴν κίνησιν, & ἔνθα τε ἐξέστη, καὶ ὅθεν ὑπερέβαλεν.

²⁶ ἔφην δὲ ἃ ἂν φήσω] Hunc etiam integrum locum adfert Gal. lib. 8. de plac. Hippocr. & Plat. & legit, ἔφην δέ, ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι ἀποφαίνειν αἰεὶ ταῦτα ἐόντα.

²⁷ καὶ ὀνόματα διωρίσθαι φημὶ] καὶ ὀνόματα διηρῆσθαι legit Galenus.

²⁸ οὔτε τῇ χρείῃ φαίνονται] τῇ χρείῃ φαινουσιν legit Galenus. Alia exemplaria φαινόμενα legunt.

²⁹ καὶ ἢν πρόσω σης αὐτέων] Gal. lib. 8. de plac. Hippocr. & Plat. legit, καὶ ἢν προσώσῃς αὖ σὺ τοῦ σώματος μέρος τι, ὥστε ἕλκος γενέσθαι. Idem verò lib. 2. de Elementis legit, καὶ ἢν τρώσῃς αὐτὸ τί τῷ σώματι, ὥστε ἕλκος γενέσθαι. Quædam etiam exemplaria habent, καὶ ἢν τρώσῃς αὐτόν.

30 καὶ χειμῶνος, καὶ θέρεος] Pro θέρεος ἦρος ibidem legit Galenus. At idem postea, καὶ χειμῶνα καὶ θέρος legit. Idem etiam lib. 2. de Elementis legit, καὶ πάσῃ ἡμέρῃ καὶ νυκτὶ, καὶ χειμῶνος καὶ θέρεος. Adscribendum quoque videtur exemplaria quædam manu scripta pro μεθιέναι μεθίεται legere.

31 δυνατὸς ἦ ἔσαι] Hæc verba quædam exemplaria prætermittunt. Galenus autem, καὶ δυνατὸς ἔσαι, ἐς αὖ τινος &c. legit.

HAc victus ratione priuati homines vti debēt, vt hyeme quidem quàm plurimum edant, bibant quàm minimum. Potus sit vinum quàm meracissimum; cibus, panis; opsonia, assa omnia. Oleribus autem quàm paucissimis hac tempestate vtendum. Hac siquidem ratione potissimùm corpus tum calidum, tum siccum fuerit. At verò cùm ver instat, tunc copiosius & dilutius, paulatimq; vinum bibendum, cibisque mollioribus & paucioribus vtendum. panis subtrahendus, & maza offerenda, eademque ratione opsonia detrahenda, & assa omnia cum elixis commutanda. Oleribus etiam paucis vere vtendum, donec ad æstatem homo deueniat, tum molliores omnes cibos, tum opsonia cocta sumendo, & olera cocta & cruda, similiterq; potus plurimos & quàm dilutissimos, idque sensim, vt ne magna mutatio de repente vtenti contingat. Æstate autem tum molli maza, tum potu copioso & diluto, opsoniisque omnibus elixis nutriri oportet, iisque ita vtendum dum æstas fuerit, quò corpus molle sit & frigidum. Si quidem hæc tempestas calida est & sicca, & corpora æstuosa & squalida reddit. Hac igitur instituta victus ratione iis succurrendum est. Eadem verò ratione, quemadmodum ex hieme ad ver, sic etiam ex vere ad æstatem deueniendum, cibos quidem demendo, potum verò augendo, ad eumq; modum contraria adhibendo ex æstate ad hyemem perueniendum. In autumno contrà, cibi quidem maiore copia & sicciores exhibendi, & opsonia ad eundem modum, potus etiam pauciores & meraciores, vt homo commodam degat hyemem, & potibus vtatur meracioribus & paucis, cibisq; quamplurimis & siccissimis. Ita enim cùm vel maximè valebit, tum minimè frigus sentiet, cùm hæc anni tempestas admodum sit frigida & humida.

At corporis habitus carnosos, molles & rubros, maiorem anni partem ficciore victus ratione vti conuenit, quòd eorũ natura sit humida. Duri verò, graciles, fului & nigri, humidiore victus ratione toto ferè tempore vti debent, cùm eorum corpora ficca existãt. Iunioribus corporibus mollior & humidior victus ratio vtilis est. Hæc enim ætas sicca est, & eorũ compacta sunt corpora. Senes verò ficciore victus modo plurimam temporis partem degere oportet, quod ea ætate corpora sint humida, mollia & frigida. Quare pro ætate, anni tempore, cõsuetudine, regione, loco, corporum habitu, victus ratio sic est ineunda, vt instantibus & caloribus & frigoribus nos opponamus. Nã ita demum optima valetudo consequetur. Quinetiã per hyemem quidem celeriter, & per æstatem leuiter iter faciendũ, nisi per solis ardorem via sit facienda. Corpulentos autem celeriùs, graciles verò leuiùs iter facere conuenit. Balneis etiam multis per æstatem, at per hyemem paucis vtendum. Duris verò quàm corpulentis lauari magis expedit. Et hyeme quidem vestes puras inducere conuenit, æstate verò oleo imbutas. At crassi, quique tenues fieri cupiunt, ij ieiuni omnes exercitationes subire, & adhuc ex labore anhelantes, necdum refrigerati, cibos aggredi debent, priúsque vinum bibere dilutum, non admodum frigidum. Opsonia quoque ex sesamis, aut viridib. & siccis condimentis, aliisque id genus apparata assumere. Sint etiam pinguia, quæ admouentur opsonia, ita enim quàm paucissimis impleantur. Quin & semel cibus capiendus, & balneo abstinendum, duriter cubandum, & nuda deambulatione, quoad eius fieri possit, vtendum. Qui verò attenuato cùm sint corpore, crassiores effici volunt, tum his contraria facere, tum ieiuni nullam exercitationem subire debent. Vomitionibus autem & infusis aluum eluentibus vtendum hunc in modum. Sex hybernis mensibus vomitus ciendus, quòd tempus hoc æstiuo plus pituitæ gignat, & morbi circum caput & regionem eam, quæ est supra septum transuersum excitantur. At vbi æstas viguerit, infusis vtendum. Hæc enim anni tempestas æstuosa est, & corpus bile magis abundat, grauitates etiam lumbos & genua infestant, calores oboriuntur, & venter torminibus torquetur. Corpus igitur refrigerandum, & quæ sursum attolluntur, deorsum ex istis locis deducenda. At corpulentis & humidioribus, infusa quidem salsa magis ac tenuia, ficcioribus verò, gracilibus & imbecillioribus, pinguiora & crassiora conueniunt. Sunt autem infusa pinguia & crassa, quæ ex lacte parantur, & ciborum decoctum, cæteraque id genus. Tenuia verò & salsa, muria, aqua marina, & quæ sunt eiusmodi. Vomitiones autem hunc in modum faciendæ. Obesi ac minimè tenues, ieiuni vomant à cursu, aut celeri deambulatione circa meridiem, Hyssopi hemina dimidia in aquæ congio contriti potu exhibeatur, affuso aceto & addito sale, quò fiat iucundissima. Ac primùm quidem sensim, deinde verò celeriùs ebibatur.

τοῖς δὲ εἴδεσι τοῖσι σαρκώδεσι καὶ μαλθακοῖσι καὶ ἐρυθροῖσι, ξυμφέρει δὴ τὸν πλείονα χρόνον τοῦ ἐνιαυτοῦ, ξηροτέροισι διαιτήμασι χρέεσθαι. ὑγρὴ γὰρ ἡ φύσις τῶν εἰδέων τουτέων. τοὺς δὲ στρυφνοὺς καὶ προσεσταλμένους, καὶ πυῤῥοὺς καὶ μέλανας, τῇ ὑγροτέρῃ διαίτῃ χρὴ τὸ πλεῖον τοῦ χρόνου ἐνδιαιτᾶσθαι. τὰ γὰρ σώματα τοιαῦτα, ὑπάρχει ξηρὰ ἐόντα. καὶ τοῖσι νέοισι τῶν σωμάτων ξυμφέρει, μαλακωτέροισί τε καὶ ὑγροτέροισι χρέεσθαι τοῖσι διαιτήμασιν. ἡ γὰρ ἡλικίη ξηρὴ, καὶ τὰ σώματα πέπηγε. τοὺς δὲ πρεσβυτέρους, τῷ ξηρο-
10 τέρῳ χρὴ τρόπῳ, τὸ πλεῖον τοῦ χρόνου διάγειν. τὰ γὰρ σώματα ἐν ταύτῃ τῇ ἡλικίῃ, ὑγρὰ καὶ μαλθακὰ, καὶ ψυχρά. δεῖ οὖν πρὸς τὴν ἡλικίην, καὶ τὴν ὥρην, καὶ τὸ ἔθος, καὶ τὴν χώρην, καὶ τὰ εἴδεα, τὰ διαιτήματα ποιέεσθαι, ἐναντιούμενον τοῖσι καθισταμένοισι, καὶ θάλπεσι καὶ χειμῶσι. οὕτω γὰρ ἂν μάλιστα ὑγιαίνοιεν. καὶ ὁδοιπορέειν τοῦ μὲν χειμῶνος, ταχέως χρή· τοῦ δὲ θέρεος, ἡσυχῇ, ἢν μὴ διὰ καύματος ὁδοιπορέῃ. δεῖ δὲ καὶ τοὺς σαρκώδεας, θᾶσσον ὁδοιπορέειν. τοὺς δὲ ἰσχνοὺς, ἡσυχέστερον. λουτροῖσι δὲ χρὴ πολλοῖσι χρῆσθαι, τοῦ θέρεος· τοῦ δὲ χειμῶνος, ἐλάσσοσι. χρὴ δὲ τοὺς στρυφνοὺς
20 μᾶλλον λούεσθαι τῶν σαρκωδέων. ἠμφιέσθαι δὲ χρὴ τοῦ χειμῶνος, καθαρὰ ἱμάτια· τοῦ δὲ θέρεος, ἐλαιοπινέα. Τοὺς δὲ παχέας χρὴ, καὶ ὅσοι βούλονται λεπτοὶ γενέσθαι, τὰς ταλαιπωρίας ἁπάσας, νήστιας ποιέεσθαι. καὶ τοῖσι σιτίοισιν ἐπιχειρέειν, ἔτι ἀσθμαίνοντας ἐκ τοῦ κόπου, καὶ μὴ ἀνεψυγμένους, καὶ προπεπωκότας οἶνον κεκρημένον καὶ μὴ σφόδρα ψυχρὸν, καὶ τὰ ὄψα σκευάζειν σησάμοισιν, ἢ ἡδύσμασι, καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιουτοτρόποισι. καὶ πίονα ἔστω τὰ προσαρτυόμενα ὄψα. οὕτω γὰρ ἂν ἀπὸ ἐλαχίστων ἐμπιμπλαῖντο. ἀλλὰ καὶ μονοσιτέειν, καὶ ἀλουτέειν, καὶ σκληροκοι-
30 τέειν, καὶ γυμνὸν περιπατέειν, ὅσον οἷόν τε μάλιστα. ὅσοι δὲ βούλονται λεπτοὶ ἐόντες παχέες γίνεσθαι, τά τε ἄλλα ποιέειν τἀναντία κείνοισιν οἷσιν ἔφην, καὶ νήστιας μηδεμίην ταλαιπωρίην ποιέεσθαι. Τοῖσι δὲ ἐμέτοισι χρὴ καὶ τοῖσι καταπλύσμασι τοῖσι τῆς κοιλίης, ὧδε χρέεσθαι. ἓξ μῆνας τοὺς χειμερινοὺς ἐμέειν. οὗτος γὰρ ὁ χρόνος, φλεγματωδέστερος τοῦ θερινοῦ, καὶ τὰ νοσήματα γίγνεται περὶ τὴν κεφαλὴν καὶ περὶ τὸ χωρίον τοῦτο, ὅ τι ὑπὲρ τῶν φρενῶν. ὅταν δὲ ᾖ θάλπος, τοῖσι καταπλύσμασι χρέεσθαι. ἡ γὰρ ὥρη καυματώδης, καὶ τὸ σῶμα, χολωδέστερον ἐστὶ, καὶ βαρύτητες ἐν τῇ ὀσφύϊ καὶ τοῖσι
40 γούνασι, καὶ θέρμαι γίνονται. καὶ ἐν γαστρὶ στρόφοι γίνονται. δεῖ οὖν τὸ σῶμα ψύχειν, καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἐκ τῶν χωρίων τουτέων. ἔστω δὲ τὰ καταπλύσματα τοῖσι μὲν παχυτέροισι καὶ ὑγροτέροισιν, ἁλμυρότερα καὶ λεπτότερα· τοῖσι δὲ ξηροτέροισι, καὶ προσεσταλμένοισι, καὶ ἀσθενεστέροισι, λιπαρώτερα καὶ παχύτερα. ἔστι δὲ τῶν καταπλυσμάτων τὰ λιπαρὰ καὶ παχέα, τὰ ἀπὸ τῶν γαλακτῶν, καὶ ἀπὸ ἐρεβίνθων ὕδωρ ἑφθὸν, καὶ τῶν ἄλλων τοιουτέων. τὰ δὲ λεπτὰ καὶ ἁλμυρὰ, ἅλμη καὶ θάλασσα, καὶ τὰ τοιαῦτα. τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιέεσθαι. ὅσοι μὲν τῶν ἀνθρώπων παχέες εἰσὶ, καὶ μὴ ἰσχνοὶ, νήστιες ἐμεόντων δραμόντες ἢ ὁδοιπορήσαντες διὰ τάχους, κατὰ μέσον τῆς ἡμέρας. ἔστω δὲ ἡμικοτύλιον ὑσσώπου τετριμμένου ἐν ὕδατος χοῒ, καὶ τοῦτο ἐκπιέτω, ὄξος παραχέων, καὶ ἅλας παραβάλλων, ὅκως ἂν μέλλῃ ἥδιστον ἔσεσθαι. πινέτω δὲ τὸ μὲν πρῶτον, ἡσυχέστερον, ἔπειτα δὲ ἐπὶ θᾶσ-

α. δὲ

οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστεροι, ἀπὸ σιτίων ποιεέσθωσαν τὸν ἔμετον, τρόπον τοιόνδε. [16] λουσάμενος θερμῷ, προπιέτω ἀκρήτου κοτύλην. ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτω· καὶ μὴ πινέτω ἐπὶ τῷ σιτίῳ, μηδ' ἀπὸ τοῦ σιτίου. ἀλλ' ἐπισχέτω ὅσον δέκα στάδια διελθεῖν. ἔπειτα δὲ συμμίξας οἴνους τρεῖς, πίνειν διδόναι· αὐστηρὸν, γλυκὺν καὶ ὀξύν. πρῶτον μὲν ἀκρητέστερον καὶ κατ' ὀλίγον καὶ διὰ πολλοῦ χρόνου· ἔπειτα δὲ ὑδαρέστερον καὶ θᾶσσον καὶ κατὰ πολλόν. ὅστις δὲ εἴωθε τοῦ μηνὸς δὶς ἐξεμέειν, ἄμεινον ἐφεξῆς ποιέεσθαι τοὺς ἐμέτους, ἐν δυσὶν ἡμέρῃσι μᾶλλον, ἢ διὰ πεντεκαίδεκα. οἱ δὲ πάνυ τοὐναντίον ποιέουσιν. [17] ὁκόσοισι δὲ ἐπιτήδειον ἀνεμέειν τὰ σιτία, ἢ ὁκόσοισιν αἱ κοιλίαι οὐκ εὐδιέξοδοι, τούτοισι πᾶσι ξυμφέρει, πολλάκις τῆς ἡμέρης ἐσθίειν. καὶ παντοδαποῖσι βρώμασι χρέεσθαι, καὶ ὄψοισι παντοίοις τρόποις ἐσκευασμένοισιν· οἴνους τε πίνειν δισσοὺς καὶ τρισσούς. ὁκόσοι δὲ μὴ ἀνεμέουσι τὰ σιτία, ἢ καὶ κοιλίας ἔχουσιν ὑγρὰς, τουτέοισι πᾶσι τοὐναντίον τουτέου τοῦ τρόπου ξυμφέρει ποιέειν. Τὰ δὲ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν τῷ θερμῷ ὕδατι ἐπὶ πουλὺν χρόνον. καὶ πίνειν διδόναι ὑδαρέα τὸν οἶνον, καὶ μὴ ψυχρὸν παντάπασι. τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωριεῖ καὶ φῦσαν παρέξει. ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλάβωσι, καὶ μείζονα γίνηται, καὶ εὐχροώτερα. Τὰς δὲ γυναῖκας ὧδε χρὴ διαιτᾶσθαι, τῷ ξηροτέρῳ τῶν τρόπων· καὶ γὰρ τὰ σιτία τὰ ξηρὰ, ἐπιτηδειότερα πρὸς τὴν μαλθακότητα τῶν γυναικείων σαρκῶν· καὶ τὰ ἀκρητέστερα πόματα ἀμείνω πρὸς τὰς ὑστέρας, [18] καὶ τὰς κυοφορίας. Τοῖς γυμναζομένοις χρὴ τοῦ χειμῶνος καὶ τρέχειν καὶ παλαίειν· τοῦ δὲ θέρεος, παλαίειν μὲν ὀλίγα· τρέχειν δὲ, μή· περιπατέειν δὲ πολλὰ κατὰ ψῦχος. ὁκόσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τούτους παλαίειν χρή· ὁκόσοι δὲ παλαίοντες κοπιῶσι, τούτους χρὴ τρέχειν. οὕτω γὰρ ἂν ταλαιπωρέειν τῷ κοπιῶντι τοῦ σώματος διαθερμαίνοιτο καὶ συνίσοιτο καὶ διαναπαύοιτο μάλιστα. ὁκόσους γυμναζομένους διάρροιαι λαμβάνουσι, καὶ τὰ ὑποχωρήματα σιτώδεα καὶ ἄπεπτα, τουτέοισι τῶν τε γυμνασίων ἀφαιρέειν μὴ ἔλασσον τοῦ τρίτου μέρεος, καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρέεσθαι. [19] δῆλον γὰρ δήπου ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται ὥστε πέσσεσθαι τὸ πλῆθος τῶν σιτίων. ἔστω δὲ τούτοισι τὰ σιτία, ἄρτος ὡς ἐξοπτότατος, [20] ἐν οἴνῳ ἐντεθρυμμένος· καὶ ποτὰ, ὡς ἐλάχιστα καὶ ἀκρητέστατα· καὶ περιπάτοισι μὴ χρέεσθωσαν ἀπὸ τοῦ σιτίου· μονοσιτέειν δὲ χρὴ ὑπὸ τοῦτον τὸν χρόνον· οὕτω γὰρ ἂν μάλιστα ξυνθάλποιτο ἡ κοιλίη, καὶ τῶν ἐσιόντων ἐπικρατοίη. γίνεται δὲ ὁ τρόπος οὗτος τῆς διαρροίης τῶν σωμάτων τοῖσι πυκνοσάρκοισι μάλιστα, ὁκόταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεοφαγέειν, τῆς φύσιος ὑπαρχούσης τοιαύτης. αἱ γὰρ φλέβες πυκνωθεῖσαι, οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν ἐσιόντων. ἔστι δὲ αὕτη μὲν ὀξείη ἡ φύσις καὶ ῥέπει ἐφ' ἑκάτερα καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη, ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα, [21] καὶ τὴν κρεοφαγίην δέχεται, καὶ τὰς ταλαιπωρίας μᾶλλον ὑπομένει, καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι. καὶ ὁκόσοι τὰ σιτία ἀνερεύγονται τῇ ὑστεραίῃ καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοισιν, ὡς ἀπέπτων τῶν σιτίων ἐόντων, τούτοισι καθεύδειν μὲν πλείονα χρόνον ξυμφέρει.

Graciliores autem & imbecilliores à cibis vomitū cieant hunc in modum. Post balneum calidum præbibant vini meri heminam, mox cibos cuiusuis generis assumant, neq; inter cibos aut post eos bibant, sed se cōtineant quanto tēpore quis quatuor stadia percurrat. Deinde triplex illis vinum in potum permiscebis, austerū, dulce & acidum, primùm quidem meracius, sensim & ex magno interuallo, deinde verò dilutius, celeriùs & affatim. At verò qui singulis mensibus bis vomere consueuit, hunc præstat duob. ex ordine diebus vomitum ciere, quàm decimo quinto die. Sed alij contrarium planè faciunt. Qui autem ad cibos vomitione reiiciendos minimè sunt accōmodati, quibusq; alui non facilè prodeunt, iis omnibus crebrò die cibum sumere, & omnis generis cibariis vti cōducit, ac opsoniis variè apparatis, vinumq; duorum aut trium generum bibere. Qui verò cibos vomitione reiiciūt, & aluos habent humidos, iis omnib. ex vsu est vt huic contrariam ineant vitæ rationē. At pueri infantes per multum tempus aqua calida lauandi sunt, vinumq; iis aquosum in potu exhibēdum, nec prorsus frigidum, idq; offerendū quod minimè ventrem attollat & flatum creet. Quæ facienda sunt, quò minùs conuulsionibus tententur, magisq; adolescant, & coloratiores euadant. Mulieres autem sic victus ratione sicciore victitare oportet. Nam & sicciores cibi ad muliebrem mollitiem magis sunt accōmodati, & meraciores potus ad vteros & fœtus nutritionem magis valent. Qui exercentur, per hyemem eos currere & luctari conuenit, & æstate parum quidem luctari, currere verò minimè, sed multùm in frigore deambulare. Qui cursibus defatigantur, ij luctari debent, qui verò lucta defatigantur, iis currendum est. Ita enim qui laborat, corporis parte defatigationi obnoxia calefiat, componatur, & maximè quiescat. Qui, cùm exercentur, alui profluuiis corripiuntur, & alui excrementa cibos referentia & incocta demittūt, ij de exercitationibus tertiam partem vt minimùm, & de cibis dimidiū subtrahant. Cōstat enim sanè ventriculum ciborum copiam vt concoquat concalefacere non posse. Cibus esto panis quàm maximè tostus in vino intritus, & potus quàm paucissimi & meracissimi, neq; deambulationibus à cibo vtantur. Sub hoc verò tempus semel duntaxat cibū sumere eos conuenit. Sic enim vel maximè cōcalefiat ventriculus, & ingestos cibos superauerit. Hoc autem alui profluuij genus corporū habitus densiore carne præditos potissimū exercet, quando ita naturâ comparatum est, vt quis ad carniū esum compellatur. Venæ siquidem cōdensatæ cibos ingestos non recipiunt. Et hæc quidem natura est lubrica, & ad vtranq; partem vertitur, & in eiusmodi naturis paruo tēpore viget bona corporis habitudo. At rariores & hirsuti magis corporis habitus, carniū esum admittunt, laboresq; magis sustinent, diutiusq; in bona corporis habitudine perseuerant. Qui postridie cibos eructant, & quibus præcordia, nimirum cibis non concoctis, attolluntur, iis longior sōmnus confert.

Quinetiam ad alios corporis labores cogi debent, vinumq; meracius & copiosius bibere, & sub id tempus paucioribus vti cibariis. Constat enim sanè ventriculum, præ imbecillitate & frigiditate, ciborum multitudinem concoquere non posse. At quos sitis occupat, iis cibi & labores subtrahendi, & vinũ tum aquosum, tum quàm maximè frigidum propinandũ. Quibus verò viscerum dolores, aut ab exercitatione, aut ex alio aliquo itinere suboriuntur, his quiescere & cibis abstinere confert. Potu autem vtantur, qui quàm paucissima copia plurimam vrinam ducat, vt ne venæ, naturâ visceribus insitæ, copia distendantur. Ex his etenim casibus tubercula & febres contingunt. Quibus morbi ex cerebro oriuntur, eos primùm capitis stupor detinet, & frequentem vrinam reddunt, eademq; quæ in vrinæ stillicidio accidunt, istaque ad dies nouem perseuerāt. Et siquidem per nares aut aures aqua vel mucus erumpat, morbo liberantur, & sedatur vrinæ stillicidium. Vrinam autem copiosam citra dolorem & albam reddunt, ad vigesimum vsque diem. Dum capitis dolor hominem deserit, sed huic oculorum aciem intendenti splendor clam subducitur. Qui verò intelligentia valet, is bene subducta ratione secum reputare debet, quàm plurimùm æstimanda sit sanitas, & ex vtilitate sui consilij fructum in morbis rectè percipere.

τῇ δὲ ἄλλῃ ταλαιπωρείῃ ἀναγκάζειν χρὴ αὐτῶν τὰ σώματα. [22] καὶ τὸν οἶνον ἀκρητέστερον πινόντων καὶ πλείω καὶ τοῖσι σιτίοισιν ἐλάσσοσι χρέεσθαι ὑπὸ τοῦτον τὸν χρόνον. δῆλοι γὰρ ὅτι ἡ κοιλίη ὑπὸ ἀσθενείης καὶ ψυχρότητος, οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν. ὁκόσοις δὲ δίψαι λαμβάνουσι, τούτοισι τῶν τε σιτίων καὶ ταλαιπωριέων ἀφαιρέειν, καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὅτι ψυχρότατον. ὁκόσοισι δὲ ὀδύναι γίνονται ἐκ τῶν σπλάγχνων, ἢ ἐκ γυμνασίης, ἢ ἐξ ἄλλης τινὸς ταλαιπωρείης, τούτοισι ξυμφέρει ἀναπαύεσθαι ἀσιτοισι. πόμασι δὲ χρέεσθαι, ὅ,τι ἐλάχιστον ἐς τὸ σῶμα ἐσελθὸν, πλεῖστον οὖρον διάξει. ὅπως αἱ φλέβες αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι, μὴ κατατείνωνται πληρεύμεναι. ἐκ γὰρ τῶν τοιουτέων τά τε φύματα γίνονται, καὶ οἱ πυρετοί. [23] Ὁκόσοισι δὲ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, νάρκη πρῶτον ἴσχει τὴν κεφαλὴν, καὶ οὐρέει θαμινὰ, καὶ τὰ ἄλλα πάσχει ὁκόσα ἐπὶ στραγγουρίῃ. οὗτος ἐφ' ἡμέρας ἐννέα τοῦτο πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ, ἢ βλέννα, ἀπαλλάσσεται τῆς νόσου, καὶ τῆς στραγγουρίης παύεται. οὐρέει δὲ πολὺ, καὶ ἀπόνως, καὶ λευκὸν. ἔστ' ἂν εἴκοσιν ἡμέραι παρέλθωσι καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τῷ ἀνθρώπῳ, ἐσορέοντι δ' [24] βλέπεται οἱ ἡ αὐγή. [25] ἄνδρα δὲ χρὴ ὅς ἐστι συνετὸς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, ἐπίστασθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΤΟ ΠΡΩΤΟΝ.

HIPPOCRATIS DE VICTVS RATIONE, LIB. I.

Si quis ex his, qui antea de hominis victus ratione, quæ ad sanitatem spectat, scripserunt, omnia in totum rectè cognouisse, & quantum humanus animus complecti potest, scriptis comprehendisse mihi videretur, satis esse putarem, si aliorũ labores, quos rectè susceptos esse existimarem, ad eorum cuiusq; vtilitatem accommodarem. At verò cùm multi iam ea de re scripserint, nullus tamē quid scribendum fuerit rectè mihi nouisse videtur. Alij quidem aliud attigerũt, totum verò ne vnus quidem adhuc ex his, qui ante extiterunt. Neq; tamē eorum quisquam reprehendendus, quòd inuenire nō potuerint, quin potiùs laudandi omnes, quòd quædã inuestigatione aggressi sunt. Neq; ergo quæ rectè dicta non sunt, arguere decreui, sed his quæ abũdè sunt cognita assentiri in animo habeo. Quæ igitur ab iis, qui ante nos fuerũt, dicta sunt, de his fieri non potest, si aliter scribatur, vt rectè scribam. Quæ verò non rectè dixerunt, si ea quidē quòd ita non habeant redarguero, nihil profecero. At eorum quodq; quomodo rectè habere videatur, exponere & declarare est animus. Hanc autem orationem ideo præponendam duxi, quòd plærique vbi aliquem priùs de re aliqua disserentem audierint, eum

Εἰ μέν μοι τις ἐδόκεε τῶν πρότερον ξυγγεγραφότων περὶ διαίτης ἀνθρωπίνης τῆς πρὸς ὑγιείαν, ὀρθῶς ἐγνωκὼς ξυγγεγραφέναι πάντα διὰ παντὸς, ὁκόσα δυνατὸν ἀνθρωπίνῃ γνώμῃ περιληφθῆναι, ἱκανῶς ἂν εἶχέ μοι ἄλλων ἐκπονησάντων, γνῶναι ὀρθῶς ἔχοντα, τούτοισι χρέεσθαι, καθότι ἕκαστον αὐτῶν ἐδόκεε χρήσιμον εἶναι. νῦν δὲ πολλοὶ μὲν, ἤδη ξυνέγραψαν. οὐδεὶς δὲ ἔγνω ὀρθῶς, καθότι ἦν αὐτοῖς ξυγγραπτέον. ἄλλοι δὲ ἄλλο ἐπέτυχον, τὸ δὲ ὅλον, οὐδείς πω τῶν πρότερον. μεμφθῆναι μὲν οὖν οὐδεὶς αὐτῶν ἄξιόν ἐστιν, εἰ μὴ ἐδυνήθησαν ἐξευρεῖν· ἐπαινέσαι δὲ μᾶλλον πάντας, ὅτι ἀλλ' ἐπεχείρησαν ζητῆσαι. ἐλέγχειν μὲν οὖν τὰ μὴ ὀρθῶς εἰρημένα, οὐ παρεσκεύασμαι. προσομολογέειν δὲ τοῖς ἱκανῶς ἐγνωσμένοισι, διανενόημαι. ὁκόσα μὲν οὖν ὀρθῶς ὑπὸ τῶν πρότερον εἴρηται, οὐχ οἷόν τε ἄλλως ὅκως ἐμὲ συγγράψαντα, ὀρθῶς συγγράψαι. ὁκόσα δὲ μὴ ὀρθῶς εἰρήκασιν, ἐλέγξων μὲν ταῦτα διότι οὐχ οὕτως ἔχει, οὐδὲν περανῶ. ἐξηγεύμενος δὲ καθότι, αὐτῶν μοι δοκέει ἕκαστον ὀρθῶς ἔχειν, δηλῶσαι βούλομαι. διὰ τοῦτο δὲ τὸν λόγον τοῦτον προκατατίθεμαι, ὅτι πολλοὶ τῶν ἀνθρώπων, ὁκόταν τινὸς προτέρου ἀκούσωσι περί τινος ἐξηγευμένου, οὐκ ἀποδέ-

ποδέχονται τὸν ὕστερον περὶ τούτων διαλεγόμενον, οὐ γινώσκοντες ὅτι τῆς αὐτῆς διανοίας ἐστὶ γνῶναι τὰ ὀρθῶς εἰρημένα. ἐγὼ γοῦν ὥσπερ εἶπον, τοῖσι μὲν ὀρθῶς εἰρημένοισι, προσομολογήσω· τὰ δὲ μὴ ὀρθῶς ἐγνωσμένα, δηλώσω ὁκοῖά τινά ἐστιν. ὁκόσα δὲ μηδὲ ἐπεχείρησε μηδεὶς τῶν πρότερον δηλῶσαι, ἐγὼ ἐπιδείξω καὶ ταῦτα ὁκοῖά ἐστι. Φημὶ δὲ δεῖν τὸν μέλλοντα ὀρθῶς ξυγγράφειν περὶ διαίτης ἀνθρωπίνης, πρῶτον μὲν, παντὸς φύσιν ἀνθρώπου γνῶναι καὶ διαγνῶναι. γνῶναι μὲν, ἀπὸ τίνων συνέστηκεν ἐξ ἀρχῆς· διαγνῶναι δέ, [4] ὑπὸ τίνων μερῶν κεκράτηται. εἰ μὴ γὰρ τὴν ἐξ ἀρχῆς σύστασιν ἐπιγνώσεται, τὸ ἐπικρατέον ἐν τῷ σώματι, οὐχ οἷός τε εἴη τὰ ξυμφέροντα τῷ ἀνθρώπῳ προσενεγκεῖν. ταῦτα μὲν οὖν χρὴ γινώσκειν τὸν ξυγγράφοντα. μετὰ δὲ ταῦτα, σίτων καὶ ποτῶν ἁπάντων, οἷσι διαιτώμεθα, δύναμιν ἥν τινα ἕκαστα ἔχει, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν δι' ἀνάγκην, καὶ τέχνην ἀνθρωπίνην. δεῖ γὰρ ἐπίστασθαι τῶν τε ἰσχυρῶν φύσει, ὡς χρὴ τὴν δύναμιν ἀφαιρέεσθαι· τοῖσι δὲ ἀσθενέσιν, ὅκως χρὴ ἰσχὺν προστιθέναι διὰ τέχνης, ὅκου ἂν ὁ καιρὸς ἑκάστων παραγίνηται. γνόντα δὲ τὰ εἰρημένα, οὔκω αὐτάρκης ἡ θεραπείη τοῦ ἀνθρώπου. διότι οὐ δύναται ἐσθίων ἄνθρωπος ὑγιαίνειν, ἢν μὴ καὶ πονέῃ. ὑπεναντίας μὲν γὰρ ἀλλήλοισιν ἔχει τὰς δυνάμιας, σῖτα καὶ πόνοι. [6] ξυμφέρονται δὲ ἀλλήλοισι πρὸς ὑγείην. πόνοι μὲν γὰρ, πεφύκασιν ἀναλῶσαι τὰ ὑπάρχοντα· σιτία δὲ καὶ ποτὰ, ἐκπληρῶσαι τὰ κενωθέντα. δεῖ δὲ, ὡς ἔοικε, τῶν πόνων διαγινώσκειν τὴν δύναμιν, καὶ τῶν κατὰ φύσιν, καὶ τῶν διὰ βίης γινομένων. καὶ τίνες αὐτῶν ἐς αὔξησιν παρασκευάζουσι σάρκας, καὶ τίνες ἐς ἔλλειψιν: καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ [7] τὰς συμμετρίας τὰς ἡμετέρας τῶν πόνων τὴν βίην πρὸς τὸ πλῆθος τῶν σιτίων, καὶ τὴν φύσιν τοῦ ἀνθρώπου, καὶ τὰς ἡλικίας τῶν σωμάτων, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ, καὶ πρὸς τὰς μεταβολὰς τῶν πνευμάτων, [8] πρὸς τὰς θέσεις τῶν χωρίων ἐν ᾗσι διαιτέονται, πρός τε τὴν κατάστασιν τοῦ ἐνιαυτοῦ. ἄστρων τε ἐπιτολὰς καὶ δύσιας γινώσκειν δεῖ, ὅκως ἐπίστηται τὰς μεταβολὰς καὶ ὑπερβολὰς φυλάσσειν· καὶ σίτων, καὶ ποτῶν, καὶ πνευμάτων, καὶ τοῦ ὅλου κόσμου· ἐξ ὧνπερ αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι φύονται. ταῦτα δὲ πάντα διαγνόντι, οὔκω αὔταρκες τὸ εὕρημά ἐστι. ἢν μὲν γὰρ ἦν εὑρετὸν ἐπὶ τούτοις πρὸς ἑκάστου φύσιν, σίτου μέτρον, [9] καὶ πόνων ἀριθμὸς, μὴ ἔχων ὑπερβολὴν, μήτε ἐπὶ τὸ πλέον, μήτε ἐπὶ τὸ ἔλασσον, εὕρητο ἂν ὑγείη τοῖσι ἀνθρώποισιν ἀκριβῶς. νῦν δὲ τὰ μὲν προειρημένα πάντα εὕρηται, ὁκοῖά ἐστι· τοῦτο δὲ, ἀδύνατον εὑρεῖν. εἰ μὲν οὖν παρείη τις καὶ ὁρῴη, γινώσκοι ἂν τὸν ἄνθρωπον, ἐκδύνοντά τε καὶ ἐν τοῖσι γυμνασίοισι γυμναζόμενον, ὥστε φυλάσσειν ὑγιαίνοντα, τῶν μὲν ἀφαιρέων, τοῖσι δὲ προστιθείς. μὴ παρεόντι δὲ, ἀδύνατον ὑποθέσθαι ἐς ἀκρίβειαν σῖτα καὶ πόνους. ἐπεὶ ὁκόσον γε δυνατὸν εὑρεῖν, ἐμοὶ ἤδη εἴρηται. ἀλλὰ γὰρ εἰ καὶ πάνυ σμικρὸν ἐνδεέστερα τῶν ἑτέρων γίνοιτο ἂν, ἐν πολλῷ χρόνῳ ἀνάγκη κρατηθῆναι τὸ σῶμα ὑπὸ τῆς ὑπερβολῆς, καὶ ἐς νοῦσον ἀφικέσθαι. τοῖσι μὲν οὖν ἄλλοισι, μέχρι τούτου ἐπικεχείρηται ζητηθῆναι.

qui posterius his de rebus disceptat, non approbant; nescientes eiusdem mentis esse de his, quæ rectè dicta sunt, cognoscere. His ergo quæ rectè dicta sunt, velut dixi, assentior, quænam verò sint, quæ non rectè fuerint cognita, aperiam. Quinetiam quæ eorum nullus, qui ante me fuerunt, explicare aggressus est, qualia fuerint, demonstrabo. Qui de hominis victus ratione rectè scripturus est, eum meo quidem iudicio, primùm totius hominis naturam nosse ac dignoscere oportet. Ac nosse quidem, ex quibus ab initio constet, dignoscere verò, quænam in eo partes superent. Nisi enim primam constitutionem nouerit, quódque in corpore superet, ea, quæ homini conducant, minimè offerre poterit. Hæc igitur, qui scripturus est, cognoscere debet, deinde verò ciborum omnium ac potionum, ex quibus victus ratio constat, quam singula facultatem, tum ex natura, tùm ex necessitate & arte humana obtineant. Scire nanq; conuenit, quanam ratione ex valentibus naturâ vis detrahatur, & quomodo imbecillis, vt cuiusque occasio se obtulerit, vim ex arte adhibere oporteat. Neque commemoratorum cognitio ad hominis curationem satis esse videtur, quandoquidem qui comedit, nisi etiam laboribus vtatur, sanus esse non potest. Cibi enim & labores aduersas inter se facultates, mutuò tamen ad sanitatem conferentes, obtinent. Labores nanque ea, quæ adsunt, consumere solent, cibi verò & potiones, quæ vacuata sunt, explent. Laborum autem quantum par est, facultas, tum eorum qui à naturâ, tum eorum, qui per vim contingunt, dignoscenda est, & quinam ex ipsis carnes ad incrementum, & qui ad defectum præparent. Neque ista tantùm, verùm etiam conueniens laborum modus, qui à nobis adhibetur, pro ciborum copia, hominis natura & corporum ætate, pro anni temporibus, & ventorum mutationibus, pro locorum situ, in quibus vitam agunt, & pro anni constitutione. Quinetiam syderum ortus & occasus noscendi sunt, vt mutationes & ciborum ac potionum redundantias, ventorúmque & totius mundi, ex quibus sanè morbi hominibus proueniunt, obseruare sciat. Neque tamen cùm hæc omnia cognouerit, satis inuenisse existimandus est. Nam si præter hæc inuentus fuerit, cuiusque naturæ conueniens cibi modus, & laborum numerus, qui neque supra, neque infra modum excedat, sanitas sanè hominibus exactè inuenta fuerit. At nunc prædicta quidē omnia quænam sint, inuenta sunt, hoc verò inueniri non potest. Si igitur quis præsens adsit, & inspiciat hominem exuentem se & in gymnasiis exercentem, is vtiq; nouerit, hæc quidem detrahendo, illa verò adiiciendo, vt sanum seruare oporteat. Qui verò minimè præsens adfuerit, is exactè cibos & labores præscribere non poterit, cùm quantum quidem quis inuenire possit, à me iam relatum sit. Nam etsi cæteris non multum deficiunt, temporis tamen spatio corpus ab excessu superari, & in morbum incidere necesse est. Ab aliis igitur, vt huc vsque inuestigatione prouenirent, tentatum est,

neq; verò hæc dicta sunt. A me autẽ inuenta est morbi prænotio, antequàm quis ab excessu ægrotet, vtramuis in partem fiat. Neq; enim morbi de repente hominibus contingunt, sed paulatim collecti aceruatim se produnt. Priùs ergo quàm quod sanum est à morboso superetur, à quibus homines afficiantur, & quomodo sanitati restitui debeant, à me inuẽta sunt. Quod vbi ad ea, quæ scripsimus, accesserit, ad exitum perductum est, quod cogitatione aggressi sumus. Omnia igitur tum animantia, tum homo ipse, ex duobus facultate quidem diuersis, vsu verò consentientibus, constant, igne inquam & aqua. Quæ duo simul iuncta, tum aliis omnibus, tum sibi inuicem satis sunt: vtrunque verò seorsim, neq; sibi ipsi, neque cuiquam alteri satis esse potest. Horum igitur vtrunque hanc obtinet facultatẽ. Ignis siquidem omnia semper mouere, aqua verò omnia semper nutrire potest. At secundum partes vtrunque superat & superatur, si ad summum ac minimum, quoad eius fieri potest, consideretur. Neutrum enim hanc ob causam prorsus superare potest. Ignis siquidem in extremam aquam irruens, alimento deficitur, auertitur igitur vnde ali debuerat. Aqua verò in extremum ignem irrumpens, motu deficitur, qui in ea sistitur, & cùm constiterit, non ampliùs superior existit, sed sanè ab irruente igne in alimentum consumitur, easq; ob causas neutrum penitus superare potest. Quòd si alterutrum aliquando etiam superaretur, nihil eorum, quæ nunc existũt, velut nũc se habet, permaneret. Cùm autem ita semper se habeant, eadem erunt & neutra, neq; simul deficient. Ignis igitur & aqua quemadmodum à me dictum est, in summo ac minimo similiter considerata, omnibus in vniuersum satis sunt. Horum autem vtrique hæc adiacent, igni quidem calidum & siccum, aquæ verò frigidum & humidum. Habent autem à se inuicem, ignis quidem ab aqua humiditatem, inest enim ab aqua humiditas, aqua verò ab igne siccitatem. Inest enim in aqua ab igne siccitas. Quibus sic se habentibus, multas cuiusuis generis tum seminum, tum animalium formas, nihil inter se, neque visu, neque facultate similes, à seinuicem secernunt. Cùm enim nunquam eodem statu permaneant, sed perpetuò permutentur, temporis tandem successu, quæ etiam ab his prodeunt, dissimilia oriri necesse est. Nihil quidem omninò perit, neque oritur quod priùs non erat, verùm inuicem commixta & discreta alterantur. At homines existimant, id quidem quod ex orco in lucem augetur, oriri, quod verò ex luce ad orcum imminuitur, perire, magisq; oculis quàm rationi fidem esse adhibendam. Ego verò ista ratione exponam. Animantia nanque sunt, & illa, & ista, neque animal interire potest, quin omnia intereant, neque quod non est, generari, cùm non sit vnde generetur. Verùm augentur omnia & imminuuntur, ad summum, & ad minimum, quoad eius fieri potest. Quid autem generari & interire vocem, multorum gratia explicandum videtur, eaque commisceri, & discerni, significare declaro. Habet autem se res ad hunc modum. Generari & interire, idem, commi-

εἴρηται δὲ, οὐδὲ ταῦτα· ἐμοὶ δὲ ταῦτα ἐξεύρηται πρὸ τοῦ κάμνειν τὸν ἄνθρωπον, ἀπὸ τῆς ὑπερβολῆς ἐφ᾽ ὁκότερον ἂν γίνηται προδιάγνωσις. οὐ γὰρ εὐθέως αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι προσγίνονται, [11] ἀλλὰ κατὰ μικρὸν συλλεγόμεναι, ἀθρόως ἐκφαίνονται. πρὶν οὖν κρατέεσθαι ἐν τῷ ἀνθρώπῳ τὸ ὑγιὲς ὑπὸ τοῦ νοσεροῦ, ἃ πάσχουσιν ἐξεύρηταί μοι, καὶ ὅκως χρὴ ταῦτα καθιστάναι ἐς τὴν ὑγιείην. τούτου δὲ προσγενομένου πρὸς τοῖσι γεγραμμένοισι τελέεται τὸ ἐπιχείρημα τῶν διανοημάτων. ξυνίσταται μὲν οὖν τὰ ζῶα τά τε ἄλλα πάντα καὶ ὁ ἄνθρωπος, ἀπὸ δυοῖν. διαφόροιν μὲν, τὴν δύναμιν· συμφόροιν δὲ, τὴν χρῆσιν, πυρὸς λέγω καὶ ὕδατος. ταῦτα δὲ ξυναμφότερα αὐτάρκεά ἐστι, τοῖσί τε ἄλλοισι πᾶσι, καὶ ἀλλήλοισιν. ἑκάτερον δὲ χωρὶς, [12] οὔτε αὐτὸ ἑωυτῷ, οὔτε ἄλλῳ οὐδενί. τὴν μὲν οὖν δύναμιν αὐτῶν ἑκάτερον ἔχει τοιήνδε· τὸ μὲν γὰρ πῦρ, δύναται πάντα διὰ παντὸς κινῆσαι· τὸ δὲ ὕδωρ, πάντα διὰ παντὸς θρέψαι· ἐν μέρει δὲ ἑκάτερον κρατέει καὶ κρατέεται, ἐς τὸ μήκιστον καὶ τὸ ἐλάχιστον, ὡς ἀνυστόν. οὐδέτερον γὰρ κρατῆσαι παντελῶς δύναται, διὰ τόδε· τὸ μὲν πῦρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ ὕδατος, ἐπιλείπει τὴν τροφὴν ἀποτρέπεται οὖν ὅκοθεν μέλλει τρέφεσθαι· τὸ δὲ ὕδωρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ πυρὸς, ἐπιλείπει ἡ κίνησις. ἵσταται οὖν ἐν τούτῳ· ὁκόταν δὲ στῇ, οὐκ ἔτι ἐγκρατές ἐστιν, ἀλλ᾽ ἤδη τῷ ἐμπίπτοντι πυρὶ ἐς τὴν τροφὴν καταναλίσκεται. οὐδέτερον δὲ διὰ ταῦτα, δύναται κρατῆσαι παντελῶς· εἰ δέ ποτε κρατηθείη, καὶ ὁκότερον, οὐδὲν ἂν εἴη τῶν νῦν ἐόντων ὥσπερ ἔχει νῦν. οὕτω δὲ ἐχόντων αἰεὶ, ἔσται τὰ αὐτὰ, καὶ οὐδέτερα, καὶ οὐδὲ ἅμα ἐπιλείψει. τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ ὥσπερ εἴρεταί μοι, αὐτάρκεα ἐστὶ πᾶσι διὰ παντὸς ἐς τὸ μήκιστον, καὶ τοὐλάχιστον ὡσαύτως. τούτων δὲ προσκέεται ἑκατέρῳ τάδε· τῷ μὲν πυρὶ, τὸ θερμὸν καὶ τὸ ξηρόν· τῷ δὲ ὕδατι, τὸ ψυχρὸν καὶ τὸ ὑγρόν· ἔχει δὲ ἀπ᾽ ἀλλήλων τὸ μὲν πῦρ, ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν· ἔνι γὰρ ἀπὸ τοῦ ὕδατος ὑγρότης· τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς, τὸ ξηρόν. ἔνι γὰρ ἐν ὕδατι ἀπὸ τοῦ πυρὸς ξηρόν. οὕτω δὲ τούτων ἐχόντων, [13] πολλὰς καὶ παντοδαπὰς ἰδέας ἀποκρίνονται ἀπ᾽ ἀλλήλων καὶ σπερμάτων, καὶ ζώων, οὐδὲν ὅμοιον ἀλλήλοισιν, οὔτε τὴν ὄψιν, οὔτε τὴν δύναμιν. ἅτε γὰρ οὔποτε κατὰ τὸ αὐτὸ ἱσταμένων, ἀλλ᾽ αἰεὶ ἀλλοιουμένων, [14] ἔπειτα καὶ ἐπὶ τὰ ἀνόμοια ἐξ ἀνάγκης γίνεσθαι, καὶ τὰ ἀπὸ τούτων ἀποκρινόμενα. ἀπόλλυται μὲν οὐδὲν ἁπάντων χρημάτων, οὐδὲ γίνεται, ὅτι μὴ καὶ πρόσθεν ἦν· ξυμμισγόμενα δὲ καὶ διακρινόμενα, ἀλλοιοῦται· νομίζεται δὲ παρὰ τῶν ἀνθρώπων, τὸ μὲν ἐξ ᾅδου ἐς φάος αὐξηθὲν, γίνεσθαι· τὸ δὲ ἐκ τοῦ φάεος εἰς ᾅδην μειωθὲν, ἀπόλλυσθαι. [15] ὀφθαλμοῖσι δὲ δεῖ πιστεύεσθαι μᾶλλον, ἢ γνώμῃσιν. ἐγὼ δὲ τάδε γνώμῃ ἐξηγέομαι. ζῶα γὰρ κἀκεῖνα, καὶ τάδε· καὶ οὔτε τὸ ζῶον ἀποθανεῖν οἷόν τε μὴ μετὰ πάντων. [16] καὶ γὰρ ἀποθανεῖται. οὔτε τὸ μὴ ὂν γίνεσθαι [17] μὴ ὄντος ὅθεν παραγενήσεται. ἀλλ᾽ αὔξεται πάντα καὶ μειοῦται ἐς τὸ μήκιστον καὶ ἐς τὸ ἐλάχιστον, τῶν γε δυνατῶν. ὅ,τι δ᾽ ἂν διαλέγωμαι γίνεσθαι, καὶ τὸ ἀπόλλυσθαι τῶν πολλῶν εἵνεκεν ἑρμηνεύω. ταῦτα δὲ καὶ ξυμμίσγεσθαι καὶ διακρίνεσθαι δηλῶ· ἔχει δὲ ὧδε· γίνεσθαι καὶ ἀπόλλυσθαι τὸ αὐτό· ξυμμι-

γῆναι

γῆναι καὶ διακριθῆναι τὠυτὸ, αὐξηθῆναι καὶ μειωθῆναι τὠυτό, γενέσθαι, ξυμμιγῆναι τὠυτό. ἀπολέσθαι, μειωθῆναι, διακριθῆναι τὠυτὸ ἕκαστον πρὸς πάντα, καὶ πάντα πρὸς ἕκαστον τὠυτό. ὁ νόμος γὰρ τῇ φύσει περὶ τούτων ἐναντίος. χωρεῖ δὲ πάντα καὶ θεῖα καὶ ἀνθρώπινα [18] ἄνω καὶ κάτω ἀμειβόμενος. ἡμέρη καὶ εὐφρόνη ἐπὶ τὸ μήκιστον καὶ ἐλάχιστον, ὡς καὶ τῇ σελήνῃ, τὸ μήκιστον καὶ τὸ ἐλάχιστον. πυρὸς ἔφοδος καὶ ὕδατος. ἥλιος ἐπὶ τὸ μακρότατον καὶ βραχύτατον, πάλιν ταῦτα, καὶ οὐ ταῦτα. φάος Ζηνί, σκότος ἅδῃ. φάος ἅδῃ, σκότος Ζηνί. φοιτᾷ καὶ μετακινεῖται, κεῖνα ὧδε καὶ τάδε κεῖσε πᾶσαν ὥρην διαπρησσόμενα κεῖνά τε τὰ, τῶνδε τὰ δὲ ταῦτα, κείνων. καὶ θ' ἃ μὲν πρήσσουσιν, οὐκ οἴδασιν. ἃ δὲ πρήσσουσι, δοκέουσιν εἰδέναι. καὶ θ' ἃ μὲν ὁρῶσι, οὐ γινώσκουσιν. ἀλλ' ὅμως αὐτοῖσι πάντα γίνεται, δι' ἀνάγκην θείην, καὶ ἃ βούλονται καὶ μὴ βούλονται. φοιτεόντων δ' ἐκείνων ὧδε τῶν δὲ τῇδε κεῖσε συμμισγομένων πρὸς ἄλληλα τὴν πεπρωμένην μοίρην ἕκαστον ἐκπληροῖ. καὶ ἐπὶ τὸ μέζον, καὶ ἐπὶ τὸ μεῖον. [20] φθορὴ δὲ πᾶσιν ἀπ' ἀλλήλων, τῷ μέζονι ἀπὸ τοῦ μείονος, καὶ τῷ μείονι, ἀπὸ τοῦ μέζονος. αὔξεται καὶ τὸ μέζον, ἀπὸ τοῦ ἐλάσσονος. τὰ δ' ἄλλα πάντα καὶ ψυχὴ ἀνθρώπου καὶ σῶμα, ὁκοῖον ἡ ψυχὴ διακοσμέεται. ἐσέρπει δὲ ἐς ἄνθρωπον, μέρεα μερέων, ὅλα ὅλων ἔχοντα σύγκρησιν πυρὸς καὶ ὕδατος. τὰ μὲν, ληψόμενα. τὰ δὲ, δώσοντα. καὶ τὰ μὲν λαμβάνοντα, πλεῖον ποιεῖ. τὰ δὲ διδόντα, μεῖον. πρίουσιν ἄνθρωποι ξύλον. ὁ μὲν, ἕλκει, ὁ δὲ, ὠθεῖ. τὸ δ' αὐτὸ τοῦτο ποιέουσι. μεῖον δὲ ποιέοντες, [21] πλεῖον ποιέουσι. [22] τὸ δ' αὐτὸ καὶ φύσις ἀνθρώπων. τὸ μὲν, ὠθεῖ. τὸ δὲ, ἕλκει. τὸ μὲν, δίδωσι. τὸ δὲ, λαμβάνει. καὶ τῷ μὲν, δίδωσι τῷδε, λαμβάνει. καὶ τῷ μὲν δίδωσι τοσούτῳ πλεῖον, [23] ὁ δὲ λαμβάνει τοσούτῳ μεῖον. χώρην δὲ ἕκαστον φυλάσσει τὴν ἑωυτοῦ. καὶ τὰ μὲν ἐπὶ τὸ μεῖον ἰόντα, διακρίνεται εἰς τὴν ἐλάσσονα χώρην. τὰ δὲ ἐπὶ τὸ μέζον πορευόμενα, συμμισγόμενα ἐξαλλάσσει εἰς τὴν μέζω τάξιν. τὰ δὲ ξεῖνα μὴ ὁμότροπα, ὠθεῖται ἐκ χώρης ἀλλοτρίης. [24] ἑκάστη δὲ, ψυχὴ μέζω καὶ ἐλάσσω ἔχουσα περιφοιτᾷ τὰ μόρια τὰ ἑωυτῆς, οὐ προσθέσιος οὐδὲ ἀφαιρέσιος δεομένων τῶν μερέων. κατὰ δὲ αὔξησιν καὶ μείωσιν τῶν ὑπαρχόντων δεομένη. [25] χώρην δὲ ἕκαστα διαπρήσσεται ἐς ἣν τινα εἰσέλθῃ καὶ δέξηται τὰ προσπίπτοντα. οὐ γὰρ δύναται τὸ μὴ ὁμότροπον ἐν τοῖσιν ἀσυμφόροισι χωρίοισιν ἐμμένειν. πλανᾶται μὲν γὰρ ἀγνοούμενα. ξυμμισγόμενα δὲ ἀλλήλοισι, συγγινώσκεται. προσίζει γὰρ τὸ σύμφορον τῷ συμφόρῳ. τὸ δὲ ἀσύμφορον, πολεμεῖ καὶ μάχεται καὶ διαλλάσσει ἀπ' ἀλλήλων. διὰ τοῦτο ἀνθρώπου ψυχή, ἐν ἀνθρώπῳ αὔξεται. ἐν ἄλλῳ δὲ οὐδενί. καὶ τῶν ἄλλων ζώων τῶν μεγάλων ὡσαύτως. [26] ὁκόσα δὲ ἄλλως ἀπ' ἄλλων, ὑπὸ βίης ἀποκρίνεται. περὶ μὲν οὖν τῶν ἄλλων ζώων, ἐάσω. περὶ δὲ ἀνθρώπου, δηλώσω. ἐσέρπει δὲ ἐς ἄνθρωπον, ψυχὴ πυρὸς καὶ ὕδατος ξύγκρησιν ἔχουσα, μοίρην σώματος ἀνθρώπου. ταῦτα δὲ τὰ θήλεα καὶ ἄρσενα καὶ πολλὰ καὶ παντοῖα τρέφεται. τρέφεται δὲ καὶ αὔξεται διαίτῃ τῇ περὶ τὸν ἄνθρωπον. ἀνάγκη δὲ τὰ μέρεα ἔχειν πάντα τὰ εἰσιόντα. οὗτινος γὰρ μὴ ἐνείη μοίρη ἐξ ἀρχῆς, οὐκ ἂν αὐξηθείη.

sceri & discerni, idem. Generari idem quod commisceri. Interire, imminui, idem quod discerni. Vnumquodq; ad omnia, & omnia ad vnumquodq; idē sunt. Lex enim naturæ in his aduersatur, seorsim verò omnia & diuina & humana sursum & deorsum vicissim rependens. Dies & nox ad summum & minimū considerantur, velut lunæ summum ac minimum accedit. Igni suus est impetus, & aquæ itē suus. Sol ad longissimum & breuissimum accedit. Rursus hæc, & non hæc. Lux Ioui, tenebræ orco. Lux orco, tenebræ Ioui. Commeant & transmouētur illa huc, & hæc illuc; & omni quidem tempore, illa horum, hæc verò illorum res peragunt, & quæ quidem faciunt, nesciunt; quæ verò faciunt, scire videntur, & quæ quidem vident non cognoscunt. Et tamen his omnia necessitatē diuina contingunt, & quæ volunt, & quæ nolunt. Illis autem huc, his verò illuc commeantibus, & inuicem commixtis, fatalem suam sortem quodque complet, & ad maius, & ad minus. Interitus autem est omnib. mutu9, & maiori à minore, & minori à maiore. Quin etiam maius à minore augetur, tū reliqua omnia, tum hominis animus, & corpus velut animus certo ordinē describitur. Irrepunt autem in hominem partes partium, tota totorū, quæ ignis & aquæ commixtionem habent, & partim quidem accipiūt, partim etiam exhibent. Et quæ quidem accipiunt, plus faciunt, quæ verò exhibent, minus. Lignum homines serra secant; & hic quidem trahit, alter verò trudit, idem tamen faciunt, & minus facientes, plus faciunt. Idem & hominis natura, partim quidem propellit, partim verò trahit, partim dat, partim etiam accipit, & alij quidē dat, ab alio verò accipit, & alij quidem tantò plus dat, hic verò tantò minus accipit. Locum autem suū quodq; tuetur, & quæ quidem ad minus tendūt, in minorem locum secedunt, quæ verò ad maius proficiscuntur, commixta in maiorē classem transeunt. Externa verò neq; eiusdem generis, ex aliena regione pelluntur. In vnoquoq; autem animus maiora & minora habens, suas ipsius partes circummeat; quæ nec appositione, nec detractione indigent, cùm tamē eorum, quæ adsunt accretione & imminutione opus habēt. Locum verò singula conficiunt, in quem ingrediantur, & ea, quæ incidunt, suscipiant. Neq; enim potest quod non est eiusdem generis, in loco minimè sibi conuenientē permanere. Vagantur siquidem non agnita, inuicem verò permixta simul cognoscūtur. Conueniens enim cum cōueniente cohæret, quod autem minimè conuenit, dissidet & pugnat, & à se inuicem discrepat. Quam ob causam hominis animus in homine, neque in vllo alio incrementum accipit, eodemq; modo de magnis animalibus. Quę verò aliter habēt, ea per vim ab aliis secernuntur. Ac vt reliqua animantia prætercam, de homine tamen disseram. Irrepit autem in hominē animus, ignis & aquæ temperationem sortitus, corporis humani portionem. Hæc autem fœminea & mascula, multa & cuiusuis generis nutriuntur. Victus autem ratione qua homo vtitur, nutriuntur, & incrementum accipiunt. Quæ verò ingrediūtur, ea omnia partes habere necesse est. Nam cuiuscunq; pars non inerit à principio, nullo vnquā modo augeri poterit.

neque copioso, neq; pauco accedente alimento, cùm non habeat, quod incrementum accipiat. Augetur autem quodq; in suo loco, quod omnia habet. Superueniente verò alimento, ab aqua sicco, ab igne verò humido, alia quidem intro, alia verò foras vi adiguntur. Non secus ac fabri lignarij, cùm lignum serra secant, & alter quidem trahit, alter verò trudit, idem sanè facientes, & qui deorsum vrget, eum qui supra est, trahit, neque enim aliàs deorsum descenderet, sin per vim agant, penitus aberrabunt. Tale quid circa hominis alimentum contingit, aliud quidem trahit, aliud verò trudit, intrò verò vi actũ, foras repit. Quòd si alieno tempore per vim abigatur, prorsus successu frustrabitur. Eodem autem ordine singula tanto tempore procedunt, quoad locus non ampliùs suscipiat, neq; satis alimenti ad summas aquas habeant. Postea ad externam regionem transeunt, tum fœminea, tum mascula, eodem modo vi & necessitate coacta. Quæcunq; verò fatalem sortem impleuerint, hæc primùm secernuntur, & simul commiscentur. Vnumquodq; siquidem secernitur, hæc autem omnia commiscentur. Quæ vbi regionem permutauerint, & cõcentum tres consonantias rectè habentem nacta fuerint, denique per omnia penetrans, iisdem quibus etiam antea viuit, & incrementũ accipit. Quòd si prima consonantia concentum non assequatur, & grauia acutis minimè consona fuerint, & si secunda generatio adfuerit, quod per totum est, vno decedente, totus tenor vanus est. Neque enim consonantiam habent, sed à maiore ad minus, ante destinatam sortem transitio fit, eo quòd nesciunt quid faciunt. At verò cur vtrique, tum masculus, tum fœmella generentur, procedente oratione ostendam. Horũ autem quodcunque concentum sortitum, cùm humidum existat, ab igne mouetur: motum verò viuiscit, & alimentum ad se ab iis, quæ in mulierem ingrediuntur, cibo & spiritu attrahit, imprimis quidem vndiquaque æqualiter, cùm primùm earum est, motu verò & igne siccescit & solidescit, & solidum redditum circunquaq; densatur. Ignisq; inclusus non ampliùs sufficiens alimentum attrahere valet, neque spiritum propter ambientis corporis densitatem expellit. Absumit enim quicquid intus humoris inest. Quæ igitur naturâ solida sunt, in compacto & sicco, non absumuntur ab igne in alimentũ, sed valida reddũtur, & humore deficiente compinguntur, quæ quidem ossa & nerui nominantur. Ignis autem ex commixto humore commoto, corpus secundum naturam propter hanc necessitatem componit. Neque enim per solidum & siccum diutiùs permeari potest, cùm alimentum non habeat. At per humida & mollia potest, quòd hæc ipsius sint alimentum. In his autem etiam siccitas ab igne non consumpta inest. Hæc verò mutuò inter se consistunt. Ignis igitur penitissimè conclusus, & plurimus est, & maximum exitum fecit, cùm plurimus hoc in loco humor inesset, qui venter appellatur, indeque excidit, cùm alimentum non habeat, forasq; exitum sibi parauit, quòd plurimus illic humor inesset, ad alimentum cõuehendum & concoquendum. Qui verò ad reliquũ corpus exclusus est ignis, triplices circuitus fecit. Quod erat in igne humidissimum,

οὔτε πολλῆς ἐπιούσης τροφῆς, οὔτε ὀλίγης. οὐ γὰρ ἔχει τὸ προσαυξόμενον. ἔχον δὲ πάντα, αὔξεται ἐν χώρῃ τῇ ἑωυτοῦ ἕκαστον. τροφῆς ἐπιούσης ἀπὸ ὕδατος ξηροῦ, καὶ πυρὸς ὑγροῦ. τὰ μὲν, εἴσω βιαζόμενα, τὰ δὲ, ἔξω. ὥσπερ οἱ τέκτονες τὸ ξύλον πρίουσι. καὶ ὁ μὲν, ἕλκει, ὁ δὲ, ὠθεῖ· τὸ αὐτὸ ποιέοντες. κάτω δὲ πιέζοντος, [27] τὸ ἄνω ἕρπει. οὐ γὰρ ἂν παραδέχοιτο, κάτω ἰέναι. ἢν δὲ βιάζωνται, πάντος ἁμαρτήσονται. τοιοῦτον τροφὴ ἀνθρώπου· τὸ μὲν, ἕλκει· τὸ δὲ, ὠθεῖ. εἴσω δὲ βιαζόμενον, ἔξω ἕρπει. ἢν δὲ βίηται παρὰ καιρὸν, 10 πάντος ἀποτεύξεται. χρόνον δὲ τοσοῦτον ἕκαστα τὴν αὐτὴν ἔχει τάξιν, ἄχρι μηκέτι δέχηται ἡ χώρη, μηδὲ τροφὴν ἱκανὴν ἔχῃ [28] ἐς τὸ μήκιστον τῶν ὑδάτων. ἔπειτα ἀμείβει ἐς τὸν ἔξω χῶρον, θήλεα καὶ ἄρσενα, [29] τὸν ἑωυτῶν τρόπον ὑπὸ βίης καὶ ἀνάγκης διωκόμενα. ὁκότερα δ' ἂν ἐμπλήσῃ τὴν πεπρωμένην μοίρην, ταῦτα διακρίνεται πρῶτα, καὶ ἅμα συμμίσγεται. ἕκαστον μὲν γὰρ, διακρίνεται· πάντα δὲ ταῦτα, ξυμμίσγεται. χώρην δὲ ἀμείψαντα καὶ τυχόντα ἁρμονίης ὀρθῶς ἐχούσης συμφωνίας τρεῖς, [30] ξυλλήβδην διεξιὼν διὰ πασέων, ζώει καὶ αὔξεται τοῖσι 20 αὐτοῖσιν, οἷσι καὶ πρόσθεν. [31] ἢν δὲ μὴ τύχῃ τῆς ἁρμονίης, μηδὲ ξύμφωνα βαρέα τοῖσιν ὀξέσι γένηται ἡ πρώτη συμφωνίη. [32] ἢν δὲ δευτέρη γένεσις ἢ, τὸ διὰ παντὸς ἑνὸς ἀπογενομένου, πᾶς ὁ τόνος μάταιος. οὐ γὰρ ἂν προσαείσειεν· ἀλλ' ἀμείβει ἐκ τοῦ μέζονος εἰς τὸ μεῖον, πρὸ μοίρης. διότι οὐ γινώσκουσιν ὅ, τι ποιέουσιν. ἀρσένων μὲν οὖν καὶ θηλειῶν διότι ἑκάτερα γίνεται, προϊόντι τῷ λόγῳ δηλώσω. τούτων δὲ ὁκότερον ἢν τύχῃ τῆς ἁρμονίης, ὑγρὸν ἐὸν, κινέεται ὑπὸ τοῦ πυρός. κινεόμενον δὲ, ζωπυρέεται, καὶ προσάγεται τὴν τροφὴν ἀπὸ τῶν ἐσιόντων ἐς τὴν γυναῖκα σιτίων, καὶ πνεύματος. τὰ 30 μὲν πρῶτα, πάντη ὁμοίως [33] ἕως ἔτι ἀραιόν ἐστιν. ὑπὸ δὲ τῆς κινήσιος καὶ τοῦ πυρὸς, ξηραίνεται καὶ στερεοῦται. στερεούμενον δὲ, πυκνοῦται πέριξ. καὶ τὸ πῦρ ἐγκλειόμενον, οὐκ ἔτι τὴν τροφὴν ἱκανὴν ἔχει ἐπάγεσθαι. οὐδὲ τὸ πνεῦμα ἐξωθεῖ, διὰ τὴν πυκνότητα τοῦ περιέχοντος. ἀναλίσκει γὰρ τὸ ὑπάρχον ὑγρὸν εἴσω. τὰ μὲν οὖν στερεὰ τὴν φύσιν ἐν τῷ ξυνεστηκότι καὶ ξηρῷ, οὐκ ἀναλίσκεται τῷ πυρὶ ἐς τὴν τροφήν· ἀλλ' ἐγκρατέα γίνεται, καὶ ξυνίσταται τοῦ ὑγροῦ ἐκλείποντος, ἅπερ ὀστέα καὶ νεῦρα ἐπονομάζεται. τὸ δὲ πῦρ ἐκ τοῦ συμμιγέντος κινουμένου τοῦ ὑγροῦ, δια- 40 κοσμέεται τὸ σῶμα κατὰ φύσιν, διὰ τοιήνδε ἀνάγκην. διὰ μὲν τὸ στερεὸν καὶ ξηρὸν, οὐ δύναται τὰς διεξόδους χρονίας ποιέεσθαι, διότι οὐκ ἔχει τροφήν. διὰ δὲ τῶν ὑγρῶν καὶ μαλακῶν, δύναται. ταῦτα γάρ ἐστιν αὐτῷ τροφή. ἔνι δὲ καὶ ἐν τούτοισι, ξηρότης οὐκ ἀναλισκομένη ὑπὸ τοῦ πυρός. ταῦτα δὲ ξυνίσταται παρ' ἄλληλα. τὸ μὲν οὖν ἐσωτάτω καταφραχθὲν πῦρ, καὶ πλεῖστόν ἐστι, καὶ μεγίστην τὴν διέξοδον ἐποιήσατο. πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, ὅπερ κοιλίη καλέεται. [34] καὶ ἐξέπεσεν ἐντεῦθεν, ἐπεὶ οὐκ ἔχει τροφὴν ἔξω, καὶ ἐποιήσατο πλεῖ- 50 στον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, καὶ τροφῆς ἐπαγωγὴν καὶ διάπεψιν. τὸ δὲ ἀποκλεισθὲν εἰς ἄλλο σῶμα, περιόδους ἐποιήσατο τρισσάς. ὅπερ ἦν ὑγρότατον τοῦ πυρὸς ἐν τῷ

ἐν τούτοισι τοῖσι χωρίοισιν, αἵ τινες φλέβες καλέονται κοῖλαι. ἐς δὲ τὰ μέσα τούτων, τὸ ὑπολοιπόμενον τοῦ ὕδατος ξυνιστάμενον πήγνυται, ὅπερ καλέεται σάρκες. ἑνὶ δὲ λόγῳ πάντα διεκοσμήσατο κατὰ τρόπον αὐτὸ ἑωυτὸ, τὰ ἐν σώματι τὸ πῦρ, ἀπομίμησιν τοῦ ὅλου, μικρὰ πρὸς μεγάλα, καὶ μεγάλα πρὸς μικρά. κοιλίην μὲν τὴν μεγίστην, ξηρῷ καὶ ὑγρῷ ταμεῖον, δοῦναι πᾶσι, καὶ λαβεῖν παρὰ πάντων, θαλάσσης δύναμιν ζώων συντρόφων, ἀσυμφόρων δὲ φθορόν. περὶ δὲ ταύτην ὕδατος ψυχροῦ καὶ ὑγροῦ, σύστασις· διέξοδος, πνεύματος ψυχροῦ καὶ θερμοῦ, ἀπομίμησιν τῆς γῆς, τὰ ἐπεισπίπτοντα πάντα ἀλλοιούσης. [35] καταναλίσκοντα δὲ καὶ αὔξοντα, σκέδασιν ὕδατος λεπτοῦ καὶ πυρὸς ἐποιήσατο, περὶ οὐκ ἀφανέος καὶ φανεροῦ, ἀπὸ τοῦ ξυνεστηκότος ἀπόκρισιν. ἐν ᾧ φερόμενα πάντα ἐς τὸ φανερὸν, ἀφικνέεται ἕκαστα μοίρῃ πεπρωμένῃ. ἐν δὲ τούτῳ ἐποιήσατο, πυρὸς περιόδους τρισσὰς, περαινούσας πρὸς ἀλλήλας καὶ εἴσω καὶ ἔξω. αἱ μὲν πρὸς τὰ κοῖλα τῶν ὑγρῶν, σελήνης δύναμιν· αἱ δὲ ἐς τὴν ἔξω περιφορὴν, πρὸς τὸν περιέχοντα πάγον, ἄστρων δύναμιν. αἱ δὲ μέσαι καὶ εἴσω καὶ ἔξω περαίνουσαι, τὸ θερμότατον καὶ ἰσχυρότατον πῦρ, ὅπερ πάντων ἐπικρατέεται· διέπον ἅπαντα κατὰ φύσιν ἄψοφον καὶ ὄψει καὶ ψαύσει, ἐν τούτῳ ψυχὴ, νόος, φρόνησις, αὔξησις, κίνησις, μείωσις, [36] διάλλαξις, ὕπνος, ἔγερσις. τοῦτο πάντα διὰ παντὸς κυβερνᾷ, καὶ τάδε καὶ ἐκεῖνα, οὐδέκοτε ἀτρεμίζων. οἱ δὲ ἄνθρωποι ἐκ τῶν φανερῶν τὰ ἀφανέα σκέπτεσθαι οὐκ ἐπίστανται. τέχνῃσι γὰρ χρεόμενοι, ὁμοίῃσιν ἀνθρωπίνῃ φύσει, οὐ γινώσκουσι. θεῶν γὰρ νόος ἐδίδαξε μιμέεσθαι τὰ ἑαυτῶν, γινώσκοντας ἃ ποιέουσι, καὶ οὐ γινώσκοντας ἃ μιμέονται. πάντα γὰρ ὅμοια, ἀνόμοια ἐόντα· καὶ σύμφορα πάντα, καὶ διάφορα ἐόντα· διαλεγόμενα, οὐ διαλεγόμενα· [37] γνώμην ἔχοντα, ἀγνώμονα· ὑπεναντίος ὁ τρόπος ἑκάστων, [38] ὁμολογούμενος. νόμος γὰρ καὶ φύσις, οἷσι πάντα διαπρησσόμεθα, [39] οὐχ ὁμολογέεται ὁμολογεόμενα. νόμον γὰρ ἔθεσαν ἄνθρωποι αὐτοὶ ἑωυτοῖσιν, οὐ γινώσκοντες περὶ ὧν ἔθεσαν. [40] φύσιν δὲ πάντων θεοὶ διεκόσμησαν. τὰ μὲν οὖν ἄνθρωποι ἔθεσαν, οὐδέποτε κατὰ τὸ αὐτὸ ἔχει, οὔτε ὀρθῶς, οὔτε μὴ ὀρθῶς. ὁκόσα δὲ θεοὶ ἔθεσαν, ἀεὶ ὀρθῶς ἔχει· καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθὰ, τοσοῦτον διαφέρει. ἐγὼ δηλώσω τέχνας φανερὰς ἀνθρώπου παθήμασιν ὁμοίας ἐούσας καὶ φανεροῖσι καὶ ἀφανέσι. μαντικὴ τοιόνδε· τοῖσι φανεροῖσι μὲν, τὰ ἀφανέα γινώσκειν· τοῖσι ἀφανέσι, τὰ φανερά· καὶ τοῖσι ἐοῦσι, τὰ μέλλοντα· τοῖσι ἀποθανοῦσι, τὰ ζῶντα. καὶ τῶν ἀσυνέτων συνιᾶσιν. ὁ μὲν εἰδὼς, ἀεὶ ὀρθῶς· ὁ δὲ μὴ εἰδὼς, ἄλλοτε ἄλλως. φύσιν ἀνθρώπου καὶ βίον ταῦτα μιμέεται. ἀνὴρ γυναικὶ ξυγγενόμενος, παιδίον ἐποίεε· τῷ φανερῷ τὸ ἄδηλον γινώσκειν, ὅτι οὕτως ἔσται. γνώμη ἀνθρώπου ἀφανὴς, γινώσκουσα τὰ φανερὰ, ἐκ παιδὸς εἰς ἄνδρα μεθίσταται. τῷ ἐόντι, τὸ μέλλον γινώσκει. [41] οὐχ ὅμοιον ἀποθανὼν ζῶντι· τῷ τεθνηκότι τὸ ζῶον οἶδε. ἀσύνετον γαστὴρ· ταύτῃ συνίεμεν, ὅτι διψῇ ἢ πεινῇ. ταῦτα μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα. τοῖσι μὲν γινώσκουσιν ἀεὶ, ὀρθῶς· τοῖσι δὲ μὴ γινώσκουσιν ἀεὶ, ἄλλοτε ἄλλως.

in iis locis remansit, quæ venæ cauæ appellantur. In medio verò harum quod reliquum est aquæ densatum constitit, & carnes vocantur. Ad summam, ignis omnia quæ sunt in corpore suo modo, ad vniuersi imitationem, parua cum magnis, & magna cum paruis disposuit. Ventrem quidem maximum, sicci & humidi promptuarium, qui omnibus daret, & ab omnibus acciperet, maris habens facultatem, quod animalia in eo enutrita fouet, aliena verò perimit. Circum hæc est aquæ frigidæ & humidæ coagmentatio, transitus spiritus frigidi & calidi, ad terræ imitationem, quæ omnia, quę in eam illabuntur, alterat. Consumens verò & augens aquæ tenuis, & ignis dispersionem fecit, ad non obscuri & apparentis à compacto secretionem, in quo delata omnia singula pro fatali sorte in apertum veniunt. In hoc autem triplices ignis circuitus fecit, in se inuicem intrò ac foras tendentes, alios quidem ad humorum cauitates, lunæ facultate, alios verò ad exteriorem superficiem, ad ambientem consistentiam, syderum facultate, medios autem intrò & foras tendentes, calidissimum & validissimum ignem continentes, qui cunctis dominatur, omniaque secundum naturam moderatur, sine strepitu, tum visu, tum tactu. In quo animus, mens, prudentia, incrementum, motus, imminutio, permutatio, somnus, vigilia. Hic omnia in totum gubernat, & hæc & illa, neque vnquam quiescit. At verò homines ex manifestis obscura in considerationem adhibere non nouerunt. Ignorant enim quòd artibus vtantur naturæ humanæ similibus. Diuina namque mens edocuit sua opera imitari, cognoscentes, quæ faciunt, & ignorantes, quæ imitantur. Omnia enim similia, quæ dissimilia existunt, & conuenientia, quæ sunt differentia, loquentia, non loquentia, rationem habentia, ratione carentia. Singulorum modus, qui in confesso est aliquantulum aduersatur. Lex enim & natura, quibus omnia conficiuntur, de his quæ in confesso sunt, non consentiunt. Legem siquidem ipsi sibi ipsis homines statuerunt, ea nunquam eodem modo se habent, siue recta, siue non recta sint. Quæ verò dij statuerunt, ea semper rectè habent. Atque recta & non recta, in tantum inter se differre videntur. At hominis artes manifestas, affectionibus tum manifestis, tũ obscuris similes esse demonstrabo. Diuinationis hoc munus est, vt ex manifestis obscura quidem cognoscat, ex obscuris manifesta, & ex præsentibus, quæ futura sunt, ex mortuis viuentia. Ea quoque, quæ intelligentia carent, intelligunt, semper quidem rectè, qui doctus est, indoctus verò, aliàs aliter. Hominis naturam hæc quoad fieri potest, imitantur. Viri cum muliere congressus facit, vt ex re manifesta obscura cognoscatur, quòd sic puer futurus est. Mens humana obscura, manifesta cognoscens, ex puero in virum transit, ex præsenti quod futurum est cognoscit. Non est simile mortuum viuenti, ex mortuo animal nouit. Venter cùm intelligentia careat, ex eo intelligimus, quòd sitit aut esurit. Quæ artis diuinandi, & humanæ naturæ affectiones, his quidem, qui agnoscunt semper rectè, ignorantibus verò aliàs aliter se habent.

Artis ferrariæ instrumenta ferrum colliquefaciunt, dum fabri igne vi flatus impulsi, alimentum, quod adest, detrahunt, cumq; rarefecerint, feriunt & cogunt, aquæ autem alterius alimento roboratur. Eadem homini à pædotriba contingunt, dum alimentum quod adest, igne detrahitur, & vi spiritus impellitur, rarefactus verò tunditur, fricatur, extenuatur, aquis autem aliunde inductis robustus euadit. Fullones quoque idem conficiunt, pedibus calcant, feriunt, inficiendo tundũt, trahunt, detrahendo robustiora reddunt, quæ supereminent deradendo, & adiiciendo pulchriora efficiunt. Eadem etiam homini contingunt. Sutores totis in partes diuisis, secando & pungendo, lacera integra reddunt. Idem etiam in homine contingit, tota in partes diuiduntur, & partium appositione tota fiunt, pungendo & secando marcida à Medicis ad vitam sanitati restituuntur. Ars Medica ab eo, quod molestum est, liberat, & id, ex quo quis ægrotat auferendo, sanitatem reddit. Idem & natura per se facere nouit. Qui sedet, exurgere conatur, & qui mouetur, quiescere, multaq; eiuscemodi quæ sunt artis Medicæ, natura sibi vendicat. Fabri lignarij dum serra secant, hic quidem trudit, alter verò trahit, & vt idem efficiant vterque intendit. Dum terebrant, vnus quidem trahit, alter verò impellit. Premendo alterum sursum repit, alterum deorsum, & quantum in se est minuentes, plura faciunt, humanamque naturam imitantur. Spiritus hic quidem trahit, ille verò pellit, & vt idem efficiat, vterque intendit. Cibi partim quidem deorsum vrgentur, partim verò sursum repunt. Ab vno animo in partes secto, plures, maiores, minores & pauciores fiunt. Qui domos construunt ex rebus differentibus vnam conuenientem efficientes, sicca quidem humectant, humida verò siccant, & tota quidem in partes secant, secta verò coniungunt. Nisi enim ita contingeret, nihil vnquam priuatum constitui posset. In quo victus rationis, quæ homini debetur, quædam imitatio est, dum sicca quidem humectant, humida verò siccant, tota in partes secant, secta verò coniungunt. Hæc omnia cùm differentia existant, natura conueniunt. In Musica primùm organum subsistere oportet, in quo concentus, quæ vult, declarat. Compositiones ex iisdem nõ eædem, ex acuto, ex graui, nomine quidem similibus, sono verò non similibus. Quæ plurimùm differunt, maximè conueniunt, quæ minimùm differunt, minimè conueniunt. Quòd si quis omnia similia faciat, nulla aderit delectatio. Plurimæ & variæ mutationes maximè delectãt. Coqui opsonia hominibus dum apparant, cuiusuis generis differentia, non eadem ex iisdem ad hominum cibum ac potum conferunt. Quòd si omnia similia faciant, nullam habeant delectationem, neque si eodem omnia connectant, ea vtique recte se habeant. Pulsatis instrumentis musicis tum supernè, tum infernè, soni quidam eduntur. Lingua Musicam imitatur, & ex his, quæ illabuntur, quod dulce est & acidũ dignoscit, & quæ sunt dissonantia. Pulsat autẽ sonos supra & infra, neq; quæ supra, si infra pulsentur, neq; quæ infra, si supra, recte habent. Quòd si lingua probè cõposita fuerit, cõcentus delectat, sin verò incõcinna fuerit, molestia afficit.

σιδήρου ὄργανα τέχνης τὸν σίδηρον περιτήκουσι, πνεύματι ἀναγκάζοντες τὸ πῦρ, τὴν ὑπάρχουσαν τροφὴν ἀφαιρέοντες, ἀραιὸν δὲ ποιήσαντες, παίουσι καὶ συνελαύνουσιν· ὕδατος δὲ ἄλλου τροφῇ ἰσχυρὸν γίνεται. ταῦτα πάσχει ἄνθρωπος ὑπὸ παιδοτρίβου· τὴν ὑπάρχουσαν τροφήν, πῦρ ἀφαιρέεται, ὑπὸ πνεύματος ἀναγκαζόμενος· ἀραιούμενος δέ, κόπτεται, τρίβεται, καθαιρέεται· [42] ὑδάτων δὲ ἐπαγωγῇ ἄλλοθεν ἰσχυρὸς γίνεται. καὶ οἱ γναφέες, τὸ αὐτὸ διαπρήσσονται· λακτίζουσι, παίουσι· λυμαινόμενοι, κόπτουσιν, ἕλκουσι· [43] λυμαινόμενοι, ἰσχυρότερα ποιέουσι· κείροντες τὰ ὑπερέχοντα· καὶ παραπλέκοντες καλλίω ποιέουσι· ταῦτα πάσχει ὁ ἄνθρωπος. σκυτέες τὰ ὅλα κατὰ μέρεα διαιρέοντες· τέμνοντες δὲ καὶ κεντέοντες, τὰ σαθρὰ ὑγιέα ποιέουσιν. καὶ ἄνθρωπος δέ, τὸ αὐτὸ πάσχει· ἐκ τῶν ὅλων, μέρεα διαιρέεται· καὶ ἐκ τῶν μερέων συντιθεμένων, ὅλα γίνεται. κεντεόμενοί τε καὶ τεμνόμενοι, τὰ σαθρὰ ὑπὸ τῶν ἰητρῶν ὑγιαίνονται· καὶ ζωῆς ἰητρικὴ τὸ λυπέον ἀπαλλάσσει. καὶ ὑφ' οὗ πονέει [44] ἀφαιρέοντα, ὑγιέα ποιεῖν, ἡ φύσις αὐτομάτη ταῦτα ἐπίσταται. καθήμενος, πονέει ἀναστῆναι· κινεύμενος, πονέει ἀναπαύσασθαι· καὶ ἄλλα τοιαῦτα ἔχει ἡ φύσις ἰητρικῆς. τέκτονες πρίοντες, ὁ μέν, ὠθέει· ὁ δέ, ἕλκει· τὸ αὐτὸ ποιέει ἀμφοτέρως φέρει. τρυπῶσι, ὁ μέν, ἕλκει· ὁ δέ, ὠθέει· [45] πιεζόντων ἄνω ἕρπει· τὸ δὲ κάτω, μεῖον οἷοι ἐόντες, πλείω ποιέουσι, φύσιν τε ἀνθρώπου μιμέονται. πνεῦμα τὸ μέν, ἕλκει· τὸ δέ, ὠθέει· τὸ δ' αὐτὸ ποιέει ἀμφοτέρως φέρει. σιτίων, τὰ μέν, κάτω πιέζεται· τὰ δέ, ἄνω ἕρπει. ἀπὸ μιῆς ψυχῆς διαιρεομένης, πλείους καὶ μείους, καὶ μέζονες καὶ ἐλάσσονες. οἰκοδόμοι ἐκ διαφόρων σύμφορον ἐργάζοντες, τὰ μὲν ξηρά, ὑγραίνοντες. τὰ δὲ ὑγρά, ξηραίνοντες· τὰ μὲν ὅλα, διαιρέοντες. τὰ δὲ διῃρημένα, συντιθέντες. μὴ οὕτω δὲ ἐχόντων, οὐκ ἂν ἔχοι ἰδίως. [46] δίαιταν ἀνθρωπίνην μιμέεται, τὰ μὲν ξηρά, ὑγραίνοντες· τὰ δὲ ὑγρά, ξηραίνοντες· τὰ μὲν ὅλα, διαιρέουσι· τὰ δὲ διῃρημένα, συντιθέασι. ταῦτα πάντα διάφορα ἐόντα, ξυμφέρει τῇ φύσει. μουσικῆς ὄργανον, ὑπάρξαι δεῖ πρῶτον ἐν ᾧ δηλώσει ἃ βούλεται, ἁρμονίη. συντάξιες ἐκ τῶν αὐτῶν, οὐχ αἱ αὐταί. ἐκ τοῦ ὀξέος ἐκ τοῦ βαρέος· ὀνόματι μέν, ὁμοίων· φθόγγῳ δέ, οὐχ ὁμοίων. τὰ πλεῖστα διάφορα, μάλιστα ξυμφέρει· καὶ τὰ ἐλάχιστα διάφορα, ἥκιστα ξυμφέρει. εἰ δὲ ὅμοια πάντα ποιήσειε τις, οὐκ ἔνι τέρψις. αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται, μάλιστα τέρπουσι. μάγειροι ὄψα σκευάζουσιν ἀνθρώποισι, ἐκ διαφόρων παντοδαπὰ ξυναρμόζοντες, ἐκ τῶν αὐτῶν οὐ τὰ αὐτά, βρῶσιν, καὶ πόσιν ἀνθρώποις. [47] ἢν δὲ πάντα ὅμοια ποιήσῃ, οὐκ ἔχει τέρψιν· οὐδ' εἰ ἐν αὐτῷ πάντα ξυντάξειεν, οὐκ ἂν ἔχοι ὀρθῶς. κρούεται τὰ κρούματα ἐν μουσικῇ, τὰ μέν, ἄνω· τὰ δέ, κάτω. γλῶσσα μουσικὴν μιμέεται, διαγινώσκουσα μέν, τὸ γλυκὺ καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων, καὶ τὰ διάφωνα. κρούεται δὲ τοὺς φθόγγους, ἄνω καὶ κάτω. καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα, ὀρθῶς ἔχει, οὔτε τὰ κάτω, ἄνω. καλῶς δὲ ἡρμοσμένης γλώττης, τῇ συμφωνίῃ τέρψις. ἀναρμόστου δέ, λύπη.

σκυτοδέψαι, τείνουσι, τρίβουσι, κτενίζουσι, πλύνουσι. Ταῦτα παιδίων θεραπείη. πλοκέες ἄγοντες, κύκλῳ πλέκουσιν, ἀπὸ τῆς ἀρχῆς εἰς τὴν ἀρχὴν τελευτῶσι. τοῦτο περίοδος ἐν τῷ σώματι, ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ. χρυσίον ἐργάζονται, κόπτουσι, πλύνουσι, τήκουσι πυρὶ μαλακῷ, ἰσχυρῷ δὲ, οὐ συνίσταται. ἀπεργασάμενοι, πρὸς πάντα χρῶνται. ἄνθρωπος σῖτον κόπτει, πλύνει, ἀλήθει, πυρώσας, χρῆται, ἰσχυρῷ μὲν πυρὶ, ἐν τῷ σώματι οὐ συνίσταται, μαλακῷ δέ. ἀνδριαντοποιοὶ, μίμησιν σώματος ποιέουσιν, πλὴν ψυχῆς. γνώμην δὲ ἔχοντα, οὐ ποιέουσιν. ἐξ ὕδατος καὶ γῆς, [48] τὰ ὑγρὰ ξηραίνοντες, ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων, καὶ προστιθέασι πρὸς τὰ ἐλλείποντα, ἐκ τοῦ ἐλαχίστου πρὸς τὸ μέγιστον αὔξοντες. ταῦτα πάσχει ὁ ἄνθρωπος. αὔξεται ἀπὸ τοῦ ἐλαχίστου ἐς τὸ μέγιστον. ἐκ τῶν ὑπερεχόντων ἀφαιρεύμενος, τοῖσιν ἐλλείπουσι προστιθείς. τὰ ξηρὰ ὑγραίνων, καὶ τὰ ὑγρὰ ξηραίνων. κεραμέες τροχὸν δινέουσι, καὶ οὔτε ὀπίσω, οὔτε πρόσω χωρεῖ, καὶ ἀμφοτέρωσε ἅμα τοῦ ὅλου μιμητὴς περιφερής. ἐν δὲ τῷ αὐτῷ ἐργάζονται, [49] εἴδη περιφερομένων παντοδαπὰ, οὐδὲν ὅμοιον τὸ ἕτερον τῷ ἑτέρῳ. ἐκ τῶν αὐτῶν ἄνθρωποι ταῦτα πάσχουσι, καὶ τὰ ἄλλα ζῶα ἐν τῇ αὐτῇ περιφορῇ πάντα ἐργάζονται. ἐκ τῶν αὐτῶν ὅμοιον οὐδὲν, τοῖσι αὐτοῖσι ὀργάνοισιν. ἐξ ὑγρῶν, ξηρὰ ποιέοντες, καὶ ἐκ τῶν ξηρῶν, ὑγρά. γραμματικὴ, τοιόνδε. σχημάτων σύνθεσις. σημήϊα φωνῆς ἀνθρωπίνης. δύναμις, τὰ παροιχόμενα μνημονεῦσαι. τὰ ποιητέα, δηλῶσαι. δι' ἑπτὰ σχημάτων ἡ γνῶσις. ταῦτα πάντα ἄνθρωπος διαπρήσσεται, καὶ ὁ ἐπιστάμενος γράμματα, καὶ ὁ μὴ ἐπιστάμενος. δι' ἑπτὰ σχημάτων, καὶ ἡ αἴσθησις ἡ ἀνθρώπων. ἀκοὴ, ψόφου. ὄψις, φανερῶν. ῥὶς, ὀδμῆς. γλῶσσα, ἡδονῆς, καὶ ἀηδίης. στόμα, διαλέκτου. σῶμα, ψαύσιος θερμοῦ ἢ ψυχροῦ. πνεύματος διέξοδοι, ἔσω καὶ ἔξω. διὰ τούτων, γνῶσις ἀνθρώποισιν. [50] ἀγωνίη παιδοτρίβαι, τοιόνδε διδάσκουσι. παρανομέειν κατὰ νόμον. ἀδικέειν δικαίως. ἐξαπατέειν, κλέπτειν, ἁρπάζειν, βιάζεσθαι τὰ κάλλιστα καὶ αἴσχιστα. ὁ μὴ ταῦτα ποιέων, κακός. ὁ δὲ ταῦτα ποιέων, ἀγαθός. ἐπίδειξις τῆς τῶν πολλῶν ἀφροσύνης. θεῶνται ταῦτα, καὶ κρίνουσιν ἕνα ἐξ ἁπάντων ἀγαθόν. τοὺς δὲ ἄλλους κακούς. πολλοὶ θαυμάζουσιν. ὀλίγοι γινώσκουσιν. ἐς ἀγορὴν ἐλθόντες ἄνθρωποι, ταῦτα διαπρήσσονται. ἐξαπατῶσι πωλέοντες καὶ ὠνεόμενοι. ὁ πλεῖστα ἐξαπατήσας, οὗτος θαυμάζεται. πίνοντες καὶ μαινόμενοι, ταῦτα διαπρήσσονται. τρέχουσι, παλαίουσι, μάχονται, κλέπτουσιν, ἐξαπατῶσιν, εἷς ἐκ πάντων κρίνεται. ὑποκριταὶ, καὶ ἐξαπαταὶ, πρὸς εἰδότας λέγουσιν ἄλλα, καὶ φρονέουσιν ἕτερα. οἱ αὐτοὶ ἐξέρπουσι καὶ εἰσέρπουσιν, οὐχ οἱ αὐτοί. [51] ἔνι δὲ ἀνθρώπῳ, ἄλλα μὲν λέγειν, ἄλλα δὲ ποιέειν. καὶ τὸν αὐτὸν, μὴ εἶναι τὸν αὐτόν. καὶ ποτὲ μὲν ἄλλην ἔχειν γνώμην. ποτὲ δὲ, ἄλλην. οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ φύσει ἐπικοινωνέουσιν. ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου, ὥσπερ μοι καὶ προείρηται, σύγκρησιν ἔχουσα πυρὸς καὶ ὕδατος, μέρεα δὲ ἀνθρώπου ἐσέρπει ἐς ἅπαν ζῶον, ὅτι περ ἀναπνέει. καὶ δὴ καὶ ἐς ἄνθρωπον πάντα, καὶ νεώτερον καὶ πρεσβύτερον. αὔξεται δὲ οὐκ ἐν πᾶσιν ὁμοίως. ἀλλ' ἐν μὲν τοῖσι νέοισι τῶν σωμάτων, ἅτε ταχείης ἐούσης τῆς περιφορῆς,

Qui pelles subigunt, radunt, terunt, pectunt, lauant. Eadem est, quæ circa pueros adhibetur cura. Qui nectunt aut texunt, fila in orbem ducendo plicāt, à principio in principium desinunt. Quod est circuitus in corpore, vt vnde incipit, eodem desinat. Qui aurū ad opus adhibent, tundunt, lauant, blando igne liquant (neq; enim vehementi coit) quod vbi elaborauerunt, ad omnia vtuntur. Triticum homo tundit, lauat, molit, eoq; igne subacto vtitur, neq; vehementi quidem igne in corpore conficitur, sed leni. Statuarij corporis imitationem sectātur, animo excepto (neq; enim mētem habentia fingunt) ex aqua & terra, dum quæ sunt humida, siccant, & quæ superant, demūt, & ad ea, quæ deficiunt, adiiciunt, ex minimo ad maximum incrementum perueniendo. Eadem homini contingunt, ex minimo ad maximum incrementum deducitur, dum quæ superant, detrahit, & quæ deficiūt, apponit, sicca humectando, & humida siccando. Qui figlinam exercēt, rotam versant, quæ neq; retrorsum, neq; antrorsum procedit, sed vtranq; in partē simul vniuersi imitatione in orbem fertur. In ea autem cuiusuis generis opera, neq; inter se similia, circumagendo efficiunt. Ex iisdem eadem hominib. eueniunt, reliquaq; animantia in eodem circumactu omnia operātur, ex iisdem nihil simile, iisdem instrumentis ex humidis sicca, & ex siccis humida efficiendo. In Grammatica tale quid inest, figurarū compositio, quæ sunt humanæ vocis notæ, facultas, quæ prætericrunt in memoriam reuocandi, & quæ facienda sunt demonstrandi. Per septem figuras cognitio habetur. Hæc omnia homo tum literarum gnarus, tū earum rudis cōficit. Per septem figuras sensatio homini contingit, auditione soni percipiuntur, visione manifesta cernūtur, nasus odores, lingua suauia & insuauia discernit, os sermonē format, corpore calidi & frigidi tactus percipitur. Spiritus intrò & foras permeat. Et per hæc hominib. cognitio contingit. Ars palæstrica, & qui puerorū curam habent, tale quid docent, ex instituto leges violare, iure iniuriā inferre, decipere, furari, rapere, vim pulcherrimis ac turpissimis inferre. Quæ, qui non facit, malus est, qui verò facit, bonus, hoc vulgi imprudentiam arguit, hæc spectant, & vnum præ omnibus probant, reliquos verò vituperāt. Multi admirantur, pauci cognitionem habent. Eadem homines in foro perpetrant, dum vendendo & emendo decipiūt. Qui plurimùm decepit, eum admirantur. Qui ex potu insaniunt, eadem peragunt, currunt, luctantur, pugnant, furantur, decipiunt, vnus omnibus præfertur. Histriones & deceptores coram spectatoribus alia dicunt, alia sentiunt. Iidem prorepunt & irrepunt minimè iidem. Homini verò licet alia quidem dicere, alia facere, eundemq; non esse eundem, & interdum quidem aliam habere mentem, interdum verò aliam. Ad hunc sanè modum artes omnes cum natura humana cōmunionem habent. At verò hominis animus (velut à me etiam antea dictū est) ignis & aquæ temperationem sortitus, partes autem hominis, in omne animal quod respirationem habet, irrepit, & in omnem sanè hominem, tum iuniorem, tum seniorem, in omnibus autem non similiter increscit. Verùm in iuuenib. quidē corporibus, quòd cùm nimirū velox sit circuitus,

& corpus ad incrementum aptum, velut aptatis alis euolantes & attenuatæ, in corporis incrementum absumuntur. At in senioribus, cùm tarda sit motio, corpusq; sanè frigidum, in hominis imminutionem consumuntur. Quæ verò corpora ætate sunt florente & fœcunda, ea nutrire & augere possunt. Potestate autem homines valent, & vt quisq; plurimos homines alere potest, ita virib. valet. Iis verò, quos alit, deficiẽtibus, imbecillior est. Eodem etiam ferè modo circa singula corpora se habet. Quæ plurimas animas alere possunt, ea sunt robustiora, his verò discedẽtibus, imbecilliora. Quod igitur in aliud corpus ingressũ fuerit, non increscit, quod verò in fœminam, increscit, si quæ conueniunt, nactum fuerit. Membra autẽ simul omnia discernuntur & augentur, neq; alterum altero prius, neq; posterius. Quæ tamen natura maiora sunt, minorib. priora conspiciuntur, cùm nihilo priora existant. Neq; verò æquali temporis spatio omnia certo ordine describuntur, verũ alia citiùs, alia tardiùs, prout quæq; ignem & alimẽtum sortita fuerint. Quidam igitur fœtus tribus ac quadraginta dieb. confirmationem habent, quidam quatuor mensibus. Eodẽ etiam modo vitales nascuntur, quidã citiùs, septimo mense perfectè; quidam tardiùs, nono mense perfectè in lucem prodeunt, ea coagmentatione, quam semper habituri sunt. Mares igitur & fœminæ hoc modo, quoad eius fieri potest, nascũtur. Fœminæ verò ab aqua magis, & ex frigidis humidis, ac mollibus, tum cibis, tum potibus, & vitæ institutis, incrementum accipiunt. At mares ab igne magis, ex siccis scilicet & calidis cibis, reliquaq; vitæ ratione. Si igitur fœminam procreare est animus, victus ratione ad aquã tendente est vtendum. Si verò marem, victus ratio, quæ ad ignem spectet instituenda est. Ac neq; solùm hoc viro, sed etiam mulieri peragendum. Neq; enim solùm quod à viro excernitur, ad incrementum aptum est, sed etiã quod à muliere, istam sanè ob causam. Neutrum quidẽ per se sufficientem habet motionem, vt affluẽtem humoris copiam absumat, sed ex ignis imbecillitate cõcrescit. Cùm verò in vnũ ambo conuenerint, in sese mutuò incidũt, ignis ad ignem, & aqua eodem modo. Si quidẽ igitur in sicco loco circũagitur, simul illapsam aquam superat, ab eaq; ignis incrementum accipit, vt nõ ab illabẽte vnda extinguatur, sed & id, quod irruit, excipiat, & quod existit, cogat. Sin in humidũ inciderit, statim ab initio ab illabẽte vnda extinguitur, & in minorẽ ordinem dissoluitur. Vno verò cuiusq; mẽsis die, ea, quæ irruũt, cogere & superare valet, idq; si cõtigerit, vt quæ ab vtrisq; immittuntur in eundẽ locum simul conueniant. Coire autẽ inter se possunt, & mas & fœmina, quandoquidem animus in omnib. animatis idem est, cuiusq; verò corpus differt. Semper igitur animus tum in maiore, tum in minore similis est. Neque enim natura, neq; necessitate immutatur. Corpus verò nunquam in vllo, neq; natura, neque necessitate, idem est, cùm partim in omnia secernatur, partim per omnia cõmisceatur. Si igitur contigerit, vt ab vtrisq; mascula corpora secernantur, pro re præsenti increscũt, procreanturq; viri animo clari, & corpore

καὶ τοῦ σώματος ὄντος αὐξήμου [12] ἐκπτερούμενα καὶ λεπτυνόμενα καταναλίσκεται ἐς τὴν αὔξησιν τοῦ σώματος. ἐν δὲ τοῖσι πρεσβυτέροισιν, ἅτε βραδείης ἐούσης τῆς κινήσιος, καὶ δὴ ψυχροῦ τοῦ σώματος, καταναλίσκεται ἐς τὴν μείωσιν τοῦ ἀνθρώπου. ὁκόσα δὲ τῶν σωμάτων ἀκμάζοντά ἐστι, καὶ ἐν τῇσιν ἡλικίῃσι τῇσι γονίμῃσι, δύναται τρέφειν καὶ αὔξειν. δυνάσαι δὲ ἄνθρωποι. ὅστις δύναται πλείστους ἀνθρώπους τρέφειν, οὗτος ἰσχυρός. ἀπολειπόντων δὲ τῶν παρ' αὐτοῦ τρεφομένων, οὗτος ἀσθενέστερος. τοιοῦτον καὶ ἕκαστα τῶν σωμάτων πλεῖστα, ὁκοῖα πλεῖστα δύναται ψυχὰς τρέφειν, ταῦτα ἰσχυρότερα. ἀπελθόντων δὲ τούτων, ἀσθενέστερα. [13] ὅ, τι μὲν οὖν ἄλλοσε ἐσέλθῃ, οὐκ αὔξεται. ὅ, τι δὲ ἐς τὴν γυναῖκα, αὔξεται ἢν τύχῃ τῶν προσηκόντων. διακρίνεται δὲ τὰ μέλεα, ἅμα πάντα καὶ αὔξεται. καὶ οὔτε πρότερον οὐδὲν ἕτερον ἑτέρου, οὔθ' ὕστερον. τὰ δὲ μέζω, φύσει πρότερα φαίνεται τῶν ἐλασσόνων, οὐδὲν πρότερα γινόμενα. οὐκ ἐν ἴσῳ δὲ χρόνῳ πάντα διακοσμέεται· ἀλλὰ τὰ μὲν, θᾶσσον, τὰ δὲ, βραδύτερον, ὅκως ἂν καὶ τοῦ πυρὸς ἕκαστα τύχῃ, καὶ τῆς τροφῆς. τὰ μὲν οὖν, ἐν τεσσαράκοντα καὶ τεσσαράκοντα ἡμέρῃσιν ἴσχει τὰ δὲ ἐν τετράμηνῳ. ὡσαύτως καὶ γόνιμα γίνεται. τὰ μὲν, θᾶσσον ἑπτάμηνα τελείως· τὰ δὲ βραδύτερον, ἐννέα μησὶ τελείως ἐς φάος ἀναδείκνυται [14] ἔχοντα τὴν σύγκρισιν, ἥνπερ καὶ διὰ παντὸς ἕξει. ἄρρενα μὲν οὖν καὶ θήλεα ἐν τῷδε τῷ τρόπῳ γίνοιτ' ἂν ὡς ἀνυστόν. τὰ δὲ θήλεα, πρὸς ὕδατος μᾶλλον, ἀπὸ τῶν ψυχρῶν καὶ ὑγρῶν καὶ μαλθακῶν αὔξεται, καὶ σιτίων, καὶ ποτῶν, καὶ ἐπιτηδευμάτων. τὰ δὲ ἄρσενα, πρὸς πυρὸς μᾶλλον, ἀπὸ τῶν ξηρῶν δηλαδὴ καὶ θερμῶν, σιτίων τε καὶ λοιπῆς διαίτης. ἢν οὖν θῆλυ τεκεῖν βούλοιτο, τῇ πρὸς ὕδατος διαίτῃσι χρηστέον. ἢν δὲ ἄρσενα, τῇ πρὸς πυρὸς ἐπιτηδεύσει διαιτητέον. καὶ οὐ μόνον δὲ τὸν ἄνδρα δεῖ τοῦτο διαπρήσσεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. οὐ γὰρ τὸ ἀπὸ τοῦ ἀνδρὸς μοῦνον αὐξήμον ἐστιν ἀποκριθὲν, ἀλλὰ καὶ τὸ ἀπὸ τῆς γυναικὸς, διὰ τόδε. ἑκάτερον μὲν τὸ μέρος, οὐκ ἔχει ἱκανὴν τὴν κίνησιν, τῷ πλήθει τοῦ ὑγροῦ, ὥστε καταναλίσκειν τὸ ἐπιρρέον. [15] καὶ ξυνίσταται δι' ἀσθενείην τοῦ πυρός. ὁκόταν δὲ κατὰ τοῦτο ἀμφότερα συνεμπεσόντα τύχῃ, προσπίπτει πρὸς ἄλληλα. τὸ πῦρ τε πρὸς τὸ πῦρ, καὶ τὸ ὕδωρ ὡσαύτως. ἢν μὲν οὖν ἐν ξηρῇ τῇ χώρῃ [16] περικινέεται, κρατεῖ τοῦ ξυνεμπεσόντος ὕδατος. καὶ ἀπὸ τούτου αὔξεται τὸ πῦρ, ὥστε μὴ κατασβέννυσθαι ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, [17] ἀλλὰ τό τε ἐπιὸν δέχεσθαι καὶ συνιστάναι ὑπάρχον. ἢν δὲ ἐς τὸ ὑγρὸν πέσῃ, αὐθέως ἀπ' ἀρχῆς [18] κατασβέννυταί τε ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, καὶ διαλύεται εἰς τὴν μείω τάξιν. ἐν μιῇ δὲ ἡμέρῃ τοῦ μηνὸς ἑκάστου, δύναται συστῆναι καὶ κρατῆσαι τῶν ἐπιόντων, καὶ ταῦτ' ἢν τύχῃ ξυνεμπεσόντα παρ' ἀμφοτέρων κατὰ τόπον. ξυνίστασθαι δὲ δύναται καὶ τὸ θῆλυ καὶ τὸ ἄρσεν πρὸς ἄλληλα. διότι ἡ μὲν ψυχὴ, τὸ αὐτὸ πᾶσι τοῖσι ἐμψύχοισι. τὸ δὲ σῶμα, διαφέρει ἑκάστου. ψυχὴ μὲν οὖν αἰεὶ ὁμοίη, καὶ ἐν μείζονι καὶ ἐν ἐλάσσονι. οὐ γὰρ ἀλλοιοῦται οὔτε διὰ φύσιν, οὔτε δι' ἀνάγκην. [19] σῶμα δὲ, οὐδέποτε τὸ αὐτὸ οὐδενὸς οὔτε κατὰ φύσιν, οὔθ' ὑπ' ἀνάγκης. τὸ μὲν, διακρίνεται εἰς πάντα· τὸ δὲ, ξυμμίσγεται πρὸς ἅπαντα. ἢν μὲν οὖν ἄρσενα τὰ σώματα ἀποκριθέντα ἀμφοτέρων τύχῃ, αὔξεται κατὰ τὸ ὑπάρχον, καὶ γίνονται οὗτοι ἄνδρες λαμπροὶ τὰς ψυχὰς, καὶ τὸ σῶμα

ἰσχυροί

ἰσχυροὶ, ἢν μὴ ἀπὸ διαίτης βλαβῶσι τῆς ἔπειτα. ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς, ἄρσεν ἀποκριθῇ, τὸ δὲ ἀπὸ τῆς γυναικὸς, θῆλυ· καὶ ἐπικρατήσῃ τὸ ἄρσεν. ἢν μὲν τύχῃ, προσμίσγεται πρὸς τὴν ἰσχυροτέρην ἢ ἀσθενεστέρην, οὐ γὰρ ἔχει πρὸς ὅ τι ὁμοιότερον, ἀποχωρήσει τῶν παρεόντων. προσδέχεται γὰρ ἡ μικρὴ τὴν μείζω, καὶ ἡ μείζων τὴν ἐλάσσονα. κοινῇ δὲ τῶν ὑπαρχόντων κρατέουσι. τὸ δὲ σῶμα, τὸ μὲν ἄρσεν, αὔξεται· τὸ δὲ θῆλυ, μειοῦται, καὶ διακρίνεται εἰς ἄλλην μοίρην. καὶ οὗτοι μὲν ἧσσον τῶν προτέρων λαμπροὶ, ὅμως δὲ διότι, ἀπὸ τοῦ ἀνδρὸς τὸ ἄρσεν ἐκράτησεν, ἀνδρεῖοι γίνονται. καὶ τοὔνομα τοῦτο δικαίως ἔχουσιν. ἢν δὲ ἀπὸ μὲν τῆς γυναικὸς, ἄρσεν ἀποκριθῇ, ἀπὸ δὲ τοῦ ἀνδρὸς, θῆλυ, κρατήσῃ δὲ τὸ ἄρσεν, αὔξεται τὸν αὐτὸν τρόπον τῷ προτέρῳ· τὸ δὲ μειοῦται. γίνονται δὲ οὗτοι ἀνδρόγυνοι καὶ καλέονται τοῦτο ὀρθῶς. τρεῖς μὲν οὖν, αὗται γενέσιες τῶν ἀνθρώπων. διαφέρει δὲ, πρὸς τὸ μᾶλλον καὶ ἧσσον τὸ τοιοῦτοι εἶναι διὰ τὴν σύγκρησιν τοῦ ὕδατος τῶν μερέων, καὶ τροφὰς, καὶ παιδεύσιας, καὶ συνηθείας. δηλώσω δὲ προϊόντι τῷ λόγῳ καὶ περὶ τούτων. τὸ δὲ θῆλυ γίνεται κατὰ τὸν αὐτὸν τρόπον. ἢν μὲν ἀπ' ἀμφοτέρων θῆλυ ἀποκριθῇ, θηλυκώτατα καὶ εὐφυέστατα γίνονται. ἢν δὲ, τὸ μὲν ἀπὸ τῆς γυναικὸς, θῆλυ· τὸ δὲ ἀπὸ τοῦ ἀνδρὸς, ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον. καὶ θρασύτεραι μὲν, τῶν πρόσθεν. ὅμως δὲ, κόσμιαι καὶ αὗται. ἢν δὲ ἢν τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς, θῆλυ, τὸ δὲ ἀπὸ τῆς γυναικὸς ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον, καὶ γίνονται τολμηρότεραι τῶν προτέρων, καὶ ἀνδρεῖαι ὀνομάζονται. εἰ δέ τις ἀπιστεῖ, ψυχὴν μὴ προσμίσγεσθαι ψυχῇ, ἄφρων ἐστίν. ἄνθρακας κεκαυμένους πρὸς κεκαυμένους προσβάλλων, ἰσχυροὺς πρὸς ἀσθενέας, τροφὴν αὐτοῖσι διδοὺς, ὅμοιον τὸ σῶμα πάντες παρασχήσονται, καὶ οὐ διάδηλος ἕτερος τοῦ ἑτέρου, ἀλλ' ἐν οἵῳ σώματι ζωπυρέονται, τοιοῦτον τὸ πᾶν ἔσται. ὁκόταν δὲ ἀναλώσωσι τὴν ὑπάρχουσαν τροφὴν, διακρίνονται ἐς τὸ ἄδηλον. τοῦτο καὶ ἀνθρωπίνη ψυχὴ πάσχει. περὶ δὲ τῶν διδύμων γινομένων, ὁ λόγος ὧδε δηλώσει. τὸ μὲν πλεῖστον τῆς γυναικὸς ἡ φύσις αἰτίη τῶν μητρέων. ἢν γὰρ ὁμοίως ἀμφοτέρωσε πεφύκασι κατὰ τὸ στόμα, καὶ ἢν ἀναχάσκωσιν ὁμοίως, καὶ ξηραίνωνται ἀπὸ τῆς καθάρσιος, δύνανται τρέφειν, ἢν τὰ τοῦ ἀνδρὸς ξυλλαμβάνῃ, ὥστε εὐθὺς ἀποσχίζεσθαι. οὕτω γὰρ ἀνάγκη σκίδνασθαι ἐπ' ἀμφοτέρας τὰς μήτρας ὁμοίως. ἢν μὲν οὖν πολὺ ἐπ' ἀμφοτέρων τὸ σπέρμα καὶ ἰσχυρὸν ἀποκριθῇ, δύναται ἐν ἀμφοτέρῃσι τῇσι χώρῃσιν αὔξεσθαι· κρατεῖ γὰρ τῆς τροφῆς τῆς ἐπιούσης. ἢν δὲ κως ἄλλως γένηται, οὐ γίνονται δίδυμα. ὁκόταν μὲν οὖν ἄρσεν ἀπ' ἀμφοτέρων ἀποκριθῇ, ἐξ ἀνάγκης ἐν ἀμφοτέρῃσιν ἄρσενα γίνεσθαι. ὁκόταν δὲ θήλεα ἀπ' ἀμφοτέρων, θήλεα γίνεται. ὁκόταν δὲ τὸ μὲν θῆλυ, τὸ δὲ ἄρσεν, ὁκότερον ἂν ἑκατέρου κρατήσῃ, τοιοῦτον ἐπαύξεται. ὅμοια δὲ ἀλλήλοισι τὰ δίδυμα διὰ τόδε γίνεται. ὅτι πρῶτον μὲν ἴσα τὰ χωρία ἐν οἷς αὔξεται. ἔπειτα ὅτι καὶ ἅμα ἀπεκρίθη. ἔπειτα τῇσιν αὐτῇσι τροφῇσιν αὔξεται. γόνιμά τε ἀνάγεται ἐς φάος. ἐπίγονα δὲ, τῷδε τῷ τρόπῳ γίνεται. ὁκόταν αἵ τε μῆτραι θερμαὶ καὶ ξηραὶ φύσει ἔωσιν, ἥ τε γυνὴ τοιαύτη, τό, τε σπέρμα

validi, nisi à subsequente victus ratione vitium contrahant. Quòd si à viro quidem masculum semen secernatur; a muliere verò fœmineum, & masculum superauerit, eo quidem casu ad validiorem aut imbecilliorem genituram commiscetur, cùm nihil ex his, quæ adsunt, habeat ad quod se conferat, & cum quo meliùs nutriatur. Parua enim maiorem, & maior minorem suscipit, in commune tamen in ea, quæ existunt imperium, exercent. Et maris quidem corpus increscit, fœminæ verò minuitur, & ad aliam sortem seponitur. Atq; hi quidem prioribus minùs clari sunt, sed quoniam masculum à viro excretum dominatum obtinuit, viriles procreantur, & hoc nomen meritò retinent. At si à muliere masculum quidem secretum fuerit, & à viro fœmineum, masculumq; dominatum obtineat, eodem modo quo priùs incrementum accipit, hoc verò minuitur, Androgyni, hoc est, semiuiri procreantur, hocq; nomine rectè nuncupantur. Atq; tres hæ quidem hominum generationes, plus aut minus inter se differunt, ob partium aquæ temperationem, alimenta, educationes & consuetudines, de quibus etiam procedente oratione est agendum. Fœmina verò eodem modo procreatur, siquidem ab vtrisque fœmineum secretum fuerit, maximè ad molliciem à natura comparatæ nascuntur. Quòd si mulieris quidem semen fœmineum, viri verò masculũ fuerit, obtinuerit autem fœmineum, eodem modo increscit, & prioribus audaciores quidem sunt, venustę tamen & ipsæ. At si viri semen fœmineum fuerit, mulieris verò masculum, præualueritq; fœmineum, eodem modo incrementum accipit, & prioribus longè audaciores nascuntur, viraginesque nominantur. Si quis autem animum animo commisceri minimè sibi persuadeat, is ratione caret. Quòd si carbones ardentes ad ardentes, validos ad debiles adiiciat, & ipsis alimentum exhibeat, eandem omnes corporis speciem præbebunt, neq; alter ab altero dignoscetur, sed quocunq; in corpore ignem suscitauerint, idem in omnibus erit. Vbi verò præsens alimentum cõsumpserint, in id, quod obscurum est, secedũt. Idem quoq; humano animo contingit. At verò gemellorũ procreationem hæc oratio aperiet. Quorum fere quidem natura vteri muliebris in causa est. Si enim vtraq; ex parte iuxta osculum æqualiter à natura comparati fuerint, & æqualiter hiauerint, & à purgatione siccentur, alere possunt, si viri semen conceperint, ita vt statim diuidatur. Sic enim in vtrunq; vterum æqualiter spargi necesse est. Si igitur copiosum ab vtrisq; & validũ semẽ excretum fuerit, in vtrisq; locis increscere potest, cùm accedens alimentũ superet. Quòd si aliter contingat, gemini non nascuntur. Cùm itaq; ab vtrisque masculum excretum fuerit, in vtrisque masculos generari necesse est. Cùm verò fœmineum ab vtrisque, fœminæ procreantur. Quòd si hoc quidem fœmineum, illud verò masculum fuerit, quodcunque alterum superauerit, id ipsum incrementum accipiet. Similes verò inter se gemelli hanc ob causam existunt. Imprimis quidem quòd æqualia sunt loca, in quibus increscunt, deinde quòd ex eodem semine sati sunt, postea quòd iisdem alimentis augescunt, vitalesque in lucem producuntur. Fœtus autem succidanei hunc in modum gignuntur. Vbi vteri natura calidi & sicci fuerint, & mulier eiusmodi, semenq;

calidũ & siccũ inciderit, nulla ampliùs in vteris existit humiditas, quæ superillapsum semen superet. Quam ob causam initio coalescit ac viuit, permanere autem nõ potest, quinetiam quod prius inest insuper corrũpit, quòd non eadem vtrisq; cõducant. At corpus humanum vbi temperationem ex tenuissima aqua & rarissimo igne adeptum fuerit, saluberrimum habitum ideo efficit, quòd neq; in maximis anni tempestatum mutationibus, neq; in ætatũ transmutationibus, neq; in ciborum ac potuum victus ratione, aqua dẽsissima existit in aquę accessionibus, neq; ignis in ignis incursibus. Possunt enim ambo tum generationem, tum repletionem copiosam suscipere. Æs tũ mollissimum, tum rarissimum, plurimum temperamentum recipit, & optimum redditur. Eadem ratione etiam quod in aqua est tenuissimum, & quod in igne est rarissimum, inter se temperata. Qui igitur hac natura sunt prædíti, sani omni tempore vsq; ad quadragesimum annum perseuerãt, quidam verò etiam vsq; ad extremam senectutẽ. Qui verò supra quadragesimum annũ morbo aliquo correpti fuerint, vix vnquã euadunt. At verò corpora, quæ ignis validissimi & aquæ densissimæ temperationẽ sumpserint, valida quidem & robusta euadunt, verùm multa cura indigent. Magnas enim vtranq; in partẽ mutationes habẽt, & in aquæ & ignis accessionib. eodem modo in morbos incurrũt. Huic igitur victus ratione anni temporib. contraria vti confert. Aquę quidem accessione contingente, iis, quæ aquæ aduersantur vtendũ, sensim quidẽ pro anni témporum ratione trãsmutatione facta. At vbi aquę crassissimæ & ignis tenuissimi in corpore tẽperatio facta fuerit, talia contingunt, ex quibus frigidam & humidam naturam dignoscere conuenit. Et corpora hyeme quàm æstate, & vere quàm autumno, morbosiora existunt. Inter hos, quo ad ætates attinet, pueri maximè sani sunt, secundo loco adolescentes, morbis verò maximè obnoxij senes, & qui proximè ad eos accedunt, cæteꝗ; naturæ citò senescũt. His in victus ratione conferunt quęcunq; calefaciunt & siccant, tum in laboribus, tum in cibis, & ad exteriores corporis partes labores adhibere magis, quàm ad interiores conuenit. Si verò quod in igne est humidissimũ, & in aqua densissimum, temperaturam in corpore acceperit, ex his humidam & calidam naturam dignoscere licet. Hi quidem vere maximè morbis tentantur, autumno verò minimè, quandoquidem vere humiditatis excessus est, autumno verò siccitatis commoderatio. Ex ætatibus maximè morbis obnoxiæ, quæ iuniores. Corpora verò celeriter increscunt, iique destillationibus obnoxij euadunt. Victus autem ratio confert, quæ siccat & refrigerat, tum in cibo, tum in potu, ac laboribus. His quoque partes corporis internas laboribus exercere maximè conducit. At si quod in igne est validissimum, & in aqua tenuissimum, temperaturam adeptum fuerit, sicca & calida ea est natura, iique in ignis accessionibus morbo corripiuntur, in aquæ verò accessionibus, sanitate fruuntur. Ætatibus florentibus, quo ad pleniorem corporis habitum comparãdum, morbosissimi sunt,

ξηρὸν καὶ θερμὸν ἐμπέσῃ, οὐκ ἔτι γὰρ ἐν τῇσι μήτρῃσιν ὑγρασίη οὐδεμίη, ἥτις τὸ ἐπεσπίπτον σπέρμα κρατήσει. διὰ τοῦτο ξυνίσταται ἐξ ἀρχῆς καὶ ζώει. διατελέειν δὲ οὐ δύναται, ἀλλὰ καὶ τὸ ὑπάρχον προσδιαφθείρει. διότι οὐ ταὐτὰ ξυμφέρει ἀμφοῖν. ὕδατος δὲ τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον σύγκρησιν λαβόντα ἐν ἀνθρώπου σώματι, ὑγιεινοτάτην ἕξιν ἀποδείκνυσι, διὰ τάδε, ὅτι ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ τῶν ὡρέων τῇσι μεγίστῃσιν, οὔτε τὸ ὕδωρ ἐς τὸ πυκνότατον ἔρχεται ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισιν, οὔτε
10 τὸ πῦρ, ἐν τοῖς τοῦ πυρὸς. " οὔτε τῶν μικρέων, ἐν τῇσι μεταστάσεσιν, οὔτε τῶν σιτίων καὶ ποτῶν, ἐν τοῖσι διαιτήμασι. " δύναται γὰρ γένεσίν τε πλείστην δέξασθαι ἀμφότερα καὶ πλησμονήν. χαλκὸς ὁ μαλακώτατός τε καὶ ἀραιότατος, πλείστην κρῆσιν δέχεται, καὶ γίνεται κάλλιστος. καὶ ὕδατος τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον, σύγκρησιν λαμβάνοντα ὡσαύτως. οἱ μὲν οὖν ταύτην ἔχοντες τὴν φύσιν, ὑγιαίνοντες διατελέουσι τὸν πάντα χρόνον, μέχρι τεσσαράκοντα ἐτέων. οἱ δὲ καὶ μέχρι γήρως τοῦ ἐσχάτου. ὁκόσοι δ' ἂν ληφθῶσιν ὑπὸ νουσήματός τινος, ὑπὲρ τεσσαράκοντα
20 ἔτεα, οὐ μάλα διαφυγγάνουσιν. ὁκόσα δὲ τῶν σωμάτων σύγκρησιν λαμβάνει πυρὸς τοῦ ἰσχυροτάτου, καὶ ὕδατος τοῦ πυκνοτάτου, ἰσχυρὰ μὲν καὶ ἐρρωμένα τὰ σώματα γίνεται, φυλακῆς δὲ πολλῆς δέονται. μεγάλας γὰρ τὰς μεταβολὰς ἔχει ἐπ' ἀμφότερα. " καὶ ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισιν, ἐς νουσήματα πίπτουσι. καὶ ἐν τῇσι τοῦ πυρὸς, ὡσαύτως. τοῖσιν οὖν διαιτήμασι ξυμφέρει χρέεσθαι τῷ τοιούτῳ πρὸς τὰς ὥρας τοῦ ἔτεος ἐναντιουμένων. ὕδατος μὲν ἐφόδου γινομένης, τοῖσι πρὸς ὕδατος χρέεσθαι " κατὰ μικρὸν μεθιστάντα. τὰ μὲν ἀπὸ τῆς ὥρης ὕδατος τε τοῦ πα-
30 χυτάτου καὶ πυρὸς τοῦ λεπτοτάτου ξυγκρηθέντων ἐν τῷ σώματι, τοιαῦτα ξυμβαίνει. ἐξ ὧν διαγινώσκειν χρὴ, ψυχρὴν φύσιν καὶ ὑγρήν. ταῦτα τὰ σώματα ἐν τῷ χειμῶνι, νοσερώτερα ἢ ἐν τῷ θέρει. καὶ ἐν τῷ ἦρι, ἢ ἐν τῷ φθινοπώρῳ. τῶν ἡλικιῶν ὑγιεινότατοι τῶν τοιούτων οἱ παῖδες, δεύτεροι νεανίσκοι. νοσερώτατοι δὲ, οἱ πρεσβῦται καὶ οἱ ἐγγύτατα. καὶ ταχέως γηράσκουσιν αἱ φύσιες αὗται. διαιτεῖσθαι δὲ ξυμφέρει τοῖσι τοιούτοισιν, ὁκόσα θερμαίνει καὶ ξηραίνει, καὶ πόνοισι καὶ σιτίοισι. καὶ πρὸς τὰ ἔξω τοῦ σώματος μᾶλλον " τοὺς πόνους ποιέεσθαι, ἢ πρὸς τὰ
40 εἴσω. ἢν δὲ λάβῃ πυρὸς τε τὸ ὑγρότατον καὶ ὕδατος τὸ πυκνότατον, ξύγκρησιν ἐν τῷ σώματι, τοῖσι δὲ γινώσκειν ὑγρὴν καὶ θερμὴν φύσιν. κάμνουσι μὲν μάλιστα οἱ τοιοῦτοι, ἐν τῷ ἦρι. ἥκιστα δὲ, ἐν τῷ φθινοπώρῳ. ὅτι ἐν μὲν τῷ ἦρι, ὑπερβολὴ τῆς ὑγρασίης. ἐν δὲ τῷ φθινοπώρῳ, συμμετρίη τῆς ξηρασίης. τῶν δὲ ἡλικιῶν, νοσερώταται ὁκόσαι νεώτεραί εἰσιν. αὔξεται δὲ τὰ σώματα ταχέως. καὶ ἀρρωδέες τε οἱ τοιοῦτοι γίνονται. διαιτεῖσθαι δὲ ξυμφέρει, ὁκόσα ξηραίνοντα ψύχει, καὶ σιτίοισι καὶ ποτοῖσι, καὶ πόνοισι. τοὺς δὲ πόνους τούτοισιν εἴσω τοῦ σώματος ποιέεσθαι " ξυμφέρει μάλιστα. εἰ δὲ σύγκρησιν λάβοι πυρὸς τὸ, τε ἰσχυρότατον καὶ ὕδατος τὸ λεπτότατον, καὶ ξηρὴ ἡ φύσις καὶ θερμὴ, νόσος μὲν τοῖσι τοιούτοισιν ἐν τῇσι τοῦ πυρὸς ἐφόδοισιν. ὑγιείη δὲ ἐν τῇσι τοῦ ὕδατος. ἡλικίῃσιν, ἀκμαζούσῃσι πρὸς σάρκος ἕξιν, νοσερώταται

ὑγιηρότατοι δὲ οἱ πρεσβῦται, καὶ τὰ ἔγγιστα ἑκατέρων. διαιτῶνται ὁκόσαι ψύχουσι καὶ ὑγραίνουσι, καὶ τῶν πόνων ὁκόσοι ἥκιστα ἐκθερμαίνοντες καὶ συντήκοντες, πλείστην ψῦξιν παρασχήσουσι. αἱ τοιαῦται φύσιες, μακροβιώταται καὶ ὑγιηρόταται γίνονται. ἢν δὲ σύγκρησιν λάβῃ πυρὸς τοῦ ἀραιοτάτου καὶ ὕδατος τοῦ ξηροτάτου, ξηρὴ καὶ ψυχρὴ ἡ τοιαύτη φύσις. νοσερὴ μὲν, ἐν τῷ φθινοπώρῳ· ὑγιηρὴ δὲ, ἐν τῷ ἦρι καὶ τοῖσιν ἔγγιστα. ὡσαύτως ἡλικίαι πρὸς ἔτεα τεσσαράκοντα, νοσεραί· παῖδες ὑγιηρότατοι, καὶ τὰ προσέχοντα ἑκατέροισι. διαιται δὲ ὁκόσαι θερμαὶ ἐοῦσαι, ὑγραίνουσι· καὶ πόνοι ἐξ ὀλίγου προσαγόμενοι, ἡσυχῇ διαθερμαίνοντες, μὴ πολὺ ἀπὸ τῶν ὑπαρχόντων φέροντες. Περὶ μὲν οὖν φύσιος διαγνώσιος, οὕτω χρὴ διαγινώσκειν τὸ ἐξ ἀρχῆς ξυστάσιος. αἱ δὲ ἡλικίαι αὐταὶ πρὸς ἑωυτὰς ὧδε ἔχουσι. παῖς μὲν οὖν κέκρηται ὑγροῖσι καὶ θερμοῖσι, διότι ἐκ τούτων ξυνέστηκε, καὶ ἐν τούτοισιν ηὐξήθη. ὑγρότατα μὲν οὖν καὶ θερμότατα ὁκόσα ἔγγιστα γενέσιος, καὶ αὔξεται ὡς πλεῖστον. καὶ ἐχόμενα ὡσαύτως. νεηνίσκος δὲ, θερμὸς μὲν, ὅτι τοῦ πυρὸς ἐπικρατεῖ ἡ ἔφοδος τοῦ ὕδατος· ξηρὸς δὲ, ὅτι τὸ ὑγρὸν ἤδη κατηνάλωται τὸ ἐκ τοῦ παιδός. τὸ μὲν, ἐς τὴν αὔξησιν τοῦ σώματος· τὸ δὲ, ἐς τὴν κίνησιν τοῦ πυρός· τὸ δὲ, ὑπὸ τῶν πόνων. ἀνὴρ, ὁκόταν στῇ τὸ σῶμα, ξηρὸς καὶ ψυχρός. διότι τοῦ μὲν θερμοῦ ἡ ἔφοδος οὐκ ἔτι ἐπικρατεῖ, ἀλλ' ἕστηκεν ἀτρεμίζον τὸ σῶμα τῆς αὐξήσιος, καὶ κατέψυκται. ἐκ δὲ τῆς νεωτέρης ἡλικίης, τὸ ξηρὸν ἔνι. ἀπὸ δὲ τῆς ἐπιούσης ἡλικίης καὶ τοῦ ὕδατος τῆς ἐφόδου, οὐκ ἔχων τὴν ὑγρασίην, διὰ ταῦτα ξηροῖσι καὶ ὑγροῖσι κρατέεται. οἱ δὲ πρεσβῦται, ψυχροὶ καὶ ὑγροί. διότι πυρὸς μὲν ἀποχώρησις· ὕδατος δὲ, ἔφοδος· καὶ ξηρῶν μὲν, ἀπάλλαξις· ὑγρῶν δὲ, κατάστασις. τῶν δὲ πάντων, τὰ μὲν ἄρσενα, θερμότερα καὶ ξηρότερα· τὰ δὲ θήλεα, ὑγρότερα καὶ ψυχρότερα διὰ τόδε· ὅτι τε ἀπ' ἀρχῆς ἐν τοιούτοισιν ἑκάτερα ἐγένετο· καὶ ὑπὸ τοιούτων αὔξεται. γενόμενά τε τῇσι διαίτῃσιν ἐπιπονωτέρῃσι χρέεται, ὥστε ἐκθερμαίνεσθαι καὶ ἀποξηραίνεσθαι. τὰ δὲ θήλεα ὑγροτέρῃσι καὶ ῥαθυμοτέρῃσι τῇσι διαίτῃσι χρέονται, καὶ κάθαρσιν τοῦ θερμοῦ ἐκ τοῦ σώματος ἑκάστου μηνὸς ποιέονται. Περὶ δὲ φρονήσιος ψυχῆς καὶ ἀφροσύνης ὀνομαζομένης, ὧδε ἔχει. πυρὸς τὸ ὑγρότατον καὶ ὕδατος τὸ ξηρότατον, κρῆσιν λαβόντα ἐν τῷ σώματι, φρονιμώτατα. διότι τὸ μὲν πῦρ ἔχει ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν· τὸ δὲ ὕδωρ, ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν. ἑκάτερον δὲ, οὕτως αὐταρκέστατον. οὔτε τὸ πῦρ, τῆς τροφῆς ἐνδεέστερον ἐπὶ πολὺ φοιτᾷ· οὔτε τὸ ὕδωρ, τῆς κινήσιος ἐπὶ πολὺ δεόμενον κουφοῦται. αὐτό τε οὖν ἑκάτερον, οὕτως αὐταρκέστατόν ἐστι, πρὸς ἄλληλά τε κρηθέντα. 70 ὅτι γὰρ ἐλάχιστα τῶν πέλας δέεται, τοῦτο μάλιστα τοῖσι παρεοῦσι προσέχει. πυρός τε τὸ ἥκιστα κινεύμενον, μὴ ὑπ' ἀνάγκης· καὶ ὕδατος, τὸ μάλιστα μὴ ὑπὸ βίης. ἐκ τούτων δὲ ἡ ψυχὴ συγκρηθεῖσα, φρονιμωτάτη καὶ μνημονικωτάτη. εἰ δέ τινι ἐπαγωγῇ χρεομένη τούτων ὁκότερον οὖν αὐξηθείη ἢ μαραίνοι, ἀφρονεστάτη ἂν γένοιτο. διότι οὕτως ἔχοντα αὐταρκέστατα. εἰ δὲ πυρὸς τοῦ εἰλικρινεστάτου καὶ ὕδατος σύγκρησιν λάβοι, ἐνδεέστερον δὲ τὸ πῦρ εἴη τοῦ ὑ-

senes verò, & ad vtrosq; proximè accedentes, admodum sani. Victus ratio, quæ refrigeret & humectet, & labores minimè calefacientes & colliquantes, plurimam refrigerationem exhibebunt. Eiusmodi naturæ longissimæ sunt vitæ, & maxima sanitate fruuntur. Quòd si ignis rarissimi & aquæ siccissimæ tẽperationẽ acceperit, sicca & frigida eiusmodi est natura, autumno quidem morbis obnoxia. Vere autem & proximis temporibus, sana. Eodem modo cùm quadraginta annorũ ætatem attigerint, morbosæ, pueri maximè sani, & cùm ad vtrasq; ætates accedunt. Victus ratio conueniens, quæ calefaciendo humectat, & labores, qui sensim adhibiti leniter calefaciunt, neque multũ ex his, quæ adsunt, tollunt. Quòd igitur ad naturæ cognitionẽ attinet, ea sic ex prima corporis constitutione dignoscenda est. Ætates autem per se consideratę, hoc se habent modo. Puer quidem ex humidis & calidis temperationem habet, quandoquidẽ ex his constat, & in his incrementum accepit. Quæ igitur ortui sunt proxima, humidissima & calidissima, & quàm plurimum increscunt, eodemq; modo quæ ad hæc accedunt. At adolescens calidus quidẽ, quoniam ignis accessio aquam superat, siccus verò, quia puerile humidum iam consumptum est, partim quidem in corporis incrementũ, partim verò in ignis motionẽ, partim etiam à laboribus. Vir cùm corpus constiterit, siccus & frigidus, quoniam calidi quidẽ accessio non ampliùs superat, sed sistitur incrementum in corpore quiescens, & perfrigeratur. Verùm ex iuuenili ætate siccitas adest, neq; ab accedente ætate, neq; aquæ accessione humiditatem habet, ideoq; à siccis & frigidis superatur. Senes autem frigidi & humidi, quoniam ignis quidem decessio, aquæ autem accessio adest, & siccitatis quidem summotio, humidorũ verò constitutio. At verò inter omnes mares quidem calidiores sunt & sicciores, fœminæ verò humidiores & frigidiores eam ob causam, quòd vtriq; per exordia in talibus nati sunt, & ex talibus increuerunt. Quinetiam in lucẽ producti masculi, laboriosiore victus genere vtuntur, quo incalescunt ac resiccantur, fœminæ verò humido magis ac otioso, & singulis mensibus calidi purgationem ex corpore habent. At de ea quæ dicitur animi prudẽtia vel imprudẽtia, sic se res habet. Si quod in igne est maximè humidum, & in aqua maximè siccum, in corpore temperata fuerint, prudentissima efficiuntur, quoniam ignis quidem ab aqua humiditatem, aqua verò ab igne siccitatem habet. Vtrunq; autem hoc modo sibi maximè satis esse videtur. Neq; ignis alimẽti inopia longè proficiscitur, neq; aqua motionis penuria admodum subleuatur. Vtrunq; igitur tũ hoc modo sibi satis est, tũ inter se temperata. Quod enim vicinis minimè indiget, id maximè præsentia amplectitur, ignis qui minimè neq; necessitate mouetur, & aqua quæ maximè, nõ per vim. Ex his autem vbi contemperationẽ animus habuerit, prudentia & memoria maximè valet. Quòd si aliquo superinducto vsus fuerit, & horũ quodcunq; increuerit aut contabuerit, imprudẽtissimus euadit, quòd cùm sic se habeat, ipsa sibi maximè satis esse videtur. Quòd si ignis & aquæ purissimæ temperationẽ acceperit, & ignis a-

qua paulò inferior fuerit, ij quidem etiam prudentes sunt, plus tamē illis quàm in priore temperatione deest, quoniam ignis ab aqua superatur, tardamq; motionem efficiens, segniùs in sensus illabitur. Eiusmodi autem ferè stabiles sunt, quamcunq; ad rem se applicuerint. Quòd si recta adhibeatur victus ratio, prudētiores & acutiores præter naturam euadāt. His autem cōducit, vt victus ratione, quæ ad ignem magis accedat, vtantur, & neq; cibis, neq; potionibus expleātur. Cursibus itaq; celeribus vtendum, quò & corpus humore vacuetur, & humor celeriùs sistatur. Lucta autem, frictionibus, & similibus exercitationibus vti nō conuenit, vt ne cauiores redditi meatus expleantur. Ab his enim animi motū grauari necesse est. Deambulationibus etiam tum à cœna, tū matutinis, itemq; post cursus, vtendum est. A cęna quidem, quò siccius alimentum ab iis, quæ ingeruntur, animus accipiat. Mane verò, vt viæ humore vacuentur, & animi meatus minimè obstruātur. Ab exercitiis autem, ne quod à cursu excretum est, in corpore remaneat, & animo commixtum, vias obstruat, & alimentum conturbet. Confert etiam, vt vomitionibus vtantur, quò corpus repurgetur, si quid negligentiùs labores effecerint. A vomitione autem sensim adiiciēdo, cibus offerendus, per quatuor, vt minimùm, dies. Vngi verò quàm lauari magis cōuenit. Rebus autem venereis in aquæ accessionibus magis vtendum, minùs verò, in ignis incursionibus. At si in aliquo inferiorem quàm aquæ potentiam ignis sortitus sit, tardiorem eū esse necesse est, appellanturque eiusmodi stolidi. Nimirum enim cùm tardus sit ambitus, paulatim sensationes allabūtur, & quæ acutæ existunt, sensui etiam commiscentur, propter ambitus tarditatem. Acutæ enim sunt animi sensationes, quæ visione & auditione percipiūtur, quæ verò tactu, tardiores & faciliùs sentiuntur. Has igitur non minùs ij sentiunt, quàm quæ sunt frigida & calida, & eius generis. Quæ verò visione & auditione percipienda sunt, quæ non antè sciūt, percipere nequeūt. Nisi enim ab igne illabente commotus animus fuerit, id qualecunq; sit, non percipiat. Id igitur huiusmodi animus ob celeritatem non contingit. Quòd si recta victus ratione vtatur, is etiam melior euadere queat. Eadem igitur, quæ priori victus ratio confert, verùm cibis tum siccioribus, tum paucioribus, laboribus autem pluribus & vehementioribus vtendum. Confert etiam vt fomentis, & ab iis vomitionibus vtatur, & post vomitus ex longo interuallo cibos exhibeat, si minor vomitus contigerit. Quæ si fecerit, magis valebit, & prudentior euadet. Quòd si magis ab aqua ignis separetur, hos iam alij dementes, alij attonitos appellant. Eorum autem insania tardior existit. Hi plorant cùm à nemine vexentur aut verberentur, minimè metuenda metuunt, molestia afficiuntur vbi minimè conuenit, & sentiunt, quæ prudentes non deceant. Iis itaque fomenta conducunt, & à fomentis purgationes ex veratro, & victus ratio quam antea dixi, isq; pulmonis extenuatione & siccitate opus habet. At si aqua inferiorē quàm ignis

δατος ὀλίγον, φρόνιμοι μὲν καὶ οὗτοι ἐνδεέστεροι δὲ, τῶν προτέρης. διότι κρατεόμενον τὸ πῦρ ὑπὸ τοῦ ὕδατος, καὶ βραδείην τὴν κίνησιν ποιεύμενον, νωθρότερον προσπίπτει πρὸς τὰς αἰσθήσιας. παραμόνιμοι δὲ εἰσὶ ἐπιεικέως αἱ τοιαῦται ψυχαὶ, πρὸς ὅ, τι ἂν προσέχωσιν. εἰ δὲ ὀρθῶς διαιτῷντο καὶ φρονιμώτεροι καὶ ὀξύτεροι γίνοιντο παρὰ τὴν φύσιν. [71] ξυμφέρει δὲ τοῖσι τοιούτοισι, τοῖσι πρὸς πυρὸς διαιτήμασι μᾶλλον χρέεσθαι, καὶ μὴ πλησμονῇσι, μήτε σιτίων, μήτε ποτῶν. δρόμοισιν οὖν χρέεσθαι ὀξέσιν, ὅκως τοῦ τε ὑγροῦ κενῶται τὸ σῶμα, [72] καὶ τὸ ὑγρὸν ἐπίσχηται θᾶσσον. πάλῃσι δὲ, καὶ τρίψεσι, καὶ τοῖσι τοιούτοισι γυμνασίοισιν, οὐ ξυμφέρει χρέεσθαι, ὅκως μὴ κοιλοτέρων τῶν πόρων γινομένων, πλησμονῆς πληρῶνται. βαρύνεσθαι γὰρ ἀνάγκη τὴν τῆς ψυχῆς κίνησιν ὑπὸ τῶν τοιούτων. τοῖσί τε περιπάτοισι ξυμφέρει χρέεσθαι, καὶ ἀπὸ δείπνου καὶ ὀρθρίοισι, καὶ ἀπὸ τῶν δρόμων. ἀπὸ δείπνου μὲν, ὅκως τροφὴν ξηροτέρην ἡ ψυχὴ δέχηται ἀπὸ τῶν εἰσιόντων. ὄρθρου δὲ, ὅκως αἱ διέξοδοι κενῶνται τοῦ ὑγροῦ, καὶ μὴ φράσσωνται οἱ πόροι τῆς ψυχῆς. ἀπὸ δὲ τῶν γυμνασίων, ὅκως μὴ ἐγκαταλείπηται ἐν τῷ σώματι τὸ ἀποκριθὲν ἀπὸ τοῦ δρόμου, μὴ δὲ ξυμμίσγηται τῇ ψυχῇ, μὴ δὲ ἐμφράσσῃ τὰς διεξόδους, μὴ δὲ συνταράξῃ τὴν τροφήν. ξυμφέρει δὲ καὶ ἐμέτοισι χρέεσθαι, ὅκως ἀποκαθαίρηται τὸ σῶμα, εἴ τι ἐνδεέστερον [73] οἱ πόνοι διαπεπρήχασι. προσάγειν δὲ ἀπὸ τῶν ἐμέτων, κατὰ μικρὸν προστιθέντα τὸ σιτίον, ἐς ἡμέρας τέσσαρας τὰς ἐλαχίστας. χρίεσθαι δὲ ξυμφορώτερον ἢ λούεσθαι. λαγνεύειν δὲ, ὕδατος ἐφόδων γινομένων, πλείονα. ἐν δὲ τῇσι τοῦ πυρὸς ἐπιφορῇσι, μείονα. εἰ δέ τινι ἐνδεεστέρην τὴν δύναμιν τὸ πῦρ λάβοι τοῦ ὕδατος, [74] βραχυτέρην ἀνάγκη ταύτην εἶναι. καὶ καλέονται οἱ τοιοῦτοι ἠλίθιοι. ἅτε γὰρ βραδείης ἐούσης τῆς περιόδου, κατὰ βραχὺ προσπίπτουσιν αἱ αἰσθήσιες. καὶ ὀξεῖαι ἐοῦσαι, ἐπ' ὀλίγον ξυμμίσγονταί τε διὰ βραδυτῆτα τῆς περιόδου. αἱ γὰρ αἰσθήσιες τῆς ψυχῆς ὁκόσαι μὲν δι' ὄψιος καὶ ἀκοῆς εἰσιν, ὀξεῖαι. ὁκόσαι δὲ διὰ ψαύσιος, [75] βραδύτεραι καὶ εὐαισθητότεραι. τούτων μὲν οὖν αἰσθάνονται καὶ οἱ τοιοῦτοι οὐδὲν ἧσσον, οἷον ψυχρῶν καὶ θερμῶν καὶ τῶν τοιούτων. ὁκόσα δὲ δι' ὄψιος ἢ ἀκοῆς αἰσθέσθαι δεῖ, ἃ μὴ πρότερον ἐπίστανται, οὐ δύνανται αἰσθάνεσθαι. ἢν γὰρ μὴ σεισθῇ ἡ ψυχὴ ὑπὸ τοῦ πυρὸς προσπίπτοντος οὐκ ἂν αἴσθοιτο ὁκοῖόν τί ἐστιν. αἱ οὖν τοιαῦται ψυχαὶ οὐ πάσχουσι τοῦτο [76] διὰ παχύτητα. εἰ δὲ ὀρθῶς διαιτῷτο, βελτίων γένοιτο ἂν καὶ ὁ τοιοῦτος. ξυμφέρει οὖν τὰ διαιτήματα ἅπερ τῷ προτέρῳ. ξηροτέροισι δὲ χρῆσθαι καὶ ἐλάσσοσι σιτίοισι. τοῖσι δὲ πόνοισι, πλείοσι καὶ ὀξυτέροισι. συμφέρει δὲ πυριῆσθαι. καὶ ἐμέτοισι χρέεσθαι ἐκ τῶν πυριησίων. καὶ προσαγωγῇσιν ἐκ τῶν ἐμέτων ἐκ πλείονος χρόνου. [77] καὶ ποιέῃ ἐνδεέστερον, καὶ ταῦτα ποιέων, ὑγιεινότερος ἂν καὶ φρονιμώτερος εἴη. ἢν δὲ κρατηθείη ἐπὶ πλέον τὸ πῦρ ὑπὸ τοῦ ἐόντος ὕδατος, τούτους ἤδη οἱ μὲν, ἄφρονας ὀνομάζουσιν, οἱ δὲ, ἐμβροντήτους. ἔστι δὲ ἡ μανίη τῶν τοιούτων ἐπὶ τὸ βραδύτερον. οὗτοι κλαίουσί τε, οὐδενὸς λυποῦντος, ἢ τύπτοντος. δεδίασί τε τὰ μὴ φοβερά. λυπέονται ἐπὶ τοῖς μὴ προσήκουσι, καὶ αἰσθάνονται, οἷσιν οὐ προσήκει τοῖς φρονέουσι. ξυμφέρει [illegible] τούτοισι πυριῆσθαι, καὶ ἐλλεβόροισιν ἐκκαθαίρεσθαι ἐκ τῶν πυριησίων καὶ διαίτῃ χρέεσθαι ἢ εἴρηται πρότερον. [78] ἰσχνασίης δὲ πνεύμονος ἐστὶ δίαιτα, καὶ ξηρασίης. εἰ δὲ τὸ ὕδωρ ἐνδεεστέρην τὴν δύναμιν λάβοι, τοῦ πυρὸς

ἐν-

εἰλικρινέην τὴν σύγκρασιν ἐχόντων, ὑγιαίνουσι σώμασι φρονίμοις. ἡ δὲ τοιαύτη ψυχὴ ταχέως αἰσθανομένη τῶν προσπιπτόντων, καὶ οὐ μεταπίπτουσα πολλάκις ἐστί. φύσις μὲν οὖν ἡ τοιαύτη, ψυχῆς ἀγαθῆς. βελτίων δὲ γένοιτο, ὀρθῶς διαιτωμένη· καὶ κακίων μὴ ὀρθῶς. συμφέρει δὲ τῷ τοιούτῳ τῇ διαίτῃ χρέεσθαι τῇ πρὸς ὕδατος μᾶλλον, ὑπερβολὰς φυλασσόμενον καὶ σιτίων, καὶ πομάτων, καὶ πόνων. καὶ δρόμοισι καμπτοῖσι καὶ διαύλοισι, καὶ πάλῃσι, καὶ τοῖσιν ἄλλοισι γυμνασίοισιν, ὑπερβολὴν οὐδενὸς ποιεύμενον. ἢν γὰρ ἔχῃ ὑγιηρῶς τὸ σῶμα καὶ μὴ ὑπ᾽ ἄλλου τινὸς ξυνταράσσηται, ἡ τῆς ψυχῆς φρόνιμος σύγκρησις. εἰ δ᾽ ἐπὶ πλεῖον κρατηθείη ἡ τοῦ ὕδατος δύναμις ὑπὸ τοῦ πυρὸς, ὀξυτέρην μὲν, τοσούτῳ ἀνάγκη εἶναι τὴν ψυχὴν, ὅσῳ θᾶττον κινέεται, καὶ πρὸς τὰς αἰσθήσιας θᾶσσον προσπίπτειν. ἧσσον δὲ μόνιμον τῆς προτέρης, διότι κρίνεται τὰ παραγινόμενα, καὶ ἐπὶ πλεῦνα ὁρμᾶται διὰ ταχυτῆτα. συμφέρει δὲ τῷ τοιούτῳ διαιτῆσθαι, τῇ πρὸς ὕδατος διαίτῃ μᾶλλον, ἢ τῇ προτέρῃ· καὶ μάζῃ μᾶλλον, ἢ τῷ ἄρτῳ καὶ ἰχθύσιν, ἢ κρέασι· τῷ ποτῷ ὑδαρεστέρῳ· καὶ λαγνείῃσιν ἐλασσόνως χρέεσθαι. καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα καὶ πλείστοισι. τοῖσι δὲ ὑπὸ βίης χρέεσθαι μὲν ἀνάγκη. ἐλάττοισι δὲ καὶ ἐμέτοισιν ἐκ τῶν πλησμονῶν, ὅκως κενῶται μὲν τὸ σῶμα, θερμαίνηται δὲ ὡς ἥκιστα. συμφέρει δὲ καὶ ἀσαρκέειν τοῖσι τοιούτοισι, πρὸς τὸ φρονίμους εἶναι. πρὸς γὰρ σαρκὸς εὐεξίην, καύματος φλεγμονὴν ἀνάγκη γίνεσθαι. ὁκόταν δὲ τοιοῦτον πάθῃ ἡ τοιαύτη ψυχὴ, ἐς μανίην καθίσταται, κρατηθέντος τοῦ ὕδατος καὶ ἐπισπασθεῖσα. ξυμφέρει δὲ τοῖσι τοιούτοισι καὶ τὰς πρήξιας πρήσσειν, βεβρωκόσι μᾶλλον ἢ ἀσίτοισι. στασιμωτέρη γὰρ ἡ ψυχὴ τῇ τροφῇ καταμισγομένη συμφόρῳ μᾶλλον, ἢ ἐνδεὴς οὖσα τροφῆς. εἰ δέ τι πλέον ἐπικρατηθείη τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς, ὀξείη ἡ τοιαύτη ψυχὴ ἄγαν, καὶ τούτους ὀνειρώσσειν. καλέουσι δὲ αὐτοὺς ὑπομαινομένους. ἔστι γὰρ ἔγγιστα μανίης τὸ τοιοῦτον. καὶ γὰρ ἀπὸ βραχείης φλεγμονῆς καὶ ἀσυμφόρου μαίνονται, καὶ ἐν τῇσι μέθῃσι καὶ ἐν τῇσιν εὐεξίῃσι τῆς σαρκὸς, καὶ ὑπὸ τῶν κρεηφαγιῶν. ἀλλὰ χρὴ τὸν τοιοῦτον, τούτων μὲν πάντων ἀπέχεσθαι, καὶ τῆς ἄλλης πλησμονῆς, καὶ γυμνασίων τῶν ἀπὸ βίης γινομένων· μάζῃ δὲ ἀτρίπτῳ διαιτᾶσθαι, καὶ λαχάνοισιν ἑφθοῖσι, πλὴν τῶν καθαρτικῶν· καὶ ἰχθυδίοισιν ἐν ἅλμῃ. καὶ ὑδροποτέειν βέλτιστον, ἢν δύναιτο· εἰ δὲ μὴ, ὅ,τι ἐγγυτάτω τούτου, ἀπὸ μαλακοῦ οἴνου καὶ λευκοῦ. καὶ τοῖσι περιπάτοισι τοῖσι ὀρθρίοισι πουλλοῖσι. ἀπὸ δείπνου δὲ ὁκόσον ἐξαναστῆναι, ὅκως τὰ μὲν σιτία μὴ ξηραίνωνται ἀπὸ τῶν ἀπὸ δείπνου περιπάτων, τὸ δὲ σῶμα κενῶται ὑπὸ τοῦ ὀρθρίου. λούεσθαι δὲ χλιαρῷ ὕδατι περικλύδην μᾶλλον ἢ χρέεσθαι. ξυμφέρει δὲ καὶ ἐν τῷ θέρει τῆς ἡμέρας, ὕπνοισι χρέεσθαι βραχέσιν ἢ πολλοῖσιν, ὅκως μὴ ἀποξηραίνηται τὸ σῶμα ὑπὸ τῆς ὥρης. ἐπιτήδειον δὲ τοῦ ἦρος καὶ ἐλλεβόροισι καθαίρειν προπυριηθέντας. εἶτα ἐπάγειν πρὸς τὴν δίαιταν ἡσυχῇ, καὶ μὴ ἄσιτον τὰς πρήξιας μηδὲ τοῦτον ποιέεσθαι. ἐκ ταύτης τῆς ἐπιμελείης ἡ τοιαύτη ψυχὴ φρονιμωτάτη ἂν εἴη. περὶ μὲν οὖν φρονίμου καὶ ἄφρονος ψυχῆς ἡ σύγκρησις αὕτη αἰτίη, ὥσπερ μοι καὶ γέγραπται. καὶ δύναται ἐκ τῆς διαίτης καὶ βελτίων καὶ χείρων γίνεσθαι.

facultatem adepta sit, cùm syncerам contemperationem habeant, sanitate corporis & prudentia valent. Eiusmodi animus citò, quæ ingruunt, percipit, neque frequenter ad alia se transfert. Huius igitur animi natura bona est, melior tamen efficiatur, si recta victus ratione vtatur; vt deterior, si praua. Huic verò victus ratio conducit, quæ ad aquam magis spectet, & neq; in cibis, neque in potionibus, neque laboribus modum excedat. Cursibus flexis & circensibus, luctis, & reliquis exercitationibus vtantur, dum in nullo modum superent. Si enim corpus bene valuerit, nullaq; re alia perturbetur, hæc animi cõtemperatio prudens est. Quòd si adhuc magis aquæ vis ab igne superetur, & acutiorem quidem animum esse necesse est, quò citiùs mouetur, & ad sensationes celeriùs incurrere, verùm priore minùs stabilem, quoniam, quæ adsunt, secedunt, & in pulmonem celeri impetu feruntur. Huic conducit, vt ea victus ratione vtatur, quæ magis ad aquã spectat quàm prior, & maza potiùs quàm pane, piscibus quàm carnibus, potione etiam dilutiore, & venere rariore, & laboribus, qui secundum naturam maximè obeuntur, & quàm plurimis, iis verò, qui per vim suscipiuntur, non nisi coactus. Vomitionibus autem post ipsas repletiones paucis vtatur, quò corpus quidem euacuetur, quàm minimè verò incalescat. His etiam ad prudentiam confert, vt minimè carnosi euadant. Ad optimum enim corporis habitum, ardoris inflammationem accedere necesse est. Quòd cùm acciderit, eiusmodi animus aqua superata in furorem agitur & adducitur. His verò confert, vt negotia cibo sumpto potiùs quàm ieiuni obeant. Cõmodo enim alimento ammixto, stabilior longè animus euadit, quàm alimenti indigens. Quòd si adhuc magis aqua ab igne superetur, eiusmodi animus valde acutus est, eosque somniis agitari necesse est. Hos autem subfuriosos vocant. Hoc enim insaniæ proximum est, cum vel à leui & cõtemnenda inflammatione insaniant, & in vini potionibus, & carnis bona habitudine, & à carnium esu. Sed & hunc ab his quidem omnibus abstinere oportet, & omni alia repletione, & exercitationibus, quæ per vim obeuntur. In victus autem ratione, maza non subacta vtendum, & oleribus coctis, præter quàm purgantibus, & pisciculis ex muria. Quinetiam aquã bibere optimum, si fieri possit, sin minus, quod ad hanc proximè accedit, vinum molle & album. Deambulationibus quoq; matutinis multis vtatur, à cœna verò exurgat, vt ne cibi quidem à deambulationibus post cœnam reficcentur, corpus autem à matutinis euacuetur. Aqua tepida autem circumaffusa potiùs perfundatur, quàm vngatur. Cõfert etiã æstate interdiu somno vti breuiore quàm multo, vti ne corpus ab anni tempore reficcetur. Cõmodum etiam est vere, fotibus antea præparatos, potionibus ex veratro purgare, deinde sensim ad victus rationem adducere, neq; hunc ieiunum negotia obire oportet. Et hac sanè cura eiusmodi animus prudentissimus euaserit. Prudentis igitur & imprudẽtis animi, hæc contemperatio causa est, velut à me scriptum est, victus tamen ratione melior & deterior fieri potest.

Ignis autem incursibus superantibus, fortè aquæ aliquid addi non potest, vt neq; aqua in contemperatione superante, ignis augeri. Ex his verò prudentiores & imprudẽtiores animi efficiuntur. At verò istorum nulla ampliùs contemperatio, cuiusmodi est ad iracundiam præceps, lentus, dolosus, simplex, infensus, beneuolus. Horum omnium meatuum natura, per quos animus fertur, causa est. Cuiusmodi enim sunt vasa per quæ secedit, & ad quæ occurrit, & quibuscunque commiscetur, eiusmodi homines sentiunt. Ideoque ista victus ratione transmoueri possunt, cùm fieri non possit, vt naturã occultam vlla ratione transformes. Eadem verò ratione, & vocis, quæcunque tandem fuerit, spiritus meatus causa sunt. Per quos enim aër mouetur, & ad quoscunque incurrit, talem esse vocem necesse est. Et hæc quidem deteriora & meliora effici possunt, quòd læuiores & asperiores spiritus meatus reddere liceat, illud verò victus ratione permutare non possis.

δρόμοισι δὲ πυρὸς ἐπικρατέοντος, τῷ ὕδατι προστιθέναι ἀδύνατόν ἐστιν ἴσως, καὶ τοῦ ὕδατος ἐπικρατέοντος, ἐν τῇ συγκρήσει τὸ πῦρ αὐξῆσαι. ἐκ τούτων δὲ φρονιμώτεραι καὶ ἀφρονέστεραι γίνονται. τῶν δὲ τοιούτων οὐκ ἔστιν ἡ σύγκρησις ἐπὶ οἷον ὀξύθυμος, ῥᾴθυμος· δόλιος, ἁπλοῦς· δυσμενής, εὔνους. τῶν τοιούτων ἁπάντων ἡ φύσις τῶν πόρων δι' ὧν ἡ ψυχὴ πορεύεται, αἰτίη ἐστί· δι' ὁκοίων γὰρ ἀγγείων ἀποχωρεῖ, καὶ πρὸς ὁκοῖά τινα προσπίπτει, καὶ ὁκοίοις τισὶ καταμίσγεται, τοιαῦτα φρονέουσι. [82] διὰ τοῦτο γοῦν δυνατὸν τὰ τοιαῦτα ἐκ διαίτης μεθιστάναι. φύσιν γὰρ μεταπλάσαι ἀφανέα οὐχ οἷόν τε. ὡσαύτως δὲ καὶ τῆς φωνῆς ὁκοίη τις ἂν εἴη, οἱ πόροι αἴτιοι τοῦ πνεύματος, δι' ὁκοίων γὰρ ἄν τινων κινέεται ὁ ἀὴρ, καὶ πρὸς ὁκοίους τινὰς προσπίπτῃ, τοιαύτην ἀνάγκη τὴν φωνὴν εἶναι. καὶ ταῦτα μὲν δυνατὸν καὶ χείρω καὶ βελτίω ποιέειν, διότι [83] λειοτέρους καὶ βραχυτέρους τοὺς πόρους τῷ πνεύματι δυνατὸν ποιῆσαι, κεῖνο δὲ ἀδύνατον ἐκ διαίτης ἀλλοιῶσαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS DE VICTVS RATIONE, LIB. II.

At verò singularum regionum situm & naturam sic dignoscas. In vniuersum quidẽ res ita se habet. Quæ ad meridiem sita, ea quæ ad septentriones spectat calidior & siccior, quòd ad solem magis accedat. In his autem regionibus, homines & quæ è terra producuntur, sicciora, calidiora, & validiora esse necesse est, quàm quæ in contrariis, velut Libyca gens si cum Pontica conferatur, & quæ vtrisque vicina sunt. Per se autẽ si regiones spectes, ad hunc habent se modum. Alta loca & squalentia, quæque ad meridiem spectant, campestribus æqualiter sitis sunt sicciora, quòd pauciores humiditates contineant. Illa siquidem aquam pluuiam non retinent, hæc contrà. Lacustria verò & palustria humectant & calefaciũt. Calefaciunt quidem, quoniam caua sunt, vndique circundata, & ventis minimè perflata. Humectant verò, quòd è terra producuntur, & quibus homines aluntur, humidiora sunt, & spiritus, quẽ attrahimus, propter aquam non motam crassior est. Caua verò & minimè aquosa, siccant & calefaciunt. Calefaciunt quidem quòd caua sint & vndique circundata. Siccant verò, cùm propter alimenti siccitatem, tũ quòd spiritus quem attrahimus, cùm siccus existat, attracto ad sui nutritionem è corpore humido, non habet humorem, quo suo occursu nutriatur. At quibus in locis montes ad austrum vergũt, in his austri squalidi & morbosi spirant. Quibus verò ad aquilones montes vergunt, in his aquilones perturbationes & morbos pariunt. Vbi autem ob aquilonis caua loca vrbibus adhærent, ab æstiuis ventis calidus & morbosus hic locus est, quoniam neque spirans boreas

Χωρέων δὲ θέσιν καὶ φύσιν ἑκάστων, ὧδε χρὴ διαγινώσκειν. κατὰ παντὸς μὲν εἰπεῖν, ὧδε ἔχει. ἡ πρὸς μεσημβρίαν κειμένη, θερμοτέρη καὶ ξηροτέρη τῆς πρὸς τὰς ἄρκτους κειμένης, διότι ἐγγυτέρω τοῦ ἡλίου ἐστίν. ἐν δὲ ταύτῃσι τῇσι χώρῃσιν ἀνάγκη καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, ξηρότερα καὶ θερμότερα καὶ ἰσχυρότερα εἶναι, ἢ ἐν τῇσιν ἐναντίῃσιν· οἷον τὸ λιβυκὸν ἔθνος πρὸς τὸ ποντικὸν, καὶ τὰ ἔγγιστα ἑκατέρων. αὐταὶ δὲ καθ' ἑαυτὰς αἱ χῶραι, ὧδε ἔχουσι. τὰ ὑψηλὰ καὶ αὐχμηρὰ καὶ πρὸς μεσημβρίαν κείμενα, ξηρότερα τῶν πεδίων τῶν ὁμοίως κειμένων, διότι ἐλάσσους ἰκμάδας ἔχει. τὰ μὲν γὰρ, οὐκ ἔχει στάσιν τῷ ὀμβρίῳ ὕδατι, τὰ δὲ ἔχει. τὰ δὲ λιμναῖα καὶ ἑλώδεα, ὑγραίνει καὶ θερμαίνει. θερμαίνει μὲν, διότι κοῖλα καὶ περιεχόμενα, καὶ οὐ διαπνέεται· ὑγραίνει δὲ, διότι τὰ φυόμενα ἐκ τῆς γῆς, ὑγρότερα οἷσιν ἐκτρέφονται ἄνθρωποι. τό, τε πνεῦμα ὃ ἀναφέρομεν, παχύτερον διὰ τὸ ὕδωρ τὸ ἀπὸ τῆς ἀκινησίης. τὰ δὲ κοῖλα καὶ μὴ ἔνυδρα, ξηραίνει καὶ θερμαίνει. θερμαίνει μὲν, ὅτι κοῖλα καὶ περιέχεται· ξηραίνει δὲ, διά τε τῆς τροφῆς τὴν ξηρότητα, καὶ διότι τὸ πνεῦμα ὃ ἀναπνέομεν ξηρὸν ἐὸν, ἕλκει ἐκ τῶν σωμάτων τὸ ὑγρὸν, ἐς τροφὴν ἑωυτῷ, οὐκ ἔχον πρὸς ὅ, τι ἂν ὑγρὸν προσαπτόμενον τρέφηται. ὅκου δὲ τοῖσι χωρίοισιν ὄρη προσκέεται πρὸς νότον, ἐν τούτοισιν αὐχμώδεες οἱ νότοι καὶ νοσεροὶ προσπνέουσιν. ὅκου δὲ βορέηθεν ὄρη προσκέεται, ἐν τουτέοισιν οἱ βορέαι ταράσσουσι καὶ νόσους ποιέουσιν. ὅκου δὲ βορέηθεν κοῖλα χωρία τοῖσιν ἄστεσι προσκέεται, πρὸς τῶν θερινῶν πνευμάτων, θερμὸν καὶ νοσερὸν τοῦτο τὸ χωρίον· διότι οὔτε βορέας δια-

πνέει

πνέων καθαρὴν τὴν ἐπαγωγὴν τοῦ πνεύματος παρέχει, οὔτε ὑπὸ τῶν θερινῶν πνευμάτων διαψύχεται. τῶν δὲ νήσων, αἱ μὲν ἐγγὺς ἠπείρων, δυσχειμερώτεραί εἰσιν. αἱ δὲ πόντιαι, ἀλεεινότεραι τὸν χειμῶνα. διότι αἱ χιόνες καὶ πάγοι, ἐν μὲν τῇσιν ἠπείροισιν ἔχουσι στάσιν, καὶ τὰ πνεύματα ψυχρὰ πέμπουσιν ἐς τὰς ἐγγὺς νήσους. τὰ δὲ πελάγια, οὐκ ἔχει στάσιν ἐν χειμῶνι. περὶ δὲ πνευμάτων ἥν τινα φύσιν ἔχει καὶ δύναμιν ἕκαστα, ὧδε χρὴ διαγινώσκειν. φύσιν μὲν ἔχει τὰ πνεύματα πάντα, ὑγραίνειν καὶ ψύχειν τά τε σώματα τῶν ζώων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, διὰ τάδε. ἀνάγκη ἐστὶ τὰ πνεύματα ταῦτα πάντα πνέειν, ἀπὸ χιόνος, καὶ κρυστάλλου, καὶ πάγων ἰσχυρῶν, καὶ ποταμῶν, καὶ λιμνέων, καὶ γῆς ὑγρανθείσης, καὶ ψυχρανθείσης. καὶ τὰ μὲν ἰσχυρότερα τῶν πνευμάτων, ἀπὸ μεζόνων καὶ ἰσχυροτέρων. τὰ δὲ ἀσθενέστερα, ἀπὸ μειόνων καὶ ἀσθενεστέρων. ὥσπερ γὰρ καὶ τοῖσι ζώοισι πνεῦμα ἔνεστιν, οὕτως καὶ τοῖσιν ἄλλοισι πᾶσι. τοῖσι μὲν ἔλασσον πνεῦμα· τοῖσι δὲ, κατὰ μέγεθος. φύσιν μὲν οὖν ἔχει ψύχειν καὶ ὑγραίνειν τὰ πνεύματα πάντα. διὰ θέσιν δὲ χωρίων καὶ τόπων, δι' ὧν παραγίνεται τὰ πνεύματα ἐς τὰς χώρας ἑκάστας, διάφορα γίνεται ἀλλήλων· ψυχρότερα, θερμότερα, ὑγρότερα, ξηρότερα, νοσερώτερα, ὑγιεινότερα. τὸ δὲ αἴτιον ἑκάστων, ὧδε χρὴ γινώσκειν. ὁ μὲν βορέας, ψυχρὸς πνέει καὶ ὑγρὸς, ὅτι ὁρμᾶται ἀπὸ τοιούτων χωρίων, πορεύεταί τε διὰ τῶν τοιούτων τόπων, ὡς τινας ὁ ἥλιος οὐκ ἕρπει, οὐδὲ ἀποξηραίνων τὸν ἀέρα, ἐκπίνει τὴν ἰκμάδα. ὥστε παραγίνεται ἐπὶ τὴν οἰκουμένην, τὴν ἑωυτοῦ δύναμιν ἔχων, ὅκου μὴ διὰ τὴν θέσιν τῆς χώρης διαφθείρεται. καὶ τοῖσι μὲν οἰκέουσιν ἔγγιστα, ψυχρότατος. τοῖσι δὲ προσωτάτω, ἥκιστα. ὁ δὲ νότος, πνέει μὲν ἀπὸ τῶν ὁμοίων τὴν φύσιν τῷ βορέᾳ. ἀπὸ γὰρ τοῦ νοτίου πόλου πνέων, ἀπὸ χιόνος πολλῆς, καὶ κρυστάλλου, καὶ πάγων ἰσχυρῶν ὁρμώμενος, τοῖσι μὲν ἐκεῖσε πλησίον αὐτοῦ οἰκοῦσιν, ἀνάγκη τοῖον πνέειν, ὁκοῖον ἐν ἡμῖν ὁ βορέας. ἐπὶ δὲ πᾶσαν χώρην, οὐκ ἔτι ὅμοιος παραγίνεται. διὰ γὰρ τὴν ἔφοδον τοῦ ἡλίου καὶ ἐπὶ τὴν μεσημβρίην πνέων, ἐκπίνεται τὸ ὑγρὸν ὑπὸ τοῦ ἡλίου. ἀποξηραινόμενος γὰρ, ἀραιοῦται. διὸ ἀνάγκη θερμὸν αὐτὸν καὶ ξηρὸν ἐνθάδε παραγίνεσθαι. ἐν μὲν οὖν τοῖσιν ἔγγιστα χωρίοισιν, ἀνάγκη τοιαύτην δύναμιν ἀποδιδόναι θερμὴν καὶ ξηρὴν, καὶ ποιέει τοῦτο ἐν τῇ Λιβύῃ. τά τε φυόμενα ἐξαναίνεται, καὶ τοὺς ἀνθρώπους λανθάνει ἀποξηραίνων. ἅτε γὰρ οὐκ ἔχων, οὔτε ἐκ θαλάσσης ἰκμάδα λαβεῖν, οὔτε ἐκ ποταμοῦ, καὶ ἐκ τῶν ζώων καὶ τῶν φυομένων, ἐκπίνει τὸ ὑγρόν. ὁκόταν δὲ τὸ πέλαγος περαιώσῃ, ἅτε θερμὸς ὢν καὶ ἀραιὸς, πολλῆς ὑγρασίης ἐμπίπλησι τὴν χώρην ἐμπίπτων. ἀνάγκη δὲ τὸν νότον, θερμόν τε καὶ ὑγρὸν εἶναι, ὅκου μὴ τῶν χωρίων αἱ θέσιες αἴτιαί εἰσιν. ὡσαύτως δὲ καὶ τῶν ἄλλων πνευμάτων αἱ δυνάμιες ἔχουσιν. κατὰ δὲ χώρας ἑκάστας, τὰ πνεύματα ὧδε ἔχει. τὰ μὲν ἐκ θαλάσσης πνεύματα ἐς τὰς χώρας ἐμπίπτοντα, ξηρότερά πως ἐστί. τὰ δὲ ἀπὸ χιόνος ἢ πάγων, ἢ λιμνέων, ἢ ποταμῶν, ἅπαντα ὑγραίνει καὶ ψύχει, καὶ τὰ φυτὰ καὶ τὰ ζῶα. καὶ ὑγείην τοῖς σώμασι παρέχει ὁκόσα μὴ ὑπερβολὴν ψυχρότητι. ταῦτα δὲ βλάπτει, διότι μεγάλας τὰς μεταβολὰς ἐν τοῖσι σώμασι ἐμποιέει τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ταῦτα δὲ πάσχουσιν ὅσοι ἐν χωρίοις οἰκέουσιν ἑλώδεσι καὶ θερμοῖς, ἐγγὺς ποταμῶν ἰσχυρῶν. τὰ δὲ ἄλλα τῶν πνευμάτων ὁκόσα πνέει ἀπὸ τῶν προειρημένων, ὠφελέει, τόν τε ἠέρα καθαρὸν καὶ εἰλικρινέα παρέχοντα, καὶ τῷ τῆς ψυχῆς θερμῷ, ἰκμάδα διδόντα.

purum spiritum inuehit, neq; ab æstiuis ventis perfrigeratur. Quæ autem insulę continenti sunt vicinæ, eæ rigidiores habent hyemes, marinæ verò, tepidiores, propterea quòd niues & glacies in continenti perdurant. At verò ventorum quam quisq; naturam aut facultatem habeat, ad hunc modum dignoscas. Omnes quidem venti, tum animalium corpora, tum ea, quæ è terra producuntur, suapte natura ideo humectant & refrigerant, quòd ventos omnes à niue, à glacie, à vehementi gelu, à fluminib. & stagnis, & terra humecta & perfrigerata spirare necesse est, & validiores quidē ventos à maioribus & validioribus, debiliores verò à minorib. & debilioribus. Non secus enim ac in omnibus animātibus spiritus inest, ita in cæteris omnibus, quibusdam minor, quibusdā verò maior pro eorum magnitudine adest. Venti igitur omnes naturâ quidē refrigerant & humectant. Verùm ex regionum & locorum situ, per quæ ad regiones quasq; obueniūt, inter se differunt, & frigidiores, calidiores, humidiores, sicciores, morbosiores & salubriores existunt. Quorum singulorum causa ad hunc modum cognoscēda est. Boreas quidem frigidus & humidus spirat, quia ab eiusmodi locis fertur, & ad loca permeat, ad quæ sol nō peruadit, neq; aëre exiccato humorem ebibit. Ideoq; ad terram habitatam sua facultate pollēs peruenit, vbi ex regionis situ non corrumpitur, & hic proximis quidem incolis frigidissimus est, remotissimis verò minimè. At auster à locis naturâ aquiloni similibus spirat. Cùm enim ab australi axe spiret, & à niue multa, glacieq; & gelu valido prodeat, his quidē, qui illic prope habitāt, talis spiret, qualis nobis boreas necesse est. Neq; tamen ad totam regionem adhuc similis accedit. Nam cùm per solis accessus in meridiem spirat, exhausta à sole eius humiditate, resiccatus rarescit, ideoq; calidum & siccum ad nos peruenire necesse est. Proindeque vicinis regionibus eādem vim calidam & siccam ex necessitate impertit Quod & in Libya facit, cùm quæ è terra nascuntur, exarescant, & homines latenter exiccet. Nam cùm neq; è mari, neq; è fluuio humorem accipere queat, ex animantibus & plantis humidum exugit. At vbi mare transierit, cùm calidus & rarus existat, multa humiditate regionem ad quam occurrit, implet, atque adeò austrum calidum & humidum esse necesse est, nisi regionum situs in causa extiterit. Ad eundem verò modum reliquorum etiam ventorum facultates se habent. Ad singulas autem regiones hoc modo venti se habent. Qui quidem venti ex maris regionibus obueniunt, ij sicciores ferè existūt. Qui verò è niue, aut glacie, aut stagnis, aut fluminibus, ij omnes, tum sata, tum animantia humectant & refrigerant, & corporibus sanitatem præstant, qui frigore modum non excedunt. Hi enim quòd magnas in corporibus caloris & frigoris mutationes faciunt, noxij sunt. Quod sanè iis contingit, qui loca palustria & calida, iuxta magna flumina incolunt. At reliqui venti, qui ex prædictis spirant, vtiles sunt, tum quòd aërem purum & sincerum præbent, tum etiam animi calori humiditatem suggerūt.

Qui autem venti è terra obueniunt, eos cùm à sole & terra resiccentur, sicciores esse necesse est. Nam cùm non habeant vnde alimentum trahant, à viuentibus humorem exugunt, sataq; & animantia omnia lædũt. Et qui quidem relictis montibus ad vrbes perueniũt, nõ solùm siccant, verumetiam spiritum quem attrahimus, turbant, & humana corpora morbis obnoxia reddunt. Horum igitur cuiusq; natura & facultas ad hunc modum cognoscenda est. Quanam autem ratione ad singula se accommodare oporteat, procedẽte oratione aperiam. At verò cibi & potionis cuiusq; vim, tum eam quam habet à natura, tum eam, quæ ab arte proficiscitur, ita cognoscere oportet. Qui igitur in vniuersum, vel de dulcium, vel pinguium, vel salsorum, vel alterius cuiusdã eiusmodi facultate dicere conati sunt, ij non rectè sentiunt. Neq; enim eandem vim habent, nec dulcia inter se, neq; amara, neq; aliorum eiusmodi quicquam. Horum enim multa & aluum deiiciunt, & sistũt, & siccant, & humectant. Eodem modo in reliquis omnibus, quædam adstringũt, & per aluum secedunt, & vrinas mouent. Sunt quæ horum neutrum faciunt. Ad hunc modum & ex calefacientibus, ac reliquis omnibus, alia aliam habent facultatem. Cùm igitur omnia qualiãnam sint, declarari non possint, quam quæq; vim habeant, aperiam. Hordeum natura quidem frigidum & siccum. Inest & quiddam quod purget, ex palearum succo. Cuius rei hoc est indicium, quòd si hordeum cortice detracto minimè purgatũ coquere velis, vehementer purgat is succus. Quòd si corticem detraxeris, refrigerabit magis, aluumq; sistet. Vbi verò tostum fuerit, humor qui purgat igne decedit, frigiditas autem & siccitas remanet. Quòd si refrigeratione & siccitate opus sit, idipsum in pollinem redactum efficiet. Mazã cuiusuis generis sic vtimur, eamq; hæc habet facultatem. Farinæ confusaneæ minùs quidem nutriũt, magis autem aluum deiiciunt. Puræ verò plus nutriunt, minùs autem per aluum secedunt. Maza iampridem subacta, conspersa, minimè intrita, leuis est, aluũ mouet, & refrigerat. Refrigerat quidem, quia frigida madefacta est, aluũ verò mouet, quia citò coquitur. Leuis est, quòd multum alimenti cum flatu foras excernitur. Cùm enim alimenti viæ angustiores sint, aliud quod superadditur, non recipiunt, & pars quidem cum spiritu attenuata foras excernitur, pars verò, quæ intus remanet, flatum inducit, partimq; per superiora eructatur, partim etiã per inferiora demittitur. Multum itaq; alimentum è corpore expirat. Quòd si mazam statim vt subacta est, exhibere velis, ea siccandi vim habet, quòd nimirũ farina cùm sicca exiltat, atq; ita aqua irrigata, in ventriculum calida incidat, humorem ex ipso trahit. Calidum siquidem frigidum, & frigidum calidum trahere solet. Ventriculi autem humore consumpto, vt resiccetur necesse est. Aqua verò quæ simul mazã subiit, inducta, refrigerat. Quæ igitur in alui profluuij, aut alterius eiusmodi caliditatis profusione, siccare aut refrigerare oportet, hæc maza efficiet. At sicca, intrita, exiccat quidem, non æquè tamen, propterea quod vehementer condensata est, alimentum verò plurimum corpori impertit,

ὁκόσα δὲ τῶν πνευμάτων κατὰ γῆν διαφέρει, ξηρότερα ἀνάγκη εἶναι, ἀπό τε τοῦ ἡλίου ἀποξηραινόμενα, καὶ ἀπὸ τῆς γῆς. οὐκ ἔχοντα δὲ τροφὴν ὁκόθεν ἐπισπᾶται, τὰ πνεύματα ἀπὸ τῶν ζώντων ἕλκοντα τὸ ὑγρὸν, βλάπτει καὶ τὰ φυτὰ, καὶ τὰ ζῶα πάντα. καὶ ὁκόσα ὑπὲρ τὰ ὄρεα καταλιπόντα διαφέρεται ἐς τὰς πόλιας, οὐ μόνον ξηραίνει, ἀλλὰ καὶ ταράσσει τὸ πνεῦμα, ὃ ἀναπνεόμεθα, καὶ τὰ σώματα τῶν ἀνθρώπων ἐπινοσώτερα ἐμποιεῖ. φύσιν μὲν οὖν καὶ δύναμιν ἑκάστων, οὕτω χρὴ γινώσκειν. ὅκως δὲ χρὴ πρὸς ἕκαστα παρασκευάζεσθαι, προϊόντι τῷ λόγῳ δηλώσω. [5] Σιτίων δὲ καὶ πομάτων δύναμιν ἑκάστων, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν διὰ τέχνης, ὧδε χρὴ γινώσκειν. ὁκόσοι μὲν οὖν κατὰ πάντων ἐπεχείρησαν εἰπεῖν, [6] ἢ περὶ τῶν γλυκέων, ἢ λιπαρῶν, ἢ ἁλικῶν, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων τῆς δυνάμεως, οὐκ ὀρθῶς γινώσκουσιν. οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχουσιν, οὔτε τὰ γλυκέα ἀλλήλοισιν, οὔτε τὰ πικρὰ, οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδέν. πολλὰ γὰρ τῶν τοιούτων, ἃ καὶ διαχωρεῖ, καὶ ἵστησι, καὶ ξηραίνει, καὶ ὑγραίνει· ὡσαύτως δὲ καὶ τῶν ἄλλων ἁπάντων. ἔστι δὲ ὅσα στύφει καὶ διαχωρέεται καὶ οὐρέεται. τὰ δὲ οὐδέτερα τούτων. ὡσαύτως δὲ καὶ τῶν θερμαντικῶν, καὶ τῶν ἄλλων ἁπάντων, ἄλλην ἄλλα δύναμιν ἔχει. περὶ μὲν οὖν ἁπάντων, οὐχ οἷόν τε δηλωθῆναι, ὁκοῖά τινά ἐστι. καθ' ἕκαστα δὲ ἥν τινα δύναμιν ἔχει, διδάξω. Κριθαὶ φύσει μὲν, ψυχρὸν καὶ ξηρόν. ἔνι δὲ καὶ καθαρτικόν τι, ἀπὸ τοῦ χυλοῦ τοῦ ἀχύρου. τεκμήριον δὲ, ἢν μὲν θέλῃς κριθὰς ἀπτίστους ἑψῆσαι, καθαίρει ὁ χυλὸς ἰσχυρῶς· εἰ δὲ ἐπτισμένους, ψύχει μᾶλλον καὶ συνίστησι. ὁκόταν δὲ πυρωθῶσι, τὸ μὲν ὑγρὸν καθαρτικὸν, ὑπὸ τοῦ πυρὸς οἴχεται, [7] τὸ δὲ ψυχρὸν καὶ ξηρὸν καταλείπεται. ὁκόσα δὲ δεῖ ψῦξαι καὶ ξηρᾶναι, [8] ἄλφιτα διαπρήσσεται ὧδε. Χρωμένοισι μάζῃ παντοδαπῇ, δύναμιν δὲ ἔχει ἡ μάζα αὕτη, τοιήνδε. τὰ συγκομιστὰ ἄλευρα, τροφὴν μὲν ἔχει ἐλάσσω· διαχωρεῖ δὲ, μᾶλλον. τὰ δὲ καθαρὰ, τροφιμώτερα· ἧσσον δὲ διαχωρεῖ. μᾶζα προφυρηθεῖσα, ῥαντὴ ἄτριπτος, κούφη· καὶ διαχωρεῖ, καὶ ψύχει. ψύχει μὲν, ὅτι ψυχρῷ ὕδατι ὑγρὴ ἐγένετο· διαχωρεῖ δὲ, ὅτι ταχέως πέσσεται· κούφη δὲ, [9] ὅτι πολλὴ τῆς τροφῆς μετὰ τοῦ πνεύματος ἔξω ἀποκρίνεται. στενότεραι γὰρ αἱ διέξοδοι τῆς τροφῆς οὖσαι, ἄλλην ἐπιοῦσαν οὐ δέχονται. καὶ τὸ μὲν ξὺν τῷ πνεύματι λεπτυνόμενον, ἀποκρίνεται ἔξω· τὸ δὲ αὐτοῦ ἐμμένον, φύσας ἐμποιεῖ. καὶ τὸ μὲν, ἄνω ἐρυγγάνεται· τὸ δὲ, κάτω ὑποχωρεῖ. πολλὴ οὖν τῆς τροφῆς ἀπὸ τοῦ σώματος ἀποπνέεται. ἢν δὲ θέλῃς τὴν μᾶζαν αὐτίκα φυρήσας διδόναι, ἡ τοιαύτη ξηραντική. ἅτε γὰρ τὸ ἄλφιτον ξηρὸν ἐὸν καὶ ὑπὸ τοῦ ὕδατος διαβεβρεγμένον οὔπω, γεγλυμμένον ἐς πεσὸν ἐς τὴν κοιλίην, ἕλκει ἐξ αὐτῆς τὸ ὑγρὸν, [10] θερμὸν ἐόν. πέφυκε γὰρ τὸ μὲν θερμὸν ψυχρὸν ἕλκειν· τὸ δὲ ψυχρὸν, θερμόν. ἀναλισκομένου δὲ τοῦ ὑγροῦ ἐκ τῆς κοιλίης, ἀνάγκη ξηραίνεσθαι. [11] τοῦ δὲ ὕδατος, τοῦ σὺν τῇ μάζῃ ἐσελθόντος, ψύχει ἐπαγόμενον.

ὅσα οὖν δεῖ ξηρῆναι ἢ ψῦξαι, [12] ἢ διαρροίῃ χρεόμενον, ἢ ἄλλῃ τινὶ θερμασίῃ τοιαύτῃ, μᾶζα διαπρήσσεται. [13] ἢν δὲ ξηρὴ τετριμμένη, ξηραίνει μὲν οὐχ ὁμοίως, διὰ τὸ πεπιλῆσθαι ἰσχυρῶς. τροφὴν δὲ, τῷ σώματι πλείστην δίδωσι,

[14] ἀπὸ

[14] ἅτε δὴ ἡσυχῇ τηκομένης δέχονται τὴν τροφὴν αἱ διέξοδοι. διαχωρέει μὲν οὖν, βραδέως· φῦσαν δέ, οὐκ ἐμποιέει, οὐδὲ ἐρυγγάνεται. ἡ δὲ προφυρηθεῖσα τετριπτή, τρέφει μὲν ἧσσον· διαχωρέει δέ, καὶ ἐμποιέει μᾶλλον φῦσαν. [15] κυκεὼν δὲ μόνον, ἐφ' ὕδατι μέν, ψύχει καὶ τρέφει· ἐπ' οἴνῳ δέ, θερμαίνει, καὶ τρέφει, καὶ ἵστησιν· ἐπὶ μέλιτι δέ, θερμαίνει μὲν ἧσσον, καὶ τρέφει· διαχωρέει δὲ μᾶλλον, ἢν μὴ ἄκρητον ᾖ τὸ μέλι· ἢν δὲ μή, οὐ διαχωρέει, ἀλλ' ἵστησιν. ἐπὶ δὲ γάλακτος, τρόφιμοι μὲν πάντες, πλὴν ἀλλὰ τὸ μὲν οἶον, ἵστησι· τὸ δὲ αἴγειον μᾶλλον διαχωρέει· τὸ δὲ βόειον, ἧσσον· τὸ δὲ ἵππειον καὶ τὸ ὄνειον, μᾶλλον διαχωρέει. πυροί, ἰσχυρότεροι 10 κριθῶν καὶ τροφιμώτεροι. διαχωρέουσι δὲ ἧσσον, καὶ αὐτοὶ καὶ ὁ χυλός. ἄρτος δὲ ὁ μὲν συγκομιστὸς ξηραίνει καὶ διαχωρέει. ὁ δὲ καθαρός, τρέφει μὲν μᾶλλον. διαχωρέει δὲ ἧσσον. αὐτῶν δὲ τῶν ἄρτων ὁ μὲν ζυμίτης, κοῦφος καὶ διαχωρέει. καὶ κοῦφος μέν ἐστιν, ὅτι ἀπὸ τῆς ζύμης τοῦ ὀξέος, τὸ ὑγρὸν προαναλοῦται, ὅπερ ἐστὶν ἡ τροφή. διαχωρέει δέ, ὅτι ταχέως πέσσεται. ὁ δὲ ἄζυμος, διαχωρέει μὲν ἧσσον, τρέφει δὲ μᾶλλον. ὁ δὲ τῷ χυλῷ πεφυρημένος, κουφότερος, καὶ τρέφει ἱκανῶς, καὶ διαχωρέει. τρέφει μέν, ὅτι καθαρός· κοῦφος δέ ἐστιν, ὅτι τῷ κουφοτάτῳ πεφύρηται καὶ ἐζύμωται ὑπὸ τούτου καὶ πεφύρωται. διαχωρέει 20 δέ, ὅτι τῷ γλυκεῖ καὶ διαχωρητικῷ τοῦ πυροῦ συμμέμικται. αὐτῶν δὲ τῶν ἄρτων οἱ μέγιστοι, τροφιμώτατοι. διότι ἥκιστα ἐκκαίονται ὑπὸ τοῦ πυρός, τὸ ὑγρόν. [16] καὶ οἱ ἰπνῖται ἄρτοι, τροφιμώτεροι τῶν ἐσχαρειτῶν καὶ ὀβελιέων, διότι ἧσσον ἐκκαίονται ὑπὸ τοῦ πυρός. οἱ δὲ κλιβανῖται καὶ οἱ ἐγκρυφίαι, ξηρότατοι. οἱ μέν, διὰ τὴν σποδόν· οἱ δέ, διὰ τὸ ὄστρακον, ἐκπινόμενοι τὸ ὑγρόν· οἱ δὲ σεμιδαλῖται, ἰσχυρότατοι πάντων τούτων. ἔτι δὲ μᾶλλον καὶ οἱ ἐκ τοῦ χόνδρου, καὶ τρόφιμοι σφόδρα, [17] πλὴν οὐ διαχωρέουσιν ὁμοίως. ἄλητον καθαρὸν πινόμενον ἐν ὕδατι, ψύχει. [18] καὶ πλύμα σταιτὸς ἐπὶ πυ- 30 ρί. πιτύρων χυμὸς ἑφθός, κοῦφος διαχωρέει. τὰ δὲ ἐν γάλακτι διδόμενα ἄλητα, διαχωρέει μᾶλλον ἢ ἐν τῷ ὕδατι, διὰ τοὺς ὀρρούς. καὶ μάλιστα ἐν τοῖσι διαχωρητικοῖσιν. ὁκόσα δὲ ξὺν μέλιτι καὶ ἐλαίῳ ἕψηται ἢ ὀπτῆται ἐξ ἀλήτων, πάντα καυσώδεα, καὶ ἐρευγμώδεα. ἐρευγμώδεα μέν, ὅτι τρόφιμα ἐόντα, οὐ διαχωρητικά ἐστι. καυσώδεα δέ, διότι λιπαρὰ ἐόντα καὶ γλυκέα, [19] καὶ ξύμφορα ἀλλήλοις, οὐ τῆς αὐτῆς καθεψήσιος δεόμενα ἐν τῷ αὐτῷ ἐστι. σεμίδαλις καὶ χόνδρος ἑφθός, ἰσχυρὰ καὶ τρόφιμα, οὐ μέντοι διαχωρέει. ἡ τύφης, κουφότερα πυρῶν, [20] καὶ τὰ ἐξ αὐτῆς γινόμενα ὁμοίως, 40 ἐκ τῶν πυρῶν, καὶ διαχωρητικὰ μᾶλλον. ὁ βρόμος, ὑγραίνει καὶ ψύχει ἐσθιόμενος, καὶ ῥόφημα γινόμενος. τὰ πρόσφατα ἄλφιτα καὶ ἄλητα, ξηρότερα τῶν παλαιῶν, ὅτι ἔγγιον τοῦ πυρὸς καὶ τῆς ἐργασίης εἰσί. παλαιούμενα δέ, τὸ μὲν θερμὸν ἐκπνέει, τὸ δὲ ψυχρὸν ἐπάγεται. ἄρτοι θερμοὶ μὲν ξηραίνουσι, ψυχροὶ δὲ ἧσσον. ἰσχνασίην δέ τινα παρέχουσιν. κύαμοι, τρόφιμόν τι, καὶ στατικόν, καὶ φυσῶδες. φυσῶδες μέν, ὅτι οὐ δέχονται οἱ πόροι τὴν τροφὴν ἀλλὴν ἐπιοῦσαν· στάσιμον δέ, ὅτι ὀλίγην ἔχει τὴν ὑπόστασιν τῆς τροφῆς. οἱ πισοί, φυσῶσι μὲν ἧσσον· διαχωρέουσι δέ, μᾶλλον. [21] ὦχροι δὲ καὶ δόλιχοι, 50 διαχωρητικώτεροι τουτέων. ἧσσον δέ, φυσώδεα· τρόφιμα δέ.

cùm nimirum sensim eliquatæ alimentum viæ excipiant. Per aluum igitur modo demittitur, flatū tamen minimè excitat, neq; ructus adfert. Quæ autem iampridem subacta & intrita est; nutrit quidē minùs, sed aluū magis mouet & inflat. Cyceon solus aqua temperatus, refrigerat, & nutrit, cum vino autem calefacit & sistit. Cum melle, minùs quidem calefacit & nutrit, magis verò aluum subducit, si mel sincerum non fuerit, alioqui aluum nō ciet, sed sistit. Cum lacte autem, omnes benè quidem nutriunt. veruntamen ouillum aluum sistit, caprinum verò magis aluum subducit, bubulum minùs, equinum & asininum per aluum magis demittitur. Triticum hordeo quidem est valentius & magis nutrit, minùs autem aluum subducit, tum ipsum, tū succus. Panis ex farina integra nec excussa, siccat & aluū subducit. Purus verò, plus quidem nutrit, minùs verò aluum deiicit. Ex panibus autem, fermentatus quidem leuis est, & per aluum secedit. Ac leuis quidem est, quoniam fermenti acore humidum consumptum est, quod in alimentum transit. Secedit autem, quia citò coquitur. At non fermentatus, minùs quidem aluum deiicit, plus verò nutrit. Ex succo autem subactus, leuior est, abunde nutrit, & per aluum demittitur. Nutrit quidem, quia purus. Leuis verò est, quòd leuissimo subactus sit, & ab eodem fermentatus & tostus. Per aluum autem secedit, quòd dulci & aluum subducenti tritici parti commixtus sit. Ex panibus item maximi plurimum habent alimenti, quòd humidum ab igne minimè exuratur. Et furnacei panes magis nutriūt, quàm qui in foro aut veru assati sunt, quòd minùs ab igne exurātur. Testuacei verò & subcinericij, siccissimi, hi quidem propter cinerem, illi verò propter testum, humido exucto. Similaginei autem horum omnium validissimi sunt, multoq; magis qui ex alica parantur, & admodū nutriunt, verùm non æquè subducūt. Farina pura ex aqua pota refrigerat, & lotura farinæ aqua maceratæ & subactæ igne cocta. Furfurum succus coctus, leuis, aluum subducit. At farinæ ex lacte exhibitæ, propter serum magis per aluū secedunt, quàm quæ ex aqua, præcipueq; si cum aluū deiicientibus misceantur. Quæ verò cum melle aut oleo incoquūtur aut assantur, omnes æstum & ructū excitant. Ructum quidē, quòd cùm multum alimentum exhibeant, per aluum minimè secedunt. Æstum verò, quòd cùm pingues & dulces existant, & inter se conueniant, neq; eiusdem cocturæ indigeant, in eodem sunt. Similago & alica cocta, validū & multum alimentum exhibent, nō tamen per aluum secedunt. Tragus siue olyra, tritico leuior, & quæ ex ea cōficiuntur, his similiter quæ ex tritico parantur, magis tamen per aluū secedunt. Auena in cibo & sorbitione sumpta, humectat & refrigerat. Recentes farinæ crassiores & tenuiores, vetustis sicciores, quòd igni & operationi viciniores existunt. Quæ vbi vetustæ sunt, calor expirat, frigiditas verò inducitur. Panes calidi quidem siccant, frigidi verò minùs, gracilitatē tamen quandā inferunt. Fabæ alimentū quoddam aluum sistens & flatuosum exhibēt. Flatuosum quidem, quoniam meatus aliud superingestum alimentum non excipiunt. Aluum autem sistens, quoniam totam alimenti fecem cōtinet. Pisa minùs quidem inflant, magis autem aluum deiiciunt. Eruilia & phaseoli his magis aluum deiiciunt, minùs inflant, & probè nutriunt.

Cicer album aluum & vrinam mouet, & nutrit. Nutrit quidem quod carnosum est, dulce per vrinā redditur, salsuginosum per aluum demittitur. Milij grana & farinæ siccant, & aluum sistunt, & cum ficubus vehementibus doloribus succurrūt. Milium autem coctum nutrit, minimè tamen per aluum secedit. Lentes æstuosæ sunt & turbant, & neq; aluum deiiciunt, neq; sistunt. Eruum aluum sistit & validum est, incrassat, explet, & bonum colorem homini conciliat. Lini semen in cibo sumptum, aluum sistit & aliquantulum refrigerat. Hormini semen eadem, quæ lini semen efficit. Lupini naturâ validi & calidi, præparatione tamen leuiores & frigidiores euadunt, & per aluum secedunt. Irio humectat & aluum deiicit. Cucumeris semen, vrinam magis quàm aluum mouet, implet autem & incrassat. Aluo quidem secedit propter exterius putamen, carne verò implet & incrassat. Lotum verò aluum minùs deiicit, incrassat autem & explet magis, humectat verò & vrit, quia pingue & oleosum. Cnicus aluum deiicit. Papauer sistit, idq; nigrum præstat magis, quod etiam album facit, potenter autem nutrit. Horum omnium succus magis, quàm caro aluum mouet. Hæc igitur in præparatione adhibenda cautio, vt in quibus siccare velis, in iis succo detracto carne vtaris, in quibus verò aluū mouere, succo plurimo, & carne pauciore, ac bene succulenta. De animalibus autem, quæ in cibū veniunt, sic sentiendum. Carnes bubulæ validæ sunt, & aluum sistunt, nec facilè in ventriculis concoquuntur, quoniam crassi & multi sanguinis est hoc animal. Et carnes ore sumptæ graues sunt, eædemq;, & sanguis & lac. Quorum autem animalium lac tenue est, & sanguis similiter, eorum quoque carnes consimiles existūt. Caprinæ carnes his leuiores sunt, & magis aluum deiiciunt. Suillę, his quidem magis corpus roborant, & abunde aluum deiiciunt, propterea quòd tenues, paucumq; sanguinem continentes venas hoc animal habet, multam verò carnem. Agninæ ouillis sunt leuiores, & hœdinæ caprinis, quia exangues magis & humidæ. Sicca enim & valida natura animantia, cùm quidem teneræ sunt, per aluum secedunt, cùm verò adoleuerint, non item. Vitulinæ carnes ad bubulas eodem se habent modo. At porcellorum carnes suillis sunt grauiores. Hoc enim animal naturâ carnosum & exangue, quādiu tenellum est superabundantem habet humiditatem. Cùm ergo superingestū alimentum meatus non suscipiant, id quod remanet, ventrem calefacit & turbat. Carnes asininæ per aluum secedūt, sed pullorum præsertim, & equinæ sunt leuiores. Caninæ calefaciunt & siccant, roburq; inferunt, non tamen per aluum secedunt. Catullinæ verò humectant, & aluum deiiciunt. Syluestris suis caro siccat, robur affert, & aluum deiicit. Cerui siccat, & minùs aluum deiicit, magis autem vrinam prouocat. Leporina sicca est, & aluum moratur. Vrinam tamen quodammodo ciet. Vulpina humidior est. Erinaceorum terrestrium carnes vrinam prouocant, & humidiores sunt. At verò de volucribus sic se res habet. Omnia ferè volucrum genera quadrupedibus sicciora existunt. Nam quæ vesicam non habent, neq; vrinam reddunt, neq; saliuam fundunt, prorsus sicca sunt. Ventris enim caliditate, corporis humiditas in caloris alimentum absumitur, atq; iccirco neq; vrinam reddunt, neq; sali-

ἐρέβινθοι λευκοὶ, διαχωρέουσι, καὶ οὐρέονται, καὶ τρέφουσι. τρέφει μὲν, τὸ σαρκῶδες· οὐρέεται δὲ, τὸ γλυκύ. διαχωρέεται δὲ, τὸ ἁλμυρόν. κέγχρων χόνδροι, [22] κυβήια, ξηρὰ καὶ στάσιμα [23] μετὰ σύκων ἰσχυρῶν τοῖσι πόνοισιν. αὐτοὶ δὲ οἱ κέγχροι ἑφθοὶ τρόφιμοι, οὐ μέντοι διαχωρέουσιν. φακοὶ δὲ καυσώδεες [24] καὶ ταραρρηκτικοί· καὶ οὔτε διαχωρέει, οὔτ' ἵστησιν. ὄροβοι, στάσιμον καὶ ἰσχυρὸν, καὶ παχύνει, καὶ πληροῖ, καὶ εὔχροιαν ποιέει τὸν ἄνθρωπον. λίνου καρπὸς ἐσθιόμενος, στάσιμον· ἔχει δέ τι καὶ ψυκτικόν. ὁρμίνου καρπὸς, παραπλήσια τῷ λίνῳ διαπρήσσεται. θέρμοι, φύσει μὲν ἰσχυρὸν καὶ θερμόν. διὰ δὲ τὴν ἐργασίην, κουφότερον καὶ ψυκτικώτερόν ἐστι, καὶ διαχωρέει. ἐρύσιμον ὑγραίνει καὶ διαχωρέει. σικύου σπέρμα, διουρέεται μᾶλλον, ἢ διαχωρέει. πληροῖ δὲ καὶ παχύνει· διαχωρέει μὲν, διὰ τὸ ἄχυρον τὸ ἔξω. πληροῖ δὲ καὶ παχύνει δὲ, διὰ τὴν σάρκα. πεπλυμένον δὲ διαχωρέει μὲν, ἧσσον δὲ· παχύνει δὲ καὶ πληροῖ μᾶλλον. [25] ὑγραίνει δὲ καὶ καίει διὰ τὸ λιπαρὸν καὶ πῖον. κνίκος διαχωρέει. μήκων, στάσιμον. μᾶλλον δὲ ἡ μέλαινα μήκων, ἀτὰρ καὶ ἡ λευκή· τρόφιμον δὲ καὶ ἰσχυρόν. τουτέων δὲ ἁπάντων, οἱ χυμοὶ [26] τῆς σαρκὸς διαχωρητικοί. [27] δεῖ οὖν ἐργασίην φυλάσσειν, ὁκόσα μὲν βούλει ξηραίνειν, τοὺς χυμοὺς ἀφαιρέοντα, τῇ σαρκὶ χρῆσθαι. ὁκόσα δὲ διαχωρέειν, τῷ μὲν χυμῷ, πλείονι. τῇ δὲ σαρκὶ, ἐλάσσονι, καὶ εὐχυμοτέρῃ. περὶ δὲ ζώων τῶν ἐσθιομένων, ὧδε χρὴ γινώσκειν. βόεια κρέα, ἰσχυρὰ καὶ στάσιμα, καὶ δύσπεπτα τῇσι κοιλίῃσι. διότι παχύαιμον, καὶ πουλύαιμόν ἐστι τοῦτο τὸ ζῶον. [28] καὶ τὰ κρέα βαρέα ἐς τὸ σῶμα· καὶ αὐταὶ αἱ σάρκες καὶ τὸ αἷμα καὶ τὸ γάλα. ὁκόσων δὲ τὸ γάλα λεπτὸν, καὶ τὸ αἷμα ὅμοιον, καὶ αἱ σάρκες παραπλήσιοι. τὰ δὲ αἴγεια κρέα, κουφότερα τουτέων, καὶ διαχωρέει μᾶλλον. τὰ δὲ ὕεια, ἰσχὺν μὲν τῷ σώματι ἐμποιέει μᾶλλον τουτέων. διαχωρέει δὲ ἱκανῶς, διότι λεπτὰς τὰς φλέβας ἔχει καὶ ὀλιγαίμους· σάρκα δὲ πολλήν. τὰ δὲ ἄρνεια, κουφότερα τῶν οἰῶν, καὶ τὰ ἐρίφεια τῶν αἰγείων, διότι ἀναιμότερα καὶ ὑγρότερα. ξηρὰ γὰρ καὶ ἰσχυρὰ φύσει ὄντα τὰ ζῶα, ὁκόταν μὲν ἁπαλὰ ᾖ, διαχωρέει. ὁκόταν δὲ αὐξηθῇ, οὐχ ὁμοίως. καὶ τὰ μόσχεια τῶν βοείων ὡσαύτως. τὰ δὲ χοίρεια τῶν συείων, βαρύτερα. φύσει γὰρ εὔσαρκον ὂν τὸ ζῶον, καὶ ἄναιμον, [29] ὑπερβολὴν ἐργασίης ἔχει τέως ἂν νέον ᾖ. ὁκόταν οὖν πόροι μὴ δέχωνται τὴν τροφὴν ἐπιοῦσαν, ἐμμένον θερμαίνει καὶ ταράσσει τὴν κοιλίην. τὰ δὲ ὄνεια, διαχωρέει. καὶ τῶν πώλων ἔτι μᾶλλον. καὶ τὰ ἵππεια κουφότερα. κύνεια δὲ, θερμαίνει καὶ ξηραίνει, καὶ ἰσχὺν ἐμποιέει. οὐ μέντοι διαχωρέει· σκυλάκια δὲ ὑγραίνει καὶ διαχωρέει. συὸς ἀγρίου, ξηραίνει καὶ ἰσχὺν παρέχει, καὶ διαχωρέει. ἐλάφου δὲ ξηραίνει· ἧσσον δὲ, διαχωρέεται δὲ μᾶλλον. λαγῶα, ξηρὰ καὶ στάσιμα· οὔρησιν δέ τινα παρέχει. ἀλωπέκων δὲ [30] ὑγρότερα καὶ ἐχίνων χερσαίων, οὐρητικά. ὑγραίνει δέ. περὶ δὲ ὀρνίθων, ὧδε ἔχει. σχεδόν τι πάντα τὰ ὀρνίθια, ξηρότερα ἢ τὰ τετράποδα. ὁκόσα γὰρ κύστιν οὐκ ἔχει, οὔτε οὐρέει, οὔτε σιαλοχοέει, πάντως ξηρά. διὰ γὰρ θερμότητα τῆς κοιλίης, ἀναλίσκεται τὸ ὑγρὸν ἐκ τοῦ σώματος ἐς τὴν τροφὴν τῷ θερμῷ, ὥστε οὔτε οὐρέεται, οὔτε σιαλο-

χέει

χρέει. ὅπου δὲ μὴ ἔνεισι τοιαῦται ὑγρασίαι, ξηραίνει ἀνάγκη.
" ξηρότατον μὲν οὖν κρέας, φάσσης. δεύτερον, περιστερᾶς.
τρίτον, πέρδικος, καὶ ἀλεκτρυόνος, καὶ τρυγόνος· ὑγρότα-
τον δὲ, χηνός. ὅσα δὲ σπερμολογέει, ξηρότερα τῶν προτέ-
ρων. νήσσης δὲ καὶ τῶν ἄλλων, ὁκόσα ἐν ἕλεσι διαιτῆται, ἢ
ἐν ὕδασι, πάντα ὑγρά. Τῶν δὲ ἰχθύων, ξηρότατοι μὲν οὗ-
τοι, σκορπίος. δράκων. καλλιώνυμος. κόκκυξ. γλαῦκος. πέρ-
κη. θρίσσα. κοῦφοι δὲ οἱ πετραῖοι σχεδόν τι πάντες. οἷον κί-
χλη. φυκὶς. ἐλεφιτὶς. κωβιός. οἱ τοιοῦτοι δὲ καὶ οἱ προειρημέν-
τες, κουφότεροι τῶν πλανήτων. ἅτε γὰρ ἀτρεμίζοντες οὗ- 10
τοι ἀραιὴν τὴν σάρκα καὶ κούφην ἔχουσιν. οἱ δὲ πλανῆται καὶ
κυματόπληγες τετρυμμένοι τῷ πόνῳ, στερεωτέρην τὴν
σάρκα ἔχουσιν. νάρκαι δὲ καὶ ῥῖναι, καὶ ψῆτται, καὶ τὰ τοιαῦ-
τα ὡς ἐλαφρότερα. ὁκόσοι δὲ τῶν ἰχθύων ἐν τοῖσι πηλώ-
δεσι καὶ ὑδρηλοῖσι χωρίοισι τὰς τροφὰς ἔχουσιν. οἷον κέφαλοι.
" κεστραῖοι. ἐγχέλυες. καὶ οἱ λοιποὶ τοιοῦτοι, βαρύτεροι, διό-
τι ἀπὸ τοῦ ὕδατος, καὶ τοῦ πηλοῦ, καὶ τῶν ἐν τουτέοισι φυομέ-
νων, τὰς τροφὰς ἔχουσιν. ἀφ' ὧν καὶ τὸ πνεῦμα εἰσιὸν ἐς τὸν
ἄνθρωπον, βλάπτει καὶ βαρύνει. οἱ δὲ ποτάμιοι καὶ λιμναῖοι,
ἔτι βαρύτεροι τουτέων. πολύποδες δὲ καὶ σηπίαι καὶ τὰ τοι- 20
αῦτα, οὔτε κοῦφα ὡς δοκέει ἐστὶν, οὔτε διαχωρητικά, διὸ
καὶ τοὺς ὀφθαλμοὺς βαρύνουσιν ἐσθιόμενοι, πλὴν οἱ ζω-
μοὶ τουτέων, διαχωρέουσι. τὰ δὲ κογχύλια οἷον πῖναι. πορφύ-
ραι. λεπάδες. κήρυκες. ὄστρεα. αὐτὰ μὲν ξηρά. οἱ δὲ χυμοὶ
τούτων, διαχωρητικοί. μύες δὲ καὶ κτένες, καὶ τελλῖναι τουτέων
μᾶλλον διαχωρέουσιν. αἱ δὲ κνῖδαι μάλιστα καὶ τὰ σελάχεα,
ὑγραίνει καὶ διαχωρέει. τῶν δὲ ἐχίνων τὰ ᾠὰ, καὶ τὸ ὑγρὸν καρά-
βων. μύες. καὶ ἄρκοι. καὶ καρκῖνοι, μάλιστα μὲν οἱ ποτάμιοι, ἀ-
τὰρ καὶ οἱ θαλάσσιοι διαχωρέει, καὶ οὐρέεται. Οἱ τάριχοι,
ξηραίνουσι, καὶ ἰσχναίνουσι. τὰ δὲ πλείονα, καὶ διαχωρέει ἐπιει- 30
κῶς. ξηρότατοι μὲν τῶν ταρίχων, οἱ θαλάσσιοι. δεύτεροι, οἱ
ποτάμιοι. ὑγρότατοι δὲ, οἱ λιμναῖοι· αὐτέων δὲ τῶν ταρί-
χων, οἱ λεγόμενοι πέρκαι ἰχθύες, ἰσχυρῶς ξηρότεροι. Τῶν δὲ
ζώων τῶν ἡθαδῶν, τὰ ἐλόνομα καὶ ἀγρόνομα τῶν ἔνδον
τρεφομένων ξηρότερα. ὅτι πονοῦντα ξηραίνεται. καὶ ὑπὸ
τοῦ ἡλίου, καὶ ὑπὸ τοῦ ψύχεος. καὶ τῷ πνεύματι ξηροτέρῳ τρέ-
φεται. τὰ δὲ ἄγρια τῶν ἡμέρων, ξηρότερα. καὶ τὰ ὠμοφάγα καὶ
τὰ ὑλοφάγα. καὶ τὰ ὀλιγοφάγα τῶν πολυφάγων. καὶ τὰ καρ-
ποφάγα, τῶν ποηφάγων. καὶ τὰ καρποφάγα, τῶν μὴ καρπο-
φάγων. καὶ τὰ ὀλιγόποτα, τῶν πολυπότων. καὶ τὰ πολύαιμα, 40
τῶν ἀναίμων, καὶ ὀλιγαίμων. καὶ τὰ ἀκμάζοντα μᾶλλον, ἢ
τὰ λίην παλαιὰ καὶ τὰ νέα. καὶ τὰ ἄρσενα, τῶν θηλείων. καὶ τὰ
ἄνορχα, τῶν ἐνόρχων. καὶ τὰ μέλανα, τῶν λευκῶν. καὶ τὰ δα-
σέα, τῶν ψιλῶν. τὰ δὲ ἐναντία, ὑγρότερα. αὐτῶν δὲ τῶν
ζώων, ἰσχυρότεραι μὲν αἱ σάρκες αἱ μάλιστα πονοῦσαι καὶ ἐ-
ναιμόταται, " ἐν ᾗσι κατακλίνεται. κουφόταται δὲ τῶν σαρκῶν, καὶ
ἥκιστα πονοῦσαι, καὶ ἐκ τῆς σκιῆς, καὶ ὅσαι ἐσώταται τοῦ ζώου. τῶν
δὲ ἀναίμων, ἐγκέφαλος καὶ μυελὸς, ἰσχυρότατα. " κουφότα-
τα δὲ τὰ ὑπογάστρια. μύες. κτένες. πόδες. τῶν δὲ ἰχ-
θύων, ξηρότατα ἐστὶ τὰ ἄνω. κουφότατα δὲ, τὰ ὑπογάστρια. καὶ κεφαλαὶ ὑγρότεραι, διὰ τὴν πιμελὴν καὶ τὸν ἐγ-
κέφαλον. Τὰ ᾠὰ δὲ ὀρνίθων, ἰσχυρὸν μέν τι ἔχουσι καὶ τρόφιμον. καὶ φυσῶδες. ἰσχυρὸν μὲν, ὅτι γένεσίς ἐστι ζώου.

uam fundunt. Cui autem eiusmodi humiditates desunt, id ipsum siccare necesse est. Palumbis igitur caro siccissima, deinde colũbæ, tertio loco, perdicis & galli, ac turturis, anseris verò, maximè humida. Quæ autẽ semina legunt, prioribus sicciores sunt. Anatis verò carnes, & reliquarum auium quæ in paludibus aut aquis degunt, omnes humidæ existũt. Ex piscibus siccissimi quidem scorpius, draco, callionymus, cuculus, glaucus, perca, thrissa. Leues verò, saxatiles ferè omnes, velut turdus, phycis, elephitis, gobio. Hi oẽs & prædicti, erronibus leuiores sunt. Cùm enim quiescant, raram & leuem carnem habent. Errones autem & vndas verberãtes, laboribus attriti, solidiorem carnem obtinent. Torpedines & squatinæ, ac rhombi, & eiuscemodi, leuiores sunt. Qui verò pisces cœnosis & aquosis locis cibum capiũt, velut capitones, mugiles, anguillæ, & reliqui id genus, grauiores existunt, quòd ab aqua & luto, & his quæ illic producũtur, nutriũtur, ex quibus etiam spiritus haustus hominem lędit & aggrauat. Fluuiatiles autem & lacustres, his etiam grauiores sunt. Polypi verò & sepiæ, atq; eiusmodi, neq; leues sunt, vt videntur, neq; aluum deiiciunt, iccircoq; si edantur, oculos grauant, illorum tamẽ ius aluum mouet. Conchylia verò, velut pinnæ, purpuræ, patellæ, buccinæ, ostrea, ea quidem sicca sunt, horum autem succi aluum mouent. Mytuli, pectines & telinæ, his magis per aluũ secedũt. Vrticæ & qui cartilaginei sunt generis, maximè humectant & aluum deiiciunt. Erinaciorum oua, & locustarum humor, musculi, vrsi, cancri, pręsertim fluuiatiles. sed & marini, aluum mouent, & vrinam prouocant. Sale conditi siccant & attenuant, plærīq; etiam leniter aluum deiiciunt. Ex salitis siccissimi quidem marini, deinde fluuiatiles, palustres, maximè humidi. Inter sale conditos pisces, qui percæ nominantur, potenter siccant. Ex cicuratis autem animalibus, quæ in syluis & agris pascũtur, iis quę domi nutriuntur, sunt sicciora, quia laborando à Sole & frigore resiccantur, & ficciore spiritu nutriuntur. Fera etiam animalia mansuetis sicciora, & crudiuora, quæq; syluarum materia pascuntur, & quæ parum edunt, multum edentibus sicciora, quæq; fœno ad pastum vtuntur, iis quæ herbis, item quæ fructus edunt, iis quæ minimè fructibus victitant, quæq; parum bibunt, iis quæ multum, & quæ multo sanguine abundant, exanguibus & paucum sanguinem habentibus, & quæ in ætatis vigore sunt constituta, potiùs quàm admodum vetusta & iuuencula, & mascula quàm fœminea, & castrata quàm non castrata, nigra quàm alba, & hirsuta quàm nuda. His verò contraria, humidiora. Animalium autem ipsorum carnes validissimæ quidem, quæ optimè laborant, & sanguine abundant, & supra quas recumbunt. Leuissimæ verò, quæ minimè laborant, & in vmbra latent, & in intimis animalis partibus sitæ sunt. Exanguium autem validissimæ, cerebrum & medulla. Leuissimæ quæ sunt in ventre inferiore, musculi, pectines, pedes. Piscium siccissimæ sunt partes superiores, leuissimæ ventris inferioris, & capita humidiora, ꝑpter pinguedinẽ & cerebrum. Volucrũ oua validũ q.d, & nutriens, & inflans habent. Validum quidẽ, quoniã animalis generationẽ continent.

Nutriens verò, quòd hoc in pullo lactis rationem habeat. Inflãs autem, quia ex parua mole in multam diffundantur. Caseus validus est, æstuosus, & alit. Validus quidẽ, quòd generationi sit proximus. Alit verò, quia lactis carnosa pars in eo remanet. Æstuosus est, quia pinguis. Aluum autem sistit, quia ex succo & coagulo constat. Aqua refrigerat. Vinũ calidum & siccum, habet & purgans quiddam à materia. Vina nigra & austera, sicciora sunt, neq; per aluum secedunt, neq; vrinam aut sputum mouent, sed corporis humiditatem absumendo, siccant & caliditatem inferunt. Mollia, nigra, humidiora sunt, & flatus excitant, aluumq; magis deiiciunt. Dulcia nigra, humidiora sunt, calefaciunt autem & inflant, cùm humiditatem inducunt. Alba verò & austera calefaciunt, magis autem vrinam mouent, quàm aluum deiiciant. Vina recentia aluum magis mouent, quòd musto sint propiora, & nutriunt, item odora magis quàm inodora eiusdem ętatis, quia facilius concoquuntur, & crassa quàm tenuia. At tenuia dulcia vrinam magis & aluum mouẽt, corpusq; humectant, & sanguinem imbecillum reddunt, cùm aduersarium corpori sanguinem augeant. Mustum flatum mouet, & subducit, turbationemq; in ventre suo feruore excitat, aluumque deiicit. Flatum quidem mouet, quòd calefaciat, è corpore autem subducit, quia purgat, cùm verò in ventriculo ferueat, turbationem excitat, & aluo secedit. Vina acida refrigerant, extenuant, & humectant. Refrigerant quidem & humectant, quòd humidum è corpore educãt. humectant autem, quòd aqua vnà cum vino ingrediatur. Acetum refrigerat, quòd corporis humidum colliquando absumat, magis autem aluum sistit, quàm deiiciat, quia minimè alit & acre est. Sapa calefacit, humectat & subducit. Calefacit quidem, quia vinosa. humectat verò, quòd nutriat. subducit autem, quia dulcis. Feces vinaceæ humectant, subducũt, & flatum excitant, quòd etiam mustum idem efficiat. Mel calidum & siccum est, syncerum; ex aqua verò humectat, & biliosis aluum deiicit, pituitosis verò sistit. At verò vinum dulce, pituitosis magis per aluum secedit. De oleribus autem sic se res habet. Alliũ calidum, vrinam & aluum mouet, oculis minimè bonum. Cùm enim multam corporis purgationem faciat, aciem hebetat, aluum autem & vrinam ciet, propter vim purgantem, coctum crudo imbecillius, flatum autem parit, propter spiritus vehementiam. Cepa oculorum quidem aciei commoda, corpori verò noxia, quòd calida & ęstuosa sit, & per aluum secedat. Nullum enim alimentum corpori, neq; vtilitatem præbet, calefaciendo autem exiccat, propter succum. Porrum minùs quidem calefacit, vrinam verò & aluum mouet, habetq; vim quandam purgantem, humectat autem, & ructum acidum sedat, ipsumq; post reliquos cibos comedere præstat. Raphanus humectat, pituitam sua acrimonia diffundendo, folia verò minus, nisi in articularibus morbis. Radix vitiosa est, q. per summa fluitet, & ægrè concoquatur. Nasturtium calidum est, & carnem liquefacit, pituitam albam sistit, proindeque stranguriam infert. Sinapi calidum est, & aluum deiicit, sed & hoc vrinæ difficultatem parit. Quin & eadem eruca facit. Coriandrum calidum, aluũ sistit, & ructum acidum sedat, somnum cõciliat, si postremo loco edatur.

τρόφιμον δὲ, ὅτι γάλα ἐστὶ τῷ νεοττῷ. φυσῶδες δὲ, ὅτι ἐκ μικροῦ ὄγκου, εἰς πολὺ διαχέεται. ὁ τυρὸς, ἰσχυρὸν. καὶ καυσῶδες. καὶ τρόφιμον. ἰσχυρὸν μὲν ὅτι ἔγγιστα γενέσιος. τρόφιμον δὲ, ὅτι τοῦ γάλακτος τὸ σαρκῶδες ἐστὶν ὑπόλοιπον. καυσῶδες δὲ, ὅτι λιπαρόν. στάσιμον δὲ, ὅτι ὀπῷ, καὶ πιτύη ξυνέστηκεν. Ὕδωρ, ψυκτικόν. Οἶνος, θερμὸν καὶ ξηρόν. ἔχει δέ τι καὶ καθαρτικὸν ἀπὸ τῆς ὕλης. τῶν δὲ οἴνων οἱ μέλανες, καὶ αὐστηροὶ, ξηρότεροι καὶ οὐ διαχωρεῦνται, οὔτε οὐρέονται, οὔτε πτύουσι. ξηραίνουσι δὲ καὶ τὴν θερμασίην, τὸ ὑγρὸν ἐκ τοῦ σώ-

10 ματος καταναλίσκοντες. οἱ δὲ μαλακοὶ μέλανες, ὑγρότεροι, καὶ φυσῶσι, καὶ διαχωρέουσι μᾶλλον. οἱ δὲ γλυκέες μέλανες, ὑγρότεροι. θερμαίνουσι δὲ καὶ φυσῶσιν, ὑγρασίην ἐμποιεῦντες. οἱ δὲ λευκοὶ καὶ αὐστηροὶ, θερμαίνουσιν, οὐρέονται δὲ μᾶλλον, ἢ διαχωρέουσιν. οἱ νέοι μᾶλλον τῶν οἴνων διαχωρέουσι, διότι ἐγγυτέρω τοῦ γλεύκεός εἰσι καὶ τρόφιμοι. καὶ οἱ ὄζοντες, τῶν ἀόσμων τῆς αὐτῆς ἡλικίης, διότι εὐπεπτότεροί εἰσι. καὶ οἱ παχέες τῶν λεπτῶν. Οἱ δὲ λεπτοὶ γλυκέες, οὐρέονται μᾶλλον καὶ διαχωρέουσι. καὶ ὑγραίνουσι τὸ σῶμα. καὶ τὸ αἷμα ἀσθενὲς ποιέουσιν. αὔξοντες δὲ τὸ ἀν-

20 τίπαλον τοῦ σώματος αἷμα ἐν τῷ σώματι. Γλεῦκος, φυσᾷ, καὶ ὑπάγει, καὶ ἐκταράσσεται ζέον ἐν τῇ κοιλίῃ, καὶ διαχωρέει. φυσᾷ μὲν, ὅτι θερμαίνει. ὑπάγει δὲ ἐκ τοῦ σώματος, ὅτι καθαίρει. ταράσσει δὲ, ζέον ἐν τῇ κοιλίῃ καὶ διαχωρέει. Οἱ ὀξυναῖοι οἶνοι, ψύχουσι καὶ ἰσχναίνουσι καὶ ὑγραίνουσι. ψύχουσι μὲν καὶ ἰσχναίνουσι, κένωσιν τοῦ ὑγροῦ ἀπὸ τοῦ σώματος ποιεύμενοι. ὑγραίνουσι δὲ, ἀπὸ τοῦ ἐσιόντες ὕδατος σὺν τῷ οἴνῳ. Ὄξος ψυκτικόν. διότι τήκει τὸ ὑγρὸν ἐν τῷ σώματι καταναλίσκει. ἵστησι δὲ μᾶλλον ἢ διαχωρέει. διότι οὐ τρόφιμον καὶ δριμύ. Ἕψημα θερμαίνει, καὶ ὑγραίνει, καὶ ὑπάγει. θερμαίνει μὲν, ὅτι οἰνῶδες. ὑγραίνει

30 δὲ, ὅτι τρόφιμον. ὑπάγει δὲ, ὅτι γλυκύ. Αἱ τρύγες στεμφυλίτιδες, ὑγραίνουσι καὶ ὑπάγουσι καὶ φυσῶσι. διότι καὶ τὸ γλεῦκος τὸ αὐτὸ ποιέει. Μέλι θερμὸν καὶ ξηρὸν, ἄκρητον. σὺν ὕδατι δὲ, ὑγραίνει. καὶ διαχωρέει τοῖσι χολώδεσι, τοῖσι δὲ φλεγματώδεσιν ἵστησιν. Ὁ δὲ γλυκὺς οἶνος, διαχωρέει μᾶλλον τοῖσι φλεγματώδεσι. Περὶ δὲ λαχάνων ὧδε ἔχει. σκόροδον, θερμὸν, καὶ διαχωρέει καὶ οὐρέεται, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἀγαθόν. κάθαρσιν γὰρ τοῦ σώματος πολλὴν ποιεύμενον, τὴν ὄψιν ἀπαμβλύνει. διαχωρέει δὲ καὶ οὐρέεται. διὰ τὸ καθαρτικόν. ἑφθὸν ἀσθενέστερον, ἢ ὠμόν. φῦσαν δὲ ἐμποιέει, διὰ τοῦ πνεύματος τὴν

40 ἐπίστασιν. Κρόμμυον, τῇ μὲν ὄψει ἀγαθὸν τῷ δὲ σώματι, κακόν. διότι θερμὸν καὶ καυσῶδές ἐστι, καὶ διαχωρέει. τροφὴν μὲν οὐδεμίην δίδωσι τῷ σώματι, οὐδὲ ὠφελίην. θερμαῖνον δὲ ξηραίνει διὰ τὸν ὀπόν. Πράσον, θερμαίνει μὲν ἧσσον. οὐρέεται δὲ καὶ διαχωρέει. ἔχει δέ τι καθαρτικόν. ὑγραίνει δὲ, καὶ ὀξυρεγμίην παύει. κάλλιον δὲ ὕστατον τῶν ἄλλων βρωμάτων ἐσθίειν αὐτό. Ῥαφανὶς ὑγραίνει, διαχέουσα τὸ φλέγμα, τῇ δριμύτητι. τὰ δὲ φύλλα ἧσσον. πλὴν πρὸς τοὺς ἀρθριτικοὺς, μοχθηρὴ ἡ ῥίζα. ἐπιπλάζον δὲ καὶ δύσπεπτον. Κάρδαμον, θερμὸν καὶ τὴν σάρκα τήκει. ἵστησι δὲ φλέγμα λευκόν, ὥστε στραγγουρίην ἐμποιέει.

50 Νᾶπυ, θερμὸν, διαχωρητικὸν δέ. πλὴν δυσουρέει. καὶ τὸ εὔζωμον παραπλήσια ποιέει. Κορίαννον, θερμὸν καὶ σταλτικὸν καὶ τὴν ὀξυρεγμίην παύει, καὶ ὑπνωτικόν, ἐὰν ὕστατον ἐσθί-

θεί-

Θρίδαξ, ψυχρότατον, πρὶν τὸν ὀπὸν ἔχειν. ἀσθενείην δὲ τινὰ ποιεῖ ἐν τῷ σώματι. Ἄνηθον, θερμὸν καὶ στατικόν. καὶ πταρμὸν παύει ὀσφραινόμενον. Σέλινον, οὐρέεται μᾶλλον, ἢ διαχωρεῖ. καὶ αἱ ῥίζαι μᾶλλον ἢ αὐτὸ διαχωρέουσιν. ὤκιμον, ξηρὸν, καὶ θερμὸν, καὶ στάσιμον. Πήγανον, οὐρέεται μᾶλλον, ἢ διαχωρεῖ, [39] καὶ συστρεπτικόν τι ἔχει, καὶ πρὸς τὰ φάρμακα τὰ βλαβερὰ, ὠφέλιμον προπινόμενον. Ἀσπάραγος, ξηρὸν καὶ στάσιμον. Ἐλελίσφακον, ξηρὸν καὶ στατικόν. Στρύχνος, ψύχει καὶ ἐξονειρώσσειν οὐκ ἐᾷ. Ἀνδράχνη, ψύχει [40] ἡ ποταμίη. ταριχευθεῖσα δὲ, θερμαίνει καὶ καθαίρει. Καλαμίνθη, θερμαίνει καὶ καθαίρει. Μίνθη θερμαίνει καὶ οὐρέεται, καὶ ἐμέτους ἵστησι. καὶ ἢν πολλάκις ἐσθίῃ τις [41] τὸν γόνον αὐτοῦ τήκει ὥστε ῥέειν. καὶ ἐντείνειν κωλύει. καὶ τὸ σῶμα ἀσθενὲς ποιεῖ. Λάπαθον, θερμαῖνον διαχωρεῖ. Ἀνδράφαξις ὑγρόν. οὐ μέντοι διαχωρεῖ. Βλῆτον θερμὸν, οὐ διαχωρητικόν. Κράμβη θερμαίνει καὶ διαχωρεῖ, καὶ τὰ χολώδεα ἄγει. Τεύτλου, ὁ μὲν χυλὸς, διαχωρεῖ. τὸ δὲ λάχανον ἐσθιόμενον, ἵστησιν. αἱ δὲ ῥίζαι τῶν τεύτλων, διαχωρητικώτεραι. Κολοκύντη, ψύχει, καὶ ὑγραίνει, καὶ διαχωρεῖ. Γογγυλὶς, καυσώδης. ὑγραίνει δὲ καὶ ταράσσει τὸ σῶμα, οὐ μέντοι διαχωρεῖ, δυσουρέεται δέ. Γλήχων, θερμαίνει καὶ διαχωρεῖ. Ὀρίγανον θερμαίνει. ὑπάγει δὲ καὶ τὰ χολώδεα. Θύμβρη παραπλήσια τῷ ὀριγάνῳ διαπρήσσεται. Θύμον, θερμόν. διαχωρεῖ καὶ οὐρέεται. ἄγει δὲ καὶ φλεγματώδεα. Ὕσσωπον, θερμὸν καὶ [42] φλεγματῶδες. τῶν δὲ ἀγρίων λαχάνων, ὁκόσα τῷ στόματι θερμαντικὰ καὶ εὐώδεα, ταῦτα θερμαίνει καὶ οὐρέεται μᾶλλον, ἢ διαχωρεῖ. ὁκόσα δὲ ὑγρὴν φύσιν ἔχει καὶ ψυχρὴν, καὶ μωρὴν, καὶ ὀσμὰς βαρείας, ὑποχωρέεται μᾶλλον, ἢ οὐρέεται. ὁκόσα δὲ ὀξέα καὶ στρυφνὰ καὶ αὐστηρὰ, στάσιμα. ὁκόσα δὲ δριμέα καὶ εὐώδεα οὐρέεται. ὁκόσα δὲ δριμέα καὶ ξηρὰ ἐν τῷ στόματι, ταῦτα πάντα ξηραίνει. ὁκόσα δὲ ὀξέα, ψυκτικά. οἱ δὲ χυμοὶ, διουρητικοί. [43] κρήμνου. σελίνου. σκορόδου ἀποβρέγματα. κυτίσου. μαράθρου. πράσου. ἀδιάντου. [44] στρύχνου, ψύχει. σκολοπένδριον. μίνθη. σέσελι. καυκαλίδες. ὑπερικόν. κνίδαι. [45] διαχωρητικὰ καὶ καθαρτικά. ἐρέβινθοι. φακῆ. κριθαί. τεῦτλα. κράμβη. λινόζωστις. ἀκτή. κνῆκος. ταῦτα πάντα ὑποχωρέεται μᾶλλον ἢ διουρέεται. Περὶ δὲ ὀπώρης ὧδε ἔχει. τὰ μὲν ἔγκαρπα, διαχωρητικώτερα. τὰ δὲ χλωρὰ, τῶν ξηρῶν. [46] ἡ δὲ δύναμις εἴρηται αὐτέων. Μόρα, θερμαίνει, καὶ ὑγραίνει καὶ διαχωρεῖ. Ἄπιοι πέπειροι, θερμαίνουσιν, καὶ ὑγραίνουσι, καὶ διαχωρέουσιν. αἱ δὲ σκληραὶ, στάσιμοι. Ἀχράδες χειμέριοι, πέπειροι, διαχωρέουσι καὶ τῆς κοιλίης καθαρτικαί. αἱ δὲ ὠμαὶ, στάσιμοι. Μῆλα γλυκέα, δύσπεπτα. τὰ δὲ ὀξέα καὶ πέπονα, ἧσσον. Κυδώνια, στυπτικὰ, καὶ οὐ διαχωρέουσιν. οἱ δὲ χυλοὶ τῶν μήλων πρὸς τοὺς ἐμέτους στατικοὶ, καὶ οὐρητικοί. καὶ ἡ ὀδμὴ πρὸ τῶν ἐμέτων. τὰ δὲ ἄγρια μῆλα, στατικά. ἑφθὰ δὲ ἐσθιόμενα, μᾶλλον διαχωρητικά. πρὸς δὲ τὴν ὀρθόπνοιαν, οἵ τε χυλοὶ αὐτῶν, καὶ αὐτὰ πινόμενα ὠφελεῖ. Οὖα δὲ καὶ μέσπιλα καὶ κράνια, καὶ ὅση ἄλλη τοιαύτη ὀπώρη, στατικὴ καὶ στρυφνή. καὶ ῥοιῆς γλυκείης ὁ χυλὸς, διαχωρεῖ. καυσῶδες δέ τι ἔχει. αἱ οἰνώδεες τῶν ῥοιῶν,

Lactuca frigidissima est priùs quàm succum habeat, imbecillitatem autem quandam corpori infert. Anethum calidum, & aluum sistit, odoratumq; sternutamentum sedat. Apium vrinam magis quam aluum mouet: radices etiam magis quàm ipsum aluum mouent: Ocimum siccum est, calidum & aluum sistit. Ruta vrinam magis quàm aluum mouet. Quandam etiam cogendi vim habet, & præpota aduersus venena valet. Asparagus siccus est, & aluum sistit. Saluia sicca est, & aluum sistit. Solanum refrigerat, & in somnis veneris ludibria prohibet. Portulaca fluuiatilis refrigerat, & sale condita calefacit, & purgat. Calamintha calefacit & purgat. Mentha calefacit, & vrinam ciet, vomitionemque sistit, ac si quis eam sæpe comedat, eius genitale semen ita colliquefacit, vt effluat, & arrigere prohibet, corpusq; imbecillum reddit. Rumex calefaciendo aluum mouet. Atriplex humida est, neq; tamen aluum deiicit. Blitum calidum, neque aluum mouet. Brassica calefacit, per aluum secedit, & biliosa educit. Betæ succus quidem aluum deiicit, olus autem ipsum cibo sumptum sistit, radices verò aluum magis mouent. Cucurbita refrigerat & humectat, aluoque secedit. Rapum æstuosum est, humectat autem & corpus conturbat, non tamen per aluum secedit, verùm vrinæ difficultatem adfert. Pulegium calefacit & aluum mouet. Origanum calefacit, biliosa tamen subducit. Thymbra eadem quæ origanum efficit. Thymum calidum, aluum & vrinam mouet, & pituitosa educit. Hyssopum calidum & pituitam ducit. Ex agrestibus autem oleribus, quæ os calefaciunt & odorata sunt, ea calefaciunt, & vrinam potiùs quàm aluũ mouent. Quę verò humida sunt natura & frigida, ac insipida, odoreq; graui, per aluum magis secedunt quã per vrinã. Quæ acerba & austera, aluum sistunt. Quæ acria & odorata, vrinam prouocant. Quæ acria & sicca sunt in ore, ea omnia siccant, quæ acida, refrigerant. Hi succi vrinam mouent, crethmi, apij, allij cremor, cytisi, fœniculi, porri, adianthi, solani, qui & refrigerat. Scolopendrium, mentha, seseli, caucalides, hypericum, vrticæ, aluum mouent & purgant. Cicer, lens, hordeum, beta, brassica, mercurialis, sambucus, cnicus, hæc omnia aluum potiùs quàm vrinã mouent. At verò de fructibus autumnalibus, habet se res ad hunc modum. Qui semen quidem inclusum habent, ij aluum magis mouent. Virides item magis quàm sicci. Horum autem facultas dicta est. Mora calefaciunt & humectant, per aluumque secedunt. Pira matura, aluum deiiciunt eamque purgant, cruda verò sistunt. Mala dulcia ægrè concoquunt, acida autem & matura, minùs. Cydonia adstringunt, neque aluum deiiciunt. Malorum autem succus vomitiones sistit & vrinam promouet, quod & odor ante vomitionẽ præstat. Mala syluestria, aluum sistunt, cocta verò cibo sumta, magis aluum deiiciunt. Ad eam autem spirandi difficultatem, cùm non nisi erecta ceruice spiritus trahitur, tum eorũ succus, tum ipsa quoque epota iuuant. Sorba, mespila, corna, aliiq; id genus fructus, aluum sistunt, & acerbi sunt. Mali punici dulcis succus, aluũ deiicit, verùm æstuosũ quiddã habet. Mala punica quę vinoso sunt succo,

minus æstuosa sunt. Acida verò, magis refrigerant. At omnium nuclei aluum sistunt. Cucumeres crudi, frigidi, ægreque concoquuntur. Maturi verò, vrinam & aluum deiiciunt, verùm flatus excitant. Vuarum racemi, calidi & humidi, aluum deiiciũt, præcipuè quidem albi. Dulces igitur potenter calefaciunt, quòd multum iam calidi obtineant. Immaturi verò, minùs calefaciunt, potu autem magis purgant. Ficus & vuæ passæ æstuosæ sunt, aluum tamen deiiciunt. Ficus viridis humectat, aluum deiicit, & calefacit. Humectat quidem, quòd succo prægnans sit, calefacit verò, propter lac, sed aluum deiicit, propter eiusdem dulcedinem. Primæ ficus vitiosissimæ, quia lacte plenissimæ, optimæ postremæ. Ficus aridæ æstuosæ, aluum tamen deiiciunt. Amygdalæ æstuosæ sunt & nutriunt his de causis. Æstuosæ quidem, quia pingues, nutriunt autem, quia carnosæ. Et nuces rotundæ his similiter se habent. Latæ verò maturæ, nutriunt & aluum deiiciunt. Purgatæ autem etiam flatus pariunt, earum verò tunicæ aluum sistunt. Glandes ilignæ, quercinæ, & fagineæ, crudæ & tostæ aluum sistunt, coctæ verò, minùs. Carnes pingues æstuosæ, sed aluum deiiciunt. Carnes vino condîtæ, siccant & nutriunt. Siccant quidem, propter vinum, nutriunt verò propter carnem. Aceto autem condîtæ, calefaciũt certè, propter acetũ tamẽ, minùs, sed abundè nutriũt. At sale condîtæ, minùs quidem nutriũt, humido à sale spoliatæ, extenuant tamen & siccant, abundeq; aluũ deiiciunt. Singulorũ autem vires ad hunc modum detrahere & adiicere conuenit. Cùm ex igne & aqua cõstent cuncta tũ animantia, tum è terra nascentia, & ex his concrescant, ac in eadem resoluantur, valentium quidem cibariorum vim coquendo & refrigerando, sæpe detrahere, contraq; adiicere ad hũc modum oportet. Humidis quidẽ, torrendo & assando humiditatem detrahito, sicca verò macerato & irrigato. Salsa macerato & coquito. Amara & acria, dulcium, acerba verò pinguium mixtura temperato. Ac de reliquis omnib. ex prædictis æstimare oportet. Tosta aut assata, crudis magis aluum sistunt, quòd humidum igneũ & pingue ab igne detractum sit. Cùm igitur in ventriculum ingesta fuerint, humidũ ad se è ventre trahunt, & venarum oscula exiccando & calefaciendo occludũt, proindéq; humoris transitus coarctãt. Quæ verò locis minimè aquosis, siccis & æstuosis proueniunt, ea omnia sicciora & calidiora sunt, & robur plurimum corpori exhibẽt, quod pari mole & copia grauiora sunt ac densiora, vberioremq; fœtũ ferũt, quàm quę humidis, riguis & frigidis locis nascũtur. Ea autem humidiora, leuiora & frigidiora existunt. Neq; igitur solùm ipsius cibi & potus, & animãtium ipsarũ, sed & patriæ ex qua oriũtur, vim nosse oportet. Cùm ergò ex iisdem etiam cibis validum alimentũ corpori offerre voles, his quæ ex locis minimè aquosis prodeunt vtẽdum; tum cibis, tum potionibus, tũ animãtibus. Cùm verò leuius atq; humidius, his quæ ex riguis locis nascũtur vtendum. Dulcia, acria, salsa, amara, austera, & carnosa calefacere solent, tum quæ sicca sunt, tum quæ humida.

ἧσσον καυσώδεες. αἱ δὲ ὀξεῖαι, ψυκτικώτεραι. οἱ δὲ πυρῆνες πάντων στάσιμοι. Σίκυοι ὠμοὶ ψυχροὶ, καὶ δύσπεπτοι. οἱ δὲ πέπονες, οὐρέονται καὶ διαχωρέονται, φυσώδεες δέ. Βότρυες, θερμοὶ καὶ ὑγροὶ, καὶ διαχωρητικοὶ, μάλιστα οἱ λευκοί. οἱ μὲν οὖν γλυκέες, θερμαίνουσιν ἰσχυρῶς, διότι πολὺ ἤδη τοῦ θερμοῦ ἔχουσιν. οἱ δὲ ὀμφακώδεες, ἧσσον θερμαίνουσι· καθαίρουσι δὲ μᾶλλον, πινόμενοι. Σῦκα καὶ σταφίδες καυσώδεα· διαχωρητικὰ δέ. Σῦκον χλωρὸν, ὑγραίνει, καὶ διαχωρέει, καὶ θερμαίνει. ὑγραίνει μὲν, ὅτι ἔγχυλόν ἐστι. θερμαίνει δὲ, 10 διὰ τὸν ὀπόν. διαχωρέει δὲ, διὰ τὸ γλυκὺ τοῦ ὀποῦ. τὰ πρῶτα τῶν σύκων, κάκιστα, ὅτι εἰσὶν ὀπωδέστατα. βέλτιστα δὲ, τὰ ὕστατα. τὰ ξηρὰ σῦκα καυσώδεα· διαχωρητικὰ δέ. Αἱ ἀμυγδάλαι καυσώδεες, τρόφιμοι δέ εἰσι διὰ ταῦτα· καυσώδεες μὲν, διὰ τὸ λιπαρόν. τρόφιμοι δὲ, διὰ τὸ σαρκῶδες. Καὶ κάρυα τὰ στρογγύλα, παραπλησίως ταύταις ἔχουσι. τὰ δὲ πλατέα πέπονα, τρόφιμα καὶ διαχωρητικά. καθαρὰ δὲ ἐόντα, καὶ φῦσαν ἐμποιέουσιν. οἱ δὲ χιτῶνες αὐτέων στάσιμοι. Ἄκυλοι, καὶ βάλανοι, καὶ φηγοὶ, στατικὰ ὠμὰ καὶ ὀπτά. ἑφθὰ δὲ, ἧσσον. Τὰ πίονα τῶν 20 κρεῶν, καυσώδεα, διαχωρητικὰ δέ. κρέα ταριχηρὰ, ἐν οἴνῳ μὲν ὄντα, ξηραίνει καὶ τρέφει. ξηραίνει μὲν, διὰ τὸν οἶνον. τρέφει δὲ, διὰ τὴν σάρκα. ἐν ὄξει δὲ ταριχευόμενα θερμαίνει μὲν, ἧσσον δὲ διὰ τὸ ὄξος. τρέφει δὲ ἱκανῶς. ἐν ἁλσὶ δὲ κρέα ταριχηρὰ τρόφιμα μὲν ἧσσον, διὰ τὸ ἅλες, τοῦ ὑγροῦ ἀπεστερημένα, ἰσχναίνει δὲ, καὶ ξηραίνει, καὶ διαχωρέει ἱκανῶς. τὰς δὲ δυνάμιας ἑκάστων ἀφαιρέειν καὶ προστιθέναι ὧδε χρή. Πυρὶ καὶ ὕδατι πάντα ξυνίσταται, καὶ ζῶα καὶ φυτὰ, καὶ ὑπὸ τουτέων αὔξεται, καὶ ἐς ταῦτα διακρίνεται. τῶν μὲν οὖν ἰσχυρῶν σιτίων, ἕψοντα πολλάκις καὶ διαψύχοντα, 30 τὴν δύναμιν ἀφαιρέειν καὶ προστιθέναι τὸ ἄλλο ὧδε χρή. τῶν δὲ ὑγρῶν πυρῶντα καὶ φώζοντα, τὴν ὑγρασίην ἐξαιρέεσθαι. τῶν δὲ ξηρῶν, βρέχοντα καὶ νοτίζοντα. τῶν δὲ ἁλμυρῶν, βρέχοντα καὶ ἕψοντα. τῶν δὲ πικρῶν καὶ δριμέων, τοῖσι γλυκέσι διακιρνῶντα. τῶν δὲ στρυφνῶν, τοῖσι λιπαροῖσι. καὶ ἐπὶ τῶν ἄλλων πάντων, ἐκ τῶν προειρημένων χρὴ γινώσκειν. ὁκόσα πυρούμενα ἢ φωζόμενα, στάσιμά ἐστι μᾶλλον τῶν ὠμῶν, διότι τὸ ὑγρὸν ὑπὸ τοῦ πυρὸς ἀφῄρηται,[47] καὶ τὸ πυρῶδες, καὶ τὸ λιπαρόν. ὁκόταν γοῦν ἐς τὴν κοιλίην ἐμπέσῃ, ἕλκει τὸ ὑγρὸν ἐκ τῆς κοιλίης, ἐπ' 40 αὐτὰ συγκλείοντα τὰ στόματα τῶν φλεβίων, ξηραίνοντα καὶ θερμαίνοντα, ὥστε ἴσχειν τὰς διεξόδους τοῦ ὑγροῦ.[48] τὰ δὲ ἐκ τῶν ἀνύδρων καὶ ξηρῶν, καὶ πνιγηρῶν χωρίων, ἅπαντα ξηρότερα καὶ θερμότερα, καὶ ἰσχὺν πλείω παρέχεται ἐς τὸ σῶμα. διότι ἐκ τοῦ ἴσου ὄγκου, βαρύτερα καὶ πυκνότερα καὶ πολυχοώτερά ἐστιν, ἢ τὰ ἐκ τῶν ὑγρῶν, καὶ ἀρδομένων καὶ ψυχρῶν. ταῦτα δὲ ὑγρότερα καὶ κουφότερα, καὶ ψυχρότερα. Οὐκοῦν δεῖ τὴν δύναμιν μόνον αὐτέων γνῶναι τοῦ σιτίου καὶ τοῦ πόματος καὶ τῶν ζώων, ἀλλὰ καὶ τῆς πατρίδος ὁπόθεν εἰσίν. ὁκόταν μὲν οὖν βούλωνται τροφὴν ἰσχυρὰν τῷ σώματι προσενέγκαι, καὶ ἀπὸ τῶν αὐτῶν σιτίων, τοῖσιν ἐκ τῶν ἀνύδρων χωρίων χρηστέον, καὶ σιτίοισι καὶ πόμασι καὶ ζώοισιν. ὁκόταν δὲ κουφοτέρῃ τῇ τροφῇ καὶ ὑγροτέρῃ, τοῖσιν ἐκ τῶν ἀρδομένων χρηστέον. τὰ γλυκέα, καὶ τὰ δριμέα, καὶ τὰ ἁλυκὰ, καὶ τὰ πικρὰ, καὶ τὰ αὐστηρὰ, καὶ σαρκώδεα θερμαίνειν πέφυκε. καὶ ὅσα ξηρά ἐστι καὶ ὅσα ὑγρά.

ὁκόσα μὲν οὖν ξηροῦ μέρος πλέον ἔχει ἐν αὐτέοισιν, ταῦτα μὲν ξηραίνει, καὶ θερμαίνει. ὁκόσα δὲ ὑγροῦ μέρος ἔχει πλέον, ταῦτα πάντα θερμαίνοντα ὑγραίνει, καὶ διαχωρέει μᾶλλον, ἢ τὰ ξηρά. τροφὴν γὰρ μᾶλλον ἐς τὸ σῶμα διδόντα, ἀντίσπασιν ποιέεται ἐν τῇ κοιλίῃ, καὶ ὑγραίνοντα διαχωρέει. ὁκόσα δὲ διαθερμαίνοντα ξηραίνει, ἢ σιτία, ἢ ποτά, οὔτε πτύσιν, οὔτε οὔρησιν, οὔτε διαχώρησιν ποιεῦντα, ξηραίνει τὸ σῶμα, διὰ τάδε. θερμαινόμενον τὸ σῶμα, κενοῦται τοῦ ὑγροῦ. τὸ μὲν, ὑπ' αὐτέων τῶν σιτίων. τὸ δὲ, εἰς τροφὴν, τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται. τὸ δὲ, διὰ τοῦ χρωτὸς ἐξωθέεται, θερμαινόμενον καὶ λεπτυνόμενον. τὰ γλυκέα καὶ τὰ πίονα καὶ τὰ λιπαρὰ, πληρωτικά ἐστι, διότι ἐξ ὀλίγου ὄγκου, πολύχοά ἐστι. θερμαινόμενα δὲ καὶ διαχεόμενα, πληροῖ τὸ θερμὸν ἐν τῷ σώματι, καὶ γαληνιάζειν ποιέει. τὰ δὲ ὀξέα, καὶ δριμέα, καὶ αὐστηρὰ, καὶ στρυφνὰ, [49] καὶ συγκομιστὰ, καὶ ξηρὰ, οὐ πληροῖ. διότι τὰ στόματα τῶν φλεβῶν ἀνέωξέ τε καὶ διεκάθηρε. καὶ τὰ μὲν, ξηραίνοντα. τὰ δὲ, δάκνοντα καὶ στύφοντα φρίξαι καὶ συστῆσαι ἐς ὀλίγον ἐποίησεν ὄγκον, τὸ ὑγρὸν τὸ ἐν τῇ σαρκὶ καὶ τὸ κενὸν, πουλὺ ἐγένετο ἐν τῷ σώματι. ὁκόταν οὖν βούλῃ ἀπ' ὀλίγων πληρῶσαι, ἢ ἀπὸ πλειόνων κενῶσαι, τοῖσι τοιούτοισι χρέεσθαι. τὰ πρόσφατα πάντα, ἰσχὺν πλείονα παρέχεται τῶν ἄλλων διὰ τόδε, ὅτι ἐγγύτερον τοῦ ζῶντός ἐστι. τὰ δὲ ἕωλα καὶ σαπρὰ, διαχωρέει μᾶλλον τῶν προσφάτων, διότι ἐγγύτερον τοῦ σηπεδόνος ἐστί. τὰ δὲ ὠμὰ τροφώδεα καὶ ἐρυγματώδεά ἐστι, διότι δεῖ τῷ πυρὶ κατεργασθῆναι. ταῦτα ἡ κοιλίη διαπονήσεται, ἀσθενεστέρα ἐοῦσα τῶν εἰσιόντων. τὰ δὲ ἐν τοῖσιν ὑποτρίμμασιν ὄψα σκευαζόμενα, καυσώδεα καὶ ὑγρὰ, ὅτι λιπαρὰ καὶ πυρώδεα, καὶ θερμὰ καὶ ἀνομοίους τὰς δυνάμιας ἀλλήλοισιν ἔχοντα, ἐν τῷ αὐτέῳ ἴζει. τὰ δὲ ἐν ἅλμῃ, βελτίω καὶ οὐ καυσώδεα. περὶ δὲ λουτρῶν, ὧδε ἔχει. ὕδωρ πότιμον, ὑγραίνει καὶ ψύχει. δίδωσι γὰρ τῷ σώματι ὑγρασίην. τὸ δὲ ἁλμυρὸν λουτρὸν, θερμαίνει καὶ ξηραίνει. φύσει γὰρ ἐὸν θερμὸν, ἕλκει ἀπὸ τοῦ σώματος τὸ ὑγρόν. [51] τὰ δὲ θερμὰ λουτρὰ, νῆστιν μὲν, ἰσχναίνει καὶ ψύχει. φέρει γὰρ ἀπὸ τοῦ σώματος τὸ ὑγρὸν τῇ θερμασίῃ. κενουμένης δὲ τῆς σαρκὸς τοῦ ὑγροῦ, ψύχεται τὸ σῶμα. βεβρωκότα δὲ θερμαίνει καὶ ὑγραίνει, διαχέοντα τὰ ὑπάρχοντα ἐν τῷ σώματι, εἰς πλείονα ὄγκον. ψυχρὰ δὲ λουτρὰ, τοὐναντίον. κενῷ μὲν τῷ σώματι, δίδωσι θερμόν τι ψυχρόν. βεβρωκότι δὲ, ἀφαιρέεται ὑγροῦ ἐόντος καὶ πληροῖ ψυχρὸν ἐὸν τοῦ ὑπάρχοντος ξηροῦ. ἀλουσίη ξηραίνει, καταναλισκομένου τοῦ ὑγροῦ. ὡσαύτως δὲ καὶ ἡ ἀναλειφίη. λίπη δὲ, θερμαίνει καὶ ὑγραίνει, καὶ μαλάσσει. ἥλιος δὲ καὶ πῦρ, ξηραίνει διὰ τάδε. θερμὰ ἐόντα καὶ ξηρὰ, [52] ἕλκει τοῦ σώματος τὸ ὑγρόν, σκιὰ δὲ καὶ ψύχεα, [53] τὰ μέτρια ὑγραίνει. δίδωσι γὰρ μᾶλλον, ἢ λαμβάνει. ἱδρῶτες πάντες ἀπιόντες, καὶ ξηραίνουσι καὶ ἰσχναίνουσιν, ἐκλείποντος τοῦ ὑγροῦ ἐκ τοῦ σώματος. λαγνεύειν, ἰσχναίνει, καὶ ὑγραίνει, καὶ θερμαίνει. θερμαίνει μὲν, διὰ τὸν πόνον [54] καὶ τὴν ἀπόκρισιν τοῦ ὑγροῦ. ἰσχναίνει δὲ, διὰ κένωσιν. ὑγραίνει δὲ, διὰ τὸ ὑπολειπόμενον ἐν τῷ σώματι τῆς συντήξιος ὑπὸ τοῦ πόνου. ἔμετοι, ἰσχναίνουσι διὰ τὴν κένωσιν τῆς τροφῆς. οὐ μέντοι ξηραίνουσιν, [55] ἢν μή τις τῇ ὑστεραίῃ θεραπεύῃ ὀρθῶς, ἀλλ' ὑγραίνουσι διὰ τὴν πλήρωσιν, καὶ διὰ τὴν σύντηξιν τῆς σαρκὸς [56] τὴν ἀπὸ τοῦ πόνου.

Quæ igitur plus ſicci in ſe habent, ea ſiccant quidem & calefaciunt. Quæ verò plus humidi, hæc omnia calefaciendo humectāt, & magis quàm ſicca per aluum ſecedunt. Nam cùm plus corpus nutriant, in ventriculum attrahunt, & humectando aluum deiiciunt. Quæ verò calefaciendo ſiccant, tum cibi, tum potus, neque ſputum, neque vrinam, neque aluum cient, & hanc ob cauſam corpus ſiccant. Incaleſcens corpus humido vacuatur, partimq; ab ipſis cibis, partim etiam à calore animi in alimentum abſumitur, partim verò calefactum & attenuatum, per cutim foras propellitur. Dulcia, pinguia, & oleoſa iccirco implent, quia ex modica mole multum diffundunt. Calefacta verò & diffuſa, calore corpus replent, & tranquillum reddunt. Acida autem, acria, auſtera, acerba, & ex toto collata, & ſicca, non implent, ideo quòd venarum ora tum aperiunt, tum expurgant, & partim quidem ſiccando, partim verò incidendo & adſtringēdo horrorem inferunt, & carnis humidum in paruam molem contrahunt, atq; ita vacuum multum in corpore oritur. Cùm igitur paucis implere, vel multis vacuare voles, hiſce vtitor. Recentia omnia plus cæteris roborant, propterea quòd vitæ ſunt propinquiora. At vetuſtate marcida, quòd ad putredinem magis accedant, recentibus aluum magis deiiciunt. Cruda verò alimentum præbent & ructus excitāt, quòd quæ igne coqui oporteat, ea ventriculus, his, quæ ingeruntur, cùm debilior exiſtat, cōficere cogatur. At verò opſonia ex intritis præparata ideo ſunt æſtuoſa & humida, quòd pinguia, ignea & calida, & inæquales inter ſe vires ſortita, in eodem reſident. Quæ verò muria condiuntur, meliora, & minimè æſtuoſa. Balnea autem ad hunc ſe habent modū. Aqua potabilis humectat & refrigerat, cùm corpori humiditatē exhibeat. Salſum verò balneū, calefacit & ſiccat. Naturâ enim calidum, humiditatem è corpore trahit. At balnea calida, ieiunum quidem extenuant & refrigerant. Caliditate enim humidum è corpore tollunt, eoq; è carne vacuato, corpus refrigeratur. Poſt cibum autem calefaciunt & humectant, cùm ea, quæ in corpore ſuperſunt, in maiorē molem diffundunt. Frigida verò balnea, contrà. Vacuo quidem corpori frigidū calorem quendam impertit, at poſt cibum humiditatem præſentem tollit, & ſua frigiditate, ſiccum quod adeſt, auget. Balnei abſtinentia, conſumpta humiditate ſiccat, eodē ſanè modo neglecta vnctio. At verò vnctio calefacit, humectat, & emollit. Sol autē & ignis has ob cauſas ſiccant, quòd calida cùm ſint & ſicca, corporis humiditatem trahūt. Vmbra & frigus, moderatè humectant, plus enim dant, quàm accipiunt. Sudores omnes exeuntes ſiccant & attenuāt, cùm corpus humore deſtituatur. Veneris vſus extenuat, humectat, & calefacit. Calefacit quidem ob laborem & frigiditatis excretionem, attenuat autem ob vacuationem, humectat verò propter id quod ex colliquatione à labore in corpore relictum eſt. Vomitiones extenuant, propter alimenti euacuationem, neq; tamen ſiccāt, ſi quis poſtridie recta curatione vtatur, ſed ꝓpter repletionem & carnis ex labore colliquationē humectant.

At si quis hæc postridie in alimentum à calore cõsumi sinat, sensimq; ad victus rationem adiiciat, siccat. Aluum autem coactam vomitio soluit, & plus æquo fluidam sistit, illam quidem humectando, hanc verò siccando. Cùm igitur quis aluum celerrimè sistere volet, deuoratum cibum priùs quàm humescat & deorsum detrahatur, euomere oportet, & acerbis ac austeris cibariis potiùs vtitor. Vbi autem aluum soluere volet, diutius immorari cibis confert, & acribus ac salsis, & pinguibus, dulcibusq;, tum cibariis, tum potionibus vtendum. Somni in ieiuno quidem extenuant & refrigerant, non nimis longi, eam, quæ adest, humiditatem vacuando. Longiores verò, calefaciẽdo carnem colliquefaciunt, corpusque diffundendo resoluunt, & imbecillum reddunt. Post cibum autem calefacientes humectant, alimentum in corpus diffundendo. Somnus post matutinas deambulationes, maximè siccat. Vigilia post cibos noxia, cùm cibum colliquescere non sinat, ieiunos autem extenuat quidem, at minùs lædit. Ocium humectat & corpus imbecillum reddit. Quiescens enim animus corporis humidum minimè absumit. Labor siccat, corpusque validum efficit. Semel die sumptus cibus, extenuat & siccat, aluumque sistit, quoniam animi calore ventris & carnis humidum absumitur. Prandium verò contraria efficit. Aquæ potus calidus extenuat, eodemque modo etiam frigidus. At verò plus æquo frigidus tum spiritus, tum cibus, & potus, humidum in corpore congelant, & congelatione ac frigore aluos cogunt, cùm animi humiditatem superẽt. Contraq; etiam caloris excessus in tantum cogit, vt diffundi nequeat. Quæ verò corpus calefaciunt, neque alimentum exhibent, carnem humore vacuant, & cùm nihil excedant, frigiditatem homini præbent. Humiditate enim, quæ adest, agitata, quod ab ipso spiritu repletur, refrigeratur. At verò de laboribus quam habeant facultatem enarrabo. Sunt enim quidam à natura, quidam violenti. Ex his, qui sunt à natura, visionis labor, auditionis, vocis, curæ. Ac visionis quidem hæc est facultas. Cùm animus in id quod videtur intentus est, mouetur & incalescit. Calefactus verò, humido vacuato, exiccatur. Per auditionem autem irrumpente sono, animus concutitur, & laborat, laborans verò incalescit & resiccatur. Ex his, quæ cum cura hominibus contingunt, animus incalescit & exiccatur, humidoque absumpto laborat & carnes attenuat, hominemq; vacuat. Vocis autem labores, velut sermo, lectio, cantus, ij omnes animum mouent, motus verò exiccatur & incalescit, humidumq; corporis absumit. At deambulationes ipsæ etiam maximè præ reliquis à natura fiũt, habent tamen quid violentum. Earum hæc est facultas. A cœna deambulatio, aluum, corpus, & ventrem exiccat, ipsumque hãc ob causam amarum euadere non sinit. Cùm homo mouetur, corpus & cibi incalescũt. Humiditatem igitur caro attrahit, neq; ventrem amarũ euadere sinit. Impletur igitur corpus, venter verò extenuatur.

ἢν δέ τις ἐάσῃ ταῦτα καταναλωθῆναι, τῇ ὑστεραίῃ δὲ ἐς τὴν τροφὴν τοῦ θερμοῦ καὶ τῇ διαίτῃ ἡσύχως προσάγῃ, ξηραίνουσι. κοιλίην δὲ συνεστηκυῖαν, λύει ἔμετος. καὶ διαχωρέουσαν μᾶλλον τοῦ καιροῦ ἵστησι. τὴν μὲν διυγραίνων, τὴν δὲ ξηραίνων. [57] ὁκόταν μὲν οὖν στῆσαι βούληται τὴν ταχίστην, φαγόντα, χρὴ ἐξεμέειν πρὶν ἂν διυγρανθῆναι τὸ σιτίον, καταστασθῆναι κάτω, καὶ τοῖσι στρυφνοῖσι καὶ τοῖσιν αὐστηροῖσι σιτίοισι μᾶλλον χρέεσθαι. ὁκόταν δὲ λῦσαι τὴν κοιλίην βούληται, ἐνδιατρίβειν ἐν τοῖσι σιτίοισιν ὡς πλεῖστον χρόνον ξυμφέρει, καὶ τοῖσι δριμέσι, καὶ ἁλμυροῖσι, καὶ λιπαροῖσι, καὶ γλυκέσι, καὶ τοῖσι σιτίοισι καὶ πόμασι χρέεσθαι. [58] ὕπνοι δέ, νῆστιν μὲν ἰσχναίνουσι καὶ ψύχουσιν, ἢν μὴ μακροὶ ἔωσι, κενοῦντες τοῦ ὑπάρχοντος ὑγροῦ. ἢν δὲ μέζον, ἐκθερμαίνοντες, συντήκουσι τὴν σάρκα. καὶ διαλύουσι, τὸ σῶμα διαχέοντες, [59] καὶ ἀσθενὲς ποιέουσι. βεβρωκότα δέ, θερμαίνοντες ὑγραίνουσι, τὴν τροφὴν ἐς τὸ σῶμα διαχέοντες. ἀπὸ δὲ τῶν ὀρθρίων περιπάτων ὕπνος, μάλιστα ξηραίνει. ἀγρυπνίη δέ, ἐν μὲν τοῖσι σιτίοισι βλάπτει, οὐκ ἐῶσα τὸ σιτίον τήκεσθαι. ἀσίτοισι δέ, [60] ἰσχναίνει μέν, βλάπτει δὲ ἧσσον. ῥαθυμίη, ὑγραίνει· καὶ ἀσθενὲς τὸ σῶμα ποιέει. ἀτρεμίζουσα γὰρ ἡ ψυχή, οὐκ ἀναλίσκει τὸ ὑγρὸν ἐκ τοῦ σώματος. πόνος δέ, ξηραίνει, καὶ τὸ σῶμα ἰσχυρὸν ποιέει. [61] μονοσιτίη, ἰσχναίνει, καὶ ξηραίνει, καὶ τὴν κοιλίην ἵστησι, διότι ὑπὸ τοῦ τῆς ψυχῆς θερμοῦ, τὸ ὑγρὸν ἐκ τῆς κοιλίης καὶ τῆς σαρκὸς καταναλίσκεται. ἄριστον δὲ τἀναντία διαπρήσσεται τῇ μονοσιτίῃ. ὕδωρ πόμα θερμόν, ἰσχναίνει. [62] ὡσαύτως δὲ καὶ ψυχρόν. τὸ δὲ ὑπερβάλλον ψυχρὸν καὶ πνεῦμα, καὶ τὸ σιτίον, καὶ τὸ ποτόν, πήγνυσι τὸ ὑγρὸν τὸ ἐν σώματι, καὶ τὰς κοιλίας ξυνίστησι τῇ πήξει καὶ ψύξει. κρατεῖ γὰρ οὖν τοῦ τῆς ψυχῆς ὑγροῦ. καὶ οὖν τοῦ θερμοῦ δὲ πάλιν αἱ ὑπερβολαί, πηγνύουσι καὶ τοσοῦτον, ὡς μὴ διάχυσιν ἔχειν. ὁκόσα δὲ θερμαίνοντα τὸ σῶμα τροφὴν μὴ διδόντα, κενοῖ οὖν ὑγροῦ τὴν σάρκα, μηδ' ὑπερβολὴν ποιέοντα, ψύξιν τῷ ἀνθρώπῳ παραδίδωσι. κινουμένου γὰρ οὖν ὑπάρχοντος ὑγροῦ, [63] πνεύματος ὑπ' αὐτοῦ πληρούμενον ψύχεται. περὶ δὲ τῶν πόνων ἣν τινα ἔχει δύναμιν, [64] διηγήσομαι. εἰσὶ γὰρ οἱ μέν, κατὰ φύσιν· οἱ δέ, διὰ βίης. οἱ μὲν οὖν κατὰ φύσιν αὐτῶν εἰσιν, ὄψιος πόνος. ἀκοῆς, φωνῆς, μερίμνης. ὄψιος μὲν οὖν δύναμις τοιαύτη. προσέχουσα ψυχὴ τῷ ὁρεομένῳ, κινέεται καὶ θερμαίνεται. θερμαινομένη δέ, ξηραίνεται κενωμένου τοῦ ὑγροῦ. διὰ δὲ τῆς ἀκοῆς ἐσπίπτοντος τοῦ ψόφου, σείεται ἡ ψυχὴ καὶ πονέει. πονέουσα δέ, θερμαίνεται καὶ ξηραίνεται. ὁκόσα ἐν μερίμνῃ ἀνθρώποισι γίνεται, ἡ ψυχὴ καὶ ὑπὸ τουτέων θερμαίνεται καὶ ξηραίνεται. καὶ τὸ ὑγρὸν καταναλίσκουσα, πονέει καὶ λεπτύνει τὰς σάρκας καὶ κενοῖ τὸν ἄνθρωπον. ὁκόσοι δὲ πόνοι φωνῆς οἷον λέξις, ἢ ἀνάγνωσις, ἢ ᾠδή, πάντες οὗτοι κινέουσι τὴν ψυχήν. κινουμένη δέ, ξηραίνεται καὶ θερμαίνεται. καὶ τὸ ἐν τῷ σώματι ὑγρὸν καταναλίσκει. οἱ δὲ περίπατοι κατὰ φύσιν μέν εἰσι καὶ οὗτοι μάλιστα τῶν λοιπῶν. ἔχουσι δέ τι βίαιον. δύναμις δὲ αὐτέων, ἐστὶ τοιήδε. ὁ ἀπὸ δείπνου περίπατος, ξηραίνει τήν τε [65] κοιλίην καὶ τὸ σῶμα, καὶ τὴν γαστέρα, καὶ οὐκ ἐᾷ πικρὴν γίνεσθαι διὰ τάδε. κινουμένου τοῦ ἀνθρώπου, θερμαίνεται καὶ τὸ σῶμα καὶ τὰ σιτία. ἕλκει οὖν τὴν ἰκμάδα ἡ σάρξ, καὶ οὐκ ἐᾷ πικρὴν κοιλίην ξυνίστασθαι. τὸ μὲν οὖν σῶμα, πληροῦται· ἡ δὲ κοιλίη, λεπτύνεται.

ξηραίνεται δὲ, διὰ τάδε· κινουμένου τοῦ σώματος καὶ θερμαινομένου, τὸ λεπτότατον τῆς τροφῆς καταναλίσκεται· τὸ μὲν, ἀπὸ τοῦ ξυμφύτου θερμοῦ· τὸ δὲ, σὺν τῷ πνεύματι ἀποκρίνεται ἔξω· τὸ δὲ καὶ οὐρέεται. ὑπολείπεται δὲ τὸ ξηρότατον ἀπὸ τῶν σιτίων, ὥστε τῇ κοιλίῃ ἀποξηραίνεσθαι τὴν σάρκα. καὶ οἱ ὄρθριοι περίπατοι ἰσχναίνουσι καὶ τὰ περὶ τὴν κεφαλὴν [66] κοῦφά τε καὶ εὐπαγέα, καὶ εὐήκοα παρασκευάζουσι· καὶ τὴν κοιλίην λύουσιν. ἰσχναίνουσι μὲν, [67] διότι κενούμενον τὸ σῶμα θερμαίνεται, καὶ τὸ ὑγρὸν λεπτύνεται καὶ καθαίρεται. τὸ μὲν, ὑπὸ τοῦ πνεύματος· [68] τὸ δὲ, μύσσεταί τε καὶ χρέμπτεται· τὸ δὲ ἐς τὴν τροφὴν, τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται. τὴν δὲ κοιλίην λύουσι, διότι θερμὴ ἐοῦσα, [69] τοῦ ψυχροῦ πνεύματος ἐσπίπτοντος ἄνωθεν ὑποχωρέει τὸ θερμὸν τῷ ψυχρῷ. [70] κοῦφα δὲ τὰ περὶ τὴν κεφαλὴν ποιέει, διὰ τάδε. ὅταν κενωθῇ ἡ κοιλίη, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ ἄλλου σώματος καὶ τῆς κεφαλῆς τὸ ὑγρὸν, θερμὴ ἐοῦσα. κενουμένης δὲ τῆς κεφαλῆς, ἀποκαθαίρεται ἥ τε ὄψις καὶ ἡ ἀκοή. καὶ γίνονται εὐαγέες οἱ ἄνθρωποι. οἱ δὲ ἀπὸ τῶν γυμνασίων περίπατοι, καθαρὰ τὰ σώματα παρασκευάζουσι καὶ ἰσχναίνουσιν, οὐκ ἐῶντες τὴν σύντηξιν τῆς σαρκὸς, τὴν ὑπὸ τοῦ πόνου ξυνίστασθαι, ἀλλ᾽ ἀποκαθαίρουσι. [71] τὰ δὲ ἐκ τῶν δρόμων γινόμενα, οἱ μὲν μακροὶ καὶ [72] καμπτοὶ, ἐξ ὀλίγου προσαγόμενοι, θερμαίνοντες τὴν σάρκα συνεψεῖν καὶ διαχέειν δύνανται. καὶ τὴν δύναμιν τῶν σιτίων τὴν ἐν τῇ σαρκὶ καταπέσσουσι. [73] βραδύτερά τε καὶ παχύτερα τὰ σώματα παρασκευάζουσι τῶν τροχῶν. τοῖσι δὲ τὰ πολλὰ ἐσθίουσι, ξυμφορώτεροι, καὶ χειμῶνος μᾶλλον, ἢ θέρεος. οἱ δὲ ἐν ἱματίῳ δρόμοι, τὴν μὲν δύναμιν, τὴν αὐτὴν ἔχουσι· μᾶλλον δὲ διαθερμαίνουσι, καὶ ὑγρότερα τὰ σώματα ποιέουσιν, ἀχροώτερα δὲ, διότι οὐκ ἀποκαθαίρει προσπίπτον τὸ πνεῦμα τὸ εἰλικρινὲς, ἀλλ᾽ ἐν τῷ αὐτῷ γυμνάζεται πνεύματι. συμφέρει οὖν καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι πολυσάρκοισιν, ὅστις καθαιρεῖν τὴν σάρκα βούλεται, καὶ τοῖσι πρεσβυτέροισι [74] διὰ ψύξιν τοῦ σώματος. οἱ δὲ δίαυλοι καὶ ἥπποι ἵπποι, τὴν μὲν σάρκα ἧσσον διαχέουσιν. ἰσχναίνουσι δὲ μᾶλλον, διότι τοῖς ἔξω τῆς ψυχῆς μέρεσιν οἱ πόνοι ὄντες, [75] ἀντισπῶσιν ἐκ τῆς σαρκὸς τὸ ὑγρὸν, καὶ τὸ σῶμα λεπτύνουσι καὶ ξηραίνουσιν. οἱ δὲ τροχοὶ, τὴν μὲν σάρκα ἥκιστα διαχέουσιν. ἰσχναίνουσι δὲ, καὶ διαστέλλουσι τὴν σάρκα, καὶ τὴν κοιλίην μάλιστα, διότι ὀξυτάτῳ τῷ πνεύματι χρώμενοι, τάχιστα τὸ ὑγρὸν ἕλκουσιν ἐφ᾽ ἑωυτούς. τὰ δὲ περισείσματα, ξηραίνουσι μὲν ἐξαπίνης. οὐκ ἐπιτήδεια δὲ, καὶ ἀξύμφορα. σπάσματα γὰρ ἐμποιέεται, διὰ τόδε. διατεθερμασμένον τὸ σῶμα, τὸ μὲν δέρμα, ἰσχυρῶς λεπτύνει. τὴν δὲ σάρκα, ἧσσον συνίστησι τῶν τροχῶν. κενοῖ δὲ τὴν σάρκα τοῦ ὑγροῦ. τὰ δὲ ἀνακινήματα καὶ ἀνακουφίσματα τὴν μὲν σάρκα ἥκιστα διαθερμαίνουσι. παροξύνει δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τοῦ πνεύματος κενοῦσι. πάλη δὲ καὶ τρῖψις τοῖσιν ἔξω τοῦ σώματος, παρέχει μᾶλλον τὸν πόνον. θερμαίνει δὲ τὴν σάρκα καὶ στερεοῖ, καὶ αὔξεσθαι ποιέει διὰ τάδε. τὰ μὲν στερεὰ φύσει τριβόμενα, συνίστησι· τὰ δὲ κοῖλα αὔξεται. τῆς γοῦν σαρκὸς, τὸ μὲν πυκνὸν τριβόμενον, ξυνίσταται· τὰ δὲ κοῖλα, αὔξεται· καὶ ὁκόσα φλέβες εἰσί.

Has autem ob causas exiccatur, quòd agitato & incalescente corpore, alimenti pars tenuissima, partim ab insito calore consumitur, partim cum spiritu foras excernitur, partim etiam per vrinam emittitur, quod verò in cibis est siccissimum, remanet, ita vt cum ventre simul etiam caro resiccetur. Deambulationes matutinæ extenuant, & quæ circa caput sunt, leuia, agilia & prompta efficiunt, aluumque soluunt. Extenuant quidem, quòd agitatum corpus incalescat, & humidum partim quidem à spiritu attenuetur & purgetur, partim verò emungatur & exscreetur, partim etiam ab animi calore in alimentum absumatur. Aluum autem soluunt, quòd cùm calida existat, spiritu frigido ex superioribus partibus irruente, frigido calidum cedit. Quæ verò circa corpus sunt ideò leuant, quòd euacuata aluus & calida existens, è reliquo corpore & capite humidum ad se attrahit. Vacuato autem capite, repurgatur visio & auditio, & agiles homines redduntur. At deambulationes, quæ post exercitationes obeuntur, corpora pura reddunt & emaciant, neque carnis colliquationem, quæ ex labore prouenit, colligunt, sed eam repurgant. Ex cursibus autem hæc contingunt. Longi quidem & flexi, sensim facti, carnem calefaciendo concoquere ac diffundere queunt, & ciborum vim in carne concoquunt, tardiora tamen & crassiora corpora efficiunt, quàm qui in orbem fiunt. His autem, qui multum comedunt, commodiores sunt, idque hyeme magis quàm æstate. At qui in veste obeuntur, eadem facultate valent, sed magis calefaciunt, humidioraque corpora & decoloratiora reddunt, quia purus extrinsecus irruens spiritus ea non repurgat, sed in eodem spiritu exercentur. Siccis igitur & multum carnosis conferunt, cùm quis carnem detrahere volet, & senioribus propter corporis frigiditatem. Cursus autem rursus ad carceres redeuntes, & indefiniti equestres, carnem quidem minùs diffundunt, sed magis extenuant, quia cùm externis animi partibus hi labores obeantur, humidum ex carne retrahunt, corpúsque attenuant & exiccant. Qui verò in orbem fiunt, carnem quidem minimè diffundunt, sed extenuant, carnémque & ventrem maximè deducunt, quòd cùm citissimo spiritu vtantur, humidum ad se promptissimè attrahunt. Concussiones autem de repente quidem siccant, neque tamen accommodæ, neque vtiles sunt. Conuulsiones enim ideò intus adferunt, quòd calefactum corpus cutem vehementer tenuat, carnem verò minùs cogunt, quàm cursus, qui in orbem obeuntur, eandemque humore vacuant. Commotiones & in sublime eleuationes, carnem quidem minimè excalefaciunt, sed corpus & animum commouent, & spiritu vacuant. Lucta & frictio, exterioribus corporis partibus laborem magis præbent, carnem autem calefaciunt, firmant, ideoque augent, quòd quæ natura solida sunt, dum fricantur, in se coguntur, caua verò augescunt. Quod ergo in carne densum est, si confricatur, in se cogitur, caua verò augescunt, & quæcunq; venas habent.

Excalefactæ enim & exiccatæ carnes, alimentum ad se per venas trahunt, deinde increscunt. Volutatio in puluere eadem, quæ lucta, facit, sed propter puluerem magis exiccat, carnemque minùs gignit. Lucta, quæ fit consertis summis manibus, extenuat, carnesque ad superiora trahit. Ad corycum decertatio, & manuum gesticulatio, eadem efficiunt. Spiritus retentio meatus per vim cogere, cutem tenuare, & humiditatem ad cutem propellere valet. Quæ in puluere & oleo exercitationes obeuntur, hoc differunt, quòd puluis quidem frigidus, oleum verò est calidũ. Oleum per hyemem ad corporis incrementum magis est accommodatum, quoniam quid de corpore detrahere frigus non sinit. Per æstatem verò caloris exuperantia carnem colliquat, cùm etiam ab anni tempore, & oleo, & labore incalescat. Puluis autem per æstatem ad corporis incrementum magis est accommodatus. Cùm enim refrigeret, vltra modũ incalescere non sinit, per hyemem verò, frigus & algorem adfert. Post exercitationes, parua in puluere per æstatem mora, ad refrigerationem quidem iuuat, multa verò supra modum exiccat, & corpora dura ac lignosa reddit. Frictio ex oleo & aqua emollit, neque vehementer incalescere sinit. At de lassitudinibus, quæ circa corpora contingunt, ad hunc se res habet modum. Qui quidem non exercentur, ab omni labore lassitudinem contrahunt. Nulla enim corporis pars ad vllum aliquem laborem suscipiendum est accommodata. Quæ verò exercentur corpora, à minimè consuetis laboribus lassantur. Quædam etiam à consuetis exercitationibus in lassitudines incidunt, si his supra modum vtantur. Et ea quidem sunt lassitudinum genera. Earum verò facultas sic habet. Qui non exercentur, cùm humidam carnem habeant, vbi laborauerint, cõcalefacto corpore multam colliquationem dimittunt. Quod igitur cum sudore emissum, aut cum corpore repurgatum fuerit, non ampliùs vexat corporis partem præter cõsuetudinem vacuatam. Quod verò post secretionẽ intus remanet, huic molestiam exhibet, & ei parti, quæ humiditatem suscepit, cùm corpori minimè sit commodum, sed infensum. Neq; sanè in corporum carnes æquabiliter coit, sed in carnosas partes, ita vt his quidem, donec exeat, molestiam exhibeat. Nempe cùm ambitum non habeat & quiescat, tum ipsum, tum ea, quæ irrumpunt, incalescunt. Cùm igitur copiosum fuerit quod secretum est, id quidem, quod sanum est, superat, ita vt totum corpus concalescat, & vehementem febrem inferat. Sanguine enim calefacto & attracto, ea, quæ in corpore insunt, celerem ambitum faciunt, & tum reliquum corpus à spiritu purgatur, tum quod coaluit, calefactum attenuatur, simulq; ex carne in cutem foras propellitur, idq; sudor calidus vocatur. Quo sanè excreto, tum sanguis ad naturalem constitutionem redit, tum febris remittit, & lassitudo sedatur, tertio præsertim die. Hanc autem lassitudinem hũc in modum curare oportet, fomentis & balneis calidis id quod coaluit dissoluendo, & violentis deambulationibus expurgando, ciborumq; paucitate & extenuatione carnis vacuationem cogendo, ac oleo leniter,

θερμαινόμεναι γὰρ αἱ σάρκες καὶ ξηραινόμεναι, ἕλκουσιν ἐφ' ἑωυτὰς τὴν τροφὴν διὰ τῶν φλεβῶν, εἶτα αὔξονται. ἀλίνδησις, παραπλήσια τῇ πάλῃ διαπρήσσεται. ξηραίνει δὲ μᾶλλον διὰ τὴν κόνιν καὶ σαρκοῖ ἧσσον. [76] ἀκροχειρίη ἰσχναίνει καὶ τὰς σάρκας ἕλκει ἄνω. καὶ κωρυκομαχίη καὶ χειρονομίη τὰ παραπλήσια διαπρήσσεται. [77] πνεύματος δὲ κατάσχεσις, τοὺς πόρους διαναγκάσαι, καὶ τὸ δέρμα λεπτῦναι, καὶ τὸ ὑγρὸν ὑπὸ τὸ δέρμα ἐξῶσαι δύναται. ἐν κόνει καὶ ἐλαίῳ γυμνάσια διαφέρει τοσόνδε. κόνις μὲν ψυχρόν· ἔλαιον δὲ θερμόν. ἐν μὲν τῷ χειμῶνι τὸ ἔλαιον, αὐξιμώτερον, διότι τὸ ψῦχος κωλύει φέρειν ἀπὸ τοῦ σώματος. ἐν δὲ τῷ θέρει, ἔλαιον ὑπερβολὴν θερμασίης πεποιημένον, τήκει τὴν σάρκα. ὁκόταν καὶ ὑπὸ τῆς ὥρης θερμαίνηται, καὶ τοῦ ἐλαίου καὶ τοῦ πόνου. [78] ἡ δὲ κόνις ἐν τῷ θέρει αὐξιμώτερος· ψύχουσα γὰρ τὸ σῶμα, οὐκ ἐᾷ εἰς ὑπερβολὴν θερμαίνεσθαι. ἐν δὲ τῷ χειμῶνι, διαψυκτικὸν καὶ κρυμνῶδες. διατρίβειν δὲ ἐν τῇ κόνει μετὰ τοὺς πόνους ἐν τῷ θέρει, ὀλίγον μὲν χρόνον, ὠφελεῖ ψύχουσα· πολὺν δὲ ὑπερξηραίνει, καὶ τὰ σώματα σκληρὰ καὶ ξυλώδεα ἀποδείκνυσι. τρῖψις ἐλαίου σὺν ὕδατι μαλάσσει, καὶ οὐ δεινῶς ἐᾷ διαθερμαίνεσθαι. περὶ δὲ κόπων τῶν ἐν τοῖσι σώμασιν ἐγγινομένων, ὧδε ἔχει. οἱ μὲν ἀγύμναστοι τῶν ἀνθρώπων, ἀπὸ παντὸς κοπιῶσι πόνου. οὐδὲν γὰρ τοῦ σώματος διαπεπόνηται πρὸς οὐδένα πόνον. τὰ δὲ γεγυμνασμένα τῶν σωμάτων, ὑπὸ τῶν αἰηθέων πόνων κοπιᾷ. τὰ δὲ, καὶ ἀπὸ τῶν συνήθων γυμνασίων κοπιᾷ, ὑπερβολῇ χρησάμενα. τὰ μὲν οὖν εἴδεα τῶν κόπων, τοιαῦτά ἐστιν. ἡ δὲ δύναμις αὐτέων ὧδε ἔχει. οἱ μὲν γὰρ ἀγύμναστοι ὑγρὴν τὴν σάρκα ἔχοντες, ὁκόταν πονῶσι θερμαινομένου τοῦ σώματος, σύντηξιν πολλὴν ἀφιᾶσιν. ὅ,τι μὲν οὖν συνεξιδρώσῃ, ἢ ξὺν τῷ σώματι ἀποκαθαρθῇ, οὐ παρέχει πόνον μᾶλλον ἐν τῷ κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος. ὅ,τι δ' ἂν ἐμμείνῃ τῆς ἀποκρίσιος, [79] τοῦτο παρέχει τὸν πόνον, ἀλλὰ καὶ τῷ δεξαμένῳ τὸ ὑγρόν. οὐ γάρ ἐστι ξύμφορον τῷ σώματι, ἀλλὰ πολέμιον. εἰς μὲν δὴ τὰς σάρκας τῶν σωμάτων, οὐ ξυνίσταται ὁμοίως, εἰς δὲ τὰ σαρκώδεα, ὥστε τουτέοις πόνον παρέχει, ἕως ἂν ἐξέλθῃ. [80] ἅτε δὴ οὐκ ἔχον περίοδον, ἀτρεμίζον θερμαίνεται αὐτό τε καὶ τὰ περιστέλλοντα. ἢν μὲν οὖν πολὺ γένηται τὸ ἀποκριθὲν, ἐκράτησε καὶ τοῦ ὑγιαίνοντος, ὥστε συνεκθερμαίνει ὅλον τὸ σῶμα, καὶ ἐνεποίησε πυρετὸν ἰσχυρόν. θερμανθέντος γὰρ τοῦ αἵματος καὶ ἐπισπασθέντος, [81] ταχείην ἐποίησε τὴν περίοδον τὰ ἐν τῷ σώματι. καὶ τό, τε ἄλλο σῶμα καθαίρεται ὑπὸ τοῦ πνεύματος. καὶ τὸ συνεστηκὸς θερμαινόμενον, λεπτύνεταί τε, καὶ συνεξωθέεται ἐκ τῆς σαρκὸς ἔξω ἐπὶ τὸ δέρμα, ὅπερ ἱδρὼς καλέεται θερμός. τούτου δ' ἀποκριθέντος, τό, τε αἷμα καθίσταται ἐς τὴν κατὰ φύσιν σύστασιν· καὶ ὁ πυρετὸς ἀνίησι, καὶ κόπος παύεται μάλιστα τριταῖος. χρὴ δὲ τὸν τοιοῦτον κόπον, ὧδε θεραπεύειν. πυρίῃσι καὶ λουτροῖσι θερμοῖσι διαλύοντα τὸ ξυνεστηκός. [82] καὶ περιπάτοισι βιαίοισιν ὡς ἀποκαθαίρωνται, σιτίοισιν ὀλιγοσιτίῃσι, καὶ ἰσχνασίῃσι, συνιστάναι τῆς σαρκὸς τὴν κένωσιν καὶ τρίβεσθαι τῷ ἐλαίῳ ἡσυχῇ πολλῷ

πουλὺν χρόνον, ὅκως μὴ βιαίως ἀναθερμαίνηται. καὶ τοῖσι χρίσμασι καὶ τοῖσιν ἱδρωτικοῖσι καὶ μαλακτικοῖσι χρέεσθαι, καὶ μαλακύνειν ξυμφέρει. τοῖσι δὲ γυμναζομένοισιν ὑπὸ τῶν ἀηθέων πόνων, διὰ τάδε γίνεται. ὁκόταν μὴ πεπονήκῃ τὸ σῶμα, ὑγρὴν ἀνάγκη τὴν σάρκα εἶναι πρὸς τοῦτον τὸν τόπον, πρὸς ὃν μὴ εἴθισται πονέειν. ὥσπερ καὶ τῶν γυμνασίων, πρὸς ἕκαστα. τὴν μὲν οὖν σάρκα, ξυντήκεσθαι ἀνάγκη καὶ ἀποκρίνεσθαι καὶ συνίστασθαι ὥσπερ τῷ προτέρῳ. ξυμφέρει δὲ θεραπεύεσθαι ὧδε. τοῖσι μὲν γυμνασίοισι χρῆσθαι τοῖσι συνήθεσιν, ὅκως τὸ ξυνεστηκὸς θερμαινόμενον λεπτύνηται καὶ ἀποκαθαίρηται, καὶ τὸ ἄλλο σῶμα μὴ ὑγραίνηται, μήτε ἀγύμναστον γίνηται. τοῖσι δὲ λουτροῖσι τοῖσι θερμοῖσι ξυμφέρει καὶ τούτῳ χρέεσθαι καὶ τῇ τρίψει ὁμοίως, ὡς καὶ τῷ πρόσθεν. τῆς δὲ πυριήσιος οὐδὲν δέεται. οἱ πόνοι γὰρ ἱκανοὶ θερμαίνοντες, λεπτύνειν καὶ ἀποκαθαίρειν τὸ συστάν. [83] οἱ δὲ ἀπὸ τῶν συνήθων γυμνασίων πόνοι, τόνδε τὸν τρόπον γίνονται. ἀπὸ μὲν συμμέτρου πόνου, κόπος οὐ κινέεται. ὁκόταν δὲ πλέων τοῦ καιροῦ πόνος ᾖ, ὑπερξηραίνει τὴν σάρκα. κενωθεῖσα δὲ τοῦ ὑγροῦ, θερμαίνεται, καὶ ἀλγέει, καὶ φρίσσει, καὶ ἐς πυρετὸν καθίσταται μακρότερον, ἢν μή τις ἐκθεραπεύσῃ ὀρθῶς. χρὴ δὲ πρῶτον μὲν αὐτῷ τῷ λουτρῷ, μὴ σφόδρα πολλῷ, μὴ δὲ θερμῷ ἄγαν λούεσθαι. εἶτα πίσας αὐτὸν ἐκ τοῦ λουτροῦ μαλακὸν οἶνον, δειπνεῖν ὡς πλεῖστα καὶ παντοδαπὰ σιτία, καὶ ποτῷ ὑδαρεῖ. οἴνῳ δὲ μαλακῷ χρέεσθαι πολλῷ. [84] εἶτ' ἐντρῖψαι χρόνῳ πλέω, μέχρις ἂν αἱ φλέβες πληρωθεῖσαι ἔρθωσιν. εἶτα δὴ ἐξεμεέτω. καὶ ἀναστάντα ὀλίγον, καθευδέτω μαλακῶς. εἶτα προσαγέτω ἡσυχῇ, τοῖσι σιτίοισι καὶ τοῖσι πόνοισι τοῖσι συνήθεσιν ἡμέρας ἕξ, ἐν ταύτῃσι δὲ καταστῆσαι ἐς τὸ σύνηθες καὶ σίτου καὶ ποτοῦ. δύναμιν δὲ ἔχει ἡ θεραπείη, τοιήνδε. ἐξηρασμένον τὸ σῶμα ἐς ὑπερβολὴν, ἐξυγραίνεσθαι δύναται ἄτερ ὑπερβολῆς. ἢν μὲν οὖν ᾖ δυνατὸν [85] τὴν ὑπερβολὴν τοῦ πόνου γνῶναι ὁκόση τίς ἐστι τοῦ σίτου τῇ συμμετρίῃ ἀκέσασθαι, εὖ ἂν εἶχε τοῦτο. νῦν δὲ τὸ μὲν ἀδύνατον. τὸ δὲ ῥᾴδιον. ἐξηρασμένον γὰρ τὸ σῶμα τῶν ἐμπεσόντων παντοδαπῶν, ἀφ' ὧν λαμβάνει τὸ ξυμφέρον αὐτὸ ἐν ἑωυτῷ, ἕκαστον τοῦ σώματος ἑκάστου σίτου. πληρωθὲν δὲ καὶ ὑγρανθὲν κενωθείσης τῆς κοιλίης ὑπὸ τοῦ ἐμέτου, ἀφίησι πάλιν τὴν ὑπερβολήν. ἡ δὲ κοιλίη κενὴ ἐοῦσα ἀντισπᾷ. τὸ μὲν οὖν ὑπερβάλλον ὑγρὸν, ἐξερεύγεται ἡ σὰρξ. τὸ δὲ σύμμετρον, οὐκ ἀφίησιν, ἢν μὴ διὰ βίης, ἢ πόνων, ἢ φαρμάκων, ἢ ἄλλης τινὸς ἀντισπάσιος. τῇ δὲ προσαγωγῇ χρησάμενος, καταστήσει τῷ σώματι τὴν δίαιταν ἡσυχῇ.

ne vehementer recalescat, cōfricando. Vnguentis etiam tum sudorem elicientibus, tum emollientibus inungere ac emollire confert. His verò qui exercētur, à minimè cōsuetis laboribus iccirco lassitudo contingit, quòd cùm corpus laboribus se non exercuerit, ea parte qua laborare non consueuit, carnem humidam esse necesse est, velut ad singulas exercitationes. Carnem igitur colliquefieri & secerni, ac in sese cogi, velut in priore necesse est. Hæc autem curatio confert. Exercitationibus quidem assuetis vtendum, vti quod exiit calefactum tenuetur ac detrahatur, reliquumq; corpus minimè humectetur, neque sine exercitationibus esse contingat. Huic autem conducit, vt balneis calidis ac frictione, non secus ac prior, vtatur. Fomentis autem nihil opus est, cùm labores calefaciendo, ad id quod coactum est tenuandum & detrahendum satis esse possint. At verò ex vsitatis exercitationibus labores hoc modo contingunt. Ex moderato quidem labore nulla oritur lassitudo. Cùm verò maior quàm par sit fuerit, carnem supra modum exiccat, eàque humore vacuata, incalescit, dolet, horrore cōcutitur, ac nisi quis rectam curationem adhibeat, ad diuturnam febrem deuenit. Imprimis quidem balneo neque admodum multo, neq; nimis calido vtendum, deinde à balneo epoto molli vino, in cœna quamplurima & cuiuscunque generis edulia offerenda, & potu aquoso, vino autem molli ac copioso vtendum. Postea diutius confricandum, dum venæ oppletæ turgescant. Mox vomendum, & post modicam stationem, molliter dormiendum. Postea per dies sex sensim ad cibos & potiones consuetas redeundum, & in his ad consuetum tum cibum, tum potum deueniendum. Quæ curatio hanc habet facultatem, vt supra modum resiccatum corpus, citra excessum humectare queat. Quòd si quis laboris exuperantia mentis intelligentia comprehensa, huic quantacunque foret cibi commoderatione mederi posset, id bene haberet. Nunc verò vt illud fieri nequit, ita hoc facile. Resiccatum nanque corpus, à cuiusuis generis ingestis, sibi quod confert assumit, & vnaquæque corporis pars de singulis cibis, repletum verò & humectatum, vacuato per vomitionem ventriculo, rursus id quod exundat dimittit. Ventriculus autem cùm vacuus existat, vicissim attrahit. Exuperantem igitur humiditatem caro effundit, commoderatam verò, non nisi per vim, aut labores, aut medicamēta, aut aliud quoddam reuulsionis genus dimittit. Qui verò cibi paulatim adiectione vtetur, is corpori leniter pristinam victus rationem restituet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΔΙΑΙΤΗΤΙΚΟΣ ΤΡΙΤΟΣ.

HIPPOCRATIS DE VICTVS RATIONE, LIB. III.

AT de victus humani ratione, ita vt ad ciborum copiam laborũ commoderatio adhibeatur, exactè quis ſcribere non poteſt, quemadmodum etiam antea à me dictum eſt. Multa enim ſunt quæ prohibẽt. Primùm quidem differentes inter ſe hominum naturæ. Nam & quæ ſiccæ ſunt, ipſæ inter ſe inuicem, & cum cæteris collatæ, magis & minùs ſiccæ ſunt. & humidæ, ad eundemque modum de reliquis omnibus dicendum. Deinde etiam ætates, quæ iiſdem minimè indigent. Ad hæc verò & regionum poſitiones, ventorumq; mutationes, & tempeſtatum transmutationes, annique conditiones. Quin & inter cibos ipſos magna eſt differentia. Triticum enim à tritico, & vinum à vino differt, reliquaque omnia ex quibus victum trahimus, cùm diuerſa exiſtant, impediunt quò minus quis ea de re exactè ſcribere poſſit. Sed enim inuẽtæ à me ſunt eorum quæ in corpore ſuperant prænotiones, ſiue labores cibos, ſiue cibi labores ſuperẽt, & quanam ratione ſingulis mederi oporteat, tum etiam ſanis proſpicere, vti ne in morbos incidant. niſi quis valde multum ac ſæpe delinquat. Quæ ſane ipſa medicamentis iã indigent, etſi ſunt quædam quæ neq; medicamentis ſanari poſſunt. Quoad igitur fieri potuit, inuenta ſunt à nobis quæ quam maximè ad rem facerent, exactè verò à nemine. Primum quidem igitur pleriſque vulgo ſcribam, ex quibus maximam vtilitatem capiant, qui cibis quibuſlibet & laboribus neceſſariis, coactiſque profectionibus vtuntur, tum qui maritimis negotiationibus ad victum parandum repertis diſtinentur, ſi plus iuſtò incaleſcant, & magis quàm expediat refrigerentur, reliquaque victus ratione inſtabili vtantur. His ſanè præſens victus ratio conducit. Annum quidem plerique in quatuor partes omnibus fere notas diuidunt, hyemem, ver, æſtatem, & autumnum. Ac hyemem quidem a Vergiliarum occaſu, ad Æquinoctium vernum. Ver autem ab Æquinoctio, ad Vergiliarum exortum. Æſtatem à Vergiliarum ortu, ad Arcturi exortum. Autumnum verò ab Arcturo, ad Vergiliarum occaſum. Per hyemem igitur, vt anni tempori frigido & conſtricto te opponas, hac victus ratione vti conuenit. Plurimùm quidem ſemel tantùm cibus ſumendus, niſi quis aluum valde ſiccam habeat. Sin minus, parum prandendum. Cibis autem vtendum ſiccis, auſteris, calefacientibus, ex toto collatis & meracis. Pane quoque magis, & obſoniis aſſis potiùs quàm elixis vtendum. Potionibus item nigris, meracioribus, ac paucioribus. Oleribus autem quàm minimùm, præter quàm calefacientibus & ſiccis. Succis etiam ac ſorbitionibus quàm minimùm. Laboribus autem plurimis omnibus, curſibusque flexis, ſenſim acceſſione facta,

Περὶ δὲ διαίτης ἀνθρωπίνης ὥσπερ μοι καὶ πρότερον εἴρεαται, ξυγγράψαι μὲν οὐχ οἷόν τε ἐς ἀκριβείην, ὥστε πρὸς τὸ πλῆθος τοῦ σίτου, τὴν συμμετρίην ποιέεσθαι τῶν πόνων. πουλλὰ γὰρ τὰ κωλύοντα. πρῶτον μὲν αἱ φύσιες τῶν ἀνθρώπων, διάφοροι ἐοῦσαι. καὶ γὰρ αἱ ξηραὶ αὐταὶ ἑωυτῶν πρὸς ἑωυτὰς, καὶ πρὸς ἄλλας μᾶλλον καὶ ἧσσον, ξηραὶ καὶ ὑγραί. ὡσαύτως καὶ αἱ ἄλλαι πᾶσαι. ἔπειτα, καὶ αἱ ἡλικίαι, μὴ τῶν αὐτῶν δεόμεναι. ἔτι δὲ καὶ τῶν χωρίων αἱ θέσιες. καὶ τῶν πνευμάτων αἱ μεταβολαί. τῶν τε ὡρέων αἱ μεταστάσιες. καὶ τοῦ ἐνιαυτοῦ αἱ καταστάσιες. αὐτῶν τε τῶν σίτων, πολλὴ διαφορή. πυροί τε γὰρ, πυρῶν καὶ οἶνος, οἴνου. καὶ τἆλλα ὅσα διαιτεόμεθα πάντα διάφορα ἐόντα, ἀποκωλύει δυνατὸν εἶναι ἐς ἀκριβείην ξυγγραφῆναι. ἀλλὰ γὰρ αἱ προγνώσιες ἐξευρημέναι ἔμοιγε τῶν ἐπικρατεόντων ἐν τῷ σώματι, ἤν τε οἱ πόνοι κρατέωσι τῶν σιτίων, ἤν τε τὰ σιτία τῶν πόνων, καὶ ὡς χρὴ ἕκαστα ἐξακέεσθαι. προκαταμανθάνειν τε ὑγιείας τὰς φύσιας, μὴ προσπελάζειν τε τὰς νούσους, εἰ μή τις μεγάλα πάνυ ἐξαμαρτάνοι, καὶ πολλάκις. ταῦτα δὲ φαρμάκων δέεται ἤδη. ἔστι δ᾽ ἅσσα οὐδ᾽ ὑπὸ τῶν φαρμάκων δύναται ὑγιάζεσθαι. ὡς μὲν οὖν δυνατὸν εὑρεθῆναι ἔγγιστα τοῦ ὅρου, ἐμοὶ εὕρηται· τὸ δὲ ἀκριβὲς, οὐδενί. πρῶτον μὲν οὖν τοῖσι πολλοῖσι τῶν ἀνθρώπων συγγράψω, ἐξ ὧν μάλιστα ἂν ὠφελοῖντο. οἵτινες σιτίοισι προστυχοῦσι χρέονται. πόνοισί τε τοῖσιν ἀναγκαίοισιν, ὁδοιπορίῃσί τε τῇσι πρὸς ἀνάγκην, θαλασσουργίῃσί τε τῇσι πρὸς τὴν συλλογὴν εὑρεσίῃσι τοῦ βίου. θαλπόμενοί τε, παρὰ τὸ σύμφορον. ψυχόμενοί τε, παρὰ τὸ ὠφέλιμον, τῇ τε ἄλλῃ διαίτῃ ἀκαταστάτῳ χρεόμενοι. τούτοισι δὴ ξυμφέρει, ἐκ τῶν ὑπαρχόντων ὧδε διαιτᾶσθαι. Τὸν μὲν ἐνιαυτὸν ἐς τέσσαρα μέρεα διαιρέουσιν ἅπερ μάλιστα γινώσκουσιν οἱ πολλοί. χειμῶνα. ἦρ. θέρος. φθινόπωρον. καὶ χειμῶνα μὲν ἀπὸ πλειάδων δύσιος, ἄχρις ἰσημερίης ἠαρινῆς. ἔαρ δὲ, ἀπὸ ἰσημερίης μέχρι πλειάδων ἐπιτολῆς. θέρος, ἀπὸ πλειάδων μέχρι ἀρκτούρου ἐπιτολῆς. φθινόπωρον δὲ, ἀπὸ ἀρκτούρου μέχρι πλειάδων δύσιος. ἐν μὲν οὖν τῷ χειμῶνι ξυμφέρει πρὸς τὴν ὥρην, ψυχρήν τε καὶ ξυνεστηκυῖαν ὑπεναντιούμενον τοῖσι διαιτήμασιν, ὧδε χρέεσθαι. πρῶτον μὲν μονοσιτίῃ χρὴ διάγειν, ἢν μὴ πάνυ ξηρὴν τις τὴν κοιλίην ἔχῃ· εἰ δὲ μή, μικρὸν ἀρίστῳ. τοῖσι δὲ διαιτήμασι χρέεσθαι, τοῖσι ξηροῖσι καὶ αὐστηροῖσι. καὶ θερμαντικοῖσι καὶ συγκεκριμένοισι, καὶ ἀκρήτοισιν. ἀρτοσιτέειν δὲ μᾶλλον, καὶ τοῖσιν ὀπτοῖσι τῶν ὄψων μᾶλλον, ἢ τοῖσιν ἑφθοῖσι χρέεσθαι. καὶ τοῖσι πόμασι μέλασιν ἀκρητεστέροισι, καὶ ἐλάσσοσι. λαχάνοισιν δὲ ὡς ἥκιστα, πλὴν τοῖσι θερμαντικοῖσι καὶ ξηροῖσι. καὶ χυλοῖσι καὶ ῥοφήμασι ὡς ἥκιστα. τοῖσι δὲ πόνοισι πουλλοῖσιν ἅπασι, τοῖσί τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου προσάγοντα,

καὶ

καὶ τῇ πάλῃ ἐν ἐλαίῳ, μακρῇ, ἀπὸ κούφων προσαναγκάζοντα. τοῖσι μὲν περιπάτοισιν ἀπὸ τῶν γυμνασίων, ὀξέσιν. ἀπὸ δὲ τοῦ δείπνου, βραδέσιν ἐν ἀλέῃ. ὀρθρίοισί τε πολλοῖσιν ἐξ ὀλίγου ἀρχόμενον, προσάγοντα σφοδρόν. ἀποπαύοντά τε ἡσυχῇ, καὶ σκληροκοιτίῃσι, καὶ νυκτοβατίῃσι, καὶ κονιοβατίῃσι, καὶ κυνοδρομίῃσι χρέεσθαι συμφέρει. πάντα γὰρ ταῦτα, ἰσχναίνει καὶ θερμαίνει. χρέεσθαί τε πλείω. ὁκόταν δὲ ἐθέλῃ λούσασθαι, ἢν μὲν ἐκπονήσῃ ἐν παλαίστρῃ, ψυχρὸν λουέσθω. ἢν δὲ ἄλλῳ τινὶ πόνῳ χρήσηται, τὸ θερμὸν ξυμφορώτερον. χρέεσθαι δὲ καὶ τοῖσιν ἐμέτοισι. τοὺς μὲν ὑγροτέρους, τρὶς τοῦ μηνός. τοὺς δὲ ξηροτέρους, δὶς ἀπὸ σιτίων παντοδαπῶν. ἐκ δὲ τῶν ἐμέτων, προσάγειν ἡσυχῇ πρὸς τὸ εἰθισμένον σιτίον, ἐς ἡμέρας τρεῖς. καὶ τοῖσι πόνοισι χρῆσθαι κουφοτέροισι καὶ ἐλάσσοσι, τοῦτον τὸν χρόνον. ἀπὸ δὲ βοείων καὶ χοιρείων κρεῶν ἢ τῶν ἄλλων ὅ,τι ἂν ὑπερβάλλῃ πλησσόμενον, ἐμέειν. [10] καὶ ἀπὸ πυρωδέων καὶ γλυκέων καὶ λιπαρῶν ἀηθέων πλησμονῆς, ἐμέειν συμφέρει. καὶ ἀπὸ μέθης, καὶ σίτων μεταβολῆς. καὶ χωρίων μεταλλαγῆς, ἐμέειν. διδόναι δὲ καὶ τῷ ψύχει, καταφέρειν ἑωυτὸν, πλὴν ἀπὸ τῶν σιτίων καὶ γυμνασίων. ἀλλ' ἔν τε τοῖσιν ὀρθρίοισι περιπάτοισιν, ὁκόταν ἄρξηται τὸ σῶμα διαθερμαίνεσθαι, καὶ τοῖσι δρόμοισι, καὶ ἐν τῷ ἄλλῳ χρόνῳ ὑπερβολὴν φυλασσόμενος. ἀγαθὸν γὰρ τῷ σώματι χειμάζεσθαι ἢ γυμνάζεσθαι ἐν τῇ ὥρῃ. οὐδὲ γὰρ τὰ δένδρα μὴ χειμασθέντα ἐν τῇ ὥρῃ δύναται καρπὸν φέρειν, οὐδ' αὐτὰ ἐρρῶσθαι. χρέεσθαι δὲ καὶ τοῖσι πόνοισι πολλοῖσι ταύτην τὴν ὥρην ἐς ὑπερβολὴν, ἢν μὴ οἱ κόποι ἐγγίνωνται. τοῦτο τεκμήριον διδάσκω τοὺς ἰδιώτας. διότι τάδε οὕτως ἔχει, φράσω. τῆς ὥρης ἐούσης ψυχρῆς καὶ συνεστηκυίης, παραπλήσια πέπονθε καὶ τὰ ζῶα. βραδέως οὖν ἀνάγκη διαθερμαίνεσθαι τὰ σώματα ὑπὸ τοῦ πόνου. καὶ τοῦ ὑγροῦ μικρόν τι μέρος ἀποκρίνεσθαι τοῦ ὑπάρχοντος. εἶτα τοῦ χρόνου ὅν τινα μὲν πονέει, ἀποδίδοται ὀλίγος. ὅν τινα δὲ ἀναπαύεται, πουλύς. ἡ μὲν γὰρ ἡμέρη, βραχείη ἡ δὲ νὺξ, μακρή. διὰ ταῦτα οὖν οὐκ ἔχει ὑπερβολὴν ὁ χρόνος καὶ ὁ πόνος. χρὴ οὖν διὰ ταῦτα τὴν ὥρην ταύτην οὕτω διαιτᾶσθαι. ἀπὸ πλειάδων δύσιος μέχρις ἡλίου τροπῶν, [11] ἡμέρας τεσσαράκοντα τέσσαρας. περὶ δὲ τὰς τροπὰς, ἐν φυλακῇ ὅτι μάλιστα εἶναι. καὶ ἀπὸ τροπῆς ἡλίου, ἄλλας τοσαύτας ἡμέρας, τῇ αὐτῇ διαίτῃ χρέεσθαι. [12] ἐπὴν δὲ ὥρη ἐπαναγάγῃ τὸν ζέφυρον καὶ μαλακωτέρη γένηται, δεῖ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἕπεσθαι, ἡμέρας πεντεκαίδεκα, ὅτε ἡ ἀρκτοῦρος ἐπιτολὴ καὶ χελιδὼν ἤδη φέρεται. τὸν ἐχόμενον δὲ χρόνον, ποικιλώτερον ἤδη διάγειν μέχρις ἰσημερίης, ἡμέρας τριάκοντα δύο. χρὴ οὖν καὶ τοῖσι διαιτήμασι, χρέεσθαι τῇ ὥρῃ, διαποικίλλοντα [13] φαυλοτέροισι καὶ κουφοτέροισι. τοῖσί τε σιτίοισι, καὶ τοῖσι ποτοῖσι, καὶ πόνοισι προσάγοντα ἡσυχῇ πρὸς τὸ ἔαρ. ὁκόταν δὲ ἰσημερίη γένηται ἤδη μαλακωτέρη, καὶ αἱ ἡμέραι μὲν μακρότεραι. αἱ νύκτες δὲ, βραχύτεραι. [14] καὶ ἡ ὥρη θερμή τε καὶ ξηρὴ καθιστῇ, καὶ ἡ παρεοῦσα τρόφιμός τε καὶ ἄκρητος. δεῖ οὖν ὥσπερ τὰ δένδρεα παρασκευάζονται ἐν ταύτῃ τῇ ὥρῃ, αὐτοῖσιν ὠφελείην ἐς τὸ θέρος, οὐκ ἔχοντα γνώμην, αὔξησίν τε καὶ σκιὴν, οὕτω καὶ τὸν ἄνθρωπον. ἐπεὶ γὰρ γνώμην ἔχει, τῆς σαρκὸς τὴν αὔξησιν δεῖ ὑγιηρὴν αὐτὴν παρασκευάζειν.

& lucta cum oleo, à leuioribus adurgendo. Et deambulationibus quidem post exercitationes celeribus, à cœna verò tardis, in loco tepido. Matutinis etiã multis, ex leui initio, vehementer progrediendo, & leniter desinendo. Duro et cubili, & nocturnis itineribus vti, tum etiam per puluerem ingredi ac currere confert. Hæc enim omnia extenuant & calefaciunt, iisq; plurimis vtendum. Cùm verò quis lauari volet, si quidem in palæstra laborauerit, frigida lauetur. Quòd si alio quopiam labore vsus fuerit, calida magis confert. Vomitionibus autem post cibos cuiusuis generis, humidiores ter in mense vtantur, sicciores verò bis. A vomitionibus sensim per tres dies ad consuetum cibum deducẽdum, & sub id tempus leuioribus & paucioribus laboribus vtendum. A bubula & porcina carne, aut à quibusuis aliis, quis supra modum repletus vomat. Quinetiam ex caseosorum, & dulcium, & pinguiũ minimè consuetorũ repletione vomere confert. Post ebrietatem quoq;, & ciborum mutationem, locorumque transmutationem vomendum. Parum autem se frigori exponere oportet, præterquàm post cibos & exercitationes. Sed in deambulationibus matutinis, cùm corpus incalescere cœperit, & in cursibus, reliquoq; quouis tempore, exuperantia vitanda est. Hac enim tempestate corpori frigus sentire, quàm exerceri magis confert. Neq; enim arbores quæ hoc tempore frigora non senserunt, fructum ferre aut satis valere possunt. Hac quoq; tempestate laboribus etiam multis vtendũ, dum lassitudines minimè contingant. Cuius rei istud dabo plebeiis argumentum, curque hæc ita se habeant aperiam. Cùm hoc anni tempus frigidum & constrictum existat, similia etiam animalibus contingere solent. Corpora igitur lentè ex labore incalescere, & humidi quod inest paruã quandam portionem excerni necesse est. Deinde labori quidem temporis parum concessum est, quieti verò multum, cùm dies quidem breuis sit, nox autem longa. Ideoq; neque tempus, neque labor modum excedunt. Eam igitur ob causam hoc anni tempore, ista victus ratio instituenda est, à Vergiliarum occasu ad Solstitium vsque, diebus quadraginta quatuor. At circa solstitium, quàm maxima fieri potest custodia vtendum, & à solstitio, aliis totidem diebus, eadem victus ratio vsurpanda. Vbi autem tempestas fauonium reduxerit, & mollior extiterit, victus rationem tempestati accommodare conuenit, diebus quindecim, ad Arcturi exortum, & hirundinis aduentum. Quod verò sequitur tempus, variè magis transigere oportet, ad Æquinoctium vsq;, diebus duobus & triginta. Victus igitur ratione ad anni temporis varietatem accõmodata, molliore & leuiore vtendum, in cibis, potibus & laboribus, sensim ad ver adducendo. Cùm autem Æquinoctium iam mollius euaserit, diesque longiores, & noctes breuiores, anniq; tempus ad calidum & siccum peruenerit, præsens etiam victus probè nutriens ac meracus esto. Quemadmodum igitur arbores, cùm ratione careant, hac tempestate sibi comparant ad æstatis commoditatem, tum incrementum, tum vmbram; ita homo, cùm mente sit prædictus, carnis incrementum salubre sibi comparare debet.

Ne igitur victus ratio derepentè immutetur, tempus in sex partes, per octo dies diuidendum. In prima itaq; parte de laboribus detrahendum, reliquisque acutioribus vtendum. Cibi quoquè molliores exhibendi, & potiones aquosiores ac calidiores, & lucta cum oleo in sole vtendum. In singulis autem anni temporibus, vnaquæq; victus ratio paulatim transmutanda, & deambulationes à cœna plures detrahendæ, matutinæ verò pauciores. Maza quoq; panis loco apponenda, & olera cocta exhibenda, opsoniaq; elixa assis adæquanda. Balneis etiam vtendum, paruo prandio, & rebus venereis paucis. Vomitiones quoq; primùm quidem duobus interpositis diebus, deinde longiore interiecto tempore, faciendę, quò & corpus ad purã carnem reducas, & victus rationem hoc tempore mollem instituas, ad Vergiliarum exortum. Tunc iam adest æstas, ad quam victus rationẽ accommodare oportet. Vbi ergo Vergiliæ iam exortæ sunt, cibis mollioribus & paucioribus vtendum, deinde plus maza, quàm pane, eáq; priùs subacta, & minimè intrita. Potibus autem mollibus, albis, aquosis, prandio modico, & somnis à prandio breuibus, & ciborum ac potionum repletionibus quàm minimis. In cibo potu quãtum satis est vtendum. Interdiu verò quàm minimùm bibendum, nisi necessaria aliqua siccitate corpus detineatur. Oleribus coctis vtendum, æstuosis & siccantibus exceptis. Crudis quoq; vtendum, calefacientibus & siccantibus exceptis. Ac vomitionibus, nisi si qua repletio insit, minimè vtendum, rebusque venereis, omnium minimè. Balneis verò tepidis vti licet. Poma verò cùm pro natura humana valẽtiora sint, ab his abstinere pręstat. Quòd si quis cùm cibis vtatur, minimè deliquerit. Laboribus etiam & cursibus exerceri conuenit, iisq; ad carceres redeuntibus modicis, multo tẽpore, & deambulationibus in vmbra. Lucta verò in puluere, quò minimùm incalescat. Nam volutatio in puluere cursib. præstat, qui corpus humidum vacuando desiccant. A cœna minimè deambulandum, sed tantùm standum. Mane verò deambulationibus, vtẽdum. Soles vitandi & frigora tum matutina, tum vespertina, quæcunq; à fluminibus, aut stagnis, aut niuibus spirant. In hac autem victus ratione ad solstitium æstiuum vsq; perseuerandum, vti hoc tempore sicca omnia, & calida, ac nigra, & meraca, ac panes detrahas, nisi si paulum quid voluptatis gratia exhibeas. Tẽpore verò quod postea sequitur, cibis vtatur mollibus & humidis, refrigerantibus & albis, ad Arcturi exortum & Æquinoctium, diebus nonaginta tribus. Post Æquinoctium autem hoc modo victus rationem instituere oportet, per autumnum ad hyemem accedẽdo, ita vt frigorum ac teporis mutationes vestitu crasso deuites. Hoc verò tempore priùs in veste motu vtendum, frictioneq; & lucta cum oleo, sensim adiiciẽdo, & loco tepido deambulandum, calidaque lauandum, & somni diurni detrahendi. Cibi etiam assumẽdi calidiores, minùs humidi, & puri, potus verò nigriores, molles tamen & non aquosi, olera autem minùs,

χρὴ οὖν, ὡς μὴ ἐξαπίνης τὴν δίαιταν μεταβάλλειν, διελεῖν τὸν χρόνον ἐς μέρεα ἕξ, κατ' ὀκτὼ ἡμέρας. ἐν γοῦν τῇ πρώτῃ μοίρῃ χρὴ τῶν τε πόνων ἀφαιρέειν, καὶ τοῖσι λοιποῖσι ὀξυτέροισι χρέεσθαι. τοῖσι δὲ σιτίοισι, μαλακωτέροισί τε, καὶ πόμασιν ὑδαρεστέροισι, καὶ λευκοτέροισι. καὶ τῇ πάλῃ σὺν ἐλαίῳ ἐν τῷ ἡλίῳ χρέεσθαι. ἐν ἑκάστῃ δὲ τῇ ὥρῃ, ἕκαστα τῶν διαιτημάτων μεθιστάναι κατὰ μικρόν. καὶ τῶν περιπάτων ἀφαιρέειν, τῶν ἀπὸ τοῦ δείπνου, τοὺς πλείους. τῶν δὲ ὀρθρείων, ἐλάττους. καὶ τῆς μάζης ἀντὶ τῶν ἄρτων προστίθεσθαι. καὶ τῶν λαχάνων τῶν ἑψάνων προσάγειν. καὶ τὰ ὄψα ἀνισάζειν τὰ ἑφθὰ τοῖσιν ὀπτοῖσι. λουτροῖσί τε χρέεσθαι καὶ ἐναριστῆν μικρόν, ἀφροδισίοισί τε ἐλάττοσι, καὶ τοῖσιν ἐμέτοισι. τὸ μὲν πρῶτον ἐκ τῶν δύο ποιέεσθαι. εἶτα διὰ πλείονος χρόνου. ὅκως ἂν καταστήσῃ τι τὸ σῶμα σεσαρκωμένον καθαρῇ σαρκί. καὶ τὴν δίαιταν μαλακὴν ἐν τουτέῳ τῷ χρόνῳ, μέχρι πλειάδων ἐπιτολῆς. Ἐν τούτῳ, ἤδη θέρος, καὶ τὴν δίαιταν ἤδη χρὴ πρὸς τοῦτο ποιέεσθαι. χρὴ οὖν ἐπειδὰν πλειὰς ἐπιτείλῃ, τοῖσί τε σιτίοισι μαλακωτέροισι καὶ ἐλάττοσι χρέεσθαι. εἶτα τῇ μάζῃ πλέον, ἢ τῷ ἄρτῳ. ταύτῃ δὲ προφυρητῇ ἀτριπτοτέρῃ. τοῖσι δὲ πόμασι μαλακοῖσι. λευκοῖσιν. ὑδαρέσιν. ἀρίστῳ δὲ, ὀλίγῳ. καὶ ὕπνοισιν ἀπὸ τοῦ ἀρίστου, βραχέσι. καὶ πλησμονῇσιν ὡς ἥκιστα, τῶν σιτίων τε καὶ ποτῶν. ἱκανῶς ἐπὶ τῷ σίτῳ χρέεσθαι. δι' ἡμέρης δὲ ὡς ἥκιστα πίνειν, ἢν μὴ ἀνάγκῃ τινὶ ξηρασίῃ τὸ σῶμα χρήσηται. χρέεσθαι δὲ τοῖσι λαχάνοισι τοῖσιν ἑφθοῖσι, πλὴν τῶν καυσωδέων καὶ ξηρῶν. χρέεσθαι δὲ καὶ τοῖσιν ὠμοῖσι, πλὴν τῶν θερμαντικῶν καὶ ξηρῶν. ἐμέτοισι δὲ, ἢν μή τις πλησμονὴ ἐγγένηται, μὴ χρέεσθαι. τοῖσι δὲ ἀφροδισίοισιν, ὡς ἥκιστα. λουτροῖσι δὲ, χλιεροῖσι χρέεσθαι. Ἡ δὲ ὀπώρη, ἰσχυροτέρη τῆς ἀνθρωπίνης φύσιος. βέλτιον οὖν, ὀπωρῶν ἀπέχεσθαι. εἰ δὲ χρῷτό τις, μετὰ τῶν σιτίων χρεόμενος, [16] ἥκιστ' ἂν ἐξαμαρτάνοι. τοῖσί τε πόνοισι τοῖσί τε δρόμοισι, χρὴ γυμνάζεσθαι. καὶ διαύλοισιν ὀλίγοισι πολλῷ χρόνῳ. καὶ τοῖσι περιπάτοισιν ἐν σκιῇ. τῇ τε πάλῃ, ἐν κόνει, ὅκως ἥκιστα ἐκθερμαίνηται. ἡ γὰρ ἀλίνδησις βέλτιον, ἢ οἱ δρόμοι. [17] ψύχουσι γὰρ τὸ σῶμα, κενοῦντες τοῦ ὑγροῦ. ἀπό δείπνου τε μὴ περιπατέειν, ἀλλ' ἢ ὅσον ἐξαναστῆναι. πρωῒ δὲ χρέεσθαι τοῖσι περιπάτοισιν. ἡλίους δὲ φυλάσσειν καὶ τὰ ψύχεα, τά τε ἐν πρωῒ, καὶ τὰ ἐν τῇ ἑσπέρῃ, ὁκόσα ποταμοὶ ἢ λίμναι, ἢ χιόνες ἀποπνέουσι. ταύτῃ δὲ τῇ διαίτῃ προσανεχέτω, μέχρις ἡλίου τροπέων. ὅκως ἐν τουτέῳ τῷ χρόνῳ, ἀφαιρήσῃ πάντα, ὁκόσα ξηρὰ, καὶ θερμὰ, καὶ μέλανα, καὶ ἄκρητα, καὶ τοὺς ἄρτους, πλὴν εἴ τι μικρὸν ἡδονῆς παρέχειν εἵνεκα. τὸν ἐχόμενον δὲ χρόνον διαιτήσεται τοῖσι μαλακοῖσι, καὶ ὑγροῖσι, καὶ ψυκτικοῖσι, καὶ λευκοῖσι, μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης, ἡμέρας ἐνενήκοντα τρεῖς. Ἀπὸ δὲ ἰσημερίης, ὧδε χρὴ διαιτᾶσθαι, προσάγοντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ φυλασσόμενον τὰς μεταβολὰς τῶν ψυχέων, καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ. χρέεσθαι δὲ ἐν τουτέῳ τῷ χρόνῳ, ἐν ἱματίῳ προσχιτώσαντα τῇ τε τρίψει καὶ τῇ πάλῃ ἐν ἐλαίῳ ἡσυχῇ προσάγοντα. καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ. θερμολουσίῃ τε χρέεσθαι καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν, καὶ τοῖσι σιτίοισι θερμοτέροισι, καὶ ἧσσον ὑγροῖσι καὶ καθαροῖσι. καὶ τοῖσι πόμασι μελαντέροισι, μαλακοῖσι δὲ καὶ μὴ ὑδαρέσι. τοῖσί τε λαχάνοισιν ἧσσον.

ἧσσον

[18] τῇ τε ἄλλῃ διαίτῃ προσάγειν πάσῃ, τῶν θερινῶν ἀφαιρεῦντα, τοῖσι χειμερινοῖσι χρέεσθαι μὴ ἐς ἄκρον, ὅκως καταστήσῃ ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης, [19] ἐν ἡμέρῃσι δυοῖν δεούσαιν πεντήκοντα μέχρι πλειάδων δύσιος ἀπὸ ἰσημερίης. Ταῦτα μὲν παραινέω τῷ πλήθει τῶν ἀνθρώπων, ὁκόσοισιν ἐξ ἀνάγκης, εἰκῆ τὸν βίον διατελέειν ἐστί, [20] μηδὲ ὑπάρχει αὐτέοισι τῶν ἄλλων ἀμελήσασι τῆς ἑωυτῶν ὑγιείης ἐπιμελεῖσθαι. οἷσι δὲ τοῦτο παρεσκεύασται, καὶ διέγνωσται, ὅτι οὐδὲν ὄφελός ἐστιν, οὔτε χρημάτων, οὔτε σώματος, οὔτε τῶν ἄλλων οὐδενός, ἄτερ τῆς ὑγιείης, πρὸς τούτους ἐστί μοι δίαιτα ἐξευρημένη, ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνατῶν προσηγμένη. [21] Ταύτην μὲν οὖν προϊόντι τῷ λόγῳ δηλώσω. τόδε δὲ τὸ ἐξεύρημα, καλὸν μὲν ἐμοὶ τῷ εὑρόντι, ὠφέλιμον δὲ τοῖσι μαθοῦσιν. οὐδεὶς δέ κω τῶν προτέρων, οὐδὲ ἐπεχείρησε ξυνθεῖναι, ὃ πρὸς ἅπαντα τὰ ἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον. ἔστι δὲ προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, διάγνωσις δὲ τοῦ σώματος, τί πέπονθε. πότερον τὸ σιτίον κρατέει τοὺς πόνους, ἢ οἱ πόνοι τὰ σιτία. ἢ μετρίως ἔχει πρὸς ἄλληλα. ἀπὸ μὲν γὰρ τοῦ κρατέεσθαι ὁκότερον οὖν, νοῦσοι γίνονται. ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα, ὑγιείη πρόσεστιν. ἐπὶ ταῦτα δὴ τὰ εἴδεα ἐπέξειμι, καὶ δείξω ὁκοῖα γίνεται τοῖσιν ἀνθρώποισιν ὑγιαίνειν δοκέουσι, καὶ ἐσθίουσι τε ἡδέως, πονέειν τε δυναμένοισι, καὶ σώματος καὶ χρώματος ἱκανῶς ἔχουσιν. αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς, ἐμπλήσσονται ἀπὸ τοῦ δείπνου. καὶ δοκέουσι μὲν πλήρεες εἶναι. μύσσονται δ' οὐδέν. ὁκόταν δὲ περιπατεῖν ἄρξωνται τοῦ ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι. καὶ προϊόντος τοῦ χρόνου, καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι. καὶ τὸ μέτωπον ξυσμὴ λαμβάνει. τῶν τε σιτίων ἀπέχονται. καὶ πίνειν ἧσσον δύνανται. ἀχροίη τε τουτέοισιν ἢ χροιὴ γίνεται. [22] καὶ ἢ κατάρροοι κινέονται, ἢ πυρετοὶ φρικώδεες, καθ' ὅ,τι ἂν τύχῃ τοῦ χρόνου ἡ πλησμονὴ κινηθεῖσα. ὅ,τι δ' ἂν τύχῃ ποιήσας κατὰ τοῦτον τὸν καιρόν, τοῦτο αἰτιῆται, οὐκ αἴτιον ἐόν. τουτέω γὰρ κρατεῦντα τὰ σιτία τοὺς πόνους, [23] κατὰ μικρὸν ξυλλεγομένη ἡ πλησμονή, ἐς νοῦσον ἤγαγεν. ἀλλ' οὐ χρὴ περιέεσθαι μέχρι τούτου, ἀλλ' ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅ,τι κρατέει τὰ σιτία τοὺς πόνους κατὰ μικρὸν ξυλλεγόμενα, πλησμονή ἐστι. μύξαι γὰρ καὶ σίαλα, πλησμονῆς ἐστι κρίσις. ἀτρεμίζοντος μὲν δὴ τοῦ σώματος, φράσσουσι τοὺς πόρους τοῦ πνεύματος, πολλῆς ἐνεούσης τῆς πλησμονῆς. θερμαινόμενον δὲ ὑπὸ τοῦ πόνου, ἀποκρίνεται λεπτυνόμενον. χρὴ δὲ τὸν τοιοῦτον ἐκθεραπεύεσθαι ὧδε. διαπονήσαντα ἐν τοῖσι γυμνασίοισι τοῖσιν εἰθισμένοισιν ἀκόπως, θερμῷ λουσάμενον, σιτίσαι παντοδαποῖσι, καὶ ποιῆσαι ἐμέσαι. ἐκ δὲ τοῦ ἐμέτου, κλύσαι τὸ στόμα καὶ τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, ὅκως ἂν συστυφῇ τὰ στόματα τῶν φλεβῶν, [24] καὶ μηδὲν ἐπικαταδῇ, ὁκοῖα γίνεται ἀπὸ ἐμέτων. εἶτα ἀναστάς, περιπατησάτω ἐν ἀλέῃ ὀλίγα. ἐς δὲ τὴν ὑστεραίην, τοῖσι μὲν περιπάτοισι χρέεσθαι. τοῖσι δὲ γυμνασίοισιν, ἐλάσσοσι καὶ κουφοτέροισιν ἢ πρόσθεν. καὶ ἀνάριστος διαγέτω ἢν θέρος ᾖ. ἢν δὲ μὴ θέρος ᾖ, μικρὸν ἐπιφαγέτω. καὶ τοῦ δείπνου ἀφελεῖν τὸ ἥμισυ, [25] οὗ ἤθελε δειπνεῖν. τῇ δὲ τρίτῃ τοὺς μὲν πόνους ἀποδότω τοὺς εἰθισμένους πάντας καὶ τοὺς περιπάτους. τοῖσι δὲ σιτίοισι προσαγέτω ἡσυχῇ, ὅκως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου κομίσηται τὸ σιτίον τὸ εἰθισμένον. κἢν μὲν ἀπὸ τούτου ἱκανῶς ἔχῃ, θεραπευέσθω τὰ ἐπίλοιπα. τοῖσι μὲν

Reliquaque omni victus ratione ita progrediendum, vt ab æstiuis demas, hybernis vtaris, nō ad summum, quò quàm proximè ad hybernā victus rationem deuenias, per dies duodequinquaginta, ad Vergiliarum occasum ab Æquinoctio. Atque ista quidem plærisque hominibus suadeo, quibus temerè vitam degere necesse est, neque licet reliquis posthabitis suæ ipsorum sanitatis curam habere. Qui verò ita sunt comparati, sibique in animum induxerunt, neq; pecuniarum, neque corporis, neque vllius rei vtilitatem, citra sanitatem æstimādam esse, iis à me inuenta est victus ratio, quæ quoad eius fieri potest maximè ad veritatem accedit, quam procedente oratione demonstrabo. Atque ista inuentio mihi quidem inuentori pulchra est, vtilis verò iis qui discunt, à nullo adhuc antea tentata, & quam ad alia omnia plurimi æstimo. Est autem & præcognitio ante quàm ægrotent, & affectus corporum cognitio, vtrum cibi labores, an cibos labores superent, an moderatè inter se habeant. Quodcunque enim superetur, ex eo morbi contingunt, ex mutua verò inter se æquabilitate, sanitas adest. Ad has sanè species aggrediar, & aperiam quænam iis contingant, qui sibi bene valere videntur, & cibis ac laboribus iucundè fruūtur, tum corporis tum coloris habent abundè. Nares à cœna citra causam manifestam implentur, & plenæ esse videntur, nihil tamen emungunt. Cùm verò manè deambulare & exerceri cœperint, tum mucum & sputum reiiciunt, procedentéque tempore palpebras etiam graues habent, frontem pruritus occupat, cibis abstinent, potúmque minus appetunt, habitus color deperditur, & aut destillationes, aut febres cum horrore excitantur, quocumque tempore repletionem commoueri contigerit. Eo autem tempore quicquid forte fecerit, in id culpā reiicit, cùm minimè in causa sit. In hoc enim sensim collecta repletio morbum inuexit, quòd cibi labores superant. Verùm non est eò vsq; differendū, sed cùm primùm signa videris, nosse oportet, quòd cùm cibi labores superant, paulatim collecta repletio existit. Mucus enim & saliua repletionem arguunt, quiescentéque sanè corpore, spiritus meatus opplent, cùm multa insit repletio, quod verò labore incalescit, extenuatum excernitur. Huic curationem istam adhibere oportet, vt postquam se consuetis exercitationibus citra defatigationem exercuerit, calidaq; lauerit, cibos omnis generis offerat, & vomitionem cieat. Post vomitionem verò os & fauces vino austero colluat, vti venarum oscula constringantur, nihilq; conuellatur, velut ex vomitionibus contingere solet. Deinde vbi surrexerit, loco tepido modicè deambulet. Postridie verò deambulationibus quidem vtendum, exercitationibus tamen paucioribus & leuioribus quàm antea, & si æstas fuerit, minimè prandeat, sin minùs, parum comedat, & de cœna consueta dimidium detrahat. Tertia autem die ad labores quidem cōsuetos omnes & deambulationes redeat, sed cibos sensim augeat, vti quinto die post vomitionē consuetus cibus assumatur. Quod si inde satis erit, de cætero

paucioribus quidē cibis, laboribus verò pluribus curetur. Si verò plenitudinis signa minimè quieuerint, duobus post cibos receptos intermissis diebus, rursus vomat, & ad eosdē sensim deducatur. Sin minùs, etiā tertiò idem repete, quoad plenitudine liberetur. At verò quibusdam, vbi labores à cibis superātur, ista contingunt. Cùm plenitudo quidem incipit, somni longi & suaues ipsis obueniūt, & interdiu etiam dormiunt. Fit autem somnus humectata carne, & funditur sanguis, spiritus diffusus trāquillitatē habet. Cùm verò corpus plenitudinem ampliùs capere non potest, ambitus vi secretionem intrò iam remittit, quæ alimento à cibis prouenienti obuiam facta, animum perturbat. Tunc non ampliùs suaues sunt somni, sed hominem perturbari necesse est, sibiq; pugnas committere videtur. Quæ enim corpori contingunt, eadem animus cernit, oculis clausis. Cùm igitur eò quis deuenerit, prope iam ægrotat. Affuturum autē morbum admodum est manifestum. Qualis enim secretio ad partem venerit, & quamcunq; superauerit, eam morbo afficiet. Verùm hoc imprudenter minimè est contemnendum, sed cùm primùm signa cognoueris, curationi insistendum. Et hic sanè veluti prior curandus est, longioris autem temporis etiam inedia opus habet. Sunt autem etiam ista plenitudinis signa. Quibusdam quidem totum corpus dolet, quibusdam verò corporis pars quædam, quæcunque ea fuerit. Dolor verò est vti lassitudo, & lassitudine teneri sibi videntur, desidiaq; & repletione curationem adhibēt, quoad in febrem incidant. Neque tamen adhuc hoc cognoscunt, sed balneis & cibis adhibitis, morbum ad pulmonis inflammationem deducunt, & in extremum periculum incidunt. Verùm antequàm in hos morbos incidant, consilio prospiciendum, & ad hunc modum curandum, præcipuè quidem mollibus fomentis hominem fouendo, sin minùs, multa calida lauando, & corpus quàm maximè dissoluendo, & post exhibitos cibos, primùm quidem acres ac plurimos, deinde salsos, probè vomitum ciendo. Postea exurgendum, modicóque tempore loco tepido deambulandum, deinde dormiendum. Mane verò deambulationibus paulatim adiectione facta vtendum, exercitationibusque leuioribus, & ciborum oblationibus, velut antea. Hoc enim extenuatione plurima & deambulationibus indiget. Quòd si nulla adhibita prouidentia, in febrem incidat, per dies tres præter aquā nil offerendum. Interea igitur si sedetur, bene habet, sin minùs, ptisanæ succo curatio instituenda, & vel quarto, vel septimo die decedet, si sudauerit. Prodest verò sub indicationis tempus illitionibus sudorem mouentibus vti, cùm ad sudorem prouocent. At quibusdam etiam ex plenitudine hæc contingunt. Caput dolore tentatur & grauatur, palpebræque ipsis à cœna concidunt, & inter dormiendum turbantur, calorq; inesse videtur, & aluus interdum sistitur. Ex rerum venerearum vsu, leuior statim sibi videtur, at postea grauior. In his caput plenitudinem ad se attrahens, tum aluum supprimit, tum ipsum grauatur.

σιτίοισιν, ἐλάσσοσι. τοῖσι δὲ πόνοισι, πλείοσιν. ἢν δὲ μὴ καθεστήκῃ τὰ τεκμήρια τῆς πλησμονῆς, διαλιπὼν δύο ἡμέρας ἀφ' ἧς ἐκομίσατο τὰ σιτία, ἐμεσάτω πάλιν, καὶ προσαγέτω κατὰ τὰ αὐτά. ἢν δὲ μὴ καὶ ἐκ τρίτου, μέχρις ἀπαλλαγῇ τῆς πλησμονῆς. εἰσὶ δέ τινες τῶν ἀνθρώπων, οἵτινες ὁκόταν κρατέωνται οἱ πόνοι ἀπὸ τῶν σιτίων, τοιαῦτα πάσχουσιν. ἀρχομένης μὲν τῆς πλησμονῆς, ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσιν ἐπιγίνονται, καὶ ἐπὶ τῆς ἡμέρης ἐπικοιμῶνται. ὁ δὲ ὕπνος γίνεται [26] τῆς σαρκὸς ὑγρανθείσης, καὶ χεῖται τὸ αἷμα, καὶ γαληνίζει διαχεόμενον τὸ πνεῦμα. ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν πλησμονὴν, ἀπόκρισιν ἤδη ἀφίησιν εἴσω ὑπὸ βίης τῆς περιόδου, ἥτις ὑπεναντιουμένη τῇ τροφῇ, τῇ ἀπὸ τῶν σιτίων, ταράσσει τὴν ψυχήν. οὐκ ἔτι κατὰ τοῦτον τὸν χρόνον ἡδεῖς οἱ ὕπνοι, ἀλλ' ἀνάγκη ταράσσεσθαι τὸν ἄνθρωπον, καὶ δοκεῖ μάχεσθαι. ὁκοῖα γὰρ τινὰ πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχὴ, κρυπτομένης τῆς ὄψιος. ὁκόταν οὖν ἐς τοῦτο ἥκῃ ὁ ἄνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστίν. ὅτι δὲ ἥξει τὸ νούσημα, μάλα δῆλον. ὁκοία γὰρ ἂν ἔλθῃ ἀπόκρισις, καὶ ὅπου ἂν κρατήσῃ, τοῦτο ἐνόσησεν. ἀλλ' οὐ χρὴ περιέσθαι τὸν ἀφρονέοντα, ἀλλ' ὁκόταν ἐπιγνῷ τῶν τεκμηρίων τὰ πρῶτα, τῆς θεραπείης ἔχεσθαι. καὶ δὴ οὗτος ὥσπερ ὁ πρότερον ἐκθεραπευθῆναι. πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται. ἔστι δὲ καὶ τοιάδε τὰ τεκμήρια πλησμονῆς. ἀλγεῖ τὸ σῶμα, οἷς μὲν ἅπαν. οἷς δὲ, μέρος τι τοῦ σώματος, ὅ, τι ἂν τύχῃ. τὸ δὲ ἄλγος ἐστὶν, ὁκοῖον κόπος, καὶ δοκέουσι κοπιῇν. ῥαθυμίῃσί τε καὶ πλησμονῇσι θεραπεύονται μέχρις ἂν ἐς πυρετὸν ἀφίκωνται. καὶ οὐδέπω οὐδὲ τοῦτο γινώσκουσιν, ἀλλὰ λουτροῖσί τε καὶ σιτίοισι χρησάμενοι, ἐς περιπλευμονίην καθίστησι τὸ νούσημα. καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφικνέονται. ἀλλὰ χρὴ προμηθέεσθαι πρὶν ἂν ἐς τὰς νούσους ἀφικνέωνται, καὶ θεραπεύεσθαι τῷ δὲ τῷ τρόπῳ. μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυρίῃσι τὸν ἄνθρωπον. εἰ δὲ μὴ λουσάμενον πολλῷ καὶ θερμῷ, διαλύσαντα τὸ σῶμα, [27] ὡς μάλιστα χρησάμενον τοῖσι σιτίοισι, πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισιν. εἶτα τοῖσιν ἁλυκοῖσιν, ἐξεμέσαι εὖ. καὶ ἐξαναστάντα περιπατῆσαι ὀλίγον χρόνον ἐν ἀλέῃ. ἔπειτα καταδαρθεῖν. πρωῒ δὲ τοῖσι περιπάτοισιν ἐξ ὀλίγου προσάγοντα χρέεσθαι, καὶ τοῖσι γυμνασίοισι κούφοισι, καὶ τῇσι προσαγωγῇσι καθάπερ καὶ τὸ πρότερον. ἰσχνασίης δὲ τοῦτο πλείστης δέεται καὶ περιπάτων. ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, προσφέρειν μηδὲν ἄλλο, ἀλλ' ἢ ὕδωρ ἡμερέων τριῶν. ἢν μὲν οὖν ἐν ταύτῃσι παύσηται. εἰ δὲ μὴ, πτισάνης χυλῷ θεραπεύεσθαι, καὶ ἢ τεταρταῖος ἢ ἑβδομαῖος ἐκστήσεται, εἰ ἐξιδρώσει. ἀγαθὸν δὲ τοῖσι χρίσμασι χρέεσθαι τοῖσιν ἱδρωτικοῖσιν, ὑπὸ τὰς κρίσιας, ἐξαναγκάζει γάρ. πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ πλησμονῆς. τὴν κεφαλὴν ἀλγεῖ. καὶ βαρύνεται. καὶ τὰ βλέφαρα πίπτει αὐτέοισιν ἀπὸ τοῦ δείπνου, ἔν τε τοῖς ὕπνοις ταράσσεται, καὶ δοκεῖ θέρμη ἐν εἶναι. ἥ, τε κοιλίη ἐφίσταται ἐνίοτε. ὁκόταν δὲ ἀφροδισιάσῃ, δοκεῖ κουφότερος εἶναι ἐς τὸ παραυτίκα ὕστερον δὲ μᾶλλον βαρύνεται. τούτοισιν ἡ κεφαλὴ τὴν πλησμονὴν αὐτὴν ἐπισπωμένη, τήν τε κοιλίην ἐφίστησι, καὶ αὐτὴ βαρύνεται.

κινδυν-

κίνδυνοι δὲ προσκέονται, ὅκη ἂν ῥαγῇ ἡ πλησμονὴ τοῦτο διαφθείρῃ. ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. ἢν βούληται τὴν θεραπείην ταχίην ποιέεσθαι, ἐλλεβόρῳ καθαρθῆναι. εἶτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσιν, ἡμέρας δέκα. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν, ὅκως κρατήσῃ ἡ κάτω κοιλίη,[29] τὴν κεφαλὴν κάτω ἀντισπάσασα. καὶ τοῖσιν δρόμοισι βραδέσι, καὶ τοῖσιν ὀρθρίοισι, καὶ τοῖσι περιπάτοισιν ἱκανοῖσι. τῇ τε ἐν ἐλαίῳ πάλῃ, ἀρίστῳ τε χρέεσθαι, καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου οὐ μακρῷ. ἀπὸ τοῦ δείπνου δὲ, ὁκόσον ἐξαναστῆναι ἱκανόν. καὶ τὸ μὲν λουέσθω, τὸ δὲ χριέσθω. λουέσθαι δὲ χλιερῷ. λαγνείης δὲ ἀπέχεσθαι. αὕτη μὲν ἡ ταχυτέρη θεραπείη. εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν λουσάμενος πολλῷ, ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν. ἐξ ἐμέτου δὲ, ὅσον ἐξαναστῆναι. πρωῒ δὲ, τοῖσι περιπάτοισι προσάγειν. καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισιν, ἐς ἡμέρας ἕξ. τῇ δὲ ἑβδόμῃ πλησμονὴν προσθέντα, ἔμετον ποιήσασθαι, ἀπὸ τῶν ὁμοίων σιτίων. καὶ προσάγειν κατὰ τὸ αὐτό. χρέεσθαι δὲ τούτοισιν, ἐπὶ τέσσαρας ἑβδομάδας. μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται. εἶτα προσάγειν ὅκως τὸ σῶμα κομίσηται.[30] καθιστάναι δὲ τὴν αἰτίην ἐς τὸ συνήθες κατὰ μικρόν. γίνεται δὲ καὶ τοιάδε ἀπὸ πλησμονῆς. ὁκόσοισι μὲν ἡ κοιλίη κατεργάζεται τὸ σιτίον, αἱ δὲ σάρκες μὴ δέχονται, ἐμμένουσα ἡ τροφὴ, φῦσαν ἐμποιέει. ὁκόταν δὲ ἀριστήσῃ, καθίσταται. ἀπὸ γὰρ τοῦ ἰσχυροτέρου, τὸ κουφότερον ἐξελαύνεται. καὶ δοκέουσιν ἀπηλλάχθαι. τὸ δὲ πολὺ πλέον, ἐς τὴν ὑστεραίην παραγίνεται. ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, ἐκράτησε τὸ ὑπάρχον τῶν ἐπεισενεχθέντων, καὶ ἐξεθέρμηνε καὶ ἐτάραξεν ἂν τὸ σῶμα καὶ ἐποίησε διάρροιαν. τοῦτο γὰρ ὀνομάζεται, ἕως ἂν αὐτὴ μούνη σηπομένη ἡ τροφὴ ὑποχωρέῃ. ὁκόταν δὲ θερμαινομένου τοῦ σώματος κάθαρσις δριμέα γένηται, τό τε ἔντερον ξύεται καὶ ἑλκοῦται, καὶ διαχωρέεται αἱματώδεα, τοῦτο δὲ δυσεντερίη καλέεται, νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. ἀλλὰ χρὴ προμηθέεσθαι, καὶ τὸ ἄριστον ἀφαιρέεσθαι. καὶ τοῦ δείπνου τὸ τρίτον μέρος. τοῖσι δὲ δρόμοισι πλείοσι, καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπάτοισι χρέεσθαι, ἀπό τε τῶν γυμνασίων καὶ ὀρθρίους.[31] ὁκόταν δὲ δέκα γίνωνται, προσθεῖναι τοῦ σιτίου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος. καὶ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας. ὁκόταν δὲ ἄλλη δεκὰς γένηται, τόν τε σῖτον τὸν λοιπὸν προσθέσθαι, καὶ ἔμετον ποιήσασθαι. καὶ προσάγων πρὸς τὸν σῖτον, ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ. τοῖσι δὲ πόνοισι θαρσέειν τὸν τοιοῦτον πιέζων. γίνεται δὲ καὶ τοιάδε πλησμονή. ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνει ὠμόν, ἄτερ ὀξυρεγμίης.[32] ἢν δὲ ἡ κοιλίη διαχωρέῃ, ἐλάσσω μὲν ἢ πρὸς τὰ σιτία. ὅμως δὲ ἱκανῶς. πόνος δὲ οὐδεὶς ἐγγίνεται, τουτέοισιν ἡ κοιλίη ψυχρὴ ἐοῦσα, οὐ δύναται καταπέσσειν τὰ σιτία ἐν τῇ νυκτί. ὁκόταν οὖν κινηθῇ, ἐρυγγάνει τὸν σῖτον ὠμόν. δεῖ οὖν τούτῳ παρασκευάσαι τὴν κοιλίην θερμασίην, ἀπό τε διαίτης, ἀπό τε τῶν πόνων. καὶ πρῶτον μὲν οὖν χρὴ, ἄρτῳ συγκομιστῷ χρέεσθαι ζυμίτῃ. διαθρύπτοντα δὲ ἐς οἶνον μέλανα, ἢ ζωμὸν ὑείων κρεῶν. τοῖσι δὲ ἰχθύσιν ἑφθοῖσιν ἐν ἅλμῃ δριμείῃ. χρέεσθαι μὲν καὶ τοῖσι σαρκώδεσιν, οἷον ἀκροκωλίοισί τε διέφθοισι, τοῖσιν ὑείοισιν πλείοσι. καὶ τοῖσι ὑείοισι

Periculum autem imminet, ne quamcunq; in partem plenitudo erumpat, eam ipsam corrumpat. Sed hac ratione prouidendum. Si celerem curationem esse voles, veratro purgandum, deinde cibi leues & molles, ad dies decem offerendi, iique aluum deiicientes, quò aluus inferior, deorsum reuellendo caput superet. Cursibus tardis & matutinis, ac deambulationibus, quæ satis esse possint, vtendum, luctaq; ex oleo, & prandio, somnóque, non longè à prandio, à cœna verò tantùm exurgere satis est. Et partim quidem balnea, partim verò inunctiones adhibendæ, balnea au- 10 tem tepida, à coitu autem abstinẽdum. Hæc quidem expeditior est curatio. Quòd si medicamẽtorum potiones sumere nolit, post copiosum balneum, à cibis dulcibus & salsis vomat, à vomitu verò exurgat tantùm. Matutinæ autem deambulationes, & exercitationes præscriptæ, ad dies sex, sensim augendæ. Die verò septimo addita repletione, ex similibus cibis vomitus mouendus est, & ad eundem modum sensim adiectio facienda. His autem ad quatuor hebdomadas vtendum. Tanto enim ferè tempore restituitur. Deinde cibus sensim adhibendus quò corpus sese reficiat, & consueta victus ratio paulatim reducenda. 20 Hæc quoque ex plenitudine contingũt, quibus ventriculus cibum quidem concoquit, carnes verò minimè recipiunt. Alimentum intus manens flatum infert, post prandium verò, subsidet. Leuiùs enim à valentiore expellitur, & sibi liberari videtur, sed postridie multò copiosius adest. Cùm autem in dies increscendo vires acquisierit, id quod adest quæ superingeruntur superat, corpúsque calefacit & perturbat, & alui profluuium infert. Hoc enim nomine donatur, quoad alimentum solum computrescens per aluum secedit. At vbi calefacto corpore acria purgantur, & intestinum raditur ac exulceratur, cruentaque per aluum demittuntur, hoc dysenteria, hoc est intesti- 30 norum difficultas appellatur, tum grauis, tum periculosus morbus. Verùm consilio prospiciendum est, prandiúmq; detrahendum, & cœnæ tertia pars, cursibus autem pluribus & luctis vtendum, & deambulationibus ab exercitationibus matutinis. Cùm verò dies decem præterierint, cibi detracti dimidium apponendum, & vomitus ciendus, atque quatuor diebus cibus sensim offerendus. Vbi verò alij decem dies aduenerint, tum reliquus cibus adiiciendus, tum vomitus faciendus. Et sensim ad cibum adducendo, intra hoc tempus sanitati restitues. Laboribus autem hic audacter vrgendus est. Eiusmodi autem etiam 40 plenitudo contingit. Postridie cibum crudum, citra ructum acidum eructat. Quòd si venter deiicit, minùs quidem quàm pro ciborum ratione, satis multa tamen, dolor verò nullus adest. His cùm ventriculus frigidus existat, cibos per noctem cõcoquere nequit. Motione igitur accedente, cibum crudum eructat. In hoc itaque, tum victus ratione, tum laboribus, ventriculo calorem conciliare oportet. Ac primùm quidem pane confusaneo fermentato, in vino nigro, aut suillæ carnis iusculo intrito vtendum, piscibus verò in acri muria decoctis. Carnosis etiam vtendum, velut trunculis suillis percoctis pluribus; & carnibus suillis

coctis, porcinis verò non multum, neque catulorum, nec hœdorum carnibus. Oleribus autem, porro & allio cocto & crudo, blitoq; cocto & cucurbita, tum potionibus meracioribus, tum somnis longis, citra prandium primis diebus, tum etiam somnis post exercitationes. Cursibus etiam flexis paulatim increscẽtibus. Lucta item mollis ex oleo sensim adiicienda. Balneis quoq; paucis, inunctionibus pluribus, deambulationibus etiam matutinis pluribus, à cœna verò modicis vtendum. Prodest etiam ficus cũ cibis sumpta, & superbibitum merum. Ex hac quidẽ curatione, hi quidem citiùs, illi verò tardiùs ad sanitatem reducuntur. Sunt autem quibus ista cõtingant. Faciem pallor occupat, & paulò post cibum acida eructant, & odor acidus sursum nares petit. His corpora impura sunt, cùm plus ex carne à labore colliquetur, quàm ex ambitu repurgetur. Quod sanè intus remanens, alimento aduersum est, eique vim adfert, & acidum reddit. Alimentum igitur eructatur, ipsum verò sub cutem propellitur, hominiq; pallorem adfert, morbosq; aquam inter cutem referentes parit. Verùm hac ratione prospicere oportet. Celerior igitur curatio est, post epotum veratrum ad cibos deducere, quemadmodum à me scriptum est. Tutior verò per victus rationem ad hunc modum. Primùm quidem à balneo calido, vomitus ciendus, deinde septem à vomitu diebus, consuetus cibus admouendus. Decimo verò post vomitum die, rursus vomitum moueat, & eodem modo cibos assumat, idq; tertio similiter faciat. Et cursibus vtatur circularibus quidem paucis ac concitatis, & in motionibus, & frictione ac in exercitatione mora longa, & volutatione in puluere. Deambulationibus quoq; multis post exercitationes, quinetiam post cœnam, matutinis autem plurimis in puluere. Cùm autem lauare volet, calida lauet, & totum hoc tempus sine prandio transigat. Et si quidem vno mense sanitati restituitur, de cætero conuenientem curationem adhibeat. Quòd si quid reliquum fuerit, priore curatione vtatur. Nonnullis autẽ postridie ructus acidi contingunt, quibus per noctem secretio fit ex plenitudine. Cùm igitur ex somno corpus motum fuerit, & crebriore spiritu vsum fuerit, vna cum spiritu calidum & acidum foras propellit, indeque, nisi quis prouidentiam adhibeat, morbi contingunt. His autem confert, velut superiori curationem adhibere, sed pluribus laboribus vti debent. Nonnullis etiam ista contingunt. In corporis habitu denso, cùm cibi concalefiant & diffundantur, tum à primo somno, tùm à cibis carne calefacta, per somnum ex carne multa humiditas secernitur, deinde caro cùm densa existat, alimentum non suscipit. Quod verò à carne secernitur, alimento occurrens, & foras vi propulsum, hominem suffocat & calefacit, quoad vomitu eiectum fuerit, ex quo leuior euadit. Dolor autem nullus manifestus in corpore inest, sed pallidum redditur. Procedente verò tempore, & dolores, & morbi contingunt. Iis autem qui cùm non sint exercitationibus assueti, de repente laborauerunt, & violentam multamque carnis colliquationem passi sunt, similia contingunt. His hæc

ἑφθοῖσι. τοῖσί τε χοιρείοισι μὴ πολλοῖσι, καὶ σκυλάκων, καὶ ἐρίφων. λαχάνοισι δὲ, πράσοισί τε καὶ σκορόδοισιν ἑφθοῖσι καὶ ὠμοῖσι. βλίτῳ τε ἑφθῷ καὶ κολοκύντῃ. πόμασί τε ἀκρητεστέροισιν. ὕπνοισί τε μακροῖσιν, ἀναριστῆσι τὴν πρώτην. ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων, τοῖσί τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου, προσάγων τε πάλην μαλακὴν ἐν ἐλαίῳ. λουτροῖσί τε ὀλίγοισι. χρίσμασι πλείοσι. τοῖσί τε πρωὶ περιπάτοισι πλείοσιν. ἀπὸ δείπνου τε ὀλίγοισι. καὶ ὁ σῦκον μετὰ τῶν σιτίων ἀγαθόν. ἄκρητόν τε 10 ἐπ᾽ αὐτέῳ. ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον. Ἄλλοι δέ τινες τοιάδε πάσχουσιν. ἀχροῦσι τὴν ὄψιν. καὶ ὁκόταν φάγωσιν, ἐρυγγάνουσιν ὀλίγον ὕστερον ὀξέα. καὶ ἐς τὰς ῥῖνας ἀνέρπει τὸ ὀξύ. τούτοισι τὰ σώματα οὐ καθαρά ἐστιν. ὑπὸ γὰρ τοῦ πόνου, πλεῖον τὸ συντηκόμενον τῆς σαρκὸς, ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου. ἐμμένον δὴ τοῦτο, ἐναντιοῦται τῇ τροφῇ, καὶ βιάζεται, καὶ ἀποξύνει. ἡ μὲν οὖν τροφὴ, ἐρυγγάνεται. αὐτὸ δὲ ὑπὸ τὸ δέρμα ἔξω ὠθέεται, καὶ τῷ ἀνθρώπῳ ἀχροίας ἐμποιέει, καὶ νούσους ὑδρωποειδέας ἀπο- 20 κυΐσκει. ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. ἡ μὲν οὖν ταχυτέρη θεραπείη, ἐλλέβορον πίσαντα προσάγειν, ὥσπερ γέγραπταί μοι. ἡ δὲ ἀσφαλεστέρη, ὑπὸ τῆς διαίτης, ὧδε. πρῶτον μὲν λουσάμενον θερμῷ, ἔμετον ποιήσασθαι. εἶτα προσάγειν ἡμέρας ἀπὸ τοῦ ἐμέτου ἑπτὰ, τὸ σιτίον τὸ εἰθισμένον. δεκάτῃ δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου, αὖθις ἐμεέτω. καὶ προσαγέτω κατὰ τὸ αὐτό. καὶ τὸ τρίτον ὡσαύτως ποιησάτω. καὶ δρόμοις. τοῖσι μὲν τροχοῖσιν ὀλίγοισι, καὶ ὀξέσι. καὶ ἐν κινήμασι καὶ ἐν τρίψει.[34] καὶ ἐν διατριβῇ πολλῇ χρήσθω ἐν τῷ γυμνασίῳ. καὶ ἀλινδήσει χρεέσθω τοῖσι περιπά- 30 τοισι πολλοῖσιν, ἀπὸ τῶν γυμνασίων, ἀτὰρ μὴν καὶ ἀπὸ τοῦ δείπνου. πλείστοισι δὲ τοῖσιν ὀρθρίοισιν ἐκκεκονιμένοισι χρεέσθω. ὁκόταν δὲ λούεσθαι θέλῃ, θερμῷ λουέσθω. ἀνάριστος δὲ διατελεέτω τοῦτον τὸν χρόνον. καὶ ἢν μὲν ἐνὶ μηνὶ καθιστῆται, θεραπευέσθω τὸ λοιπὸν τοῖσι προσήκουσιν. ἢν δέ τι ὑπόλοιπον ᾖ, χρεέσθω τῇ θεραπείῃ. εἰσὶ δέ τινες οἷσιν ἐς τὴν ὑστεραίην ὀξυρεγμίαι γίνονται, τούτοισιν ἐν τῇ νυκτὶ ἀπόκρισις ὑπὸ τῆς πλησμονῆς γίνεται. ὁκόταν οὖν κινηθῇ ἐκ τοῦ ὕπνου τὸ σῶμα, πυκνοτέρῳ τῷ πνεύματι χρησάμενον, βιάζεται ἔξω σὺν τῷ πνεύματι, θερμόν τε καὶ ὀξὺ. καὶ ἐκ 40 τούτου νοῦσοι γίνονται,[35] ἢν μή τις προμηθῆται χρή. ξυμφέρει δὲ καὶ τούτοισιν[36] ὥς καὶ τῷ προτέρῳ τὴν θεραπείην ποιήσασθαι. τοῖσι δὲ πόνοισι, πλείοσι χρὴ τούτους χρέεσθαι. [37] Γίνεται δέ τισι καὶ τοιάδε. ἐν τοῖσι πυκνοσάρκοισι τῶν σωμάτων, ὅταν τὰ σιτία διαθερμαίνηται, καὶ διαχέηται, καὶ ἀπὸ πρώτου ὕπνου θερμαινομένης τῆς σαρκὸς, ὑπό τε τῶν σιτίων διὰ τὸν ὕπνον ἀπόκρισις γίνεται ἀπὸ τῆς σαρκὸς πολλὴ ὑγρασίη. εἶτα τὴν μὲν τροφὴν ἡ σὰρξ οὐ δέχεται, πυκνὴ ἐοῦσα. τὸ δὲ ἀπὸ τῆς σαρκὸς ἀποκριθὲν, ἐναντιούμενον τῇ τροφῇ καὶ βιαζόμενον ἔξω, πνίγει τὸν ἄνθρωπον, καὶ θερμαίνει, μέχρις ἂν διεξεμέσῃ. ἔπειτα κουφότερος ἐγένετο. πόνος δὲ οὐδεὶς ἐν τῷ σώματι φανερός.[38] ἀχροίη δὲ αὐτῷ ἔνεστι. προϊόντος δὲ τοῦ χρόνου, πόνοι τε γίνονται καὶ νοῦσοι. πάσχουσι δὲ τούτοισι παραπλήσια καὶ ὁκόσοι ἀγύμναστοι ἐόντες, ἐξαπίνης πονήσαντες, σύντηξιν τῆς σαρκὸς βιαίαν καὶ πολλὴν ἐποίησαν. χρὴ

τὰς

τοὺς τοιούτους, ὧδε θεραπεύειν. ἀφελεῖν τῶν σίτων, τὸ τρίτον μέρος. τοῖσι δὲ σίτοισι χρέεσθαι, τοῖσι δριμέσι. καὶ ξηροῖσι, καὶ αὐστηροῖσι. καὶ εὐώδεσι. καὶ οὐρητικοῖσι. τοῖσι δὲ δρόμοισι, τοῖσι μὲν πλείστοισι καμπτοῖσιν, ἐν ἱματίῳ, γυμνοῖσι δὲ τοῖσι διαύλοισι καὶ τοῖσι τροχοῖσι. τρίψεσι δὲ καὶ πάλῃ ὀλίγῃ. [39] ἀκροχειρισμοῖσιν, ἀκροχείρηξι, πλὴν κωρυκομαχίη, ξυμφερώτερον. τοῖσι δὲ περιπάτοισιν ἀπὸ τῶν γυμνασίων, πολλοῖσι. καὶ τοῖσι δι' ὄρθρου. καὶ ἀπὸ δείπνου δὲ ὁ τῆς φωνῆς πόνος, μάλα ἐπιτήδειος, κένωσιν γὰρ τοῦ ὑγροῦ ποιεύμενος, ἀραιοῖ τὴν σάρκα. ξυμφέρει δὲ ἀνάριστον διάγειν. χρέεσθαι δὲ τοῖσι σιτίοισιν, ἐν ἡμέρῃσι δέκα. εἶτα προσθέσθαι τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος ἐς ἡμέρας ἕξ. καὶ ἔμετον ποιήσασθαι, ἑκάστου ἐμέτου προσάγειν ἐς ἡμέρας τέσσαρας τὸ σιτίον. ὅταν δὲ ἡμέραι δέκα γένωνται ἀπὸ τοῦ ἐμέτου, κομισάσθω τὸ ἀφαιρεθὲν σιτίον ἅπαν. τοῖσι δὲ πόνοισι καὶ τοῖσι περιπάτοισι προσεχέτω καὶ ὑγιὴς ἔσται. ἡ δὲ τοιαύτη φύσις, πόνου πλείονος δέεται ἢ σίτου. Ετέρα πλησμονή. [40] Πάσχουσι δέ τινες καὶ τοιάδε. διαχωρέει τὸ σιτίον αὐτέοισιν ὑγρὸν, ἄπεπτον. οἷον ἐκ λιεντερίης. καὶ πόνον οὐδένα παρέχει. πάσχουσι δὲ τοῦτο μάλιστα αἱ κοιλίαι, ὅσαι ὑγραὶ καὶ ψυχραί εἰσιν. διὰ μὲν τὴν ψυχρότητα, οὐ ξυνέψουσι. διὰ δὲ τὴν ὑγρότητα, διαχωρέει. τὸ οὖν σῶμα τήκεται, τροφὴν οὐ λαμβάνον τὴν προσήκουσαν. αἵ τε κοιλίαι διαφθείρονται, ἐς νόσους τε ἐμπίπτουσιν. ἀλλὰ χρὴ προμηθέεσθαι. ξυμφέρει δὲ τούτῳ, τῶν μὲν σιτίων ἀφελεῖν τὸ τρίτον μέρος. ἔστω δὲ τὰ σιτία, ἄρτοι ἄζυμοι συγκομιστοί. κλιβανῖται. ἢ ἐγκρυφίαι, θερμοὶ ἐς οἶνον αὐστηρὸν ἐμβαπτόμενοι, καὶ τῶν ἰχθύων τὰ νωτιαῖα, καὶ οὐραῖα. τὰ δὲ κεφάλαια καὶ ὑπογάστρια, ἐᾶν ὡς ὑγρότερα. καὶ τοὺς μὲν ἑφθοὺς, ἐν ἅλμῃ ἐσθίειν. τοὺς δὲ ὀπτοὺς, ἐν ὄξει. καὶ τοῖσι κρέασι τεταριχευμένοισιν, ἐν ἁλσὶ καὶ ὄξει. καὶ τοῖσι κυνείοισιν ὀπτοῖσι. καὶ ἀπὸ φάττης καὶ τῶν λοιπῶν τοιούτων ὀρνίθων, ὀπτοῖσι καὶ ἑφθοῖσι. λαχάνοισι δὲ ὡς ἥκιστα, οἴνῳ μέλανι, καὶ τοῖσι περιπάτοισιν. [41] ἀπὸ δὲ τοῦ δείπνου, καὶ τοῖσιν ὀρθρίοισιν ἐκ τοῦ περιπάτου, κοιμᾶσθαι. δρόμοισι δὲ καμπτοῖσιν ἐκ προσαγωγῆς. ἔστω δὲ καὶ τρίψις πολλή. καὶ πάλη βραδείη, καὶ ἐν τῷ ἐλαίῳ καὶ ἐν τῇ κόνει, ὅκως διαθερμαινομένη ἡ σὰρξ, ἀποξηραίνηταί τε, καὶ τὸ ὑγρὸν ἐκ τῆς κοιλίης ἀντισπᾷ. ἀλείφεσθαι δὲ ξυμφέρει μᾶλλον, ἢ λούεσθαι. ἀνάριστος δὲ διαγέτω. ὅταν δὲ γένωνται ἡμέραι ἑπτὰ, προσθέσθω τὸ ἥμισυ τοῦ σίτου. [42] καὶ προσαγέσθω εἰς τέσσαρας ἡμέρας τὸν σῖτον. τῇ δὲ ἄλλῃ ἑβδόμῃ, κομισάσθω ἅπαν τὸ σιτίον. καὶ ἔμετον πάλιν ποιησάμενος, προσαγέσθω κατὰ ταῦτα. ἄλλοισι δέ τισι γίνεται τοιάδε. τὸ διαχώρημα, ἄσηπτον διαχωρέει. καὶ τὸ σῶμα τήκεται τῶν σίτων οὐκ ἐπαυξανόμενον. οὗτοι δὲ προϊόντος τοῦ χρόνου ἐμπίπτουσιν ἐς τὰς νόσους. τούτοισιν αἱ κοιλίαι, ψυχραὶ καὶ ξηραί. ὁκόταν γοῦν, μήτε σίτοισι προσήκουσι χρέωνται, μήτε γυμνασίοισι, πάσχουσι ταῦτα. ξυμφέρει δὲ τῷ τοιούτῳ, ἄρτοισί τε καθαροῖσιν ἰπνίτοισι χρέεσθαι. καὶ τοῖσιν ἰχθύσιν ἑφθοῖσιν ὑποτρίμμασι. καὶ κρέασιν ἑφθοῖσιν ὑείοισι. καὶ τοῖσιν ἀκρωκωλίοισι διέφθοισι. καὶ τοῖσι πλείστοισιν ὀπτοῖσι καὶ τῶν δριμέων καὶ τῶν ἁλυκῶν. τοῖσιν ὑγραίνουσι καὶ τοῖσιν ἁλμυροῖσιν. οἴνοισι δὲ, μέλασι μαλακοῖσι.

adhibenda curatio eſt. Cibi pars tertia detrahenda. Vtendum cibis acribus, ſiccis, auſteris, odoratis, & vrinam ducentibus. Curſibus verò, flexis quidem plurimis in veſte. Exutis autē veſtibus, ad metam recurrentibus ac circularibus. Frictione item & lucta modica. Lucta etiam vtendum quæ fit ſummis tantùm manibus inter ſe conſertis, præter quàm quòd ad corycum decertatio commodior eſt. Deambulationibus quoq; multis poſt exercitationes vtendum, iiſq; matutinis. Poſt cœnam verò, vocis exercitatio admodum vtilis eſt. Cùm enim humidi vacuationē faciat, carnem rarefacit. Confert quoq; ſine prandio vitam traducere. Cibis vtendum per dies decem, deinde dimidium ſubtracti cibi adiiciendū per dies ſex, & vomitus procurādus. Poſt ſingulas vomitiones, ad quatuor dies, cibus paulatim adiiciendus. Diebus verò decem à vomitu præteritis, totum ſubtractum cibum recipiat, & ad labores ac deambulationes animum conuertat, & ſanus euadet. Eiuſmodi autem natura copioſiore labore quàm cibo indiget. Altera plenitudo. Quibuſdam etiā iſta contingunt, cibus per aluum ipſis ſecedit liquidus, incoctus, qualis in inteſtinorum læuitate, nullumq; dolorem affert. Hæc autem præcipuè ſentiunt alui humidæ & frigidæ, quæ propter frigiditatem quidem minimè concoquunt, ac propter humiditatem deiiciunt. Corpus igitur conſumitur, cùm alimentum conueniens non aſſumat, aluiq; corrumpuntur, & in morbos incidunt. Verùm conſilio proſpiciendum eſt. Huic quidem confert ciborum tertiam partem ſubtrahere. Sint autem cibi, panes nō fermentati, ex farina non excuſſa, clibano cocti, aut ſubcinericij, calidi, vino auſtero intincti, & piſcium partes quæ ad dorſum & caudam ſpectant. Quæ verò caput & ventrem inferiorem reſpiciūt, tanquam humidiores ſinendę. Et cocti quidem piſces cum muria edendi, aſſati verò cum aceto. Carnibus etiam ſale & aceto arefactis vtendum, & catulinis aſſatis, palumbis autem ac reliquarum huiuſmodi volucrum, aſſatis & elixis, oleribus etiā quàm minimùm. Vino quoque nigro & deambulationibus poſt cœnam, ac matutinis, & à deambulatione dormiendum. Curſibus autem inflexis vtatur, ſenſim acceſſione facta. Frictione etiam multa, & lucta tarda, tum in oleo, tum in puluere, vti cōcalefacta caro reſiccetur, & ex ventriculo humiditatem retrahat. Inunctio magis quàm balneum conducit, & ſine prandio tranſigat. Vbi autem dies ſeptem præterierint, dimidium cibi adiiciendum, & ad dies quatuor cibus ſenſim adhibendus. Præteritis verò aliis ſeptē diebus, totū cibum reiiciat, & vomitione rurſus facta, ad eadem ſenſim reducatur. Aliis autem quibuſdam hæc contingunt, alui recrementum incoctum per aluum ſecedit, corpúſque conſumitur, cùm cibis minimè fruatur. Hi verò procedente tempore in morbos delabuntur. His ventres frigidi & ſicci exiſtunt. Proinde cùm neq; cōuenientibus cibis, neq; exercitationibus vtātur, iis talia contingunt. Sic autem affecto panibus puris, furno coctis vti cōducit, & piſcibus coctis cum intritis, carnibuſq; ſuillis coctis, & animalium extremitatibus percoctis, plurimiſq; aſſis, & ex acribus ac ſalſis, his quæ humectant, & ſalſuginoſis. Vinis quoq; nigris & mollibus,

& vuis ac ficubus inter reliquos cibos abũdè vti confert. Modicum verò prandere oportet, & pluribus exercitationibus vti, cursibúsque inflexis, sensim accessione facta, circularibus autem postremis, & post cursum, lucta ex oleo, deambulationibus verò post exercitationes non multis, à cœna verò tantùm exurgere. Matutinis autem deambulationibus plurimis vtendum. Calida lauet, laboribúsque & inunctionibus vtatur, somno longiori indulgeat, & molliter cubet. Rebus autem venereis aliquantulum vtendum, & cibi quarta pars subtrahenda, diebúsque decem ad cibos paulatim reducendus. Sunt verò nonnulli, quibus alui recrementum liquidum & concoctum per aluum secedit, iisque cùm aliàs exerceantur, res nullam molestiam exhibet. Quibus verò conuenientia desunt, procedente tempore venter ob caliditatem carnes attrahit, sanéque dolorem exhibet, cibos fastidiunt, venter exulceratur, ipsúmque iam sistere molestum est. Verùm consilio malis imminentibus occurrẽdum est, vbi cognoueris ventrem plus quàm expediat calidum & humidum, laborúmque minimè conuenientium exuperantiam factam esse. Victus igitur ratione refrigerare & siccare oportet, & primùm quidem exercitationes dimidia ex parte detrahere, ciborumq; tertiam partem. Maza antè subacta, intrita vtatur, & piscibus siccissimis, & neque pinguibus, neque salsis. Carnibus verò volucrium vtatur assis, palumbis quidem & columbę elixis, perdicum verò & gallorum assatis, sine condimento. Leporinis autem in aqua coctis, & ferinis omnibus. Oleribus verò quæ refrigerant, velut beta cocta, aceto cõdita. Vino etiam nigro, austero. Exerceatur quoque cursibus circularibus, celeribus. Sed neque multa frictio adhibeatur, sed modica, neque etiam lucta. Concertatio quæ fit summis manibus inter se consertis, & manuum ad rythmum agitatio, & ad corycum decertatio, ac volutatio in puluere, non multa tamẽ, vtilis est. Deambulationibus post exercitationes vtatur, pro laborum ratione accommodatis, & à cœna, ad ciborum rationem, pluribus, & matutinis, pro habitus ratione, moderatis. Lauet autem tepida, & quietem agat. Hac victus ratione per decem dies adhibita, cibi dimidium, & laboris tertia pars adiiciatur, & post cibos siccos & acerbos assumptos, vomitus cieatur, neque cibo immoretur, sed quàm citissimè vomat. Post vomitum verò, ad quatuor dies cibus partitus sensim exhibeatur. Cùm autem dies decem prętererint, reliquus cibus adiiciatur, & vini potio consueta, sed labores parciores. Vomitione facta, paulatim ad consuetam victus rationem, velut scriptum est, deducito. Semel verò tantùm cibum capere per hoc tempus confert, quoad malum conquieuerit. Aliis autem quibusdam siccum quodammodo & exustum est alui recrementum, osque siccum & progressu temporis amarum euadit, aluus vrináque supprimitur. Cùm enim intestinum humiditatem non habeat, stercus ambiẽs intumescit, viasq; obstruit, & dolorem parit, calor prehendit, & quicquid biberit aut comederit, euomit, tãdem etiam stercus vomitione reiicit. Quò cùm peruenerit, minimè hic viuere potest.

καὶ τῶν βοτρύων καὶ τῶν σύκων ἐμφορεῖσθαι, ἔντε τοῖσι σιτίοισι. χρὴ δὲ καὶ ἐναριστῆν μικρόν. τοῖσι δὲ γυμνασίοισι, πλείοσι χρέεσθαι, δρόμοισι καμπτοῖσιν ἐκ προσαγωγῆς. ὑστάτοισι δὲ τροχοῖσι. καὶ μετὰ τὸν δρόμον, πάλη σὺν ἐλαίῳ. περιπάτοισι δὲ μὴ πολλοῖσιν ἀπὸ τῶν γυμνασίων. [43] ἀπὸ δὲ ὕπνου, ὅσον ἐξαναστῆναι, ὀρθρίοισι δὲ πλείοσι περιπάτοισι χρῆσθαι. λουέσθω δὲ θερμῷ. χρεέσθω δὲ πόνοισι καὶ χρίσμασιν. ὕπνοι δὲ πλείονα διδόσθω, [44] καὶ μαλθακοκοιτεέτω. χρὴ δὲ καὶ ἀφροδισιάσαι τι. τῶν δὲ σίτων ἀφελεῖν τὸ τέταρτον μέρος, ἐν ἡμέρῃσι δέκα. καὶ προσάγειν αὐτὸν πρὸς τὰ σιτία. εἰσὶ δέ τινες, οἷσι τὸ διαχώρημα ὑγρὸν διαχωρέει καὶ σεσηπός. τοῖσι δὲ ἄλλως ὑγιαίνουσι καὶ γυμναζομένοισιν, οὐδένα πόνον παρέχει. Οἱ δέ τινες, ἀποκλείονται τῶν προσηκόντων, περιϊόντος δὲ τοῦ χρόνου, τὰς σάρκας ἐπισπᾶται τῇ θερμασίῃ ἡ κοιλίη. καὶ πόνον δὴ παρέχει. καὶ τῶν σιτίων ἀποκλείονται. ἥ τε κοιλίη ἐξελκοῦται. στῆσαι δὲ χαλεπὸν ἤδη γίνεται αὐτήν. ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γνόντα τὴν κοιλίην θερμὴν, καὶ ὑγρὴν μᾶλλον τοῦ προσήκοντος. πόνων τε ὑπερβολὴν, ἀξυμφόρων γεγενημένην. τῇ δὲ δίαιτῃ, χρὴ ψύξαι καὶ ξηρᾶναι. καὶ πρῶτον μὲν τὰ ἡμίσεα γυμνάσια ἀφελεῖν. καὶ τῶν σιτίων, τὸ τρίτον μέρος. χρήσθω δὲ μάζῃ προφυρητῇ τριπτῇ. καὶ τοῖσιν ἰχθύσι, τοῖσι ξηροτάτοισιν ἑφθοῖσι. καὶ μήτε λιπαροῖσι, μήτε ἁλμυροῖσι. χρήσθω δὲ ὀπτοῖσι κρέασι, τοῖσιν ὀρνιθίοισιν. ἑφθοῖσι μὲν, φάττης, περιστερῆς. ὀπτοῖσι δὲ, περδίκων καὶ ἀλεκτρυόνων, ἀνηδύντοισι, λαγῴοισι δὲ, ἑφθοῖσιν ἐν ὕδατι. καὶ τοῖσιν ἀγρίοισιν ἅπασι. λαχάνοισι δὲ, ὅσα ψυκτικὰ, οἷον τοῖσι τευτλίοισι καθεφθοῖσιν ὀξηροῖσι. οἴνῳ δὲ μέλανι αὐστηρῷ. γυμνασίοισι δὲ, τροχοῖσιν ὀξέσιν. ἀλλὰ τρῖψις μὴ πολλὴ προσαγέσθω ἀλλ᾽ ὀλίγη, μηδὲ πάλη. ἀκροχειρίησις καὶ χειρονομίη, καὶ κωρυκομαχίη, καὶ ἀλίνδησις ἐπιτήδεια, ἀλλὰ μὴ πολλή. τοῖσι δὲ περιπάτοισι καὶ ἀπὸ τοῦ γυμνασίου χρήσθω ἱκνουμένοισι κατὰ τὸν πόνον. καὶ ἀπὸ τοῦ δείπνου, πλείοσι κατὰ τὰ σιτία. καὶ πρωῒ, ξυμμέτρως πρὸς τὴν ἕξιν. λουέσθω δὲ χλιερῷ, καὶ ἀτρεμεέτω. οὕτω διαιτηθεὶς ἡμέρας δέκα προσθέσθω τοῦ τε σιτίου τὸ ἥμισυ, καὶ τῶν πόνων τὸ τρίτον μέρος. καὶ ἔμετον ποιησάσθω, ἀπὸ σιτίων ξηρῶν καὶ στρυφνῶν. καὶ μὴ διατριβέτω ἐν τῷ σίτῳ, ἀλλὰ τὴν ταχίστην ἐμείτω. ἐκ δὲ τοῦ ἐμέτου, προσαγέσθω εἰς ἡμέρας τέσσαρας τὸ σιτίον καὶ τὸν πόνον μείζω. ὅταν δὲ ἡ δεκὰς τῶν ἡμερέων διέλθῃ, προσθέσθω τὸν σῖτον λοιπὸν, καὶ τῶν οἴνων τὸ πόπιμον, πλεῖον τῶν πόνων ἐνδεέστερον. καὶ ἔμετον ποιησάμενος, προσαγέσθω καθάπερ γέγραπται. μονοσιτέειν δὲ τοῦτον τὸν χρόνον ξυμφέρει μέχρις ἂν καταστήσῃ. Ἄλλοισι δέ τισι, [45] ξηρόν τι καὶ διακεκαυμένον τὸ διαχώρημα γίνεται. καὶ τὸ στόμα ξηρόν. προϊόντος δὲ τοῦ χρόνου, καὶ πικρὸν γίνεται. καὶ ἡ κοιλίη ἵσταται, καὶ ἡ οὔρησις. ὅταν γὰρ μὴ ἔχῃ τὸ ἔντερον ὑγρασίην, [46] περὶ τὸν ἀπόπατον περιοιδέει, ἀποφράσσει τὰς διεξόδους. ὀδύνην τε παρέχει. καὶ θέρμη λαμβάνει. καὶ ὅ,τι ἂν πίῃ ἢ φάγῃ, ἐξεμέει. τελευτῶν δὲ καὶ κόπρον ἐμέει. οὗτος οὐ βιώσιμος, ὅταν ἐς τοῦτο ἔλθῃ.

ἀλλὰ

ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι, γινώσκοντα[47] ὅτι ξηρῇ τῇ θέρμῃ κρατέεται ὁ ἄνθρωπος. διαιτῆσθαι οὖν χρὴ αὐτὸν, τῇ τε μάζῃ προφυρητῇ ῥαντῇ, καὶ ἄρτῳ σιτανίων πυρῶν, τῷ χυλῷ τῶν πιτύρων ἐζυμωμένῳ. λαχάνοισί τε χρῆσθαι, πλὴν τῶν δριμέων καὶ ξηρῶν, καὶ ἑφθοῖσι. καὶ τῶν ἰχθύων τοῖσι κουφοτάτοισιν ἑφθοῖσι. καὶ τοῖσι κεφαλαίοισι τῶν τε ἰχθύων καὶ καράβων, μυσὶ καὶ ἐχίνοισι, καὶ τοῖσι καρκίνοισι, καὶ τῶν κογχύλων, τοῖσι χυλοῖσι, καὶ αὐτοῖσι ὑγροτάτοισι. κρέασι δὲ τοῖσιν ὑείοισι ἀκροκωλίοισιν ἐμπροσθίοισιν ἑφθοῖσιν, καὶ ἐρίφων καὶ ἀρνῶν καὶ σκυλάκων ἑφθοῖσιν. ἰχθύων δὴ τοῖσι ποταμίοισι καὶ λιμναίοισιν ἑφθοῖσιν. οἴνῳ μαλακῷ, ὑδαρεῖ. τοῖσι δὲ πόνοισι μὴ πολλοῖσι,[48] μηδὲ ταχέσι, ἀλλ' ἡσύχοισι πᾶσι. τοῖσι δὲ περιπάτοισι πρωῒ μὲν χρήσθω, πρὸς τὴν ἕξιν ἱκανοῖσι, καὶ ἀπὸ γυμνασίου πόνων ξυμμέτροισιν. ἀπὸ δείπνου δὲ, μὴ περιπατείτω. λουτροῖσι δὲ χρήσθω, καὶ ὕπνοισι μαλακοῖσι, καὶ ἀρίστῳ. ὕπνῳ τε μετὰ τὸ ἄριστον, οὐ μακρῷ. ὀπώρῃ τε τῇ ὑγραινούσῃ, μετὰ τῶν σιτίων χρήσθω. καὶ τοῖσιν ἐρεβίνθοισι τοῖσι χλωροῖσι καὶ ξηροῖσι βρέξας ἐν ὕδατι. ἀφελέσθω δὲ τῶν πόνων τῶν πρόσθεν τοὺς ἡμίσεας. καὶ οὕτως ἐξ ἀρχῆς, καὶ ἔμετον ποιησάσθω ἀπὸ γλυκέων καὶ λιπαρῶν καὶ ἁλμυρῶν καὶ πλειόνων. ἐνδιατριβέτω δὲ τέως πλεῖστον χρόνον ἐν τοῖσι σιτίοισι πρὸς τοὺς ἐμέτους. εἶτα προσαγέτω τὸ σιτίον εἰς ἡμέρας τρεῖς.[49] καὶ μὴ μενέτω ἀνάριστος. ὁκόταν δὲ ἡμέραι δέκα γένωνται τῶν πόνων, προσαγέτω πλείονα. κὴν μὲν οὖν ἡ πλησμονὴ ἐνῇ[50] καὶ ἀπὸ σιτίου ἢ τῆς κοιλίης πλημμέλεια, ἐμεσάτω. ἢν δὲ μὴ, οὕτω θεραπευέσθω τὸν ἐπίλοιπον χρόνον. Γίνεται δὲ καὶ τοιάδε. φρῖκαι ἀπὸ τῶν περιπάτων ἐγγίνονται τῶν τοῦ ὄρθρου. καὶ τὴν κεφαλὴν βαρύνεται. τούτῳ πλείονες οἱ περίπατοι τῆς ξυμμετρίας. κενούμενον γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ τοῦ ὑγροῦ, φρίσσει καὶ βαρύνεται. προϊόντος δὲ τοῦ χρόνου, ἐς πυρετὸν ἀφικνέεται φρικώδεα. ἀλλ' οὐ χρὴ προσίεσθαι ἐς τοῦτο. ἀλλ' ἐκθεραπεύεσθαι πρότερον ὧδε. ὅταν γένηται τάχιστα τῶν τεκμηρίων τινὰ χρισάμενον, καὶ ἀνατριψάμενον ὀλίγα, τὸ ἄριστον ποιήσασθαι πλεῖον τοῦ εἰθισμένου. καὶ πιεῖν ἱκανὸν οἶνον μαλακὸν, εἶτα ὕπνῳ χρήσασθαι ἀπὸ τοῦ ἀρίστου ἱκανῶς. ἐς τὴν ἑσπέρην δὲ κούφοισι χρησάμενον γυμνασίοισι θερμῷ τε λουσάμενον, δειπνῆσαι τὸ εἰθισμένον. περιπάτοισι δὲ μὴ χρῆσθαι ἀπὸ δείπνου. διατρίβειν δὲ χρόνον.[51] τῇ δὲ ὑστεραίῃ ἀφελέσθω ἐν τῷ ὕδατι. ἐν ὕπνοισί τε μαλακοῖσι διαγέσθω.[52] ἡμέρῃσι δὲ πέντε, τοὺς προσαγέσθω κατὰ μικρόν. εἰσὶ δέ τινες οἳ φρίσσουσιν ἐκ τῶν γυμνασίων. καὶ ἐπειδὰν ἐκδύηται[53] μέχρις ἂν διαγωνίσηται. ὅταν δὲ ψύχηται, πάλιν φρίσσει. βρυγμός τε τὸ σῶμα ἔχει. ὑπνώσσει τε. ὅταν δὲ διεγείρηται, χασμᾶται πολλάκις. ἐκ δὲ τοῦ δείπνου τὰ βλέφαρα βαρέα αὐτοῦ. προϊόντος δὲ τοῦ χρόνου, καὶ πυρετοὶ ἐπιγίνονται φαῦλοι. φυλάσσεσθαι οὖν χρὴ μὴ προσίεσθαι ἐς τοῦτο,[54] ἀλλὰ θεραπεύεσθαι πρότερον ὧδε. πρῶτον μὲν τῶν γυμνασίων ἀφελέσθω πάντων τὰ ἡμίσεα. τοῖσι δὲ σιτίοισιν ἅπασι χρήσθω ὑγροτέροισί τε καὶ ψυχροτέροισι. καὶ τοῖσι πόμασι μαλακωτέροισι καὶ ὑδαρεστέροισιν. ὅταν δὲ παρέλθωσιν ἡμέραι πέντε, τῶν πόνων προσθέσθω τὸ τρίτον μέρος τῶν ἀφαιρεθέντων. τοῖσι δὲ σιτίοισι χρήσθω τοῖσιν αὐτοῖσι.

Verùm conſilio malis imminentibus antè proſpiciendum, vbi cognoueris quòd ſiccitas & caliditas in homine dominantur. Hanc igitur victus rationem huic inſtituere oportet, ex maza prius ſubacta, reſperſa, & pane ex tritico ſitanio, furfurum ſucco fermentato. Oleribus quoque coctis vti, præter quàm acribus & ſiccis, piſcibus etiam leuiſſimis coctis, piſciúmque & locuſtarũ capitibus, mitulis, erinaceis, & cancris, & conchyliorum ſuccis, iiſq; liquidiſſimis. Carnibus verò ſuillis, & animalium trunculis anterioribus coctis, hœdorum etiam & agnorum ac catulorum elixis. Piſcibus ſanè fluuialibus & in ſtagnis degentibus, coctis. Vino molli, aquoſo. Laboribus verò non multis, neque celeribus, ſed quietis. Deambulationibus autem matutinis vtatur, quæ pro corporis habitu ſatis ſint, & poſt exercitij labores moderatis, à cœna verò minimè deambulet. Balneis quoque vtatur & ſomnis mollibus, & prandio, ſomnóque a prandio non longo, fructibus etiam humectantibus cum cibis vtatur, & cicere viridi ſiccoque aqua macerato. De prioribus autem laboribus dimidium à principio ſubtrahatur, & poſt dulces, pingues, ſalſos, multóſque cibos vomitum faciat, plurimóque tempore in cibis immoretur, quoad vomat. Deinde per tres dies paulatim cibus aſſumatur, neq; impranſus maneat. Cùm verò dies decem præterierint, labores plures ſenſim adiiciat, & ſi quidem plenitudo ac ventriculi à cibo offenſio adſit, vomat, ſin minùs, reliquo tempore in iſta curatione perſeueret. Contingunt autem etiam iſta. Horrores à matutinis deambulationibus proueniunt, & caput grauatur. Huic deambulationes modum excedant. Corpus enim & caput humore vacuatum, horrore & grauitate vexatur, procedente verò tempore, in febrem cum horroris ſenſu incidit. Verùm ad hoc deueniendum non eſt, ſed hac curatione occurrendum. Cùm primùm ſigna aliqua ſe prodiderint, poſt inunctionem ac frictionem modicam, plus ſolito prandendum, & vinum molle abundè bibendum, deinde à prandio quod ſatis ſit dormiendum. Sub veſperam verò, poſt leues exercitationes, & calidæ balneum, more ſolito cœnandum. A cœna deambulationibus non vtendum, ſed aliquanto tempore immorãdum. Poſtridie verò aqua foueatur, & in mollibus ſomnis vitam traducat. Et per dies quinque ſenſim ad conſueta deducatur. Nonnulli autem poſt exercitationes in horrorem incidunt, & vbi quis exuitur, donec prælium conſerat, cùm verò refrigeratur, rurſus inhorreſcit, & dentium fremitus corpus occupat, ſomnóque grauatur, cumque expergiſcitur, ſæpiùs oſcitat. A cœna verò ei palpebræ ingraueſcunt, progreſſuque temporis malignæ febres ſuccedunt. Cautione igitur vtendum, nec huc vſque res negligenda eſt, ſed ad hunc modum curatione occurrendum. Imprimis quidem exercitationum omnium dimidium detrahatur. Cibis verò omnibus humidioribus & frigidioribus vtatur, potibuſque mollioribus & dilutioribus. Vbi autem dies quinque præterierint, detractorum laborum tertia pars adiiciatur, cibis verò iiſdem vtatur.

Post alios autem quinque dies, reliquorum laborum dimidium adiiciatur. Rursusque alio quinto pòst die, labores omnes sed leuiores paucioresque restituito, vt ne iterum exuperantia contingat. Iis enim qui signis huiusmodi conflictantur, labores cibos excedũt. Æquales igitur reddere oportet. Ac quibusdam hæc non contingunt, sed partim quędam, partim verò minimè. In omnibus autem istis signis, labores cibos superant, curatióque eadem est. His autem calidæ balneum, & molle cubile conducit, semelque atque iterum inebriari, sed non supra modum. Quòd si post hæc rerum venerearum vsus accesserit, a laboribus quiescendum, à deambulationibus verò in totum abstinendum.

πέμπτῃ δὲ ἡμέρῃ ἄλλῃ, τοὺς ἡμίσεας τῶν λοιπῶν πόνων προσθέσθω. αὖθις δὲ πέμπτῃ, μετὰ τοῦτο ἀπόδος τοὺς πόνους πάντας, καὶ κουφοτέρους τε καὶ ἐλάσσονας, ὡς μὴ πάλιν ὑπερβολὴ γένηται. τοῖσι γὰρ πάσχουσι ταῦτα τὰ τεκμήρια, οἱ πόνοι κρέσσους εἰσὶ τῶν σιτίων. ἀνισάζειν οὖν χρή. ἐνίοισι δὲ, οὐ ταῦτα πάσχουσιν. ἀλλὰ τὰ μὲν, τὰ δ' οὔ. πάντων δὲ τουτέων τῶν τεκμηρίων, οἱ πόνοι κρατέουσι τῶν σίτων. καὶ ἡ θεραπείη ἡ αὐτή. ξυμφέρει δὲ τούτοισι, θερμολουτέειν, καὶ μαλακῶς εὐνάζεσθαι. μεθυσθῆναι δὲ ἅπαξ ἢ δὶς, πλὴν ἀλλὰ μὴ ἐς ὑπερβολήν. ἀφροδισιάσαι τε ὅταν ἐπιγένηται, ῥαθυμῆσαι πρὸς τοὺς πόνους· περιπάτους δὲ μὴ ποιῆσαι ὅλως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

HIPPOCRATIS DE INSOMNIIS, LIBER.

QVI de his quę per somnos contingunt rectè coniectauerit, is ea per omnia magnam habere vim comperiet. Animus enim vigilat, & cùm quidem corpori subministrat, in multas partes diuisus, sui tantùm rationẽ non habet, sed singulis corporis partibus, partem quandam distribuit, sensibus nimirũ, ad audiendum, videndum, tangendum, ambulandum, agendũ, denique ad omne corporis obsequium, adeóque ipsa mens sui solùm rationem non habet. Cùm verò corpus quiescit, animus mouetur, & in corporis partes subrepens, domũ suam regit, omnesq; corporis actiones obit. Neque enim corpus dum dormit sentit, ipse vero vigilans cognoscit, quæ sub visionem & auditionem cadunt, videt & audit, vadit, tangit, tristitia afficitur, secum cogitat, ac (vt semel dicam) quæcunque corporis aut animi officia, ea omnia per somnum animus peragit. Quisquis igitur recte ista diiudicat, is nõ minimam sapientiæ partem assequitur. Quæ igitur somnia à Diis immittuntur, & quædam bona, vel mala, aut vrbibus, aut priuato populo, nulla sua culpa euentura denunciant, quidam de his exquisito artificio diiudicãt. Quas verò corporis affectiones animus antè denunciat, quæ scilicet ex repletione, vel inanitione, per rerũ à natura insitarum exuperantiam, vel consuetarum mutationem contingunt, de his quidem iudicant, & partim assequuntur, partim aberrant, neque vtriusque causam agnoscunt, neque cur assequantur, neque cur aberrent. Cúmque præcauendum esse, ne quid detrimenti contingat, adhortantur, neque tamen quomodo cautio adhibenda sit docent, sed Diis vota concipere iubent. Quod quidem etsi decorum est & optimum, oportet tamen & manus admouentem Deorum opem aduocare. De quibus se res habet ad hunc modum. Quæ insomnia de diurnis actionibus mens humana vespere sub noctem in somnis offert, & eodem modo reddit,

Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν, ὅστις ὀρθῶς γινώσκει, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. ἡ γὰρ ψυχὴ ἐγρήγορεν. ὅταν μὲν οὖν σώματι ὑπηρετέῃ, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίνεται αὐτὴ ἑωυτῆς, ἀλλ' ἀποδίδωσί τι μέρος ἑκάστῳ τοῦ σώματος, ἤγουν τῇσιν αἰσθητηρίοισιν. ἀκοῇ. ὄψει. ψαύσει. ὁδοιπορείῃ. πρήξει. καὶ πάσῃ τῇ τοῦ σώματος διανοίῃ. αὐτὴ δὲ ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη, καὶ ἐπεξέρπουσα τὰ μέρεα τοῦ σώματος, διοικεῖ τὸν ἑαυτοῦ οἶκον. καὶ τὰς τοῦ σώματος πρήξιας ἁπάσας αὐτὴ διαπρήσσεται. τὸ μὲν γὰρ σῶμα καθεῦδον, οὐκ αἰσθάνεται. ἡ δὲ ἐγρηγορέουσα, γινώσκει. καθορῇ τε τὰ ὁρατὰ, καὶ διακούει τὰ ἀκουστά. βαδίζει. ψαύει. λυπεῖται. ἐνθυμέεται. ἐν ὀλίγῳ, ὁκόσαι οὐ σώματος ὑπηρεσίαι, ἢ τῆς ψυχῆς, ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης. ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι, καὶ προσημαίνει τινὰ συμβησόμενα ἢ πόλεσιν, ἢ τοῖς ἰδιώτῃσι λαοῖς, κακὰ, ἢ ἀγαθὰ, μὴ δι' αὐτῶν ἁμαρτίην, εἰσὶν οἳ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες. ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος ὑπερβολὴν τῶν ξυμφύτων, ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα· καὶ τὰ μὲν τυγχάνουσι, τὰ δὲ ἁμαρτάνουσι, καὶ οὐδέτερα τούτων γινώσκουσι, διότι οὖν γίνεται, οὔθ' ὅτι ἂν ἐπιτύχωσιν, οὔθ' ὅτι ἂν ἁμάρτωσι. φυλάσσεσθαι δὲ παραινέοντες, μή τι κακὸν λάβῃ, οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔχεσθαι κελεύουσι. καὶ τὸ μὲν εὔχεσθαι πρέπον, καὶ λίην ἐστὶν ἀγαθόν. δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα, τοὺς θεοὺς ἐπικαλέεσθαι. ἔχει οὖν περὶ τούτων ταῦτα, ὧδε. ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πρήξιας τοῦ ἀνθρώπου ἡ διάνοια ἐς τὴν εὐφρόνην ἐνυπνιάζεται ἑσπέρην, καὶ ἀποδίδωσι κατὰ τρόπον γινόμενα

ἃ περὶ τὴν ἡμέρησιν ἐπρήχθη, ἢ ἐβουλεύθη ἐν δικαίῳ
πρήγματι, ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά. ὑγείην γὰρ
σημαίνει· διότι ἡ ψυχὴ παρέμεινεν ἐν τοῖσιν ἡμερινοῖσι
βουλεύμασιν, οὔτε πλησμονῇ κρατηθεῖσα, οὔτε
κενώσει, οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. ὅταν δὲ
πρὸς τὰς ἡμερινὰς πρήξιας ὑπεναντιῶται τὰ ἐνύ-
πνια καὶ ἐγγίνηται περὶ αὐτέων ἡ μάχη, ἠνίκα ἂν τοῦτο
συμβαίνῃ, ταραχὴν σημαίνει ἐν τῷ σώματι· καὶ ἢν μὲν
ἰσχυρὴ ᾖ, ἰσχυρὸν δὲ κακὸν, ἢν δὲ φαύλη, ἀσθενέστερον. περὶ
μὲν οὖν τῆς πρήξιος, εἴτε δεῖ ἀποτρέπειν, εἴτε μὴ δεῖ, οὐ 10
κρίνω. τὸ δὲ σῶμα τοῦ ἀνθρώπου θεραπεύεσθαι ξυμβου-
λεύω. πλησμονῆς γάρ τινος ἐγγινομένης, ἀπόκρισις ἐγέ-
νετό τις, ἥτις ἐτάραξε τὴν ψυχήν. ἢν μὲν οὖν ἰσχυρὸν ᾖ
τὸ ἐναντιωθὲν, ἔμετόν τε ξυμφέρει ποιήσασθαι, καὶ τοῖσι
σιτίοισι κούφοισι προσάγειν ἐς ἡμέρας πέντε. καὶ τοῖσι
περιπάτοισι πολλοῖσι καὶ ὀξέσιν ἐκ προσαγωγῆς χρέ-
εσθαι. καὶ τοῖσι γυμνασίοισιν ἐπιγυμνάζεσθαι συμμέ-
τροισι πρὸς τὴν προσαγωγὴν τῶν σιτίων. ἢν δὲ ἀσθε-
νέστερον τὸ ἐναντιωθὲν γένηται, ἀφελὼν τὸν ἔμετον, τὸ τρί-
τον μέρος ἄφελε τοῦ σιτίου. καὶ τοῦτο ἡσυχῇ προσάγου 20
πάλιν ἐς τὰς πέντε ἡμέρας. καὶ τοῖσι περιπάτοισι πιέζειν.
καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρέεσθαι, καὶ τοῖσι θεοῖσι εὔ-
χεσθαι. καὶ καταστήσεται αὐτῷ ἡ ταραχή. ἥλιον δὲ καὶ σε-
λήνην, καὶ οὐρανὸν καὶ ἀστέρας, καθαρὰ καὶ εὐαγέα, κατὰ
τρόπον δρώμενα ἕκαστα, ἀγαθά. ὑγείην γὰρ τῷ σώματι
σημαίνει, ἀπὸ πάντων τῶν ὑπαρχόντων. ἀλλὰ χρὴ διαφυ-
λάσσειν ταύτην τὴν ἕξιν, τῇ παρεούσῃ διαίτῃ. εἰ δέ τι
τούτων ὑπεναντίον γένοιτο, νοῦσόν τινα τῷ σώματι σημαί-
νει. ἀπὸ μὲν τῶν ἰσχυρῶν, ἰσχυροτέρην· ἀπὸ δὲ τῶν ἀσθε-
νεστέρων, κουφοτέρην. καὶ ἄστρων μὲν οὖν ἡ ἔξω περίοδος. 30
ἡλίου δὲ, ἡ μέση. σελήνης δὲ, ἡ πρὸς τὰ κοῖλα. ὅ,τι μὲν
οὖν δοκέοι τούτων τῶν ἄστρων σβέννυσθαι, ἢ βλάπτεσθαι, ἢ
ἀφανίζεσθαι, ἢ ἐπέχεσθαι τῆς περιόδου, κατ᾽ αὐτὸ τὸ μέ-
ρος καὶ τὴν νοῦσον προσγίνεσθαι. καὶ ἢν μὲν ὑπὸ ἀέρος
ὁρᾷ ἢ νεφέλης τι τῶν ἄστρων τούτων πάσχον, ἀσθενέστερον.
[10] ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον. σημαίνει
δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὴν καὶ φλεγματώδεα
γενομένην, [11] ἐς τὴν ἔσω περιφορὴν ἐμπεπτωκέναι. ξυμ-
φέρει τοιγαροῦν τούτῳ, τοῖσί τε δρόμοισιν [12] ἐν τοῖσιν ἱμα-
τίοισι χρῆσθαι πολλοῖσιν ἐξ ὀλίγου. προσάγοντα, ὅκως 40
ἐξιδρώσῃ ὡς μάλιστα. καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ γυ-
μνασίου, πολλοῖσι καὶ ἀναρίστοισι χρῆσθαι. τῶν τε σιτίων ἀφε-
λόμενος τὸ τρίτον μέρος, προσάγειν ἐς πέντε ἡμέρας. εἰ δὲ
δοκέοι ἰσχυρὸν εἶναι, καὶ πυριῆσαι. [13] τὴν γὰρ κάθαρσιν διὰ τοῦ
χρώματος ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ
ἐστι τὸ βλάβος. τοῖσι δὲ σιτίοισι χρῆσθαι ξηροῖσι, δριμέσιν,
αὐστηροῖσιν. [14] ἀκρήτοισι. καὶ τοῖσι πόνοισι, τοῖσι ξηραίνουσι
μάλιστα. εἰ δὲ τούτων ἡ σελήνη πάσχοι, εἴσω τὴν ἀντίσπασιν ποιέεσθαι ξυμφέρει, ἐμέτῳ χρησάμενον ἀπὸ τῶν δριμέων
καὶ ἁλμυρῶν, καὶ μαλακῶν σιτίων. τοῖσι δὲ τροχοῖσιν ὀξέσι, καὶ τοῖσι περιπάτοισι ὀξέσι. τοῖσι δὲ τῆς φωνῆς πό-
νοισι καὶ ἀναριστίῃσι, καὶ τοῦ σίτου τῇ ἀφαιρέσει καὶ προσαγωγῇ ὡσαύτως. διὰ τοῦτο δὲ εἴσω ἀντισπαστέον, διότι
πρὸς τὰ κοῖλα τοῦ σώματος βλαβερὸν ἐφάνη. εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχοι, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον.

quo per diem in re iusta, gesta aut consulta sunt, ea bona & sanitatem portendere existimanda sunt, propterea quòd animus neq; plenitudine vlla, neq; euacuatione, neq; alia re quauis extrinsecus irruente superatus, in diurnis consiliis perseuerat. At insomnia quæ diurnis actionibus aduersantur, neq; de his inter se conuenit, cùm id contigerit, perturbatione in corpore denunciát. Et vehemens quidem, malum vehemens, leuis verò debilius indicat. De actione igitur vtrum reuocāda sit nécne, nihil statuo, corpus verò vti curetur consulo. Vbi enim plenitudo inciderit, secretio quædam excitatur, quæ animum perturbat. Ac si quidem quod aduersum est vehemens fuerit, vomitum ciere conducit, & cibos leues sensim adhibere ad dies quinque. Deambulationibus quoq; multis ac concitatis, sensim adiectione facta vti, & exercitationes pro ciborum adiectione moderatas adhibere. Quòd si quod aduersum est debilius fuerit, dempta vomitione, cibi tertiam partem detrahito, eamq; sensim rursus ad dies quinq; adiicito, & deambulationes vrgeto. Sed & vocis exercitationes adhibeat, & Diis supplicationes decernat, & conquiescet perturbatio. Sol, Luna, cœlum & stellæ, pura quæque & suo motu agitata, in somnis visa, bona sunt. Sanitatem enim corporis, omniumq; eius partium significat. Atque hunc habitum præsenti victus ratione conseruare oportet. Quòd si quid contrà contingat, aliquē corporis morbum portendit, à vehementibus quidem vehementiorem, à debilioribus verò leuiorem. Et astris quidē exterior corporis ambitus respōdet, Soli medius, Lunæ verò qui ad cauitates spectat. Si quod igitur istorum siderum extingui, aut lædi, aut euanescere, aut cursum sustinere videatur, in illa ipsa parte morbum euenturum indicat, & leuiorem quidem si ab aëre aut nube huiusmodi sideribus quid contingere videat, si verò ab aqua aut grandine, grauiorem. Secretionem enim humidam & pituitosam in corpore factam, & in externum ambitum incidisse indicat. Huic igitur cōducit, vt vestibus indutus cursibus vtatur multis sensim increscentibus, vti quàm maxime sudet, & deambulationibus post exercitationem multis, etiam absque prandio, substractâq; tertia ciborum parte, paulatim ad dies quinque adiicere. Quod si vehemens morbus videatur, etiam somētis vtendum. Nam cùm in externo corporis ambitu offensio existat, purgationem per cutim facere confert. Cibis verò vtendum siccis, acribus, austeris, meracis, & laboribus maximè exiccantibus. At si ex his aliquid Lunæ contingat, ad interna reuulsionem facere vtile est, post acres, salsuginosos & molles cibos, vomitione vtendo, cursibus verò circularibus citatis, ac deambulationibus celeribus. Vocis etiam exercitatione vtendum, & prandij abstinentia, cibique substractione, & vicissim sensim adiectione facta. Ad interiora verò ideo reuellendum, quoniam in coporis cauitatibus offensio conspicitur. Si autem quid tale Soli contingat, vehementius vtique malum est, & difficiliùs expellitur.

Vtramque verò in partem reuulsiones faciendæ, & cursibus, tum flexis, tum circularibus vtendũ, & deambulationibus, aliisq; omnis generis laboribus. Ciborum etiam subtractione, & sensim facta adiectione eodem modo. Deinde vomitu facto, rursus ad dies quinq; paulatim cibos adhibere. Quòd si sereno cœlo sidera premantur, & imbecilla esse videantur, ambitusq; siccitate detineri, imminentis morbi periculum denũciat. Sed labores subtrahẽdi, & victus ratione humidiore & molli vtendũ, & balneis, ocioq; copiosiore, & somno multo, quoad malũ conquiescat. Si verò igneum & calidũ esse videatur, quod eis aduersatur, bilis secretionem arguit. Quòd si etiam euicta dispareant, imminens ex morbo mortis periculũ est. Si verò terga vertisse, & in præsenti in fugam à persequentibus verti, ac celeriter fugere videantur, insanię periculum, nisi curetur, imminet. His verò omnibus post veratri purgationẽ, optimè instituta victus ratio conducit. Alioqui vt victus ratione ad aquam tendente vtantur expedit, neq; vinum bibant, nisi albũ, tenue, molle, & dilutum. Acribus, siccantibus, calefacientibus, salsuginosis abstineant, laboribus secundum naturam plurimis vtantur, & cursibus in veste plurimis. Frictio verò ne adsit, neq; lucta, neq; volutatio in puluere. Per somnos molliter recubet, & in ocio degat, laboribus secundũ naturã exceptis, & à cœna obambulet. Prodest etiam fomentis vti, & à fomẽto vomere. Per triginta dies minimè repleatur, vbi verò repletus fuerit, cibariis sumptis dulcibus, aquasis & lenibus, bis in mense vomat. Quæ verò ex his nulla necessitate coacta huc vel illuc oberrãt, animi perturbationem quandam ex solicitudine indicant. Huic autem confert, vt cùm animi relaxationẽ adhibeat, tum animum ad iucunda maximeq; risum mouentia spectacula conuertat. Sin minus, per biduum aut triduũ ea spectet ex quibus maximã voluptatem captet, & malum cõquiescet, alioqui periculum est ne in morbum incidat. Quæ autem sidera pura & splendida suo ambitu excidere videntur, si prorsum ferãtur, sanitatem denunciant. Quod enim in corpore purum est, cùm secundum naturam suo ambitu excernitur, à vespera ad auroram fertur, & bene habet. Quæ enim in ventriculo secernuntur, & in carnem reiectantur, ea omnia suo ambitu excidunt. Quod verò horũ nigrum & obscurum, ad vesperam ferri videtur, si mare, aut terrã, aut sursum petat, hęc magis morbos portendũt. Et quæ quidem sursum feruntur, capitis fluxionem denotant, quę verò in mare, ventris morbos. Quæ autem in terram, tubercula potissimùm in carnem eruptura significant. His vtile est tertiam cibi partem detrahere, & post vomitum, sensim ad dies quinq; adiicere. In aliis autem quinq; diebus totum cibum reponere, & vomitu facto, rursus eodem modo sensim adiiciendo exhibere. Ex his verò quodcunq; purũ & humidũ cœlo insidero tibi videbitur, sanitatẽ denunciat, quoniam ex æthere in hominem venit, tale verò quale ingressum est, animus etiã cernit. Quod autem nigrum, impurũ, minimè perspicuũ fuerit, morbum portendit, non ob plenitudinem aut euacuationem,

δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιέεσθαι καὶ τοῖσι δρόμοισι, τοῖσί τε καμπτοῖσι τροχοῖσι χρέεσθαι, καὶ τοῖσι περιπάτοισι, καὶ τοῖσιν ἄλλοισι πόνοισι πᾶσι. τὴν δὲ σίτων τῇ ἀφαιρέσει, καὶ τῇ προσαγωγῇ ὡσαύτως. ἔπειτα ἐξεμέσαντα, αὖθις προσάγειν πρὸς τὰς πέντε. εἰ δὲ αἰθρίης οὔσης θλίβεται καὶ ἀσθενέα δοκέῃ εἶναι,[16] ὑπὸ τῆς ξηρασίης τῆς περιόδου κρατέεσθαι, σημαίνει κίνδυνον εἰς νοῦσον πεσεῖν. ἀλλὰ χρὴ τὴν πόνων ἀφαιρέειν, τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι. καὶ λουτροῖσι καὶ ῥαθυμίῃ πλείονι. καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστῇ. εἰ δὲ πυρῶδες δοκέῃ εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει. εἰ δὲ καὶ ἀφανίζοιτο τὰ κρατούμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νούσου ἐλθεῖν. εἰ δὲ τετράφθαι δοκέῃ, φαίνεσθαι ἐς φυγὴν τὸ ὑπάρχον. φεύγειν δὲ ταχέως,[17] τοὺς δὲ διώκειν, κίνδυνος μανῆναι τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. ξυμφέρει δὲ τούτοισι πᾶσι[18] κάλλιστα μὲν, ἐλλεβόρῳ κρατηθέντας διαιτῆσθαι. ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρῆσθαι ξυμφέρει, οἶνον δὲ μὴ πίνειν.[19] εἰ δ' ὦν, λευκὸν, λεπτὸν, μαλακὸν, ὑδαρῆ. ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν. πόνοισι δὲ τοῖσι κατὰ φύσιν πλείστοισι χρέεσθαι. καὶ δρόμοισιν ἐν ἱματίῳ πλείστοισι. τρῖψις δὲ μὴ ἔστω. μηδὲ πάλη. μηδὲ ἀλίνδησις.[20] ὕπνοισι μαλακοῖσι εὐδέτω. καὶ ῥαθυμείτω, πλὴν τὴν κατὰ φύσιν πόνον. ἀπὸ δὲ τοῦ δείπνου περιπατείτω. ἀγαθὸν δὲ καὶ πυριῆσθαι. ἐμέειν δὲ ἐκ τῆς πυρίης. τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῇ. ὅταν δὲ πληρωθῇ, δὶς ἐν τῷ μηνὶ ἐμεσάτω ἀπὸ τῶν γλυκέων, καὶ ὑδαρῶν, καὶ κούφων. ὁκόσα δὲ τούτων πλανᾶται ἄλλοτε ἄλλῃ μὴ ὑπ' ἀνάγκης, ψυχῆς τινα ταραχὴν σημαίνει ὑπὸ μερίμνης. ξυμφέρει δὲ τούτῳ[21] ῥαθυμῆσαί τε καὶ τὴν ψυχὴν τραπῆναι πρὸς θεωρίας. μάλιστα μὲν[22] πρὸς τὰς φερούσας γέλωτας. εἰ δὲ μὴ, ὅτι μάλιστα ἡσθήσεται θεασάμενος, ἡμέρας δύο ἢ τρεῖς, καὶ καταστήσεται. εἰ δὲ μὴ, κίνδυνος ἐς νοῦσον πεσεῖν. ὅ,τι δ' ἂν ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέῃ τῶν ἄστρων, ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ καὶ πρόσω δοκεῖ φέρεσθαι, ὑγιείην σημαίνει. ὅ,τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν, ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν[23] ἀφ' ἑσπέρας, πρὸς ἠῶ ὀρθῶς ἔχει.[24] καὶ γὰρ τὰ ἐν τῇ κοιλίῃ ἀποκρινόμενα, καὶ τὰ ἐς τὴν σάρκα ἀποδιδόμενα, ἅπαντα ἐκ τῆς περιόδου ἐκπίπτει. ὅ,τι δ' ἂν τούτων μέλαν καὶ ἀμυδρὸν, καὶ πρὸς ἑσπέρην δοκέῃ φέρεσθαι, ἢ ἐς τὴν θάλασσαν, ἢ ἐς τὴν γῆν, ἢ ἄνω, μάλιστα ταῦτα σημαίνει τὰς νούσους. τὰ μὲν ἄνω φερόμενα,[25] ῥεύματα κεφαλῆς ἐστι δηλοῦντα. ὁκόσα δὲ ἐς θάλασσαν, κοιλίης νουσήματα. ὁκόσα δὲ ἐς γῆν, ἐκφύματα μάλιστα σημαίνει, τὰ ἐν τῇ σαρκὶ φυόμενα. τούτοισι ξυμφέρει, τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέσθαι. ἐμέσαντα δὲ προσάγειν ἐς ἡμέρας πέντε, ἐν ἄλλῃσι δὲ πέντε, κομίσασθαι τὰ σιτία πάντα. καὶ ἐμέσαντα πάλιν προσαγέσθω κατὰ τὸν αὐτὸν τρόπον. ὅ,τι δ' ἂν τούτων οὐρανίοισιν ἐφέζεσθαι δόξῃ σοι[26] καθαρὸν τε ὑγρὸν ἐὸν, ὑγιαίνειν σημαίνει, διότι ἐκ τοῦ αἰθέρος ἐς τὸν ἄνθρωπον κατελθόν ἐστι. τοιοῦτον δὲ καὶ ἡ ψυχὴ ὁρᾷ, οἷον ἐσελήλυθεν. ὅ,τι δ' ἂν μέλαν ἢ καὶ μὴ καθαρὸν,[27] μηδὲ διαφανὲς, νοῦσον σημαίνει, οὔτε διὰ πλησμονὴν, οὔτε διὰ κένωσιν, ἀλλ' ἔξωθεν

ἀλλ᾽ ἔξωθεν ἐπαγωγῆς. ξυμφέρει δὲ τούτῳ τρόχοισιν ὀξέσι κεχρῆσθαι, ὅκως σύντηξις ὡς ἐλαχίστη τοῦ σώματος γίνηται. πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος, ἐκκρίνῃ τὸ παρελθόν. ἀπὸ δὲ τῶν τρόχων, περιπάτοισιν ὀξέσιν. ἡ δὲ δίαιτα μαλακὴ καὶ κούφη προσαχθήτω ἐς ἡμέρας τέσσαρας. ὅ,τι δ᾽ ἂν λαμβάνειν παρὰ θεοῦ δοκῇ καθαρὸν, ἀγαθὸν πρὸς ὑγιείην. σημαίνει γὰρ τὰ ἐσιόντα ἐς τὸ σῶμα, εἶναι καθαρά. ὅ,τι δ᾽ ἂν τούτου τὸ ἐναντίον δοκῇ ὁρᾷν, οὐκ ἀγαθόν. νόσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐληλυθέναι. χρὴ οὖν ὡς τὸ πρότερον, θεραπευθῆναι καὶ τοῦτον. εἰ δὲ δοκέοι ὕεσθαι ὕδατι μαλθακῷ ἐν εὐδίῃ καὶ μὴ σφόδρα βρέχεσθαι, μηδὲ δεινῶς χειμάζειν, ἀγαθόν. σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος εἰσεληλυθέναι. εἰ δὲ τούτων τἀναντία, σφόδρα ὕεσθαι καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί τε μὴ καθαρῷ, νόσον σημαίνει ἀπὸ [28] πνεύματος τοῦ ἐπακτοῦ. ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι σιτίοισί τε ὀλίγοισι πάντας τούτοις. περὶ μὲν τῶν οὐρανίων σημείων ἄστρων, οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι, καὶ ἐκδιαιτᾶσθαι, καὶ τοῖς θεοῖς εὔχεσθαι. ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν, ἡλίῳ. Διῒ οὐρανίῳ. Διῒ κτησίῳ. Ἀθηνᾷ κτησίῃ. Ἑρμῇ. Ἀπόλλωνι. ἐπὶ δὲ τοῖσιν ἐναντίοισι [29] τοῖσιν ἀποτροπαίοισι, καὶ γῇ, καὶ ἥρωσιν ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα. προσημαίνει δὲ καὶ τάδε πρὸς ὑγιείην [30] τῶν ἐπὶ γῆς ὀξὺ ὁρᾷν καὶ ἀκούειν. ὁδοιπορεῖν τε ἀσφαλῶς, καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φόβου. καὶ τὴν γῆν ὁρᾷν λείην καὶ καλῶς εἰργασμένην. καὶ τὰ δένδρεα θάλεοντα, καὶ πολύκαρπα, καὶ ἥμερα, καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον καὶ ὕδατι καθαρῷ μήτε πλείονι μήτε ἐλάττονι τοῦ προσήκοντος. τάς τε κρήνας, καὶ τὰ φρέατα ὡσαύτως. ταῦτα πάντα οὕτως ὁρώμενα, σημαίνει ὑγείαν τῷ ἀνθρώπῳ. καὶ τὸ σῶμα κατὰ τρόπον. πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς καὶ τὰς ἀποκρίσεις εἶναι. εἰ δέ τι τούτων ὑπεναντίον ὁρῷτο βλάβος σημαίνει τι ἐν τῷ σώματι. [31] ὄψεως μὲν καὶ ἀκοῆς βλαπτομένων, περὶ τὴν κεφαλὴν νόσον σημαίνει. τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι, καὶ τοῖσιν ἀπὸ δείπνου πλέοσι χρηστέον, πρὸς τῇ προτέρῃ διαίτῃ. τῶν σκελέων δὲ βλαπτομένων, ἐμέτοισι ἀντισπαστέον καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. [32] τὴν δὲ τραχεῖαν, οὐ καθαρὰν τὴν σάρκα σημαίνει. τοῖσιν οὖν ἀπὸ γυμνασίων περιπάτοισι πλείοσι πονητέον. [33] Δένδρων δὲ ἡ ἀκαρπία [34] σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ. ἢν μὲν οὖν φυλλοῤῥοοῦντα ᾖ τὰ δένδρα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται. ἢν δὲ τεθηλημένα, ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν. τὰ μὲν οὖν, τοῖσι διαιτήμασι χρὴ ξηραίνειν καὶ θερμαίνειν. τὰ δὲ, ψύχειν καὶ ὑγραίνειν. Ποταμοὶ δὲ μὴ κατὰ τρόπον γινόμενοι, αἵματος περίοδον σημαίνουσι. πλέον μὲν ῥέοντες, ὑπερβολήν. ἔλαττον δὲ ῥέοντες, ἔλλειψιν. δεῖ δὲ τῇ διαίτῃ, τὸ μὲν αὐξῆσαι, τὸ δὲ μειῶσαι. μὴ καθαροὶ δὲ ῥέοντες, ταραχὴν σημαίνουσι. καθαίρεται δὲ ὑπὸ τῶν τρόχων καὶ τῶν περιπάτων, πνεύματι πυκνῷ ἀνακινούμενα. κρῆναι δὲ καὶ φρέατα θεώμενα, πνεύματα περὶ τὴν κύστιν σημαίνει. ἀλλὰ χρὴ τοῖσιν οὐρητικοῖσιν ἐκκαθαίρειν.

sed ex eo quod extrinsecus inductum est. Huic confert vt cursibus circularibus concitatis vtatur, quò quàm minima corporis colliquatio contingat & vbi spiritu quàm creberrimo vsus fuerit, id quod aduenit excernat. Post cursus autem deambulationibus concitatis vtatur. Victus autem ratio ad dies quatuor, mollis & leuis adhibeatur. Quicquid verò purum à Deo sumere sibi quis videtur, id bonum est sanitatis augurium. Ea enim quæ in corpus ingesta sunt, pura esse indicat. At verò quicquid huic contrarium videre quis putat, bonum non est. Morbum enim corpori aduenisse significat. Huic igitur, velut priori, eadem curatio adhibenda est. Si quis clementi cœlo, molli pluuia complui, & neq; vehementer, neq; cum graui tempestate demissa madefieri videatur, bonum est. Commoderatū enim & purum spiritū ex aëre ingressum esse significat. Quòd si his contraria contingant, vt quis vehementer complui aqua impura, & cū tempestate ac procella videatur, morbum à spiritu inducto. Verùm huic quoq; eadem victus ratio obseruanda est, iisq; omnibus modicus cibus exhibendus. Ac de signis quidem siderum cœlestibus, sic statuere & consilio prouidere, ad idque victus rationem dirigere oportet, & Diis supplicationes decernere. Ad res quidem prosperas, Soli, Ioui cœlesti, Ioui Ctesio, Mineruę Ctesię, Mercurio, Apollini. Ad aduersas verò, Diis auerruncatoribus, & Terræ, & Heroibus, vt grauia omnia auertant & auerruncent. At verò hæc quoque sanitatem portendunt, ea quæ in terra fiunt acutè cernere & audire, firmiter item iter facere, & securè ac sine metu currere, terram planam ac bene cultam videre, arbores item pullulātes, fructibus onustas & satiuas. Flumina etiā cursu solito labentia, & aqua limpida, neq; copiosiore, neque pauciore quàm conueniat, fontesq; & puteos eodem modo. Hęc omnia visa sanitatem homini denunciant, corpusq; & ambitus omnes, ciborumq; exhibitiones, & excretiones rectè habere. Quòd si quid his quodammodo aduersum videatur, noxiam aliquam in corpore significat. Visu quidem & auditu læso, capitis morbus indicatur. Matutinis igitur deambulationibus, & post cœnam pluribus vtendū, adiecta priore victus ratione. Cruribus verò læsis, vomitibus reuellendū, & frequentiore lucta vtendū, seruata etiam priore victus ratione. Terra verò aspera, carnem minimè puram indicat. Plurimæ igitur deambulationes post exercitationes obeundæ. Arborum autem sterilitas, seminis humani corruptelam significat. Si igitur ab arboribus folia decidant, ab humidis & frigidis offensionē denotāt. Sin verò frondosæ fuerint arbores, at fructu careant, à calidis & siccis. Hæc igitur per victus rationem refrigerare atque humectare oportet, illa verò siccare & calefacere. Flumina non pro more existentia, sanguinis ambitum denotant, & plus iusto quidem fluentia, exuperantiam, minus verò defectum. Hunc autem per victus rationem augere, illū verò imminuere oportet. Cùm verò impura defluunt, perturbationē indicant, quæ à cursibus circularibus ac deambulationibus, per densi spiritus agitationem expurgatur. Fontes & putei si videantur, flatus circa vesicam significant, qui medicamentis vrinam promouentibus sunt expurgandi.

Mare perturbatum, ventris morbum significat. sed aluū deiiciētibus, & leuibus, & mollibus expurgare oportet. Terra aut domus si moueri videatur, sane quidem imbecillitatem, ęgro verò sanitatem, præsentisq; status immutationem portēdit. Sano igitur victus rationem transmutare conuenit. Imprimis vomat, ac rursum paulatim cibum assumat, nimirum quòd corpus ex pręsenti victus ratione totum moueatur. At ægro eadem victus ratio confert, cùm nimirum corpus ex pręsenti statu transmutetur. Terra ab aquę aut maris diluuio inundari si videatur, morbum ob multam humiditatem in corpore existentem denunciat. Sed vomitibus, prandij abstinentia, laboribus, & victus ratione sicca vtendum, deinde ex paruis interuallis modicus cibus adiiciendus. Sed neq; nigram, neq; exustam terram videre bonum censetur, contrà verò ne vehemens ac lethalis morbus cōsequatur periculum est. Siccitatis enim in carne exuperantiam significat. Sed labores & cibos tum siccos, tum calidos & acres, vrinamq; cientes detrahere oportet, & in victus ratione ptisanæ succum decoctum, omniaq; mollia & leuia, sed pauca exhibere. Potu vtendum diluto, albo, copioso, balneis calidis, multis, verùm ne ieiunus lauet, molliter cubet ac dormiat, in ocio conquiescat, frigus Solemq; vitet. Terræ autem, Mercurio & Heroibus vota faciat. Quòd si in stagno, aut mari, aut fluminibus quis natare videatur, bonum non est, cùm humiditatis exuperantiam indicet. Huic autē victus ratio sicca & labores conferunt. Ac febricitanti bonū est, quoniam calor ab humoribus extinguitur. Quod autem quis modo consueto & ad naturam suam accommodato circum se fieri videt, neque maius, neq; minus, bonę valetudinis indicium est. Veste etiam alba, & calciamento pulcherrimo indutum esse, bonū. Quicquid verò horū iusto maius fuerit, minimè bonum, sed neque quodcunque tandem minus fuerit. Et hoc quidem per victus rationem augere, illud verò imminuere oportet. Nigra autem morbosiora sunt & periculo proxima, verùm emollire & humectare oportet. Noua quoque transmutationem significant. Mortuos nitidos & candidatos videre bonū est, bonū quoq; quid purum ab ipsis sumere. Corporū enim & eorum quæ ingeruntur salubritatem indicat, cùm à mortuis alimenta & incremēta & semina proueniūt. Quæ si pura in corpus ingrediūtur, sanitatem denunciant. Quod si cōtrà quis nudos, aut atratos, aut sordidatos, aut aliquid accipientes, vel ædibus exportantes videat, minimè est accommodatū. Morbū enim indicat, quòd quę in corpus ingerantur noxia sint. Verū cursibus circularibus & deambulationibus repurgari oportet, & vomitu facto alimentū molle & lene sensim adhibere. Quæ verò corpora in somnis formam monstrosam ostendunt, & hominē perterritant, ciborum minimè assuetorū repletionem, & secretionem, viliosorumq; per vomitū & secessum effusionem, ac periculosum morbū indicāt. Verùm vomitus procurādus, & ad dies quinq; cibi quàm leuissimi, nō multi neq; acres, neque sicci, neque calidi sensim adhibendi, & laboribus maxime ad naturam accommodatis, vtendum, præter quàm deambulationibus à cœna.

Θάλασσα ταρασσομένη, κοιλίης νοῦσον σημαίνει. ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν. Γῆ κινευμένη θεωμένη, ἢ οἰκίη, ὑγιαίνοντι μὲν ἀνδρὶ, ἀσθενείην σημαίνει. νοσέοντι δὲ, ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος. τῷ μὲν οὖν ὑγιαίνοντι, μεταστῆσαι τὴν δίαιταν ξυμφέρει. ἐμεσάτω πρῶτον.[35] εἶτα προσδεξάσθω αὖθις κατὰ μικρόν. ἀπὸ γὰρ τῆς ὑπαρχούσης κινέεται ἅπαν τὸ σῶμα. τῷ δὲ ἀσθενοῦντι ξυμφέρει χρῆσθαι τῇ αὐτῇ διαίτῃ. μεθίσταται γὰρ δὴ τὸ σῶμα, ἐκ τοῦ παρεόντος. κατακλυζομένην γῆν ἀπό τινος ὕδατος ἢ θαλάσσης ὁρῆν, νοῦσον σημαίνει, ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι ἐμέτοισι, καὶ ἀναριστήσει, καὶ τοῖσι πόνοισι, καὶ τοῖσι ξηροῖσι διαιτήμασι χρῆσθαι. ἔπειτα προσάγειν ἐξ ὀλίγων, καὶ ὀλίγοισιν.[36] ἀλλ' οὐδὲ μέλαιναν ὁρῆν γῆν οὐδὲ κατακεκαυμένην δοκεῖ ἀγαθὸν, ἀλλὰ κίνδυνος ἰσχυροῦ νοσήματος ἀντιτυχεῖν καὶ θανασίμου. ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει εἶναι ἐν τῇ σαρκί. ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν, τοῦ τε σίτου ὁκόσα ξηρά τε καὶ θερμὰ καὶ δριμέα καὶ οὐρητικά.[37] διαιτῆσθαί τε τῷ τε πτισάνης καθεφθῷ τῷ χυλῷ. καὶ πᾶσι τοῖς μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι. ποτῷ χρέοντι ὑδαρεῖ λευκῷ πλείονι. λουτροῖσι πολλοῖσι θερμοῖσιν. ἀλλὰ μὴ ἄσιτος λουέσθω. μαλακευνείτω. ῥαθυμεέτω. ψῦχος καὶ ἥλιον φυλασσέσθω. εὔχεσθαι δὲ γῇ, καὶ ἑρμῇ καὶ τοῖσιν ἥρωσιν. εἰ δὲ κολυμβᾷν ἐν λίμνῃ, ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμοῖσι δοκέει, οὐκ ἀγαθόν. ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει. ξυμφέρει δὲ τούτῳ,[38] τῇ διαίτῃ ξηρῇ τε πόνοισι χρῆσθαι. πυρέσσοντι δὲ ἀγαθόν. σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τοῦ ὑγροῦ. ὅ,τι δ' ἄν τις περὶ αὑτοῦ ὁρᾷ κατὰ τρόπον γινόμενον πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ, μήτε μείζω, μήτε ἐλάσσω, ἀγαθὸν πρὸς ὑγείην ἐστί. καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι, καὶ ὑπόδεσιν τὴν καλλίστην, ἀγαθόν.[39] ὅ,τι δ' ἂν εἴη μεῖζον τῶν μελῶν, οὐκ ἀγαθόν. ἀλλ' οὐδ' ὅταν εἴη ἔλασσον. καὶ χρὴ τὸ μὲν αὔξειν τῇ διαίτῃ. τὸ δὲ μειοῦν. τὰ δὲ μέλανα νοσερώτερά τε καὶ ἐπικίνδυνα. ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν. καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει. τοὺς ἀποθανόντας ὁρῆν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν, ἀγαθόν. καὶ λαμβάνειν τι παρ' αὐτῶν καθαρὸν, ἀγαθόν. ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων καὶ τῶν ἐσιόντων. ἀπὸ γὰρ τῶν ἀποθανόντων, αἱ τροφαὶ καὶ αὐξήσιες καὶ σπέρματα γίνονται. ταῦτα δὲ καθαρὰ εἰσέρπειν ἐς τὸ σῶμα, ὑγείην σημαίνει. ἢν δὲ τοὐναντίον τις ὁρῷη, γυμνοὺς ἢ μελανοείμονας, ἢ μὴ καθαροὺς, ἢ λαμβάνοντάς τι, ἢ φέροντας ἐκ τῆς οἰκίας, οὐκ ἐπιτήδειον. σημαίνει γὰρ νοῦσον. τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά. ἀλλὰ χρὴ τοῖσι τροχοῖσι καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι. καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέσαντα. ὁκόσα δὲ ἄμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι καὶ φοβέει τὸν ἄνθρωπον, σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν καὶ ἀπόκρισιν. καὶ χολέρην, καὶ νοῦσον κινδυνώδη. ἀλλὰ χρὴ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐς ἡμέρας πέντε, σιτίοισιν ὡς κουφοτάτοισι μὴ πολλοῖσι, μηδὲ δριμέσι, μήτε τοῖσι ξηροῖσι, μήτε τοῖσι θερμοῖσι. καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων.

χρῆσθαι

χρῆσθαι δὲ καὶ λουτροῖσι καὶ θερμολουτίῃσι, καὶ ῥαθυμίῃσιν. ἥλιον δὲ καὶ ψῦχος, φυλάττεσθαι. Ην δὲ ἐν τοῖς ὕπνῳ ἐσθίειν δοκῇ, ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, ἔνδειαν σημαίνει τροφῆς, καὶ ψυχῆς ἀθυμίην. κρέα δὲ τὰ μὲν ἰσχυρότατα, μεγίστης ὑπερβολῆς. τὰ δὲ ἀσθενέστατα, ἧσσω. ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθὸν, οὕτω καὶ ὁρώμενον. ἀφαιρέειν οὖν τῶν σιτίων, ξυμφέρει. τροφῆς γὰρ ὑπερβολὴν τοῦτο σημαίνει. ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ' ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. ὕδωρ δὲ καθαρὸν πινόμενον, ἀγαθόν. τὰ δὲ ἄλλα πάντα, βλάπτει. Ὁκόσα δὲ δοκέει ὁ ἄνθρωπος θεωρεῖν τῶν συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. ὁκόσα δὲ φεύγει πεφοβημένος, [4] ἐπίστασιν τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης. ξυμφέρει δὲ ψύξαι καὶ ὑγρᾶναι τὸ σῶμα. ὁκόσα δὲ ἢ μάχεται, ἢ κεντέεται, ἢ ξυνδέεται, ὑπ' ἄλλου, ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγονέναι τῷ σώματι. συμφέρει οὖν ἐμέειν καὶ ἰσχναίνειν καὶ περιπατεῖν. καὶ σιτίοισι κούφοισι χρῆσθαι. καὶ προσάγειν ἐκ τοῦ ἐμέτου, ἐς ἡμέρας πέντε. ἀλλὰ καὶ πλάνοι καὶ ἀναβάσιες ἐκ φαντασμάτων, χαλεπὰ ταῦτα σημαίνουσι. ποταμῶν διαβάσιες. καὶ ὁπλῖται καὶ πολέμιοι. καὶ τέρατα ἀλλόμορφα, νοῦσον σημαίνει, ἢ μανίην. ξυμφέρει οὖν τοῖς ἐν τοιούτοισιν ἁλωμένοισι, σιτίοισιν ὀλίγοισι, κούφοισί τε καὶ μαλακοῖσι χρέεσθαι. καὶ ἐμέτοισι προσάγειν ἡσυχῇ, ἐπὶ ἡμέρας πέντε. καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πολλοῖσι χρέεσθαι, πλὴν ἀπὸ δείπνου. θερμολουσίην δὲ, ῥαθυμίην, ψῦχος, ἥλιον φυλάσσεσθαι. τούτοισι χρώμενος, ὡς γέγραπται, ὑγιαίνει τὸν βίον. καὶ εὕρηταί μοι δίαιτα, ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ὄντα ξὺν τοῖσι θεοῖσιν.

Balneis etiam & calidis lauacris vtendum, & in ocio degendum, sol & frigus vitanda. Per somnum verò si quis solitos cibos aut potus sibi edere videatur, alimenti inopiam, animique abiectionem indicat. Carnes autem validissimæ, maximæ exuperantiæ indices sunt, debilissimæ verò, minoris. Quemadmodum enim id quod editur bonum est, ita & quod cernitur. Cibos igitur subtrahere conuenit, cùm alimenti exundantis id sit indicium. Quinetiam panes ex caseo & melle confecti, per somnum comesti, eadem indicant. Aquam puram per somnum bibere, boni est indicio, reliqua verò omnia nocent. Quæcunque ex consuetis per quietem quis sibi cernere videtur, ea animi desiderium significant. Quæ verò perterritus fugit, sanguinis repressionem præ siccitate indicant. Corpus autem refrigerare & humectare conducit. Quod si quis aut pugnare, aut pungi, aut ab aliis vinciri sibi videtur, secretionem ambitui contrariam in corpore factam significat. Vomere igitur confert & attenuare, ac deambulare, cibisq; leuibus vti, & à vomitu per dies quinque, eos sensim adhibere. Quin & errores & ascensus in somnis apparentes, grauia quædam denuntiant. Fluuiorum transitus, hostes armati, monstra difformia, morbum aut furorem presagiunt. His igitur conducit qui talibus insomniis detinentur, vt cibis paucis, leuibus ac mollibus vtantur, & vomitibus factis, ad dies quinque leniter cibos adhibeant. Laboribus quoque multis naturæ accommodatis vtendum, præterquàm à cœna. Balnea calida, ocium, frigus & sol vitanda. Qui his velut conscripta sunt vtetur, integram valetudinem sibi tota vita comparabit. Atque hæc victus ratio, quantum humano ingenio consequi licuit, Diis benè iuuantibus, à me est inuenta.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ.

HIPPOCRATIS DE ALIMENTO, LIBER.

ΤΡοφὴ καὶ τροφῆς εἶδος, μία καὶ πολλαί. μία μὲν, ᾗ γένος ἕν. εἶδος δὲ, ὑγρότητι καὶ ξηρότητι. καὶ ἐν τούτοισιν ἰδέαι, καὶ πόσον ἐστὶ, καὶ ἐς τίνα καὶ ἐς τοσαῦτα. αὔξει δὲ, καὶ ῥώννυσι, καὶ σαρκοῖ, καὶ ὁμοιοῖ, καὶ ἀνομοιοῖ τὰ ἐν ἑκάστοισι κατὰ φύσιν τὴν ἑκάστου, καὶ τὴν ἐξ ἀρχῆς δύναμιν. ὁμοιοῖ δὲ, ἐς δύναμιν. [2] ὁκόταν κρατέει μὲν, ἡ ἐπιοῦσα. ἐπικρατέει δὲ, ἡ προϋπάρχουσα. [3] γίνεται δὲ καὶ ἐξίτηλος. ὅτε μὲν, ἡ προτέρη ἐν χρόνῳ ἀπολυθεῖσα, ἢ ἐπιπροστεθεῖσα. ὅτε δὲ, ἡ ὑστέρη ἐν χρόνῳ ἀπολυθεῖσα, ἢ ἐπιπροστεθεῖσα. ἀμαυροῖ δὲ ἑκατέρας ἐν χρόνῳ καὶ μετὰ χρόνον ἡ ἔξωθεν συνεχὴς ἐπεισκριθεῖσα, καὶ ἐπὶ πολλὸν χρόνον στερεμνίως πᾶσι τοῖσι μέλεσι διαπλακεῖσα. καὶ τὴν μὲν ἰδίην ἰδέην, ἐξεβλάστησε. τὴν δὲ προτέρην, [4] ἔστιν ὅτε καὶ τὰς προτέρας ἐξημαύρωσε.

ALIMENTVM & alimenti species, vnum & multæ. Vnum quidem, quatenus genus vnum, species verò humiditate & siccitate circumscribitur, in hisque formæ & quantitas inest, & ad quædam, & ad tanta referuntur. Auget autem & robur infert, carnem gignit, similitudinem & dissimilitudinem in singulis pro cuiusq; natura inducit, & ea facultate quam habet ab initio. At similitudinem pro viribus inducit, cùm quæ superuenit superat, quæ verò priùs adest principatum obtinet. Euanescit autem interdum quidem priùs, tempore dimissum aut superappositum, interdum verò posterius, tempore dimissum & superappositum. Extrinsecus verò continuò in corpus subiens, vtrunque temporis spatio, & post illud tempus abolet, & longo tempore membris omnibus firmiter adnexum, propriam quidem formam producit, priorem autem, interdum etiam priores delet.

Alimenti verò vis ad os & omnes illius partes, pertingit, & ad neruum, ad venam, ad arteriam, ad musculum, ad membranam, ad carnem, pinguedinem, sanguinem, pituitam, medullam, cerebrum, medullam spinalem, & interanea, omnesque illorum partes, quinetiam ad caliditatem, ad spiritum, & ad humiditatem. In alimentorũ genere id quod alit alimentum est, & quod alimento est proximum, & quod alimentum futurum est. Omnium autem vnum est principium, vnusque omnium finis, idemque finis & principium. Quæque in singulas partes proba & vitiosa alimenti fit dispensatio, proba quidem vt prædictum est, vitiosa verò, his contrarium habet ordinem. Succi coloribus & viribus variant, & qui noceant, & qui iuuent, & qui neque noceant, neque iuuent, & copia, & exuperantia, & defectu, & horum quidem commixtione, horum verò non & omnium. Caliditate lædunt & iuuant, frigore lædunt & iuuant, facultate lædunt & iuuant. Facultatis autem variæ sunt naturæ. Succi & totum, & partem corrumpentes, & extrinsecus, & intrinsecus, spontanei & minimè spontanei. Quò ad nos quidem spontanei, quo ad causam autem minimè spontanei. Causæ rursus aliæ quidem manifestæ, aliæ obscuræ, & aliæ quidem quæ sciri possunt, aliæ non possunt. Natura omnia omnibus sufficit. Ad eam extrinsecus quidem accedunt, cataplasma, illitus, vnctio, nuditas & tegumentum totius & partis, calor & frigus ad eandem rationem, & vlceratio, morsus, & quod pinguefacit. Intrinsecus autem, & ex prædictis quædam, & adhæc causa occulta, & toti & parti, & cuidam etiam, cuidam verò minimè. Excretiones secundum naturam, ventris, vrinarum, sudoris, sputi, muci, vteri per ora venarum quæ sunt in ano (hæmorrhoidas vocant) thymum, lepram, tuberculum in cutem sponte erumpens (φῦμα dicitur) carcinoma, ex naribus, è pulmonibus, ex ventre, ex ano, ex cole, secundum naturam, & præter naturam horum distinctiones, aliis iuxta aliam rationem, interdum etiam alio modo. Vna horum omnium est natura, & non vna. Multæ horum omnium naturæ, & non vna. Medicamentum purgans sursum & deorsum, & neque sursum, neque deorsum. In alimento medicamentum purgans, optimum, in alimento medicamentum purgans, malum. Malum & optimum ad aliud referuntur. Vlcus, crusta, sanguis, pus, sanies, lepra, furfur, vlcera capitis manantia, impetigo, vitilligo, lentigo, interdum quidem lædit, interdum verò iuuat, est vbi neq; lædit, neq; iuuat. Alimẽtum, minimè alimentum. Nisi alere queat, nomine est alimentum, non re. Re alimentum, nomine non item. Alimentum in pilos, in vngues, & in extimam superficiem ab internis partibus peruenit. Ab externis partibus alimẽtum, ab externa superficie, ad intima peruenit. Confluxio vna, conspiratio vna, consentiẽtia omnia. Ad vniuersam quidẽ totius naturam, omnia, ad particularem verò, partis cuiusq; particulæ ad opus. Principium magnum ad extremam partem peruenit, ex parte extrema ad magnum principium peruenit. Vna natura, esse & non esse. Morborum differentiæ in alimẽto, in spiritu, in calore, in sanguine, in pituita, in bile, in humoribus, in carne, in pinguedine, in vena, in arteria, in neruo, musculo, mẽbrana, osse, cerebro, spinali medulla, ore, lingua, gula, ventriculo,

δύναμις δὲ τροφῆς, ἀφικνέεται, καὶ ἐς ὀστέον, καὶ πάντα τὰ μέρεα αὐτοῦ. καὶ ἐς νεῦρον. καὶ ἐς φλέβα. καὶ ἐς ἀρτηρίην. καὶ ἐς μῦν. καὶ ἐς ὑμένα. καὶ σάρκα. καὶ πιμελήν. καὶ αἷμα. καὶ φλέγμα. καὶ μυελόν. καὶ ἐγκέφαλον. καὶ νωτιαῖον. καὶ τὰ ἐντοσθίδια, καὶ πάντα τὰ μέρεα αὐτῶν. καὶ δὴ καὶ ἐς θερμασίην. καὶ πνεῦμα. καὶ ὑγρασίην.[1] τροφὴ δὲ τὸ τρέφον. τροφὴ δὲ τὸ οἷον τροφή, καὶ τὸ μέλλον τροφή. ἀρχὴ δὲ πάντων μία καὶ τελευτὴ πάντων μία. καὶ ἡ αὐτὴ τελευτὴ καὶ ἀρχή. καὶ ὅσα κατὰ μέρος ἐν τροφῇ καλῶς καὶ κακῶς διοικέεται, καλῶς μὲν, ὅσα προείρηται. κακῶς δὲ, ὅσα τούτοισι τὴν ἐναντίαν ἔχει τάξιν. χυλοὶ ποικίλοι καὶ χρώμασι, καὶ δυνάμεσι, καὶ ἐς βλάβην, καὶ ἐς ὠφελείην. καὶ οὔτε βλάπτειν οὔτε ὠφελέειν. καὶ πλήθει. καὶ ὑπερβολῇ. καὶ ἐλλείψει. καὶ διαπλοκῇ. ὧν μὲν, ὧν δ᾽ οὔ.[6] καὶ πάντων ἐς θερμασίην βλάπτει καὶ ὠφελέει. ἐς ψύξιν βλάπτει καὶ ὠφελέει. ἐς δύναμιν βλάπτει καὶ ὠφελέει. δυνάμιος δὲ, ποικίλαι φύσιες. χυλοὶ φθείροντες καὶ ὅλον καὶ μέρος, καὶ ἔξωθεν καὶ ἔνδοθεν.[7] αὐτόματοι καὶ οὐκ αὐτόματοι.[8] ἡμῖν μὲν, αὐτόματοι. αἰτίῃ δ᾽, οὐκ αὐτόματοι. αἰτίη δ᾽ αὖ. τὰ μὲν δῆλα. τὰ δ᾽ ἄδηλα. καὶ τὰ μὲν, δυνατά. τὰ δ᾽ ἀδύνατα.[9] φύσις ἐξαρκέει πάντα πᾶσιν.[10] ἐς δὲ ταύτην ἔξωθεν μὲν, κατάπλασμα. καταχρίσμα. ἄλειμμα. γυμνότης.[11] καὶ σκέπη ὅλου καὶ μέρεος. θέρμη καὶ ψύξις κατὰ τὸν αὐτὸν λόγον. καὶ στύψις. καὶ ἕλκωσις. καὶ δηγμός. καὶ λίπασμα. ἔνδοθεν δὲ, τινά τε τῶν εἰρημένων. καὶ ἐπὶ τούτοισιν, αἰτίη ἄδηλος, καὶ μέρει καὶ ὅλῳ. τινὶ τε καὶ οὐ τινί. ἀποκρίσιες κατὰ φύσιν κοιλίης, οὔρου, ἱδρῶτος, πτυάλου, μύξης, ὑστέρης. καθ᾽ αἱμορροΐδα,[12] θύμον, λέπρην, φῦμα. καρκίνωμα. ἐκ ῥινῶν. ἐκ πνεύμονος. ἐκ κοιλίης. ἐξ ἕδρης. ἐκ καυλοῦ. κατὰ φύσιν καὶ παρὰ φύσιν. αἱ διακρίσιες τούτων, ἄλλοισι πρὸς ἄλλον λόγον, ἄλλοτε καὶ ἀλλοίως. μία φύσις ἐστὶ ταῦτα πάντα, καὶ οὐ μία. πολλαὶ φύσιες εἰσὶ ταῦτα πάντα, καὶ μία. φαρμακείη ἄνω καὶ κάτω. καὶ οὔτε ἄνω, οὔτε κάτω.[13] ἐν τροφῇ φαρμακείη, ἄριστον ἐν τροφῇ φαρμακείη, φλαῦρον. φλαῦρον καὶ ἄριστον πρός τι. ἕλκος. ἐσχάρη. αἷμα. πύον. ἰχώρ. λέπρη. πίτυρον. ἀχώρ. λειχήν. ἀλφός. ἔφηλις. ὁτὲ μὲν, βλάπτει. ὁτὲ δὲ, ὠφελέει. ὁτὲ δὲ, οὔτε βλάπτει οὔτε ὠφελέει. τροφὴ, οὐ τροφή. ἢν μὴ οἷόν τε ᾖ τρέφεσθαι. οὔνομα τροφή. ἔργον δὲ, οὐχί. ἔργον τροφὴ, οὔνομα δὲ οὐχί. ἐς τρίχας τροφὴ, καὶ ἐς ὄνυχας, καὶ ἐς τὴν ἐσχάτην ἐπιφανείην ἔνδοθεν ἀφικνέεται.[14] ἔξωθεν τροφὴ ἐκ τῆς ἐσχάτης ἐπιφανείης, ἐνδοτάτω ἀφικνέεται.[15] ξύρροια μία. ξύμπνοια μία. ξυμπαθέα πάντα κατὰ μὲν οὐλομελίην πάντα, κατὰ μέρος δὲ, τὰ ἐν ἑκάστῳ μέρει μέρεα πρὸς τὸ ἔργον. ἀρχὴ μεγάλη, εἰς ἔσχατον μέρος ἀφικνέεται. ἐξ ἐσχάτου μέρεος ἐς ἀρχὴν μεγάλην ἀφικνέεται.[16] μία φύσις εἶναι καὶ μὴ εἶναι. νούσων διαφοραὶ, ἐν τροφῇ, ἐν πνεύματι. ἐν θερμασίῃ, ἐν αἵματι. ἐν φλέγματι. ἐν χολῇ. ἐν χυμοῖσιν. ἐν σαρκί. ἐν πιμελῇ. ἐν φλεβί. ἐν ἀρτηρίῃ. ἐν νεύρῳ. μυΐ. ὑμένι. ὀστέῳ. ἐγκεφάλῳ. νωτιαίῳ μυελῷ. στόματι. γλώσσῃ. στομάχῳ. κοιλίῃ.

ἐντέροι-

ἐντέροισι. φρεσί. ὑποχονδρίῳ. ἥπατι. σπληνί. νεφροῖ-
σι. κύστει. μήτρῃ. δέρματι. ταῦτα πάντα καὶ καθ' ἓν καὶ
κατὰ μέρος. μέγεθος αὐτῶν, μέγα καὶ οὐ μέγα. τεκμήρια.
[17] γαργαλισμός. ὀδύνη. ῥῆξις. γνώμη. ἱδρώς. οὔρων ὑπό-
στασις, ἡσυχίη. ῥιπτασμός. ὄψιες. φαντασίαι. ἴκτερος. λυ-
γμός. [18] ἐπιληψίη. αἷμα ὁλοσχερές. ὕπνος. καὶ ἐκ τούτων καὶ
ἐκ τῶν ἄλλων τῶν κατὰ φύσιν, καὶ ὅσα ἄλλα τοιουτότροπα
ἐς βλάβην καὶ ἐς ὠφελίην ὁρμᾷ. πόνοι ὅλου, καὶ μέρεος.
καὶ μεγέθεος σημήια, τοῦ μὲν, ἐς τὸ μᾶλλον, τοῦ δὲ, ἐς τὸ
ἧσσον. καὶ ἀπὸ ἀμφοτέρων ἐς τὸ μᾶλλον, καὶ ἀπὸ ἀμφο- 10
τέρων ἐς τὸ ἧσσον. γλυκὺ, οὐ γλυκύ. γλυκὺ, ἐς δύναμιν.
[19] οἷον ὕδωρ. γλυκὺ ἐς γεῦσιν, οἷον μέλι. σημήια ἑκατέρων
ἕλκεα, ὀφθαλμοὶ, καὶ γεύσιες. καὶ ἐν τούτοισι τὸ μᾶλλον,
καὶ τὸ ἧσσον. γλυκὺ ἐς τὴν ὄψιν, καὶ ἐν χρώμασι, καὶ ἐν
ἄλλῃσι μίξεσι. γλυκὺ μᾶλλον καὶ ἧσσον. [20] ἀραιότης σώ-
ματος ἐς διαπνοὴν, οἷσι πλέον ἀφαιρέεται, ὑγιεινότερον.
πυκνότης σώματος ἐς διαπνοὴν, οἷσιν ἔλαττον ἀφαιρέεται,
νοσερόν. οἱ διαπνεόμενοι καλῶς, ἀσθενέστεροι, καὶ ὑγιεινό-
τεροι, καὶ εὐανάσφαλτοι. οἱ διαπνεόμενοι κακῶς, πρὶν ἢ
νοσέειν, ἰσχυρότεροι. νοσήσαντες δὲ, δυσανάσφαλτοι. ταῦτα 20
δὲ, καὶ ὅλῳ καὶ μέρει. [21] πνεύμων ἐναντίην σώματι τροφὴν
ἕλκει. τὰ δ' ἄλλα πάντα τὴν αὐτήν. [22] ἀρχὴ τροφῆς πνεύ-
ματος, ῥῖνες. στόμα. βρόγχος. πνεύμων. καὶ ἡ ἄλλη διαπνοή.
[23] ἀρχὴ τροφῆς καὶ ὑγρῆς καὶ ξηρῆς, στόμα. στόμαχος. κοιλίη.
[24] ἡ δὲ ἀρχαιοτέρη τροφὴ, διὰ τοῦ ἐπιγαστρίου, ὀμφαλός.
[25] ῥίζωσις φλεβῶν, ἧπαρ. ῥίζωσις ἀρτηριῶν, καρδίη.
ἐκ τούτων ἀποπλανᾶται ἐς πάντα αἷμα καὶ πνεῦμα. καὶ
θερμασίη διὰ τούτων φοιτᾷ. [26] δύναμις μία καὶ οὐ μία,
ἣ πάντα ταῦτα καὶ τὰ ἑτεροῖα διοικέεται. ἡ μὲν, ἐς ζωὴν
ὅλου καὶ μέρεος. ἡ δὲ, ἐς αἴσθησιν ὅλου καὶ μέρεος. γά- 30
λα τροφή. οἷσι γάλα τροφὴ κατὰ φύσιν. ἄλλοισι δὲ οὐχί.
ἄλλοισι δὲ οἷσιν, οἶνος τροφή. καὶ οἷσιν οὐχὶ τροφή. καὶ σάρκες. καὶ
ἄλλαι ἰδέαι τροφῆς πολλαί. καὶ κατὰ χώρην καὶ ἐθισμὸν [27] τρέ-
φεται, τὰ μὲν, ἐς αὔξησιν, καὶ ἐς τὸ εἶναι. τὰ δὲ, ἐς τὸ εἶναι
μόνον. οἷον γέροντες. τὰ δὲ πρὸς τούτων, καὶ ἐς ῥώμην.
[28] διάθεσις ἀθλητικὴ, οὐ φύσει. ἕξις ὑγιεινὴ κρείσσων ἐν
πᾶσι. [29] μέγα τὸ ποσὸν εὐστόχως ἐς δύναμιν ξυναρμοσθέν.
γάλα καὶ αἷμα, τροφῆς πλεονασμός. [30] περίοδοι ἐς
πολλὰ σύμφωνοι, ἐς ἔμβρυον καὶ ἐς τὴν τούτου τροφήν.
αὖθις δὲ ἄνω ῥέπει ἐς γάλα, καὶ ἐς τροφὴν, καὶ ἐς 40
βρέφος. [31] ζώουσι τὰ μὴ ζῶα. ζώουσι τὰ ζῶα. ζώου-
σι τὰ μέρεα τῶν ζώων. [32] φύσιες πάντων ἀδίδακτοι.
αἷμα ἀλλότριον, ὠφέλιμον. αἷμα ἴδιον, ὠφέλιμον. αἷμα
ἀλλότριον, βλαβερόν. αἷμα ἴδιον, βλαβερόν. χυμοὶ ἴδιοι,
βλαβεροί. χυμοὶ ἀλλότριοι, βλαβεροί. χυμοὶ ἀλλότριοι,
ξυμφέροντες. χυμοὶ ἴδιοι, ξυμφέροντες. τὸ ξύμφωνον, διά-
φωνον. τὸ διάφωνον, ξύμφωνον. γάλα ἀλλότριον, ἀστεῖον. γά-
λα ἴδιον, βλαβερόν. γάλα ἀλλότριον, βλαβερόν. γάλα
ἴδιον, ὠφέλιμον. σιτίον νέοισιν [33] ἀκροσαπές. γέρουσι δὲ ἐς τέ-
λος μεταβεβλημένον. ἀκμάζουσιν ἀμετάβλητον. [34] ἐς τύ-
πωσιν, λε', ἥλιοι. ἐς κίνησιν, ο'. ἐς τελειότητα, σι'. ἄλλοι φασὶ ἐς μορφὴν, με'. ἐς κίνησιν, ος'. ἐς ἔξοδον σι'. ἄλλοι, ν' ἐς ἰδέην.

intestinis, septo transuerso, abdomine, iecore, liene, renibus, vesica, vtero, cute, hæc omnia tum sigillatim, tum per partes. Magnitudo ipsorum magna & non magna. Indicia, titillatio, dolor, ruptio, mens, sudor, vrinarum sedimentum, quies, iactatio, visus, imaginationes, morbus regius, singultus, morbus comitialis, sanguis integer, somnus. Et ex his, & ex aliis quæ insunt à natura, & quæcunque eiusmodi ad noxam & vtilitatem tendunt. Labores totius & partis, & magnitudinis signa, alterius quidem ad maius, alterius verò ad minus, & ex vtrisque ad maius, & ex vtrisq; ad minus. Dulce non dulce. Dulce facultate, velut aqua, dulce gustu, velut mel. vtrorumque signa, vlcera, oculi, & gustus, & in his magis & minus. Dulce ad aspectum, & in coloribus, & in aliis mixturis, dulce magis & minus. Corporis raritas ad perspirationem, quibus amplius aufertur, salubrior. Corporis densitas ad perspirationem, quibus minus aufertur, insalubrior. Quibus corp⁹ probè perspirat, ij imbecilliores & salubriores existunt, prompteq; restituuntur. Quibus malè perspirat, ij priùs quàm ægrotent, robustiores sunt, cùm verò in morbum inciderunt, egrius restituuntur. Hæc autem & toti & parti attribuuntur. Pulmo contrarium corpori alimentum trahit, & reliqua omnia idem. Alimenti spiritus principium nares, os, guttur, pulmo, reliquaque perspiratio. Alimenti tum humidi tum sicci principium, os, gula, ventriculus. At antiquius alimentum per abdomẽ, vmbilicus. Venarum origo tanquàm radix, hepar est; & arteriarum, cor. Ex his per omnia sanguis & spiritus peruagatur, calorq; per hæc permeat. Facultas vna & non vna, ex qua hęc omnia, & ab his diuersa administrantur. Alia quidem ad totius & partis vitam, alia verò ad sensum totius & partis. Lac, alimentũ. quibusdã pro natura lac alimentum est, aliis verò minimè. Sunt quibus vinum alimentum est, sunt quibus non est. Et carnes multæque aliæ alimenti formæ, & pro regione, & pro consuetudine. Aluntur hæc quidem ad incrementum, & vt subsistant, hæc verò tantum vt subsistant, veluti senes, alia insuper ad robur. Affectio athletica non est à natura. præstat in omnibus habitus salubris. Quantitatem aptè ad vires accommodatam recta coniectura consequi, ardua res est. Lac & sanguis, alimenti redundantia. Circuitus ad multa consentiunt, ad fœtum, & ad illius alimentum. Rursus autem sursum repit, in lac & in alimẽtum, & ad infantem. Vitam habent non animantia, vitã habent animãtia, & animantiũ partes. Omniũ naturæ à nullo edoctæ sunt. Sanguis alienus vtilis, sanguis ꝑprius vtilis. sãguis alienus noxius, sãguis ꝑprius noxius. Humores proprij noxij, humores alieni noxij. Humores alieni conferentes, humores proprij conferentes. Consentiens, minimè consentiens. Dissentiens minimè dissentiens. Lac alienũ probũ, lac proprium noxium. Lac alienũ noxium, lac proprium vtile. Cibus iuuenibus leniter coctus, senibus extremè immutatus, in ætatis vigore constitutis minimè immutatus. Ad conformationem, Soles triginta quinque; ad motionem, septuaginta; ad perfectionem, ducenti & decem. Alij tradunt, ad formam, quadraginta quinque; ad motionem, sex & septuaginta; ad exitum ducẽtos & decẽ. Aliis ad speciem, quinquanta; gi

ad primum saltum, centum; ad perfectionem, trecenti. Ad distinctionem, quadraginta; ad transitionem, octoginta; ad elapsum, ducēti quadraginta. Non est, & est. In his autem temporibus, & ex toto, & ex parte, plures & pauciores nascuntur, neque verò multò plures quàm pauciores. At pauciores tot, & quæcunque alia his similia. Ossium alimentum ex fractura. Naso bis quinque dies debentur: maxillæ & clauiculæ, & costis, bis totidem: cubito, triplices: tibiæ & brachio, quadruplices: femori, quintuplices, & si quod in his plus aut minus potest. Sanguis humidus, & sanguis solidus. Sanguis humidus, probus; sanguis solidus, vitiosus. Proba omnia & vitiosa ad aliquid referri debent. Via sursum deorsum vna. Alimenti facultas mole præstantior, alimenti moles facultate præstantior, & in humidis, & in siccis. Detrahit & apponit idem, huic quidem detrahit, illi verò apponit idem. Venarum pulsationes & spiritus respiratio, pro ætate consentiunt & dissentiunt, & morbi & sanitatis sunt indicia, magisque sanitatis quàm morbi, & morbi magis quàm sanitatis. spiritus enim etiam alimentum est. Humidius alimentum faciliùs quàm siccum immutatur. Siccum alimentum faciliùs quàm humidum immutatur. Quòd ægrè immutatur, ægrè consumitur. Quòd facilè apponitur, facilè consumitur. Qui celeri appositione indigent, iis humidum medicamentum ad resumendas vires optimum. Qui verò adhuc celeriore, per odoratum. At qui tardiore appositione opus habent, iis solidus cibus exhibendus. Musculi solidiores ægriùs reliquis colliquescunt, excepto osse & neruo. Quæ exercitata sunt ægrè immutantur, ipsaque in suo genere seipsis, quàm pro natura, valentiora sunt, ideo ipsa inter se ægriùs colliquescūt. Pus ex carne, purulentum ex sanguine, & ex reliquo humore. Pus vlceris alimentum. pus venæ & arteriæ alimentum. Medulla ossis alimentum, ideò callo firmatur. Facultas omnia auget, & alit, ac propagat. Humiditas alimento vehiculum præbet.

ἐς πρῶτον ἅλμα, ρ'. ἐς τελειότητα, τ'. [35] ἐς διάκρισιν, μ'. ἐς μετάβασιν, π'. ἐς ἐκτύπωσιν, σμ'. [36] οὐκ ἔστι καὶ ἔστι. [37] γίνεται δὲ ἐν τούτοισι καὶ πλείω καὶ ἐλάσσω. καὶ ὅλου καὶ κατὰ μέρος. οὐ πολλὸν δὲ πλείω ἢ ἐλάσσω. τὰ δὲ ἐλάσσω τοσαῦτα, καὶ ὅσα ἄλλα τούτοισιν ὅμοια. [38] Ὀστέων τροφὴ ἐκ κατήξιος ῥινὶ δὶς πέντε. γνάθῳ καὶ κληῗδι καὶ πλευρῇσι διπλάσιαι. πήχει, τριπλάσιαι. κνήμῃ καὶ βραχίονι, τετραπλάσιαι. μηρῷ, πενταπλάσιαι. καὶ εἴ τι ἐν τούτοισι δύναται πλέον ἢ ἔλασσον. αἷμα ὑγρὸν, καὶ αἷμα στερεόν. αἷμα ὑγρὸν ἄριστον. αἷμα στερεόν, φλαῦρον. [39] πρός τι πάντα, φλαῦρα καὶ ἀστεῖα. ὁδὸς ἄνω κάτω μία. δύναμις τροφῆς κρέσσων, ἢ ὄγκος. ὄγκος τροφῆς κρέσσων, ἢ δύναμις. καὶ ἐν ὑγροῖσι καὶ ἐν ξηροῖσιν ἀφαιρέει. [40] καὶ προστίθησι τὸ αὐτὸ, τῷ μὲν ἀφαιρέει, τῷ δὲ προστίθησι τὸ αὐτό. φλεβῶν διασφύξιες. [41] καὶ ἀναπνοὴ πνεύματος καθ' ἡλικίαν, καὶ ξύμφωνα καὶ διάφωνα. καὶ νούσου καὶ ὑγείης σημήϊα. καὶ ὑγείης μᾶλλον, ἢ νούσου. καὶ νούσου μᾶλλον, ἢ ὑγείης. τροφὴ γὰρ καὶ πνεῦμα. ὑγρὴ τροφὴ εὐμετάβλητος μᾶλλον, ἢ ξηρή. ξηρὴ τροφὴ δυσμετάβλητος μᾶλλον, ἢ ὑγρή. [42] ἡ δυσαλλοίωτος, δυσεξανάλωτος, ἡ εὐπρόσθετος, εὐεξανάλωτος. καὶ ὁκόσοι ταχείης προσθέσιος δέονται, ὑγρὸν ἴημα εἰς ἀνάληψιν δυνάμιος κράτιστον. ὁκόσοι δὲ ἔτι ταχυτέρης, δι' ὀσφρήσιος. ὁκόσοι δὲ βραδυτέρης προσθέσιος δέονται, στερεὴ τροφή. μύες στερεώτεροι, δυσέκτηκτοι τῶν ἄλλων, πάρεξ ὀστέου καὶ νεύρου. δυσμετάβλητα τὰ γεγυμνασμένα, κατὰ γένος αὐτὰ αὐτῶν ἰσχυρότερα τοῦ ὄντος, διὰ τοῦτο αὐτὰ ἑωυτῶν δυσεκτηκτότερα. πύον δὲ ἐκ σαρκός. πυῶδες δὲ ἐξ αἵματος, καὶ ἐξ ἄλλης ὑγρασίης. πύον, τροφὴ ἕλκεος. πύον, τροφὴ φλεβός. ἀρτηρίης μυελὸς, τροφὴ ὀστέου, διὰ τοῦτο ἐπιπωροῦται. δύναμις πάντα αὔξει, καὶ τρέφει, καὶ βλαστάνει. [44] ὑγρασίη, τροφῆς ὄχημα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ.

HIPPOCRATIS DE RATIONE VICTVS IN MORBIS ACVTIS, LIBER.

QVI Cnidias appellatas sententias scriptis tradiderunt, ij sanè quæ in singulis morbis ægri patiuntur, & quomodo eorum nonnulla ipsis eueniant, rectè conscripserunt, & huc vsque quidem quæ quiuis etiam Medicinæ ignarus, rectè scribere potuerit, si probè ex vnoquoque ægro quæ patiatur intellexerit. At quæcumque Medicum non referente ægro prædixisse oportuit, ea magna ex parte prætermissa sunt, quædam in quibusdam, nonnullaque ad coniecturalem cognitionem valde accommodata. Cùm verò ad coniecturalem cognitionem referatur,

ΟἹ ξυγγράψαντες τὰς κνιδίας καλεομένας γνώμας, ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νουσημάτων, ὀρθῶς ἔγραψαν, καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτέων, καὶ ἄχρι μὲν τουτέων καὶ μὴ ἰητρὸς ἂν δύναιτο ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πύθοιτο, ὁκοῖα πάσχουσιν. [2] ὁκόσα δὲ προσκαταμαθεῖν χρὴ τὸν ἰητρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τουτέων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, καὶ ἐπίκαιρα ἔνια ἐόντα, ἐς τέκμαρσιν. ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται,

ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τουτέοισι πολλὰ ἑτεροίως γινώσκω, ἢ ὡς ἐκεῖνοι ἐπεξῄεσαν. καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν ἐχρέοντο. τὰ γὰρ πλεῖστα, αὐτέοισιν εἴρεαται πλὴν τῶν ὀξέων νούσων, φάρμακα ἐλατήρια διδόναι, καὶ ὀῤῥὸν, καὶ γάλα, ἐς τὴν ὥρην πιπίσκειν. ἦν μὲν οὖν ταῦτα ἀγαθὰ ἦν καὶ ἁρμόζοντα τοῖσι νουσήμασιν, ἐφ' οἷσι παρῄνεον διδόναι, πολὺ ἂν ἀξιεπαινότερα ἦν, ὅτι ὀλίγα ἐόντα αὐτάρκεά ἐστι. νῦν δὲ οὐχ οὕτως ἔχει. οἱ μέν τοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν. ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι ξυνέγραψαν οὐδὲν ἄξιον λόγου, καί τοι μέγα τοῦτο παρῆκαν. τὰς μέν τοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων, καὶ τὴν πολυσχιδίην αὐτέων, οὐκ ἠγνόεον ἔνιοι. τοὺς δὲ ἀριθμοὺς ἑκάστου τῶν νουσημάτων σάφα φράζειν ἐθέλοντες, οὐκ ὀρθῶς ἔγραψαν. μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον εἴη, εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι. καὶ μὴ τωὐτὸ νόσημα δοκέειν εἶναι, ἢν μὴ τωὐτὸ ὄνομα ἔχῃ. ἐμοὶ δ' ἀνδάνει μὲν ἐν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον. καὶ γὰρ ὁκόσα ἔργα δίκαια καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς. καὶ ὁκόσα ταχέως ἔργα, ταχέως. καὶ ὁκόσα καθαρείως, καθαρείως. καὶ ὁκόσα ἀνωδύνως διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν. καὶ τὰ ἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας, ἐπὶ τὸ βέλτιον ποιέειν χρή. μάλιστα δ' ἂν ἐπαινέσαιμι ἰητρὸν, ὅς τις ἐν τοῖσιν ὀξέσι νουσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τουτέοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστι δὲ ταῦτα ὀξέα ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι, πλευρῖτιν. καὶ περιπλευμονίην. καὶ φρενῖτιν. καὶ λήθαργον. καὶ καῦσον. καὶ τὰ ἄλλα νουσήματα, ὁκόσα τουτέων ἐχόμενά ἐστιν, ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν ξυνεχέες ὄντες, κτείνουσιν. ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδεες ἔωσιν αἱ νοῦσοι, καὶ μὴ παραπλήσιοι, ὑπὸ τουτέων τῶν νουσημάτων ἀποθνήσκουσι μᾶλλον, ἢ ὑπὸ τῶν ἄλλων τῶν ξυμπάντων. οἱ μὲν οὖν ἰδιῶται, οὐ κάρτα γινώσκουσι τοὺς εἰς ταῦτα διαφέροντας τῶν πέλας, ἑτεροίων τε μᾶλλον ἰημάτων ἐπαινέται, ἢ ψέκται εἰσίν. ἐπεὶ τόδε μέγα σημεῖον τόδε, ὅτι οἱ μὲν δημόται ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων τῶν νουσημάτων εἰσίν, ὥστε μελετητέα εἶναι. οἱ γὰρ μὴ ἰητροὶ, ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους. ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμανθάνειν, ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιαῦτα κάμνοντας. ἢν γὰρ ὀνομάσῃ τις πτισάνης χυλὸν, καὶ οἶνον τοῖον, ἢ τοῖον, ἢ καὶ μελίκρητον, ἅπαντα τοῖσι δημότῃσι δοκέουσιν ἰητροὶ ταῦτα λέγειν, οἵ τε βελτίους, καὶ οἱ χείρους. τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τουτέοισι δὴ, καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων. δοκέει δέ μοι ἄξια γραφῆς εἶναι ταῦτα μάλιστα, ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν, ἐπίκαιρα ἐόντα εἰδέναι, καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει, ἢ μεγάλας βλάβας. ἀκαταμάθητα μὲν οὖν, τάδ' ἐστί. διὰ τί ἄρα ἐν τῇσιν ὀξείῃσι νούσοισιν, οἱ μὲν τῶν ἰητρῶν, ἅπαντα τὸν αἰῶνα διατελέουσι πτισάνας διδόντες ἀδιηθήτους, καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν. οἱ δέ τινες περὶ παντὸς ποιοῦ-

quomodo singula curare oporteat, in iis multò aliter quàm illi disseruerint sentio. Ac neque solùm ob id non laudo, sed quòd paucis etiam numero remediis vsi sunt. Nam & plurima ab ipsis relata sunt (præterquàm in morbis acutis) medicamenta deorsum purgantia exhibenda, & serum & lac tempestiuè propinandum. Hæc igitur si bona essent, & morbis quibus exhibenda monent conuenientia, longè maiore laude digna essent, quòd pauca sufficerent. Nunc verò res aliter se habet. Qui tamen postea recognouerunt, ij medicè magis, quæ singulis exhibēda sunt, percurrerunt. Sed neque de victus ratione quicquam effatu dignum veteres scriptis tradiderunt, eamque, quamuis magna res sit, omiserunt. Varia tamen morborum singulorum genera, multiplicemque eorum diuisionem non ignorarunt quidam. At numeros morborum singulorum planè declarare studentes, non rectè scripserunt. Neque enim quis facilè numeret, si quis ex eo ægrotantium morbum æstimet, quòd ab altero re quadam differat, neque eundem esse morbum reputet, nisi eodem nomine nuncupetur. Mihi autem placet vt ad omnem artem animum attēdamus. Nam quæ rectè procedunt opera, ea rectè singula facere oportet: quæ item celeritate opus habent, celeriter, quę etiam munditiem desiderant, mundè, & quę citra dolorem tractari postulant, ea quàm maximè fieri possit sine dolore facere, cœteraque omnia id genus multò aliter quàm proximi meliorem in formam commutare conuenit. Sed maximè eum Medicum probauerim, qui in morbis acutis, quorum vi plerunque homines intereunt, longè meliùs cœteris se gerat. Sunt autem hi, quātum nominibus veteres complexi sunt, pleuritis, peripneumonia, phrenitis, lethargus, febris ardens, & quicunque alij morbi ad hos consequuntur, quorum febres omninò continuæ interficiunt. Cùm enim nullum pestilentis morbi commune genus populariter grassatum fuerit, sed dispersi morbi & non similes fuerint, ab his plures quàm ab aliis omnibus moriuntur. Populares igitur non satis discernunt eos, qui in his longè proximis excellunt, aliarumque curationum potiùs aut laudatores, aut vituperatores existunt. Deinde id magno est argumento, quòd populares huiusmodi morborum nullam prorsus habeant intelligentiam, cùm ad eam non nisi studio peruenire possit. Nam & qui Medicinæ non profitentur scientiam, Medici maximè in eiusmodi morbis esse videntur. facile est enim nomina, quæ circa huiusmodi ægrotantes proferri solent, ediscere. Nempe si quis ptisanæ cremorem nominauerit, hocque vel illud vinum, aut etiam mulsum, eadem omnia videntur plebeiis dicere Medici tum meliores, tum deteriores. At non ita se res habet, verùm in his sanè vel maximè alij aliis prestant. Videntur autem mihi dignissima esse quæ scribantur, quæcunque Medicis ignorantur, quamuis scitu commoda existant, quæque magnas vtilitates, aut magnas noxias inferunt. Quæ igitur ignorantur hæc sunt. Quanam de causa in morbis acutis quidam Medici toto vitæ tempore in ptisana non colata exhibenda perseuerent, & rectè se curare existimēt. Quidam etiam omni ratione conten-

dant, ne vllo modo hordeum æger deuoret, quòd inde magnum secuturum detrimẽtum existiment. Verùm per linteum excolantes, eius succum porrigunt. Horum etiam nonnulli neque ptisanam crassam, neque succum exhibeant. Et hi quidem dum septimum diem æger attigerit, alij verò dum in totum morbus iudicatus fuerit. Huiusmodi itaque quæstiones non admodum proponere Medici consueuerunt, ac neque fortè si proponant, inueniuntur. At verò ars tota magnam quidem apud vulgum calumniam sustinet, adeò vt nullam omninò Medicinam esse existiment. Si quidem in acutis morbis in tantum inter se dissentiunt artifices, vt quæ alter exhibet veluti optima reputans, ea iam mala alter existimet, feréque ob id ars ipsa diuinationi similis esse videatur. Quoniam augures eundem alitem, si quidem sinister appareat bonum esse existimant, si verò dexter, malum. Et in Aruspicina huiusmodi quoq; alia videntur in aliis. Sed & vaticinantium nonnulli contraria his sentiũt. Hanc autẽ speculationem tum pulcherrimam, tum quamplurimis in arte maximè commodis cognatam esse censeo. Etenim omnibus ægris ad sanitatem magnum quidpiam facit, sanisque ad sanitatem tuendam, & iis qui sese exercent, ad bonum habitum comparandum, tum etiam ad id quod quisque voluerit obtinendum. Ptisana igitur rectè videtur omnibus frumentaceis eduliis præferri in his morbis acutis, eosque qui eam prætulerunt laudo. Nam & lentorem habet læuem, continuam, & suauem ac lubricam, mediocriter humescentem, sitim minimè inferentem, & si quid elui indiget, probè abluentem, neque adstringit, nec malam turbationem adfert, neque in ventre intumescit. Nempe inter coquẽdum, quoad maximè fieri potuit, intumuit. Qui ergo ptisana in huiusmodi morbis vtuntur, ne vna quidem die vasorum inanitionem (vt ita dicam) fieri permittant, sed citra intermissionem ea vtantur, nisi vel propter medicamentum, vel clysterem intermittere expediat. Et his quidem qui bis die cibũ sumere consueuerunt, bis danda est, his verò qui semel cibum capere consueuerunt, his primo die semel danda, paulatim autem progrediẽdo, si fieri possit, iis etiam bis danda, si quid adiiciendum videatur. Verùm inter initia neque multa copia, neque valde crassa exhibenda, sed vt consuetudinis caussa aliquid ingeratur, & ne multa vasorum inanitio fiat. Quòd autem ad sorbitionis adiiciendæ quantitatem attinet, si quidem siccior quàm quis existimet morbus fuerit, non magna copia exhibenda, sed ante sorbitionem vel mulsa, vel vinum, vel quodcunque magis conueniet, propinandum. In singulis verò generibus quodnam sit accommodatissimum dicetur. Quòd si os humescat, & quæ ex pulmone efferuntur conuenientia fuerint, in summa, sorbitionis quantitatem adiicere conuenit. Quæ nanque celeriùs magisq; madescunt, iudicationis celeritatem denuntiant, quæ verò tardiùs & minùs, tardiorem iudicationem significant. Atq; hæc quidem prorsus hoc modo se habent. Sed & multa quoq; alia peropportuna prætermittuntur, ex quibus significationem capere conuenit, quæ deinceps referentur. Quoque copiosior purgatio fuerit, eò maior quantitas ad iudicationem vsq; adiicienda,

ται, ὅκως κριθὴν μηδεμίην καταπίνῃ ὁ κάμνων. μεγάλην γὰρ βλάβην ἡγεῦνται εἶναι, ἀλλὰ διὰ ὀθονίου διηθεῦντες τὸν χυλὸν διδόασιν. οἱ δέ τινες αὐτέων, οὔτ' ἂν πτισάνην παχείην δοῖεν, οὔτε χυλόν· οἱ μὲν, μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων· οἱ δὲ, καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος. μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. ἴσως δὲ οὐδὲ προβαλλόμενα γινώσκεται, καίτοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι, ἔν γε τοῖσιν ὀξέσι τῶν νουσημάτων. τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακτες, ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι. καὶ σχεδὸν ἂν κατά γε τὸ τοιόνδε, τὴν τέχνην φάναι ὁμοιοῦσθαι μαντικῇ. ὅτι οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι, εἰ δὲ δεξιὸς, κακόν. καὶ ἐν ἱεροσκοπίῃ τὰ τοιάδε ἄλλα ἐπ' ἄλλοισιν. ἀλλ' ἔνιοι τῶν μαντίων, τἀναντία τουτέων. φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα, καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ, καὶ ἐπικαιροτάτοισι. καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται, καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφαλείην, καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην, καὶ ἐς ὅ,τι ἂν ἕκαστος ἐθέλῃ. πτισάνη μὲν οὖν δοκεῖ ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων, ἐν τουτέοισι τοῖσι νουσήμασι. καὶ ἐπαινέω γε τοὺς προκρίναντας. τὸ γὰρ γλίσχρασμα αὐτῆς, λεῖον, καὶ ξυνεχὲς, καὶ προσηνές ἐστι, καὶ ὀλισθηρὸν, καὶ πλαδαρὸν μετρίως, καὶ ἄδιψον, καὶ εὐέκπλυτον, εἴ τι καὶ τουτέου προσδέοι· καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακὸν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ, ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὁκόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. ὁκόσοι μὲν οὖν πτισάνῃσι χρέονται ἐν τουτέοισι τοῖσι νουσήμασιν, οὐδεμίην ἡμέρην κενεαγγητέον ὡς ἔπος εἰπεῖν, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ, ἢ διὰ φαρμακείην, ἢ κλύσιν διαλείπειν. καὶ τοῖσι μὲν γε εἰθισμένοισι δὶς σιτέεσθαι τῆς ἡμέρης, δὶς δοτέον· τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν, ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δὲ, ἢν ἐνδέχηται, καὶ τουτέοισι δὶς δοτέον, ἢν τι δοκέῃ προσδεῖν. πλῆθος δὲ ἀρκεῖ κατ' ἀρχὰς διδόναι μὴ πολὺ, μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον ἕνεκα τοῦ ἔθεος ἐσιέναι τι, καὶ κενεαγγείην μὴ γενέσθαι πολλήν. περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥοφήματος, ἢν μὲν ξηρότερον ᾖ τὸ νούσημα, ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος, ἢ μελίκρητον, ἢ οἶνον, ἢ ὁκότερον ἂν ἁρμόζῃ. τὸ δ' ἁρμόζον ἐφ' ἑκάστοισι τῶν τρόπων εἰρήσεται. ἢν δὲ ὑγραίνηται τὸ στόμα, καὶ τὰ ἀπὸ τοῦ πλεύμονος εἴη ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ὡς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα, ταχυτῆτα κρίσιος σημαίνει· τὰ δὲ βραδύτερον καὶ ἧσσον, βραδυτέρην σημαίνει τὴν κρίσιν. καὶ ταῦτα αὐτὰ μὲν καθ' αὐτὰ, τοιάδε τὸ ἐπίπαν ἐστί. πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον. καὶ ὁκόσῳ ἂν πλείων ἡ κάθαρσις γίνηται, τοσῷδε χρὴ πλέον ἐπιδιδόναι ἄχρι κρίσιος

μάλι-

μάλιστα δὲ κρίσιος ἐπιβολῆς δύο ἡμερέων· οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν, ἢ ἐναταίοισι δοκέει κρινέεσθαι, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περισσὸν προμηθὲς ᾖ. μετὰ δὲ τοῦτο τῷ μὲν ῥοφήματι ἐς τὸ πρωῒ χρηστέον, ἐς δείλην δὲ ἐς σιτία μεταβάλλειν. ξυμφέρει δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ὅλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν. αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα αὐτόματοι παύονται, ὁκόταν ἄρξωνται πτύειν τι ἄξιον λόγου, καὶ ἐκκαθαίρεσθαι. αἵ τε καθάρσιες πολλῷ τελεώτεραι εἰσὶ, καὶ ἔμπυοι ἧσσον γίνονται, ἢ εἰ ἀλλοίως τις διαιτῴη. καὶ αἱ κρίσιες ἁπλούστεραι, καὶ εὐκριτώτεραι, καὶ ἧσσον ὑποστροφώδεες. τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων τέως βελτίστων εἶναι, καὶ κάλλιστα ἑψῆσθαι. καὶ ἄλλως, ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι. μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς τῆς πτισάνης, τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην ποιέει μὴ βλάπτειν. οὐδαμοῦ γὰρ προσίσχεται, οὐδὲ μένει κατὰ τὴν τοῦ θώρηκος ἴξιν. ὀλισθηροτάτη γάρ ἐστι, καὶ ἀδιψοτάτη, καὶ εὐεκπεπλυτάτη, καὶ ἀσθενεστάτη ἐστὶν, ἡ κάλλιστα ἑφθὴ, ὧν πάντων δεῖ. ἢν οὖν μὴ προστιμωρήσῃ τις ὁκόσων δεῖται, αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανορροφίης, πολλαχῇ βεβλάψεται. ὁκόσοισι γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δῷ, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν, καὶ μὴ ἐνεοῦσαν εὐθὺς ποιήσειεν, καὶ πνεῦμα πυκνότερον γένοιτ' ἄν. κακὸν δὲ τοῦτο ἐστί. ξηραντικὸν γὰρ πλεύμονος, καὶ κοπῶδες ὑποχονδρίων καὶ ἤτρου, καὶ φρενῶν. τοῦτο δὲ, ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ ξυνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀπέπτως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας ἢ φλέβα ταμὼν, ὁκότερον ἂν τουτέων ξυμφέρῃ. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷς, ταχέως οἱ θάνατοι τῶν τοιουτέων γίνονται. διὰ ταύτας οὖν τὰς προφάσιας, καὶ ἑτέρας τοιαύτας ἔτι μᾶλλον, οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεώμενοι, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν· οἱ μέν τοι καὶ τὴν γνώμην βλαβέντες. οἱ δὲ ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχεος ἀποπνιγέντες. μάλα δὲ τοὺς τοιουτέους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι, διὰ τόδε μάλιστα· οὐχ ἥκιστα δὲ ὅτι καὶ ἀποθανόντων αὐτέων, ἡ πλευρὴ πελίη εὑρίσκεται, ἴκελόν τι πληγῇ. αἴτιον δὲ τουτέου, τόδε ἐστὶν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην, θνήσκουσι. ταχέως γὰρ πνευματίαι γίνονται. ὑπὸ δὲ τοῦ πολλοῦ, καὶ πυκνοῦ πνεύματος ὡς ἤδη εἴρηται καταγλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει, ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πλεύμονος. καὶ ὁκόταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπὶ τὸ πουλὺ ἐστί. καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι. καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι τιμωρέουσι. τό, τε γὰρ πτύελον ἐνισχόμενον, πυκνὸν τὸ πνεῦμα ποιέει. τό, τε πνεῦμα πυκνὸν ἐὸν, ἐπιγλισχραίνει τὸ πτύελον. καὶ κωλύει ἀπολισθαίνειν. καταλαμβάνει δὲ ταῦτα οὐ μόνον ἢν πτισάνῃ ἀκαίρως χρέωνται·

præcipuè verò duobus ab iudicatione diebus, quibus quidem, aut quinto, aut septimo, aut nono iudicatio fieri videatur, vt etiam dierum paritatis & imparitatis ratio habeatur. Post hoc autem mane quidem sorbitione vtendum, vespere verò ad cibos transeundum. Magna autem ex parte hæc iis conferunt, qui statim ptisana integra vtuntur. Nam & pleuriticorum dolores statim sponte desinunt, vbi quid effatu dignum spuere & expurgari cœperint, purgationesque longè perfectiores sunt, & minùs purulenti euadunt, quàm si aliam quis victus rationem instituat, præterea iudicationes simpliciores fiunt, meliusque iudicantur, & minùs reuertuntur. At ptisanam ex hordeo quàm optimo confici & optimè coctam esse oportet, idque præsertim si non solo cremore vti debeas. Ad reliquas enim virtutes istud etiam accedit, quòd ptisanæ lubricitas efficit vt hordeum deuoratum minimè lædat, cùm nusquam adhærescat, neque secundum thoracis rectitudinem immoretur. Est autem maximè lubrica, sitimque minimè infert, & facillimè coquitur, estque infirmissima, si optimè cocta fuerit, quibus omnibus opus habet. Nisi igitur quis quantum deest contulerit, vt idoneus eiusmodi ptisanæ sorbendæ modus efficiatur, sæpiùs lædetur. Iam primùm enim quibus cibi recrementum interclusum est, si quis eo non vacuato sorbitionem dederit, dolorem si adest grauiorem reddet, si non adest, statim induxerit, & spiratio crebrior euadet. Quod certè prauum est, cùm pulmonem exiccet, & præcordia, tum imum ventrem, tum septum transuersum dolore fatiget. Quinetiam si lateris dolore adhuc continuo, neque ad calida fomenta remittente, sputóque minimè prodeunte, verùm citra concoctionem extremè glutinoso reddito, nisi quis dolorem, vel ventre emollito, vel secta vena soluerit, aut vtrum horum conducere videbitur exhibuerit, ptisanam autem ita affectis dederit, præcipites eos in mortem adducet. Has igitur ob causas aliásque etiam huiusmodi, qui tota vtuntur ptisana, septimo die ac citiùs moriuntur, partim quidem mente læsi, partim verò erectæ ceruicis spiratione (orthopnœam dicimus) & stertore suffocati. Quos sanè veteres syderatos vel ob id maximè existimarunt, neque etiam minùs, quòd ipsis mortuis latus liuidum plagæ non absimile depreheditur. Cuius rei hæc causa est, quòd priùs quàm dolor soluatur moriuntur. Breui siquidem anhelatores euadunt. Ex multa autem & crebra respiratione (vt iam dictum est) sputum summè glutinosum citra coctionem redditum, egressum fieri prohibet. Quinetiam cartilaginosis asperæ arteriæ corporibus (pulmonis bronchiis dictis) adhærescens, stertorem inducit, cumque ad hoc deuenerit, tum plærunque mortem infert. Etenim ipsum sputum intrò retentum, spiritum quidem intrò ferri prohibet, celeriter autem extra ferri cogit, adeò vt ad perniciem mutuas inter se operas conferant. Sputum nanque adhærescens, crebrum spiritum facit, hicque creber effectus, sputum magis glutinosum reddit, & lubricum fieri prohibet. Neque verò solùm ista prehendunt si ptisana intempestiuè vtantur,

verùm & multò magis, si quid quòd ptisana minùs conueniat aut ederint, aut biberint. Magna igitur ex parte ferè similia sunt auxilia, tum iis qui tota vtuntur ptisana, tum his qui ipsius cremore. At his qui neutro horum, aut solo potu vtuntur, interdum quoq; aliter auxiliari oportet. Hunc autem in modum omninò facere oportet. Si quem à recenti cibo, aluo nec dum subducta, febris siue cum dolore, siue sine dolore prehenderit, à sorbitione exhibenda tantisper temperandum, dum cibum ad infernam intestini partem secessisse conieceris. Quòd si dolor affuerit, aceto mulso in potu vtendum, hyeme quidem calido, ęstate verò frigido. Et si multa sitis aderit, mulsa & aqua exhibenda. Ac deinceps quidem si dolor aliquis adsit, aut periculum aliquod impendeat, sorbitio neque multa, neq; crassa exhibenda, verùm post septimum aut nonum diem, si validus æger fuerit. At si recenter sumto cibo, vetustus non subierit, si quidem validus fuerit, & ætate viguerit, infusum per clysterem exhibendum: sin debilior extiterit, glande vtendum, nisi spõte probè prodierit. Exhibẽdę autem sorbitionis tempus per initia & per totum morbum istud præcipuè obseruari debet, vt cùm frigidi pedes fuerint, tum à sorbitione exhibenda, tùm vel maximè à potu abstineamus. Cùm verò calor ad pedes descenderit, tunc dare conuenit, reputareque cùm in omnibus morbis, tùm præcipuè in acutis, potissimumque in quibus vehemẽtior febris ac maximum periculum subest, tempus hoc magnam habere facultatem. Ac primùm succo maximè vtendum. deinde ptisana, ad præscripta signa diligenti adhibita attentione. Lateris autem dolorem, siue per exordia, siue postea incidat, fomentis calidis tentare dissoluere absurdum quidem non est. Quorum quidẽ optimum est aqua calida in vtre, vel vesica, vase æneo aut testaceo adhibita. verùm molle quippiam lateri, quò lenior fotus fiat, supponere oportet. Vtiliter etiam admouetur spongia mollis & magna ex aqua calida expressa, fomentumque linteo inuoluendum vt longiore tempore sufficiat & perduret, simulque ne vapor ad laborantis spiritum efferatur, nisi fortè & id ad aliquid conuenire videatur, quod & interdum vsu venit. Ad hęc autem & hordeum & eruum in aceto ita temperato, vt paulò acidius sit quàm quis bibere queat, macerata & feruefacta sacculis consuta apponere oportet, furfuresq; eodem modo. Ad siccum autem fomentum, sales & millium torrefactum in sacculis laneis maximè accommodantur. Lene enim & blandum est milium. Sed & mollia huiusmodi fomenta dolores etiam ad iugulum pertingentes soluunt. At venæ sectio non æquè dolorem soluit, nisi dolor ad iugulũ pertingat. Quòd si ad calida fomenta dolor non remittat, non multo tempore calefacere conuenit, quòd id pulmonem exiccet, & pus intra thoracem colligat. Sed si quidem dolor ad iugulum de se significationem præbeat, ad brachium verò, vel circa mammam, vel supra septum transuersum grauitatis sensus insit, internam in cubiti flexu venam secare, & quàm citissimè copiosum sanguinem detrahere conuenit, eo vsque dum multò ru-

ἀλλὰ πολὺ μᾶλλον, ἢν τι ἄλλο φάγωσιν, ἢ πίωσι πτισάνης ἀνεπιτηδειότερον. μεγάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ ὠφέλειαι, τοῖσί τε ὅλῃσι τῇσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε τῷ χυλῷ αὐτέῳ, τοῖσί τε μήθ' ἑτέρῳ τουτέων, ἀλλὰ ποτῷ μούνῳ. ἔστι δ' ὅπη καὶ διαφερόντως ὠφελητέον. χρὴ δὲ τόγε πάμπαν οὕτω ποιέειν. ἢν νεοβρῶτι ἐόντι αὐτέῳ καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ, ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν οἴηται κεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον. χρέεσθαι δὲ ποτῷ, ἢν μὲν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν, θερμῷ, θέρεος δὲ, ψυχρῷ. ἢν δὲ πολλὴ δίψα εἴη, μελικρήτῳ καὶ ὕδατι. ἔπειτα μέν τοι, ἢν μὲν ἄλγημά τι ἐνῇ, ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα, μήτε πολὺ, μήτε παχὺ, μετὰ δὲ τὴν ἑβδόμην, ἢ ἐνάτην, ἢν ἰσχύῃ. ἢν δὲ μὴ ὑποεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε, καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι. ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς. καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος, τόνδε μάλιστα φυλάσσεσθαι, κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος. ὁκόταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν. μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι. ὁκόταν δὲ ἡ θέρμη καταβῇ ἐς τοὺς πόδας, τότε διδόναι. καὶ νομίζειν μέγα δύνασθαι τὸν καιρὸν τοῦτον ἐν ἁπάσῃσι τῇσι νούσοισιν. οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξείῃσι. μάλιστα δὲ ἐν τῇσι μᾶλλον πυρετώδεσι, καὶ ἐπικινδυνοτάτῃσι. χρέεσθαι δὲ πρῶτον μάλιστα μὲν, χυλῷ, ἔπειτα δὲ, πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβέως θεωρῶν. ὀδύνην δὲ πλευροῦ, ἤν τε κατ' ἀρχὰς γίνηται, ἤν τε ἐς ὕστερον, θερμάσμασι μὲν πρῶτον οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον, πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην. θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ, ἢ ἐν κύστει, ἢ ἐν χαλκῷ ἀγγείῳ, ἢ ἐν ὀστρακίνῳ. προϋποτιθέναι δὲ χρὴ, μαλθακόν τι πρὸς τὴν πλευρὴν, προσηνείης εἵνεκεν. ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς, μέγας, ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστίθεσθαι. περιστέλλειν τε ἱματίῳ τὴν θάλψιν χρή. πλείω τε γὰρ χρόνον ἂν διαρκέσει, καὶ διαμένει, καὶ ἅμα ὡς μὴ ἡ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος προσφέρηται, ἢν ἄρα μὴ δοκέῃ καὶ τοῦτο χρήσιμον πρός τι εἶναι. ἔστι γὰρ ὅτε δεῖ πρός τι. ἔτι δὲ καὶ κριθαὶ, καὶ ὄροβοι ἐν ὄξει κεχρημένῳ, σμικρῷ ὀξυτέρῳ, ἢ ὡς ἄν τις πίοι, διέντα καὶ ἀναζέσαντα, ἐς μαρσίππιά τε ἀπορράψαντα, προστιθέναι. καὶ πίτυρα τὸν αὐτὸν τρόπον. πυρίαι δὲ ξηραὶ, ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν ἐπιτηδειόταται. καὶ γὰρ κοῦφον καὶ προσηνὲς ὁ κέγχρος. λύει δὲ μάλθαξις ἡ τοιήδε, καὶ τὰς πρὸς κληῗδα περαιούσας ἀλγηδόνας. τομὴ μέν τοι γε οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς τὴν κληῗδα περαίνῃ ἡ ὀδύνη. ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον θερμαίνειν. καὶ γὰρ ξηραντικὸν τοῦ πλεύμονος τοῦτ' ἐστὶ, καὶ ἐμπυητικόν. ἀλλ' ἢν μὲν σημαίνῃ ἡ ὀδύνη ἐς τὴν κληῗδα, ἢ ἐς τὸν βραχίονα βάρος, ἢ περὶ μαζὸν, ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν χρὴ τὴν ἐν τῷ ἀγκῶνι φλέβα, τὴν εἴσω καὶ μὴ ὀκνέειν συχνὸν ἀφαιρέειν τὸ αἷμα, ἕως ἂν ἐρυ-

θρό-

φρότερον πολλὸν ῥυῇ. ἢ αὐτὴ καθαρὸν καὶ ἐρυθρὸν, πέλιον. ἀμφοτέρως γὰρ γίνεται. ἢν δὲ ὑπὸ τὰς φρένας ἢ τὸ ἄλγημα, ἐς δὲ τὴν κληΐδα μὴ σημαίνῃ, μαλθάσσειν δεῖ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. μέλανι μὲν δαῦκον, ἢ σέσελι, ἢ κύμινον, ἢ ἄννησον, ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα. πεπλίῳ δὲ, ὀπὸν σιλφίου. ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν, ὁμοιότροπα ταῦτά ἐστιν. ἄγει δὲ μέλας μὲν καλλίω, καὶ κρισιμώτερα πεπλίου. πέπλιον δὲ, μέλανος μᾶλλον φυσέων καταρρηκτικώτερόν ἐστιν. ἄμφω δὲ ταῦτα, ὀδύνην παύει. παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων. κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδά ἐστιν, ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα ὑπήλατα, ἀρήγει, ὁκόσα μὴ ἄγαν εἰσὶν ἀηδέα, ἢ διὰ πικρότητα, ἢ δι' ἄλλην τινὰ ἀηδίην, ἢ διὰ πλῆθος, ἢ χροιὴν, ἢ ὑποψίην τινά. τὴν μὲν πτισάνην ὁκόταν πίῃ τὸ φάρμακον, ἐπιρροφεῖν αὐτίκα χρὴ διδόναι, μηδὲ ἔλασσον ἀξίως λόγου, ἢ ὁκόσον εἴθισται. ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ, μεσηγὺ τῆς καθάρσιος, μὴ διδόναι ῥοφεῖν. ὁκόταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφεέτω, ἢ ὁκόσον εἴθισται. μετὰ δὲ τοῦτο ἀναγέτω αἰεὶ ἐπὶ τὸ πλεῖον, ἢν ἥτε ὀδύνη πεπαυμένη ᾖ, καὶ μηδὲν ἄλλο ἐναντιῶται. ωὑτὸς δέ μοι λόγος ἐστὶ, καὶ ἢν χυλῷ πτισάνης δέῃ χρέεσθαι. φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι ῥοφεῖν τὸ ἐπίπαν μᾶλλον, ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος, ἢ τριταῖον, ἢ τεταρταῖον, ἢ πεμπταῖον, ἢ ἑκταῖον, ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τούτῳ τῷ χρόνῳ. αἱ δὲ προπαρασκευαὶ καὶ ἐπὶ τουτέοισι παραπλήσιοι ποιητέαι, ὁκοῖαι περ εἴρηνται. περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω, ἀτὰρ καὶ περὶ ποτοῦ ὁκοῖον ἄν τις μέλλῃ πίνειν τῶν γεγραφησομένων ωὑτός μοι λόγος ὡς ἐπίπαν ἐστίν. οἶδα δὲ καὶ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιεῦντας. βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους, ἢ δύο, ἢ τρεῖς, ἢ καὶ πλείονας ἡμέρας, οὕτω προσφέρειν τὰ ῥοφήματα, καὶ τὰ ποτά. καὶ ἴσως τι καὶ εἰκὸς δοκεῖ αὐτέοισιν εἶναι. μεγάλης τῆς μεταβολῆς γινομένης τῷ σώματι, μέγα τι κάρτα καὶ ἀντιμεταβάλλειν. τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει, μὴ ὀλίγον. ὀρθῶς μέντοι γε μεταβιβαστέη καὶ ἡ μεταβολή. καὶ ἐκ γε τῆς μεταβολῆς, ἡ προσάρσις τῶν γευμάτων ἔτι μᾶλλον. μάλιστα μὲν οὖν βλάπτοιντο ἂν, ἢν μὴ ὀρθῶς μεταβάλλοιεν οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι. βλάπτοιντο δ' ἂν, καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι. βλάπτοιντο δ' ἂν, καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι. ἥκιστα δὲ οὗτοι. χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων, οἷα ξυμφέρει. εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνεται διαφέροντα μεγάλα, τὰ τοῖα ἢ τοῖα διαιτήματα, καὶ ἐν ἄλλῳ τινί που, καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἔν γε τῇσι νούσοισι διαφέρει μεγάλα, καὶ τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα; ἀλλὰ μὴν εὐκαταμάθητόν γε ἐστὶν, ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος, αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγείην, ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλο κρέσσον. ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης,

bicundior, aut pro puro & rubro liuidus effluat. vtrunq; enim vsuuenit. Si verò eas quæ sunt sub septo transuerso partes dolor affligat, nullamq; ad iugulum de se significationem præbeat, aluum veratro nigro aut peplio emollire oportet, ea ratione, vt veratro quidem daucum, aut seseli, aut cuminum, aut anisum, aut aliud quippiam bene olens admisceat, peplio verò laseris succum. Quanquam etiamsi inter se misceantur, vnius sunt generis, neque dissimiliter agunt. Sed veratrum nigrum tum melius quàm peplium ventrem soluit, tum etiam ad iudicationem magis valet. Peplium verò flatus magis erumpere facit. Dolorem autem hæc duo sedant. Sedant etiam & alia multa quæ aluum subducunt medicamenta. Sed ex his quæ noui hæc sunt optima. Quandoquidem & quæ in sorbitionibus exhibentur aluum subducentia medicamenta, iuuant, quæcunque vel propter amaritudinem, vel aliam quandam insuauitatem, aut copiam, aut colorem, aut aliam quampiam suspicionem non admodum ingrata existunt. Ptisanam quidem, vbi epotum est medicamentum, insuper sorbendam statim dare oportet, neque admodum minore quàm consuetum est quantitate. Quandoquidem rationi consentaneum est, media in purgatione sorbitionem non exhibere. At vbi desierit purgatio, tunc minore quàm consueuerit quantitate absumatur, deindè verò paulò maiore semper adducatur copia, si & dolor sedatus fuerit, nihilque aliud aduersetur. Idem etiam mihi dicendum vbi ptisanæ cremore vti opus fuerit. Si quidem melius esse assero statim omninò sorbere incipere potiùs, quàm antea exinanitis vasis, aut tertio, aut quarto, aut quinto, aut sexto, aut septimo die à sorbitione inchoare, nisi quidem intra hoc tempus morbus priùs iudicatus fuerit. In hisque consimiles præparationes, quales dictæ sunt, faciendæ. De sorbitione igitur exhibenda sic sentio. Quin & de potu, qualemcumque tandem ex his qui describentur, quis sumturus sit, eadem omninò est ratio. At verò noui Medicos, qui contrà omninò quàm oporteat faciunt. Etenim volunt omnes vbi sub initia morborum homines inedia præmacerarint, aut duos, aut tres, aut plures etiam dies, ita sorbitiones & potiones exhibere, idque fortassis, quòd magnæ corporis mutationi, magnam etiam quandam mutationem contrà obiicere æquum ipsis videatur. Atqui mutatio quidem non parum bene habet, rectè tamen ipsa sanè transferenda venit. Quin & ciborum exhibitio mutationis rationem etiam magis obtinet. Plurimùm igitur læduntur, nisi rectè mutatio fiat, qui tota ptisana vtentur. Læduntur etiam qui solo succo vtentur, & qui solo potu, quanquam ij minimè. Oportet autem & ex hominum adhuc sanorum victus ratione, quænam conferant addiscere. Etenim si sanè in beneualentibus cibi inter se plurimùm differre videntur, cùm in aliis quibusdã, tum in mutationibus, an non in morbis multùm, maximéq; in acutissimis different? Atqui quòd vitiosa victus ratio, tum in potu, tum in cibo, sui semper similis, ad sanitatẽ omninò sit tutior, quàm si quis subitò ad aliã meliorem magnã mutationẽ faciat, cognitu sanè est facile. Quãdoquidem tũ eos qui bis die,

tum eos qui semel cibum sumere consueuerunt, repentinæ mutationes lædunt, & imbecillos reddunt, & qui quidem prandere non consueti, si prandeant, cōfestim ægrè habent, & toto corpore graues, debiles, & pigri efficiuntur, quòd si præterea cœnauerint, acidum eructant, quibusdam etiam aluus liquida contingit, nempe quòd præter consuetudinem pondere grauetur ventriculus, insuper siccari assuetus, non bis intumescere, neque bis cibos coquere. Iis igitur conuenit mutationē rependere. Dormire siquidem oportet, tanquàm noctem à cœna agentes, hyeme certè sine frigore, æstate verò citra calorem. Quòd si dormire nequeant, vbi multos lenta deambulatione circuitus confecerint, neque stent, nihilque, aut pauca & innoxia cœnent, prætereaque minùs, neque aquosum bibant. Is præterea etiam magis afficietur, si ter die ad satietatem cibum capiat, ac multò magis si sæpius. Quanquam multi sunt qui ter die copiosum cibum facilè ferūt, quod ita assueti sint. Quin etiam qui bis die cibum sumere consueuerunt, nisi pransi fuerint, debiles & infirmi sunt, & ad quoduis opus timidi, & oris ventriculi dolore vexantur. Iis enim suspensa esse viscera videntur, calidam & cum virore pallidam vrinam reddunt, & stercus exuritur, nonnullis quoque os amarescit, oculi grauantur, tempora pulsant, & extrema perfrigerantur. Ac plurimi quidem non pransi, cœnare nequeunt, qui si cœnauerint, ventriculum grauant, & difficiliùs multò decumbunt, quàm si pransi fuissent. Cùm igitur talia sanis contingant ob dimidiatæ diei victus à consuetudine mutationem, neque apponere quicquam, neque detrahere vtile esse videtur. Qui ergo præter consuetudinem semel cibum capiens, vbi tota die exinanitis vasis pro consuetudine cœnauerit, hunc par est, si cùm impransus fuit doluit & debilis fuit, & cùm cœnauit, grauis fuit, multò magis grauari. Quòd si longiore tempore exinanitis vasis repentè cœnauerit, adhuc vtique magis grauabitur. Qui igitur præter consuetudinem exinanitus fuerit, cum hunc diem sic repēdere conuenit, vt inprimis vitet frigus, calorem & laborem, cùm hæc omnia grauiter ferat, & cœnam longè solito minorem capiat, eamque non siccam, sed quodammodo humentiorem. Deinde minimè aquosum bibat, neque minùs quàm pro cibi ratione, posteroque die parum prandeat, quò sensim accessione facta ad consuetudinem redeat. Ista tamen eorum quidam molestius ferunt, nempe qui supernis partibus copiosam amaram bilem coaceruant. Non consuetam autem cibi abstinentiam, faciliùs in totum ferunt, qui partibus superioribus pituitosi sunt. Quò fit, vt si semel tantùm cibum preter consuetudinem capiant, faciliùs eam ferre possint. Istud igitur euidenti est argumento, quòd eorum quæ circa naturam atque habitum nostrum contingunt, maximæ mutationes, morbos potissimùm pariunt. Neque intempestiuas, neque vehemētissimas vasorum inanitiones moliri fas est, neq; cùm morbi vigent & in inflammatione consistunt, cibum offerre, neque repentè quicquam, in hanc vel illam partem, in toto negotio immutare. Multa verò eorum quæ circa ventrē contingunt, itemq; alia his cognata

καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖοι μεταβολαὶ, βλάβας καὶ ἀρρωστίην παρέχουσιν, καὶ τοὺς μέν γε μὴ μεμαθηκότας ἀριστᾶν, εἰ ἀριστήσουσιν, εὐθέως ἀρρώστους ποιέει καὶ βαρέας ὅλον τὸ σῶμα, καὶ ἀσθενέας καὶ ὀκνηρούς. ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας. ἐνίοισι δὲ, καὶ σπατίλη γένοιτο ἂν, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη, εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι, μήτε δὶς ἕψειν τὰ σιτία. ἀρήγει οὖν τουτέοισιν, ἀντισηκῶσαι τὴν μεταβολήν. ἐγχοιμηθῆναι γὰρ χρὴ, ὡς νύκτα ἀγαγόντα μετὰ τὸ δεῖπνον. τοῦ μὲν χειμῶνος, ἀρριγέως. τοῦ δὲ θέρεος, ἀθαλπέως. ἢν δὲ μὴ δύνηται καθεύδειν, βραδεῖαν συχνὴν περίοδον, πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν, ἢ ὀλίγα, καὶ μὴ βλαβερά. ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δ' ἂν μᾶλλον, πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης ἐς κόρον. ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις. καί τοι γε πολλοί εἰσιν οἳ εὐφόρως φέρουσιν τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν. ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν ἀσθενέες, καὶ ἄρρωστοί εἰσι. καὶ δειλοὶ ἐς πᾶν ἔργον. καὶ καρδιαλγέες. κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι. καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν. καὶ ἡ ἄφοδος ξυγκαίεται. ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται. καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται. καὶ οἱ κρόταφοι πάλλονται. καὶ τὰ ἄκρεα διαψύχονται. καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων, οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον. δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην, καὶ δυσκοιτέουσι πολὺ μᾶλλον, ἢ εἰ προηριστήκεσαν. ὁκότε γοῦν ταῦτα τοιαῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν εἵνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος, οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται, οὔτε ἀφελεῖν. εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτὸν εἰ τότε ἀνάριστος ἐὼν, ἐπόνεε, καὶ ἠρρώστει, δειπνήσας δὲ τότε βαρὺς ἦν, πουλὺ μᾶλλον βαρύνεσθαι. εἰ δέ γε ἐπὶ πλείω χρόνον κενεαγγήσας, ἐξαπίνης, μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο. τὸν γοῦν παρὰ τὸ ἔθος κενεαγγήσαντα, ξυμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε ἀρριγέως καὶ ἀθαλπέως καὶ ἀταλαιπώρως. ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι καὶ τὸ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι, ἢ ὅσον εἴθιστο, καὶ μὴ ξηρὸν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου. καὶ πιεῖν μετὰ ταῦτα, πιεῖν μὴ ὑδαρὲς, μηδ' ἔλασσον, ἢ κατὰ λόγον βρώματος. καὶ τῇ ὑστεραίῃ, ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος. αὐτοὶ μέν τοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω, τὴν δὲ ἀσιτίην τὴν παρὰ τὸ ἔθος, οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτεροι φέρουσι τὸ ἐπίπαν ὥστε καὶ τὴν μονοσιτίην, τὴν παρὰ τὸ ἔθος, εὐφορώτερον ἂν οὗτοι ἐνέγκοιεν. ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημεῖον, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν. οὐ δὴ οἷόν τε παρὰ καιρὸν, οὔτε σφοδροτάτας κενεαγγείας ποιέειν, οὔτε ἀκμαζόντων τῶν νοσημάτων, καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν. οὔτε ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν, οὔτε ἐπὶ τὰ, οὔτε ἐπὶ τά. Πολλὰ δ' ἄν τις ἀδελφισμένα τουτέοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι.

ἥκοι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα, ἃ εἰθισμένοι εἰσὶν, εἰ καὶ μὴ ἀγαθὰ ᾖ φύσει. ὡσαύτως δὲ καὶ τὰ ποτά. δυσφόρως δὲ φέρουσι τὰ βρώματα ἃ μὴ εἰθισμένοι εἰσὶν, εἰ καὶ καλὰ ᾖ. ὡσαύτως δὴ καὶ ποτά. καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει. ἢ σκόροδα. ἢ σίλφιον. ἢ ὀπός. ἢ καυλός. ἢ ἄλλα ὁκόσα τοιουτότροπα, μεγάλας δυνάμιας ἔχοντα ἰδίας. ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει, τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλλων. ἀλλ' εἰ καταμάθοι ὅκως ἂν μᾶζα τε ὄχλον, καὶ ὄγκον, καὶ φῦσαν, καὶ στρόφον, τῇ κοιλίῃ παρέχοι παρὰ τὸ ἔθος βρωθεῖσα, τῷ μὴ μαζοφαγέειν εἰθισμένῳ. ἢ ἄρτος τε ὁ ... θερμὸς βρωθείς. οἵην δίψαν παρέχει. καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον. καὶ οἱ ἄγαν καθαροί τε καὶ ξυγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες, οἷα διαφέροντα ἀλλήλων ποιέουσι. καὶ μᾶζά τε ξηρὴ παρὰ τὸ ἔθος, ἢ ὑγρὴ, ἢ γλισχρή. καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια, τοῖσι μὴ εἰωθόσι. καὶ τὰ ἑτεροῖα, τοῖσι τὰ ποταίνια εἰωθόσι. καὶ οἰνοποσίη, καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής τε οἶνος, καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς. ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει. καὶ φῦσαν ἐς τὴν κάτω. ὁ δὲ παλμὸν φλεβῶν, καὶ καρηβαρίην καὶ δίψαν. καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα. ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα οἶνον, ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι, μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα.

Ξυμμαρτυρητέον δέ τι μέρος, τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης, τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος, οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτε ἐπὶ τὴν ἀρρωστίην, ὥστε ἀφαιρεθῆναι. προστεκμαρτέα δὴ καὶ ἰσχὺς, καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστοισι, καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔθεος, καὶ τῆς διαίτης τοῦ κάμνοντος, οὐ μόνον σιτίων, ἀλλὰ καὶ ποτῶν. πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον. ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ. ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται. πολλὰ δ' ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι, τό γε μὴν κρέσσον μαρτύριον. οὐ γὰρ ἠδελφισμένον ἐστὶ τῷ πρήγματι, περὶ οὗ μοι ὁ πλεῖστος λόγος εἴρηται. ἀλλ' αὐτὸ τὸ πρῆγμα, ἐπικαιρότατόν ἐστι διδακτήριον. οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νουσημάτων, ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν, ἠργμένοι ἤδη. οἱ δὲ, καὶ τῇ ὑστεραίῃ. οἱ δὲ, καὶ ἐρρόφεον τὸ προστυχόν. οἱ δὲ, καὶ κυκεῶνα ἐρρόφεον. ἅπαντα δὲ ταῦτα, κάκιον μέν ἐστιν ἢ εἰ ἑτεροίως τις διαιτηθείη. πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει, ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελείως. τεταρταῖος δὲ ἐὼν, τοιάδε διαιτηθείη, ἢ καὶ πεμπταῖος. ἔτι μέντοι κάκιον, εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὑστέρῃσιν ἡμέρῃσιν, οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νοῦσον.

referre quis possit. veluti quòd cibos quidem leuiter ferunt quibus assueuerunt, etiamsi natura boni non sint, eodemque modo potiones. Moleste autem ferũt cibos quibus minimè sunt assueti, quamuis boni sint, similiter & potus. Et quæcunq; quidem multus præter consuetudinem carnis esus facit, vel allium, vel laser, aut eius succus, aut caulis aliaq; id genus peculiaribus quibusdam insignibus viribus prædita, minus vtique quis miretur, si, quę sunt huiusmodi, dolores ventriculis magis quàm alia adducant. Verùm [minus fortasse miraberis] si noueris quantam maza turbationem, & tumorem, & flatum, & tormina præter consuetudinem ingesta ventriculo exhibeat ei qui ea vesci minimè consueuit. Vel qualem panis ipse calidus ingestus sitim inducat & repentinam repletionem, tum quòd exiccet, tum etiam quòd tardè descendat. Et quàm varia inter se efficiant panes purissimi & confusanei, in cibo præter consuetudinem assumti. Itemque maza præter morem sicca, aut humida, aut lenta, & quale quid efficiant polentæ recentes in non assuetis, aliæque iis qui recentibus sunt assueti. Itemque vini & aquæ potus præter consuetudinem inuicem de repente permutatus, & aquosum vinum & merum præter morem subitò epotum. Illud nanque in superiore ventre redundantem humiditatem, & inferiore flatum inducet, hoc verò venarum palpitationem, capitis grauitatem & sitim. Tum etiam vinum album & nigrum si quis præter consuetudinem immutet, etiamsi ambo vitiosa fuerint, multa tamen in corpore alterarint, vt minus quis esse mirum dixerit, dulce & vinosum vinum vbi repente permutata fuerint, non idem posse. At contrario sermoni quadam ex parte fauendum est, nempe cùm his victus ratio facta sit, corpore neque ad robur, vt cibos adiicere, neque ad debilitatem, vt cibos demere oporteat, immutata. Insuper in singulis & robur, & morbi genus coniectandum est, tum etiam hominis natura, tum ægri victus consuetudo, neque in cibis solùm, verùm etiam in potionibus. Ad ciborum autem adiectionem multò minus attendẽdum est. Nam & subtrahere omninò sæpenumero expedit, dum ægro sufficere posse videatur, donec morbi vigor ad maturitatem perducatur. Quod in quibus faciendum sit, paulò pòst scribetur. Multa verò etiam alia his quę dicta sunt similia quis scribere possit. Istud certè efficacius est testimonium. Neque enim rei quæ plurimum in quæstione versatur cognatum existit, sed res ipsa valdè idoneum præbet documentum. Nam & per acutorum morborum exordia, quandoque quidem eodem quo laborare cœperunt die cibos comederunt, quidam etiam postridie, nonnulli quoque quiduis, alij etiam quendam potionis cinnum (cyceona dictum) sorbendo sumserunt. Hæc autem omnia deteriora quidem sunt, quàm si quis aliam victus rationem instituat. Multò tamen minus lædunt quæ hoc tempore peccata committuntur, quàm si primis duobus vel tribus diebus, vasa quis omninò exinanierit, mox quarto vel quinto die talem cibum exhibeat. Quinetiã multò deterius est, si quis totis his diebus vasis antea exinanitis, posterioribus deinceps diebus ita victũ instituat, priùs q̃ morbus maturus euadat.

Hac enim ratione plurimis liquidò mortem inferet, niſi mitis omninò morbus extiterit. Quæ verò per initia errata committuntur, his non ſimiliter incurabilia exiſtunt, ſed multò faciliùs ſanantur. Hoc ſanè maximo argumēto eſſe arbitror, nulla ſorbitione abſtinendum in quibus paulò pòſt futurum eſt vt his aut illis ſorbitionibus vti debeant. Prorſus igitur ignorant qui hordeacea vtuntur priſana, quòd ab ea malè habent, vbi duobus vel tribus, vel etiam pluribus diebus antea exinanitis vaſis ſorbere cœperint. Neque rurſus qui cremore vtuntur, quòd ſorbentes lædantur intelligunt, vbi non rectè ſorbitionem inchoauerint. Hoc tamen cauent & agnoſcunt magnam adferre læſionem, ſi antequam morbus ad maturitatem peruenerit, æger hordeaceam priſanam ſorbeat, cremore vti aſſuetus. Hæc igitur omnia magno ſunt indicio, quòd Medici non rectè ægrotantes ad cibos adducūt, ſed in quibus morbis vaſa exinaniri non expedit, & in quibus ſorbitione vtendū ſit, in iis vaſa exinaniant, & in quibus ex vaſorum inanitione ad ſorbitiones tranſeundum non ſit, in his tranſeant, idque plerunq; exquiſitè. Interdum verò eo tempore ex vaſorum inanitione in ſorbitiones commutant, quo plærunque ex ſorbitionibus ad vaſorum inanitionem accedere expedit, ſi ita morbus ingraueſcens tulerit. Interdum etiam cruda à capite attrahuntur, & à thoracis regione biliosa, vigiliæq; iis accedunt, ob quas non coquitur morbus, valdeque triſtes & amarulenti euadunt, delirio tentantur, & iis oculi vibranti ſplendore coruſcant, aures ſono implentur, extrema perfrigeſcunt, vrinæ incoctę, ſputa tenuia fiunt, ſalſa, & colore ſincero tincta, & pauca, ſudores circa ceruicem contingūt, & anxietates, ſpiritus in ea quæ ſurſum fit latione offenſans, creber & magnus valdè, ſupercilia quodammodo amplificantur, prauæ animi defectiones, veſtium à pectore reiectiones, & manus tremulæ, atque interdum labij inferioris concuſſio. Quæ ſi initiis cōpareant, grauis delirij ſignificationem exhibent, & plerunque moriuntur. Qui verò euadunt, ij cum abſceſſu, vel ſanguinis ex naribus profluuio, vel puris craſſi excreatione, neq; aliter euadunt. Neque certè horū ita peritos Medicos video, vt virium infirmitates in morbis dignoſcant, quæ vel ex vaſorum inanitione perficiuntur, & quæ vel ob aliud quoddam irritamentum, quæq; ob dolorem & morbi vehementiam, quaſque omnis generis affectuum ſpecies natura noſtra & habitus in ſingulis pariat, quamuis hæc cognita aut ignorata ſalutem aut mortem afferunt. Maius ſiquidem malum eſt, ſi ob dolorem aut morbi vehementiam debilitato quis potum aut ſorbitionem copioſiorem aut cibum exhibeat, ob vaſorum inanitionem debilem eſſe ratus. Indecorum autem eſt probroque vertitur, ſi quis ex vaſorum inanitione ægrè habentem non agnoſcat, & victus ratione opprimat. Periculum ſiquidem quoddam affert hoc erratum, multo tamen minùs quàm alterum, illoque longè maiore riſu dignius eſt. Nam ſi quis alius Medicus aut plebeius acceſſerit, & quæ contigerunt cognouerit,

οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, ἢν μὴ παντάπασί τις εὐήθης ἡ νοῦσος εἴη. αἱ δὲ κατ᾽ ἀρχὰς ἁμαρτάδες, οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοι εἰσιν, ἀλλὰ πολλὸν εὐακεστότεραι. τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος, ἢ τοῖου, ἢ τοῖου, τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν, ἢ τοίοις, ἢ τοίοις χρέεσθαι. [24] πυθμένοθεν μὲν οὖν οὐκ ἴσασιν, οὐδ᾽ οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται. ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προεκενεαγγήσωσι, δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους. οὔτ᾽ αὖ οἱ τῷ χυλῷ χρεόμενοι γινώσκουσιν ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὁκόταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος. τόδε μὲν φυλάσσουσι καὶ γινώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν πρὶν πέπειρον τὴν νοῦσον γενέσθαι κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι. πάντα οὖν ταῦτα, μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας, ἀλλ᾽ ἐν ᾗσί γε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν. ἐν ᾗσι τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι, [25] καὶ ὡς ἐπιτοπολὺ ἁμαρτάνουσιν. ἐνίοτε δὲ, ἐν τοῖσι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ, ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος. ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ἀπό τε κεφαλῆς, καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα. ἀγρυπνίαι τε συνεμπίπτουσιν αὐτέοισι, δι᾽ ἃς οὐ πέσσεται ἡ νοῦσος. περίλυποι τε καὶ πικροὶ γίνονται. καὶ παραφρονέουσι. καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα. καὶ αἱ ἀκοαὶ ἤχου μεσταί. καὶ τὰ ἀκρωτήρια κατεψυγμένα. καὶ οὖρα ἄπεπτα. καὶ πτύσματα λεπτὰ, καὶ ἁλυκὰ, καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρά. καὶ ἱδρῶτες περὶ τὸν τράχηλον. καὶ διαπορήματα. [26] καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν, ἢ μέγα λίην. ὀφρύες δεινώσιος μετέχουσαι. λειποψυχώδεα πονηρὰ καὶ τῶν ἱματίων ἀποῤῥιψίες ἀπὸ τοῦ στήθεος. καὶ χεῖρες τρομώδεες. ἐνίοτε δὲ καὶ χεῖλος τὸ κάτω σείεται. ταῦτα δὲ ἐν ἀρχῇσι παραφαινόμενα, παραφροσύνης δηλωτικά εἰσι σφοδρῆς. καὶ ὡς ἐπιτοπολὺ, ἀποθνήσκουσιν. οἱ δὲ διαφεύγοντες ἢ μετὰ ἀποστήματος, ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς, ἢ πῦον παχὺ πτύσαντες διαφεύγουσιν· ἄλλως δὲ οὔ. οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς χρὴ διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵτε διὰ κενεαγγείην ἀποτελοῦνται, αἵτε δι᾽ ἄλλον τινὰ ἐρεθισμὸν, αἵτε διὰ πόνον, καὶ ὑπὸ ὀξύτητος τῆς νούσου. ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα. καίτοι σωτηρίην ἢ θάνατον φέρει, γινωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα. μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι, προσφέρῃ τις ποτὸν, ἢ ῥόφημα πλεῖον, ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. [27] ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην ἀσθενέοντα, μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ. φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτάς. πολλὸν δὲ ἧσσον, τῆς ἑτέρης. καταγελαστοτέρη δὲ πολλὸν αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης. εἰ γὰρ ἄλλος ἰατρὸς ἢ καὶ ἰδιώτης εἰσελθὼν, καὶ γνοὺς τὰ συμβεβηκότα,

σιτίον καὶ φαγεῖν, καὶ πιεῖν, ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν δοκοίη ὠφεληκέναι. τὰ δὲ τοιαῦτα μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων. δοκεῖ γὰρ αὐτέοισιν ὁ ἐσελθὼν ἰητρὸς, ἢ ἰδιώτης, ὡσπερεὶ τεθνεῶτα ἀναστῆσαι. γεγράψεται οὖν καὶ περὶ τουτέου, σημήϊα οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν. παραπλήσια μέν τοι τοῖσι κατὰ κοιλίην καὶ ταῦτα ἐστί. καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔρρωται μᾶλλον. ἢν δὲ δὴ καὶ πλείω χρόνον διελινύσας ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φλαῦρόν τι πρήξειεν ἐπιδήλως. οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώματος. καὶ γὰρ ἢν οἱ πόδες τοιόνδε τι πρήξειαν, καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης πρὸς τὸ πονεῖν ἔλθῃ. ταὐτὰ δ᾽ ἂν καὶ οἱ ὀδόντες καὶ οἱ ὀφθαλμοὶ πάθοιεν, καὶ πᾶν ὁτιοῦν. ἐπεὶ καὶ κοίτη ἡ παρὰ τὸ ἔθος μαλθακὴ, πόνον ἐμποιεῖ. καὶ σκληρὴ παρὰ τὸ ἔθος. καὶ ὑπαίθριος εὐνὴ παρὰ τὸ ἔθος, σκληρύνει τὸ σῶμα. ἀτὰρ καὶ τὰ τῶν τοιῶνδε πάντων, ἀρκεῖ παράδειγμα γράψαι. εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ, μήτε λίην ἐπίκαιρον, μήτε λίην εὐηθὲς ὂν, καὶ μήτε ἄγαν δυσελκὴς ὢν, μήτε ἄγαν εὐελκὴς, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ μηδαμῆ μετεωρίζοι τὸ σκέλος,[28] ἀφλέγμαντος μὲν ἂν οὗτος εἴη, καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο, ἢ εἰ πλανώμενος ἰητρεύοιτο. εἰ μέν τοι πεμπταῖος, ἢ ἑκταῖος, ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς, ἐθέλοι προβαίνειν, μᾶλλον ἂν πονέοι τότε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονέσειεν, ἢ ἐκείνως ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι. διὰ τέλεος οὖν μαρτυρεῖ ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μείζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ, καὶ ἐπὶ τὰ, βλάπτει. πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης, ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται. ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πόνον ἔλθοι, πουλὺ πλείω βλαβείη, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι.[29] δεῖ μέν τοι καὶ τὸ σῶμα τουτέοισιν ἐλινύειν. καὶ ἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίην ἐμπέσῃ, δεῖ δὲ καὶ τουτέοισι τὴν κοιλίην ἐλινύειν πλῆθος βρώμης. ἢν δὲ μὴ, πόνον ἐν τῷ σώματι ἐμποιήσει, καὶ βάρος ὅλου τοῦ σώματος. ὁ δὴ οὖν πλεῖστος μοι λόγος γέγονε, περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τῆς διαίτης, καὶ ἐπὶ τὰ, καὶ ἐπὶ τά. ἐς πάντα μὲν οὖν, εὔχρηστον ταῦτα εἰδέναι. ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν. ὅτι καὶ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης. μεταβλητέον γὰρ ὡς ἐγὼ κελεύω ἤδη. ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἢ νοῦσος πεπανθῇ, ἢ ἄλλο τι σημεῖον φανῇ, ἢ κατ᾽ ἔντερον κενεαγγικὸν, ἢ ἐρεθιστικὸν, ἢ κατὰ τὰ ὑποχόνδρια, οἷα γεγράψεται σημεῖα. ἀγρυπνίη ἰσχυρὴ, πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιεῖ. καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ, διαλύει σῶμα, καὶ ἑφθότητα, καὶ καρηβαρίην ἐμποιεῖ. Γλυκὺν δὲ

cibumq; & potum quem alter prohibuerit exhibuerit, is proculdubio auxilium attulisse videatur. Atque ista præcipuè artifices apud homines infamant. Hic enim superueniens Medicus vel plebeius, tanquam mortuum suscitasse videtur. Horum igitur etiã signa, ex quibus singula dignoscere oporteat, scribetur. Sed tamen & hæc sunt his quæ circa ventrem contingunt consimilia. Etenim si totum corpus præter solitum multum quieuerit, non confestim robustius euadit. Si verò sanè ex diutino otio repente se ad labores contulerit, manifestum quoddam vitium efficiet. Eodem etiam modo de singulis corporis partibus existimandum. Nam & pedes tale quiddam efficient, & reliqui articuli laborare non assueti, vbi longo post interuallo de repente ad laborem se conuerterint. Eodemque modo & dentes, & oculi, & quæuis alia corporis pars afficietur, quandoquidem & lectus præter consuetudinem mollis laborem facit, itemque durus prçter solitum. Quin & sub dio præter morem stratus corpus indurat. Sed & horum omniũ exempla scribere confert. Si quis enim accepto in tibia vlcere neque admodum insigni, neque valdè contemnendo, isque ad vlcera neque admodum difficulter, neque etiam admodum facilè se habeat, statim ab initio primo die decumbens curetur, & nequaquam crus attollat, hic quidem sine inflammatione erit, multoque citiùs hoc modo sanus euadet, quàm si sensim obambulans curaretur. Si tamen quinto, vel sexto, vel superiore adhuc aliquo die surgens progredi voluerit, magis vtiq; tunc affligetur, quam si statim ab initio sensim oberrans curatus fuisset. Quòd si etiam multùm de repente laborauerit, multò magis affligetur, quàm si illo modo curatus, illis diebus ita laborasset. Hæc igitur omnia inter se semper attestantur, quòd omnis subita supra modum in hæc vel illa magna mutatio lædit. Varia itaque in ventre est læsio, vbi ex multa vasorum inanitione plus iusto de repẽte cibus ingeritur. Quin & reliquum corpus si ex longa quiete subitò ad maiorem laborem se verterit, multò magis lædetur, quàm si ex multo cibo ad vasorum inanitionem commutetur. His sanè toto corpore quiescere conuenit, atq; si ex multa defatigatione de repente ad ocium & ignauiam decidat. His quoque ventrem à ciborum copia quiescere oportet. Alioqui corpori dolorem afferet, & totũ corpus grauitate afficiet. Plurimus sanè mihi sermo habitus est de victus rationis in hanc vel illam partem immutatione, nempe quòd ista nouisse valde sit vtile, cùm ad omnia, tum etiam ad id de quo instituta erat oratio, quòd in morbis acutis ex vasorum inanitione, ad sorbitiones mutationem faciunt. Mutatio namque velut ego iam iubeo facienda est. Deinde sorbitionibus priùs quàm morbus ad maturitatem peruenerit, minimè est vtendum, aut signum aliquod aliud circa intestina vacuatorium aut proritatorium appareat, vel circa præcordia qualia paulò post scribentur. Vehemens vigilia potus cibósque tum crudos, tum incoctiores reddit. Ac rursus quæ in contraria fit mutatio, corpus dissoluit, & excoctionem ac capitis grauitatem inducit. At vinum

dulce & vinosum, & album, & nigrũ, & aquam mulsam, & aquam, & acetum mulsum, his notis in morbis acutis distinguere oportet. Dulce quidem vinoso minùs caput grauat, & minùs caput ferit, magisque sanè quàm alterũ intestinorũ deiectiones mouet, viscerũ tamen tumores, hepatis nempe & lienis auget. Neq; igitur his qui amarã colligunt bilem conuenit, nempe quòd his sitim facit. Quinetiam in superiore intestino flatum excitat, neq; tamẽ inferiori intestino pro flatus ratione est aduersum, & si sanè non valdè penetrat à dulci vino flatus, sed circa præcordia immoratur. Et certè hoc minùs vrinas prorsus mouet quàm vinosum albũ. Sputũ tamẽ potentiùs altero educit quod dulce est. Et quibus quidẽ epotũ sitim facit, iis minùs quàm aliud vinũ educit. Quibus verò minimè siticulosum est, alio magis educit. At verò vinũ albũ vinosum plurimùm & maxima ex parte laudatũ quidem & vituperatum est, in vini dulcis enarratione. Ad vesicã autem altero magis penetrat, & cùm vrinã prouocet, & semper perrumpat, multùm in his morbis contulerit. Quamuis enim ad alia altero sit minùs idoneum, quæ tamen ab ipso fit per vesicã purgatio, liberat, si vti debet impellatur. Bonæ hæ sunt notæ de vini vtilitate & noxa, quæ senioribus incognitæ fuerunt. Fuluo vino verò & nigro austero in his morbis ad hæc vti possis, si vtiq; capitis grauitas non insit, neq; mentis perculsio, neq; sputum sursum ferri prohibeatur, neq; etiã vrina inhibeatur, sed alui egestiones humẽtiores & ramentosiores fuerint. In his sanè vel maximè ex albo mutationem facere conuenit, & quæcunq; iis similia existũt. Istud autẽ insuper nosse oportet, si dilutius fuerit vinum superiores omnes partes & quæ circa vesicam sunt, minùs lædere, meracius verò iis quæ circa intestina magis prodesse. At aqua mulsa per totũ morbum in acutis epota, iis prorsus qui bilem amaram coaceruant, & quibus viscera intumescunt, minùs quàm nõ talibus est idonea. Sitim tamen minùs quàm dulce vinum infert. Pulmonem enim emollit, & sputum mediocriter educit, tussimq; sedat. Habet namq; detergens quiddã, quod plus quàm par est viscidũ sputum reddit. Mulsa quoq; vrinas abũdè prouocat, nisi quid ex visceribus ꝓhibeat. Quin & vitiosa magis per aluũ deiicit, interdũ laudabilia quidem, interdum etiã bile sincera plus quàm par est colorata & magis spumãtia, idq; biliosis & visceris alicuius inflammatione laborantibus potiùs contingit. Mulsa igitur dilutior sputũ magis educit & pulmonem emollit. At spumãtes alui egestiones & plus quàm conuenit sincera bile exaturatas calidioresq;, sincera magis quam aquosa demittit. Talis autem deiectio & alias graues quidem habet noxias. Neq; enim præcordiorum ardorem extinguit, sed concitat, implaciditatemq; & incontinentẽ membrorũ iactationem efficit, intestinaq; & sedem exulcerat, quorum medelæ scribẽtur. In huiusmodi igitur morbis, relictis sorbitionibus, si aqua mulsa alterius potionis loco vtaris, vt multa fœliciter cõsequeris, ita nõ multùm successu frustraberis. Quibus ergo danda sit, & quibus aut quas ob causas minimè exhibenda,

οἶνον, καὶ οἰνώδεα, καὶ λευκὸν, καὶ μέλανα, καὶ μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοῖσι δὲ σημειούμενον, χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. ὁ μὲν γλυκὺς, ἧσσον ἐστὶ καρηβαρικώτερος τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος. καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατ' ἔντερον. μεγαλόσπλαγχνος δὲ σπληνὸς, καὶ ἥπατος. οὐκ ἐπιτήδειος οὖν οὐδὲ τοῖσι πικροχόλοισι. καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιουτέοισι ἐστίν. ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω. οὐ μὴν πολέμιός γε αὐτῷ ἐν τέρῳ τῷ κάτω, ὡς κατὰ λόγον τῆς φύσης. καίτοι γε οὐ πάνυ πορίμη ἐστὶν, ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ' ἐγχρονίζει περὶ ὑποχόνδρια. καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικός ἐστι τοῦ οἰνώδεος λευκοῦ. πτυάλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς. καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι, ἢ ὁ ἕτερος οἶνος. οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου. ὁ δὲ λευκὸς οἰνώδης οἶνος, ἐπῄνηται μὲν καὶ ἔψεκται, τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει. ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς καὶ καταρρηκτικὸς, αἰεὶ πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι. καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ κύστιν κάθαρσις ὑπ' αὐτοῦ γινομένη, ῥύεται ἢν προτρέπηται, ὁκοῖον δεῖ. καλὰ δὲ ταῦτα τεκμήρια ἐστὶ, τοῦ περὶ οἴνου ὠφελίης καὶ βλάβης, ἅσσα ἀκαταμάθητα ἦν, τοῖσιν ἐμεῦ γεραιτέροισι. κιρρῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν, ἐς τάδε ἂν χρήσαιο, εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ τὸ οὖρον ἴσχοιτο. τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματωδέστερα εἴη. ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ. καὶ ὅσα τουτέοισιν ἐμφερέα. προσξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ κύστιν, ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ. τὰ δὲ κατ' ἔντερον, μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ. Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισι, τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν, ἧσσον ἐπιτήδειον, ἢ τοῖσιν οὐ τοιουτέοισιν ἐστίν. διψῶδές γε μὴν, ἧσσον τοῦ γλυκέος οἴνου. πλεύμονός τε γὰρ, μαλθακτικόν ἐστι, καὶ πτυέλου ἀναγωγὸν μετρίως, καὶ βηχὸς παρηγορικόν. ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον. ἔστι δὲ καὶ οὐρητικὸν μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ. καὶ διαχωρητικὸν δὲ, κάτω χολωδέων. ἔστι μὲν ὅτε καλῶν. ἔστι δ' ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ, καὶ ἀφρωδεστέρων. μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται. πτυάλου μὲν οὖν ἀναγωγὴν, καὶ πλεύμονος μάλθαξιν, τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον. τὰ μὲν τοι ἀφρώδεα διαχωρήματα, καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμὰ, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει. τὸ δὲ τοιόνδε διαχώρημα, ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα. οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύει, ἀλλὰ ὁρμᾷ. δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει. ἑλκῶδές τε ἐστὶ καὶ ἐντέρων καὶ ἕδρης. ἀλεξιτήρια δὲ τούτων, γεγράψεται. ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεώμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι, πολλὰ ἂν εὐτυχοίης, καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης. οἷσι δὲ δοτέον, καὶ οἷσι μὴ δοτέον,

τὰ μέγιστα εἴρηται, καὶ δὴ ἀκουστέοι. κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων,[31] ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο, διὰ τοὺς ἀποκαρτερέοντας. ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιούτου δῆθεν ἐόντος. τὸ δὲ, οὐ παμπάπασιν ὧδε ἔχει. ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον,[32] ἢν μὴ ἐκταράσσῃ τὴν κοιλίην. ἀτὰρ καὶ οἴνου λευκοῦ, καὶ λεπτοῦ, καὶ ὀλιγοφόρου, καὶ ἀόσμου, ἢ μὲν, ἰσχυρότερον, ἢ δὲ, ἀσθενέστερον. μέγα μὴν διαφέρει καὶ οἴνου, καὶ μέλιτος ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. ὅμως τοίνυν εἰ καὶ διπλάσιον μέτρον οἴνου καὶ ἀκρήτου πίνοι τις, ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος μούνου, εἰ μὴ ταράσσοι τὴν κοιλίην. πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτέῳ. εἰ μέν τοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον ἄγαν, πλησμονῶδες ἂν εἴη, καὶ φυσῶδες. καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν, ἀξύμφορον. προπινόμενον μὲν πρὸ ῥοφήματος μελίκρητον, οὐ βλάπτει ὥσπερ μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει. ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν, πολλῷ κάλλιον τοῦ ὠμοῦ. λαμπρὸν γὰρ καὶ λεπτὸν, καὶ λευκὸν, καὶ διαφανὲς γίγνεται. ἀρετὴν δὲ ἥν τινα αὐτέῳ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ, οὐκ ἔχω. οὔτε γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνοι γε τὸ μέλι καλὸν ἐόν. ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ, καὶ ἀκοπρωδέστερόν ἐστιν. ὧν οὐδὲ ἕτερον εἰς τιμωρείην προσδέεται μελίκρητον.[33] ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν, καὶ ἀκάθαρτον, καὶ μέλαν, καὶ μὴ εὐῶδες. ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτέων, τὰ πλείονα τοῦ αἴσχεος. Τὸ δὲ ὀξύμελι καλεόμενον ποτὸν, πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσιν νούσοισιν εὑρήσεις ἐόν. καὶ γὰρ πτυάλου ἀναγωγόν ἐστι, καὶ εὔπνοον. καιροὺς μέν τοι τοιούσδε ἔχει. τὸ μὲν γὰρ κάρτα ὀξὺ, οὐδὲν ἂν μεῖζον ποιήσειε πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα. εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα, καὶ ὀλισθηρὸν ἐμποιήσειεν, καὶ ὥσπερ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἂν τὸν πλεύμονα. μαλθακτικὸν γὰρ αὐτέου. καὶ εἰ μὲν ταῦτα συγκυρήσειεν, μεγάλην ἂν ὠφελείην ποιήσειεν. ἔστι δὲ ὅτε τὸ κάρτα ὀξὺ, οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλίσχρηνέ τε καὶ ἔβλαψε. μάλιστα δὲ τοῦτο πάσχουσιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. ἐς μὲν οὖν τόδε προτεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος, κἢν ἐλπίδα ἔχῃ διδόναι. διδόναι δὲ ἢν διδῷς, ἀκροχλίαρον καὶ κατ' ὀλίγον τὸ τοιόνδε, καὶ μὴ λάβρως. τὸ μέν τοι ὀλίγον ἔποξυ, ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα. ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον. ὑποχονδρίῳ δὲ, καὶ σπλάγχνοισι, καὶ τῇσι ταύτῃσιν εὐμενές. καὶ γὰρ τὰς ἀπὸ μέλιτος βλάβας ταύτας κωλύει. τὸ γὰρ χολῶδες ἐν μέλιτι κολάζεται. ἔστι δὲ καὶ φυσέων καταρρηκτικόν. καὶ ἐς οὔρησιν προτρεπτικόν. ἐντέρου μέν τοι, τῷ κάτω μέρει πλαδαρώτερον. καὶ ξύσματα ἐμποιέει. ἔστι δὲ ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, μάλιστα μὲν ὅτι φύσαν κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν ποιέει. ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ τὰ ἀκρωτήρια ψύχει. ταύτην καὶ οἶδα μούνην δι' ὀξυμέλιτος γινομένην βλάβην, ἥτις καὶ ἀξίη γραφῆς. ὀλίγον δὲ

maxima ex parte dictum est. Damnata est autem ab hominibus aqua mulsa, quòd epota ad extremam imbecillitatem deducat, ideoque breui mortem afferre existimata est. Quod quidem propter eos qui vita per inediam discedunt dictum est. Sunt enim qui ea sola in potu vtantur, tanquam certè talis existat. Verùm non prorsus ita se res habet, sed sola epota aqua longè valentior existit, nisi aluum conturbarit. Sed & vino albo, tenui, paucifero & inodoro, quodammodo est validior, quodammodo etiam debilior. Atqui vini & mellis meracitas, si vtriusq; vires conferas, insigne habet discrimen. Nam etsi vini meri bis tantundem ad id mellis quod delingit, quis biberit, is longè certè validior à solo melle, vbi ventrem nõ turbauerit reddetur. Multis enim partibus plus stercoris ipsi prodibit. Si tamen post ptisanæ sorbitionem quis aquã mulsam superbibat, valdè replet & inflat, præcordiorumq; visceribus est inutilis. Neq; quidem si ante sorbitionem bibatur lædit, vt postea epota, verumetiam quodammodo iuuat. Cocta autem aqua mulsa, aspectu quidem quàm cruda longè est pulchrior. Splendida siquidem & tenuis, alba & pellucida existit. Neq; verò aliquã ei virtutem quæ crudam antecellat, attribuere possum. Non enim cruda est suauior, si mel probum esse contigerit, cruda tamen est imbecillior, & minùs habet stercoris. Quorum neutro vt iuuare possit, aqua mulsa indiget. Pręcipuè verò eiusmodi cocta vtendũ, si mel prauum fuerit, impurum, nigrum, & mali odoris. Coctura namq; huius prauitatis vitium magna ex parte aufertur. Acetum autem mulsum (oxymeli vocatum) epotum, multiplicem quidem in his morbis vtilitatem habere comperies. Nam & spiritũ sursum educit, & facilem reddit spirationem. Has verò habet vtendi opportunitates. Quod quidem valdè acre est, nihil moderati effecerit ad sputa quæ nõ facilè exeũt. Nam si ea educeret quæ stridulam in faucibus asperitatem faciunt, & lubricitatem induceret, ac veluti si guttur dilataret, pulmonem vtiq; leniret, cùm ipsum emolliat: Quæ siquidem contingerent, magnam vtilitatem præstarent. Interdum verò quòd valdè acre est, sputũ minimè educit, sed magis glutinosum reddit, noxiamque facit. Maximeque ita affecti sunt, qui cùm alioqui perniciosè habent, neq; tussire, neque ea quæ intus continentur excreare possunt. Ad hoc igitur ægrotantis robur conñcere oportet, & si de eo spẽ conceperis, exhibere. Et cùm dare volueris perquam tepidum, paulatimq; huiusmodi, neque affatim exhibebis. Quod autem parum acre est, os quidem & fauces humectat, sputum educit & sitim sedat, pręcordiis & visceribus ibi contentis est beneuolũ. Nam & mellis noxias inhibet, cùm quod in eo biliosum est corrigat, flatus etiam perrumpere facit, & vrinas promouet, intestini tamen inferiorem partem plus æquo humentem reddit, & ramenta inducit. Interdum quoque & in acutis morbis hoc prauum est, maximè quidem quod flatum penetrare vetat, quinetiam sursum recurrere facit, præter hæc autem alias debilitat, & extrema refrigerat. Atque hæc sola est ex aceto mulso noxa scriptione certè digna. Exiguum

autem eiusmodi potum nocte quidem & ieiuno ante sorbitionem propinare conuenit, quanquam & longo post sorbitionem interuallo nihil vetat bibere. Qui verò solo potu circa sorbitiones in victus ratione vtuntur, iis hoc vti semper & perpetuò ob id nō conuenit, & maximè quidem propter intestini abrasionem vel exasperationem. Nam cùm stercore sit vacuū citiùs hæc fient, idq; accedente vasorum exinanitione. Postea autem & aqua mulsa vires suas amiserit. Si tamen multum huius potus vsum ad totum morbū conferre posse speraueris, paulū aceti, vt tantùm agnosci possit, affundere oportet. Ita enim & quæ lædere solet minimè lædet, & proderit quibus prodesse opus est. Vt autem in summa dicatur, aceti aciditas biliosis naturis magis confert quàm melancholicis. Amara enim dissoluuntur & in pituitam transeunt, dum ab ipso in sublime attolluntur. Nigra verò fermentãtur, in sublime attolluntur, & multis paribus augentur. Acetum namq; nigra sursum educit. Mulieribus autem quàm viris acetum longè magis est aduersum, nempe cum vterum dolore afficiat. Ad aquam autem præter quàm quòd in morbis acutis bibitur, nullum quidem aliud munus habeo quod cōferam. Neq; enim tussim lenit in pulmonum inflammationibus, neque sputum educit, imò cæteris minùs, si quis perpetuò aquæ potione vtatur. Verùm si inter acetū mulsum & aquam mulsam exigua aqua sorbeatur, sputum educit, propter potuum qualitatis transmutationem. Quandam enim intus inundationem facit. Alioqui neque sitim sedat, sed irritat, siquidem biliosæ naturæ biliosa est, & præcordiis mala, seipsamq; malitia superat, biliosissimaq; est, viresq; maximè labefactat, vbi in vacuitatem venerit. Lienem etiam & hepar, vbi succensum fuerit, auget, intus fluctuat & innatat. Nempe quòd frigida sit & non cocta, tardè permeat, & neque deiectiones neq; vrinas mouet. Nōnihil etiam insuper ob id lædit, quòd natura stercoris expers sit. Quòd si pedibus etiā dum frigentibus aliquando ebibatur, multò maiores has noxas faciet, ad quancunq; tandem inclinauerit. In eiusmodi tamen morbis, vbi vehementem capitis grauitatem vel mentis læsionem afferre suspicatus fueris, vino omninò est abstinendū, tuncq; aqua vtendum, aut vinum aquosum & album, & penitus inodorum prorsus dandum, & post illius potionem aquæ exiguum superbibendū. Hac enim ratione vini robur caput mentemq; minùs feriet. In quibus autem maximè aquę potione vtendum, & quando liberaliter, & quando moderatè, & quando frigida, & quando calida, partim quidem antea dictum est, partim etiam suo dicetur tempore. At de reliquis potibus qualis est hordeaceus, & qui ex virente herba, & vua passa, & vinaceis, & tritico, & cnico, & myrti baccis, & malo punico, atq; ex aliis parantur, tum quando horum aliquo vti tempestiuum fuerit, scribetur in ipso morbo, non secus ac de aliis etiam compositis medicamentis. Balneum verò in plerisque morbis ad vsum contulerit, partim quidem assiduè, partim verò minimè. Interdumque eo minùs vtendum, cùm ad id ho-

τὸ τοιόνδε ποτὸν, νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον προπίνεσθαι. ἀτὰρ καὶ ὁκόταν πολὺ μετὰ ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν. τοῖσι δὲ ποτῷ μούνῳ διαιτεομένοισι ἄνευ ῥοφημάτων, διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν αἰεὶ, καὶ διὰ παντὸς χρέεσθαι τούτῳ, μάλιστα μὲν διὰ ξύσιν, ἢ τρηχυσμὸν τοῦ ἐντέρου. ἀκόπρῳ γὰρ ἐόντι, μᾶλλον ἐμποιέειν ἄν. καὶ ταῦτα κενεαγγείης παρεούσης. ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο ἄν. ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. οὕτω γὰρ καὶ ἃ φιλέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι. καὶ ἃ δεῖται προσωφελέειν, προσωφελέοι ἄν. ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον, ἢ μελαγχολικοῖσι ξυμφέρουσι. τὰ μὲν γὰρ πικρὰ διαλύεται, καὶ ἐκφλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐτέου. τὰ δὲ μέλανα ζυμοῦται, καὶ μετεωρίζεται, καὶ πολλαπλασιοῦται. ἀναγωγὸν γὰρ μελάνων, ὄξος. γυναιξὶ δὲ τὸ ἐπίπαν, πολεμιώτερον, ἢ ἀνδράσιν ὄξος. ὑστεραλγὲς γάρ ἐστι. Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅ, τι προσθέω. οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπλευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο. μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιρροφεόμενον ὀλίγον, πτυέλου ἀναγωγόν ἐστι, διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν. πλημμυρίδα γάρ τινα ἐμποιέει. ἄλλως δὲ οὔτε δίψαν παύει, ἀλλ' ἐπιπικραίνει. χολῶδες γὰρ φύσει χολώδει, καὶ ὑποχονδρίῳ κακόν. καὶ κάκιστον ἑωυτοῦ, καὶ χολωδέστατον, καὶ ἀδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ. καὶ σπληνὸς δὲ αὐξητικὸν, καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ. καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν. βραδύπορόν τε γάρ ἐστι διὰ τὸ ὑπόψυχρον, καὶ ἄπεπτον εἶναι. καὶ οὔτε διαχωρητικὸν, οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει. ἢν δὲ δὴ καὶ ποδῶν ψυχρῶν ποτε ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ, τι ἂν αὐτέων ὁρμήσῃ. ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ καρηβαρίην ἰσχυρὴν, ἢ φρενῶν ἅψιν, πάμπαν οἴνου ἀποσχετέον. ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον, ἢ ὑδαρέα καὶ λευκὸν παντελῶς δοτέον οἶνον, καὶ ἄοσμον παντάπασι, καὶ μετὰ τὴν πόσιν αὐτοῦ, ὕδωρ μεταποτέον ὀλίγον. οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης. ἐν οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι ποτῷ χρηστέον, καὶ ὁκότε πολλῷ καὶ ὁκότε μετρίῳ, καὶ ὅκου ψυχρῷ, καὶ ὅκου θερμῷ, τὰ μέν που πρόσθεν εἴρηται· τὰ δὲ ἐν αὐτέοισι τοῖσι καιροῖσι, ῥηθήσεται. κατὰ ταὐτὰ δὲ καὶ περὶ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον· καὶ τὰ ἀπὸ χλοίης ποιεύμενα, καὶ τὰ ἀπὸ σταφίδος, καὶ στεμφύλων, καὶ πυρῶν, καὶ κνήκου, καὶ μύρτων, καὶ ῥοιῆς, καὶ τῶν ἄλλων, ὅτε ὥρη ἄν τινος αὐτέων πρὸς ᾖ χρέεσθαι, γεγράψεται παρ' αὐτῷ τῷ νουσήματι, ὅκως περ καὶ τἄλλα τῶν συνθέτων φαρμάκων. Λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δ' οὔ. ἔστι δὲ ὅτε ἧσσον χρηστέον, διὰ τὴν ἀπαρασκευασίην τῶν ἀν-

δρώπων

θεράπων. ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκευασμένα τὰ ἄρμενα, καὶ οἱ θεραπεύοντες ὡς δεῖ. εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτ᾽ ἂν οὐ σμικρά. καὶ γὰρ σκέπης ἀκάπνου δεῖ, καὶ ὕδατος δαψιλέος, καὶ τοῦ λουτροῦ συχνοῦ, καὶ μὴ λίην λάβρου, ἢν γε μὴ οὕτω δέοι. καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι. ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτέῳ, καὶ πολλαπλασίῳ ἢ ὡς νομίζεται, σμήγματι. καὶ προσκαταχέεσθαι μὴ ὀλίγῳ. καὶ ταχέως μετακαταχέεσθαι. δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύελον, καὶ ἐς εὐέμβατον, καὶ ἐς εὐέκβατον. εἶναι δὲ καὶ 10 τὸν λουόμενον κόσμιον, καὶ σιγηλόν. καὶ μηδὲν αὐτὸν προσεξεργάζεσθαι. ἀλλ᾽ ἄλλους καὶ καταχέειν, καὶ σμήχειν.[34] καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι. καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι. καὶ σπόγγοισι χρέεσθαι ἀντὶ στλεγγίδος. καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα. κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα, ὑπὸ σπόγγου ἐκμασσομένην. καὶ μὴ διαψύχεσθαι τὰ ἄκρεα, μήτε τὴν κεφαλήν, μήτε τὸ ἄλλο σῶμα. καὶ μήτε νεοῤῥόφητον, μήτε νεόποτον λούεσθαι, μηδὲ ῥοφέειν. μηδὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν. μέγα μὲν τοι 20 μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν, καὶ εἰθισμένος λούεσθαι. καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοῦτοι, καὶ ὠφελέονται λουσάμενοι, καὶ βλάπτονται μὴ λουσάμενοι. ἁρμόζει δὲ ἐν περιπλευμονίῃσι μᾶλλον, ἢ ἐν καύσοισι τοπίπαν. καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὸν, καὶ στήθεα, καὶ μετάφρενον, παρηγορικόν ἐστι τὸ λουτρόν. καὶ πτυέλου πεπαντικὸν, καὶ ἀναγωγὸν. καὶ εὔπνοον, καὶ ἄκοπον. μαλθακτικὸν γὰρ καὶ τῶν ἄρθρων, καὶ τοῦ ἐπιπολαίου δέρματος. καὶ οὐρητικὸν δέ. καὶ καρηβαρίην λύει. καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πά- 30 ρεστιν, ὧν πάντων δεῖ. ἢν μέντοι τῆς παρασκευῆς ἐνδεᾶ τις ᾖ ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. ἓν γὰρ ἕκαστον αὐτέων, μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν, ὡς δεῖ. ἥκιστα δὲ λούειν καιρὸς, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν. ἀτὰρ οὐδὲ οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ, καὶ μὴ προλελύθη. ἀλλ᾽ οὐδὲ τοὺς γεγυιωμένους χρὴ λούειν, οὐδὲ δὴ τοὺς ἀσώδεας, ἢ ἐμετικούς. οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες. οὐδὲ τοὺς ἐκ ῥινῶν αἱμοῤῥαγέοντας, εἰ μὴ ἔλασσον τοῦ καιροῦ 40 ῥέοι. τοὺς δὲ καιροὺς οἶδας. ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν. ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον. ἢν οὖν αἱ παρασκευαὶ ἔωσιν ἐπιτήδειοι, καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης. τοὺς δὲ φιλολουτρέοντας καὶ δὶς τῆς ἡμέρης εἰ λούοις, οὐδὲν ἂν ἁμαρτάνοις. χρέεσθαι δὲ λουτροῖσι, τοῖσι ὅλῃσι πτισάνῃσι χρεομένοισι πολὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μούνῳ χρεομένοισι. ἐνδέχεται δὲ καὶ τούτοισι ἐνίοτε. ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μούνῳ χρεομένοισιν. ἔστι δὲ καὶ οἷσι τούτων ἐνδέχεται. τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν οὕς τε μέλλει λουτρὸν ὠφελέειν, ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης, οὕς τε μή. οἷσι μὲν γὰρ προσδέεταί τινος κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει, λούειν, καὶ ὅσα ἂν λουτρῷ ὠφελέηται.

mines sint imparati. In paucis enim domibus quę sunt ad agendum necessaria aut accommodata præparata reperiuntur, neque ministri quales decet. At nisi quis perbellè lauetur, non mediocrem incurret noxam. Nam & tecto fumo carente opus est, & aqua liberali, & frequenti balneo, sed non admodum largè affuso, nisi res ita postularit. Et detersione quidē potiùs minimè vtendum. Quòd si detersione opus sit, calido ipso & multò copiosiore quàm fieri soleat detersorio medicamento vtendum, & nō pauca aqua affundenda, & celeriter diffundenda. Via ad solium sit breuis, & ad facilem tum ingressum, tum exitū. Qui lauatur moderatè se componat & taceat, nihilque ipse faciat, sed alios perfundere & detergere permittat. Multa etiam medij temperamenti mixtio paranda, & celeres fieri perfusiones debent, spongiisq; strigilis loco vtendum, neq; valdè siccum corpus inungendum. Caput tamen spongia detersum, quoad eius maximè fieri poterit resiccari oportet, neq; extremæ corporis partes, neque caput, neque reliquum corpus refrigerari debet. Et neque post recentem sorbitionem, neque post potum lauandum, neq; statim à balneo sorbendum aut bibendum. Magni tamen referre existimandum est, si æger dum valebat balnei valdè cupidus fuerit, & lauari assuetus. Tales enim appetunt magis, & loti vtilitatem sentiunt, & læduntur non loti. In totum autem pulmonū inflammationibus magis quàm febribus ardentibus cōuenit. Nam lateris, pectoris & dorsi dolorem balneū mitigat, sputum maturat, educit, & facilem spirationem reddit, & lassitudines tollit, cùm articulos & extimam cutim emolliat, vrinas prouocat, capitis grauitatem soluit, & nares humectat. Atque huiusmodi bona balneo adsunt, quibus omnibus est opus. Sin verò apparatus penuriâ in vno vel pluribus deficiat, verendum est ne magis lædat quàm conferat. Eorum namq; singula non conuenienter à ministris præparata, magnam offensionem afferunt. At quibus aluus est in morbis plus æquo humida, iis balneum minimè opportunū est, neq; iis quibus plus iusto sistitur, neq; prius soluta est. Sed neq; eos qui viribus sunt exolutis lauare oportet, neq; stomachi fastidio laborantes, neq; vomiturientes, neq; biliosum eructantes, neque quibus sanguis ex naribus profluit, nisi parciùs quàm occasio postulet effluat. Occasiones autem nosti. Sin verò parciùs quàm expediat profluxit, lauare conuenit, siue corpus vniuersum in reliquis, siue caput dumtaxat vtilitatem sentiat. Si igitur apparatus conuenientes fuerint, ægerq; non grauatè balneum ferre posse videatur, quotidiè lauare expedit. Lauādi autem cupidos, si bis die laueris, nihil peccabis. Cæterùm qui tota ptisana vtuntur, multò tutiùs assumere balnea possunt, quàm qui solo succo, quanquam & ij interdum vti possunt, minimè verò qui solo potu, quibus tamen partim quoque licet. Ex his autem quæ antea scripta sunt, coniiciendum est quibus in singulis victus rationis modis profuturum sit balneum, & quibus minimè. Quibus namque eorum aliquid maximè deest quæ balneum bonū reddere & iuuare possunt, eos lauare minimè expedit.

Quos autem nihil horum deficit, & quibus præsentia sunt signa in quibus lauari conducit, hos lauare oportet. Fit autem febris ardens cùm resiccatæ venulæ tempore æstiuo acres & biliosos tenues humores ad se attraxerint, & febris multa detinet, corpusq; ossaria lassitudine vexatum laborat ac dolet. Fit quoq; magna ex parte ex longo itinere & longa siti, vbi arefactæ venulæ acres calidasq; fluxiones ad se attraxerint. Fit etiam lingua aspera & sicca, valdeq; nigra, & ob ventris morsum dolor est, alui egestiones tum valde liquidæ, tum pallidæ fiunt, sitis adest vehemens & vigiliæ, interdumq; mentis alienationes. Huic aquæ & mulsæ coctæ & aquosæ quantum volet potui exhibeto, & si os amarum fuerit, vomere conducit & aluum subluere. Quòd si ad hæc non soluatur, lacte asinino cocto purgato. Salsum autem nihil neq; acre exhibeto, neq; enim feret æger. Sorbitionem verò, nisi iudicationis dies excesserit, non dabis. Et si ex naribus sanguis profluxerit, soluitur affectio, atq; si sudores iudicatorij legitimi obuenerint, cum vrinis albis & crassis, & læuibus sedimentis, & si abscessus aliquis fiat. Sin verò citra hæc soluatur, reuertetur morbus, vel coxæ, vel crurum dolor continget, & si euasurus sit, crassa expuet. Febris ardentis aliud genus est, in quo aluus subit, sitis est intensa, lingua aspera, sicca, salsa, vrinæ intercipiuntur, vigiliæ torquent, & refrigerantur extrema. Huic iudicatio minimè continget, nisi sanguis ex naribus profluxerit, aut abscessus circa collum, aut crurum dolor oboriatur, & sputa crassa expuat (quæ aluo suppressa contingunt) aut coxæ dolor, aut pudendi liuor obueniat. Testiculi quoque contensio iudicationis significationem facit. Sorbitiones attractorias exhibeto. At in morbis acutis sanguinem detrahes, si vehemens fuerit morbus, & qui ægrotant ætate florenti fuerint, & virium robore valuerint. Si igitur angina, aut aliquis alius lateris morbus ægrũ diuexarit, medicamentis quæ delingũtur repurgato. Sin verò detracto copioso sanguine æger debilior videatur, infusum alui per clysterem tertio quoq; die exhibebis, donec in tuto æger fuerit, & fame opus habeat. Præcordia in tumorem sublata, non ex spirituum interceptione, septi transuersi contensiones, protensæ spirationes, cum erectæ ceruicis spiratione sicca, quibus pus minimè subest, sed quibus ex spirituum interceptione ista cõtingunt. Potissimùm verò iecoris vehementissimi dolores, & lienis grauitates, atque aliæ inflammationes, & grauissimi supra transuersum dolores, & morborũ collectiones solui nequeunt, si quis eas primùm medicamento purgante aggressus fuerit. Verùm in his venæ sectio præferenda est. Deinde ad infusa per aluum veniendũ, nisi magnus & vehemens morbus fuerit, alioqui etiã postea medicamento purgante vtendum. Quod & post venæ sectionem, securitate & moderatione indiget. Quicunq; autem statim per initia morborũ inflammationes medicamento purgante soluere tentant, ij de contenta quidem atq; inflammata parte nihil detrahũt, cùm nihil cedat quæ adhuc cruda est affectio, quæ verò morbo resistũt & sana sunt contabefaciũt. At debili reddito corpore morbus superior euadit, qui vbi corpus supera-

οἷσι δὲ τούτων μηδενὸς προσδεῖ, καὶ προσέστιν αὐτέοισι τῶν σημείων, ἐφ' οἷσι λούεσθαι ξυμφέρει, οὓς δεῖ λούειν. Καῦσος δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ, ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά. καὶ πυρετὸς πολὺς ἴσχει. τό, τε σῶμα ὡς ὑπὸ ὀστεοκόπου ἐχόμενον, κοπιᾷ καὶ ἀλγέει. γίνεται δὲ ὡς ἐπὶ τὸ πουλὺ, καὶ ἐκ πορείης μακρῆς, καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια, δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. γίνεται δὲ ἡ γλῶσσα τρηχείη, καὶ ξηρὴ, καὶ μέλαινα κάρτα. καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει. τά τε ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίνεται. καὶ δίψαι σφοδραὶ ἔνεισι. καὶ ἀγρυπνίη. ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. τῷ τοιῷδε δὲ δίδου πίνειν ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν, ὑδαρὲς, ὁκόσον ἐθέλει. κἢν πικρὸν τὸ στόμα γίνηται, ἐμέειν ξυμφέρει. καὶ τὴν κοιλίην ὑποκλύσαι. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλα ὄνου ἑψήσας, καθαίρε. ἁλμυρὸν δὲ μηδὲν μηδὲ δριμὺ προσφέρειν, οὐ γὰρ ὑποίσει. ῥοφήματα δὲ, ἕως ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου. κἢν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθος. κἢν ἱδρῶτες ἐπιγένωνται κριτικοὶ γνήσιοι μετ' οὔρων λευκῶν καὶ παχέων, καὶ λείων ὑφισταμένων. κἢν ἀπόστημά που γένηται. ἢν δὲ ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τῆς ἀρρωστίης, ἢ ἰσχίων, ἢ σκελέων ἄλγημα ξυμβήσεται. καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι. Καῦσος ἄλλος ἄλλο. Ἡ κοιλίη ὑπάγουσα, δίψης ἐστὶ μεστή. γλῶσσα τρηχείη, ξηρὴ, ἁλυκώδης. οὔρων ἀπόληψις. ἀγρυπνίη. ἀκρωτήρια ἐψυγμένα. τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινῶν ῥυῇ, ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται, ἢ σκελέων ἄλγημα, καὶ πτύσματα παχέα πτύσῃ. ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίνεται, ἢ ἰσχίου ὀδύνη, ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται. καὶ ὄρχις ἐνταθεὶς, κριτικόν. ῥοφήματα ἐπισπαστικὰ δίδου. τὰ δὲ ὀξέα πάθεα, φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ, καὶ ῥώμη παρῇ αὐτέοισιν. ἢν μὲν οὖν συνάγχη ἦ, καὶ ἐκλίκτοισιν ἀνακάθαιρε, εἴτ' ἄλλο τι τῶν πλευριτικῶν. ἢν δὲ ἀσθενέστεροι φαίνωνται, ἢν καὶ πλεῖον τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ χρῆσθαι τὴν κοιλίην χρέεσθαι, διὰ τρίτης ἡμέρης, ἕως ἂν ἐν ἀσφαλείῃ γένοιτο ὁ νοσέων. καὶ λιμοῦ δέοιτο. Φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες, ἢ πνευμάτων προστάσιες, ὀρθοπνοίης ξηρῆς οἷσι μὴ πύον ὕπεστιν, ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ὑπογίνεται. μάλιστα δὲ ἥπατος περιωδυνίαι. καὶ σπληνὸς βάρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι τε καὶ ξυστροφαὶ νοσημάτων, οὐ δύνανται λύεσθαι ἢν τις πρῶτον ἐπιχειρέῃ φαρμακεύειν. ἀλλὰ φλεβοτομίην τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν. ἔπειτα δὲ ἐπὶ κλυσμὸν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα ἦ. εἰ δὲ μὴ καὶ ὕστερον φαρμακεύειν δεῖ. δεῖ δὲ ἀσφαλείης καὶ μετριότητος, μετὰ φλεβοτομίην φαρμακεύειν. ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νούσου εὐθέως ἐπιχειρέουσι λύειν φαρμακεύειν, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν. οὐ γὰρ ἐνδιδοῖ, ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιέα συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γινομένου, τὸ νόσημα ἐπικρατέει. ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος,

τὸ τοιόνδε

τὸ τοιόνδε ἀνιάτως ἔχει. τὸ δὲ ἄφωνον γίνεσθαι ἐξαίφνης, [38] φλεβῶν ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τόδε γένηται ἄνευ προφάσιος, ἢ ἄλλης αἰτίης ἰσχυρῆς. φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν, τὴν εἴσω φλέβα, καὶ ἀφαιρέειν τοῦ αἵματος, κατὰ τὴν ἕξιν, καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλέον καὶ τὸ ἔλασσον. ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων, τοιάδε. ἐρυθήματα προσώπου. ὀμμάτων στάσιες. χειρῶν διαστάσιες. ὀδόντων πρισμοί. σφυγμοὶ σιαγόνων. συναγωγὴ καὶ κατάψυξις ἀκρωτηρίων. πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας. ὁκόταν ἀλγήματα προσγένηται, μελαίνης χολῆς, καὶ δριμέων ῥευμάτων ἐπιρρύσιες γίνονται. ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενος. δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες, ἐντείνονταί τε. καὶ φλεγμαίνουσαι, ἐπισπῶνται τὰ ἐπιρρέοντα. ὅθεν διαφθαρέντος τοῦ αἵματος, καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιές τε γίνονται ὑπὸ τῆς στάσιος. καὶ σκοτώσιες. καὶ ἀφωνίη. καὶ καρηβαρίη. καὶ σπασμοὶ, ἢν ἤδη ἐπὶ τὴν καρδίην, ἢ τὸ ἧπαρ, ἢ ἐπὶ τὴν φλέβα διέλθῃ, ἔνθεν ἐπίληπτοι γίνονται, ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα, καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι, καταξηρανθῇ. ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας, φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων, πάντων τῶν λυπεόντων πνευμάτων, καὶ ῥευμάτων. εὐβοηθητότερα γάρ ἐστι, καὶ ἀναλαμβάνοντα, καὶ τὰς κρίσιας ἐπιθεωρεῦντα φαρμακεύειν, ἢν μὴ κουφίζηται ἄνω. τὴν δὲ κάτω κοιλίην ἢν μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν δίδου καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλέων. ἢν δὲ ῥώμη αὐτὸν περιέχῃ, πλέον ἑξκαίδεκα.

[39] Κυνάγχη δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες, ὥρην χειμερινὴν, ἢ ἐαρινὴν, ἐς τὰς σφαγίτιδας φλέβας ἐπιρρυῇ. καὶ τὸ ῥεῦμα πλέον, διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. ὁκόταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ, τοῦ τε πνεύματος τὰς διεξόδους, καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ ξυνεγγὺς τοῦ αἵματος, καὶ ἀκίνητον καὶ στάσιμον ποιέει, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. διὰ τοῦτο πνίγονται τῆς γλώττης ἀποπελιουμένης, καὶ στρογγυλουμένης, καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν. τῆς γὰρ ὑποτεμνομένης σταφυλῆς ἣν δὲ κιονίδα καλοῦσιν, ἑκατέρωθεν φλὲψ παχεῖα. ὁκόταν γοῦν πλήρεες αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται ἀραιὴν ἐοῦσαν καὶ σπογγοειδέα, διὰ τὴν ξηρασίην. ἡ δὲ ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν, ἐκ πλατείης μὲν, στρογγύλη γίνεται. ἐξ εὐχρόου δὲ, πελιδνή. ἐκ μαλθακῆς δὲ, σκληρή. ἐξ εὐκάμπτου δὲ, ἄκαμπτος. ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ. φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων, καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτάμνων. καὶ φαρμακεύων τοῖσιν ἐκλικτοῖσι. καὶ ἀναγαργαρίζων θερμοῖσι. καὶ τὴν κεφαλὴν ἀποξυρᾶν. καὶ κήρωμα κεφαλῇ, καὶ τραχήλῳ περιτιθέναι. καὶ εἰρίοις περιελίσσειν. καὶ σπόγγοισι μαλθακοῖσι. καὶ ὕδατι θερμῷ ἐκπιέζοντα πυριῆν. πίνειν τε ὕδωρ καὶ μελίκρητον, μὴ ψυχρά. χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ. ὁκόταν ἐν θερινῇ ἢ μεταπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταρρυῇ. καὶ νιτρῶδες ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον.

rit, curationem non admittit. Cùm quis repente voce defecerit, venarũ interceptiones affligunt, vbi id bene valenti citra manifeſtam occaſionem aut validã aliam cauſam cõtigerit. Venam igitur incidere oportet brachij dextri internam, & ſanguinem detrahere, habita ſecundũ habitũ & ætatem pluris aut minoris ratione. Horum autem quamplurimis iſta accedunt, faciei rubores, oculorũ immobilitates, & manuum diſtentiones, dentium ſtridores, pulſationes, maxillarũ adductio, extremorum refrigeratio, & ſpirituum in venis interceptiones. Cùm dolores acceſſerint, bilis atræ acriumq; humorum affluxiones fiũt. Demorſæ autem partes internę dolent, demorſæq; & admodum arefactæ venæ, tum intenduntur, tum inflammatione tentatæ ea quæ affluunt attrahunt. Ex quo corrupto ſanguine, & ſpiritibus vias quæ in ipſo ſecundũ naturam habẽt peruadere nequeuntibus, perfrigerationes fiũt ob ſtabilitatem, vertigines, vocis defectio, capitis grauitas, & conuulſiones, ſi iam ad cor aut hepar, aut ad venã peruenerint. Hinc morbi comitiales aut partiũ reſolutiones fiunt, ſi in loca quæ eas partes ambiũt fluxiones inciderint, & ſpiritibus exire nequeuntibus exaruerint. His ſanè priùs adhibitis fomentis ſtatim per initia venam ſecare conuenit, cùm adhuc ſublati ſunt qui affligunt, tum ſpiritus, tum humores. Faciliùs enim remedia adhibentur. Et recreatis viribus & ad iudicationes adhibita conſideratione, ſi non leuetur, ventrem ſuperiorem medicamento purgare oportet, ad inferiorem verò aluum, niſi per infuſum ſubducatur, lac aſininum coctum exhibeto, nec minùs quàm duodecim heminas bibat, & ſi virium robur adfuerit, plus quàm ſedecim. Angina fit cùm ſub hyemem aut vernum tempus, multa & lenta fluxio ex capite ad iugulares venas defluxerit, eæq; propter amplitudinem, copioſiorem fluxionem attraxerint. Frigida autem & viſcida exiſtens, obſtruit, & ſpiritus ſanguiniſque vias occludens, proximũ quemq; ſanguinem condenſat, eumq; immobilem & ſtabilem reddit, cùm natura ſit frigidus & obſtruere natus. Ob id ſuffocantur, lingua liuente & rotũda reddita ac reflexa, propter eas venas quæ linguę ſubſunt. Secta namq; vua, quam quidam columellam appellant, vtraq; ex parte vena craſſa apparet. Plenæ igitur ipſæ exiſtentes, in linguã quę propter ſiccitatẽ rara eſt & ſpongioſa, innixæ ſunt. Ea verò præ violentia humorem ex venis recipiens, ex lata, rotũda efficitur, ex bene colorata, liuida, ex molli, dura, ex bene flexibili, flecti contumax. Ex quo citò ſuffocari cõtingit, niſi quis breui ſuccurrat, venis in brachiis & ſub lingua ſectis, & medicamentis, ad delingendum exhibitis, & calidis oris collutionibus. Capite etiam abraſo, ceratum tum collo, tum capiti apponi debet, & obuolutis lanis molli ſpongia ex aqua calida expreſſa fotus adhiberi. Aqua autem & mulſa minimè frigida potui exhibeatur, & ptiſanę cremorem ſumat, vbi iam ex iudicatione in tuto verſabitur. Cùm æſtate vel autumno ex capite calida, & nitroſa fluxio defluxerit, vt pote tempore acris & calida reddita,

cùm eiuſmodi fuerit, mordet, exulcerat, & ſpiritu implet, erectęq; ceruicis ſpiratio cum ſiccitate multa accedit, & quæ in ore conſpiciuntur gracilia apparent, & ceruicis tendones poſteriores intenduntur, videnturq; velut neruorum diſtentione corripi, vox eſt abrupta & ſpiratio parua, & ſpiritus retractio crebra eſt & violenta. His arteria exulceratur, pulmo incenditur, neque externum aërem admittere queunt. Quibus niſi ſponte ad exteriores ceruicis partes deferatur, grauior & ineuitabilior fit affectio, tum ob anni tempus, tum quòd à calidis & acribus fit humoribus. Si febris corripuerit veteri ſtercore non ſubeunte, vel recenti cibo accepto, ſiue cum lateris dolore, ſiue nõ, is quieti permittendus, dum primùm ad inferiorem aluum cibi recrementa deſcenderint. Potu verò aceto mulſo vtendum. At cùm grauitas ad lumbos deuenerit, inferiorem aluum infuſo ſubluere, aut medicamento purgante vti oportet. Poſt purgationem, primùm ex ſorbitione victum inſtituere & aquæ mulſæ potum, deinde cibos & piſces coctos, & vinum aquoſum ad noctem exiguũ, interdiu verò mulſam aquoſam. Quòd ſi flatus graueolentes fuerint, vel glans, vel alui infuſum proderit. Alioqui in aceti mulſi potu continere oportet, donec cibi ad inferiorem aluum deſcenderint, tuncque per infuſum aluum ſubducere. At ſi liquidam aluum habenti febris ardens oboriatur, ſi tibi medicamentum purgans idoneum videatur, id tribus primis diebus non exhibendum, ſed vel quarto. Poſt medicamenti purgantis exhibitionem, ſorbitionibus vteris, obſeruatis febrium acceſſionibus, vt neque cùm iam præſentes ſunt, neq; cùm mox adfuturæ ſunt, vnquam exhibeantur, ſed cùm vel ceſſant, vel quieuerunt, & quàm longiſſimè à principio receſſerunt. Frigentibus autem adhuc pedibus, neq; potum, neque ſorbitionem, neque aliud quippiam eiuſmodi exhibebis. Verùm maximi ponderis eſſe exiſtimato, ſi expectes dum valde incaluerint, tumq; quod vtile eſt exhibeas. Siquidem vt plurimùm acceſſionis febrilis ſignum eſt, pedum frigiditas. Quo tempore ſi quid exhibueris, maximè per omnia peccaueris. Morbum namque non parum auxeris. At vbi febris deſinit, pedes vice verſa reliquo corpore calidiores euadunt. Vbi enim pedes refrigerat, augetur, & ex thorace accenſa, flammam ad caput remittit. Toto autem calore confertim ſurſum concurrente, & ad caput exhalante, non immeritò pedes, cùm naturâ excarnes ſint & neruoſi, refrigerantur. Præterea etiam à calidis locis multùm diſtantes refrigerantur, ſeſe colligente ad thoracem calore. Rurſusque eadem ratione cùm febris ſoluitur, & in minutas partes diſſipatur, ad pedes calor deſcendit. Quo tempore cùm caput ipſorum & thorax refrigeretur, ea de cauſa cibus exhibendus. Cùm namque frigidi pedes fuerint, ventrem calore & multo faſtidio redundare neceſſe eſt, præcordiaq; intendi, & corpus variè iactari propter internã turbationẽ, mentis abalienationem & dolores, æger vellicatur, vomere affectat, & cũ praua vomuerit, dolet. At deſcendente calore ad pedes, vrinaque exeunte, quamuis minimè ſudor erumpat,

δάκνει δὲ τὸ τοιόνδε ἐὸν, καὶ ἑλκοῖ, καὶ πνεύματος ἐμπίμπλησι. καὶ ὀρθόπνοια παραγίνεται. καὶ ξηρασίη πολλή. καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται. καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται. καὶ δοκέει ὁ τέτανος ἐντετᾶσθαι. καὶ ἡ φωνὴ ἀπέρρωγε. καὶ τὸ πνεῦμα σμικρόν. καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος, πυκνὴ καὶ βιαία παραγίνεται. οἱ τοιοίδε, τὴν ἀρτηρίαν ἑλκοῦνται, καὶ τὸν πνεύμονα πίμπλανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. τοῖσι τοιουτέοισιν ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ, διά τε τὴν ὥρην, ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. Ἢν πυρετὸς λάβῃ παλαιῆς κόπρου οὐχ ὑποχωρεούσης, ἢ νεοβρῶτι ἐόντι, ἤν τε ξὺν ὀδύνῃ πλευροῦ, ἤν τε μὴ, ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην. πόματι δὲ χρεέσθω, ὀξυμέλιτι. ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ, ἢ καθᾶραι φαρμάκῳ. ὁκόταν δὲ καθαρθῇ, διαιτᾷν ῥοφήματι πρῶτον, καὶ πόματι μελικρήτῳ. ἔπειτα σιτίοισι, καὶ ἰχθύσιν ἑφθοῖσι, καὶ οἴνῳ ὑδαρεῖ, ἐς νύκτα ὀλίγῳ. ἡμέρῃ δὲ, ὑδαρὲς μελίκρητον. ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, οὕτως ἢ βαλάνῳ, ἢ κλυσμῷ, εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην. εἶθ' οὕτως κλυσμῷ ὑπαγαγεῖν. ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δοκέῃ φαρμακεύειν, ἐπιτηδείως ἔχειν εἴσω τεσσάρων ἡμερῶν, μὴ φαρμακεύειν, ἀλλ' ἢ τεταρταῖον. ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρεόμενος, διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε προσοίσῃς ἐόντων, μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόντων, ἢ παυσαμένων, καὶ ὡς προρρωτάτω ἀπὸ τῆς ἀρχῆς. Ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν, μήτε ῥόφημα, μήτ' ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγεῖο τοῦτ' εἶναι διαφυλάσσεσθαι ἕως ἂν διάθερμοι σφόδρα γένωνται. εἶθ' οὕτω τὸ ξυμφέρον πρόσφερε. ὡς γὰρ ἐπιτοπουλὺ σημεῖον ἐστὶ μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ, ψύξις ποδῶν. εἰ δὴ ἐν τοιούτῳ καιρῷ προσοίσεις ἅπαντα, τὰ μέγιστα ἐξαμαρτήσεις. τὸ γὰρ νούσημα αὐξήσεις οὐ μικρῶς. ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἐκ τοῦ θώρηκος, ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. συνδεδραμηκότος δὲ ἀθρόου τοῦ θερμοῦ ἅπαντος ἄνω, καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκες καὶ νευρώδεες φύσει ὑπάρχοντες. ἔτι δὲ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων, ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ εἰς τὸν θώρηκα. καὶ πάλιν ἀνάλογον λυομένου τοῦ πυρετοῦ, καὶ κατακερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει. κατὰ τόνδε οὖν τὸν χρόνον, ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται αὐτέων. εἵνεκεν τουτέου, προσοιστέον. ὅτι ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι, καὶ πολλῆς ἄσης μεστὴν, καὶ ὑποχόνδριον ἐκτεταμένον, καὶ ῥιπτασμὸν τοῦ σώματος, διὰ τὴν ἔνδοθεν ταραχήν. καὶ μετεωρισμὸν γνώμης. καὶ ἀλγήματα. καὶ ἕλκεται, καὶ ἐμέειν ἐθέλει. καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται. θέρμης δὲ καταβάσης ἐς τοὺς πόδας, καὶ οὔρου διελθόντος, ἢν μὴ ἱδρώσῃ,

πάντα

πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν, δεῖ τὸ ῥόφημα διδόναι. τότε δὲ, ὀλέθριος. ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς πόδας θερμαίνων καὶ περιστέλλων, κηρώμασι καὶ ταινιδίοισι περιελίσσων προσέχε, ὅκως μὴ ἔωνται ψυχρότεροι τοῦ λοιποῦ σώματος. θερμοῖσι δὲ οὖσι, θέρμασμα μηδὲν προσφέρε, ἀλλὰ παρατήρει, ὅκως μὴ ψυχθήσονται. πόματι δὲ χρέεσθαι, ὡς ἐλαχίστῳ ὕδατι ψυχρῷ, ἢ μελικρήτῳ. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι, κοιλίη ὑγρὴ, καὶ γνώμη τεταραγμένη. καὶ οἱ πολλοὶ τῶν τοιουτέων τὰς κροκίδας ἀφαιρέουσι, καὶ τὰς ῥῖνας σκάλλουσι. καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον. αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε, μελαγχολικὰ εἶναι. ὅσων τοιῶνδε ἐόντων. ἢν ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ συντήκη, δοκέει μοι τὰ ῥοφήματα, ψυχρότερα καὶ παχύτερα προσφέρειν. καὶ τὰ πόματα σταλτικὰ, καὶ οἰνωδέστερα, ἢ στυπτικώτερα. Ὁκόσοισι δὲ τῶν πυρετῶν, δῖνοι τε ἀπ' ἀρχῆς, καὶ σφυγμοὶ κεφαλῆς εἰσὶ, καὶ οὖρα λεπτὰ, τουτέοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετόν. οὐ θαυμάσαιμι δ' ἂν, οὐδ' εἰ παραφρενήσειαν. οἷσιν ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα ἢ καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα ξυμφέρῃ. ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούτους, ἀλλ' ἢν δοκέῃ κλύσαι. τούτοις ξυμφέρει, οὕτως θεραπεύεσθαι τῷ σώματι ἡσυχίην ἄγοντα, ἀλείφοντά τε καὶ περιστέλλοντα, ὁμαλῶς. ποτῷ δὲ χρέεσθαι, μελικρήτῳ ὑδαρεῖ. καὶ ῥοφήματι, χυλῷ πτισάνης ἐς ἑσπέρην. κοιλίην δὲ ὕπαγε κατ' ἀρχὰς κλυσμῷ. φάρμακα δὲ μὴ προσάγε τούτοισιν. ἢν γὰρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται, ἀλλ' ἀνιδρώς τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πολὺν χρόνον ἔσται. τὰ δὲ ῥοφήματα ὁκόταν ἐγγὺς τῶν κρισίμων ᾖ, μὴ δίδου ἢν θορυβῆται. ἀλλ' ὅταν ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας, καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν. μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίνεσθαι, καὶ ἀποσκήμματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα, καὶ τράχηλον. ἢν δὲ μὴ ψυχρὰ, ἄλλας ἴσχει μεταβολάς. ῥέει δὲ καὶ αἷμα ἐκ ῥινῶν. καὶ αἱ κοιλίαι τοῖσι τουτέοισιν ἐκταράσσονται. ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι, καὶ ὑποχόνδρια συντείνουσι, καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ. καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείας καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο, ἢ ὀξύμελι ὑδαρές. ῥόφημα δὲ μὴ προσφέρε, ἕως ἂν λήξῃ καὶ τὸ οὖρον πεπανθῇ. κατακλίνειν δὲ ἐς ζοφερὰ οἰκήματα καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πλεῖστον χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα καὶ ὡς ἥκιστα ῥιπτάζειν. μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελέει. ἐπὶ δὲ τὸ ὑποχόνδριον, λίνου σπέρμα ἐγχρίων ἐπιτίθει, φυλασσόμενος ὅκως μὴ φρίξῃ προστιθέμενος. ἔστω δὲ ἀκροχλιαρὸν, ἑφθὸν ὕδατι καὶ ἐλαίῳ. τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων, τὸ μέλλον ἔσεσθαι. ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω· ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω, τὴν ἀνωμαλίην.

sedantur omnia, eoq; tempore sorbitionem exhibere conuenit, alioqui perniciosa est. Quibus per febres aluus perpetuò est liquida, vbi pedes eximiè calefeceris, ceratis contexeris, fasciisque obuolueris, attendere animum oportet, vt ne sint reliquo corpore frigidiores. Quod si caleant, nihil calidi adhibendum, sed videndum vt ne refrigerentur. Potus sit quàm minimus, aqua frigida, aut mulsa. At quibus per febres aluus est liquida, & mens perturbata, & ex his multi floccos vellunt, nares fodiunt, & parum quidem ad interrogata respondent, per se verò nihil compositum dicunt, iis sanè talia melancholica esse arbitror. His ita se habentibus si aluus liquida fuerit & colliquescens, sorbitiones frigidiores & crassiores exhibendæ mihi videntur, & potiones quæ aluum sistant, vinosiores potiùs quàm adstringentes. Quibus autem per febres ab initio vertigines & capitis pulsationes adsunt, & vrina tenuis, in his expectandum vt ad iudicationes febris ingrauescat, neque mirandum si delirent. Quibus per initia vrinæ nebulosæ sunt, aut etiam crassæ existunt, hos, si alia quoq; conferant, purgare oportet. Quòd si inter initia vrinæ tenues fuerint, eos minimè purgabis, sed si visum fuerit, per infusum aluum subtrahes. Hos ita curare conducit, vt æger corpore quiescat, tum inungatur, tum æqualiter contegatur. Potu vtatur mulsa aquosa, & ptisanæ succo in sorbitione ad vesperam. Aluum ab initio per infusa subducito, medicamenta autem purgantia minimè exhibeto. Si quid enim circa ventrem commoueris, vrina non coquitur, sed citra sudorem & iudicationem febris diutiùs perseuerabit. Sorbitiones autem ne dederis cùm propè iudicationes fuerint, & perturbatio adfuerit, verùm vbi remiserit, & res in melius processerit. Omnium verò febrium iudicationes obseruandæ, atque eo tempore sorbitiones detrahendæ. Hæ verò febres protrahi solent, & abscessus habere circa aures & ceruicem, si quidem infernæ partes frigidæ fuerint. Quod si minimè frigidæ fuerint, alias habent mutationes. Fluit namq; sanguis ex naribus & iis alui conturbantur. At quos febres detinent cum anxietudine & præcordiorum contentione, ij iacentes stare loco nesciunt, & extremis omnibus perfrigerantur, magnamq; tum curam, tum custodiam requirunt. Hos sic transigere oportet, vt nihil præter acetum mulsum dilutum exhibeas, neq; sorbitionem offeras, donec febris desierit, & vrina concocta fuerit. Recumbere autem debent in domo obscura, & stratis quàm mollissimis reclinati, longo tempore eundem decubitum perferre, & quàm minimè incontinenter se iactare. Id enim eos præcipuè iuuat. Ad præcordia lini semen illitum impone ea obseruatione vt ne inhorrescat is cui apponitur, sitque exactè tepidum ex aqua & oleo coctū. Ex vrinis verò quid futurum sit coniiciendum. Crassiores namque & pallidiores, meliores; tenuiores, & nigriores, deteriores. Quod si mutationem habeant, temporis longinquitatem indicant, morbusq; necessariò tum ad peius, tum ad melius inæqualitatem commutat.

Inconstantes autem febres, donec consistant, sinere oportet, atque vbi constiterint, victu & conueniente curatione occurrendum, adhibita eorum quæ secundum naturam sunt ratione. Ægrotantium verò facies multæ sunt, ideoq; Medico aduertendũ est, vt ne eum manifesta aliqua causa lateat, tum earum quæ ratiocinatione considerãtur, tum earũ quas die pari aut impari apparere necesse est. Imprimis igitur dies impares verendi sunt, nempe quòd hi dies magnã ęgrorum in hanc vel illam partem inclinationem efficiant. Obseruare itaq; primum diem oportet, quo æger debilis esse, & vnde & quando initiũ morbi cœpit, quod certè præcipuum cognitu existimatur. Postquam autem ipsum interrogaueris, omniaq; etiam in considerationem adhibueris, primùm quidem caput quonam se habeat modo, num dolore vacet & nullam in se grauitatem sentiat, deinde pręcordia & latera num dolore careant. Circa præcordia siquidem spectandum num dolorem sentiant, aut in tumorem attollantur, vel obliquitatẽ, vel satietatem habeant, vel lateris dolor affuerit, simulq; cum dolore aut tussicula, aut tormina, aut ventris dolor affligant. Vbinamque horum quicquã in præcordiis adfuerit, præcipuè aluum per infusa soluere conuenit. In potu verò aqua mulsa calida decocta vtatur. Considerandum etiam si cùm exurgit animo linquatur, aut facilè spiritum trahat. Inspicienda quoq; alui egestio num vehementer colore nigro tincta fuerit, vel pura, quales sunt sanorum deiectiones, vel etiam num febris tertio die ingrauescat. Vbi autem huiusmodi tertianos circuitus in his morbis probè admodum inspexeris, præterea etiam alia consideranda sunt, & si quartus dies similiter in his ipsis quodammodo se habeat, æger in periculo versatur. Quòd verò ad signa attinet, nigra alui deiectio mortem significat, quæ autem sani egestioni similis est, si per omnes dies appareat, salutaris. At si glande subdita aluus nõ cesserit, & facilis spiratio adfuerit, si vbi ad desidendum exurrexerit; aut in ipso lecto animo deficiat, hęc si vel ęgro vel ægrę inter initia affuerint, delirium affore existima. Attendendum quoque ad manus, quæ si tremulæ fuerint, huic sperandum est sanguinem è naribus profluxurum. Nares quoque inspiciendæ, num ex vtrisque æqualiter spiritus ducatur, & si multus ex naribus feratur, conuulsio fieri assolet. Quæ si cõtingat, mors huic expectanda est, eamque prædicere pulchrum fuerit. At si in febre hyberna lingua aspera fuerit, & animi deliquia incidant, huic etsi febris remissio contingere consueuit, eum tamen in perfecta inedia continere, & aquæ ac mulsæ portione ptisanæque cremore conseruare oportet, neque febris remissioni fidendum est, quòd eiusmodi signa ægrũ de vita periclitari testentur. Quę vbi cognoueris, optiméq; contemplatus fueris, ita si lubet prædicere poteris. Cùm verò in febribus quinto die quid formidolosum cõtigerit, aut aluus liquida repẽtè deiecerit, aut animi deliquiũ inciderit, vel vocis defectio prehenderit, vel conuulsio, vel singultus,

τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν, ἐᾶν μέχρις ἂν καταστῶσιν, ὁκόταν δὲ στῶσιν ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων. εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων, διὸ προσεκτέον τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσεταί τις τῶν προφασίων. μήτε τῶν κατὰ λογισμόν. μήτε ὁκόσα ἐς ἀριθμὸν ἄρτιον, ἢ περισσὸν δεῖ φαίνεσθαι. μάλιστα μὲν ὧν δεῖ περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροῤῥεπέας ποιέουσι τοὺς κάμνοντας. φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην 10 ἡμέρην, ἐν ᾗ ἤρξατο ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν, ἐξ ὅτου καὶ ὅτε. ἡγέεται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ ταῦτα πάντα πρῶτον μὲν κεφαλὴν, ὅκως ἔχῃ, εἰ ἀνάλγητος, καὶ μὴ βάρος ἔχῃ ἐν ἑωυτῇ. ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ, εἰ ἀνάλγητα. ὑποχόνδριον μὲν γὰρ, εἰ ἐπίπονον ᾖ, ἢ ἐπηρμένον, ἢ ἔχῃ τινὰ σκολιότητα, ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ, καὶ ἅμα τῷ ἀλγήματι, ἢ βηχίον, ἢ στρόφος, ἢ πόνος κοιλίης. ὅταν δέ τι τούτων παρῇ, ἐν ὑποχονδρίῳ μὲν, μάλιστα λύειν τὴν κοιλίην κλυ- 20 σμοῖσι. πινέτω δὲ μελίκρητον θερμὸν ἀφεψημένον. καταμανθάνειν δὲ καὶ τῇσιν ἐξαναστάσεσιν, εἰ λιποθυμέει. καὶ εἰ τοῦ πνεύματος εὐφορίην αὐτὸν ἔχει. ἰδεῖν τε καὶ διαχώρησιν, μήτι μέλαν διεχώρησεν ἰσχυρῶς χρῶμα. καὶ εἰ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα. καὶ ὁ πυρετὸς ἐς τὴν τρίτην ἐπιπαροξυνόμενος. καθιδεῖν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα, συνωρέειν. καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ τι τῶν αὐτῶν τύπων, κινδυνώδης ὁ κάμνων γίνεται. τὰ δὲ σημεῖα, ἡ 30 μὲν μέλαινα διαχώρησις θάνατον σημαίνει. ἢν δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον. ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τοῦ πνεύματος εὐφορίη, διαναστὰς ἐπὶ τὸν θᾶκον, ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἢν ἀψυχίη ἐνῇ. ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ, κατ᾽ ἀρχὰς, παραφροσύνην οἴου ἐσομένην. προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν. ἢν γὰρ τρομεραὶ ἔωσι προσδέχου τῷ τοιῷδε ἀπόστασιν αἵματος ἐκ ῥινῶν ἐσομένην. ὁρῆν δὲ χρὴ καὶ τοὺς μυκτῆρας ἢν ὁμοίως 40 τὸ πνεῦμα δι᾽ ἀμφοτέρων ἕλκηται. καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός. ἢν δὲ σπασμὸς γένηται τῷ τοιῷδε, θάνατος προσδόκιμος. καὶ καλῶς ἔχει προλέγειν. εἰ δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχείη γένηται, καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ. ἀλλ᾽ ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ. καὶ τῇ ὑδαροποσίῃ. καὶ μελικρήτου πόσει. καὶ χυλοῖσι παραφυλάσσετε, μηδὲν πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν. ὅσοι δὲ τοιάδε ἔχουσι σημεῖα, ἐπικίνδυνοί εἰσι ἀποθανεῖν. ὁκόταν δὲ ταῦτα συνειδῇς, οὕτω προλέγειν ἤν τοι ἀρέσκῃ θεωρήσας εὖ μάλα. ὁκόταν δὲ πυρετοῖσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσιν, ἢ κοιλίη τε ἐξαίφνης ὑγρὰ διαχωρήσῃ καὶ ἀψυχίη γένηται, ἢ ἀφωνίη ἐπιλάβῃ, ἢ σπασμώδης γένηται, ἢ λυγμώδης

ἐπὶ

ἐπὶ τούτοισι καὶ ἀσώδης φιλέει γίνεσθαι. καὶ περὶ ὑποῤῥίνιον καὶ μέτωπον ἱδρῶτες, καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς. οἱ δὲ ταῦτα πάσχοντες, θνήσκουσιν οὐκ εἰς μακρὸν πνευματωθέντες. ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίνεται φυματώδεα, καὶ ἐγχρονιζόμενα, μὴ ἐκπεπαίνηται ἔτι ἐόντων ἐν πυρετοῖσι, καὶ περιαπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, καὶ μὴ σβεσθῇ, φιλέει τῷ τοιῷδε, αἷμα ἐκ τῶν ῥινῶν ῥέειν. καὶ ἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου. ἢν δὲ μὴ, μακρήν. ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. ἢν δὲ τ' ἄλλα ῥήϊστα γίνηται, προσδέχεσθαι τῷ τοιῷδε, ἐς πόδας ἀλγήματα. ἢν δὲ ἅψηται τοῦ ποδὸς, καὶ ἐπωδύνως γινόμενος παραμένῃ πυριφλεγὴς γινόμενος, καὶ μὴ λυθῇ, κατὰ μικρὸν ἥξει. καὶ ἐς αὐχένα ἀλγήματα, καὶ ἐς κληῗδα, καὶ ἐς ὦμον, καὶ ἐς στῆθος, καὶ ἐς ἄρθρον. καὶ τοῦτο δεήσει φυματῶδες γίνεσθαι. σβεννυμένων δὲ τούτων ἢν αἱ χεῖρες ἐφέλκωνται, ἢ τρομεραὶ γίνωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει, καὶ παραφροσύνη. ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρύν. καὶ ἐρυθήματα ἴσχει. καὶ βλεφάρων τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει. καὶ σκληρὴ φλεγμονὴ κατέχει. καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμός. καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι, τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν, ἢ ἐπὶ τὸν ἄρτιον. ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθριοι ἐπιγίνονται. τοὺς τοιούτους δὲ ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης ἢν βορβορύζῃ ἡ κοιλίη. εἰ δὲ μὴ, ἐᾶν ἀφαρμάκευτον εἶναι. ἢν δὲ διαβορβορύζῃ, καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῳ ὑποκάθαιρε μετρίως. τῇ δὲ ἄλλῃ θεραπείῃ, ὡς ἐλάχιστα προσφέρειν πόματα καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην, ἐπανέντες. ὁκόταν πυρέττοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγίνηται, οὐ φιλέει ἥκειν λύσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει. ὁκόταν δὲ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ μακρότερον ξυμπίπτει. ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ, ἡ γλῶσσα ἐκτεταραγμένα διαλέγηται, καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρὰ, φιλέει παραληρεῖν ὁ τοιόσδε. ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι. θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ. καὶ ἐς τὴν ὑστεραίαν λεπτῶν οὔρων ἐπιφάσιας. καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ, καὶ τὸ σῶμα ἐκ γυμνασίων ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικός. ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν, ἢ σπασμόν. καὶ ἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγίνηται βέλτιον. ἐν κρισίμῃσι δὲ ὀλέθριον, ἢν μὴ πολὺ ἅλις ἀποσυθὲν αἷμα ἐξόδους ποιήσηται τοῦ πλεονέξιος κατὰ ῥῖνας, ἢ κατὰ ἕδρην ἢ ἐμπυήσιες, ἢ μεταστάσιες, ἢ ἀποστάσιες, ἢ πόνοις ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐς ὄρχιας, ἢ ἐς σκέλεα. λυθέντων, δὲ τούτων, ἔξοδοι γίνονται. πτυσμοί. παχέων οὔρων. λείων. λευκῶν. ἔξοδοι. πυρετοῦ λυγγώδεος, ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον τρίψας, πιεῖν δίδου. καὶ χαλβάνην ἐν μέλιτι. καὶ κύμινον ἐκλικτόν.

ex quibus anxietate æger premi consueuit, sudoresq; sub naso & circa frontem ac ceruicem posteriore capitis parte suboriri. Qui casibus conflictantur huiusmodi, suspiriosi non multò pòst moriuntur. Quibus autem per febres tubercula in cruribus oriuntur, tractuq; temporis perseuerante etiam febre, non maturantur, & circa fauces suffocatio incidit, nullo tumore in faucibus existente, neq; tubercula concoquantur, sed extincta fuerint, iis sanguis ex naribus effluere consueuit. Qui si multus quidem fluxerit, morbi solutionem portendit; sin minus, longitudinem; quoque minus fluxerit, eò deteriorem & longiorem. Quòd si reliqua facilima fuerint, huic dolores ad pedes expectandi sunt, qui si pedem attigerint, diuturnoq; dolore affecerint, & inflammatio circum oborta paulatim non leuetur, ad ceruicem dolores peruenient, & ad iugulum, humerum, pectus & articulum, huncq; tuberculosum fieri necesse est. His verò extinctis, si manus contrahantur, vel tremulę euadant, eum conuulsio & desipientia prehendit. Quinetiam in superciliis pustulas & rubores habet, & vna ex palpebris iuxta alteram repullulat, dura inflammatio detinet, oculus vehementer intumescit, & delirium valde increscit. At noctes magis quàm dies delirij significationē præbent. Multa autem signa maximè contingunt ad numerum imparem potius quàm parem. Vtrouis tamen numero contingant, lethales morbi succedunt. Hos si quidem ab initio medicamentis purgare volueris, id ante quintum diem faciendū, si venter murmurauerit, alioqui à medicamentis abstinendi. Quòd si murmurauerit, aluique egestiones biliosæ fuerint, scammonio exhibito moderatè purgandum. Quod autem ad reliquam curationem attinet, quàm parcissimi potus & sorbitiones, quò meliùs se res habeat, exhibendæ, donec remissione facta decimumquartū exegerint diem. Febricitanti sub decimumquartū diem si vox defecerit, huic neq; citò morbi solutio, neq; liberatio venire assolet, sed temporis lōginquitas indicatur. Cùm verò hoc die apparuerit, longior morbus incidit. Febricitanti vbi quarto die lingua perturbatè loquitur, & aluus biliosa liquida deiicit, is delirare assueuit. Sed ex euentis quid consequatur obseruandū. In acutis morbis æstiua & autumnali tempestate, repentina sanguinis stillatio, contentionem & multum circa venas feruorem significat, & postero die vrinas tenues futuras. Ac si ætate viguerit æger, fueritq; corpore exercitato, bene carnoso & melācholico, aut ex potatione manus tremulæ fuerint, deliriū aut cōuulsionem rectè prædixeris. Et si quidem paribus diebus accesserint, meliùs, iudicatoriis verò diebus perniciosum, nisi multus irruens sanguis viam redundantiæ per nares aperuerit, aut per sedem fecerit, aut abscessus, aut humorum transpositus, aut pręcordiorū dolores, aut ad testes, aut ad crura attulerit. Quibus concoctis viæ sunt sputis, & vrinæ excernuntur crassæ, læues, albæ. In febræ singultuosa laseris succum, acetum mulsum, daucum tritum potui exhibeto; & galbanum ex melle cum cumino delingendum,

posteaq; ptisanæ cremore sorbendum dato. Neque is euadere potest, nisi iudicatorij sudores & somni æquales accesserint, vrinæq; crassæ & acres percurrerint, aut ad abscessum morbus se conuerterit. Nux pinea cũ myrrha in ecligmate detur. His verò acetum mulsum quàm minimum potui exhibeatur, sed si admodum siticulosi fuerint, aqua hordei. Circa pulmonum & laterum inflammationes istud considerandũ, num febris adsit acuta, & dolores alterius lateris aut vtriusque affligant, & num laboret dum spiritus sursum fertur, tusses adsint, & sputa educantur ruffa aut liuida, vel etiam tenuia & spumosa, & florida, atque si quid discrepet ab iis quæ illis contingere consueuerunt. His hæc instituenda curatio. Si quidem dolor sursum ad iugulum tendat, vel ad mammam & brachium, internam brachij venam secare oportet, ea parte qua dolor affligit, & sanguinem detrahere pro corporis habitu, anni tempore, ætate, & colore, plúsque & cum maiore fiducia si dolor acutus fuerit, ad animi vsque deliquium ducere, postea alui infusum per clysterem exhibere. Quòd si sub thorace dolor valde vrgeat, lateris morbo affecto aluum medicamento purgabis. At medio purgationis tempore nihil dandum, post purgationem autem acetum mulsum exhibendum. Quarto die medicamentum purgans propinato, tribusque primis diebus aluum per infusum subluito, atque si sic non leuetur, aliquantulum purgato. Custodia deinde opus est, dum æger febris sit expers & ad septimum diem peruenerit. Deinde si in tuto versari videatur, sic primùm tenuem modicúmque succum ex melle exhibeto. Quòd si facilè sputum educatur, bene spiret, & circa latera dolore careat, paulò crassiorem & copiosiorem, bisque die dato. Si verò non facilè liberetur, minorem potionem & paucam sorbitionem, cremorem tenuem & semel exhibeto, eo quo meliùs degit tempore, quod ex vrinis deprehendes. Sorbitionem autem his in morbis non priùs offerre oportet, quàm vrinas & sputa concocta videris. At si ex medicamento purgante frequenter deiecerit, minorem quidẽ & tenuiorem exhibere necesse est. Neque enim dormire ob vasorum inanitionem, neque concoquere similiter, neq; iudicationes sustinere poterit. Verùm vbi crudorum colliquationes extiterint, & quę renitũtur reiecerit, nihil repugnabit. Concocta autem sputa quidem sunt, vbi puri similia extiterint, vrinæ verò, vbi sedimenta habuerint eruo similia. At ad cæteros laterum dolores tepefactoria & ceromata apponere nihil prohibet, crura etiã & lumbos oleo calido inungere, & pinguedine illinere. Ad præcordia autem lini semen cataplasmate ad mammas vsq; imponere. Pulmonis inflammatio vbi statum attigerit, nisi repurgetur, remedium non admittit, prauáque est si æger difficulter spiret, vrinæ tenues sint & acres, sudorésque circa ceruicem & caput oborti sint. Hi enim sudores mali sunt ex suffocatione, impetu, & violentia vbi superior morbus euadit contingentes, nisi vrinæ multæ & crassæ proruperint, & sputa cocta prodierint. Quicquid autem ex his sponte euenerit, morbi solutionem adferet. Ad pulmonis inflammationem medicamentum in ecligmate, nux pinea & galbanum ex melle Attico.

καὶ χυλὸν πτισάνης, ἐπὶ τουτέοισι ῥοφέειν. ἄφυκτος δὲ ὁ τοιοῦτος. ἢν μὴ ἱδρῶτες κρίσιμοι καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται. καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ, ἢ ἐς ἀπόστασιν ἐπείξῃ. κόκκαλος καὶ σμύρνα, ἐκλικτόν. πίνειν δὲ τούτοισι διδόναι, ὀξύμελι ὡς ἐλάχιστον. ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τοῦ κριθίνου ὕδατος. Τὰ δὲ περιπλευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι, ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ. καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ, ἢ ἀμφοτέρων. καὶ τοῦ πνεύματος δὲ ἀναφερομένου, ἢν πονέῃ. καὶ βῆχες ἐνέωσι, καὶ πτύσματα αἰτέῃ πυρρὰ, ἢ πέλια, ἢ καὶ λεπτὰ, καὶ ἀφρώδεα, καὶ ἀνθηρὰ, καὶ εἴτι ἄλλο διάφορον ἔχοι, παρὰ τὰ μεμαθηκότα τούτοισιν, οὕτω χρὴ διάγειν. ἢν μὲν ὀδύνη ἄνω περαίνῃ πρὸς κληΐδα, ἢ περὶ μαζὸν, ἢ περὶ βραχίονα, τάμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερέων, κατὰ τόδε. ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν, καὶ ὥρην. καὶ ἡλικίην. καὶ χροιὴν, πλεῖον καὶ θαρσέων. κἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἄγειν πρὸς λειποψυχίην. ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο. ἢν δὲ ὑποκάτω τοῦ θώρηκος ᾖ τὸ ἄλγημα, καὶ συντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε. μεσηγὺ δὲ τῆς καθάρσιος, μηδὲν δίδου. μετὰ κάθαρσιν δὲ ὀξύμελι. φαρμακεύειν δὲ τεταρταῖον. τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν. καὶ ἢν μὴ κουφίζῃ οὕτως, ὑποκάθαιρε. φυλακὴ δὲ ἔστω, ἕως ἀπυρέτου καὶ ἑβδόμης. ἔπειτα ἢν ἀσφαλὴς γένηται ἐὼν, οὕτω. χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον σὺν μέλιτι μίσγων, δίδου. ἢν δὲ ἀνάγηται ῥηϊδίως, καὶ εὔπνοος ᾖ, καὶ ἀνώδυνος τὰ πλευρὰ κατὰ σμικρὸν, παχυτέρῳ τε καὶ πλείονι, καὶ δὶς τῆς ἡμέρης. ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα, καὶ τὸ ῥόφημα ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ. καὶ ἐν ὁποτέρῃ ἂν ὥρῃ, βέλτιον διάγει. γνώσῃ δὲ καὶ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νουσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα, ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ ἀναγκαῖον διδόναι, ἔλασσον καὶ λεπτότερον. οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν. οὐδὲ πέσσειν ὁμοίως. οὐδὲ τὰς κρίσιας ὑπομένειν. ἀλλ' ἐπὴν δὲ συντήξιες ὠμῶν γένωνται, καὶ τὰ ἀντέχοντα ἀποβάλῃ, ἀνθέξει οὐδέν. πέπονα δέ ἐστι τὰ μὲν πτύελα, ὁκόταν γένηται ὅμοια τῷ πύῳ. τὰ δὲ οὖρα τὰς ὑποστάσιας ὑπερυθέας ἔχοντα, ὁκοῖον ὄροβος. οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων, καὶ χλιάσματα προστιθέναι, καὶ κηρώματα. ἀλείφειν δὲ τὰ σκέλεα καὶ ὀσφὺν, θερμῷ. καὶ λίπος ἐγκαταλείφειν. ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπλευμονίης. ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρὸν ἢν δύσπνοος ᾖ, καὶ τὰ οὖρα λεπτὰ καὶ δριμέα, καὶ οἱ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνωνται. οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροὶ, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νουσημάτων. ἢν μὴ οὖρα πολλὰ, καὶ παχέα ὁρμήσῃ, καὶ πτύσματα πέπονα ἔλθῃ. ὅ,τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νούσημα. Περιπλευμονίης ἐκλικτὸν, χαλβάνη καὶ κόκκαλος, ἐν μέλιτι ἀττικῷ ἀφέψητος.

ἀβρότονον ἐν ὀξυμέλιτι πέπερι, ἐλλέβορος μέλας, ἀπο-
ζέσας, καὶ πλευριτικοῖς ἐν ἀρχῇ περιωδυνέουσιν ἐοῦσι, δί-
δου. ἀγαθὸν δὲ καὶ ὁ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα
καὶ διηθέοντα, διδόναι πίνειν. καὶ ἡπατικοῖσι, καὶ τοῖσιν
ἀπὸ τῶν φρενῶν περιωδυνίῃσι. καὶ ὁκόσα δεῖ ἐς κοιλίην
ἢ ἐς οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι. τὰ δὲ ἐς κοιλίην, σὺν ὑδα-
ρεῖ μελικρήτῳ πίνειν πλείω δίδου. δυσεντερίη ἀπόστημα, ἢ
ἔπαρμά τι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς, ἢ ἱ-
δρῶτας, [42] καὶ οὖρα παχέα, καὶ λευκὰ καὶ λεῖα ἐπιφανῇ,
ἢ ἐς τεταρταίους, ἢ ἐς κιρσὸν, ἢ ἐς ὄρχιν, ἢ ἐς σκέλεα, ἢ ἐς ἰσχία
στηρίξῃ ἡ ὀδύνη. ἐν πυρετῷ χολώδει πρὸ τῆς ἑβδόμης
μετὰ ῥίγεος ἴκτερος ἐπιγινόμενος, λύει τὸν πυρετόν. ἄνευ δὲ
ῥίγεος ἢν ἐπιγένηται, ἔξω τῶν καιρῶν, ὀλέθριον. Τέτα-
νοι δὲ ὀσφύος, καὶ ἀπὸ μελαγχολικῶν διὰ φλεβῶν, πνευ-
μάτων ἀπολήψιες ὁκόταν ἔωσι, φλεβοτομίη λύει. ὁκόταν δὲ
ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, καὶ
ἱδρῶτες περὶ αὐχένα καὶ πρόσωπον, ὑπὸ τοῦ πόνου
δακνομένων, καὶ ξηραινομένων τῶν τενόντων, [43] καὶ τῶν ἱε-
ρωδέων, οἱ παχύτεροι τὴν ῥάχιν ξυνέχουσιν, ἢ οἱ μέγιστοι
σύνδεσμοι, καταπεφυκότες ἕως ἐς πόδας ἀποτελευ-
τῶσι, τῷ τοιῷδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ
τὰ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ, καὶ ἱδρῶτες κρισι-
μοι, πίνειν οἶνον κρητικὸν οἰνώδεα. καὶ ἄλητον ἑφθὸν ἐσθίειν.
καὶ κηρωτῇ ἀλείφειν, καὶ ἐγχρίειν. τά τε σκέλεα περιελίσ-
σειν ἕως τῶν ποδῶν, θερμῷ προσβρέχων ἐν σκάφῃ. καὶ
βραχίονας ἕως δακτύλων κατειλίσσειν. καὶ ὀσφὺν ἀπὸ
τοῦ αὐχένος ἕως τῶν ἰσχίων. σίαλον ἐγκηρώσας μαλα-
κοῖς δέρμασι, ὅκως καὶ τὰ ἔξωθεν περιέξῃ. καὶ διαλιπὼν
πυέλια τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ περιτεί-
νων σινδόνιον, ἐπανάκλινε αὐτόν. κοιλίην δὲ μὴ λίην λύ-
σῃς, ἢν μὴ βαλάνῳ, ἢν πολὺς ὁ χρόνος ᾖ, καθ' ὃν ἀδια-
χώρητος μένει. καὶ ἢν ἐπιδιδῷ τι σοι ἐπὶ τὸ βέλτιον. εἰ
δὲ μὴ, [44] τοῦ μόδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει, καὶ
δαῦκον, πίνειν δίδου πρωῒ νήστει, πρὸ τοῦ βρέχειν. καὶ τά-
χιστα ἐπὶ τούτοισι, τὸ ἄλευρον ἑφθὸν χλιαρὸν, ἐσθιέτω ὡς
πλεῖστον. καὶ οἶνον ὁκόταν βούληται εὔκρητον ἐπιπινέτω.
καὶ ἢν μέν τι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. εἰ δὲ μὴ προ-
λέγειν. τὰ δὲ νουσήματα πάντα, λύεται ἢ κατὰ στόμα, ἢ
κατὰ κοιλίην, ἢ κατὰ κύστιν, ἢ τινος ἄλλου τοιούτου ἄρ-
θρου. ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη, κοινὴ ἁπάντων. Ἐλλεβορί-
ζειν δὲ χρὴ, οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα, ὁκόσοι δὲ
ἐξ ἀποστημάτων, ἢ φλεβορραγίης, ἢ δι' ἀκρασίην, ἢ δι'
ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίνονται, μὴ δίδου
ἐλλέβορον τοῖσι τοιουτέοισιν, οὐδὲν γὰρ ὠφελήσει. καὶ
ἤν τι πάθῃ, αἴτιον δόξει εἶναι ἐλλέβορος. ἢν δὲ διαλύη-
ται τὸ σῶμα, ἢ πόνος ἐν κεφαλῇ, ἢ ἐμπεπλασμένα τὰ
ὦτα, ἢ ῥὶς, ἢ πτυελισμὸς, ἢ γουνάτων βάρος, ἢ σώμα-
τος ὄγκος παρὰ τὸ ἔθος, ὅτι ἂν συμβαίνῃ μήτε ὑπὸ πο-
τῶν, μήθ' ὑπὸ ἀφροδισίων, μήτε ὑπὸ λύπης, μήτε
ὑπὸ φροντίδων, μήτε ἀγρυπνιῶν. καὶ ἢν μέν τι τούτων ἔχῃ
αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην. τὰ δὲ ἐκ πορείης ἀλγήματα, πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, καὶ ὁκόσα

Abrotanum in aceto mulso, piper, veratrum nigrum vbi decoxeris, lateris dolore affecto etiam inter initia, vbi dolor vrget, exhibeto. Confert etiam panacem ex aceto mulso decoctum & percolatum propinare, tum hepaticis, tum septi transuersi dolore plurimum affectis. Et quæcunque per aluum aut per vrinas deducere voles, ex melle & vino exhibeto. Verùm quæ per aluum, cum aquosa mulsa copiosiore propinato. Intestinorum difficultas si cessauit, vel abscessum, vel tumorẽ aliquem pariet, nisi in febres vel sudores vertatur, & vrinæ crassæ, albæ & læues apparuerint, vel in tertianas, vel varicem, vel testem, vel crura, vel in coxendices dolor obfirmetur. In biliosa febre, morbus regius, ante diem septimum cum rigore succedens, febrem soluit, citra rigorem verò intempestiuè obortus, lethalis. Neruorum distẽtio circa lumbos, & ex atrabilariis humoribus per venas spirituum interceptiones si adfuerint, venæ sectione soluuntur. Cùm autem per tendones vehementer anteriore parte reuelluntur, sudoresque circa ceruicem & faciem oboriuntur, præ dolore vellicatis & resiccatis iis qui ad ossis sacri extremum pertinent tendonibus, qui crassissimi spinam continent, qua parte maxima exoriuntur ligamenta & ad pedes vsque desinunt. Huic nisi febris & somnus accesserit, & quę consequuntur vrinæ concoctæ, sudoresque iudicatorij prodierint, vinum Creticum vinosum bibendum, & farinam coctam edendam exhibeto. Cerato quoque inungere atque illinere conuenit, cruraque in pelui calida madefacta ad pedes vsq; velamentis inuoluere, & brachia & digitos vsque contegere, lumbosque à collo ad coxas molli pelle pinguedine & cera illita, ita vt anteriora etiam contineat, circundare. Ex interuallis etiam fomentis per vtriculos vtitor, calidaque affusa, & obuoluto linteo, ipsum in conclaui decumbere iubeto. Aluum verò ne nimium, nisi glande soluito, si ex longo tempore nõ deiecerit, & si quid in melius tibi processerit, bene se res habet. Alioqui modi radicem ex vino odorato tritam, & daucum mane ieiuno ante perfusionem propinato, & post hæc citò farinam coctam tepidam quàm plurimam edat, vinumque bene temperatum, cum volet, superbibat. Et si quidem tibi in melius processerit, benè res habet, aliôqui prædictione vtendum. At morbi omnes soluuntur aut per os, aut per aluum, aut per vesicam, aut alium quendam eiusmodi articulum. Sudor verò omnibus communis est. Veratrum autem exhibendum quibus à capite fluxio fertur. At iis qui ex abscessibus, aut ex venæ ruptione, aut ob intemperantiam, aut aliam validam quandam ob causam suppurati fiunt, veratrum minimè dandum, cum nihil iuuet, & si quid æger patiatur, veratrum in causa esse videatur. Si verò exoluto fuerit corpore, vel caput doluerit, aut aures, aut nares oppleantur, aut sputatio, aut genuum grauitas malè vexet, aut corpus præter consuetudinem intumescat, quicquid horum contigerit, exhibebis, dum neq; ex potibus, neque ex rebus venereis, neque ex mœrore, aut curis, neque ex vigiliis ista contingant. Et si quidem horum aliquid in causa fuerit, ad id curationem instituere oportet. Dolores laterum, dorsi, lumborum, coxarum, ex itinere contingunt, & quæcunque

inter reſpirandum ex occaſione manifeſta dolorem faciunt. Plærunque nanque ex crapulis cibiſque flatulentis ad lumbos & coxas dolores venire conſueuerunt. Atq; ex his caſibus vrinæ difficultas accedit. Horum verò ex via defatigatio cauſa eſt, itemque grauedinis & raucedinis. Quæ autem ex victus ratione cõtingunt, horum quidem magnam partem vnuſquiſque pro mutata præter conſuetudinem victus forma, præcipuè ſignificationem præbet. Qui enim prandere minimè ſoliti pranſi ſunt, his magnus ventris tumor adeſt, & dormitatio, & plenitudo. Si verò inſuper cœnauerint, aluus exturbatur. His à balneo dormire cõfert, & à ſomno lenta deambulatione multos conficere circuitus, & ſi quidem venter emollitus fuerit, cœnare, & paucum vinum, ſed meraciùs bibere. Quod ſi aluum non exonerarint, corpus oleo calido inungere, & ſi ſitis adfuerit, epoto vino aquoſo albo dulci quieſcere, & ſi non dormierint, ampliùs quieſcere. In reliquis ſimilis iis victus ratio qualis crapula grauatis inſtitui debet. Ex potionibus autem quæ quidem aquoſiores ſunt, tardiùs permeant, & velut in orbem actæ circum præcordia fluitant, neque ad mictionem decurrunt. Quibus ſi quis repletus fuerit, is nullum opus ex his celeriter conficiet, quæ corporis contẽtionem, robur, aut celeritatem ad laborem requirunt. Quàm plurimum autem quieſcat, donec vnà cum cibis concoctæ fuerint. At verò meraciores & auſteriores potiones, in corpore palpitationem, & in capite pulſationem efficiunt. Hi benè habent ſi inſuper dormiant, & calidum aliquid ex his quæ ipſis ſunt ſuauiſſima ſorbeant. Ieiunium autem ad capitis dolorem & crapulam malum eſt. Qui ſemel tantùm die cibum capiunt, ij & imbecilli euadunt, & calidam vrinam reddunt præter conſuetudinem vaſis exinanitis, os ſalſum & amarum redditur, in quouis opere ſunt tremuli, tempora ipſis diſtenduntur, neque cœnam perinde coquere poſſunt ac ſi pranſi eſſent. Hos minùs quàm pro conſuetudine bibere conuenit, mazamque liquidiorem panis loco aſſumere, & inter olera lapathum, aut maluam, aut ptiſanam & betas. In cibo vinum bibant quantũ videatur eſſe moderatum & dilutius, & à cœna parum deambulent, donec vrina decurrat, eamq; reddiderint, piſcibus coctis etiam vtantur. Cibi autem de ſe maximè indicia præbent. Allium flatum & caliditatem circa thoracem facit, capitis grauitatẽ & anxietudinem parit, & ſi quis alius dolor fieri conſueuerit, eum grauiorem reddit. Vrinam autem ciet, eaque dote eſt præditum. Optimè autem editur ei qui ſe ad compotationem comparare volet, aut iam ebrius eſt. Caſeus flatum & adſtrictionem parit, cibos incendit, crudum & incoctum edulium exiſtit, eiuſq; eſus inter potandum repletis deterrimus. Legumina omnia flatuoſa ſunt, & cruda, & elixa, & frixa tum etiam macerata, tum viridia. Neque his niſi cum aliis cibis vtendum. Sed horum vnumquodque ſua habet vitia. Cicer flatum quidem tum crudum, tum frictum, & dolorem parit. Lens adſtringit & turbationem inducit, ſi cum cortice fuerit. Ex his lupinus minimùm horum malorum habet. Laſerpitium tum caule, tum ſucco, quibuſdam quidem maximè,

ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες, πολλάκις γὰρ μεμάθηκε φοιτᾶν, ἐκ κραιπαλέων, καὶ βρωμάτων φυσωδέων ἀλγήματα ἐς ὀσφῦν καὶ ἐς ἰσχία, οἷσι δὴ ἂν αὐτέων ἢ τοιάδε, δυσουρέεται. τούτων δὲ πορείη αἰτίη, καὶ κορύζεων καὶ βραγχῶν. Ὁκόσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαστος ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ, μάλιστα ἐπισημαίνει. καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστᾶν, ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσι τῆς γαστρὸς, καὶ νυσταγμὸς, καὶ πληθώρη. ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται. ξυμφέρει δὲ τουτέοισιν ἐκλουσαμένοισιν καθεύδειν. κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον. κ᾽ ἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πίνειν οἶνον ἐλάσσονα ἀκρητέστερον. ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίεσθαι τὸ σῶμα θερμῷ. καὶ ὑδαρέα οἶνον λευκὸν, ἢ γλυκὺν, ἢν διψῇ ἐπιπίοντα ἀναπαύεσθαι. ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι. τὰ δὲ ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω. Τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα, βραδυπορώτερά ἐστι. καὶ ἐγκυκλέεται. καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια. καὶ ἐς οὔρησιν οὐ καταρρέει. τοιούτου δὲ πόματος πληρωθεὶς, μηδὲν ἔργον ὀξέως διαπρήξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι, βίῃ, ἢ τάχει πονέειν ξυμβαίνει. ὡς μάλιστα δὲ ἡσυχαζέτω, ἕως ἂν καταπεφθῶσι μετὰ τῶν σιτίων. ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει, τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι, καὶ θερμόν τι ῥοφέειν, πρὸς ὅπερ μάλιστα ἡδίστως ἔχουσι. νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην, καὶ κραιπάλην. ὁκόσοι δὲ μονοσιτέουσι, κεῖνοι καὶ ἀδύνατοί εἰσι, καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες. γίνεται δὲ καὶ τὸ στόμα ἁλικὸν, καὶ πικρόν. καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ. καὶ κροτάφους ἐπιξυντείνονται. καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὁκῶς περ ἢν ἠριστηκότες ἔωσι. τούτους δὲ χρὴ πίνειν ἔλασσον ἢ μεμαθήκασι. καὶ ὑγροτέρην μᾶζαν ἀντὶ ἄρτου. καὶ λαχάνων λάπαθα, ἢ μαλάχην ἢ πτισάνην, ἢ σεῦτλα. πίνειν δὲ κατὰ τὸ σιτίον, οἶνον, ὁκόσον ξύμμετρον καὶ ὑδαρέστερον. καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν. Βρώματα δὲ μάλιστα ἐπισημαίνει. Σκόροδον φῦσαν, καὶ θέρμην περὶ τὸν θώρηκα. καὶ κεφαλῆς βάρος. καὶ ἄσην. καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν παροξύνειεν ἄν. οὐρητικὸν δὲ καὶ τοῦτο ἔχει ἀγαθόν. ἄριστον δὲ αὐτὸ φαγέειν, εἰ μέλλοι τι ἐς πόσιν ἰέναι, ἢ μεθύειν. Τυρὸς δὲ φῦσαν ἐμποιέει. [illegible] στενότητα. καὶ σιτίων ἔξαψιν ποιέει. τό, τε ὠμὸν, καὶ ἄπεπτον. κάκιστον δὲ ἐν πόσει φαγεῖν πεπληρωμένοισιν. Ὄσπρια δὲ πάντα φυσώδεα, καὶ ὠμὰ, καὶ ἑφθά. καὶ πεφρυγμένα, καὶ βεβρεγμένα, καὶ χλωρά. τούτοισι δὲ μὴ χρέεσθαι, ἢν μὴ μετὰ καὶ ἑτέρων σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτέων. Ἐρέβινθος μὲν, φῦσαν ὠμὸς, καὶ πεφρυγμένος, καὶ πόνον ἐμποιέει. Φακὸς δὲ στύφει, καὶ ταραχὴν ἐμποιέει, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. Θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει. Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς, ἔστι μὲν οἷσι μάλιστα

τοῖσι

τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται ἡ κοιλίη. ἀλλὰ καλέεται ξηρὴ χολέρη. μάλιστα δὲ γίνεται, ἢν μὴ πολλοῦ τυροῦ μιχθῇ ἢ κρεηφαγίης βοείων κρεῶν. τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα καὶ παροξύνεται ἂν ὑπὸ βοείων κρεῶν. ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι. βέλτιστα δ' ἂν καὶ ἀπαλλάττοιεν, εἰ διεφθοῖσί τε χρέοιντο, καὶ ὡς παλαιοτάτοισι. [47] Αἴγεα δὲ κρέα, συμφορώτερα. πλὴν ὅσα τε βοείοισιν ἔνι κακὰ πάντα ἔχει. ἤγουν τήν τε ἀπεψίην, καὶ φυσωδέστερα, καὶ ἐρυγματώδεα. καὶ χολέρης ἀγωγικά. ἔστι δὲ τὰ εὐωδέστατα, στερεὰ, καὶ ἥδιστα, ταῦτα ἄριστα διεφθὰ καὶ ψυχρά. τὰ δὲ ἀηδέστατα, καὶ δυσώδεα καὶ σκληρὰ, ταῦτα κάκιστα. ἀλλὰ δὴ καὶ τὰ πρόσφατα. βέλτιστα δὲ ἐστὶν ἐν θέρεος καιρῷ. ἐν δὲ μετοπώρου καιρῷ, κάκιστα. Χοίρου δὲ πονηρά, ὁκόταν ᾖ ὠμότερα, ἢ περικαῆ. χολερώτερα δ' ἂν εἴη, καὶ ἐκταρακτικά. ὕεια δὲ βέλτιστα τῶν κρεῶν ἁπάντων. κράτιστα δὲ τὰ μήτε ἰσχυρῶς πίονα, μήτε πάλιν ἰσχυρῶς λεπτά. [48] μήτε ἡλικίην φέροντα παλαιοῦ ἱερείου. ἐσθίειν δὲ ἄνευ τῆς φορίνης καὶ ὑπόψυχρα. Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται. καὶ ψόφοι ἔνεισι. καὶ ὀδύνη πλευρέων, καὶ ὀσφύος. διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' ἀπεστέγνωται. τὸν τοιόνδε διαφύλαξον, ὅκως μὴ ἐμέσηται. ἀλλ' ἡ κοιλίη ὑπελεύσηται. κλύζειν δὲ ὅτι τάχος θερμῷ, καὶ ὡς λιπαρωτάτῳ. καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλεῖστον καθίζε θερμὸν, ἐν σκάφῃ κατακλίνων. καὶ τοῦ θερμοῦ παράχεε κατὰ μικρόν. καὶ ἢν θερμαινομένου αὐτέου ἡ κοιλίη ὑπάγῃ, λέλυται. ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε. καὶ πίνειν οἶνον λεπτὸν, καὶ παλαιὸν, καὶ ἀκρητέστερον. καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίην, καὶ ἡ κοιλίη ὑπίῃ, καὶ λέλυται. σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως ἂν καθαρθῇ. ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ, καὶ χολὴ ὑποχωρέῃ, καὶ στρόφοι, καὶ ἔμετοι, καὶ πνιγμοὶ, τούτοισι κράτιστον ἀτρεμίζειν. πίνειν δὲ μελίκρητον, καὶ μὴ ἐξεμέειν. Ὑδρώπων δύο φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχρέων γίνεσθαι, ἄφυκτος. ὁ δὲ μετ' ἐμφυσημάτων, πολλῆς εὐτυχίης δεόμενος. [49] μάλιστα δὲ ὑπὸ ταλαιπωρίης καὶ πυρίης, καὶ ἐγκρατείης, ξηρὰ καὶ δριμέα ἐσθιέτω. οὕτω γὰρ οὐρητικώτατος ἂν εἴη, καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος ᾖ καὶ ἡ ὥρη ἐαρινὴ ἐοῦσα τύχῃ, καὶ ἡλικίη ἅμα ἀκμάζῃ, καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν. εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος, καὶ ἐλαίῳ ἀποβάπτων, ἐσθιέτω. καὶ ὡς ἐλάχιστα πίνων, καὶ ὡς πλεῖστα πονεέτω. καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω μετὰ ὄξεος ἑφθὰ, ὅκως πρὸς τοὺς πρόσαντεας περιπάτους ἀντέχῃ. Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι καὶ δριμέα τὰ ὑποχωρήματα, καὶ ἀνώμαλα διέρχεται, ὑπὸ συντήξιος αὐτέοισιν. ἢν μὲν δυνατοὶ ἔωσιν ἐλλεβόρῳ τῷ λευκῷ ἀνακαθᾶραι. [50] ἢν δὲ μή, ὁ χυλὸς τῶν σιτανίων πυρῶν, παχὺς, ψυχρός. καὶ ὁ φάκιον ἔτνος. καὶ ἄρτοι ἐγκρυφίαι. καὶ ἰχθύες, πυρέσσοντι μὲν ἑφθοί. ἀπυρέτῳ δὲ ἐόντι, ὀπτοί. καὶ οἶνος μέλας ἀπυρέτῳ. ἢν δὲ μή, ὕδωρ ἀπὸ μεσπίλων, ἢ μύρτων, ἢ μήλων, ἢ οὔων. ἢ φοινικοβαλάνων. ἢ οἰνάνθης ἀμπελικῆς.

inexpertis verò per aluum minimè descendit, & choleram aridam nominatam parit, idq; præcipuè si cum multo caseo, aut bubularum carnium esu misceatur. Nam & melancholicæ affectiones carnium bubularum esu ingrauescunt, quòd earum natura minimè superari queat, neque quilibet ventriculus eas concoquere possit. Quo periculo optimè defungentur, qui iis percoctis & perquam vetustis vtentur. Caprinæ carnes omnia quæ bubulis insunt vitia habent, & cruditatem, flatusque & ructus magis mouent, & choleram gignunt. Sunt autem quæ odoratissimæ, solidæ & 10 suauissimæ, eæque optimæ percoctæ & frigidæ. Quæ verò insuauissimæ graueolentes & duræ, eæ pessimæ: quinetiam recentes. Optimæ etiam sunt æstate, autumno verò pessimæ. Porcelli carnes prauæ sunt, cùm crudiores aut perambustæ fuerint. Nempe tum choleram magis gignent, & turbationem facient. Suillæ autem carnium optimæ sunt, præstantissimæ verò, quæ neque vehementer pingues, neque contrà vehementer graciles, neque veteris victimæ ætatem assecutæ, edendæque sine pelle & subfrigidæ. In cholera sicca venter inflatur, & strepitus insunt, & laterum ac lumborum dolor, nihilque infra deiicit aluus, sed ad- 20 stringitur. Ita affectus ne vomat videto, verùm vt aluus subducatur. Infuso igitur per clysterem calido & perquam pingui quàm citissimè vtitor, perunctumq; in calidam quamplurimam, in solio collocatum, calida sensim affusa, demittito. Et si cùm calefactus fuerit, aluus subducatur, morbus solutus est. Huic etiã dormire confert, & vinum tenue, vetus ac meracius bibere. Oleum quoque exhibeto, vt quiescat, & aluus subeat, ac soluitur morbus. A cibis atque omnibus aliis abstineat. Quòd si dolor minimè remiserit, lac asininum donec purgatus fuerit propinato. At si aluus liquida fuerit, & bilis subducatur, torminaq; vexent, vomitiones & suffocationes, iis optimum est quiesce- 30 re, aquam mulsam bibere, ac minimè vomere. Hydropum cùm duæ sint naturæ, hic quidem qui hyposarcidios (velut sub carne) dicitur, vbi hominẽ aggreditur euitari non potest. Alter verò cum flatibus, multam fœlicitatem ad curationem requirit, præcipueq; multos labores, fotum & temperantiam. Sicca edat & acria, nempe cum hac ratione plurimam vrinam reddat, & maximè viribus valeat. Quòd si difficultate spirandi teneatur, anni tempus æstiuum fuerit, ætas vigeat, & virium robur adsit, sanguinem ex brachio detrahere conuenit. Deinde panes calidos vino nigro & oleo intinctos edat, quampaucissimo potu vtatur, 40 quamplurimum laboret, suillaque ex aceto cocta vescatur, vt asperis obambulationibus reluctari possit. Qui ventres inferiores calidos habent, & acres inæqualesque deiectiones prodeunt, id iis ex colliquatione contingit. Quibus quidem si validæ vires fuerint, veratrum album ad reuulsionem exhibendum. Alioqui succus tritici Sitanij crassus & frigidus exhibendus, & lentis fresum, panesq; subcinericei, ac pisces, febricitanti quidem elixi, sine febre autem, assi. Vinum etiam nigrum non febricitanti dandum, alioqui aqua ex mespilis, aut myrti baccis, aut malis, aut sorbis, aut palmulis, aut vitium œnanthe.

Quòd si febris non detineat, adsintque tormina, lac asininum calidum, modicum primum, deinde sensim progressu facto amplius, & lini semen, ac triticeam polentam ammixa hordeacea, vel fabam Ægyptiam detracto cortice amaro inspergẽs potui exhibeto, aut oua edat semiconcreta assa, & similam milium, & alicam ex lacte coctam. Eaque cocta frigida edenda, hisque similia tum potu, tum cibo assumenda. In victus ratione maximum est operæ pretium animaduertere & obseruare tum febrium intensiones, tum remissiones, non modò in acutis morbis, verùm etiam in longis, quò temporum occasiones caueas, quibus cibi 10 minimè offerri debent, & quando tutò offerendi sunt cognoscas, atque etiam quando plurimùm ab intensione abfuerint. Animaduertere autem eos oportet quibus caput vel ob exercitationes, vel cursus, vel iter, vel venationẽ, vel alium aliquem intempestiuum laborem dolet, vel ex rebus venereis. Decolóres etiam, raucedinosos, lienosos, sanguine defectos, spiritiuosos, sicca tussi laborantes, siticulosos, flatuosos, & venarum interceptiones: intenta quoque habentes præcordia, latera & dorsum, ac stupore detentos, obscurè videntes, eosq; quibus aures tinniunt, & qui vrinariam fistulam incontinentem habent, auriginosos 20 & quorum alui cruda deiiciunt, quiq; sanguinem copiosum ex naribus aut sede profundunt, aut qui inflationibus detinentur, si eos vehemẽs dolor vexet, neq; superiores existant. Horum quidem nullos medicamento purgante vacuaueris. Neq; enim res periculo caret, nihilq; profeceris, tum etiam spontaneas liberationes & iudicationes auferes. At si cui sanguinem detrahere confert, aluum firmam reddere, atq; hoc modo detrahere oportet, & inediam imperare, vinumq; ei demere. Deinde in reliquo conuenientem victus rationẽ instituere, & fomentis humidis curare. Quòd si condensata tibi aluus videatur, molli infuso aluum 30 sublues. At si medicamentũ purgans tibi exhibendum visum fuerit, per veratrum supra cum securitate purgabis, at deorsum eorum neminem. Optimum est autem si ad vrinas, sudores & deambulationes ægrum adducas, & leui frictione vtaris, vt ne habitum densiorem efficias. Quòd si in lecto decumbat, eum alij perfricent. Ac si quidem in thorace supra septum transuersum affectus fuerit, eũ vt plurimùm desidere conuenit, & quàm minimùm reclinari, dum vires valeant, sedentemq; longo tempore oleo multo calido perfricari. At si in inferiore aluo sub septo transuerso dolores teneant, iacêre conducit, nulloque modo corpus moueri, præter quàm frictione. Quæ verò ex inferio- 40 re aluo per vrinas & sudores soluuntur, si mediocriter delabantur, sua sponte soluuntur quæ parua sunt, sed vehementia praua existunt. Qui enim sic habent, aut intereunt, aut non sine aliis malis consanescunt, sed quæ sunt eiuscemodi aliquò firmari solent. Potionem aquæ subter cutem laboranti concinnabis, si cantharidum trium, ablato cuiusque capite, pedibus & alis, corpora ex tribus aquæ cyathis contrita exhibueris. Vbi verò ex epoto medicamẽto laborarit, calida perfundatur, ex oleo tamen priùs inunctus, ieiunus bibat, edatque panes calidos ex oleo. Sanguinem sistes

ἢν δὲ πυρετὸς μὴ ἔχοι, καὶ στρόφοι ἔωσι, γάλα ὄνειον θερμὸν ὀλίγον τὸ πρῶτον. ἔπειτα ἐκ προσαγωγῆς πλεῖον. καὶ λίνου σπέρμα. καὶ πύρινα ἄλφιτα. καὶ τῶν αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρὰ, καταλέσας καὶ ἐπιπάσσων, πινέτω. καὶ ὠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτὰ, καὶ σεμίδαλιν. καὶ κέγχρον. καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν. καὶ τὰ τούτοισιν ὅμοια καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω. τῆς διαιτητικῆς ἐστὶ μέγιστον παρατηρεῖν, καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσι ἀρρωστήμασι. καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν, καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαπεφυλάχθαι, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν. καὶ ἀσφαλέως ὁκότε δεῖ προσενεγκεῖν, εἰδέναι. ἔτι δὲ ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος. εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς, ἐκ γυμνασίων. ἢ δρόμων ἢ πορειῶν. ἢ κυνηγεσίων. ἢ ἄλλου τινὸς πόνου ἀκαίρου. ἢ ἐξ ἀφροδισίων. τοὺς ἀχρόους. τοὺς βραγχαλέους. τοὺς σπληνώδεας. τοὺς λειφαίμους. τοὺς πνευματώδεας. τοὺς ξηρὰ βήσσοντας. καὶ διψώδεας. τοὺς φυσώδεας. φλεβῶν ἀπολήψιας. ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον. τοὺς ἀπονεναρκωμένους καὶ ἀμαυρὰ βλέποντας. καὶ οἷσιν ἦχοι τῶν οὐάτων ἐμπίπτουσι. καὶ τῆς οὐρήθρης ἀκρατέως διακειμένους. τοὺς ἰκτερώδεας, καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσι. καὶ αἱμορραγέοντας ἐκ ῥινὸς ἢ καθ' ἕδρην σφοδρῶς. ἢ ἐν ἐμφυσήμασιν ἐόντας ἢν πόνος αὐτέοισιν ἐπιτρέχῃ σφοδρὸς, καὶ μὴ ἐπικρατέωσι. τῶν τοιῶνδε μηδένα φαρμακεύειν. κινδυνῶδές τε γὰρ ἐστὶ καὶ οὐδὲν ὀνήσει. τάς τε ἀπὸ ταὐτομάτου ἀπαλλάξιας καὶ κρίσιας ἀφαιρήσει. ἢν δ' αἷμα τινὶ ξυμφέρει ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην, καὶ οὕτως ἀφαιρέειν καὶ λιμοκτονέειν, καὶ οἶνον ἀφαιρέειν αὐτέων. ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ, τὰ ἐπίλοιπα αὐτέων, καὶ πυρίῃσιν ἰκμαλέῃσι θεράπευε. ἢν δέ τοι κατάπυκνος ἡ κοιλίη δοκέῃ εἶναι, μαλθακῷ κλύσματι ὑποκλύζε. ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε. κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. κράτιστα δὲ ἐς οὔρησιν, καὶ ἐς ἱδρῶτας, καὶ ἐς περιπάτους ἄγειν. καὶ τρίψει ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν. ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν. κἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος, αὐτὸν ἀνακαθίζειν ὡς πλειστάκις. καὶ ὡς ἥκιστα προσκλινέσθωσαν, ἐς ὅτε δυνατοί εἰσι. καὶ καθίζοντα ἀνατρίβειν μὲν πουλὺν χρόνον, πολλῷ θερμῷ. ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχει τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει, καὶ μηδεμίην κίνησιν κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει ἔξω τῆς ἀνατρίψιος. τὰ δὲ ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται, τὰ σμικρά. τὰ σφόδρα δὲ πονηρά. οἱ τοιοῦτοι γὰρ ἢ ἀπόλλυνται, ἢ σὺν ἄλλοισι κακοῖσιν, οὐ γίνονται ὑγιέες, ἀλλ' ἀποστηρίζει τὰ τοιουτότροπα. Πόμα ὑδρωπιῶντι. κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης, καὶ πόδας καὶ πτερὰ, τρίψας ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα, ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέσθω. ὑπαλειψάμενος δὲ πρότερον, νῆστις πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος. Ἰσχαιμ-

ὀπὸν σικύης ἐν εἰρίῳ προσθεῖναι εἴσω πρὸς τὴν φλέβα, ἢ πιτύην συστρέψαντα ἐμβῆσαι ἐς τὸν μυκτῆρα. ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπιπασσάμενος, πιέζειν. καὶ τοὺς χόνδρους ἔξωθεν προσπιέζειν ἑκατέρωθεν. καὶ τὴν κοιλίην λύειν, ὄνου γάλακτι ἑφθῷ. καὶ τὴν κεφαλὴν ξυρῶν, ψυκτικὰ προσφέρε, ἢν ἐν ὥρῃ θερμῇ γίνηται. σησαμοειδὲς ἄνω καθαίρει, ἡ πόσις ἡμιόλιον δραχμῆς ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένον. ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισι, καὶ ἧσσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος. Τριχιάσιος ὑποθεὶς τὸ ῥάμμα, τῇ βελόνῃ τῇ τὸ χύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τῆς ἀνωτάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας, δὶς καὶ ἄλλο ὑποκάτω τοῦ. ἀνατείνας δὲ τὰ ῥάμματα, ῥάψον καὶ καταδῆσαι, ἕως ἂν ἀποπέσῃ. κὴν μὲν ἱκανῶς ἔχῃ, ἢν δὲ μὴ, εἰ ἐλλείπῃ, ὀπίσω ποιέειν ταὐτά. καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον διώσεις. τῇ βελόνῃ ὡς παχυτάτῳ εἰρίου οἰσυπηρὸς ῥάμμα, καὶ ὡς μέγιστον ἀποδήσας, ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη. εἶτα ἀποπιέσας τῷ σηπτῷ, χρέο. καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ. καὶ αἰεὶ μίαν καταλίμπανε. καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. εἶτα γυμναζέσθω καὶ ἱδρούτω. γυμνασίου δὲ τρίψις πολλὴ ἀπὸ ὄρθρου. δρόμου δὲ ἀπεχέσθω, καὶ μέθης. καὶ τῶν δριμέων ἔξω ὀριγάνου. ἐμεέτω δὲ δι' ἑπτὰ ἡμερέων, ἢ τρὶς ἐν τῷ μηνί. οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. οἶνον δὲ κιρρὸν αὐστηρὸν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω. Τοῖσι δὲ ἐμπυοισι, σκίλλης κατατάμνων κυκλισμοὺς, ἕψειν ὕδατι. καὶ ἀπιζέσας εὖ μάλα ἀπόχεον. καὶ ἐπιχέας ἄλλο, ἕψε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φαίνηται. εἶτα τρίψας λεῖον, σύμμισγε κύμινον πεφρυγμένον. καὶ λευκὰ σήσαμα, καὶ ἀμυγδάλας νέας τρίψας ἐν μέλιτι, ἐκλικτὸν δίδου. καὶ ἐπὶ τούτῳ, οἶνον γλυκύν. ῥοφήματα δὲ μήκωνος τῆς λευκῆς ὑποτρίψας ὅκοσον λεκίσκιον, ὕδατι δεὶς, σητανίου πλύματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιερὸν ἐπιρροφέων, οὕτω διαγέτω τὴν ἡμέρην, εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος, τὸ δεῖπνον δίδου. Δυσεντερίης. Κυάμων καθαρῶν, τεταρτημόριον. καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα συμμίξαντα, καὶ ἑψήσαντα, λιπαρὰ διδόναι ἐκλείχειν. Ὀφθαλμῶν. Σποδὸς πεπλυμένη, λιπαρῶς πεφυρημένη, ὡς στέαρ μὴ ὑγρὸν λεῖον τρίψας, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀναγχρώσας, ἐν ἡλίῳ τε ἀναξηρώσας, ὑγραίνειν ὡς ἐναλείφειν. ὁκόταν δὲ ξηρὸν γένηται, τρίψας λεῖον ξηρὸν, ὑπαλείφε τοὺς ὀφθαλμοὺς, καὶ τὰ κανθοὺς ἐπίπασσε. Υγρῶν. Ἐβένου δραχμὴν. χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ' ἀκόνης τρίβων. κρόκου τριώβολον. ταῦτα τρίψας λεῖα, προσχέε οἴνου γλυκέος κοτύλην ἀττικήν. καὶ θεὶς ἐς τὸν ἥλιον θεὶς, καταναλύψας ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. Πρὸς τὰς περιωδυνίας. Χαλκίτιδος δραχμήν. σταφυλῆς, ὁκόταν δύο μέρεα ληφθῇ, ἐκπιέσας. σμύρναν, καὶ κρόκον τρίψας, συμμίξας τὸ γλεῦκος, ἕψειν ἐν τῷ ἡλίῳ. καὶ τούτῳ ὑπαλείφε τοὺς περιωδυνέοντας. ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ. Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις. πιέσαι τοῖσι δακτύλοισι. ἢν αἰσθάνηται,

fici succo lana excepto intrò ad venam apposito. Aut coagulo intorto in nares immisso, vel si chalcitidem priùs extensam digito apprimas, & cartilagines vtraque ex parte foris comprimas, aluumque lacte asinino cocto soluas, & capiti raso refrigerantia adhibeas, si anni tempestas calida fuerit. Sesamoides sursum purgat, sesquidrachmæ pondere ex aceto mulso tritum potu exhibitum. Admiscetur etiam veratris tertia potionis parte, & ita minùs suffocat. Pilos in palpebris enascentes (trichosin vocant) curaueris, si subiectum acui foramen filum habenti, in superiore palpebræ parte acuminata & tensa perpunctione facta deorsum transmiseris, aliudq; sub hoc interiore parte traieceris, fila extensa consueris & deligaris quoad decidant. Ac si hæc quidem sufficiant, benè se res habet, aliôqui, si quid deficit, rursus eadem facienda. Eodem quoque modo ora venarum in ano sanguinem fundere solita (hæmorrhoidas vacant) intruso in acum quàm crassissimo & maximo lanę succido filo, deligabis. Securior enim euadit hæc curatio. Deinde compressas medicamento putrefacies, neque perfundes donec deciderint, vnamque perpetuò relinques. Post hæc etiam vbi vires resumpserit, medicamentum purgans ex veratro propinabis. Deinde exercitatione vtatur, & exudet, pro exercitatione sit frictio multa matutina, cursu abstineat, ebrietate, & acribus, præterquàm origano. Vomat autem septimo quoque die, aut ter in mense. Hoc enim pacto corpus optimè habebit. Vinum bibat fuluum, austerum, aquosum & paucum. Purulẽtis dissectos scyllæ orbiculos ex aqua coquito, & vbi optimè deferbuerit, diffundito, aliaq; affusa coquito, dum tactui percocti & molles appareant. Deinde vbi læuigatum triueris, cuminum perfrictum, alba sesama & amygdalas recentes tritas admisce, eaq; melle excepta in ecligmate exhibeto, postea que vinum dulce bibat. Sorbitiones sumat peplum album tritum acetabuli parui mensura, aqua loturæ farinæ setaniæ maceratum & coctum, melleque affuso tepidum sorbeat, eoq; modo diem transigat. Deinde adhibita consequentium ratione cœnam exhibeto. Ad intestinorum difficultatem, fabarum purarum quadrantem, & duodecim rubiæ surculos tritos admisceto & coquito, & ex pingui aliquo delingendum porrigito. Oculis medeberis si spodium lotum velut farinæ massam probè subactum, non liquidum, læuiter teras, acerbo vuæ immaturæ & amaræ succo humectatum, ac in sole resiccatum, ita vt illini possit humectaueris. Vbi verò siccum extiterit, læuiter tritum siccum oculis illine, eorumque angulis insperge. Humẽtibus iisdem medetur. Ebeni drachmam, æris vsti obolos nouem, in cote terito, croci obolos tres. His tritis & læuigatis vini dulcis heminam Atticam affundito. Deinde soli exposito, & contecto, vbi concoctum fuerit, eo vtitor. Ad vehementes eorum dolores. Chalcitidis drachmam, vuæ expressæ partes duas, myrrham & crocum terito, musto admixto in sole excoquito, eoque intensos oculorum dolores illinito. Sit autem in vase æneo. Vteri strangulatum vt dignoscas, duobus digitis comprimito, & si sentit,

vteri strangulatio est, aliôqui, conuulsio. Ad aqua inter cutem laborantes. Pepli rotundi (quod meconium dicitur) acetabulum paruum Atticum potui exhibeto. Squamæ æris quantum specilla lata tria capiunt, cum setaniæ farinæ tenui polline agglutina. Hæc læuiter trita in catapotia dato. Aquam deorsum purgat, & ex aluo stercus deturbant. In caricas singulas succi tithymalli guttas septem instilla. Deinde nouo vase repositum medicamentum & reconditum, prædicto ante cibos exhibeto. Peplum meconium dictum terito, aqua affusa excolato, & farina subactum in placentam coque, mel coctum infundens, aqua inter cutem laborantibus edendum præbeto, & vinum dulce aquosum, aut mulsam aquosam superbibendam. At quod ab excrementis meconium collegeris, reconditο, ac curato.

τὰ ὑστερικά ἐστιν. ἢν δὲ μὴ, σπασμώδεα. Τοῖσιν ὑδρωπιώδεσι, μηκώνιον. λεκίσκιον ἀττικὸν στρογγύλον. Πόσιος λεπίδος, μήλαι τρεῖς τοῖς πλατεῖς. καὶ ἀλῆτι σητανίου κολλήσαντα. ταῦτα λεῖα τρίψας καταπότια δίδου. Κάτω ὕδωρ καθαίρει. καὶ κοιλίην ἐκκοπρεῖ. ἐς ἰσχάδας, ὀπὸν τοῦ τιθυμάλλου ἀπόσταζε, ἑπτάκις ἐς ἑκάστην, εἶτα ἐς χυτρὸν ἄγγος στυφθεὶς ταμιεύεσθαι, δίδου δὲ εἰρημένῳ τρόπῳ πρὸ τῶν σιτίων. Καὶ τὸ μηκώνιον τρίβων, ὕδωρ ἐπιχέων, καὶ διηθέων, ἄλευρον φυρῶν, ποιέειν ὀπλῶν, μέλι τε ἐγχέων, τοῖσιν ὑδρωπικοῖσι, φαγεῖν δίδου καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. τὸ δὲ ἀπὸ τῶν κοπρίων μηκώνιον ξυλλέγων, ταμιεύου, καὶ θεράπευε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ.

HIPPOCRATIS DE LOCIS IN HOMINE, LIBER.

NVLLVM mea quidẽ opinione corporis est principium, sed omnes partes ex æquo & principium & finis esse videntur. Descripto nanq; circulo, principium non inuenitur. Eademq; ratio membrorum in toto corpore. Quod enim siccius est, morbis obnoxium esse, magisque dolere solet, humidum verò minùs. Morbus nanq; qui in parte sicca est, fixus est, neq; interquiescit. Qui verò in humida, diffluit, & aliàs aliã præcipuè corporis partem occupat, & semper commutando quietem facit, citiusq; conquiescit, cùm fixus non sit. Vnaquæq; verò corporis pars altera alteri, cùm hinc vel illinc perruperit, statim morbum facit, venter capiti, & caput carnibus ac ventri, & reliquæ omnes eadem ratione, quemadmodum venter capiti, & caput carnibus ac ventri. Nisi enim venter moderatè subducatur, & si in eum cibus immittatur, ingestorum ciborum humiditate corpus irrigat, ipsa verò humiditas à ventre intersepta, magna copia ad caput viam affectat. Quò cùm peruenerit, à capitis vasis minimè contenta, quocunque datur effluit, & in capitis ambitum, & in cerebrum, per os tenue, & partim quidem os subit, partim verò circum cerebrum per os tenue fertur. Quòd si ad ventrem rursus quidem peruenerit, ventri morbum inducit. Si verò in aliam quampiam partẽ inciderit, ei ipsi morbum facit. Ad eundem etiam modũ reliquę partes altera alteri morbum inducit. Hacq; ratione optimum fuerit ægrotantes partes per eas, quæ morbos faciunt ad curationem accommodare. Sic enim quàm optimè quis eius quod ægrotat principium sanauerit. Corpus autem ipsum sibiipsi idem est, & ex eisdem constat. Non eodem tamen modo se habent eius partes magnæ & paruæ, itemque infernæ & supernæ. Ac si vel minima corporis pars malo aliquo afficiatur, eam affectionem, qua-

ΕΜοὶ δοκέει ἀρχὴ μὲν οὐδεμία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ καὶ πάντα τελευτή. κύκλου γὰρ γραφέντος ἀρχὴ οὐχ εὑρέθη. καὶ τῶν νοσημάτων ἀπὸ παντὸς ὁμοίως τοῦ σώματος. τὸ μὲν ξηρότερον, πεφυκὸς νόσοις, λάζεσθαι, καὶ μᾶλλον πονέειν· τὸ δὲ ὑγρὸν, ἧσσον. τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα πήγνυταί τε καὶ ἀτρεμεῖ· τὸ δὲ ἐν τῷ ὑγρῷ διαρρεῖ καὶ τοῦ σώματος ἄλλοτ' ἄλλῃ μάλιστα ἔχει, καὶ ἀεὶ μεταλλάσσον, ἀνάπαυσιν ποιέει καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ ὁπόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει. ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. καὶ τἆλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. ἡ γὰρ κοιλίη ὁπόταν ὑπεκχώρησιν μὴ ποιέῃ, καὶ ἔσιν ἐς αὐτὴν ἀρδεῖ τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων. αὕτη δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης ἀποφραχθεῖσα ὁδὸν ἐς τὴν κεφαλὴν ὡδοιπόρησεν ἀθρόη. καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρεομένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥεῖ ᾗ ἂν τύχῃ καὶ περὶξ τῆς κεφαλῆς, καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἡ μὲν ἐν τῷ ὀστέῳ ἐνδέδυκεν, ἡ δὲ περὶ τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησεν· ἢν δ' ἄλλῃ πη τύχῃ, ἄλλῃ νοῦσον ποιέει. καὶ τἆλλα οὕτως ὥσπερ τοῦτο τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει. καὶ καλῶς γ' οὕτως εὐτρεπίζειν τὰ νοσεύμενα, διὰ τῶν τὰς νούσους ποιεόντων. οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσευμένου τις ἰῷτο. τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ τωυτόν ἐστι, καὶ ἐκ τῶν αὐτῶν σύγκειται. ὁμοίως δὲ ἔχοντος καὶ τὰ σμικρὰ αὐτοῦ, καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω· καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν ὁ-

παιν ἂ

ποιήσαι τις ἢ, διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσα περ καὶ τὸ μέγιστον. τοῦτο δ' ὁποῖον ἄν τι πάθη τὸ σμικρότατον, ἐπαναφέρει πρὸς τὴν ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωυτοῦ, ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ. καὶ διὰ ταῦτα καὶ ἀλγέει καὶ ἥδεται ὑπὸ ἐθνέος τοῦ σμικροτάτου τὸ σῶμα· ὅτι ἐν τῷ σμικροτάτῳ πάντ' ἔνι τὰ μέρεα. καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα, καὶ διαγγέλλουσι πάντα. φύσις δὲ τοῦ σώματος, ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου, πρῶτον διατέτρηται ἡ ἐσακούομεν. τὰ μὲν γὰρ περὶ τὰ ὦτα τρίχες κενεά, 10 οὐκ εἰσακούει ἄλλο ἢ ψόφον καὶ ἰαχήν. ὅτι δ' ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, τοῦτο διαφραδέως ἀκούεται ταύτῃ. καὶ μούνη τρῆσις διὰ τῆς μήνιγγος ἐστὶ περὶ τὸν ἐγκέφαλον περιτεταμένης. κατὰ δὲ τὰς ῥῖνας τρῆμα μὲν οὐκ ἔνεστιν, σομφὸν δὲ, οἷον σπογγιά. καὶ διὰ τοῦτο διὰ πλέονος ἀκούει ἢ ὀσφραίνεται. κατὰ πολὺ γὰρ σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος. καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται. ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσι τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, 20 ἐς ὃ καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλμοῖσιν. ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι τὰς ὄψιας ὅταν ξηρανθῶσιν. μήνιγγες δὲ τρεῖς εἰσιν αἳ τοὺς ὀφθαλμοὺς φυλάσσουσιν. ἡ μὲν ἐπάνω, παχυτέρη· ἡ δὲ διὰ μέσου, λεπτοτέρη· ἡ δὲ τρίτη, λεπτὴ, ἣ τὸ ὑγρὸν φυλάσσουσα. τούτων ἡ μὲν ἐπάνω καὶ παχυτάτη νοῦσος ἢν καμφθῇ. ἡ δὲ διὰ μέσου ἐπικίνδυνος αὕτη, καὶ ὅταν ῥαγῇ, ἐξίσχει οἷον κύστις. ἡ δὲ τρίτη ἡ λεπτοτάτη πάμπαν ἐπικίνδυνος, ἣ τὸ ὑγρὸν φυλάσσουσα. μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη, οὐκέτι ἡ αὐτὴ, ἐπὴν 30 τρωθῇ. φλέβες δὲ τρέφουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς ἔχουσαι πρὸς τὸ ὀστέον. φέρονται δὲ διὰ τῆς σαρκὸς, δύο μὲν ἐκ τῆς κορυφῆς κατ' ἰθὺ ᾗ αἱ ὀφρύες συγκλείονται καὶ τελευτῶσιν ἐς τοὺς κανθοὺς τῶν ὀφθαλμῶν. μία δὲ ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται, καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται, ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψιας καὶ σφύζουσιν ἀεί. μόναι γὰρ αὗται οὐκ ἄρδουσι τῶν φλεβῶν, ἀλλ' ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. τὸ δ' ἀποτρεπόμενον ἀ- 40 ποσυμβουλεύει τῷ ἐπιρρέοντι. καὶ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον ἀποχωρέειν. τὸ δ' ἄνωθεν ἐπιρρέον βουλόμενον κάτω χωρέειν ἐνταῦθα ὠθεύμενά τε καὶ ἀναχεόμενα πρὸς ἄλληλα καὶ κυκλεύμενα, σφυγμὸν παρέχουσι τοῖσι φλεβίοισιν. ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται. ὅταν δέ τι τοῦ ἀπὸ τῶν φλεβῶν λάβῃ, τῇ ῥύσει ταράσσεται, καὶ οὐκ ἐμφαίνεται ἐς αὐτὸ, καὶ περιχινέεσθαι δοκέει ἐν αὐτῷ τότε μὲν οἷον εἴδωλον ὀρνίθων, τότε δὲ οἷον φακοὶ μέλανες· καὶ τἄλλα οὐδὲν ἀτρεκέως κατ' ἀλήθειαν δύναται ὁρᾷν. ἄλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα, καὶ πιέζουσι τὰ ὦτα. ἄλλαι δύο φλέβες ἐκ τῆς συγκλείσιος τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι. δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου,

liſcunque tandem fuerit, totum corpus ſentiet, quòd minima corporis pars eadem omnia habeat, quæ & maxima. Eaque minima pars quicquid tandem protulerit, ad cognationem & gentilitatem refert, quæque ad ſuam, ſiue bonum, ſiue malum id fuerit. Ac propterea corpus ob minimę partis cognationem, dolorem aut voluptatem percipit, quòd in minima partes omnes inſunt, eæque ad ea quæ ſui ſunt generis ſingula referunt, & omnia denunciant. At verò corporis natura principium in artis Medicæ ſpeculatione obtinet, eaque primùm quà parte audimus perforata eſt. Vacua enim circa aures loca, nil aliud præter ſtrepitum & clamorem inaudiunt. Quicquid verò per membranam ad cerebrum peruenerit, id planè hac parte auditur, vbi vnicum foramen per membranam circumuoluentem penetrat. Ad nares autem foramen quidem non tendit, ſed laxum quiddam velut ſpongia, eamque ob cauſam per longius interuallum audit quàm olfacit. Longe enim ab olfactu odor diſpergitur. Ad oculos etiam venulæ tenues ad viſionem ex cerebro per ambientem membranam tendunt. Hæ venulæ humore puriſſimo de cerebro viſionem alunt, in quo etiam rerum ſpecies in oculis apparent. Eædem quoque vbi reſiccatæ fuerint, viſionem extinguunt. Membranæ verò tres ſunt oculos ipſos cuſtodientes, ſuperna quidem craſſior, media verò tenuior, & tertia tenuis, quæ humorem conſeruat. Ex his ſuperior quidem & craſſiſſima, ſi læſa fuerit, morbum facit. Media verò, ipſa etiam periculi plena eſt, & vbi rupta fuerit, foras velut veſica prominet. Tertia tenuiſſima, omninò periculoſa, quæ humorem conſeruat. Cerebri autem membranæ duæ ſunt, ſuperna quidem vna craſſior, altera, quæ cerebrum contingit, tenuis, neque vbi vulnerata fuerit coaleſcit. Venę autem ad verticem quidem per carnem permeant, & oſſi cohæreſcunt. Ex vertice verò, duæ quidem rectà per carnem feruntur, quà parte ſupercilia clauduntur, & ad oculorum angulos deſinunt. Vna autem de vertice ad nares fertur, & in vtramque narium cartilaginem ſcinditur. Aliæ duæ venæ iuxta tempora feruntur, inter tempora & aures, quæ oculos premunt, ſemperque pulſant. Ex venis enim hæ ſolæ ſanguine minimè rigantur, ſed auertitur ab ipſis ſanguis. Qui verò auertitur, ei qui influit motum habet contrarium, & qui quidem auertitur, cùm diſcedere cupiat: qui autem ex ſuperioribus partibus affluit, infra procedere, hîc mutuò inter ſe propulſa ac diffuſa, & in orbem agitata, venulis pulſam præbent. Cùm autem viſio ex cerebro humore nutriatur, ſi quid humoris à venis acceperit, fluxione turbatur, neque in eo apparent rerum ſpecies, ſed obuerſari videntur interdum quidem velut auicularum imagines, interdum verò vt lentes nigræ, nihilque de cætero exactè re vera cernere poteſt. Aliæ duæ venæ per medium aurium & reliquarum venarum, ad aures tendunt iiſque incumbunt. Aliæ duæ venæ ex oſſis coniunctione, ad aures feruntur. Ex his autem quæ ad inferiorem corporis partem connectuntur, duæ quidem venæ iuxta ceruicis tendines,

& iuxta vertebras feruntur, ac in renes desinunt, eædemque etiam ad testes permeant, cumq; hæ malè affectæ fuerint, homo cruentum lotium reddit. Aliæ duæ venæ ex vertice ad humeros tendunt, & eæ sanè humerales appellantur. Aliæ duæ venę ex vertice iuxta aures, per anteriorem ceruicis partem, vtrinque in cauam appellatam venam deferũtur. At verò vena caua velut gula quidẽ producitur, mediaq; inter guttur & gulam existens, per septum transuersum fertur, & per cor, & inter septum. Ad inguina autem & femora interiore parte scinditur, & disparationes in cruribus facit, & ad tibiarum interiorem partem iuxta malleolos fertur. Eæ si sectæ fuerint, hominem infœcundum reddunt, quæ & in magnos digitos desinunt. Ex vena autem caua propago in manum sinistram deducitur, & subter lienem fertur, ad sinistri lateris inanitatem, vnde lien per omentum emergit, & ad thóracem desinit. Exoritur autem iuxta septum transuersum, & cùm humerali committitur, infra cubiti articulum, ipsaq; lienis gratia secatur. Alia etiam ad dextram manum eodem modo à caua propaginem emittit. Hæ autem omnes venæ inter se communicant & mutuò confluunt. Aliæ siquidem sibi inuicem committuntur, aliæ verò per venulas, quæ à venis distenduntur, & carnes nutriunt, ea parte inter se confluunt. Quicunque autem à venis morbus oritur, is leuior est, quàm qui à neruis. Diffluit enim vnà cum humore in venis contento, neque quiescit, venarumque ea natura est, vt humorem contineant, & carnibus distribuant. Nerui verò cùm sicci sunt, tum cauitatibus carent, & ossi adhærescunt, maximamque partem ab osse nutriuntur, & si quoque ex carnibus alimentum habent, coloremque & robur inter os & carnem medium naturâ sortiti sunt, & humidiorem quidem carnosioremq; quàm os, sicciorẽ verò & ad os magis accedentẽ quàm carnes naturã obtinent. Quicunq; autem morbus ad eos accesserit, eodem loco firmatur & cõsistit, nec nisi ægrè expellitur. Pręcipuè verò cor appetunt distentiones, aliiq; morbi ex quib. tremor corpus prehendit, quiq; tremorẽ inducunt. Nerui autem articulos constringunt, per totum corpus distenti, potissimumq; validi & semper maximè crassi sunt, in his corporis partibus, in quibus paucissimæ carnes sunt, totumque corpus neruorum plenum est. At circa faciem & caput non sunt nerui, sed fibrę neruorum non absimiles inter os & carnem tenuiores & solidiores, partim etiam nerui cauitatem habentes. Capita suturas habent, alia quidem tres, alia quatuor. Quæ quidem quatuor habent, his sunt iuxta aures vtraque ex parte, & vna sutura anteriore, altera posteriore capitis parte. Et sic quidem se habet caput quod quatuor suturas habet. Quod verò tres ad aures vtrinque, & anteriore parte. At velut in eo quod quatuor habet, hac parte [posteriore scilicet] nulla sutura enascitur. Qui plures suturas habent, hi capite meliùs valent. Inter supercilia os intercedit & maxillarum coniunctio in medio mento, & superiore parte ad caput est. Vertebras hi quidem plures, hi verò pauciores habent. Quibus pauciores, his sunt duodeuiginti,

φέρονται δὲ καὶ παρὰ τοὺς σπονδύλους. καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς. αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας παραίνουσιν. καὶ ὅταν αὗται πονέωσιν, αἷμα οὐρέει ὥνθρωπος. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους. καὶ δὴ καὶ ὠμιαῖαι καλέονται. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα, καλεομένην φέρονται. ἡ δὲ κοίλη φλὲψ παραίνεται μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου. φέρεται δὲ διὰ τῶν φρενῶν. καὶ διὰ τῆς καρδίης. καὶ μεταξὺ τῶν φρενῶν. καὶ σχίζεται ἐς τοὺς βουβῶνας, καὶ ἐς τοὺς μηροὺς ἐντός, [11] καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, καὶ ἐς τὰς κνήμας φέρεται ἐντὸς παρὰ τὰ σφυρά. αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον ὅταν ἀποτμηθῶσιν, αἳ καὶ ἐς τοὺς μεγάλους δακτύλους τελευτῶσιν. ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν. φέρεται δὲ ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερήν, ὅθεν ὁ σπλὴν ἀποπέφυκεν διὰ τοῦ ἐπιπλόου. καὶ τὴν ἀποτελεύτησιν ἴσχει [12] ἐς τὸν θώρακα. ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, καὶ ξυμβάλλει τῇ ὠμιαίῃ [13] κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, καὶ τοῦ σπληνὸς τέμνεται αὕτη. καὶ ἄλλη ἐς τὴν δεξιήν, τὸν αὐτὸν τρόπον ἀποπέφυκεν [14] ἀπὸ τῆς κοιλίης. κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαρρέουσιν ἐς ἑωυτάς. αἱ μὲν γὰρ σφίσιν ἑωυταῖς ξυμβάλλουσιν. αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας ταύτῃ διαρρέουσι πρὸς ἑωυτάς. καὶ ἀπὸ τῶν φλεβῶν ὅτι ἂν νόσημα γένηται, ῥᾷόν ἐστιν ἢ ἀπὸ τῶν νεύρων. διαρρεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψὶ, καὶ οὐκ ἀτρεμίζει. καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί. τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια, καὶ πρὸς τῷ ὀστέῳ πεφύκασιν, καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου. τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασιν. καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκωδέστερα. ξηρότερα δὲ εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστωδέστερα. νόσημα δὲ ὅτι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν. μάλιστα δὲ ἐστέρχονται, τέτανοί τε καὶ ἄλλα ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει, καὶ τρέμειν ποιέει. τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα, παρατεταμένα τέ ἐστι παρ' ὅλον τὸ σῶμα. ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισι τοῦ σώματος, καὶ ἀεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισται εἰσί. καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων. περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν, οὐκ ἔστι νεῦρα, ἀλλὰ ἶνες παρόμοιαι νεύροις μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι. [15] αἱ δὲ νευροκοίλιοι. αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν. αἱ μὲν, τρεῖς· αἱ δὲ, τέσσαρας. αἱ μὲν τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα ἑκατέρωθεν, ῥαφὴ ἄλλη ἔμπροσθεν, ἄλλη ὄπισθεν τῆς κεφαλῆς, οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα. ἡ δὲ τὰς τρεῖς κατὰ τὰ ὦτα, ἑκατέρωθεν καὶ ἔμπροσθεν. ὥσπερ δὲ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν οὐδὲ ταύτῃ ῥαφή. ὑγιεινότεροι δὲ εἰσὶ τὴν κεφαλὴν, οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. [16] ἐν τῇσιν ὀφρύσι διῆλθον τὸ ὀστέον, καὶ ἡ σύγκλεισις τῶν γενύων ἔν τε τῷ γενείῳ μέσῳ, καὶ ἄνω πρὸς τῇ κεφαλῇ. σπονδύλους οἱ μὲν, πλέονας· οἱ δὲ, ἐλάσσονας ἔχουσιν. [17] καὶ οἱ μὲν πλέονας ἔχοντες, δυοῖν δέοντες εἴκοσί εἰσιν, ὧν οἱ μὲν

αἱ οἱ μὲν ἄνω πρὸς τὴν κεφαλὴν, αἱ δὲ κάτω πρὸς τὴν ἕδρην.
πλευραὶ ἑπτά. αἱ μὲν, ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπον-
δύλους. τὰ δὲ ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωυτάς. κλη-
ῗδες ἄρθρα ἔχουσι, τὰ μὲν ἐν μέσῳ τοῦ στήθεος κατὰ τὸν βρόγ-
χον, κατὰ ταῦτα ἤρθρωνται· τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα
πρὸς τὰς πλάτας, αἳ ἐπὶ τοῖς ὤμοις αἰεὶ πεφύκασιν. αἱ
δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται. [19] ἐπιβαλοῦσαι ἐπὶ τὸ
ὀστέον τὸ ἐν τῷ γυίῳ. παρὰ δὲ τὸ ὀστέον [20] κορῶναι δύο παρήκου-
σιν, ἡ μὲν, ἔνδοθεν· ἡ δὲ, ἐκτός. αἱ πρὸς τὰς πλάτας τῷ ὀστέῳ
προσπεφύκασι, ἤρθρωνται κάτω. αἱ δὲ ἐν τῷ ἀγκῶ- 10
νι, κάτω μὲν κορώνῃ ἤρθρωνται, [21] κάτω πεφύκασι, ἄνω δὲ
σμικρὸν τῆς κορώνης ἐς τὸν ἀγκῶνα. τὸ τε ὀστέον καὶ ἡ κορώνη ἐς τὸ
αὐτὸ συμβάλλοντα, [22] ἄρθρον ἐν τῷ κυβίτῳ ποιέουσι. παρὰ
δὲ τὸν πῆχυν κορῶναι παρήκουσι λεπταὶ πάνυ τέσσαρες, αἱ
μὲν δύο, ἄνω· αἱ δὲ δύο, κάτω. καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο
κορῶναι πεφύκασι ἄνω ἐκ τοῦ ὀστέου πεφύκασιν. αὗται σὺν
τῷ ὀστέῳ πεφύκασι, παρὰ τὸ τοῦ ὀστέου ἄρθρον [23] ἤρθρωνται
ἐς τὸ κύβιτον. αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗ-
ται ἀμφότεραι ξυμβάλλουσαι πρὸς τὴν κορώνην τὴν ἄνωθεν
ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου ἤρθρωνται, καὶ πε- 20
ρόνην καλεομένην ποιέουσιν, αὗται ἑωυτῇσι ξυμβάλλου-
σαι ἐν τῷ κυβίτῳ ἐντός. κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον
ἄρθρον ἔχει. αἱ δὲ κορῶναι ταύτῃ ἁπαλαὶ ἐοῦσαι, αἱ μὲν
δύο οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον, ἡ δὲ ἄνω καὶ ἡ κάτω, σὺν
τῷ ὀστέῳ ἤρθρωνται πρὸς τὴν χεῖρα. [24] αἱ δὲ χεῖρες ἄρ-
θρα ἔχουσι πολλά. ὅσα γὰρ ὀστέα πρὸς ἑωυτὰ συμβάλ-
λουσι πάντα ἄρθρα ποιέουσι. δάκτυλοι ἄρθρα ἔχου-
σι πολλά, ἕκαστος τρία. ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ
τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου. ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ
καὶ ξυγκάμπτουσι τοὺς δακτύλους. ἄλλο τρίτον, ᾗ ὁ δάκ- 30
τυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκεν. [25] ἐν δὲ τοῖσιν ἰσχίοι-
σιν ἄρθρα δύο εἰσὶν αἱ κοτύλαι καλεόμεναι, καὶ οἱ μη-
ροὶ ἐς ταῦτα ἐνήρθρωνται. [26] παρὰ δὲ τοὺς μηροὺς κορῶναι
δύο παρήκουσιν, ἡ μὲν, ἐντὸς, ἡ δὲ ἐκτὸς, καὶ ἐς τὸ ἄρθρον
οὐδετέρη ἐξήκει, οὐδὲ ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ
προσαπεφύκασιν πρὸς τῷ μηρῷ. ὁ δὲ μηρὸς, ἄνωθεν μὲν
ᾗ ἐς τὴν κοτύλην ἐμβάλλει, δικραιός ἐστι τοιῇδε δικραιότητι.
ἐπὶ μὲν οὖν ἐντὸς κεκλιμένου [27] τοῦ δικραίου ἐπὶ τοῦ ἄκρου ἐπι-
πέφυκεν στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει,
τὸ δὲ ἕτερον τὸ ἔλασσον τοῦ δικραίου τὸ ἐκτὸς μᾶλλον ἔ- 40
ξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω, καὶ ἰσχίον κα-
λέεται. πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδε ἐστὶ δί-
κραιον. τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀστέον ἡ κνήμη καλεομέ-
νη οἷον ἐν γιγγλύμῳ ἐνήρμοσται. [28] ἄνωθεν δὲ οὗ ἐνηρμοσμέ-
νος, ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπε-
πταμένων ἐσθίειν τὴν ὑγρότητα, τὴν ἀπὸ τοῦ σαρκός. πα-
ρὰ δὲ τὴν κνήμην κορῶναι δύο παρήκουσιν, αἱ κάτωθεν μὲν,
πρὸς τοῦ ποδὸς τὰ σφυρὰ τελευτῶσιν. ἄνωθεν δὲ πρὸς τοῦ
γόνατος, οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. πρὸς δὲ τὸν πό-
δα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει, [29] καὶ ἄλλο κάτω 50
τῶν σφυρῶν. καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλά, ὥσπερ καὶ ἐν τῇσι χερσίν. ὅσα γὰρ τὰ ὀστέα, τοσαῦτα καὶ ἄρθρα,

quarum aliæ quidem sursum ad caput, aliç verò deorsum ad sedem feruntur. Costę septem partim quidem posteriore corporis parte ad vertebras, partim verò anteriore in pectore inter se committuntur. Claviculæ articulos habent, partim quidem in medio pectore iuxta guttur, eaque parte articulis connectuntur, partim verò ad humeros ad scapulas reclinatos, quæ humeris semper adhærescunt. At scapulę ad membra articulis connectuntur, super os quod in membro est incumbentes. Ab hoc osse appendices duæ protenduntur, vna quidem interiore parte, altera exteriore, quæ ad scapulas ossi cohærescentes, inferiore ex parte articulis coniunguntur. Quę verò sunt in cubiti flexu, infra quidem radio in articulum coniunguntur, iuxta os natura sua cauum, paulùm autem supra radium in cubiti gibbum, tum os, tum radius in eũdem locum committũtur, & articulationem in cubiti gibbo efficiunt. Ad vlnam verò appendices protenduntur valdè tenues quatuor, duæ quidem superiore parte, duæ verò inferiore, & ad cubiti quidem gibbum duæ appendices adnatæ, superiore parte ex osse exoriuntur. Hæ cum osse cohærescentes, ad ossis articulum, in cubiti gibbum articulo committuntur. Quæ verò infra sitæ sunt, & intrò reclinatæ, eæ vtræque ad radium qui superiore parte ad membrum defertur, concurrentes, interiore membri parte articulo committuntur, eæque inter se interiore cubiti parte commissæ, radium appellatum efficiunt. Inferiore verò parte ad manum, os articulum habet. Cùm autẽ hac parte appendices teneræ existant, duæ quidem in articulum non tendunt, superior verò & inferior cum osse ad manum articulo committuntur. Manus multos habẽt articulos. Quæ enim ossa inter se connectuntur, omnia articulos faciunt. Digiti multos habent articulos, tres vnusquisque. Vnum quidem sub vngue, inter vnguem & tuberculum, alterum in ipso tuberculo, quâ parte etiam digitos inflectunt, tertium, quâ parte digitus ex manu emergit. In coxendicibus autem duo sunt articuli, acetabula appellata, & iis femora articulo connexa. Ad femora duæ appendices porriguntur, vna quidem intus, altera foris, neutraque in articulum tendit, neque ex altera parte, sed ossi in ipso femore annexæ sunt. femur autem superiore quidem parte, quâ in acetabulum immittitur, hoc modo bifidum est. In ea quidem bicipitij parte, quæ intrò inclinat, in summo adnatum est rotundum ac leue, quod in acetabulum ingreditur. Altera verò pars minor quæ in bifurculo protuberat, foras magis prominet, & inferiore parte ad nates apparet, coxendixque nominatur. Ad genu autem femoris os hoc modo bifidum est. Huic verò bicipitio, os quod tibia appellatur, velut in cardine adaptatur. Supra id quod adaptatum est mola incumbit, quæ ad articulum dum extenditur humiditatem à carne descendere prohibet. Ad tibiam autem pertingunt appendices duæ, quæ inferiore quidem parte ad pedis malleolos desinunt, superiore verò ad genu, non perueniũt ad articulum. Ad pedem autem tibia iuxta malleolos articulũ habet, aliumq; infra malleolos. In pedibus articuli multi quemadmodum etiam in manibus sunt. Quot enim ossa, tot sunt articuli,

& in pedum digitis pari numero & eodem ſe habent modo. Multi quoque in corpore articuli parui ſunt, non ſimili tamen modo in omnibus, ſed aliis alij, hi autem à nobis enumerati, in omnibus ſimiliter ſe habent. Aliæ quinetiam ſunt aliis venæ, nec tamen effatu dignæ. Mucus omnibus à natura ineſt, & cùm purus fuerit, bene valent articuli, ideoque facilè mouentur, cùm ſint inter ſe lubrici. Oboritur autem labor & dolor, vbi vexauerit quæ à carne fluit humiditas. Imprimis quidem rigidus fit articulus. Neq; enim lubrica eſt quę ex carne affluxit humiditas. Deinde ſua copia valde diſperſa, neq; à carne irrigata, ſemper reſiccatur, cumq; eam ob multitudinem articulus capere non poſſit, effluit, maleq; concreſcens, neruos quibus articulus connectitur, attollit, elaxat, & diſſoluit. Eamque ob cauſam vel magis, vel minus claudi fiunt. At verò quæ eduntur aut bibuntur in ventrem feruntur, & ex ventre fibræ in veſicam extenduntur, quâ parte humorem tranſmittit. Fluxiones autem contingunt, & perfrigerata valde carne, & ſupertumefacta. Propter frigus quidem fluxiones fiunt, cùm capitis caro & venæ diſtentæ fuerint, eæque carne propter horrorem in anguſtum coacta & elidente, humorem exprimunt, ſimul etiam carnes ipſæ in anguſtum cõtractæ, viciſſim exprimunt, & capilli velut vndique ſimul vehementer compreſſi eriguntur. Hinc quod expreſſum fuerit, quocunque ſors tulerit, fluit. Quin & ob caliditatem fluit, cùm carnes rarefactæ tranſitus præbuerint, humorque calefactus tenuior euaſerit. Quicquid enim humidum concalfactum fuerit, tenuius euadit, & quicquid cedit, fluit. Potiſſimùm autem vbi quid valde ſupertumefactum fuerit, hanc ob cauſam fluit. Carnes admodum repletæ, cùm copiam capere nequeant, humor qui contineri non potuit effluit, fluitq; quocunque datum fuerit. Omninò autem fluidis factis fluxionibus, fluidus etiã fit locus in quem fertur, quoad fluxionis viæ præ gracilitate compreſſæ fuerint, cùm corpus reſiccatũ fuerit. Cùm enim corpus ſibi ipſi communicet, quancunque in partem humor obtigerit, ſiccitatem in ſe ſuſcipit ac deducit. Neque verò ipſam deducere eſt difficile, cùm corpus vacuum exiſtat, minimeque præ gracilitate intumeſcat. Cùm autem inferiores partes ſiccę euaſerint, ſuperiores verò humidæ (ſuperiora enim vaſa magis humida ſunt, cùm plures venæ ſint parte ſuperiore quàm inferiore, & capitis carnes minore indigeant humiditate) tùm ſanè ſicca corporis pars humorem ex capite ducit, ſimulq́ue meatus ei quę ducit magis patent, quàm ei à qua ducitur. Cùm enim ipſi ſicci exiſtant, ex eo ſibi quæſtum parant, ſimulq; humores natura deorſum ferri ſolent, vel ſi vis modica contingat. At verò fluxiones ex capite ſeptem ſunt. Quędam ſi quidẽ in carnes, quædam in aures, quædam etiam in oculos decũbit. Atq; hæ quidem ex capite fluxiones, oculis ſunt conſpicuæ. Vbi verò in thoracem ob frigus defluxerit bilis exiſtit. Quod ideò ferè contingit, quòd ad guttur facilè defluat, cùm minimè ſit cõtectum. Eos verò qui à frigore bile vexantur laſſitudo eam ob cauſam detinet, quòd carnes bene habitæ minimè quieſcunt,

καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν, ἴσα καὶ ταῦτα. ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις. ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσὶν, ἄλλα τε φλέβια εἰσὶν ἄλλοις. ἀλλ' οὐκ ἄξια λόγου. Μύξα πᾶσιν ἐστὶ φύσει. καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνητά ἐστιν, ὥστε ὀλισθαίνοντα πρὸς ἑωυτά. πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῆ ποιήσασιν. τὸ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον. οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπιῤῥυεῖσα ἀπὸ τῆς σαρκός. ἔπειτα ὥστε πολλὴ λίην νεμομένη, καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς, αἰεὶ ξηραίνεται. καὶ ὥστε πολλὴ ἐοῦσα, καὶ οὐ χωρέοντος τοῦ ἄρθρου ἐκχεῖ, κακῶς τε πεπηγυῖα μετεωρίζει τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται, καὶ ἄδετα ποιέει καὶ διαλελυμένα, καὶ διὰ τοῦτο χωλοὶ γίνονται. καὶ ὅταν μὲν τοῦτο μᾶλλον γένηται, μᾶλλον· ὅταν δὲ ἧσσον, ἧσσον. ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν. ἐκ δὲ τῆς κοιλίης, ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν τεταμέναι εἰσίν. ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ διαθερμαινομένης,[30] καὶ ὑπερφλεγμαινούσης.[31] ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίνονται, ὅταν ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσιν. αὗται φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνουμένης καὶ ἐκθλιψάσης ἐκθλίβουσι τὴν ὑγρότητα· καὶ αἱ σάρκες ἅμα αὗται, ἀντεκθλίβουσιν ἐς μικρὸν ἀφικνούμεναι. καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. ἐντεῦθεν ὅτι ἂν ἐκθλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γινόμεναι διόδους ποιήσωσιν, καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον, λεπτότερον γίνεται· καὶ πᾶν τὸ ὑπεῖκον, ῥεῖ, μάλιστα δὲ ὅταν λίην ὑπερφλεγμαίνῃ, διὰ τόδε ῥεῖ. αἱ σάρκες λίην ἔμπλεαι γινόμεναι ὅτι ἂν μὴ δύνωνται χωρέειν, ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι. ῥεῖ δὲ, ᾗ ἂν τύχῃ. ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοίαι γένωνται, ῥεῖ καὶ τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ' ἂν συμπιεσθῶσιν αἱ δίοδοι τοῦ ῥόου, δι' ἰσχνότητα,[32] ὅταν τὸ σῶμα ξηρανθῇ. ὥστε γὰρ τὸ σῶμα κοινωνέον αὐτὸ ἑωυτῷ διαλαμβάνει καὶ ἄγει, καὶ ὅτι ἂν ὑγρὸν ἐπιτύχῃ, ἐς ἑωυτὸ ξηρόν. ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστιν[33] ὥστε τοῦ σώματος κενοῦ τε καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος· ὅταν δὲ τὰ κάτω, ξηρὰ γένωνται, τὰ δὲ ἄνω, ὑγρά. (μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐστι τεύχεα· αἱ γὰρ φλέβες ἄνω πλέονες εἰσὶν ἢ κάτω, καὶ αἱ σάρκες ἐλάττονες ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ,) ἄγει δὲ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν καὶ ἅμα καὶ δίοδοί εἰσιν τῷ ἄγοντι μᾶλλον, ἢ τῷ ἀγομένῳ· καὶ γὰρ αὗται κερδαίνουσιν ὥστε ξηραὶ ἐοῦσαι· καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν βραχεῖα ἀνάγκη γένηται. ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά. ὁ μὲν κατὰ τὰς ῥῖνας. ὁ δὲ, κατὰ τὰ ὦτα· ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς· οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. ἐπὴν δὲ ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ ψύχεος, χολὴ γίνεται. μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχεος, διὰ τόδε, ὅτι εὔροον γίνεται ἐς τὸν βρόγχον. ὥστε οὐδὲ ξυγκεκλῃμένον. ὑπὸ δὲ τοῦ ψύχεος καὶ κόπος ἔχει. διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους, ὅτι αἱ σάρκες,[34] ὅταν εὐχυμίη ᾖ, οὐκ ἀτρεμίζουσιν ἀλλὰ

ἀλλὰ σείονται, καὶ σειόμεναι μοχθεῦσιν, καὶ κοπιῶσιν, ὥστε σειόμεναι ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν. καὶ ἔμπυοι γίνονται ὅταν ἐς τὸν θώρακα ῥέῃ, καὶ φθισιῶντες. ὅταν δὲ ἐς τὸν μυελὸν ῥόος γένηται, [16] φθίσις ἀδήλη γίνεται. ὅταν δὲ ὄπισθεν ἐς τοὺς σπονδύλους, καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίνεται. καὶ τῷδε δεῖ γινώσκειν. ἢν ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί. καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται καὶ τὸ ἄλλο σῶμα. καὶ οὐκ ἀποπτύει οὐδὲν, οὐδ᾽ ἢν πολὺ ῥέῃ. ὁ δὲ γὰρ ὁ ῥόος διὰ τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν καὶ τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ ἔμπροσθεν ποιεῖ. τὴν δὲ ὄπισθεν ἄρδει σάρκα. καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην, ἢ ἐκτὸς πρὸς τὴν ῥῖνα. διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενωτέρας διαρρήσιας ἔχει. ὥστε δὲ λεπταὶ ἐοῦσαι συμπιλέονται. καὶ ἀκέονται αὐταὶ σφίσιν ἑωυτῇσι. καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς. αἱ δὲ εὐρύτεραί τε εἰσὶν αἱ ἐντὸς, καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι. ὁ δὲ ῥόος, ὥστε ἀφ᾽ ὑψηλοτέρων, [36] καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησιν ὑγρότητος τὰς σάρκας. καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης, διέφθαρται. διεφθαρμένη δὲ αὐτὴ ὑπὸ τῆς συμμίξιος, καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα. ἢν δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι, καὶ νοσηλῷ θάλλουσαι, ὕδρωπος ἔμπλεαι εἰσίν. ἢν δὲ ὀλίγον ῥυῇ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται. ὥστε γὰρ ὀλίγον ἐρρωηκὸς, καὶ πάντοθεν ὠθεύμενον ὑπὸ πάντος κρέσσονος ἐόντος, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. γίνεται δὲ κέδματα καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιῶν γινομένων· ὅταν τὸ μὲν νόσημα τὸ ποιέον ὑγιὲς γένηται, καταληφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος, μήτ᾽ αὖ ἔσω, μήτε ἔξω, ἀλλ᾽ ἐς τὸ δέρμα φῦμα ποιήσῃ, ἐξιὸν φεύγει ἐς τὸ ὑπεῖκον ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα, ἢ ἰσχιάδα ἐποίησεν. ἢν δὲ ᾠδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσιν συμπεπηγότος τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτύνειν ἢ πυριήσει, ἢ φαρμάκῳ, καὶ μὴ ἀποτρέπειν. ἢν γὰρ ἀποτρεφθὲν ἄλλῃ πορεύσηται, πάντη τὸ ῥέεσθαι μείζονα νόσον ποιέοι. ὁπόταν δὲ ἐς τὰ ὦτα ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει. βίῃ γὰρ χωρέει. πόνον δὲ παρέχει, [37] ἔστ᾽ ἂν ἀποσυριγγωθῇ. ἐπὴν δὲ μάθῃ ῥεῖν, οὐκέτι πόνον ποιεῖ. τῷ δὲ ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν φύσει χλιαρὸν ποιήσαντα, [38] διέντα μετώπῳ ἐγχεῖν. καὶ ὄπισθεν σικύην ἐμβάλλειν. ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιόν. καὶ ἢν τὸ δεξιόν, ἐς τὸ σκαιόν. μὴ καταχρῆν δὲ, ἀλλ᾽ ὡς ἂν ἕλκῃ μοῦνον. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύσει ψυχρὰ καὶ φάρμακον πῖσαι, ὅ, τι ἂν κάτω ὑποχώρησιν ποιέῃ. ἄνω δὲ μὴ, ὥσπερ οὐδὲ ὠφελήσει ἐμέειν, καὶ τὰ ἄλλα ψύχειν. καὶ ἀεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ ποιέοντος τρόπου, μεταλλάσσειν. καὶ ἢν μὲν κάκιον ποιέῃ, ἔχου ἐς τὸ ὑπεναντίον. ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μηδὲ προσθεῖναι ἄλλο τι. ἢν δὲ ἐσυριγγωμένον ἤδη ᾖ καὶ πέπυον ῥέῃ ἰχὼρ πολλὺς, καὶ κακὸν ὄζῃ μύσος, [39] τοῦτο ὧδε ποιέειν.

ſed concutiuntur, concuſſæque moleſtia & laſſitudine tentantur, nō ſecus ac ex via concuſſæ. Quinetiam cùm in thoracem fluxio decubuerit, ſuppurati & tabidi fiunt. Cùm verò in medullam fluxio contigerit, tabes cœca oritur. Quòd ſi retrò in vertebras & carnes defluxerit, aqua inter cutem ſuboritur. Inde verò dignoſcas licet, quòd anteriores partes ſiccæ ſint, caput ſcilicet, nares & oculi. Quin & oculorum caligo accedit, & vna cum reliquo corpore ex virore palleſcunt, neque quicquam expuitur, ne ſi multum quidem defluat. Fluxio enim per mediam carnem poſteriore parte delapſa, & ab anteriore auerſa, anteriores partes ſiccas reddit, carnemque in poſteriora irrigat, eamque magis quæ ad interiora eſt, ad ventrem, quàm quæ ad exteriora, ad nares. Eamque ob cauſam corpus exteriore parte magis quàm interiore ſolidum exiſtit, & foramina habet anguſtiora. Quę cùm tenuia ſint, conſtipantur, ipſaque ſibi ipſis medentur, nullaque hac parte fluxio ferri poteſt. Intra autem cùm latiora ſunt, tum intermedia tenuiora habent, fluxio verò cùm ex altioribus delabatur, & tenuia contra ſe obiecta habeat, defluit, & carnes humiditate replet. Quin & humiditas quæ ex cibis eodem defertur, corrumpitur ipſaquè ex commixtione corrupta, & quod cum ea ex capite defluit, corpus nutriunt. Plurimo verò humore carnes nutritæ, & morboſo turgidæ, aqua inter cutem replentur. Quòd ſi parum defluxerit, coxarium morbum & diuturnos articulorum affectus (κέδματα dicuntur) facit, ſi fluere ceſſauerit. Nam cùm exiguum ſit quod affluit, & vndiquaque à potentioribus partibus depulſum, ad articulos ſe recipit. Diuturni quóque articulorum affectus, κέδματα dicti, & coxendicum morbi, iis qui ab eiuſmodi morbis conualuerunt, contingunt, quando quod morbum facit, ſanum euaſerit, in carne verò quid remāſerit, cui cùm neqúe intrò denuò, neque foras exitus pateat, ſed in cute tuberculum creet, in ipſo exitu confugit ad id quod cedere poteſt articulos nimirum, & aut articulorum diuturnos affectus (κέδματα vocant) aut coxendicum morbum parit. Quòd ſi nares intumuerint, & pituita eáque concreta repleantur, ea vbi concreuerit, aut fomentis, aut medicamentis extenuanda, minimeqúe auertenda eſt. Etenim ſi auerſa aliò feratur, omninò fluxio maiorem morbum efficiet. Cùm verò ad aures fluxerit, primùm dolorem exhibet, vi enim fertur. Dolorem autem exhibet, quoad fiſtula contracta fuerit. Vbi autem fluere conſueuerit, non ampliùs infeſtat. At verò ei quem dolor detinet, medicamentum naturâ calidum tepefactum, & Metopio ſubactum infundendum, & retrò cucurbitula admouenda, ad dextram, ſi ſiniſtra auris doluerit, ad ſiniſtram verò, ſi dextra. Nec verò ſcalpello cutis pertundenda, ſed vt trahat tantùm. Quòd ſi per hæc dolor minimè ſedetur, ea quæ naturâ refrigerant, frigida infundito, & medicamētum quòd infra deiectionem moueat propinato. ſupra autem minimè, cùm vomitus nihil conferat, & in reliquo refrigerantibus vtendum. Semperquè modus qui ſanitatem non inducit permutandus eſt. Quòd ſi grauiùs quidem malū reddiderit, cōtrariam viam amplectitor. Sin verò ad ſanitatē vergat, nihil omninò ex his quæ adhibentur auferendum, neq; aliud quicquam adiungēdum aut apponendū. At vbi iam contracta fiſtula fuerit, multaq; ſanies purulēta & graue olens effluxerit, iſtud ita faciendum.

Spongiam sicco quodam medicamento siccandi facultate prædito imbutam, quàm penitissimè in aurem indito, & medicamentum purgans naribus admoueto, vt quod priùs ad nares defluebat, in nares feratur, neque id cùm morbosum existat, ad caput rursus redeat. At verò cùm ad oculos fluxio decubuerit, oculi inflammatione & tumore vexantur. Sic affectus medicamento aut liquido, aut sicco asperso curādus est. Quòd si subitò inflammationem concipiant, nihil omninò illinito, sed vel fortissimo aliquo medicamento quàm maximè infernas partes vrito, vel alio quopiam aluum subducito & attenuato, cautione adhibita ne vomitum prouoces. Quòd si velut lapilli decurrant, medicamentum quod plurimam lachrymam cieat illinito, & reliquum corpus humectum & tumidum reddito, quò oculi humidiores euadant, ac colluantur, vt concretam lachrymam decurrere facias. Cùm autem paulatim in oculos fluxerit, pruritumq; exhibuerit, sic affectum molli medicamento, quod siccare simulque modicam lachrymam ciere possit, illinito, naribusq; medicamentum admoueto, aut singulis diebus, aut tertio quoq; die eodem vtens. Sit autem medicamentum eius generis, quod non ampliùs quàm acetabulum per nares educat, idque paulatim. Quod verò oculis admouetur, siccandi facultate valeat, vti quod oculorum medicamentum resiccarit & obturarit, etiam per nares deducatur. At medicamēta caput purgantia, quæ quidem sunt valentia à toto capite deducunt, quæ verò imbecillia, ab oculis, & inde à vicinis naso partibus. Quòd si muco inter os & carnem subsistente, ex carne & osse in oculos fluxio decumbat, ex eo cognosces, quòd his ex locis defluat. Quod in capite comprimitur, cedit, & vlcera in capite erumpunt, oculiq; illachrymantur, palpebræ non exulcerantur, neq; mordet fluxio, neq; oculorum aciem hebetat, sed æger acutiùs cernit. Siquidem fluxio minimè salsa est, cùm de cerebro nō procedat, verùm mucosa magis. Sic affectus hac ratione curandus est. Caput medicamento non valenti purgandum, & corpus tum cibis, tum medicamentis infra subducentibus attenuandum, quò attenuato corpore fluxus resiccetur, aut per medicamentum naribus admotum diuertatur. Quod si ne sic quidem conualescat, caput ad os vsq; secandum, non sublimibus, neq; transuersis secturis, sed ad os ipsum pertingentibus, & crebris quidem, quò collectus humor citiùs per vlcera effluat, simulq; crebræ suturæ efficiant. vti caro ad os insistat. Eaq; curatio huiusmodi successum est habitura. Sin minùs hæc commodè præparata fuerint, non est elotus oculus, vt ista elotione acutiùs cernere possit, semperq; potiùs ab incumbente humore splendescēs redditur, hominisq; acies extinguitur. Quòd si in ipsius visus humorem purum cruentus aliquis humor inciderit, huic pupilla intus in oculo minimè esse rotunda ob eam causam apparet, quòd in quo cruētum illud inest, visionem nō recepit, huicq; quod cernitur desinit rotundū esse, & ante oculos ei quędam obuersari videntur, nihilq; quicquam, re vera vt est, cernit.

σπογγιὰν δεδευκὼς ξηραίνοντι τινὶ φαρμάκῳ ξηρῷ, πρὸς τὴν ἀκοὴν ὡς πελασάτω προσθεῖναι. καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως τὸ ἐς τὰ ὦτα ῥέοντος, πρόσθεν ἐς τὰς ῥῖνας φέρηται, καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηλὸν ἐόν. ὅταν δὲ ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσιν. τοῦτον χρὴ φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐπιπάσσειν ἰᾶσθαι. ἢν δὲ αὐτίκα φλεγμήνωσιν μὴ ἐγχρίειν μηδέν, [40] ἀλλ' ἢ καῦσαι κάτω τὰ ἰσχυρότατα, ἢ ἄλλῳ τινὶ ἀπισχνῶσαι ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς. ἢν δὲ οἷον λίθοι ὑποβρέχωσι, φάρμακον ἐγχρίειν, ὅ, τι πλεῖστον ἄξει δάκρυον μηδέ. καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γένωνται [41] καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποβρέχῃ ποιέῃς. ὅταν δὲ ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ, [42] καὶ κνησμότητα παρέχῃ, τοῦτον ἐγχρίειν μαλθακῷ, ὅ, τι μήτε ξηραίνει ἅμα καὶ δάκρυον ὀλίγον ἄγει. καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης τῷ αὐτῷ χρώμενος. τοιόνδε ἔστω τὸ φάρμακον, ὅ, τι μὴ πλεῖον ἢ ἐμβάφιον ἀπάξει μέλλει κατὰ τὰς ῥῖνας. ἀπάξει δὲ κατὰ σμικρόν, τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνει, ὡς ὅτι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρῶν καὶ ἀποφράξῃ, καὶ κατὰ τὰς ῥῖνας ἀποτρέπηται. τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρότερα, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὅλης. ἅσσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν. καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. ἢν δὲ ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς ἔλθῃ, τόδε δῆλόν ἐστιν, [43] ὅτι ἐντεῦθεν ῥεῖ τὸ ῥεῦμα· τὸ ἐπὶ τῇ κεφαλῇ φλιβόμενον καὶ ὑπείκει, καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσι, [44] καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσιν, καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ δάκνει, οὐδὲ ἀμβλυώσσειν ποιέει, ἀλλ' ὀξὺ ὁρῶν γίνεται. τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. τοῦτον ὧδε χρὴ ἰᾶσθαι. φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ. καὶ τὸ σῶμα ἰσχναίνειν, καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, ὡς ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, [45] ἢ ἐκτρεφθῇ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ. πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. ἢν δὲ μηδ' οὕτως ὑγιὲς γίνηται, τὴν κεφαλὴν καταταμεῖν ἐς ἂν πρὸς τὸ ὀστέον ἴῃς, μὴ μετεώρους, μηδὲ ἐπικαρσίας τὰς τομὰς ποιέειν. τάμνειν δὲ ἄχρι τούτου, ἄχρις ἂν τοῦ ὀστέου θίγῃς. τάμνειν δὲ πυκνά, ὡς αἱ τὸ συνεστηκὸς ἐξέλθῃ διὰ τῶν ἑλκέων ἀπορρέον. ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι [46] πρόσπασιν ποιέωσιν τῇ σαρκὶ πρὸς τὸ ὀστέον. οὕτως ἰᾶσθαι δεῖ, εἰ τοῦτο τοιάδε ἡ ἀποτελεύτησις γίνεται. ἢν μὴ ταῦτα ἀπετραπῇ εἴη οὐκ ἐκκέκλυσθαι, ὥστε ἐκκλυσθεῖσαν ὀξὺ ὁρᾶν ποιέειν, [47] αἰεὶ δὲ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται, καὶ τὸ ὀξὺ ὁρᾶν τοῦ ἀνθρώπου ἀποσβέννυται. ἢν δὲ ἐς τὴν ὄψιν ἐς τὸ ὑγρὸν καθαρόν, αἱματῶδές τι ἐσέλθῃ ὑγρόν, τούτου ἡ ὄψις ἔνδον ἐμφαίνεται τοῦ ὀφθαλμοῦ, οὐ στρογγύλον ἐὸν διὰ τόδε. ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ ἐμφαίνεται, τοῦτο δὴ χρεῖ πως τὸ φαινόμενον περιφερὲς εἶναι. καὶ προσκινέεσθαι αὐτῷ δοκεῖ πρὸ τῶν ὀφθαλμῶν, καὶ οὐδὲν κατ' ἀλήθειαν ὁρᾷ [48] τοῦτο.

τούτου χρὴ τὰς φλέβας ἀποκαίειν, τὰς πιεζούσας τὴν ὄψιν, αἳ σφύζουσιν αἰεὶ καὶ μεταξὺ τοῦ τε ὠτὸς, καὶ τοῦ κροτάφου πεφύκασι. καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα ὅσα ὑγραίνει προσφέρε. καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυσθῇ, ὃ τὴν νοῦσον παρέχον. ἢν δὲ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισιν χρῆσθαι, καὶ στρυφνοῖσιν. ὡς στυφόμενον τὸ ἕλκος ἐς μικρὸν συνίῃ, καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. ὅταν δὲ ἄρ ἐπίγλημον, δακρύειν τῷ ὀφθαλμῷ ἀρήγει. ὁπόταν δὲ ἐς τὸν θώρακα ῥέῃ καὶ χολὴ ᾖ, τῷδε δῆλόν ἐστιν. ὀδύνη ἔχει ἐς τὴν λαπάρην. καὶ ἐς τὴν κληῗδα τὴν κατὰ τὴν λαπάρην, καὶ πυρετὸς, καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται. καὶ ἀποχρέμπτεται ξυμπεπηγότα. ταύτης τῆς νούσου ἑβδομαῖος ὁ κίνδυνός ἐστιν ἢ ἐναταῖος. Ὁκόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ. τὰ δὲ ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ. αὕτη μὲν περιπλευμονίη ἐστίν. ἡ δὲ ἑτέρη πλευρῖτις. αὗται δὲ γίνονται διὰ τόδε. ὅταν ἐς τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν ἀρτηριῶν, ὁ πλεύμων ἅτε ἀραιὸς ἐὼν καὶ ξηρὸς φύσει, ἕλκει ἐφ' ἑωυτὸν τὸ ὑγρὸν, ὅ τι ἂν δύνηται. καὶ ἐπὴν εἰσρυῇ, μείζων γίνεται, καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μείζων ὁ λοβὸς γινόμενος, ἀμφοτέρων ἔψαυσε τῶν πλευρέων, καὶ περιπλευμονίην ἐποίησεν. ὅταν δὲ τῆς ἑτέρης μούνου, πλευρῖτις ᾖ. ἡ περιπλευμονίη πολὺ ἐπικινδυνωτέρη ἐστὶ, καὶ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσιν αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῗδας. καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη. καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος, καὶ κόπος ἔχει ἰσχυρὸς, καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. τοῦτον ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει καὶ ἀποπνίγεται, ἢ ἀμφότερα. ἢν δὲ ἐναταῖον δύο ἡμέρας διαλιπὼν λάζηται ὡς τὰ πολλὰ, καὶ οὗτος ἢ ἀποθνήσκει, ἢ ἔμπυος διαφεύγει. ἢν δὲ δωδεκαταῖον, ἔμπυος γίνεται. ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται. καὶ ἔμπυοι ὅσοι ὑπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, οὐκ ἀποθνήσκουσιν, ἀλλ' ὑγιέες γίνονται. ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσι γίνηται. ἀλλὰ τῇσι μὲν χολῇσι, πολὺ ἀποῤῥεῖ, καὶ ἀποῤῥυὲν παύεται. τοῖσι δὲ ἐμπύοισιν ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται. καὶ ἔμπυοι γίνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιῤῥεῖ ἐς τὸν πλεύμονα. τοῦτο γὰρ τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιῤῥέον, πύον γίνεται. τὸ δὲ πύον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ θώρακι, ἑλκοῖ καὶ σήπει. καὶ ἐπὴν ἑλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιῤῥεῖ, καὶ ἐπαναχρεμπτομένου. ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη, ἅμα δὲ ἐκ τοῦ ἡλκωμένου ἐν τῷ θώρακι καὶ τῷ πλεύμονι μᾶλλον ῥεῖ. καὶ τὰ ἕλκεα κινεύμενα ἐπαναῤῥήγνυται. ὥστε καὶ εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ' αὐτέων τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρέχειν. γίνεται δὲ καὶ ἀπὸ ἕλκεος ἔμπυος καὶ ῥάων αὕτη ἡ νοῦσος. γίνεται δὲ καὶ ἐκτὸς τοῦ πλεύμονος, μάλιστα μὲν ἀπὸ ῥήγματος, καὶ ὅταν ἡ σὰρξ φλασθῇ. κατὰ τοῦτο γὰρ πύον ξυνίσταται, καὶ συνιστάμενον εἴ τις σείῃ τὸ σῶμα, κλυδάζεται, καὶ ψόφον παρέχει. καὶ

Huic venas adurito, quæ videndi aciem premunt, quæque semper pulsant, & inter aurem & tempora à naturâ sitæ sunt, easque vbi occluseris, medicamenta quæ humectant oculis adhibeto, lachrymamque quamplurimam educito, vti quod in oculis consistit & morbum facit, colluatur. Quòd si rumpatur oculus, mollibus & acerbis medicamentis vtendum, vt constrictum vlcus in angustum redigatur, cicatrixque tenuis fiat. Cùm verò albugo fuerit, lachrymæ oculo conferunt. At cùm in thoracem fluxio decubuerit, bilisque fuerit, quod hinc manifestum est, dolor lateris mollitudinem prehendit, & clauiculam quæ ei è regione respondet, febris adest, linguaque superiore parte ex viridi pallescit, & concreta excreantur. In hoc morbo periculum septimo aut nono die instat. Vbi vtraque latera doluerint, reliquaque similiter vt in priore se habuerint, hæc quidem pulmonis inflammatio est, illa verò pleuritis: eamque ob causam oriuntur. Cùm de capite per guttur & arterias asperas in pulmonem fluxio incubuerit, is nimirum sua naturâ rarus & siccus cùm existat, quicquid humoris potest in se attrahit, & vbi influxerit maior redditur, & si quidem in totum fluxerit, fibræ maiores redditæ vtrunque latus attingunt, pulmonisq; inflammationem faciunt; cùm verò alterum tantùm, lateralis fit morbus, pleuritis dictus. Pulmonis inflammatio longè periculi plenior est, & dolores ad laterum mollitudinem & clauiculas multò vehementiores habet, linguáque longè est pallidior, fauces ex fluxione dolor occupat, vehemens lassitudo detinet & spirandi difficultas sexto aut septimo die prehendit. Hunc nisi febris septimo die dimiserit, moritur aut suffocatur, aut vtrunque contingit. Quòd si nono die, duobus interpositis diebus corripiat, hic etiam vt plurimùm aut moritur, aut suppuratus euadit. Si verò duodecimo die, suppuratus fit; si decimoquarto, conualescit. Et qui ex pulmonis inflammatione, aut morbo laterali pus intrò colligunt, minimè moriuntur, sed conualescunt. Purulenti verò, vt plurimùm, fiunt, cùm fluxio ad eundem locum, velut in bilis fluxionibus, decubuerit: sed in bilis quidem fluxionibus multum defluit, & vbi defluxit, sedatur, purulentis verò, tum minùs defluit, tum minimè sedatur. Purulenti quinetiam fiunt, cùm minùs excreant, quàm ad pulmonem defluat. Quod enim in pulmone colligitur & defluit, in pus vertitur. Pus autem in pulmone & thorace collectum, vlcerat & putrefacit. Et vbi vlcus exiccatum fuerit, ab vlcerata parte, & ab eo quod per sputum repurgatur defluit. Ac simul quidem caput concussum magis fluit, simúlque ex vlcerato thorace & pulmone magis fluit, & vlcera motu ipso resiccantur, vt etiamsi quod à capite defluit, cesset, id tamẽ quod ab ipsis vlceribus procedit, ad morbum faciendum satis esse possit. Fit etiam ab vlcere purulentus, & leuior hic morbus est. Fit verò etiam extra pulmonem, potissimùm quidem ex rupto, & vbi caro contussa fuerit, circa quàm pus colligitur, collectúmque, si quis corpus concutiat, fluctuat, & strepitum facit. Et hæc

quidem inustione curantur. At verò tabes fit, cùm ad eundem locum, velut in purulento, fluxio fertur, per guttur & asperas arterias aortas appellatas, quæ pulmonem & guttur coniungunt. Defluit autem in pulmonem sensim assiduè, nec copiosam in pulmone humiditatem facit. Dum enim resiccatur quod defluit in gutture concrescens, nimirum cùm non eluitur, sed sensim influit ac detinetur, tussim inducit, & in asperis arteriis (aortis dictis) detentum quod influit, cùm hæ angusta foramina habeant, angustiam spiritui exhibet, eamque spirandi difficultatem facit, vt ea velut deficiente, semper respirare desideret. Quinetiam in pulmone, cùm non admodum humidus existat, pruritus exoritur. Cùm verò multum ex capite defluxerit, pruritus in pulmone non fit, cùm si quidem copiosum sit quod in ipsum defluit, & suppurati ex tabidis huiusmodi fiunt, vbi humidius corpus redditum fuerit, contráque vbi siccius, ex suppuratis tabidi. Suppuratos hac ratione dignoscas. Lateris mollitudinem ab initio dolor detinet, vbi verò iam pus collectum est, & dolor similiter vexat, cùm tussis suboritur, tum pus exscreatur, & difficultas spirandi occupat. Quòd si nondum pus eruperit, in lateris mollitudine concussum, velut in vtre strepitum edit. At si horum nihil adfuerit, suppuratio tamen adsit, ex his signis coniecturam facias. Magna spirandi difficultas adest, subraucum loquitur, pedes & genua intumescunt, magis verò ex ea lateris mollitudine in qua pus inest, thorax incuruatur, & membrorum solutio oritur, sudore etiam totum corpus perfunditur, interdum quidem sibi calidus, interdum etiam frigidus videtur, vngues circumtenduntur, & venter incalescit. Atque ex his suppurati dignoscendi sunt. Cùm verò posteriore ex parte fluxio in spinam decubuerit, huic tabes eiusmodi suboritur. Lumbos dolor occupat, & anteriores capitis partes ipsi vacuæ videntur. At verò bilis hoc modo periculi plena est, si in oculis regius morbus oboriatur, in vnguibus liuores suborti fuerint, corpus vlcera habeat, partésque circa vlcera liuidæ fuerint, cùm sudor non toto corpore, sed aliqua tantùm corporis parte erumpit, & cùm febre remanente ex pallido virescens exscreatur, aut si exscreatio cesset, cùm adhuc in pulmone remanet ex pallido virescens. Quod ipsum contineatur nécne dignoscendum. Cùm remanet, in faucibus respirantis strepitum edit, difficultas spirandi periculi plena adest, & singultus febrisq; discedit exscreatione adhuc in pulmone existente, & debili iam ægro aluus secedit. Ista sunt pulmonum inflammationis & lateralis morbi periculosa indicia. Lateralis morbi hæc instituenda curatio est. Febrem per septem dies ne sedato, potione verò aut aceto mulso, aut aceto & aqua vtendum, eaque quàm plurima offerenda, vt quæ inde contingit madefactio, exscreationem faciat. Dolor medicamentis calefacientibus sedandus, & sorbitione exhibendum quicquid exscreationem mouere possit. Balneis etiam quarto die vtendum, quinto autem & sexto oleo illinendum. Septimo lauandum, nisi febris dimiserit, vti ex balneo sudor oboriatur.

κάμνονται ταῦτα. φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτὸ, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος γίνηται διὰ τοῦ βρόγχου[54] καὶ τῶν ἀορτέων αἳ ξυνέχουσι τὸν πλεύμονα καὶ τὸν βρόγχον. ἐς δὲ τὸν πλεύμονα ῥέει θαμινὰ κατ' ὀλίγον,[55] καὶ ὑγρότητα ἐν τῷ πλεύμονι μὴ ποιεῖ πολλήν. ξηραινόμενον γὰρ τὸ ἐπιρρέον ἐν τῷ βρόγχῳ πεπηγὸς, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ' ὀλίγον ἐπιρρέον[56] καὶ ἐνεχόμενον, βῆχα ποιεῖ.[57] ἔν τε τῇσιν ἀορτῇσιν ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς διατρήσιας ἐχούσας τὰς ἀορτὰς, στενοχωρίην τῷ πνεύματι παρέχει,[58] καὶ τοῦτο ποιεῖ πνεῦμα ἔχειν. ὥστε γὰρ ἀναλιπόμενον ἀεὶ ἐπιθυμεῖ ἀναπνεῖν καὶ ἐν τῷ πλεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς ἐγγίνεται. ὅταν δὲ πολὺ ἀπόρροη τῆς κεφαλῆς, οὔτ' ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται. πολὺ γὰρ αὐτέῳ τὸ ἐπιρρέον ἐστὶ, καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ σῶμα γένηται. καὶ ὅταν ξηρότερον γένηται, ἐκ τῶν ἐμπύων φθισιῶντες. ἔμπυοι τῷδε δῆλοι γίνονται. τὴν λαπάρην ἀρχομένων πόνος ἔχει. ἐπὴν δὲ πῦον ξυνεστήκει ἤδη, ὅτε πόνος ὁμοίως ἔχῃ, βήξ τε γίνεται, καὶ ἐπαναχρέμπτεται πῦον, καὶ πνεῦμα ἔχει. ἢν δὲ μή πω ἐρρώγῃ ἐν τῇ λαπάρῃ, σείεται καὶ ψοφεῖ οἷον ἐν ἀσκῷ.[59] ἢν δὲ τούτων μηδὲν παρεσείη, ἔμπυος δὲ ᾖ, τοισίδε χρὴ τεκμαίρεσθαι. πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε ὑποβραγχότερον. καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα. μᾶλλον δὲ κατὰ τὴν λαπάρην ἐν ᾗ τὸ πῦον ἐστί. καὶ ὁ κίθαρος συγκεκαμμένος ἐστί. καὶ λιπογυῖα γίνεται καὶ ἱδρὼς περιχεῖται ὅλον τὸ σῶμα. καὶ ποτὲ μὲν δοκεῖ θερμὸς αὐτὸς ἑωϋτῷ εἶναι, ποτὲ δὲ, ψυχρός. καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσί. καὶ ἡ κοιλίη θερμὴ γίνεται. τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους. ὅταν δὲ ὄπισθεν ῥεύσῃ ἐς τὴν ῥάχιν φθίσις γίνεται τούτῳ τοιάδε. τὴν ὀσφὺν ἀλγέει καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι. χολὴ δέ. τάδε ἐστὶν ἐπικίνδυνα. ἴκτερος ἢν ἐπιγένηται ἐν τοῖσιν ὀφθαλμοῖσιν, καὶ ἐν τοῖσιν ὄνυξιν πελιδνὰ ὅταν γίνωνται. καὶ ἐς τὸ σῶμα ὅταν ἔχῃ ἕλκεα, καὶ τὰ περὶ τὰ ἕλκεα, πελιδνὰ ᾖ. καὶ ὁ ἱδρὼς ὁκόταν μὴ κατ' ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ' ἓν μέρος τοῦ σώματος. καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ἐόντος ἐπαναχρέμπτηται χλωρόν. ἢ ἐνεόντος ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ, ἡ ἐπανάχρεμψις παύσηται.[60] τοῦτο δὲ δεῖ γινώσκειν ὅταν ἐνῇ καὶ ὅταν μὴ ἐνῇ. ὅταν ἐνῇ ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος, καὶ πνεῦμα ἐπικίνδυνον[61] καὶ λὺξ, καὶ ὁ πυρετὸς ἀπιὼν, ἀποχρέμματος ἔτι ἐν τῷ πλεύμονι ἐόντος. καὶ ἡ κοιλίη ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα. ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα. πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι. τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων. ποτῷ δὲ χρῆσθαι, ἢ ὀξυμελικρήτῳ, ἢ ὄξει, καὶ ὕδατι. ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπίτεγξις γίνηται καὶ γινομένη ἐπανάχρεμψιν ποιέῃ. καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισι, καὶ καταρροφεῖν διδόναι, ὅ, τι ἐπανάχρεμψιν ποιήσει. καὶ λουτροῖσι χρῆσθαι τεταρταίοισιν. τῇ δὲ πέμπτῃ καὶ τῇ ἕκτῃ χρίειν ἐλαίῳ. τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐγγένηται.

καὶ ἔτι

καὶ ἐπὶ τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοις, ὡς τὴν ἑβδόμην ὅτι ῥᾷστα ἡμέρην ἀγάγῃ. ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐνάτῃ παύσεται, ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γίγνηται. [62] ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ, ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφέρειν. [63] ἢν δὲ ἰσθμὸς ἐγγίγνηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ σώματος ἐόντος, τὸ ποτὸν ἀφαιρέειν. ἢν δὲ τοῦ πυρετοῦ ἀφίκηται, πυρίνοις τοῖς ῥοφήμασι χρέω. καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ. τοὺς ἐμπύους καθαίρειν τὴν κεφαλὴν, μὴ ἰσχυροῖσι φαρμάκοισιν, 10 ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας, καὶ ἅμα διαχωρητικοῖσι σιτίοισι χρῆσθαι. καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ' ἐκτρέπηται ὁ ῥόος ἐπαναχρέμψιν ποιέεσθαι. καὶ βῆχα ποιέειν. [64] καὶ ἐγχύτοισι φαρμάκοισιν χρῆσθαι. καὶ σιτίοισιν ἅμα. ὁπόταν δὲ δεῖ ἀπόχρεμψιν ποιέεσθαι, καὶ πλέοσι σιτίοισι καὶ γλυκέσι χρῆσθαι καὶ λιπαροῖσι. καὶ οἴνῳ αὐστηρῷ. καὶ βῆχα ποιέειν ὅταν ὧδε ἔχῃ. καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἄλλα, πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα. καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία, καὶ τῷ οἴνῳ ὑδαρεῖ χρέω ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ, 20 καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ, καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ θερμαλῆ ποιέωσιν ῥεῦμα πουλύ. ὁπόταν διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεῦσιν [65] ἡ στάσις γὰρ κάτω. ἔστι δ' ὅτε καὶ ἄνω. τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ. [66] ἔπειτα φαρμάκῳ ἰσχυροτέρῳ χρῆσθαι. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν ἕως ἂν ἡ ὀδύνη ἔχῃ. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, καὶ τοῖσι σιτίοισιν ἰσχυρείοισι χρῆσθαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας ἡ στάσις ἔχῃ, ἰᾶσθαι. ἢν δὲ ἀσθενὴς ᾖ καὶ μὴ δύνηται 30 προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης. ἔπειτα ἐπὴν τούτῳ καθήρῃς, [67] τῶν στυφόντων τινί. ὁπότε δ' ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεύσαντα ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι. καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάραις τρισί. καὶ ἐπὴν καύσῃς, ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλάς. καὶ ἐπὴν ἀποφράξῃς πρὸς τὰς ῥῖνας φάρμακον προσφέρε, ὡς ἐκτρέπηται [68] καὶ ἀσθενὲς αὖθις, ἕως ἂν ἀποτραφθῇ. καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς, θέρμαινε· τὰ δ' ὄπισθεν, ψῦχε. καὶ ἐπὴν σοι ἐκτεθερμασμένος ᾖ τὰ 40 ἔμπροσθεν τῆς κεφαλῆς, [69] σιτία ἐσθίειν τὰ φλεγματωδέστατα, καὶ ἥκιστα διαχωρητικὰ, ὡς ὅτι μάλιστα διευρυνθῶσιν αἱ ῥοιαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς. ἔπειτα δ' ἐπὴν ἀποφράξῃς καὶ ἀποτρέψῃς τὴν ἐπίρρησιν, ἤν τι πρὶν ἢ εὐτρεπίζειν τὸ ῥεῦμα. ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι. ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριῶντα. ἢν δ' ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, [70] φάρμακον πιπίσκοντα. ἢν δ' ἐπ' ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν. ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτην ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε 50 ἄλλῃ ὅπῃ τοῦ σώματος ἔξοδοί εἰσιν. ὁπόταν ἰσχιὰς ἀπὸ ῥόου γίγνηται, σικύην χρὴ προσβάλλειν, καὶ ἕλκειν ἔξω, καὶ μὴ καταχρίειν,

Quinto insuper & sextò validissimis vtendum exscreationē promouentibus medicamentis, quò quàm facillimè septimum transigat diem. Quòd si neq; septimo die desierit, nono desinet, nisi aliud quiddam periculum contingat. At vbi febris dimiserit, sorbitiones quàm debilissimæ offerãtur. Si verò vacuatio oboriatur, si quidem corpus adhuc iuuenile existat, potum subducito. Quòd si febris decesserit, triticeis sorbitionibus vtitor. Eodemq; modo pulmonis inflammationem curato. Suppuratis caput minimè validis medicamentis purgandum, sed sensim ad nares auertendum, cibisq; ventrem subducentibus vtendum. Et vbi morbi principium non ampliùs fuerit, sed fluxus diuertitur, exscreatio promouenda, & tussis excitanda, & tum medicamentis quæ infunduntur, tum cibis vtendum. Cùm autem exscreatio mouenda est, pluribus etiam cibis, tum salsis, tum pinguibus, vinoque austero vtendum, & cùm hoc modo habuerit, tussis excitanda. Tabidos quinetiam quo ad reliqua curabis ad eundem modum, præter quàm quòd cibaria nō multa simul exhibenda, neq; opsonia plura quàm cibaria, & vino diluto inter cibos, ne calefaciat, vtendum, & in corpore debili calorem exhibeat, & vtraq; simul eodem tempore calefaciant, & calore multam fluxionem inducãt. Vbi per gulam in ventrem fluxio decubuerit, infra accumulatio interdumq; supra fit. Huic quidem si dolor in ventre adfuerit, is primùm medicamento aut succo subducendus, deinde medicamento valentiore vtendum, cibis verò aluum subducentibus, quamdiu dolor detinuerit. At vbi dolor sedatus fuerit, cibis roborantibus vtendum. Ad eundem verò modū etiam vbi per multos dies accumulatio detinuerit curato. Quòd si imbecillus fuerit, & præ imbecillitate ista offerri nequeant, primùm quidem ptisanę succo aluus per infusum eluenda, deinde vbi per hunc purgaris, adstringente aliquo vtendum. Cùm autem in carnem posteriore parte iuxta vertebras illapsa fluxio aquam inter cutem excitarit, hunc in modum curato. Ceruicis carnem, quæ in medio est venarum, tribus crustis inurito, inustum cōstringito, & quàm tenuissimas cicatrices facito. Et vbi viam intercluseris, medicamentum ad nares admoueto, vt eò diuertatur, & imbecillum rursus, donec aliò auertatur, ac anteriores quidem capitis partes calefacito, posteriores verò refrigerato. Et postquam partibus capitis anterioribus excalfactus tibi videbitur, cibos edat qui corpus maxime tumefaciunt, & minimè ventrem subducunt, quò fluxionis meatus anteriore capitis parte quàm maximè dilatentur. Posteaquàm verò viam intercluseris, & id quod affluit auerteris, si quid, priùs quàm fluxionem ad curationem accommodaris, ad corpus peruenerit, hoc modo curare oportet. Si quidem ad cutem magis processerit, externis partibus fomentum adhibendo, si verò intrò ad ventrem, neque foris conspicuum sit, medicamentum propinando, sin vtramque in partem, vtrimque detrahendo. Diligentia autē adhibenda est, vt quàm proximū exitum facias, siue supra, siue infra, siue alia quauis corporis parte exitus detur. Cùm coxendicū morbus ex fluxione oritur, cucurbitula admota foras attrahere oportet, neq; cutem scalpello pertundere,

& calefacientia propinando intus calefacere, vt exitus pateat tũ extra ad cutem per cucurbitulæ tractionem, tum intra ad ventrem, per caliditatem. Vbi nanque fluxioni via interclusa fuerit, neque habuerit quò procedat, via ad articulos facta, in id quod cedit defluit, & coxendicum morbum inducit, aut posteriorum partium tabem. Sic affecto caput medicamento imbecillo purgandum, donec aliò auertatur fluxio, & victus ratione, velut antea, vtendum. Medicamentum autem potui exhibeto deorsum purgans, & aluum inferiorem lacte infuso subluito, cætera fomentis curato. Cùm lien ex febre tumidus extiterit, quod fit cùm corpus extenuatur. Ex iisdem enim & lien augescit, & corpus contabescit. Cùm autem corpus extenuatur, & lien turgescit, vnà etiam cum corpore omentum extenuatum fuerit, eius pinguedo colliquescit. Vbi verò partes istæ pinguedine vacuæ fuerint, & ex liene turgescente in omentum defluxerit, quod cùm nimirum valde vicinum existat, & vasa vacua habeat, id excipit, atque vbi semel in corpore morbus exortus fuerit, ad id quod morbosum est vertitur, nisi quis rectè tractet, vt etiamsi bene tractetur, periculo non careat. Hunc sic curato. Medicamenta per quæ aqua purgetur potui exhibenda, & cibi maximè tumefacientes offerendi. Quòd si ne sic quidem leuiùs habeat, quàm tenuissimis & leuissimis crustis, quò aquam emittere possis, in vmbilici ambitu inurito, & supra vmbilicum vnam, singulisque diebus emittito. Cúmque morbus inter alios maximè periculi plenus sit, in his periclitari oportet. Nam si quidem successerit, sanum reddes, sin verò frustratus fueris, nihil grauius quàm quod euenturum erat perpetietur. At in puero aquã inter cutem sic curato. Tumidas & aquæ plenas partes gladiolo aperito, crebroq; ac parum, & à singulis corporis partibus educito, fomentisque vtitor, & semper quod apertum est calefaciente medicamento illinito. Lateralis morbus siccus citra fluxionem oritur, cùm ex vehementi siti pulmo admodum resiccatus fuerit. Pulmo enim cùm siccus existat, vbi ampliùs quàm pro natura resiccatus fuerit, gracilis euadit, & impotẽs redditus, ad latus præ impotentia inclinatur, ipsumq; contingit, eoque contacto, cùm humidũ existat, ei adhæreſcit, & morbum lateralem facit. Tunc verò dolor ad latus & iugulum oboritur, & febris, & album exſcreat. Hic multis potionibus curandus est & lauandus, eiq; medicamentum quod dolorem sedet exhibendũ, aliaq; quæ exſcreationem faciũt. Hic intra septimum diem conualescit, neq; morbus periculosus est, neq; cibos exhibere oportet. At verò febres hanc ob causam oriuntur. Cùm corpore tumidiore reddito carnes intumuerint, pituita bilisq; conclusę conquieuerint, nihilque refrigeretur, neq; exeat, neq; moueatur, neque aliud quid subeat. Cùm lassitudo febris & plenitudo detinuerit, multa aqua lauandum, & liquido illinendum, & quàm maximè calefaciendũ, quò calor aperto per sudorem corpore exeat, hæcq; consequenter tribus aut quatuor diebus facienda. Quòd si non sedetur, medicamentum quod bilem educat propinato, & febrem perfrigerato, priùs quàm ad quartanã deueniat.

καὶ ἔνδοθεν θερμαντήρια φάρμακα πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἐντὸς παρὰ ἐς τὴν κοιλίην ὑπὸ τῆς θερμασίης. ὁπόταν γὰρ ἀποφραχθῇ, καὶ μὴ ἔχῃ ὅπῃ ὁδοιπορέῃ, ὁδοιπορέουσα ἐς τὰ ἄρθρα ῥεῖ ἐς τὸ ὑπεῖκον, καὶ ἰσχιάδα ποιεῖ[72] ἢ ὄπισθεν φθίσιν. τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν ἀποτραφῇ ὁ ῥόος. καὶ τῇ διαίτῃ, ὥσπερ ἔμπροσθεν χρῆσθαι.[72] φάρμακον δὲ πίσον ἐλατήριον, καὶ κάτω γάλακτι κλύζειν. τὰ δὲ ἄλλα 10 πυρίῃσιν ἰᾶσθαι. ἐπὴν ὁ σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται. γίνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ. τοῖσι γὰρ αὐτοῖσιν ὅ, τε σπλὴν θάλλει[73] καὶ τὸ σῶμα φθίνει. ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ καὶ ὁ σπλὴν θάλλῃ καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ ἐκτήκεται. ἐπὴν δὲ ταῦτα κενὰ πιμελῆς γένηται, καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀπορρέει ἐς τὸ ἐπίπλοον, ὡς ἐγγυτάτω ἰὸν τὸ ἐπίπλοον, ὥστε τὰ ἄγγεα ἔχον,[74] καὶ ταῦτα κενεὰ ἐσδέχεται. καὶ ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, ἐς τὸ νοσέον τρέπεται, ἢν μή τις εὖ θεραπεύῃ. ὡς[75] καὶ τὸ εὖ θεραπευόμενον 20 ἐπὶ κινδύνου. τοῦτον ὧδε ἰᾶσθαι. φάρμακα πιπίσκειν ὑφ' ὧν ὕδωρ καθαίρεται καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι. ἢν δὲ μὴ δὲ οὕτω ῥᾴων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιότατα,[76] ὅπως τὸ ὕδωρ ἐξιέναι δύνηται περιξ τὸν ὀμφαλοῦ κύκλον καὶ ἐς τὸν ὀμφαλὸν μίαν, καὶ ἀφιέναι ἑκάστης ἡμέρης. τῶν νοσημάτων, ὅ, τι ἂν ἐπικινδυνότατον ἐστιν, ἐν τούτοισι παρακινδυνεύειν χρή. ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις. ἀτυχήσας δὲ ὅπερ καὶ ὡς ἔμελλε γίνεσθαι, τοῦτ' ἔπαθε. παιδίον δὲ χρὴ ὑδρωπιῶν ὧδε ἰᾶσθαι. τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα ἐξοίγειν μα- 30 χαιρίῳ,[77] πυκνὰ καὶ σμικρὰ ἐξοίγοντα. ἐξοίγειν δὲ ἐν μέρει ἑκάστῳ τοῦ σώματος. καὶ πυρίῃσι χρήσασθαι. καὶ ἀεὶ τὸ ἐξοιγόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ. πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται ὅταν ὁ πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης. ὁ γὰρ πλεύμων, ἅτε ξηρὸς ἐών, ἐπὴν τι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίνεται καὶ ἀκρατὴς γενόμενος[78] καὶ κλιθεὶς ἐς τὸ πλευρὸν ὑπὸ ἀκρασίης, ψαύει τοῦ πλευροῦ. καὶ ἐπὴν θίγῃ ὑγροῦ ἐόντος ἅπτεται, καὶ πλευρῖτιν ποιεῖ. τότε δὲ καὶ ὀδύνη γίνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληῖδα. καὶ πυρετός. καὶ ἔπτυσμα χρέμπτεται λευ- 40 κόν. τοῦτον χρὴ πολλοῖσι ποτοῖσιν ἰᾶσθαι. καὶ λούειν. καὶ τῆς ὀδύνης φάρμακον διδόναι. καὶ τἄλλα τὰ ἀναχρέμψιν ποιεῦντα. οὗτος ἐν ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται. καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστιν. καὶ σιτία οὐ χρὴ διδόναι. πυρετοὶ δὲ ἀπὸ τοῦδε γίνονται ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος αἱ σάρκες ἀνοιδήσωσιν καὶ τὸ φλέγμα καὶ χολὴ κατακλεισθέντα ἀτρεμίζωσι. καὶ μὴ ἀναψύχηται μηδὲν μήτ' ἐξιόν, μήτε κινεύμενον, μήτ' ἄλλου ὑπιόντος. ὁπόταν κόπος ἔχῃ καὶ πυρετὸς καὶ πλησμονή, λούειν χρὴ πολλῷ. καὶ χρίειν ὑγρῷ. καὶ θερμαίνειν ὡς μάλιστα,[79] ὡς ἡ θέρμη ἀνοιχθέντος τοῦ σώματος ὑπὸ τοῦ ἱδρῶτος ἐξέλθῃ. ἑξῆς δὲ ταῦτα ποιεῖν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας. καὶ ἢν μὴ παύηται, φάρμακον πίσαι χολαγωγόν. καὶ ψύχειν τὸν πυρετόν, πρὶν ἢ τεταρταῖος γένηται.[80]

[80] μηδὲ ὡς ἂν τὸ σῶμα θάλλῃ πιπίσκειν φάρμακον. οὐ γὰρ κρίνονται εἰ μὴ σμικρὸν, ὥστε συνοιδέοντος τοῦ σώματος. ἐπὴν δὲ ἰσχνὸς ᾖ, πιπίσκειν, [81] καὶ ἢν ὠνήσεται πυρετῷ. σιτίον μὴ προσφέρειν, μηδὲ ῥοφήμασιν ὑπεξάγειν. καὶ πιὼν ὕδωρ θερμὸν καὶ μελίκρατον, καὶ ὄξος σὺν ὕδατι. ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα. [82] ἢν γὰρ μὴ ψυχρὸν ἐσίῃ τὸ ποτὸν θερμὸν ἐὸν, καὶ μένον, ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαιρέει, ἤν τε διουρήσῃ, ἤν τε διιδρώσῃ. πάντη δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον, καὶ κινεύμενον τὸ σῶμα συμφέρον ποιήσει. ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρετὸς ἔχει. καὶ ἢν μὴ παύηται τρέφειν, καὶ φλεγμαίνειν ποιέειν, καὶ ἢν μηδὲ οὕτω ξυμφέρῃ, δῆλον ὅτι οὐκ ἐχρῆν τὸν πυρετὸν παρέχειν. τοῦτον χρὴ φάρμακον πίσαι, ὡς ὑπεξάγῃ, ὅπῃ ἂν μᾶλλον ὁ πυρετὸς ἔχῃ, ἤν τε κάτω, ἤν τε ἄνω. ἢν μὲν ἄνω, ἄνω. ἢν δὲ κάτω, κάτω. οὐδὲν δὲ ἧσσον δεῖ τοὺς ἀσθενέοντας τῶν ἰσχυρῶν φαρμάκων πιπίσκειν. ἀλλ᾽ ὁμοίως ἢ μοῦνον οὕτω. τοῖσι μὲν ἰσχυροῖς, ἰσχυρόν. τοῖσι δὲ ἀσθενέσιν, ἀσθενές. τὰς δὲ πυρώσιας ποτοῖσι καὶ ῥοφήμασιν, ὥσπερ τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν, [83] καμμάρῳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ. καὶ [84] ἐπὴν ναυτιῷτο ὑπὸ τῷ ψυκτηρίῳ, θερμαντηρίοισι χρέω ἑξῆς. ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι. ἴκτερον ὧδε χρὴ ἰᾶσθαι. ἐπὴν παραλάβῃς τρέφε καὶ λουτροῖσι καὶ πιαντηρίοισι. καὶ ποτοῖσι καὶ σιτίοισι καθυγραίνειν τρεῖς ἢ τέσσαρας ἡμέρας. ἐπὴν δὲ ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα. λιπαρά τε ἐξαίφνης ἐξαρύσαι. πάντη τε προσφέρων φάρμακον, εἰ δυνατὸν ἡ ὑγρότητα ἐξάγειν. πρὸς δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ. καὶ οὐρητικὰ πιπίσκειν. καὶ πρὸ τῶν σιτίων τοῦτον τὸν χρόνον ἢν καθαίρῃς τὴν τεταραγμένην ὑγρότητα, [85] κατὰ ποτὸν δίδου, ὡς μὴ τρέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα. ὅταν δὲ ἰσχναίνηται καὶ λουτροῖσι καθαίρειν. τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε. χολαγωγὰ δὲ φάρμακα μὴ πιπίσκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτον. ἐπὴν δὲ ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ, μηδὲ διουρητικῷ, [86] ἀλλ᾽ οἴνῳ οἰνώδει καὶ ἅσσα ἐρυθρότερον ποιέει τὸν ἄνθρωπον τούτοισιν. ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρύσαι, ξηραίνειν δὲ μηδαμῶς, ὡς μὴ παγῇ χλωρὸς ἐών. [87] θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε. ἐπὴν φλεγμήνῃ ἡ σὰρξ ἡ πέριξ, [88] καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσι τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρὸν, καὶ ἐπὶ τοῦ ἕλκεος ἐξηρασμένος ἐπῇ ἰχὼρ, ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ, ξυνεστηκὼς ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος ἀπορρέων, κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος ὑπὸ τοῦ ἕλκεος πρὸς τὴν σάρκα. ἡ δὲ σὰρξ ὑποδέχεται, ὥστε μετέωρος ἐοῦσα ὑπὸ φλεγμασίης. [89] καὶ ὅταν ἀφίκηται ὁ ἰχὼρ ὑπορρέων σήπει καὶ μετεωρίζει. τοῦτον φαρμάκοισιν ὑγραίνοντας αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα. καὶ τὰ καταρρέοντα τοῦ ἕλκεος ψυχροῖσι φαρμάκοισιν, [90] ὡς χειμοῦσα συμπέληται ἡ σὰρξ, καὶ μὴ διαρραγεῖσα ἀντεπιρρέῃ. καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι περιχρίειν, καὶ ἐπ᾽ αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι.

Neque tamen dum corpus turgescit medicamentum potui exhibendum. Non enim iudicationem nisi paruam subeunt, nimirum corpore intumescente. Cùm autem gracilis fuerit, propinandum, & expurgabitur. In febre cibus minimè offerendus, neque sorbitionibus aluus subducenda. In potu exhibenda calida, aqua mulsa, & acetum cum aqua, eáque quàm plurima propinanda. Potus enim minimè frigidus in corpus ingestus, cùm calidus existat & maneat, ex ægro corpore detrahit, siue vrinas deducat, siue sudorem eliciat. Vndique enim apertum corpus & respirans ac motum, quod conducat faciet. Quòd si gracilem febris vrat, manifestum quòd non ob corporis tumorem febris detinet, ac si nõ cesset, nutrire & tumidum reddere oportet. Quòd si ne sic quidem conducat, manifestum non oportuisse per oblatos cibos febrem inducere. Huic medicamentum propinandum quod educat qua parte magis febris detinet, siue superiore, siue inferiore. Et si superiore quidem, supra, si inferiore, infra. Nihilo verò minùs etiam debilibus medicamenta valentia sunt propinanda, sed similiter, aut hoc modo tantùm, robustis quidem vt valens, debilibus verò debile exhibeatur. Ardores autem potionibus & sorbitionibus, veluti febrem refrigerante medicamento exoluito, aut alio quopiam id genus. Ac vbi ex refrigerante ad nauseam deuenerit, calefacientibus deinceps vtitor. Quòd si non cesset, refrigerantibus rursus vtendũ. Morbum regium ad hunc modum curare oportet. Vbi in manus sumpseris, nutrito, lauato, & pinguefacientibus, tum potibus, tum cibis, tribus aut quatuor diebus humectato. Vbi verò corpus humectatum fuerit, purgato, ipsumq; exiccato, pinguiáque confestim submoueto, & vndique admoto medicamento si fieri possit, humiditatem educito, ad caput imbecillo purgatorio vtitor, & quæ vrinas ducant propinato, & ante cibos eo tempore quo turbatam humiditatem repurgaris, potui exhibeto, ne post hoc tempus corpus nutriatur. Cùm verò extenuatum fuerit, balneis purgato, & cucumeris agrestis radicem contusam & in aquam coniectam, inde balneum parato. Medicamenta bilem educentia ne propinato, ne corpus ipsum magis conturbent. Vbi verò siccum fuerit quod conturbatum fuit, nutrito, nullo admixto aluum subducente, aut vrinas ciente medicamento, sed vino generoso, & his quæ rubicundiorem reddant. Quòd si colore sit ex viridi pallescente, rursus exhaurito, neque vllo modo resiccato, ne color ille defixus inhærescat. Vlcus ferinum hâc ob causam corpus inuadit. Vbi caro circumcirca inflammationẽ conceperit, & vlceris labra intumuerint, vlcusq; in humidum & in vlcere sanies resiccata inerit, aut vlcus compactum fuerit, putris ab vlcere sanies defluens, à compacto vlcere foras ad carnem prodire prohibetur, caro autem suscipit, cùm nimirum ex inflammatione sublimis existit, cúmq; eo peruenerit subterfluẽs sanies, putrefacit & attollit. Hunc medicamentis humectantes, vlcus ipsum illinere oportet, vti ex humectato vlcere foras fluxio neq; subter carnem effluat. Et quæ ad vlcus affluũt, refrigerantibus medicamentis illinenda, vti caro frigore cõdensata coëat, & minimè diffracta rursus fluxionẽ immittat. Quin & reliqua vlcera refrigerantibus medicamentis oblinenda sunt, iisq; humectantia adhibenda.

Angina à sanguine oritur, cùm sanguis in venis quæ in collo sunt concrescit. Sic affectis à venis quæ in brachiis sunt sanguinem detrahito, simulque aluum subducito, vt id quod morbũ exhibet, auellatur. Linguam quoq; cùm magna vlcera habuerit similiter tractato. Morbi quidem circa initia curãdi sunt, & in his quidem qui à fluxionibus oriuntur, primùm fluxiones sedandę. Qui verò alia ex causa, in his morbi principium sedandum & curandũ. Deinde quod influxit, si quidem copiosum est, educendum, sin modicum, victus ratione compescendum. In capitis fracturis, si os quidem fractum sit & contritum, periculo vacat, & medicamentis humectantibus curandum. Quòd si fissum fuerit, & fissura intrò procedat, periculi plenum est. Huic serram adhibere oportet, ne sanies per ossis fissuram affluens, membranam putrefaciat. Nam cùm per angustum quidem subeat, nec tamen exeat, molestia afficit, hominémque ad insaniam adigit. Huic terebram adhibere oportet, vt latè terebrato osse, saniei exitus, neque solùm ingressus pateat, & medicamentis quæ humorem ad se attrahant vtendum ac lauandum. Febricitanti caput ne purgato, vt ne ad insaniam agatur. Caput siquidem medicamenta purgantia calefaciunt, sanéque ad febrilem calorem medicamenti calor accedens, insaniam excitat. Lethalium vulnerum hæc signa sunt. Si quis quauis ex causa malè affectus, bilem atram vomitione refuderit, moritur qui vulnus habet, quique euacuatione detentus, imbecillus ac extenuatus, de repente siccus considet, moritur. Vbi caliditate detento, vlcuscula in ambitu liuida, imbecillo existenti eruperint, moritur. Cùm quopiam morbo detento, imbecillo iam existenti, liuores eruperint, lethale. Cùm quis ex medicamenti potione malè affectus fuerit, & infra supraq; demittit, vinum primò quidem dilutum, deinde meracum frequenter sorbendum exhibeto, & sedabitur. Medicamentum autem neq; purgans, neq; vomitum excitans dato. Si bilis sua sponte, aut infra, aut supra proruperit, difficiliùs sedatur. Quæ enim sponte fertur, vi corpori illata propellitur. Quòd si ex medicamẽto effluat, à nulla re cognata cogitur. Cùm euacuatum & vomentem curãdum susceperis, vomitum ne sedato. Vomitus siquidem euacuationem sedat, faciliùs autem postea vomitus sedabitur. Quòd si ita affectus debilis fuerit, à vomitu medicamentũ somnum cõcilians exhibeto. Sanguis quidẽ cùm morbum facit, dolorẽ inducit, pituita verò, vt plurimùm grauitatem. In morbis quos quis minimè cognoscit, medicamentum minimè vehemens potui exhibendum. Quòd si inde leuior æger euadat, demonstrata via est, & extenuando curatio instituenda est. Sin verò, minimè leuiùs, sed ægriùs habeat, cõtraria facienda. Si extenuare minimè cõducit, tumidum reddere contulerit, crebroq; permutare, hoc cõsilio vsus. Quibus in morbis robusto ægro, quis permutatione vtetur, morbo verò debili, tunc quidem audacter valentiore quàm morbus est medicamento vtendum, vt quamuis quod sanum est vnà cum ægroto educatur, nulla inde fit noxia. At vbi morbum valentiorem, ægrum verò debilem nactus fueris, debilibus medicamentis curatio instituenda est, quæ morbo superiora

Κυνάγχος ἀπὸ αἵματος γίνεται, ὁπόταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ, τῇσιν ἐν τῷ τραχήλῳ, τούτων ἀπὸ τῶν ἐν τοῖσι γυίοισι φλεβῶν αἷμα ἀφαιρέειν, καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὸ τὴν νοῦσον παρέχον οὕτω κατασπασθῇ. καὶ γλῶσσαν ὁπόταν ἕλκεα μεγάλα ἔχῃ ὡσαύτως θεραπευτέον. τὰ νοσήματα χρὴ ἀπ' ἀρχῆς ἰᾶσθαι· ὅσα μὲν ἀπὸ τῶν ῥόων γίνεται, τοὺς ῥόους παύειν πρῶτον. ὅσα δ' ἀπ' ἄλλου, παύειν τὴν ἀρχὴν τοῦ νοσήματος, καὶ θεραπεύειν. ἔπειτα τὸ συνερρυηκὸς, ἢν μὲν πολὺ ᾖ, ἐξάγειν· ἢν δὲ ὀλίγον, διαιτῶν καθιστάναι. [91] Κεφαλῆς κατάγματα. ἢν μὲν τὸ ὀστέον καταγῇ καὶ ξυντριβῇ, ἀκίνδυνον· καὶ ἰᾶσθαι χρὴ τοῦτον ὑγραίνουσι φαρμάκοισιν. ἢν δὲ ῥαγῇ, καὶ ῥωγμὴ εἴσω γένηται, ἐπικίνδυνον. τοῦτον πρίειν ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου ἰχὼρ ῥέων τὴν μήνιγγα σήπῃ. ὥστε γὰρ κατὰ στενὸν εἰσιὼν μὲν, ἐξιὼν δ' οὔ, λυπέει καὶ μαίνεσθαι ποιέει τὸν ἄνθρωπον. τοῦτον χρὴ πρίειν ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μοῦνον ἔσοδος, εὐρέος διατετρηθέντος, καὶ φαρμάκοισι χρῆσθαι, ἅσσα ἐφ' ἑωυτὰ τὸ ὑγρὸν ἕλκουσιν, [92] καὶ λούειν. Πυρεταίνοντι κεφαλὴν μὴ κάθαιρε, ὡς μὴ μαίνηται. θερμαίνουσι γὰρ τὴν κεφαλὴν καθαίροντα φάρμακα. πρὸς δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν, τὸ ἀπὸ τοῦ φαρμάκου προσελθὸν μανίην ποιέει. [93] Θανάσιμα τρώματα. ἐφ' ὧν ἄν τινι κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει. [94] ὁ τὸ τρῶμα ἔχων, καὶ ὑπὸ ἰνηθμοῦ ὁ ἐνεχόμενος, καὶ ἔχων ἀσθενέως, καὶ λεπτὸς ἐὼν ἐξαπίνης ξηρὸν καθίζει, ἀποθνήσκει. ἐπὴν ὑπὸ θερμωλῆς ἐχομένῳ ἑλκύδρια ἐκθύωσιν ἀσθενεῖ ἐόντι, πέριξ πελιδνὰ, ἀποθνήσκει. ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ ἀσθενεῖ ἤδη ἐόντι, πελιδνὰ ἐκθύῃ, θανάσιμον. ἐπὴν φάρμακόν τις πιὼν ὑπεριοσῇ, καὶ κάτω καὶ ἄνω ὑπεκχωρέῃ, οἶνον καταρροφεῖν, τὸ μὲν πρῶτον κεκρημένον. ἔπειτα ἄκρητον θαμινὰ διδόναι καὶ παύεται. φάρμακον δὲ μήτ' ἰνηθμὸν, μήτ' ἐμετήριον. χολὴ δ' ἐπὴν αὐτομάτη ῥαγῇ ἢ κάτω ἢ ἄνω, χαλεπωτέρη παύειν. ἡ γὰρ αὐτομάτη ὑπὸ βίης γινομένης τῷ σώματι βιᾶται. ἢν δ' ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενέος βιᾶται. [95] ἐπὴν παραλάβῃς αἰνώμενόν τε καὶ ἐμεῦντα, μὴ παύειν τὸν ἔμετον. ὁ γὰρ ἔμετος τὸν ἰνηθμὸν παύει. ῥᾷον δὲ ὁ ἔμετος ὕστερον παύσαιτο. ἢν δ' αὖ ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὕπνου φάρμακον ἐμετηείσας διδόναι. τὸ μὲν αἷμα ὁπόταν νοῦσον ποιέει, ὀδύνην παρέχει. τὸ δὲ φλέγμα, βάρος, ὡς τὰ πολλά. [96] τῶν νοσημάτων ὧν μὴ ἐπίσταταί τις φάρμακον πῖσαι μὴ ἰσχυρόν. ἢν δὲ ῥᾴων γίνηται, δέδεικται ὁδὸς, θεραπευτέον ἐστὶν ἰσχναίνοντα. ἢν δὲ μὴ ῥᾷον ᾖ, ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία. ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν ποιοῦσι καὶ θαμινὰ μεταλλάσσειν, ταύτῃ τῇ γνώμῃ χρώμενος. τῶν δὲ νοσημάτων ἤν τις ἰσχύοντος μὲν τοῦ ἀλγέοντος παραλλάξεται, τοῦ δὲ νοσήματος ἀσθενέος, ἐν τούτῳ μὲν ἰσχυροτέρῳ θαρσεῦντα τῷ φαρμάκῳ τοῦ νοσήματος χρῆσθαι. ὥστε καὶ ἤν τι τοῦ ὑγιαίνοντος ἢν ἀπαγάγῃ σὺν τῷ ἀσθενέοντι, οὐδεμία βλάβη ἐστίν. ἐπὴν δὲ τὸ νόσημα ἰσχυρότερον, τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν θεραπεύειν, ἅσσα αὐτοῦ τοῦ νοσήματος ἀσθενέσ-

καὶ ἀπάξουσιν, ἀσθενέστερον δὲ μηδὲν ποιήσουσι τὸν ἀλγέοντα. γυμναστικὴ δὲ καὶ ἰητρικὴ τὰ ὑπεναντία πέφυκεν. ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' ἡ ἰητρική. τῷ μὲν γὰρ ὑγιαίνοντι, οὐκ ἀρήγει ἐκ τοῦ παρεόντος μεταλλάσσειν. τῷ δὲ ἀλγέοντι. τῶν δὲ νοσημάτων ὅσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός εἰσιν, ἅμα τοῖσι φαρμάκοισιν καὶ λιμῷ χρὴ ἰᾶσθαι. ῥόου ξυμφέρον ἐκ κεφαλῆς ῥέοντος, ἔμετος. τὰ παλαιὰ νοσήματα χαλεπώτερον ἰᾶσθαι τῶν νέων. ἀλλὰ νοσήματα τὰ παλαιὰ, [97] νέα πρῶτον ποιέειν, ἕλκος πεπωρωμένον ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. τῶν φαρμάκων ὅσα φλεγμαίνειν ποιέει μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρά· τὰ διϊσχναίνοντα, ταῦτα δὲ καθαίρουσιν. ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον τρέφει σῶμα ὃ ἂν ἕλκος ἔχῃ. καὶ ἢν μὲν συνάγειν δέῃ τὸ ἕλκος, καὶ ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει. καὶ ἢν ἐν κεφαλῇ σάρκα βούλῃ. ἐπαλμα[?] τρεφομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων, ὠθέει τὴν ὑπὸ τοῦ φαρμάκου σηπομένην [98] καὶ ξυμμαχεῖ. τὴν δὲ μετέωρον ἢ λείην ἰσχναίνειν τοῖσι σιτίοισι. τοὺς ἀνιωμένους, καὶ νοσέοντας, καὶ ἀπάγχεσθαι βουλομένους, μανδραγόρου ῥίζαν πρωῒ πιπίσκειν ἔλασσον, ἢ ὡς μαίνεσθαι. Σπασμὸν ὧδε χρὴ ἰᾶσθαι. πῦρ διακαίειν ἑκατέρωθεν τῆς κλίνης. καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι. καὶ πρὸς τοὺς τένοντας τοὺς ὀπισθίους σακκία προσπιθέναι θερμά. [99] ἀπὸ σπασμοῦ πυρετὸς ἢν ἐπιλάβῃ παύεται αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ ἡμέρῃ. ἀπὸ ῥήγματος πυρετὸς οὐ λάζεται πλέον ἢ δύο ἢ τέσσαρας ἡμέρας. ἢν δὲ λάζηται, οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἄν, καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ ῥήγματος θεραπεύειν. [100] ὁπόταν ἄνθρωπος στρεβλὸς[?] τοὺς πόδας, καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιέει. φλέβα δὲ ὧδε χρὴ καίειν ἐπιτηδείως, ὥστε τὸ νόσημα ὃ ἂν ἔχῃ ἢ νοσέων. ἢν κεκαυμένος ᾖ ὥνθρωπος, [101] ῥέῃ δὲ τὸ τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ τῷ αὐτῷ, ἀμφότερα ταῦτ' ἔστι ποιέειν. ἢν διακαύσῃς ταύτῃ ἐν τῷ πόνῳ οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται. ὠφέλησε δὲ τῷ ῥόῳ. ἢν γὰρ διακαῇ οὐ ῥέει. ἐπὴν γὰρ διακαῇ τὸ ἄκρον, ἑκατέρωθεν ἀναστρέφει[?] τῆς φλεβὸς ἢ διακαῇ, καὶ συναυαίνεται. ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμμένου διαρρέοντος τοῦ ῥεύματος, ὑγραίνεται. ἢν δὲ αἷμα ῥέῃ ἐκ φλεβὸς διακαίειν ἐπικαρσίην. ἢν δὲ μὴ παύηται πρὸς ταῦτα ἄνω καὶ κάτω ἑκατέρωθεν διαταμεῖν ὡς ἀποστρέφηται[?] τὸ αἷμα ῥέον. [102] διαλελειμμένον γὰρ φαρμάκῳ ῥᾷον παύειν ἢ τὸ ἀθρόον. ὀδύνης ἐν κεφαλῇ τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιον ᾖ, [103] διακαίειν τὰς φλέβας, καὶ ὑγιὴς γίνεται. ἢν δὲ κεφαλὴν καθαίρῃς, μᾶλλον πονέεις. ἰητρικὴν οὐ δυνατόν ἐστι ταχὺ μαθεῖν διὰ τόδε, ὅτι ἀδύνατόν ἐστι καθεστηκός τι ἐν αὐτῇ σόφισμα γενέσθαι. ὁ δὲ γράφειν ἕνα τρόπον μαθὼν ὃν διδάσκουσι, πάντα ἐπίσταται. καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως διὰ τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιεύμενον νῦν τε καὶ οὐ νῦν, οὐκ ἂν τὸ ὑπεναντίον γένοιτο. ἀλλ' αἰεὶ ἐνδελεχέως ὅμοιόν ἐστιν. καὶ οὐ δεῖ καιροῦ. ἡ δὲ ἰητρικὴ, νῦν τε καὶ αὐτίκα οὐ τὸ αὐτὸ ποιέει, καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιέει. καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσιν.

sint, ipsumq; abducant, ægrum autem nihilo debiliorem efficiant. Ars corporũ exercitatrix, quæ Gymnastica dicitur, & Medicina cõtrariæ inter se esse solent. Siquidẽ quæ exercitationibus præest, nullis eget permutationibus, velut Medicina. Sano namq; præsentem statũ permutare nihil prodest, sed ægroto. Morbi quicunq; vlcerum genere cõtinentur, & reliquo corpore supereminent, vnà cum medicamẽtis etiã fame curandi sunt. Fluxione ex capite manante vomitus confert. Morbi vetusti difficiliùs quàm recentes curantur, verùm vetustos morbos primùm recentes facito. Vlcus callosum, vbi quod durũ est medicamento putrefaciente expuleris, demùm constringito. Medicamenta quæ tumorem facere maximè solent, ea pura constringunt, quæ verò extenuant, ea purgant. Quòd si quis quæ nondum matura sunt constringat, corpus morbosum nutrit quod vlcus habuerit. Et siquidem vlcus constringere ac implere opus sit, tumefacere iuuat, vel si carnem in capite producere velis. Cibis enim connutrita caro, eam quæ à medicamẽto computruit, propellit, & debellat. Elatum verò in tumorem & læuem cibis extenuare oportet. Mœrore confectis & malè habentibus, mortemq; laqueo sibi consciscere volentibus, mandragoræ radicem manè propinato, minore tamen pondere quàm quod furorem excitet. Conuulsionẽ hoc modo curare oportet. Ex vtraq; lecti parte ignem succendito, & mandragoræ radicem propinato, minore quàm quod insaniam excitet pondere, & ad posteriores tendones sacculos calidos admoueto. A conuulsione si febris prehendit eodem die cessat, aut postero, aut etiã tertio. Ex rupto febris nõ vltra tres aut quatuor dies prehendit. Quòd si prehendat, ratus quis ex rupto ea detineri, alia quapiam ex causa corripuit, neq; ea veluti ex rupto tractanda. Cùm homo distortis pedibus aut manibus fuerit, insaniam sibi inducit. Venam autẽ sic inurere oportet, vt morbo quocunq; quis ægrotarit, conueniat. Si inustus quis fuerit, fluat autẽ sanguis, vt ne ipsi periculum afferat, ambo hæc facere licet. Si inusseris qua parte dolor est, cuius gratia vrebatur, non coalescit, verùm ad fluxum contulit. Si enim perusta fuerit, minimè effluit. Tunc enim vtcunq; venæ extremum qua parte perustum est recurrit, simulque exiccatur. Quòd si quid relictum fuerit, ab ea parte quæ relicta est profluente, humectatur. At si sanguis ex vena effluit, eam obliquam perurito. Quòd si non cesset, ad hęc superiore & inferiore parte vtrimq; incidito, quò sanguinis fluxus auertatur. Interceptus enim faciliùs quàm confertus, medicamento sedatur. In capitis dolore sanguinem ex venis detrahito. Quòd si nõ cesset, sed diuturnus fit, venas inurito, & cõualescit. Si verò caput purgaueris, magis affliges. Ars Medica vt citò addiscatur fieri nequit, propterea quòd in ea firma aliqua doctrina tradi non potest. Verbi gratia, qui vno modo quẽ docẽt pingere didicit, omnia nouit, & qui sciunt omnes eodẽ modo, ideò quòd idẽ est, & eodẽ modo fit, & nunc & nõ nunc, neq; cõtrario modo fieri potest, sed semp meritò simile est, neq; tẽporis occasione opus est. Ars verò Medica, & nũc, & paulò post, nõ idẽ facit, & sibi cõtraria facit, eaq; sibi ipsis cõtraria.

Primùm aluum ſubducentia nō ſemper hoc faciunt, eaq́; vtrunq; faciunt. Neq; forte ſic ſe habent aluum ſubducentia, vt aluum ſiſtentibus ſint contraria. Aluo ſuppreſſa, ob vehementem ſuppreſſionem corpus tumidum redditur, pituita ad ventrem perueniente, ſic ſuppreſſio alui ſubductionem facit. Vbi enim pituita ad ventrem peruenerit, euacuatio contingit. Hoc verò modo quæ natura aluum ſubducunt, aluum remorantur. Si quidem aluum minimè ſubducentia reddideris, exoluatur autem id quod morbum facit & humectetur, poſtquā exolutum fuerit, ſanus euadit. Eaq́; ratione quæ ſiſtunt ſubducentibus aluum remorantur, viciſſimq́; aluum ſubducentia ſiſtentibus. Eodem modo ſe res habet circa rubicundos & ex viridi palleſcentes. Quę tumorem corporis faciunt, ex viridi palleſcentes & decolores reddunt, & quę extenuant, bene coloratos. Vtriuſq; verò remedium eſt contrarium contrario adhibitū. Verbi gratia, cùm intumuerit qui ex viridi palleſcit, is exoluitur, niſi attenuans aliquod medicamentum adhibitum fuerit, hicq́; intumeſcenti attenuans profuit. Ex his autem quod aliquādo vtilitatem percepit, nunc ei qui profuit hîc prodeſt, ſi quādo ex attenuatione decolor, & ex viridi palleſcēs extiterit. Si quis enim tumorē inducens medicamentum adhibuerit, color ille ex viridi palleſcens ſedatur. Dolor etiā oritur ob frigus & ob calorem, & propter nimiam copiam, & propter paucitatem. Et in naturâ perfrigeratis ad cutem corporis partibus, ob nimium calorem dolor ſuboritur, & in calidis naturâ, ob frigus. Et in ſiccis quidem natura, dum humectantur, & in humidis natura dum reſiccantur. Cùm enim cuiuſq; natura immutatur & corrumpitur, dolores fiūt, & ſanantur contrariis, idq́; proprium eſt cuique morbo. Velut in natura calidis, ob ipſam frigiditatem malè habentibus, calefiunt dolores & curantur, reliquáque eadem ratione ſe habent. Alio modo, per ſimilia morbus oritur, & per ſimilia oblata ex morbis ſanantur. Veluti ſtranguriam cùm non adeſt, idem facit, & ſi adſit, ſedat. Tuſſiſq; eodem modo vt vrinæ ſtillicidium, ab iiſdem fit & ſedatur, interdum verò à contrariis. Etenim ſi quis interdum calida lauet, & copioſum potum exhibeat, ſanus euadit, & propter tumefactionem exorta febris, oblatis tumorem inducentibus ſaneſcit. Ac ſi quis medicamentum aluum ſubducens aut vomitum mouēs propinare velit, ad eundem modum ab iis quæ excitant ſedatur, & à ſedantibus excitatur. Etenim ſi quis vomenti copioſam aquā potui exhibeat, vnà cum vomitu eluentur ea quę vomitus cauſa ſunt. Huic quidem per vomitum vomitus ſedatur, illi verò per ea quæ ſedant, quoniam ipſi per inferiora demittunt quod intus vomitum facit. Sicque vtriſque contrariis modis homo conualeſcit. Ac ſiquidem in omnibus hoc modo ſe habeat, conſtitutum quidem ſic fuerit, hæc quidem contrariis curari, quæcunque ſint, & quacunque ex cauſa fiant; illa verò ſimilibus, quæcunque tandem ſint, & à quacunque cauſa fiant. Cuius rei cauſa exiſtit corporis debilitas. Corpus enim à cibis æqualibus æqualiter nutritur, à corpore verò cibi ſuperantur. Vbi verò plus

πρῶτον ὑποχωρητικὰ οὐκ ἀεὶ ποιέουσιν, καὶ τὰ ὑποχωρητικὰ ἀμφότερα ποιέουσιν. τάχα δὲ οὐδ' οὕτως ἔχουσι τὰ ὑποχωρητικὰ τοῖσι στασίμοις ὡς ὑπεναντία. [104] ἐπιστάσης τῆς κοιλίης διὰ τὴν λίην στάσιν φλεγμῆναι τὸ σῶμα, ἐς τὴν κοιλίην φλέγματος ἀφιγμένου. οὕτως ἡ στάσις ὑποχώρησιν ἐποίησεν. ἐπὴν γὰρ τὸ φλέγμα ἐς τὴν κοιλίην ἐσέλθῃ, ἰνηθμὸς γίνεται. ἐν τούτῳ δὲ τὰ ὑποχωρητικὰ φύσει στάσιμον ποιέουσιν ἐν τῇ κοιλίῃ. [105] ἢν μὲν μὴ ὑποχωρητικὰ ποιέῃς, ἐκλύηται δὲ τὸ νοσέειν ποιέον καὶ ὑγραίνεται, [106] ἐπὴν ἐκκλυσθῇ, γίνεται ὑγιής. καὶ οὕτω τά τε στάσιμα τοῖσιν ὑποχωρητικοῖσιν στάσιν ποιέουσι τῆς κοιλίης, καὶ τοῖσι στασίμοισι τὰ ὑποχωρητικά. τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωρούς. καὶ τὰ φλεγματώδεα χλωροὺς ποιέει [107] καὶ ἀχρόους, καὶ τὰ ἰσχναινόμενα εὐχρόους. ἑκατέρου δὴ ἐστὶ φάρμακον τὰ ὑπεναντία τῷ ὑπεναντίῳ. αὐτίκα ὅτ' ἂν φλεγμαίνῃ χλωρὸς ἐὼν ἐκλύεται, [108] ἢν μή τι ἰσχναῖνον φάρμακον προσενεχθῇ, ἐνθάδε τῷ φλεγμαίνοντι τὸ ἰσχναῖνον ὠφέλησεν. τούτων δὲ τὸ ποτὲ ὠφεληθὲν μὲν τὸν ὠφελέοντι νῦν ὠφελεῖ ἐνταῦθα, ὁπότ' ἂν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ. ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν. [109] ὀδύνη τε γίνεται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμόν. καὶ διὰ τὸ πλέον λίην καὶ διὰ τὸ ἔλασσον. [110] καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι φύσει τοῖσιν ἐκ τοῦ σώματος πρὸς τὸ δέρμα, διὰ τὸ θερμαινόμενον λίην ὀδύνη γίνεται. ἐν δὲ τοῖσι θερμοῖσι φύσει, διὰ τὸ ψυχρόν. καὶ ἐν μὲν τοῖσι ξηροῖσι, φύσει ὑγραινομένοισι. ἐν δὲ τοῖσι ὑγροῖσι, φύσει ξηραινομένοισι. [111] τὴν γὰρ φύσιν διαλλασσομένοις ἑκάστοισι καὶ διαφθειρομένοις αἱ ὀδύναι γίνονται· ὑγιαίνονταί τε αἱ ὀδύναι τοῖσιν ὑπεναντίοισιν. ἴδιον ἑκάστῳ νοσήματί ἐστι. τοῖσι θερμοῖσι φύσει, διὰ τόδε τὸ ψυχρὸν νοσέουσι. [112] θερμαίνονται καὶ τἄλλα τούτων κατὰ λόγον. Ἄλλος ὅδε τρόπος. Διὰ τὰ ὅμοια νοῦσος γίνεται. καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεύντων, ὑγιαίνονται. οἷον στραγγουρίην τὸ αὐτὸ ποιέει οὐκ ἐοῦσαν, καὶ ἐοῦσαν τὸ αὐτὸ παύει. καὶ βὴξ κατὰ τὸ αὐτὸ ὥσπερ καὶ στραγγουρίη ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. Ἄλλος ὅδε τρόπος. Πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος. τοτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται, τοτὲ δὲ τοῖσιν ὑπεναντίοισιν ἐγίνετο. τοτὲ μὲν γὰρ εἴ τις βούλεται λούειν ὕδατι θερμῷ καὶ ποτὰ πολλὰ διδόναι, ὑγιὴς γίνεται διὰ τὸ φλεγμαίνειν τοῖσι φλεγμαίνειν ποιέουσιν προσφερομένοισιν, ὁ ὢν πυρετὸς γίνεται ὑγιής. καὶ εἴ τις βούλεται φάρμακον πίσαι ὑποχωρητικὸν καὶ ἐμετικόν, τὸν αὐτὸν τρόπον τοῖσί τε ποιέουσι παύεται, καὶ τοῖσι παύουσι γίνεται. τοῦτο μὲν γὰρ εἴ τις ἐμέοντι ἀνθρώπῳ βούλεται ὕδωρ δοῦναι πιεῖν πολύ, ἐκκλυσθήσεται δι' ἃ ἐμέει σὺν τῷ ἐμέτῳ. οὕτω μὲν διὰ τὸ ἐμέειν ὁ ἔμετος παύεται. [113] ὧν δὲ διὰ τὸ παύειν ὅτι κάτω ποιήσει αὐτῷ ἐλθεῖν, ἐξ ἐκείνου ὃ ἐνεὸν ἔμετον ποιέει ἀμφοτέροισι τοῖσι ὑπεναντίοισι τρόποις, ὑγιὴς γίνεται. καὶ εἰ μὲν οὕτως εἶχε πᾶσι καθεστήκει ἄν. οὕτω τὰ μὲν τοῖς ὑπεναντίοισιν, εὐτρεπίζεσθαι οἷά τε ὄντα καὶ ἀφ' ὅτου ἐγένετο, τὰ δὲ τοῖσιν ὁμοίοισιν οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγένετο. τούτου δὴ αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθένεια. τὸ γὰρ σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσων ἴσως τρέφεται. ὑπὸ δὲ τοῦ σώματος, τὰ σιτία κρατέεται. ἐπὴν δὲ πλέον ἢ ἔλασσον

ἐλάσσον προσενέγκηται, ἢ ὡς ἄλλο μεταλλάξας κρατέεται. κρατέεται δὲ καὶ τὰ σιτία. [114] καὶ ὁπόταν κρατέηται τὸ σῶμα ὑπὸ τῶν προσθισμάτων, θάλλειν ποιέει ταῦτα καὶ κρατέει ἅμα τοῦ σώματος τά τε ὑπεναντία ποιέουσιν αὐτίκα. τὸ λοῦσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τοῦ προσθίσματος, θάλλει. ἐπὴν δὲ κρατηθῇ ἰσχνὸν ποιέει τὸ σῶμα. καὶ τὸ εὐωχέεσθαι ὁμοίως τῷ λοῦσθαι ποιέει. ταῦτα μὲν γὰρ ἕως μὲν ἂν κρατέωνται, θάλλειν ποιέουσιν. ἐπὴν δὲ κρατέωσιν, ὑποχωρήσιάς τε ποιέουσιν καὶ ἄλλας κακίας. [115] ὁπότε δὲ ὃ προσφέρεται τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ τὸ προσφερόμενον μετατρέπεσθαι. τὸ γὰρ σῶμα μετατρεπόμενον νικώμενον καὶ ὀλιγοεργές ἐστιν. καὶ ὑπὸ παντὸς τὰς παλιγκοτίας παρέχει. τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικά. καὶ τὰ θάλλειν ποιέοντα, ἰσχναίνοντα ταῦτα τὸ σῶμα ποιέουσιν. καὶ τἄλλα πάντα [116] τὰ ὑπεναντία τούτοισι πάσχοντα. ἡ δὲ ἰητρικὴ ὀλιγοκαιρός ἐστιν. καὶ ὃς τοῦτο ἐπίσταται, ἐκεῖνο καθέστηκεν. καὶ ἐπίσταται [117] τὰ εἴδεα, καὶ τὰ μὴ εἴδεα, ἃ μή ἐστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι. [118] ὅτι τὰ ὑποχωρήματα οὐχ ὑποχωρητικά γίνεται. καὶ τἄλλα ὅτι ὑπεναντία ἐστίν. καὶ τὰ ὑπεναντιώτατα οὐχ ὑπεναντιώτατα. ὁ δὲ καιρὸς ὅδε ἐστί. τὰ σιτία προσφέρειν, ὅσων μέλλει τὸ σῶμα προσφερόμενον τὸ πλῆθος κρατέειν. ὥστ' ἐὰν μὲν οὕτω ποιέῃ, πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον ὑποχωρητικὸν εἶναι. καὶ τὸ φλεγματῶδες, φλεγματῶδες. ἐὰν κρατέῃ οὖν τὸ σῶμα τῶν σιτίων, οὔτε νοῦσος, οὔτε ὑπεναντίωσις γίνεται προσφερομένων. καὶ αὐτὸς ὁ καιρός ἐστιν ὃν δεῖ τὸν ἰητρὸν εἰδέναι. ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. [119] καὶ οἱ πρὶν ὑπερπεσεῖν οἴονται ἔχειν καὶ τὸ θερμαίνεσθαι. ἕως μὲν γὰρ ἂν τὸ σῶμα τοῦ προσθίσματος κρατέῃ, τρέφεται τὸ σῶμα. [120] ἐπεὶ δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται, ἰσχναίνεται γάρ, καὶ τἄλλα πάντα δὲ τὰ φλεγμαίνειν ποιεῦντα, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα, ἔτι τε πρὸς τὸν καιρόν, καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον. τὰ φλεγματώδεα φλεγμαίνειν. ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρόν, τὰ ὑπεναντία γίνεται. πάντα φάρμακά εἰσι τὰ μετακινέοντα τὸ παρεόν. πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν. ἔξεστι δέ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν. [121] ἢν δὲ μὴ βούλῃ, σιτίῳ. ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ἀρήγει. ἢν γὰρ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. φάρμακα οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἐπὶ τῶν ἀσθενέων νοσημάτων διδόναι, ὀλιγότητι τοῦ φαρμάκου ἀσθενὲς ποιεῦντα. ἀλλὰ τοῖσι μὲν ἰσχυροῖσι φύσει, φαρμάκοισιν ἰσχυροῖσι χρῆσθαι, τοῖς δὲ ἀσθενέσι, φαρμάκοις μὴ ἰσχυροῖσι. [122] μηδὲ τὰ ποιεῦντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισιν. τοῖσι μὲν ἀσθενέσι, ἀσθενῆ φάρμακα φύσει. τοῖσι ἰσχυροῖσι νοσήμασιν, ἰσχυρὰ φύσει τὰ φάρμακα. τὰ δὲ νοσήματα [123] ἣ πλησιαίτατω πέφυκεν ἐξάγειν. ταύτῃ δὲ ἐξάγειν ἢ ἑκάστῳ ἔξοδος ἐγγυτάτω. Τὰ ὑποχωρητικὰ τοιάδε ἐστί· ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα. καὶ ὅσα ἐν τοῖσι θερμοῖσι λεπτύνονται. ἡ γὰρ κοιλίη θερμή ἐστι. καὶ τἄλλα τὰ ἁλμυρὰ καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσι. τὰ δὲ οὐ διαχωρητικά, ἀλλὰ στάσιμα, ὅσα φύσας παρέχουσιν. τὰ γὰρ ὑγρὰ ξηραινόμενα φύσας ποιέουσι. καὶ τὰ στύφοντα.

aut minùs ingesserit, aut alioqui immutatus fuerit, superatur, & cibi superantur, cumq; superantur, vt corpus ab oblatis vigorem accipiat efficiunt, iique simul corpus superant, ac statim contraria efficiunt. Calida lauari, dum quidem corpus calidā admotam superat, vigere corpus facit, sin superatum fuerit, gracile reddit. Et comessatio idem quod balneum efficiet. Hæc siquidem dum superantur, corporis vigorem faciunt, vbi verò superauerint, tum alui deiectiones, tum varia vitia adferunt. Quando verò id cui offertur immutatur, id quod offertur immutari necesse est. Immutatum enim corpus cùm euictum sit parum est efficax, & ex quouis offensiones renouat. Hoc autem efficiūt quę aluum subducunt, & quę vigorem inducunt, hęc corpus extenuatum reddūt, & reliqua omnia quæ his contrario modo afficiuntur. At verò ars Medica breuem habet occasionem, & qui hoc nouit, illud constitutum habet, & nouit quæ sint rerum species, vel non, ad quas cognoscendas occasio nō est in arte Medica, nempe quòd alui subductiones per aluum non secedunt, & reliqua quòd contrario modo se habent, & quòd maximè contraria, nō sunt maximè contraria. Hæc est autem ciborum offerendorum occasio, vt ea copia exhibeantur, quā corpus superare valeat. Quod si cōtingat cibū aluum subducentem oblatum aluum subducere, & corpus tumefacientem tumefacere omninò necesse est. Si igitur cibos corpus superauerit, neq; morbus, neq; ex his quæ offeruntur contrarietas oritur, eaq; est occasio quam Medicus cognitam habere debet. Vbi verò occasionem prætergressus fuerit, contrarium accidit, & antequàm eo deueniant, se incalescere existimant. Quandiu enim quod offertur corpus superauerit, id nutritur. Vbi verò hāc occasionem prætergressum fuerit, contrariū contingit, siquidem extenuatur. Quin & reliqua omnia, & quæ tumefaciunt, quoad ea corpus superauerit, prætereaq; pro occasione oblata fuerint, etiā in singulis, suam naturam seruant, & tumorem excitant. At vbi occasionem excesserint, cōtraria contingunt. Omnia medicamenta sunt, quæ præsentem statum dimouent, valentiora autē omnia immutāt. Licet autem, si quidem velis, medicamento transmouere, sin minùs, cibo. Ægrotanti verò omnia è præsenti statu dimouens opem fert. Nisi enim quod morbū facit dimoueris, augetur. In morbis debilibus medicamēta naturâ valentia minimè sunt exhibenda, neq; imbecillitas medicamēti paucitate metienda est. Sed in valentibus naturâ, valentibus medicamentis vtendū, debilibus verò nō valentia medicamēta danda. Neq; medicamentū transmutandum est, sed singulis secundū suam naturā exhibendū, ita vt debilibus quidem, debilia naturâ medicamenta, valentibus verò morbis, valentia naturâ medicamenta exhibeantur. Morbi autē per eam partem cui maximè vicini esse solent, educendi. Per eam autem partem qua singulis quàm proximus est exitus, educi debēt. Hęc aluum subducunt, quæcunq; lubricant & incidunt, & quæcunq; in calidis attenuantur. Venter enim calidus est, & reliqua quæ salsa sunt, & quę ex his plurimùm habent. Minimè autem aluum subducunt, sed sistunt, quæcunq; flatū exhibent. Humida enim resiccata flatū pariunt, quæq; adstringunt,

35.ὑπὸ τῶν ἄλλων νοσημάτων ξυμπάντων.
P.40,5.ἅπαντα in aliis cod.abest.
6.ἐν τούτοις δὴ καὶ πάνυ διαφ.& abest μέγα.
14.δοκέει δή μοι ἄξια. locus hic exponitur à Gal.lib.9.de plac. Hipp.& Plat.
22.μέχεις ἂν & ἄχεις ἂν.
P.41,13.εὐρίσκει),παρ' ἀρέσκει)
Ibid.ἴσως δὲ οὐδὲ abest δὲ.
17.ὅλως ἰατρικὴν add.εἰσί).
25.ταῦτα δὴ νομίζειν,ἢ δεῖ τὸ ἕτερον κακά.
30.ἀλλὰ ἐν ἄλλοισι.
P.43,9 πτισσάνη μὲν οὖν ὀρθῶς μοι δοκέει προκεκρίσθαι.
12.εὐέκκλυτον.vel εὔκριτον vel εὐέκριτον.
P.45,19.ὁκόσοι μὲν ὅλῃσι πτισσάνῃσι χρέονται.
20.καὶ οὐ μεταλειπτέον.
21.ἢ κλύσιν διαλειπεῖν.
P.46,3.κατ' ἀρχὰς μὴ διδόναι.ἀλλ' ὧν ἕνεκα.
15.ἢ μελίκρητον
31.ἐπιδιδόναι χρὴ ἐς πλῆθος.
32.ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. Hoc onn legitur in aliis exemplaribus.
33.τὰ δὲ βραδύτερον πλαδῶντα καὶ ἧσσον,βραδυτ.
52.τοσῷδε πλεῖον χρὴ διδόναι.
55.τῷ μὲν ῥοφήματι τῷ ἐς πρωΐ. vbiq; τῷ abest.
P.47.27.ἢ ἐν ἄλλως πῶς vel ἄλλος πῶς διαιτῷν.
45.βελτίστου πῶς κριθ.abest πῶς.
53.ὀλισθηρὸν τῆς κελῆς καταπινομένης.
P.48,1.ἀσθενέστατον non habetur in aliis cod.vacat etiam δὲ post ἀδιψότατον.
41.τὸν δὲ ὡς hæc non leguntur in aliis.
42.pro ἀσφαλέως legitur in aliis ἀπλῶς: vt in Hippocrate germanico p.369. v.43. sed ex Galeno com.37. huius lib. 1.acut. ἀσφαλέως debet retineri.
P.49,6.ἐπισκοποισιν.εἰ μὲν τοι.
7.ὀρθοπνοίης τι καὶ ῥέγχους.
27.post.ἐπανόδου γίγνεσθ.habentur duo versus in cod.germanico p.370.v.4.&.5.qui desunt in hoc quinto tomo.
30.ἀνεχόμενον vel potius ἐχόμενον.
36.ἀμωρεῖν καὶ συντιμωρεῖν.τὸ βοηθεῖν, sed in malè excusis dicitur, vterus pulmones & cerebrum sese mutuo iuuant:in excusis ἐς τὸ κακὸν ægroti,συντιμωρεία est.
P.50,21.ἄλγημα doloris cessamentum indicat.
49.ἐμφαίνηται.
50.μή τι παχὺ,μή τι πολύ.

VARIÆ LECTIONES, CORRECTIONES, ET BREVES QVÆDAM ANNOTATIONES in aliquot libros Hippocratis.

In quibus distribuẽdis paginas & versus Tomi quinti librorum Galeni sequimur. qui tomus continet Comm. Gal. in Hippocr.

Pag.37.In librum περὶ διαίτης ὀξέων νοσημάτων vel περὶ πτισσάνης,vel πρὸς τὰς κνιδίας γνώμας.

PAG.38,v.1. τεκμήρσεις, docet quomodo singulis mederi oporteat.
33.εὑρέαται.εἴρηται.
34.καὶ γάλα ἐς τὸν ἄρτον.
P.39.v.1. πολυτροπίας sic τρόπους accipit.Hipp.pro diff.ac spec. morbi: alias τρόποι sig.mores morbi.εὐήθεις κακοήθεις.
Ibid. πολυσχιδίην.
2.ἔνιοι abest.
6.σημαίνηται.
7.τὸ ἕτερον τοῦ ἑτέρου διαφέρ.νόσημα.
8.ἔχει.ἐμοὶ δὲ ἀνδάνει. Galenus librum suum περὶ ἐπιδέσμων ab hac sententia orditur. qui liber latinè extat. sed græcè recuperauimus ex Bibliotheca Medicea.
33.ὅταν γὰρ μὴ λοιμώδης.ἀλλὰ σποραδικῶν ἐουσῶν, αἱ νοῦσοι, καὶ μὴ παρὰ

P.51,56.ἡλικίην κλύσαι. sic in cod. germ. p.370, vers.20.
P.52,14. μάλιστα δὲ καὶ τὸ ποσόν.
ibid. ἢ θέρμη καταλάβῃ.
16. μᾶλλον abest.

Libri secundi acutorum.

51. τρόποις δεῖ. abest δεῖ.
52. τὴν ὀδύνην non legitur.
P.53,22. κρήμασι μετὰ μὴ κρήσαντα ὕδωρ.
23. ἢ ἐν ὀσφρακίοισι vlt. v. ad finem ἣν ἄρα μὴ δοκέῃ.
P.54.7. καὶ ὄροβοι, abest καί. κεκραμένῳ καὶ σμικρῷ.
8. μόρσυπτα κατασχίσαντα. πίτυος ἢ κατὰ τὴν αὐτὴν τρ.
34. ἦν μὲν δή.
46. ἀλλ' ἢν μὴ συμβαίνει ὀδύνη.
47. ἢ ὑπὲρ τῶν νεφρῶν. τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι.
48. τὸ αἷμα abest.
49. ἀμφότερα γὰρ γίνεται.
P.56,4. κλυσίδα μὴ συμβαίνει, μαλθάσσειν χρὴ, ἡ μέλαινα abest ἡ.
8. καταρρηγνύον. ἀμφω δὲ ταῦτα vsque ad finem sententiæ in quibusdam cod. non leguntur.
48. τὸ μέν τοι πτισσάνης ὁκόταν πίῃ.
49. ἢ ὄξος ἐπιθεῖσθαι.
P.57,11. ἐπειδὴ καὶ κατὰ λόγον.
12. ἔλαιον ῥοφείτω ἢ ὄξος ἐπιθεῖσθαι.
23. πτισσάνης χυλὸν δίδοναι.
39. περὶ μὲν οὖν ῥοφημάτων vsque ad finem sententiæ non legitur.
43. τῶν προγεγραμμένων.
48. οἶδα δὲ καὶ τοὺς ἰητρούς. abest καί.
51. ὅπως προσφέρειν.
53. ἀτὰρ μεταβάλλειν. μεταβάλλειν δὲ, εὖ ἔχει.
53. μεταβιβάσαι ἦν.
54. τῶν πνευμόνων ἔτι μᾶλλον.
P.58,14. διαφέρει μέγα. & in fine versus ὀξυτάτῃσι μέγιστον.
32. φαύλη διαίτη. βρώσιος καὶ πόσιος. In quo cod. duab. lin. interceptis quasi videntur abundare.
32. μέγα abest.
43. μεμαθηκότες ἀρίστων.
44. ἀρρώστους ποιέει.
P.59,24. ἀῤῥηγεῦν.
25. ἀναγαγόντα.
26. δύνανται.
27. ἔλαιον πίνῃ. ἔτι δὲ μᾶλλον vsque ad finem sententiæ ἐκ διαδόσιν leguntur hæc in quibusdam exempl.
50. σιτέεσθαι τῆς ἡμέρας.
54. διαψύχονται.
P.60,23. ἐπόνεε καὶ ἐῤῥώσει.
31. κινεαγγήσαντα.
34. πιεῖν μετὰ μὴ ὑδαρές.
35. τῇ ὑστεραίῃ ὀλίγα.
P.61,22. ὥστε καὶ τὴν μονοσιτίην παρὰ τό.
33. οὐ δὴ οἷόν τε παρὰ καιρόν.
42. μεταβολαὶ τὴν παρὰ τὴν φύσιν ἢ ἕξιν. melius περὶ φύσις est temperamentum: ἕξις est in crassitie & gracilitate corporis.
P.62,10. τὸ ἐς κοιλίην καὶ ἄλλα εἴπαι.
26. ἢ ὀπὸς, ἢ καρπὸς ἢ καυλός.
P.64.7. πόνου.
25. ποιητέον γράψεται.
40. ἠδελφισμένον μόνον δεῖ τῷ ῥοφήματι περὶ οὗ ὁ πλεῖστος.
45. τῷ χρόνῳ ταῦτα ἀμβλύνονται.
ibid. δύο ἢ τρεῖς.
46. πρὶν παρὰ μὲν ἔτι μέν τοι κάκιον.
49. πάμπασιν ἢ νοσέοι. sublato ὡς.
P.65,6. φήματος, ἢ πόσου ἢ σιτίου.
27. καὶ ὡς ὅτι τὸ πολὺ ἀκαρπά. hæc desunt.

Libri tertij περὶ ὀξέων νοσημάτων.

P.71,40. κατὰ τὸ ἔνηρον.
43. παῦν πόλεμος.
Ibid. κατὰ λόγον τῆς φύσιος.
44. οἷον φύσει περὶ ὑποχόνδριον.
P.75,5. παρηγορικὸν μετρίως. ἔχει γάρ.
6. ὁ μᾶλλον τὸ κιῤῥόν.
56. καὶ διαχωρητικὸν δὲ καὶ τῆς χολώδεος. sublato καί.
P.77,4. ἄνευ μὲν οὖν ῥοφήματος μελικρήτου χρέεσθαι.
4. καὶ μὴ αὖ πολλά.
5. καὶ δὴ ἃ μὴ δοτέον.
P.79,13. οὐδὲν αὖ μέσον ποιήσεται.
14. καὶ ὀλιγάκις ἐμποιήσει.
56. τὸ μέν τοι ὀλίγον ὀξύμελι. τὸ ὀλίγον qualitatis est nomen non quantitatis. i. parum dilutus. quod opponitur τῷ κάρτα. quod habetur etiam p. sup. v. 13.
P.81,53. κενεώτατον εἰσέλθῃ.
P.82,44. ἢ ὑδαρέα καὶ κιῤῥὸν παντελῶς.
P.83.1. καὶ ὁκόσοι πολλοί.
2. αὐτοῖσι τοῖσι abest τοῖσι.
21. κατὰ ταῦτα δὲ καὶ περὶ τῶν ἄλλων ποτῶν.
23. παρ' αὐτὴν τὴν νόσημα.
vlt. v. ἐς εὐέμβατον καὶ ἐς εὐέκβατον.
P.85,15. καὶ γὰρ παθέουσι. vltima linea οὐδὲν αὖ ἁμαρτάνοι. βλάβεως.

Libri quarti τῶν ὀξέων.

P.87. P.92, v. penult. ὑπὸ πνεύματος ἀπολήψιος.
P.92,2. οὐ δύνανται λύεσθαι.
P.95,43. φλέβος διαῤῥοή.
45. σπήνεσι τὰ ἐγγὺς τὸ αἵματος.
vlt. v. φλέβας ἀποτάμνων.
P.98, v. 8. αὔξει μὲν γάρ] his verbis vtitur Gal. Com. 18, lib. 1. acut. sed paulò aliter.
P.99,44. φάρμακα δὲ μὴ μᾶλλον προσάγειν.
P.103,50. πνιγμὸς φάρυγγος.
50. πυρετοῖσιν εἰ καὶ προσαΐσσει.
51. παύηνται, ἀλλὰ μηδὲ σβεσθῇ.
P.105,1. διαλέγηται.
2. ὑποχωρέειν.
34. ἢ μεταστάσις. abest.
Ibid. ἢ ἐς ὄρχιν.
35. λυθέντων δὲ τούτων. οὔρων λευκῶν ἢ λείων.
53 ἢ εἰς ἀπόστημα σπεῖσαι.
P.106,32. πνεύματος δὲ ἄνωθεν.
33. ἐν ὦσι καὶ πτύελα πτύει πυῤῥὰ ἢ πελιδνὰ καὶ λευκά. sublato ἢ.
44. τάμνειν χρὴ φλέβα ἐν τῷ βραχίονα τὴν ἔσω.
P.107,7. ὑποκαθαίρειν. μεσούσης δέ.
P.108,4. ἀπόστημα ἢ ἢ ἔπαρμα παυσάμενον.
29. οἱ παχύτατοι τῆς ῥάχιν συνέχουσι, ἢ οἱ μέσοι συνδέσμοι κατὰ ...
P.109,6. ἢ δὲ ἀκρασίῃ.
8. ἣν δὲ διαλύηται τὸ σῶμα.
28. ὀσφύος abest.
P.110,14. ἄσην abest.
31. ποιέει. ἔτι δὲ ὦμον καί.
56. καὶ πόνον ποιέει.
P.111,31. μελαγχολικὰ καὶ abest καί.
36. εὐωδέστατα μὴ στρυφνά.
37. μὴ τοῦτ' ἄριστα abest μή.
40. ὅτι τῇ σελήνῃ. abest ὅτι.
P. 112, 2. διαχωρέει.
P.113,11. ξηρὰ καὶ δριμέα sublato δέ.
12. ἣν δὲ διάπνοον γίνηται.
13. ἐξ οἴνου μέλιτος καὶ ἐλαίου.
P.114,52. καὶ ἀμυδρὰ βλέποντες ἦχοι τῶν ὤτων.
53. τῆς χρήσιος.
v. penult. τῶν τούτων δὲ μηδένα.
P.116,44. ἣν ἐν ὥρῃ θερμὴ γίγνηται.

Errata.

Errata.

Pag.4.col.1.v.49.& ciborum decoctum, cicerum decoctum leg. p.5.c.2.v.18.humidos, humidas leg. pag.6.c.1 v.21.diem. Dum diem, dum leg. p.7.c.2.v.53.Nam etsi cæteris, à cæteris leg. p.10.c.1.v.38.earum, rarum leg. ibid.v.50.permeari, permeare leg. p.11.c.2.v.11.hanc hunc leg. ibid.v.38.post statuerunt, leg ignorantes de quibus statuerunt. Naturam verò Dij omnes certo ordine constituerunt. Quæ igitur homines statuerunt, ea nunquam &c. p.15.v.8 in commune tamen in ea, quæ existunt imperium, exercent, distinctiones tollendæ sunt. p.18.c.1.v.32.sensui etiam, sensim etiam leg. ibid.v.50.separetur, superetur leg. ibid.c.2.v.48.διϊςῶν, διϊστῶν leg. pag.19.c.2.v.19.& acutiorem, eò acutiorem leg. pag.20.col.1.v.57.ob aquilonis, ab aquilone leg. pag.21. c.2.v.5.post perdurant leg. & ventos frigidos ad vicinas insulas mittunt. In his verò quæ in alto sita sunt, per hyemem non perdurant. At verò &c. p.22.c.2.v.45.ἐς ποιὸν, ἑωυτὸν leg.

Errata.

HIPPOCRATIS COI MEDICORVM PRINCIPIS, OPERVM OMNIVM,

Sectio V,

τὰ θεραπευτικά, hoc est, quæ ad curationem pertinent, octo libris continens, quorum catalogum sequens pagina indicat.

Omnia nunc recens Latina interpretatione donata, & breuibus notis illustrata,

ANVTIO FOESIO Mediomatrico Medico authore.

Sectio quinta continet,

Περὶ νούσων, *De Morbis, Lib.* IIII.
Περὶ παθῶν, *De affectionibus, Lib.* I.
Περὶ τῶν ἐντὸς παθῶν, *De internis affectionibus, Lib.* I.
Περὶ παρθενίων, *De his quæ ad virgines spectant, Lib.* I.
Περὶ γυναικείης φύσιος, *De natura muliebri, Lib.* I.
Περὶ γυναικείων, *De mulierum morbis, Lib.* II.
Περὶ ἀφόρων, *De his quæ uterum non gerunt, Lib.* I.
Περὶ ὄψιος, *De videndi acie, Lib.* I.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

HIPPOCRATIS DE MORBIS, LIBER PRIMUS.

Ὅστις ἂν περὶ ἰήσιος ἐθέλῃ ἐρωτᾷν τε ὀρθῶς, καὶ ἐρωτῶντι ἀποκρίνεσθαι, καὶ ἀντιλέγειν ὀρθῶς, ἐνθυμέεσθαι χρὴ τάδε. πρῶτον μὲν, ἀφ' ὧν αἱ νοῦσοι γίνονται πᾶσαι τοῖσιν ἀνθρώποισιν. ἔπειτα δὲ, ὁκόσα ἀνάγκας ἔχει τῶν νοσημάτων, ὡς ὅταν γένηται, εἶναι ἢ μακρὰ, ἢ βραχέα, ἢ θανάσιμα, ἢ μὴ θανάσιμα. ἢ ἔμπηρόν τι τοῦ σώματος γίνεσθαι, ἢ μὴ ἔμπηρον. καὶ ὁκόσα ἐπὴν γένηται, ἐνδοιαστὰ ἢ κακὰ ἀπ' αὐτέων ἀποβαίνει, ἢ ἀγαθά. καὶ ἀφ' ὁκοίων νουσημάτων, ἐφ' ὁκοῖα μεταπίπτει. καὶ ὁκόσα ἐπιτυχίῃ ποιέουσιν οἱ ἰητροὶ θεραπεύοντες τοὺς ἀσθενέοντας. καὶ ὁκόσα ἀγαθὰ ἢ κακὰ οἱ νοσέοντες ἐν τῇσι νούσοισι πάσχουσι. καὶ ὁκόσα ἀκαιρίῃ ἢ λέγεται ἢ ποιέεται ὑπὸ τοῦ ἰητροῦ πρὸς τὸν νοσέοντα, ἢ ἀπὸ τοῦ νοσέοντος πρὸς τὸν ἰητρόν. καὶ ὁκόσα ἀκριβῶς ποιέεται ἐν τῇ τέχνῃ καὶ λέγεται, καὶ ἅτε ὀρθὰ ἐν αὐτῇ, καὶ ἅτε μὴ ὀρθά. καὶ ὅ,τι αὐτῆς ἀρχὴ, ἢ τελευτὴ, ἢ μέσον, ἢ ἄλλο τι ἀποδεδειγμένον τῶν τοιούτων, ὅ,τι καὶ ὀρθῶς ἐστὶν ἐν αὐτῇ εἰρῆσθαι, ἢ μὴ εἰρῆσθαι. καὶ τὰ σμικρὰ καὶ τὰ μεγάλα. καὶ τὰ πουλλὰ καὶ τὰ ὀλίγα. καὶ ὅ,τι ἅπαν ἐστὶν ἐν αὐτῇ ἕν. καὶ πάντα, καὶ ὅ,τι ἕν. καὶ τὰ δυνατὰ νοῆσαί τε καὶ εἰπεῖν. καὶ εἰ δέῃ, μήτε νοῆσαι, μήτε εἰπεῖν, μήτε ποιῆσαι. καὶ ὅ,τι εὐκαιρίη ἐν αὐτῇ. καὶ ὅ,τι ἀκαιρίη. καὶ ὅ,τι καιρὸς, καὶ ὅ,τι ἀκαιρίη. καὶ τῶν τεχνέων τῶν ἄλλων ᾗσι τε ἔοικε, καὶ οἷσιν οὐδὲν ἔοικε. καὶ τοῦ σώματος, ὅ,τι θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν. καὶ ὅ,τι ἰσχυρὸν ἢ ἀσθενὲς, ἢ πυκνὸν, ἢ ἀραιόν. καὶ ὁκόσα τῶν πολλῶν ὀλίγα γίνεται, ἢ ἐπὶ τὸ κάκιον, ἢ ἐπὶ τὸ ἄμεινον. καὶ ὅ,τι καλῶς ἢ αἰσχρῶς, ἢ βραδέως ἢ ταχέως, ἢ ὀρθῶς ἢ μὴ ὀρθῶς. καὶ ὅ,τι κακὸν ἐπὶ κακῷ ἀνάγκη γίνεσθαι. ταῦτα ἐνθυμηθέντα διαφυλάσσειν δεῖ ἐν τοῖσι λόγοισιν, ὅ,τι ἂν δή τις τούτων ἁμαρτάνῃ ἢ λέγων, ἢ ἐρωτῶν, ἢ ἀποκρινόμενος. καὶ ἢν πουλλὰ ἐόντα σμικρὰ, καὶ ἢν ἀδύνατα ἐόντα, δυνατὰ φῇ εἶναι. ἢ ὅ,τι ἂν ἄλλο ἁμαρτάνῃ λέγων, ταύτῃ φυλάσσοντα χρὴ ἐπιτίθεσθαι

QVi de morborum curatione tum scitè interrogare, tum ad quæsita respŏdere volet, & commodè obiecta refutare, hæc secum reputare cŏuenit. Primùm quidem ex quibus morbi omnibus hominibus oriuntur. Deinde verò, qui morbi cùm necessarias causas habeăt, aut longi sunt, aut breues, aut lethales, aut minimè lethales, num pars aliqua corporis mutila reddatur, nécne. Et qui vbi exorti sunt, euenta habent dubia, aut mala, aut bona, & ex quibus in quosnam transitiones fiant, quæq; Medicis in ægrorum curatione prosperè succedunt, & quæ ægrotantibus in morbis mala aut bona cŏtingunt, quęque intempestiuè dicuntur aut fiunt à Medico erga ægrum, aut ab ægro erga Medicum, quæ etiam in arte exactè fiunt aut dicuntur, & quæ in ea recta, vel quæ non recta, quodque eius principium, vel finis, vel medium, aut aliud quid ex his, quod in ea rectè se habere, vel non habere demonstretur, & quæ parua, quæ magna, quæq; copiosa & pauca. Quodq; totum in ea vnum est, & omnia quicquid vnum. Et quę effici posse constat cùm intelligere, tum dicere, & si opus est, neque nosse, neque dicere, neque facere. Et quicquid in ea promptitudinem habet, aut non habet, & quicquid opportunum, & inopportunum. Quibusq; aliis artibus similis sit, & quibus nihil similis. Corpusque quodnam calidum, aut frigidum, aut siccum, aut humidum, & quodnam robustum aut debile, aut densum, aut rarum. Et quæ ex multis pauca fiunt, aut in peius, aut melius vertunt. Quodq; honestè vel turpiter, vel tardè, vel citò, vel rectè, vel non rectè, & quodnam malum malo succedere necesse est. Quæ animo secum reputantem in oratione obseruare oportet, & in quo quis aut dicendo, aut vestigando, aut respondendo, ab his aberret, an quæ multa sunt, pauca, & quæ fieri non possunt, ea fieri posse asserat, & quicquid aliud dicendo peccarit, hoc modo obseruando,

contraria oratione insectari. Morbi igitur omnes oriuntur partim quidem ex his quæ in corpore insunt, pituita & bile, partim verò ex his quæ extra obueniunt, laboribus & vulneribus, quin & à calido supra modum calefaciente, & frigido supra modum refrigerante, & sicco plus æquo resiccante, & humido etiam plus æquo humectante. Ac bilis quidem & pituita vnà oriuntur cum his quæ in nobis nascuntur, & in corpore modò plus, modò minùs insunt. Morbos autem exhibent, partim quidem ex cibis & potibus, partim verò ex calido supra modum calefaciente, & frigido supra modum refrigerante. Hæc autē cùm fiunt 10 ex necessitate contingunt, in vulneribus quidem, si crassi nerui & musculorum capita, in femoribus præsertim, vulnus acceperint, necessaria est claudicatio. Moritur etiam si quis vulneratum habet cerebrū, aut spinalem medullam, aut iecur, aut septum transuersum, aut vesicam, aut venam aliquam multum sanguinem effundētem, aut cor. Ex vulnere autem minimè mori contingit, si his partibus vulnus acceptum non fuerit, sed ab his quàm longissimè absit. At hi morbi ex necessitate cùm adsunt mortem afferunt, tabes, aqua subter cutem, mulierem vtero gerentē si pulmonis inflammatio, aut febris ardens, aut morbus lateralis, aut phrenitis prehendit, aut si ei ysipelas in vtero oritur. Hi verò morbi dubium habent vitæ exitū, pulmonis inflammatio, febris ardēs, phrenitis, lateris dolor, angina, vua, hepaticus & splenicus affectus, renū morbus, intestinorum difficultas, in muliere sanguinis fluor. Isti verò minimè lethales, nisi quid ipsis accedat, diuturnæ in articulos fluxiones (κέδματα dictæ) melancholia, podagra, coxendicum affectus, crebra & inanis desidendi voluntas, quartana, tertiana, stranguria, lippitudo, lepra, impetigo, morbus articularis. Multi autem plærumque ab his parte aliqua corporis mutilantur, manuum quidem & pedum resolutione tentantur, vocis impotentia tenentur, & ab atra bile leuiter resoluuntur, claudi ex coxendicum morbo euadunt, oculis & auditione priuantur, pituita illuc incumbente. Longos autem hos esse necesse est, tabem, intestinorum difficultatem, podagram, diuturnas in articulos fluxiones (κέδματα dictas) pituitam albā, morbum coxarium, stranguriam: senibus verò renum dolorem, mulieribus fluorem sanguineum, venarū quæ in ano sunt profluuium (hæmorrhoidas vocant) fistulas. Febris ardens, phrenitis, pulmonum inflammatio, angina, vua, lateris dolor, citò ad iudicationem perueniunt. Hi autem in alios transeunt, morbus lateralis in febrem ardentem, & phrenitis in pulmonum inflammationem, ex pulmonis autem inflammatione febris ardens non fit. Crebra & inanis egerendi voluntas (τεινεσμὸς dicitur) in intestinorum difficultatem trāsit, & ad intestinorum difficultatem intestinorū læuitas siue lienteria consequitur. Ex intestinorum læuitate & pituita alba, in aquam intercutem transitus fit, & ex pulmonis inflāmatione & morbo laterali in thoracis suppurationē. Hæc verò mala malis superuenire necesse est. Si rigor corripuerit, calor igneus succedit, & neruus præcisus conuulsionem facit, & vt minimè coalescit, ita vehementer inflammatur. Et si cerebrum tum concussum fuerit, tum alicui ex plaga doluerit, eum illico voce deficere, neque videre, neque audire necesse est. Sin verò vulneratum fuerit, febrem & bilis vomitionem succedere, corporisq; partem aliquam resolutam

ἐν τῇ ἀντιλογίᾳ. [3] αἱ μὲν οὖν νοῦσοι γίνονται ἅπασαι, τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπό τε χολῆς καὶ φλέγματος. τῶν δὲ ἔξωθεν, ἀπὸ πόνων καὶ τρωμάτων. ἀλλὰ καὶ τοῦ θερμοῦ καὶ ὑπερθερμαίνοντος, καὶ τοῦ ψυχροῦ καὶ ὑπερψύχοντος. [4] καὶ τοῦ ξηροῦ, καὶ ὑπερξηραίνοντος. καὶ τοῦ ὑγροῦ καὶ ὑπερυγραίνοντος. καὶ ἡ μὲν χολὴ καὶ τὸ φλέγμα, γινομένοισί τε συγγίνεται, καὶ ἔστιν ἐν τῷ σώματι, ἢ πλέον, ἢ ἔλασσον. τὰς δὲ νούσους παρέχεται, τὰς μὲν, ἀπὸ σιτίων καὶ ποτῶν. τὰς δὲ, ἀπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος. καὶ ἀπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. ἀνάγκη δὲ τὰ τοιάδε ἔχει, ὥστε γίνεσθαι ἐκ τρωμ. γίνεται, ἐν μὲν τοῖσι τρώμασι, νεῦρα τὰ παχέα τιτρωσκομένοις, ἀνάγκη χωλοῦσθαι. καὶ τῶν μυῶν τὰς κεφαλὰς, μάλιστα τῶν ἐν τοῖσι μηροῖσιν. [5] ἀποθνήσκει δὲ, ἢν τις ἐγκέφαλον τρωθῇ. ἢ ῥαχίτην μυελόν. ἢ ἧπαρ. ἢ φρένας. ἢ κύστιν. ἢ φλέβα αἱμόρροον. ἢ καρδίην. μὴ ἀποθνήσκειν δὲ τιτρωσκομένους, ἐν οἷσι ταῦτα τῶν μελέων μὴ ἐνείη, ἀλλὰ τούτων προσωτάτω ἐστί. τῶν δὲ νουσημάτων τὰ τοιάδε, ἔχει ἀνάγκας ὥστε ὑπ' αὐτῶν ἀπόλλυσθαι ὅταν γίνωνται. φθίσις. ὕδρωψ ὑποσαρκίδιος. καὶ γυναῖκα ὁκόταν ἔμβρυον ἐχούσας περιπνευμονίη, ἢ καῦσος λάβῃ, ἢ πλευρῖτις, ἢ φρενῖτις, [6] ἢ ἐρυσίπελας ἐν τῇσιν ὑστέρῃσι γίνηται. [7] ἐνδοιαστὰ δὲ τὰ τοιαῦτα ἀπολλύναι τε καὶ μή. περιπνευμονίη. καῦσος. φρενῖτις. πλευρῖτις. κυνάγχη. σταφυλή. ἡπατῖτις. σπληνῖτις. νεφρῖτις. δυσεντερίη. γυναικὶ ῥόος αἱματώδης. τὰ δὲ τοιάδε, οὐ θανάσιμα, ἢν μή τι αὐτοῖσι προσγίνηται. [8] κέδματα. μελαγχολίη. ποδάγρη. ἰσχιάς. τεινεσμός. τεταρταῖος. τριταῖος. στραγγουρίη. ὀφθαλμίη. λέπρη. λειχήν. ἀρθρῖτις. ἔμπηροι δὲ πολλάκις ἀπὸ τῶνδε γίνονται πολλοί. ἀπόπληκτοι μὲν χεῖρας καὶ πόδας. [9] καὶ φωνῆς ἀκρατέες. 30 καὶ παραπλῆγες ὑπὸ μελαίνης χολῆς. χωλοὶ δὲ ὑπὸ ἰσχιάδων. ὄμματα δὲ πηροῦνται καὶ ἀκοὴν ὑπὸ φλέγματος καταστηρίξαντος. μακρὰ δὲ τάδε ἀνάγκη εἶναι. φθίσιν. δυσεντερίην. ποδάγρην. κέδματα. φλέγμα λευκόν. ἰσχιάδα. στραγγουρίην. γεραιτέροισι δὲ, [10] νεφρῖτιν. γυναιξὶ δὲ, ῥόον αἱματώδη, αἱμορροΐδας, σύριγγας. καῦσος. φρενῖτις. περιπνευμονίη. κυνάγχη. σταφυλή. πλευρῖτις ταχέως κρίνει. μεταπίπτει δὲ τάδε. [11] ἐκ πλευρίτιδος, εἰς καῦσον. καὶ ἐκ φρενίτιδος ἐς περιπνευμονίην. ἐκ δὲ περιπνευμονίης, καῦσος οὐκ ἂν γένοιτο. ἐς δυσεντερίην, 40 τεινεσμός. [12] ἀπὸ δὲ δυσεντερίης, λειεντερίη. ἐκ δὲ λειεντερίης, ἐς ὕδρωπα. [13] καὶ ἐκ λευκοῦ φλέγματος, ἐς ὕδρωπα, καὶ ἐκ περιπλευμονίης καὶ πλευρίτιδος, ἐς ἐμπύημα. τὰ δὲ ἐπὶ κακοῖσιν, ἀνάγκη κακὰ γίνεσθαι. ῥῖγος ἢν λάβῃ, πῦρ ἐπιλαμβάνει. καὶ νεῦρον ἢν διακοπῇ, σπασμὸν ποιεῖ. καὶ μήτε συμφῦναι διακοπὲν, φλεγμαίνει τε ἰσχυρῶς. [14] καὶ ἢν ὁ ἐγκέφαλος σεισθῇ τε καὶ πονέσῃ, ἐκ πληγέντος, ἄφωνον παραχρῆμα γίνεσθαι ἀνάγκη, καὶ μήτε ὁρᾶν, μήτε ἀκούειν. [15] ἢν δὲ τρωθῇ, πυρετόν τε ἐπιγίνεσθαι, καὶ χολῆς ἔμετον. καὶ ἀποπληκτόν τι τοῦ σώματος γίνεσθαι

καὶ ἀπολ-

καὶ ἀπόλλυσθαι.[16] ἐπίπλοον δ' ἢν ἐκπέσῃ, ἀνάγκη ἐστὶ ἀποσαπῆναι.[17] καὶ ἢν αἷμα, ἐκ τρώματος ἢ φλεβὸς ῥυῇ, ἐς τὴν ἄνω κοιλίην, ἀνάγκη τοῦτο πύος γενέσθαι. Καιροὶ δὲ τὸ μὲν καθάπαξ εἰπεῖν, πολλοί τε εἰσὶν ἐπὶ τῇ τέχνῃ καὶ παντοῖοι, ὥσπερ καὶ τὰ νοσήματα καὶ τὰ παθήματα καὶ τούτων θεραπεῖαι. εἰσὶ δὲ ὀξύτατοι μὲν,[18] ὅσοις ἢ ἐκψυχοῦσι δεῖ τι ὠφελῆσαι, ἢ οὐρῆσαι, ἢ ἀποπατῆσαι μὴ δυναμένοισιν, ἢ πνιγομένοισιν, ἢ γυναῖκα τικτούσης, ἢ τιτρωσκομένην ἀπαλλάξαι, ἢ ὅσα τοιαῦτά ἐστι. καὶ οὗτοι μὲν ὀξέες καὶ οὐκ ἀρκέει ὀλίγῳ ὕστερον. ἀπόλλυνται γὰρ οἱ πουλλοὶ ὀλίγῳ ὕστερον. ὁ μέντοι καιρὸς ἐστὶν ἐπὴν πάθῃ τούτων ὁ ἄνθρωπος ὅ, τι ἤν τις[19] πρὸ τοῦ τὴν ψυχὴν μεθιέναι ὠφελήσῃ, τοῦτο ἐπειδὴ ἐν καιρῷ λάβῃ ὠφελῆσαι. ἔστι μὲν οὖν σχεδόν τι οὗτος ὁ καιρὸς, καὶ ἐν τοῖσιν ἄλλοισι νοσήμασιν.[20] αἰεὶ γὰρ ἐν ᾧ ἄν τις ὠφελήσῃ, ἐν καιρῷ ὠφέλησεν. ὁκόσα δὲ τῶν νοσημάτων ἢ τρωμάτων μὴ ἐς θάνατον φέρει, ἀλλὰ χρόνιά ἐστιν, ὀδύναι τε γίνονται ἐν αὐτέοισιν, ἀλλ' οἷά τέ ἐστιν, ἤν τις ὀρθῶς θεραπεύσῃ, παύσασθαι. τούτοισι δ' οὐκ ἀρκέουσι γινόμεναι ὠφέλειαι ἀπὸ τοῦ ἰητροῦ ὅταν γίνωνται. καὶ γὰρ μὴ παρεόντος ἰητροῦ, ἐπαύσαντο ἄν. ἕτερα δὲ νοσήματά ἐστιν, οἷσι καιρὸς ἐστὶ θεραπεύεσθαι τὸ περὶ τὴν ἡμέρην· διαφέρει δ' οὐδὲν ἢ πάνυ πρωῒ, ἢ ὀλίγῳ ὕστερον. ἕτερα δὲ νοσήματά ἐστιν, οἷσι καιρὸς θεραπευθῆναι, ἅπαξ τῆς ἡμέρης, καὶ ὁπηνίκα γε οὐδὲν διαφέρει. ἕτερα δὲ, διὰ τρίτης ἢ τετάρτης ἡμέρης. καὶ ἕτερα ἅπαξ τοῦ μηνός. καὶ ἕτερα γε διὰ τριῶν μηνῶν. καὶ τοῦ τρίτου ἱσταμένου ἢ φθίνοντος, οὐδὲν διαφέρει. τοιοῦτοι οἱ καιροί εἰσιν, ἐν οἷσι καὶ ἀκριβείην οὐκ ἔχουσιν ἄλλην, ἢ ταύτην. ἀκαιρίη δέ ἐστι τὰ τοιάδε. ὅσα μὲν περὶ τὴν ἠῶ θεραπεύεσθαι, ἢν μεσημβρίη θεραπευθῇ, ἀκαίρως δὲ ταύτῃ, ἐπεὶ ῥοπὴν ἴσχει ἐς τὸ κάκιον, διὰ τὴν μὴ ἐν καιρῷ θεραπείην. ὅσα δ' ἐς τάχα ἤν τε μεσημβρίης, ἤν τε ὀψὲ, ἤν τε τῆς νυκτὸς θεραπευθῇ, ἀκαίρως θεραπεύεται. καὶ ἢν οὖν ἦρος δέοι θεραπευθῆναι, θεραπεύοιτο χειμῶνος. ἢ τοῦ μὲν χειμῶνος δέοι, τοῦ θέρεος δὲ θεραπευθῇ. ἢ ὅ, τι ἤδη δεῖ θεραπεύεσθαι, τοῦτο δ' ἀναβληθῇ. ἢ ὅ, τι ἀναβάλλεσθαι δεῖ, τοῦτ' ἤδη θεραπευθῇ. τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται. Ὀρθῶς δὲ ἐν αὐτῇ, καὶ οὐκ ὀρθῶς τὰ τοιάδε. οὐκ ὀρθῶς μὲν, τὴν τε νοῦσον ἑτέρην ἐοῦσαν,[21] ἑτέρην φάναι. καὶ μεγάλην ἐοῦσαν, μικρὴν φάναι. καὶ σμικρὴν ἐοῦσαν, μεγάλην. καὶ περιεσόμενον, μὴ φάναι περιέσεσθαι. καὶ μέλλοντα ἀπολέεσθαι, μὴ φάναι ἀπολέεσθαι. καὶ ἔμπυον ἐόντα, μὴ γινώσκειν. μηδὲ νούσου μεγάλης τρεφομένης ἐν τῷ σώματι, γινώσκειν. καὶ φαρμάκου δεόμενον ἢ πότου,[22] τοῦ δεῖ, μὴ γινώσκειν. καὶ τὰ δυνατὰ, μὴ ἐξιῆσθαι· καὶ τὰ ἀδύνατα, φάναι ἐξιήσεσθαι. Ταῦτα μὲν οὖν εἰσι κατὰ γνώμην οὐκ ὀρθῶς. κατὰ δὲ χειρουργίαν, τάδε. πῦον ἐν ἕλκει ἐνεὸν ἢ ἐν φύματι, μὴ γινώσκειν. καὶ τὰ κατήγματα καὶ τὰ ἐκπτώματα μὴ γινώσκειν. καὶ μηλῶντα κεφαλὴν μὴ γινώσκειν, εἰ τὸ ὀστέον κατέηγε. μηδ' εἰς κύστιν αὐλίσκον καθιέντα, δύνασθαι καθιέναι. μηδὲ λίθου ἐν κύστει ἐνεόντος, γινώσκειν. μηδ' ἔμπυον ἐόντα, διασείοντα γινώσκειν. καὶ τάμνοντα ἢ καίοντα ἐκλείπειν ἢ τοῦ βάθεος, ἢ τοῦ μήκεος. ἢ καίειν τι καὶ τάμνειν, ἃ οὐ χρή. καὶ ταῦτα μὲν οὐκ

fieri ac perire. Omentum si procidat, vt putrefiat necesse est. Quòd si sanguis ex vulnere aut vena in superiorem ventrem fluxerit, id in pus verti necesse est. Opportunitates autem (vt semel dicam) multæ sunt in arte & variæ, velut & morbi, & affectiones, eorumque curationes. Ac celerrimæ quidē sunt, quibus aut animo deficientibus opitulari licet, aut qui neq; vrinam neque stercus reddere possunt, aut qui suffocantur; aut mulierem prægnātem aut vulneratam liberare, aut quæ sunt eiusmodi. Et hæ quidem celeres, neq; confert paulò post, cùm plærique paulò postea moriantur. Opportunitas tamen est, cùm quid tale homini contingit, si quis antè quàm animam emittat iuuetur, id vbi tempore opportuno sumpserit, succurret. Est igitur hæc ferè opportunitas etiam in aliis morbis. Semper enim quocunq; tempore quis auxilium attulerit, opportuno tempore auxilium attulisse dicitur. Qui verò morbi aut vulnera minimè mortem afferunt, sed periculo sunt obnoxia, & dolores habēt, possunt tamen si quis rectè curauerit, sedari. His nō conferunt adhibita à Medico remedia, vbi admouentur. Etenim etiam non præsente Medico cessare possunt. Sunt autem alij morbi, qui opportunè matutino diei tempore curantur, nihilq; refert, an summo mane, an paulò posteriùs. Alij verò morbi semel die opportunè curantur, neque refert quando id fiat. Quidam etiam tertiò quoq; aut quarto die, quidā etiam semel mense, & alij quidem tertio quoq; mense, neque refert an tertio ineunte aut desinente id fiat. Atque eiusmodi sunt temporum opportunitates, in quibus non aliam quàm istam exquisitam diligentiam inuenias. Temporis autem inopportunitatem habent, quæ quidem manè curanda sunt, si meridie curentur. Intempestiuè autem hac ratione fiunt, quandoquidem ad peius inclinant, ob minimè opportunam curationem. Quæ verò celerem curationem postulant, siue meridie, siue vesperi, siue noctu curentur, intempestiuè curantur, & si quę vere curari debeant, hyeme curentur, aut quæ hyeme, æstate curentur, aut si quod iam curari oporteat, id ipsum differatur, aut quod differri oportuit, si iam curetur, hæcq; omnia intempestiuam curationem habent. In arte autem ista rectè vel non rectè fiunt. Non rectè quidem fit, si cùm alius morbus existat, alium apparere dicas, si cùm magnus sit, paruum, & si cùm paruus sit, magnum pronūcies, & eum qui superstes futurus est, superstitem futurum non affirmare, neque eum qui periturus est, periturum dicere, & eum qui suppuratus est non cognoscere, neq; nosse si magnus in corpore morbus increscat, & si quis medicamento aut potione indigeat, vtro opus sit nescire, & quæ sanari possunt, minimè sanari posse, & quæ non possunt, sanari posse affirmare. Atq; hæc quidem non recto mentis consilio fiunt. Ista verò malam habent manuum tractationem, vlceris aut tuberculi pus non cognoscere, ossa fracta, & vbi suis sedibus excesserunt, non nosse, capitis os specillo admoto fractū ne sit non dignoscere, & fistulam in vesicam immissam demittere non posse, neq; lapidem in vesica, neq; pus thorace collectū ex concussione nosse, & secando aut vrendo fundū aut latitudinem non attingere, & vrere aut secare quæ non oportet. Et hæc quidem non

rectè fiunt, ista autem rectè, si quis morbos quinā sint & ex quibus oriātur cognoscat, & quinam ex his longi, quinam breues, & qui lethales, & qui minimè lethales, qui in alios transeunt, qui increscunt, quinam emarcescunt, qui magni, qui parui, & inter curandum hos quidem curari posse, hos verò non posse, & nosse quamobrem non possint, & dum curantur, qui ita se habent, curatione quoad eius fieri potest prodesse. At quæ ægrotantibus offeruntur, ea sic obseruare oportet, recténe an nō rectè fiant, si quis quæ siccari oportet humectet, aut si quæ incrassare conuenit, ea nō exhibeat ex quibus incrassare oportet, aut quæ attenuāda, non attenuet, aut refrigeranda, non refrigeret, aut calefacienda, non calefaciat, aut putrefacienda non putrefaciat, & reliqua secundum rationē. Hæc autem in morbis tum bona tum mala sua sponte hominibus contingunt. Febricitanti quidem & bilioso, si bilis suo tempore, extra dispersa fuerit, bono est. Sub cutē verò effusa ac dispersa, ægroto toleratu facilior, & Medico curatu promptior. Effusa autē ac dissipata, & in vnam aliquam corporis partē incumbens, malo est. In morbo laterali aut pulmonis inflammatione detento, aut suppuratum thoracem habenti, aluus perturbata, malo est. Febricitanti verò aut accepto vulnere aluus resiccata, malū denunciat. Subaquoso & lienoso, albaq; pituita detento, aluus vehementer perturbata, bono est. Si erysipelas foras diffusum intrò vertatur, malū, si verò intus effusum, foras vertatur, bonum. Vehemēti alui profluuio detento, succedens vomitus bono est. Mulieri sanguinem vomēti, profluuium menstruum erumpere, bonum. Ei autem quæ fluore muliebri vrgetur, ad nares aut os fluorem transire, bono est. Mulieri ex partu cōuulsione infestatæ, si febris succedat, bono est. Si distentio aut conuulsio detineat, febrem superuenire bonū. Hæc enim eiusmodi ex nulla Medicorum inscitia, neque scientia contingunt, sed cùm spontè fœliciter succedant, eadem ratione tum iuuāt, tum nocent. Hæc autem Medicis inter curandū benè fœliciterq; succedunt, si medicamento purgante exhibito, purgatio per superiora & inferiora rectè procedat. Et si mulieri exhibito medicamento, quod bilem aut pituitam deorsum educat, menses retardati erumpant. Et si cui lienem suppuratum habenti medicamento exhibito quod bilem & pituitam deorsum educat, pus ex liene per inferiora expurgarūt, & morbo liberarunt. Siq; calculum habenti exhibito medicamento purgāte, calculum in meatum vrinarium medicamenti vi protruserunt, ita vt cum vrina exeat. Et si ei qui pus in superiore ventre ex tuberculo collectum habet, id ipsum ignorantes, medicamentū quod pituitam sursum educat exhibuerint, isque pus vomitione reiecerit, sanusq; euaserit. Et cùm curando eum qui ex medicamento p superiora purgante supra modum purgatur, aluo sponte erūpente, a vomitu sanum reddunt. At mala hæc aduersa fortuna perpetrāt Medici, si exhibito quod pituitam sursum educat, venam in pectore præ vomitione ruperint, cùm nullus antea ibi manifestus dolor existeret, & morbus cōtrahatur. Si mulieri vtero gerenti exhibito medicamento sursum purgante, aluus affatim deorsum erumpens, fœtum abortione eiecit. Si suppuratū dum curatur aluus

ὀρθῶς. ὀρθῶς δὲ, ἤν τε νοσήματα γινώσκῃ ἅ τέ ἐστι καὶ ἀφ' ὅτων. καὶ τὰ μακρὰ αὐτῶν, καὶ τὰ βραχέα, καὶ τὰ θανάσιμα, καὶ τὰ μὴ θανάσιμα. καὶ τὰ μεταπίπτοντα. καὶ τὰ αὐξανόμενα. καὶ τὰ μαραινόμενα. καὶ τὰ μεγάλα, καὶ τὰ σμικρά. καὶ θεραπεύοντα, τὰ μὲν, αἰνυστὰ ἐκθεραπεύειν, τὰ δὲ, μὴ αἰνυστὰ εἰδέναι, διότι οὐκ αἰνυστά. καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας, ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ δυνατόν. τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσιν ὧδε χρὴ φυλάσσειν, τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς. ἤν τις ἃ δεῖ ξηραίνειν, ὑγραίνῃ. ἢ παχύνειν
10 δέῃ, μὴ προσφέρῃ ἀφ' ὧν δεῖ παχύνειν. ἢ ἃ δεῖ λεπτύνειν, μὴ λεπτύνῃ. ἢ ψύχειν, μὴ ψύχῃ. ἢ θερμαίνειν, μὴ θερμαίνῃ. ἢ σήπειν, μὴ σήπῃ, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τύπισι. τὰ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταυτομάτου ἐν τῇσι νούσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. πυρέσσοντι μὲν καὶ χολῶντι, ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν. ὑπὸ τὸ δέρμα δὲ κεχυμένη καὶ ἐσκεδασμένη, εὐπετεστέρα ἔχει τὰ περὶ ἔχοντι, τῷ δ' ἰωμένῳ ἰῆσθαι. κεχυμένη δὲ καὶ ἐσκεδασμένη, πρὸς ἕν τι τοῦ σώματος προσπεσοῦσα, κακόν.[23] κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ περιπνευμονίης, ἢ ἐμπύῳ ἐόντι κακόν. πυρέσσοντι δὲ ἢ τρῶμα τετρωμένῳ
20 κοιλίη ἀποξηρανθεῖσα, κακόν. ὑφύδρῳ καὶ σπληνώδει[24] ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ, ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν.[25] ἐρυσίπελας ἢν ἔξω καταχεχυμένον ἔσω τράπηται, κακόν. ἢν δὲ ἔσω καταχεχυμένον ἔξω τράπηται, ἀγαθόν.[26] διαρροίῃ δὲ ἐχομένῳ ἰσχυρῇ, ὁ ἔμετος γινόμενος, ἀγαθόν.[27] γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν. ὑπὸ ῥόου δὲ πιεζομένῃ, ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. γυναικὶ ὑπὸ σπασμοῦ πιεζομένῃ ἐκ τόκου, πυρετὸν ἐπιγενέσθαι, ἀγαθόν.[28] καὶ τετάνου ἔχοντος καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι ἀγαθόν. τὰ γὰρ τοιαῦ-
30 τα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔτε σοφίην ἰητρῶν, γίνεταί τι καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης γινόμενά τε ὠφελέει καὶ βλάπτει κατὰ τὸν αὐτὸν λόγον. ἐπιτυχίη δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. ἄνω φάρμακον δόντες, καθαίρουσι, καὶ ἄνω καὶ κάτω καλῶς. καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέρρηξαν. καὶ σπλῆνα ἔμπυον ἔχοντι, κάτω φάρμακον δόντες ὥστε χολὴν καὶ φλέγμα καθῆραι, πῦος κάτω ἐκάθηραν ἀπὸ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νούσου. καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προσ-
40 έωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥστε ἐξουρηθῆναι. καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅ, τι ἔχει, δόντες ἄνω φάρμακον, ὅ, τι φλέγμα καθαίρει, ἤμεσε τὸ πῦον καὶ ἐγένετο ὑγιής. καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καταρραγείσης τῆς κοιλίης ἀπὸ ταυτομάτου τοῦ ἐμέτου, ὑγιᾶ ἐποίησαν. κακὰ δὲ τοιάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος, φλέβα ἐν τοῖσι στήθεσιν ἔρρηξαν ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ
50 στήθει φανερὸν, καὶ ἐγένετο νοῦσος. καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον. καὶ ἔμπυον θεραπεύοντι ἡ κοιλίη ῥυεῖσα,

διαφθείρεται. καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείφοντι, ὀδύναι ἐνέπεσον ὀξύτεραι. κἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε. καὶ λεχοῖ ἐπὶ γαστρὸς ὀδύνης, ἢν δῶιν τι ὁ ἰητρὸς καὶ κακῶς ἔχῃ, ἢ καὶ ἀπόλλυται, ὁ ἰητρὸς αἴτιος. σχεδὸν δὲ ὅσα ἀναγκαίως ἔχει ὥστε γίνεσθαι ἐν τοῖσι νοσήμασι καὶ τρώμασι, κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων. καὶ τὴν ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι οὐ γινώσκουσι. καὶ ἢν ἐπὶ πυρέσσοντι ἢ τρῶμα ἔχοντι, ἐσελθὼν καὶ προσενέγκας τὸ πρῶτον μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται. ἢν δὲ ὠφελήσῃ, [29] οὕτω δὲ οὐχ ὁμαλῶς ἐπαινέουσι, χρῆν γὰρ πεπονθέναι αὐτὸν, δοκέουσι. τὰ δὲ ἕλκεα φλεγμαίνει, καὶ ἐν τῇσι νούσοισιν ἐστὶν ὀδύνας ἃς χρὴ γίνεσθαι αὐτόθι, οὐδὲ τὰ τοιάδε ὥστε μὴ γίνεσθαι. [30] νεῦρον διακοπὲν, οὐ συμφύει. οὐδὲ κύστις. οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν. οὐδὲ φλὲψ αἱμόρρους. οὐδὲ γνάθου τὸ λεπτόν. οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστιν ἥτις ὀρθῶς ἀρχή ἐστι πάσης τῆς τέχνης. οὐδὲ δεύτερον οὐδέν. οὐδὲ μέσον. οὐδὲ τελευτή. ἀλλὰ ἀρχόμεθά τε αὐτῆς, ὁτὲ λέγοντες, ὁτὲ ἐργαζόμενοι. καὶ τελευτῶμεν ὡσαύτως. καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ᾽ ἢν τὰ αὐτὰ λέγωμεν, οὐδὲ εἰς τοὺς αὐτοὺς τελευτῶμεν. καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον, οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς τὰ αὐτά. εὐχειρίη δέ ἐστι τὰ τοιάδε. ὅταν τις τάμνων ἢ καίων μήτε νεῦρον τάμνῃ ἢ καύσῃ, μήτε φλέβα. καὶ ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου. καὶ τάμνοντα δὲ κατὰ τὸν αὐτὸν λόγον. καὶ κατήγματα συντιθέναι ὀρθῶς. καὶ ὅ,τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο ἀπώσασθαι. λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς, καὶ λαμβάνοντα δὲ πιέζειν, [31] καὶ ὅσα ἀτρέμα λαβεῖν δεῖ, καὶ λαβόντα μὴ πιέζειν. καὶ ἐπιδέοντα στρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων. μηδὲ πιέζειν ἃ μὴ δεῖ. καὶ ψαύοντα ὅκου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. ταῦτα μὲν οὕτως ἐστὶν εὐχειρίη. τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν. ἢ καλῶς, ἢ μὴ καλῶς, ἢ μακροῖσιν, ἢ βραχέσιν. ἢ καλῶς ἐπιδεῖν, καὶ ἐπιδεσίας παντοίας, οὐ πρὸς τῇ τέχνῃ κρίνεται εὐχειρίης πέρι, ἀλλὰ χωρίς. ὁκόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα, ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν εἴτε ἐν τῇ ἄνω κοιλίῃ εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι, ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσιν ἢ πτύουσιν, ἢ ἄλγημά τι ἔχουσιν, ἢ ἐν τοῖσι στήθεσιν ἢ ἐν τῷ νώτῳ, ταῦτα πάντα ἴσχουσι. τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπὸ χολῆς καὶ φλέγματος, τῶν δὲ ἔξωθεν, ἀπὸ τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ. ἀτὰρ καὶ ἀπὸ πόνων καὶ τρωμάτων. καὶ ὁκόσοι μὲν τὸν πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. ἢν περιπλευμονίῃ ληφθεὶς μὴ καθαρθῇ, [32] ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ᾽ ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίνεται. καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πουλλά. ἢν δὲ ἀμεληθῇ ἐν τῷ πλεύμονι, διαφθείρεται, σηπόμενός τε καὶ σηπομένου, ἑλκοῦταί τε ὁ πλεύμων, καὶ διάπυος γίνεται. καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν, ὅ,τι καὶ ἄξιον λόγου τῆς τροφῆς, οὔτε τι ἀποκαθαίρεται ἀπ᾽ αὐτοῦ ἄνω οὐδέν,

profluens perdit. Siq; dum oculos curat & inungit, vehementiores dolores incidunt, ac fortè fortuna oculi rumpuntur & obſcurantur, idq; Medico crimini dāt, qui oculos ſubleuerit. Et ſi puerperæ in ventris dolore quid Medicus exhibuerit, & malè habeat, aut etiam pereat, Medicus in culpa eſſe dicitur. Ac ferè in morbis & vulneribus, vbi mala malis ex cauſis neceſſariis ſuccedunt, cùm iſta contingunt in Medicum cauſam conferunt, neq; talia ex neceſſitate fieri agnoſcunt. Et ſi ad febricitantem aut vulneratum ingreſſus, & oblatum quàm primùm remedium non iuuet, ſed poſtridie æger peiùs habeat, in Medicum culpam reiiciunt. Quòd ſi proſit, id tamen non perinde laudant, cùm id ei contingere oportere exiſtimant. Vlcera verò inflāmātur in morbis, & in quibuſdam dolores fieri oportet, neque aliter contingere poteſt. Neruus præciſus non coaleſcit, neque veſica, neque aliquod ex tenuibus inteſtinis, neque vena multum effundens ſanguinem, neque tenuis genæ pars, neq; præputium. Principium autem medicationis nullum eſt demonſtratione quidem cōſtans, quod vniuerſæ artis rectè principium ſit, nec ſecundum aliquod, nec medium, nec finis, ſed quandoq; in ea à verbis, quandoq; ab opere initium ſumimus, eodemq; modo deſinimus. Ad eandem rationem in opere, neq; ab iiſdem operibus initium ſumimus, neque in eadem deſinimus. Apta verò manuum tractatio in his eſt, ſi quis ſecando aut vrendo, neq; venam, neq; neruum attingat, & in purulento vrendo, ſi ad pus deueniat, & in ſecando eadem ratione. Si fracturas rectè componat, & corporis particulam quę naturali loco exciderit, ſi rectè in ſuum locum cōpellat. Quę vehementer apprehendere oportet, ea ſi apprehendēdo premat, & quæ leuiter apprehendenda ſunt, apprehendendo non premat. Quę recta ſunt deligando, ſi minimè detorqueat, neque premat quæ premenda non ſunt. Et quicquid attigerit, in contactu ſi nullum ſuperuacaneū dolorem exhibeat. Atque hæc quidem ad aptam manuum tractationem pertinent. At digitis decenter, aut probè, aut non probè, aut longis, aut breuibus aliquid apprehendere, aut probè deligare, & cuiuſquemodi deligaturas facere, nō in arte ad promptam manuum tractationem pertinere iudicandum, ſed ſeparatim tractandum. Qui pulmone, aut ſuperiore, aut inferiore ventre pus colligūt, aut tubercula, ſiue ſuperiore, ſiue inferiore ventre, aut pulmone habent, aut vlceribus interioribus laborant, aut ſanguinē vomitione vel ſputo reiiciunt, aut dolore aliquo aut in pectore, aut dorſo conflictantur, hæc omnia illis contingunt, ex his quidem quę in corpore inſunt, à bile & pituita, ex his verò quæ corpus extra afficiūt, ab aëre inſito calori cōmixto, quinetiam à laboribus & vulneribus. Atque ex his quidem cauſis pus in pulmone colligitur. Si pulmonis inflammatione detētus, diebus qui talia decernere creduntur non purgetur, ſed ſputum & pituita in pulmone remaneat, ſuppuratus fit. Qui ſi confeſtim curetur, plærunque euadit, ſin verò neglectus fuerit, pulmo ab eo quod inhæret putreſcente tum corrumpitur, tum vlceratur, & pus colligit, neque ampliùs intrò ad ſe effatu memorabile alimentum attrahit, neque ab eo quicquam per ſuperiora repurgatur,

ſed cùm ſuffocatur, tum ſemper maiore ſpirandi difficultate premitur, & inter reſpirandum ſtertit, indeq; ſuperiore pectore reſpirat, tandem verò obturatis à ſputo meatibus, perit. Fit quoq; ſuppuratus, ſi ipſi pituita ex capite in pulmonem defluxerit, ac primùm quidem vt plurimùm latenter defluit, tenuemq; tuſſim exhibet, ſputumq; paulò ſolito amarius exiſtit, calorq; tenuis adeſt. Progreſſu verò temporis, tum pulmo exaſperatur, tum intus à pituita inhæreſcente & putreſcente exulceratur, pondusq; in pectore, & dolorem acutũ antè & retro exhibet, corpus vehementer incaleſcit, pulmo à calore ad ſe pituitã ex toto corpore, præcipueq; ex capite trahit. Caput verò calefactum ex corpore, eamque putreſcentem ſubcraſſam expuit. Quantò verò longius tempus proceſſerit, tantò ſincerum magis pus expuit, & febres acutiores fiũt, tuſſisq; crebra & vehemens, inedia vexat, & ad extremum inferior aluus turbatur. Turbatur autem à pituita quæ ex capite deſcendit. Hic cùm eò peruenerit, perit quemadmodum in ſuperioribus dictum eſt, vbi pulmo purulentus & putridus extiterit, aut venter deorſum effluxerit. Ex his quoque purulentus pulmo exiſtit, cùm quædã in eo parua vena rupta fuerit, quæ ex laboribus rumpitur. Et cùm rupta fuerit, craſſior quidem plus fundit ſanguinis, tenuior verò minùs, partimq; confeſtim quidem ſanguinem expuit, partim verò, niſi adſtricta vena fuerit, in pulmonem effunditur, in eoq; putreſcit, cumq; putruerit, pus facit. Procedente verò tempore, interdum pus ſincerum, interdum ſubcruentum, quandoq; etiam ſanguinem, & ſi vena copia magna redundarit, ipſum copioſum ſanguinem confertim à ſe vomitione reiicit, pusque craſſum ab accedente pituita intus putrefacta expuitur. Hic ſi per morbi initia, antè quàm vena ſanguinem effundere & vehementer laxari cœperit, curatione præoccupetur, & priùs quàm extenuetur ac lecto decumbat, & priùs quàm caput corrumpi reliquumq; corpus tabeſcere incipiat, incolumis ab eiuſmodi morbo euadit. Quòd ſi neglectus fuerit, iſtaque prehenderint, ita vt his omnibus aut plæriſq; affectus ſit, perit. Hic autem perit ex iis quæ antè dixi, aut ex vomitu, copioſo ſanguine vomitione reiecto. At ſi vena quidem non omninò rupta fuerit, ſed ea præcipuè velut varix diſtẽditur, quod etiam confeſtim quidem vbi factum fuerit, dolorem quendam tenuem & tuſſim ſiccam exhibet. Si verò diutiùs traxerit & neglecta fuerit, primùm quidem paucum & ſubatrum ſanguinem tranſmittit, mox etiam copioſiorem & maximè ſincerum, deinde pus, & patitur quæ in ſuperioribus dicta ſunt. His confert, ſi circa exordia curandos ſuſceperis, vt manuum venæ relaxentur, & victus ratione vtatur ex qua ſiccisſimus & maximè exanguis euadat. Ad hunc verò eundem modum etiam venis in latere, quæ intus in ſummo innatant, accidit. Cùm igitur ex labore varicum modo intus eleuatæ fuerint, ſi quidem neglectæ fuerint, hęc perpetiuntur, & ſpõte ſanguis erumpit ac expuitur, eumq; interdum vomitione reiiciunt, & ſuppurati fiunt, ac plærũq; pereunt.

ἀλλὰ πνίγεταί τε καὶ δύσπνοος αἰεὶ ἐπὶ μᾶλλον. καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων. τέλος δὲ, ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος, καὶ ἀποθνήσκει. γίνεται δὲ καὶ ἔμπυος, καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα. καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον. καὶ βῆχα τε παρέχει λεπτήν. καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ εἰωθότος. καὶ ἄλλοτε θέρμη λεπτή. ὁκόταν δὲ ὁ χρόνος παρέλθῃ, τρηχύνεται τε ὁ πλεύμων καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος, ἐπιπαρμένου καὶ σηπομένου. καὶ βάρος παρέχει τοῖσι στήθεσι. καὶ ὀδύνην ὀξείην, πρόσω καὶ ὀπίσω. θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα. καὶ πλεύμων ἀπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ παντὸς σώματος φλέγμα, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς. ἡ δὲ κεφαλὴ θερμαινομένη ἐκ τοῦ σώματος, καὶ τὸ σηπόμενον, πτύει ὑπόπαχυ. ὅσῳ δ᾽ ἂν ὁ χρόνος παρέλθῃ, εἰλικρινὲς πτύει πύος. καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται. καὶ ἡ βὴξ πυκνὴ καὶ ἰσχυρή, καὶ ἡ ἀσιτίη διαφθείρει. καὶ τέλος, ἡ κοιλίη ἡ κάτω ταράσσεται. ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος. τὸ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει. ἐπὴν ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διαπυέντος τοῦ πλεύμονος καὶ σαπροῦ γινομένου, ἢ τῆς γαστρὸς ῥυείσης τῆς κάτω. γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων. ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ. ῥήγνυται δὲ ὑπὸ πόνων. καὶ ὅταν ῥαγῇ, αἱμοῤῥοεῖ τὸ φλέβιον. καὶ μὲν παχύτερον ἐῇ, μᾶλλον· ἢν δὲ λεπτότερον, ἧσσον. καὶ τὸ μὲν, παραυτίκα τοῦ αἵματος πτύει. τὸ δὲ, ἢν μὴ στεγνωθῇ ἡ φλέψ, χεῖται εἰς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ. καὶ ὅταν σαπῇ, πύον ποιεῖ. προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πύον εἰλικρινές. ἄλλοτε πύον ὕφαιμον. ἄλλοτε δὲ αἷμα. καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀφ᾽ ἑωυτοῦ ἀλὲς τοῦ αἵματος. τό, τε πύον πτύεται παχὺ, ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. ἐπὴν ἢν καταληφθῇ ἀρχομένου τοῦ νουσήματος πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοεῖν καὶ χαλᾶν ἰσχυρῶς, πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, ἐξαίτης τῆς τοιῆσδε νούσου γίνεται. ἢν δ᾽ ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥστε παθεῖν ἢ πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται. ἀπόλλυται δὲ ἐπὴν ἢ ὑπὸ τῶν ἀεὶ εἰρημένων ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου, αἵματος πολλοῦ πολλάκις ἐμεομένου. ἢν δὲ τὸ φλέβιον πάντα πάμπαν μὴ διαῤῥαγῇ, ἀνοιδέων δ᾽ ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα οἷον κιρσός. ὃ καὶ παραυτίκα μὲν ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν. ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαχωρέει αἵματος μὲν πρῶτον ὀλίγον καὶ ὑπομέλαν. ἔπειτα δὲ ἐπὶ πλεῖόν τε καὶ εἰλικρινέστατον. εἶτα πύον. καὶ πάσχει τε ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. συμφέρει δὲ τοῖσι τοιούτοισιν ἢν καταρχὰς λάβῃς θεραπεύειν, ὥστε αἵ τε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν. καὶ δίαιταν ὑφ᾽ ἧς ἔσται ξηρότατός τε καὶ ἀναιμότατος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον, καὶ τὰ ἐν τῇ πλευρῇ φλέβια πάσχει, ὅσα ἐστὶν ἀκρόπλοα εἴσω. ὁκόταν οὖν πονήσῃ, κιρσοειδέα τε γίνεται, καὶ μετέωρα εἴσω. καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει. ἐμέονταί τε καὶ πτύουσί τε ἀπὸ σφέων, αἷμα. καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται καὶ ὡς τὰ πολλὰ διεφθάρησαν.

ἢν δὲ θεραπεύωσιν ἀρχομένου τοῦ νουσήματος, αὖθις κατὰ χώρην ἱζάνουσιν εἰς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ τὰ ἀπ' αὐτοῦ πάσχουσί τε τὰ τοιαῦτα, καὶ τελευτῶσιν οὕτω. τὴν δὲ ἄνω κοιλίην, ἔμπυοι γίνονται πολλαχῶς. καὶ γὰρ ὅταν φλέγμα ῥυῇ ἐκ τῆς κεφαλῆς, ἀλὲς ἀθρόον ἐς τὴν ἄνω κοιλίην, σήπεταί τε καὶ γίνεται πύος. σήπεται δὲ,[38] ἐν ἡμέρῃσι μάλιστα, μιῇ καὶ εἴκοσι. τοῦτο οὖν διασείεται καὶ ἐκκλυδάζεται, τὸ πύος εἰς τὰ πλευρὰ προσπίπτον. ἢν μὲν οὖν καυθῇ ἢ τμηθῇ, πρὶν χρονίσαι τὸ πύος, ὑγιὴς γίνεται ὡς τὰ πολλά. γίνονται δὲ κατὰ τὴν ἄνω κοιλίην, ἔμπυοι, καὶ ἐκ πλευρίτιδος ὁκόταν ἰσχυρὴ γένηται. καὶ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσι μήτε σαπῇ μήτε λυθῇ, ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ προσπεπηγότος φλέγματος, καὶ χολῆς. καὶ ὁκόταν ἕλκος γένηται, ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πύος. καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' ἑωυτὸ φλέγμα. καὶ τοῦτο ὁκόταν σαπῇ, λύεται πύος. ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος, αἷμα. καὶ γίνεται σηπόμενον πύος. ἢν μὲν προσδεχθῇ ὑπολειφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἢν δὲ ἀμεληθῇ, διαφθείρεται. γίνονται δὲ ἔμπυοι, καὶ ἢν φλέγμα ἐκ τῆς κεφαλῆς ῥυὲν, πρὸς τὸ πλευρὸν προσπαγῇ καὶ σαπῇ. τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται καὶ πάσχει, ὅσαπερ ἐκ πλευρίτιδος ὅταν ἔμπυος γένηται. γίνονται δὲ καὶ ὁκόταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης,[39] ἢ ἄλλως πως ῥαγῇ, ἢ ἔμπροσθεν ἢ ὄπισθεν. ῥαγῇ δὲ, ὥστε μὴ παραυτίκα λύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ σπαδῶν γένηται. καὶ ἡ σὰρξ σπασθεῖσα, εἰρύσῃ ἰκμάδα ὀλίγην, καὶ γένηται ὑποπέλιδνος. καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ πάθων ὑπὸ ῥώμης καὶ εὐεξίης. εἰ δὲ καὶ αἰσθάνεται, μηδὲν πρῆγμα ἡγήσεται. ἢν δὲ ὅταν καταλάβῃ ὥστε αὐτὸν ὑπὸ πυρετῶν ληφθέντα λεπτυνθῆναι, ἢ ποσίων, ἢ λαγνείης, ἢ ἄλλου του, ἡ σὰρξ ἡ τετρωμένη, ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν, ἀπὸ τῶν πλησίον καὶ φλεβῶν, καὶ σαρκῶν. ὅταν δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτήν. καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον. ἔπειτα ἐπὶ μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην, καὶ βῆχα πυκνοτέρην. καὶ πτύει τὸ μὲν πρῶτον, ὑπόπυον. ἐνίοτε δὲ, ὑποπέλιδνον καὶ ὕφαιμον. ὅσῳ δὲ ἂν ὁ χρόνος πλείων, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν καὶ σήπει. καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν,[40] τοῦτο πύος γίνεται. καὶ ὀδύνην παρέχει ὀξείην. καὶ πυρετὸν. καὶ βῆχα, πολλήν τε καὶ πυκνήν. καὶ τὸ πτύσμα εἰλικρινὲς πτύει πύος. ἢν δὲ χρονίσῃ τὸ πύος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται ὑπ' αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω. θερμαινομένου δὲ τοῦ σώματος, μάλιστα ἐκτήκεται τὸ ὑγρόν. καὶ τὸ μὲν ἀπὸ τῶν ἄνω, ἐς τὴν ἄνω κοιλίην μάλιστα συρρεῖ, καὶ γίνεται πύος, πρὸς τῷ ἐνεόντι. τὸ δὲ καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ. καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ, καὶ διέφθειρε τὸν ἄνθρωπον. τὰ γὰρ ἐσιόντα τῶν σιτίων, διαχωρέει ἄπεπτα. καὶ τροφὴ ἀπ' αὐτῶν οὐ γίνεται τῷ σώματι. καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις, οὐχ ὁμαλὴ γίνεται. ἅτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἀγούσης πάντα κάτω, ἐφ' ἑωυτήν.

Quod si inter initia morbi curationem adhibeant, rursus venulæ suo loco ad latus subsidunt, & humiles fiunt. Et pulmo quidem ab his suppuratus redditur, & ab ipso talia perpetiuntur, sicque moriuntur. At verò multis modis superiore ventre pus colligunt. Nã cùm pituita multa è capite confertim in superiorem ventrem confluxerit, putrescit & pus euadit. Putrescit autem maximè diebus vno & viginti. Pus igitur ad latera illabens, commouetur & intus fluctuat. Hic si antequàm pus diutiùs permaneat, vratur aut secetur, plærunque sanus euadit. Ex morbo quoque laterali superiore ventre purulenti fiunt, cùm vehemens fuerit, neque diebus iudicare solitis computruerit, neq; per sputum reiectus fuerit, sed adhærescente ad latus pituita & bile ipsum vlceratum fuerit, cumq; vlcus factum fuerit, ex se pus effundit, & de vicinis locis calore pituitam ad se adducit, quæ vbi computruit, pus expuitur. Interdum verò etiam ex venis sanguis se ad vlcus transfundit, qui putrefactus in pus vertitur. Hic si confertim curandus suscipiatur, plærunq; sanus euadit, si verò negligatur, perit. Purulenti quoque etiam fiunt, si pituita è capite in latus defluat, illicq; adhærescens putrescat. Tum enim plerunque latus ipsum incenditur, eademq; perpetitur, quæ qui ex morbo laterali purulentus euadit. Fiunt etiam cùm ex immoderato labore aut exercitatione, aut quauis alia ratione parte anteriore aut posteriore ruptio ita facta fuerit, vt non confestim sanguis expuatur, sed vulsum in carne contingit, quæ diuulsa paucam humiditatem attrahit, & subliuida euadit. Quod quidem qui ita affectus est præ robore aut bono corporis habitu non statim sentit, aut si sentit, pro nihilo reputat. Hic cùm perceperit se sic febribus detineri vt extenuetur, aut ex potionibus, aut venere, aut quauis alia re, caro vulnerata, aliquantulum resiccatur & incalescit, & ex vicinis, tum venis, tum carnibus, humiditatem ad se trahit, eumque attraxerit intumescit & inflammatur, doloremq; tenuem inducit, & tussim raram & siccam primùm, deinde magis ad se adhuc attrahit, vehementioremque dolorem, & tussim crebriorem infert, & primùm quidem aliquantum purulentum expuit, interdum verò subliuidum & subcruentum. Quoque plus temporis intercesserit, eò magis ad se trahit & putrefacit, & quicquid in carne circa initia liuidum erat, in pus vertitur, doloremq; excitat acutum & febrem, & tussim, tum multam, tum crebram, & pus sincerum per sputum reiicit. Quòd si pus in ventre diu traxerit, ab eo totum corpus, præcipueq; partes maximè vicinæ incalescunt, incalescente autem corpore, humidum maximè colliquescit. Et partim quidem à superioribus partibus in superiorem ventrem præcipuè confluit, & in pus vertitur, ad id quod iam intus est accedens. Partim verò ad inferiorem ventrem defluit, ab eoque interdum aluus turbatur, & hominem perimit. Cibi enim ingesti per aluum secedunt, nullumque corpori ab his alimentum accedit, neq; sputi per superiora æquabilis fit expurgatio, cùm nimirum incalescens aluus deorsum omnia ad se deducat.

Et à ſputo quidem ſuffocatur, & non repurgatus ſtertit, ab aluo autem fluente debilis euadit, & plærunque perit. In huiuſmodi autem morbis hâc fluxionem caput excitat, nimirum cùm cauum exiſtat, & ſuperiore parte locatum. Cùm enim ab aluo concalefactum fuerit, tenuiſſimam pituitam è corpore ad ſe trahit, quam in ſe coaceruatam, rurſus confertam & craſſam velut dictum eſt reddit, partimq; in ſuperiorem ventrem, partim verò in inferiorem defluit. Vbi igitur caput fluere, corpuſque reliquum non ampliùs æquabiliter colliqueſcere cœperit, ne vſtione quidem ſuperſtites euadunt. Ad pus enim influentia mala accedunt, quæ exuperant ea quæ defluunt, carneſq; magis à malis colliqueſcunt, quàm ab ingeſtis cibis nutriantur. Qui morbis huiuſmodi detinentur, ab his quidem intra breue tempus pereunt, quidam etiam diutiùs trahunt. Præſtat enim corpus corpori, ætas ætati, & affectio affectioni, & anni tempeſtas tempeſtati, in qua ægrotarint. Quidam enim morbos faciliùs tolerant, quidam verò omninò tolerare nequeunt. Non igitur certum tempus in quo pereunt dari poteſt, neque ſi longum, neque ſi breue futurum ſit. Neque enim certum tempus eſt, quod quidam prædicunt, cùm plærunque neque hoc ipſum ſuppuret. Annus nanque inter ſe & anni tempora differunt. Verùm qui volet rectè de his decernere ac prædicere, ſic iudicabit, quouis anni tempore & perire & ſupereſſe, & quæ patiuntur euenire. At verò inferiore ventre ſuppurati euadunt, præcipuè quidem cùm pituita & bilis inter carnem & cutim affatim collecta fuerit. fiunt etiam & ex conuulſionibus, cumq; vena diuulſa rupta fuerit, & ſanguis effuſus putreſcit, & pus intus gignit. Quòd ſi caro diuulſa aut contuſa fuerit, ſanguinem ex venis quæ ſunt in eius ambitu attrahit, isque putreſcit & pus intus gignit. His ſi quidem de ſe foras ſignificationem præbuerit, & pus exierit, ſani euadunt, ſi verò ſpontè intus erumpat, pereunt. Effuſum autem pus in inferiore ventre generari haudquaquam poterit, velut in ſuperiore ventre fieri dictum eſt, ſed in tunicis & tuberculis innaſcitur, velut à me dictum eſt. Et ſi quidem internas de ſe notas præbuerit, non facilè deprehenditur, cùm nec concutiendo cognoſcere liceat. Ex dolore tamen præcipuè vbi fuerit dignoſcitur, & ſi argillam, aut aliud quid eiuſcemodi illeueris, breui id reſiccat. At verò eryſipelas in pulmone gignitur, cùm ſupra modum is reſiccatus fuerit, quod vel ab ardore, vel febribus, vel nimio labore, vel intemperie contingit. Qui cùm maximè reſiccatus fuerit, plurimum ſanguinem in ſeſe trahit, eumque præcipuè ex magnis venis, quæ ei maximè vicinæ ſunt, ipſiq; ſuperincumbunt. Trahit autem etiam ex aliis vicinis magis tenuem & debilem. Cùm autem traxerit, febris acuta oritur, & tuſſis ſicca, plenitudo in pectore, dolor vehemens in anterioribus & poſterioribus partibus, præcipuè verò ad ſpinā, cùm nimirum magnæ venæ incaleſcant, & interdum quidem ſubcruentum, interdum verò liuidum vomunt, pituitam verò & bilem etiam vomūt, crebroq; animo linquuntur, quod ob repentinam ſanguinis tranſmutationem contingit. Idq; præcipuè obortū eſſe in pul-

καὶ ὑπὸ μὲν τοῦ πτύσματος, πνίγεταί τε καὶ ῥέγχει οὐ καθαιρόμενος. ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης, ἐξασθενεῖ, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. μάλιστα δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέχει, ἅτε κοίλη ἐοῦσα, καὶ ἄνω ὑπερκειμένη. ὁκόταν γὰρ διαθερμανθῇ ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος. ὅταν δὲ ἀλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν διὰ ἐς καὶ παχὺ, ὥσπερ εἴρηται. καὶ αὐτοῦ τὸ μὲν, ἐς τὴν ἄνω κοιλίην καταρρεῖ. τὸ δὲ, ἐς τὴν κάτω. ὁκόταν οὖν ἄρξηται ἡ κεφαλὴ ῥεῖν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, οὐκ ἔτι ὁμαλῶς, οὐδὲ καυθέντες περιγίνονται. κρατεῖ γὰρ πρὸς μὲν τοῦ πύους τὰ ἐπιρρέοντα κακὰ ἢ τὰ ἀπορρέοντα. αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν κακῶν, ἢ τρεφόμεναι, ὑπὸ τῶν εἰσιόντων. οὗτοι ὁκόσοι τοιουτότροπα νοσήματα ἴσχουσι. καὶ ἀπὸ τούτων ἔνιοι μὲν, δι᾽ ὀλίγου ἀπόλλυνται. ἔνιοι δὲ, πουλὺν χρόνον ἕλκουσι. διαφέρει γὰρ σῶμα σώματος. καὶ ἡλικίη ἡλικίης. καὶ πάθημα παθήματος. καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσι. καὶ οἱ μὲν, ταλαιπωρέουσι ἐν τῇσι νούσοισιν. οἱ δὲ, παντάπασι ταλαιπωρέειν ἀδυνατοῦσι. οὐκ ἔστι τὸ ἀκριβὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται, οὔτε εἰ πολὺν, οὔτ᾽ εἰ ὀλίγον. οὔτε γὰρ ἐστὶν ὁ χρόνος ἀκριβὴς ὃν ἔνιοι λέγουσιν, ὡς τὰ πολλὰ, οὐδὲ αὐτὸ τοῦτο ἐκπυεῖ. διαφέρει γὰρ καὶ ἔτος ἔτεος. καὶ ὥρη ὥρης. ἀλλ᾽ ἤν τις θέλῃ περὶ αὐτῶν ὀρθῶς γινώσκειν καὶ λέγειν, [41] γνώσεται ὧδε πάσας ὥρας, καὶ ἀπολλυμένους καὶ περιγινομένους καὶ πάσχοντας ἅπερ ἂν πάσχωσι. τῇ δὲ κάτω κοιλίῃ, ἔμπυοι γίνονται. μάλιστα μὲν, ὅταν φλέγμα ἢ χολὴ συστῇ διὰ ἐς μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος. γίνονται δὲ καὶ ἀπὸ σπασμῶν. καὶ ὅταν φλέβιον σπασθὲν ῥαγῇ, τὸ αἷμα ἐκχυθὲν, σήπεται καὶ ἐμπυεῖ. ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ. ἕλκει τε ἐκ τῶν παρ᾽ ἑωυτῇ φλεβίων αἷμα, καὶ τοῦτο σήπεται καὶ ἐμπυεῖ. τούτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ, καὶ πύος ἐξέλθῃ, ὑγιέες γίνονται. ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. κεχυμένον δὲ πύος ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγενέσθαι, ἀλλ᾽ ὥσπερ μοι εἴρηται ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται. καὶ ἢν μὲν ἔνδον ἀποσημήνῃ, δυσπετὲς γνῶναι. οὔτε γὰρ διασείσαντα ἐστὶν εἰδέναι. γινώσκεται δὲ μάλιστα τῇ ὀδύνῃ ἔνθα ἔν. καὶ ἢν καταπλάσῃς [42] τῇ κεραμίτιδι, ἢ ἄλλῳ τῳ τοιούτῳ, ἀποξηραίνει δι᾽ ὀλίγου. Ἐρυσιπέλας δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων. ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης. καὶ ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τοῦ αἵματος πλεῖστον ἐφ᾽ ἑωυτόν. μάλιστα μὲν καὶ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν. αὗται γὰρ αὐτῷ ἐγγύταταί εἰσι, καὶ ἐπίκεινται ἐπ᾽ αὐτῷ. ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν πλησίον. ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέστατον. ὁκόταν δὲ ῥύσῃ, πυρετὸς ἀπ᾽ αὐτοῦ γίνεται ὀξύς. καὶ βὴξ ξηρή. καὶ πληθώρη ἐν τοῖσι στήθεσι. καὶ ὀδύνη ὀξεῖη ἐν τοῖσιν ἔμπροσθεν καὶ ὄπισθεν. μάλιστα δὲ κατὰ τὴν ῥάχιν, ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων. καὶ ἐμέουσιν, ἄλλοτε μὲν, ὕφαιμον. ἄλλοτε δὲ, πελιδνόν. ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολήν. καὶ ἐκψύχουσι πυκνά. ἐκψύχουσι δὲ, διὰ τὴν τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης γινομένην. καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύ-

μονος

μονος ἐπιγένηται ἐρυσίπελας. καὶ τοῦ πυρετοῦ ἐν συνεχὴς λῆψις. τούτῳ εἰ μὲν δύο ἢ τριῶν ἢ τεττάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται καὶ ἀπόλλυται. ἀπόλλυται δὲ δι᾽ ὀλίγου, ἅτε τοῦ πλεύμονος ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. ἢν δὲ ἔξω καταχεχυμένον, εἴσω τράπηται καὶ λάβηται τοῦ πλεύμονος, τούτου οὐδεμία ἐλπὶς περιγενέσθαι. ὅταν γὰρ προαπεξηρασμένος ὁ πλεύμων, εἰρύσῃ ἐς ἑωυτόν, οὐκ αὖ ἔτι μεταδαίνει, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης, οὐκ ἔτι δέχεται οὐδέν, οὔτε ἄνω ἀναδιδοῖ οὐδέν, ἀλλὰ διέφθειρε. φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε. ὁκόταν φλέγμα ἢ χολὴ συστραφῇ, σήπεται. καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἐῇ, ὀδύνην τε παρέχει λεπτὴν καὶ βῆχα ξηρήν. ὁκόταν δὲ πεπαίνηται, ὀδύνη γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξεῖα. καὶ θέρμαι λαμβάνουσι καὶ βὴξ ἰσχυρή. καὶ ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, καὶ ῥαγῇ καὶ ἄνω τράπηται τὸ πύον, καὶ ἀναπτυσθῇ πᾶν, καὶ κοιλίη ἐν ᾗ τὸ πύον προσπέσηται καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, ἀλλ᾽ αὐτὸ ἀφ᾽ ἑωυτοῦ τὸ φῦμα ἀναδιδοῖ τὸ πύον, ὀλέθριον τοῦτο. καὶ ἀπὸ τῆς κεφαλῆς δὲ καὶ τοῦ ἄλλου σώματος φλέγμα καταρρέον ἐς τὸ φῦμα, σήπεταί τε καὶ πύον γίνεται καὶ πτύεται, δι᾽ οὗ ἐφθάρη. διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυείσης, ἀφ᾽ ὧνπερ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται. λεσχηνευομένου τε αὐτοῦ καὶ φρονέοντος, πάντα χρήματα ὁμαλῶς ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται. καὶ συμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ. ἐνίοτε δὲ ὑπὸ χρόνου τε πλήθεος, καὶ μεγέθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων. ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε ἀπὸ ταὐτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενέων ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετεῖ ἐόντι ῥαγῇ τὸ πύον, οὐδ᾽ οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται τρόπῳ τοιῷδε. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, τὸ παραυτίκα δοκεῖ μὲν ῥάων εἶναι. προϊόντος δὲ τοῦ χρόνου, ἢν μὲν ἀναπτύσῃ πᾶν, καὶ ἡ κοιλίη, ἐν ᾗ τὸ πύος ἐνῆ, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται. ἢν δὲ ὅ τε χρόνος πλείων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ ἀναπτύσαι μὴ δύνηται, ἀλλὰ καυθῇ ἢ τμηθῇ καὶ τὸ πύος ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκεῖ ῥάων γεγονέναι. προϊόντος δὲ τοῦ χρόνου, διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ᾽ ὧνπερ καὶ ἐν τῷ πρόσθεν εἴρηται. ἐν δὲ τῷ πλευρῷ γίνεται μὲν φύματα, καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ χολῆς κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι. γίνεται δὲ καὶ ἀπὸ τῶν πόνων, ὁκόταν τι τῶν φλεβίων ἀποσπασθὲν ῥαγῇ. μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ σπασθὲν ἐν αὐτῷ γένηται. ἢν μὲν οὖν ῥαγῇ, παραυτίκα τὸ αἷμα τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου, σήπεταί τε καὶ ἐκπυοῦται. εἰ δὲ σπασθὲν ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ᾽ ἀρχὰς μὲν, ὀδύνην τε παρέχει καὶ σφυγμόν. προϊόντος δὲ τοῦ χρόνου, διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ, πύος γίνεται.

mone erysipelas indicat, siq; febris assidua prehẽderit. Huic siquidẽ duobus, aut tribus, aut quatuor ad summum diebus diffusum fuerit, & quod intus est foras trãsierit, plerunq; sanus euadit. Si verò neq; diffusum, neq; transmutatum fuerit, intus putrescit & suppuratus euadit, ac breui perit, cùm nimirum totus pulmo purulẽtus ac putridus existat. Quòd si extra diffusum intrò vertatur, pulmoneq; prehendat, hunc superesse posse nulla spes est. Cùm enim antea resiccatus pulmo ad sese traxerit, non ampliùs trãsmittit, sed confestim præ ardore ac siccitate neq; quicquã ampliùs suscipit aut sursum distribuit, sed corrumpit. Pulmonis verò tuberculum ad hunc modum oritur. Cùm pituita aut bilis collecta fuerit, putrescit, & quandiu quidem adhuc crudum fuerit, tum dolorem tenuem, tum tussim siccam exhibet. Vbi verò maturuerit, anteriore & posteriore parte grauis dolor oritur, calores inuadunt & tussis vehemens. Et si quidem pus quàm citissimè maturuerit, eruperit, sursum vergat & totum expuatur, venterq; in quo pus erat considat ac resiccetur, prorsus sanus euadit. Si verò quàm citissimè ruptũ fuerit, maturuerit, ac repurgatum fuerit: neq; tamen penitus resiccari possit, sed ipsum tuberculum ex se pus effundat, perniciosum id est, & ex capite reliquoq; corpore pituita ad tuberculum defluens, putrescit, in pus vertitur ac expuitur, ex quo corruptus perit. Perit autem ex ventris profluuio ex his quæ antea dicta sunt, ipsoq; confabulante & omnia æquè vt priùs intelligente resiccatur ac refrigeratur, omnesq; corporis venæ contrahuntur, cùm nimirum ipsarum sanguis à febre exustus sit, interdum verò tum ex temporis lõgitudine, & morbi magnitudine, tum etiam ex instantibus ac superuenientibus malis. Quòd si neq; spontè, neque à medicamentis multo tempore rumpi non possit, dolorũ vehementia, inedia, tussi, ac febribus qui laborat consumitur, ac plærunq; perit. Si verò iam extenuato & lecto decumbenti pus eruperit, neq; sic admodum sustinent, sed eo modo perimuntur. Quòd si quàm citissimè ruptum quidem & maturatũ fuerit, magnaq; sui parte ad septum transuersum effundatur, cõfestim quidem leuiùs habere videtur, progressu tamen temporis, si quidem totum per sputum reiiciat, & venter in quo pus inerat considat ac resiccetur, sanus euadit. Verùm si tum tempus longius, tum ipse debilior fuerit, neq; expuere possit, sed per vstionẽ aut sectionem pus exeat, confestim quidem hoc sanè etiam modo leuius habere videtur, progressu tamen temporis, ab his quę in priore dicta sunt, perimitur. In latere autem tubercula quidem oriuntur, tum à pituita, tum à bile, non aliter quàm in pulmone. Ex laboribus quoque etiam oriuntur, cùm vena aliqua diuulsa rupta fuerit, neque tamen penitus rupta fuerit, sed ita vt in ipsa conuulsio facta sit. Si quidem igitur rupta fuerit, confestim sanguis ex vena effusus putrescit & in pus vertitur. Quòd si conuulsio in vena facta sit, hæc quidem per exordia dolorem excitat & pulsat, progressu verò temporis sanguinem ad carnem transmittit, qui in carne putrescens, in pus vertitur.

Ad eandem verò rationem etiam caro si quidem plus laborarit, plurimùm ad se sanguinem ex maximè vicinis venis trahit, & confestim in pus vertit. Si verò minùs laborarit, & tardiùs trahit, & pus efficit. Quibusdam autem cùm imbecilla in carnibus ac venis conuulsa facta fuerint, non suppurant, sed diuturni fiunt dolores, & ruptiones vocantur. Et quę quidem in carne fiunt, ad hunc modum fiunt. Cùm caro aut diuulsa, aut ex plaga, aut aliquo modo affecta, dolorem aliquem habuerit, liuida, velut antea dixi, euadit, non sincero sanguine, sed tenui & aquoso, eoq; pauco. Vbi verò plus solito resiccata fuerit, tum incalescit, tum dolorem exhibet, & ad se ex venis & carnibus propinquis humiditatem trahit, ac vbi supra modum humectata fuerit, eaq; humiditas à carne admodum incaluerit, per totum corpus, qualis attracta est dispergitur. Et magis sanè in venas quàm in carnes spargitur, cùm hæ magis quàm carnes trahant, quanquam etiam carnes trahunt. Cùm verò ad copiosam corporis humiditatem pauca à carne attracta fuerit, obscura & doloris expers euadit, & pro morbosa temporis tractu sanescit. Quòd si caro tũ magis incaluerit, tum copiosam humiditatem traxerit, dolorem exhibet, & ad quancunque corporis partem ab ipsa cum impetu delata fuerit ac incubuerit, dolorem grauem excitat, & quibusdam videtur ruptũ transmutatum esse, quod tamen fieri non potest. Sed quæ sunt eiusmodi & alia propè ad vlcus accedunt. Humiditas autem de carne per venas prorumpit, cumq; incaluerit, & crassior copiosiorque euaserit, dolorem exhibet, donec reliquo humori tenuitate & frigiditate similis extiterit. Quòd autem attinet ad ea quæ in venis fiunt, ipsa quidem vena in quantum conuellitur, loco manet, cùm verò conuulsa fuerit (quod contentione & vi accidit) similis fit varici. Incalescit autem & ad se vaporem quendam humidum attrahit, qui ex bile & pituita prouenit, cũq; sanguis & humiditas de carne permixta fuerint, incrassescit sanguis, ipseq; multis modis, qua parte venam conuelli cõtingit, se ipso morbosior & longè stabilior euadit, cumq; copiosior extiterit, plenitudo quolibet transfertur, doloremq; grauem adfert, ita vt quibusdam ruptum loco migrasse videatur. Quòd si fortè ad humerum transierit, grauitatem in manu & stuporem ac torporem inducit. Et si in venam incubuerit, aut ad humerum & dorsum tendat, confestim plærunq; dolor sedatur. Fiunt etiam conuulsiones ex laboribus, ex casibus, ex plaga, & si quis onus maius tollat, & ex cursibus, ac lucta, & omnibus id genus. Qui autẽ ex vulneribus purulenti fiunt, aut hasta, aut pugione, aut iaculo intrò vulnus acceperint, quandiu quidem vlcus per antiquum vulnus foris aërem attraxerit, ea parte frigidum ad se inducit, & calidum à se emittit, & pus facilè aut sanè si quid aliud expurgatur. Et si quidem tum interna parte, tum externa simul sanescat, penitus sanus euadit. Sin autem externa quidem parte sanescat, interna verò minimè, purulentus fit. At si simul quidem tum interna, tum externa parte sanescat, cicatrix autẽ intus debilis, aspera & liuida existat, quãdoq; refricatur, eoq; modo purulẽtus euadit.

κατὰ τὸ αὐτὸ δὲ λόγον καὶ ἡ σὰρξ ἢν μὲν μᾶλλον πονέσῃ, πλεῖστον ἕλκει αἷμα τὸ ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν, [46] καὶ τὸ διάχρημα ἐκπυεῖ. ἢν δὲ ἧσσον πονέσῃ, βραδύτερόν τε καὶ ἕλκει καὶ ἐκπυεῖ. ἐνίοισι δὲ ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν, ἢ ἐν τῇσι φλεψὶν, οὐκ ἐκπυΐσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, [47] καὶ καλέεται ῥήγματα. καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται. ὁκόταν ἡ σὰρξ πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλο τι παθοῦσα, γίνεται, ὥσπερ πρότερον, πελιδνὴ, οὐκ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρεῖ, καὶ τούτῳ ὀλίγῳ. ὅταν δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει, καὶ ἕλκει ἐς ἑωυτὴν ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον τὸ ὑγρόν. καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπ' αὐτῆς τῆς σαρκὸς, σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἰρύσθη. καὶ μᾶλλον δή τι σκίδναται ἐς τὰς φλέβας, ἢ ἐς τὰς σάρκας. ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν. ἕλκουσι δὲ καὶ αἱ σάρκες. ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν, τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῇ, ἄδηλον γίνεται καὶ ἀνώδυνον. καὶ ἀντὶ νενοσηκότος, γίνεται ὑγιὲς τῷ χρόνῳ. ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει. καὶ ὅπη ἂν τοῦ σώματος ἀπ' αὐτοῦ ὁρμήσῃ καὶ κατασκήψῃ, ὀδύνην παρέχει ὀξείην. καὶ δοκέουσιν ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα μεθιστάναι. τὸ δὲ, οὐκ ἀνυστόν. ἐγγυτάτω δὲ ἕλκεός ἐστιν ὁκόσα τοιαῦτα καὶ ἄλλα. τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν, ἀΐσσει διὰ τῶν φλεβίων. ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γένηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ' ἂν γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. [48] ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, αὐτὸ μὲν τὸ φλέβιον ὁκόσον ἐσπᾶσθαι, κατὰ χώρην μένει. ὅταν δὲ σπασθῇ, [49] σπᾶται δὲ ὑπὸ πόνου καὶ βίης, γίνεται οἷον κιρσός. διαθερμαίνεται δὲ καὶ ἕλκει ἐς ἑωυτὸν, νοτίδα τινὰ ὑγρήν. ἡ δὲ νοτὶς ἐστὶν ἀπὸ χολῆς καὶ φλέγματος. καὶ ὁκόταν μιχθῇ τό, τε αἷμα καὶ τὸ ὑγρὸν, τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ, ᾗ ἂν ἡ φλὲψ τύχῃ γενομένη ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερον τι ἐπὶ πλέον. καὶ ὁκόταν πλέον γένηται, μεταβαίνει τὸ πλήρωμα, ᾗ ἂν τύχῃ. καὶ ὀδύνην παρέχει ὀξείην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεθιστάναι. καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει, καὶ νάρκην καὶ νωθείην. [50] καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, ἢ ἐς τὸν ὦμόν τε καὶ τὸν νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. γίνεται δὲ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μέζον αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων. ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται, ἢ ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἔσω τρωθῶσι, τέως μὲν ἢν ἔχῃ τὸ ἕλκος ἐπαναπνοίην, διὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτό. [51] καὶ τὸ θερμὸν ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, καὶ ἀποκαθαίρεται εὐχόλως τὸ πῦον [52] καὶ εἴ ἢν τι ἄλλο. καὶ ἢν μὲν ὑγιανθῇ τό, τε εἴσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται. καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γένηται καὶ τρηχείη καὶ πελιδνὴ, ἀνελκοῦται ἐνίοτε, καὶ ὧδε ἔμπυος γίνεται.

ἀνελ-

ἀνῤῥήγνυται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ. καὶ ἢν νούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῇ. ὁπόταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσσυμφυῇ τὸ ἔξω τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην, καὶ βῆχα, καὶ πυρετόν. καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος, διὰ τὸ πλέον τε θερμότερον εἶναι. καὶ αὐτὸ ἀφ᾽ ἑωυτοῦ ἀποπνεῖ τὸ θερμὸν, καὶ τὸ πύον ἀποκαθαίρεται. καὶ προσστηρίζεταί τε διὰ πλείονος, καὶ χαλεπώτερον ὑγιαίνεται. ἐνίοτε δὲ, οὐδ᾽ ὑγιαίνεται. ἡ γὰρ σὰρξ, τό, τε ἕλκος ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεται, καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι. ἀλλ᾽ ὁπόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ ἔσω ῥυῇ τὸ αἷμα καὶ σαπῇ, ἔμπυον γίνεται. καὶ ἢν μὲν τοῦτο τὸ πύον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῇ ἡ τετρωμένη, ἀλλ᾽ ἄλλοτε καὶ ἄλλοτε ἀναδιδοῖ αἷμα, καὶ ἢν παραυτίκα ἐμέηται, καὶ πτύηται, ἢ καὶ σήπηται, καὶ πύον πτύηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ ὑφ᾽ ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται διαφθειρόμενος. πολλάκις δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, ἢ ὑπὸ τινῶν πόνων, ἢ γυμνασίων, ἢ ὑπ᾽ ἄλλου του, ὁπόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ἑτέρῳ χρόνῳ. ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ᾽ ὧν περ καὶ πρόσθεν πάσχει. ὁπόταν δὲ ἀναῤῥαγῇ, αἱμοῤῥοεῖ. καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις. ἢ ἄλλοτε μέν τε καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον. πύον δὲ πτύοντες ἀνὰ πᾶσαν ἡμέρην πολλόν τε καὶ παχὺ, διεφθάρησαν τρόπῳ τοιούτῳ, ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται. τοῖσι δὲ ταῦτα τὰ νουσήματα ἔχουσι, καὶ ὅσα τοιαῦτα, διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως. ἀνήρ τε γὰρ γυναικὸς. νεώτερος, γεραιτέρου, καὶ γυνὴ νεωτέρη, παλαιοτέρης. καὶ πρὸς τούτοισιν, ἥ τε ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι. καὶ ἢν ἐξ ἑτέρης νούσου νουσέωσιν ἢ μὴ ἐξ ἑτέρης. διαφέρει δὲ καὶ πάθημά τε παθήματος, μεῖζόν τε καὶ ἔλασσον. καὶ χρὼς χρωτός. καὶ θεραπείη θεραπείης. τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον. καὶ τοῖσι μὲν, πλέω γίνεσθαι, τοῖσι δὲ ἐλάσσω τε καὶ ἀπόλλυσθαι, ἢ μή. καὶ τοῖσι μὲν, παραμόνιμά τε εἶναι καὶ μέζω. τοῖσι δὲ, ἐλάσσω τε καὶ ὀλιγοχρόνια. τοῖσι δὲ, παραμένειν ἐς τὸ γῆρας τὰ νουσήματα, καὶ συναποθνήσκειν. τοὺς δὲ ἀπόλλυσθαι δι᾽ ὀλίγου ὑπ᾽ αὐτῶν. καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσι, τούτων ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσι πλέω τε καὶ ἰσχυρότερα, καὶ ἀλγέουσιν οὗτοι μᾶλλον τῶν ἄλλων. καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν. ὥστε ἢ πτύσαι, ἢ αἷμα ἐμέσαι. τὰ δὲ καὶ γινόμενα λανθάνει αὐτοὺς ὑπὸ τῆς ἕξιος τοῦ σώματος. οἱ δὲ γεραίτεροι, πάσχουσι μὲν ὀλιγάκις. καὶ ὁπόταν πάθωσιν, ἀσθενέστερα πάσχουσιν, ἅ τε ἀσθενέστεροι ἐόντες, καὶ ἐπιδημίουσι μᾶλλον, καὶ ἐπιμελέονται μᾶλλον τῶν παθημάτων.

Iterum verò etiam exulceratur, si quid plus iusto laborarit & extenuatus fuerit, pituitaque & bilis ad cicatricem affigatur, & si morbo alio detentus extenuatus fuerit. Cùm autem vlcus extiterit, aut hoc modo, vel si pars externa priùs quàm interna coalescat, dolorem vehementem & tussim, & febrem affert, ipsumque vlcus, cùm ampliùs calidum existat, sibi ipsi refrigerationem inducit, & à se caliditatem exhalat, pusque expurgatur, & longiore tempore curatur, tardiusque sanescit, quandoque verò minimè sanescit. Caro etenim vlcusque ab ardore corporis coquitur, & supra modum humectatur, vt neque resiccari, neque carnem producere, neque sanescere queat. Verùm procedente tempore, qui hoc modo velut etiam antea dictum est afficitur, perit. Quòd si forte fortuna contigerit, vt ex crassioribus venis aliqua vulneretur, sanguisque intrò fluat & putrescat, in pus vertitur. Ac si quidem totum hoc pus expuatur, & vulnerata vena constringatur, vlcusq; intus & foris sanescat, prorsus conualescit. Quòd si neq; vlcus intus coalescere possit, neq; vena consolidetur, sed subinde sanguinem effundat, & si confestim vomitione aut sputo refundatur, aut etiam putrescat, & pus expuatur, plærunq; perit, aut confestim sanguinem vomitione reiiciens, vel postea, ab iisdem causis quæ priùs dictæ sunt consumptus. At sæpe quibus vena aliqua ex vulneribus, laboribus, aut exercitationibus, aut alia re quauis sauciatur, cùm coalueritaut sana esse videbitur, iterum alio tempore vena perrumpitur, idque ex iisdem causis à quibus priùs affectus erat. Qua iterum rupta sanguinem effundunt, confestimque copioso & crebro sanguine vomitione reddito pereunt, aut subinde recentem sanguinem vomunt, multum autem & crassum pus per totum diem spuentes, eodem aut consimili modo consumuntur, velut in aliis morbis dictum est. At verò in his qui eiusmodi aut similibus morbis detinentur, multùm ad faciliorem aut difficiliorem à morbo liberationem interest virne sit an mulier, iuuenis an senex, & mulier iuuencula, an vetula. Insuper quoque quo anni tempore, & num ex alio morbo ægrotent necne. Præstat etiam affectus affectui, maior minori, corpus corpori, & curatio curationi. Quæ cùm ita se habeant, tempus etiam differre necesse est, & alios quidem longiore tempore, alios verò breuiore perire, aut non, & aliis quidem mala perdurare & maiora esse, aliis verò minora & breuioris temporis, alios quoque ad senectutem vsque comitari, & cum illis mori, alios verò ab ipsis intra breue tempus interire. Et quibus quidem iunioribus, quę ex laboribus affectiones fieri dictæ sunt, contingunt, ij magis & vehementiùs afficiuntur, plusque cæteris dolent, & confestim iis manifestæ fiunt, ita vt sanguinem aut sputo, aut vomitione reiiciant. Quædam etiam propter locum corporis habitudinem fieri non sentiunt. Seniores verò raro quidem & debiliùs afficiuntur, cùm debiliores existunt, iisque leuiores sunt affectiones, earumque maiorem curam habent.

Seniori igitur hæc per initia minùs contingunt, quàm iuniori, cumque fiunt, seniori quidem debiliores, iuniori verò vehementiores existunt. Et maiori quidem ob corporis intentas vires & siccitatem, carnemque densam & validam, ad ossa adhærescentem, & cutem ei vndiq; obtentam, si quid plus solitò laborarit, vehementes conuulsiones magis & de repentè contingunt, multæq; & variæ venarum & carnium ruptiones. Atque horum partim quidem manifesta fiunt, partim verò postea comparent. Senioribus autem valida corporis firmitas non inest, carnesq; circum ossa diffluunt, cutisq; carnes ambiens, & ipsa rara est ac debilis, & neque senior eiuscemodi aut similiter vt iunior afficitur, sed leuiùs afficitur, statimq; manifestum redditur. Adeò quidem per affectionum exordia difficiliùs iuniores quàm seniores liberantur. At verò quibus morbus conspicuus redditur, quiq; pus aut sanguinem, aut vtrunq; expuunt, si quidem iuniores fuerint, cùm nimirum firmum & densum corpus habeant, non æqualiter ab vlceribus, quæ pus in superiore ventre habent, repurgari possunt. Neque enim pulmo, cùm densior existat, admodum ad arterias trahit, arteriæq; tenues & angustæ, pus nisi paucum & rarò non excipiunt, vt proinde pus in thorace & vlceribus colligi & crassescere necesse sit. Ei verò qui iam florentem ætatem exegit, pulmo rarior & magis cauus est, arteriæq; ampliores, adeò vt pus in ventre & vlceribus diutius non immoretur, & quicquid insuper acciderit, id totum à pulmone in arterias sursum attrahi, confestimque expui necesse sit. In iuniore igitur cùm affectiones sint vehementiores, & purgatio pro sputi ratione non procedit. febres acutiores & crebriores oriuntur, doloresque graues tum ipsius affectus, tum reliqui corporis incidunt, cùm nimirum venæ contentæ sint & sanguine refertæ. Vbi verò hæ incaluerint, ex ipsis dolores aliàs ad aliam corporis partem peruadunt, & hi quidem plærunq; intra breue tempus pereunt. Senioribus verò cùm debiliores sint affectiones, & ab his sputum repurgetur, tum febres leniores paucæque oriuntur, tum dolores adsunt quidem sed exiles. Et ab huiusmodi quidem affectionibus nec senes quidem prorsus liberantur, sed multo tempore morbum trahentes, consumuntur, interdumq; pus spuunt, interdum sanguinem, quandoque verò neutrum, tandem etiam vnà cum his moriuntur. Sic autem moriuntur, cùm aliquis morbus huic quem habent similis eos prehenderit, ita vt hoc detineantur, & is quem priùs habuerint, vehementior existat, & vt plurimùm consumpti pereunt. At morbi qui hæc potissimùm efficiunt, sunt morbus lateralis & pulmonum inflammatio. Ex his autem febris gignitur. Cùm bilis aut pituita incaluerit, ab his reliquum totum corpus calescit, & hoc appellatur febris. Calescit autem bilis & pituita, intra quidem, à cibis & potibus ex quibus & nutritur & increscit, extra verò à laboribus & vulneribus, & à calido supra modum calefaciente,

τῷ γὰρ οὖν τὴν ἀρχὴν τὰ παθήματα ἧσσον τῷ γεραιτέρῳ ἢ νεωτέρῳ. καὶ ὁκόταν γίνηται, τῷ μὲν γεραιτέρῳ, ἀσθενέστερα γίνεται. τῷ δὲ νεωτέρῳ, ἰσχυρότερα, καὶ τῷ μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος, καὶ ξηρασίην. καὶ τὴν σάρκα πυκνήν τε καὶ ἰσχυρὴν, καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην. καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος μᾶλλον καὶ ἐξαίφνης, σπασμοί τε γίνονται ἰσχυροὶ, καὶ ῥήγματα πολλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν. καὶ τούτων τὰ μὲν παραυτίκα ἔκδηλα γίνονται, τὰ δ᾽ ὑστέρῳ χρόνῳ ἀναφαίνεται. τοῖσι δὲ γεραιτέροισι, τόνος ἰσχυρὸς οὐκ ἔνι. αἵ τε σάρκες περὶ τὰ ὀστέα περιρρέουσι. καὶ τὸ δέρμα περὶ τὰς σάρκας. καὶ αὐτὴ ἡ σὰρξ, ἀραιή τε καὶ ἀσθενής. καὶ οὔτε πάσχει τοιοῦτον ὁμοίως ὡς καὶ ὁ νεώτερος. καὶ ἤν τι πάθῃ, πάσχει ἀσθενέα τε καὶ παραυτίκα οἱ ἔκδηλα γίνεται. ταῦτα μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων, δυσχερέστεροι ἀπαλλάσσονται νεώτεροι τῶν γεραιτέρων. ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γίνηται, καὶ ἢ πύος, ἢ αἷμα πτύωσιν, ἢ ἀμφότερα, ἢν μὲν νεώτεροι ἔωσιν, ἅτε τοῦ σώματος εὐτόνου τε ὄντος καὶ πυκνοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς ἀπὸ τῶν ἑλκέων τῶν ἐν τῇ ἄνω κοιλίῃ τὸ πύον. ὅ, τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας, πυκνότερος ἐών. αἵ τε ἀρτηρίαι λεπταὶ καὶ στεναὶ οὖσαι, οὐκ εἰσδέχονται τὸ πύον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις. ὥστε ἀνάγκη τὸ πύος ἐν τῷ θώρακί τε καὶ ἐπὶ τῶν ἑλκέων, ἀθροΐζεσθαί τε καὶ παχύνεσθαι. τῷ δὲ ἀφηλικεστέρῳ, ὅ τε πλεύμων ἀραιότερος καὶ κοιλότερος. καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πύος ἐν τῇ κοιλίῃ, καὶ ἐπὶ τῶν ἑλκέων. καὶ ὅ, τι ἂν ἐπιγίνηται, τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεσθαι. τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τῆς καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται. καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι αὐτοῦ τε τοῦ παθήματος, καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβῶν ἐντόνων τε ἐόντων καὶ ἐναίμων. ὁπόταν δὲ ταῦτα διαθερμανθῇ, ἀφ᾽ ἑωυτῶν ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος. καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ ἐν ὀλίγῳ. τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ᾽ αὐτῶν καθαιρομένου. οἵ τε πυρετοὶ λεπτότεροι καὶ ὀλίγοι γίνονται. καὶ ὀδύναι ἔνεισι μὲν ἔνεισι δὲ, λεπταί. καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ᾽ ἔχοντες αὐτὰ πουλὺν χρόνον, καταφθίνουσι. καὶ ἄλλοτε πύον πτύουσιν, ἄλλοτε αἷμα, ἄλλοτε οὐδέτερον. τέλος δὲ σὺν αὐτῷ ἀποθνήσκουσιν. ἀποθνήσκουσι δὲ οὕτως, ὅταν ἄλλο νόσημα τούτῳ, ὃ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο καὶ ὃ ἂν ἔχωσι νούσημα ἰσχυρότερον γίνεται, καὶ ὡς τὰ πολλὰ διαφθείρονται. ταῦτα δέ ἐστι τὰ μάλιστα ἐξεργαζόμενα τῶν νοσημάτων, πλευρῖτίς τε καὶ περιπλευμονίη. Πυρετὸς δὲ ἀπὸ τῶνδε γίνεται. ὁκόταν χολὴ ἢ φλέγμα θερμανθῇ, θερμαίνεται τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τούτων. καὶ καλέεται τοῦτο πυρετός. θερμαίνεται δὲ ἡ χολὴ καὶ τὸ φλέγμα, ἔνδοθεν μὲν ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ᾽ ὧν καὶ τρέφεται καὶ αὔξεται. ἔξωθεν δὲ, ἀπὸ πόνων καὶ τρωμάτων. καὶ ὑπὸ τοῦ θερμοῦ τοῦ ὑπερθερμαίνοντος.

καὶ ὑπὸ

καὶ ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. θερμαίνεται δὲ καὶ ἀπὸ ὄψιος καὶ ἀκοῆς. ἐλάχιστα δὲ ἀπὸ τούτων. Τὸ δὲ ῥῖγος ἐν τῇσι νούσοισι γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθεν ἀνέμων, καὶ ὕδατος, καὶ αἰθρίης, καὶ ἑτέρων τοιούτων. γίνεται δὲ καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ ποτῶν. μάλιστα δὲ καὶ ἰσχυρότερον γίνεται, ὅταν χολὴ καὶ φλέγμα συμμιχθῇ ἐπὶ τῷ αὐτῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερα. μᾶλλον δὲ ἢν τὸ φλέγμα μοῦνον ξυμμιχθῇ. ψυχρότατον γὰρ φύσει, τὸ φλέγμα. θερμότατον δέ, τὸ αἷμα. ψυχρότερον δέ τι καὶ ἡ χολὴ τοῦ αἵματος. ὅταν οὖν ταῦτα συμμιχθῇ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, πήγνυσι τὸ αἷμα. οὐ παντάπασι δέ, οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὥνθρωπος. εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωυτοῦ. ψυχομένου οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ καλέεται ῥῖγος, ὁκόταν τοῦτο τὸ τοιοῦτον γένηται. κἢν μὲν ἰσχυρὸν γένηται ῥῖγος, ἰσχυρότερός ἐστι καὶ ὁ τρόμος. αἱ γὰρ φλέβες συσπώμεναι καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τε τὸ σῶμα καὶ τρέμειν ποιέουσιν. ἢν δέ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γένηται, τοῦτο δὲ καλέεται ῥῖγος. φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον. Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ ἀποβίηται, καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωυτοῦ φύσιν, συνδιαθερμαίνεται καὶ τοῦ φλέγματος καὶ τῆς χολῆς, τὸ ἐν τῷ αἵματι συμμεμιγμένον. καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωυτοῦ, πολλαπλασίως. τούτων οὖν διαθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγενέσθαι, ὑπὸ τῆς θερμασίης τοῦ αἵματος, μετὰ ῥῖγος. Ἱδρὼς δὲ γίνεται, διὰ τόδε. ὁκόσαι αἱ νοῦσοι κρίνονται ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων, καὶ τὸ πῦρ μεθῇ, ἐκτήκεται ἀπὸ τοῦ ἐν τῷ αἵματι φλέγματος, καὶ τῆς χολῆς τὸ λεπτότατον, καὶ ἀποκρίνεται. καὶ χωρέει, τὸ μὲν, ἔξω τοῦ σώματος. τὸ δέ, ἔνδον καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται. τὸ δὲ ὑπὸ θερμασίης λεπτυνόμενον, ἀτμὸς γίνεται. καὶ σὺν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. ἔστι μὲν οὖν ταῦτα, τοιαῦτα. καὶ ἀπὸ τούτων ἀπογίνεται ὁ ἱδρώς. διότι δὲ ὁτὲ μὲν θερμός, ὁτὲ δὲ ψυχρός ἐστιν, οὕτως. θερμὸς μὲν, ἀπὸ διατεθερμασμένου τε τοῦ κακοῦ, καὶ ἐκκεκαυμένου, καὶ λελεπτυσμένου, καὶ ἀσθενέος, καὶ οὐ λίην πολλοῦ ἀποκρίνεται καὶ ἀνάγκη θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος. ὁ δὲ ψυχρός, ἀπὸ πλέονος τοῦ κακοῦ, ἀποκρινόμενος τοῦ τε ὑπολειπομένου καὶ ἔτι ἰσχύοντος, καὶ οὔπω σεσηπότος, οὐδὲ λελεπτυσμένου, οὐδὲ ἐκκεκαυμένου, ψυχρότερος καὶ παχύτερος καὶ κακοδεέστερος ἐκχωρέει. δῆλον δὲ τοῦτο ἐν τῷδε. οἱ ψυχρῷ ἱδρῶτι ἱδρούοντες, μακρῇσι νόσοις νοσέουσιν ὡς ἐπὶ τὸ πολύ, ἐπιχέοντος τοῦ κακοῦ, τοῦ ἐν τῷ σώματι ὑπολειπομένου. οἱ δὲ θερμῷ ἱδρῶτι ἱδρούοντες, ταχύτερον ἀπαλλάσσονται τῆς νούσου μετά. Πλευρῖτις δὲ καὶ περιπλευμονίη, γίνονται ὧδε. ἡ μὲν πλευρῖτις, ὁκόταν πόσιες ἀλέες τε καὶ ἰσχυραὶ, κάρτα λάβωσι. διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου καὶ ὑγραίνεται. μάλιστα δὲ ἥ τε χολὴ καὶ τὸ φλέγμα, διαθερμαίνεταί τε καὶ ὑγραίνεται. καὶ δὴ τούτων κεκινημένων τε καὶ ὑγρασμένων, συγκυρήσει ὥστε ῥιγῶσαι μεθύοντα ἢν τε νήφοντα, ἅτε ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρκὸς, μάλιστα τοῦ σώματος, καὶ οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀντιστηρίζοντος, οὐδενὸς, ἀλλὰ κοιλίης, αἰ-

& à frigido plus æquo refrigerãte. Incalescit quoq; etiam à visu & auditu, ab his autem minimum. At verò rigor in morbis fit quidē etiã ab externis, ventis, aqua, & aere sereno, & aliis id genus. Fit quoque & ab ingestis cibariis & potibus. Præcipuè autem vehementior fit, cùm bilis & pituita, aut ex his alterum, aut vtrunque sanguini permixtum fuerit. Magis tamen si sola pituita permixta fuerit. Pituita enim natura frigidissima est, sanguis verò calidissimus, bilis autem aliquantò sanguine frigidior. Vbi igitur hæc vnà cum sanguine permixta fuerit, aut vtraque, aut eorum alterum, sanguinē condensant, non penitus tamen. Neq; enim viuere homo possit, si sanguis multò dēsior & frigidior seipso euaderet. Vbi igitur sanguis refrigeratur, totum corpus refrigerari necesse est, idq; cùm euenit rigor appellatur, & si quidē vehemēs rigor extiterit, vehemētior etiã est tremor. Sanguine enim in se coëunte & condēsato, dum venæ cõtrahuntur, corpus contrahunt & tremorem excitant. Quòd si minùs in se coeat sanguis, hoc modo rigor appellatur, horror autem dicitur quod est debilissimum. At verò quòd post rigorem necessariò maior aut minor febris prehendit, sic se res habet. Cùm sanguis per vim quandam incaluerit, rursusque in suam naturam abierit, quod pituitæ & bilis sanguini permixtum est, simul incalescit, sanguisque se ipso multò calidior euadit. His igitur percalefactis, post rigorem, ad sanguinis caliditatem, febrem superuenire necesse est. Sudor verò istam ob causam suboritur. Morbi qui præcipuis ad iudicationē diebus iudicantur, & ignis dimittit, in his quicquid est in sanguine pituitæ & bilis tenuissimum eliquatur & secernitur, partimq; foras prodit, partim verò intus in corpore remanet, quod autem à calore attenuatum est, in vaporem vertitur, & cum spiritu mixtum foras prodit. Hæc igitur sunt eiusmodi, & ex his sudor oritur. Cur autem interdum quidem calidus, interdum verò frigidus sit, hac ratione contingit. Calidus certè ex percalefacto malo & exusto, attenuatóque ac debili, neque admodum multo secernitur. eúmq; ex corpore calidiorem excerni necesse est. frigidus autem ex malo copiosior secretus, ex eoq; quod remanet adhuc inualescente, necdum putrefacto, neq; attenuato, neque exusto, frigidior, crassior & graueolentior prodit. Quod inde manifestum fit. Qui frigidum sudorem emittunt, plerunq; lõgis morbis conflictantur, inualescēte malo quod in corpore remanet. Qui verò calidum sudorem emittunt, celeriùs morbis defunguntur. At verò morbus lateralis & pulmonum inflammatio, ad hunc modum oriuntur. Lateris quidem morbus, qui pleuritis dicitur, cùm cumulatæ & validæ potiones admodum occuparint. Ex vino enim incalescit, totum corpus & humectatur, potissimùm verò bilis & pituita. Quibus sanè agitatis & humectatis, temulentum siue sobrium rigore corripi continget, præsertim cùm latus ex reliquo corpore præcipuè naturâ carne nudatum sit, neque quicquam intus habeat quod renitatur, præter ventriculum: ideoq;

maximè rigorem sentit. Cumque rigorem & perfrigerationem senserit, tum caro quæ est in latere, tum venulæ contrahuntur & conuelluntur, & quicquid in ipsa carne, aut in eius venulis, bilis & pituitæ inest, id magna ex parte, aut totũ intrò ad caliditatem propulsum, carne extra condensata secernitur, & ad latus impingitur, doloremq; vehementem excitat & incalescit, propterq; calorem ad se ex proximis venis & carnibus pituitam & bilem trahit. Id igitur hoc modo contingit. Cùm verò quę ad latus impacta sunt putruerint & per sputum reddita fuerint, conualescunt. Quòd si & antiquum multum ad latus impingatur, & aliud insuper accedat, statim moriuntur, cùm saliuæ copiam expuere nequeant, aut purulenti euadunt, & alij quidem intereunt, alij verò euadunt. Hæc autem septem, aut nouem, aut vndecim, aut quatuordecim diebus, de se significationem exhibent, doloremque ad humerum & iugulum hanc ob causam excitant. Vena quæ splenitis nominatur, à liene ad latus fertur, ex latere verò ad humerum & ad manum sinistram. Iecoraria autem in dextram partem ad eundem modum. Cumque eius pars quæ in latere est, à rigore contracta fuerit, sanguisque qui in ea continetur inhorruerit, alam & iugulum humerumque petit, & conuellit, & dolore afficit. Ad eandem quoque rationem loca quæ circa dorsum sunt incalescũt, ab impacto lateri pituitæ & bilis humore, & lateris locis inferioribus quandoque dolorem exhibet, & plærunque, si ad inferiores partes conuertatur, dolorem per venulas ad vesicam transmittit, copiosaque & biliosa vrina redditur, huiusq; morbi causam & principium rigorem esse existimant. At verò pulmonis inflammatio fit, cùm commotam & humectatam pituitam & bilem, propter calorem ex vicinis locis pulmo ad se traxerit, super ea quę iam ipso existunt. Totum quidem corpus percalefacit, doloremq; præcipuè dorso, lateribus, humeris, ac spinæ exhibet, cùm nimirum ab his plurimam ad se humiditatem attrahat, hæque partes supra modum resiccantur, nimiumq; incalescunt. Cùm verò ad se traxerit, tumque bilis, tum pituita sedem in pulmone fixerit, putrescit & in pus vertitur. Et si quidem præcipuis ad iudicationem diebus, putrefacta per sputum reddita fuerint, superstes euadit æger. Si verò susceperit quæ per initia obuenerunt, aliaque præterea accesserint, & neque putrefacta per sputum reiiciat, præ copia superuenientium plærunq; moriuntur. Quòd si ad duos & viginti dies perueniunt, febrisq; dimittit, neque in his per sputum repurgati fuerint, purulenti euadunt. At verò ex his maximè quibus vehementissimus laterum morbus, aut pulmonis inflammatio contingit. Pulmonis autem inflammatio & morbus lateralis sine sputo, ambo ex eadem causa, ex siccitate contingunt. Siccant verò calida etiam, vbi supra modũ calefaciũt & frigida quoq; si supra modũ refrigerant. Induratur autem latus & conuellitur, quæq; in eo insunt venulę, & quãtũ in eo est pituitæ & bilis, id à caliditate intus crescit,

θάνεται μάλιστα τοῦ ῥίγεος. καὶ ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, συνέλκεταί τε καὶ συσπᾶται ἥ τε σὰρξ ἡ ἐπὶ τῇ πλευρῇ, καὶ τὰ φλέβια. καὶ ὅσον τε ἐν αὐτῇ τῇ σαρκὶ ἔνι χολῆς καὶ φλέγματος, ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, τοῦτο πολλὸν, ἢ πᾶν ἀποκρίνεται ἔσω συνωθεόμενον πρὸς τὸ θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν. καὶ προσπήγνυται πρὸς τὴν πλευρὴν, καὶ ὀδύνην παρέχει ἰσχυρὴν καὶ διαθερμαίνεται. καὶ διὰ τῆς θερμότητος ἄγει ἐφ' ἑωυτὸ, καὶ ἀπὸ τῶν πλησίον φλεβῶν καὶ σαρκῶν, φλέγμα
10 τε καὶ χολήν. γίνεται μὲν οὖν τοῦτο τῇδε οὕτω. ὁκόταν μὲν τὰ πρὸς τὸ πλευρὸν προσαραρότα σαπῇ καὶ πτυσθῇ, ὑγιέες γίνονται. ἢν δὲ τό, τε ἀρχαῖον πολλὸν προσπαγῇ πρὸς τὸ πλευρὸν, καὶ ἄλλο προσεπιγένηται. αὐτίκα ἀπόλλυνται, οὐ δυνάμενοι ἀναπτύσαι ὑπὸ πλήθεος τοῦ σιάλου, ἢ ἔμπυοι γίνονται. καὶ οἱ μὲν, ἀπόλλυνται οἱ δὲ, διαφεύγουσι. διαδηλοῖ δὲ ταῦτα ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐννέα, ἢ ἕνδεκα, ἢ τεσσαρεσκαίδεκα. ὀδύνην τε παρέχει, ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὴν μασχάλην, διὰ τόδε. Ἡ φλὲψ ἡ σπληνῖτις καλεομένη,
20 τείνει ἀπὸ τοῦ σπληνὸς ἐς τὸ πλευρόν. ἐκ δὲ τοῦ πλευροῦ ἐς τὸν ὦμον, καὶ ἐς τὴν χεῖρα τὴν ἀριστερήν. ἡ δὲ ἡπατῖτις εἰς τὰ δεξιὰ ὡσαύτως. καὶ ὁκόταν ταύτης τὸ ἐπὶ τοῦ πλευροῦ συνελκυσθῇ ὑπὸ τοῦ ῥίγεος καὶ φρίξῃ τὸ αἷμα τὸ ἐν αὐτῇ, ἔς τε τὴν μασχάλην, καὶ τὴν κληῖδα, καὶ τὸν ὦμον, συνέρχεταί τε καὶ σπᾷ, καὶ ὀδύνην παρέχει. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰ περὶ τὸν νῶτον χωρία, διαθερμαίνεται ὑπὸ τοῦ προσεστηκότος ὑγροῦ πρὸς τὸ πλευρὸν, φλέγματός τε καὶ χολῆς. παρέχει δὲ ὀδύνην ἐνίοτε καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι. πολλάκις δὲ ἢν ἐς τὰ
30 κάτω τράπηται, ὀδύνην διαδιδοῖ ἐς τὴν κύστιν διὰ τῶν φλεβίων, καὶ οὐρέει πολλόν τε καὶ χολῶδες. νομίζουσι δὲ ταύτης τῆς νούσου τὸ ῥῖγος αἴτιον εἶναι καὶ ἀρχήν. Ἡ δὲ περιπλευμονίη γίνεται, [17] ὁκόταν κεκινημένου καὶ ὑγραινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς, ἑλκύσῃ ὁ πλεύμων ὑπὸ θερμασίης ἐφ' ἑωυτὸν, ἀπὸ τῶν πλησίον χωρίων πρὸς τοῖσιν ὑπάρχουσιν ἐν ἑωυτῷ, διαθερμαίνει μὲν πᾶν τὸ σῶμα καὶ ὀδύνην παρέχει, μάλιστα δὲ τῷ τε νώτῳ, καὶ τῇσι πλευρῇσι καὶ τοῖσιν ὤμοισι, καὶ τῇ ῥάχει, ἅτε ἀπὸ τούτων ἕλκων ἐς ἑωυτὸν τὴν ἰκμάδα τὴν πλείστην, καὶ ὑπεξηραίνονται
40 ταῦτα καὶ ὑπερθερμαίνονται. ὁκόταν δὲ εἰρύσῃ ἐς ἑωυτὸν καὶ ἕδρην λάβῃ, ἥ τε χολὴ καὶ τὸ φλέγμα ἐς τὸν πλεύμονα σήπεται, καὶ ἐμπυοῦται. καὶ ἢν μὲν ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων σαπέντα πτυσθῇ, περιγίνεται. ἢν δὲ τά τε ἐπελθόντα τὴν ἀρχὴν δέχηται, καὶ προσεπιγένηται ἕτερα, καὶ μήτε πτύων, μήτε σήπων κρατέῃ, ὑπὸ πλήθεος τῶν ἐπιγινομένων, ἀποθνήσκουσιν ὡς τὰ πολλά. [18] ἢν δὲ πρὸς τὰς ἡμέρας διαγίνωνται τὰς δύο καὶ εἴκοσι, καὶ ὁ πυρετὸς μεθῇ, καὶ ἐν ταύτῃσι μὴ ἐκπτυσθῇ, ἔμπυοι γίνονται. γίνονται δὲ μάλιστα ἐκ τούτων οἷσιν ἰσχυρόταται, ἥ τε πλευρῖτις καὶ ἡ περιπλευμονίη. γίνεται δὲ καὶ ἄπτυστος περιπλευμονίη καὶ πλευρῖτις, ἄμφω ὑπὸ τοῦ αὐτοῦ, ὑπὸ ξηρασίης. ξηραίνει δὲ καὶ τὰ θερμὰ, ὅταν ὑπερθερμαίνῃ. καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψύχῃ. πήγνυται δὲ τὸ πλευρὸν, καὶ τὰ ἐν αὐτῷ τὸ πλευρὸν φλέβια καὶ συσπᾶται. καὶ ὁκόσον ἐν αὐτῷ ἔνι φλέγματος καὶ χολῆς, τοῦτο ὑπὸ τῆς θερμασίης συνεσκληκὸς

καὶ ὀδύνην

καὶ ὀδύνην παρέχει, καὶ ὑπὸ τῆς ὀδύνης πυρετόν. τούτῳ ξυμφέρει τὴν φλέβα ἀποσχάσαι τὴν ἐν τῇ χειρὶ, τὴν σπληνῖτιν καλεομένην, ἢ τὴν ἡπατῖτιν, καθ' ὁποτέρην ἂν εἴη τὸ νούσημα. καὶ οὕτως ἡ ὀδύνη μαλακωτέρη γίνεται τοῦ πλευροῦ τε καὶ τῶν ἄλλων. ἡ γὰρ φλὲψ, ὅσον ἔνι ἐν αὐτῇ χολῆς καὶ φλέγματος, αὐτοῦ τοῦ αἵματος νενοσηκότος, μετὰ τούτων μεθίει τὸ πουλὺ ἔξω. τὸ δὲ ἐκ τῆς σαρκὸς ὑπό τε φαρμάκων, καὶ ποτῶν διαχέεται, καὶ ὑπὸ χλιασμάτων προστιθεμένων ἔξωθεν, ὥστε τὴν νοῦσον σκίδνασθαι ἀνὰ πᾶν τὸ σῶμα. καλέεται δὲ αὕτη πλευρῖτις ἄπτυσος. ἡ δὲ περιπλευμονίη, ὁκόταν ὁ πλεύμων 10 ὑπερξηρανθῇ καὶ αὐτὸς, καὶ ὁκόταν ἐν αὐτῷ ἐνεόν τι χολῆς ἢ φλέγματος, οὔτε σήπει ὁμαλῶς, οὔτε τὸ σίαλον ἀναδιδοῖ. ὅσον τε ἐν αὐτῷ ἐστιν ἰκμάδος, ἢ ἀπὸ ποτοῦ, ἢ ἀπὸ ῥοφήματος, ἢ ἀπὸ τῶν πλησίον χωρίων, τοῦτο πᾶν ἐκκαίει, ὑπὸ τῆς ὑπερξηράσιός τε καὶ θερμασίης. τούτῳ ξυμφέρει πόματα πίνειν ὑφ' ὧν ὑγραίνεται ὁ πλεύμων, καὶ πτύσκεται. ἢν γὰρ μὴ πτυσθῇ σκληρότερός τε γίνεται ὁ πλεύμων, καὶ συναυαίνεται, καὶ τὸν ἄνθρωπον ἀπόλλυσι. Καῦσος δὲ λαμβάνει μὲν μάλιστα, τοὺς χολώδεας. λαμβάνει δὲ, καὶ τοὺς φλεγματίας. λαμβάνει δὲ, ὧδε. ὁκόταν χολὴ κινηθῇ ἀνὰ τὸ σῶμα καὶ συγκυρήσῃ, 20 ὥστε τὰς φλέβας καὶ τὸ αἷμα εἰρύσαι τῆς χολῆς. εἰρύσαι δὲ τὸ πλεῖστον, ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης. τὸ δὲ πρόσθεν ἐνεὸν, ἅτε καὶ τῇ φύσει θερμότατον ἐὸν ἐν τῷ σώματι τὸ αἷμα. ὁκόταν οὖν διαθερμανθῇ ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης, πρὸς τῷ ἐνεόντι μᾶλλον ἔτι ὑπὸ τῆς χολῆς, διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ τὰ μὲν ὑπὸ τῆς πολλῆς ἰκμάδος, οὐ δύναται ἀποξηραίνεσθαι παντάπασιν. ἢν δὲ ἀποξηρανθῇ, ἀποθνήσκει ὁ ἄνθρωπος. τὰ δὲ ἐν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἅτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεταί τε καὶ ἐκκαίεται ἐξ αὐτῶν τὸ ὑγρὸν τὸ πλεῖστον. καὶ εἰ θέλοις 30 ψαύειν, ψυχρά τε εὑρήσεις αὐτὰ καὶ ξηρά. διὰ τοῦτο ὁκόσοι ὑπὸ καύσου ἁλίσκονται, τὰ μὲν εἴσω, καίονται ὑπὸ τοῦ πυρός. τὰ δὲ ἔξω, ψυχροί εἰσιν. ἥ τε γλῶσσα καὶ ὁ φάρυγξ τρηχύνεταί τε καὶ αὐαίνεται ὑπὸ τοῦ εἴσω πνεύματος καὶ τῆς θερμότητος. Ὅσον δ' ἂν ἐν τῇ κοιλίῃ καὶ ἐν τῇ κύστει ἐγγίνηται χολῆς. τὸ μὲν ἐν τῇ κοιλίῃ, ἐνίοτε μὲν διαταράσσεται κάτω. τὰ δὲ πολλὰ, ἐμέεται ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ ἐν τέσσαρσιν, ἢ ἐν πέντε. ἐμέεται δὲ διὰ τόδε. ὁκόταν ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὴν, καὶ γίνεται ἔμετος. διὰ τοῦτο δὴ αὐτὸ καὶ ἐς περιπλευμονίην, ἐκ καύσου τε 40 καὶ ἐκ πλευρίτιδος μάλιστα μεθίσταται τὰ νουσήματα. ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὴν, καὶ ὑποδέχεται ὁ πλεύμων, καὶ γίνεται περιπλευμονίη. καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται, ἅτε ἀσθενέες ἤδη ἐόντες. καὶ ἑτέρης νούσου καινῆς ἐπιγενηθείσης, οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν, ἄχρις οὗ τὸ σίαλον πεπανθῇ ἐν τῷ πλεύμονι. ἀλλ' ὡς τὰ πολλὰ ἀπόλλυνται ὑπὸ ἀσθενείης. ἔνιοι δὲ περιγίνονται. Ὁκόσοισι δὲ ἐς τὴν κύστιν συῤῥεῖ τι χολῆς οὐρέεται παχύ. παχὺ δὲ ὑπὸ φλέγματος. χολῶδες δὲ διαχωρέει, ὑπὸ τοῦ συγκεκαῦσθαι ἐν τῇ κοιλίῃ τὰ ἐνεόντα. Φρενῖτις τε ὧδε ἔχει. τὸ αἷμα τὸ ἐν τῷ ἀνθρώπῳ πλεῖστον ξυμβάλλεται μέρος συνέσιος. ἔνιοι δὲ λέγουσι, τὸ πᾶν. ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα εἰσέλθῃ.

doloremque infert, & ex dolore febrem. Huic confert venam pertundere in brachio splenitidem appellatam, aut iecorariam, ad vtram sanè morbus vergit. Sicq; lateris & aliarum partium dolor leuior cõtingit. Vena enim quicquid in ea inest pituitæ & bilis, & sanguinis morbosi, vnà cum his magna ex parte foras emittit. Pars verò ex carne per medicamenta & potiones diffunditur, & per calefactoria extrinsecus admota, adeò vt morbus per totum corpus spargatur. Et hic morbus lateralis sine sputo appellatur, pulmonis verò inflammatio, cùm ipse etiam pulmo supra modum exiccatur, cumq; quod in eo bilis aut pituitæ inest, neq; æquabiliter putrefacit, neq; per saliuam sursum reiicit, & quicquid in eo est humiditatis, aut ex potione, aut sorbitione, aut ex proximis locis, id totum nimia siccitate & caliditate exurit. Huic confert potiones bibere ex quibus pulmo humectatur & expuit. Nisi enim expuat, & durior pulmo euadit, simulq; arescit, & hominem perimit. At verò febris ardens ferè biliosos prehendit, corripit etiam pituitosos, hoc modo. Vbi bilis toto corpore commota fuerit, & fortè euenerit, vt venæ & sanguis magnam bilis copiã ex carnibus & ventriculo trahãt. Qui verò priùs inest, vt pote naturâ calidissimus in corpore sanguis existens, cùm ex carnibus & ventriculo incaluerit, supra eum qui iam inest, ampliùs adhuc à bile, reliquum etiã omne corpus calefacit. Et quędam quidem partes ob copiosam humiditatem penitus resiccari nequeunt. Quòd si resiccatę fuerint, homo perit. Quædam verò in summis corporis partibus cùm naturâ siccæ sint, resiccantur, plurimumq; ex ipsis humidum exuritur. Quas si attingere velis, frigidas ipsas & siccas comperias. Eamq; ob causam qui febre ardente corripiuntur, internis quidem partibus à febre vruntur, externis verò frigidi sunt, linguaq; & fauces ex interno spiritu & caliditate exasperantur & arefiunt. Quicquid autem bilis in ventriculo & vesica gignitur, quod quidem in ventriculo est, interdum quidem per inferiora exturbatur, plærunque verò primis diebus, aut quatuor, aut quinque hanc ob causam euomitur. Cùm superior vẽtriculus supra modũ incaluerit, ad se trahit, & vomitus excitatur. Eamque ipsam ob causam ex febre ardente & morbo laterali, in pulmonis inflammationem potissimùm morbi transeunt. Vbi enim superior ventriculus supra modum incaluerit, ad sese trahit, pulmoq; excipit, fitque pulmonis inflammatio, ac plærunq; pereunt, cùm nimirum debiles existant, alioq; suborto nouo morbo, dies superare nequeunt, dum sputum in pulmone cõcoctum fuerit, sed vt plurimùm debilitate pereunt, quidam verò supersunt. Quibus autem ad vesicam bilis aliquid confluit, iis vrina crassa, idq; à pituita, redditur, biliosum verò deorsum secedit, eò quòd exusta sunt quæ in vẽtre insunt. Phrenitis autem (quæ est perpetuum cum febre delirium) ad hũc se habet modum. Sanguis qui in homine existit, magnam partem ad prudentiam confert, vt quidam verò dicunt, totam. Vbi igitur bilis commota venas & sanguinem subierit,

ex solita compage & motione sanguinem dimouet & sero diluit, & percalefacit. Qui percalefactus totum etiam reliquum corpus calefacit, & homini mens alienatur, neque apud se est, propter febris copiam, & sanguinis non consuetam dilutionem & agitationem. Qui verò phrenitide detinetur, quòd ad mentis alienationem, his qui atra bile laborant sunt assimiles. Atra enim bile vexati, cùm à bile & pituita sanguis corruptus fuerit, morbo corripiuntur, & mente alienantur, quidam etiam insaniunt. Et in phrenitide similiter contingit. Quò verò bilis pituita est imbecillior, eò minor tum insania, tum mentis alienatio contingit. At in morbo laterali & pulmonis inflammatione, hanc ob causam subcruentum & liuidum sputum expuunt. Per exordia quidem sæpe neutrum expuunt, neq; liuidum, neque subcruentum. Nosse autem oportet morbum vehementem existere. Vbi verò sputum aliquantum crassum spuere cœperint, tum præcipuè purgatur. Expuitur autem ex venarum distensione, in morbo laterali quidem, ex his quæ sunt in latere, in pulmonis verò inflammatione, ex his quæ sunt in pulmone, qui caliditatem ad sese trahit. Quòd si ægro abscessus intrò ruptus fuerit, & purulentus euadat, statim primo die sanguinem & pus subcruentum & liuidum cum saliua expuit. Liuidum autem à sanguine euadit, si pauci sanguinis ad multam saliuam commixtio fiat, neq; confestim spuatur, sed aliquandiu intus remaneat semiputrefactum & in corpore effœminatum. Ex morbo autem laterali intereunt, cùm circa exordia copiosa quidem pituita & bilis ad latus impacta fuerit, multaq; ex reliquo corpore præterea affluxerit, quam neq; spuendo propter copiam, neque putrefaciendo superare possit. Arteriæ autem implentur ab his quæ intus sunt, pituita & pure, ob idque stertit, crebroq; inde respirat, ad extremum autem omnia occluduntur, & interit. Ad eundem etiam modum ex pulmonis inflammatione pereunt. At verò qui ex febre ardente intereunt, omnes ex siccitate intereunt. Primùm quidem extremæ eorum partes, pedes & manus, resiccantur, deinde verò sicciores. Cùm autem penitus corporis humor exustus & resiccatus fuerit, sanguis quidem penitus concrescit & perfrigescit, reliquum verò corpus resiccatur, eoq; modo interit. Ex phrenitide verò ita perit. In hoc morbo perpetuo delirio vrgetur, cùm nimirum sanguis corruptus, & extra solitam agitationem motus sit, cumque desipiant, neq; quicquam effatu dignum eorum quæ offeruntur suscipiunt. Procedente verò tempore marcescunt & consumuntur, tum à febre, tum quod nihil nutriantur. Ac primùm quidem extremæ partes imminuuntur & perfrigerantur, deinde etiam proximæ. At frigoris & febris & dolorum hoc habet principium. Cùm sanguis qui in venis est à pituita refrigeratus fuerit, confestim in aliam atque aliam partem transit, & conuellitur, ac tremit, ad extremum etiam refrigerantur omnia & interit.

διεκίνησε καὶ διεφύρησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος, καὶ διεθέρμηνε. διαθερμανθὲν δὲ διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν, καὶ παραφρονέει ὁ ἄνθρωπος, καὶ οὐκ ἐν ἑωυτῷ ἐστιν, ὑπό τε τοῦ πλήθεος τοῦ πυρετοῦ, [60] καὶ τοῦ αἵματος, τῆς διαφυρήσιός τε καὶ κινήσιος γινομένης οὐ τῆς εἰωθυίης. προσεοίκασι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἐχόμενοι, τοῖσι μελαγχολῶσι κατὰ τὴν παράνοιαν. οἵ τε γὰρ μελαγχολώδεες ὁκόταν φθαρῇ τὸ αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, τὴν νοῦσον ἴσχουσι καὶ παράνοοι γίνονται. ἔνιοι δὲ καὶ μαίνονται. καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. οὕτω δὲ ἧσσον ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσῳπερ ἡ χολὴ τοῦ φλέγματος ἀσθενεστέρη ἐστίν. [61] ὕφαιμον δὲ καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπλευμονίῃ τὸ πτύαλον, διὰ τάδε πτύουσι. κατ᾽ ἀρχὰς μὲν ὡς τὸ πουλὺ, οὐδέτερα πτύουσιν, οὔτε πελιδνὸν, οὔτε ὕφαιμον. εἰδέναι δὲ χρὴ τὴν νοῦσον, ἰσχυρὴν ἐοῦσαν. ὁκόταν δὲ τὸ σίαλον ὑπόπαχυ ἄρξωνται πτύειν, [62] καὶ καθαίρονται μάλιστα τότε. πτύεται δὲ ἀπὸ διατάσιος τῶν φλεβῶν. τῆς μὲν πλευρίτιδος, ἐκ τῶν ἐν τῇ πλευρῇ· τῆς δὲ περιπλευμονίης, ἐκ τῶν ἐν τῷ πλεύμονι, καὶ θερμασίην ἐπάγει ἐφ᾽ ἑωυτήν. [63] Ἢν δὲ ῥαγματίης ἔῃ ὁ τὴν νοῦσον ἔχων, καὶ σαβακὸς ἀπὸ τῆς πρώτης ἡμέρης, αἷμα, καὶ ὕφαιμον πύος καὶ πελιδνὸν σὺν σιάλῳ πτύει. τὸ δὲ πελιδνὸν, ἀπὸ τοῦ αἵματος γίνεται, ἢν ὀλίγον συμμίγνυται ἐς πουλὺ σίαλον, καὶ μὴ παραυτίκα πτύηται, ἀλλὰ ἐμμένῃ ἡμισαπὲς ἐὸν, [64] καὶ ἐκτεθηλυσμένον ἐν τῷ σώματι. ἀποθνήσκουσι δὲ ἀπὸ μὲν τῆς πλευρίτιδος, ὁκόταν πολλὸν μὲν τὴν ἀρχὴν τῇ πλευρῇ προσπαγῇ, φλέγμα τε καὶ χολή. πολλὸν δὲ προσεπιρρυῇ καὶ ἐκ τοῦ ἄλλου σώματος. καὶ μήτε πτύων κρατέῃ ὑπὸ πλήθεος, μήτε σήπων. πιμπλῶνται δὲ αἱ ἀρτηρίαι ὑπὸ τῶν ἐνεόντων, φλέγματός τε καὶ πύου. τοῦτο δὲ ῥέγχει καὶ ἀναπνεῖ, πυκνόν τε καὶ αὐτόθεν. τέλος δὲ ἀποφράσσεται πάντα καὶ ἀποθνήσκει. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ἐκ περιπλευμονίης ἀπόλλυται. ὅσοι δὲ ὑπὸ καύσου ἀποθνήσκουσι, πάντες ὑπὸ ξηρασίης ἀποθνήσκουσιν, ἀποξηραίνεται πρῶτον μὲν αὐτῶν τὰ ἀκρωτήρια πόδες τε καὶ χεῖρες. [65] ἔπειτα δὲ τὰ ἐπιξηρότερα. ὁκόταν δὲ ἐκκαυθῇ καὶ ἀποξηρανθῇ παντάπασι τὸ ὑγρὸν ἐκ τοῦ σώματος, τὸ μὲν αἷμα πήγνυταί τε παντελῶς καὶ ψύχεται. τὸ δὲ ἄλλο σῶμα ἀποξηραίνεται, καὶ οὕτως ἀποθνήσκει. ὑπὸ δὲ τῆς φρενίτιδος ἀπόλλυται ὧδε. παραφρονέουσιν ἐν τῇ νούσῳ διὰ παντὸς, ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ ἐκκεκινημένου τὴν εἰωθυῖαν κίνησιν. καὶ ἅτε παραφρονέοντες, οὔτι τῶν προσφερομένων δέχονται, ὅ, τι ἄξιον λόγου. ὁκόταν δὲ προΐῃ ὁ χρόνος, μαραίνονταί τε καὶ μινύθουσιν ὑπό τε τοῦ πυρετοῦ, καὶ ὑπὸ τοῦ μηδὲν τρέφεσθαι. καὶ πρῶτα μὲν τὰ ἐν τοῖσιν ἀκρωτηρίοισι μινύθει τε, καὶ ψύχεται. ἔπειτα δὲ τὰ ἔσω ἐγγυτάτω. καὶ ψύχεος δὲ καὶ πυρετοῦ καὶ πόνων ἀρχὴν ταύτην ἴσχει. ὅταν τὸ αἷμα τὸ ἐν τῇσι φλεψὶν ὑπὸ τοῦ φλέγματος ψυχθῇ, μεταπίπτει τε καὶ σπᾶται ἄλλοτε [66] ἄλλοτε ἄλλο καὶ τρέμει. τέλος δὲ ψύχεται πάντα καὶ ἀποθνήσκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS DE MORBIS LIBER SECVNDVS.

Οὐρέει πολλὸν ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. τήκεται γὰρ ἐν αὐτῇ τὸ φλέγμα. τηκόμενον δὲ χωρέει τὸ μὲν ἐς τὰς ῥῖνας, τὸ δὲ ἐς τὸ στόμα, τὸ δὲ διὰ τῶν φλεβῶν αἳ ἄγουσιν ἐς τὸ αἰδοῖον. ὅταν δὲ ἐς τὸ αἰδοῖον ἀφίκηται, οὐρέει καὶ πάσχει οἷάπερ ὑπὸ στραγγουρίης. ἀμβλυώσσουσι δὲ ὅταν ἐς τὰ ἐν τοῖσιν ὀφθαλμοῖσι φλέβια ἐσέλθῃ φλέγμα. ὑδαρεστέρη τε γὰρ γίνεται ἡ ὄψις, καὶ θολερωτέρη. καὶ τὸ λαμπρὸν ἐν τοῖς ὀφθαλμοῖς, οὐχ ὁμοίως λαμπρόν ἐστιν, οὐδὲ καταφαίνεται ἐν αὐτοῖς, ἐὰν ἐθέλῃ ὁρᾶν ὁμοίως, ὥς καὶ ὅτε λαμπρὸς ἦν καὶ καθαρὸς ἦν. οὗτος ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα ὑγιάζεται. ἢν δὲ χρόνῳ ὕστερον πολλῷ ὑποστρέψῃ ἡ νοῦσος, τὸ δέρμα τῆς κεφαλῆς παχύνεται. καὶ τὸ ἄλλο σῶμα αἴρεται καὶ παχύνεται καὶ εὐχροέει. τοῦτο τὸ φλέγμα εἰς τὰς σάρκας τρέπεται καὶ ὑπὸ τούτου δοκέει παχὺς εἶναι. αἱ γὰρ σάρκες ἅτε διάβροχοι ἐοῦσαι καὶ ἠρεμέαι καὶ ἀραιότεραι, ἕλκουσιν ἐκ τῶν φλεβῶν αἷμα, καὶ διὰ τοῦτο δοκέουσιν εὔχροοι εἶναι. [2] Ἑτέρη νοῦσος. Ἡ κεφαλὴ ἑλκέων καταπίμπλαται. καὶ τὸ σῶμα οἰδέει. καὶ ἡ χροιὴ ἰκτερώδης. καὶ ἄλλο τε ἄλλη τοῦ σώματος, ἕλκεα ἐκφύει. καὶ πυρετὸς λαμβάνει, ἄλλοτε καὶ ἄλλοτε. καὶ ἐκ τοῦ νώτου ὕδωρ ῥεῖ. τούτῳ ὅταν ἐν τῇ κεφαλῇ φλέγμα ὑπόχολον ἐνραφῇ, τὰ μὲν ἕλκεα γίνεται, ὅταν τὸ βρέγμα διάβροχον γένηται τῷ φλέγματι καὶ τῇ χολῇ. καὶ ἀραιὸν ἔῃ καὶ ἁλὲς τὸ φλέγμα καὶ ἡ χολή. ἵσταται γὰρ τοῦτο καὶ σήπεται καὶ ἑλκοῦται. ἐς δὲ τὰ ὦτα λεπτυνόμενον τὸ φλέγμα, διαδιδοῖ. ἐν δὲ τῷ ἄλλῳ σώματι, τά τε ἕλκεα κατὰ τὸν αὐτὸν λόγον, τοῖσιν ἐν τῇ κεφαλῇ γίνεται, ᾗ συσσηπομένου τοῦ αἵματος καὶ τῆς χολῆς ἢν αὐτοῦ τύχῃ ἁλισθέντα. ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἑλκοῦται. προσκατασήπει δὲ τὸ ἐσελθὸν τοῦ φλέγματος καὶ τῆς χολῆς, καὶ γίνεται πύον. Ἑτέρη νοῦσος. Περιωδυνίην τὴν κεφαλὴν ἴσχει. καὶ ἐμέει χολήν. καὶ δυσουρέει. καὶ παραφρονέει. περιωδυνέει μὲν ὑπὸ τῆς ὑπερθερμάσιος τῆς κεφαλῆς. παραφρονέει δὲ ὅταν τὸ αἷμα τὸ ἐν τῇ κεφαλῇ ὑπὸ χολῆς ἢ φλέγματος, ὑπερθερμανθῇ, καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος. ἐμέει δὲ χολήν, ἅτε κεκινημένης αὐτῆς ἐν τῷ σώματι. καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμάσιος ἕλκει ἐφ᾽ ἑωυτήν. καὶ τὸ μὲν παχύτατον, ἐμέει. τὸ δὲ λεπτότατον, ἕλκει ἐφ᾽ ἑωυτήν. οὐρέει δὲ καὶ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὥς καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἑτέρη νοῦσος. Ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμέσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ. οὐδὲ γὰρ οἷόν ὑπερεμέσαι οὐδὲν τῶν φλεβίων. οὔτε τῶν ἐλασσόνων, οὔτε τῶν μεζόνων. ὀνομάζουσι δὲ καὶ φασὶν ὑπερέμετον. εἰ δὴ ὡς μάλιστα ὑπερεμέσειε, νοῦσος ὑπ᾽ αὐτοῦ οὐκ ἔοικε γίνεσθαι. ἀπ᾽ ἀγαθοῦ γὰρ κακὸν, οὐχ οἷόν τε γενέσθαι.

CVM caput supra modum percalefactum fuerit, copiosa vrina redditur. Siquidem in eo liquatur pituita, quæ liquata, partim quidem ad nares, partim ad os, partim etiam per venas quæ ad pudendum tendunt, secedit. Quò cùm peruenerit, vrinam reddit, & velut vrinæ stillicidio afficitur. Cùm verò oculorum venas pituita subierit, oculorum caligine vexantur. Visus enim aquosior & turbidior euadit, neque oculorum splendor similiter splendidus est, neque si quis cernere velit, comparet velut cùm lucidus & purus erat. Hic quadraginta diebus potissimùm sanus euadit. Quòd si longo post tempore morbus redeat, cutis capitis incrassescit, & corpus reliquum tumidum, crassius, & bene coloratum redditur. Hæc pituita ad carnes vertitur, ideoque æger crassior esse videtur. Carnes enim cùm perfusæ tumidiores & rariores extiterint, ex venis sanguinem trahunt, ac propterea bene colorati esse videntur. Alius morbus. Caput vlceribus completur, corpus intumescit, & colore est auriginoso, & alia atque alia, corporis parte vlcera erumpunt, febris subinde corripit, & ex dorso aqua defluit. Cùm in huius capite pituita aliquantum biliosa innutrita fuerit, vlcera quidem oriuntur. Vbi sinciput pituita & bile madefactum fuerit, pituitaque & bilis rara confertaq; extiterit. Hæc enim concrescit, putrescit, & exulceratur. Extenuata verò pituita, ad aures transmittitur. In reliquo autem corpore ad eandem rationem qua in capite vlcera oriuntur, quacunq; in parte putrefactus sanguis & bilis coaceruata fuerint. Ea enim parte caro putrescit & vlceratur, prætereaq; aduenientem pituitam & bilem putrefacit, pusq; gignitur. Alius morbus. Toto capite dolor obtinet, & bilem vomitione reiicit, difficultate vrinæ premitur, & delirat. Huic quidem totum caput dolet, quòd supra modum calefactum sit. Mente autem alienatur, cùm sanguis qui est in capite à bile & pituita calefactus fuerit, & præter consuetudinem agitatus. Bilem verò vomit, cùm nimirum ipsa in corpore sit agitata. Et caput propter caliditatem ad se trahit, & crassissimum quidem vomit, tenuissimum verò ad se trahit. Vrinam autem reddit in hoc morbo ex iisdem causis, velut in superiore dictum est. Alius morbus. Si circa cerebrum venulæ sanguinem superessundunt, nomen quidem non rectè morbo impositum videtur. Neque enim fieri potest vt vena aliqua, neque ex minoribus, neque ex maioribus, supereuomat. Supereuomitum tamen appellant & dicunt. Quòd siquàm maximè supereuomat, morbus ab eo fieri minimè videtur. Neque enim ex bono malum oriri potest,

vt neque ex malo bonum, neq; rursus bonum plus iustò fieri potest. Verùm supereuomere videtur, vbi bilis & pituita venas subierit. Venæ enim attolluntur & pulsant, & dolor toto capite oboritur, auresq; sonitum percipiunt, & nihil audiunt. Ac sonitum quidem percipiunt, cùm minimũ venę pulsent, ac palpitent. Tunc enim sonitus in capite percipitur. Grauiter verò audiunt, partim quidem ob internum strepitum & sonitum, partim etiam vbi cerebrum & ipsum ambientes venulæ sustollũtur. Nam propter nimiam caliditatem vacuam circa aurem partem cerebrum ex se implet, & cùm nimirum par aeris copia non insit, velut antea, neq; æqualem sonum exhibeat, ea quæ dicuntur non æqualiter de se significationem præbent, indeq; grauis auditus oboritur. Hic si quidem ei ad nares, aut ad os, aqua & pituita erumpat, sanus euadit. Sin minùs, septimo ferè die moritur. Quòd si in capite venæ supereuomuerint, supereuomunt autem ab iisdem quæ antea dicta sunt, quodque hoc modo fiat, eius rei hoc est indicium. Vbi quis aut manũ, aut caput, aut aliam corporis partem ita affectam secuerit, sanguis ater & turbidus, ac morbosus effluit, quãuis neq; sanguinem nominare æquum sit, nisi qui ruber & sincerus effluit. Cùm autem ex iisdem causis supereuomuerint, caput dolor, tenebricosa vertigo & grauitas occupat. Dolor quidẽ ex sanguinis nimia caliditate. Tenebricosa verò vertigo, cùm sanguis conferta copia ad faciem processerit. Grauitas autem, nimirum cùm sanguis turbidior & morbosior, in capite maiore sit copia quàm intus. Cerebri syderatio. Si cerebrum syderatio occupauerit, dolor ex capite spinam occupat, & ad cor permeat, animo linquitur, sudor adest & insomnia, ex naribus sanguis effluit, & plærunq; sanguis vomitione refunditur. Syderatur autẽ hoc modo cerebrum, cùm aut supra modum calefactum aut refrigeratum fuerit, aut plus solitò biliosum aut pituitosum extiterit. Vbi sanè horum aliquid contigerit, spinalem medullam supra modum calefacit, quæ etiam incalescens, spinæ dolorem exhibet. Animi autẽ deliquium adest, vbi pituita & bilis ad cor impegerit, quod his agitatis & humectatis fieri necesse est. Sudor verò ex dolore oritur. Sanguinem autem vomitione refundit, cùm capitis quidem venę à cerebro calefactæ fuerint, quæ verò ad spinã sunt, à spina, spina autẽ à spinali medulla, & spinalis medulla à cerebro, vnde originẽ ducit. Cùm igitur venæ incaluerint, & sanguis in his efferbuerit, venæ quidẽ capitis ad nares trãsmittũt, quæ verò ad spinã sunt sanguinem continentes, ad corpus. Hic tertio aut plærũq; quinto die moritur. Alius morbus. Dolor de repente caput prehendit, statimq; vox deficit, & sui impotens euadit. Hic intra septẽ dies, nisi eum febris corripuerit, interit. Quòd si corripuerit, conualescit. Hæc autem affectio contingit, cùm ei bilis atra in capite agitata fluxerit, præcipueq; in partem in qua plurimæ sunt venæ in ceruicem nempe & pectus. Deinde postridie resolutione corporis tentatur, & fit ad motionem impotens, sanguine nimirum perfrigerato. Quòd si superior euadat, adeò vt sanguis incalescat, siue ab his quæ offeruntur, siue ex sese,

οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο ἄν, οὐδ' αὖ ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γενέσθαι. ἀλλ' ὑπερεμέειν δοκεῖ, ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ. μετεωρίζονται γὰρ αἱ φλέβες καὶ σφύζουσι. καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν γίνεται, καὶ τὰ ὦτα ἠχεῖ καὶ ἀκούει οὐδέν. καὶ ἠχεῖ μὲν ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων, τηνικαῦτα γὰρ ἦχος ἐγγίνεται ἐν τῇ κεφαλῇ. βαρυηκοεῖ δὲ τὸ μέν τι, ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου. τὸ δὲ ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια τὰ περὶ αὐτὸν ἐπαρθῇ. ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸ κατὰ τὸ οὖς κενὸν ὁ ἐγκέφαλος ἑωυτοῦ. καὶ ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἴσον παρέχοντος, οὐκ ἐνσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρυηκοεῖ. οὗτος ἢν μὲν ῥαγῇ αὐτῷ ἐς τὰς ῥῖνας, ἢ ἐς τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσι φλέβες, ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν, ἃ καὶ ἐν τῷ πρόσθεν εἴρηται. σημήιον δὲ ὅτι τοιούτῳ τρόπῳ ὑπερεμέουσι τόδε. ὅταν τις ἢ χεῖρα τοῦτο πάσχουσαν ἐπιτάμῃ, ἢ κεφαλὴν, ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥεῖ, καὶ θολερὸν καὶ νοσῶδες. καίτοι οὐδὲ αἷμα δίκαιον εἰπεῖν καλεῖν αἷμα, ἀλλ' ἐρυθρόν τε καὶ εἰλικρινὲς ῥεῖν. ὅταν δὲ ὑπερεμέσωσιν ἀπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδινίη καὶ βάρος ἔχει τὴν κεφαλήν. ὀδύνη μὲν ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος. σκοτοδινίη δὲ ὅταν ἀλὲς ἐπὶ τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα. βάρος δὲ ἅτε τοῦ αἵματος πλείονος ἐόντος ἐν τῇ κεφαλῇ, καὶ θολερωτέρου, καὶ νοσωδεστέρου ἢ ἔσωθεν. Σφακελισμὸς ἐγκεφάλου. Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἔχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίαν φοιτᾷ, ἀψυχίη καὶ ἱδρώς. καὶ ἄυπνος τελέθει, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ. πολλάκις δὲ καὶ αἷμα ἐμέει. σφακελίζεται δὲ ὁ ἐγκέφαλος τρόπῳ τοιῷδε. ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, ἢ χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος. ὅταν δέ τι τούτων πάθῃ, ὑπερθερμαίνει καὶ τὸν νωτιαῖον μυελόν. καὶ διαθερμαινόμενος καὶ οὗτος, ὀδύνην τῇ ῥάχει παρέχει. ἀψυχέει δὲ ὅταν προσστῇ πρὸς τὴν καρδίην φλέγμα ἢ χολή. προσίστασθαι δὲ ἀνάγκη, κεκινημένων καὶ ὑγρασμένων. ἱδρὼς δὲ γίνεται ὑπὸ πόνου. τὸ αἷμα δὲ ἐμέει, ὅταν αἱ φλέβες μὲν ἐν τῇ κεφαλῇ, ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσιν. αἱ δὲ παρὰ τὴν ῥάχιν, ὑπὸ τῆς ῥάχιος. ἡ δὲ ῥάχις, ὑπὸ τοῦ νωτιαίου μυελοῦ. ὁ δὲ μυελὸς, ὑπὸ τοῦ ἐγκεφάλου ὅθεν περ πέφυκεν. ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες, καὶ τὸ αἷμα ἐν αὐτῇσι ζέσῃ, διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς, ἐς τὰς ῥῖνας. αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμόρροοι, ἐς τὸ σῶμα. οὗτος τριταῖος ἀπόλλυται, ἢ πεμπταῖος ὡς τὰ πολλά. Ἑτέρη νοῦσος. Ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ἀκρατὴς ἑωυτοῦ. οὗτος ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ. εἰ γὰρ ἐπιλάβῃ, ὑγιαίνει. πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ ἐν τῇ κεφαλῇ κινηθεῖσα ῥυῇ. καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστα ἐστὶ φλέβια, ἐν τῷ τραχήλῳ φημὶ καὶ τοῖς στήθεσιν. ἔπειτα καὶ τῇ ἐξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμένου. καὶ ἢν κρατήσῃ ὥστε τὸ αἷμα θερμανθῆναι, ἤτε ὑπὸ τῶν προσφερομένων, ἤτε ὑφ' ἑωυτοῦ,

μετεωρί-

μετεωρίζεταί τε καὶ διαχέεται καὶ κινέεται. καὶ τὴν πνοιὴν ἐσάγεταί τε καὶ ἀφρέει, καὶ χωρίζεται τῆς χολῆς, καὶ ὑγιὴς γίγνεται. ἢν δὲ μὴ κρατήσῃ, ψύχεται μᾶλλον. καὶ ὅταν παντάπασι ψυχθῇ καὶ ἐκλείπῃ ἐξ αὐτοῦ τὸ θερμὸν, πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. ἢν δὲ ἐκ θωρήξιος ταῦτα πάθῃ, καὶ γὰρ πάσχει ὑπὸ τῶν αὐτέων, καὶ ἀπόλλυται. Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου, χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλη καὶ ἄλλῃ. ἔστι δὲ ταῦτα πάσχει ὧν ἂν ἐν τῇ διπλόῃ τοῦ ὀστέου, ὅταν φλέγμα ἐπιγινόμενον ἀποξηρανθῇ. ταύτῃ γὰρ ἀραιὸν γίνεται καὶ ἐκλείπει ἐξ αὐτέου ἡ ἰκμὰς πᾶσα. καὶ ἅτε ξηρευθέντος, ἀφίσταται τὸ δέρμα ἀπ' αὐτοῦ. αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν. Ἑτέρη νοῦσος. Ἢν βλητὸς γένηται, ἀλγέει τῆς κεφαλῆς τὸ ἔμπροσθεν. καὶ τοῖσιν ὀφθαλμοῖσιν, οὐχ ὁμαλῶς ὁρᾷ. καὶ κωμαίνει. καὶ αἱ φλέβες σφύζουσι. καὶ πυρετὸς ἴσχει βληχρός. καὶ τοῦ σώματος ἀκρασίη. ἔστι ταῦτα πάσχει, ὅταν αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσιν. καὶ θερμανθεῖσαι, εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου, ἐκ τούτου γίνεται. τὸ δὲ ἔμπροσθεν τῆς κεφαλῆς, διὰ τόδε ἀλγέει. ὅτι αἱ φλέβες ἐν ταύτῃ εἰσὶν αἱ παχύταται. καὶ ὁ ἐγκέφαλος ἐς τὸ ἔμπροσθεν μᾶλλον κέεται τῆς κεφαλῆς, ἢ ἐς τοὔπισθεν. καὶ τοῖσιν ὀφθαλμοῖσι διὰ τοῦτο οὐχ ὁρᾷ προκειμένου τοῦ ἐγκεφάλου καὶ φλεγμαίνοντος. τὸ δὲ σῶμα διὰ τόδε, ἀκρασίαι ἴσχουσιν. αἱ φλέβες ἐπὴν ἐς ἑωυτὰς ἐρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος, τὸ αἷμα ἑστάναι μᾶλλον νῦν, ἢ ἐν τῷ πρὶν χρόνῳ, καὶ ἐμψύχεσθαι. μὴ κινουμένου δὲ τοῦ αἵματος, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν[12] καὶ κεκαφῶσθαι. καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ ὥστε διαθερμανθῆναι, διαφεύγει. ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα καὶ πήγνυται. καὶ ἢν ἐς τὸ ἐπιδιδῷ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται παντελῶς καὶ ἐμψύχεται ὁ ἄνθρωπος καὶ ἀποθνήσκει. Κυνάγχη. Κυνάγχη δὲ γίνεται, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ, ἀλὲς κάτω. καὶ στῇ ἐν τῇσι σιαγόσι, καὶ περὶ τὸν τράχηλον. οὗτος οὔτε τὸ σίαλον δύναται καταπίνειν. ἀναπνεῖ δέ τε βιαίως καὶ ῥέγχει. καὶ ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. τὸ μὲν οὖν νούσημα ἀπὸ τούτου γίγνεται. καὶ ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶτταν, ἄλλοτε ὑπὲρ τῶν στηθέων, ὀλίγον. Σταφυλή. Σταφυλὴ δὲ γίνεται, ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς. καὶ κατακρήμναται καὶ γίνεται ἐρυθρός. ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται. μελαίνεται δὲ ὧδε. ἐπίφλεβός ἐστιν ὁ γαργαρεὼν παχέης. καὶ ἐπὴν φλεγμήνῃ, θερμαίνεται. καὶ ὑπὸ τῆς θερμασίης ἕλκει ἐκ τῆς φλεβὸς τοῦ αἵματος, καὶ μελαίνεται ὑπ' αὐτοῦ. διὰ τοῦτο δὲ καὶ ἢν μὴ ὀργῶντα τάμνῃς, τὸ διαχρῆμα[13] ἀποσφαδάζουσιν. ἡ γὰρ φλὲψ διαθερμαίνει, καὶ ὑπὸ τῆς θερμασίης ἐμπιπλεῖ τὰ περὶ τὸν γαργαρεῶνα αἵματος. καὶ δι' ὀλίγου ἀποπνίγονται. Ἀντιάδες. Ἀντιάδες δὲ καὶ ὑπογλωσσίδες. καὶ οὖλα. καὶ γλῶσσα. καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, ταῦτα πάντα νοσέει ἀπὸ τοῦ φλέγματος. τὸ δὲ φλέγμα, ἀπὸ τῆς κεφαλῆς καταβαίνει. ἡ δὲ κεφαλὴ, ἐκ τοῦ σώματος ἕλκει. ἕλκει δὲ, ὅταν διαθερμανθῇ.

eleuatur, diffunditur, ac mouetur, spirationemque inducit, & spumescit, à bile separatur, & conualescit. Si verò minimè superet, magis refrigeratur, cumque omninò refrigeratus fuerit, eumque calor defecerit, concrescit, neque moueri potest, sed moritur. Quòd si ex ebrietate sic afficiatur (id enim ex ea contingere solet) etiam moritur. Caries in capitis osse. Cùm verò ossis caries contigerit, dolor ex osse inuadit. Spatio autem temporis cutis à capite modò hâc, modò illa parte discedit. Ita autem afficitur, cui ad duplicatam ossis laminam accedens pituita resiccata fuerit. Hac enim parte rarescit, & omnis ab eo humiditas deficit, cumque siccum existat cutis ab eo discedit. Hic morbus minimè lethalis est. Alius morbus. Si de repente velut sydere ictus concidat, anteriore capitis parte dolor inuadit, neque oculis facilè videt, & sopore detinetur, venæ saliunt, & febris lenta detinet, & corporis ad motũ impotẽtia. Hic ita afficitur, vbi capitis venæ calefactæ pituitam ad se attraxerint. Morbi igitur principium inde oritur. Eam verò ob causam anteriorem capitis partem dolor occupat, quòd in ea venæ sunt crassissimæ, & cerebrum anteriore magis capitis parte quàm posteriore positum habet. Proptereaq; oculis nõ videt, illuc procumbẽte cerebro ac inflammato. Ad motionem verò impotentiæ ideò corpus detinent. Vbi venæ pituitam ad se traxerint, pituitæ frigiditate vti nunc sanguis magis quàm antea sistatur & refrigeretur necesse est. At non moto sanguine, fieri non potest quin corpus quiescat, & profundo somno veluti alto sopore detineatur. Et siquidem sanguis reliquumq; corpus superarit, adeò vt calescat, æger euadit. Quòd si pituita superauerit, sanguis magis refrigeratur & concrescit. Et si refrigeratio & concretio magis increscant, homo prorsus cõgelatus ac refrigeratus perit. Angina. Oritur autẽ angina, cùm pituita in capite agitata, deorsum confertim fluxerit, & in maxillis ac circa ceruicem constiterit. Hic saliuam deglutire non potest, nec nisi per vim spiritum attrahit, ac stertit, interdumq; eum febris detinet. Ea igitur est morbi origo, & interdum sub ipsa lingua, interdum paulò supra pectus contingit. Vua curgulionis affectus. Fit autem vua, cùm ad curgulionem ex capite pituita delata fuerit, isq; pendulus & rubicundus euadit, & successu temporis ad hunc modum nigrescit. Curgulio venosus est & crassus, & vbi inflammationem concepit, incalescit, propterq; caliditatem sanguinem à quo nigrescit, ex vena attrahit. Quare nisi turgentem seces, confestim sese vibrando spiritum & animam efflant ęgri. Vena enim calefacit, & præ caliditate circunstantia curgulionem loca sanguine implet, intraque breue tempus suffocantur. Tonsillæ. Tonsillæ autem & partes sub lingua intumescentes, gingiuarum & linguæ tumores, quæque id genus hoc loco contingere solent, eæ omnes partes ex pituita afficiuntur. Pituita autẽ ex capite defertur. Caput verò vbi calefactũ fuerit, ex corpore trahit.

Incalescit autem à cibariis, sole, laboribus & igne. Morbi ex capite orti. Cùm caput repletur, & ex horum aliquo incalescere contingit, torpor caput detinet, & crebrò vrinam reddit, aliisq; afficitur quæ ex stranguria contingere solent, eaq; nouem diebus patitur. Et si quidem per nares aut aures aqua vel mucus erumpat, à morbo vindicatur, stranguria cessat, vrinamque multam & albam ad viginti dies citra laborem reddit, capitis dolor desinit, & intuenti splendor ex oculis ipsi clam subducitur, & dimidiatas rerum facies sibi cernere videtur. Hic intra quadragesimum diem prorsus conualescit, multis tamen quandoque morbus septimo, aut decimoquarto anno reuertitur. Capitis cutis ei crassescit, & tactui cedit, ac ex paucis cibariis mollis beneque coloratus apparet, neque acutè audit. Cùm sic habentem per morbi initia offenderis, antequam per nares & aures aqua erumpat, eumque intensus dolor detineat, deraso capite, circum frontem scorteo vtriculo, aqua quàm ferre poterit calidissima, pleno alligato, ipsum calefieri finito, vbique refrixerit alterum adhibeto. Quòd si debilis euadat, cessato, & intermissione facta, rursus eadem repetito, quoad vehemens dolor remittat. Si verò aluus non subducatur, eum subluito, & propinatis vrinam ducentibus, aquam mulsam aquosam superbibēdam exhibeto, & quàm maximè foueto, succumq; ptisanæ tenuem sorbeat. Quòd si vēter non subducatur, mercurialem aqua coctam terito, succum percolato, eiusque parem portionem cum ptisanæ succo permisceto, & pauco melle succo admixto, hunc ter die sorbeat, vinumque mulsum, aquosum, album, modicum, post sorbitionem propinato. At postquam ei per nares mucosa eruperint, & vrinam crassam reddiderit, doloreque capitis liberatus fuerit, vtre ne ampliùs vtatur, sed multa calida lotus, vrinam mouentia, & aquam mulsam aquosam bibat. Et primis quidem diebus milium lingat, & cucurbitam aut betas tribus diebus edat, deinde cibis quàm mollissimis, & aluum maximè subducētibus vtatur, pauco semper cibo addito. Diebus verò quadraginta elapsis (tāto enim tempore morbus præcipuè circunscribitur) vbi ipsius caput repurgaueris, primùm medicamentum deorsum purgans exhibebis, si anni tempestas permiserit, deinde serum septem diebus propinabis, aut si debilis existat, paucioribus. Quòd si reuertatur morbus, toti corpori fomento adhibito, postridie veratrum potui exhibeto, deinde quantum videbitur intermissione facta, tuncque ad caput repurgandum exhibito medicamento deorsum purgante, caput octo crustis inurito, duabus quidem ad aures, duabus verò ad posteriorem capitis partem, hinc atque hinc ad ceruicis initium, duabus in naribus, iuxta oculorum angulos. Venas autem iuxta aures quoad pulsare cessent, vrito. ferramentis verò quæ cuneolos faciant, eas transuersas peruriro. Atque hæc vbi feceris sanitas continget. Alius morbus. Vlceribus circa caput impletur, & crura intumescunt, velut ex aquæ potu

διαθερμαίνεται δὲ, ὑπὸ σιτίων[14] καὶ ἡλίου, καὶ πόνων, καὶ πυρός. ὅταν δὲ διαθερμανθῇ, ἕλκει τὸ λεπτότατον ἐς ἑωυτὴν ἐκ τοῦ σώματος. ὅταν δὲ εἰρύσῃ, καταβαίνει καὶ πάλιν ἐς τὸ σῶμα. Νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι.

[15] Ὅταν πλήρης γένηται ἡ κεφαλὴ, καὶ τύχῃ ὑπό τινος τούτων διαθερμανθεῖσα, νάρκη ἴσχει τὴν κεφαλήν. καὶ οὐρέει συχνά. καὶ τὰ ἄλλα πάσχει ἅπερ ὑπὸ στραγγουρίης. ὁ αὐτὸς ἡμέρας ἐννέα, ταῦτα πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα ὕδωρ καὶ βλέννα,[16] ἀπαλλάσσεται τῆς νούσου. καὶ παύεται τῆς στραγγουρίης. οὐρέει τε ἀπόνως. καὶ πουλὺ καὶ λευκὸν, ἐς τὰς εἴκοσιν ἡμέρας. καὶ ἡ ἐκ τῆς κεφαλῆς ὀδύνη ἐκλείπει. καὶ ἐκ τῶν ὀφθαλμῶν ἐσορῶντι[17] κλέπτεταί οἱ ἡ αὐγή. καὶ δοκέει τὸ ἥμισυ τῶν προσώπων ὁρᾶν. οὗτος τεσσαρακοσταῖος, ὑγιὴς παντελῶς γίνεται. ἐνίοτε δὲ πολλοῖς ὑπομιμνῄσκεται ἡ νοῦσος ἑβδόμῳ ἔτει, ἢ τεσσαρεσκαιδεκάτῳ. καὶ τὸ δέρμα οἱ παχύνεται τῆς κεφαλῆς. καὶ ψαυόμενον ὑπείκει. καὶ ἀπὸ ὀλίγων σιτίων,[18] ἁπαλός καὶ εὔχροος φαίνεται, καὶ ἀκούει οὐκ ὀξέα. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς ἀρχομένης τῆς νούσου πρόσθεν ἢ ῥαγῆναι κατὰ τὰς ῥῖνας τὸ ὕδωρ, καὶ κατὰ τὰ ὦτα, καὶ ἔχει αὐτὸν ἡ περιωδυνίη, ἀποξυρήσαντα χρὴ αὐτοῦ τὴν κεφαλὴν, περιδέοντα περὶ τὸ μέτωπον[19] τὸν ἀσκὸν τὸν σκύτινον, ὕδατος ἐμπιπλῶντα, ὡς ἂν ἀνέχηται θερμοτάτου, ἐᾶν αὐτὸν χλιαίνεσθαι. καὶ ἐπὴν ἀποψυχθῇ, ἕτερον ἔχειν. ἢν δὲ ἀσθενὴς ᾖ, παύεσθαι. καὶ διαλιπὼν, αὖθις ποιέειν ταῦτα, ἔστ᾽ ἂν χαλάσῃ ἡ περιωδυνίη. καὶ ἢν ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύσαι αὐτόν. καὶ πιπίσκοντα τῶν οὐρητικῶν μελίκρητα διδόναι ἐπιπίνειν ὑδαρέα. καὶ θαλπέσθω ὡς μάλιστα.[20] ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, λεπτόν. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, λινόζωστιν ἑψήσας ἐν ὕδατι τρίβων, διηθεῖν τὸν χυλὸν, συμμίσγειν[21] τῷ ἀπὸ τῆς πτισάνης χυλοῦ, καὶ τοῦ ἀπὸ τῆς λινοζώστιος, καὶ μέλι ὀλίγον παραμίσγειν ἐς τὸν χυλόν. τοῦτον ῥοφανέειν τρὶς τῆς ἡμέρης. καὶ ἐπιπίνειν[22] οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον ἐπὶ τῷ ῥοφήματι. ἐπὴν δέ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλεννώδεα, καὶ οὐρέει παχὺ, καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἐκ τῆς κεφαλῆς, τῷ ἀσκῷ μηκέτι χρήσθω, ἀλλὰ λουόμενος πολλῷ θερμῷ, πινέτω τὰ διουρητικὰ καὶ μελίκρητα ὑδαρέα. καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λειχέτω. καὶ κολοκύντην ἐσθιέτω, ἢ τεῦτλα τρεῖς ἡμέρας. ἔπειτα σιτίοισι χρήσθω, ὡς μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον αἰεὶ τῶν σιτίων. ἐπὴν δὲ παρακόσια ἡμέραι διέλθωσι, καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ, καθήρας αὐτοῦ τὴν κεφαλὴν, πρότερον οἱ φάρμακον δοὺς κάτω καθῆρον, ἢν ὥρη ἔῃ τοῦ ἔτεος. ἔπειτα ὀρὸν μεταπῖσαι ἑπτὰ ἡμέρας. ἢν δὲ ἀσθενὴς ᾖ, ἐλάσσονας. ἢν δὲ ὑποστρέψῃ ἡ νοῦσος πυριάσας αὐτοῦ ὅλον ἐς αὔριον, δίδου ἐλλέβορον πίνειν. κἄπειτα διαλείπειν ὅσον ἄν σοι δοκέῃ χρόνον, καὶ τότε τῆς κεφαλῆς καθήρας καταποτῷ φάρμακον, καῦσον τὴν κεφαλὴν ἐσχάρας ὀκτώ. δύο μὲν παρὰ τὰ ὦτα, δύο δὲ ὄπισθεν τῆς κεφαλῆς, ἔνθεν καὶ ἔνθεν[23] ἐν τῇ κοτίδι. δύο ἐν τῇ ῥινὶ, παρὰ τοὺς κανθούς. τὰς φλέβας καίειν δὲ τὰς μὲν παρὰ τὰ ὦτα, ἔστ᾽ ἂν παύσωνται σφύζουσαι. τοῖσι δὲ σιδηρείοισι, σφηνίσκους ποιησάμενος, διακαίειν πλαγίας τὰς φλέβας. ταῦτα ποιήσαντι, ὑγιὴς γίνεται. Ἄλλη νοῦσος. Ἑλκέων καταπίμπλαται τὴν κεφαλὴν, καὶ τὰ σκέλεα οἰδίσκεται, ὥσπερ ἀπὸ ὑδροποσίης, καὶ ἐν τῇσι

καὶ ἐν τῇσι κνήμῃσιν ἐμπλάσσεται. καὶ ἢν πιέσῃς, ἡ χροιὴ ἰκτεροώδης. καὶ ἐκφύει ἕλκεα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας. καὶ φαίνεται πονηρὰ προσιδεῖν. ἀποφλεγμήναντα δὲ ταχέως ὑγιέα γίνονται. καὶ πυρετὸς, ἄλλοτε καὶ ἄλλοτε λαμβάνει. ἡ δὲ κεφαλὴ, ἀεὶ θερμή ἐστι. καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. ὅταν οὕτως ἔχῃ, φάρμακον οἱ δοῦναι, ὑφ' οὗ φλέγμα καὶ χολὴ καθαιρεῖται ἄνω. ἢν μὲν ψῦχος ᾖ, προπυριάσας καὶ λούσας θερμῷ. ἔπειτα διαλείπων ἡμέρας τρεῖς, τὴν κεφαλὴν καθῆραι. μετὰ δὲ κάτω φάρμακον πῖσαι. ἢν δὲ ὥρη ᾖ καὶ ὀῤῥὸν μεταπιέτω. εἰ δὲ μὴ, γάλα ὄνου. 10 μετὰ δὲ τὰς καθάρσιας, σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω, καὶ διαχωρητικωτάτοισι. καὶ ἀλουτεέτω. ἢν δὲ ἡ κεφαλὴ ἑλκῶται, τρύγα κατακαίων οἰνηρὴν, σμῆγμα ποιῶν σύμμισγε τῆς βαλάνου τὸ ἔκλεμμα, λεῖον τρίβων. λίτρον συμμίσγων ἴσον ἀποσμήξας τούτοισι, λούσθω πολλῷ θερμῷ. χριέσθω δὲ τὴν κεφαλὴν, δαφνίδας τρίψας καὶ κηκίδας. καὶ σμύρναν. καὶ λιβανωτόν. καὶ ἀργυρείου ἄνθος. καὶ ὕειον ἄλειφα. καὶ δάφνινον ἔλαιον. ταῦτα μίξας χρίειν. τὸν δὲ μετὰ ταῦτα χρόνον, [26] ἐμέτοισι χρήσθω τρὶς τοῦ μηνός. καὶ γυμναζέσθω καὶ θερμολουτεέτω. ἢν δέ σοι τάδε ποιέοντι, ἐκ 20 μὲν τοῦ ἄλλου σώματος ἡ νοῦσος ἐξεληλύθῃ. ἐν δὲ τῇ κεφαλῇ ἔτι ἕλκεά οἱ γίνηται, καθήρας τὴν κεφαλὴν αὖθις, φάρμακον κάτω μεταπῖσαι. ἔπειτα ξυρήσας τὴν κεφαλὴν, καταταμεῖν τομὰς ἀραιάς. καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, ἀνατρίψαι. ἔπειτα εἴρια πινόεντα οἴνῳ ῥαίνων, ἐπιδεῖν. καὶ ἐπὴν ἀπολύσῃς περισπογγίζειν καὶ μὴ βρέχειν. ἔπειτα κυπαρίσσου ἐπιπάττειν, ἐλαίῳ ὑποχρίων. τοῖσι δὲ εἰρίοισι ἐπιδέσμοισι χρήσθω, ἔστ' ἂν ὑγιὴς γένηται. Ἄλλη νοῦσος.

Περιωδυνίη λαμβάνει τὴν κεφαλὴν, καὶ ἐπὴν κινήσῃ τις ἦττον ἐμέει χολήν. ἐνίοτε δὲ καὶ δυσουρέει καὶ παραφρονέει. ἐπὴν 30 δὲ ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει. [27] ἢν δὲ τὴν ἑβδόμην διέλθῃ, καὶ ἐνναταῖος ἢ ἑνδεκαταῖος. ἢν μὴ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα. ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει. ῥεῖ δὲ ὑπόχολον ὕδωρ. ἔπειτα τῷ χρόνῳ, πύον γίνεται ἐκσαπέν. ὅταν οὖν οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἄσσον προστιθέναι πρὸς τὴν κεφαλήν. ἢν δὲ μὴ ταύτοισι χαλᾷ, τῷ ἀσκῷ χρῆσθαι τῷ αὐτῷ τρόπῳ, ὥσπερ ἐπὶ τῆς προτέρης. πινέτω δὲ μελίκρητα ὑδαρέα. ἢν δὲ μὴ, ἀπὸ τοῦ μελικρήτου, [28] τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ πινέτω. 40 [29] ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπινέτω λευκὸν οἶνον ὑδαρέα. [30] ἐπὴν δὲ ῥαγῇ κατὰ τὰ ὦτα, καὶ πυρετὸς ἀνῇ. καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσιν, ἀρξάμενος ἐξ ὀλίγων, προστιθεὶς ἀεί. καὶ λούσθω θερμῷ κατὰ κεφαλῆς. καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ. καὶ ἐντιθέτω σπογγίαν μέλιτι ἐμβάπτων. ἢν δέ τοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γίνηται τὸ ῥεῦμα, διακλύσας, ἐμβάλλειν ἀργύρου ἄνθος. σανδαράχην. ψιμμύθιον, ἴσον ἑκάστου, λεῖα τρίβων ἐμπιπλεὶς τὸ οὖς, σάττειν. καὶ ἢν περιῤῥέῃ, ἐπεμβάλλειν τοῦ φαρμάκου. ἐπὴν δὲ ξηρὸν γένηται τὸ οὖς, ἐκκαθήρας, ἐκκλύσαι τὸ φάρμακον. ἔπειτα κωφὸν γὰρ γίνεται τὸ πρῶτον ἀποξηρανθὲν, πυριᾶν αὐτὸ βληχροῖσι πυρίῃσι τὰ ὦτα. καθίσταται γὰρ οὕτω μόλις καὶ ἐν χρόνῳ. ἀποθνήσκουσι δὲ

tibiæ vlceribus offarciuntur, ac si premas, color est auriginosus, vlceraq; aliàs alia corporis parte, præcipueque in tibiis pullulant, & maligna aspectu apparent, deposita verò inflammatione celeriter sanantur, febrisq; subinde corripit, caput perpetuò calet, & ex auribus aqua effluit. Cùm sic habet, medicamentum ei exhibeto quod pituitam & bilem sursum purget, si quidem frigus fuerit, vbi priùs foueris & calida laueris. Deinde trium dierũ intermissione facta caput purgato, posteaq; medicamentum deorsum purgans bibendum dato, & si anni tempus opportunum fuerit, serum deinceps propinato, sin minùs, lac asininũ. Post purgationes autem cibis quàm paucissimis, maximeque aluum subducentibus vtatur, neq; lauet. Quòd si caput vlceretur, smegmate ex vini fœce vsta parato, glandis putamen læuiter tritum admisceto, nitri pari portione admixta, quibus defrictus multa calida lauetur. Caput autem inungatur baccis lauri tritis, gallis, myrrha, thure, argẽti flore, adipe suillo, & oleo laurino, quibus commixtis illinito. Post hæc autẽ vomitionibus ter in mense vtatur, exerceat se & calida lauetur. Quòd si cùm hæc feceris, morbus quidem ex reliquo corpore discesserit, in capite autem adhuc ipsi vlcera oriantur, rursus capite purgato, medicamentum deorsum purgans postea propinato, deinde caput derasum leuibus incisuris incidito, cumq; sanguis effluxerit, cõfricato, mox lanas succidas vino madidas obuoluito, cumq; solueris, spõgia detergito, nec madefacito. Deinde insparso cyparissi puluere, oleo sublinito. Laneis autem vinculis, quoad sanus euadat, vtatur. Alius morbus. Caput dolor vehemens prehendit, & vbi quis vel paululum agitatur, bilem vomit, interdum verò difficulter vrinam reddit, & mente alienatur, cumq; ad septimum diem peruenerit, quandoq; moritur. Quòd si hunc trãsmiserit, etiam nono aut vndecimo die, nisi ei per nares, vel aures effluxerit. Si verò eruperit, euadit. Fluit autem aqua aliquãtulum biliosa, deinde successu temporis, putredine in pus vertitur. Cùm igitur ita habuerit, quoad quidem dolor vehemens detinuerit, per initia antequam ex naribus & auribus erũpat, spongias calida madefactas capiti propiùs admoueto. Si verò his minimè remittat, vtre eo modo quo in priore morbo vtitor. Aquam autem mulsam aquosam bibat, sin minùs post mulsam, aquam in qua farina hordei crassior macerata fuerit. Ptisanæ verò succum sorbeat, & vinum album aquosum superbibat. Vbi autem per aures eruperit, febrisque & dolor remiserit, cibis vtatur aluum subducentibus, à paucis initio ducto, semper aliquid addendo. Calida caput lauet, & aures aqua limpida proluat, spõgiamq; melle imbutam imponat. Quòd si ne sic quidem resiccetur, verùm diuturna fluxio euadat, post collutionem factam, argentiq; florem, sandaracham, cerusam, singula pari portione tenuiter trita immittito, his aures impleto ac refercito, & si quid superfluat, aliquid de medicamento superiniicito. Cùm verò auris resiccata fuerit, vbi expurgaueris medicamentum abluito, deinde, cùm primùm auris resiccata obsurdescat, lenibus fomẽtis aures foueto. Sic enim non nisi ægrè, ac longo tempore conquiescet. Moriũtur quoq;

si etiam vehemens dolor aurem occupet, neq; intra septem dies eruperit. Hunc calida multa lauato, & spõgies aqua calida maceratas, tepidas expressas, ad aurẽ apponito. Quòd si ne sic quidem rumpatur, ei fomẽtum ad aurem admoueto. Sorbitionibus autem & potionib. iisdem quibus in superioribus vtitor. Alius morbus. Aqua si in cerebro suborta fuerit, dolor acutus sinciput & tempora, interdumq; alia capitis parte detinet, subindeq; rigor ac febris, oculorum regiones dolor occupat, iique caligant, pupilla scinditur, & ex vno duo sibi cernere videtur, & si surrexerit, ipsum tenebricosa vertigo prehendit, neq; vẽtum, neq; solem sustinet, aures tinniunt, auditoq; strepitu indignatur, saliuam & pituitam vomitione refundit, quandoq; verò etiam cibos, capitis cutis extenuatur, & contactu gaudet. Cùm ita habeat, primùm quidẽ medicamentum sursum purgans, quod pituitam educat exhibeto, post hæc caput purgato, deinde intermissione facta medicamentũ deorsum purgans propinato, mox eum cibis quàm maximè aluum subducentib. reficito, sensim semper adiiciẽdo. Vbi verò iam satis ciborũ comederit, ieiunus vomitionibus vtatur, lenticulæ decocto melle & aceto admixto, olera comedens, eoque die quo vomuerit, primùm quidem cyceonem liquidum bibat, deinde sub vesperum paucis cibis vtatur, neq; lauet, post cibos deambulet & mane, ventum & solem deuitans, neq; ad ignem accedat. Quòd si cùm hæc feceris, sanus euadat, sat est, sin minùs, vbi eũ vere primùm quidem veratro antè purgaueris, deinde etiam in nares medicamẽtum infundito, & paruo tempore intermisso, deorsum purgato. Deinde postquam cibis eum refeceris, demum secto iuxta sinciput capite, ad cerebrum vsq; perforato, & velut sectionem per terebram curato. Alius morbus. Rigor, febris, & dolor caput vexat, præcipuè verò ad aurem & tempora, ac sinciput, oculorum regiones dolet, supercilia velut pondus incumbere videntur, & caput grauatur, ac si quis eum agitet, vrinam reddit copiosè & facilè, dentes torpor & stupor detinet, venæ attolluntur & in capite pulsant, quietẽ ferre nequit, sed anxietudine premitur, & præ dolore mente alienatur. Huic si quidem per nares aut aures eruperit, aqua effluit aliquantum purulenta, & conualescit, sin minùs septem diebus ferè moritur. Hic morbus precipuè ex febre lipyria ortum habet, cùm febre liberatus, neq; purgatus, aut cibis & vino se impleuerit, aut inebriatus fuerit, aut in sole se exercuerit. Cùm sic habuerit, primùm quidem sanguinem ex capite quacunq; parte visum fuerit demito, eoque detracto, raso capite ei refrigerantia admoueto, & si venter non subducatur, per infusum subluendus. Potui autem ptisanæ succus frigidus exhibendus, & aqua superbibenda. Quòd si ad refrigerantia ei nõ remittat morbus, mutatione facta, vtre vtitor & calefacito. Vbi verò dolor sedatus fuerit, cibis aluum subducentibus vtatur, neque impleatur. Cùm autem sedato dolore ad vigesimum diem peruenerit, fomento capiti adhibito, medicamentum ad nares admoueto, & intermissione trium dierum facta,

καὶ ἢν ἐς τὸ οὖς περιωδυνίη γινομένη μὴ ῥαγῇ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν, τοῦτον λούειν πολλῷ θερμῷ, καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἐκμάσσων χλιαρούς, προστιθέναι πρὸς τὸ οὖς. ἢν δὲ μὴ οὕτω ῥήγνυται, πυριᾶν αὐτοῦ τὸ οὖς. ῥοφήμασι δὲ καὶ πόμασι, τοῖσιν αὐτοῖσι χρῆσθαι, οἷσι περ ἐπὶ τοῖσι πρόσθεν. Ἑτέρη νοῦσος. Ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξείη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ. καὶ ῥῖγος καὶ πυρετὸς ἄλλοτε ἄλλοτε. καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει καὶ ἀμβλυώσσει. καὶ ἡ κόρη σχίζεται καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾷν. καὶ ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει. καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται, οὐδὲ τὸν ἥλιον. καὶ τὰ ὦτα τέτριγε. καὶ τῷ ψόφῳ ἄχθεται ἀκούων. καὶ ἐμέει σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία. καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς, καὶ ἥδεται ψαυόμενος. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν διδόναι οἱ πίσαι φάρμακον ἄνω, ὅ, τι φλέγμα ἄξει. καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. ἔπειτα διαλείπων φάρμακον πῖσαι κάτω. ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτόν, ὡς ὑποχωρητικωτάτοισιν, ὀλίγα ἀεὶ προστιθείς. ἐπὴν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, τῷ φακίῳ συμμίσγων μέλι καὶ ὄξος, λάχανα προστρώγων. καὶ τῇ ἡμέρῃ ταύτῃ ἣν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν, ἔπειτα ἐς ἑσπέρην, σιτίοισιν ὀλίγοισι χρήσθω. καὶ ἀλουτείτω. καὶ περιπατείτω ἀπὸ τῶν σιτίων, καὶ ὄρθρου φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον. καὶ πρὸς πῦρ μὴ προσίτω. καὶ ἢν μὲν ταῦτα ποιήσαντι ὑγιὴς γένηται, εἰ δὲ μή, προσκαθήρας αὐτὸν τοῦ ἦρος πρῶτον μὲν ἐλλεβόρῳ, ἔπειτα καὶ ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον. καὶ διαλιπὼν ὀλίγον χρόνον, κάτω καθῆραι. ἔπειτα ἀνακομίσας σιτίοισιν, ἔπειτα ταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον, καὶ ἰῆσθαι ὡς πρίσμα. Ἄλλη νοῦσος. Ῥῖγος, ὀδύνη καὶ πυρετὸς διὰ τῆς κεφαλῆς, μάλιστα δὲ ἐς τὸ οὖς, καὶ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα. καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει. καὶ αἱ ὀφρύες δοκέουσιν οἱ ἐπικέεσθαι. καὶ τὴν κεφαλὴν βάρος ἔχει. καὶ ἤν τις μιν κινήσῃ, οὐρήσει. καὶ οὐρέει πουλὺ καὶ ῥηιδίως. καὶ τοὺς ὀδόντας ναρκᾷ, καὶ αἱμωδίην ἔχει. καὶ αἱ φλέβες αἴρονται, καὶ σφύζουσι τῇ κεφαλῇ. καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ᾽ ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. τούτῳ ἢν μὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα ῥαγῇ, ὕδωρ ῥεῖ ὑπόπυον, καὶ ὑγιὴς γίνεται. ἢν δὲ μὴ ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν ὡς τὰ πολλά. αὕτη ἡ νοῦσος γίνεται μάλιστα ἐκ λιπυρίης, ἐπὴν ἀπαλλαγεὶς τοῦ πυρετοῦ ἀκάθαρτος ἐὼν ἢ σιτίων ἐμπλησθήσεται, ἢ θωρήξεται, ἢ ἐν ἡλίῳ κάμῃ. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν ἀφεῖναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος, ὁπόθεν ἄν σοι δοκέῃ. ἐπὴν δὲ ἀφῇς, τὴν κεφαλὴν ξυρήσας, ψύγματα οἱ προσφέρειν. καὶ ἢν μὴ ὑποχωρέῃ ἡ γαστήρ, ὑποκλύσαι. πίνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρόν, καὶ ἐπιπίνειν ὕδωρ. ἢν δὲ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν, τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσι, καὶ μὴ ἐμπιπλάσθω. ἐπὴν δὲ γένηται εἴκοσι ἡμέραι πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν πρὸς τὰς ῥῖνας φάρμακον προσθεῖναι, καὶ διαλιπὼν ἡμέρας τρεῖς φαρμα-

φάρμακον πῖσαι κάτω. Ἑτέρη νοῦσος. Ἢν ὑπερεμήσωσι τὰ φλέβια, τὰ αἵματα τὰ περὶ τὸν ἐγκέφαλον, θερμαίνει τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς καὶ ὀδύνη ἐς τοὺς κροτάφους, καὶ τὸ βρέγμα, καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς. καὶ τὰ ὦτα ἠχέει, καὶ πνεύματος ἐμπίπλαται, καὶ ἀκούει οὐδέν. καὶ ἀλύει. καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης. οὗτος ἀποθνήσκει πεμπταῖος, ἢ ἑκταῖος. ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν. ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν ὕδωρ, οὕτως ἐκφυγγάνει τὸν ὄλεθρον. ἢν δὲ φύγῃ τὰς ἡμέρας τὰς ἕξ, διαιτᾶν αὐτὸν ὥσπερ τὴν προτέρην. Ἑτέρη νοῦσος. Ἢν ὑπερεμήσωσιν αἱ φλέβες ἐς τὴν κεφαλήν, [36] ὀδύνη ἔχει βραχέη τὴν κεφαλὴν πᾶσαν, καὶ ἐς τὸν τράχηλον. καὶ μεταβάλλει, ἄλλοτε ἄλλα τῆς κεφαλῆς. καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μιν ἴσχει. πυρετὸς δὲ οὐ λαμβάνει. ὅταν οὖν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλήν, ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούῃ,[37] σχίσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ. ἐπὴν δὲ τάμῃς διαστείλας τὸ δέρμα ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἁλσὶ λεπτοῖσι διαπάσαι. ἐπὴν δέ σοι τὸ αἷμα ἀποῤῥυῇ, συνθεὶς τὴν τομήν, κρόκῃ διπλῇ κατειλίξαι πᾶσαν αὐτήν. ἔπειτα περιχρίσας τῇ κηρωπίσσῃ σπληνίσκον, ἐπιθεὶς κάτω ἐπὶ τὸ ἕλκος, εἴριον πινόεν ἐπιθεὶς, καταδῆσαι. καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερέων, ἢν μὴ ὀδύνη ἔχῃ. ἢν δ' ἔχῃ, ἀπολύσασθαι. διδόναι δ' ἐς ὃ ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τῶν κρίμνων. ῥοφεῖν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπίνειν ὕδωρ. Ἑτέρη νοῦσος. Ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρός. καὶ ῥῖγος. καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης. μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν. καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι. καὶ ἐς τὰ ὦτα, ὀδύνη ἐσφοιτᾷ. καὶ ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ. καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι. καὶ τοῖσι μὲν πλείστοισιν, ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ. γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλήν. καὶ ἐπὴν ἥ τε ὀδύνη [38] καὶ τὸ πνεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν. καὶ μὴ λουέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ.[39] καὶ ῥοφείτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων. καὶ πινέτω ὕδωρ. ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας ἐσθιέτω καὶ τὸν χυλὸν ῥοφείτω. ἢν δὲ μή,[40] τῆς ἀκτῆς τῶν φύλλων τὸν αὐτὸν τρόπον. καὶ ἐπὴν σοι δοκέῃ καιρὸς εἶναι, σιτία προσφέρειν ὡς ὑποχωρητικώτατα. καὶ ἢν ἀπηλλαγμένου τοῦ ῥεύματος καὶ τῆς ὀδύνης,[41] ὑπὸ τῆς ὀφρύος αὐτῷ βάρος τι γένηται κατὰ τὸν μυξωτῆρα, ἢν μύξα παχείη ἢ καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξει καὶ ὕδατι καὶ ὀριγάνῳ, ἔπειτα λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. ταῦτα ποιήσας, ὡς τὰ πολλὰ [42] ὑγιῆ δείξεις. ἡ δὲ νοῦσος, οὐ θανατώδης. Ἑτέρη νοῦσος. Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἄσσει ἐκ τῆς κοτίδος ἐς τὴν ῥάχιν. καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος. καὶ ἱδρὼς ἐξαπίνης καινὸς τελέθει. καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ. πολλοὶ δὲ καὶ ἐμέουσιν. οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ, οὐχ ὑπερφεύγουσι δὲ οἱ πολλοί. ἢν οὖν τὸ αἷμα ἐμέῃ ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν.

medicamentum deorsum purgans propinato. Alius morbus. Si venulæ copiam sanguinis circa cerebrum supereuomuerint, & cerebrum calefecerint, febris ac dolor vehemens ad tempora, sinciput, & posteriorem capitis partem detinet, aures tinniũt, flatibus implentur, nihil audit, æstuat, & præ dolore seipse incontinenter iactat. Hic quinto aut sexto die moritur. Cùm sic habuerit, caput calefacito. Etenim si per aures aut nares aqua proruperit, periculũ effugit. Quòd si sextum diem euasit, eandem victus rationem quam in priore morbo instituito. Alius morbus. Si venæ in caput supereuomuerint, dolor leuis totum caput detinet, & ad ceruicem pertingit, interdúmque ad alias capitis partes transmittit, deinde vbi surrexerit, eum tenebricosa vertigo occupat, febris non prehendit. Cùm sic habuerit, deraso capite, nisi calefactoriis cessarit, à capite frontem quà capillus desinit, scindito, sectam cutim diducito, vbi sanguis defluxerit, tenuissimo sale conspergito. Postea verò quàm sanguis defluxerit, totam sectionem duplici filo inuolutam componito, deinde splenium cera & pice illitum, vlceri inferiore parte imponito, lana succida apposita deligato, & finito ad dies septem, nisi dolor detineat, qui si detineat, soluito. Aquam autem in qua farina hordei crassior macerata fuerit, quoad conualuerit, ei bibendam exhibeto, ptisanæ verò succum sorbendum, aquam etiam superbibendam dato. Alius morbus. Si cerebrum bilis vexet, febris lenis & rigor detinet, dolórque toto capite, præcipuè verò ad tempora, sinciput, & oculorum regiones, supercilia suspendi videntur, & ad aures dolor peruadit, quandoque per nares bilis effluit, oculi caligant, & plerisque quidem ad dimidiam capitis partem dolor peruenit, toto etiam capite oritur. Cùm ita habuerit, refrigerantia ei ad caput admoueto, & vbi dolor & fluxio quieuerit, apij succum in nares instillato, neque lauet quamdiu dolor detinet, & milium liquidum pauco melle affuso sorbeat, & aquam bibat. Quòd si aluus non subducatur, brassicas edat, & succum sorbeat, sin minùs, foliorum sambuci succum ad eundem modum. Cúmque tempestiuum tibi videbitur, cibos quàm maximè aluum subducentes ei porrigito. Ac si propulsata fluxione & dolore, ad supercilia iuxta nasum pondus quoddam ei incumbere videatur, mucúsque crassus sit & putridus, fomento ex aceto, aqua & origano adhibito, mox calida loto, æris florem & myrrham ad nares admoueto. Hæc vbi feceris, plærunq; sanum videbis, morbus autem minimè est lethalis. Alius morbus. Si syderatum cerebrum fuerit, dolor ex occipitio ad spinam tendit, & cor frigus permeat, de repente nouus sudor oritur, & per nares sanguis fluit, plerique etiam vomunt. Hic intra tres dies moritur. Quòd si septimum diem superauerint (plærique verò minimè superant) & si sanguinem vomat, aut ex naribus effluat, neque eum calida lauato, neq; calefactoria admoueto.

Acetum verò album aqua temperatum potui exhibeto, & si debilis fuerit ptisanam sorbendam dato. Quòd si plus æquo sanguinem tibi vomitione refundere, aut ei ex naribus effluere videatur, à vomitu quidem farinam setaniam aquæ inspersam bibat. Si verò ex naribus fluat, brachiorum & temporum venas, spleniis suppositis deligato. At si horum neutrum affuerit, occipitium autem, & spinam dolor vexet, & ad cor frigus procedat, eruo pectus, dorsum, occipitium, & ceruicem calefacito. Hæc cùm feceris maximè iuueris. Pauci verò ex hoc morbo euadunt. Alius morbus. De repente sanum capitis dolor prehendit, confestimque vox eum deficit, stertit, & os apertum est, & si quis eum vocet aut agitet, solùm ingemiscit, nihil intelligit, vrinam copiosam reddit, eámque se reddere non percipit. Hic nisi eum febris corripiat, intra septem dies moritur. Quòd si corripuerit, plærunque sanus euadit. Huiusmodi autem morbus senioribus ferè contingit, magisque quàm iunioribus. Hic cùm sic habeat, multa calida lauãdus est, & quàm maximè fouendus, eique aqua mulsa tepida in os instillanda. Quòd si ad se redeat & morbum effugiat, cùm eum cibis refeceris, & vires valere videbuntur, immisso in nares medicamento, paucisque intermissis diebus, medicamentum deorsum purgans propinato. Nisi enim purgaueris, metus est ne rursus morbus reuertatur. Ferè autem ex priore minimè euadunt. Alius morbus. At si quis ex temulentia voce deficiat, si quidem iam confestim eum febris corripiat, conualescit, sin minùs, intra tertium diem moritur. Cùm ita habentem offenderis, multa calida lauato, & spongias calida imbutas ad caput admoueto, & in nares cepas detracto cortice immittito. Hic siquidem apertis oculis & voce recuperata ad se redeat, neque nugas loquatur, eo die sopore detentus iacet, postero verò conualescit. Quòd si erectus bilem vomuerit, in insaniam agitur, fereque diebus quinque, nisi dormiat, moritur. Hunc igitur hæc facere oportet, multa calida lauare, donec ad se redeat, deinde copioso oleo illitum, in mollibus stratis, vestimentis contectum recumbere, neque apud eum lucernam ardere, neque loqui. A balneo enim ferè somno corripitur, & si dormierit, sanus euadit. At postquam ad se redierit, tribus quatuórve primis diebus, milium liquidum, aut ptisanæ succum sorbendum, & vinum mellitum bibendum exhibeto. deinde cibis mollissimis primúmque paucis vtatur. Cerebri syderatio. Si syderatio corripit, dolor sensim anteriorem ferè capitis partem detinet, & intumescit, liuescit, febrisque ac rigor prehendit. Cùm sic habuerit, qua parte tumescit, secare oportet, & os perpurgatum radere, donec ad duplicatam laminam perruperit, deinde non secus ac fracturam curare. Caries. Cùm caries in osse oborta fuerit, ex ea os dolor corripit,

πίνειν δὲ διδόναι, ὄξος λευκὸν [43] ὑδαρέα κιρνῶν. καὶ ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥοφάνειν. ἢν δὲ πλείονός σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα, ἢ ἐκ τῶν ῥινῶν οἱ ῥέῃ, ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω [44] ἄλητον σητάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων. ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ καὶ ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοσι, καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπλῆνας ὑποτιθείς. ἢν δὲ τούτων αὐτῶν μηδέτερον ᾖ, ἀλγέῃ δὲ τὴν κοτίδα, καὶ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, χλιαίνειν ἐν τοῖσιν ὀρόβοισι τὰ στέρνα, καὶ τὸν νῶτον, καὶ τὴν κοτίδα, καὶ τὸν τράχηλον. ταῦτα ποιέων, μάλιστα ἂν ὠφελέοι. ἐκφυγγάνουσι δὲ τὴν τοιαύτην νοῦσον ὀλίγοι. Ετέρη νοῦσος. [45] Εξαπίνης ὑγιαίνοντα, ὀδύνη ἔλαβε τὴν κεφαλήν. καὶ παραχρῆμα ἄφωνος γίνεται. καὶ ῥέγχει. καὶ τὸ στόμα κέχηνε. καὶ ἤν τις αὐτὸν καλέῃ ἢ κινήσῃ, στενάζει μοῦνον. συνίει δὲ οὐδέν. καὶ οὐρέει πολύ. [46] καὶ οὐκ ἐπαΐει οὐρέων. οὗτος ἢν μὴ πυρετὸς λάβῃ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. ἡ δὲ τοιαύτη νοῦσος πρεσβυτέροισι μάλιστα γίνεται, ἢ νεωτέροισι. τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ. καὶ θάλπειν ὡς μάλιστα. καὶ ἐνστάζειν μελίκρητον χλιαίνων ἐς τὸ στόμα. ἢν δὲ ἔμφρων γένηται καὶ ἐκφύγῃ τὴν νοῦσον, ἀνακομίσας αὐτὸν σιτίοισιν, ἐπήν σοι δοκέῃ ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κάτω φάρμακον δὸς πιεῖν. ἢν γὰρ μὴ καθήρῃς, δεῖμα αὖθις τὴν νοῦσον ὑποστρέψαι. ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς προτέρης. Ετέρη νοῦσος. Ἢν δὲ ἐκ θωρήξιος ἄφωνος γένηται, ἢν μὲν αὐτίκα δὴ καὶ παραχρῆμα λάβῃ μιν πυρετός, ὑγιὴς γίνεται. ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. [47] ἢν δὲ μὴ οὕτως ἔχοντι ἐπιτύχῃς, λούειν πολλῷ καὶ θερμῷ. καὶ πρὸς τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ, προστιθέναι. καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. οὗτος ἢν μὲν ἀνατείνας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται καὶ μὴ φλυαρῇ, τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων. τῇ δ' ὑστεραίῃ ὑγιὴς γίνεται. ἢν δ' ἀναστάμενος χολὴν ἐμέῃ, μαίνεται καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ κατακοιμηθῇ. τοῦτον οὖν χρὴ τάδε ποιέειν. λούειν πολλῷ καὶ θερμῷ, ἐς τ' ἂν αὐτὸς ἐς ἑωυτὸν παρῇ. ἔπειτα ἀλείψας ἀλείφατι πολλῷ κατακλῖναι ἐς στρώματα μαλθακῶς, καὶ ἐπιβάλλειν ἱμάτια. καὶ μήτε λύχνον καίειν παρ' αὐτῷ, μήτε φθέγγεσθαι. ὡς γὰρ ἐπὶ τὸ πολὺ ἐκ τοῦ λουτροῦ κατακοιμᾶται. ἢν κοιμηθῇ, ὑγιὴς γίνεται. ἐπὴν δ' παρ' ἑωυτὸν γένηται, τὰς πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας, διδόναι κέγχρον λεπτὴν ῥοφάνειν, ἢ πτισάνης χυλόν. [48] καὶ οἶνον μελιτώδεα πίνειν. ἔπειτα σιτίοισι χρῆσθαι ὡς μαλθακοῖσι καὶ ὀλίγοισι τοπρῶτον. Σφάκελος ἐγκεφάλου. Ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ πρόσθεν τῆς κεφαλῆς ἐκ τοῦ κατὰ μικρόν. καὶ ἀνοιδέει. καὶ πελιδνὸν γίνεται, καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. ὅταν οὕτως ἔχῃ, ταμεῖν χρὴ, [49] ἵν' ὀξοιδέῃ: καὶ διακαθήραντα τὸ ὀστέον, ξῦσαι ἕως ἂν ἀφίκηται εἰς τὴν διπλοΐδα. εἶτα ἰᾶσθαι ὡς κάτηγμα. Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τὸ ὀστέον.

τὸ δὲ

τὸ δὲ χρόνῳ λεπτὸν γίνεται, καὶ ἀναφυσᾶται, καὶ γίνεται ἐπ' αὐτῷ κάτηγμα. καὶ ἢν τοῦτο ἀνατάμῃς, εὑρήσεις ἀνατεῖνον ὀστέον καὶ τρηχὺ καὶ πυῤῥόν. ἐνίοισι δὲ καὶ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν ἔτι πέρην διαβεβρωμένον, ἐᾶν ἄριστον. καὶ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος." ἢν δὲ τετρωμένον μὴ ἔῃ, τρηχὺ δὲ, ξύσας μέχρι τῆς διπλοΐδος, ἰῆσθαι ὥσπερ τὴν προτέρην. Ἑτέρη νοῦσος. Ἢν βλητὸς γένηται, καὶ ἀλγέῃ τὸ πρόσθεν τῆς κεφαλῆς, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύνηται ὁρᾷν, ἀλλὰ κῶμά μιν ἔχῃ, καὶ ἢν αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζωσι, καὶ πυρετὸς βληχρὸς ἔχῃ, καὶ τοῦ σώματος πάντος ἀκρησίη," καὶ μινύθῃ. ὅταν οὕτως ἔχῃ, καὶ λούειν αὐτὸν θερμῷ πολλῷ, καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι. ἐκ δὲ τῆς πυρίης ἐγχεῖν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ. ῥοφανεῖν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ πίνειν ὕδωρ. καὶ ἢν μὲν ταῦτα ποιέοντι ῥᾴων γένηται. εἰ δὲ μὴ, ταύτῃ γὰρ μούνη ἐλπὶς, " σχίσαι αὐτοῦ τὸ βρέγμα. καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, συνθεὶς τὰ χείλεα, ἰῆσθαι, καὶ καταδῆσαι. ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά. Κυνάγχη. Πυρετὸς λαμβάνει καὶ ῥῖγος καὶ ὀδύνη τὴν κεφαλήν. καὶ τὰ σιαγόνια οἰδίσκεται. καὶ τὸ πτύαλον χαλεπῶς καταπίνει. ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρὰ κατ' ὀλίγα. καὶ ἐν τῷ φάρυγγι κάτω ῥέγχει. καὶ ἢν καταλαβὼν τὴν γλῶσσαν σκέπτῃ, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός. ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως, καὶ οὐ δύναται ἐκχρέμπτεσθαι. καὶ οὐκ ἀνέχεται κεῖσθαι, ἀλλ' ἢν κατακέηται πνίγεται. τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, ποιέειν τάδε." πρῶτον μὲν σικύας προσβάλλειν πρὸς τὸν σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ, τὸν πρῶτον. ἔπειτα περιξυρήσας ἐν τῇ κεφαλῇ καὶ παρὰ τὸ οὖς, τιθέναι ἔνθεν καὶ ἔνθεν.[14] καὶ ἐπὴν ἀποσφίγξῃς τὴν σικύην, ἐᾶν προσκέεσθαι ὡς πλεῖστον χρόνον. ἔπειτα πυριᾶν αὐτὸν ὄξει καὶ λίτρῳ καὶ ὀριγάνῳ καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ ὄξος ἰσόχοον ὕδατι. καὶ ἄλειφα ὀλίγον ἐπιστάξας, διεῖναι τοῦτο." ἔπειτα ἐς χυτρίδα ἐγχέας ἐπιθεὶς ἐπίθημα κάλαμον ἐνθεῖναι κοῖλον. ἔπειτα ἐπιθεὶς ἐπ' ἄνθρακας, ἀναζέσαι. καὶ ἐπὴν διὰ τοῦ αὐλοῦ τοῦ καλάμου ἡ ἀτμὶς ἀνίῃ, περιχάσκων ἑλκέτω εἴσω τὴν ἀτμίδα, φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα. ἔξωθεν δὲ σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν, προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. ἀναγαργάριστον δὲ αὐτῷ ποιέειν, ὀρίγανον καὶ θύμβραν, καὶ σέλινον, καὶ μίνθην, καὶ λίτρον ὀλίγον. μελίκρητόν τε κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστάξαι. λεῖα τρίψας τὰ φύλλα τῶν προειρημένων βοτανῶν, καὶ τὸ λίτρον[15] τοῦτο διεὶς, χλιαρὸν ἀναγαργαριζέτω. ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν κλάδον λεῖον ποιήσας, καὶ τὸ ἄκρον αὐτοῦ ἐπικάμψας τὸ ἁπαλὸν, κατειλίξας αὐτὸ ἐν εἰρίῳ μαλθακῷ καθορῶν ἐς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν. καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προστιθέναι, ἢ ὑποκλύζειν. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ὕδωρ ἐπιπινέτω." εἰ δέ οἱ οἴδημα ἐκφύῃ, καὶ οἰδίσκεται πρὸς τὰ στήθεα καὶ ἐρυθρὸν ἔῃ, καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης. ποιέειν δέ οἱ τάδε,[18] ἐπὴν ἔξω τράπηται τὸ φλέγμα,

successu verò temporis tenue euadit, inflatur, in eoq; fractura contingit. Quod si secueris, os distentum, asperum, & fuluum reperies, quibusdam verò etiam ad cerebrum vsque corrosum. Cùm ita habentem offenderis, si quidem vltra corrosum fuerit, sinere optimum, & quàm citissimè vlcus curare. Si verò perforatum non fuerit, sed asperum, derasum ad duplicatam vsque laminam, sicuti præcedens curato. Alius morbus. Si quis sit velut syderatus, & capitis anteriore parte dolet, oculisque videre non potest, sed sopor ipsum detinet, & si temporum venæ pulsent, & leuis febris totiúsque corporis ad motum impotentia detineat, & imminuatur: cùm sic habuerit, tum eum multa calida lauato, tum ad caput calefactoria admoueto. A fomento verò myrrham & æris florem in nares infundito. Ptisanæ succum sorbendum & aquam bibendam dato. Et siquidem cùm hæc feceris melius habeat, sat est, sin minus (hæc enim vnica spes est) ei sinciput diuidito, cumque sanguis effluxerit labra componito, curato & deligato. Quòd nisi diuiseris, decimooctauo aut vigesimo die ferè moritur. Angina. Febris & rigor corripit, caput dolet, maxillæ intumescunt, ægrè sputum deglutit, saliuam duram sensim expuit, & in imis faucibus stertit. Quòd si apprehensa lingua consideraueris, curgulionem quidem non magnum, sed mollem videbis. Fauces interiores saliua viscida implentur, neque excreare potest, neque decubitum sustinet, sed si decumbat suffocatur. Cùm sic affectum offenderis, hæc facito. Imprimis quidem cucurbitulas ad primam ceruicis vertebram admoueto, deinde capiti ante raso ad aurem vtraque ex parte apponito, & vbi scarificaueris, cucurbitulam quàm plurimo tempore adhærere sinito. Deinde suffitum illi ex aceto, nitro, origano, & nasturtij semine parato. Quæ leuiter trita, pari aquæ mensura ad acetum permixta, & pauco oleo instillato, macerato, postea in ollam infusa, operculo apposito, arundine caua indita, mox prunis imposita feruefacito, & vbi per arundinis fistulam sursum vapor ascenderit, eum aperto ore intro trahat, ea cautione adhibita ne fauces adurat. Exteriore verò parte spongias aqua calida imbutas ad genas & maxillas apponat. Oris autem collutionem ei facito ex origano, satureia, apio, mentha, & pauco nitro, aquaque mulsa aquosa admixta, paucum acetum instillato. Prædictarum herbarum foliis læuigatis ac tritis, nitróque in ea macerato, tepido os colluat. Si verò saliua retinetur, læuigato myrti surculo, & summa eius parte tenella inflexa molli lana obuoluta, conspectis faucibus, saliuam expurgato, & si venter non subeat, glandem adhibeto, aut infuso subluito. Ptisanæ autem succum sorbeat, & aquam insuper bibat. Quòd si ei tumor rubicundus enascatur, & ad pectus intumescat, & ardeat, salutis maior spes est. Hæc autem ei facienda sunt. Vbi foras inflammatio vertitur,

betas frigida imbutas admoueto, tepidis autem os colluat, & nelauet. Quibus factis ferè euadet. Morbus autem lethalis est, & omninò pauci euadunt. Alia angina. Febris & dolor caput prehendit, fauces & maxillæ inflammantur, neque saliuam deuorare potest, sed crassum & copiosum expuit, & ægrè loquitur. Cùm sic habuerit, primùm quidem eo quo supra diximus modo cucurbitulam admoueto, deinde spongiam calida maceratam ceruici & maxillis apponito, aquam mulsam aquosam ad os colluendum exhibeto, & ptisanæ succum sorbere cogito. Quòd si vbi hæc fecerit saliua non exeat, suffitum eodem modo velut in superiore parato. Quòd si ei ad pectus aut ad ceruicem inflammatio vertatur, betis aut cucurbitis concisis in aquam calidam coniectis, frigidam supersorbeat & bibat, quò faciliùs sputum exscreetur. Cùm verò tumor in pectore extuberat, plures euadunt. At si faucibus & tumoribus sedatis ad pulmonem morbus versus fuerit, confestim febris & lateris dolor insuper corripit, & vbi hoc contingit, plærunque moritur. Quòd si dies quinque effugerit, purulentus euadit, nisi ipsum confestim tussis corripuerit, quæ si corripuerit, exscreato & repurgato sputo conualescit. Huic quamdiu dolor lateris detinet, latus calefaciendum, & offerenda quæ pulmonis inflammationi conueniunt. Quòd si dies quinque superarit, & febris remiserit, tussis verò detinet, primis quidem diebus sorbitionibus vtatur. Cùm verò cibos sumere occœperit, quàm pinguissimos & maximè salsos edat. At si tussis non adsit, verùm purulentum fieri cognoscas, vbi cœnauerit, cúmque dormire volet, allia quàm plurima cruda edat, & vinum generosum meracius superbibat. Quòd si sic quidem ei pus eruperit, bene habet; sin minùs, postridie vbi calida laueris, suffitum exhibeto, & si eruperit, velut purulentum curato. Alia angina. Linguæ pars posterior inflammatione tentatur, locúsque sub tonsillis ad guttur (qui Græcis κλεῖθρον dicitur) neque saliuam, neque aliud quicquam deuorare potest, sed si cogatur, ei per nares effluit. Cùm sic habuerit, mentham viridem, apium, origanum, nitrum, & rhois rubri portionem terito, melle subigito, iisque crassioribus redditis linguam interiore parte qua intumescit illinito. Deinde ficus aqua decoquito, rhois triti paruam portionem hoc ficuum decocto macerato, eóque si possit ad gargarisandum vtatur, sin minùs, os colluat. Aquam verò in qua crassiores farinæ hordeaceæ partes maceratæ fuerint, potui exhibeto. Exteriore autem parte collo & maxillis cataplasma ex farina calida in vino & oleo cocta imponito, & panes calidos admoueto. Vt plurimùm enim locus sub tonsillis ad guttur suppurat. Quòd si sua quidem sponte eruperit, sanus euadit, sin minùs, vbi digito immisso contrectaueris an molle sit, acuto ferramento ad digitum alligato, perforato. Quibus factis multi conualescunt. Hic verò morbus minimùm lethalis est. Vua curgulionis affectio. Si vua

τεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, προσιστάναι. ἀναγαργαριζέτω δὲ χλιαροῖσι καὶ ἀλουτεέτω. ταῦτα ποιέων, μάλιστα ἂν ἐκφυγγάνῃ. ἡ δὲ νοῦσος θανατώδης, καὶ ἐκφυγγάνουσιν ὀλίγιστοι. Ἑτέρα κυνάγχη. Πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλήν. καὶ ἡ φάρυγξ φλεγμαίνει. καὶ τὰ σιαγόνια. καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. πτύει δὲ παχὺ καὶ πολλόν. καὶ φθέγγεται χαλεπῶς. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν σικύην προσβάλλειν, τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἄνωθεν εἴπομεν. ἔπειτα προσίσχειν σπόγγον βρέχων ἐν ὕδατι θερμῷ, πρὸς τὸν τράχηλον καὶ τὰ σιαγόνια. ἀναγαργαρίζειν δὲ διδόναι μελίκρητον ὑδαρές. ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. [59] ἢν δέ οἱ τὰ τοιαῦτα ποιέοντι τὸ σίαλον μὴ ἐξίῃ, πυριᾶν τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τῇ πρόσθεν. ἢν δέ οἱ ἐς τὰ στήθεα τράπηται, ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, τεῦτλα ἢ κολοκύντας κατατεμὼν, [60] ἐμβαλὼν ἐς ὕδωρ χλιαρὸν, ἐπιρροφαιέτω καὶ πινέτω ψυχρὸν, ὅπως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται. ὅταν δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφυγγάνουσιν. [61] ἢν δὲ τῆς φάρυγγος καθεστηκυίης, καὶ τῶν οἰδημάτων στραφῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπιλαμβάνει καὶ ὀδύνη τοῦ πλευροῦ, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπέθανε, ἐπὴν τοῦτο γένηται. ἢν δὲ ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, ἢν μή μιν βὴξ ἐπιλάβῃ αὐτίκα. ἢν δὲ ὑπολάβῃ ὑποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. τοῦτον ἐς τὸ ἂν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν, καὶ προσφέρειν ὅσα τῇ περιπλευμονίῃ. ἢν δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας, καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας, ῥοφήμασι διαχρῆσθαι. ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλικώτατα ἐσθίειν. ἢν δέ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ γινώσκῃς ἔμπυον γινόμενον, δειπνήσαντα ἐπὴν μέλλῃ καθεύδειν, σκόροδα ἐσθιέτω ὠμὰ ὡς πλεῖστα. [62] καὶ ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστερον. καὶ ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πύον. ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιάσαι. καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον. Ἑτέρη κυνάγχη. Φλεγμαίνει τοὔπισθεν τῆς γλώσσης. [63] καὶ τὸ κλεῖθρον τὸ ὑπὸ τῷ βρόγχῳ. καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ' ἄλλο οὐδέν. ἢν δὲ ἀναγκασθῇ [64] διὰ τῶν ῥινῶν οἱ ῥεῖ. ὅταν οὕτως ἔχῃ τρίψας μίνθην χλωρήν. καὶ σέλινον. καὶ ὀρίγανον. καὶ λίτρον. [65] καὶ τῆς ῥόου τῆς ἐρυθρῆς, μέλιτι δεὶς, παχὺ ποιέων ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν οὗ ἂν οἰδέῃ. ἔπειτα ἀναζέσας σῦκα καὶ ἀποζέσας ἐς ὕδωρ, τρίψας τῆς ῥόου ὀλίγην, [66] διέναι τῷ συκῷ τούτῳ καὶ ἀναγαργαρίζειν ἐὰν δύνηται. ἢν δὲ μὴ, διακλύζεσθαι. πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ. ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιαγόνια καταπλάσσειν ἀλήτῳ, ἐν οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρά. καὶ ἄρτους προσιστάναι θερμούς. ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ κλείθρῳ. καὶ ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ῥήγνυται, ψηλαφήσας τῷ δακτύλῳ ἢν μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον τρῆσαι. ταῦτα ποιήσαντι, πολλοὶ ὑγιαίνουσιν. ἡ δὲ νοῦσος αὕτη, ἥκιστά ἐστι θανατώδης. [67] Σταφυλή. Ἢν σταφυλὴ

ἐν τῷ

ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν ὕδατος. καὶ γίνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανής. καὶ ἐπιλαμβάνει τὴν πνοιήν. καὶ ἢν φλεγμαίνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται. ἢν δὲ αὐτὸ ὑφ' ἑωυτοῦ γένηται, τούτων μὴ φλεγμαινόντων ἧσσον ἀποθνήσκει. ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ, τὸν γαργαρεῶνα ἄνω ἐς τὴν ὑπερῴην ἀποπιέσας, διαταμεῖν ἄκρον. ἔπειτα διδόναι ἀναγαργαρίζειν, [68] τὸ ἀπὸ τῶν φύλλων. λείχειν δὲ ἄλητον ψυχρόν. καὶ ὕδωρ ἐπιπίνειν καὶ μὴ λούεσθαι. [69] Ἀντιάδες. Ἢν ἀντιάδες γένωνται, σιωοιδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν, καὶ φαινόμενον σκληρόν ἐστιν ἔξωθεν. καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον, διωθέειν τὰς ἀντιάδας. πρὸς δὲ τὸν γαργαρεῶνα, προσχρίειν ἄνθος χαλκοῦ ξηρόν. καὶ ἀναγαργαρίζειν [70] τὸ ἀπὸ τῶν φύλλων εἰληθερές. ἔξωθέν τε καταπλάσσειν, ᾗ ἂν ἀποιδέῃ, ὠμήλυσιν ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν χλιαρήν. ἐπὴν δέ τοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι, [71] ἔσωθεν ἀφασσόμενα, ὑποτύψαι μαχαιρίῳ. ἔνια δὲ καὶ αὐτόματα καθίσταται. [72] Ὑπογλωσσίς. Ἢν ὑπογλωσσὶς γένηται, ἡ γλῶσσα οἰδίσκεται. καὶ τὸ ὑποκάτω καὶ τὸ ἔξω φαινόμενον σκληρόν ἐστι. καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων, προστιθέναι. καὶ τὴν ὠμήλυσιν ἑψῶν ἐν οἴνῳ καὶ ἐλαίῳ, καταπλάσσειν ἔξω ᾗ ἂν ἀποιδέῃ. ἀναγαργαρίζειν δὲ τῷ συκίῳ, καὶ μὴ λούεσθαι. ἐπὴν δὲ διάπυον γένηται, τάμνειν. ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται. καὶ καθίσταται οὐ τμηθέν. ἐπὴν δὲ ἔξω ἀποπυήσῃ, διακαῦσαι. Φλέγμα συστὰν ἐς τὴν ὑπερῴην. Ἢν δὲ φλέγμα συστῇ ἐς τὴν ὑπερῴην, ἀποιδέει καὶ ἐμπυΐσκεται. ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα. ἐπὴν δὲ ἐξίῃ τὸ πύον, κλύζειν τὸ λοιπόν. πρῶτον μὲν λίτρῳ, καὶ ὕδατι χλιαρῷ. ἔπειτα οἴνῳ. ἐπὴν δὲ ἐκκλύσῃ, σταφίδα τρίψας λευκήν, ἐξελὼν τὸ γίγαρτον, ἐντιθέναι ἐς τὸ καῦμα. ἐπὴν δὲ ἐκρυῇ, οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέτω. καὶ ἐπὴν μέλλῃ τι ἐσθίειν ἢ ῥοφάνειν, σπόγγιον ἐντιθέναι. ταῦτα ποιέειν ἔστ' ἂν ὑγιὴς γένηται. [73] Πώλυπος. Ἢν πώλυπος γένηται ἐν τῇ ῥινί, ἐκ μέσου τῶν χόνδρων κατακρέμαται, οἷον γαργαρεών. καὶ ἐπὴν ὤσῃ τὴν πνοιήν, προσέρχεται ἔξω, καὶ ἐστι μαλθακόν. καὶ ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω. καὶ φθέγγεται σομφόν. καὶ ἐπὴν καθεύδῃ ῥέγκει. ὅταν οὕτως ἔχῃ, σπόγγιον κατατάμων στρογγύλον καὶ ποιήσας οἷον σπεῖραν, [74] κατειλίξαι λίνῳ αἰγυπτίῳ καὶ ποιῆσαι σκληρόν. εἶναι δὲ μέγεθος, ὥστε ἐναρτίζειν ἐς τὸν μυκτῆρα. καὶ δῆσαι τὸ σπόγγιον λίνῳ τετραχόῳ. μῆκος δὲ ἔστω, ὅσον πυγονιαῖον ἕκαστον. ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχήν, ῥάβδον λαβὼν κασσιτερίνην λεπτήν, [75] ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν, διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον, ἐπὶ τὸ ὀξύ. καὶ ἐπὴν λάβῃ διείρας διὰ τοῦ κύαρος τὸν λίνον ἕλκειν, ἔστ' ἂν λάβῃ τὴν ἀρχήν. [76] ἔπειτα χηλὴν ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα ἀντερείδων ἕλκειν ἔστ' ἐξειρύσῃς τὸν πώλυπον. ἐπὴν δὲ αὐτὸν ἐκσπάσῃς καὶ παύσηται τὸ αἷμα ῥέον,

in faucibus oriatur, summus curgulio aqua impletur, eiusque extrema pars rotunda & pellucida redditur, respirationemque intercipit. Quod si maxillæ vtraq; ex parte inflammatione tentatæ fuerint, strangulatur. Sin verò citra horum inflammationem, hæc affectio per se exoriatur, minùs perit. Cùm sic habuerit, curgulionem digito apprehensum, & sursum ad palatum appressum, extrema parte præcidito. Deinde herbarum hortensium odoratarum & condimentis vsurpatarum decoctum ad gargarisandum dato, & farinam frigidam delingendam, aquámque superbibendam, neque lauet. Tonsillæ. Si tonsillæ oriantur, sub maxillis ex vtraque parte tumor fit, qui ad contactum foris durus est, & totus curgulio inflammatione vexatur. Cùm sic habuerit, immisso digito tonsillas protrudito, ad curgulionem verò æris florem siccum illinito & herbarum hortensium odoratarum decoctum insolatum, gargarisandum exhibeto, & extrinsecus, qua parte tumor est, hordeaceam farinam in vino & oleo coctam in cataplasmate tepidam admoueto. Vbi vero tubercula mollia esse videbuntur, intus contrectata, scalpello pertundito. Quædam tamen etiam sua sponte sedantur. Hypoglossis. Si hypoglossis aut tuberculum sub lingua oriatur, lingua intumescit, parsque sub ipsa & externa ad contactum dura est, & saliuam deuorare non potest. Cùm sic habuerit, spongiam calida madefactam apponito, & farinam hordeaceam vino & oleo incoctam, parte exteriore qua intumescit in cataplasmate admoueto, ficuum decoctum ad gargarisandum dato, nec lauato. Vbi verò purulentum fuerit, secato. Quandoque autem sua spōte erumpit, & citra sectionem consîdit. Cùm verò parte externa suppurauerit, inurito. Inflammatio in palato consistens. Si verò inflammatio in palato contracta fuerit, intumescit & suppurat. Cùm sic habuerit, tuberculum vrito, vbi pus exierit, reliquum eluito, primùm quidem nitro & aqua tepida, deinde vino. Postquàm elueris, vuam albam passam detractis acinis tritam in vsturæ locum imponito, cúmque effluxerit, vino meraco tepido colluat, & vbi quid edere aut sorbere volet, spongiam immittito, istáque donec conualescat facito. Polypus. Si polypus oriatur in naso, ex mediis cartilaginibus velut curgulio dependet, & vbi spiritum expellit, foras mollis progreditur, vbi verò attrahit, regreditur, vocem obscuram, & inter dormiēdum stertorem facit. Cùm sic habuerit, spongiam rotundam concisam, & in orbem velut spiram contortam, lino Ægyptio conuoluito, & duram reddito. Sit autem ea magnitudine quæ naribus sit adaptata. Spongiam quadruplici lineo filo, quod cubitali sit longitudine vnumquodq; deligato. Deinde ea in vnum principiū coacta, sumptáque tenui virga stannea, quæ altera parte acus foramen habeat, virgam acuta sui parte in os transmittito, & transmisso per acus foramen lineo filo, eam apprehensam trahito, donec filorum principium apprehendas. Deinde specillo ad vngulæ similitudinem bisulco, curgulioni subdito, obnixè trahito, donec polypum eduxeris. Cumque extraxeris, & sanguis

fluere desierit, siccum linamentum specillo conuolutum immittito, & de cætero, æris flore cum melle feruefacto, linamentum illitum in nares imponito. Vlcere iam percurato, plumbum ita efformatum vt ad vlcus pertingat, melle illitum, donec conualescat apponito. Alius polypus. Nasus carne impletur, quę ad contactum dura apparet, neque naribus respirare potest. Cùm sic habuerit, immissa fistula, ferramentis tribus aut quatuor inurere oportet. Post vstionem veratrum nigrum tritum iniicito, & vbi caro computruerit & exciderit, penicillum lineum melle cum æris flore illitum, imponito. Cúmque vlcus percuratum fuerit, plumbeas laminas melle illitas indito, donec conualescat. Alius polypus. Interiore ex parte caro rotunda ex cartilagine prominet, ad contactum verò mollis est. Cùm sic habuerit, nerueo fune accepto, in eo tenuem laqueum facito, tenui filo conuoluito, deinde alterum initium per laqueum transmittito, maiore laqueo facto, mox initium per virgam stanneam traiicito. Postea immissum in nares laqueum, per specillum incisum circum polypum extendito, quo obducto, virgam per os traiicito, eamq; correptam trahito, specillo instar vngulæ bisulco ad eundem modum sub curgulione obfirmato. Vbi verò extraxeris, velut superiorem curato. Alius polypus. Interiore ex parte circa cartilaginem durum quid aliqua ex causa adnascitur, quod caro esse videtur, si verò attigeris sonat velut lapillus. Cùm ita habuerit, nasum per scalpellũ diuisum expurgato, mox inurito, quo facto rursus nasum consuito, & penicillo vnguine illito imposito, vlcus curato, ac vbi circumputruerit, æris florem cum melle illinito, plumbea verò lamina immissa percurato. Alius. In cartilaginis summa parte ex obliquo velut cancri parui exoriuntur, quos omnes inurere oportet, inustos veratro aspergito. Vbi verò putruerint, æris flore cum melle exterito, plumbea lamina percurato. Morbus regius. Facies nigricat, præcipuéque partes in vmbra latentes, oculi ex virore pallescunt, lingua inferiore parte venæque sub lingua crassæ sunt & nigræ, febre caret, & vrinam crassam biliosamque reddit. Cùm sic habuerit, primùm quidē venas sub lingua pertundito, deinde vbi multa calida laueris, asphodeli radices quinque pari portione, repurgatas & vino incoctas apij foliis admixtis quantum manus capere possit, ieiuno bibendas exhibeto. Vini dulcis tres dimidias heminas Æginenses affusas ad dimidiam heminam coquito, hoc permixtum ex iisdem propinato. Postquam verò vrinam reddiderit, cibis aluũ subducentibus vtatur, post cibum cicer album edat, vinum album, copiosum, aquosum bibat, apium & porrum in cibo comedat. Hæc septē diebus faciat, & si quidem in his color moderatè tibi repurgatus esse videatur, sat est, sin minùs, aliis tribus eadem faciat. Postea verò vnius aut alterius diei mora interposita, medicamentum ad nares admoueto, deinde medicamentum deorsum purgans, ex quo bilis repurgetur, propinato. Et si quidem lienosus fuerit, lac asininum aut serum postea bibendum dato, hisque factis sanum reddes.

περιθεὶς περὶ τὴν μήλην ξηρὴν ὀθόνιον, μοτῶσαι. καὶ τὸ λοιπὸν ἀναζέσαι τὸ ἄνθος ἐν μέλιτι, καὶ χρίων τὸ μοτὸν προστιθέναι ἐς τὴν ῥῖνα. καὶ ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον ποιησάμενος ὥστε καθίκνεῖσθαι πρὸς τὸ ἕλκος, τοῦτο μέλιτι χρίων, προστιθέναι ἔστ' ἂν ὑγιὴς γένηται. Ἕτερος πώλυπος. Ἐμπίπλαται ἡ ῥὶς κρέασι. καὶ ψαυόμενον τὸ κρέας, σκληρὸν φαίνεται. καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. ὅταν οὕτως ἔχῃ, ἐνθέντα χρὴ σύριγγα, καῦσαι σιδηρίοισιν, ἢ τρισὶν, ἢ τέσσαρσιν. ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τὸν ἐλλέβορον τοῦ μέλανος, τρίψας. καὶ ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, μοτοὺς τοὺς λιναίους χρίων τῷ μέλιτι, ἐπιτιθέναι σὺν τῷ ἄνθει. ἐπὴν δὲ ἀλθαίνηται, τοὺς μολίβδους χρίων τῷ μέλιτι ἐστιθέναι, ἄχρις ἂν ὑγιὴς γένηται. Ἕτερος πώλυπος. Ἔσωθεν ἐκ τοῦ χόνδρου, προέχει κρέας στρογγύλον. ψαυόμενον δὲ μαλθακόν ἐστιν. ὅταν οὕτως ἔχῃ, χορδὴν λαβὼν νευρίνην, βρόχον αὐτῇ σμικρὸν ποιήσας, καὶ τυλίξαι λίνῳ λεπτῷ, ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μείζονα ποιήσας τὸν βρόχον. ἔπειτα τὴν ἀρχὴν διεῖραι διὰ τῆς ῥάβδου τῆς κασσιτερίνης. ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, [77] τῇ μήλῃ τῇ ἐντετμημένῃ περιτείνας τὸν βρόχον, περὶ τὸν πώλυπον, [78] ἐπὴν περιελκύσηται, διαιρεῖν τὴν ῥάβδον ἐς τὸ στόμα. καὶ λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον τῆς χηλῆς ὑποβαλλούσης. ἐπὴν δὲ ἐξελαύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν. Ἕτερος πώλυπος. Ἔσωθεν παρὰ τὸν χόνδρον, ἀπὸ τῆς σκληρὸν φύεται. καὶ δοκέει μὲν εἶναι κρέας. ἢν δὲ ψαύσῃς αὐτοῦ, ψοφέει οἷον λίθος. ὅταν οὕτως ἔχῃ, σχίσαι τὴν ῥῖνα σμίλῃ ἐκκαθῆραι. ἔπειτα ἐπικαῦσαι. τοῦτο ποιήσας συρράψαι πάλιν τὴν ῥῖνα, καὶ ἰῆσθαι τὸ ἕλκος [79] τῷ χρίσματι ἐναλείφων, ῥάκος ἐντιθέναι. καὶ ἐπὴν περισαπῇ, ἐξαλείφειν τὸ ἄνθος τὸ ἐν τῷ μέλιτι. [80] ἀλθίσκειν δὲ τῷ μολίβδῳ. [81] Ἄλλως. Φύεται ἐκ πλαγίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια. πάντα δὲ ταῦτα καίειν χρή. ὅταν δὲ καύσῃς, ἐπιπάσαι τοῦ ἐλλεβόρου. ἐπὴν δὲ σαπῇ, καθαίρειν τῷ ἄνθει σὺν τῷ μέλιτι. ἀλθίσκειν δὲ τῷ μολίβδῳ. [82] Ἴκτερος. Ἡ χροιὴ μέλαινα γίνεται. καὶ τὸ πρόσωπον. μάλιστα δὲ τὰ ἐσκιασμένα. καὶ οἱ ὀφθαλμοὶ χλωροί. καὶ ἡ γλῶσσα κάτωθεν. καὶ αἱ φλέβες αἱ ὑπὸ τῇ γλώσσῃ, παχεῖαι καὶ μέλαιναι. καὶ ἄπυρος γίνεται. καὶ οὐρέει παχὺ χολῶδες. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ ἀποσχάσαι. ἔπειτα λούοντα πολλῷ τῷ θερμῷ, διδόναι πίνειν νήστει τοῦ ἀσφοδέλου τὰς ῥίζας, ἀποκαθαίρων ἑψῶν ἐν οἴνῳ ἴσας πέντε ῥίζας, καὶ σέλινα συμμίξας ὅσον χεὶρ ἐμπλήρης τῶν φύλλων. ἐπιχεῖν δὲ οἴνου γλυκέος, τρία ἡμικοτύλια αἰγιναῖα. καὶ λείπειν ἡμικοτύλιον. τοῦτο κιρνὰς καὶ τῶν αὐτῶν διδόναι πίνειν. ἐπὴν δὲ οὐρήσῃ, σιτίοισι χρῆσθαι διαχωρητικοῖσι. καὶ μετὰ τὸ σιτίον ἐρεβίνθους λευκοὺς τρωγέτω. καὶ πινέτω οἶνον λευκὸν, πολὺν, ὑδαρέα. καὶ σέλινα τρωγέτω ἐπὶ τῷ σιτίῳ καὶ πράσα. ποιεέτω δὲ ταῦτα, ἐν ἑπτὰ ἡμέρῃσι. καὶ ἢν μέν σοι δοκέῃ ἐν ταύτῃσιν ἡ χροιὴ κεκαθάρθαι ἐπιεικῶς. ἢν δὲ μὴ, καὶ ἑτέρας τρεῖς ταῦτα ποιείτω. μετὰ δὲ ἐπισχὼν μίαν ἢ δύο ἡμέρας, προσθέτω φάρμακον πρὸς τὰς ῥῖνας. μετὰ δὲ φάρμακον πίσον κάτω, ὑφ' οὗ χολὴν καθαίρεται. [83] καὶ ἢν μὲν σπληνώδης ἔῃ, ὄνου γάλα, ἢ ὀρρὸν μεταπίσον. ταῦτα ποιέων, ὑγιέα ποιήσεις.

Ἕτερος

Ἕτερος ἴκτερος. Πυρετὸς λαμβάνει βληχρὸς καὶ τῆς κεφαλῆς βάρος ἔχει. καὶ οἱ πυρετοὶ ἐπαύσαντο ἐνίοισιν. αὐτὸς δὲ γίνεται χλωρὸς, οἵ τε ὀφθαλμοὶ μάλιστα. καὶ ἀσθενεῖ. καὶ ἀκρησίη τοῦ σώματος, καὶ οὐρεῖ παχὺ καὶ χλωρόν. τοῦτον θερμῷ λούειν, καὶ διδόναι πίνειν διουρητικά. ἐπὴν δέ σοι δοκέῃ καθαρώτερος εἶναι, καὶ ἡ χροιὴ βελτίων γένηται, προσάγειν φάρμακον πρὸς τὰς ῥῖνας, καὶ μεταπιπίσκειν κάτω. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρῆσθαι. οἶνον δὲ πινέτω λευκὸν, γλυκὺν, ὑδαρέα. ταῦτα ποιέων ὑγιὴς γίνεται. Πυρετοὶ ἀπὸ χολῆς. Ἢν χολᾷ ὁ ἄνθρωπος, πυρετὸς αὐτὸν λαμβάνει καθημέρην, καὶ ἀφίει. ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης. καὶ τὸ στόμα πικρόν. καὶ ὅταν ἄσιτος ᾖ, λυπεῖ αὐτόν. ἐπὴν δὲ φάγῃ, πνίγεται. καὶ ὑπὸ ὀλίγων κάρτα σιτίων ἐμπίπλαται. [84] καὶ βδελύττεται. καὶ ἐμέσιαι μιν λαμβάνουσιν. [85] καὶ ἐς τὴν ὀσφὺν, βάρος ἐμπίπτει καὶ ἐς τὰ σκέλεα. καὶ ὑπνώττει πολλά. [86] τοῦτον ἢν μετὰ τὸ πῦρ ἐξιδρώσῃ, καὶ ψυχρὸς καὶ πουλὺς ᾖ, καὶ τοῦ πυρετοῦ μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίνεται. ἢν δὲ μὴ ἱδρώσῃ, θᾶσσον κρίνεται. ὅταν οὕτως ἔχῃ ἐπὴν γένηται ἐναταῖος, φάρμακον διδόναι. ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδοῖς, ἐπὴν καθαρθῇ ἐπανέλαβε πυρετὸς, καὶ αὖθις φαρμάκου δεῖται. [87] ἐπὴν δὲ τὸ μὲν στόμα μὴ πονέῃ, ἐς δὲ νειαίρην γαστέρα στρόφος ἐμπίπτῃ, φάρμακον πίσαι κάτω. καὶ μεταπιπίσαι γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢ τῶν χυλῶν τινά. ἢν δ᾽ ἀσθενὴς ᾖ, ὑποκλύσαι. πρὸ δὲ φαρμάκου τῆς πόσιος ὃς ἂν πυρεταίνῃ, ἕωθεν μὲν διδόναι μελίκρητον ὑδαρές. [88] τὴν δὲ ἄλλην ἡμέρην ἐφ᾽ ἣν ὁ πυρετὸς ἔχει, ὕδωρ ὁπόσον ἂν θέλῃ διδόναι ψυχρὸν πίνειν. ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥοφεῖν διδόναι, πτισάνης χυλὸν, ἢ κέγχρον λεπτόν. καὶ ἐπιπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ἢν δὲ ἔμπυρος ᾖ, καὶ μὴ ἀνῇ μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης. ψαυόμενος δὲ ἢν μὲν τὰ ἄνωθεν ἔχῃ θερμὰ, ἡ κοιλίη δὲ καὶ οἱ πόδες εἰσὶ ψυχροὶ καὶ ἡ γλῶσσα τρηχείη, τούτῳ μὴ δῷς φάρμακον, ἀλλ᾽ ὑποκλύζειν μαλθακῷ κλύσματι, καὶ διδόναι ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. τὸν δὲ ἄλλον χρόνον, πίνειν ὕδωρ ὡς ψυχρότατον. οὗτος ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ, καὶ τὸ πῦρ αὐτὸν μεθῇ. ἢν δὲ μὴ, τεσσαρεσκαιδεκαταῖος ἀποθνήσκει ὡς τὰ πολλά. Ἄλλος πυρετός. Ἔξωθεν ἀφασσόμενος ἐστὶ βληχρὸς, ἔσωθεν δὲ καίεται. καὶ ἡ γλῶσσα αὐτοῦ τρηχείη. καὶ πνεῖ διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος θερμόν. ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρά. καὶ ὀδύνη ἐστὶ, καὶ ἡ χροιὴ οἵη ὑπὸ ἰκτέρου ἐχομένου φαίνεται. καὶ οὐρεῖ παχὺ καὶ χολῶδες. [89] τοῦτον ἢν μὲν ἑβδομαῖον ὄντα, ῥῖγος λάβῃ καὶ πυρετὸς ἰσχυρὸς καὶ ἐξιδρώσῃ. ἢν δὲ μὴ, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐναταῖος. λαμβάνει δὲ μάλιστα, ἢν μὴ τὸ ἔτος αὐχμηρὸν γένηται. [90] αὕτη ἡ νοῦσος. ὅταν οὕτως ἔχῃ, λούειν θερμῷ ἑκάστης ἡμέρης. καὶ πίνειν διδόναι, μελίκρητον ὑδαρὲς πολλόν. καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν, δὶς τῆς ἡμέρης. ἐπὶ δὲ τῷ ῥοφήματι, πίνειν οἶνον ὑδαρέα, λευκὸν, ὀλίγον. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι, ἢ βάλανον προσθεῖναι. σιτίον δὲ μὴ προσφέρειν, ἕως ἂν ὁ πυρετὸς ἀνῇ. ἐπὴν δὲ παύσηται, φάρμακον πίσαι κάτω.

Alius morbus regius. Febris leuis prehendit, caput grauitas detinet, nonnullis etiam febris cessat, ipse verò ex virore pallidus euadit, præcipueq; oculi, debilis est, corporis ad motionem impotētia grauatur, & vrinam crassam ac cum virore pallidam reddit. Hunc calida lauato, & quæ vrinas ducūt bibenda exhibeto. Vbi verò purior esse, & color tibi melior videbitur, medicamento naribus admoto, etiā medicamentum deorsūm purgās postea bibendum dato. Cibis autem quàm mollissimis vtatur, vinum album, dulce, aquosum bibat, quibus factis sanum reddes. Febres ex bile. Si quis bile vexetur, febris eum quotidie prehendit & dimittit, potissimū verò medio die detinet, os amarū est, & cùm sine cibo fuerit, offenditur, vbi verò comederit, strangulatur, & paucis cibis impletur, eos execratur, & vomitionibus tentatur, ad lumbos & crura grauitas decumbit, multumq; dormit. Huic, si post febrem frigido & copioso sudore exudarit, neque febre liberetur, diuturnus morbus euadit. Si verò minimè exudarit, citiùs iudicatur. Cùm sic habuerit, vbi nonum diem attigerit, medicamentum purgans exhibeto. Si enim statim per febris exordia exhibueris, postquàm purgatus fuerit, febris repetit, rursusq; medicamento indiget. Cùm verò os minimè laboret, sed ad imum ventrem tormina decumbāt, medicamentum deorsūm purgans propinato, posteaq; lac asininum, aut serum, aut succum aliquem bibendum dato. Quòd si debilis fuerit, aluum infuso subluito. At verò ante medicamenti purgantis portionem si quis febre vexetur, mane quidem aquā mulsam aquosam exhibeto, alio verò die quo febris detinet, frigidam quantam volet bibendam dato. Cùm verò febris remiserit, ptisanę succum, aut milium liquidum sorbendum, & vinum album, generosum, aquosum superbibendum dato. Quòd si febre detineatur, neq; de nocte, neque de die remiserit, & ad contactum superiores quidem partes calidas habeat, venter autem & pedes frigidi sint, & lingua aspera, huic medicamentum purgans minimè exhibeto, sed molli infuso aluū subluito, & ptisanæ succum bis die frigidum sorbendum dato, posteaq; vinū aquosum propinato, reliquo verò tempore aquam quàm frigidissimam bibendam. Hic si quidem septimo die exudarit, & febris eum dimiserit, bene habet, sin minùs, plærumque decimoquarto die moritur. Alia febris. Exteriore parte ad cōtactum febris leuis est, intus verò ardet, lingua est aspera, naribus & ore calidum expirat. Vbi verò diem quintū attigerit, præcordia dura sunt, dolentia, & color qualis in ictero detento apparet, vrinamq; crassam ac biliosam reiicit. Hunc si quidem septimo die rigor & vehemens febris prehenderit, ac exudarit, bene habet, sin minùs, septimo aut nono die moritur. Corripit autem maximè hic morbus, si anni tempus minimè squalidum fuerit. Cùm sic habuerit, quotidie calida lauato, aquam mulsam aquosam copiosam propinato, & succum ptisanæ frigidum bis die sorbendum dato, & post sorbitionem vinum aquosum, album, modicum bibendum. Quòd si aluus minimè subeat, per infusum subluito, aut glandem apponito. Cibum, quoad febris remiserit, ne exhibeto, vbi verò cessauerit, medicamentū deorsum purgans bibendū dato.

Quandoque enim reuertitur morbus, si impurgatus permanserit. Idem morbus rursus prehendit, si sanguis supra modum biliosus fuerit. Si tertiana febris detineat, si quidem post tres accessiones quarta prehendat, medicamentum deorsum purgans propinato. Quòd si medicamento tibi minimè indigere videatur, pentaphylli radices acetabuli quantitate in aqua tritas, bibendas dato. Si verò ne sic quidem sedetur, vbi multa calida lauerit, trifolium & laseris succum cum vino pari aqua admixta, propinato, reclinatumque multis vestimentis donec exudet contegito. Post sudorem si sitiat, polentam ex aqua bibendam dato, vesperi verò milium tenue coctum sorbeat, vinumque superbibat. Cibis verò quàm mollissimis vtatur, donec dimittat. Febris quartana. Cùm febris quartana detinet, si quidem ex alio morbo non purgatum corripiat, medicamentum deorsum purgans propinato, deinde caput repurgato, postea medicamentum deorsum purgans iterum dato. Quòd si nec his factis cesset, interpositis duabus post purgationem per inferiora accessionibus, post multæ calidæ balneum, semen hyoscyami milij magnitudine, mandragoram pari portione, laseris succum trium fabarum quantitate, & trifolij parem modum, ex vino meraco bibendum exhibeto. Si verò robustus esse, & bene sibi valere videatur, & ex lassitudine ac itinere febris in eo contracta ad quartanam perducta sit, post fomenta adhibita, allium melle maceratum ipsi exhibeto, deinde lentis cremorem, melle & aceto admixto superbibat. Vbi cibo expletus fuerit, vomat post calidæ balneum, postquàm refrixerit, cyceonem ex aqua bibat, vespere verò cibis mollibus neq; multis vtatur. Secunda autem accessione, calida loto, & vestimentis contecto quoad exudet, confestim veratri albi radicum trium digitorum longitudinem, trifolij drachmæ quantitatem, succi laseris duarum fabarum pondus ex vino meraco propinato. Quod si vomitiones ipsum detineant, vomat, sin minus, eodem modo, post capitis purgationem. Cibis verò quàm mollissimis & acerrimis vtatur. Cùm autem ipsum accessio inuaserit, ne ieiunus medicamentum bibat. Lateris morbus. Lateris morbus vbi prehendit, febris & rigor detinet, dolor per spinam ad pectus peruadit, erectæ ceruicis spiratio (orthopnœam dicunt) & tussis vexat, sputum album, aliquantulum biliosum, non facilè tussi reiicit, ad inguina dolor est, & vrinam cruentam reddit. Cùm sic habuerit, si quidem febris septimo die remiserit, cõualescit. Quòd si non remiserit, morbus ad vndecimum aut decimumquartum diem peruenit. Plæriq; itaque his diebus intereunt. Si verò decimumquartũ diem, superet, euadit. Cùm hoc modo dolor detinet, fomenta calida admoueto. Mel autem decoctum pari affusa aceti mensura bibat, deinde ad mellis cocti & aceti mensuram, aquæ vndeuigesimã portionẽ affusam sensim & crebrò bibendã dato, posteaq; pauco affuso aceto aquam admisceto. Milij succum pauco melle instillato frigido, quantum heminæ quadrantem, in singulos cibos sorbeat, & vinum album, generosum aquosum bibat.

ὑποστρέφει γάρ ἐστιν ὅτε ἡ νοῦσος, [91] ἢν ἀκάθαρτος διαφέρηται. Ἡ νοῦσος αὕτη πάλιν λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ αἷμα. ἢν τριταῖος πυρετὸς ἔχῃ. [92] ἢν μὲν οὖν μὴ παρεὶς τρεῖς λήψιας τῇ τετάρτῃ λάβῃ, φάρμακον πίσαι κάτω. ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, τρίψας τοῦ πενταφύλλου τῶν ῥιζῶν, ὅσον ὀξύβαφον ἐν ὕδατι, δοῦναι πιεῖν. ἢν δὲ μηδὲ ἐν τούτῳ παύηται, λούσας αὐτὸν πολλῷ θερμῷ πίσαι τὸ τρίφυλλον καὶ ὀπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρατεῖ. καὶ κατακλίνας [93] ἐπιβαλέειν ἱμάτια ἕως ἱδρώσῃ. ἐπὴν δὲ ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον καὶ ὕδωρ. ἐς ἑσπέρην δὲ καὶ κέγχρον ἑψήσας λεπτὸν, ῥοφησάτω. καὶ οἶνον ἐπιπινέτω. [94] ἕως δ᾽ ἂν διαλείπῃ, καὶ σιτίοις ὡς μαλθακωτάτοισι χρήσθω. Πυρετὸς τεταρταῖος. Τεταρταῖος πυρετὸς ὅταν ἔχῃ. ἢν μὲν ἐξ ἄλλης νούσου λάβῃ ἀκάθαρτον, φάρμακον πίσαι κάτω. ἔπειτα τὴν κεφαλὴν καθῆραι. ἔπειτα φάρμακον πίσαι κάτω. ἢν δὲ μὴ ταῦτα ποιήσαντι παύηται, διαλείπων δύο λήψιας, μετὰ τὴν κάτω κάθαρσιν, λούσας αὐτὸν πολλῷ θερμῷ, πίσον τοῦ καρποῦ τοῦ ὑοσκυάμου, ὅσον κέγχρον. καὶ μανδραγόρου ἴσον. [95] καὶ ὀποῦ τρεῖς κυάμους. καὶ τριφύλλου ἴσον ἐν οἴνῳ ἀκρήτῳ πιέειν. ἢν δὲ ἐρρωμένος καὶ ὑγιαίνειν δοκέων ἐκ κόπου ἢ ἐξ ὁδοιπορίης πυρετήνας καταστῇ αὐτῷ ἐς τεταρταῖον, πυριήσας αὐτὸν, σκόροδα δίδου, ἐς μέλι βάπτων. ἔπειτα ἐπιπινέτω φάκιον, μέλι καὶ ὄξος μίξας. ἐπὴν δὲ πλησθῇ, ἐμεσάτω. ἔπειτα λουσάμενος θερμῷ ἐπὴν ψυχθῇ, πιέτω κυκεῶνα ἐφ᾽ ὕδατι. ἑσπέρης δὲ σιτίοισι μαλθακοῖσι καὶ μὴ πολλοῖσι διαχρήσθω. τῇ δὲ ἑτέρῃ λήψει λούσας θερμῷ πολλῷ, ἱμάτια ἐπιβαλὼν, ἕως ἐξιδρώσῃ, πίσαι τὸ διαχρῆμα λευκοῦ ἐλλεβόρου τῶν ῥιζέων ὅσον τριῶν δακτύλων μῆκος. καὶ τοῦ τριφύλλου ὅσον δραχμὴν μέγεθος, καὶ ὀποῦ δύο κυάμους ἐν οἴνῳ ἀκρήτῳ. καὶ ἢν ἐμέσαι μὲν ἔχωσιν, ἐμεσάτω. [96] ἢν δὲ μὴ, ὁμοίως. μετὰ τὸ καθῆραι τὴν κεφαλήν. σιτίοισι δὲ χρήσθω, ὡς μαλθακωτάτοισιν καὶ δριμυτάτοισιν. ὅταν δὲ ἡ λῆψις μιν ἔχῃ, μὴ νῆστις ἐὼν τὸ φάρμακον πινέτω. Πλευρῖτις. Πλευρῖτις ὅταν λάβῃ, πυρετὸς καὶ ῥῖγος ἔχει καὶ ὀδύνη διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος. καὶ ὀρθόπνοια. καὶ βήξ. καὶ τὸ σίαλον λευκὸν, καὶ ὑπόχολον. καὶ ἀποβήσσεται οὐ ῥηιδίως. καὶ διὰ τῶν βουβώνων ὀδύνη. καὶ οὐρέει αἱματῶδες, ὅταν οὕτως ἔχῃ. ἢν μὲν τὸ πῦρ ἀφῇ ἑβδομαῖον ὄντα, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ἀφῇ, ἀφικνέεται ἡ νοῦσος ἐς τὰς ἕνδεκα ἡμέρας, ἢ τὰς τεσσαρεσκαίδεκα. οἱ μὲν οὖν πολλοὶ ἐν ταύτῃσιν ἀπόλλυνται. ἢν δὲ ὑπερβάλλῃ τὴν τεσσαρεσκαιδεκάτην, ἐκφυγγάνει. ὅταν οὕτως ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. πινέτω δὲ καὶ μέλι, ἀναζέσας αὐτὸ καὶ ἐπιχέας ὄξος, ἴσον τῷ μέτρῳ τοῦ μέλιτος. ἔπειτα ὁπόσον ἂν γένηται μέτρον τοῦ ἑφθοῦ μέλιτος καὶ τοῦ ὄξεος, [97] ἐπιχέαι ὕδατος ἑνὸς δέοντος τῶν εἴκοσι. τοῦτο διδόναι πίνειν κατ᾽ ὀλίγον πυκνά. καὶ μεταμίσγειν ὕδωρ, ὄξος ὀλίγον παραχέων. ῥοφεέτω δὲ καὶ κέγχρου χυλόν. [98] μέλι ὀλίγον παραστάζων ψυχρὸν, ὅσον τεταρτημόριον κοτύλης, ἐφ᾽ ἑκατέρῳ σιτίῳ. καὶ πινέτω οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα, ὀλίγον.

ὀξ

ὁ δ' οἶνος ἔστω, ὡς μαλθακώτατος, ὀδμὴν μὴ ἔχων. ὅταν δὲ ὁ πυρετὸς ἀφῇ, ἡμέρας μὲν δύο τὸν κέγχρον ῥοφεέτω δὶς τῆς ἡμέρας. καὶ τεῦτλα ἡδύτατα ἐσθιέτω. ἔπειτα μετὰ ταῦτα σκύλακα ἢ ὄρνιθα καθεφθὸν ποιήσας, τοῦ ζωμοῦ ῥοφεέτω. καὶ τῶν κρεῶν φαγέτω ὀλίγα. τὸν δὲ λοιπὸν χρόνον μάλιστα ὅσον ὑπὸ τῆς νούσου ἔχεται, ἀριστιζέσθω μὲν τὸν κέγχρον. ἐς ἑσπέρην δὲ, σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ μαλθακωτάτοισιν. Ἑτέρη πλευρῖτις. Πυρετὸς ἔχει καὶ βήξ. καὶ ῥῖγος καὶ ὀδύνη ἐς τὸ πλευρὸν, καὶ ἐς τὴν κληῖδα ἐνίοτε, καὶ τὸ σίαλον πτύει, ὑπόχολον καὶ ὕφαιμον. [100] ὅταν τύχῃ ῥηγματίας ὤν, τοῦτο ᾗ ἂν ὀδύνη ἔχῃ, μάλιστα προστιθέναι χλιάσματα, καὶ λούειν θερμῷ, ἢν μὴ πυρετὸς αὐτὸν πολὺς ἔχῃ. ἢν δὲ μή, μή. πίνειν δὲ διδόναι, [101] κηρίον ἐν ὕδατι ἀποβρέχων ἔπειτα ὑπόγλυκυ ποιέων. καὶ μετὰ μίσγειν ὕδωρ. ῥοφάνειν δὲ τὸν χυλὸν τοῦ κέγχρου, δὶς τῆς ἡμέρης. καὶ ἐπιπινέτω οἶνον λευκὸν ὑδαρέα. καὶ ἢν ὑπεκφύγῃ τὰς τεσσαρεσκαίδεκα ἡμέρας, ὑγιὴς γίνεται. Ἄλλη πλευρῖτις. Πυρετὸς ἴσχει, καὶ βρυγμὸς, καὶ βὴξ ξηρή. καὶ ἐκβήσσεται χλωρά. ἔστι δ' ὅτε καὶ πελιδνά. καὶ τὸ πλευρὸν ὀδύνη λαμβάνει. καὶ τὸ μετάφρενον ὑπέρεθρον γίνεται. χλιαίνεται δὲ τὴν κεφαλὴν καὶ τὰ στήθεα. ποτὲ δὲ τὴν κοιλίην καὶ τοὺς πόδας καὶ τὰ σκέλεα. καὶ ἀνακαθήμενος, μᾶλλον βήσσει. καὶ ἡ γαστὴρ ταράσσεται. καὶ τὸ ἀποπάτημα πάνυ χλωρὸν καὶ κάκοδμον. οὗτος ἐν εἴκοσιν ἡμέραις ἀποθνήσκει. ἢν δὲ ταύτας ἐκφύγῃ, ὑγιὴς γίνεται. [102] τοῦτον ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, διδόναι πίνειν τὸ ἀπὸ τοῦ κρίμνου. καὶ μεταπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν, δὶς τῆς ἡμέρης. ἀντὶ δὲ τοῦ μέλιτος ὑπὸ τὸν χυλὸν μίσγειν, [103] ῥοιῆς χυλὸν οἰνώδεα, ὅταν ἤδη ὁ χυλὸς ἐφθὸς ᾖ, καὶ λούειν μὴ πολλῷ. ἐπὴν δὲ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν ἔπειτα ἀριστιζέσθω τὸν κέγχρον. ἐς ἑσπέρην δὲ τοῖσι κρέασι τοῖσιν ὀρνιθίοισι καὶ τῷ ζωμῷ, καὶ τοῖσι σιτίοισι ὀλίγοισι χρήσθω. τὴν δὲ τοιαύτην νοῦσον ὀλίγοι ἐκφυγγάνουσιν. Περιπλευμονίη. Πυρετὸς ἴσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον. τὸ δὲ μακρότατον δύο δεούσας εἴκοσι. καὶ βήσσει ταύτας τὰς ἡμέρας, ἰσχυρῶς. καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον, σίαλον παχὺ καὶ καθαρὸν, ἑβδόμῃ καὶ ὀγδόῃ. ἐπὴν δὲ ὁ πυρετὸς λάβῃ ἐνάτῃ καὶ δεκάτῃ, ὑπόγλυκυ καὶ πυῶδες, ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρῃ ξηρανθῇ ὁ πλεύμων καὶ ἐκβήξῃ, ὑγιάζεται. ἢν δὲ μή, δύο δεούσαις εἴκοσι προσέχειν. καὶ ἢν μὲν ἐν ταύτῃσι [104] παύσηται τοῦ βήγματος, ἐκφεύγει. ἢν δὲ μὴ παύηται, εἴρεσθαι αὐτὸν, εἰ γλυκύτερον αὐτῷ δοκεῖ τὸ σίαλον. καὶ ἢν φῇ, ἡ νοῦσος ἐνιαυσίη γίνεται. ὁ γὰρ πλεύμων ἔμπυος γίνεται. τούτῳ χρὴ τὰς μὲν πρώτας ἡμέρας, οἶνον διδόναι γλυκὺν, λευκὸν, ὑδαρέα, κατ' ὀλίγον πίνειν πυκνά. ῥοφάνειν δὲ τῆς πτισάνης τὸν χυλὸν διδόναι, μέλι προσμίσγων [105] τρὶς τῆς ἡμέρης, ἔστ' ἂν αἱ ὀκτωκαίδεκα ἡμέραι παρέλθωσι, καὶ ὁ πυρετὸς παύσηται. κινδυνεύει δὲ μάλιστα ἐν τῇσιν ἑπτά, ἢ ἐν τῇσι τεσσαρεσκαίδεκα. ἐπὴν δὲ τὰς ὀκτωκαίδεκα ἡμέρας ὑπερβάλλῃ, οὐκ ἔτι ἀποθνήσκει, ἀλλὰ πτύει πύον, καὶ τὰ στήθεα πονεῖ, καὶ βήσσει.

Vinum autem sit quàm mollissimum, & minimè odoratum. Cùm verò febris dimiserit, duobus quidem diebus milium bis die sorbeat, & betas suauissimè apparatas comedat. Post hæc catuli aut auiculæ decoctæ ius sorbeat, & paucas carnes edat. Denique verò, præcipuè quamdiu morbo tentabitur, milium in prandio assumat, vesperi autem cibariis quàm paucissimis & mollissimis vtatur. Alter lateralis morbus. Febris & tussis detinet, & rigor, & lateris dolor, quandoque etiam ad iugulum, sputum expuit aliquantulum biliosum & subcruentum. Quòd si contigerit vt ei intro abscessus ruptus fuerit, qua parte maximè dolor detinet, fomenta calida admoueto, & nisi multa febris vexet, calida lauato, sin minùs, minimè. In potu verò aquam faui recentis maceratione condulcatam exhibeto, postea etiam immixta aqua. Milij autem succum bis die sorbeat, & vinum album aquosum superbibat. Qui si quatuordecim dies effugerit, sanus euadit. Alius lateralis morbus. Febris detinet, dentium stridor & tussis sicca vexat, cum virore pallida, quandoque etiam liuida tussi reiicit, dolor lateris prehendit, & dorsum subrubrum euadit, caput & pectus calet, interdumque etiam venter, pedes & crura. Erectus sedens tussi magis vexatur, aluus turbatur, & alui egestio ex virore admodum pallida est & graueolens. Hic intra dies viginti perit, quos si effugerit, conualescit. Huic donec quatuordecim dies præterierint, farinæ hordeaceæ crassioris maceratæ dilutum bibendum exhibeto, & vinum album, generosum, aquosum postea propinato, ptisanæ succum frigidum bis die sorbendum dato. Cumq; iam succus decoctus fuerit, mellis loco, mali punici succum vinosum, & ptisanæ succum admisceto, neque calida multa lauato. Vbi verò dies quatuordecim præterierint, postea milium in prandio assumat, vesperi autem auicularum carnibus cum iure, & paucis cibis vtatur. Ex hoc autem morbo pauci euadunt. Pulmonis inflammatio. Febris vt minimùm quatuordecim dies detinet, ad summum autem duodeuiginti, quibus diebus vehementer per tussim reiicit, & primùm quidem sputum crassum & purum septimo & octauo die excreat. Vbi verò febris prehenderit, nono & decimo die subdulce & purulentum, quoad quatuordecim dies præterierint. Quòd si decimo quidem quinto die pulmo resiccatus fuerit, & per tussim reiiciat, conualescit. Sin minùs, ad duos de viginti attendito, quibus quidem si sputum tussi reiectum sedatum fuerit, euadit. At si nō cesset, eū interrogato, num ei sputum esse dulcius videatur. Quòd si affirmauerit, morbus annuus euadit, cū pulmo pus intrò colligat. Huic primis quidē diebus vinum dulce, albū, aquosum, paulatim crebrò bibendū exhibeto. Ptisanæ verò succum melle ammixto ter die sorbēdum, quoad dies decem & octo pręterierint, & febris cessauerit. Periculū autē præcipuè die septimo & decimoquarto incurrit. Cū verò octodecim dies superauerit, non amplius moritur, sed pus expuit, pectus dolet, & per tussim reiicit.

Cùm sic habuerit, ieiuno lentis decoctum propinato, eiusq; fresum multo adipe admixto sorbendum dato, si æstus non adfuerit, qui si adsit, ne sorbeat, sed cibis vtatur salsis ac pinguibus, & marinis potiùs quàm carnibus. Quòd si tibi ritè purgari videatur, infuso ac fomento vtitor, si quidem pus crassum fuerit, foueto, sed si tenue, infundito. Et cibis quàm maximè adhæreat, acribus, carnibus bubulis, ouillis & suillis abstineat. Cùm ex pulmonis inflammatione purulentus extiterit, febris vexat, tussis sicca, difficultas spirandi, pedes intumescunt, & manuum ac pedum vngues contrahuntur. Cùm sic habuerit, decimo pòst die ex quo purulentus fieri cœperit, huic multa calida loto, ari radicem tritam astragali magnitudine, salis granum, & parum mellis, ex aqua & pauco oleo, extracta lingua tepidum infundito, deinde humerum concutito. Quòd si ex eo quidem pus erumpat, sat est, sin minùs, aliud facito. Ciborum acrium & cyclaminis succum expressum, vtriusque acetabulum paruum sumito, deinde laseris succum tritum fabæ quantitate, lactis caprini aut asinini acetabulo dilutum & commixtum, tepidum infundito. Si verò ob id non erumpat, raphani corticem, & æris florem trium fabarum quantitate læuiter tritum, olei heminæ quadrante subactum, tepidum infundito. Sit autem raphani quantitas dupla. Quòd si pus erumpat, cibis quàm salsissimis & maximè pinguibus vtatur. Sed si pus minimè prodierit, paulatim ad os suffitum adhibeto ex sij succo, vino Tornio, lacte bubulo aut caprino, pari cuiusque admixta mensura, ita vt trium heminarum modum faciant. Deinde furni testas ignitas immittito, hoc per fistulam trahat, ea cautione adhibita, vt ne aduratur. Vbi verò purius sputum fuerit, vrticæ semen, thus, origanum, ex vino albo, melle, & pauco oleo tertio quoque die infundito, postea verò butyrum, resinam, in melle liquefactam, neque ampliùs cibis salsis & pinguibus vtatur. Intermediis autem diebus ex infusis ieiunus bibat saluiam, rutam, satureiam, origanum pari portione, ex vino meraco ad acetabuli mensuram, cum omnibus his aspersis. Quòd si ab his infusis non prorumpat, nil mirandum. Plærunque enim in ventrem erumpit, confestimq; meliùs habere videtur, cùm ex angusto in ampliorem locum venerit. Alius morbus. Cùm longiùs tempus progressum fuerit, febris vehemens & tussis prehendit, latus dolet, neque in sanam quidem partem decubitum ferre potest, sed in dolentem, pedes & oculorum cauitates intumescunt. Post decimumquintum ab eruptione diem, huic multa calida loto, & in sella stabili collocato, alter manus detineat, tu verò agitato humero quonam in latere affectio strepitum faciat auscultato, votum autem est vt in sinistro. Ad hunc igitur locum sectionem adhibeto, quòd minùs lethale est. At si præ crassitudine & copia nullũ tibi strepitum edere videatur, quo ipsum deprehẽdas, quod fit interdum, latus quod intumuerit & magis doluerit,

ὅταν οὕτως ἔχῃ, [106] πιπίσκειν νῆστιν τὸ σὺν τῷ ἐλελισφάκῳ. καὶ ῥοφαίνειν ἔτνος, στέαρ συμμίσγων πλεῖον, ἢν μὴ θάλπος ᾖ. ἢν δὲ ᾖ, μὴ ῥοφανέτω, ἀλλὰ σιτίοισι χρήσθω ἁλυκοῖσι καὶ λιπαροῖσι. καὶ τοῖσι θαλασσίοισι μᾶλλον ἢ κρέασι. καὶ ἢν σοι δοκέῃ καθαίρεσθαι κατὰ λόγον, [107] ἐγχεῖν καὶ πυριᾶν. ἢν μὲν παχὺ ᾖ τὸ πύον, πυριᾶν. ἢν δὲ λεπτὸν, ἐγχεῖν. καὶ τῶν σιτίων ἔχεσθαι ὡς μάλιστα, καὶ τῶν δριμέων ἀπέχεσθαι, καὶ κρεῶν βοείων, καὶ οἰείων καὶ χοιρείων. Ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται, πυρετὸς ἴσχει, καὶ βὴξ ξηρή. καὶ δύσπνοια. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται τῶν χειρῶν καὶ τῶν ποδῶν. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐπὴν δεκαταῖος γένηται, ἀφ' ἧς ἂν ἄρξηται ἔμπυος γίνεσθαι, λούσας πολλῷ θερμῷ τρίψας ἄρου ῥίζαν, ὅσον ἀστράγαλον μέγεθος. καὶ ἁλὸς χόνδρον. καὶ μέλι ὀλίγον, καὶ ὕδωρ. καὶ ἄλειφα ὀλίγον. ἐξειρύσας τὴν γλῶτταν, ἐγχέαι χλιαρόν. ἔπειτα κινῆσαι τὸν ὦμον. καὶ ἢν μὲν ὑπὸ τούτου τὸ πύον ῥαγῇ, εἰ δὲ μὴ, ἕτερον ποιῆσαι. σιτία δριμέα ἐκχυμώσας καὶ κυκλάμινον ὅσον ὀξύβαφον τῶν μικρῶν ἑκατέρων ἔστω. ἔπειτα ὀπὸν σιλφίου τρίψας ὅσον κύαμον, διεῖναι καὶ συμμίξαι γάλακτος ὅσον ὀξύβαφον αἴγειον ἢ ὄνειον, τοῦτο χλιαρὸν ἐγχεῖν. ἢν δὲ ὑπὸ τούτου μὴ ῥαγῇ, ῥαφάνου φλοιὸν καὶ ἄνθος χαλκοῦ ὅσον τρεῖς κυάμους, τρίψας λεῖον, διπλάσιον δὲ ἔστω τῆς ῥαφάνου, ἐλαίῳ διεῖναι, ὅσον τεταρτημορίῳ κοτύλης, τοῦτο ἐγχεῖν χλιαρόν. καὶ ἢν ῥαγῇ τὸ πύον, σιτίοισιν ὡς ἁλμυρωτάτοισι καὶ λιπαρωτάτοισι χρήσθω. καὶ ἢν μὴ ἴῃ τὸ πύον, κατ' ὀλίγον πυριᾶν κατὰ τὸ στόμα σίου χυλῷ οἴνῳ τορνίῳ. γάλακτι βοείῳ, ἢ αἰγείῳ, ἴσον ἑκάστου συμμίξας. ἔστω δὲ ὅσον τρεῖς κοτύλαι. ἔπειτα ἐμβάλλειν ἴπνου ὄστρακα διαφανέας, τοῦτο ἑλκέτω διὰ τοῦ αὐλοῦ, φυλασσόμενος ὅπως μὴ κατακαίηται. ἐπὴν δὲ καθαρώτερον πτύῃ, [108] ἐγχεῖν αὐτῷ κνίδης σπέρμα. λιβανωτόν. ὀρίγανον ἐν οἴνῳ λευκῷ. καὶ μέλιτι. καὶ ἐλαίῳ ὀλίγῳ. ἐγχεῖν δὲ διὰ τρίτης ἡμέρης. [109] μετὰ δὲ βούτυρον, ῥητίνην, ἐν μέλιτι διατήκων. καὶ σιτίοισι μηκέτι χρῆσθαι ἁλμυροῖσι μηδὲ λιπαροῖσι. πινέτω δὲ νῆστις τὰς ἐν μέσῳ ἡμέρας τῶν ἐγχύτων, ἐλελίσφακον. πήγανον. θύμβραν. ὀρίγανον ἴσον ἐν οἴνῳ ἀκρήτῳ ὅσον ὀξύβαφον μετὰ πάντων ἐπιπάσσων. [110] ἢν δὲ μὴ ῥαγῇ ὑπὸ τῶν ἐγχύτων, πολλάκις γὰρ ἐκρήγνυται ἐς τὴν κοιλίην, καὶ αὐτίκα δοκεῖ ῥάων εἶναι, ὅταν ἐκ στενοῦ ἐς εὐρυχωρίην ἔλθῃ. Ἄλλη νοῦσος. Ὁκόταν ὁ χρόνος πλείων γένηται, ὁ πυρετὸς ἰσχυρὸς, καὶ ἡ βὴξ ἐπιλαμβάνει. καὶ τὸ πλευρὸν ὀδυνᾶται. καὶ ἐπὶ μὲν τὸ ὑγιὲς οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ἀλγέον μέρος. καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τῶν ὀμμάτων. τοῦτον ὅταν ἡμέρη πεντεκαιδεκάτη γένηται ἀπὸ τῆς ἐκρήξιος, λούσας πολλῷ θερμῷ καθίσας [111] ἐπὶ ἐφέδρου ὅ,τι μὴ ὑποκινήσει, ἕτερος μὲν τὰς χεῖρας ἐχέτω. σὺ δὲ τὸν ὦμον σείων, ἀκροάζεσθαι ἐς ὁκότερον ἂν τῶν πλευρέων τὸ πάθος ψοφέῃ. [112] βούλεσθαι δὲ ἐς τὸ ἀριστερόν. κατ' αὐτὸν δὲ τὸν τόπον τάμνειν. ἧσσον γὰρ θανατῶδες. ἢν δέ σοι ὑπὸ τοῦ πάχεος καὶ τοῦ πλήθεος μὴ ψοφέῃ, ὥστε καταμαθεῖν αὐτό, ποιεῖ γὰρ τοῦτο ἐνίοτε, ὁκότερον ἂν ἀποιδέῃ τῶν πλευρέων καὶ ὀδυνᾶται μᾶλλον,

τοῦτο

τοῦτο τάμνειν ὡς κατωτάτω, ὄπισθεν τοῦ οἰδήματος μᾶλλον ἢ ἔμπροσθεν, ὅκως σοι ἡ ἔξοδος τοῦ πύου εὔροος ᾖ. τάμνειν δὲ μεταξὺ τῶν πλευρέων,[113] στηθοειδεῖ μαχαιρίδι, τὸ πρῶτον δέρμα,[114] ἔπειτα ὀξυβελεῖ ἀποδήσας ῥάκει, τὸ ἄκρον τῆς μαχαιρίδος λιπὼν ὅσον τὸν ὄνυχα τοῦ δακτύλου τοῦ μεγάλου, καθεῖναι ἔσω. ἔπειτα ἀφεὶς τὸ πῦον ὅσον ἄν σοι δοκέῃ,[115] μοτοῦν ὠμολίνῳ μοτῷ λίνον ἐκδήσας. ἀφιέναι δὲ τὸ πῦον, ἑκάστης ἡμέρης ἅπαξ.[116] ἐπὴν δὲ γένηται δεκαταῖος, ἀφεὶς ἅπαν τὸ πῦον, ὀθονίῳ μοτοῦν. ἔπειτα ἐγχεῖν οἶνον καὶ ἔλαιον χλιαίνων αὐλίσκῳ, ὡς μήτε ὁ πλεύμων ἐξαπίνης εἰωθὼς βρέχεσθαι τῷ πύῳ, ἀποξηρανθῇ. ἐξιέναι δὲ τὸ ἔγχυμα, τὸ μὲν ἕωθεν ἐς ἑσπέρην. τὸ δὲ ἐς ἑσπέρην, ἕωθεν. ἐπὴν δὲ τὸ πῦον λεπτὸν οἷον ὕδωρ ᾖ, καὶ γλίσχρον τῷ δακτύλῳ ψαυόμενον, καὶ ὀλίγον ἐντιθέναι μοτὸν κασσιτέρινον κοῖλον. ἐπὴν δὲ παντάπασι ξηρανθῇ ἡ κοιλίη, ἀποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν, συμφύειν τὸ ἕλκος, ἐς ἂν ἐξέλῃς τὸν μοτόν. σημεῖον δὲ ἢν μέλλῃ ἐκφεύξεσθαι.[117] ἢν μὲν τὸ πῦον ᾖ λευκὸν καὶ καθαρὸν, καὶ ἶνες αἵματος ἐνέωσιν, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. ἢν δὲ οἷον λεκιθῶδες ἀπορρυῇ τῇ πρώτῃ, ἢ τῇ ὑστεραίῃ ἀπορρυῇ παχὺ, ὑπόχλωρον, ὄζον, ἀποθνήσκουσιν ἐπειδὰν ἐκρυῇ τὸ πῦον. Ἑτέρη.[118] Ὅταν πλεύμων, τοῦτο τὸ σίαλον παχὺ ὑπόχλωρον γλυκὺ βήσσεται. καὶ βρυγμὸς καὶ ὀδύνη ἐς τὸ στέρνον καὶ ἐς τὸ μετάφρενον. καὶ συρίζει ἐν τῇ φάρυγγι λεπτόν. καὶ ἡ φάρυγξ ξηρὴ γίνεται.[119] καὶ τὰ κοῖλα ἐρυθρά. καὶ βαρέη ἡ φωνή. καὶ οἱ πόδες οἰδίσκονται. καὶ οἱ ὄνυχες ἕλκονται. καὶ καταλεπτύνονται τὰ ἄνω, καὶ μινύθει.[120] καὶ μυσάττεται τὸ σίαλον, ἐπὴν ἀποχρεμψάμενος ἔχῃ ἐν τῷ στόματι. καὶ βήσσει τοὺς ὄρθρους καὶ μεσονυκτίου μάλιστα. βήσσει δὲ καὶ τὸν ἄλλον χρόνον. καὶ λαμβάνει μᾶλλον γυναῖκα νεωτέρην ἢ πρεσβυτέρην.[121] τούτῳ ἢν μὲν αἱ τρίχες ἤδη ἐκ τῆς κεφαλῆς ῥέωσι, καὶ ψιλῶται ἤδη ἡ κεφαλὴ ὡς ἐκ νούσου. καὶ πτύοντι ἐπ᾽ ἄνθρακας βαρὺ ὄζῃ τὸ σίαλον, φάναι αὐτὸν ἀποθανέεσθαι ἐντὸς ὀλίγου χρόνου. τὸ δὲ κτεῖνον, ἔσεσθαι διάρροιαν. ἐπὴν γὰρ ἤδη τὸ πῦον τὸ περὶ τὴν καρδίην σήπηται, τοῦτο ὄζει κνίσης ἐπὶ τοῖσιν ἄνθραξι. καὶ ξυνθερμαινόμενος ὁ ἐγκέφαλος, ῥεῖ ἁλμυρὸν,[122] ἣ κινεῖ τὴν κοιλίην. σημεῖον δὲ τούτου, ῥέουσιν ἐκ τῆς κεφαλῆς τρίχες.[123] τοῦτον μὴ ἰᾶσθαι ὅταν οὕτως ἔχῃ. ἢν δὲ κατ᾽ ἀρχὰς ἐπιτύχῃς τῇ νόσῳ, φάκιον δὸς πιεῖν. εἶτα διαλιπὼν μίην ἡμέρην, ἐλλέβορον δοῦναι κεκρημένον, ὅκως τὴν κάτω κοιλίην μὴ κινήσῃ. καὶ ἐπὴν ἐς τὸ στόμα τῆς νυκτὸς αὐτῷ φοιτᾷ ἅλμη, πρὸς τὰς ῥῖνας αὐτῷ προστιθέναι φάρμακα πυκνότερα. ἢν δὲ μὴ ῥέει, προστιθέναι μὲν, διὰ πλέονος δὲ χρόνου, καὶ τοῦ μηνὸς ἅπαξ προσαποπίσκοντα ἐλλέβορον, ὅσον τοῖσι δακτύλοισι δύο ἆραι, ἐν οἴνῳ γλυκεῖ κεκρημένον. φάκιον δὲ αὐτίκα διδοὺς ἐπιπίνειν. φάρμακα δὲ ὡς ἐλάχιστα πινέτω. ἢν μὴ αὐτῷ οἱ πυρετοὶ ὀξύτεροι ἐπιλαμβάνωσι,[124] τὴν ῥίζαν τὴν λευκὴν καὶ τοῦ ἐλλεβόρου λείχειν. ἐν μέλιτι δὲ οὔ. οὕτω γὰρ ἥκιστα τὴν κοιλίην κινήσει. ἢν δὲ στρόφος ἐγγένηται ἐν τῇ κάτω κοιλίῃ, πρῶτον μὲν κλύσαι ἐκείνῳ, ἐς ὃ ὁ κόκκος συμμίσγεται. ἢν δὲ μηδ᾽ οὕτω παύηται, γάλακτι ὀνείῳ ἑφθῷ καθαίρειν.

quàm infima parte sub ipsum tumorem potiùs quàm anteriore parte secato, quò facilior puri exitus pateat. Primùm autem inter costas cutem specillo lato excisorio secato, deinde specillo acuto panniculo deligato, cuius extremam partem vnguis pollicis magnitudine relictam intrò adigito. Postea vbi quantum puris videbitur emiseris, vulnus penicillo ex lino crudo, cui filum alligaris, obducito, quotidie pus semel emittito. Post decimum diem, vbi totum pus emiseris, penicillum ex linteo indito, deinde vinum & oleum tepida per fistulam infundito, ne pulmo pure madescere consuetus, de repente resiccetur. Infusum autem matutinum sub vesperam, at vespertinum mane educito. At vbi pus tenue velut aqua, aut ad digiti contactum glutinosum & paucum fuerit, stanneum penicillum cauum indito. Cùm verò prorsus venter resiccatus fuerit, paulatim resecato penicillo, dum ipsum eximas, vulnus coalescere sinito. Indicio autem est euasurum ægrum, si quidem pus album & purum fuerit, fibræq; sanguinis insint, vt plurimùm conualescit. At si primo die oui luteo similem, aut postero die crassum defluat, aliquantum ex virore pallidum, & graueolens, vbi pus effluxerit, moriuntur. Alius morbus. Cùm quis ex pulmonis vitio tabescit, huic sputum crassum, aliquantulum ex virore pallescens & dulce per tussim reiicitur, dentium stridor est, dolor pectus & dorsum occupat, tenuis sibilus in faucibus editur, eæque siccescunt, cauitates rubent, vox grauis est, pedes intumescunt, vngues contrahuntur, partes superiores extenuantur & imminuuntur, sputum ore contentum exscreaturus detestatur, matutino tempore & media nocte maximè tussis vexat, itemque alio tempore, hicque morbus iuuenculam mulierem potiùs quàm vetulam prehendit. Si quidem iam capilli ex capite huic defluant, capútque velut ex morbo nudetur, & super prunas expuenti sputum grauiter oleat, hunc intra breue tempus periturum asserito, & ex alui profluuio periturum. Vbi enim iam pus circa cor computruit, id prunis impositum nidorem exhalat, & vna incalescens cerebrum salsuginem emittit, quæ aluum ciet, cuius rei indicium est quòd capilli ex capite defluunt. Hunc cùm ita habuerit ne curato. At si per initia tibi morbus obtigerit, lenticulæ cremorem propinato, deinde intermisso vno die, veratrũ ita temperatum vt ne inferiorem aluum cieat, exhibeto. Cúmque noctu ad os salsugo deueniat, crebriora ei medicamenta ad nares admoueto. Sed si non effluat apponito quidem, verùm ex maiore interuallo, & semel in mense, veratro quãtum duobus digitis tolli potest, ex vino dulci temperato, insuper epoto. Lenticulæ verò decoctum confestim indè bibendum dato. Medicamenta autem purgantia, nisi eũ febres acutiores prehendant, quàm paucissima bibat. Dracunculi radicẽ & veratri delingat, nõ tamẽ ex melle. Sic enim minimè aluũ mouebit. Quòd si tormina in aluo inferiore suboriantur, eã primum quidẽ ex infuso, in quo coccus cnidius commiscetur, subluito. Quòd si neq; sic sedetur lacte asinino cocto purgato;

medicamentum autem deorsum purgans ne exhibeto. Si verò ante medicamentum epoto veratro bilem vomat, ipso lentis decocto assumpto vomat. Cibis autem vtatur, si quidem febres acutæ detinent, carnibus ouillis coctis, & volucrium, cucurbita & betis. Iusculum ne sorbeat, neq; ad intinctus vtatur. Piscibus autem vtatur scorpiis, & mollibus aut cartilagineis coctis, neq; calidum quicquam comedat, neque lauet, si multa febris detineat, neque oleribus acribus vtatur, excepta satureia aut origano, vinum album bibat. At si febris sit expers, calores autem subinde corripiant, pisces quàm optimos & pinguissimos edat, & pinguia, & dulcia, & quàm maximè salsa. Deambulationibus vtatur neque in vento, neque in Sole, & post cibos, cùm tempestiuum videbitur, vomat, tepidaq; lauet, capite excepto. Ex cibariis panis melior, iis qui maza non victitant, his verò vtraq; commisceto. Alius morbus qui tabes vocatur. Tussis vexat, & sputum copiosum & liquidum, interdumq; facilè per tussim reiicitur, púsq; grandini est simile, & digitis tritum durum & graueolens existit. Vox clara & sine dolore emittitur, neque febres corripiunt, sed quandoque calor, & alioqui debilis est. Huic veratrum & lentis decoctũ propinato, & quàm plurimis cibis satiato, dum ab acribus, carnibus bubulis, suillis, & ouillis abstineat. Exercitationibus paucis & deambulationibus vtatur, post illas vomitiones adhibeat, venere abstineat. Morbus hic septem aut nouem annis durat, quod si huic per initia curationem adhibeas, sanus euadit. Alius morbus. Si pulmonis fistula vlcere feruido & superficiario laborarit, febris lenis detinet, medio pectore dolor vexat, & totius corporis pruritus, vox raucessit, sputum liquidum ac tenue expuit, interdum etiam crassum, ac velut ptisanæ succum. In eius ore grauis odor, qualis ex piscibus contingit, suboritur, subindéque in sputo dura quædam velut fungi frustula ex vlcere apparent, superiora, atq; adeò totus homo extenuatur, malæ rubent, vngues temporis successu contrahuntur, aridi & ex virore pallescentes euadunt. Confestim autem perit sanguinem & pus per sputum reiiciendo, nisi curetur. Postea etiam vehementes superuenientes febres ipsum interficiunt. At si curatus fuerit, ex hac tabe euadit. Curare autem oportet, vt epoto lenticulæ decocto vomat. Quòd si tempestiuum tibi videatur, veratrum per se, si quidem per hominis vires liceat, propinato, sin minùs, dimidium potionis ad lenticulæ decoctũ admisceto, ita vt quinta aut sexta potione desinas. Ventrem autem inferiorem, nisi febres vehementes prehenderint, medicamento purgante ne agitato. Quòd si non prehenderint, lacte asinino per inferiora purgato. Si verò adeò debilis sit, vt bibere nequeat, per infusum subluito, caput autem minùs agitato. Quòd si sputum quidem copiosum & salsum ad os defluat, naribus quod bilem minimè ducat apponito. Si verò fluxio ad os non vergat, capiti nihil adhibeto. Cùm autem sputum graueolens fuerit, intermediis inter lenticulæ decoctum diebus, medicamentum in pulmones, per infusum immittito, intermisso verò vno die suffito.

φάρμακον δὲ μὴ δίδου κατωτερικόν· ἢν δὲ πρὸ τοῦ φαρμακίου προπίνων τὸν ἐλλέβορον χολὴν ἐμέῃ, αὐτῷ τῷ φακίῳ ἐμεέτω. σιτίοισι δὲ χρήσθω,[125] ἢν μὲν οἱ πυρετοὶ ὀξέες ἔχωσι, κρέασι μηλείοισιν ἑφθοῖσι, καὶ ὀρνιθίοισι, καὶ κολοκύνθῃ, καὶ τεύτλοισι. ζωμὸν δὲ μὴ ῥοφεέτω. μηδὲ βάπτεσθαι. ἰχθύσι δὲ χρήσθω, σκορπίοισι καὶ σελάχεσιν ἑφθοῖσι. θερμὸν δὲ μηδὲν ἐσθιέτω. μηδὲ λουέσθω, ἢν ὁ πυρετὸς ἔχῃ πολύς. μηδὲ λαχάνοισι δριμέσι χρήσθω, ὅτι μὴ θύμβρῃ ἢ ὀριγάνῳ. οἶνον δὲ λευκὸν πινέτω.[126] ἢν δὲ ἀπύρετος ᾖ, θέρμαι δὲ λαμβάνωσιν ἄλλοτε καὶ ἄλλοτε, ἐσθιέτω ἰχθῦς ὡς ἀρίστους καὶ πιοτάτους. καὶ λιπαρὰ καὶ γλυκέα, καὶ ἁλμυρὰ ὡς μάλιστα, καὶ περιπάτοισι χρήσθω, μήτε ἐν ἀνέμῳ, μήτε ἐν ἡλίῳ. καὶ ἐμεέτω ἀπὸ τῶν σιτίων, ὁπόταν οἱ δοκέῃ καιρὸς εἶναι. καὶ λοῦσθαι χλιαρῷ, πλὴν τῆς κεφαλῆς. σιτίων δὲ ἄρτος ἀμείνων, ὅσοι μὴ μαζοφάγοι εἰσί. τούτοισι δὲ ἀμφότερα συμμίσγειν. Ἑτέρη νοῦσος ἥτις καλέεται φθόη. Βὴξ ἔχει καὶ τὸ πτύσμα πολλὸν καὶ ὑγρόν. καὶ ἐνίοτε ῥηϊδίως ἀναβήσσεται. καὶ τὸ πύον οἷον χάλαζα. καὶ διατριβόμενον ἐν τοῖσι δακτύλοισι, σκληρὸν καὶ κάκοδμον γίνεται. ἡ δὲ φωνὴ καθαρὴ καὶ ἀνώδυνος. καὶ οἱ πυρετοὶ οὐ λαμβάνουσι. θέρμη δὲ ἐνίοτε ἄλλως τε καὶ ἀσθενής. τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν καὶ φάκιον. καὶ εὐωχέειν ὡς μάλιστα ἀπεχόμενον τῶν δριμέων. καὶ κρεῶν βοείων, καὶ χοιρείων, καὶ οἰείων, καὶ γυμνάζεσθαι ὀλίγα καὶ περιπατέειν. καὶ ἀπὸ σιτίων ἐμέτοισι χρῆσθαι. καὶ λαγνείης ἀπέχεσθαι. αὕτη ἡ νοῦσος γίνεται, ἑπτὰ ἔτεα ἢ ἐννέα. οὗτος ἢν ἐξ ἀρχῆς θεραπευθῇ, ὑγιὴς γίνεται. Ἢν ἀφθήσῃ ἡ σύριγξ τοῦ πλεύμονος, πυρετὸς ἴσχει βληχρός. καὶ ὀδύνη μέσον τὸ στῆθος. καὶ τοῦ σώματος κνησμός. καὶ ἡ φωνὴ βραγχώδης. καὶ τὸ σίαλον ὑγρόν. καὶ λεπτὸν πτύει. ἐνίοτε δὲ παχὺ καὶ οἷον πτισάνης χυλόν. καὶ ἐν τῷ στόματι ὀδμὴ οἱ ἐγγίνεται βαρείη, οἵη ἀπὸ ἰχθύων ὠμῶν. καὶ ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ ἐμφαίνεται σκληρά,[127] οἷον μύκης ἀφ᾽ ἕλκεος. καὶ τὰ ἄνω λεπτύνεται, μάλιστα δὲ ἅπας. καὶ οἱ[128] κύκλοι τοῦ προσώπου ἐρυθριῶσι. καὶ οἱ ὄνυχες τῷ χρόνῳ ἕλκονται καὶ ξηροὶ καὶ χλωροὶ γίνονται. τελευτᾷ δὲ αὐτίκα, ἢν μὴ θεραπευθῇ,[129] αἷμα πτύον καὶ πύον.[130] ὕστερα καὶ πυρετοὶ ἰσχυροὶ ἐπιγινόμενοι αὐτὸν ἐκτρίβουσιν. ἢν δὲ θεραπευθῇ, ἐκφυγγάνει ἐκ ταύτης τῆς φθίσιος. θεραπεύειν δὲ χρὴ, φάκια πιπίσκοντα ἐμέειν. ἢν δὲ σοι καιρὸς δοκέῃ εἶναι, ἐλλέβορον πιπίσκειν. ἢν μὲν δυνατὸς ᾖ ὁ ἄνθρωπος, αὐτόθι· ἢν δὲ μὴ, προσμίσγειν τῷ φακίῳ, ἥμισυ πόσιος. διαλείπων ἐν πέμπτῃ ἢ ἐν ἕκτῃ πόσει. τὴν δὲ κάτω κοιλίην, μὴ κινεῖν φαρμάκῳ, ἢν μὴ οἱ πυρετοὶ λαμβάνωσιν ἰσχυροί. ἢν δὲ μὴ λαμβάνωσι, γάλακτι ὄνου ὑποκαθαίρειν. ἢν δὲ ἀσθενήσῃ ὥστε πίνειν, ὑποκλύσαι.[131] ἧσσον δὲ κεφαλήν. καὶ ἢν μὲν τὸ σίαλον ἐς τὸ στόμα ἴῃ πολλὸν καὶ ἁλμυρόν, πρὸς τὰς ῥῖνας προσθεῖναι ὅ,τι χολὴν μὴ ἄξει. ἢν δὲ μὴ ἴῃ τὸ ῥεῦμα ἐς τὸ στόμα, μὴ προστιθέναι πρὸς τὴν κεφαλήν. ἐπὴν δὲ τὸ σίαλον δυσῶδες ᾖ, τὰς μεταξὺ τῶν φακίων ἐγχεῖν ἐς τὸν πλεύμονα φάρμακον. μίην δὲ διαλιπὼν ἐπὴν ἔχῃς ἡμέρην θυμιᾶσθαι.

σιτίοισι δὲ χρῆσθαι, κρέασι μηλείοισι καὶ ὀρνιθίοισι. καὶ ἰχθύσι σελάχεσι. καὶ σκορπίοισιν ἑφθοῖσι. διὰ τετάρτης ἡμέρης, τάριχον ἐσθιέτω ὡς ἄριστον καὶ πιότατον. καὶ ἀριστάτω μὲν μάζαν. δειπνείτω δὲ, ταύτῃ συμμίσγων καὶ ἄρτον, καὶ μήτε ῥοφανέτω μηδὲν, μήτε κυκεῶνα πινέτω, ἢν ἐσθίειν δυνατὸς ᾖ. τὰ δὲ ὄψα ἡδυνέσθω σησάμῳ ἀντὶ τοῦ πυροῦ. καὶ κοριάννῳ καὶ ἀνήθῳ. σιλφίῳ δὲ μηδὲν χρῆσθαι, μηδὲ ἄλλῳ λαχάνῳ δριμεῖ, ὅτι μὴ ὀριγάνῳ, ἢ θύμῳ, ἢ πηγάνῳ. περιπάτοισι δὲ χρήσθω καὶ πρὸ τοῦ σιτίου καὶ μετὰ τὸ σιτίον, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον. θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων. λούσθω δὲ χλιαρῷ, πλὴν τῆς κεφαλῆς. ταύτην δὲ ὡς διὰ πλείστου χρόνου. Φθίσις νωτιάς. Ἡ νωτιὰς φθίσις ἀπὸ τοῦ μυελοῦ γίνεται. λαμβάνει δὲ μάλιστα νεογάμους, καὶ φιλολάγνους. γίνονται δὲ ἄπυροι. καὶ ἐσθίειν ἀγαθοί. καὶ τήκονται. καὶ ἢν ἐρωτᾷς αὐτὸν φήσει οἱ ἄνωθεν ἀπὸ τῆς κεφαλῆς [132] κατὰ τὴν ῥάχιν κατέρχεσθαι δοκέειν οἷον μύρμηκας. καὶ ἐπὴν οὐρέῃ ἢ ἀποπατέῃ, προσέρχεταί οἱ θορὸς πουλὺς καὶ ὑγρός. [133] καὶ γονὴ οὐκ ἐγγίνεται. καὶ ὀνειρώσσει, κἂν συγκοιμηθῇ γυναικὶ, κἂν μή. καὶ ὅταν ὁδοιπορήσῃ ἢ δράμῃ, ἄλλως τε [134] καὶ πρὸς ἄναντες, ἆσθμά μιν καὶ ἀσθενείη λαμβάνει. καὶ τῆς κεφαλῆς βάρος. καὶ τὰ ὦτα ἠχέει. τοῦτον ἐν τῷ χρόνῳ ὅταν ἐπιλάβωσι πυρετοὶ ἰσχυροὶ, [135] ἀπώλετο ὑπὸ λιπυρίου. ὅταν οὕτως ἔχῃ, ἢν ἐξ ἀρχῆς μεταχειρίσῃ πυριάσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω. καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. μετὰ δὲ, πίσαι κάτω. ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος, καὶ μεταπίσαι ὀῤῥὸν ἢ γάλα ὄνειον. βόειον δὲ γάλα διδόναι πίνειν τεσσαράκοντα ἡμέρας. ἐς ἑσπέρην δὲ ἕως ἂν γαλακτοποτέῃ, χόνδρον διδόναι ῥοφεῖν. σιτίων δὲ ἀπεχέσθω. ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι ἀνακομίζειν αὐτὸν μαλθακοῖσιν ἐξ ὀλίγου ἀρχόμενος. καὶ παχύνειν ὡς μάλιστα. καὶ ἐνιαυτὸν θωρηξίων ἀπεχέσθω. καὶ ἀφροδισίων. καὶ ταλαιπωριέων, ὅτι μὴ περιπάτοισι, φυλασσόμενος τὰ ψύχεα, καὶ τὸν ἥλιον. λούσθω δὲ χλιαρῷ. Πλεύμονος νοῦσος. Τὸ σίαλον παχὺ καὶ λιγνυῶδες βήσσεται. καὶ ἡ χροιὴ μέλαινα, καὶ ὑποιδαλέη. καὶ ὀδύναι λεπταὶ ὑπὸ τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας. [136] καὶ δυσελκέες γίνονται. ἧσσον δὲ ἐπικίνδυνος τοῦ ἑτέρου αὕτη. καὶ ἐκφυγγάνουσι πλέονες. τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν, καὶ αὐτὸν καὶ τοῖσι φακίοισι μίσγοντα. καὶ ἐγχέειν εἰς τὸν πλεύμονα καὶ θυμιᾶν, καὶ εὐωχέειν ἀπεχόμενον κρεῶν βοείων, [137] καὶ οἰείων, καὶ χοιρείων, καὶ λαχάνων δριμέων, ὅτι μὴ ὀριγάνου ἢ θύμβρης. καὶ περιπάτοισι χρήσθω. [138] ἐξ ἠοῦς δὲ πρὸς ἔπος, ὁδοιπορέειν νῆστιν. ἔπειτα πίνειν τῶν φύλλων ἐν οἴνῳ ἐπιπάσσοντα κεχρημένῳ. τὸ δὲ λοιπὸν σιτίοισι χρήσθω τοῖσιν εἰρημένοισιν. Ἀρτηρίη τρωθεῖσα. Ἢν τρωθῇ ἀρτηρίη, βὴξ ἔχει καὶ αἷμα βήσσεται. καὶ λανθάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος. καὶ ἐκβάλλει θρόμβους. καὶ ὀδύνη γίνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξεῖα. καὶ τὸ σίαλον γλίσχρον καὶ πουλύ. καὶ ἡ φάρυγξ ξηρή. καὶ πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει, [139] καὶ κέρχνεται ἡ φάρυγξ, οἷον ὑπὸ λιπαροῦ. ἔστε μὲν πεντεκαίδεκα ἡμέρας, πάσχει τοιαῦτα.

Cibis vtatur, carnibus ouillis & volucrium, piscibus mollibus & cartilagineis, & scorpiis coctis. Quarto quoque die salsamentum quàm optimum & maximè pingue comedat, in prandio quidem maza vtatur, in cœna verò huic panem admisceat, neque quicquam sorbeat, neque cyceonem bibat, si comedere possit. Opsonia sesamo pro tritico condita, & coriandro, & anetho comedat. Lasere silphióue ne vtatur, neque vllo alio olere acri, præter quàm origano, aut thymo, aut ruta. Deambulationibus autem ante & post cibum vtatur, vitato vento & sole, à crapula & venere abstineat, tepidà lauet, capite excepto, quod quàm rarissimè quidem lauet. Tabes dorsalis. Tabes dorsalis ex spinali medulla oritur, præcipuè verò recentes sponsos & libidinosos corripit. Febris sunt expertes, bene comedunt & colliquantur. Quòd si ita affectum perconteris, afferet sibi videri ex superioribus partibus à capite velut formicas in spinam demitti, cumque vrinam aut stercus reddit, semen genitale copiosum & liquidum ei prodit, neque generatio fit, & inter dormiendum, cum vxore dormiat, nécne, veneris ludibria patitur. Cumque aliàs tum præcipuè per locum arduum iter fecerit aut cucurrerit, anhelosus & imbecillus euadit, caput grauatur, & aures sonant. Hic temporis progressu vehementibus febribus correptus perit ex lipyria febre. Cùm ita habuerit, si per exordia curandum susceperis, fomento toti corpori admoto, medicamentum per superiora purgans bibendum exhibeto. posteaque caput purgato, deinde verò deorsum purgans propinato. Ad curationem autem vere præcipuè aggredi velis, posteaque serum aut lac asininum propinato. Lac verò bubulum per quadraginta dies bibendum exhibeto. Vesperi quandiu lac bibet, alicam sorbendam dato, à cibis autem abstineat. Cùm verò à lactis potu cessauerit, mollibus cibis à paucis initio ducto, eum reficito, & quàm maximè incrassato. Per annum crapula, venere & immoderatis exercitationibus abstineat, præterquàm deambulationibus, in quibus frigora & solem vitet. Tepida autem lauet. Pulmonis morbus. Sputum crassum & atra fuligine tinctum per tussim reiicitur, color niger est, aliquantulum intumescit, dolores leues sub pectore & scapulis detinent, & vlcera his ægrè sanescunt. Hic morbus superiore minùs periculosus, pluresq; euadunt. Huic veratrũ per se aut lentis decocto admixtum propinare oportet, in pulmonem autem infusa immittere & suffitibus vti, & liberaliter cibum sumere, dũm carnibus bubulis, ouillis & suillis abstineat, & oleribus acribus, præterquàm origano & satureia. Deambulationibus vtatur, & matutino tempore ieiunus ad arduum locum iter faciat. Deinde folia hortensia condimentis vsurpata vino temperato aspersa bibat. De reliquo cibis cõmemoratis vtatur. Arteria vulnerata. Si arteria vulnerata fuerit, tussis detinet, sanguis tussi expuitur, fauces latenter sanguine implentur, sanguinis grumos reiicit, dolor acutus ex pectore ad dorsum permeat, sputum glutinosum est & copiosum, fauces siccæ, febris & rigor corripit, fauces creperum & stridulum sonum edunt, velut ex pingui aliquo, & ad dies quindecim hoc modo affici-

tur. Postea verò pus expuit, ac veluti vlceris frustula ricinis similia, hoc est cartilagineas pulmonis partes, bronchia dicta, ac rursus tussis, & sanè sanguis erumpit, posteaq; pus crassum expuit, febris vehementior euadit, & in pulmonem desinit, vocaturque is, cui ex pulmone velut ex rupto abscessu pus erumpit. Quòd si post primum sanguinē pus non expuat, à vehementi labore & exercitatione quiescens, in vehiculum cōscendat, vbi cibis abstinuerit salsis, vnguinosis, pinguibus, & acribus oleribus. Cumq; corpus optimè habere videbitur, pect⁹ & dorsum, vicissim vtrūq; inurito. Vlceribus curatis, per annum ebrietate abstineat, non impleatur supra modū, neq; manibus vehemēter laboret, neq; vehiculum conscēdat, sed q̄ maximè crassum corpus reddatur. Pulmonis vtrinq; depēdentes fibræ conuulsæ. Si ex pulmone dependens fibra conuellatur, sputum candidum interdumq; cruentum expuit, delirio & febre tenetur, dolor pectus, dorsum & latus occupat, & si se conuertat, tussi & sternutatione corripitur. Huic quà parte dolor detinet calefactoria admoueto, centaurium, daucum, saluiæ folia trita, melle & aceto affuso, ex aqua antè sorbenda dato. Ptisanę etiam succum antè sorbeat, & vinum aquosum superbibat. Cùm verò dolor quieuerit, saluiam tusam & cribratam, hypericum & erysimum læuigata, cum polenta, pari singula portione, vino temperato admixta, ieiuno bibenda exhibeto. At si ieiunus non fuerit, leguminis fresi decoctum salis expers sorbendum dato. Si verò æstus fuerit, cibis quàm mollissimis, insulsis, & minimè nidorosis vtatur, cùm iam moderatè corpus, & pectus & dorsum se habuerit. Quòd si vtrinq; dependentes pulmonis fibræ vellicentur, tussis detinet, sputum crassum & album cernitur, dolor vehemens ad pectus, sub scapulis, & ad latus occupat, ardor detinet, & pustulis velut ex igne rubentibus completur, pruritus vexat, neq; sedere, neque iacere, neq; stare sustinet, sed infirmis est viribus. Hic quarto ferè die perit, quem si effugerit, ne sic quidem spes multa superest, cùm & septimo die periculū subeat quem si superauerit, conualescit. Hunc cùm ita habuerit, bis die calida multa lauato, cumq; dolor detinet, calefactoria admoueto, & mel cum aceto propinato, succumq; ptisanæ sorbendum dato, & vinum album generosum superbibendum. Quòd si balneo & tepefactoriis vexetur, neque ea ferat, detriti linei panniculi aqua intincti, ei sunt admouendi, & ad pectus & dorsum adhibendi, fauumque ex aqua maceratum frigidissimum propinato, & ptisanæ succum frigidum, aquamque superbibendam dato. Loco frigido decumbere iubeto, istaque facito, verùm morbus lethalis est. Erysipelas in pulmone. Si oriatur in pulmone erysipelas, tussis detinet, & sputum multum ac liquidum expuit, velut ex gutture quod cruentum non est, dolor dorsum & inanes ac molles laterum partes occupat, viscera strepitum edunt, pituitam acidam vomit, dentes obstupescunt, febris, rigor ac sitis corripit, cùm quid comederit, in visceribus strepitus editur, acidū eructat, venter stridet, & corpus torpescit. Cùm vomuerit, meliùs habere videtur, vbi verò minimè vomuerit, decedente die

μετὰ δὲ, πῦον πτύει. [140] καὶ οἷα ἕλκεος κρόκιδες, καὶ αὖθις βὴξ καὶ ἔρραγη οὕτω τὸ αἷμα. καὶ μετὰ τὸ πῦον, παχύτερον πτύει. καὶ ὁ πυρετὸς ἰσχυρότερος γίγνεται. καὶ τελευτᾷ ἐς πλεύμονα. [141] καὶ καλέεται ῥηγματίας πλεύμονος. ἢν δὲ μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πῦον, παυσάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων, καὶ ἐπὶ ὄχημα ἀναβαίνειν, σιτίων ἀπεχόμενον καὶ ἁλμυρῶν, [142] καὶ λιπαρῶν, καὶ πιόνων, καὶ λαχάνων δριμέων. καὶ ἐπὴν αὐτὸς ἑωυτῷ δοκέῃ ἄριστα τὸ σῶμα τοῦ ἔχειν, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον, ἐν μοίρῃ ἑκάτερον. καὶ ἐπὴν τὰ ἕλκεα ὑγιὴς γένηται, ἐνιαυτὸν ἀπεχέσθω θωρήξιων, καὶ μὴ ὑπερπιμπλάσθω. μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν. μηδὲ ἐπὶ ὄχημα ἀναβαίνειν, ἀλλὰ παχύνειν αὐτὸν, ὡς μάλιστα τὸ σῶμα. [143] Ἄρθρα τοῦ πλεύμονος σπασθέντα. Ἐπὴν ἄρθρα σπασθῇ τοῦ πλεύμονος, τὸ πτύσμα λευκὸν πτύει. [144] ἐνίοτε δὲ αἱματῶδες. ἀφρονέει τε καὶ πυρετὸς ἴσχει, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον, καὶ τὸ πλευρὸν. καὶ ἢν στραφῇ, βήσσει τε καὶ πταρνύται. τοῦτον ᾗ ἂν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. καὶ διδόναι περιστερεῶνα, κενταύριον καὶ δαῦκον, καὶ ἐλελισφάκου φύλλα τρίβων. καὶ μέλι καὶ ὄξος ἐπιχέων. καὶ ὕδωρ διδόναι καταρροφάνειν. καὶ πτισάνης χυλὸν προρροφανέτω. καὶ ἐπιπινέτω οἶνον ὑδαρέα. ἐπὴν δὲ τῆς ὀδύνης παύσηται, ἐλελίσφακον κόψας καὶ σήσας, καὶ ὑπερικὸν, καὶ ἐρύσιμον λεῖα. καὶ ἄλφιτον ἴσον ἑκάστου. ταῦτα ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον, διδόναι πίνειν νήστει. καὶ ἢν μὴ νῆστις ᾖ, διδόναι δὲ ῥοφάνειν ἔτνος ἄναλτον. ἢν δὲ θέρος ᾖ, σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισιν, ἀνάλτοισι, καὶ ἀκνισώτοισιν. ἐπὴν ἤδη ἐπιεικέως ἔχῃ τὸ σῶμα, καὶ τὸ στῆθος, καὶ τὸ νῶτον. Ἢν δὲ ἀμφότερα σπασθῶσι, βὴξ ἴσχει. καὶ τὸ σίαλον πτύει παχὺ καὶ λευκόν. καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος. καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ τὸ πλευρὸν. καὶ καῦμα ἔχει. [145] καὶ καταπίμπλαται φωδῶν. καὶ ξυσμὴν ἔχει. καὶ οὐκ ἀνέχεται, οὔτε καθήμενος, οὔτε κείμενος, οὔτε ἑστηκώς, [146] ἀλλὰ δυσθενέει. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολλαί. κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτά. ἢν δὲ καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ θερμῷ δὶς τῆς ἡμέρης. καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. καὶ διδόναι πίνειν μέλι, καὶ ὄξος ῥοφάνειν, καὶ χυλὸν πτισάνης, καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, [147] προσφέρειν αὐτῷ ῥάκια ἡμιτριβέα, καὶ βάπτων ἐς ὕδωρ, ἐπὶ τὰ στήθεα καὶ τὸ νῶτον ἐπιτιθέναι. καὶ πίνειν διδόναι κηρίον, ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον. καὶ τὸν χυλὸν ψυχρόν. καὶ ὕδωρ ἐπιπίνειν. καὶ κεῖσθαι ἐν τῷ ψύχει. ταῦτα ποιέειν. ἡ δὲ νοῦσος θανατώδης. [148] Ἐρυσίπελας ἐν πλεύμονι. Ἢν ἐρυσίπελας ἐν πλεύμονι γένηται, βὴξ ἔχει. καὶ τὸ σίαλον ἀποπτύει πουλὺ καὶ ὑγρὸν, οἷον ἐκ βρόγχου. ἔστι δὲ οὐχ αἱματῶδες. καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον. καὶ τοὺς κενεῶνας. καὶ τὰς λαπάρας. καὶ τὰ σπλάγχνα μύζει. καὶ ἐμέει λάπην, καὶ οἷον ὄξος. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ πυρετὸς καὶ ῥῖγος, καὶ δίψα λαμβάνει. καὶ ὅταν τι φάγῃ, ἐπὶ τοῖσι σπλάγχνοισι μύζει, καὶ ἐρυγγάνει ὀξύ. καὶ ἡ κοιλίη τρίζει. καὶ τὸ σῶμα ναρκᾷ. καὶ ὅταν ἐμέσῃ, δοκέει ῥάων εἶναι. ὅταν δὲ μὴ ἐμέσῃ ἀπιούσης τῆς ἡμέρης

στρόφος καὶ ὀδύνη ἐγγίνεται ἐν τῇ γαστρί. καὶ ἀπόπατος ὑγρὸς γινόμενος, διεχώρησεν. ἡ δὲ νοῦσος αὕτη μάλιστα γίνεται ἐκ τῶν θωρηξίων, καὶ ἐκ τῶν κρεοφαγιέων. καὶ ἐξ ὕδατος μεταβολῆς. ἴσχει δὲ καὶ ἄλλως. τοῦτον φάρμακον πιπίσκειν κάτω. καὶ μετὰ πιπίσκειν γάλα ὄνου, ἢν μὴ σπληνώδης ἡ φύσις. ἢν δὲ σπληνώδης ᾖ, μὴ καθαίρειν, μήτε χυλοῖσι, μήτε γάλακτι, μήτε ὀρρῷ, ἀλλ' ὅτι ὀλίγον ἐσελθὸν, πολὺ ἐξάξει. ὑποκλύζειν δὲ τὰς κοιλίας, καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ, ἐν πάσῃσι τῇσι νούσοισι. καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ καὶ γυμνάζεσθαι, ὅταν οἱ πυρετοὶ ἀνιῶσι, καὶ δοκέῃ ἐπιεικέως ἔχειν τοῦ σώματος. καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου ἔμετον ἐμποιέειν. σκορόδων δὲ κεφαλὰς, καὶ ὀριγάνου δραχμίδα[149] ὅσην τοῖσι δακτύλοισι περιλαβεῖν, ἑψεῖν ἐπιχέαντα δύο κοτύλας οἴνου γλυκέος. καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου. καὶ μέλιτος ὅσον τεταρτημόριον. ἑψεῖν δὲ, ἕως ἂν ἡ τρίτη μοῖρα λειφθῇ. κἄπειτα γυμνώσας τὸν ἄνθρωπον, καὶ λούσας ὕδατι χλιαρῷ, πίσαι θερμόν. καὶ πιπίσκειν φάκιον, μέλι καὶ ὄξος συμμίσγων ἐς ἂν ἐμπλησθῇ. ἔπειτα ἐμεέτω. καὶ τὴν ἡμέρην ταύτην πιὼν ἄλφιτον καὶ ὕδωρ, ἐκνῆστις διέτω. ἐς ἑσπέρην δὲ τεῦτλον φαγέτω, καὶ μάζης μικρόν. καὶ πινέτω οἶνον ὑδαρέα. ἀνὰ δὲ τὸν ἄλλον χρόνον,[150] ἐμεέτω τοῖσι φακίοισι καὶ ἀπὸ σιτίων. καὶ ἢν ἀφίστηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προσβάλλειν. καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσί. σιτίοισι δὲ χρῆσθαι ἀνάλτοισι, καὶ μὴ λιπαροῖσι, μὴ δὲ πίοσι. δριμέα δὲ καὶ ὀξέα, ἐσθιέτω, καὶ ψυχρὰ πάντα. καὶ περιπάτοισι χρήσθω. ταῦτα ποιέων ἄριστα ἂν διαιτῷτο, καὶ διὰ πλείστου χρόνου ἡ νοῦσος γίνοιτο. ἔστι δὲ οὐ θανατώδης, ἀλλ' ἀπογηράσκοντας ἀπολείπει. εἰ δὲ βούλοιο[151] νεώτερον ἐόντα, θᾶττον ἀπαλλάξαι τῆς νούσου, καθήρας αὐτὸν, καῦσον τά τε στήθεα καὶ τὰ μετάφρενα. Νωτιάς. Ῥῖγος καὶ πυρετὸς καὶ βὴξ, καὶ δύσπνοια λαμβάνει. καὶ τὸ σίαλον πτύει χλωρόν. ἔστι δ' ὅτε καὶ ὕφαιμον. καὶ πονέει μάλιστα τὸ μετάφρενον. καὶ τοὺς βουβῶνας. καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρέει αἱματῶδες. καὶ ἀποθνήσκει ἑβδομαῖος.[152] ἐπὴν δὲ τὰς τεσσαρεσκαίδεκα ἐκφύγῃ, ὑγιὴς γίνεται. ἐκφυγγάνει δ' οὐ μάλα. τούτῳ διδόναι μελίκρητον ἀναζέσας ἐν καινῇ χύτρῃ ψύχων, σελίνου φλοιὸν ἀποτέγγων ἢ μαράθου. τούτῳ διδόναι πίνειν, καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης. καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα. ἢν ὀδύνη προσίστηται χλιαίνειν. καὶ λούειν θερμῷ, ἢν μὴ ὁ πυρετὸς πολὺς ἔχῃ. ἐπὴν δὲ αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἀριστίζεσθαι μὲν, τὸν κέγχρον. ἐς ἑσπέρην δὲ, κρέα σκυλάκεια ἢ ὀρνίθεια ἑφθὰ ἐσθίειν. καὶ τοῦ ζωμοῦ δροφάνειν. σιτίοισι δὲ, ὡς ἐλαχίστοισι χρῆσθαι τὰς πρώτας ἡμέρας. Φῦμα ἐν τῷ πλεύμονι. Ἐπὴν φῦμα φύῃ ἐν τῷ πλεύμονι, βὴξ ἔχει καὶ ὀρθόπνοιη. καὶ ὀδύνη ἐς τὸ στῆθος ὀξέη. καὶ ἐς τὰ πλευρά. καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερῶν πάσχει. τοῖσι γὰρ πλείστοισι, τοσαύτας ἡμέρας μάλιστα φλεγμαίνει τὸ πάθος τοῦ φύματος. καὶ τὴν κεφαλὴν δὲ ἀλγέει καὶ τὰ βλέφαρα, καὶ ὁρᾷν οὐ δύναται. καὶ τὸ σῶμα ὑπόπυρρον γίνεται.[153] καὶ φλυκταινῶν ἐμπίπλαται. τοῦτον λούειν πολλῷ θερμῷ. καὶ μελίκρητον διδόναι πίνειν ὑδαρὲς. καὶ τῆς πτισάνης τὸν χυλὸν ῥοφάνειν. καὶ οἶνον ὑδαρέα ἐπιπίνειν. ἢν δὲ ἡ ὀδύνη πιέζῃ,

tormina & dolor in ventre suboriuntur, & liquidum stercus demittitur. Hic morbus maximè ex crapula, carnium esu, & aquæ mutatione contingit, atq; aliis etiam de causis detinet. Huic medicamentum deorsum purgans propinato, posteaq; lac asininum bibat, nisi natura lienosus fuerit. Quòd si sic, ne succis, neq; lacte, neq; sero purgato, sed eo quod pauca quantitate sumptum plurimū foras educat. In omnibus morbis, vbi aluus non subducitur eam per infusum subluito, aut glandes supponito. Hoc in morbo frigidæ balneo & exercitatione vtendum, vbi febres remiserint, & corpus moderatè habere videbitur. Vere & autumno vomitus excitādus. Alliorum capita & origani pugillum, quantum digitis comprehenditur, vini dulcis duabus heminis affusis, & aceti quàm acerrimi hemina vna, mellisq; quarta parte, coquito dum tertia pars remaneat. Deinde post exercitationes & tepidę balneum, homini calidum bibendum exhibeto, lenticulæq; decoctū, melle & aceto admixto, dum expleatur, propinato, deinde vomat, eoq; die polenta ex aqua epota ieiunus permaneat. Sub vesperum betam & mazæ parum comedat, & vinum aquosum bibat. Reliquo tempore ex lenticulæ decocto post cibos vomat. Quòd si ad scapulas dolor secesserit, cucurbitulam affigito, & manuum venas pertūdito. Cibis vtatur non salsis, neq; vnguinosis, neq; pinguibus, vescatur acribus & acidis, frigidisq; omnibus, ac deābulationibus vtatur. Quæ cùm fecerit, optimam victus rationem sequetur, morbusq; in multum tempus protrahetur. Neq; verò lethalis est, sed consenescentes deserit. Sed si iuuenem aliquem citiùs à morbo liberare voles, post purgationem ei pectus & dorsum inurito. Dorsalis morbus. Rigor, febris, tussis & spirādi difficultas prehendit, & sputum cum virore pallidum, interdumque aliquantulum cruentum expuit, dolor dorsum præcipuè & inguina vexat, tertio aut quarto die vrinam cruentam reddit, & septimo die moritur, vbi verò decimumquartum effugerit, conualescit, quem ferè non effugit. Huic aquam mulsam in olla noua decoctam & refrigeratam, in qua apij aut fœniculi cortex maceratus fuerit, bibendam exhibeto, & ptisanæ succum bis die, vinumq; albū aquosum superbibendum. Quâ dolor instat tepefactoria adhibeto, & nisi multa febris detinet, calida lauato. Vbi verò quatuordecim dies præterierint, milium in prādio quidem sumat, sub vesperam autem carnes catulinas, aut volucrium coctas edat, & de iusculo sorbeat, sed cibis quàm paucissimis primis diebus vtatur. Pulmonis tuberculum. Si in pulmone tuberculum exortum fuerit, tussis detinet, spirādiq; difficultas quæ non nisi erecta ceruice obitur, dolor acutus pectus & latera occupat, & ad decimum quidem quartum diem ita afficitur. Plęrisq; enim tuberculi affectus tot diebus inflammationem concipit. Sed & caput & palpebras dolor vexat, videre nequit, corpus subfuluum euadit, & pustulis velut ex igne rubentibus completur. Hunc calida multa lauato, aquam mulsam aquosam propinato, & ptisanæ succum sorbendum, vinumque aquosum superbibendum dato, & si dolor premat

tepefactoria admoueto, vbi verò quieuerit, cibis quàm mollissimis vtatur. Quòd si morbo liberatum, dũ ad locum rectum pergit, vel aliòqui festinat, difficultas spirandi inuadat, medicamentum purgans, ex quo aluus inferior minimè moueatur exhibeto. Et si vnà cum vomitu pus albũ, & in quo fibræ sanguinis insint, subsequatur, euadit, si verò liuidum, cum virore pallidum, & graueolens, perit. Repurgãtur autem in quadraginta diebus, ex quo ruptio facta est, multis etiam annuus fit morbus. Huic eadem quæ suppurato facito. Quòd si non eruperit, cùm quibusdam procedẽte tempore ad latus abscessum faciat, & intumescat, vbi hoc cõtigerit, hunc secato aut inurito. Pulmo repletus. Si pulmo repleatur, tussis, difficultas spirandi quæ fit erecta ceruice, & anhelatio detinet, linguam exerit, pustulis velut ex igne rubẽtibus impletur, pruritus occupat, dolor acutus pectus & scapulas vexat, neq; sedere, neq; recumbere, neq; stare potest, sed infirmis est viribus. Hic quarto fere die moritur, quem si superauerit, spes plærunq; superest, sæpe tamẽ etiam septimo die periculum subit, quem si effugerit, cõualescit. Hunc cùm sic habeat calida multa bis die lauato, cũq; dolor detinuerit, tepefactoria admoueto, mel cum aceto coctum bibendum, & ptisanæ succum sorbendum, vinumq; superbibendum præbeto. Quòd si balneo & tepefactoriis vexetur, neq; ea ferat, quod refrigeret ei apponito, & fauum aqua maceratũ quàm maximè frigidum bibendum dato, & loco frigido decumbat, istoq; modo curato. Morbus autem ægrè curatur & lethalis est. Pulmo in latus procumbẽs. Si pulmo in latus incubuerit, tussis & spirãdi difficultas qua spiritus erecta ceruice trahitur, detinet, sputũ albũ cum tussi expuitur, dolor pectus & dorsum occupat, pulmo lateri adhærescens propellit, & pondus quoddam lateri incumbere videtur, dolorq; acutus pungit, sanguis velut corium stridet, & respirationem retinet, in latus quidem affectum decubitũ sustinet, in sanum verò minimè, verùm ei põdus quoddam ex latere dependere, & per pectus transpirare videtur. Hunc calida multa bis die lauato & aquam mulsam propinato. A balneo vinum album pauco ammixto melle, in quo dauci & centaureæ tritum semen maduerit, his tepidum sorbendum dato, ad latus aquam tepidam in vtriculum aut vesicam bubulam infusam admoueto, & fascia pectus alligato, ac in latus sanum decumbere iubeto, ptisanæ succum tepidum & vinum aquosum superbibendum dato. Quòd si ex vulnere istud contingat, aut cùm quis purulentus factus fuerit (id enim accidere solet) vesicam fistulæ adalligatam & flatu impletam, huic intrò immittito, & penicillum stanneum solidum indito, & penitissimè intrudito. Hac curatione instituta, voti maximè compos fies. Lateris tuberculum. Vbi tuberculum in latere suboritur, tussis dura detinet, & dolor, & febris, pondus in latus incumbit, dolor acutus eundem locum semper occupat, sitis vehemens vexat, & calidum potum reiicit, decubitum in latus affectum non sustinet, sed in sanum. Verùm vbi decumbit velut saxum illi suspensum esse videtur, intumescit ac rubet,

χλιαίνειν. ἐπὴν δὲ παύσηται, σιτίοισιν ὡς μαλθακωτάτοισι χρήσθω. ἢν δὲ ἀπηλλαγμένον τῆς νούσου δύσπνοια λαμβάνῃ, ἐπὴν πρὸς ὄρθιον χωρίον ἴῃ, ἢ ἄλλως σπεύδῃ τι, φάρμακον διδόναι, [154] ὑφ᾿ οὗ ἡ κοιλίη ἡ κάτω μὴ κινέεται. καὶ ἢν ἅμα τῷ ἐμέσματι πύον ἕπηται, ἢν μὲν τὸ πύον ᾖ λευκὸν, καὶ ἶνες ἐν αὐτῷ ὕφαιμοι ἐῶσιν, ἐκφυγγάνει. ἢν δὲ πελιδνὸν, καὶ χλωρὸν, καὶ κάκοδμον, ἀποθνήσκει. καθαίρεται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ᾿ ἧς ἂν ῥαγῇ, πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίνεται ἡ νοῦσος. ποιέειν δὲ χρὴ τοῦτον, ἅπερ τὸν ἔμπυον. ἢν δὲ μὴ ῥαγῇ, ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται ὡς τὸ πλευρὸν καὶ ἐξοιδίσκεται. τοῦτον χρὴ, ἢν τοιοῦτο γίνηται, τάμνειν ἢ καίειν. Πλεύμων πλησθείς. Ἢν πλησθῇ ὁ πλεύμων, βὴξ ἴσχει καὶ ὀρθόπνοιη, καὶ ἆσθμα. καὶ τὴν γλῶσσαν ἐκβάλλει. καὶ πίμπλαται φωδῶν. καὶ ξυσμὸς ἔχει. καὶ ὀδύνη ὀξέη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας. καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτ᾿ ἀνακείμενος, οὔθ᾿ ἑστηκὼς, ἀλλὰ δυσθενεῖ. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ταύτας διαφύγῃ, ἐλπίδες ὡς τὰ πολλά. κινδυνεύει δὲ πολλάκις καὶ ἐν τῇσιν ἑπτά. ἢν δὲ ταύτας διεκφύγῃ, ὑγιάζεται. ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ δὶς τῆς ἡμέρης. καὶ ὁπόταν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. καὶ ἐπιπίνειν διδόναι, μέλι καὶ ὄξος ἑφθόν. καὶ ῥοφάνειν χυλὸν πτισάνης. [155] καὶ ἐπιπίνειν οἶνον. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ψύγματα. καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ὡς ψυχρότατον. καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. ταῦτα ποιέειν. ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης. Ὁ πλεύμων προσπεσὼν ἐς τὸ πλευρόν. Ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ, βὴξ ἴσχει καὶ ὀρθόπνοιη. καὶ σίαλον ἀναπτύει λευκόν. καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει. καὶ ἀπωθεῖ προσκείμενος. καὶ δοκέει τι ἑλκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι. καὶ κεντήσιοι ὀδύναι ὀξεῖαι. [156] καὶ τρίζει τὸ αἷμα ὥσπερ μάσθλης. καὶ τὴν πνοιὴν ἐπέχει. καὶ ἐπὶ μὲν τὸ πονέον, ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιὲς, οὔ. ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ ἀπὸ τοῦ πλευροῦ. καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος. τοῦτον λούειν θερμῷ πολλῷ, δὶς τῆς ἡμέρης. καὶ μελίκρητον πιπίσκειν. καὶ ἐκ τοῦ λουτροῦ, οἶνον λευκὸν κεραννὺς, καὶ μέλι ὀλίγον. καὶ δαύκου καρπὸν τρίψας. καὶ τῆς κενταυρείης διεὶς, τούτοισι διδόναι χλιαρὸν καταρροφάνειν. καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς ἀσκὸν, ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων. [157] καὶ ταινίῃ σφενδονᾶν τὰ στήθεα. καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιές. καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρόν. καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. ἢν δὲ ἐκ τρώματος τοῦτο γίνηται, ἢ τμηθέντι ἐμπύῳ, γίνεται γάρ, [158] τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης, καὶ εἰσιέναι ἔσω, καὶ μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι, καὶ ἀπωθέειν πρόσω. οὕτω διαιτῶν, τυγχάνοις ἂν μάλιστα. Τὸ δὲ πλευροῦ φῦμα. Ἐπὴν πλευροῦ φῦμα γίνηται, ἡ βὴξ ἴσχει σκληρή. καὶ ὀδύνη καὶ πυρετός. καὶ ἕλκεται βαρὺ ἐν τῷ πλευρῷ καὶ ὀδύνη ὀξέη ἐς τὸ αὐτὸ αἰεὶ χωρίον λαμβάνει. καὶ δίψα ἰσχυρή. [159] καὶ ἀποβλύζεται τὸ πόμα, θερμόν. καὶ ἐπὶ μὲν τὸ ἀλγέον, οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιές. ἀλλ᾿ ἐπὴν κατακλινῇ, δοκέει οἷον περ λίθος ἐκκρέμασθαι. καὶ ἐξοιδέει. καὶ ἐρευθέει.

καὶ οἱ πόδες οἰδέουσιν. τοῦτον τάμνειν ἢ καίειν. ἔπειτα ἀφιέναι τὸ πῦον, ἕως ἂν γένηται δεκαταῖος. καὶ μοτοῦν ὠμολίνῳ. ἐπὴν δὲ γένηται δεκαταῖος, ἐξιεὶς τὸ πῦον πᾶν, ἐσιέναι οἶνον καὶ ἔλαιον χλιαίνας, ὡς μὴ ἐξαπίνης ἀποξηρανθῇ. καὶ μοτοῦν ὀθονίῳ. ἐξιεὶς δὲ τὸ ἐγκεχυμένον, ἐγχέειν ἕτερον. ποιέειν δὲ ταῦτα, πέντε ἡμέρας. ἐπὴν δὲ τὸ πῦον λεπτὸν ἀποῤῥέῃ, οἷον πτισάνης χυλός,[160] καὶ ὀλίγον ἐν τῇ χειρὶ ψαυόμενον, ἢ κασσιτέρινον μοτὸν ἐντιθέναι. καὶ ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τε τοῦ μοτοῦ ὀλίγον, αἰεὶ ξυμφύειν τὸ ἕλκος[161] πρὸς τὸν μοτόν. Ὕδερος πλεύμονος. Ἢν δὲ ὕδερος ἐν τῷ πλεύμονι γένηται, πυρετὸς καὶ βὴξ ἴσχει. καὶ ἀναπνέει ἀθρόον. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται πάντες, καὶ πάσχει οἷά περ ἔμπυος γενόμενος. βληχρότερον δὲ καὶ πολυχρονιώτερον. καὶ ἢν ἐγχέῃς, ἢ πυριᾷς, ἢ θυμιᾷς, οὐχ ὁμαρτέει πῦον. τούτῳ ἂν γνοίης ὅτι, οὐ πῦον ἀλλὰ ὕδωρ ἐστί. καὶ ἢν πολλὸν χρόνον προσέχων τὸ οὖς ἀκουάζῃ, πρὸς τὰ πλευρά,[162] ζέει ἔσωθεν οἷον ὄξος, καὶ ἕως μέν τινος ταῦτα πάσχει. ἔπειτα δὲ ῥήγνυται πρὸς τὴν κοιλίην. καὶ αὐτίκα μὲν δοκέει ὑγιὴς εἶναι καὶ τῆς νούσου ἀπηλλάχθαι. τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται. καὶ τάτε αὐτὰ κεῖνα πάσχει καὶ μᾶλλον. ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα. καὶ τὸ ὄσχεον. καὶ τὸ πρόσωπον. καὶ ἔνιοι δοκέουσιν εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω, ὁρῶντες τὴν γαστέρα μεγάλην. καὶ τοὺς πόδας οἰδέοντας. (al. οἰδίσκεται) γίνεται ταῦτα ἢν ὑπερβάλῃς τὸν καιρὸν τῆς τομῆς. τοῦτον χρή,[163] ἢν μὲν ἀποιδήσῃ, ἔξω τάμνοντα διὰ τῶν πλευρέων, ἰᾶσθαι. ἢν δὲ μὴ ἀποιδέῃ, λούσαντα πολλῷ θερμῷ καθίσαι ὥσπερ τοὺς ἐμπύους. καὶ ὅπη ἂν ψοφέῃ, ταύτῃ τάμνειν. βούλεσθαι δὲ ὡς κατωτάτω ὅκως τοι εὔροον ἔῃ. ἐπὴν δὲ τάμῃς, μοτοῦν ὠμολίνῳ, παχὺ καὶ ἔπακρον ποιησάμενος τὸν μοτόν,[164] καὶ ἀφιέναι τοῦ ὕδατος φειδόμενος ὡς ἐλάχιστα. καὶ ἢν μέν σοι ἐν τῷ μοτῷ πῦον περιγένηται, πεμπταίῳ ἐόντι, ὡς τὰ πολλὰ ἐκφυγγάνει. ἢν δὲ μὴ περιγένηται, ἐπὴν ἐξεράσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει καὶ βήξ, καὶ ἀποθνήσκει. Στῆθος ἢ μετάφρενον ῥαγέν. Ἢν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, ὀδύναι ἴσχουσι τὸ στῆθος, καὶ τὸ μετάφρενον[165] διαμπερές. καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει. καὶ τὸ σίαλον ὕφαιμον βήσσεται. τὸ δὲ οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης. μάλιστα δὲ ταῦτα πάσχει, ἢν τῇσι χερσί τι πονήσῃ. ἢ ἐς ἅμαξαν ἐπιβῇ, ἢ ἐφ᾽ ἵππον. τοῦτον καίειν καὶ ἔμπροσθεν καὶ ὄπισθεν[166] μοιρήσῃ ἑκάτερον. καὶ οὕτως ὑγιὴς γίνεται. ἐπισχεῖν δὲ τὸν πόνον ἐνιαυτὸν καὶ παχῦναι ἐκ τῆς καύσιος. Πυρετὸς καυσώδης. Πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρή. καὶ ἡ γλῶσσα τρηχείη. καὶ μέλαινα. καὶ χλωρή. καὶ ξηρή. καὶ ἐξέρυθρος ἰσχυρῶς. καὶ οἱ ὀφθαλμοὶ χλωροί. καὶ ἀποπατέει ἐρυθρόν, καὶ χλωρόν. καὶ οὐρέει τοιοῦτο καὶ πτύει πολλόν. πολλάκις δὲ καὶ μεθίσταται ὡς ἐπὶ περιπλευμονίην, καὶ παρακόπτει. τούτῳ ἂν γνοίης ὅτι περιπλευμονίη γίνεται. οὗτος ἢν μὲν γένηται περιπλευμονικός, καὶ τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίνεται. ἢν δὲ γένηται ἐν ὀκτωκαίδεκα ἡμέρῃσιν, ἢν μὴ ἀκάθαρτος γενόμενος ἔμπυος γένηται, τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τοῦ κρίμνου. καὶ μετὰ πίνειν ὄξος, ὡς εὐωδέστατον λευκόν. καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης, δὶς τῆς ἡμέρης. ἢν δὲ ἀσθενὴς ᾖ, τρίς. καὶ ἐπιπίνειν οἶνον οἰνώδεα, λευκόν, ὑδαρέα. καὶ λούειν ὡς ἐλαχι-

pedesq; in tumorem sublati sunt. Hunc secato aut inurito, deinde pus ad decimum vsq; diem emittito, & penicillum ex lino crudo imponito. Post decimum diem, vbi totum pus exierit, vinum & oleum, ne de repente siccescat, tepida iniicito, & linamēto ex linteolo obducito. Vbi quod infuderis emissum fuerit, aliud infundito, istaq; per dies quinque facito. Cùm autem pus tenue velut ptisanæ cremor, & ad manus contactum paucum defluxerit, penicillum stanneū immittito. Atq; vbi prorsus resiccatum fuerit, paulatim resecto penicillo, vlcus ad linamentum semper vt coalescat, finito. Aquæ copia in pulmone collecta. Si aquæ copia in pulmone collecta fuerit, febris & tussis vexat, confertim respirat, pedes intumescūt, vngues omnes contrahūtur, velut suppuratus afficitur, verùm remissiùs ac diutiùs. Quòd si infusum, aut fomentum, aut suffitum adhibeas, pus nō sequitur, indeq; cognoscas, non pus, sed aquam intus esse. At si diutiùs aure ad latera admota auscultaueris, intrinsecus velut acetum olet, & aliquantisper ita afficitur, postea inventrem erumpit, confestimq; sanus & morbo liberatus esse videtur. Procedente autem tempore venter incēditur, eademq; illa maioraq; patitur. Quibusdam etiam venter, & scrotum ac facies intumescit. Et nonnulli istud ab inferiore aluo prouenire existimant, cùm ventrem magnum & pedes intumescere videāt. Quæ certè intumescunt, si sectionis tempus prætereris. Hunc quidem si exteriore parte intumescit, inter costas sectione facta curare oportet. Sin verò minimè intumescit post multæ calidæ balneum, velut purulentos in sella collocato, & quâ parte strepitum edet, ea secato, votumq; est, quò sanè facilè effluat, vt quàm infimo loco id fiat. Post sectionem autem linamētum ex lino crudo crassum & in summo acutum imponito, & quàm paucissimam aquam emittito. Et si quidē quinto die linamentum pure obductum fuerit, plerunq; euadit, sin verò minimè obductum fuerit, postquam aquam eduxeris, sitis corripit & tussis, ac perit. Pectoris & dorsi ruptio. Si pectus aut dorsum ruptum fuerit, dolores pectus & dorsum per totum detinent, calor subinde inuadit, & sputum subcruentum tussi reiicit, per quod capillus velut cruentus intercurrit. Eaque maximè contingunt, si manibus laborarit, aut in currum, aut equum conscenderit. Hunc anteriore & posteriore parte inurito, ita vt vtrinq; diuidas, sicque conualescit. Per annum à labore compescito, & ab inustione incrassato. Febris ardens. Febris & sitis vehemens detinet, lingua est aspera, nigra, ex virore pallida, sicca, & valde rubra, oculi ex virore pallescunt, alui excremētum deiicit rubrum & ex virore pallidum, talemq; vrinam reddit, & multum spuit. Plerunq; etiam velut ad pulmonis inflammationem transmutatur, & delirat. Ex eo nempe pulmonis esse inflammationem cognoscas. Hic si quidē pulmonis inflammatione laborarit, & decimum quartum diem superet, conualescit. Si verò ad decimumoctauum perueniat, nisi impurgatus purulentus euadat, hunc aquam in qua farinę hordeaceę crassiora frustula macerata fuerint, bibere oportet, posteaq; acetum album quàm odoratissimum bibere, & ptisanæ succum bis die sorbere, ter verò si debilis existat, & vinum generosum, album, dilutum superbibere, & quàm minimum

lauare. Si verò purulétus fiat, huic purulenti curationem instituito. Febris singultuosa. Febris vehemens detinet, rigor, tussis & vomitus, sanguinis grumos cum tussi reiicit, ac septimo die moritur. Quòd si decimum diem superauerit, meliùs habet. Vigesimo autem die suppuratus euadit, primisq; diebus pus paucum cum tussi reiicit, deinde copiosius, & intra quadragesimū diem expurgatur. Huic primis quidē diebus acetum cum melle coctum propinato, postea commixto aceto & aqua, quò aquosiorem potionem reddas. Ptisanæ succum pauco admixto melle sorbeat, & vinum album generosum superbibat. Vbi verò decem dies præterierint, si febris cesset, sputumq; purum fuerit, ptisanam integram & milium sorbeat. Si verò vigesimo die pus expuat, saluiam, rutam, satureiam, origanum & hypericum, singula æquis portionibus admixta, tusa & cribrata, omnium quantum conchæ paruæ testa capit, bibat, & cum pari polentæ modo, ex vino dulci temperato, ieiuno bibenda dato. Sorbitionibus etiam vtatur, si hyems, aut autumnus, aut ver fuerit, æstate verò minimè. Verùm amygdalas tritas, cucumeris semē torrefactum, sesamum, singula æquis portionibus, in totum verò quantum conchæ testa capit, aqua heminæ Æginensis mensura affusa, aspersa farina & fauo, id post potionem sorbeat. Cibis autem vtatur pinguibus & salsis, & piscibus marinis potiùs quàm carnibus. Calida lauet, caput verò minimè. Quæ si feceris, morbo liberatur. In morbo qui Lethargus vocatur, tussis detinet, sputum copiosum & liquidum expuit, & delirat, cumq; delirium quieuerit, dormit, & alui excrementum malè olens deiicit. Huic aquam in qua farina hordeacea crassior macerata fuerit, propinato, posteaq; vinum album generosum bibendum exhibeto, ptisanæ succum etiam, mali punici succo admixto sorbeat, vinumq; album generosum superbibat, neq; lauet. Hic intra dies septem moritur, quos si effugerit, sanus euadit. Alius morbus Græcè ἀυαντὴ, hoc est, reficcatorius dictus. Non inediam, nō cibum sumptum ferre potest, sed ieiuno quidem, viscera rugitum edunt, & ventriculi os mordetur, & aliàs varia vomit, bilem, saliuam, pituitam, & acre, postq; vomitionem aliquantisper meliùs habere videtur. Vbi autem cibum sumpsit, ructus ei contingunt, cum rubore incenditur, semper se copiosum alui recrementum deiecturum existimat, cùm verò desederit, flatus infra demittitur, caput dolore vexatur, totum corpus huc & illuc velut acu pungi videtur, crura grauantur, debilitantur, & imminuuntur, debilisq; euadit. Huic medicamentum primùm quidem per inferiora purgans, deinde verò per superiora propinato, & caput purgato. Cibis abstineat dulcibus, oleosis & pinguibus, & crapula. Succis post cibos vomitum cieto, & si anni tempus ferat, post exhibitum lac aut serum asininum medicamentum, vtro tibi magis opus esse videatur insuper propinato. Frigidæ balneo æstate & vere vtatur, autumno verò & hyeme vnguento, & deambulatione exercitationeq; modica. Quòd si debilior sit quàm vt exerceri queat, iter conficiat, cibis frigidis & aluum deiicientibus vtatur, & si venter non infra subeat, molli infuso subluito. Hic morbus diuturnus est, nec nisi consenescentes deserit, aliòqui

στα. ἢν δὲ ἔμπυος γένηται, διαιτᾶν ὡς ἔμπυον. [167] πυρετὸς λυγγώδης. [168] πυρετὸς ἴσχει ἰσχυρός. καὶ ῥῖγος, καὶ βὴξ, καὶ λὺγξ. καὶ βήσσει ἅμα τῷ σιέλῳ θρόμβους αἵματος. καὶ ἑβδομαῖος ἀποθνήσκει. ἢν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥάων γίνεται. εἰκοστῇ δὲ ἡμέρῃ ἐμπυΐσκεται. καὶ βήσσει τὰς πρώτας ἡμέρας πῦον ὀλίγον. ἔπειτα ἐπιπλέον. καθαίρεται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι. τοῦτον τὰς μὲν πρώτας ἡμέρας, πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἑφθόν. [169] καὶ μεταμίσγειν ὄξος καὶ ὕδωρ ὑδαρὲς πίεων. ῥοφάνειν μὲν χυλὸν πτισάνης μέλι ὀ-
10 λίγον παραμίσγων. καὶ οἶνον ἐπιπίνειν λευκὸν οἰνώδεα. ἐπὴν δὲ δέκα ἡμέραι παρέλθωσιν, ἢν τὸ πῦρ παύσηται, καὶ τὸ πτύελον καθαρὸν ᾖ, τὴν πτισάνην ὅλην ῥοφανέτω, ἢ τὴν κέγχρον. ἢν δὲ εἰκοσταῖος τὸ πῦον πτύσῃ, πινέτω, κόψας καὶ σήσας τὴν ἐλελίσφακον. καὶ πήγανον. καὶ θύμβρην. καὶ ὀρίγανον, καὶ ὑπερικόν. ἴσον ἑκάστου ξυμμίσγων, [170] ὅσον σκαφίδα σμικρὴν, ξυμπάντων, καὶ ἄλφιτον τὸ αὐτὸ ἐπὶ οἴνῳ γλυκεῖ κεκρημένῳ, νῆστις πίνειν. καὶ ῥοφανέτω ἢν χειμὼν ᾖ, ἢ μετόπωρον, ἢ ἔαρ. ἢν δὲ θέρος ᾖ, μή. ἀλλ' ἀμυγδάλια τρίβων καὶ σικύου σπέρμα πεφωσμένον, καὶ σήσαμον ἴσον ἑκάστου,
20 σύμπαν δὲ ὅσον σκαφίδα, ἐπιχέας ὕδατος ὅσον κοτύλην αἰγιναίαν, ἄλφιτον ἐπιπάσσων καὶ κηρίον, τοῦτο ῥοφανέτω μετὰ τὸ πόμα. σιτίοισι δὲ χρήσθω λιπαροῖσι, καὶ ἁλμυροῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. λούσθω δὲ θερμῷ τὴν κεφαλὴν ὡς ἐλάχιστα. ταῦτα ποιέων, ἀπαλλάσσεται τῆς νούσου. Νοῦσος ἡ καλουμένη λήθαργος. Βὴξ ἴσχει. καὶ τὸ σίελον πτύει πουλὺ καὶ ὑγρόν. καὶ φλυηρεῖ. καὶ ὅταν παύσηται φλυηρέων, εὕδει. καὶ ἀποπατεῖ κάκοδμον. τοῦτον πιπίσκειν τὸ ἀπὸ τῶν κριμνῶν. καὶ μεταπιπίσκειν οἶνον λευκὸν οἰνώδεα. καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης. ξυμμίσγειν δὲ, σίδης χυλόν. καὶ οἶνον ἐπιπίνειν
30 οἰνώδεα λευκόν. καὶ μὴ λούειν. οὗτος ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίνεται. Ἑτέρη νοῦσος ἡ λεγομένη [171] ἀυαντή. Οὐκ ἀνέχεται ἄσιτος, οὐδὲ βεβρωκὼς, ἀλλ' ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ καρδιώσσει. καὶ ἐμεῖ ἄλλοτε ἀλλοῖα καὶ χολήν. καὶ σίαλα. καὶ λάπην. καὶ δριμύ. καὶ ἐπὴν ἐμέσῃ, ῥάων δοκεῖ εἶναι ἐπ' ὀλίγον. ἐπὴν δὲ φάγῃ, ἐρύγματα αἱ γίνεται, [172] καὶ φλογιᾷ. καὶ ἀποπατήσειν ἀεὶ οἴεται πουλύ. ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρεῖ. καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει. καὶ τὸ σῶμα πᾶν [173] ὥσπερ ῥαφὶς κεντέειν δοκεῖ, ἄλλοτε
40 ἄλλη. καὶ τὰ σκέλεα βαρέα καὶ ἀσθενέα. [174] καὶ μινύθει. καὶ ἀσθενὴς γίνεται. τοῦτον φάρμακον πιπίσκειν. πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω, καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ σιτίων ἀπέχεσθαι γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων. καὶ θωρήξιος. ἐμέειν δὲ τοῖσι χυλοῖσι, καὶ ἀπὸ σιτίων. καὶ τὴν ὥρην ὄνου γάλα ἢ ὀρρὸν πιπίσκων, φάρμακον προσπιπίσαι, ὁκοτέρου σοι δοκέει μᾶλλον δεῖσθαι. ψυχρολουτέειν τὸ θέρος καὶ τὸ ἔαρ. τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι, καὶ περιπατέειν, καὶ γυμνάζεσθαι ὀλίγα. ἢν δὲ ἀσθενέστερος ᾖ ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι. καὶ σιτίοισι ψυ-
50 χροῖσι καὶ διαχωρητικοῖσι χρήσθω. καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. ἡ δὲ νοῦσος χρονίη. καὶ ἀπογηράσκοντας, [175] ἢν μὴ γῆ ἀπολείπει. ἢν δὲ μὴ,

συναποθνήσκει. [176] Πυρετὸς ὁ φονώδης λεγόμενος. Πυρετὸς ἴσχει καὶ ῥῖγος. καὶ αἱ ὀφρύες ἐπικρεμάσθαι δοκέουσι. καὶ τὴν κεφαλὴν ἀλγέει. καὶ ἐμέει σίαλον θερμόν. καὶ χολὴν πολλήν. ἐνίοτε καὶ κάτω ὑποχωρέει. καὶ τοὺς ὀφθαλμοὺς [177] αἱ χῶραι οὐ χωρέουσι. καὶ ὀδύνη ἐς τὸν αὐχένα, καὶ ἐς τοὺς βουβῶνας ἴσχει. καὶ ἀσθενὴς καὶ φλυηρέει. θνήσκει ἑβδομαῖος, ἢ καὶ πρότερον ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὡς τὰ πολλὰ ὑγιαίνει. ἡ δὲ νοῦσος θανατώδης. τούτῳ ψύγματα χρὴ προστιθέναι, πρὸς τὰ σπλάγχνα καὶ πρὸς τὴν κεφαλήν. καὶ πίνειν διδόναι [178] ἐρρήξαντα τὰς κάχρυς σὺν τοῖσιν ἀχύροισι, καὶ ἀποβρέξαντα, καὶ ἀπηθέαντα τὸ ὕδωρ ἐν τούτῳ μελίκρητον ποιέοντα, ὑδαρὲς τοῦτο διδόναι. σιτίον δὲ μὴ προσφέρειν, μηδὲ ῥόφημα ἑπτὰ ἡμερέων ἄχρις. ἢν μὴ ἀσθενής σοι δοκέῃ εἶναι. ἢν δὲ ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν ὕδωρ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν. ἐς ἑσπέρην δὲ κολοκύντην, ἢ τεῦτλα διδόναι ὀλίγα. καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἐς ἂν γένηται ἐναταῖος. ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ χρήσθω, ἀριστιζόμενος κέγχρον. λουτρῷ δὲ, ἕως ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ὁ πυρετός, μὴ χρήσθω. ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ, ἢ βαλάνους προστιθέναι. ἐπὴν δὲ ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακὸν, τὴν κοιλίην κάτω καθῆραι. ἔπειτα γάλα ὄνου μετάπισον. [179] Πελίη νοῦσος. πυρετὸς ἴσχει ξηρός. καὶ φρὶξ ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγέει. καὶ τὰ σπλάγχνα ὀδύνη ἔχει. καὶ ἐμέει χολήν. καὶ ὁπόταν ἡ ὀδύνη ἔχῃ, [180] οὐ δύναται ἀνορᾶν, ἀλλὰ βαρύνεται. [181] καὶ ἡ γαστὴρ, σκληρὴ γίνεται. καὶ ἡ χροιὴ πελιδνή. καὶ τὰ χείλεα, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ, πελιδνά. [182] καὶ ἐξορᾷ ὡς ἀγχόμενος. ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει. καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. τοῦτον φάρμακον πιπίσκειν καὶ κάτω καὶ ἄνω. καὶ ὑποκλύζειν. καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν. καὶ θερμῷ ὡς ἥκιστα λούειν, ἀλλὰ καὶ ἐπὴν λούηται, [183] εἱληθερεῖν, καὶ ὀρρὸν τὴν ὥρην καὶ γάλα ὄνου πιπίσκειν. καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι, καὶ ψυχροῖσιν, ἀπεχόμενον τῶν δριμέων καὶ τῶν ἁλμυρῶν. λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι χρήσθω. ἡ δὲ νοῦσος ὡς τὰ πολλὰ συναποθνήσκει τῷ κάμνοντι. [184] Νοῦσος ἐρυγματώδης. Ὀδύνη λάζεται ὀξεῖα. καὶ πονέει ἰσχυρῶς. καὶ ῥιπτάζει αὐτὸς ἑωυτόν. καὶ βοᾷ. καὶ ἐρεύγεται θαμινά. καὶ ἢν ἀπερύγῃ, δοκέει ῥᾴων εἶναι. πολλάκις δὲ καὶ χολὴν ἀπεμέει ὀλίγην, [185] ὅσον βρόχθον. καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων, ἐς τὴν νειαίρην γαστέρα καὶ τὴν λαπάρην. καὶ ἐπὴν τοῦτο γένηται, ῥᾴων δοκέει εἶναι. καὶ ἡ γαστὴρ φυσᾶται. καὶ σκληρὴ γίνεται. καὶ ψοφέει. καὶ ἡ φῦσα οὐ διαχωρέει, οὐδὲ ὁ ἀπόπατος. τοῦτον ἢν ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ. καὶ χλιάσματα προστιθέναι. ὁπόταν δὲ ἐν τῇ γαστρὶ ἡ ὀδύνη ᾖ καὶ ἡ φῦσα, ὑποκλύζειν. καὶ τῆς λινοζώστιος ἑψῶν τὸν χυλὸν, ξυμμίσγειν τῷ πτισάνης τῷ χυλῷ. καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα. σιτίον δὲ μὴ προσφέρειν ἕως ἂν ἡ ὀδύνη χαλάσῃ. πινέτω δὲ ἓξ ἡμέρας ἐκ νυκτὸς στέμφυλα βρέχων γλυκέα, τὸ ὕδωρ τὸ ἀπὸ τούτων. ἢν δὲ μὴ ἔχῃ στέμφυλα, μέλι καὶ ὄξος ἑφθόν. [186] ἐπὴν δὲ τῆς ὀδύνης ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι καὶ ὑποχωρητικοῖσι,

ad mortem vsque comitatur. Febris mortifera dicta. Febris & rigor detinet, supercilia suspensa esse videntur, caput dolor vexat, saliuam calidam & bilem copiosam vomitione reiicit, interdumq; per inferiora demittit, oculorum loca eos capere nequeunt, dolor ceruicem & inguina occupat, infirmis est viribus, & delirat. Hic intra septem dies aut etiam prius moritur, quos si superauerit, plærunq; conualescit, morbus autem lethalis est. Huic refrigerantia ad viscera & caput admouere oportet, & hordea torrefacta vna cum paleis confracta bibenda exhibere, & ex aqua in qua macerata fuerint excolata, mulsam conficere eamq; dilutam propinare. Cibus autem neque sorbitio ante septimum diem offerẽda, nisi tibi debilis videatur. Quòd si sic, ptisanæ succus frigidus & liquidus paucus bis die exhibendus, & aqua superbibenda. At vbi septimus dies præterierit, & febris dimiserit, milium delingendum. Sub vesperum cucurbita & betæ paucæ exhibendæ, vinumq; album aquosum superbibẽdum, quoad nonũ attingat diem. Deinde quàm minimo cibo vtatur, milio in prandio sumto. Balneo quandiu dolor & febris detinet, ne vtatur. Vbi verò quieuerit, multa lauet. Quòd si venter non demittat, cum molli infuso subluito, aut glandes subdito. At vbi vires valuerint, molli medicamento ad nares admoto, aluum per inferiora purgato, deinde lac asininum propinato. Liuidus morbus. Febris sicca detinet, subindeq; horror, caput dolet, viscera dolor occupat, bilem vomitione reiicit, cumq; dolor detinet sursum tueri nequit, sed grauatur, venter indurescit, color liuidus redditur, labra & oculorum candida liuescunt, perinde vt qui strangulatur aspicit, interdum etiam colorem mutat, & ex liuido cum virore aliquantulum pallescit. Huic medicamentum, tum supra, tum deorsum purgans propinato, aluum subluito, & ex capite purgato. Calida quàm minimùm lauet, verùm vbi lauerit, insoletur, serum & lac asininum, si anni tempus ferat, bibat, cibis quàm mollissimis & frigidis vtatur, acribus & salsis abstineat, vnguinosa verò & dulcia pinguiaq; assumat. Hic autẽ morbus ægrum plærunque ad mortem vsq; comitatur. Morbus ructus ciens. Dolor acutus prehendit, vehementerq; laborat, seipsum disiicit, vociferatur, frequenter eructat, ac vbi eructauerit meliùs habere videtur. Plærumque verò paucam bilem vomitione reiicit, quãtum poculi parui mensura, dolor ex visceribus ad imum ventrem & laterum mollitudinem pertingit, cumq; id contigerit, meliùs habere videtur, venter inflatur & indurescit, sonitum edit, neq; flatus neq; stercus demittitur. Hunc si dolor detinet, calida multa lauato, & tepefactoria admoueto. Cùm verò in ventre dolor & flatus extiterit, per infusum subluito, & mercurialis succum coctum ad ptisanæ succum admisceto, & vinum dulce aquosum superbibendũ dato. Cibum quoad dolor remiserit, ne porrigito, aquã aũt ex vinaceis dulcibus per noctẽ maceratis, sex dieb. bibat. Quòd si vinacea non habeat, mel cum aceto coctũ bibat. At postquam dolore vacuus fuerit, medicamẽto aluũ per inferiora purgato. Cibis vtatur mollibus & aluũ subducẽtibus,

& marinis potius quàm carnibus. Carnibus autem auicularum & ouium coctis, betas etiam & cucurbitam assumat, reliquis verò abstineat. Hic autem morbus si iuuenem inuaserit, progressu temporis decedit, senem verò ad mortem comitatur. Morbus pituitosus. Virum quidem etiam, mulierem tamen magis inuadit, & hæc quidem crassa est & bene colorata, iter faciens imbecilla est, præsertim verò vbi ad arduum aut accliuem locum contendit. Febris tenuis interdumq; suffocatio prehendit, & ieiuna quidem bilem saliuamq; copiosam vomitione reiicit, & plerunq; vbi cibum sumsit, cibi tamen nihil. Cùm laborarit, dolor modò pectus, modò dorsum occupat, & tumidis ac rubicundis cutis eminentiis velut ab vrtica inustis completur. Huic medicamẽtum purgans propinato, serum & lac asininũ bibat. Quòd si serum bibat, multis ante diebus medicamentum per inferiora purgans bibendum exhibeto, cumq; serum bibere desierit, lac asininum postea bibat, & vbi biberit, cibis quidem abstineat, vinum autem quam suauissimum bibat vbi purgari desierit. Cùm verò à potione cessauerit, milium in prandio sumat, sub vesperum autẽ cibo quàm mollissimo & paucissimo vtatur, & pinguibus, dulcibus, ac oleosis abstineat, subindeq; præsertim hyeme, vbi olera antè comederit, ex lẽticulæ decocto vomat, calida quam minimùm lauet, sed ad solẽ calefiat. Hic verò morbus ad mortem vsq; comitatur. Pituita alba. Totũ corpus albo tumore intumescit, vẽter ad contactum crassus est, pedes, coxæ, tibiæ & scrotum intumescunt, respiratio coaceruata est, vultus rubicundus, os aridum, & sitis detinet, cumq; comedit, spiratio crebra incidit. Hic eodem die interdum quidem melius, interdum verò peius habet. Huic si venter per morbi initia sua quidem sponte conturbatus fuerit, sanitati est proximus. Quòd si non turbetur, medicamentum deorsum purgãs ex quo aqua purgetur, exhibeto, calida ne lauet, aeri exponito, & scrotum vbi inflatum fuerit, pertundito. In cibo pane puro, frigido vtatur, & beta, piscibusq; scorpiis coctis, iure autem quàm modico. Frigida omnia sumat, nõ dulcia, neq; pinguia, sed contrita, & acida, & acria, allio excepto, cepa & porro. Origanum autem & satureiam copiosam edat, vinumq; aquosum superbibat, & ante cibum iter faciat. At si à medicamẽto intumescat, infuso per clysterem vtitor, cibo premito, deambulationibus & illuuie: medicamenta autem purgantia quàm paucissima exhibeto, minimè verò sursum purgans, priusquam tumores ad inferiora descenderint. Si verò extenuato iam existẽte in pectore suffocatio oboriatur, veratrum bibendum dato, caput purgato, deinde medicamentum deorsum purgans propinato. Hic verò morbus nullum ferè deserit. Cura grauis morbus. Viscera veluti spinarum aculeis pungi videntur, anxietudo ipsum inuadit, lucem & homines refugit, tenebras amat, metus corripit, septum tranuersum exteriore parte intumescit, ad contactum dolet, expauescit, in somnis terriculamenta & formidanda cernit, quandoque & mortuos. Morbus hic interdum plurimos vere prehendit. Veratrum huic propinato & caput purgato, post capitis purgationem, medicamentum per inferiora purgans bibendum exhibeto; &

καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. κρέασι δὲ ὀρνιθείοισι καὶ μηλείοισιν ἑφθοῖσι. καὶ τεῦτλα καὶ κολοκύντην. τῶν δ' ἄλλων ἀπεχέσθω. ἡ δὲ νοῦσος ὅταν μὲν νέον λάβῃ, χρόνῳ ἐξέρχεται. ἢν δὲ πρεσβύτερον, συναποθνήσκει. Νοῦσος φλεγματώδης. Λαμβάνει μὲν καὶ ἄνδρα, μᾶλλον δὲ γυναῖκα. καὶ παχείη μέν ἐστι, καὶ εὔχρεως. ὁδοιπορέουσα δὲ ἀσθενέει. [187] μάλιστα δὲ ἐπὴν πρὸς αἶπος ἴῃ. καὶ πυρετὸς λεπτὸς λαμβάνει. ἐνίοτε καὶ πνῖγμα. καὶ ἀπεμέει μὲν ὅταν ἄσιτος ᾖ, χολὴν, καὶ σίαλα πολλά. πολλάκις δὲ καὶ ὅταν φάγῃ, τοῦ δὲ σιτίου οὐδέν. καὶ ὅταν πονήσῃ, ὀδυνᾶται, καὶ ἄλλοτε ἄλλῃ τὸ στῆθος καὶ τὸ μετάφρενον. [188] καὶ καταπίμπλαται πομφῶν ὡς ὑπὸ κνίδης. τοῦτον φαρμακεύειν πιπίσκειν. καὶ ὀρρὸν καὶ γάλα ὄνου πινέτω. ἢν δὲ ὀρροποτέῃ, προπίσαι φάρμακον κάτω ὡς πλείστας ἡμέρας. καὶ ἢν ἀπολήγῃ τῆς ὀρροποσίης, μεταπιέτω γάλα ὄνειον. ἐπὴν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω. οἶνον δὲ πινέτω ὡς ἥδιστον, [189] ἐπὴν παύσηται καθαιρόμενος. ἐπὴν δὲ ἀπολήξῃ τῆς πόσιος, ἀριστιζέσθω μὲν κέγχρον. ἑσπέρην δὲ σιτίῳ ὡς μαλθακωτάτῳ χρήσθω, καὶ ἐλαχίστῳ. ἀπεχέσθω δὲ πιόνων καὶ γλυκέων, καὶ ἐλαιηρῶν. καὶ διὰ τε καὶ ἄλλοτε, μάλιστα τοῦ χειμῶνος. ἀπεμεέτω ἀπὸ φακῶν λάχανα προφαγών. καὶ θερμῷ ὡς ἥκιστα λούσθω, [190] ἀλλὰ καὶ εἰληθερεέτω. ἡ δὲ νοῦσος συναποθνήσκει. Φλέγμα λευκόν. Οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι. καὶ ἡ γαστὴρ παχείη φαίνεται. καὶ οἱ πόδες καὶ οἱ μηροὶ οἰδέουσι. καὶ αἱ κνῆμαι καὶ ἡ ὀσχή. καὶ ἀναπνεῖ ἀθρόον. καὶ τὸ πρόσωπον ἐρευθές, καὶ τὸ στόμα ξηρόν. καὶ δίψα ἴσχει. καὶ ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει. οὗτος τῆς αὐτῆς ἡμέρης, ποτὲ μὲν ῥᾴων γίνεται. ποτὲ δὲ, κάκιον ἴσχει. [191] τούτῳ ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτόματη ἀρχομένης τῆς νούσου, ἐλπὶς ἀπὸ ὑγιὴς γίνεται. ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαίρεται. καὶ θερμῷ μὴ λούειν. καὶ πρὸς τὸν αἰθέρα κομίζειν. καὶ τὴν ὀσχὴν ἀποτύπτειν, [192] ἐπὴν πίμπρηται. σιτίοισι δὲ χρήσθω. ἄρτῳ καθαρῷ ψυχρῷ. καὶ τεύτλῳ καὶ ἰχθύσι σκορπίοισιν ἑφθοῖσι. τῷ δὲ ζωμῷ, ὡς ἐλαχίστῳ, καὶ ψυχρὰ πάντα. [193] καὶ μὴ γλυκέα, μηδὲ λιπαρὰ, ἀλλὰ τετριμμένα καὶ ὀξέα καὶ δριμέα, πλὴν σκορόδου, ἢ κρομύου, ἢ πράσου. ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν. καὶ οἶνον ἐπιπίνειν οἰνώδεα. καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. ἢν δὲ ὑπὸ τοῦ φαρμάκου οἰδίσκηται, κλύζειν καὶ τῷ σιτίῳ πιέζειν, καὶ περιπάτοισι καὶ ἀλουσίῃ. φάρμακα δὲ, ὡς ἐλάχιστα διδόναι. ἄνω δὲ μηδὲ ἔμπροσθεν, ἢ τὰ οἰδήματα καθέλθοι ἐς τὸ κάτω. ἢν δὲ ἰσχνοῦ ἤδη ἐόντος πνῖγμα ἐν τοῖσι στήθεσιν ἐγγίνηται, ἐλλέβορον δὸς πιέειν. καὶ τὴν κεφαλὴν καθῆραι. καὶ ἔπειτα κάτω πῖσαι. ἡ δὲ νοῦσος μάλιστα [194] διαχρίνει ἐν οὐδενί. [195] Φροντὶς νοῦσος χαλεπή. Δοκέει ἐν τοῖσι σπλάγχνοισιν εἶναι οἷον ἄκανθα, καὶ κεντέειν. καὶ ἄση αὐτὸν λαμβάνει. καὶ τὸ φῶς φεύγει, καὶ τοὺς ἀνθρώπους. καὶ τὸ σκότος φιλέει. καὶ φόβος λαμβάνει. καὶ αἱ φρένες οἰδέουσιν ἐκτός. καὶ ἀλγέει ψαυόμενος. καὶ φοβεῖται. καὶ δείματα ὁρᾷ καὶ ὀνείρατα φοβερά. καὶ τοὺς τεθνηκότας ἐνίοτε. καὶ ἡ νοῦσος ἐνίοτε τοὺς πλείστους λαμβάνει τοῦ ἦρος. τοῦτον πιπίσκειν ἐλλέβορον. καὶ τὴν κεφαλὴν καθαίρειν. καὶ μετὰ τὴν κάθαρσιν τῆς κεφαλῆς, κάτω πῖσαι φάρμακον. ἔπειτα

μετὰ ταῦτα

μετὰ ταῦτα πίνειν γάλα ὄνου. σιτίοισι δὲ χρῆσθαι ὡς ἐλαχίστοισιν, ἢν μὴ ἀσθενὴς ᾖ. καὶ ψυχροῖσι καὶ διαχωρητικοῖσι. καὶ μὴ δριμέσι. μηδὲ ἁλμυροῖσι. μηδὲ λιπαροῖσι. μηδὲ γλυκέσι. μηδὲ θερμολουέσθω. μηδὲ οἶνον πινέτω ἀλλὰ μάλιστα μὲν, ὕδωρ· εἰ δὲ μὴ, οἶνον ὑδαρέα. μηδὲ γυμναζέσθω. μηδὲ περιπατείτω. ταῦτα ποιέων, ἀπαλλάσσεται τῆς νούσου, χρόνῳ. ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει.[196] Μέλαινα νοῦσος. Μέλαιναν ἐμέει οἷον τρύγα, ὁτὲ μὲν, αἱματώδεα. ὁτὲ δὲ οἷον οἶνον τὸν δεύτερον.[197] ὁτὲ δὲ οἷον πολύπου θολόν. ὁτὲ δὲ, δριμὺ οἷον ὄξος. ὁτὲ δὲ σίαλον καὶ λάπην. ὁτὲ δὲ, χολὴν χλωρήν. καὶ ὅταν μὲν τὸ μέλαν τὸ αἱματῶδες ἐμέῃ,[198] δοκέει οἷον φόνου ὄζειν. καὶ ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ τοῦ ἐμέσματος. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ τὸ ἔμεσμα τὴν γῆν αἴρει. καὶ ἐπὴν ἀπεμέσῃ, δοκέει ῥάων εἶναι ἐπ' ὀλίγον.[199] καὶ οὐκ ἀνέχεται. οὔτ' ἄσιτος ὢν, οὔτε πλέον βεβρωκώς. ἀλλ' ὁκόταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει. καὶ τὰ σίαλα ὀξέα. ὅταν δέ τι φάγῃ, βάρος ἐπὶ τοῖσι σπλάγχνοισι. καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον, δοκέει οἷον γραφείοισι κεντῆσθαι. καὶ τὰ πλευρὰ ἔχει ὀδύνη, καὶ πυρετὸς βληχρός. καὶ τὴν κεφαλὴν ἀλγέει. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ. καὶ τὰ σκέλεα βαρέα, καὶ ἡ χροιὴ μέλαινα. καὶ μινύθει. τοῦτον φαρμακοποτέειν θαμὰ, καὶ ὀρρὸν καὶ γάλα τὴν ὥρην. καὶ σιτίων ἀπέχειν γλυκέων, καὶ ἐλαιηρῶν, καὶ πιόνων. καὶ χρῆσθαι ὡς ψυχροτάτοισι καὶ ὑποχωρητικωτάτοισι. καὶ τὴν κεφαλὴν καθαίρειν. καὶ μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω, ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι, ἢν μὴ ἀσθενὴς ᾖ. ἢν δὲ ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλθακῷ κλύσματι. καὶ θωρηξίων ἀπέχεσθαι, καὶ λαγνείης. ἢν δὲ λαγνεύῃ νῆστις, πυριᾶσθαι. καὶ τοῦ ἡλίου ἀπέχεσθαι. μηδὲ γυμνάζεσθαι πολλά. μηδὲ περιπατέειν. μηδὲ θερμολουτέειν. μηδὲ δριμέα ἐσθίειν, μηδὲ ἁλυκά. ταῦτα ποιέειν, καὶ ἅμα τῇ ἡλικίῃ ἀποφεύγει καὶ ἡ νοῦσος, εἰ καὶ καταγηράσκει σὺν τῷ σώματι. ἢν δὲ μελανθῇ, συναποθνήσκει. Ἄλλη μέλαινα νοῦσος.[200] Ὑπόπυρρος καὶ ἰσχνὸς, καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται. καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει. ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει. καὶ ἐμέει πᾶσαν ὥρην, οἷον σταλαγμὸν ὀλίγον, κατὰ δύο βερβέθους. καὶ τὸ σιτίον θαμινά. καὶ σὺν τῷ σιτίῳ, χολὴν καὶ φλέγμα. καὶ μετὰ τὸν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι. καὶ φρῖκαι λεπταὶ καὶ πυρετὸς ἴσχει. καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδη μάλιστα ἐμέει. τοῦτον καθαίρειν χρὴ φαρμάκοισι καὶ κάτω καὶ ἄνω. καὶ μεταπιπίσκειν γάλα ὄνου. καὶ σιτίοισι χρῆσθαι, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ ἰχθύσιν ἀκταίοισι, καὶ σελάχεσι καὶ τεύτλοισι καὶ κολοκύντῃσι. καὶ κρέασι τετριμμένοισιν. οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα, ὑδαρέστερον. ταλαιπωρείῃ δὲ ἐν περιπάτοισι χρῆσθαι. καὶ μὴ θερμολουτέειν. καὶ τοῦ ἡλίου ἀπέχεσθαι. ταῦτα ποιέειν,[201] ἡ δὲ νοῦσος, θανατώδης μὲν οὔ. ξυγκαταγηράσκει δέ. Σφακελώδης. Τὰ ἄλλα μὲν τὰ αὐτὰ πάσχει. ἐμέει δὲ, θρόμβους πεπηγότας χολῆς. καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. δρᾷν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης ἐλέχθη, καὶ ὑποκλύζειν.

postea lac asininum. Cibis quàm paucissimis, nisi infirmis fuerit viribus, vtatur, & frigidis ac aluum subducentibus, non acribus, non salsis, non pinguibus, neq; dulcibus. Calida non lauet, neq; vinum bibat, sed aquam quidem maximè, aliôqui, vinum dilutum, neque se exerceat, neq; deambulet. Quæ cùm feceris, temporis successu morbo liberabitur. At nisi diligentem curam adhibueris, ad mortem vsq; comitatur. Morbus niger. Bilem atram tanquam fecem vomit, interdũ quidẽ velut sanguinem, interdum verò velut vinum secundariũ, quandoq; etiam velut polypi atramentum, quandoq; acidum tanquã acetum, nonnunquã verò saliuam & pituitã tenuem, nõnunquã bilem ex viridi pallidam. Et cùm nigrum quidẽ cruentũ vomuerit, cædem olere videtur, fauces & os ex vomitu incenduntur, dentes obstupescunt, & quod vomitione reiectum est terram attollit, cumq; vomuerit paulò meliùs habere videtur, neq; sine cibo esse, neq; copiosiorem cibum ingestum ferre potest. Verùm cùm ieiunus fuerit, viscera strepitum edunt, & saliua acescit. Vbi verò cibum sumpsit, põdus in visceribus percipitur, pectus & dorsum tanquam stilis pungi videntur, latera dolor detinet, febris leuis est, caput dolet, oculis non videt, crura grauantur, color nigricat, & imminuitur. Huic medicamentum purgans crebrò propinato, & serum & lac, si anni tempus ferat, & cibis abstineat dulcibus, oleosis & pinguibus, vtaturq; quàm maximè frigidis, & aluum subducentibus, caput purgato, & post potiones medicamentorũ per superiora purgantium, nisi debilis fuerit, sanguinem ex brachiis detrahito. Quòd si aluus non deiiciat, molli infuso subluito. Crapula & venere abstineat, sed si venere vtatur, ieiunus foueatur, & sole abstineat, neq; multùm exerceatur, neq; deambulet, calida non lauet, acria non edat, neq; salsa. Quæ cùm feceris, cum ætate etiam morbus fugit, etiamsi corpus ad senectutem comitetur. Si verò denigretur, ad mortem vsq; comitatur. Alius niger morbus. Subfuluo colore, gracilis, & oculis ex virore pallescentibus euadit, tenui est cute, & debilis existit, quoq; diutiùs hic morbus detinet, eò magis affligit, & quouis tempore velut stillam modicam vomit, ad duo parua pocula, cibumq; frequenter, & cum cibo bilem ac pituitam. Post vomitum totum corpus dolet, interdumq; etiã priùs quàm vomat, horrores leues & febris detinet, sumptisq; dulcibus & oleosis præcipuè vomit. Hunc medicamentis per inferiora & superiora purgato, posteaq; lac asininum bibendum exhibeto. Cibis vtatur quàm mollissimis & frigidis, piscibusq; littoralibus & cartilagineis, betis, cucurbitis, & carnibus contritis. Vinum album, generosum, paulo dilutius bibat. Vehemẽtiore autem exercitatione in deambulationibus vtatur, neq; calida lauet, ac sole abstineat. Quibus factis lethalis quidem morbus est, non tamen ad senium vsq; comitatur. Morbus syderationem faciens, in reliquis quidem eadem patitur, verùm bilis grumos concretos vomit, eodemq; modo per inferiora deiicit, vbi ciborum recrementa excreuerit. Eadem autem quæ in superiore morbo commemorata sunt, facienda, & aluus per infusum subluenda.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

HIPPOCRATIS DE MORBIS LIBER TERTIVS.

AC de febribus quidem omnibus, cùm à me dictum sit, de reliquis iam dicam. Cerebri tumor. Cùm cerebrum ex inflammatione intumuerit, dolor totum caput, potissimumque qua parte inflammatio contrahitur, detinet. In auribus autem contrahitur, aures sono implentur, auditio hebescit, venę intendũtur ac pulsant, febris & rigor interdum inuadit, neq; vnquam dolor dimittit, sed quandoq; quidem remittit, quandoq; etiam magis vrget, præ dolore vociferatur, sursumq; prosilit, cumq; surrexerit, confestim rursus ad lectum delabitur, seq; disiicit. Hic quidẽ lethaliter affligitur, quot verò diebus intereat, iudicari nõ 10 potest. Alij enim alio tempore pereunt, plærunq; aũt intra septẽ dies moriuntur, primum aũt & vigesimum vbi effugerint, conualescunt. Cùm verò dolor vehemens detinuerit, caput potissimùm quidem derasum refrigerare oportet, ex his quæ refrigerant aliquid in vesicam aut intestina infusum, velut solani succum, aut cretam figulinam, modò quidem admouere, modò etiam priùs quàm intepescat, auferre. Quin & sanguinem detrahere conuenit, & caput purgare, odoratis ad apij succos admixtis. Vino in totum abstineat, ptisanæ succum sorbeat, & inferiorem aluum soluat. Cerebri plenitudo dolorem inferens. Cùm verò caput ex cerebri plenitudine vehementer doluerit, vitiosorum humorum illuuiem indicat, totum caput vehementes dolores occupant, delirat, & intra septimum diem moritur, neq; euadit, nisi humor ad aures septimo die erumpat. Sic enim tũ dolor sedatur, tum ad mẽtem redit. Copiosus autem & sine odore effluit. Huius aures ne priùs quidẽ quàm pus erupisse videris curato. Quòd si superiorem & inferiorem ventrem purgare voles, seorsum vtrunq; soluito. Deinde capiti præsertim vniuerso, sed & per aures & nares fomentum admoueto. Ptisanę succum sorbeat, & vino in totum abstineat. Vbi pus eruperit, quoad fluxionis copia quieuerit, subsistito. Postea vino dulci, aut lacte 30 muliebri, aut oleo veteri, iisq; tepidis, aures colluito. Caput crebrò mollibus fomentis & odoratis, quò cerebrum citiùs purgetur, foueto. Hic primis quidem diebus non audit, procedente verò tempore tum fluxio minuitur, tum simul ac fluxio prorsus quiescit, auditio redit, & sibiipse maximè similis redditur. Vitare autem oportet solem, vẽtos, ignem, fumũ, acres odores, aliaq; id genus, & quietę ac molli vict' ratione vti. Venter inferior ex vasorũ inanitione lubricus esse debet. Sydere icti. Qui sydere icti esse dicuntur cũ multa vitiosorum humorũ illuuie cerebrũ oppletum fuerit, inprimis capitis pars anterior ipsis dolorem exhibet, 40

ΠΕΡΙ μὲν οὖν πυρετῶν ἁπάντων, εἴρηταί μοι. ἀμφὶ δὲ τῶν λοιπῶν, ἐρέω ἤδη. Οἴδημα ἐγκεφάλου. Ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλήν. μάλιστα δὲ, ὅπη ἂν ᾖ ἡ φλεγμασίη. ἵσταται δὲ ἐν τοῖς κροτάφοις. καὶ τά τε οὔατα ἠχῆς πλήρεα γίνεται. καὶ ἀμβλὺ ἡ ἀκοή. καὶ φλέβες τέτανται, καὶ σφύζουσι. πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει. ἥ τε ὀδύνη ἐκλείπει οὐδέποτε. ἀλλὰ ποτὲ μὲν, ἀνίεσι. ποτὲ δὲ, μᾶλλον πιέζει. βοᾷ τε. καὶ ἀΐσσει ὑπὸ τῆς ὀδύνης. καὶ ὁκόταν ἀναστῇ, αὖθις ἀπειλεῖ ἐπὶ τὴν κλίνην καταπεσεῖν. καὶ ῥιπτάζει ἑωυτόν. οὗτος ἐστὶ μὲν θανατώδης. ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν. ἄλλοι γὰρ ἄλλως ἀπόλλυνται. ὡς μέντοι ἐπιτοπολὺ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν. εἴκοσι δὲ καὶ μίαν διαφυγόντες, ὑγιέες γίνονται. χρὴ δὲ ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλήν. μάλιστα μὲν ξυρήσαντα, ἢ ἐς κύστιν, ἢ ἐς ἔντερα ἐγχέαντα τῶν ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου, καὶ γῆν κεραμῖτιν. τὸ μὲν παρεστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν ἢ χλιαρὸν γένηται. καὶ τοῦ αἵματος ἀφαιρέειν. καὶ τὴν 20 κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα. ἀοινέειν δὲ τὸ πάμπαν. ῥοφεῖν δὲ πτισάνης χυλὸν, καὶ τὴν κάτω κοιλίην λύειν. Πλήρωμα ὀδυνῶδες ἐγκεφάλου. Ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει. καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι ἴσχουσι. καὶ παραφρονέει. καὶ ἀποθνήσκει ἑβδομαῖος. καὶ οὐκ ἂν ἐκφύγῃ, ἢν μὴ ῥαγῇ τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα. οὕτω τε ἡ ὀδύνη παύεται καὶ ἔμφρων γίνεται. ῥεῖ δὲ πολλὸν καὶ δύσοσμον. τούτου μάλλον μὲν μὴ θεραπεύειν τὰ οὔατα πρὶν ἂν ἐρράγῃ τὸ πῦον. ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ τὴν κάτω κοιλίην, λύσον χωρὶς ἑκατέρην. ἔπειτα πυρίαις μὲν τὴν κεφαλὴν ὡς μάλιστα, ὅλην τε καὶ διὰ τῶν οὐάτων, καὶ τῶν ῥινῶν. ῥοφεῖν δὲ πτισάνης χυλόν. καὶ ἀοινέειν παντάπασιν. ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπισχεῖν, ἐς ὃ ἂν ἡ πολλὴ ῥύσιος παύσηται. ἔπειτα κλύζειν τὰ οὔατα, οἴνῳ γλυκεῖ, ἢ γάλακτι γυναικείῳ, ἢ ἐλαίῳ παλαιῷ. χλιαροῖσι δὲ κλύζειν. καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ ἐν μαλθακοῖσι πυριάμασι καὶ εὐόδμοισιν, ὡς θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. οὗτος τὰς μὲν πρώτας οὐκ ἀΐει. προϊόντος δὲ τοῦ χρόνου, ἥ τε ῥύσις 40 ἧσσον ἐστί. καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ γίνεται. καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. φυλάττεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς, καὶ τὰ ἄλλα τοιαῦτα. καὶ ἡσυχάζειν, διαίτῃ μαλθακῇ χρώμενον. καὶ ὑπὸ κενεαγγέων εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω. Βλητοί. Οἱ δὲ βλητοὶ λεγόμενοι εἰσὶν, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ ἔμπροσθεν τῆς κεφαλῆς πρῶτα

καὶ αὐτέ

καὶ ἀναβλέπειν οὐ δύναται. οἱ μὲν, ἀμφοῖν τοῖν ὀφθαλ-
μοῖν. οἱ δὲ, θατέρῳ. καὶ κῶμα μιν ἔχει. καὶ ἐκφρονέες εἰσί.
καὶ οἱ κρόταφοι πηδῶσι. καὶ πυρετὸς λεπτὸς ἔχει, καὶ τοῦ σώ-
ματος ἀκρασίη. οὗτος ἀποθνήσκει τεταρταῖος ἢ πεμπταῖος. ἐς
δὲ τὰς ἑπτὰ, οὐκ ἀφικνέεται. ἢν δ' ἄρα ἀφίκηται, ἐξαίτης
γίνεται. τοῦτον ἢν βούλῃ θεραπεύειν πυριᾶν τὴν κεφαλήν. καὶ
τάμνειν ἀνάπνευσιν ποιέειν. ἢν δὲ ὀδύνη ἔχῃ, καὶ πταρμοὺς
ἐμποιέειν χρή. καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώ-
δεσι. καὶ τὴν κάτω κοιλίην καθαίρειν. ἀοινέειν δὲ τὸ πάμπαν.
πτισάνης δὲ χυλῷ χρῆσθαι. Σφακελισμὸς ἐγκεφάλου. Ἢν 10
δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλήν. καὶ
διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν. καὶ αὐτὸν ἐπι-
λαμβάνει ἀνηκουστίη. καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφα-
λήν. καὶ οἰδεῖ ὅλος καὶ ἐξαίφνης ἄφωνος δείκνυται. καὶ ἐκ
τῶν ῥινῶν αἷμα ῥεῖ. καὶ πελιδνὸς γίνεται. τοῦτον ἢν μὲν ἡ νοῦ-
σος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει. ἢν
δὲ σφόδρα εἰλημμένος ἦ, θνήσκει τάχα. τούτῳ πταρμούς τε
ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω κα-
θαίρειν ἐν μέρει ἑκατέρην. καὶ τῶν εὐωδέων, κούφας δὲ
ὀδμὰς ἐχόντων, τῇσι ῥισὶν αἴρειν. καὶ ῥόφημα λεπτὸν πεσὸ 20
καὶ χλιαρόν. ἀοινέειν δὲ τὸ πάμπαν. Λήθαργοι. Οἱ δὲ λήθαρ-
γοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ, τῇ περιπλευμονίῃ. χαλε-
πωτέρη δὲ, καὶ οὐ πάμπαν ἀπαλλάσσεται ὑγρῆς περιπλευμο-
νίης. βραδυτέρη δὲ πουλὺ ἡ νοῦσος. πάσχει δὲ τάδε. βὴξ καὶ
κῶμα μιν ἔχει. καὶ τὸ σίαλον ὑγρὸν καὶ πολὺ ἀνάγει. καὶ ἀ-
δυνατέει σφόδρα. καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, κάτω ὑ-
ποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. τούτῳ ἐλπὶς μὲν πάνυ βρα-
χεῖα περιγενέσθαι. ὅμως δὲ, πτύειν τε ποιέειν ὡς πλεῖστον.
καὶ θερμαίνειν. καὶ ἀοινέειν. ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται. Καυ-
σώδης. Ἡ δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλή, καὶ 30
ἡ γλῶσσα πέφρικε. τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον
χρόνον, οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα. περιϊόντος δὲ τοῦ χρό-
νου, σκληρύνεται, καὶ τρηχύνεται καὶ παχύνεται, καὶ ἐπιμε-
λαίνεται. ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, τάσσους αἱ κρί-
σιες γίνονται. ἢν δὲ ὕστερον, χρονιώτεραι. τῆς δὲ ἀφέσιος, ταὐτὰ
πάντα ἡ γλῶσσα σημαίνει ἅπερ ἐν τῇ περιπλευμονίῃ. καὶ
τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα. ξαν-
θὰ δὲ, ἀπονώτερα. καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξη-
ρασίης, ξυγκεκαυμένον καὶ παχύ ἐστι. πολλάκις τε καὶ ἐς
τὴν περιπλευμονίην μεθίσταται. καὶ ἢν μεταστῇ, τάχα 40
ἀποθνήσκει. τοῦτον δὲ ὧδε χρὴ θεραπεύειν. λούειν θερμῷ
δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης, πλὴν τῆς κεφαλῆς. καὶ ἐν τῇ-
σι κρίσεσιν οὐ χρὴ λούειν. καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων,
ὑποκαθαίρειν καὶ ὑδροποτέειν. καὶ γὰρ ἔμετον ἄγει τὸ ὕ-
δωρ ὡς ἐπὶ τὸ πολύ. τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραί-
νειν, καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. ἢν δὲ μὴ ἐξ
ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐ-
ων ἐόντων, ἐᾶν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσιν, καὶ τὰ
τῆς γλώσσης σημήια ἠπιώτερα γένηται, καὶ μήτε φάρμακον
δοῦς, μήτε κλύσιν ἐς κάθαρσιν, πρὶν ἂν αἱ κρίσιες παρέλθωσιν. Ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης. Ὁκόταν ὁ πλεύμων
οἰδήσῃ ὑπὸ θερμασίης πλησθείς, βὴξ ἴσχει ἰσχυρή, καὶ σκληρή. καὶ ὀρθοπνοίη. καὶ ἀναπνεῖ ἀθρόον. καὶ ἀσθμαίνει πυκνόν. καὶ οἰδέει,

& aliqui quidem ambobus oculis, aliqui verò altero, intueri nequeunt, sopor ipsos detinet, mente alienantur, tempora saliunt, febris leuis, & corporis ad motum impotentia occupat. Hic intra tertium aut quintum diem moritur, neq; ad septimum peruenit, sed si peruenerit, incolumis sanè euadit. Huic si curationē adhibere voles, capiti fomentum admoueto, & vt transpiret sectionem facito. Sed si dolor detinuerit, sternutationes mouere oportet, & caput leuibus ac odoratis, vētremq; inferiorem purgare, vino in totum abstinere, & ptisanæ succo vti. Cerebri syderatio. Quòd si cerebrum syderatum fuerit, caput dolor occupat, & per ceruicem ad spinam peruadit, ipse nihil audit, frigus in caput irruit, totus intumescit, ac de repente voce defectus videtur, ex naribus sanguis fluit, & liuidus euadit. Hunc si morbus leuiter corripuerit, cùm sanguis abierit, meliùs habet. Si verò vehementer correptus fuerit, citò moritur. Huic sternutationes per odorata mouendæ, & aluus vtraq; per vices purganda, aut altera, odoratorū leues odores naribus admouendi, sorbitioq; tenuis & tepida exhibenda, in totum verò vino abstinēdum. Lethargus. Lethargi quidem morbi cōstitutio eadem quæ & inflammationis pulmonis, peripneumoniȩ dictæ, grauior tamen, neq; omninò liberatur ab humida peripneumonia, sed lōgè tardior morbus est. In quo hæc ægro contingunt. Tussis & sopor eum detinet, sputum humidum & copiosum reiicit, infirmis admodum est viribus, & morti proximus copiosum & liquidum per inferiora demittit, & huic quidem admodum exigua vitæ spes est. Efficiendum tamen vt plurimùm spuat, & calefiat, vinoq; abstineat. Quòd si euaserit purulentus efficitur. Febris ardens. In febre ardente dicta, sitis multa detinet, lingua inhorrescit, eiusq; color primo quidē tempore qualis esse consueuit, valde tamen sicca est. procedente verò tempore induratur, exasperatur, crassescit & tandem nigrescit. Quȩ si quidem initio contingunt, celeres iudicationes fiunt, si verò posteriùs, diuturniores. Remissionis autem eadem in lingua signa sunt, quæ in pulmonis inflammatione, & vrinæ biliosæ quidem aut sanguineæ, dolorem intensum, flauæ verò remissionem indicant, sputumq; præ caliditate ac siccitate exustum est & crassum. Plærunque verò in pulmonis inflammationem transit, atque vbi transierit, celeriter perit. Huic curationem eiusmodi adhibere oportet. Singulis diebus bis aut ter, capite excepto, calida lauato. In iudicationibus autem lauandum non est. Ac primis quidem diebus per inferiora purgandum, & aqua potui exhibenda. Aqua enim vt plurimùm vomitum inducere solet. Postremis à purgatione diebus humectādum, sorbitionibus vinisq; dulcibus vtendum. At si per initia curandum non susceperis, sed signis iam in lingua existentibus, sinere oportet, dum iudicationes præterierint, linguæq; signa mitiora euaserint, & neq; medicamētum, neq; per clysterem infusum, priùs quàm iudicationes præterierint, exhibueris. Pulmonis tumor ex calore. Cùm pulmo caloris plenus intumuerit, vehemēs duraq; tussis detinet, spirit⁹ erecta ceruice trahitur, cōfertim respirat, crebra anhelatione vexatur, intumescit,

nares expandit non secus ac equus post cursum, & linguam crebrò exerit, pectus ei sonum edere videtur, & grauitas inesse, quam pectus capere nequit, sed disrumpitur, ad obeundas actiones est impotens, dolor acutus occupat, dorsum, pectus & latera velut acus pungunt, eaq; ardent non secus ac si ad ignem sedeat, in pectore & dorso rubores tanquam ex flamma excitantur, adeoq; vehemens morsus & anxietudo inuadit, vt neq; stare, neq; sedere, neq; decumbere queat, sed ad hunc modum æstuans seipsum iactat, & iam iam mori videtur. Quarto autem aut septimo die moritur, quos si effugerit, vix perit. Hunc si curãdum susceperis, aluum inferiorem quam citissimè per infusum probè purgare oportet, misso sanguine ex cubitis, nare, lingua & ex quauis corporis parte, & potiones refrigerantes sorbitionesq; eiusdem facultatis exhibere. Ex vrinam etiam mouentibus, quæ non calefaciant sæpe danda. Et ad dolores quidem ipsos vbi vehementer irruerint, tepefacientibus leuibus & humidis adhibitis, locum vbicunq; dolor fuerit calefacere & humectare oportet. Reliquis verò partibus admotis refrigerantibus, ea quidem modò auferre, modò verò apponere, & quacunq; parte ardere videbitur, frigus inducere, & in totum vino abstinere. Capitis dolor. Vbi ex dolore acuto qui ex capite initium duxit, vox de repente defecerit, idq; vel maximè ex ebrietate contigerit, sic affectus septimo die moritur. Minùs tamen quibus tale quiddam ex ebrietate contingit, & voce defecti permanent, moriuntur. Eodem enim die, aut postero, aut tertio, si vox eruperit, conualescunt. Quod ferè temulẽtis accidit, neutriq; pereunt. His vehementes sternutationes promoueto, & infuso quod vehementer bilem educat, illum subluito. Quòd si sensum recuperauit, Thapsiæ succum ex multa calida dilutũ, vti quàm citissimè reuomat, exhibeto. Deinde extenuato, & septẽ diebus vino prohibeto, sanguinem ex lingua, si venam apprehendere possis, detrahito. Phrenitides, seu perpetua mẽtis cum febre acuta deliria. Phrenitides etiam ex aliis morbis oriuntur. In his septum transuersum adeò dolet, vt ne contingere quidem sinant, febris accedit, mente alienantur, immotis oculis aspiciunt, aliaq; similia efficiunt his qui pulmonis inflammatione laborant, in eaq; mente mouentur. Hũc tepefacientibus humidis calefacere oportet, & potionibus, præterquàm vino, & quoad quidem fieri poterit, per superiora purgare. Per tussim etiam & sputum, velut in pulmonis inflammatione, sursum educere oportet. Aliôqui aluus inferior, vt deiiciat, præparanda, & potionibus humectãda, quod conducit. Hic autem morbus lethalis est, cùm tertio die, aut quinto, aut septimo moriantur. Si verò mitior fuerit, velut pulmonis inflammatio, decernit. Angina. Ex angina dicta homo suffocatur, & fauces magis occupare videtur, vt neq; saliuam, neque aliud quicquam deorsum trahat, oculi affecti sunt, ac velut eis qui strangulantur prominent, & per eos contentè intuetur, neque eos conuertere potest, crebrò se iactat & exilit, facies & fauces incenduntur, ac etiam collum. His verò qui vident nihil mali habere videtur, & visus & auditus hebescit, nihilque

καὶ τοὺς μυκτῆρας ἀναπεπταμένους ὥσπερ ἵππος ἐκ δρόμου. καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει. καὶ τὰ στήθεα αὐτῷ ἀείδειν δοκέει. καὶ βάρος ἐνεῖναι. διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυται καὶ ἀδυνατέει. ἥτε ὀδύνη ὀξεῖα ἴσχει. καὶ τόν τε νῶτον καὶ τὰ στήθεα καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι. καὶ καίεται ταῦτα, ὡς πρὸς πῦρ καθήμενος, καὶ ἐρυθήματα ἐκφύεται ἐς τὸ στῆθος καὶ τὸν νῶτον, ὡς φλογίδια. καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει καὶ ἀπορίη, ὥστε οὔτε ἑστάναι, οὔτε καθῆσθαι, οὔτε κατακέεσθαι οἷός τέ ἐστιν. ἀλλ' ὧδε ἀπορέων ῥιπτάζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι. ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος. ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. τοῦτον ἢν θεραπεύῃς, χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσμασι καλῶς. καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώττης καὶ πάντοθεν τοῦ σώματος, αἷμα ἀφιέναι. καὶ πόματα διδόναι ψυκτικὰ, καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα. καὶ τῶν οὐρητικῶν μὴ θερμαινόντων δὲ πολλάκις διδόναι. καὶ πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα, χλιαίνειν καὶ ὑγραίνειν τὸ πονέει ἂν ἡ ὀδύνη. πρὸς δὲ τὰ ἄλλα, ψυκτήρια προσίσχειν. τὰ μὲν, ἀφαιρέοντα. τὰ δὲ προστιθέντα, καὶ ὅκου ἂν καίηται, ψῦχος ποιέειν. ἀοινέειν δὲ τὸ πάμπαν. Κεφαλῆς ὀδύνη. Ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη ὀξέη, ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης ὅταν γένηται, ἑβδομαῖος ἀποθνήσκει. ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες θνήσκουσιν. ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται. ποιέουσι δὲ οἱ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, καὶ οὐδέτεροι ἀπόλλυνται. τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυρούς. καὶ ὑποκλύσαι, ὅ, τι ἂν χολὴν ἄξῃ σφόδρα. καὶ ἢν ἐπαίσθηται, ὀπὸν θαψίης διδόναι, ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ. ἔπειτα ἐπιλεπτύνειν καὶ ἀοινέειν ἑπτὰ ἡμέρας. ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώττης, αἷμα, ἢν δύνῃ λαβεῖν φλέβα. Φρενίτιδες. Φρενίτιδες δὲ γίνονται, καὶ ἐξ ἑτέρων νούσων. πάσχουσι δὲ τάδε, τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐᾶσαι ἂν ἅψασθαι. καὶ πῦρ ἔχει. καὶ ἔκφρονές εἰσι. καὶ ἀτενέες βλέπουσι. καὶ τἄλλα παραπλήσια ποιέουσι, τοῖσιν ἐν τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. τοῦτον χλιαίνειν δεῖ, χλιάσμασιν ὑγροῖσι, καὶ πόμασι πλὴν οἴνου. καὶ ἢν μὲν οἷός τε ἢ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτυέλῳ ἀνάγειν χρὴ, ὥσπερ ἐν περιπλευμονίῃ. εἰ δὲ μὴ, τὴν κάτω κοιλίην, παρασκευάζειν ὅκως ὑποχωρέει. ὑγραίνειν δὲ πόματι. ἀγαθὸν γὰρ. ἔστι δὲ οὗτος θανατώδης. ἀποθνήσκουσι γὰρ τριταῖοι, ἢ πεμπταῖοι, ἢ ἑβδομαῖοι. ἢν δὲ ἠπίως ληφθῇ, κρίνεται ὡς περιπλευμονίη. Κυνάγχη. Ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὁ ἄνθρωπος. καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἔχεσθαι. καὶ οὔτε τὸ σίαλον καταπιεῖν, οὔτε ἄλλο οὐδέν. καὶ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον, ὡς ἀπαγχομένοισι. καὶ βλέπει αὐτοῖσι ἀτενές. καὶ ἐπιστρέφειν οὐχ οἷός τε ἐστὶν αὐτούς. καὶ λύζει, καὶ ἀναΐσσει θαμινά. καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος. τοῖσι δὲ ὁρέουσιν, οὐδὲν κακὸν ἔχειν δοκέει. καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον. καὶ

ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν. οὔτε ἢν τι λέγῃ, οὔτε ἢν τι ἀκούῃ, ἢ ποιέῃ. ἀλλὰ κεχηνὼς κέεται σιαλοχέων, τοιάδε ποιέων. οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑβδομαῖος, ἢ ἐνναταῖος. Παρακυνάγχη. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημείων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον.[13] καὶ καλέουσιν αὐτὴν παρακυνάγχην.[14] τοῦτον φλεβοτομέειν χρή. μάλιστα δὲ ὑπὸ τὸν τιτθόν. συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος, θερμὸν πνεῦμα. χρὴ δὲ, καὶ τὰ κάτω καθαίρειν, φαρμάκῳ, ἢ κλύσματι.[15] καὶ τοὺς αὐλίσκους παραδοῦναι ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς ἕλκηται τὸ πνεῦμα ἐς τὸν πλεύμονα. καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν πλεύμονα. καὶ ὑποθυμιᾶν δὴ ὕσσωπον κιλίκιον. καὶ θεῖον, καὶ ἄσφαλτον. καὶ ἕλκειν διὰ τῶν αὐλίσκων, καὶ διὰ τῶν ῥινῶν, ὡς ἐξίῃ φλέγμα, καὶ τὴν φάρυγγα καὶ τὴν γλῶτταν ἀνατρίβειν, τοῖσι φλέγμα ἄγουσι. καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν. ἀφιέναι δὲ αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ. ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν. ἐπειδὰν δὲ ἀφῇ ἡ νοῦσος, καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ. Νοῦσος ἴκτερος. Ἴκτερος τοιόσδε ἐστὶν ὁ ὀξὺς, καὶ διὰ ταχέως ἀποκτείνων.[16] ἡ χροιὴ ὅλη, σιδηρώδης σφόδρα ἐστὶ, χλωροτέρη, οἷοι οἱ σαῦροι οἱ χλωροί.[17] παρόμοιος δὲ καὶ ὁ χρώς. καὶ τῷ οὔρῳ ὑφίσταται, οἷον ὀρόβιον πυῤῥόν. καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει. ἐνίοτε δὲ, καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται. καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ, τὰ σπλάγχνα ἀμύσσεται ὡς ἐπὶ τὸ πουλύ. καὶ ὁκόταν ἐγείρῃ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. οὗτος ὡς ἐπὶ τὸ πολὺ, ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερῶν. ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. χρὴ δὲ θερμολουτέειν. καὶ πίνειν μελίκρητον,[18] σὺν καρύων θασίων λεπισθέντων. καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ πίνειν. ὁλκῆς τριόβολον νῆστις. καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο. καὶ οἶνον παλαιὸν λεπτόν. καὶ ῥοφήματα. ἀσιτέειν δὲ, μή. Τέτανος. Οἱ τέτανοι ὅταν ἐπιλάβωσιν,[19] αἱ γένυες πεπήγασιν ὡς ξύλα. καὶ τὸ στόμα διοίγειν οὐ δύνανται. καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται. καὶ τὸ μετάφρενον πέπηγε. καὶ τὰ σκέλεα, οὐ δύνανται συνάγειν. ὁμοίως οὐδὲ τὼ χεῖρε. καὶ τὸ πρόσωπον ἐρεύθει. καὶ σφόδρα ὀδυνᾶται. καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ τὸ πόμα, καὶ τὸ ῥόφημα, καὶ τὸ φλέγμα. οὗτος τριταῖος ἢ πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται. ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται.[20] τούτῳ διδόναι καταπότια, πέπερι. καὶ ἐλλέβορον μέλανα. καὶ ζωμὸν ὀρνιθείων πίονα θερμόν.[21] καὶ πταρμοὺς ἰσχυροὺς καὶ πολλοὺς ἐμποιέειν, καὶ πυριᾶν. ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ, ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν. μάλιστα δὲ πρὸς τὰ ὀδυνώμενα. καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ, καὶ πολλάκις. Ὀπισθότονος. ὅταν δὲ ὀπισθότονος ἔχῃ. τὰ μὲν ἄλλα, ὡς ἐπὶ τὸ πολὺ τὰ αὐτά. σπᾶται δὲ εἰς τοὔπισθεν. καὶ βοᾷ ἐνίοτε. καὶ ὀδύναι ἴσχουσιν ἰσχυραί.[22] καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα, οὐδὲ τὰς χεῖρας ἐκτείνειν. ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται. καὶ τοὺς δακτύλους πὺξ ἔχει. καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπὶ τὸ πουλύ. καὶ βοᾷ. καὶ φλυαρέει ἐνίοτε. καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ. ὅταν δὲ ἀνῇ

præ suffocatione intelligit, neq; quid dicat, aut audiat aut faciat, sed iacet ore hiante saliuam effundens. Hęc cùm faciat, quinto aut septimo, aut nono die moritur. Leuior angina quæ παρακυνάγχη dicitur. Cũ verò ex his signis aliquid abfuerit, leuiorem morbũ indicat, eũq; παρακυνάγχην vocant. Huic vena, præsertim quidem sub mamma, secanda est. Hac enim spiritus de pulmone calidus simul sequitur. Quin & per medicamentũ aut infusum deorsum purgare oportet, fistulæq; in fauces ad maxillas intrudendæ, quò spiritus in pulmonẽ trahatur, efficiẽdumq; vt quàm citissimè spuat, pulmoq; extenuandus. Suffitus quoq; ex hyssopo Cilicio, sulphure & bitumine parandus, & per fistulas attrahendus, perq; nares, vti pituita exeat. Fauces & lingua his quæ pituitam ducant infricãda, venæq; sub lingua secandæ. Sanguis verò ex cubitis mittendus, si vires valeant, vino abstinendũ, & ptisanæ succus liquidus sorbendus. Postquam autem morbus dimiserit, cibosq; gustauerit, elaterio recẽti, ne in aliud malum incidat, purgãdum. Morbus Regius. Huiusmodi morbus regius acutus est, & citò necat, color totus malicorium maximè refert, ex viridi pallescẽs, & qualis lacerti virides, simileq; ferè corpus est, in vrina quod subsidet velut eruum fuluum est, & febris ac horror leuis detinet. Quandoq; etiã vestes ferre non sustinet, sed ab iis mordetur & pungitur. Ieiuno mane viscera plærunq; lacerantur, & si quis eũ excitet aut alloquatur, non patitur. Hic ferè intra dies quatuordecim moritur, quos si effugerit, conualescit. Calida lauare oportet, & aquã mulsam bibere, cũ nucibus thasiis decorticatis & absynthij coma, pari portione, & anisi cribrati dimidio, ita vt triobolum ex his ieiunus bibat, rursusq; cùm cubile petit, hanc aquam mulsam, vinumq; vetus tenue assumat, & sorbitionibus vtatur, neq; cibis abstineat. Corporis distentio τέτανος dicta. Cùm inuadunt corporis distentiones Tetani appellati, maxillæ velut lignũ configuntur, os aperire nequeunt, oculi illachrymantur ac peruertuntur, dorsum rigidum est, crura neque manus similiter adducere possunt, facies rubescit & vehementer dolet, cumq; morti est proximus, potionem, sorbitionem & pituitã per nares reiicit. Hic tertio, aut quinto, aut septimo, aut decimo quarto die perit, quos si effugerit, conualescit. Huic piper & veratrum nigrum ex iure gallinaceo pingui & calido deuoranda dato, sternutamentaq; vehementia & multa excitato, & fotus adhibeto. Vbi verò non fouebitur, tepefactoria humida & pinguia in vesicis & vtriculis vndiq;, præsertimq; ad dolentes partes admoueto, & calido oleo copioso, crebroq; inungito. Distentio in posteriora. Cùm distẽtio in posteriora, ὀπισθότονος Græcè dicta detinet, in reliquo ferè eadem sunt, verùm in posteriora conuellitur, interdumque vociferatur, vehementes dolores occupant, neque interdum crura adducere, neq; manus extendere sinit. Inflexi enim sunt cubiti, digitos in pugnum contractos habet, & pollicem vt plurimùm aliis digitis continet, vociferatur & quandoque delirat, neq; se continere potest, sed cùm dolor detinet, interdum sursum prosilit, vbi verò do-

lor remiserit, quietem agit. Interdū verò simul vt morbo corripiuntur, vox eos deficit, aut insania & atra bile tentantur. Hi voce soluta, tertio die moriuntur, & per nares reiiciunt. Quòd si contigerit vt decimum quartum effugiant, conualescunt. Vt superiorem curato, & si voles ita facito. Post affusam frigidā plurimam, vestimenta tenuia, pura, & calida superiniicito, tuncque ignem ne adhibeto. Hoc modo tetani & opisthotoni curandi. Voluuli. Oriuntur quidem voluuli ex incalescente ventre superiore, inferiore verò refrigerato. Resiccatur enim intestinum & constipatur ex inflammatione ita vt neq; flatum neq; alimenta transmittat, sed venter durus sit, & vomat interdū, inprimis quidē pituitosa, deinde verò biliosa, tandem etiam stercus, sitis & dolor maximeq; circa præcordia detinet, totus etiam venter dolet & inflatur, sese iactat, febres inuadunt, præcipueq; septimo die contingunt. His ea curatio instituenda est. Venter superior quàm citissimè purgandus, sanguis ex capite & cubitis detrahendus, vt aluus superior calescere desinat, partes supra septū transuersum, excepto corde, refrigerandæ. Inferiores autem partes homine in aquæ calidæ solio collocato, & oleo semper illito, calefaciendæ, & calefacientia humida admouenda. Collyrium ex solo melle decem digitorum longitudinis, summa eius parte anteriore felle taurino illitum bis aut ter subiiciēdum, vt exusta omnia circa rectū intestinū stercora educas. Quòd si sic successerit, postea infusum per clysterē iniiciendū. Sin minus, folle fabrili indito, in vētrem flatus immittendus, vt tum ventrem, tum intestinum contractum distendas. Deinde extracto folle, infusum per clysterē iniiciendum. Sit autem statim paratū infusum, ex his quæ non admodū calefaciant, sed stercora dissoluant & colliquefaciant. Deinde intrusa in anum spongia, in aqua calida desideat, infusum per clysterem continens. Quod si receperit, rursusq; demiserit, conualescit. Prius autem mel optimū delingat, vinumq; hornum vernaculum bibat. At si remisso voluulo, febris eum prehendat, desperatus est. Fortassis enim etiam soluta aluus inferior interficiet. Pulmonis inflammatio. In pulmonis inflammatione hæc fiunt, febris acuta detinet, respiratio crebra est & calida, anxietudo, impotentia, corporis iactatio, dolor sub scapulis, ad iugulum & mammam, & in pectore grauitas, interdum etiam delirium. Nonnullis verò donec tussire cœperint, sine dolore est, sed illa diuturnior est & grauior. Primis diebus sputum tenue & spumosum expuit, lingua flauescit, procedente verò tempore nigrescit. Si igitur circa initia nigrescat, celeriores sunt liberationes, si verò postea, tardiores. Ad extremum autem lingua dehiscit, & si digitum admoueas, adhærescit. Morbi verò liberationem, non secus ac in morbo laterali lingua indicat. Hæc autem contingunt, diebus, vt minimum, quatuordecim, ad summum verò, vno & viginti. Quo tempore vehementer tussit, simulque cum tussi, primùm quidem copiosum & spumosum sputum expuit, septimo verò & octauo die, cùm febris in vigore fuerit, humidaque pulmonis in-

ἡ ὀδύνη, ἡσυχίην ἔχει. ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι, ἢ μανικοί τε καὶ μελαγχολικοί. οὗτοι τεταρταῖοι θνήσκουσι, τῆς φωνῆς λυθείσης. καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν. εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. θεραπεύειν δὲ ὡς τὸν ἄνω. ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν. ὕδωρ ὡς πλεῖστον ψυχρὸν καταχέας, ἔπειτα ἱμάτια λεπτά, καὶ καθαρά, καὶ θερμὰ ἐπιβάλλειν. πῦρ δὲ τότε μὴ προσφέρειν. οὕτως χρὴ ποιέειν καὶ τοὺς τετανους, καὶ τοὺς ὀπισθοτόνους. Εἰλεοί. Εἰλεοὶ δὲ γίνονται, τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω ψυχομένης. ξυναυαίνεται γὰρ τὸ ἔντερον, καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα, μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι. καὶ ἐμέειν ἐνίοτε. πρῶτον μὲν, φλεγματώδεα. ἔπειτα δὲ, χολώδεα. τελευτῶν δὲ, κόπρον. καὶ δίψαν ἔχει, καὶ ὀδύνην μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια. ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, καὶ πεφύσηται. καὶ λύζει, καὶ πυρετοὶ ἐπιλαμβάνουσι. γίνονται δὲ μάλιστα ἑβδομαῖοι. τούτους ὧδε χρὴ θεραπεύειν. καθῆραι τὴν ἄνω κοιλίην ὡς τάχιστα. καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη θερμαινομένη. καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν, πλὴν τῆς καρδίης. τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων αἰεί. καὶ χλιάσματα ὑγρὰ προστιθέναι. καὶ βάλανον μέλιτος μοῦνον ποιέων, ὡς δεκαδάκτυλον ἐξ ἄκρου χολῇ ταυρείῃ τὸ πρόσθεν ἐπιπλάσσων προσθεῖν καὶ δὶς καὶ τρίς, ὡς πάντα τὰ ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. ἢν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τούτοισιν. ἢν δὲ μή, φῦσαν χαλκευτικὴν ἐσιέναι καὶ φυσᾶν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην, καὶ τὴν τοῦ ἐντέρου σύστασιν. εἶτα πάλιν ἐξελὼν τὴν φῦσαν, κλύσαι. εὐθὺς δὲ ἕτοιμον ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν, ἀλλὰ τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων. εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ, κατέχων τὸ κλύσμα. καὶ ἢν δέξηται τὸ κλύσμα, καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. ἐν δὲ τῷ πρόσθεν χρόνῳ, μέλι τε ὡς κάλλιστον λειχέτω. καὶ οἶνον αὐγίτην πινέτω ἔξωθεν. ἢν δὲ τοῦ εἰλεοῦ ἀφέντος, πυρετὸς αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος. ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα, ἀποκτείνειεν ἄν. Περιπλευμονίη. Ἡ δὲ περιπλευμονίη, τοιάδε ποιέει. πυρετός τε ὀξὺς ἔχει. καὶ τὸ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει. καὶ ἀπορίη, καὶ ἀδυναμίη καὶ ῥιπτασμός. καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην, καὶ εἰς τὴν κληῖδα, καὶ εἰς τὸ τιτθόν. καὶ βάρος ἐν τοῖσι στήθεσιν. ἐνίοτε δὲ καὶ παραφροσύνη. ἔστι δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν βήξωνται. πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. τὸ δὲ σίαλον, λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. ἡ δὲ γλῶσσα, ξανθή. προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνηται, θάσσονες αἱ ἀπαλλαγαί. ἢν δὲ ὕστερον, βραδύτεραι. τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα. καὶ ἢν προσθῇς τὸν δάκτυλον ἔχεται. τὴν δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα, τοὐλάχιστον· τὸ πλεῖστον δὲ, εἴκοσι καὶ μίαν. καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα. καὶ καθαίρεται ἅμα τῇ βηχί. τὸ μὲν πρῶτον, πολὺ καὶ ἀφρῶδες σίαλον. ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐν ἀκμῇ ᾖ, ἢν ὑγρὴ εἴη ἡ περιπλευμο-

πλευμονίῃ,[32] ἢν παχύτερον· ἢν δὲ μὴ, οὔ. ἐνάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον. δωδεκάτῃ δὲ [33] μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. ὧν καὶ ὑγραί εἰσιν αἵ τε φύσιες καὶ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή. ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι. ἢν μὲν οὖν τῇ τεταρτῃ καὶ δεκάτῃ ξηρανθῇ, καὶ μηκέτι ἀποβήσσῃ πυῶδες, ὑγιής ἐστιν. ἢν δὲ μὴ, προσέχειν ἐς τὰς εἴκοσι, δυοῖν δεουσῶν, καὶ τὰς εἴκοσι καὶ μίαν, τὸν νόον. καὶ ἢν μὲν ἐν ταύταις παύσηται, ἐκφεύγει τοῦ πτύσματος. ἢν δὲ μὴ, ἐρώτα αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον. καὶ ἢν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐστι. καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι ἀποβλύδων, ἀναγάγῃ τὸ πύον. ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου. ἀλλ' ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μάλιστα διάδηλοι. ἢν γὰρ ἐκπτύσῃ τὸ σαπρὸν καὶ τὸ πυῶδες ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι, καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· ἢν δὲ μὴ, οὔ. αὕτη ἡ περιπλευμονίη οὐδὲν ἀπολείπει τῶν ἐν τῷ πλεύμονι ἐόντων κακῶν. [34] ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν εἰδέναι χρὴ ὅσα τε τῷ κάμνοντι ἔχειν, καὶ τῷ ἰητρῷ μεταχειρίζεσθαι. ἢν δὲ ὀλίγα ἔχῃ τούτων τῶν σημείων, μὴ ἐξαπατάτω. ἐπεὶ οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακή. θεραπεύειν δὲ χρὴ τὴν περιπλευμονίην, οὕτως. οὐ μέντοι ἐξαμαρτήσει καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος. Ἀρχοῦ δὲ πρῶτον κουφίζειν τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιρρέῃ πρὸς τὸ στῆθος. τὰς δὲ πρώτας ἡμέρας, τὰ ῥοφήματα ἔστω γλυκύτερα. οὕτω γὰρ ἂν μάλιστα τὸ ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς, ἀποπλύνοις καὶ κινέοις. τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι, μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρά. ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι ξυμφέρει. ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων φαρμάκων διδόναι. τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε, ὑποχωρέειν χρὴ, καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι, καὶ τὰ ἀλγήματα κουφότερα. ὁκόταν δὲ κεκενωμένος ᾖ καὶ ἀσθενὴς τὸ σῶμα, τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό, τε σῶμα δυνατὸν ᾖ, καὶ τὰ ἄνω χωρία ἄικμα. ἢν γὰρ κάτω ὑγρὸν πολλὸν ὑποχωρέῃ, ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει. κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, τὰ ἄνω ξηραίνεται. καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. δεῖ οὖν καὶ τὴν κάτω κοιλίην, μήτε ἑστάναι λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοί. μήτε λίην ὑποχωρέειν, ἵνα τὸ σίαλον ἀνιέναι δύνηται, καὶ ἰσχύῃ ὁ κάμνων. Φάρμακα δὲ τῆς ἀναγωγῆς, ἑκταίοισι καὶ ἑβδομαίοισι καὶ ἐνναταίοισι καὶ ἔτι προαιτέρω ἐοῦσι τῆς νούσου, μᾶλλον δίδου. τὸ δὲ φάρμακον ἔστω, ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάστου. ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ, καὶ τὸ πνεῦμα πυκνὸν ᾖ, καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προλέγειν ὅτι ἀνέλπιστός ἐστι τοῦ ζῆν, [35] ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. ποιέειν δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ, ἤν σοι τὰ τῆς κοιλίης τῆς κάτω, καλῶς ὑπουργέῃ. ποιέειν δὲ καὶ ἄλλως ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος, δίδου ἄρου τοῦ μεγάλου κόγχην χηραμίδα, δαύκου καὶ ἀκαλήφης μίην. καὶ νάπυος, καὶ πηγάνου, ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν. καὶ ὀποῦ σιλφίου, ὅσον κύαμον.

flammatio extiterit, crassius procedit, alioqui minimè. Nono & decimo aliquantum cum virore pallescens & subcruentũ. Duodecimo ad decimumquartum vsque, copiosum & purulentum. Atq; hæc fiunt quibus naturæ & corporis affectiones humidæ sunt, quinetiam morbus vehementior est. At quibus natura & morbi conditio sicca est, hi minus conflictantur. Si quidem igitur ad decimumquartum diem resiccatus fuerit, neq; purulentum ampliùs tussi reiecerit, sanus est. Sin minùs, decimum octauum & primum ac vigesimũ diem animaduerte. Et si quidem tunc quieuerit, huiusmodi sputũ euadit. Sin minùs, an dulcius sputũ fuerit interroga. Quòd si affirmauerit, pulmonem purulentum esse scito, morbumq; annuum fore, nisi intra quadraginta dies pus sursum eduxerit. At si ingratum sputum esse dixerit, hic morbi status lethalis est. Verùm primis potissimum diebus istud in his est cõspicuum. Nam si putridum & purulentum sputũ duobus & viginti diebus reiecerit, neq; exulceratus fuerit, euadit; alioqui verò, minimè. Hæc pulmonis inflammatio nihil relinquit in pulmone vitij. Si igitur de his affectibus aliquid abfuerit, nosse oportet quænam ægro sint necessaria, & quęnam Medico aggredienda sint. Quòd si pauca ex his signis habeat, nõ est quòd decipiatur, cùm hæc pulmonis inflammatio leuis sit & minimè exitialis. Atq; hunc in modum pulmonis inflammationem curare oportet. Neq; tamen peccaueris, si morbum lateralem & phrenitidem hoc modo curare aggrediaris. Primùm quidem caput leuius reddito, ne quid ad pectus defluat. Primis autem diebus sorbitiones dulciores esse debent. Sic enim maximè quod in se consedit & coiit dilueris & agitaueris. Quarto, quinto & sexto die, ne ampliùs dulces sint, sed pingues, cùm ad sputum per superiora excreandum conferant. Quòd si iuxta rationem spuere nequeat, medicamenta quæ sursum educunt exhibẽda. Primis quidem quatuor aut quinq; diebus, paulò magis aluum subducere oportet, quò febres retũdantur, & dolores leniantur. Cùm verò vacuatus corpusque debile fuerit, tertio quoq; die aluus subagitanda, tum vt corpus robustũ euadat, tum superiora loca humoris sint expertia. Nam si multus humor per inferiora secedat, post quintũ diem mortem adfert. Secedente enim per inferiora humore, superiora siccescũt, neq; sputum per superiora repurgatur. Inferiorem igitur aluum neque nimis sisti oportet, vt ne febres increscant, neque nimis demitti, quò sputum sursum emitti possit, & æger viribus valeat. Vbi autem sextum & septimum ac nonum diem attigerint, iamq; vlteriùs progresso morbo, medicamenta quæ sursum educant potiùs exhibeto. Taleque sit medicamentum, veratrum album, thapsia, elaterium recens, cuiusque par portio. Quòd si sputum probè non repurgetur, & spiratio crebra fuerit, neq; purgatio superet, desperatam esse salutẽ prædicito, nisi ad purgationẽ sufficere possit. Facienda verò etiã quæ in pulmonis inflãmatione fieri debent, si aluus inferior probè officium suum præstet. Aliter autem primis diebus curatio facienda: Dracunculi magni concham maiorẽ exhibeto, dauci & vrticæ vnam, sinapis & rutæ quantum tribus digitis capere possis, & laseris succum fabæ quantitatem.

Quæ aceto dulci & aqua temperata & excolata, ieiuno tepida potui præbeto. Poſtquam autem purũ eſſe ſputum cœperit, dracunculi concham maiorẽ, amygdalas purgatas, ex aceto dulci aqua diluto propinato. Quòd ſi magis educere voles, radicis capparis corticem his admiſceto. Morbus lateralis. Cùm morbus lateralis corripit, hæc contingũt, dolor latus occupat, febris & horror detinet, crebra eſt ſpiratio, ſpiritus nõ niſi erecta ceruice trahitur, ſubbilioſa colore mali punici putamen referentia per tuſſim reiicit, niſi quid intus ruptum fuerit. Quòd ſi ſic, etiam ſanguinẽ poſt ruptiones. Eſt autem cruẽtus morbus lateralis, in quo ſubcruenta expuit. Et bilioſus quidem mitior eſt, niſi ægro ruptũ quid intus fuerit, aliôqui grauior quidem, ſed non adeò lethalis. Cruentus autem vehemens, & grauis, & lethalis. Cùm igitur vrget, vnà ſingultus adeſt, ſimulq; cum ſputo ſanguinis, grumos nigros tuſſi reiicit. Hic ſeptimo die moritur, & ſi decimum diem ſuperauerit, à morbo quidem laterali conualeſcit, ſed vigeſimo ſuppuratur, & pus per tuſſim reiicit, tandem verò euomit, neq; adeò facilè curatur. Morbi laterales ſicci. Sunt autem ſicci morbi laterales ſine ſputo, verùm hi moleſti ſunt. Iudicationes aliis ſimiles ſunt, copioſiore in potu humectatione quàm alij opus habẽt. Bilioſi autem & ſanguinei, nono & vndecimo die decernũt, iiq; magis ſaneſcunt. Quòd ſi per initia quidem leues dolores detinuerint, poſt quintum verò & ſextum diem acuti, ij ad duodecimũ vſq; protrahuntur, & nunquam ferè euadunt. Periclitantur autẽ maximè ad ſeptimum, ſed etiam ad duodecimum, poſt quos conualeſcunt. Qui ab initio quidem leues ſunt, poſt ſeptimum autem & octauũ ingraueſcunt, ad decimumquartum decernunt & ſaneſcunt. Morbus lateralis in dorſo. Lateralis in dorſo morbus, hoc aliis prẹſtat, dorſum velut ex plaga dolor occupat, ingemiſcit, confertim reſpirat, cõfeſtim pauca expuit, & corpus laſſitudine vexatur. Tertio aut quarto die vrinam velut ſubcruentam ſaniem reddit, fereque quinto die moritur, ſin minùs, ſeptimo, quos ſi effugerit, viuit. Hic morbus mitis eſt, minusq; lethalis, obſeruandus tamen ad decimum quartũ, poſt quem ſaneſcit. Quibuſdam autem morbo laterali laborantibus, purum ſputum expuitur, vrina cruenta redditur, qualis ſanies ex carnibus aſſatis deflueſ, dolores verò acuti per ſpinam ad pectus & inguina perueniũt. Hic ſi ſeptimum diẽ effugerit, ſanus redditur. Cùm verò alicui morbo laterali laboranti dorſum rubeſcere contigerit, & humeros incaleſcere, dumq; deſidet, pondere grauari, ſi venter perturbatus ex virore pallida & graueolentia admodum demittat, hic ex vẽtris deiectione primo & vigeſimo die moritur, quem ſi effugerit, conualeſcit. At quibus confeſtim expuitiones cuiuſuis ſunt generis, & dolores admodum acuti, ij tertio die moriũtur, quem ſi effugerint, conualeſcunt. Qui verò ſeptimo, aut nono, aut decimo die, ſanus non fuerit, pus intrò colligere incipit. Præſtat autem ſuppurari, minùs enim lethale eſt, quamuis laborioſum ſit. Prẹter autem commemorata ſigna, in vnoquoque morbo laterali hæc in lingua ſpectare oportet. Bulla enim aliquãtum liueſcente in lingua ſuborta, qualis ferro cãdente in oleũ intincto fieri aſſolet, ſi quidẽ per initia aſpera fuit,

ταῦτα ἐν ὄξει γλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. ἐπὴν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, δρακοντίου χηραμίδα καὶ σήσαμον. καὶ ἀμύγδαλα καθαρὰς, ἐν ὄξει γλυκεῖ κεχρημένῳ πίνειν. ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνύναι τούτοισιν. Πλευρῖτις. Ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει. ὀδύνη τὴν πλευρὴν καὶ πυρετὸς καὶ φρίκη ἴσχει. καὶ ἀναπνεῖ πυκνόν. καὶ ὀρθοπνοίη ἔχει. καὶ ἀναβήσσει ὑπόχολα οἷα ἀπὸ σιδίου, ἢν μὴ ῥῆγμά τι ἔχῃ. ἢν δὲ ἔχῃ καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων. ἔστι δὲ καὶ αἱματώδης. ἐν ᾗ τῇ αἱματώδει ὕφαιμον. ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥῆγμά τι ἔχῃ ὁ κάμνων. εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ. ἡ δὲ αἱματώδης ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης. ὁπόταν οὖν παρεστῇ καὶ λύγξ ἅμα καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, οὗτος ἀποθνήσκει ἑβδομαῖος. δέκα δὲ ἡμέρας διαφυγὼν, τῆς μὲν πλευρίτιδος ὑγιὴς γίνεται. εἰκοστῇ δὲ, ἐκπυΐσκεται καὶ ἀποβήσσει πῦον. τελευτῶν δὲ, ἀπεμέει. καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται. Ξηραὶ πλευρίτιδες. Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι. χαλεπαὶ δὲ αὗται.[36] αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν ὑγρασίῃσι, πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν ἐναταῖαι καὶ ἑνδεκαταῖαι. καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. ἢν δὲ κατ᾽ ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης ὀξεῖαι,[37] αὗται δὲ τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἐκφεύγουσι. κίνδυνος δὲ μάλιστα μέχρις ἑβδόμης. ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην. μετὰ δὲ ταύτας, ὑγιαίνονται. αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. Πλευρῖτις ἐν νώτῳ. Ἡ δὲ ἐς τὸν νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων. τὸν νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς. καὶ στένει. καὶ ἀναπνεῖ ἀθρόον. εὐθὺς δὲ πτύει ὀλίγα. καὶ κοπιᾷ τὸ σῶμα. τρίτῃ ἢ τετάρτῃ, οὐρεῖ ἰχῶρα ὕφαιμον. ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος. εἰ δὲ μή γε, ἑβδομαῖος. ταύτας δὲ διαφυγὼν ζώει. καὶ ἡ νοῦσος ἠπίη, καὶ ἧσσον θανατώδης. φυλάσσειν δὲ χρὴ, μέχρι τῆς τεσσαρεσκαίδεκα. μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. ἐνίοις δὲ τῶν πλευριτικῶν, τὸ μὲν σίαλον, καθαρόν. ἡ δὲ οὔρησις, αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρώδες. ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τοὺς βουβῶνας τείνουσιν. ἐπὴν τὴν ἑβδόμην διαφυγὼν, ὑγιαίνει. ὁκόταν δὲ τῷ τῶν πλευριτίδων τινὶ παρεσχεθῇ τὸν νῶτον ἐρυθραίνεσθαι, καὶ τοὺς ὤμους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσεται χλωρὰ καὶ δυσώδεα σφόδρα, ἐπὴν διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς, εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει. ταύτας δὲ διαφυγὼν, ὑγιαίνει. οἷσι δὲ αἱ πτύσιες εὐθὺς παντοδαπαί εἰσι, καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι θνήσκουσι. ταύτας δὲ διαφυγόντες, ὑγιαίνουσιν. ὁ μὴ γενόμενος δὲ ὑγιὴς, τῇ ἑβδόμῃ ἢ τῇ ἐνάτῃ,[38] ἢ τῇ δεκάτῃ, ἄρχεται ἐμπυΐσκεσθαι. κρέσσον δὲ ἐμπυῆσαι. ἧσσον γὰρ θανατῶδες, καὶ εἰ ἐπίπονον ἦ. πρὸς δὲ τοῖσι σημείοισι τοῖσιν εἰρημένοισιν, ἐν ἑκάστῃ τῶν πλευριτίδων, καὶ τάδε χρὴ σκοπέεσθαι τῆς γλώσσης.[39] πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, ἢν μὲν ἐν ἀρχῇ γένηται τρηχεία, χαλεπω-

χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου. καὶ ἀνάγκη αἷμα ἀποβῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ. εἰ δὲ καὶ προεκκεχωρηκυίης τῆς νούσου γίνοιτο, αἱ μὲν κρίσιες, ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέραν, ἀνάγκη δὲ πτύσαι αἷμα. ἔχει δὲ οὕτως περὶ τῆς ἀπαλλάξιος. εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θάττους αἱ ἀπαλλάξιες. εἰ δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν ὡς ἐπὶ τὸ πουλὺ, κουφίζει μεθ᾿ ἡμέρην μᾶλλον, ἢ νύκτωρ. θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως. τὰ μὲν πολλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι, καὶ οἴνοισι γλυκέσιν. ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς ἐπιλήψιος, ἢν μὲν ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ, ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ. ἢν δὲ κινηθεῖσα ἡ κοιλίη, τὴν μὲν νύκτα χαλάσῃ, τῇ δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. ἢν δὲ ὁ κάμνων χολώδης ἢ τῇ φύσει, καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ. ἐκπτύοντι δὲ ἤδη χολώδεα, μὴ δίδου τὸ φάρμακον. ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, ἀλλ᾿ ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται, ἢν μᾶλλον καὶ τὰ ὑποχόνδρια ἀλγέῃ. ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι πλευρῇσι ὀδύνῃσι καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑποκλύσαι δεῖ. καὶ πιέειν διδῶναι νήστει, ἀριστολοχίαν, καὶ ὕσσωπον, καὶ κύμινον. καὶ σίλφιον. [40] καὶ μήκωνα λευκὴν, καὶ ἄνθος χαλκοῦ, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ. πρὸς μὲν τὰ φάρμακα, οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας. τὰ δὴ ἄλλα ὧδε ἔχει. λούειν πολλῷ θερμῷ πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς. [41] καὶ ὁκόταν αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγρῇσι πυρίῃσιν, ὑπαλείφων ἐλαίῳ. ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, ὅκως μὴ κατεργάσηταί τι κακόν. πτισάνης δὲ χυλὸν κατεφθὸν διδόναι, ὀλίγῳ παχύτερον μελίκρητον ποιέων. μετὰ δὲ τὰ λουτρὰ, καὶ οἶνον γλυκὺν καὶ ὑδαρέα προσπίνειν, μὴ ψυχρὸν, ὀλίγον [42] ἐκ βομβυλίου εὐρυστόμου. καὶ ὁκόταν βῆχες ἐπιῶσιν, ἐπιπίνειν καὶ χρέμπτεσθαι ὡς μάλιστα. [43] καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ πλεύμων ὑγρότερος ἐὼν, ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα, καὶ ἡ βὴξ ἧσσον πονέῃ. καὶ ῥοιῆς δὲ γλυκείης οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ μικρὸν πολλάκις δίδου. νύκτωρ τε καὶ μεθ᾿ ἡμέρην καὶ ὕπνοι ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται, θᾶσσον τε καὶ πλεῖον. τὴν δὲ αἱματώδεα πλευρῖτιν, θεραπεύειν χρὴ οὕτως. μετὰ δὲ τὰς κρίσιας, ἀνακομίζειν σιτίοισι κούφοισι καὶ ἡσυχάζειν. καὶ φυλάσσεσθαι περισσῶς, ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας. ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ, καὶ μὴ δύνηται ἀποπτύειν, νήστει δίδου ἄνθος χαλκοῦ, ὅσον κοτινάδα. καὶ ὀποῦ σιλφίου τούτου τὸ ἥμισυ. καὶ τριφύλλου καρποῦ ὀλίγον, ἐν μέλιτι λείχειν. ἢ πεπέρεος κόκκους πέντε. καὶ ὀποῦ σιλφίου, ὅσον κύαμον. καὶ μέλι. καὶ ὄξος. καὶ ὕδωρ πίνειν χλια-

difficilior morbi liberatio contingit, & diebus quibus oportet, sanguinem tussi reiicere necesse est. Quod si progresso etiam morbo id cōtingat, iudicationes quidem ad decimum quartum diem procedent, sed sanguinem expuere necesse est. De morbi autem liberatione sic se res habet. Si tertio quidem die maturari & expui cœperit, celeriores sunt liberationes. Si verò posterius maturescat, posterius etiā iudicationes contingunt, quemadmodum in signis capitis. In omnibus autem lateris morbis, dolores ferè interdiu potius q̃ noctu leuiores esse solent. Curandi autem sunt morbi laterales hunc in modum, plærunque velut phrenitis & pulmonis inflāmatio, præter quam quod balneis calidis & vino dulci vtendum. Si quidem igitur primo aut postero ab accessione die ægrum susceperis, si stercus quidem subiit purū, aut leuiter biliosum & paucum, ex infuso thapsio aluus subluenda. Quod si aluus emota, noctu quidem demittat, postero verò die dolore & torminibus detineatur, rursus subluenda. Si verò æger natura biliosus fuerit, & minimè purgatus morbo correptus sit, priùs quam biliosum sputum expuat, medicamento etiam bilem probè purgato. Iam verò biliosa expuenti, medicamentum ne exhibueris. Si enim exhibueris, sputum per superiora prodire minimè poterit, sed septimo aut nono die strangulabitur, idq; magis si præcordia doleant. At si ad laterum dolores etiam præcordiorum dolor accesserit, aluum subluere oportet, & ieiuno potui exhibere aristolochiam, hyssopum, cuminum, laserpitium, peplum album, æris florem & mel, ex aceto & aqua. At per medicamenta quidem primis diebus ad hunc modum procedere curatio debet. Reliqua verò sic se habent. Calida multa virium ægri habita ratione, prę-ter quàm caput, lauato, cumq; iudicationes procedent, partes dolentes humidis fomentis tepefacito, & oleo sublinito. Vbi verò cum impetu morbi irruunt, tum ægrum, tū Medicum à curationibus quiescere oportet, vt ne quid mali comparetur. Ptisanæ autem succus coctus exhibendus, paulò crassior admixto melle redditus. Post balnea, vinum dulce dilutum potui exhibēdum, minimè frigidum, paucum, ex angusti oris poculo. Cumq; tusses inuaserint, superbibendum & quàm maximè excreandum, & potu humectandum, vt pulmo humidior redditus, facilius ac citius sputum reiiciat, & tussis minùs vexet. Et mali punici dulcis vinosi succum, cum lacte caprino pauco & melle mixtum, noctu & interdiu, sensim ac sæpè exhibeto, somnumque quàm maximè prohibeto, quo celerior ac copiosior purgatio contingat. At morbum lateralem cruentum hoc modo curare oportet. Post iudicationes autem, vires leuibus cibis reficiendę, & quiescendum, præcipueq; vitandi soles, venti, plenitudines, acida, salsa, pinguia, fumus, ventris flatus, labor, venus. Si enim reuerterit morbus, mors sequetur. Inter spuendum verò si dolor detinet, neque expuere possit, ieiuno æris florem baccæ oleastri magnitudine, succi laseris eius dimidium, seminis trifolij parum, ex melle deligenda exhibeto. Aut piperis grana quinq;, & succi laseris fabæ quantitatem, mel, acetum, & aquam, ie-

iuno tepida propinato, Hoc etiã dolores sedat. Quòd si pro ratione spuere nequeat, sed in ipso sputum retineatur, & in pectore stertorem edat, radicis dracunculi magni concham maiorem, & oleum cum melle admisceto, & acetum aqua temperatum insuper sorbendum dato. Aliud vehemens. Aëris florem fabæ quantitate, nitrum assatum dupla portione, hyssopi quantum tribus digitis capitur, melle admixto, aqua & oleo instillato, paulatim per concham maiorem, ne stranguletur, infundito. Quod etiam in pulmonis inflammatione, si nõ purgetur, faciendum. Si verò neq; stertat, neq; vt conuenit, spuat, capparis semen quantum tribus digitis capitur, piper, nitri modicum, cum melle, aceto & aqua admixta, tepidum sorbẽdum dato. Postridie verò id ex aceto, melle & aqua feruefactum sorbendum, quod & stertentibus, & iis qui expurgari nequeunt exhibendũ. At si valentius expetis, hyssopi, sinapis, & nasturtij quantũ conchæ testa maior capere potest, ex melle & aqua tritum, feruefactũ, & colatum, tepidum sorbendũ prebeto. Ad hunc modum curati hi morbi sanãtur, nisi sputi aliquid in pulmone relicti in pus vertatur, ex quo tussis sicca excitatur, febris & horror detinet, spiritus erecta ceruice trahitur, frequenti & conferta respiratione æger affligitur, vox paulò grauior redditur, & color cum calore vultum occupat. Procedẽte verò tempore etiam magis apertè hic morbus declaratur. Hunc si intra decimum diem curãdum susceperis, postquam victus ratione & balneo calido calefeceris, per infusum pus è pulmone educito, & aliis quæ pus ducãt vtitor, eamq; victus rationem quæ suppurato debetur instituito, & caput ne quid influat, resiccato. At si per infusum pus minimè educatur, id ex pulmone in thoracem erumpit, postq; ruptionem sanus esse videtur, quòd pus ex angusto in ampliorem locũ concesserit, & spiritus quẽ attrahimus, in pulmone sedem habeat. Sed progressu temporis, pure pectus impletur, tusses & febres, aliiq; dolores omnes magis vrgent, morbusq; manifestus euadit. Hunc quindecim post eruptionẽ diebus sinere conuenit, pus vti rursus maturescat, cùm nimirum in ampliorem locũ pus veniens, tũ refrixerit, tum adducto ad se eo quod in thorace erat humido, ipsum semiputridũ esse necesse sit. Per hoc tempus igitur si spõte spuere incipiat, benè habet; sin minùs, medicamentis aut potionibus succurrẽdum, vltimis quidem diebus, ad virium corporis refectionem, antequam magis attritum sit, insurgendo, & caput vt purum sit propter affluxionem curando. Si verò nõ spuatur, sed ad latera sui significationem exhibeat, secato aut inurito. At si neq; spuatur, neq; de se in costis significationem præbeat, ieiunum post copiosæ calidæ balneũ, & minimè potum, in sella firma collocato, cumq; alter eũ ex humeris apprehenderit, tu ipse eum cõcutito, aurem costis admouens, vt noscas quanam ex parte sui significationẽ præbeat. Votum autẽ est, vt id ad sinistra magis contingat, quòd inustio aut sectio in dextris mortẽ magis afferat. Quò enim dextra valentiora sunt, eò in ipsis vehementiores morbi apparere solent. Quòd si propter crassitudinem humor non fluctuet, neq; strepitus edatur in pectore, crebrum autem spiritũ trahat,

ρὸν, νῆστι δίδου. τοῦτο καὶ τὰς ὀδύνας παύει. ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται ἐν αὐτῷ, καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, δρακοντίου τοῦ μεγάλου ῥίζης χηραμίδα, καὶ ἔλαιον σὺν μέλιτι μίξαι, ἐπιρροφεῖν δὲ, ὄξος κεκρημένον ὕδατι ἰσχυρόν. ἄνθος χαλκοῦ ὅσον κύαμον, καὶ νίτρον ὀπτὸν διπλάσιον, καὶ ὕσσωπον, ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιαίνας ἐν χηραμίδι ἐγχέειν ἵνα μὴ ἀποπνιγῇ. καὶ ἐν περιπλευμονίῃ ἢν μὴ καθαίρηται, τοῦτο δεῖ ποιέειν. ἢν δὲ μήτε ῥέγχῃ, μήτε πτύῃ ὡς δεῖ, καππάρεως καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι, καὶ νίτρον ὀλίγον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ μίξας, τοῦτο χλιαρὸν ἐπιρροφεῖν. τὴν δὲ ὑστεραίην ἡμέρην, ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιρροφεῖν. τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι, καὶ μὴ δυναμένοισι καθαίρεσθαι. εἰ δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου, καὶ νάπυος, καὶ καρδάμου ὅσον κοίλην χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας καὶ διηθήσας, ἐπιρροφεῖν χλιαρὸν δίδου. οὕτω ταῦτα τὰ νοσήματα θεραπευθέντα, ὑγιέα γίνονται, ἢν μή τι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ πλεύμονι πύος γένηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία. καὶ πῦρ καὶ φρίκη ἴσχει. καὶ ὀρθοπνοίη ἔχει. καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ. καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγον. καὶ χροιὴ σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει. προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον καὶ ἡ νοῦσος σάφα δηλοῦται. τοῦτον εἰ ἐντὸς τῶν δέκα ἡμερέων λάβοις, θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ, ἐγχέαι ἐς τὸν πλεύμονα, ὅ, τι πύον ἄξει. καὶ τοῖσιν ἄλλοισι χρῆσθαι, τοῖσι τὸ πύον ἄγουσι, καὶ διαιτᾶν ὧδε ὡς ἔμπυον. καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιρρέῃ. ἢν δὲ ἐγχυθέντος μὴ ἀνάγηται τὸ πύον, ῥήγνυται αὐτὸ ἐκ τοῦ πλεύμονος εἰς τὸν θώρηκα. καὶ μετὰ τὴν ῥῆξιν, δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης εἰς τὴν εὐρυχωρίαν ἦλθε τὸ πύον. καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν, ἕδρην ἔχει ἐν τῷ πλεύμονι. προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦνται. καὶ βῆχες καὶ πυρετοὶ, καὶ τὰ ἄλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτόν. καὶ ἡ νοῦσος διαδηλοῦται. τοῦτον μετὰ τὴν ἔκρηξιν, ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, ὅκως πάλιν πεπανθῇ τὸ πύον. ἅτε γὰρ εἰς εὐρυχωρίην ἐλθὸν τὸ πύον, ἀνέψυχέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρακι προσηγάγετο πρὸς ἑωυτὸ, ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ χρόνῳ, ἢν μὴ φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, ἐν τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα, σπεύδειν ἀναστῆναι πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν τῆς ἐπιρροῆς εἵνεκα. ἢν δὲ μὴ πτύηται, ἀποσημαίνηται δὲ ἐς τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. ἢν δὲ μήτε πτύηται, μήτε ἀποσημαίνηται ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ νῆστιν, καὶ ἄποτον καθίσας ἐπὶ ἕδρης ἀκινήτου. ἕτερος δὲ τῶν ὤμων ἀναλαβέτω. αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων ἐς τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει. βούλεσθαι δὲ μᾶλλον πρὸς τὰ ἀριστερά. θανατωδέστερον γὰρ πρὸς τὰ δεξιὰ καίειν ἢ τάμνειν. ὁκόσῳ γὰρ αὐτὰ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μηδὲ ψόφος ᾖ ἐν τῷ στήθει, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα.

καὶ οἱ

καὶ οἱ πόδες οἰδέωσι. καὶ βηχιόντι παρέσῃ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου. ἐς τὴν ἐρετρίδα γῆν ὑγρὴν, καὶ λίην τετριμμένην καὶ χλιαρὴν, ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα. καὶ ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν, ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος αὐτῶν τῶν φρενῶν. ἢν δὲ βούλῃ ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ. πολλοὶ δὲ ἅμα διαλειφόντων, ἵνα μὴ τὰ πρῶτα διαλειφόμενα ἀποξηραίνηται. μετὰ δὲ τὴν τομὴν ἢ τὴν καῦσιν, τῷ μοτῷ ἐκ τοῦ ὠμολίνου χρέο. καὶ ἐξίει κατ' ὀλίγον τὸ πύον. ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, ὑποσημαίνου τὸ αὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν, ὁκόταν μέλλῃς τάμνειν ἢ καίειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γινόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος. καὶ τὰς βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσωσι πάλιν ἐς τὸν πλεύμονα τὸ πύον, κακὸν γάρ, ἀλλ' ἐᾶν κατὰ τὴν τομὴν ὡς τάχιστα ἀποξηραίνεσθαι. ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πύον, καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦ. καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πύον. καὶ τὴν ἄνω κοιλίην ἐκ τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων, καὶ τὰς ἐκ τῆς περιπλευμονίης, καὶ ἐκ καταρρόων μεγάλων ἐκπυήσιας, καὶ προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι σκοπεῖν καὶ θεραπεύειν. [45] ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν ὁκόταν βούλῃ. πολλὰ δὲ ἀπεργάζεται. τὰ μὲν γὰρ, οὔρησιν ἐμποιεῖ. τὰ δὲ, διαχώρησιν. τὰ δὲ, ἀμφω. τὰ δὲ, οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον, ὡς ἄγγος ὕδατος ζέον, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ, ἢ ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγοι. δίδου δὲ ἄλλα ἄλλοισιν. οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει, οὔτε τὰ στρυφνά, οὔτε τὰ αὐτὰ πίνειν δύνανται. [46] τοῦτο μὲν κηρίων ξηρῶν, ὅσον δύο κοτύλας, βρέχων ὕδατι, καὶ ἀνατρίβων τριβέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται. εἶτα διηθήσας, σέλινα ἐμβαλὼν, δίδου πίνειν. τοῦτο δὲ λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἕψειν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων [47] ἄζεσον, ἵνα ἀναπνέῃ ἕως ἂν ὁ χυλὸς ἁπτομένῳ λιπαρὸς γένηται. τοῦτο δὲ [48] μελικρήτου ὑδαρέος καθεψήσας, τὸ ἥμισυ λείπειν. ἔπειτα σέλινα ἐπιβαλὼν, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου. τοῦτο δὲ [49] κριθὰς ἀχιλληΐδας κοτύλην αὐήνας, [50] ἄρας τὰ ἀθέρα καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χοέα, ἕψει. καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων δίδου πίνειν. τοῦτο δὲ αἰθιοπικοῦ κυμίνου, κοτύλης δέκατον μέρος, ἐπιχέας τρία ἡμιχόεα ἕψε πηλῷ τριχώδει καταλείψας [51] ἄζεσον, ἕως τρίτον μέρος λείπῃ. καὶ ψύχων, δίδου τοῦτο πρὸς πάντα καῦσον καὶ λοιπὸν πυρετόν. τοῦτο δὲ ὕδωρ οὐράνιον αὐτὸ καθ' αὑτό. τοῦτο δὲ πτισάνης κοτύλη, χοέα ὕδατος ἐπιχέας, λείπειν τὸ ἥμισυ ἕψων. ἔπειτα διηθήσας σέλινα ἐπιβαλὼν, δίδου ψυχρόν. τοῦτο δὲ οἱ σταφίδινοι λευκοὶ οἶνοι ὑδαρέες. τοῦτο δὲ τρύγες στεμφυλίτιδες σταφιδίτιαι ὑδαρέες. τοῦτο δὲ ἀσταφὶς λευκὴ ἄνευ γιγάρτων κοτύλη. καὶ πενταφύλλου ῥιζέων χειροπληθῆ φλάσας, εἴκοσι κοτύλας ὕδατος ἐπιχέας, ἀφεψήσας, καὶ τὸ ἥμισυ λείπων, δίδου ψυχρὸν κατ' ὀλίγον. τοῦτο δὲ κρίμνων κριθέων ἁδρῶν ἡμιχοίνικα, ὕδατος χοέα ἐπιχέας, ὁκόταν ἤδη ἀνοιδέῃ τὰ κρίμνα, τρίβειν τῇσι χερσὶν, ἕως ἂν λευκὸν τὸ ὕδωρ γένηται.

pedes intumescunt, & tussicula quędam vexat, ne decipiaris videto, sed scito thoracem pure plenum esse. Linteo itaq; tenui in rubrica liquida, admodum trita & tepida intincto, thoracem in orbem obtegito, quaque parte primùm resiccatum fuerit, eâ sectionem aut vstionem facere oportet, vt quàm proximè ad septum transuersum accedas, ea tamen adhibita cautione ne ipsum attingas. Quòd si voles, vbi rubricam illeueris, eadem velut in linteo spectato. Multi autem simul illinant, ne partes quæ primùm illinuntur, resiccentur. Post sectionem verò aut vstionem, penicillo ex lino crudo vtere, & paulatim pus emittito. Cũ verò secare aut inurere voles, nota impressa fac vt eandẽ figuram seruent inter secandum aut vrendum, ne te cutis figuram immutando sursum aut deorsum vergens decipiat. Tusses quoq; in victus ratione vitandæ, ne rursus in pulmonem (quod malum est) pus reuellant, sed sinendum, vt ad sectionem citissimè resiccetur. Posteaquam verò duodecimum attigerit diẽ, pus reliquum totum emittito, & penicillo ex linteo apposito, bis die pus educito, superioremque ventrem victus ratione quàm maximè resiccato. Ad hunc modũ suppurationes, quæ tum ex vulneribus, tum ex pulmonis inflammatione, & ex magnis defluxionibus, incumbente in latera pulmone contingunt, spectare & curare oportet. Has autem potiones refrigerantes febre ardente laborantibus, cùm voles, exhibeto, quæ multarũ sunt virium, aliæ siquidem mictionem prouocãt, aliæ alui subductionem, aliæ vtrunque, aliæ neutrum, alię tantùm refrigerant, non secus ac si quis in vas aquæ feruentis frigidam infundat, vel vento frigido vas ipsum exponat. Alia verò aliis exhibeto. Neq; enim omnibus dulcia cõferunt, neq; acerba, neq; eadem bibere possunt. Fauorum siccorum heminas duas aqua maceratas, & contritas dum aqua gustu subdulcis reddatur, deinde excolatas, iniecto apio, bibendas dato. Seminis lini acetabulum, aquæ decem heminis affusis, in olla noua prunis imposita decoquito, igne depositũ vt trãspiret sinito, quoad succus tactui pinguis euadat. Aquam mulsam aquosam ad dimidias decoquito, deinde apium iniicito, hoc frigidum paulatim exhibeto. Hordeum achilleum, hoc est magnum & optimum resiccatum, & dempto quod acutum est, ad heminæ mensuram, & benè lotum, aquæ congio affuso, ad dimidias coquito, refrigeratum potui exhibeto. Cumini Æthiopici heminæ decimam partem, tribus aquæ semicõgiis affusis decoquito, luto piloso olla oblita ad tertias feruefactum & refrigeratũ, hoc ad omnem febrem ardẽtem aliamq; febrem exhibeto. Aqua etiam cœlestis per se sola exhibita prodest. Ptisanæ heminã, aquæ congio affuso, ad dimidias coquito, deinde colatum iniecto apio, frigidum potui dato. Vina etiam alba ex vuis passis, aquosa exhiberi possunt. Vuarum passarum feces vinaceæ expressæ, dilutæ, ad idem valent. Vuæ passæ albæ exemptis vinaceis heminam, radicum pentaphylli manipulum contusum, affusis aquæ heminis viginti, ad dimidias decoquito, frigidum paulatim exhibeto. Farinæ hordei pleni crassiores partes ad chœnicem dimidiam, affuso aquæ congio, cùm crassiores farinæ partes iam intumuerint, manibus terito quoad aqua alba reddita fuerit,

& adiãti pugillo iniecto, nocturno sereno expositum præbeto. Trium aut quatuor ouorum candidum in aquæ congio subactum bibat. Hoc admodum refrigerat, & ægrum ad aluum subducendam etiam concitat. Hordei torrefacti probè loti chœnicem dimidiã, in aquæ congio bis aut ter feruefactam, frigidam exhibeto. Prisanæ cremorem coctum tenuem, & vinum dulce exhibeto. Hoc non mouet. Cucumeris maturi sine cortice pollinem ex aqua propinato. Hoc vrinam mouet, refrigerat & sitim sedat. Eruum in aqua antè decoctum, deinde ollæ nouæ in maiore olla aqua plena impositum, alia eruo affusa aqua parum coquito, postea effusam tertiam partem, vbi eruum coctum fuerit, refrigeratum præbeto, ad cyathos singulos inspersо cucumeris & erui polline. Hoc indubitanter sitim sedat. Vinum Thasium vetus, aquę quinque & viginti partibus, ad vnam vini partem admixtis, exhibeto. Trifolium, cucumeris pollinem, ex aqua in qua crassiores hordeaceæ farinæ partes maduerint, præbeto. Apij manipulos tres, pulegij pugillos duos, in aceti heminis decem, ad tertias decoquito, hoc melle & aqua admixta aquosum bibat, adianti pugillo iniecto, quod vrinam mouet & aluum soluit. Mala odorata dulcia contusa, aqua macerata, aquam potui exhibeto. Mala cydonia eodem modo macerata, si aluus in febre ardente soluta fuerit. At si morbus regius insuper inuaserit, vuæ passæ albæ detractis vinaceis, cicerum alborum, vtrorumque heminam dimidiam, hordei Achillei tantundem, aquæ heminæ decem, apium, mentham, coriandrum, cuiusque parum, simul terito, quoad aqua leuiter dealbescat, postremò adianti pugillo iniecto, nocturno sereno expositum exhibeto. His etiam similia imitari poteris. Omnia autem nocturno sereno exposita febricitanti exhibeto, his exceptis quibus aluus plus æquo est fluida. Pulegij pugillos tres, apij duplum, vino aqua temperato decoquito & propinato. Hoc vrinam mouet bilemq; per aluum educit.

καὶ ἀδιάντου δραχμίδα ἐμβαλὼν, ἀπαιθριάσας δίδου. τοῦτο δὲ ᾠῶν τὸ λευκὸν τριῶν ἢ τεττάρων, καταδεύσας ἐν ὕδατος χοΐ πινέτω. τοῦτο δὲ ψύχει σφόδρα, καὶ τὴν κοιλίην ὑπάγει τὸν νοσέοντα παρασκευάζει. τοῦτο δὲ ἡμιχοίνικον κάχρυων εὖ ἀποπλύνας ἐν ὕδατος χοΐ, ζέσας δὶς ἢ τρὶς, ψυχρὸν δίδου. τοῦτο δὲ πτισάνης χυλὸν, καθεφθὸν λεπτὸν, καὶ οἶνον γλυκὺν δίδου. τοῦτο οὐκ ἄγει. τοῦτο δὲ σικύου πέπονος, ἄνευ τοῦ δέρματος πάλης, ἐφ' ὕδατι. τοῦτο οὐρέεται, καὶ ψύχει, καὶ τὴν δίψαν παύει. τοῦτο δὲ ὀρόβους ἐν ὕδατι προεψήσας, εἶτα χύτραν καινὴν ἐν χύτρῃ μείζονι θεὶς, πλέην ὕδατος, ἐπιχέας ἕτερον ὕδωρ τοῖσιν ὀρόβοισιν ἕψε ὀλίγον χρόνον. εἶτα ἀποχέας τὸ τρίτον μέρος, ἐπειδὰν καθεφθοὶ ἔωσιν οἱ ὄροβοι ψύξας δίδου. κατὰ κύαθον ἐπιπάσσων τῆς τοῦ σικύου πάλης, τὴν ἐκ τῶν ὀρόβων πάλην. τοῦτο δὲ βεβαίως δίψαν παύει. τοῦτο δὲ θάσιον οἶνον παλαιὸν, πέντε καὶ εἴκοσιν ὕδατος καὶ ἕνα οἴνου δίδου. τοῦτο δὲ τρίφυλλον τὸ σικυῶδες, ἐν ὕδατι καὶ κρίμνα κριθέων, βρέχων δίδου. τοῦτο δὲ σέλινα, ὅσον τρεῖς τῇ χειρὶ περιλαβεῖν, καὶ γλήχωνος δραχμίδας δύο ἑψῶν, ἐν ὄξους κοτύλῃσι δέκα ὡς τρίτον μέρος λείπῃ. τοῦτο μέλιτι καὶ ὕδατι κεραννὺς ὑδαρὲς, πινέτω, ἀδιάντου δραχμίδα ἐμβάλλων. τοῦτο δὲ οὖρον ἄγει καὶ τὴν κοιλίην λύει. τοῦτο δὲ μῆλα εὐώδεα γλυκέα φλάσας, καὶ ἐν ὕδατι ἀποβρέξας, δίδου πίνειν τὸ ὕδωρ. τοῦτο δὲ μῆλα κυδώνια ὡσαύτως ἢν ἡ κοιλίη λελυμένη ᾖ, ἐν πυρετῷ καυσώδει. ἰκτέρου δὲ ἐπιλαβόντος, ἀσταφίδος λευκῆς ἄνευ γιγάρτων καὶ ἐρεβίνθων λευκῶν, ἡμικοτύλιον ἀμφοτέρων, καὶ κριθέων ἀχιλληΐδων ἴσον καὶ κνίκου ἴσον. ὕδατος κοτύλας δέκα. καὶ σέλινα καὶ μίνθην καὶ κορίαννον, ὀλίγον ἑκάστου ἀνατρίβειν, ἕως ἂν ἠρέμα λευκανθῇ. καὶ ἀδιάντου δραχμίδα ὕστερον ἐμβαλὼν, αἰθριάσας δίδου. τοῦτο δὲ καὶ τὰ τούτοισιν ὅμοια μιμέεσθαι. πάντα δὲ τῷ πυρέσσοντι ἠθριασμένα δίδου, πλὴν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν. τοῦτο δὲ γλήχωνος δραχμίδας τρεῖς, σελίνου διπλάσιον οἴνῳ κεκρημένῳ ἑψῶν, δίδου. τοῦτο δὲ οὐρέεται, καὶ διὰ τῆς κοιλίης χολὴν ἄγει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ.

HIPPOCRATIS DE MORBIS, LIBER IIII.

SEMEN ex omnibus tum viri, tum mulieris membris, ad hominis generationem veniens, & in mulieris vterum illapsum, ex eoque tempore accedente natura, humanam formam referens, procreatur. Habet autem tum mulier, tum vir, in corpore quatuor humidi formas, ex quibus morbi oriuntur, qui nulla vi contingunt. Hæ verò sunt, pituita, sanguis, bilis & aqua. Ex hisque non minima neque debilissima pars ad semen confertur. Et postquam animal ex parentibus procreatum est, tot humoris formas, tum sani, tum morbosi, in se continet. Quæ verò ex vnaqua-

ΤΟΥ ἀνθρώπου ἐς τὴν φύσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐλθὸν τὸ σπέρμα καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν, ἐπάγη. χρόνῳ δὲ γινομένου, φύσις ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. ἔχει δὲ καὶ ἡ γυνὴ καὶ ὁ ἀνὴρ, τέσσαρας ἰδέας ὑγροῦ ἐν τῷ σώματι ἀφ' ὧν νοῦσοι γίνονται. ὁκόσα μὴ ἀπὸ βίης νουσήματα γίνονται. αὗται δὲ αἱ ἰδέαι εἰσὶ, φλέγμα. αἷμα. χολή. καὶ ὕδρωψ. καὶ ἀπὸ τούτων ἐς τὸ σπέρμα, οὐκ ἐλάχιστον οὐδὲ ἀσθενέστατον συνέρχεται. καὶ ἐπεὶ τὸ ζῶον ἐγένετο κατὰ τοὺς τοκῆας, τοσαύτας ἰδέας ὑγροῦ ὑγιηροῦ τε καὶ νοσηροῦ ἔχει ἐν ἑωυτῷ. ἀποφανέω δὲ ὁκόσα ἐν ἑκά-

στῳ του-

ἐστι τουτέων τῶν ἰδεῶν καὶ πλείω καὶ ἐλάσσω ἐν τῷ σώματι γίνεται. καὶ ἀπὸ τούτου νοσέουσι. καὶ ὅ, τι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι. καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί. [2] καὶ ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασμένη τὴν νοῦσον ἐπάγει. [3] καὶ ὑπὸ τοῦ αὐτοῦ ῥῖγος πυρετῶδες γίνεται, καὶ διὰ τί τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό. ἐθέλω δὲ ἀποφῆναι πρῶτον, πῶς ἡ χολὴ, καὶ τὸ αἷμα, καὶ ὁ ὕδρωψ, καὶ τὸ φλέγμα, πλείονα καὶ ἐλάσσονα γίνεται, ἀπὸ τῶν βρωμάτων καὶ τῶν πομάτων, τρόπῳ τοιῷδε. Η κοιλίη τῷ σώματι πάντων πηγή ἐστι πλέη ἐοῦσα. κενεὴ δὲ γινομένη, ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. εἰσὶ δὲ καὶ ἄλλαι πηγαὶ τέσσαρες ἀφ' ὧν χωρέει τούτων ἕκαστον ἐς τὸ σῶμα. ἐπὴν οὖν αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, καὶ αὗται ἐπὴν κενωθῶνται, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται. ἕλκει δὲ καὶ αὐτὸ τὸ σῶμα, ἐπὴν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωυτῇ. τῷ μὲν δὴ αἵματι ἡ καρδίη, πηγή ἐστι. τῷ δὲ φλέγματι, ἡ κεφαλή. τῷ δὲ ὕδατι, ὁ σπλήν. τῇ δὲ χολῇ, τὸ χωρίον, τὸ ἐπὶ τῷ ἥπατι. αὗται αἱ τέσσαρες τουτέοισιν εἰσὶ πηγαὶ, ἄνευ τῆς κοιλίης. ἀπὸ τούτων δὲ εἰσὶ κοιλόταται, ἡ κεφαλὴ, καὶ ὁ σπλήν. εὐρυχωρίη γὰρ ἐν αὐτῷ πλείστη ἐστίν. ἀλλὰ περὶ τούτου, ὀλίγον ὕστερον ἀποφανέω κάλλιον. ἔχει δὲ καὶ τόδε οὕτως. ἐν τοῖσι βρωτοῖσι καὶ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι, καὶ χολῶδές τι, καὶ ὑδρωπῶδες, καὶ αἱματῶδες, καὶ φλεγματῶδες. τῇ μὲν πλέον τῇ δὲ ἔλασσον. διότι καὶ διαφέρει τὰ ἐσθιόμενα καὶ πινόμενα ἀλλήλων ἐς τὴν ὑγιείην. καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. ἐπὴν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα ἐς ἑωυτὸ ἐκ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης· καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν ἀπὸ τῆς κοιλίης, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, καὶ διαδίδωσι τῷ σώματι, ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. ἔχει γὰρ ὧδε ἡ γῆ ἐν ἑωυτῇ δυνάμιας παντοίας καὶ ἀναριθμούς. ὁκόσα γὰρ ἐν αὐτῇ φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ. [4] οἵην καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγενὲς ἔχει. καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφὴν, οἷόν περ καὶ αὐτό ἐστι. τό, τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστί. καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, καὶ τ' ἄλλα πάντα τὰ φυόμενα, ἕλκει ἐκ τῆς γῆς καθ' ἑωυτὸ ἕκαστον. εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγίνετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρμασιν. ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος πολλῷ πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν· ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται. ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο. παρέχει δὲ νοηθῆναι, ὅτι εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν. ἡ γὰρ Ἰωνίη χώρη καὶ ἡ Πελοπόννησος, τοῦ ἡλίου τῶν ὡρέων οὐχ ἥκιστα καίεται, ὥστε δύνασθαι ἐξαρκεῖν τοῖσι φυομένοισι τὸν ἥλιον· ἀλλ' ὅμως οὐ δυνατὸν πολλῶν ἤδη πειραζομένων, οὔτε ἐν Ἰωνίῃ, οὔτε ἐν Πελοποννήσῳ, [5] σίλφιον φῦσαι. ἐν δὲ τῇ Λιβύῃ, αὐτόματον φύεται. οὐ γὰρ ἔστιν οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. ὅτι δὲ πολλὰ

que forma, tum plura, tum pauciora in corpore contingunt, aperiam, & ex quo ægrotant, quodque morbi diebus imparibus iudicantur, & quęnam sunt morborum principia, & quænam horum singula in corpore faciunt, & morbum adducunt, ex quo etiam rigor ipse febrilis contingit, quamque ob causam post eum febris succedit. Ac primùm quidem quanam ratione bilis, sanguis, aqua & pituita ex cibariis & potibus copiosiora & pauciora oriantur, demonstrare volo, hoc modo. Ventriculus vbi plenus existit, omnium in corpore fons est, vacuus verò ex corpore tabescente haurit. Sunt autem etiam quatuor alij fontes, ex quibus horum quisq; in corpus procedit. Postquam igitur hi fontes ex ventriculo acceperint, ipsique vacuati fuerint, ex corpore hauriunt. Trahit quoque ipsum corpus, cùm quid in se ventriculus habuerit. Sanguinis quidem certè fons est cor, pituitæ caput, aquæ lien, bilis locus in iecore. Atque hi sunt quatuor istorum humorum fontes, præter ventriculum. Ex his maximas habet cauitates caput & lien. In eo enim amplissimus locus est. Sed de hoc paulò post melius disseram. Sic autem se res habet. In his omnibus quæ eduntur aut bibuntur, biliosi aliquid, & aquosi, & sanguinis, & pituitosi inest, plus minúsve in hoc vel illo. Quam ob causam quæ comeduntur & bibuntur ad valetudinem inter se differunt. Atque hæc quidem hactenus. Cùm quis comederit aut biberit, corpus ad se ex ventriculo commemoratam humiditatem attrahit, & fontes per venas de ventriculo trahunt, similis humiditas, similem, & in corpus distribuunt, non secus ac in plantis, similis humiditas ex terra similem attrahit. Sic enim in se varias & innumeras terra facultates habet. His nanque omnibus quæ in ipsa producuntur, cuique similem humiditatem præbet, velut & id quod producitur, sibi cognatione similem habet, & trahit vnumquodque ex terra alimentum, quale sanè ipsum est. Nam & rosa tabem ex terra humiditatem trahit, qualis & ipsa facultate est, & allium talem ex terra humiditatem trahit, quale etiam ipsum facultate existit, reliquaque omnia quæ producuntur, vnumquodque è terra quod sibi cognatum est trahit. Quod nisi ita esset, quæ producuntur suis seminibus non essent similia. Cùm verò quod ex terra nascitur plus habet cognati humoris quàm conueniat, id ipsum ægrotat, quod verò iusto minus habet, illud marcescit. Ac nisi quod producitur ab initio habuerit, quem sibi humorem cognatum attrahat, ne succrescere quidem poterit. Quòd verò id quod producitur, pullulare ab initio nequeat, nisi humorem secundum naturam habeat, id inde intelligitur, quòd Ionia & Peloponnesus regio est, quæ pro anni temporibus non minimùm à sole vritur, ita vt sol iis quæ è terra nascuntur satis esse possit, neque tamen fieri potest, etsi multi iam tentarint, vt in Ionia aut Peloponneso Laser producatur, cùm in Libya sponte producatur. Neq; enim in Ionia, neque in Peloponneso est eiusmodi humor, qui ipsum nutriat. Quòd verò multa

etiam alia medicamenta regiones, etiamsi sol sufficiat, alere non possint, aliæ verò sponte producant, id quod dicturus sum considerandum præbet, quantum locus loco etiam valdè vicino ad vini suauitatem præstet, quamuis sol æqualiter sufficiat, cùm in hoc terræ humor sit qui vinum suaue exhibeat, in illo verò minimè. Sunt quoque agrestia non pauca in loco nascentia, quæ ad vlnæ spatium translata, non ampliùs produci comperias. Neque enim terra eiusmodi humorem translato accommodatum habet, qualem illa agrestibus plantis suppeditabat. In his enim sunt quædam magis virulenta, quædam magis humida, quædam dulciora, sicciora quædam, asperiora etiam quædam, aliaque sexcenta aliter se habent. Innumeræ enim sunt in ea facultates. Ac propter eiusmodi genera, primùm nihil ex terra alteri simile producitur, quod cognationem non habeat. Ac mihi sanè hæc omnia agrestia esse videntur. Verùm ea homines cultura mitia reddiderunt, effeceruntque vt quidque suo semini similem fructum ferret. Humor enim similis similem ex terra trahit, ex eoque increscit & nutritur, & ex iis quæ ex terra producuntur, alterum alteri simile nihil est, neque æqualem, neque similem humorem attrahit. Eorum autem singula quæ ad cibos aut potiones è terra producuntur, multas ad se è terra facultates trahunt, & in quoque aliquid pituitosi & sanguinei inest. Hac igitur ex necessitate adductus sum, quòd de cibis ac potibus qui in ventriculum veniant, corpus ad fontes nominatos trahit, similis humor similem per venas. Quòd verò vnúquodque per prædicta trahat, hoc aliud proferam argumentum, simulque aperiam vnde pituita in corpore gignatur. Cùm quis caseum aut aliquid acre comederit, aut aliud quid pituitosum ederit aut biberit, confestim ei ad os & nares accurrit. Quod omnes ita contingere cernimus, idque ex eo quod referam credere oportet. Asseuero autem quòd quicquid in cibo aut potu pituitosum inest, id vbi in ventriculum venerit, partim corpus ad se trahit, partim verò caput, quod cauum existit. Quod velut cucurbita corpori incumbens, pituitam attrahit, quæ cùm viscosa sit, hanc alia ex alia ad caput sequitur. Et quæ quidem recens pituita ex cibo gignitur, in capite manet, vetus autem à recente, cùm sit copiosior, vi illata expellitur. Eamque ob causam vbi quis aliquid pituitosum ederit aut biberit, pituitam excreat. Habet autem hæc se res ad hunc modum. Cùm quis quid pituitosum ederit aut biberit, si quod copiosum existit rursus non exeat, neque per os, neque per nares, id in capite manere, vel ex capite in corpus deferri, & ventriculum petere necesse est, & ad ventriculum peruenire. Et optimè quidem cesserit, si ad vẽtriculum perueniat: cum stercore enim exierit. Si quidem copiosum & humidum fuerit, & stercus humidum reddiderit. Si verò paucum fuerit, id non fecerit. Quòd si in capite permanserit, multum dolorem capiti exhibuerit, cùm in venis fuerit; paucum verò, id non fecerit. Copiosum autem aut paucum sui significationem exhibet. At verò si ad corpus deueniat, illic cum alio humore permiscetur, & si quidem copiosa pituita fuerit, cõfestim

καὶ ἄλλα, ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ δύνανται τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόμαται, παρέχει καὶ τοῦτο σκέψασθαι ὃ μέλλω ἐρέειν, ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδυοινίην τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος. ἔνθα μὲν γάρ, τῆς γῆς ἰκμάς ἐστιν ἥτις τὸν οἶνον ἡδὺν παρέξει· ἔνθα δέ, οὔ. ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα. μεταρθέντα δὲ ὁκόσον ὀργυιήν, οὐκ ἂν εὕρῃς ἔτι φυόμενα. οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι τοιαύτην ἰκμάδα οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέχειν. ἔστι γὰρ αὐτοῖσι, τὰ μὲν ἰωδέστερα, τὰ δὲ ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα. ἄλλα δὲ μυρία ἄλλως ἔχει. μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιες εἰσί. καὶ διὰ ταῦτα τὰ γένεα ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, ὅτι μὴ συγγενές. ἄγρια δέ μοι δοκέει ταῦτα πάντα εἶναι. ἄνθρωποι δὲ ταῦτα ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν κατὰ τὸ σπέρμα ἕκαστον. ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. καὶ τούτοισιν αὔξεται καὶ τρέφεται. καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. ἕλκει δὲ ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν ἐς ἑωυτό, πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς. ἐν παντὶ δέ ἐστί τι φλεγματῶδες, καὶ αἱματῶδες. ἀνάγκην οὖν τήνδε προηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων, ἕλκει τὸ σῶμα, αὐτὰς πηγὰς ὠνόμασα ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην διὰ φλεβῶν. σημήιον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει ἕκαστον κατὰ τὰ εἰρημένα. καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίγνεται ἐν τῷ σώματι. Ἐπὴν τις φάγῃ τυρόν, ἢ ὅ,τι ἐστὶ δριμύ, ἢ ἄλλο τι φάγῃ, ἢ πίῃ, ὅ,τι ἐστὶ φλεγματῶδες, αὐτίκα οἱ ἐπιρρέει ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας. καὶ τοῦτο οὕτως γινόμενον πάντες ἑωράκαμεν. τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. φημὶ δέ, ὁκόσοι ἐν τοῖς βρώμασι ἢ πόμασι φλεγματῶδες ἔνι, κεῖ οὖ ἐς τὴν κοιλίην ἐλθόντος, τὸ μὲν σῶμα ἕλκει ἐς ἑωυτό. τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα. καὶ ὥσπερ σικύη ἐπικειμένη, ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐόν. ἕπεται δὲ τοῦτο τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν. τὸ μὲν νέον φλέγμα τὸ γινόμενον ἐκ βρωμάτων, μένει ἐν τῇ κεφαλῇ, τὸ δὲ παλαιὸν ὁκόσῳ πλεῖον τὸ νέον, ὑπ' ἐκείνου βιώμενον ἐξέρχεται. καὶ διὰ τοῦτο ἐπὴν τις φάγῃ ἢ πίῃ ὅ,τι φλεγματῶδες, ἀποχρέμπτεται φλέγμα, ἔχει δὲ καὶ τόδε οὕτως. ἢν φαγόντος τι ἢ πίοντος τοῦ ἀνθρώπου ὅ,τι ἐστὶ φλεγματῶδες, μὴ ἐξέλθοι πάλιν, ἐν ὅσῳ πλέον ἐγένετο μήτε κατὰ τὸ στόμα, μήτε κατὰ τὰς ῥῖνας, ἀνάγκη ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα καταβῆναι ἀπὸ τῆς κεφαλῆς καὶ ἐς τὴν κοιλίην ἀφικέσθαι. καὶ ἄριστα συμβαίνῃ, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο, ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ. εἰ μὲν πολλὸν εἴη καὶ ὑγρόν, ὑγρὴν ὕφε τὴν κόπρον. εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. εἰ δὲ ἐν τῇ κεφαλῇ μείνειε, πολλὸν ἂν πόνον παράσχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν. εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειε τοῦτο. ἐπισημαίνει δὲ αὐτὸ ἢ πλέον ἢ ἔλασσον. ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσε οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι. καὶ ἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, ἐσάσσει ἐς τὸ

ἐς τὸ σῶμα αὐτίκα. ἢν δὲ ὀλίγην, οὐκ ἂν ἐσάσσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, εἰ μή τις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη. χρόνῳ δὲ ἢν μὲν ἕτερον ἐπιγένηται φλέγμα, σινοίατο ἄν. ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφέρῃ, καὶ ταῦτα ἔξω διδῶσιν, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα ἕλκει. καὶ τὸ ὅμοιον ἔρχεται παρὰ τὸ ὅμοιον. καὶ ἅμα εἴρηταί μοι, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἀνθρώπῳ, ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν. νῦν δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι. καὶ ὅκως ἕλκει τὸ χωρίον αὐτὴν, τὸ ἐπὶ τοῦ ἥπατος. ἔχει δὲ οὕτως. Ἐπὴν φάγῃ καὶ πίνῃ ὁ ἄνθρωπος, ὅ, τι ἐστὶ πικρὸν, καὶ ἄλλως χολῶδες, καὶ κοῦφον, πλείων καὶ ἡ χολὴ γίνεται ἐπὶ τῷ ἥπατι. καὶ αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι. καὶ τοῦτο εἰσείδομεν γινόμενον. καὶ ἐμφανές ἡμῖν ἐστιν, ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγένετο. ἕλκει μὲν γὰρ τὸ σῶμα εἰς ἑωυτὸ, ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην. ἕλκει δὲ καὶ τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἐς ἑωυτὸ, ὅ, τι ἂν αὐτόθι οἱ χολῶδες ἐνῇ. καὶ ἢν ἐξαπίνης πολλὴ γένηται ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ τῆς νηδύος 20 πλέον γίνεται. τούτου γὰρ γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὺν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐκ τούτου τῇ κοιλίῃ γίνεται. καὶ ἐξέρχεται αὐτέης, τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται. καὶ παύονται οἱ πόνοι. ἢν δὲ τούτων μηδέτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα. διαδίδοται γὰρ ἐς αὐτό. κἢν μὲν πουλὺ ᾖ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ. ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, ἢν μή τις καὶ ἄλλη ἀρχὴ ὑπογένηται. χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ ἐπιγένη- 30 ται, πλεῖστα σίνεται τὸν ἄνθρωπον. ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν περιϊέναι. ὅσα δὲ ἐστὶ χολώδεα, ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν, οὕτω δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενα φάρμακά ἐστιν, ὑφ' ἑτέρου ἕτερον ἐσπεσὸν ἐς τὴν κοιλίην τῇ ἑωυτοῦ δυνάμει, αἰτίην ἔχον τὸ κρατηθὲν ἔξω καὶ σινέεται τοῦτο. ἐπὴν δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐντεῦθεν γίνεται. ἐν τούτῳ δὲ ἐγὼ ἐπεσήμηνα, ὅκως ἡ χολὴ, καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων 40 καὶ τῶν ποτῶν. καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. Νῦν δὲ ἐρέω περὶ ὕδρωπος, ὥστε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι. καὶ ὅκως ἕλκει ὁ σπλὴν ἐς ἑωυτόν. φημὶ δὲ ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, ἕλκειν ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος, καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα. καὶ ἢν πλεῖον εἰρύσῃ τοῦ καιροῦ πονέειν αὐτίκα τὸν ἄνθρωπον. καὶ τοῦτο ἐσαΐουσι γινόμενον, ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν ἄριστα μὲν εἰ ἐν τῇ κύστει διηθεῖν ἀπὸ τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθεῖσθαι. κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, ἢν μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι τοῖσιν ἀπὸ τοῦ σπληνός· ἀλλ' οἷα ἐστὶν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν.

corpus grauarit, si verò pauca, non vtiq; grauarit, cùm nimirum corpus magnum sit, nisi aliud ei principium relinquatur. Succedente verò tempore, si quidem altera pituita accesserit, lædat vtique. Quòd si corpus ad vesicam & ventriculum transmittat, & hæc foras deferant, nihil ex ea mali habuerit. In hac igitur oratione demonstratum est, quomodo caput ex ventriculo pituitam trahat, & simile ad simile veniat, simulq; à me commemoratum est, quomodo & quam ob causam copiosior pituita in homine ex cibis & potibus gignitur. Nunc verò de bile dicendum, quomodo & quam 10 ob causam copiosior in homine gignatur, & quomodo locus eius qui est in hepate, ipsam trahat. Ad hunc quidem modum se res habet. Cùm quis aliquid amarum aut aliôqui biliosum & leue comederit aut biberit, tum copiosior bilis in hepate gignitur, tum confestim hepar dolet, quod pueri cor vocant, idq; fieri cernimus, & ex cibo ac potu contingere nobis apertũ est. Siquidem omnem cõmemoratum humorem corpus ad se attrahit. Locus autẽ qui est in hepate, quicquid illic biliosi inest, ad se trahit. Et si de repente copiosa bilis extiterit, hepar homini dolet, & copiosa ex vẽtre gignitur. Hoc enim si contingit, vetus bilis propter 20 multitudinem ad ventriculum fertur, & inde tormina in ventriculo oriuntur, & ipsius pars quædam per vesicam quidem, pars verò per ventrem foras procedit, sicq; paucissima in homine existit, & dolores cessant. Si verò horum neutrum contingat, primùm vetus bilis in corpus procedit, si quidem in ipsam trãsmittitur, & si copiosa fuerit, cõfestim reliquo humori permixta, de se significationem exhibet, sin pauca, minimè vtique grauarit, nimirum si corpus magnum sit, nisi aliquod aliud principium suboriatur. At successu temporis, si quidẽ altera bilis accesserit, plurimùm hominem lædit. Quòd si minimè accesserit, eã corpus percolauerit, ita vt bilem & quęcunq; biliosa sunt demit- 30 tat. Quæ enim eduntur & bibuntur, alia aliorum sunt medicamenta. Ita sanè etiam quæ lædunt medicamenta, vbi aliud ex alio in ventriculum illapsum est, sua facultate causam habet vt id quod superatum est foras expellat, ipsumque lædat. Vbi verò ex his quæ in ventriculum illabũtur, alia bilis corpori accesserit, inde morbus oritur. Hoc ego loco demonstraui, cur bilis & quam ob causam ex cibariis aut potibus copiosior oriatur, quodq; locus hepatis, quod biliosum est, quia simile, ex his quæ comeduntur & bibuntur, ad se attrahat. Nunc verò de aqua mihi dicendum est, quã ratione quamq; ob causam copiosior in corpore ori- 40 tur, & quomodo eã ad se lien attrahit. Asseuero autem quòd vbi quis amplius biberit, corpus & lien aquam ex ventriculo ad se attrahũt, & si plus æquo traxerint, confestim hominem laborare, idq; ita cõtingere sentiunt, quicunque lienosi sunt. At vbi lien traxerit, optimè quidem cesserit, si vetus aqua quæ in liene aut ventriculo inest, ad vesicam percoletur, & isthac veluti per colum effundatur. Neque enim per superiora loca aqua de liene expurgatur, nisi certè quantum in vasis inest, quæ à liene procedunt, sed in ventriculum & vesicam repurgatio fieri potest.

Hæc autẽ nisi fluida fuerint & foras percolentur, aqua de liene ad inferiores partes fertur, illicq; reliquo humori commiscetur. Et siquidem pauca fuerit, minimè vtique grauarit, sed de corpore ad vesicam & ventriculum per venas percolabitur, multæ enim ex eo deferuntur, quæ vbi sicciores quàm antea fuerint, ad se ex inferioribus partibus trahunt. Quòd si altera aqua oriatur, neq; ventriculus, neque vesica foras percolet, lien attollitur, & inferiores corporis partes dolore affliguntur. Istaq; à me dicta sunt, quomodo & quam ob causam aqua copiosior ex potu in corpore oriatur, & quánam ratione lien trahat. Nunc verò quomodo & quam ob causam sanguis copiosior in corpore gignatur dicendum est. Cùm quis quid sanguineum biberit aut comederit, id totũ quidem ad se corpus trahit. Trahit autem etiam cor ad se quod sanguineum est, neq; vbi copiosius attraxerit, cor afficitur. Cor enim cùm sit solida quædam res & densa, eã ob causam minimè dolore affligitur, ex eoq; venæ crassæ, iugulares dictæ, feruntur, in quas quod sanguineum est confestim transmittitur, si copiosius accesserit, illæque impletæ, capiti & corpori celeriter distribuunt. Cumque quid sanguineũ comederit aut biberit, confestim iugulares venæ extollũtur, & facies rubet. Cordi autem & corpori vbi ex cibis ac potibus plus ęquo sufficiens sanguis accesserit, reliquoq; humori ammixtus fuerit, nisi per vẽtrem aut vesicam reliquo humori permixtus exierit, corpori dolorem exhibet. At si paucus accedat, vtiq; corpus minimè grauarit, præcedente verò tempore ab ipso ad ventriculum aut ad nares trãsmittitur, quæ foras excolant, nihilq; lædunt. Si verò paulatim copiosior euadat, morbosus redditur. Quanam autem ratione copiosior sanguis gignitur, à me est expositum, cumq; quatuor in corpore existant, sanguis, bilis, pituita, & aqua, hæc omnia quomodo quamque ob causam ex cibis & potibus copiosiora gignerẽtur, à me est demonstratum. Quòd verò ex his gignantur, hoc constat argumento, quòd si quis pauca edat, & pauca bibat, nullum ei morbũ adfert. Atq; de his quidem hactenus. In quo etiam intelligẽti à me demonstratum est, quomodo hæc pauciora fierent, quod & meliùs paulò pòst declarabo. Quos verò appellaui fontes, ij cùm pleni fuerint, semper in corpus trãsmittunt, cùm verò vacui ab ipso vndique obsidentur. Sic etiam & ventriculus facit, habetq; se res ad hunc modum, velut si quis affusa in tria aut plura vasa ænea aqua, ea quàm plenissimo loco statuat, & quàm optimè coaptata disponat, cõiunctis ad foramina fistulis, sensimq; in vnum vas aquã donec omnia impleta fuerint affundat. Ex vno enim in reliqua vasa defluet, quoad cætera etiam impleta fuerint. Plenis verò vasis, si quis ex vno aquam exhauriat, vicissim contrà refluat aqua in vas æneũ, & rursus aqua ex vasis vacuabitur, quemadmodum eam exceperunt. Ita sanè & in corpore se res habet. Vbi enim cibi & potus in ventriculum deciderint, corpus ex ventriculo haurit, simulque cum fontibus expletur. At vbi ventriculus vacuatur, rursus retro humor redditur, quemadmodum etiam acceperat, non secus ac ex aliis vasis in vnum vas.

ἢν δὲ ταῦτα μὴ εὔρεα ᾖ, μηδὲ διηθῆ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω. κεῖθι δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι. κἢν μὲν ὀλίγον ἔῃ, οὐκ ἂν ἐσάσσεν, ἀλλὰ διηθείη ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν, καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν. εἰσὶ γὰρ ἐκ τούτου καταλείνουσαι πολλαί, αἳ ἕλκουσιν ἐς ἑωυτὰς [18] ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γίνωνται, ἢ πρὶν ἦσαν. ἢν δὲ γένηται ἕτερον ὕδωρ, καὶ ἡ κοιλίη, καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, ἀείρεται ὁ σπλήν. καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ 10 πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ. καὶ ὅκως ὁ σπλὴν ἕλκει. Νῦν δὲ ἐρέω περὶ αἵματος ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. ἐπὴν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ, τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτό. ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτήν. καὶ ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος. στερεὸν γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονεῖ. καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν αἱ σφάγιαι καλεόμεναι, ἐς ἃς ταχέως ἢν πλεῖον προσγένηται, διαδίδοται τὸ αἱματῶδες. καὶ πιμπλάμεναι κεῖναι, τῇ κεφαλῇ καὶ τῷ 20 σώματι διδόασιν ἐν τάχει. καὶ ἐπὴν τι φάγῃ ἢ πίῃ, ὅ, τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες ἀείρονται. καὶ τὸ πρόσωπον ἐρυθριᾷ. προσγενομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλείονος τοῦ ἱκανοῦ, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν, καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μισγόμενον τῇ ἄλλῃ ἰκμάδι, ἐν τῷ σώματι πόνον παρέχει. ἢν δὲ ὀλίγον προσγένηται, οὐκ ἐσάσσεν ἂν τὸ σῶμα. χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας. τὰ δὲ διηθεῖ ἔξω, καὶ ἀσινέες γίνονται. ἢν δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. ὅκως δὲ 30 πλέον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. τέσσαρα ἐόντα, τό τε αἷμα καὶ ἡ χολὴ καὶ τὸ φλέγμα καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν. ὅτι δὲ γίνεται ἀπὸ τούτων, σημεῖον τόδε ἐστίν. εἰ ἄνθρωπος ὀλίγα ἐσθίει καὶ ὀλίγα πίνει, οὐδεμίαν τούτῳ νοῦσον ἐπάγει. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. παρέψαυσαι δέ μοι δηλῶσαι τῷ συνετῷ, καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται. δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον. τὰς δὲ πηγὰς ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν πλήρεες ἔωσιν, ἀεὶ ἐπιδιδόασιν. ὁκόταν δὲ κεναί, προσεύ-40σανται ἀπ' αὐτοῦ. οὕτω δὲ καὶ ἡ κοιλίη ποιεῖ. ἔχει γὰρ οὕτως, ὥσπερ εἴ τις εἰς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ ἐγχέας, καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου, καὶ συναρμόσας ὡς κάλλιστα διαθεῖν αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα. καὶ ἐγχέῃ ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ μέχρις οὗ πλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα. ἀπὸ γὰρ τοῦ ἑνὸς ῥεύσεται ἐς τὰ λοιπὰ χαλκεῖα μέχρις ὅπου καὶ τἄλλα πλησθῇ. ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, [19] ἤν τις ἀπὸ τοῦ ἑνὸς ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσειεν ὀπίσω ῥέον τὸ ὕδωρ εἰς τὸ χαλκεῖον. καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν ὥσπερ καὶ ἐδέξατο. οὕτω δὴ καὶ ἐν τῷ σώματι ἔχει. ἐπὴν γὰρ ἐς κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτά, ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίας, καὶ πληροῦται σὺν ταῖς πηγαῖς. ἐπὴν δὲ ἡ κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμάς, ὥσπερ καὶ ἐπεδέξατο, ὡς ἐκ τῶν ἄλλων ἐς τὸ ἓν χαλκεῖον.

φλέβες

φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι, αἱ δὲ παχύτεραι πολλαὶ καὶ πυκναί. αὗται δὲ μέχρις οὗ ἂν ζώῃ ὁ ἄνθρωπος, ἀνεῴγασι, καὶ δέχονται, καὶ ἀφιᾶσι τε καὶ νέον ὑγρόν. ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι καὶ γίνονται λεπταί. μέχρι μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπὴν τι ἔχῃ ἐν ἑωυτῇ. ἐπαυρίσκονται δὲ αἱ πηγαὶ καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι. εἰ γὰρ τὸ σῶμα μὴ ἕλκῃ ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ' αἱ πηγαὶ μόναι[20] καὶ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, ἀλλὰ ἐλάσσονα. οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τῆς τροφῆς διεκδιδοῦσαι πηγαί. αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες, οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ,τι ἡδύ ἐστιν, οὔτε ὅ,τι ἀηδές, κατὰ ἀνάγκην τοιήνδε, ἣν μέλλω ἐρέειν. ταῦτα τὰ χωρία ἅτε μικρότερα ἐόντα, καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος,[21] ἀεὶ καὶ πρὸ τοῦ ἐσάσαι ἕκαστον κατὰ τὴν ἑωυτοῦ δύναμιν, ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων, ὅ,τι τε χολῶδές ἐστι, καὶ ὅ,τι φλεγματῶδες, καὶ ὅ,τι αἱματῶδες, καὶ ὅ,τι ὑδρωπῶδες. τούτων γὰρ ἡμῖν, ὅ,τι ἂν ἑκάστου πλέον τοῦ καιροῦ ᾖ, καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσιν, κεῖνα οὐδὲ ἡδέα γίνεται. ἅσσα δὲ χατίζει μάλιστα, κατὰ ταῦτα κεῖνα ἡδέα ἐστίν. ἢν δὲ βρωτῶν καὶ ποτῶν ἐνδεέστεραι τῶν πηγέων τις, κατὰ τοῦτο καὶ τὸ σῶμα ἑλκύσει ἀπ' αὐτέων, ἕως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται, τότε ἱμείρεται ὥνθρωπος, ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ,τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει, καὶ ἰσώσει τῇσιν ἄλλῃσι. καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἔστιν ὅ,τι ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ. καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φαγοίμεν, εἰ μὴ ὅ,τι ἱμειρόμεθα. ἐπὴν δὲ φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ ταῦτα ἅπαντα ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. ἔχει δὲ καὶ τόδε.[22] ὅτι ἐς μὲν τὸ χωρίον τῷ ἐστὶ τὸ ἧπαρ, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ μόνον. τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα, οὐ δύνανται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν. καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι. συνήθης τε ἐστὶ τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλιστα. καὶ διὰ τοῦτο ἐν αὐτῷ οὐδεμία νοῦσος γίνεται ἄλλη, ἢ ἣν ἴσασι[23] καρδιωγμὸν οἱ ἄνθρωποι καλέουσιν. ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν, μετέχουσι τῆς ἰκμάδος πάσης. ἕκαστον, ἢν μή τι νοσέῃ, μετέχει πλεῖστον κατὰ φύσιν τὴν ἑωυτοῦ τῶν εἰρημένων. ἡ μὲν κεφαλὴ, τοῦ φλέγματος. ἡ δὲ καρδίη, τοῦ αἵματος. ὁ δὲ σπλὴν, τοῦ ὕδατος. ἕλκουσι δὲ καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτὰς, εὐρεῖαι, καὶ παχεῖαι καὶ ἑλικοειδέες ἐοῦσαι. ὥστ' ἐπὴν ἕλκωσιν, ἕπεσθαι ἑτέρην ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. καὶ τῇ μὲν καρδίῃ, πλησιάζουσιν αἱ σφαγίαι φλέβες, παχεῖαι οὖσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπὴν οἱ πλέον τοῦ καιροῦ προσγένηται. αἱ δὲ τῷ ἄλλῳ σώματι ἐκδιδόασι. καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος. καὶ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. ἡ δὲ κεφαλὴ καὶ ὁ σπλὴν, μάλιστα ἐπίνοσά ἐστι. νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, ὅταν πλείονα προσγένηται τοῦ καιροῦ. νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος. φλέβες γὰρ ἐς αὐτὰ πα-

Venæ enim multæ & crebræ, aliæ quidem tenuiores, aliæ crassiores, per totum corpus feruntur. Hæ quandiu homo viuit, apertæ sunt, & nouum humorem excipiunt & emittunt. Eo mortuo conniuent & extenuãtur. Quoad igitur homo viuit, corpus quidem ex ventriculo, si quid in se habuerit, haurit, hauriunt & fontes, & expleti corpori transmittunt. Nisi enim corpus humiditatem ex ventriculo attraheret, sed soli fontes, neque ad corpus transmitterent, non vtique sufficiens haberet corpus alimentũ, sed parcius. Neq; enim alimentum amplius haberent, quod in corpus fontes distribuerent. Ac nisi fontes isti adessent, dum comedimus aut bibimus, non vtique certò dignosceremus quod in cibo & potu suaue esset aut insuaue, hac necessitate, quam dicam, coacti. Hæc nimirum loca cùm parua sint, & intra reliquum corpus collocata, priùs quàm vnumquodque impleatur, sua ipsius facultate reliquo corpori semper denunciat, quid ex his quæ comeduntur & bibuntur, biliosum, pituitosum, sanguineum & aquosum sit. Ex his enim singulis, quicquid in cibo & potu plus iustò adfuerit, illos nobis insuaues reddit, quæ verò maximum sui desiderium faciũt, ea ratione suauia sunt. Quòd si ex fontibus aliquis cibo aut potu indigeat, ea ratione etiam corpus ab his attrahet, donec humor iusto paucior euadat, tuncque quis comedere aut bibere desiderat, quod portionem illam expleat, & reliquis æqualem faciat. Eámque ob causam cùm multum edimus aut bibimus, interdum cibũ aut potũ appetimus, nihilq; suauius sumimus, quàm quod appetimus. Vbi verò cibum sumpserimus, humórque quoad eius fieri potuerit, in fontibus & corpore adæquatus fuerit, tunc in eo appetentia sedatur. Ac de his quidem hactenus. Quòd verò in loco quidem qui est in hepate, ex cibis & potionibus sola bilis secernitur, ita etiam se res habet. Venulæ enim cùm debiles & tenues existant, alium humorem crassiorem & grauiorem attrahere nequeunt, simulque ea non est loci capacitas, vt ibi alius humor consistat, hicque locus bili natura maximè familiaris est. Propthereáque nullus in eo alius oritur morbus, nisi quem καρδιωγμὸν, hoc est, cordis morsum vocant. At verò caput, cor, & lien, omnis humoris participes sunt. Vnumquodque, nisi ægrotet, plurimùm eius qui cuique natura inesse dictus est, particeps fit, caput quidem pituitæ, cor sanguinis, lien aquæ. Venæ etiam amplæ & crassæ, & clauicularum in modum intortæ, ad se alium humorem attrahunt, ita vt vbi traxerint alium alius sequatur. Et cordi quidem vicinæ sunt iugulares venæ crassæ, in quas si quid ei plus iusto accesserit, celeriter distribuitur, hæ verò reliquo corpori transmittunt, simúlq; cor ipsum solidum & densum existit, adeò vt ab humore affligi nequeat, ideóque nullus in corde morbus suboriatur. Caput autem & lien morbis maximè sunt obnoxia. Afficiuntur enim ab his quæ naturâ insunt, cùm plus iusto accesserint, afficiuntur quoque & ab aliis humoribus. Venas enim crassas & multas in se habent,

cumque admodum venosa sint & caua, amplam capacitatem alteri excipiendo humori exhibent, qui sensim ad ea procedit, & ei qui à natura inest permiscetur. At quemadmodum in magno vase amplior est capacitas, quàm in paruo, sic & in capite & liene se res habet. In his enim præcipuè horum locorum ampla est cauitas. Quòd si isthic humore venæ expletæ fuerint, in his ab eo morbus oritur. Atque de his nunc hactenus. Quomodo autem horum humorum quisque in corpore parcior gignatur, meliùs demonstrare volo. Quatuor equidem esse humores homini noxios demonstraui, quatuor etiam ipsorum esse fontes asseuero, per quos eorum vnumquemq; homo repurget, ijque sunt, os, nares, podex & vrinæ fistula. Et vbi copiosior aliquis humor molestus fuerit, si per hanc viam homo repurgetur, nullus inde eum morbus vexat. Ac si ventriculus plenus fuerit, tabescente corporis humore, ad eum defluit, & per aliquem ex his locis extra fertur, ideóque parcior in corpore humor gignitur. Corpus enim, quemadmodum à me antea dictum est, ventriculo, vbi vacuus fuerit, distribuit, & ex eo haurit, vbi plenus fuerit. Atque hæc dicta sint, quomodo & quare humores homini molesti pauciores fiant. Quomodo autem & quam ob causam homo sanus degat, mihi dicendum. Vbi comederit & biberit, humórque ad corpus peruenerit, quo dictum est modo alteri permixtus, tum ei qui in corpore, tum ei qui in fonte est, eo quidem quo accessit die in corpore manet, postridie verò ei alius humor accedit. Atque hi quidem duo dies sunt, & duo in corpore humores. Humorum quidem alteri duo dies sunt, alteri verò duo. Posterior quidem certo, vt qui crassus sit, in corpore manet. Alter verò à calore coctus diffunditur, & vbi tenuis euaserit, postridie semper à recenti protrusus, ad ventriculum reuertitur. Quò cùm peruenerit, cibos loci illius coquit, & de se sanguinem in corpore facit. Cùm autem permanserit, tempore graueolens redditur. Tertio verò die, vnà cum stercore & vrina, copia sibi ipsi toti æqualis & similis æquabilique momento foras egreditur. Et si sui ipsius portio quædam fuerit, humor tamen iuxta dictam rationem in corpore manet. Tertio autem die ex corpore humoris maior copia & graueolentior ad ventriculum confluit, id quod videlicet ab altero relictum fuit, & cibaria concocta deducit, & quicquid in corpore morbosum est, rursus cum eo defertur. Vrina verò, quæ salsa existit, indicat quòd cibaria è corpore quod morbosum est deducunt, & semper postridie per aluum secedunt, humor verò tertio die. Eóque modo contingere sanitas solet. Et ista quidem dicta sunt, qua ratione & quam ob causam homines sanitate fruantur. Quòd si humor hic sigillatim postridie foras prodeat, cibaria non similiter graueolentia reddita, sed velut cocta, ex ventriculo foras concedunt, vrináque potui similis redditur, corpúsque semper vtique euacuatur, omniqúe tempore vbi quis aluum exonerauerit, aut vrinam reddiderit,

χεῖαί τε καὶ πολλαί εἰσι. καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν αὐτῇσιν εἶναι χωρεύσῃ κατ' ὀλίγον καὶ μισγομένην τῇ φύσει ἐούσῃ. ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλή, ἢ ἐν μικρῷ. οὕτω δὲ καὶ ἐν τῇ κεφαλῇ, ἢ ἐν σπληνί, ἔχει. εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσιν ἐστί. ἢν δὲ πληθωθῶσιν ἰκμάδος αἱ φλέβες αὐτόθι, ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦσος γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν. ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμά- 10 δος ἐν τῷ σώματι ἐλάσσων γίνεται. Τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα ἀπέδειξα τῷ ἀνθρώπῳ συνεόμενα. [24] τέσσαρας δέ σφι πηγὰς λέγω εἶναι, ᾗσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον. ταῦτα δέ ἐστι, τό, τε στόμα, καὶ αἱ ῥῖνες, καὶ ὁ ἀρχός, καὶ ἡ οὐρήθρη. καὶ ἐπὴν τις πλείων γένηται τῆς ἰκμάδος τῆς πονεούσης, ἢν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία μιν νοῦσος πιέζει ἀπὸ ταύτης. καὶ ἢν ἡ κοιλίη πλήρης ᾖ, τηκομένου τοῦ σώματος ἀπὸ τῆς ἰκμάδος, καταρρέει ἐς αὐτὴν καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων. καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώ- 20 ματι. τὸ γὰρ σῶμα ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ ἔῃ. καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ἔῃ ἀπ' αὐτῆς. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι ἐλάσσονα γίνεται τὰ πονέοντα τῷ ἀνθρώπῳ. ὅκως δὲ καὶ διότι ὁ ἄνθρωπος ὑγιαίνει, ἐρῶ. Ἐπὴν φάγῃ, καὶ πίῃ, καὶ ἀφίκηται ἡ ἰκμὰς ἐς τὸ σῶμα, τρόπῳ ὥσπερ εἴρηται, μιγεῖσα καὶ τῇ ἄλλῃ, καὶ τῇ ἐν τῷ σώματι, καὶ τῇ ἐν τῇ πηγῇ ἐούσῃ, [25] τῇ μὲν ἡμέρῃ ᾗ προσγένηται, μένει ἐν τῷ σώματι. τῇ δὲ ὑστεραίῃ, ἄλλη οἱ ἰκμὰς προσγίνεται. αὗται δύο μὲν ἡμέραι εἰσί. δύο δὲ ἰκμάδες ἐν τῷ σώματι. τῇ μὲν ἑτέρῃ τῶν 30 ἰκμάδων, δύο ἡμέραι εἰσί. τῇ δὲ ἑτέρῃ, μία. [26] ἡ μὲν δὴ ὑστεραίη μένει ἐν τῷ σώματι, ἅτε παχεῖα ἐοῦσα. ἡ δὲ ἑτέρη πεφθεῖσα ὑπὸ τῆς θέρμης, διακέχυται. καὶ λεπτὴ γενομένη, παραγίνεται ἐν τῇ ὑστεραίῃ ἡμέρῃ εἰς τὴν κοιλίην, διὰ παντὸς τοῦ χρόνου ἐξωθεομένη ὑπὸ τῆς νέης. ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην, πέσσει τὰ σιτία ἐν τῷ τόπῳ. καὶ ποιεῖ τὸ αἷμα ἀπ' αὐτοῦ ἐν τῷ σώματι. μείνασα δὲ ἐγένετο ὑπὸ τοῦ χρόνου κάκοδμος. τῇ δὲ τρίτῃ ἡμέρῃ ἐξέρχεται σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, πλῆθος αὐτὴ ἑωυτῇ πάσῃ ἴση τε καὶ παραπλησίη, καὶ ἰσόρροπος. [27] καὶ ἢν ἑωυτῆς 40 μέρος τι εἴη, ὅμως ἡ ἰκμὰς μένει ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημένον. ἐπιρρέει δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ τοῦ σώματος ἐπὶ τὴν κοιλίην, πλεῖον καὶ κακοδμότερον, τὸ ἐπιλοιπὲς γενόμενον [28] ὑπὸ τῆς ἑτέρης. καὶ καταφέρει τὰ βρώματα πεπεμμένα, καὶ ὅ, τι ἐν τῷ σώματι νοσερόν ἐστι. καὶ αὖθις συνέρχεται. σημαίνει δὲ τὸ οὖρον ἁλμυρὸν ἐόν, ὅτι καὶ καταφέρει ἀπὸ τοῦ σώματος τὸ νοσερὸν τὰ σιτία. [29] ἐς δὲ τὴν ὑστεραίην, ἀεὶ διαχωρέει. ἡ δὲ ἰκμὰς ἐς τὴν τρίτην. οὕτως ὑγιείη συμβαίνει γίνεσθαι. καὶ ταῦτα μὲν εἴρηται, ὅκως τε καὶ διότι ὑγιαίνουσιν οἱ ἄνθρωποι. ἡ δὲ ἰκμὰς αὕτη, εἰ κατὰ μέρος ἔξω χωρέοι ἐς τὴν ὑστεραίην, τὰ σιτία οὐχ ὁμοίως ἂν ἐκ τῆς κοιλίης κάκοδμα γενόμενα, ἔξω χωρέει, ἀλλ' ὥσπερ ἑφθά. καὶ τὸ οὖρον, τῷ ποτῷ παρόμοιον. [30] καὶ τὸ σῶμα αἰεὶ κενοῦται ἀεί. καὶ ἐγένετο διὰ παντὸς τοῦ χρόνου ὁ ἄνθρωπος, ἐπὴν ἀποπατήσει καὶ οὐρήσει, αὐτίκα

αὐτίκα πόσιος καὶ βρώσιος κατὰ τὸν ἀπόπατον, πλῆθος
ἔμελλεν ἰσχύειν, ἰκμάδος μὴ ὑπολειπομένης ἐν τῷ σώ-
ματι ἀρκεούσης, ἀλλὰ χωρεούσης σὺν τῇ κόπρῳ ἔξω τῇ
ὑστεραίῃ, ἢ τῇ αὐτῇ ἡμέρῃ. καὶ εἰ μέν τι ἔφαγεν, εἰ δὲ μὴ κε-
νωθεῖσα ἀκιδνός τε ἦν, οὐδ᾽ ἂν δύναιτο παχυνθῆναι ἡ
ἰκμὰς τῇ ὑστεραίῃ ἔξω χωρέειν. οὐ γὰρ ὑπελιμπάνετο ἐν τῷ
σώματι ἀρκέουσα. νῦν δὲ ἐξαποπατέοντες ὑγιαίνομεν καὶ
δύο ἡμερέων μηδὲν φαγόντες, καὶ ἔτι καὶ πρῆξαί τι ὑπο-
μένομεν. καὶ οὐκ ἐξασθενέομεν τελείως ὑπὸ κενώμα-
τος ἐν τούτῳ τῷ χρόνῳ. ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώματι μένου- 10
σα, τὴν ἰσχὺν παρέχει. καὶ ταῦτα μέν εἴρηταί μοι, ὅκως
τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα, τὴν προσγινομένην
ἐν τῷ σώματι, ἐξιέναι ἔξω αὐθημερὸν, ἀλλ᾽ οὐδὲ τῇ ὑστε-
ραίῃ. φημὶ δὲ ἤν τε ἐμμένῃ πλείονας τῶν τριῶν ἡμερέων
ἡ ἰκμὰς ἐν τῷ σώματι, ἢ ἄλλη προσγένηται πολλὴ πιμ-
πλαμένη, τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ἐπι-
σημαίνει τῷ ἀνθρώπῳ κακὸν ἢ μεῖζον, ἢ ἔλασσον. χειμῶ-
νος μὲν ἔλασσον καὶ ὕστερον· θέρεος δὲ μεῖζον καὶ πρόσθεν.
ταῦτα δέ μοι εἴρηται, ὅ,τι συμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς
ἐν τῷ σώματι. Εἰ δὲ βρώματα διαχωρέει τὸ σῶμα, οὐκ 20
ἂν ἐπαυρίσκετο ἡμῖν τῆς ἰκμάδος ἐπαρκέον, ἀλλ᾽ ἦσαν οἱ
ἄνθρωποι λεπτοὶ καὶ ἀσθενέες. νῦν δὲ ἐμμενόντων τῶν βρω-
μάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυ-
ρίσκεται καθ᾽ ἡσυχίαν, ἕλκον ἀπὸ τῆς κοιλίης καὶ πίμπλα-
ται. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὰ βρώματα,
οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι. ἢν δὲ ἐμμένῃ τὰ σι-
τία ἐν τῇ κοιλίῃ πλείονα τοῦ δέοντος χρόνον, καὶ ἕτερα εἰς αὐ-
τὰ πίπτῃ, τὸ σῶμα πληρωθείη ἄν. καὶ πιεζομένων τῶν φλε-
βῶν ὑπὸ τῆς πληθώρης, θέρμη ἂν καὶ πόνος τῷ σώματι πα-
ραγίνοιτο, θέρεος μὲν θᾶσσον, χειμῶνος δὲ ὕστερον. τοῦ μὲν γὰρ 30
θέρεος τὸν ἄνθρωπον θερμόν ἐστι τὸ περιέχον, καὶ θερμότερον
ἕλκει τὸ σῶμα ἐς ἑωυτόν. κἢν ἐπὶ θερμῆς τῆς κοιλίης ἐού-
σης, θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσ-
γένηται, οὐ θαῦμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου πυ-
ρετῆναι. χειμῶνος δὲ ψυχρὸν ἕλκοντος τὸ πνεῦμα ἐς ἑωυ-
τὸν, μᾶλλον πολλῷ δύναιτ᾽ ἂν τὴν πληθώρην ἀναφέρειν
τὸ σῶμα τοῦ ἀνθρώπου ἀποπατέοντος ὀλίγον. Ταῦτα δέ
μοι εἴρηται, ὅ,τι συμβαίνει γίνεσθαι, ἢν μὲν μένῃ τὰ σιτία
πλείονα χρόνον ἐν τῇ κοιλίῃ, καὶ παρέφαυσάς μοι ἀπο-
φῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς βρώσιος τοῦ χρό- 40
νου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος, τὸ διαφέρειν, διότι νο-
σέουσιν οἱ ἄνθρωποι. δηλώσω δὲ περὶ τούτου κάλλιον, τοῦ
χρόνου προϊόντος. ἀναβήσομαι δὴ αὖθις ὀπίσω, περὶ τῆς ὑ-
γιείης ἐρέων, ὅτι δὴ τὸ σῶμα τοῦ ἀνθρώπου ἀπὸ τῶν βρωτῶν καὶ
τῶν ποτῶν τῆς ἰκμάδος ἐπαυρίσκεται. καὶ χωρέει ἔξω τῷ
ὑγιεῖ κατὰ τὸν εἰρημένον λόγον, τά τε βρώματα καὶ ἡ ἰκμάς.
καὶ ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλέον ἢ ὅσον προσεγένετο
ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, λεπτὸς γίνεται ὁ ἄνθρωπος. πλείω δὲ χωρέει ἔξωθεν τῆς προσγινομένης, διὰ τόδε. Ἢν
μὲν δι᾽ ἡσυχίης ᾖ ὁ ἄνθρωπος καὶ μὴ ταλαιπωρέῃ, κακόν τι οἱ ἐν τῷ σώματι ἔνεστιν, ὑπὸ δὲ τῆς ἄλλης ὑγιείης πολλῆς
ἐούσης, οὐκ ἐᾶσαι κάρτα. τὸ δὲ κακὸν τοιόνδε ἐστίν. ἐπὴν τούτων τι τῶν τεσσάρων τῶν γινομένων τῷ σώματι, ἐ-
πέλθῃ πλέον τι μὴ πολλῷ, τὸ σῶμα θερμαίνεται καθ᾽ ἡσυχίην, ὡς μὴ ἐᾶσθαι κάρτα. καὶ τήκεται ἐν τῇ κοιλίῃ. καὶ

statim potu & cibo indiget, pro egestionis verò copia validus erit, cùm humoris non satis in corpore relinquatur, sed postridie aut eodem die, vnà cum stercore foras prodeat. Et si quidem quid comedat, nécne, vbi vacuatus fuerit, debilis sit, neq; humor incrassari queat, si postridie foras prodeat, cùm sufficiēs in corpore non relinquatur. At nunc cùm ventrem exoneramus bene valemus, & biduo nihil edentes, & esse, & aliquid facere sustinemus, neq; hoc tempore propter vacuationem prorsus debilitamur. Humor enim in corpore relictus, robur præstat. Atque hæc quidem 10 quomodo & quam ob causam humor ad corpus accedens, non eodem die, sed neq; postridie foras prodire queat, dicta sunt. Id autem affirmo, quòd si plus quàm tres dies in corpore humor permaneat, aut alius qui impleat copiosus accesserit, vbi venæ incaluerint & constiterint, homini maius aut minus malum denunciari, hyeme quidem minus & tardius, æstate verò maius & celerius. Atq; hæc quidem contingere solere, si humor in corpore maneat, dicta sunt. Si verò corpus cibos statim per aluum demittat, non vtique quod satis sit humoris nobis suppetat, & homines graciles & debiles essent. At nunc cùm cibi & potus tanto tempore in corpore permaneāt, corpus ex ventriculo attrahens, sensim haurit & expletur. Istaq; à me dicta sunt, quomodo & quam ob causam cibaria eadem die exire non possint. Quòd si cibi in ventriculo plus quàm conueniat immorentur, aliiq; ad eos accedant, corpus vtique implebitur, & compressis à plenitudine venis, calor ac dolor corpori aderit, æstate quidem citiùs, hyeme verò tardius. Æstate enim hominem circumstans aër calidus est, calidioremq; ad se corpus attrahit. Ac si calido adhuc ventriculo, iusto calidior homini spiritus adiūgatur, minimè mirandū est ex eo hominem febricitare. Cùm vero spiritum frigidū hyeme ad se attrahat, multò magis corpus plenitudinem perferre queat, homine parum aluum exonerante. Atque hæc ita contingere, si cibi in ventriculo diutiùs permaneāt, dicta sunt. Quinetiam leuiter à me demonstratum est, omnem humoris & cibi in tempore, tum longiore, tum breuiore differentiam, in causa esse cur homines ægrotent, quod etiam procedente tempore pulchriùs declarabo. Ac mihi rursus vnde digressus sum redeundum est, & de sanitate dicendum, quòd hominis corpus ex cibis & potibus humorem haurit, quodq; dum valet, tum cibi, tum humor, secūdum commemoratam rationem foras prodeunt, & si quidem plus humoris quàm ex cibis & potibus adfuerit, foras prodeat, homo extenuatus redditur. Ob hanc verò causam, foras plus prodit quàm adfuerit. Si quidem quis quiescat neque exerceatur, malè corpus afficitur, verùm quòd aliàs multa sanitate fruatur, non admodum grauatur. Est autem affectio eiusmodi. Cùm quid ex his quatuor quæ in corpore gignuntur, non ita longè copiosum aduenerit, corpus sensim incalescit, vt non admodum grauetur, & in ventriculo colliquescit, insua-

uémque homini cibum reddit. Si verò humor alius alio copiosior fuerit, inde febris homini suboritur. Sed de his paulò pòst exactiùs edisseram. Interdū autem etiamsi cibus suauis existat, homo extenuatus redditur, causa verò eadē est. Quæ si contingant, plus humoris exit quàm apponatur, eamque ob causam in quiete degentem extenuari contingit. Hominum autem laborantium corpus incalescit. Hoc enim ex labore incalescente, & humor in ipso diffunditur, & morbus hic extenuatorius exoritur. Cùm autem inutilis reddatur, ad ventriculum & vesicam defluit, quæ foras transcolans, & partim sanè per internam raritatem foras exhalat, partim verò adhuc intus manens, in sudorem versus, foras per corpus procedit. Quin eodem etiam modo iuuenum exercitationes idem quod labor efficiunt. Quòd si etiam parcior non fuerit humor quàm qui priùs exiuit, neque alius adhuc à potibus ac etiam cibis accedat, eam ob causam quis extenuatur. Parcior autem adiungitur, si quid aliud comedere non possit, & si pro prioris laboris & exercitationis ratione laborare nequeat, aliis alia pauciora euadūt. At verò bona corporis habitudo per cibos hanc ob causam accedit. Vbi tempore resiccatus humor fuerit, & in priore labore alius alio priùs exierit, interdum copiosior, & vnus alius alios admodum superauerit, id plenitudinem facit. Et si quidem à multis valde superetur, hoc modo febris contingit. Si verò à paucis, parum, corpúsque hoc modo perferre potest, cùm copiosior in ipsis humiditas insit, quæ calorem dissoluit. Corpus enim à febre incalescit, & si modicum quidem fuerit quod molestum est, tertio die eodem modo dimittit, duobus verò diebus continenter vexat. Sin verò copiosius, quinto die, quatuor autem pro ratione habet. Sic morbi per dies iudicātur. Quòd si febris dimittat diebus imparibus, & sanus quis euadit, & moritur. Quam verò ob causam, paulò post declarabo, nunc autem dicendum cur febris dimittat. Cuius rei causam esse affirmo, quòd si febris hominis corpus prehenderit, tertio die aut alio quodam impari, humorem molestum è corpore exire secundum commemoratam priùs rationem necesse sit. Neque enim priùs exit, quàm ei bonus alius ex ventriculo accesserit. Intermedio namq; & postero die corpus ex ventriculo trahit, quicquid in suum vsum primo die in ipsum demiserit, nisi ventriculus transcolarit, & alium humorem habuerit, quod certè homini malè cesserit. Quod si febris tertio die dimittat, eodem modo quo primo die dimittit, vt dictū est. Et sic quidem contingit febrem in corpore excitatam tertio die remittere. Assero autē quòd si quinto die, aut septimo, aut nono dimittat, eodem modo dimittere, velut tertio die exit. Est enim febris alimentum in locis quos paulò antè commemoraui. Exuperantem enim copiosiorem humorem, homo sustinere non potest. Imparibus autem diebus illam ob causam febris dimittit, quòd paribus diebus corpus ex ventriculo attrahit, imparibus verò dimittit. Ventriculus autem in homine sano foras transmittit. Ac propterea necessariò diebus imparibus morbi iudicantur, istaq; ratione

τὸν σῖτον ἀηδέα τῷ ἀνθρώπῳ ποιέει. ἢν δὲ πλέον εἴη ἡ ἰκμὰς ἡ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ προσγίνεται. ἀλλὰ περὶ τούτου ἀκριβέστερον ὀλίγῳ ὕστερον ἀποφανέω. [34] ἔστι δὲ ὅτε καὶ τοῦ σίτου ἐόντος ἡδέος, λεπτὸς γίνεται ὁ ἄνθρωπος. αἴτιον δὲ τὸ αὐτό. Τούτων δὲ γινομένων, ἐξέρχεται τῆς ἰκμάδος πλέον, ἢ καταπίπτει. καὶ διὰ ταῦτα τὸ μὲν ἡσυχάζοντι συμβαίνει λεπτὸν γίνεσθαι. ταλαιπωρεόντων δὲ τῶν ἀνθρώπων, καὶ τὸ σῶμα θερμαίνεται. καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου, καὶ ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται. καὶ γίνεται ἡ νοῦσος ἥδε λεπτή. ἀχρεῖος δὲ γινομένη, καταρρέει καὶ ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. [35] ταῦτα δὲ διηθέει ἔξω. [36] τὸ δὲ, δι' αὐτῆς διατμέει ἔξω, διὰ τοῦ ἔνδον ἀραιώματος. τὸ δὲ ἔτι καὶ ἐμμένον, ἱδρὼς γινόμενος, ἔξω χωρέει κατὰ τὸ σῶμα. ὡσαύτως δὲ καὶ τὰ γυμνάσια τῶν νέων, τὸ αὐτὸ τῇ ταλαιπωρίῃ προσεργάζεται. ἢν δὲ καὶ μὴ ἐπ' ἐλάσσων ἡ ἰκμὰς τῆς πρότερον ἐξιούσης, προσγινομένη τε ἐπὶ ἄλλη ἀπὸ τῶν ποτῶν, καὶ προσέτι ἀπὸ τῶν βρωτῶν, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος. ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλο τι δύνηται ἐσθίειν. καὶ πρὸς μὲν τὸ πονέειν κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα ἐλάσσων γίνηται. [38] Ἐπιγίνεται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη, διὰ τόδε. ἐπὴν ἀναιρῆται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ, καὶ ἐν τῇ προτέρῃ ταλαιπωρίῃ ἐξέλθῃ πρότερον ἑτέρη τῆς ἑτέρης ἔστιν ὅτε πλείων, καὶ κρατέῃ μίη ἄλλη τῶν ἄλλων κάρτα, πληθώρης ἐστί. ἢν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατέῃ, πῦρ ἐκ τοῦ τοιούτου γίνεται. ἢν δὲ ὑπὸ ὀλίγων, ὀλίγα. καὶ τὸ σῶμα δὲ οὕτως ἀναφέρειν δύναται, τοῦ ὑγροτέρου πλείονος αὐτοῖσιν ἐνεούσης, τὴν θέρμην ἀπολύει. θερμαίνεται γὰρ τὸ σῶμα ὑπὸ πυρός. καὶ ἢν μὲν ὀλίγον ἔῃ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τῷ αὐτῷ. τὰς δὲ δύο ἔχει συνεχέως. [39] ἢν δὲ πλείων, πέμπτῃ ἡμέρῃ. τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον. οὕτω τῶν ἡμερέων αἱ νοῦσοι κρίνονται. ἢν δὲ μεθῇ τὸ πῦρ ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος, καὶ θνήσκει. διότι δὲ ὀλίγον ὕστερον ἀποφανέω. νῦν δὲ ἐρέω, διότι μεθίει τὸ πῦρ. φημὶ δὲ εἶναι, [40] ὅ,τι ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τὸν ἄνθρωπον, ἀνάγκη ἐστὶ τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπεῦσαν ἀπὸ τοῦ σώματος, ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων κατὰ τὸν πρότερον εἰρημένον λόγον. οὐ γὰρ ἐξέρχεται πρὶν ἢ οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή. τῇ γὰρ μέσῃ καὶ τῇ ὑστεραίῃ, ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ὅ,τι ἂν αὐτῷ ἐς ἑωυτὸ ἀφῇ, τῇ προτέρῃ ἡμέρῃ, ἢν μὴ ἡ κοιλίη διηθήσῃ, καὶ ἑτέρην σχῇ ἰκμάδα. καὶ τοῦτο πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον, τῷ αὐτῷ τρόπῳ μεθίει, ὥσπερ καὶ αὐθημερὸν ὡς εἴρηται. καὶ οὕτω μὲν συμβαίνει τὸ πῦρ γινόμενον ἀπὸ τοῦ σώματος, ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι. φημὶ δὲ καὶ ἢν πέμπτῃ ἡμέρῃ καὶ ἢν ἑβδόμῃ καὶ ἢν ἐνάτῃ μεθῇ τρόπῳ τῷ αὐτῷ μεθιέναι, ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. καὶ γὰρ ἡ τροφὴ τῷ πυρὶ κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα. ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ ὑγροῦ, πλείονος ἐόντος [41] αἰσθάνεται ὁ ἄνθρωπος. μεθίει δὲ τὸ πῦρ ἐν τῇσι περισσῇσι, διὰ τόδε. [42] ὅτι ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης. ἐν δὲ τῇσι περισσῇσιν, ἀφίει. ἡ δὲ κοιλίη, διηθέει ἔξω τῷ ὑγιεῖ κατ' ἀνάγκην τοιῶνδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. καὶ ἐν τούτῳ

μὲν τῷ

μὲν τῷ λόγῳ ὁ ἄνθρωπος πυρέξας, ὑγιὴς ἐγένετο. φημὶ δὲ καὶ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, διὰ τόδε καὶ κατὰ λόγον γίνεσθαι. τετάρακται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν πυρεταίνῃ. σημήϊον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος, ἄλλοτε καὶ ἄλλοτε. τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως εἰ μὴ ἐπαράσσετο τὸ ὑγρὸν, καὶ ἀπεκρίνετο ἀπ' αὐτοῦ ἢ πλέον, ἢ ἔλασσον. καὶ ἐκράτει ἄλλοτε ἄλλου. μάλιστα δὲ καὶ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ. καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. ἔχει γὰρ ὧδε. ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος, ἐξωθέεταί τι ἐκ τοῦ σώματος,[43] ὑπὸ τῆς νεωτάτης ἰκμάδος νικώμενον. καὶ χωρέει ἐς τὴν κάτω κοιλίην, καὶ ἡ κοιλίη προσσυνθερμαίνεται τῷ πονέοντος, δεχομένη ἐς ἑωυτὴν μᾶλλον, ἢ τὸν πρὶν χρόνον. τοῦτο δὲ γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου. καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ, καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον,[44] ἀναφέρει τὴν θέρμην ἡ κοιλίη, καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα. καὶ ἢν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα, ἐξαναλωθῇ. ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ, ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος, ὑγιὴς ἐγένετο, δι' αἰτίας τὰς εἰρημένας. νῦν δὲ ἐρέω διότι θνήσκουσιν, ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. φημὶ δὲ, ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται, καὶ ἄλες ἰσχυρὸν ἐς τὴν κοιλίην καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην, τὸ σῶμα ἐπαυείσκεται. καὶ δυσωδίαν δὲ γλυκέας περὶ τὸ πνεῦμα. καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοιὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ διατμίζει ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. οὐ γὰρ ἐπικρατέει ἑτέρη ἡ ὑγιηρὴ ἰκμὰς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης[45] ἐπαιρομένη, ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς διεξήτμησεν. οὕτω δὴ περὶ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται. τοῦτο πᾶς οἶδεν οὔ τις ποτέ. καὶ μὴν ὅτι γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊόν ἐστι τόδε. Ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν ὑπερεκαθάρθησαν. ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν ἰσχυρῇ φαρμακείῃ,[46] ἐκαθάρθησαν. πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες. οἱ γοῦν πρόσθεν ἰητροὶ, ἐν τούτῳ μάλιστα ἡμάρτανον. ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει. τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μετιέντος τῆς ἰκμάδος. καὶ ἤν τις ἐπιτεταραγμένῳ ἐόντι, ἔτι μᾶλλον ταράξῃ, φάρμακον ἐμβαλὼν, οὐ θαῦμά ἐστιν, ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον. καὶ τὰ ἕλκεα ἢν μὲν μελεδαίνηται, φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται. καὶ πληροῖ,[47] ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος. καὶ ἢν μὲν μελεδαίνηται καὶ ἔχῃ ἔξοδον τὸ πύος ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος.[48] ἢν δὲ μὴ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πύος, αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι, πόνον παρέχει, καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος. καὶ ἀπ

cùm quis febre detinetur, sanus euadit. Istamque ob causam ægrotos assero diebus imparibus maximè affligi, idq; ex ratione quadam. Conturbatur equidem homo cùm febricitat, istiusq; rei indicium est horror, qui subinde per totum corpus impetu quodã fertur. Quod sanè minimè contingeret, nisi humor conturbaretur, & ab ipso copiosior aut paucior secerneretur, & alius alium superaret. Maximè verò etiam conturbatur diebus imparibus, cùm ægrotat, tuncq; horror præcipuè contingit. Sic enim se res habet. Humoris molesti aliquid a recenti humore superatum, extra corpus propellitur, & ad inferiorem aluum defertur, quæ vna cum molesto humore incalescit, in seq; magis quàm antea recipit, quod in morbi iudicatione præcipuè contingit. Quòd si corpus paulatim ad ventrem dimittat, neque copiosum fuerit quod homini molestum est, ventriculus calorem perfert, corpusq; ad iudicationem validum est, & homo conualescit, vbi is qui affligit humor exierit, & qui febri alimẽtum suppeditat consumptus fuerit. Si verò sanus superauerit, hac ratione qui ægrotat, propter commemoratas à me causas, sanus euadit. Nunc verò dicendum est cur moriantur diebus imparibus. Ac mea quidem opinione, si copiosum fuerit quod corpori molestum est, plus iusto conturbatur, copiosumq; ac validum ad ventriculum defertur, eoq; corpus cùm alterum perferre non possit fruitur, graueolentemq; spirationem fieri necesse est. Cumq; corpus præ imbecillitate spiritum, quo quæ in ventriculo sunt refrigerentur, attrahere nequeat, nimirum cùm omnis humor morbosus existat, quicquid in humore vitalitatis inest, foras exhalat, sicq; quis moritur. Neque enim alter humor salubris superat, sed totus a morboso copioso superatus, & à febre consumptus expirauit. Sic sanè diebus imparibus dolor contingit, idq; nemo est qui nõ nouerit. Quinetiam quòd quidem humor iisdem diebus conturbetur, istud indicio est. Qui iam febre continente detenti, diebus paribus medicamentum purgans sumpserunt, ij sanè supra modum nunquam purgati sunt. Qui verò diebus imparibus vehemens medicamentũ sumpserunt, ij purgati sunt, multiq; etiam supra modum purgati perierunt. Superiores igitur Medici in hoc maximè peccarũt, quod diebus imparibus medicamenta purgantia exhibebant, & homines interimebant, id ita se habere ignorantes. Humor enim in ægrotãtis corpore magis diebus imparibus conturbatur, nimirum cùm corpus ad ventriculum humiditatem transmittat. Et si quis iam commotum medicamento iniecto magis commoueat, nõ mirum est si quis ex his pereat. Humor enim cùm commouetur in omnes venas fertur, easque implet. Et vbi morbus ad vlcus deuenit, si quidem curetur, púsque ab humore in conturbatione veniente, foras propulsum exitum habeat, vlcus foras expurgatur. Quòd si non curetur, neque exitum pus habeat, vnà cum eo qui accessit permanet, dolorémque exhibet, & carnem vlcus ambientem attollit. Ex quo siqui-

dem in cruribus vlcus habuerit, in crurum connexionibus venę attolluntur, si verò in manibus, venę quę sunt in manuum cōnexionibus, indeq; glandularum tumores oriuntur. At quibus febris contingit, si nullo alio affectu laborent, ea ex pinguiore quàm par sit humore incidit, venæque impletæ dolorem & calorem vlceri exhibent. Quod verò incaluit, etiam reliquum corpus calefacit, eoq; modo calor in vlceribus oritur. Humoris enim agitatione corpus & vlcera incalescunt, & tale quid immoderatus labor efficit. Vlcera autem quinto die inflammatione sedantur, & secundum horum dierum rationem, pro vlcerū magnitudine, etiam tertio die, & quinto, & septimo, & nono, & vndecimo. Deinde exacto primo circuitu, tertio die, qui est secundi principium, & à primo decimusquartus. Ex his verò maxima decimo quarto die inflammatione sedantur. Atq; hæc oratio declarat morbos diebus imparibus iudicari, & humorem in sano tertio die exire, stercus verò secundo. Et ista quæ tertio die contingunt, rem ita se habere mutuò inter se attestantur. Ad hunc modum tota hæc oratio summatim & velut a capite est a me ad extremum deducta. At nunc exactius quam ob causam homines ęgrotent, mihi dicendum est, simulq; exponendū quæ sint morborum principia, & quæ horum quidq; efficiat. Mea autem sententia, si cibi quidē plus iusto copiosi iam concocti intus morentur, neq; homo repurgetur, & altera cibaria insuper adiiciatur, corpus priore humore & recenti plenum incalescit, indeque homini febris contingit. Verùm sic oborta febris, neque periculi plena, neque vehemens est, in qua humor copia æquabilis paulò plus nobis molestus est. Si enim sic se res habet, & quis admodum sit robustus, eaq; quæ conueniunt adhibeat, sanus euadit. Vnus autem hic solus morbus est ab omni humore, & septem signa habet. Tussis enim leuis & sicca detinet, venter durus redditur, cùm nimirum stercus intus retineatur, caput grauatur, & vomit, febricitat, neq; lotium probè exit. Istaque sunt huius morbi ex omni humore orti septem indicia. Quòd si stercore non prodeunte vnus ex reliquis humoribus superet, meliùs homo habebit. Ac si quis in febre ex omni humore orta, quæ sunt idonea minimè adhibuerit, circumagetur morbus, quantum ipse humores superauerit, hoc modo. Incalescente corpore, per hoc aquosum quod est febri maximè infensum, præcipuè exhalat, relinquitur verò pingue & leue, quod est biliosum, & præcipuum febris alimentum. Ad hunc autem modum exhalat, non secus ac si quis affusa in vas æneum aqua & oleo, ligna multa diutius succendat, aqua certè longè paucior, cùm ex vase exhalet, futura est, oleū verò paulùm imminuetur, quòd aqua quidē propter raritatē ab igne extenuari, & leuis reddita exhalare potest, oleum autē cohęrens & densum extenuari nequit, neq; vti aqua exhalare. Ita sanè & in homine se res habet. Incalescente nanq; corpore aqua foras exhalat, q̄ verò est biliosum, cùm cohærēs & densum sit, neq; similiter extenuatur, neq; exhalat.

ἐκείνου. κἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι. ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ τῶν χειρῶν τῇσι προσφύσεσι ἐοῦσαι, καὶ ἐκ τούτου βουβῶνες γίνονται. ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτει, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει. καὶ πληρούμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι. τὸ δὲ θερμανθὲν, καὶ τὸ ἄλλο σῶμα θερμαίνει. καὶ ἡ θέρμανσις, οὕτως ἐς τὰ ἕλκεα γίνεται. θερμαίνεται γὰρ τὸ σῶμα, καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσιος τοῦ ὑγροῦ. καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα. καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ, καὶ τριταῖα. καὶ πεμπταῖα. καὶ ἑβδομαῖα. καὶ ἐνναταῖα. καὶ ἑνδεκαταῖα. εἶτα ἀπηρτισμένης πρώτης περιόδου, πάλιν δευτέρας ἀρχῆς τρίτη, ἥ τις ἐστὶν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη. τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. οὗτος ὁ λόγος ἐρεῖ, τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ, τριταίην ἐξιέναι. τὴν δὲ κόπρον, δευτεραίην. καὶ ταῦτα τριταῖα ἐόντα, ἰσορρεῖ ἀλλήλοισιν, ὅτι οὕτως ἔχει. οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται. νῦν δὲ ἐθέλω ἀκριβέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι. ἐρέω δὲ σὺν τούτῳ τῷ λόγῳ, καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί. καὶ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται. φημὶ δὲ, ἢν μὲν ἐμμείνῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται, καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα πληρούμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης, θερμαίνεται. καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. τὸ δὲ πῦρ οὕτως γινόμενον, οὐκ ἄπυρον οὐδὲ ἰσχυρόν ἐστιν. ἐν ᾧ ἰκμὰς ἰσάζει, κατὰ πλῆθος ἡμέας λυπέουσα ὀλίγῳ πλέον. ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ, καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. ἓν δὲ νόσημα μοῦνον ἀπὸ πάσης τῆς ἰκμάδος, καὶ σημήια ἴσχει ἑπτά. βήξ τε γὰρ ἴσχει μὲν βληχρὴ καὶ ξηρὴ ἐοῦσα. γαστήρ τε σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντός. καὶ τῆς κεφαλῆς βαρέεται. καὶ ἐξερεῖ. καὶ πυρεταίνει. καὶ οὖρον οὐ χρηστῶς διέρχεται. ταῦτα δέ ἐστι τῆς νούσου ταύτης ἀπὸ πάσης τῆς ἰκμάδος γινομένης, σημήια ἑπτά. ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος κρατέῃ μία τῶν ἄλλων ἰκμὰς, κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. καὶ ἤν τις τῷ πυρετῷ γινομένῳ ἀποστάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος. ὅσον δὴ ἂν αὐτὴ κρατῇ τῶν ἰκμάδων, τρόπῳ τοιῷδε. θερμαινομένου τοῦ σώματος, ἐξατμίζει μάλιστα διὰ τούτου τοῦ ὑδρωποειδέος, ὅ, τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον. καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον ὅ, τι ἐστὶ χολῶδες, καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. ἐξατμίζει δὲ τρόπῳ τοιῷδε. ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐς χαλκεῖον ἐγχέας, ξύλα πουλλὰ ὑποκαίει πουλὺν χρόνον. τὸ μὲν δὴ ὕδωρ, πολλῷ ἔλασσον ἔσται, ἐξατμισθήσεται γὰρ ἐκ τοῦ χαλκείου. τὸ δὲ ἄλειφα, ὀλίγῳ ἔλασσον. ὅτι τὸ μὲν ὕδωρ, ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς, καὶ κοῦφον γινόμενον ἐξατμίζει. τὸ δὲ ἄλειφα, ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται καταλεπτύνεσθαι οὐδὲ ἀτμιᾶν ὁμοίως τῷ ὕδατι. οὕτω δὴ καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει. ὁ μὲν γὰρ ὕδρωψ θερμαινομένου τοῦ σώματος ἐξατμίζει ἔξω. τὸ δὲ χολῶδες, ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται ἀτμιᾶν καταλεπτυνόμενον ὁμοίως.

τὸ δὲ

τὸ δὲ χολῶδες καταλεπτυνόμενον, μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα. πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρετῷ ἡ χολὴ, [56] καὶ ῥαγχυνόμενον ἐν τῷ σώματι ἢ στηριξάμενον, τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ πρόσθεν. καὶ ταῦτα μὲν εἴρηται, ὅ, τι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται. ἢν δὲ μὴ αὐτῶν πλῆθος κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γινομένη, εἴτε καὶ κατὰ μικρὸν συλλέγηται, καὶ τὸ ἄλλο σῶμα ὀδυνᾶται. τοῦτο γινόμενον ὑπὸ ἰσχύος ἀναφέρει, μέχρις οὗ ἀρχή τις ἐπιγένηται. [56] καὶ ἢν τὸ πλεῖον γινόμενον ὑγρὸν, μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοῦσος ἐν- 10 τεῦθεν γίνεται τρόπῳ τοιῷδε. Ἀρχαὶ εἰσὶ τρεῖς, ἀφ' ὧν αἱ νοῦσοι γίνονται. καὶ μία μὲν ἤδη εἴρηταί μοι, ὁκοῖα καὶ ὅσα ἐργάζεται ἐν τῷ σώματι. ἀπέδειξα γὰρ, ὅκως τε καὶ διότι ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοσεῖ. δευτέρη δέ ἐστιν, ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια, καὶ παρὰ δίαιταν εἶναι. τρίτη δέ ἐστιν ἢν τι βίαιον προσπέσῃ. βίαιον δὲ λέγω εἶναι, καὶ πτῶμα, καὶ τρῶμα, καὶ πληγὴν, καὶ ταλαιπωρίην, καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον. τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ. ἢν δὲ μικρὰ, οὐ μεγίστη. δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος. τρίτη δὲ 20 ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς ὑγιείην. τούτων διαφερόντως δεῖ φυλακὴν ἔχειν. ἕκαστα δὲ αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω. ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι σὰρξ διεκόπη, καὶ ἕλκος ἐγένετο. τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. ἢν δὲ φλάσμα γένηται πληγέντος, ἢ πεσόντος, ἤ τι ἄλλο τοιοῦτο παθόντος καὶ οἴδημα γένηται, τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης, καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χασκούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, συνεστράφη. καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο, καὶ μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ, καθότι 30 ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα. καὶ εἴτε σὺν χειρουργίῃ, εἴτε καὶ μὴ, δίοδος γένηται τῷ αἵματι, ἢ πυωθέντι ὑπὸ χρόνου, ἢ καὶ μή. καὶ ἡ ταλαιπωρίη δὲ, τοιοῦτον ἐργάζεται. ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρέῃ, κεῖθι στηρίζεται, καὶ θερμαίνεται. καὶ πόνος ἐκ τοῦ τοιούτου γίνεται. [57] ἢν δὴ κρατῆται μὲν τούτων, κάρτα δὲ πλῆθος γίνηται ταλαιπωρεῖν, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθήσῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν ἐκ τούτου. ἢν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰκμὰς, οὐδαμῶς. ἢν δὲ ἐν τῇ ταλαιπωρίῃ αὐτέων πλεί- 40 στη ἐν τῷ σώματι καταμένῃ, κρατέει ἐκείνη. ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι κατεργάζεται. καὶ αὗται μὲν δύο ἀρχαὶ ἔασι, ἥ τε βίη, καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα. ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γινομένη ἐν τῷ ἀνθρώπῳ, ἐκράτησέ τι τοῦ ὑγροῦ, καὶ θερμαίνει ὡς ἐς νοῦσον, καὶ ψύχει πρότερον, ἢν τύχῃ γινόμενον. ἐρέω δὲ πρότερον περὶ τοῦ ὡς θερμαίνει. φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνῇ τι νοσερὸν ὁκοῖον ἐν τῷ προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεται τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι, τοῦτο δὲ ποιεῖ βίη. [58] καὶ ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦ δὲ ταρασσομένου, ἀποκρίνεται ὁκόσον ἂν πλέον ᾖ τοῦ καιροῦ. ἔοικε δὲ τοῦτο, ὥσπερ οἱ Σκύθαι ποιέουσιν, ἐκ τοῦ ἱππείου γάλακτος

Verùm extenuatus biliosus humor efficit vt corpus magis incalescat. Copiosius enim & melius alimētum febri suppeditat, & in corpore dispersus aut firmatus, morbū cum prioribus corroborat. Atq; ista quidem homini contingere, nisi purgetur aut curetur, dicta sunt. Quòd si horū copia nō superet, siue semel multa, siue paulatim colligatur, & reliquū corpus dolore affligat id dū contingit, præ robore perfert, donec principium quoddam accedat. Sin verò copiosior humor extiterit, neq; homo expurgetur, ex eo morbus ad hūc modū oritur. Cùm tria sint principia ex quibus morbi oriuntur, vnum quidem iam à me dictū est, quæq; & quāta in corpore efficiat. Ostendi enim quomodo & quam ob causam, homo nisi repurgetur, ægrotet. Alterū est, si quæ ex cœlo pendent, minimè sint commoda, & præter victus rationem cōtingant. Tertium est, cùm quid violentum inciderit. Violentum autem esse dico, & casum, & vulnus, & percussionem, & immoderatum laborem, & alia id genus. At horū principium, vis si magna fuerit, maximum est; si verò parua, non adeò magnum. Post hoc verò, si homo nō expurgetur. Tertium autem, si quę ex cœlo cōtingunt, non fuerint ad sanitatem accommodata. Horū igitur diligens cura habenda est, cùm horum quidq;, quod referam, in corpore efficiat. Si quidem vulnus factū sit, carnem dissectam esse manifestum est, vlcusq; existit. Hoc autem morbū appello. Si verò ex plaga, aut casu, aut alia quapiam affectione cōtusio facta sit, & tumor oboriatur, sanguis per vim calefactus, & per venas hiantes subiens, cùm præ copia exitum quo abire possit, non habeat, illic colligitur, eamque ob causam tumor fit, tandiúq; adest, quoad ex locis eo quo dictum est modo, aut per ipsum tumorem repurgatus fuerit; & sanguini cum tempore, vel in pus verso, vel nō, exitus siue per manus operā, siue sine ea, pateat. Quin & immoderatus labor tale quid efficit. Cùm enim homines immoderatè laborauerint, quibus sanguis præcipuè laborarit, illic firmatur & incalescit, indeq; dolor contingit. Quòd si ab his quidem superetur, magna autem copia immoderatus labor cōtingat, & aluus ac vesica copiā neutiquā transcolarint, ex eo sanè febris suborietur, minimè verò, si prior humor æqualis fuerit. Si verò in immoderato labore horū copia in corpore permaneat, superat ille. Atq; hæc quidem de vi, quænam in corpore conficiat, dicta sunt. Istaque duo principia, nempe vis & plenitudo, nisi homines repurgentur, corpora calefaciunt. Quod verò ex cœlo dependet principiū, si homini minimè commodum fuerit, aliquid humoris superat, & tanquam ad morbum vim faciens, calefacit, priúsque, si ita contigerit, refrigerat. Priùs autem quomodo calefaciat dicendum. Mea igitur opinione, si in ipso homine morbosum aliquid insit, quale priùs dictum est, & ea quæ ex cœlo pendent minimè commoda fuerint, homóque incalescat, totus corporis humor incalescens conturbatur, idque vis præstat. Et siquidem homo repurgatur, de conturbato humore, quantum plus æquo abundat, secernitur. Istud verò similiter se habet vt id quod ex lacte equino Scythæ conficiunt.

Lac enim in vasa lignea caua affusum agitant, conturbatum verò spumescit ac separatur, & pingue quidem, quod butyrum vocant, cùm leue sit, in summo seponitur, graue verò & crassum subsidet, quod etiam separantes siccant. Quod cùm concretũ & siccatum fuerit, Hippacen vocant. Lactis verò serum medium locum habet. Ad hunc verò etiam modum commoto humore, quicquid in corpore continetur, ab his principiis quæ dixi omnia seponitur, & bilis quidem cùm sit leuissima, in superficiem discedit, secundo loco sanguis, tertio pituita. Ex his autẽ humoribus maximè grauis est aqua. Cùm autem hæc ita se habeant, quicquid in morbo copia abundat, dum turbatio in principiis cõtingit, ad locum fertur in quo plurimùm superat. In turbatione autem amplam capacitatem nactum secretum voluitur, & corpus calefacit, aut in aliqua corporis parte adhærescens, vnà cum alio humore qui in alio loco est, dolorem & calorem exhibet. Quod verò incalescit, reliquum corpus etiam calefacit, ex eóque febris contingit, fereq; ex bile, & pituita, & sanguine oritur, quæ calidissima existunt. Et si quid horum in aliquam corporis partem incubuerit, plærunq; inde morbus nominatur, & appellationem habet. Ex aqua autem neq; admodum vehemens, neq; diuturna febris oritur, cùm aqua igni minimè idoneum suppeditet alimentum. Ac de his quidem hactenus. Ante turbationem verò non habet quò secedat humor qui copia superat, sed cum alio humore permixtus sursum & deorsum volutatur, cùm omnia plena sint: dum mouetur autem, vacuantur. Atq; alterum altero magis euacuatur, quódque copia superat, loco continetur, & quod alienum est, cum altero non permiscetur, si circumadhærescat, nisi viribus adæquatum fuerit. Viribus autem adæquatur, & quod ex ipso ad morbum accedit, quoad locus repurgetur, quęcunq; fuerit purgatio. Quòd si copiosum est id quod affligit, & aliud quod priùs salubre erat ad morbum exhauritur & absumitur, eoq; modo homo perit. Insuper enim exhauritur, si morbo non satis superfuerit alimenti, sed ab humore qui in loco dolente est absumitur. Primùm quod propinquum est absumit, deinde vlteriora depascitur, donec consumptũ fuerit, neq; ampliùs supersit corpori alimentum. Leuis autem humor hominis est alimentum. Quemadmodum igitur par est, primùm si maximè incalescat, putredo sensim oboritur, deinde postquã illic alimenti putredini non satis suppetit, in corpus serpit, initio ab eo quod sanũ est & propinquum ducto, quoad quod totũ carnosum est putredinem conceperit. Postquàm autem in totum depastum est, putredinis alimentũ consumitur. Sic sanè etiam in morbo, initio à loco ducto, postquàm illic nõ satis suppetit alimenti, vlteriùs depascitur, ab eo quod vicinum est sumpto exordio. Vbi enim ad totum peruenerit morbi alimentum consumitur, nec aliud quod salubre est superat, idq; dum contingit, homo moritur. Quinetiã vbi hic in conturbatione ampliorem locũ acceperit, neq; firmatus fuerit, sed volutatur, nõ ampliùs cũ alio permiscetur, sed in morbũ insumitur, nisi repurgetur.

ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα, σείουσι. τὸ δὲ ταρασσόμενον, ἀφρεῖ καὶ διακρίνεται. καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς διΐσταται, ἐλαφρὸν ἐόν. τὸ δὲ βαρὺ καὶ παχὺ, κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν. ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μὲν καλέουσιν. ὁ δὲ ὀῤῥὸς τοῦ γάλακτος, ἐν μέσῳ ἐστίν. οὕτως δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ, πᾶν τὸ ἐν τῷ σώματι, ὑπὸ τῶν ἀρχῶν διΐσταται ὧν εἴρηκα οἱ πάντα. καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς διΐσταται, κουφότατον γάρ ἐστι. δεύτερον δὲ τοῦ αἵματος. τρίτον δὲ τοῦ φλέγματος. βαρύτατον δέ ἐστι τῶν ὑγρῶν τούτων, ὁ ὕδρωψ. τούτων δὲ ὄντων, ὅ, τι ἂν ἐν νούσῳ πλεῖστον ἦ, ἐν ἀρχῇσι γινομένης τῆς ταραχῆς, ἔρχεται εἰς χωρίον, ἵνα ἂν πλεῖστον εἴη. ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γινομένης εἱλέεται ἀποκεκριμένον, καὶ θερμαίνει τὸ σῶμα, ἢ στήριξιν ἔχον πη τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ συνεόντι ἐν τῷ ἄλλῳ χωρίῳ, πόνον καὶ θέρμην παρέχει. τὸ δὲ θερμαινόμενον, προσεξεθέρμαινε καὶ τὸ ἄλλο σῶμα, κἀκ τούτου ὁ πυρετὸς γίνεται. καὶ γίνεται μᾶλλον ἀπὸ τῆς χολῆς, καὶ τοῦ φλέγματος, 20 καὶ ἀπὸ τοῦ αἵματος. θερμότατα γὰρ ταῦτα ἐστί. καὶ ἤν τι τούτων ἀποστηρίξῃ πη τοῦ σώματος ὡς ἐπὶ τὸ πλεῖστον, ὀνόμασται κεῖθεν τὸ νούσημα, καὶ ἐπωνυμίην ἔχει. ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα, οὐδὲ πολυχρόνιος. τῷ γὰρ πυρὶ, οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. πρὶν δὲ ταραχθῆναι, οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ' ἄνω καὶ κάτω εἱλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ. πάντα γὰρ πλήρεα ἐστίν. ἐν δὲ τῇ ταραχῇ κενοῦται. κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον. καὶ τὸ πλεῖον ἐὸν χωρίον κατέχει. καὶ τὸ 30 μὲν ἀλλότριον, οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν προσστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν. ἔστι δέ μιν ἰσοῦσθαι καὶ ὃ ἐπ' αὐτοῦ ἐπελεύσεται ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. ἢν δὴ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν ἐόν. καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε. προσεπαυρίσκεται γὰρ, ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νούσημα, ἀλλ' ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ, τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος. πρῶτον τὸ πλησίον προσλαμβάνει. εἶτα ἐπὶ τῷ προσωτέρῳ νέμεται, μέχρις ἂν 40 ἐξαναλωθῇ, καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή. τροφὴ δέ ἐστιν ἀνθρώπῳ, τὸ κοῦφον ὑγρόν. ὥσπερ οὖν χρὴ, τὸ πρῶτον κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ἢν μάλιστα θερμαίνηται. ἔπειτα ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι ἀρκέῃ, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σήψῃ. ἐπεὶ δὲ ὡς ἐπὶ πᾶν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι. οὕτω δὴ καὶ τῇ νούσῳ, ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη. ἐπὴν γὰρ ἐπὶ πᾶν ἔλθοι, ἀναλοῦται ἡ τροφὴ τῇ νούσῳ, καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπιχορηγέει. κἢν τοῦτο γίνηται, θνήσκει ὁ ἄνθρωπος. ἔτι δὲ ἐν τῇ ταραχῇ ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται, καὶ μὴ στηρίξῃ, ἀλλὰ εἱλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται ἐς τὴν νοῦσον, ἢν μὴ ἀποκαθαίρηται.

εἶτα αἱ

εἶτα αἱ φλέβες ὑπερπιμπλᾶνται. πληθῦσαι δὲ κάρτα οὐ χαλῶσιν ἐξ αὐτέων, πρὶν εὐρυχωρίη σφιν γένηται. ὥσπερ ἐπὴν τις πληγῇ καρτερῶς, ὑπορρέει ὑπὸ τῆς πληγῆς αἷμα, ἅτε τῶν φλεβέων κενωθησέων ὑπὸ τῆς πληγῆς. ἐπὴν δὲ αἱ σάρκες πλησθῶσιν ὅκως περ σπόγγος, οὐκ ἔτι χαλῶσιν, ἀλλὰ ἔχουσιν ἐν ἑωυτῇσι μέχρις οὗ κενωθῇ κατὰ χωρίον τι αὐτέων. ἀπολαμβάνεται γὰρ ἐπὴν ξυλλεχθῇ τὸ αἷμα τὴν ὁδὸν ὑπὸ πλήθεος. ὥσπερ εἴ τις λήκυθον σκυτίνην γενόσμενον ἐμπλήσας ἀλείφατος, καταστρέψειεν ἐπὶ τὸ στόμα κατ' ἰθὺ, καὶ μὴν τοῦτο ποιήσειεν, οὐ δυνήσεται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον. ἔπνιξε γὰρ τὴν ὁδὸν τὸ ἄλειφα, ἅτε πολλὸν καὶ ἀλλὲς ἐπικείμενον. ἢν δὲ ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πνὶξ, ἢ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφα. τὸ δ' αὐτὸ ποιήσειε καὶ ἐπὶ τραπέζης ὕδωρ. οὕτω δὴ καὶ ἐπὴν τὸ πλεῖστον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίην λάβῃ, καὶ πλήσῃ τὰς φλέβας, οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων, πρὶν ἢ ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ. καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπὴν τι ἐν τῷ σώματι ᾖ, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων, καὶ ὅκως ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τῷ ὑγρῷ ὑπάγουσαι ἐς νοῦσον. νῦν δὲ ἐρέω τὰ ἐκ τοῦ οὐρανοῦ. Ἢν ἀνεπιτήδεα γένηται φῶτα ἐν τῷ σώματι, τίνα ἐργάζεται, καὶ ὁκότε τὴν κρατέῃ ἐν τῷ σώματι τὸ ὑγρόν. Φημὶ δὲ, τὸ μέν τοι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ ἰκμάδος ἐπὴν τηχθῇ ἕως νοῦσον ἀποτέκῃ, τό, τε διευρύνεσθαι καὶ διακρίνεσθαι. ἔοικε καὶ τοῦτο τὸ πάθος γάλακτι. ἐπὴν τις ὀπὸν ἐμβάλῃ ἐς τὸ γάλα, ψῦξις γινομένη ἐπ' αὐτῷ τῷ γάλακτι, συνεπάχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε. περὶ δὲ τὸ παχυνθὲν, ὁ ὀρρὸς ἐστίν. οὕτω δὴ καὶ ἐπ' ἀνθρώπῳ τὸ ὑγρὸν τῆς ἐπὶ νούσου ψύξιος γινομένης, ξυνεστράφη καὶ ξυνεπαχύνθη. περὶ δὲ αὐτὸν τὸν ὕδρωπα ἐστὶ καὶ τὸ ἄλλο ὑγρὸν, ὁκόσῳ ἂν πλεῖον ἐῇ ἐν τῷ ἄλλῳ σώματι ξυμμέμικται. ἀλλ' ἢν μὲν εἰς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον, καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε, καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα σίνος παραχόν. ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, ἐπείγεται τοῦ σώματός πη, ἵνα οἱ εὐρυχωρίη πλείστη. εἰλέεται οὖν ἐξ ὑγρὸν ἑαυτῷ εὐρυχωρίην. καὶ τὸ μὲν ὕδρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς συστροφῆς ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω, καὶ περὶ τὰ ὀστέα καὶ περὶ τὰ νεῦρα εἰλυόμενα ἐπὶ μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει, καὶ δηλονότι περὶ τὰ νεῦρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ τὸν χυμὸν ποιέων ἐστί. τὰ γὰρ ὀστώδεα τοῦ σώματος, μάλιστα ῥιγᾷ ὁ ἄνθρωπος. καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται, ξυστραφείσης τῆς ἐπιδερμίδος, καὶ ξηροτέρης γινομένης, ἢ ἐν τῷ πρὶν χρόνῳ, ἅτε τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν, καὶ περὶ τὰ ὀστέα εἱληθέντος. ἐντεῦθεν δὴ μοῦνον τὸ χωρίον ὅκου ἐστὶ τὸν πρότερον χρόνον, οὐ δύναται χυμὸν ποιέειν, ὅθεν καὶ τὸ ῥῖγος γίνεται. Τὸ δὲ ἄλλο ὑγρὸν τὸ ἰσώτατον παχυνθὲν, τὸ ἐν τῷ σώματι πάντη ἐστί. τὸ δὲ ὅσον πλέον, ἢν μὲν δὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον ᾖ τὸ λυπέον, ἔρχεται ἔστιν ὅτε ἐς τὴν κοιλίην, καὶ σίνος οὐδὲν μέγα ἐποίησε. καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βληχρὸν καὶ ἀσινές. καὶ ἐξῆλθε τὸ πονέον, ξὺν τῇ κόπρῳ. ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα πολλὸν ἔχῃ τὸ λυπέον,

Deinde venæ supra modũ implentur, valdeq; impletę nihil ante ex se dimittũt, quàm amplam capacitatem nactæ sint. Non secus ac si quis vehementer percussus fuerit, sanguis ad vulnus decurrit, venis nimirum per vulnus euacuatis. Vbi verò carnes tanquã spõgia oppletæ fuerint, nõ ampliùs dimittunt, sed in se retinent, quoad ex ipsis aliquid ꝑ locũ vacuetur. Cùm enim in vnum collectus sanguis fuerit, prę copia viã intercipit. Quemadmodũ si quis ampullam oleariam coriaceam angusti oris, oleo plenã recta in os obuertat, idq; cùm fecerit, ex ea oleũ prodire nõ poterit. Oleũ enim copiosum & confertim incidẽs, viam coarctauit. Quòd si quis ampullã oleariã paulùm inclinet, tolletur oris obturatio, per quã ex ipsa oleum effluet. Idem etiam in aqua supra mensam effusa experiri licet. Ad hũc sanè modũ vbi plurimus corporis humor in conturbatione locũ occupauerit, & venas impleuerit, non ampliùs ab eis discedit, nisi si locus vacuus fuerit, vnde morbi oriuntur, morbi alimento cõsumpto. Atq; ista quidẽ à me dicta sunt, vbi quid in corpore fuerit, vnde morbi oriũtur, aliis etiã redundantibus, & quomodo principia humori calorem & turbationem afferãt, & ad morbũ deducãt. Nunc verò dicendum quænam in corpore efficere soleãt, quæ à cœlo dependẽt, si incommoda fuerint, & cùm corporis humorem superarint. Assero autẽ partẽ eius humoris qui est in homine, cũ colliquatus fuerit, in se concrescere & incrassari, donec morbũ pariat, partem verò dilatari & disparari. Quæ affectio cũ lacte affinitatem habet. Si quis coagulũ in lac iniecerit, frigiditas in eo oborta lac incrassat & in se cogit, horũ autem ꝙ incrassatũ est ambit. Ad eũ sanè modũ in homine humor refrigeratione in morbo suborta concreuit & incrassatus est. At circũ ipsum aquosum humorem alius etiã humor est, qui quò copiosior in reliquo corpore fuerit, eò magis commiscetur. Verùm si quidem ad aluum deferatur, stercus commouet, & in aluo tormina excitat, forasq; exit nulla magna illata noxia. At si ad aluum nõ deferatur, ad eam corporis partem adhærescit, in qua plurimam capacitatem adeptus fuerit. Locum igitur amplum sibi nactus, in eo volutatur, & quod quidem aquosi humoris ex concretione secernitur, cùm nimirum in corpore frigidissimum & grauissimum existat, ad inferiora descendit, & circũ ossa & neruos cumulatum, eò maiorẽ corpori inflammationẽ inducit, & circa neruos videlicet, præsertimq; circa ossa aquosus humor humorẽ faciens existit. Osseæ enim præcipuè corporis partes in homine rigore corripiuntur, piliq; eriguntur, summa cute cõcrescente & sicciore quàm antea reddita, deficiẽte nimirũ isthic aquoso humore & circũ ossa cõuoluto. Hinc sanè solus locus vbi antea erat, humorem facere nequit, vnde rigor oritur. Reliquus verò humor æquabiliter condensatus, partim in toto corpore est, partim verò quò copiosior fuerit, si quidẽ cõtigerit vt aluus plena existat, & ꝙ molestum est paucum sit, interdum ad aluum defertur, neq; magnam noxiam inducit. Et quandoq; quidem febrem non infert, quandoq; verò debilẽ & innoxiã, quodq; dolorem facit vnà cum stercore foras prodit. Quòd si aluus plena copiosum habeat quod molestum est,

periculum est ne ex eo morbus aliquis suboriatur, si quod noxium est aliquam in partem incumbat, vel ad latus, vel ad viscus, aut aliam quampiam partem simul calefaciat, vbi primùm illum humorem conturbet. Quibus verò non multum ad calorem accessit, id ab aquoso humore superatum est, cùm nimirum circa ossa & prope medullam consistat. Procedente verò tempore, magis afficiũtur quæ prope sunt, ac primùm quidem locus ipse, deinde quod ipsi vicinum est, & sanè vlteriùs depascitur, & aluus cùm calida existat eum suscipit, deinde tum aluus, tum noxius hunc magis calefacit. Crassus autem humor vbi incaluit, primùm is diffunditur qui affligenti vicinus est, diffusus verò affligenti aquoso humori commiscetur, deinde in corporis concretione magis vacuatur. Et quousq; aquosus humor reliquo humori permiscetur, tamdiu rigor detinet. Quinetiam febris ad hunc modum oritur. Quæ enim molesta sunt, ad locum inhærentia, corpus incalescens in se febrem contrahere cogunt, & ab eo quod noxium est, & ab aluo calefactum, reliquum aquosum humorem superat. Atq; ita quidem post frigus fit, si copiosus humor in aliquam corporis partem incubuerit. Quòd si conuoluatur, hoc modo oritur. Post frigus febris conuoluitur circa aluũ tum superiorem, tum inferiorem maximè affligens. Ibi enim maximè ampla est capacitas. Cùm autem voluitur, primùm incalescunt quæ propinqua sunt, tum viscera, tum quæ in ventre calida sunt. Deinde etiam reliquus humor calorem haurit, & diffusus aquoso humori admiscetur, febrisque post rigorem hoc loco oritur, cùm quod molestum est minimè conuoluitur, sed ad aliquam corporis partem adhæserit. Atq; ista à me dicta sunt quomodo & quando morbosus rigor fiat, & quánam ratione, quódque post hunc febrem incidere necesse sit, & quænam sint morborum principia, quemque morbum eorum vnumquodque corpori adferat, quáque ratione & quam ob causam morbi diebus imparibus iudicantur, & ex quo homines sani sint, & ex quo ægrotent, tum etiam bilis, tum pituita copiosior & paucior fiat. Multa quoque alia quæ in ipso & natura humana insunt, quæq; hæc exigebat oratio demonstraui. Et hæc quidem hoc modo commemorata ad exitum perducta sunt. At nunc de lumbricis latis dicēdum. Eos enim in puero, dum adhuc in vtero est, gigni assero. Neq; enim vbi semel vterum egressus est, tanto tempore stercus in aluo manet, vt ex eo putrefacto & diutiùs permanente, tantæ magnitudinis animal in ea concrescere possit. Qui enim sanus futurus est, hesternum stercus semper quotidie per aluum demittit. Tale autem animal, neque si per multos dies ventrem non exoneret, gigni non possit. Multa enim puero in vtero existenti, ad hunc modum gignuntur. Vbi ex lacte & sanguine computrescente ac redundante, quòd nimirũ dulce existat, pus æstuosum factum fuerit, illic animal generatur. Teretes verò lumbrici isthic eodem modo nascũtur. Eamq; rem ita se habere hoc est indicio. Vbi pueri in lucem sunt editi, iis mulieres hæc medicamenta cibo in os indito offerunt, vt stercus ex intestino exeat, & minimè aduratur, simulque vt intestinum dilatetur.

κίνδυνός ἐστιν ἐξ αὐτέου νοῦσόν τινα γενέσθαι, ἢν πη ἐπερείσῃ τὸ σινεόμενον, ἢ πρὸς πλευρὸν, ἢ πρὸς σπλάγχνον, ἢ ἐπὶ ἄλλη ξυνθερμήνῃ, ἵνα ξυνταράξῃ πρῶτον ἐκεῖνο. [68] ὁκόσοισι δὲ οὐχὶ κάρτα πρὸς τὴν θέρμην ὑπὸ τοῦ ὕδρωπος νενικημένον, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος, καὶ πλησίον τοῦ μυελοῦ. χρόνῳ δὲ μᾶλλον ὅσα εἴη, πρῶτον μὲν αὐτὸ τὸ χωρίον. ἔπειτα τὸ πλησίον αὐτοῦ. καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, καὶ ἡ κοιλίη οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα. ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει, ἥ τε κοιλίη καὶ τὸ σινόμενον. τὸ δὲ 10 ὑγρὸν παχὺ θερμαινόμενον, διαχέεται πρῶτον, τὸ πλησίον τοῦ πονέοντος ἐόν. διαχεόμενον δὲ, μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεώτερον ἐγένετο τοῦ σώματος ἐν τῇ ξυστροφῇ. καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ [69] τῷ ἄλλῳ ὑγρῷ, καὶ τὸ πῦρ ὧδε ξυνιθὲν γίνεται. τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα θερμαινόμενον τὸ σῶμα, ἀναγκάζει ἐς ἑωυτὸ πῦρ γίνεσθαι. καὶ ὑπὸ τοῦ σινεομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν, ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος. καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸν κρυμὸν, ἢν πη τοῦ σώματος στηρίξῃ τὸ ὑγρὸν τὸ πλεῖον. ἢν δὲ εἰλέηται τρόπῳ τοιῷδε γίνεται. μετὰ τὸν 20 κρυμὸν τὸ πῦρ εἰλέεται μάλιστα πονεόμενον, περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω. ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστίν. εἰλεομένου δὲ αὐτοῦ, πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα, καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην. ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης. καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον, μίσγεται τῷ ὕδρωπι. καὶ τὸ πῦρ μετὰ τὸ ῥῖγος ἐνθάδε γίνεται, [70] ἐπὴν μὴ εἰλέηται τὸ πονέον, ἀλλὰ στηρίξῃ πρὸς τοῦ σώματός πη. ταῦτα δέ μοι εἴρηται, [71] ὅκως τε τὸ ῥῖγος γίνεται τὸ νοσῶδες. καὶ ὁκότε, καὶ ὅκως, καὶ ὁκοίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπιγίνεται. καὶ αἵ τινες 30 αἱ ἀρχαὶ τῶν νούσων εἰσί. καὶ ὁκοίην ἑκάστη αὐτέων ἰδέην ἐν τῷ σώματι ἐπάγει. καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται. καὶ ἀπὸ τοῦ ὑγιαίνουσιν οἱ ἄνθρωποι. καὶ ἀπὸ τοῦ νοσέουσι. καὶ ἥ τε χολὴ καὶ τὸ φλέγμα, πλέον καὶ ἔλασσον γίνεται, καὶ τἆλλα ἐν αὐτῷ φύσει ἐόντα ἐν τῇ ἀνθρωπίνῃ, ἀπέδειξα πολλὰ, ὁκόσα καὶ ἀπεδέχετο οὗτος ὁ λόγος. καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει. Νῦν δὲ ἐρέω περὶ ἑλμίνθων τῶν πλατειῶν. γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ, ἐν τῇσι μήτρῃσιν ἐόντι. οὐ γάρ ἐστιν ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλ- 40 θῃ χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης, ζῶον παγῆναι ἐν αὐτῇ, ὃ τοσοῦτον μεγέθει γίνεται. ἀποπατέει γὰρ ἀεὶ τὴν ἐωλοτέρην ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος. γένοιτο δ' ἂν τοιοῦτο ζῶον, οὐδ' ἢν πολλῶν ἡμερέων [72] μὴ ἀποπατήσῃ ἄνθρωπος. πολλὰ γὰρ γίνεται, ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ, τρόπῳ τοιῷδε. ἐπὴν ξηρὸν πύος καυσῶδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος σαπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, ζῶον ἀπογεννᾶται αὐτόθι. γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ, τρόπῳ τῷ αὐτῷ. σημήϊον δὲ ὅτι τοῦτο οὕτως ἔχει, ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσιν αὐτὰ αἱ γυναῖκες τὰ αὐτὰ φάρμακα, ὥστε ἂν κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου, καὶ μὴ ξυγκαυθῇ, καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ.

ἐπὴν

ἐπὴν φωμίσωσι πολλὰ δὴ τῶν παιδίων, καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ. ἢν δὲ μὴ ἀποπατήσῃ, γίνονται καὶ ἐν τῇσι γαστράσι. καὶ αἱ μὲν στρογγύλαι, τίκτουσιν· αἱ δὲ πλατεῖαι, οὐκ ἔτι. καίτοι φασὶ τίκτειν αὐτάς. ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα, ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ. καὶ τοῦτον εἰσὶν οἱ φήσαντες τῆς ἀνθρώπου, τῆς ἕλμινθος τέκνα εἶναι. ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς, οἱ τὰ τοιαῦτα λέγοντες. οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα νεόσσα, οὔτ' εὐρυχωρίη ἐστὶν ἐν τῷ ἐντέρῳ, ὥστε ἐκτρέφειν τέκνα.[71] τῷ δὲ παιδίῳ αὐξανομένῳ, αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἕλμινς, ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων. καὶ γὰρ ἴση τῷ ἐντέρῳ. τοῖσι μὲν, ἅμα τῇ ἥβῃ· τοῖσι δὲ, ὕστερον· τοῖσι δὲ πρόσθεν ὀλίγῳ. καὶ ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύξεται. καὶ ὁκόσα ἂν μείζω γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ σὺν τῷ ἀποπάτῳ. καὶ ἐκπίπτει οἷον σικύου σπέρμα. πολλάκις δὲ καὶ μέζω. ἔστι δ' οἷσιν ὁδοιπορέουσιν ἢ ταλαιπωρέουσι, καὶ τῆς κοιλίης θερμαινομένης,[74] ἔρχεται ἐς τὸ κάτω καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσι[75] τὸ πεφυσηκός. τοῦτό τε ποιέει, καὶ ἀποταρίεται ἀπὸ τοῦ ἀρχοῦ, ἢ ὀπίσω ἔρχεται. σημεῖα δὲ ἐστιν ὅτι οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω. ἐπὴν τις ἰῆται τὸν ἄνθρωπον τὴν ἕλμινθα, καὶ φάρμακον διδοῖ ἢ ποτόν, ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη στρογγύλη γενομένη ὥσπερ σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος.[76] ἢν δὲ ἐς τὴν φαρμακείην ἔρχηται, καὶ εὐθεῖα ἀπορρήγνυται ἀπὸ τῆς ἕλμινθος, ὁκόσον δύο ἢ τρεῖς πήχεας, ἢ καὶ πλέον πολλῷ. καὶ ἐπὴν ἀπορραγῇ χρόνῳ πολλῷ, οὐ γίνεται σὺν τῷ ἀποπάτῳ τὰ σημεῖα. ὕστερον δὲ αὔξεται. ταῦτα δὲ ἰσοελά ἐστιν, ὅτι οὐ τίκτει ἕλμινς, ἀλλὰ περιρρήγνυται. ἔστι δὲ τὸ εἶδος αὐτῆς, ὁκοῖον περ ἐντέρου ξύσμα λευκόν. σημήϊα δὲ ἔχει, ἀποπατέει τε ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου σπέρμα. καὶ ἐπὴν νῆστις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε, καὶ πόνον παρέχει. καὶ ἔστι μὲν ὅτε πτύαλα ἐπιρρέει τῷ στόματι ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ. ὅτε δὲ, οὐκ ἔχει.[77] ἔστι δὲ καὶ οἷσιν ἀναυδίην ἐμβάλλει ἐπὴν ἰσχυρῶς προσαΐσσῃ πρὸς τὸ ἧπαρ. καὶ πτύαλά τε πολλὰ ῥέει ἐκ τοῦ στόματος κάρτα.[78] ὀλίγῳ δὲ ὕστερον ἀνίσταται. καὶ στρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοιλίῃ, ἄλλοτε καὶ ἄλλοτε. ἔστι δ' ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμπίπτει. σπείδει γὰρ καὶ ἐνθάδε. ἔστι δ' ὅτε ταῦτα σημήϊα ἐστιν, ἕλμινθος πλατείης. γίνεται δὲ καὶ τόδε. ὃς ἔχει τοῦτο τὸ θηρίον,[79] ἐν μὲν τῷ ξύμπαντι χρόνῳ τείνοντι κάρτα, οὐκ ἂν γένοιτο, ἐπεὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται. καὶ γὰρ ἡ ἕλμινς, μετέχει τι μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην.[80] ἢν μὲν οὖν μελανθῇ κατὰ τρόπον, ὑγιαίνεται. ἢν δὲ μὴ μελανθῇ, αὐτόματη οὐκ ἐξέρχεται. θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται καὶ τὰ σημήϊα τοῦ νοσήματος αὐτῆς. Περὶ δὲ λιθιάδος, ἀρχὴ μὲν ἐγίνεται ἀπὸ τοῦ γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν.[81] τὸ δὲ γάλα γίνεται ἐν τῇ τροφῷ οὐ καθαρόν, ἐπὴν φλεγματώδεσι τροφῇσι, καὶ σιτίοισι, καὶ ποτοῖσι χρῆται μὴ καθαροῖσιν ἡ τροφός, ξυμβάλλεται γὰρ πάντα[82] ἐς τὴν κοιλίην πίπτοντα ἐπ' αὐτοῦ, ἐς τὸ γάλα. ἔχει δὲ καὶ τόδε, οὕτως.

Quo cibo in os indito, multi sanè pueri, tum rotundos, tum latos lumbricos, vnà cum primo stercore per aluum demiserunt. Quòd si non egesserint, etiam in ventribus gignuntur. Et teretes quidem pariunt, lati verò non ampliùs, etsi eos parere dicunt. Qui enim latum lumbricum habet, is qualequid cucumeris semen subinde cum stercore per aluum egerit, idque lumbrici partum esse quidam affirmant. Mihi verò isti haud rectè sentire videntur. Neque enim ab vno animali tot pulli nasci possint, neq; tanta est in intestino capacitas, vt partus educare queat. Increscente autem puero, lumbricus etiam ex his quę in ventriculum ingesta sunt, in intestino increscit, & his quidē cum pubertate, quibusdam etiam posteriùs, aliis verò paulò ante, intestino æqualis euadit. Et vbi intestino adæquatus fuerit, similiter cum eo increscit, & quò maior extiterit, per rectum intestinum, vnà cum stercore excernitur, & velut cucumeris semen excidit, plærunq; etiam maior. Nonnullis verò iter facientibus, aut vehementer laborantibus, & ventre incalescente deorsum prodit, ipsisq; ex recto intestino quid inflatum prominet, idq; facit, & ex ano reseratur, aut retrocedit. Quòd verò non pariat, resq; velut dico se habeat, hoc est indicio, quòd si quis hominem lumbrico laborantem curet, & medicamētum aut potionem exhibeat, si quidem homo probè pręparatus fuerit, totus rotundus in pilæ formam prodit, & homo conualescit. Si verò ex medicamento excidat, rectus lumbricus duorum aut trium cubitorum lōgitudine abrumpitur, aut etiā longè maior. Quo abrupto multo tempore cum stercore signa nulla se produnt, postea verò increscunt. Atque hæc argumento sunt lumbricum non parere, sed circumcirca abrumpi. Est autem eius species velut albū intestini ramentum. Hæc verò habet indicia, ex aluo subinde quale cucumeris semen egerit, & vbi quis ieiunus fuerit, aliàs atq; aliàs ad hepar impetu fertur, & dolorem excitat. Interdum autem vbi ad hepar irrumpit, sputa ad os affluunt, interdum verò minimè. Nonnullis quoq; vbi ad hepar vehementer proruperit, vocis defectionem immittit, & ex ore sputa admodum multa effluunt, quæ paulò post sistuntur, subindeq; tormina multa in ventre excitantur. Quandoq; etiam ad dorsum dolor fertur, illuc enim etiam incumbit. Interdum verò ista lumbrici lati signa sunt. Hoc verò etiam contingit. Ei qui hoc animalculum habet, toto quidem tempore nihil horrendum accidit, cùm verò debilis extiterit, ægrè reficitur. Lumbricus enim eorū quæ in ventriculū ingeruntur partem aliquā assumit. Si igitur vt cōuenit curatus fuerit, conualescit, si verò nō curetur, sua sponte foras non prodit, mortem autem non infert, sed ad senectutem vsq; comitatur. Atque ista quidem a me de lumbrico lato dicta sunt, & de illius ortu, quæq; istius morbi signa sint. At verò calculi morbo principium ex lacte oboritur, vbi puer lac impurū ex mamma sugit. Lac autem nutricis impurum redditur, vbi pituitosis alimentis, tum cibis, tum potibus impuris ea vsa fuerit. Quæ enim in ventriculum immittūtur omnia, lacti conferunt. Habet autem se res ad hunc modum.

Si nutrix minimè sana fuerit, sed bile, aquoso humore, sanguine aut pituita abundarit, lac quoque puero prauum redditur. Confert enim corpus & ventriculus, plurimùm verò ei ad lac confert, quod ipsum plurimum in se habuerit. Puerque si de nutrice lac sugat minimè purum, sed (velut dixi) biliosum, morbosus & debilis euadit, & quoad lac prauum & morbosum sugit, in præsentia maximè affligitur. Atq; vbi lac minimè purum, sed terrenũ ac pituitosum suxerit, venásq; à ventriculo ad vesicam pertinentes amplas & attrahentes puer habuerit, potus autem & lac ex nutrice in pueri ventriculum concedit, quale ex ventriculo de lacte trahit, in totum ei simile quod venę in ventriculum detrudere potuerint. Et si quid in lacte non purũ fuerit, id quo fruitur in vesica lapis fit eo modo, quo in aqua minimè pura, in calice vel vase æneo agitata & deposita confertum in medio sedimentum consistit. Ad eundem modum in vesica contingit, cùm vrina impura existit, neque emittitur, nimirum cùm cauo contineatur, & maximè coaceruata, præ dolore per mictionem nõ redditur, & à pituita cruda concrescit. Pituita enim sedimento permixta glutinum euadit. Ac primùm parua lanugo accrescit, & quicquid quidem humoris in conglutinatione accesserit, per vrinam redditur. Rursus autem sedimentum solidũ aut lapidosum efficitur, non secus ac ferrum ex lapidibus & terra simul adusta fit. Ac prima quidem in ignem iniectione, ad ferri recrementum lapides & terra inter se agglutinãtur. Sed vbi secũdò ac tertiò in ignem coniecta fuerint, recrementum quidem liquatum ex ferro foras prodit, idque fieri oculis cernitur, ferrum autem in igne remanet, & cedente recremento subsidet solidumq; ac densum redditur. Sic sanè se habet sedimentum in vesica. Dum pituitæ glutinum accedit, id quod ab vrina liquefactum est, cum ea excernitur. Ipsum verò sedimentum subsidet, cõdensatur, ac solidescit velut ferrum. Vbi autem subsederit ac solidum redditum fuerit, sursum ac deorsum in vesica agitatur, vesicamq; tundens dolorem exhibet, cumq; vehementer tundat ac vlceret, ab ea aliquid aufert. Quod verò adiicitur adhuc maiorem ei quod abscessit arenoso concretionem efficit, & ad hunc modum calculus in vesica ex lacte gignitur. Interdum verò oritur, si cùm adhuc puer existit, ex eo anxietas quædam contingat. Subinde enim vbi vrinam reddiderit, celeriter vrinæ fistulam occupat. Quòd si iam adulto puero calculus gignatur ex terræ esu, non ante ei dolor adest, quàm ipse sibi cibum deligat. Et de his quidem hactenus. Hic autem morbus quinque habet signa. Cùm vrinam reddere vult, dolore afficitur, & vrina paulatim velut vrinæ stillicidio laborantibus effluit, interdumq; subcruenta est, vt pote vesica à calculo exulcerata, & vesica inflammatione vexatur. Verùm id nõ apparet, indicio tamen est summa præputij pars. Interdum ex his quæ dicam arenosa per vrinam reddit, interdũ verò duos aut plures calculos. Alij autem parui gignũtur eo quò de vno dixi modo.

ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, ἀλλὰ χολώδης, ἢ ὑδρωποειδής, ἢ αἱματώδης, ἢ φλεγματώδης, καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ. συμβάλλεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη. [83] πλεῖστον δὲ ἀγγ' αὐτῷ ἐς τὸ γάλα, ὅ, τι ἂν αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωυτῷ. καὶ τὸ παιδίον ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον γίνεται καὶ ἀσθενές. καὶ τὸ παρὸν μάλιστα λυπεῖ, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον. καὶ ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες, καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τείνούσας, εὐρείας καὶ ὁλκούς. χωρέεται δὲ καὶ τὸ ποτὸν καὶ τὸ γάλα ὑπὸ τῆς τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου, [84] ὁκοίην ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ γάλακτος, τὸ πᾶν ὁμοίως, ὅ, τι ἂν αἱ φλέβες διαπέμπωνται ἐς τὴν κοιλίην. καὶ ἤν τι ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυεισκόμενον ἐν τῇ κύστει, γίνεται λίθος, τρόπῳ τοιῷδε. ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ παραχθέντι ἐν κύλικι, ἢ ἐν χαλκῷ, καὶ καταστάντι ὑπόσταθμη ἀλὴς γίνεται ἐν τῷ μέσῳ. [85] οὕτως καὶ ἐν τῇ κύστει ἀπὸ τοῦ οὔρου, μὴ καθαροῦ ἐόντος. καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ κοίλῳ ἐοῦσα, καὶ μάλιστα ἀλὴς γινομένη ὑπὸ ὀδύνης, οὐ διέρχεται διὰ τῆς οὐρήσιος, πήγνυταί τε ὑπὸ τοῦ φλέγματος ὠμοῦ ἐόντος. κόλλα γὰρ γίνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον. καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται. ἔπειτα τὸ ἐπιὸν, ψαμμῶδες προσγίνεται, κόλλης γινομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει ἐνεόντος ἀπὸ τοῦ γάλακτος, καὶ αὔξεται. καὶ ὅ, τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγένηται, ἐξουρέεται. αὐτὴ δὲ ἡ ὑπόσταθμη στερεοῦται ἢ λιθοειδὴς γίνεται, ὥσπερ σίδηρος ἐκ τῶν λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται. καὶ ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ, κεκόλληνται τῇ σκωρίῃ λίθοι, καὶ ἡ γῆ πρὸς ἀλλήλα. καὶ ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν σκωρίη οἱ ἔξω ἔρχεται, τηκομένη ἐκ τοῦ σιδήρου, καὶ ὀφθαλμοῖσιν ὁρᾶται τὸ γινόμενον. ὁ δὲ σίδηρος, λιμπάνεται ἐν τῷ πυρὶ καὶ συμπίπτει προσδιδούσης τῆς σκωρίης, καὶ γίνεται στερεός τε καὶ πυκνός. οὕτω δὴ καὶ ἡ ὑπόσταθμη ἐν τῇ κύστει, κόλλης γινομένης τοῦ φλέγματος, ἐξουρέεται τηκομένη ὑπὸ τοῦ οὔρου. αὐτὴ δὲ συμπίπτει καὶ πυκνὴ γίνεται, καὶ στερεοῦται ὥσπερ σίδηρος. ἐπὴν δὲ συμπέσῃ καὶ στερεωθῇ, κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω. καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν. καὶ ἀποφέρει τι ἀπ' αὐτῆς ἐπὴν ἰσχυρῶς κόπτῃ καὶ ἕλκῃ. [86] τὸ δὲ ἐπιφερόμενον ἔτι μᾶλλον τῷ ἀπιόντι ψαμμώδει, σύμπηξιν ἐργάζεται ὁ λίθος. καὶ γίνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος ἐς τὴν κύστιν. ἔστι δὲ ὅτε γίνεται, κἢν τὸ παιδίον ἐὸν [87] ἢ ἄλλη τις ἀπὸ τούτου γένηται. ἄλλοτε γὰρ καὶ ἄλλοτε ἐπὴν οὐρήσῃ ταχέως ἐπιλαμβάνεται τῆς οὐρήθρης. ἢν δὲ τοῦ παιδίου ἤδη ἀκμάζοντος λίθος γένηται [88] ἀπὸ γεωφαγίης, ὁ πόνος οὐ πάρεστιν οἱ πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἱρῆται. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἴρηται. Σημήια δὲ ἡ νοῦσος ἔχει πέντε. ἐπὴν τε οὐρῆσαι θέλῃ, πονέεται. καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει ὥσπερ στραγγουριῶσι. καὶ ἔστιν ὕφαιμον οἷα τῆς κύστιος ἑλκωμένης ὑπὸ τοῦ λίθου. καὶ ἡ κύστις φλεγμαίνει. ἀλλὰ τοῦτο μὲν, ἀφανές. σημήιον δὲ, ἀκροποσθίη. ἔστιν ὅτε διουρέεται ψαμμώδεα. ὑπὸ τοιούτων δὲ, οἵων ἐγὼ ἐρέω. διουρέεται δὲ ἔστιν ὅτε, λίθους δύο ἢ καὶ πλείονας. ἕτεροι δὲ σμικροὶ, τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὴν μίαν εἴρηκα.

γίνεται

[89] Γίνονται δὲ καὶ ὑπὸ τοῦ τοιούτου. ἐπὴν ὁ λίθος συμπαγῇ καὶ βάθος γένηται ἐς τὴν κύστιν τῇ ψάμμῳ τῇ γινομένῃ χωρίς. ἐλθούσης δὲ τῆς ψάμμου, ὁ λίθος μὴ προσλάβῃ πρὸς ἑωυτὸν, ἀλλὰ βαρυτέρη καὶ πλείων γένηται, ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς ἑωυτὴν, καὶ οὕτως δύο λίθοι γίνονται. γίνονται δὲ καὶ πλείονες, τρόπῳ τῷ αὐτῷ. καὶ ξυγκρουομένων πρὸς ἀλλήλους τῇ κλονήσει περιθραύεται, καὶ διουρέεται τὸ ψαμμῶδες. ἔστι δ' ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος πρὸς τὴν κύστιν καὶ μὴ προσπαγῇ. [90] λέγουσι δέ τινες ὅτι τὸ πινόμενον, ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα. οὗτοι δὲ οἱ ταῦτα λέγοντες, διαβάλλονται τούτῳ, ὃ μέλλω ἐρέειν. ὅτι ὁ πλεύμων κοῖλος ἐστὶ, καὶ πρὸς αὐτῷ ἐστι σύριγξ. ὁ δὲ πλεύμων εἰ μὴ κοῖλος ἦν, καὶ ἡ σύριγξ προσείχετο, οὐκ ἂν ἐφώνει τὰ ζῶα. [91] φθεγγόμεθα γὰρ ἀπὸ τοῦ πλεύμονος ὅτι κοῖλός ἐστι, καὶ ἡ σύριγξ πρόσεστι. διαρθροῖ δὲ τὸν φθόγγον, τὰ χείλεα καὶ ἡ γλῶσσα. κάλλιον δέ μοι περὶ τούτου δεδήλωται, ἐν τῇ περιπλευμονίῃ. τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισιν τὸ ποτὸν ἐς τὸν πλεύμονα φέρεσθαι ἐναντιώσομαι. ἔχει δὲ οὕτως, χωρεῖ τὸ ποτὸν ἐς τὴν κοιλίην, ἀπὸ δὲ τῆς κοιλίης [92] ἐς τὸ ἄλλο σῶμα ἀπαυρίσκεται. νοῆσαι δὲ χρὴ, ὁκόσα μέλλω ἐρέειν. λέγω δὲ ἱστόρια, ὅτι τὸ ποτὸν οὐ χωρεῖ ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, τάδε. εἰ γὰρ τὸ ποτὸν χωρεῖ ἐς τὸν πλεύμονα, ὁκόταν ὁ πλεύμων πλησθῇ, οὐκ ἂν ῥηιδίως τὸν ἄνθρωπον ἀναπνεῖν, οὐδὲ φθέγγεσθαι δύνασθαι. οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τῷ πλεύμονι πλήρει ἐόντι. καὶ ἓν μὲν τοῦτο ἱστόριόν ἐστιν. ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν πλεύμονα, τὰ σιτία ἂν ἡμῖν ξηρὰ ἐόντα, οὐκ ἂν ὁμοίως ἐπέσσετο. δύο δὲ ἱστόρια ταῦτα ἐστί. καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα ἐπὴν πίωμεν, χωρεῖ τῆς κοιλίης ἔξω. ἔχει δὲ καὶ τόδε οὕτως. ὁκόσα φάρμακα καθαρτικά ἐστιν ἢ ἄνω ἢ κάτω, ἢ καὶ ἀμφότερα, ταῦτα ποιεῖ. πάντα καίει κάρτα. καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ. τὰ δὲ μαλακώτερα, τάραχον ποιεῖ τοῦ χρωτὸς [93] ὅ, τι ἂν ἀλείφῃ. εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκεῖ ἄν μοι τι μέγα ποιῆσαι κακόν. τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς, ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ. ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμά ἐστιν ὁ πλεύμων. καὶ ἢν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διά γε πολλά. ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, ὅτι χρῆμά ἐστιν ἰσχυρὸν, ὥσπερ δηλαδὴ δέρμα. καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι, τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ ἱματίων. τῇσι δὲ κοιλίῃσιν, ἀντὶ θυλάκων. ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη ἐστίν. ἔπειτα ἐπὴν ὑπὸ οἴνου μέλανος θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. ταῦτα δὲ πάντα ἱστόριά ἐστι. καὶ ἐπὴν σκόροδα φάγωμεν, ἤ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. ταῦτα μὲν τὰ ἱστόρια ἔξεστι σκέψασθαι, δὲ καὶ τόδε ὅ τι μέλλω ἐρέειν. εἴ τις κυκεῶνα πίνοι, ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἤ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἂν αὐτὸν, οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον. ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν πλεύμονα φλέγμα ἢ ἐς τὴν σύριγγα αὐτοῦ

Fiunt etiam ad hunc modum. Cùm concretus fuerit calculus, & altè in vesica subsederit arenaque separata fuerit, & accedentem arenam calculus ad se non adiunxerit, sed grauior & copiosior sit reddita, ita vt inter se concrescere nequeat, hoc etiam modo duo calculi gignuntur, fiunt verò eodem modo plures, quibus inter se collisis in agitatione arenosum comminuitur, & per vrinam excernitur. Interdum verò etiam vbi arena ad vesicam descenderit, neque in sese coïerit. At verò dicunt nonnulli id quod bibitur in pulmonem deferri, ex eoque in reliquum corpus. Hi autem ex eo quod dicturus sum coarguuntur, quòd pulmo cauus existit, eique annexa est fistula. Quòd si pulmo cauus non esset, neque ei adnasceretur fistula, animalia nullam vocem emitterent. Vocem enim ex pulmone edimus, quòd cauus sit, prætereaque eius fistula. Vocem autem labra & lingua articulatam reddunt. De hoc autem à me exactiùs dictum est in pulmonis inflammatione. His igitur qui potum ad pulmonem ferri existimant, quæ hoc se habent modo opponam. Potus in ventriculum concedit, à ventriculo verò in reliquum corpus exhauritur. Ad hæc verò argumenta animum attendere oportet, quæ proferam, cur potus in ventriculum, non in pulmonem concedat. Si enim potus ad pulmonem ferretur, vbi pulmo oppletus esset, non facilè quis spiritum trahere, neque loqui posset. Neque enim pulmone pleno esset quod resonaret. Et hoc quidem vnum est argumentum. Deinde si potus ad pulmonem procederet, cibi in nobis sicci non similiter coquerentur. Itaque duo sunt argumenta. Quin & medicamenta ventrem subducentia vbi potu sumpserimus, extra ventriculum ferētur. Habet autem se res hoc modo. Quæ medicamenta sursum aut deorsum, aut vtroque modo purgant, hæc efficiunt. Omnia valde vrunt, & ex his quidem valentia, si fortè mollem aliquam corporis partem contigerint, eam vlcerant. Leuiora verò turbationem in corpore excitant, quodcunq; velleuiter attigerint. Quòd si aliquod ex his medicamentis ad pulmonem veniat, magnum aliquod malum mihi excitare posse videtur. Pituita enim ex capite veniens, eum paruo admodum tempore exulcerat, cùm tenerum quiddam & rarum sit pulmo, & si exulceratus fuerit, aliquis sanè multis de causis non bene habet. Ventriculus autem à medicamentis non exulceratur, cùm robustum quiddam sit, velut corium scilicet. Et in Libya plęriq; ex incolis, pecorum pellibus pro vestibus, & ventribus pro sacculis vtuntur. Ventriculus enim robustum quiddam est. Præterea vbi homines vinum nigrum ingesserint, nigra per aluum egerunt. Hæc quidem omnia argumenta sunt. Ac vbi allia aut aliud grauis odoris edulium comederimus, vrinam cibi odorem referentem excernimus. Et hæc quidem argumenta, tum ea quæ dicturus sum spectanda sunt. Si quis cyceonem biberit, aut farinam coctam, aut aliud quid huiusmodi sorbitione acceperit, idq; ad pulmonem perueniat, hunc ne minimum quidē temporis victurū speramus. Vbi enim paulum quid pituitæ ad pulmonem aut eius fistulam venerit,

multa & valida tussis conuulsioque oboritur. Si igitur vtique vixerit qui cyceonem biberit, aut farinam coctam sorbitione sumserit, vbi concocta sorbitio fuerit, copiosum & vehementem calorem multumque dolorem in corpore excitari censeo, vt proinde minimè conueniens ventris egestio consequatur, si ad pulmonem veniat. Istaque septem sunt argumenta. Præterea qua ratione lac pueros enutriret, siquidem ad pulmonem concederet. Quod est aliud à me adductum argumentum. Ac ne ista quidem argumenta ad orationem nostram probandam adduxissem, nisi adeò multi potum ad pulmonem concedere existimarent. Ac necesse est eum qui velit auditorem à pristina sententia deducere, suisque verbis fidem facere, ad ea quæ firmiter in opinione inhærent, multa argumenta adferre. Atque ob eam causam potus non ad pulmonem, sed ventriculum fertur, quòd ei propè adiuncta est hominis gula, quæ semper hiat, & ad quam tendit, simulque pulmonis fistulæ tanquam hederæ folium ita incumbit, vt si ad eum feratur, in deuorando minimè in se demittat. Atque de his hactenus. In ventriculum autem etiam potus fertur, quo cùm expletus fuerit, ab eo lien recipit, & ad venas & omentum transmittit, & ad decliue deorsum, ad scrotum, ad crura, & ad pedes demittit. Cumque morbus superuenerit, multæ aquæ accessio fit ex ventriculo, vbi quis biberit, & semper ad lienem fertur. In hoc autem morbo contingit, vt non alia de causa in ventriculo febris excitetur, quàm cùm quis sitierit, vesica verò & ventriculus non rectè transmittant, neque conueniente victus ratione homo vtatur. Lien verò aliquantum ægrotans, potum ex ventriculo trahit, morbus autem suboritur, & scrotum pellucidum euadit, & iugulum, ceruix, & pectus extenuatur, cùm ex hoc morbo colliquescat, & humor in ventriculum defluat, inferioraq; aquæ plena sunt, ventriculus cibum refugit, & quandoque quidem valdè stringit, quandoque verò effluit, neque vesica probè transmittit, plærunque frequens horror corpus peruadit, interdumque febris prehendit, & quibusdam facies intumescit, quibusdam minimè. Nonnullis verò vbi morbus diuturnus extiterit, tibiæ rumpuntur, indeque aqua effluit, insomnia corporisque imbecillitas, præcipuéque lumborum contingit, & vbi quid comederit aut biberit, etiam paulò plus lien affligitur, crebrumque spiritum semper emittit. Atque ista aquæ inter cutem sunt indicia, eaque circa ventriculum solùm consistũt, siue febris detineat, nécne, & venter intumescit, cruraq; aqua implentur, superiores verò corporis partes, extenuãtur iis qui ita affecti existimantur; signa tamẽ omnia debiliora existunt, simulq; in cruribus aqua minimè suboritur, & tantò minor labor est. At verò circa ventriculum solum aqua inter cutem istam ob causam exoritur. Etenim vbi magna copia accesserit, neq; per exordia ad inferiores partes via detur, sed coaceruata in venis resideat, nimirum vt quæ respirationem non habeat, neque sursum, neque deorsum firmam sedem habet.

πολλὴ βήξ τε καὶ ἰσχυρὴ γίνεται καὶ σπασμός. εἰ δ' οὖν ἄρα καὶ ζώη ὁ ἄνθρωπος πιὼν τὸν κυκεῶνα ἢ τὸ ἄλητον ῥοφέων. πεσσομένου γὰρ τοῦ ῥοφήματος, θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι, καὶ πόνον πολλόν,[94] ὥς τε εἰ ἀπόπατον ἴοι κατὰ τρόπον ἢ ἐς τὸν πλεύμονα ἔλθοι. ταῦτα δ' ἰσόρεια ἑπτά ἐστιν. ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴγε χωρέει πρὸς τὸν πλεύμονα. τοῦτο δὲ ἰσόρειον ἄλλο μοι. καὶ ταῦτα οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ, τοιοῦτο ἰσόρειον οὐδέν, εἰ μὴ ὅτι 10 πολλοὶ κάρτα τῶν ἀνθρώπων, τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν. καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα, τὰ πολλὰ ἰσόρεια ἐπάγεσθαι, εἰ μέλλει τὸν ἀκούοντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι τοῖς ἑωυτοῦ τε λόγοισι πείσειν. καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην,[95] ὅτι προσάφης αὐτῷ ἐστιν ὁ στόμαχος τοῦ ἀνθρώπου ἀεὶ χάσκων. καὶ χωρέει ἐς ἐκεῖνον. καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ πλεύμονος, ὥσπερ κισσοῦ φύλλον. ὥστε οὐκ ἂν παραχωρηθείη ἐν τῇ καταπόσει, εἰ χωρέει ἐς ἑωυτόν. καὶ ταῦτα ἐς τοῦτο μοι εἴρηται. χωρέει δὲ 20 καὶ τὸ ποτὸν ἐς τὴν κοιλίην. καὶ ἐπὴν πλησθῇ, ὁ σπλὴν τὸ ἀπ' αὐτῆς δέχεται καὶ διδοῖ ἐς τὰς φλέβας, καὶ ἐς τὸ ἐπίπλοον, καὶ ἐς τὸ κατάντεες, ἔς τε τὴν ὀσχέην, καὶ ἐς τὰ σκέλεα, καὶ ἐς τοὺς πόδας.[96] καὶ ἐπὴν νοῦσος ἐπιγένηται, τῷ ὕδατι πολλῷ χωρέει ὑπὸ τῆς κοιλίης. καὶ ἐς τὸν σπλῆνα ἔρχεται ἀεὶ ἀπὸ τοῦ ποτοῦ. ἐπὴν πίνῃ ὁ ἄνθρωπος. γίνεται δὲ ἐπὶ τῆς νούσου ταύτης, ὥστε μὴ πυρεταίνειν ἄλλην ἐν τῇ κοιλίῃ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ, ἡ δὲ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον. μηδὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται. ὁ δὲ σπλὴν ὑποπονούμενος 30 ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ. ἡ δὲ νοῦσος γίνεται. καὶ ἡ ὀσχὴ διαφανὴς γίνεται. καὶ αἱ κληΐδες. καὶ ὁ τράχηλος. καὶ τὰ στήθεα καταλεπτύνεται. τήκεται γὰρ ὑπὸ τῆς νούσου ταύτης, καὶ καταρρέει ἐς τὴν κοιλίην. τά τε κάτω, ὕδατος πλέα ἐστί. καὶ ἀσιτέει ἡ κοιλίη. καὶ ὁτὲ μὲν, κάρτα στέγει.[97] ὁτὲ δὲ, καταρρέει, ἥ τε κύστις οὐ διηθέει κατὰ τρόπον. ὡς ἐπὶ τὸ πλεῖον φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος. καὶ πῦρ ἔστιν ὅτε ἐπιλαμβάνει. καὶ τὸ πρόσωπον, τῶν μὲν οἰδαλέον γίνεται, τῶν δὲ οὔ. ἔστι δ' οἷσι καὶ καταρρήγνυνται αἱ κνῆμαι. ἐπὴν χρόνιον τὸ νούσημα γένηται, καὶ ῥεῖ αὐτόθεν ὕδωρ. καὶ ἀγρυπνίη ἐπιπίπτει καὶ ἀδυνα-40 μίη τοῦ σώματος, καὶ μάλιστα τῆς ὀσφύος. καὶ ἐπὴν τι φάγῃ ἢ πίῃ, καὶ ὀλίγῳ πλέον πονέεται ὁ σπλὴν, καὶ τὸ πνεῦμα πυκνὸν ἀεὶ ἀφίει. ταῦτα δὲ σημήϊα ὕδρωπος εἰσίν. ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μούνην, ἢ καὶ πυρὸς λαβόντος, ἢ καὶ οὐχί. καὶ ἡ γαστὴρ μεγάλη γίνεται. καὶ τὰ σκέλεα πίμπλαται ὕδατος.[98] τὰ δὲ ἄνω τοῦ σώματος λεπτὰ γίνεται, οὕτω οἰηθεῖσι. τὰ δὲ σημήϊα ἅπαντα, βληχρότερά ἐστι καὶ ἅμα καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται. καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. περὶ δὲ τὴν κοιλίην μούνην διὰ τόδε ὕδρωψ γίνεται. ἐπὴν γὰρ ἅλες ἐπιγένηται, καὶ ὁδὸς ἐν ἀρχῇσι μὴ γίνηται ἐς τὸ κάτω,[99] ἀλλ' ἀποβληθῇ ἅλες ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον, μήτε ἄνω μήτε κάτω ἀποστήριξιν ἔχει.

ὥσπερ

ὥσπερ εἴ τις ἄγγος μέγα μικρόστομον ἀπολαβὼν, καταστρέψειεν ἐν τάχει. εἶτα καθ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον. καὶ ἢν τοῦτο ποιήσῃ [100] τὸ ὕδωρ οὐκ ἂν ῥυείη ἔξω. οὐδὲ γὰρ ἔχει πνοὴν, ἀλλ' ἀποκέκλεισται ἀπὸ τοῦ ἔντος πνεύματος. ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι, καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος, τοῦ πληρώσαντος τὸ ἄγγος, καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος. ἢν δέ τις κλίνειε καθ' ἡσυχίην τὸ ἄγγος, ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος. ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ τὸ ὕδωρ ἔξω. οὕτω δὴ, καὶ τῷ ὑδρωπι. ἢν μὲν ἡ διαπνοὴ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γίνηται, ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ. ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἱλέεται περὶ τὴν κοιλίην. καὶ οὕτω μὲν μοι περὶ τούτων εἴρηται. γίνεται δὲ καὶ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι, καὶ τὰ ἐν τῇσι κοιλίῃσι, καὶ τὰ ἐν τοῖσι σκέλεσι, [101] καὶ τ' ἄλλα σημήια ταῦτα ἴσχει. ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νουσήμασι περὶ αὐτοῦ. αὗται αἱ τρεῖς ἰδέαι τῶν νουσημάτων, ἀπὸ τοῦ ὕδρωπος. γίνεται δὲ τὰ νουσήματα πάντα ταχέως χαλεπά. καὶ πάντα αὔξεται ταχέως. ἔτι δὲ χαλεπώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα τηκθὲν, ἐς τοῦτο περιέλθῃ. ἢν μὲν οὖν ἐν τάχει παρακαταλάβηται τὸ νούσημα τὸν ἄνθρωπον, θνήσκει, [102] ἅτε τῆς νούσου χρονιωτάτης γινομένης. ἐπὴν δὲ καὶ ἡ κοιλίη ὑγρὸς γίνηται, κάρτα θνήσκει τάχιστα, [103] ἐπαΐων τε καὶ διαλεγόμενος. ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται, καὶ ὅτι τὰ σημήια αὐτοῦ τάδε.

Non secus ac si quis magnum vas angusti oris occlusum subitò conuertat, deinde sensim operculum ab ore detrahat, idque vbi fecerit, aqua foras non effluet, cùm perspirationem non habeat, sed à spiritu qui intus est intercludatur. Spiritus enim internus vas opplet, & externo spiritui obluctatur, neque aquæ excursus datur, cùm spiritus vas impleat, simulque aer superincumbat. At si quis vas sensim inclinet, aut in fundo perforarit, spiritus è vase efferetur, eoque egresso foras aqua etiam concedit. Ita sanè in aqua intercute, siquidem sursum aut deorsum perspiratio per venas fiat, per morbi initia, ad crura & pedes aqua fertur, sin minùs, isthic solùm circa ventriculum volutatur. Ac de his quidem sic à me dictum est. Quinetiam in vtero mulieribus hydrops contingit, & in ventre, & in cruribus, reliquaque signa eadem habet, de quo à me in Morbis Muliebribus dictum est. Atque tres hæ sunt ab hydrope morborum formæ. Hi autem omnes morbi celeriter difficiles fiunt, celeriterque omnes increscunt. Longè verò grauiores fiunt, si corpus alio modo tabefactum, ad hunc delapsum fuerit. Si igitur subitò hominem morbus corripuerit, moritur, cùm nimirum morbus admodum diuturnus existat. Quòd si etiam aluus fluida fuerit, admodum citò, tum sentiens, tum loquens, moritur. Atque ista mihi de hydrope & eius ortu, & quòd ipsius hæc signa sint, dicta sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΘΩΝ.

HIPPOCRATIS DE AFFECTIONIBVS LIBER.

ἌΝΔΡΑ χρὴ ὅστις ἐστὶ συνετὸς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ὑγιείη, ἐπίστασθαι ἀπὸ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι. ἐπίστασθαι δὲ, τὰ ἀπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα, πρὸς τὸ σῶμα τὸ ἑωυτοῦ καὶ διαγινώσκειν. ἐπίστασθαι δὲ τούτων ἕκαστα, ὅσον εἰκὸς ἰδιώτην. ταῦτ' οὖν ἐπίσταιτο ἄν τις μάλιστα εἰδὼς καὶ ἐπιτηδεύων τάδε. νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα, ὑπὸ χολῆς καὶ φλέγματος. ἡ δὲ χολὴ καὶ τὸ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ σώματι, ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ, καὶ ἀπὸ σιτίων, καὶ ἀπὸ ποτῶν, καὶ ἀπὸ πόνων, καὶ ἀπὸ τρωμάτων, καὶ ὀσμῆς, καὶ ἀκοῆς, καὶ ὄψιος, καὶ λαγνείης· καὶ ἀπὸ τοῦ θερμοῦ, καὶ ἀπὸ τοῦ ψυχροῦ. πάσχει δὲ ὅταν τούτων ἕκαστα τῶν εἰρημένων, ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα ἢ πλείω τε καὶ ἰσχυρότερα, ἢ ἐλάσσω τε καὶ ἀσθενέστερα. τὰ μὲν οὖν νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων. δεῖ δὲ πρὸς ταῦτα τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα εἰκὸς γινώσκειν ἰδιώτην.

QVICVNQVE intelligentia valet, is bene subducta secum ratione reputare debet quàm homini plurimi æstimanda sit sanitas, nosseq́ue quanam ratione in morbis sui consilij fructum capere possit. Nosse etiam debet quę & à Medicis dicuntur, & suo corpori apponuntur, eaque diiudicare, eorumque singula, prout cuiuis ex populo datur, cognoscenda. Hæc igitur præcipuè percipit, qui in istis cognoscendis studiū & operam collocarit. Morbi omnes hominibus ex bile & pituita oriuntur. Bilis autem & pituita morbos excitant cùm in corpore supra modum vel resiccantur, vel humectantur, vel incalescunt, vel refrigerantur. Hæc verò pituitæ & bili contingunt, ex cibis, & potibus, laboribus, vulneribus, odoratu, auditu, visu, rebus venereis, calore & frigore. Eueniunt autem cùm ex dictis quæque vel non conueniente tempore corpori admouentur, aut non pro consuetudine, aut copiosiora & valentiora, aut pauciora & imbecilliora. Ac ex his quidem morbi omnes hominibus oriuntur. Ad hæc autem priuatum nosse conuenit, quę quemuis ex populo cognoscere consentaneum est,

ea verò adhibere & pertractare, quæ artis peritos scire æquum est. Fieri autem potest vt quiuis ex populo eorum quæ dicuntur & fiunt intelligentiam quandam assequatur. Iam igitur vnde horum quodq; nosse oporteat, mihi dicendum est. Cùm capitis dolores contigerint, in eo caput multæ calidæ lotione calefacere confert, & sternutamento excitato pituitam & mucos educere. Ex quibus si dolor soluatur, hæc satis sunt. Sin minùs, caput pituita repurgandum, & sorbitione invictus ratione vtendũ, & in potu aqua. Vinum autẽ minimè offerendũ, quoad dolor sedetur. Vehemẽtior enim dolor euadit, vbi caput calidum vinũ attraxerit. Dolores autẽ ex pituita ingruunt vbi in capite coacta & coaceruata fuerit. Quòd si subinde dolor & tenebricosa vertigo in caput incidat, hæc quidem admota prosunt. Iuuat etiam sanguis ex naribus aut ex vena frontis detractus. At si diuturnus & vehemẽs capitis morbus euadat, neque capite purgato tollatur, in eo caput pertundere, aut venas circumadurere conuenit. Hæc enim vnica sanitatis spes relicta est. Statim autem per initia constitutionis morborum in ægris spectandum, quonam opus habeant, & num medicamentum purgans, aut aliud quodcunque adhibere voles, ferre possint. At si prætermisso principio, ad extremum tendente morbo exhibueris, confecto iam corpore, veritus vehemens quiddam adhibere, periculum est ne priùs frustreris, quàm aliquid assequaris. Si dolor ad aures contingat, multa calida lauare & aures fouere confert, & si quidem ab his pituita extenuata è capite deducatur, dolorq; desinat, hæc satis sunt. Sin minùs, præ cæteris optimum fuerit, medicamẽtum quod sursum pituitam purgat propinare, aut caput medicamento quod pituitam deducat purgare. Hic verò dolor etiam suboritur, vbi intrinsecus ad meatum auditorium pituita ex capite illapsa fuerit. At si fauces inflammatione tenentur, oris collutionibus vtẽdum. Quæ etiam ex pituita contingunt. Si verò gingiuæ, aut pars quædam sub lingua inflammatione detineatur, iis quæ manducantur vtendum. Hæc verò ex pituita etiam fiunt. Si vua suspensa fuerit & suffocationem faciat (curgulionem nonnulli vocant) confestim quidem gargarismis apparatis, velut in medicamentis scriptum est, vtendum. Quòd si ex his gracilis non euadat, occipitio deraso cucurbitulæ duæ admouendæ & sanguis plurimus detrahendus, pituitæq; cursus in posteriora reuellendus. Si verò neq; his subsidat, scalpello vt aqua educatur, pertundito. Quod faciendum vbi summa eius pars subrubra extiterit. Ac nisi tunc secetur, inflammari consueuit, interdumque de repente suffocat. Hoc verò etiam ex pituita contingit, vbi calefacto capite ex eo confertim defluxerit. In dentium autem doloribus, si quidem dẽs erosus fuerit & mobilis eximendus. Quòd si neq; erosus fuerit, neq; moueatur, sed dolorem inferat, vstione resiccandus. Prosunt etiam quę cõmanducantur. Dolores quoq; oriuntur,

ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζειν. περὶ δὲ τούτων τῶν λεγομένων καὶ τῶν ποιευμένων, οἷόν τε εἶναι τὸν ἰδιώτην γνώμην τινὰ ξυμβάλλεσθαι. ἤδη οὖν τούτων ὁπόθεν ἕκαστα δεῖ ἐπίστασθαι, ἐγὼ φράσω. Ην ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τούτῳ τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν, λούοντα πολλῷ καὶ θερμῷ, καὶ πταρμὸν ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα. ἢν δὲ μὴ ἀπαλλάσσηται, καθαίρειν τὴν κεφαλὴν φλέγμα. διαιτᾷν δὲ, ῥοφήματι καὶ ποτῷ ὕδατι. οἶνον δὲ μὴ προσφέρειν, ἐς τ' ἂν ἡ περιωδυνίη παύσηται. τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσῃ, ἡ περιωδυνίη ἰσχυροτέρη γίνεται. Τὰ δὲ ἀλγήματα ἐσπίπτει ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ. ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτῃ ἐς τὴν κεφαλὴν, ὠφελέει μὲν καὶ ταῦτα προσφερόμενα. ὠφελέει δὲ, καὶ ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. ἢν δὲ πουλυχρόνιον καὶ ἰσχυρὸν τὸ νούσημα ἐν τῇ κεφαλῇ γίνηται, καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, ἢ τρῆσαι δεῖ τούτου τὴν κεφαλὴν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι. τῶν γὰρ λοιπῶν ἀπὸ τούτων μούνων, ἐλπὶς ὑγιέα γενέσθαι. τοὺς νοσέοντας χρὴ σκοπεῖν, εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νουσημάτων, ὅτου ἂν δέωνται. καὶ οἷοί τε ἔωσι, φαρμακεύεσθαι. καὶ ἄλλο ὅ τι ἂν αὐτοῖς θέλῃς προσενέγκαι. ἢν δὲ τὴν ἀρχὴν παρεὶς τελευτώσης τῆς νούσου προσφέρῃς, ἐν ἀπειρηκότι ἤδη τῷ σώματι, δεδιὼς ἰσχυρόν τι προσενέγκαι, κινδυνεύσεις ἁμαρτάνειν μᾶλλον, ἢ ἐπιτυγχάνειν. Ην ἐς τὰ ὦτα ὀδύνη ἐμπέσῃ, λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ, καὶ πυριῆν τὰ ὦτα. καὶ ἢν μὲν πρὸς ταῦτα περιίηται τὸ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπῃ, ἀρκέει ταῦτα. ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον φαρμάκων, πῖσαι ἄνω ὅ, τι φλέγμα καθαίρει. ἢ τὴν κεφαλὴν καθῆραι, ᾧ καθαίρεται τὸ τῆς κεφαλῆς φλέγμα. τὸ δὲ ἄλγημα καὶ τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα ἐκ τῆς κεφαλῆς προσπαίσῃ. Ην δὲ τὰ περὶ τὴν φάρυγγα φλεγμήνῃ, ἀναγαργαρίζειν χρή. γίνεται δὲ καὶ ταῦτα, ἀπὸ φλέγματος. ἢν δὲ τὰ οὖλα, ἢ τι τῶν ὑπὸ τῇ γλώσσῃ φλεγμαίνῃ, διαμασήμασι χρῆσθαι. ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. Ην δὲ ἡ σταφυλὴ καταπκρεμασθῇ καὶ πνίγῃ, ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα, τοῖσι διαχρίσμασι μὲν τοῖσιν ἀναγαργαρίστοισι χρῆσθαι, σκευάζων ὡς γέγραπται ἐν τοῖσι φαρμάκοισιν. ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γίνηται, ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν, σικύας προσβάλλειν δύο. καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον, καὶ ἀνασπᾶσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος. ἢν δὲ μὴ τούτοισι καθίσηται, σχάσαντα μαχαιρίῳ τὸ ὕδωρ ἐξαγαγεῖν. σχάζειν δὲ, ὅταν τὸ ἄκρον ὑπέρυθρον γίνηται. ἢν δὲ μὴ τηνικαῦτα γενόμενον τμηθῇ, φλεγμαίνειν θέλει. καὶ ἔστιν ὅτε ἐξαπίνης ἔπνιξε. γίνεται δὲ καὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς θαλφθείσης, ἀθρόον καταρρυῇ. ὅσα δὲ περὶ ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ καὶ κινέεται, ἐξαιρέειν. ἢν δὲ μὴ βέβρωται, μηδὲ κινέηται, ὀδύνην δὲ παρέχει, καύσαντα ἀποξηρῆναι. ὠφελέει δὲ, καὶ τὰ διαμασήματα. αἱ δὲ ὀδύναι γίνονται,

ὅταν

ὅταν φλέγμα ὑπέλθῃ, ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. ἐσθίονται δὲ καὶ βιβρώσκονται. οἱ μὲν, ἀπὸ φλέγματος· οἱ δὲ, ἀπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἔωσι, καὶ κοιλίην ἔχοντες καὶ πεπηγότες ἐν τοῖσιν οὔλοισι κακῶς. Ἢν δὲ ἐν τῇ ῥινὶ πόλυπος ἐγγένηται, οἷον πρῆσμα, πνέεταί τε καὶ ἀπογκέει ἐκ τοῦ μυκτῆρος εἰς τὸ πλάγιον. ἐξαιρέεται δὲ βρόχῳ διελκόμενος ἐς τὸ στόμα ἐκ τῆς ῥινός. οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. φύεται δὲ, ὑπὸ φλέγματος. Ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νουσήματα, πλὴν ὀφθαλμῶν. ταῦτα δὲ ἰδίως γεγράψεται. Περὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων, ἐνθυμέεσθαι χρὴ, τάδε. πλευρῖτις, περιπνευμονίη, καῦσος, φρενῖτις. αὗται καλέονται ὀξεῖαι. καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρόταται τοῦ χειμῶνος. γίνονται δὲ, καὶ τοῦ θέρεος. ἧσσον δὲ, καὶ μαλακώτεραι. ἢν δὲ παρατύχῃς, ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνοις μάλιστα. Πλευρῖτις. πυρετὸς ἴσχει, καὶ τοῦ πλευροῦ ὀδύνη. καὶ ὀρθοπνοίη. καὶ βήξ. καὶ τὸ σίαλον κατ' ἀρχὰς μὲν, ὑπόχολον πτύει. ἐπὴν δὲ πεμπταῖος γένηται ἢ ἑκταῖος, καὶ ὑπόπυον. τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ,τι ἀποστήσει ἀπὸ τοῦ πλευροῦ, τό, τε φλέγμα καὶ τὴν χολήν. ἡ γὰρ ὀδύνη, οὕτως ἂν εἴη μαλακωτάτη. τὴν δὲ κοιλίην θεραπεύειν ὑπάγοντι καὶ ψύχοντι κλύσματι. οὕτω γὰρ τῇ νούσῳ τῇ ξυμπάσῃ συμφορώτατα. προσφέρειν δὲ ποτόν τε καὶ ῥόφημα, καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πῦον, θερμαίνοντα ξυμφέρει τὸ πλευρὸν ἔξωθεν πεπαίνειν τὰ πρὸς τὸ πλευρόν. πρόσθεν δὲ, οὐ ξυμφέρει. ξηραίνεται γάρ. γίνεται δὲ ἡ νοῦσος αὕτη, μάλιστα μὲν ἐκ πόσιος, ὅταν τις ὑγράζοντος τοῦ σώματος, ἢ μεθύων, ἢ νήφων, ῥιγώσῃ. γίνεται δὲ καὶ ἄλλως. κρίνεται δὲ ἡ νοῦσος. ἡ μὲν βραχυτάτη, ἑβδόμη· ἡ δὲ μακροτάτη, τετάρτῃ καὶ δεκάτῃ. καὶ ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πῦον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται. ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται. καὶ ἡ νοῦσος μακρή. κρίνεσθαι δέ ἐστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνονται, ἢ μεταπίπτωσιν ἐς ἕτερον νούσημα, ἢ τελευτῶσιν. Περιπλευμονίη. πυρετὸς ἴσχει. καὶ βήξ. καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον, φλέγμα παχὺ καὶ καθαρόν. τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ, ὑπόχολον καὶ ὑποπέλιον. ὀγδόῃ δὲ καὶ ἐνάτῃ, ὑπόπυον. τούτῳ ἢν μὲν ὀδύνη ἐγγίνηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ὅσαπερ ἐν τῇ πλευρίτιδι τοῦ πλευροῦ τῆς ὀδύνης ἐν τῇ φαρμακίτιδι γέγραπται. ποτοῖσι δὲ καὶ ῥοφήμασι, καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, κατὰ ταὐτὰ θεραπεύειν τῇ πλευρίτιδι. ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ πλεύμονος ἀνακαθαίρεσθαι καὶ τὸ πῦον, διδόναι φάρμακα ποτά, οἷσιν πλεύμων ὑγραίνεται καὶ καθαίρεται τὸ πῦον ἄνω. ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα. ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίσταται ἐς περιπλευμονίην καὶ καῦσον. κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη, ἐν τεσσαρεσκαίδεκα· ἡ δὲ μακροτάτη, ἐν δυοῖν δεούσαις εἴκοσι. διαφεύγουσι δὲ ταύτην ὀλίγοι. γίνονται δὲ καὶ ἐμ-

vbi pituita in dentium radices ſeſe inſinuarit. Exeduntur autem & eroduntur partim quidem à pituita, partim verò à cibis, ſi naturâ debiles fuerint, & cauitatem habeant, ac in gingiuis malè infixi ſint. Si polypus in naſo innaſcatur, velut quiddam flatu diſtentum ex obliqua nare intumeſcit. Eximitur autem laqueo ad os pertractus. Quidam etiam medicamentis tabefaciunt. Ex pituita autem gignitur. Atque hi quidem morbi in capite ex pituita producuntur, præter oculorum morbos, de quibus ſeorſim ſcribetur. At verò in ventris morbis hæc in conſiderationem adhibenda. Morbus lateralis, pulmonum inflammatio, febris ardens, & perpetua in febre inſania (phrenitis dicta) hi quidem acuti vocantur, & maximi quidem & vehementiſſimi hyeme oriuntur. Oriuntur quoque æſtate, ſed minùs, & leuiores. Quòd ſi tibi fortè contigerint, hæc vbi feceris & in conſilium adhibueris, præcipuè voti compos fies. Morbus lateralis eſt cùm febris detinet, lateralis dolor, ſpiratio difficilis, nec niſi erecta ceruice trahitur, & tuſſis, ſputum per initia quidem aliquantum bilioſum expuit, vbi verò quintum aut ſextum diem attigerit, etiam aliquantum purulentum. Huic in lateris dolore, quod pituitam & bilem à latere inhibeat exhibeto. dolor enim ſic leuiſſimus erit. Ventrem verò ſubducente & refrigerante clyſtere eluere oportet. hoc enim omni morbo conuenientiſſimum exiſtit. Exhibendus etiam potus & ſorbitio, & potiones acidiores propinandæ, vt ſputum de latere per ſuperiora educatur. Vbi verò pus repurgari cœperit, quæ latus calefaciunt conferunt, & exteriore parte lateri admouenda quæ maturent. Priùs autem adhibere non confert, quòd reſiccetur. Oritur autē hic morbus ex potu præcipuè, cùm quis humecto corpore, vel temulentus, vel ſobrius rigore correptus fuerit. fit & aliis ex cauſis. Iudicium autem ſubit hic morbus, cùm breuiſſimè quidem ſeptimo die, cùm longiſſimè autem decimo quarto. Quo quidem ſi pus ex latere repurgatum & per ſputum reiectum fuerit, ſanus euadit. Si verò minimè expuatur, purulentus fit, & morbus longiùs protrahitur. Iudicari autem morbi dicuntur, cùm increſcunt, aut exoleſcunt, aut in alium tranſeunt, aut deſinunt. In pulmonis inflammatione febris detinet & tuſſis, & primùm quidem pituitam craſſam & puram excreat, ſexto verò ac ſeptimo die aliquantulum bilioſum & ſubliuidum, octauo autem & nono pure permixtum. Huic ſi dorſi aut laterum dolor oboriatur, exhibeto quod in morbo laterali ad lateris dolorem facere in medicamentorum tractatione ſcriptum eſt. Potibus autem & ſorbitionibus, alui etiam ſubductione & refrigeratione, iiſdem quibus in morbo laterali, curatio facienda eſt. Vt autem ſputum & pus ex pulmonibus ſurſum educatur, exhibenda ſunt in potu medicamenta quibus pulmo humectatur, & pus per ſuperiora repurgatur. Hic autem morbus oritur cùm pituita ex capite confertim ad pulmonem defluxerit. Interdum verò cùm ex morbo laterali in pulmonis inflammationē & febrem ardentem tranſitus fit. Iudicatur autem breuiſſimus quidem decimo quarto die: longiſſimus verò duodeuigeſimo. Hunc pauci effugiũt, & ex hoc morbo ſup-

purati euadunt, nisi pulmo intra iudicatorios dies repurgatus fuerit. Vbi perpetua cũ febre insania (phrenitis dicta) occupat, primùm leuis febris detinet, & dolor circa præcordia, magis autem dextera ad hepar. Cùm autem quartum aut quintum diem attigerit, tum febris vehementior, tum dolores maiores fiunt, colorq; aliquantum biliosus redditur, & mens offenditur. Huic ad dolorem eadem quæ in morbo laterali exhibeto, & qua parte dolor detinet tepefacientia admoueto. Aluus verò curanda, eademq; reliqua, excepto fotu facienda. Potu quouis alio, præter quàm vino vtendum, aut acetum & mel & aqua exhibenda. Vinum autem mente offensa, neque in hoc morbo, neq; in quibusuis aliis confert. In hoc autem morbo caput multa calida lauare confert. Molliore enim reddito corpore, sudor magis oritur, aluusque & vrina excernitur, ipseque seipso moderatior euadit. Hic morbus oritur ex bile commota, vbi ad viscera & septum transuersum resederit. Iudicatur autem, vt breuissimè, septimo, vt longissimè verò, vndecimo. Hunc enim pauci effugiunt, ipseque in pulmonis inflammationem transit, ac vbi transierit pauci euadunt. In febre ardente, febris & sitis vehemens detinet, lingua aspera & nigra spiritus sanè caliditate redditur, color aliquantulum biliosus fit, & sputa biliosa. In ægro partes exteriores frigidæ sunt, interiora verò admodum calent. Huic refrigerantia & aluo, & exteriore corporis parte admouere conuenit. ea cautione adhibita, vt ne inhorrescat. Potiones quoque & sorbitiones crebræ & paulatim quàm frigidissimæ exhibendæ. Aluus verò curanda, & si quidem quæ in ea continentur non subeant, subluenda, & per infusa quàm frigidissima, vel quotidie, vel tertio quoque die refrigeranda. Hic morbus oritur ex bile commota, vbi in aliquam interiorem corporis partem incubuerit. Consueuit etiam in pulmonis inflammationem transire. Iudicatur autem, vt breuissimè quidem, nono aut decimo die, vt longissimè verò, decimoquarto. Et siquidem ad pulmonis inflammationem deuenerit, pauci effugiunt, si verò non transierit, multi euadunt. Atq; hi quidem acuti morbi vocantur, eósque hoc modo curare conuenit. Quæ febres aliæ hyeme, siue ex vino, siue ex lassitudine, siue ex alia quauis re oriuntur, diligenter obseruandæ sunt. Interdum enim in acutas transeunt, earumque transitio fit eiusmodi. Agitatis duobus humoribus, tum bile, tum pituita, vbi quæ minimè conueniunt corpori admouentur, ipsi in sese collecti, in eam corporis partem quancunq; sors obtulerit incidunt, fitq; morbus lateralis, aut phrenitis, aut pulmonis inflammatio. Febres igitur hyeme exortas diligenti cura obseruare oportet. Sit autem earum diligens obseruatio, vt in his quies, gracilitas, & ventris euacuatio adhibeatur. In sorbitionibus autẽ & potionibus perdurandum donec febris imminuta fuerit. Ex omnibus ferè morbis acuti præcipuè & interficiunt, & maximos labores excitant, iiq; plurima obseruatione & accuratissima curatione indigent. Neq; ab eo qui curat malum aliquod inferri debet, satis enim sunt quæ à morbis adsunt, verùm vt boni aliquid præstet pro

πυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κυρίῃσιν ὁ πλεύμων καθαρθῇ. Φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια. μᾶλλον δὲ πρὸς τὰ δεξιά, ἐς τὸ ἧπαρ. ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, ὅ, τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ αἱ ὀδύναι, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται. καὶ τοῦ νόου παράκοπή. τούτῳ τῆς μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι διδόναι. καὶ χλιαίνειν, ἵν' ἡ ὀδύνη ἔχῃ. τὴν κοιλίην δὲ, θεραπεύειν καὶ τ' ἄλλα ποιέειν τὰ αὐτὰ, πλὴν τοῦ ποτοῦ. ποτῷ δὲ χρῆσθαι τῷ ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου. ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. οἶνος δὲ οὐ ξυμφέρει τοῦ νόου παρακεκοπέντος, οὔτε ἐν ταύτῃ τῇ νούσῳ, οὔτε ἐν ἑτέρῃσιν ἄλλῃσι. λούειν δὲ πολλῷ καὶ θερμῷ καὶ κατὰ τὴν κεφαλὴν ἐν ταύτῃ τῇ νούσῳ, ξυμφέρει. μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη καὶ τὸ οὖρον διαχωρέει. καὶ αὐτὸς ἑωυτοῦ ἐγκρατέστερος γίνεται. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ. ἡ δὲ νοῦσος κρίνεται. ἡ μὲν βραχυτάτη, ἑβδομαίη. ἡ δὲ μακροτάτη, ἑνδεκαταίη. διαφεύγουσι δὲ ταύτην, ὀλίγοι. μεθίσταται δὲ καὶ αὐτὴ ἐς περιπλευμονίην. καὶ ἢν μεταστῇ, ὀλίγοι διαφεύγουσιν. Καῦσος δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει, καὶ δίψα ἰσχυρή. καὶ ἡ γλῶσσα τρηχείη, καὶ μέλαινα γίνεται, τοῦ πνεύματος ὑπὸ θερμότητος. καὶ τὸ χρῶμα ὑπόχολον γίνεται. καὶ τὰ πτύαλα χολώδεα. καὶ τὰ μὲν ἔξω, ψυχρός γίνεται. τὰ δ' ἔσω, λίαν θερμός. τούτῳ ξυμφέρει ψύγματα προσφέρειν, καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, φυλασσόμενος μὴ φρίξῃ. καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ, καὶ κατ' ὀλίγον ὡς ψυχρότατα. τὴν δὲ κοιλίην θεραπεύειν μὲν, μὴ ὑποχωρέειν τὰ ἐνεόντα, κλύσαι. ψύχειν τε κλύσμασι ὡς ψυχροτάτοισιν, ἢ ὁσημέραι, ἢ διὰ τρίτης. ἡ δὲ νοῦσος αὕτη, γίνεται ὑπὸ χολῆς ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος κατασκήψῃ. φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι. κρίνεται δὲ ἡ μὲν βραχυτάτη, ἐναταίη ἢ δεκαταίη. ἡ δὲ μακροτάτη, τεσσαρεσκαιδεκαταίη. καὶ ἢν μὲν καταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν. ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πολλοί. αὗται μὲν οὖν ὀξεῖαι καλέονται. καὶ δεῖ ταύτας οὕτω θεραπεύειν. Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ἐξ οἴνου, εἴτε ἐκ κόπου, εἴτε ἐξ ἄλλου τινὸς, φυλάσσεσθαι χρή. μεθίστανται γὰρ ἐνίοτε ἐς τὰς ὀξείας νούσους. ἡ δὲ μετάστασις αὐτῶν, τοιαύτη γίνεται. ὅταν τῶν δύο κεκινημένων τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, συστρεφόμενα αὐτὰ πρὸς ἑωυτά, τό, τε φλέγμα καὶ ἡ χολὴ προσπίπτει τοῦ σώματος ὅπου ἂν τύχῃ. καὶ γίνεται ἡ πλευρῖτις. ἢ φρενῖτις. ἢ περιπλευμονίη. φυλάσσεσθαι οὖν χρὴ τοὺς πυρετοὺς τοὺς ἐν χειμῶνι. ἡ δὲ φυλακὴ αὐτῶν ἔστω, ἡσυχίη, καὶ ἰσχνασίη, καὶ κοιλίης κένωσις. ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ. τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι, καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι. καὶ δεῖ πρὸς αὐτὰς φυλακῆς τε πλείστης, καὶ θεραπείης ἀκριβεστάτης. καὶ ἀπὸ τοῦ θεραπεύοντος, κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρχοντα. ἀγαθὸν δὲ ὅ, τι ἂν οἷος τε ᾖ.

οἷός τε ἦ. καὶ ἢν μὲν ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ ὑπὸ μεγέθεος τῆς νούσου κρατέηται ὁ κάμνων, οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστίν. ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς, μηδὲ γινώσκοντος, ὑπὸ τῆς νόσου κρατέηται, τοῦ ἰητροῦ. Τοῦ δὲ θέρεος τάδε γίνονται. πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ δίψα. καὶ ἐμέουσιν ἔνιοι χολήν. ἐνίοισι δὲ, καὶ κάτω διαχωρέει. τούτοισι δὲ πίνειν διδόναι καὶ ῥοφεῖν, ὅ,τι ἂν σοι δοκέῃ ἐπιτήδειον εἶναι. ἢν δὲ προσίστηται πρὸς τὴν καρδίαν χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν, ἢ μελίκρητον, ἐμέειν. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι, ἢ βαλάνῳ. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς. ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι, ἢ ἐνναταῖοι. ἢν δὲ τοῦ πυρετοῦ ἔχοντος μὴ καθαίρωνται, μήτε κάτω, μήτε ἄνω, πόνος δὲ ἐνῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν ἢ τριταῖος, ἢ τεταρταῖος, φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ πόματι. ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου, ἢ ἀλήτου. καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν. πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χολῆς. ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρώδης ᾖ σφόδρα, τὰ δ' ἔσω, καὶ ἡ γλῶσσα τρηχέη καὶ μέλαινα γίνεται, [10] καὶ οἱ πόδες, καὶ αἱ χεῖρες ἄκραι ψυχραὶ, τούτῳ φάρμακον μὲν μὴ διδόναι, θεραπεύειν δὲ προσφέρων ψύγματα, καὶ πρὸς τὴν κοιλίην καὶ πρὸς τὸ ἄλλο σῶμα. καλέεται δὲ ὁ πυρετὸς καυσώδης οὗτος. [11] κρίνεται δὲ μάλιστα ἑνδεκαταῖος, καὶ τεσσαρεσκαιδεκαταῖος. ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, τοῦτον ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ ῥοφήμασι καὶ πόμασι θεραπεύειν. ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία. καθῆραι δὲ ὡς τάχιστα φαρμάκῳ ἤν τε ἄνω δοκέῃ σοι δεῖσθαι ἤν τε κάτω. [12] ἢν δὲ πυρετὸς μὲν μὴ ἔχῃ, τὸ δὲ στόμα πικρὸν ἔχῃ, καὶ τὸ σῶμα βαρύνηται καὶ ἀσιτέῃ, φάρμακον διδόναι. πάσχει δὲ ταῦτα ὑπὸ χολῆς ὅταν εἰς τὰς φλέβας καὶ τὰ ἄρθρα κατασκήψῃ. ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ κοιλίην γίνονται. ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον ὑδαρὲς ποιέων, ὅσον τρεῖς κοτύλας ὄξεος παραχέας, δὸς πίνειν χλιαρόν. καὶ ἐπισχὼν ὀλίγον χρόνον ξυνθαλφθεὶς πυρὶ καὶ ἱματίοισιν, ἐμείτω. ἢν δὲ ἀπεμέσαντι αὖθις προσίστηται, καὶ πνίγῃ, αὖθις ἔμετον ποιείσθω. ἢ λούσας αὐτὸν πολλῷ καὶ θερμῷ, ὑποκλύσαι καὶ χλιάσματα προστιθέναι ἐὰν ἡ ὀδύνη ἔχῃ. πάσχουσι δὲ ταῦτα μάλιστα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, καὶ τῶν φαρμάκων ἃ γέγραπται παύοντα τὴν τοιαύτην νοῦσον ἐν τῇ φαρμακίτιδι. ἢν δὲ μεθίστηται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ, καὶ πίνειν διδόναι, τῆς ὀδύνης εἵνεκα, ἃ ἐν τῇ πλευρίτιδι γέγραπται. ἢ τῶν ἄλλων ὅ,τι ἄν σοι δοκέῃ. ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω. σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. τὰ δὲ τοιαῦτα ἀλγήματα ὅσα οὕτως πλανᾶται, ὑπὸ χολῆς γίνεται. ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι, ἢν δὲ μὴ παύωνται, φάρμακον δοῦναι κάτω. ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ,

viribus curãdum est. Quòd si cùm probè quidem curet Medicus, morbi magnitudine superetur æger, hęc Medici culpa non est. Si verò cùm rectè non curet, neq; morbum cognoscat, à morbo superetur, Medici culpa est. Æstate hæc contingunt, febris vehemens & sitis detinet, quidam bilem vomitione reiiciunt, quibusdam etiam per inferiora secedit. Quibus quodcunq; tibi conueniens esse videbitur potui vel sorbendum exhibeto. Quòd si bilis vel pituita circa cor vrgeat, aqua frigida aut mulsa epota vomendum & si venter infra non subeat, infuso vel glande vtendum. Morbus hic ex bile oritur. Liberantur autem ferè septimo vel nono die. Quòd si cùm febris detinet, neque per inferiora, neq; per superiora purgantur, totumq; corpus laboret, tertio vel quarto die leui medicamento vel potione per inferiora purgandum parandæque sorbitiones ex milio & farina, iisdemq; potionibus curandum. Hæc vero etiam ex bile contingunt. Siquidem partes exteriores non admodum igneæ videantur, sed interiores, linguaque aspera & nigra reddatur, & pedes summæque manus frigidæ sint, huic ne medicamentum quidem exhibueris, sed curationem per refrigerãtia & ventri, & toto corpori adhibita facito. Hæc febris ardens nominatur, iudicaturq; ferè die vndecimo & decimoquarto. Quòd si febris prehenderit & dimiserit, corporis autem grauitas detinuerit, hunc quidem quandiu febris tenuerit, sorbitionibus ac potionibus curato. Cùm verò minimè detinuerit, etiam cibos exhibeto, & quam citissimè medicamentum purgans exhibeto, siue sursum, siue deorsum tibi eo opus esse videatur. Si verò febris quidem non detineat, os tamen amarum habeat, corporis grauitas adsit, cibumque minimè admittat, medicamentum exhibeto. Hæc autem ex bile contingunt, cùm ad venas & articulos decubuerit. At quicunq; alij dolores per æstatem contingunt, qui quidem ad pręcordia & cor feruntur, aquam mulsam aquosam, aceti tribus affusis heminis, tepidam propinato, & vbi modico tempore eã continuerit, & igne & vestibus cõtectus fuerit, vomat. Quòd si à vomitu rursus vrgeant & strangulent, rursus vomitum cieto, aut multa calida loto aluum subluito, & tepefactoria quandiu dolor detinuerit admoueto. Hæc autem præcipuè ex pituita contingunt, cùm commota ad cor irruperit. His verò qui huiusmodi doloribus conflictãtur, etiam ea medicamenta exhibenda, quæ ad huiusmodi morbum sedandum in medicamentorum tractatione scripta sunt. At si dolor subinde ad aliam ventris partem citra febrem transierit, multa calida lauandum, & ad dolorem ea potui exhibenda, quæ in morbo laterali scripta sunt, aut aliud quodcunque tibi visum fuerit. Quòd si dolore non liberetur, medicamento per inferiora purgandũ, cibis verò quoad dolor tenuerit, abstineat. Huiusmodi autem dolores, qui ita vagantur, ex bile oriuntur. In doloribus qui circa vmbilicum contingunt, aluus molli infuso est subluenda, qui si non sedentur, medicamentum deorsum purgans exhibẽdum. Qui verò dolores de repente citra febrem corpori accidunt,

in his multa calida lauare, & tepefactoriis vti confert. Pituita enim & bilis coacta quidem valida sanè sunt, & quacunque corporis parte constiterint, ibi obtinent, vehementemque tum laborem, tum dolorem excitant. Diffusa verò, quacunque corporis parte se prodant, imbecilliora sunt. At verò morbi qui per æstatem contingunt, sic oriri solent. Vbi corpus ex sole incaluerit, humectatur, humectatum verò ægrotat, vel totum, vel ea parte in quam pituita & bilis decubuerint. Eos igitur si quis per initia curauerit, neque longi, neq; periculosi redduntur. Si verò non cures, aut malè cures, & longiores esse consueuerunt, & plærunque interficiunt. Quinetiam ex his tertianæ & quartanæ oriri solent. Hæc morborum constitutio potissimùm quidem per æstatem, interdum autem per hyemem contingit. Cùm febris tertiana detinuerit, si quidem impurgatus esse sibi videatur, quarto die medicamentū purgans exhibeto. At si medicamento opus esse tibi non videatur, in potu ea medicamenta danda sunt, quibus febris aut transmutetur, aut desinat, quemadmodum in medicamentis scriptum est. Et in accessione quidem sorbitione & potu nutriendum, intermediis autem diebus, cibis aluum subducentibus. Quæ vt plurimùm non ita sæpe prehendit, nisi verò curetur, in quartanam transire & diuturna esse solet. Si autem quartana prehenderit, siquidem impurgatus fuerit, primùm quidem caput purgandum, & tribus aut quatuor interiectis diebus, sub ipsam accessionem medicamentum sursum purgans exhibendum, rursus aliquo interuallo interiecto, aliud medicamentum deorsum purgans in ipsa accessione dandum. Quòd si per hæc non sedatur, rursus intermissis aliquot diebus, multa calida loto, medicamenta quæ scripta sunt exhibenda. Potionibus autem & sorbitionibus, reliquaque victus ratione, velut in tertiana vtendum. Hæc autem febris plurimos quidem longo tempore inuadit, quosdam verò etiam pauco, & oritur quidem tum tertiana, tum quartana ex bile & pituita, quàm verò ob causam, de tertiana & quartana alibi à me scriptum est. Harum autem febrium epota medicamenta hanc habent facultatem, vt corpus in consueta caliditate & frigiditate suo loco consistat, neque præter naturam incalescat, neque refrigeretur. Exhibenda verò quemadmodum in medicamentorum tractatione scriptum est. Cùm pituita alba detinet, totum corpus tumore albo intumescit, eodemque die alia corporis parte meliùs, alia deteriùs habere videtur, tumorque alias alia corporis parte & maior & minor est. Huic medicamenta deorsum purgantia exhibenda, quibus aqua aut pituita purgatur. In victus autem ratione vtendum cibis & potibus, ac laboribus, ex quibus siccissimus & maximè gracilis euadat. Morbus hic ex pituita oritur, cùm quis ex diuturnis febribus pituita abundauerit, & minimè purgatus fuerit, & in eius carnes pituita vertitur. Quæ quanquam reliqua pituita nihilo sit albidior, cutis tamen color candidior apparet. Sãguis enim pituitę copia aquosior redditur, neq; æquè in eo bonus color inest, proptereaq; candidiores apparent, morbusq; pituita alba vocatur.

ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν. τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ, ξυνεστηκότα μὲν ἰσχυρά γε ἐστὶν, καὶ κρατέει καθ᾽ ὅκοῖον ἂν τοῦ σώματος ᾖ. καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει. διακεχυμένα δὲ ἀσθενέστερά ἐστι καθ᾽ ὅ ἂν ἔνδηλα ᾖ τοῦ σώματος. τὰ δὲ νουσήματα τὰ ἐκ τοῦ θέρεος γίνονται, εἴωθε γίνεσθαι οὕτως. ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται. ὑγραινόμενον δὲ, νοσέει, ἢ πᾶν, ἢ ἐς ὃ μέρος ἂν κατασκήψῃ τὸ φλέγμα καὶ ἡ χολή. ἢν μὲν οὖν τις αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται, οὔτε ἐπικίνδυνα. ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει. καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ, ἐκ τῶν τοιούτων γίνεσθαι πεφύκασιν. αὕτη ἡ κατάστασις τῶν νουσημάτων, μάλιστα μὲν τοῦ θέρεος γίνεται, ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος. Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μὲν τῷ δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον διδῶναι. ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι φάρμακα ποτὰ, οἷσιν ἢ μεταστήσεται ὁ πυρετὸς, ἢ ἀπολείψει. διδόναι δὲ ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι. καὶ τῇ μὲν λήψει, ῥοφήματι καὶ ποτῷ διαιτᾶν. τῇσι δὲ διὰ μέσου, σιτίοισι διαχωρητικοῖσι. λαμβάνει δὲ ὡς ἐπὶ τὸ πουλὺ, οὐκ ἐπὶ πλεῖον. ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον καὶ γίνεσθαι πουλυχρόνιος. Ην δὲ τεταρταῖος λαμβάνῃ, ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν. καὶ διαλείπων δύο ἢ τέσσαρας ἡμέρας, φάρμακον διδόναι ἄνω κατ᾽ αὐτὴν τὴν λῆψιν. διαλιπὼν δὲ κάτω διδῶναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν, λούσας πολλῷ καὶ θερμῷ, διδῶναι τῶν φαρμάκων ἃ γέγραπται. ποτήμασι δὲ καὶ ῥοφήμασι καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου. λαμβάνει δὲ οὗτος ὁ πυρετὸς, τοὺς μὲν πλείστους, πουλὺν χρόνον· τοὺς δὲ, καὶ ὀλίγον. καὶ γίνεται μὲν, ὅ, τε τριταῖος καὶ τεταρταῖος ὑπὸ χολῆς καὶ φλέγματος. διότι δὲ ὁ τριταῖος καὶ ὁ τεταρταῖος ἑτέρωθί μοι γέγραπται. δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥστε πινόμενα, τὸ σῶμα κατὰ χώρην εἶναι, ἐν τῇ εἰωθυίῃ θερμότητι τε καὶ ψυχρότητι. καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν, μήτε ψύχεσθαι. διδόναι δὲ, ὡς ἐν τῇ φαρμακίτιδι γέγραπται. Φλέγμα λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν, λευκῷ οἰδήματι. καὶ τῆς αὐτῆς ἡμέρης, τὸ μὲν δοκέει ῥᾴων εἶναι, τὸ δὲ φλαυρότερος. καὶ τὸ οἴδημα ἄλλοτε ἄλλῃ τοῦ σώματος, μέζον τε καὶ ἔλασσον γίνεται. τούτῳ φάρμακα διδόναι κάτω, ὑφ᾽ ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. διαιτᾶν δὲ, σιτίοισι καὶ ποτοῖσι καὶ πόνοισιν, ὑφ᾽ ὧν ὡς ξηρότατος ἔσται καὶ ἰσχνότατος. ἡ δὲ νοῦσος αὕτη γίνεται ἀπὸ φλέγματος. ὅταν τις ἐκ πυρετῶν πολυχρονίων φλεγματώδης ὢν, ἀκάθαρτος γένηται, τρέπηταί τε τὸ φλέγμα αὐτοῦ ἀνὰ τὰς σάρκας. καὶ λευκότερον μὲν οὐδὲν τοῦτο τοῦ ἄλλου φλέγματος. ὁ δὲ χρὼς, φαίνεται λευκότερος. τὸ γὰρ αἷμα ὑπὸ πλήθεος τοῦ φλέγματος, ὑδαρέστερον γίνεται, καὶ οὐκ ἔνι ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον. καὶ διὰ τοῦτο λευκότεροί τε φαίνονται. καὶ καλέεται ἡ νοῦσος, φλέγμα λευκόν.

ἢν μὲν

ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται. ἢν δὲ μή, ἐς ὕδρωπα μεθίσταται ἡ νοῦσος, καὶ διέφθειρε τὸν ἄνθρωπον. Ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, ὅσοι μὲν εἰσὶ χολώδεες, κακόχροοί τε γίνονται καὶ κακελκέες καὶ δυσώδεες ἐκ τοῦ στόματος καὶ λεπτοί. καὶ ὁ σπλὴν σκληρός, καὶ αἰεὶ παραπλήσιος τὸ μέγεθος. καὶ τὰ σιτία οὐ διαχωρεῖ. ὁκόσοι δὲ φλεγματίαι [14] ταῦτά τε ἧσσον πάσχουσι, καὶ ὁ σπλὴν ἄλλοτε μείζων γίνεται, ἄλλοτε δὲ ἐλάσσων. τούτοισι ξυμφέρει, ἢν μὲν ἀκάθαρτοι φαίνωνται, καθαίρειν καὶ τὴν κεφαλὴν καὶ τὸ ἄλλο σῶμα. ἢν δὲ μὴ δέωνται φαρμακείης, 10 διαιτᾶν. τοῖσι μὲν φλεγματώδεσι, ξηραίνοντα τὸ σῶμα καὶ ἰσχναίνοντα σιτίοισι καὶ ποτοῖσι, καὶ ἐμέτοισι, καὶ γυμνασίοισιν ὡς πλείστοισι, καὶ περιπάτοισι. καὶ τοῦ ἦρος ἐλλεβόρῳ καθαίρειν ἄνω. ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διυγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην, καὶ τὴν κύστιν καὶ τὴν φλέβα τὴν σπληνῖτιν, ἀφιέναι πυκνά. καὶ τοῖσι διουρητικοῖσι φαρμάκοισι χρῆσθαι, ἃ γέγραπται μαλθάσσειν τὸν σπλῆνα. καὶ καθαίρειν ὡς ἔτεος ὥρῃ, καὶ τὸ χολῶδες. ἔνιοι δὲ τῶν σπληνιώντων, ὑπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, οὐδὲ ὑπὸ τῆς ἄλλης θεραπείης [15] οὐδὲν ἰσχνότερος γίνεται αὐτῶν ὁ 20 σπλήν, ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου. προϊόντος δὲ τοῦ χρόνου, ἐνίοισι μὲν ἐς ὕδρωπα περιίσταται ἡ νοῦσος, καὶ διεφθάρησαν. ἐνίοισι δέ, καὶ πυΐσκεται. καὶ καυθέντες, ὑγιέες γίνονται. ἐνίοισι δέ, καὶ ξυγκαταγηράσκει, σκληρός τε ὢν καὶ μέγας. τὸ δὲ νόσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης, χολὴ ἢ φλέγμα ἢ καὶ ἀμφότερα ἐς τὸν σπλῆνα καταστηρίξῃ. καὶ πολυχρόνιον μέν ἐστι τὸ πάθος· θανατῶδες δὲ οὔ. [16] τῶν δὲ φαρμάκων ὅσα δίδοται τοῦ σπληνός, τὰ μὲν καὶ διὰ τῆς κύστιος καθαίρει, καὶ ποιεῖ λαπαρώτερον. τὰ δὲ καθαίρει 30 μέν, οὔτε διὰ τῆς κύστιος οὐδέν, ὅ,τι καὶ φανερώτερον, οὔτ' ἄλλῃ οὐδαμῇ. λαπάσσει δὲ τὸν σπλῆνα. Εἰλεὸς ὅταν λάβῃ, ἡ γαστὴρ σκληρὴ γίνεται. καὶ διαχωρεῖ οὐδέν. καὶ ὀδύνη κάτω πᾶσαν τὴν κοιλίην ἔχει, καὶ πυρετὸς καὶ δίψα. ἐνίοτε δὲ ὑπὸ πόνου ἐμέει καὶ χολήν. τοῦτον χρὴ διυγραίνειν, καὶ ἔσωθεν, καὶ ἔξωθεν. λούειν τε πολλῷ καὶ θερμῷ. καὶ πίνειν ὅσα τήν τε κοιλίην κινεῖ, καὶ τὸ οὖρον ὑπάγει. καὶ ὑποκλύζειν ἢν δέχηται. ἢν δὲ μὴ δέχηται τὸ κλύσμα, [17] αὐλίσκον προσδήσαντας πρὸς ποδεῶνα ἀσκίου φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν. καὶ ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑ- 40 πὸ τῆς φύσης καὶ ἡ γαστήρ, ἐξελὼν τὸν αὐλίσκον, ἐνιέναι παραχρῆμα κλύσμα. καὶ ἢν δέξηται, ὑποχωρήσει καὶ ὑγιὴς ἔσται. ἢν δὲ μὴ οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιστα ἑβδομαῖος. ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τὸ κάτωθεν ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, περὶ τοῦτο περιίσταται φλέγμα. καὶ τὸ ἔντερον ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδεῖ. καὶ οὔτε τῶν ἄνωθεν πινομένων φαρμάκων δέχεται, ἀλλὰ ἀνεμεῖ, οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται. ἔστι δὲ τὸ νόσημα ὀξὺ καὶ ἐπικίνδυνον. Ὕδερος δὲ γίνεται τὰ μὲν πλεῖστα, ὅταν τις ἐκ νόσου μακρῆς ἀκάθαρτος διαφέρηται πολὺν χρόνον. φθείρονται γὰρ αἱ σάρκες, καὶ τήκονται, καὶ γίνονται ὕδωρ. γίνεται δὲ ὕδρωψ, καὶ ἀπὸ τοῦ σπληνὸς ὅταν νοσήσῃ. καὶ ἀπὸ τοῦ ἥπατος.

Si igitur per morbi initia curatio adhibita fuerit, conualescit; sin minùs, in aquam inter cutem morbus transit, & hominem perimit. Qui magnum habent lienem, qui quidem biliosi sunt, malè colorati euadunt, praua vlcera contrahunt, os grauiter olet, graciles sunt, lien durus est, semperque æqualis magnitudinis, neque ciborum reliquiæ per aluum demittuntur. Qui verò pituitosi sunt, hæc iis minus contingunt, & lien aliàs maior, aliàs minor redditur. His confert si quidem minimè purgati videantur, caput & reliquum corpus purgare. Quòd si purgatione non indigeant, victus ea ratio instituenda, quæ pituitosis quidem corpus exiccet & extenuet, cibis, potionibus, & vomitionibus, & exercitationibus quàm plurimis, ac deambulationibus. Quinetiam vere per veratrum sursum purgandum. Biliosis verò confert per victus rationem humectatem aluum & vesicam subducere, & venam splenicam crebrò laxare, medicamentisq; vrinam cientibus vti, quæ lienem mollire scripta sunt, & pro anni tempore bilem purgare. Ex lienosis autem nonnulli medicamentis epotis minimè iuuantur, & ex reliqua curatione nihilo gracilior etiam lien redditur, sed quæ admouentur à morbi magnitudine superantur. Progressu verò temporis quibusdam quidem morbus ad aquam intercutem deuenit, & contabescunt, quibusdam verò purulentus fit, & vstione consanescunt, quibusdam etiam durus & magnus ad senectutem vsque perseuerat. Oritur autem morbus vbi ex febribus & vitiosa curatione, bilis aut pituita, aut vtraque ad lienem decubuerint. Et diuturnus quidem affectus est, minimè tamen lethalis. Ex medicamentis autem quæ ad lienem exhibentur, alia quidem per vesicam purgant & molliorem efficiunt, alia verò purgant quidem, neque tamen per vesicam quicquam quod euidens sit, neque per aliam vspiam partem, lienem tamen emolliunt. Cùm voluulus corripuerit, venter durus redditur, nihilque infra demittit, dolorque totam inferiorem aluum detinet, & febris, & sitis. Quandoque etiam præ dolore bilem vomitione reiicit. Hunc & intus & extra humectare oportet, & multa calida lauare, bibereque quæ aluum moueant & vrinam deducant, & per infusum subluere si admittat. Quòd si clysterem recuset, fistula ad propendulum vtriculi petiolum adalligata & inflata, multus flatus immittendus, intestinoque & ventre per flatum distento, detracta fistula confestim clyster iniiciendus. Quém si admiserit, aluum demittet & conualescet. Si verò ne sic quidem clysterem receperit, septimo ferè die moritur. Oritur autẽ eiusmodi morbus, vbi copiosè coaceruatum stercus in intestino pituita circumambiẽte combustum fuerit, intestinumque, his nimirum confertim induratis, intumuerit, nullumque ex his medicamentis quæ superbibuntur recipit, sed vomitione reiicit, neq; admota per inferiora infusa recipit. Est autem morbus acutus & periculi plenus. Aqua inter cutem plærunq; quidem oritur, vbi quis ex morbo lõgo non purgatus, diu vitã traduxerit. Carnes nanq; corrumpuntur & colliquantur, in aquamq; vertũtur. Fit etiam hydrops ex liene vbi ęgrotarit, & ex hepate,

& ex alba pituita, & intestinorum difficultate & læuitate. Et si quidem hydrops ex vitiosorum humorum purgationis defectu contingat, venter aqua impletur, pedes & tibiæ attolluntur, humeri, iugulum, pectus & coxæ contabescunt. Hunc si inter initia in manus sumpseris, priùs quàm aqua supra modum suffusus fuerit, medicamenta propinanda quibus aqua & pituita per inferiora purgetur. Bilis verò minimè mouenda. Victus ratio instituenda in cibis & potibus, laboribus & deambulationibus, ex quibus gracilis & siccus reddatur, carnes verò quàm validissimæ. Hic verò morbus cùm aliàs lethalis est, tum verò præcipuè cùm venter aqua plenus esse cœperit. At cùm ex liene, aut hepate, aut alba pituita, aut intestinorum difficultate, in aquam intercutem transierit, per eadem quidem curare confert, neque tamen admodùm euadunt. In morbis enim vbi alter alteri succedit, is plærunque interficit. Corpus enim ex præsente morbo imbecillum redditum, si alter morbus accesserit, ex imbecillitate priùs perit quàm alter qui posterior accessit morbus desinat. Aqua sanè sic gignitur. Postquam carnes pituita, tempore, morbo, & vitiosorum humorum purgatione non facta, malaque curatione & febribus corruptæ fuerint, colliquescunt & in aquam vertuntur, neq; in se quidem venter aquam transfundit, sed in eius ambitu gignitur. Si igitur ex medicamẽtis aut reliqua victus ratione auxiliũ sentiat, eiusq; vẽter emolliatur, satis est. Sin minùs, sectione facta aquam educito. Fit autẽ sectio vel iuxta vmbilicum, vel retrò iuxta ilia. Inde verò pauci etiam euadunt. Cùm intestinorum difficultas detinuerit, dolor totum ventrem occupat, & tormina, bilem pituitamque & sanguinem adustum per aluum demittit. Huius purgato capite, medicamentum quod supra pituitam purget propinato, & aluo lacte cocto abluta, reliquum corpus curato. Et si quidem febris expers fuerit, aluum vnguinosis, pinguibus, dulcibus, ac liquidis semper subducito, & quæ insunt semper educito, & si dolor detinet, partes sub vmbilico calida multa lauato: potiones, sorbitiones, & cibos prout in medicamentorum tractatione scriptum est, adhibeto. Oritur hic morbus postquam bilis & pituita in venas & aluum decubuerit. Malè quidem afficitur sanguis, & corruptus per inferiora emittitur, malè quoque intestinum afficitur, & raditur ac exulceratur. Longus autem hic morbus redditur, laboriosus & lethalis, & si quidem valido adhuc corpore curatio adhibeatur, hũc effugere posse spes est; sin verò iam colliquefacto ventreque penitus exulcerato, vitæ nulla spes est. Intestinorum læuitas cibos demittit minimè putrefactos, liquidos, dolor non adest, corpus autem extenuatur. Hunc iisdem quibus intestinorum difficultate detentos curato. Hic verò morbus contingit, cùm ex capite & superiore ventre in inferiorem pituitæ defluxus factus fuerit. Ideoque cùm fit, cibi ab eo refrigerantur & humectantur, eorumq; non putrefactorum velox fit per aluum demissio, & corpus colliquescit, cùm partim quidem cibi non sufficienti tempore in ventriculo coquantur, partim verò à ventriculo calido præter naturam incalescit. Cùm longum

καὶ ἀπὸ λευκοῦ φλέγματος. καὶ ἀπὸ δυσεντερίης. καὶ λειεντερίης. καὶ ἢν μὲν ἐξ ἀκαθαρσίης γένηται ὕδρωψ, ἡ μὲν γαστὴρ, ὕδατος πίμπλαται. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι, ἐπαίρονται. οἱ δὲ ὦμοι καὶ αἱ κληῖδες καὶ τὰ στήθεα καὶ οἱ μηροὶ τήκονται. τοῦτον ἢν ἀρχόμενον λάβῃς[18] πρὶν τοῦ ὑπέρυδρον γενέσθαι, φάρμακα πιπίσκειν κάτω, ὑφ᾽ ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται.[19] χολὴν δὲ κινέειν. σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾷν, ὑφ᾽ ὧν ἰσχνὸς καὶ ξηρὸς ἔσται, καὶ αἱ σάρκες ὡς ἰσχυρόταται. ἡ δὲ νοῦσος, θα-10νατώδης, ἄλλως τε καὶ ἢν φθῇ ἡ γαστὴρ μεστωθεῖσα ὕδατος. ὅταν δὲ ἀπὸ σπληνὸς, ἢ ἥπατος, ἢ λευκοῦ φλέγματος, ἢ δυσεντερίης ἐς ὕδρωπα μεταστῇ, θεραπεύειν μὲν τοῖσι αὐτοῖσι ξυμφέρει, διαφεύγουσι δὲ οὐ μάλα. τῶν γὰρ νουσημάτων ὅ,τι ἂν ἕτερον ἐφ᾽ ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. ὅταν γὰρ ἀσθενεῖ τῷ σώματι ὄντι ὑπὸ τῆς παρεούσης νούσου, ἑτέρη νοῦσος ἐπιγένηται, προαπόλλυται ὑπὸ ἀσθενείης, πρὶν ἢ τὴν ἑτέρην νοῦσον, τὴν ὑστέρην γενομένην, τελευτῆσαι.[20] τὸ δὴ ὕδωρ γίνεται οὕτως. ἐπειδὰν αἱ σάρκες ὑπὸ φλέγματος, καὶ χρόνου, καὶ νόσου, καὶ ἀκα-20θαρσίης, καὶ κακοθεραπείης, καὶ πυρετῶν διαφθαρῶσι, τήκονται καὶ γίνονται ὕδωρ. καὶ ἡ μὲν κοιλίη, οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωυτήν. κύκλῳ δὲ, περὶ αὐτὴν γίνεται. καὶ ἢν μὲν ὑπὸ τῶν φαρμάκων καὶ τῆς ἄλλης διαίτης ὠφελέηται, καὶ ἡ γαστὴρ λαπάσσεται αὐτοῦ. ἢν δὲ μὴ, ταμόντα ἀφεῖναι τοῦ ὕδατος. τέμνεται δὲ,[21] ἢ παρὰ τὸν ὀμφαλὸν, ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι. Δυσεντερίην ὅταν ἔχῃ, ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην, καὶ στρόφος. καὶ διαχωρέει χολήν τε καὶ φλέγμα, καὶ αἷμα ξυγκεκαυμένον. τούτου καθήρας τὴν κεφαλὴν, φάρ-30μακον πίσαι ἄνω, ὅ,τι φλέγμα καθαίρει. καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν. καὶ ἢν μὲν ἄπυρος ᾖ, τὴν μὲν κοιλίην λιπαροῖσι, καὶ πίοσι, καὶ γλυκέσι, καὶ ὑγροῖσιν ὑπάγειν αἰεὶ τὰ ἐνεόντα. καὶ λούειν πολλῷ καὶ θερμῷ, τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ. τὰ δὲ πόματα καὶ τὰ ῥοφήματα καὶ τὰ σιτία προσφέρειν, κατὰ τὰ γεγραμμένα ἐν τῇ φαρμακίτιδι. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα κατασκήψῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην, νοσέει μὲν τὸ αἷμα καὶ διαχωρέει ἐφθαρμένον, νοσέει δὲ καὶ τὸ ἔντερον, καὶ ξύεται καὶ ἑλκοῦται. γίνεται δὲ αὕτη ἡ 40νοῦσος, καὶ μακρὴ, καὶ πολύπονος, καὶ θανατώδης. καὶ ἢν μὲν ἔτι τοῦ σώματος ἰσχύοντος θεραπεύηται, ἐλπὶς διαφυγεῖν. ἢν δὲ ἤδη ἐκτετηκότος, καὶ τῆς κοιλίης παντάπασιν ἡλκωμένης, ζωῆς οὐδεμία ἐλπίς.[22] Λειεντερίη. τὰ σιτία διαχωρέει ἄσηπτα, ὑγρά. ὀδύνη δὲ οὐκ ἔνι. λεπτύνεται δὲ, καὶ τὸ σῶμα. τοῦτον θεραπεύειν ἐν τοῖσιν αὐτοῖσι, τοῖς ὑπὸ δυσεντερίης ἐχομένοις. ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης κατάρροος γένηται τοῦ φλέγματος, ἐς τὴν κάτω κοιλίην. ὅταν δὲ τοῦτο, τὰ σιτία ὑπ᾽ αὐτοῦ ψύχεται καὶ ὑγραίνεται. καὶ ἡ ἄφοδος αὐτῶν ἀσήπτων ταχείη γίνεται. καὶ τὸ σῶμα τήκεται. ἅμα μὲν οὐ πεσσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανόν. ἅμα δὲ ὑπὸ τῆς κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν[23] θερμαινόμενον. Διάρροια δὲ

ἡ μακρὴ

ἢν μακρὴ ὅταν ἔχῃ, διαχωρέει πρῶτον μὲν, τὰ εἰσιόντα ὑγρά. ἔπειτα φλέγμα. καὶ ἐσθίει μὲν ἐπιεικῶς. ὑπὸ δὲ τῆς πολλῆς διαχωρήσιος ἀσθενὴς καὶ λεπτὸς γίνεται. τοῦτον ἄνω ἀποξηραίνειν, ἐλλέβορον πιπίσκων. καὶ τὴν κεφαλὴν καθαίρων φλέγμα. διανίψαι δὲ καὶ τὴν κοιλίην, γάλακτι ἑφθῷ. ἔπειτα τ' ἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν ὑφ' ὧν ξηρανεῖται ἡ κοιλίη καὶ τὸ σῶμα πᾶν. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, ἀφ' ὧν καὶ ἡ λειεντερίη.[24] αὗται αἱ νοῦσοι ἥ τε δυσεντερίη, καὶ ἡ λειεντερίη καὶ διάρροια, παραπλήσιαί εἰσι. καὶ δεῖ αὐτὰς οὕτως ἰῆσθαι. τὸν μὲν κατάρροον ἀπολαμβάνειν τὸν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν. τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, καὶ οὐδεὶς οὐδέν σοι μέμψεται τὴν διάνοιαν. σχεδὸν δὲ καὶ τἆλλα νουσήματα, ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται. καὶ οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τοῦ νουσήματος ἥκιστ' ἂν ἁμαρτάνοις. Τεινεσμὸς ὅταν λάβῃ, διαχωρέει αἷμα καὶ μύξα. καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται, καὶ μάλιστα ὅταν εἰς ἄφοδον ἵζῃ. τοῦτον ξυμφέρει τὴν κοιλίαν διυγραίνειν καὶ λιπαίνειν,[25] καὶ λεαίνειν. καὶ ὑπάγειν τὰ ἐνεόντα. καὶ λούειν θερμῷ, πλὴν τῆς κεφαλῆς. φιλέει δὲ ἡ νοῦσος αὕτη[26] τὰ σιτία πλείω τελέειν. οἱ γὰρ στρόφοι κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος καὶ τῆς μύξης, καὶ προσπιπτόντων πρὸς τὸ ἔντερον, γίνονται. ἐνόντων δὲ τῶν σιτίων, ἧσσον δῆξιν παρέχει τῷ ἐντέρῳ. καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ὧν καὶ ἡ δυσεντερίη. ἀσθενεστέρη δὲ καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης. Ὅταν δὲ ἐξ οἴνου ἢ ὑπὸ εὐωχίης χολέρη λάβῃ ἢ διάρροια, τῇ μὲν διαρροίᾳ ξυμφέρει ἀσιτεῖν. καὶ ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκύν,[27] ἢ στέμφυλα γλυκέα. ἐς ἑσπέρην δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν. ἢν δὲ μὴ παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ φακίου ποιῆσαι. καὶ τὸ διαχώρημα ἀνασπᾶται ἄνω ἡ κάτω ἄφοδος, καὶ ἢν διακλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτως που παύσεται. Τῇ δὲ χολέρῃ ξυμφέρει, ἢν μὲν ὀδύνη ἔχῃ, διδόναι ἃ γέγραπται ἐν τοῖσι φαρμάκοισι, παύοντα τῆς ὀδύνης. τὴν δὲ κοιλίην θεραπεύειν τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα πόμασι, καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς. καὶ ὅ, τε ἔμετος, οὕτως εὐπετέστερος γίνεται, καὶ ἢν ἐσίῃ τι ὑγρόν,[28] τὰ προσεστηκότα ἄνω ἀπεμέεται, καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει.[29] ἢν δὲ κενώσῃ, ἐμέεται βιαίως, καὶ ὑποχωρέει βιαιότερον. ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ, ὅσα περ τῷ φαρμακοποτέοντι. γίνεται δὲ καὶ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται. ἢ ἐξ εὐωχίης, ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέον τοῦ εἰωθότος, ἐς τὴν κοιλίην ἐσέλθῃ. καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερθερμαίνειν τὸ σῶμα, κινέει χολὴν καὶ φλέγμα. Στραγγουρίης, εἴδεα μὲν πολλοὶ καὶ παντοῖοι. ξυμφέρει δὲ ἔξωθεν μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν. ἔσωθεν δὲ διυγραίνειν. τὴν μὲν κοιλίην, σιτίοισιν ὑφ' ὧν εὔροος ἔσται. τὴν δὲ κύστιν, ποτοῖσιν ὑφ' ὧν τὸ οὖρον ὡς πλεῖστον διαχεῖται. διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων,

alui profluuium detinet, primùm quidem quæ ingeruntur liquida per aluum secedunt, deinde pituita. Et moderatè quidem comedit, verùm ex copiosa alui egestione debilis & gracilis redditur. Hunc veratro in potu exhibito, & capite pituita purgato, supra resiccato, lacte cocto aluum eluito, deinde reliquam curationem per cibos & potiones quibus aluus & totum corpus exiccetur adhibeto. Morbus ex iisdem ex quibus intestinorum læuitas oritur. Hi morbi intestinorum difficultas, læuitas, & alui profluuium inter se sunt similes, eosque sic curare conuenit, vt defluxionem quidem à capite & superiore ventre intercipias & auertas, cùm morbi natura inde fit, neque est qui qua in re sententiam tuam coarguat. Ac ferè in reliquis morbis cuiusque naturam vnde fit eodem modo in considerationem adhibere oportet. Quod cùm feceris, morborumque principium deprehenderis, minimè aberraueris. Cùm crebra & inanis egerendi voluntas prehenderit (tinesmum dicunt) sanguis & mucus per aluum secedunt, dolorque in inferiore aluo oritur, idque præcipuè vbi ad secessum deuenerit. Huic aluum madefacere, pinguem reddere ac læuigare conuenit, quæ intus sunt subducere, & calida, excepto capite, lauare. Hic autem morbus plures cibos insumere consueuit. Vacuato enim ventre, à sanguine & muco transeunte, & ab his quæ ad intestinum illabuntur, tormina fiunt. Intus autem existentibus cibis, minorem morsum intestino exhibent. Ac ex iisdem quidem ex quibus etiam intestinorum difficultas contingit, & imbecillior tamen & breuis, minimeq; lethalis. Cùm ex vino aut comessatione cholera prehenderit, aut alui profluuium, ad alui quidem profluuium ieiunium cófert, & si sitis detineat, vinum dulce exhibendum, aut vuarum dulcium retrimẽta. Sub vesperam autem eadem danda quæ à medicamento purgatis dantur. Quòd si non sedetur, sedare autem velis, vomitum post cibum aut lenticulæ decoctum excitato, confestimq; per inferiora secessus sursum reuellitur, si quo lẽtium aut cicerum cremore elueris, sic quoq; quodammodo sedabitur. Ad choleram autem confert, si quidem dolor detinet, ea dare quæ in medicamentorum tractatione dolorem sedare scripta sunt. Venter autem tum superior, tum inferior, potionibus madefacientibus curandus, corpusq; excepto capite, balneis calidis emolliendum, sicq; facilior vomitus contingit, & si quid humidi subierit, quæ molesta sunt sursum reuomuntur, & per inferiora secessus magis prodit. Quòd si vacuus fuerit, cùm vi euomuntur, & violentius secedunt. Sub vesperam autem etiam ei exhibeto, quæ ei qui medicamento purgante vsus est, exhiberi solent. At verò dolores qui ex vini potione aut cõmessatione contingunt, oriuntur cùm cibi & potus solito copiosiores in ventriculum subierint, quæque foris corpus supra modum calefacere solent, bilem & pituitam agitant. Stranguriæ multi quidem & varij sunt modi. Confert verò foris quidem corpus balneis calidis emollire, intus verò madefacere, aluum quidem cibis quibus fluida reddatur, vesicam verò potionibus, à quibus vrinæ plurimùm profluit. Ex medicamentis autem vrinam cientibus, ea danda sunt,

quæ in medicamentorum tractatione dolorem sedare scripta sunt. Morbus verò ex pituita oritur. Et cùm quidem vesica resiccata, aut refrigerata, aut vacuata fuerit, dolorem exhibet, cùm verò humida & plena, aut etiam distenta est, minùs. Hic autem morbus senioribus quidem longior fit, junioribus verò breuior, neutris tamen lethalis. In coxendicum morbo, dolor coxæ connexionem inuadit, & extremas nates, & protuberantem in summa femoris parte carnem quæ γλουτὸς dicitur. Ad extremum verò per totũ etiam crus dolor deerrat. Huic confert, cùm dolor detinet, balneis calidis & fomentis emollire ad quancunq; cruris partem dolor fortè decubuerit, aluumque subducere, cumque leuatus dolor fuerit, medicamentum infra purgãs exhibere, & post hæc lac asininũ coctum potare. Ad dolorem autem danda quæ scripta sunt in medicamentorum tractatione. Oritur hic morbus vbi bilis & pituita ad venam sanguine manantem decubuerit, aut ex alio morbo, aut aliàs cùm quicquid est sanguinis à pituita & bile coactum, male affectum fuerit. Istud enim toto crure per venam sanguine manantem vagatur, & vbicunque constiterit, ibi etiam dolor maximè manifestus & molestus contingit, non tamen lethalis. Quòd si in vno aliquo loco firmiter constiterit dolor neq; medicamentis expellatur, quocunque loco dolor fortè extiterit, eum lino crudo inurito. Articularis morbus cùm detinet, corporis articulos ignis & dolor inuadit. Prehẽdit etiam acutus, & ad alium atq; alium etiam articulum vehementiores & leuiores dolores decumbunt. Huic, quâ parte dolor detinet, refrigerantia admouere confert, & quę in ventre sunt per infusa & glandem subducere, & quicquid tibi profuturum videbitur, sorbendum & bibendum exhibere. Hic morbus ex bile & pituita oritur, cùm agitata ad articulos decubuerint. Et breuis quidem & acutus euadit, sed minimè lethalis, junioribusque magis quàm senioribus contingere solet. Pedum dolor his omnibus quæ circa articulos contingunt violentior quidem existit, & maximè diuturnus, quique egerrimè soluitur, estq; hic quidem morbus sanguinis in venis à bile & pituita corrupti. Qui quo magis tenues venulas corporique plurimùm necessarias neruosque & ossa multa ac crebra subierit, ei sanè tum stabilior morbus est & grauis, minimè tamen lethalis. Quòd si in digitis dolor remaneat, venas in digito paulum supra articuli nodum inurito. Vstio autem per linum crudum fiat. Morbus autem Regius hunc in modum curãdus est. Corpus quidem balneis calidis foris emolliẽdum, aluus verò & vesica madefacienda, & ex vrinam cientibus danda quę antè scripta sunt. Quòd si vehemẽs fuerit, capite purgato medicamentum quoddã quod bilem per inferiora purget propinato, postea verò vrinam ducentibus vtẽdum. Hic autem morbus oritur, cùm bilis commota ad cutem se conuerterit. Quæ si quiuis ex plebe nouerit, haud similiter in incurabiles morbos incidat. Solent enim morbi ex paruis causis externis magni &

ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι παύοντα τὰς ὀδύνας. ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται. καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ, ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει. ὅταν δὲ ὑγρή τε ἔῃ καὶ πλήρης, ἢ καὶ κεχυμένη, ἧσσον. ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι, μακροτέρη γίνεται. τοῖσι δὲ νεωτέροισι, βραχυτέρη. θανατώδης δὲ οὐδετέροισιν. Ἰσχιὰς δὲ ὅταν λάβηται, ὀδύνη λαμβάνει ἐς τὴν πρόσφυσιν τοῦ ἰσχίου, καὶ ἐς ἄκρον τὸ πυγαῖον, καὶ ἐς τὸν γλουτόν. τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. τούτῳ συμφέρει ὅταν ἡ ὀδύνη ἔχῃ, μαλάσσειν καθ' ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι. καὶ τὴν κοιλίην ὑπάγειν. ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον διδόναι κάτω. καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου ἑφθόν. διδόναι δὲ τῆς ὀδύνης ἃ γέγραπται παρὰ τοῖσι φαρμάκοισιν. ἡ δὲ νοῦσος γίνεται, ἐπὴν χολὴ καὶ φλέγμα ἐς τὴν αἱμόρροον φλέβα καταστηρίξῃ, ἢ ἐξ ἑτέρης νούσου, ἢ ἄλλως ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος καὶ χολῆς νοσήσῃ ξυνεστηκός. τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς φλεβὸς τῆς αἱμορρόου. καὶ ὅκου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος. θανατώδης δὲ οὔ. εἰ δὲ ἐς ἕν τι χωρίον καταστηρίξῃ ἡ ὀδύνη καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, καῦσαι καθ' ὁκοῖον ἂν τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη. καίειν δὲ τῷ ὠμολίνῳ. Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος. λαμβάνει δὲ καὶ ὀξέως καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων, ὀξύτεραί τε καὶ μαλακώτεραι καταστηρίζουσιν αἱ ὀδύναι. τούτῳ ξυμφέρει προσφέρειν ᾗ ἂν ἡ ὀδύνη ἔχῃ, ψύγματα. καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, κλύσμασιν ἢ βαλάνῳ. καὶ ῥοφὰν διδόναι καὶ πίνειν, ὅ,τι ἂν δοκέῃ σοι ξυνοίσειν. ὅταν δὲ ἡ ὀδύνη ἐνῇ, φάρμακον κάτω πίσαι. καὶ μετὰ τοῦτο πίνειν ὀρρὸν ἑφθόν. καὶ ὄνου γάλα. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα εἰς τὰ ἄρθρα καταστηρίξῃ. καὶ ὀλιγοχρονίη μὲν γίνεται καὶ ὀξείη· θανατώδης δὲ, οὔ. νεωτέροισι δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι. Ποδάγρη βιαιότερον μὲν τῶν τοιούτων ἁπάντων ὁκόσα περὶ τὰ ἄρθρα, καὶ πολυχρονιώτατον, καὶ δυσαπαλλακτότατον. καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη, τοῦ αἵματος ἐφθαρμένου, τοῦ ἐν τοῖσι φλεβίοισιν, ὑπὸ χολῆς καὶ φλέγματος. ὅσῳ δὲ ἐν λεπτοτάτοισιν ἢ φλεβίοισιν, καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστῃ τοῦ σώματος, καὶ ἐν νεύροισι καὶ ὀστέοισι πολλοῖσί τε καὶ πυκνοῖσι, τοσούτῳ δὴ παραμονιμώτατόν τε ἐστὶ τὸ νόσημα καὶ δυσαπαλλακτότατον. ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτά, ἃ καὶ τῇ ἀρθρίτιδι. καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ ἐπίπονος· θανατώδης δὲ οὔ. ἢν δὲ τοῖσι δακτύλοισιν ἡ ὀδύνη ἐγκαταλείπηται, καῦσαι τὰς φλέβας τοῦ δακτύλου ὑπὲρ τοῦ κονδύλου ὀλίγον. καίειν δὲ ὠμολίνῳ. Τὸν δὲ ἴκτερον ὧδε χρὴ θεραπεύειν. ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι. τὴν δὲ κοιλίην διυγραίνειν, καὶ τὴν κύστιν. καὶ τῶν διουρητικῶν διδόναι, ἃ προγέγραπται. ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν, φάρμακόν τι πίσαι κάτω, ὃ χολὴν καθαίρει. ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τραπῇ. ταῦτα δὲ ἐπιστάμενος ἂν ἰδιώτης, οὐκ ἂν ὁμοίως ἐμπίπτοι εἰς ἀνήκεστα νοσήματα. καὶ γὰρ νοσήματα εἴωθεν ἀπὸ μικρῶν προφασίων μεγάλα καὶ

πολυχρόνια

πολυχρόνια γίνεσθαι. καὶ ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐστιν, ἢ ῥοφημάτων ἢ φαρμάκων ὅσα ὀδύνης εἵνεκα δίδοται, ἀκίνδυνά ἐστιν ἅπαντα προσφέρειν ἀεὶ, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς. ὅσα δὲ καθαίρει τῶν φαρμάκων, χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται, καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι. φυλάσσεσθαι οὖν χρὴ τὰ μάλιστα, ταῦτα μὲν ὅσα κατὰ κοιλίην γίνεται νουσήματα, πλὴν τῶν περὶ ἐμπύων καὶ φθινόντων, καὶ τῶν γυναικείων. ταῦτα γὰρ χωρὶς γεγράψεται. Φύματα ὅσα φύεται, πάντα ὑπὸ φλέγματος, ἢ αἵματος φύεται. ὅταν δὲ ὑπὸ τρώματος ἢ πτώματος ἀθροισθῇ, ξυμφέρει δὴ τούτων, τὰ μὲν καταπλάσσοντα, καὶ φάρμακα πιπίσκοντα διαχεῖν. τὰ δὲ καταπλάσσοντα, πεπαίνειν. καὶ διαχέει μὲν τῶν καταπλασμάτων ὅσα θερμὰ ὄντα ὑγραίνει, καὶ μὴ πρὸς ἑωυτά. πεπαίνει δὲ, ὅσα θερμαίνοντα ξυνάγει. ὅταν δὲ ἐπιτμηθῇ, ἢ αὐτόματον ῥαγῇ, φαρμάκῳ ἀνακαθαίρειν τὸ ὑγρόν. ὅταν δὲ πυορροοῦντα παύσηται, ὡς ἕλκος ἰᾶσθαι. Λέπρη, καὶ κνησμὸς, καὶ ψώρη, καὶ λειχῆνες, καὶ ἀλφὸς, καὶ ἀλώπεκες, ὑπὸ φλέγματος γίνονται. ἔστι δὲ τὰ τοιαῦτα, αἶσχος μᾶλλον, ἢ νουσήματα. κηρίον, καὶ χοιράδες, καὶ φύγεθλα, καὶ δοθιῆνες, καὶ ἄνθραξ, ὑπὸ φλέγματος φύεται. τούτοισι τοῖσι φαρμάκοισιν ἀποκαθαίροντα, ὧδε χρῆσθαι. ὅσοι μὲν χολώδεες εἰσὶ, διδόναι, τὰ ὑφ' ὧν χολὴ καθαίρεται. ὅσοι δὲ φλεγματώδεες, τὰ ὑφ' ὧν φλέγμα. ὅσοι δὲ μελαγχολῶσι, τὰ ὑφ' ὧν μέλαινα χολή. τοῖσι δὲ ὑδρωπιῶσι, τὰ ὑφ' ὧν ὕδωρ. ὅσα δὲ δίδοται φάρμακα ποτὰ καὶ μὴ καθαίρει μήτε χολὴν, μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα εἰσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχεσθαι δεῖ, ἢ ψύχοντα, ἢ θερμαίνοντα, ἢ ξηραίνοντα, ἢ ὑγραίνοντα, ἢ ξυνάγοντα, ἢ διαχέοντα. ὅσα δὲ ὕπνον ποιεῖ, ἀτρεμίην δεῖ τῷ αἵματι παρέχειν τὸ φάρμακον. Ὅταν δὲ ἐπὶ νοσέοντα ἀφίκῃ, ἐπερωτᾷν χρὴ ἃ πάσχει, καὶ ἐξ ὅτου, καὶ ποσαῖος, καὶ τὴν κοιλίην εἰ διαχωρέει, καὶ δίαιταν ἥν τινα διαιτᾶται. καὶ ἐνθυμέεσθαι πρῶτα μὲν τὸ νούσημα πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγένηται, ἢ ἀμφότερα. καὶ τοῦτο δὲ εἰδέναι, ὅ, τι ἀνάγκη ἔχει, ὥς τε ὑπὸ τούτων τοῦ ἑτέρου, ἢ ἀμφοτέρων γίνεσθαι. ἔπειτα πότερον ξηρασίης ἢ ὑγρασίης χρῄζει. ἢ τὰ μὲν τοῦ σώματος, ξηρασίης. τὰ δὲ, ὑγρασίης. ἔπειτα τὴν νοῦσον, εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω. εἴτε διὰ τῆς κύστιος. καὶ εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε λύεται, εἴτε μεταπίπτει εἰς ἑτέραν νοῦσον. τοὺς τρωματίας, λιμοκτονέειν, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω διδόντα. καὶ πίνειν ὕδωρ ἢ ὄξος, ἢ ῥοφεῖν. τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι. τὰ δὲ τοιαῦτα καταπλάσματα εἰσὶ, ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι, ἢ σέλινον, ἢ ἐλαίης φύλλα, ἢ συκῆς φύλλα, ἢ βάτου, ἢ βαλάνου, ἢ ῥοιῆς γλυκείης. ἑφθοῖσι δὲ τούτοισι χρῆσθαι. ὠμοῖσι δὲ ῥάμνου φύλλοισιν. ἢ ἄγνου. ἢ ἐλελισφάκου. ἢ τιθυμάλλου. ἢ γλήχωνα χλωρόν. ἢ πράσα. ἢ σέλινα. ἢ κορίανον. ἢ ἰσάτιος φύλλα. ἢν δὲ μηδὲν ἀπὸ τούτων ἔχῃς, μηδὲ ἄλλο τι μηδὲν κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ, καταπλάσαι.

diuturni fieri. Et quæ quidem ad cibos aut potiones spectant, vel sorbitiones, vel medicamenta quę doloris gratia exhibentur, ea omnia semper sine periculo admouentur, si vt scripta sunt admoueas. Quæ verò medicamenta bilem aut pituitam purgant, in iis periculum constituitur, & culpa in eos qui curant confertur. Hæc igitur maximè euitare oportet. Atq; ij quidem morbi qui circa ventrem oriũtur, præter eos qui pus pectore colligunt, & qui tabem inferunt, & qui mulieribus contingunt. De his enim seorsim scribetur. Tubercula quæ oriũtur omnia, ex pituita aut sanguine nascuntur. Cùm verò ex vulnere aut casu collecta fuerint, hæc sanè confert partim quidem cataplasmatis inducere, & medicamentis epotis discutere, partim verò cataplasmatis impositis maturare. Ex cataplasmatis autem discutiunt, quæcunq; calida humectant, neque ad se trahunt. Maturant autem quæ calefaciendo cogunt. Vbi verò quid sectum aut sponte ruptum fuerit, medicamento humorem repurgato, cùm autem pus effluere desierit, velut vlcus curato. Lepra, prurigo, scabies, impetigines, vitiligo & alopeciæ ex pituita oriuntur. Sunt autem ista fœditas potiùs quàm morbi. fauus, strumæ, phygethla, furunculi & carbunculus, ex pituita oriuntur. In his vt ea repurges medicamentis ad hunc modum vtendum. Biliosis quidem ea exhibeto, quibus bilis repurgetur, pituitosis verò à quibus pituita, melancholicis autem à quibus bilis atra, hydropicis verò ex quibus aqua. Quæ medicamenta potu exhibentur, neque bilem, neque pituitam purgare solent, ea cùm corpus subierint, vim suam exhibeant oportet, aut refrigerando, aut calefaciendo, aut siccando, aut humectando, aut cogendo, aut diffundendo. Quæ verò somnum conciliant, ea sanguini quietem per medicamentũ præbere oportet. Cùm verò ad ægrotũ perueneris, quænam patiatur & quanam ex causa interrogandum, & ex quot iam diebus, an etiam venter demittat, ac quanam victus ratione vtatur. Imprimisq; in considerationem adhibendum, num morbus ex bile aut pituita, vel ab vtrisque ortus sit. Probéque nosse conuenit, quòd ex horum altero, aut vtrisque, originem vt habeat necesse est. Deinde num siccitate vel humectatione indigeat, vel aliæ quidem corporis partes siccitate, aliæ verò humectatione. Postea an morbus per superiora, an per inferiora curandus sit, vel per vesicam, & num morbus increscat, aut imminuatur, num soluatur, vel in alium transeat. Eos qui vulnera acceperunt fame conficito, & quæ insunt ex aluo, vel per infusum, vel per medicamentum deorsum purgans exhibitum subducito, aquam vel acetum potui exhibeto, aut sorbitione dato. Quæ inflammationem sentiunt, per cataplasmata refrigeranda. Sint autem hæc cataplasmata, aut betę folia aqua cocta, aut apium, aut oleæ folia, aut fici folia, aut rubi, aut quercus, aut mali punici dulcis, quibus coctis vtendum est. Crudis verò rhamni foliis, vel viticis, vel saluiæ, vel Tithymalli, vel polygonum viride, vel porrum, vel apium, vel coriandrum, vel isatidis folia admoueto. Quòd si horum nihil habeas, neq; vllum aliud cataplasma, polentam aqua aut vino subactam ex cataplasmate imponito.

Tamdiu autem cataplasmata hæc iuuant, quamdiu vlcera frigidiora fuerint, calidiora verò aut æquè calida nocent. Pinguia inflammatis minimè cōferunt, neque sordidis, neque putrescentibus. Verùm ad inflammata frigida conferunt, ad sordida verò & putrescentia, acria, & quæ morsum quendam excitando purgant. Cùm verò carnem generare voles, pinguia & calida magis conferunt. Ab his enim caro succrescit. Quibus cibis aut potionibus per sanitatē homines in victus ratione vtuntur, his præsentibus ad calorem, frigus, humiditatem & siccitatem temperatis, erga ægros vti oportet. Ex frigidis quidem calidis, & calidis ex minimè calidis, & siccis ex non siccis, & reliquis ad eundem modum. Neque verò de præsentium facultate dubitandum, & absentia inuestiganda quæ nullam ægro vtilitatem afferre possunt. Quòd si probè consideres, cùm ab his discesseris, pauca inuenies quibus circa ægrum vtaris. Sorbitiones autem in omnibus morbis exhibendæ, aut ptisana, aut milium, aut farina, aut alica. Ex his quæ ad alui deiectionem exhibueris, tenuia & cocta magis dulcioráque dato, quàm salsiora aut calidiora. Quæ verò ad robur & virium refectionem, crassiora, pinguiora, & moderatè cocta. Potionibus autem vtendum, si quidem aluum & vesicam subducere velis, vino dulci aut aqua mulsa, sin verò adstringere, austero, albo, tenui, aquoso. Sin roborare, austero, nigro. Qui vinū timidè bibūt, iis potiones præparatæ & in medicamentorum tractatione scriptæ exhibendæ. His qui medicamentum biberunt, post purgationem exhibeto, febricitantibus quidem, aut lenticulam, aut milium tenue, aut ptisanæ cremorem. Ptisana autem danda quidem, & milium, quę leuia existunt. Alica verò velut omniū valentissima, & farina velut his valentior. Lenticula autem odorata paranda, & pauca secundo loco exhibenda, cùm leuis sit sorbitio, & ori ventriculi superiore parte grata. Admisceatur autem aut sal, aut mel, aut cuminum, aut oleum. Ad lenticulam verò aut pulegium herbam, aut aceti parum admisceto. Febre verò carentibus panis puri medullam iusculo intritam dato, aut mazam, aut piscis cocti & sale conditi frustulum, aut ouiculæ tenerrimæ carnem, vel gallinæ, vel catuli coctam. Et febricitantibus, aut betam, aut cucurbitam, aut blitum, & post cibum vinū generosum, vetus, album quàm dilutum propinato. Quibus lauari non confert, eos vino & oleo calido inungito, & tertio quoque die detergeto. Cùm laborantis aluum cibis humectare voles, mazam & opsonia exhibeto, marinorum quidem pisciū frustula cocta ex intrito, ouis quàm tenerrimæ carnes, aut hœdi, aut catelli, aut volucris coctas, & betam, vel blitum, vel rumicem, aut cucurbitam si anni tempus tulerit. Olera verò apium, & mentham & ocimum, & vinum mellitum, vetus, album aquosum. Cùm autem corpus exiccare voles, panem exhibeto, & opsonia assa & sicca, eaque omnia calidiora, & carnium partes carnosas, pisces saxatiles, olera, rutam, aut thymum, aut origanum. Vinum autem nigrum austerum. Opsonia verò sale & cumino condito, reliquis verò condimentis quàm

τοσοῦτον δὲ χρόνον καταπλάσματα ταῦτα ὠφελέει, ὁκόσον ἂν ψυχρότερα ᾖ ἢ τὸ ἕλκος. ὅταν δὲ θερμότερα, ἢ ὁμοίως θερμὰ, βλάπτει. τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει, οὐδὲ πρὸς τὰ ἀκάθαρτα, οὐδὲ πρὸς τὰ σηπόμενα. ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα, ξυμφέρει τὰ ψυχρὰ, πρὸς δὲ τὰ ἀκάθαρτα καὶ τὰ σηπόμενα, τὰ δριμέα, καὶ ὅσα δῆξίν τινα παρεχόμενα, καθαίρει. ὅταν δὲ σαρκοφυῆσαι βούλῃ, τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει, πρὸς ταῦτα γὰρ ἡ σὰρξ θάλλει. ὁκόσοισιν ἂν ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρῶνται, ἐκ τούτων χρὴ τῶν παρεόντων χρῆσθαι, πρὸς τοὺς νοσέοντας σκευάζοντα, θερμὰ καὶ ψυχρὰ, καὶ ὑγρὰ καὶ ξηρά. ἐκ μὲν ψυχρῶν, θερμά. καὶ θερμὰ, ἐκ μὴ θερμῶν. καὶ ξηρὰ, ἐκ μὴ ξηρῶν. καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. ἀπορέειν δὲ οὐ χρὴ οὐδὲ τοῖσι παρεοῦσι μὲν μὴ δύνασθαι, τὰ ἀπόντα δὲ ζητεῦντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τε εἶναι. εὑρήσεις δὲ ἢν ὀρθῶς σκοπέῃς ἔξω τουτέων, οἷσι πρὸς τὸν νοσέοντα χρῶνται, ὀλίγα. ῥοφήματα δὲ ἐν τοῖσι νούσοισι ἁπάσῃσι διδόναι, ἢ πτισάνην, ἢ κέγχρον, ἢ ἄλητον, ἢ χόνδρον. τούτων ὁκόταν μὲν διδῷς εἰς διαχώρησιν, λεπτὰ διδόναι, καὶ διεφθότερα καὶ γλυκύτερα, ἢ ἁλυκώτερα, ἢ θερμότερα. ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακομιδὴν, παχύτερα, λιπαρώτερα, καὶ μετρίως ἑφθά. ποτοῖσι δὲ χρῆσθαι, ἢν μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην καὶ τὴν κύστιν, γλυκὺν οἶνον, ἢ μελίκρητον. ἢν δὲ στύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ἢ ὑδαρέα. ἢν δὲ ἰσχύειν, αὐστηρὸν, μέλανα. ὁκόσοι τὸν οἶνον πίνουσιν [36] ἀτηλεῶς, τούτοισι διδόναι, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι ποτὰ σκευαζόμενα. τοῖσι φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖσι μὲν πυρέσσουσιν, ἢ φακὸν, ἢ κέγχρον λεπτὸν, ἢ πτισάνης χυλόν. διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα. χόνδρον δὲ, ὡς ἰσχυρότατον πάντων. καὶ ἄλητον, ὡς ἰσχυρότερον τούτων. φακὸν δὲ εὐώδεα σκευάσαι. καὶ ὀλίγον δεύτερον διδόναι, ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω. παραμίσγειν δὲ ἢ ἅλας, ἢ μέλι, καὶ κύμινον, καὶ ἔλαιον. τῷ δὲ φακῷ παραμίσγειν ἢ χλόης γλήχωνος καὶ ὄξεος ὀλίγον. τοῖσι δὲ ἀπυρέτοισιν, ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐντρίψας ἐν ζωμῷ. ἢ μάζαν [37] καὶ τέμαχος ἑφθὸν, ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος ἑφθόν. καὶ τοῖσι πυρέτοισιν, ἢ τεῦτλον, ἢ κολοκύντην, ἢ βλῆτον, καὶ μετὰ τὸ σιτίον, πίνειν οἶνον οἰνώδεα, παλαιὸν, λευκὸν, ὡς ὑδαρέα. Οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ. καὶ ἐκμάσσειν διὰ τρίτης. ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μάζαν καὶ ὄψα. θαλασσίων μὲν τεμάχια ἑφθὰ ἐν ὑποτρίμματι. κρέα δὲ οἰὸς ὡς νεωτάτης, ἢ ἐρίφου, ἢ σκύλακος, ἢ ὄρνιθος ἑφθά. καὶ τεῦτλα, ἢ βλῆτα ἢ λάπαθα ἢ κολοκύντην ἢν ὥρη ᾖ. λάχανα δὲ σέλινα, καὶ ἄνηθα, καὶ ὤκιμα. [38] καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, διδόναι ἄρτον. καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ, καὶ θερμότερα ταῦτα πάντα. καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα. ἰχθύων τοὺς πετραίους. λάχανα πήγανον. ἢ θύμον ἢ ὀρίγανον. τὸν δὲ οἶνον μέλανα αὐστηρόν. σκευάζειν δὲ τὰ ὄψα ἁλὶ καὶ κυμίνῳ, καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι.

λαχίστοισι χρῆσθαι. ὅταν δὲ ἀνακομίσαι ἐκ νόσου ἐθέλῃς, διδόναι τὰ μὲν ἄλλα ταὐτὰ, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην. τὰ δὲ κρέα ἀντὶ τῶν γαλαθηνῶν ἰσχυρότερα. καὶ ἀντὶ τῶν κυνείων, ὀρνίθεια,[39] καὶ λαγῷα. καὶ τούτων ἔνια ὀπτὰ καὶ τῶν κρεῶν καὶ τῶν ἰχθύων. καὶ ἐσκευασμένα ὡς ἄριστα. ὁκόσοισι τῶν νουσημάτων ξηρασίη ξυμφέρει, μονοσιτίη ξυμφέρει, καὶ τὰ σιτία καὶ τὰ ποτὰ ἐλάσσω τελέειν[40] ἢ ὥστε πλήρη εἶναι. καὶ ταῦτα ἐκπονέειν καὶ περιπατεῖν καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν. καὶ τοῦ σιτίου καὶ τοῦ ποτοῦ, μὴ ἐνδεᾶ εἶναι. μηδὲ πονέειν. καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ.[41] ὁκόσων ἐπιθυμέουσιν οἱ κάμνοντες ἢ σιτίων, ἢ ὄψων, ἢ ποτῶν, παραρκεέτω ταῦτα, ἢν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἄρξῃ, ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. ὁκόσοι σιτία ἱκανὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι. ἀποκλείει γὰρ τοῦ σιτίου. ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. ἐὰν δέ τι διδόναι θέλῃς κομιδῆς ἕνεκα, διδόναι χόνδρον,[42] ἢ πτισάνην πυρίνην. ταῦτα γὰρ τῶν ῥοφημάτων τὰ ἰσχυρότερα. διδόναι δὲ μετὰ δεῖπνον. τὰ φάρμακα ὅσα ποτὰ, καὶ ὅσα πρὸς τὰ τρώματα προσφέρεται μανθάνειν χρὴ,[43] ἄξιον γὰρ ἀπάντως. οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης· οὐδέ τι οἱ χειροτέχναι μᾶλλον ἢ οἱ ἰδιῶται. ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ μανθάνεται καὶ εὑρίσκεται ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων τε διαγινώσκειν, τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρὴ, ἢν τι θέλῃς μανθάνειν. μετὰ τὰ ῥοφήματα διδόναι τὸ σιτίον τοῖσιν ἀσθενέουσιν· ἐπιπίνειν δὲ οἶνον οἰνώδεα. πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, καὶ μετὰ ταῦτα ὅ,τι ἄν τοι δοκέῃ τοῖσιν ἀσθενέουσιν ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν, προσφέρειν καὶ τὸ σιτίον καὶ τὸ ποτόν. μάλιστα γὰρ ἂν οὕτως ὠφελέοις. τῶν σιτίων ἃ δύναμιν ἕκαστα ἔχει, τεκμαίρεσθαι χρὴ, ἀπὸ τῶν φανερὰν τὴν δύναμιν παρεχομένων· ὁκόσα ἢ φῦσαν, ἢ δῆξιν, ἢ πλησμονὴν, ἢ ἐρυγμὸν παρέχει. ἢ στρόφον. ἢ διαχωρέει, ἢ μὴ διαχωρέει. καὶ φανερὸν ὅ,τι ταῦτα ἐργάζεται. καὶ ἀπὸ τούτων χρὴ, τά τε ἄλλα σκοπεῖν. ἔχει γὰρ ἕκαστα τῶν ἐδεσμάτων, διότι καὶ ὠφελέει καὶ βλάπτει. ἀλλὰ τἄλλα τὰ μὲν φανερώτατά ἐστιν ἐργαζόμενα, ἃ ἐργάζεται, τὰ δὲ ἀμυδρότερα. τὰ σιτία καὶ τὰ ὄψα σκευάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔσται, μήτε ὀξυρεγμίη, μήτε στρόφος, μήτε λίην διαχωρέει, μήτε λίην ξηραίνεται. ταῦτα δὲ γίνεται ὧδε. ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχεται, οὔτε στρόφον. ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα, καὶ στρόφος, καὶ τἆλλα τὰ τοιαῦτα γίνεται. κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια[44] ἐσιόντα ἐς τὸ σῶμα, ἢ ὀλίγῳ πλέω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε στρόφον, μήτε φῦσαν, μήτε ἄλλο τῶν τοιούτων μηδέν. καὶ πέσσεταί τε τάχιστα. καὶ πεσσόμενα διαχωρέει. καὶ ἀνὰ πᾶσαν τε τὴν ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην, ἀλυπότατά ἐστι, καὶ ὅταν

minimum vtitor. At cùm ex morbo vires reficere voles, alia quidem eadem quæ dum aluum humectas exhibeto. Sed lactantium loco carnes validiores, & catulinarum loco, volucrium & leporinas, & ex his assas quasdam tum carnes, tum pisces, & quàm optimè conditos. Quibus morbis siccitas confert, semel die cibum capere conducit, & cibos ac potus pauciores quàm vt repleri queant insumere, eósque laboribus & deambulatione conficere, & quàm minimùm dormire. At quibus humiditas confert, inedia non est ferenda, neque cibo aut potu indigere debent, neque laborare, & dormire quantum volent. Quoscumque cibos, aut opsonia, aut potiones, ægrotantes expetunt, ea suppetant, si nullum corpori nocumentum sit adfuturum. Cùm cibos aut potiones addere vel detrahere cœperis, paulatim & additiones & detractiones faciendæ. Qui sufficientes cibos conficere queunt, iis sorbitiones ne exhibueris, cibum enim prohibent, iis verò qui non possunt, dato. Si quid dare voles virium reficiendarum gratia, alicam & ptisanam triticeam exhibeto. Hæ namque sorbitiones valentiores sunt, post cœnam autem exhibendæ. Quæ potu exhibentur medicamenta & ad vulnera adhibentur, ea perdiscenda, idque plurimi æstimandum. Neque enim hæc homines ex consilio, sed potiùs ex fortuna inueniunt, neque artifices magis quàm plebeij. Quæ verò in arte Medica intelligentia discuntur & inueniuntur, vel circa cibos, vel medicamenta, ab iis qui nosse possunt quæ in arte sunt perdiscenda, si quid perdiscere voles. Imbecillis post sorbitiones cibum exhibeto, & vinum generosum superbibendum dato. Ante cibos, & potiones, & sorbitiones, & post hos, quicumque tandem tibi videbitur & cibus & potus offerendus, si ad corpus & animum attenderis. Sic enim plurimùm iuueris. Quam ciborum quisque facultatem habeat, ex his qui manifestam facultatem exhibent, cõiicere oportet. Qui vel flatum, vel morsum, vel plenitudinem, vel ructum excitant, vel tormina, vel per aluum demittuntur, vel non demittuntur, cúmque hæc manifestò efficiant, ex his etiam reliquos considerare oportet. Singula enim edulia quæ iuuent & noceant habent. Sed alia quidem quæ efficiunt, apertissimè efficiunt, alia verò obscuriùs. Imbecillis cibaria & opsonia conficito & exhibeto, ex quibus neque flatus fit, neque ructus acidus, neque tormina, & quæ neque admodum per aluum demittantur, neque admodum exiccentur. Hæc autem ad hunc modum contingunt. Quæ quidem ventriculus superat, quæque corpus recipit, ea neque flatum, neque tormina excitant. At si ventriculus non superet, ab his & flatus, & tormina, cæteráque id genus contingunt. Ex cibis, opsoniis & potibus leuissimi sunt, qui modicè aut paulò supra modum in corpus ingesti, neque plenitudinem, neque tormina, neque flatum, neque horum quicquam excitant, & cùm celerrimè concoquuntur, & concocti per aluum demittuntur, & qui toto die quo ventrem subierint, nullam molestiam exhibent, cumq; longè

antè ingesti sunt. Graues verò qui modicè aut infra modum insumpti, plenitudinem & laborem exhibēt, & quos neque quis perficere, neque edere, neque bibere potest, sed laborem faciunt. Perdiu verò si quis eos aut biberit, aut comederit, sic quoq; laborem exhibent, neque pro ratione per aluum secedunt. Ad sanitatem optimi sunt, qui paucissimi ingesti, satis sunt vt fami & siti medelam afferant, & longo tempore in corpus recepti, etiam pro ratione per aluum secedūt. Ad robur autem comparandū optimi, qui plurimam & densissimam carnem gignunt, sanguinem crassiorem reddunt, & pro ingestorum ratione per aluum secedunt, plurimoq; tempore in corpore continentur. Pinguia, vnguinosa, caseosa, melle & sesamo condita, ructum acidum ferè cient, & bilis sursum ac deorsum refusionem, & tormina, & flatum, ac repletionem. Idem etiā euenit cùm quis plura comederit aut biberit, quam ventriculus concoquere queat. Imbecillis quæcumque pro morbi & corporis ratione dederis, ea corpus absumit, & neque indigum est, neq; plenum. Sin verò in temporis occasione, aut postea erraueris, ad vtrunque noxa consequitur. Cibi, opsonia, aut potus quos corpus recipit, ex iis fere neque tormina, neque flatus, neque ructus acidus contingit. Vbi enim ventrem subierint, ex eo corpus quod sibi accommodatum est trahit, & quod relictum est, iam imbecillius esse necesse est, ita vt tormina, aut flatum, aut aliud quid eiusmodi in ventre excitare non possit. Vina dulcia & austera, & mellita vetera, ventrem subducunt, maximéque vrinam mouent & nutriunt, & neque flatum, neque tormina, neque plenitudinem excitant. Carnes excoctæ & assatæ, imbecilles quidem vtræque ad robur firmandum. Ad alui secessum excoctæ quidem accommodatæ, assæ verò tardiores. Quæ autem moderatam & coctionem & assationem habent, eæ & ad robur, & ad alui secessionem moderatè se habent. Crudiores verò ad robur quidem accommodatæ, ad secessum verò minimè. Ex cibis ac potibus qui corpori maximè conueniunt, & maximè sufficiunt, & ad nutritionem & ad sanitatem, ex his ipsis, cùm quis non opportunè, aut iusto pluribus vtitur, tum morbi, tum ex morbis mortes contingunt. Reliqui autem cibi ac potus qui eiusmodi facultatem non habent, parum quidem iuuant, etiamsi quis his opportunè vtatur, parum verò etiam nocent. Imbecilli autem in vtramque partem vergunt, vt & boni aliquid, & mali faciant. At cibi & potus qui hanc vim habent hi sunt, panis, maza, carnes, pisces, vinum, & ex his quidem alij magis, alij minus. Qui siccam victus rationem instituunt, his cum cibo potum ne exhibeto, sed longo post cibum interuallo. Et ad hunc quidem modum siccus humor ex cibis siccis proueniens, corpus siccat. Si verò vnà cum cibo bibat, alimentum humidius redditum, corpus humidius facit. Panis calidus & carnes calidę, si per se edātur, siccant. Quòd si cum humore aut cōfestim à cibo insuper potum exhibueris, nō siccant. Panis purus ex farinis ad robur & viriū refectionem magis confert, quam qui non est incerniculo perpurgatus, & recens quàm hesternus, & ex farinis recentibus, quā ex vetustissimis.

διὰ τὸ πάλαι ἐσελθεῖν. βαρέα δὲ, ὅσα μέτρια πλείω μέτρα ἢ ἐλάσσω τῶν μετρίων, πλήρωσιν καὶ πόνον παρέχει, καὶ μὴ τελέειν, μὴ δὲ οἷόν τε ἐσθίειν αὐτὰ μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει. διὰ χρόνου δὲ αὖθις αὐτὰ ἢ πίνῃ ἢ ἐσθίῃ, καὶ οὕτω πόνον παρέχει, καὶ οὐ διαχωρέει ἀνὰ λόγον. ἐς ὑγιείην ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα, αὐτάρκεά ἐστι, καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι. καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται, καὶ διαχωρέει κατὰ λόγον. Ἐς ἰσχὺν δὲ ἄριστα, ὅσα σάρκα φύει πλείστην, καὶ πυκνοτάτην. καὶ τὸ αἷμα παχὺ ποιεῖ. καὶ διαχωρέει κατὰ λόγον τῶν ἐσιόντων. καὶ τὸ σῶμα πλεῖστον χρόνον ἀναδέχεται. τὰ λιπαρὰ καὶ τὰ πίονα, καὶ τὰ τυρώδεα καὶ μελιτώδεα, καὶ τὰ σησαμόεντα ὀξυρεγμίην ὡς μάλιστα παρέχει, καὶ χολέρην, καὶ στρόφον, καὶ φῦσαν, καὶ πλησμονήν. ποιέει δὲ τοῦτο αὐτό, καὶ ὅταν πλείω τις φάγῃ ἢ πίῃ, ἢ ὅσα δεῖ πέπτεσθαι ἡ κοιλίη. Τοῖσιν ἀσθενέσιν, ἢν μὲν κατὰ λόγον τῆς νούσου καὶ τοῦ σώματος διδῷς ἃ ἂν διδῷς, ὑπαναλίσκει ταῦτα τὸ σῶμα, καὶ οὔτε ἐνδεές ἐστιν, οὔτε πλῆρες. ἢν δὲ ἁμαρτάνῃς τοῦ καιροῦ ἢ ἔπειτα, βλάβος ἐπ᾽ ἀμφότερα. ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀναδέχεται, μάλιστα ἀπὸ τούτων οὔτε στρόφος γίνεται, οὔτε φῦσα, οὔτε ὀξυρεγμίη. ὅταν γὰρ ἐς τὴν κοιλίην ἐσέλθῃ, ἀπ᾽ αὐτοῦ ἕλκει τὸ σῶμα τὸ αὐτῷ ἐπιτήδειον, καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι, ὥστε στρόφον, ἢ φῦσαν, ἢ ἄλλο τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι. Τῶν οἴνων καὶ οἱ γλυκέες, καὶ οἱ αὐστηροὶ, καὶ οἱ μελιχροὶ παλαιοί, τὴν κοιλίην ὑπάγουσι. μάλιστά τε διουρέουσι καὶ τρέφουσι. καὶ οὔτε φῦσαν παρέχουσιν, οὔτε στρόφον οὔτε πλησμονήν. Κρέα δὲ τὰ ἑφθὰ, καὶ τὰ ὀπτά, ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα. ἐς δὲ τὴν διαχώρησιν, τὰ μὲν ἑφθὰ, ἐπιτήδεια. τὰ δὲ ὀπτά, στασιμώτερα. τὰ δὲ μετρίως ἔχοντα καὶ ἑψήσιος καὶ ὀπτήσιος, μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει καὶ ἐς τὴν διαχώρησιν. τὰ δὲ ὠμότερα πρὸς μὲν τὴν ἰσχὺν, ἐπιτήδεια. πρὸς δὲ τὴν διαχώρησιν, οὔ. Τῶν σιτίων καὶ τῶν ποτῶν τὰ προσφορώτατα τῷ σώματι, καὶ μάλιστα αὐτάρκεα καὶ ἐς τροφὴν καὶ ἐς ὑγιείην· καὶ ἀπὸ τούτων αὐτῶν, ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται, ἢ πλέοσι τοῦ καιροῦ, αἵ τε νοῦσοι καὶ ἐκ νούσων οἱ θάνατοι γίνονται. τὰ δ᾽ ἄλλα σιτία καὶ ποτὰ ὅσα μὴ τοιαύτην δύναμιν ἔχει, σμικρὰ μὲν ταῦτα ὠφελέει, ἢν τις καὶ τὰ μάλιστα αὐτοῖσιν ἐν καιρῷ χρῆται· σμικρὰ δὲ καὶ βλάπτει. ἐπ᾽ ἀμφότερα δέ ἐστιν ἀσθενέα, ὥστε ἀγαθόν τι ποιῆσαι καὶ ὥστε κακόν. ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν ἃ τὴν δύναμιν ἔχει ταύτην, τάδε, ἄρτος, μᾶζα, κρέα, ἰχθύες, οἶνος. τούτων μέντοι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον. Ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ ποτὸν διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον, διαλιπὼν πουλὺν χρόνον. καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν σιτίων γενομένη, τὸ σῶμα ξηραίνει. ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, νοτερωτέρη ἡ τροφὴ γενομένη, ὑγρότερον τὸ σῶμα ποιέει. Ἄρτος ὁ θερμὸς καὶ τὰ κρέα τὰ θερμὰ αὐτὰ ἐφ᾽ ἑωυτῶν ἐσθιόμενα, ξηραίνει· ἢν δὲ ξὺν ὑγρῷ διδοὺς, ἢ ἐπιπίνειν παραχρῆμα ἐπὶ τῷ σιτίῳ, οὐ ξηραίνει. Ἄρτος ὁ καθαρὸς τῶν ἀλεύρων, ἐς ἰσχὺν καὶ κομιδὴν ξυμφορώτερος ἢ ὁ ἀνέρεκτος, καὶ πρόσφατος ἢ ἕωλος, καὶ τῶν ἀλεύρων προσφάτων ἢ παλαιοτάτων.

Τὰ δὲ

Τὰ ἄλφιτα τῶν κριθέων ἀποβρέχων περιχύδην ἐπισμέων ἰσχυρότερα ἢ βεβρεγμένων· καὶ πρόσφατα, ἢ παλαιότερα. καὶ ἡ μᾶζα προπεφυρημένη ἰσχυροτέρη, ἢ μὴ προπεφυρημένη. [48] Ὁ οἶνος διαχεόμενος καὶ ἀποψυχόμενος καὶ διηθεύμενος, λεπτότερος γίνεται καὶ ἀσθενέστερος. Τὰ κρέα τὰ μὲν ἑφθὰ, ἢν μὲν διεφθα ποιήσῃς, ἀσθενέστερα καὶ ἐλαφρότερα. τὰ δὲ ὀπτὰ, ἢν ἔξοπτα γένωνται, καὶ τὰ παλαιὰ δὲ ὄξευς ἢ ἁλῶν, ἀσθενέστερα καὶ ἐλαφρότερα τῶν προσφάτων. Τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα, τὴν μὲν κοιλίην οὐ λυπεῖ, οὐδὲ τὸ σῶμα, διότι οὐκ ἀνοιδεῖ θερμαινόμενα, οὐδὲ πληροῖ, ἀλλὰ λεπαίνεται ταχὺ, καὶ πεσσόμενα διαχωρεῖ. ἡ δὲ ἰκμὰς ἀπ᾽ αὐτῶν τῷ σώματι ἀσθενὴς γίνεται, καὶ οὔτε αὔξει, οὔτε ἰσχὺν ἀξίην λόγου παρέχει. τὰ δὲ ἰσχυρὰ τῶν σιτίων, ἀνοιδεῖ τε ὅταν ἐς τὴν κοιλίην ἐσέλθῃ. καὶ πλήρωσιν παρέχει. καὶ πέσσεται μὲν σχολαίτερον, καὶ οὐ διαχωρεῖ. ἡ δὲ ἰκμὰς ἀπ᾽ αὐτῶν ἰσχυροτέρη [49] καὶ ἀκήρατος προσγινομένη, ἰσχύν τε παρέχει τῷ σώματι πολλὴν, καὶ αὔξην. Κρεῶν κουφότατα ἐς τὸ σῶμα, κύνεια, καὶ ὀρνίθεια, καὶ λαγῷα ἑφθά. βαρέα δὲ τὰ βόεια. καὶ τὰ χοίρεια μετριώτερα, πρὸς δὲ τὰς φύσας καὶ ἑφθὰ καὶ ὀπτά. ὑγιαίνουσι καὶ ἀσθενέουσι τὰ μήλεια. τὰ δὲ ὕεια εἰς καὶ εὐεξίην μὲν καὶ ἰσχὺν πονέουσι καὶ γυμναζομένοισιν ἀγαθά· ἀσθενέουσι δὲ καὶ ἰδιώτῃσιν, ἰσχυρότερα. καὶ τὰ θηρεῖα τῶν ἡμέρων, κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὅμοιον ἐσθίει. διαφέρει δὲ τὰ κρέα τῶν κτηνέων, καὶ ὁκόσα καρπὸν ἐσθίει καὶ ὁκόσα μὴ ἐσθίει. καὶ ὁ καρπὸς, οὐ τὸ αὐτὸ ἅπασι ποιεῖ, ἀλλὰ τὸ μὲν πυκνήν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρήν· τὸ δὲ ἀραιήν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. Ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα, καὶ ἑφθοὶ καὶ ὀπτοὶ, καὶ αὐτοὶ ἐφ᾽ ἑωυτῶν, καὶ μεθ᾽ ἑτέρων σιτίων. αὐτοὶ δὲ ἐφ᾽ ἑωυτῶν, διαφέρουσιν ὧδε. καὶ οἱ μὲν λιμναῖοι, καὶ πίονες, καὶ οἱ ποτάμιοι, βαρύτεροι. οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι, καὶ δίεφθοι ὀπτῶν κουφότεροι. ἀπὸ τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, ὅταν ἀνακομίσαι τινὰ βούλῃ. τὰ δὲ κοῦφα, ὅταν ἰσχνὸν δέοι καὶ λεπτὸν ποιῆσαι. Τὸ λουτρὸν τὸ θερμόν. τὸ μὲν μέτριον, μαλθάσσει τὸ σῶμα καὶ αὔξει. τὸ δὲ πλεῖον τοῦ καιροῦ, τὰ μὲν ξηρὰ τοῦ σώματος, διυγραίνει. τὰ δὲ ὑγρὰ, ἀποξηραίνει· καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα, ἀσθενείην καὶ λειποθυμίην παρέχει. τὰ δὲ ὑγρὰ ξηραινόμενα, ξηρασίην καὶ δίψος. Λαχάνων δὲ τὰ σκόροδα καὶ ἑφθὰ καὶ ὀπτὰ, καὶ διουρητικὰ καὶ ὑποχωρητικὰ, καὶ πρὸς τὰ γυναικεῖα σύμφορα. Κρόμμυα ἐς τὰ οὖρα ἐπιτήδεια. ὁ γὰρ ὀπὸς, δριμύτητά τινα παρέχει, ὥστε διαχωρέειν. τούτοισιν ὧδε χρῆσθαι, ἀλλὰ τοῖσιν ἀσθενέουσι μὴ προσφέρειν. Σέλινα καὶ ἑφθὰ καὶ ὠμὰ, διουρητικὰ, καὶ μᾶλλον τὰ ἕλεια τῶν ἡμέρων, ἃ καὶ πλείονα ἔχει δύναμιν. Κορίανον εὐκάρδιον, καὶ διαχωρητικὸν καὶ ἑφθὸν καὶ ὠμόν. Ὤκιμον καὶ ὑγρὸν καὶ ψυχρὸν, καὶ εὐκάρδιον. Πράσα τὰ μὲν ἑφθὰ, διουρητικὰ καὶ διαχωρητικά. τὰ ὠμὰ δὲ, καυματώδεα καὶ φλεγματώδεα. Ῥοιὴ κομιστικὸν καὶ φλεγματῶδες. καὶ ξὺν μὲν τῷ πυρῆνι στάσιμον. αὐτὸ δὲ τοῦ πυρῆνος, διαχωρητικόν. Τὰ θερμὰ τῶν σιτίων, ξηρὰ μὲν ἵστησι. τὸ γὰρ ὑγρὸν τὸ ἐν τῇ κοιλίῃ, ἀναξηραίνει. ὑγρὰ δὲ ὄντα, διυγραίνοντα τῇ θερμότητι, ὑπάγει.

Polenta ex hordeo decorticato & circum affusa aqua resperso, valentior est, quam ex macerato, & recens quam vetustior, & maza longè antè subacta validior est, quàm non longè antè subacta. Vinum diffusum & refrigeratum ac percolatum, tenuius redditur & imbecillius. Carnes coctæ, percoctæ quidē, imbecilliores sunt & leuiores, assæ verò si exassatæ fuerint, & veteres sale & aceto condîtæ, recentibus imbecilliores sunt & leuiores. Imbecilles cibi & leues, neq; ventriculum quidem, neq; corpus molestia afficiunt, quia calefacti non intumescunt, neq; implent, sed cito emolliuntur, & cocti per aluum secedunt. Humor autē ab ipsis corpori debilis prouenit, neq; auget, neq; vires effatu dignas exhibet. Valetiores autem cibi, cùm ventriculum subierint, tum intumescūt, tum plenitudinem excitāt, & tardiùs quidem concoquuntur, neque per aluum secedunt, humor autem ab ipsis valentior & incorruptus proueniens, robur multum corpori & incrementum præbet. Carnes corpori leuissimæ catulinę, volucriū & leporinę coctæ, graues verò bubulæ, & porcinæ moderatiores, coctæ autē & assæ ad flatum accommodatæ. Bene valentibus & imbecillis, ouillæ. Suillæ verò & ad bonam quidem corporis habitudinem & robur laborantibus & exercitatis bene conueniunt, imbecillis vero & priuatis valentiores. Et ferinæ cicuratis leuiores sunt, quoniam non similes fructus edunt. Pecorum autem carnes differunt, & eorum quæ fruges edunt, & eorum quæ non edunt. Neq; fruges idem in omnibus faciūt, sed quædam densam & robustam victimæ carnem reddunt, quædā verò, tum raram, tum humidā & imbecillam. Vt omnia comprehendā, pisces & cocti & assati, ipsiq; per se & cum cæteris cibis sumpti, leue sunt edulium. Ipsi verò inter se sic differunt. Et lacustres quidem, & pingues, & fluuiatiles grauiores sunt. Littorales verò marini leuiores, percoctiq; assatis leuiores. Ex his cibis cùm aliquem reficere voles, valentes dato, leues verò cùm gracilem & tenuem reddere opus erit. Balneum calidum, moderatum quidem corpus emollit & auget, quod verò tempestiuum modum excedit, siccas quidē corporis partes madefacit, humidas autem resiccat. Et siccæ quidem humectatæ, imbecillitatem & animi deliquiū inducūt, humidæ vero exiccatę, siccitatē & sitim. Ex oleribus allia cocta & assata, & vrinam ꝓmouent, & per aluū secedunt, & ad menstrua muliebria conferunt. Cepæ ad vrinā accommodatæ, succus enim acrimoniā quandam excitat, adeò vt per aluum demittatur. Quibus sic vtitor, vt ne tamen imbecillis exhibeas. Apium & coctum & crudum vrinam ciet; ac palustre magis quam satiuum, quod etiā facultatem habet maiorem. Coriandrum tum coctum, tum crudum, ori ventriculi gratum est, & aluum mouet. Ocimum humidum & frigidum est, orique ventriculi gratum. Porra cocta quidem vrinam & aluum mouent, cruda verò incendium & inflammationem excitant. Malum punicū vires reficit & pituitosum est, & cum nucleo quidē aluum firmat, citra nucleum verò, mouet. Cibi calidi, sicci quidem sistunt, quod enim in ventre est humidum resiccant, humidi verò & caliditate madefacientes, subducunt.

Acerba corpus ſiccant & cogunt, vimq; ſiſtendi habent. Acida extenuãt & morſum faciunt. Salſa aluum & vrinam cient. Pinguia & vnguinoſa, ac dulcia, humiditatem quidem ac pituitam excitant. Vires reficiunt cucurbita, beta, blitum, & rumex, & humiditate aluum deiiciunt. Braſſica verò acrimoniam quandam habet, qua aluum mouet, ſimulq; boni ſucci eſt. Caſeus & ſeſama, & vua paſſa, vires reficiunt & pituitoſa ſunt. Vina dulcia & mellis colorem referentia, vtraque & vires reficiunt, & vrinas cient, & pituitoſa ſunt. Auſtera verò ad robur & ſiccitatem accommodata. Vrinam verò prouocant etiam auſtera vetuſta, alba & tenuia. Oleum & quæ oleoſa vires reficiunt, & pituitoſa ſunt. Ex oleribus coctis per aluum ſecedũt, quæ natura ſunt humidiſſima, aut acerrima, aut caliditatem habent. Danda autem hæc vt ad ſeceſſum conferant, tepidiora & coctione maximè emollita. Cucumis pepo, & vrinã & aluum mouet, ac leuis eſt. Alter autem pepon, refrigerationem quandam inducit, & ſitim ſedat. Ab horum neutro nutritio non niſi tenuis quædam procedit, ſed neq; malum aliquod effatu dignum ab horum neutro. Mel cum cæteris ſumptum, & nutrit, & coloris bonitatem facit, per ſe autẽ magis attenuat, quàm vires reficiat. Nam & per vrinas fertur, & ſupra modum expurgatur. Quæ vrinam mouent calefacta in ventre citò caleſiunt, & calefacta marceſcunt & contabeſcunt, ideoq; celerem habent per aluum deiectionem. Cibi ventrem morantes, & caleſiunt, citòq; calefacti reſiccantur, & in ſe coeunt, ideóque circumcirca obdurati, per aluum minimè ſecedunt. Quæ per aluum ſecedunt, ſucci plena ſunt, & natura calida. Quæ verò vrinam cient, ſicca & frigida. Frumentum & vinum ſuapte natura tum robore & imbecillitate, tum leuitate & grauitate inter ſe differunt. Differt etiam locus à loco ex quo iſta proueniunt, aquiſne irrigetur, an aquis careat, & Soline ſit probè expoſitus, an multùm opacus, & bonus, an malus, ita vt hæc omnia ad ſingulorum ciborum, tum robur, tum imbecillitatem conferre videantur. Qui ſanitatis tempore panem edere conſueuerunt, his etiam per morbos dandus eſt. Cùm quis cibos aut potiones plures ſolitò ſumpſerit, niſi vt ſolet perfecerit, ſtatim vomitione reiicere optimum. Fructus autumnales & arborei ideo poſt cibum, & bene valenti, & debili plus moleſtiæ exhibent, quòd eius quidem qui cibũ ſumpſit corpus, ab ipſis humores trahit. Sin verò ieiunus comederit, plures. Cibi qui aut flatum, aut ardorem, aut morſum, aut repletionem excitant, aut tormina, ab eiuſmodi liberat vinum merum ſuperbibitum. Corpus enim vino calefactum, calore eximit ea quæ à cibis & potibus, ac ſimilibus inſunt. Interdum quidem aluus perturbatur, interdum verò ſiſtitur, interdum etiam pro ratione deiicit. Cùm autem hæc ita ſe habeant, primùm quidem cùm aluus humidior, cúmque ſiccior cibum ſuſceperit, corrumpit, deinde cùm mutatio contigerit, ſiue ex frigore ad caliditatem, ſiue ex caliditate ad frigus, corrumpit,

Τὰ στρυφνὰ ξηραίνει καὶ συνάγει τὸ σῶμα. εἰσὶ δὲ καὶ στάσιμα. Τὰ ὀξέα λεπτύνει, δῆξιν ἐμποιέοντα. Τὰ ἁλμυρὰ, διαχωρέει καὶ διουρέεται. Τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα, ὑγρασίην μὲν καὶ φλέγμα παρέχει, κομιστικὰ δέ. Κολοκύντη, καὶ τεῦτλα, καὶ βλῆτα, καὶ λάπαθα, τῇ ὑγρότητι διαχωρητικά. Κράμβη δὲ ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ἅμα εὔχυμος. Τυρὸς, καὶ σήσαμα, καὶ σταφὶς, κομιστικὰ καὶ φλεγματώδεα. Γλυκὺς οἶνος καὶ μελιχροώδης, ἄμφω καὶ κομιστικοὶ, καὶ διουρητικοὶ, καὶ φλεγματώδεες. οἱ δὲ αὐστηροὶ, ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι. οὐρητικοὶ δὲ καὶ αὐστηροὶ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσιν. Ἔλαιον καὶ ὅσα ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα. Λαχάνων τῶν ἑφθῶν διαχωρέει, ὅσα φύσει ὑγρότατα, ἢ δριμύτατά ἐστιν, ἢ θερμότητα ἔχει. διδόναι δὲ ταῦτα, ξύμφορά ἐστιν ἐς ἄφοδον, χλιαρώτερα καὶ τακερώτερα. Σίκυος πέπων, καὶ διουρητικὸν, καὶ διαχωρητικὸν, καὶ κοῦφον· ὁ δὲ ἕτερος πέπων, ψύξιν τινὰ παρέχει, καὶ δίψαν παύει. τροφὴ δὲ ἀπὸ οὐδετέρου τούτων οὐ γίνεται, εἰ μὴ λεπτή τις. ἀλλ' οὐδὲ φλαῦρον ἀπ' οὐδετέρου οὐδὲν ἄξιον λόγου. Τὸ μέλι, ξὺν μὲν ἑτέροις ἐσθιόμενον, καὶ τρέφει καὶ εὔχροιαν παρέχει. αὐτὸ δὲ ἐφ' ἑωυτοῦ, λεπτύνει μᾶλλον ἢ κομίζει. καὶ γὰρ διουρέεται καὶ διακαθαίρεται μᾶλλον τοῦ μετρίου. Τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ, θερμαίνεταί τε ταχὺ, καὶ θερμαινόμενα μαραίνεται καὶ τήκεται. καὶ τὴν διαχώρησιν διὰ τοῦτο ταχείην παρέχει. Ὅσα δὲ στάσιμα τῶν σιτίων, καὶ θερμαίνεται, καὶ ταχέως θερμαινόμενα ξηραίνεται καὶ συνίσταται. καὶ διὰ τοῦτο περισκληρυνόμενα, οὐ διαχωρέει. Τὰ διαχωρητικὰ, ἔγχυλά ἐστι καὶ φύσει θερμά. τὰ δὲ οὐρητικὰ, ξηρὰ καὶ ψυχρά. Ὁ σῖτος καὶ ὁ οἶνος, διαφέρουσι μὲν καὶ αὐτοὶ ἑωυτῶν φύσει ἐς ἰσχὺν καὶ ἀσθενείην, καὶ κουφότητα καὶ βαρύτητα. διαφέρει δὲ καὶ χώρη χώρης ἐξ ἧς ἂν ᾖ. καὶ εὔυδρος ἐοῦσα, καὶ ἄνυδρος. καὶ εὐήλιος, καὶ παλύσκιος. καὶ ἀγαθὴ, καὶ φλαύρη. ὥστε ἅπαντα ταῦτα ξυμβάλλεται ἐς τὸ, ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι, καὶ ἀσθενέστερα. Ὁκόσοι ὑγιαίνοντες ἀρτοφαγεῖν εἰώθεσαν, ταῦτα διδόναι τούτοισι, καὶ ἐν τῇσι νούσοισιν. ὅταν ἢ σιτία ἢ ποτὰ πλέω τοῦ εἰωθότος τις λάβῃ, ἢν μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι χρῆμα ἄριστον. Ὀπώρη καὶ ἀκρόδρυα, διὰ τόδε μετὰ τὸ σιτίον λυπηρότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, ὅτι βεβρωκότος μὲν ἀπ' αὐτῶν ἰκμάδας σπᾷ τὸ σῶμα· ἢν δὲ νῆστις ἐσθίῃ, πλείω. Ὅσα τῶν σιτίων ἢ φῦσαν, ἢ καῦμα, ἢ δῆξιν παρέχει, ἢ πλησμονὴν ἢ στρόφον, οἶνος ἐπιπινόμενος ἄκρητος, ἀπαλλάσσει τῶν πόνων. τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου, ἀπαλλάσσεται τὰ ἐνεόντα τῇ θερμότητι. ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ τῶν ὁμοίων, ἐνίοτε μὲν διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ ἵσταται, ἐνίοτε δὲ καὶ κατὰ λόγον διαχωρέει. διότι δὲ ταῦτα οὕτως ἔχει. πρῶτον μὲν ἡ κοιλίη ὅταν ὑγροτέρη ἐοῦσα, καὶ ὅταν ξηροτέρη, ὑποδέχηται τὸ σιτίον, διαφθείρει. ἔπειτα ὅταν μεταβολὴ γένηται, εἴτε ἐκ ψύχεος ἐς θάλπος, εἴτε ἐκ θάλπεος ἐς ψῦχος, διαφθείρει.

ὥστε

ὥστε ἀνάγκη τὴν κοιλίην, ἀπὸ τῶν σιτίων τῶν αὐτῶν καὶ ποτῶν, δι' αὐτὰ ταῦτα καὶ μαλακωτέρην γίνεσθαι καὶ σκληροτέρην. Τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὄψων, πλὴν ἄρτου, καὶ μάζης, καὶ κρεῶν, καὶ ἰχθύων, καὶ οἴνου, καὶ ὕδατος, τἄλλα πάντα, λεπτὰς μὲν καὶ ἀσθενέας καὶ τὰς ὠφελείας παρέχει ἐς τὴν αὔξησιν, καὶ ἐς τὴν ἰσχὺν, καὶ ἐς τὴν ὑγιείην· λεπτὰ δὲ καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐτέων γίνεται. Ὁκόσοις τῶν νοσεόντων μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχουσιν, ἀλλὰ διαλείποντες λαμβάνουσι, τούτοισι τὰ σιτία διδόναι μετὰ τὴν λῆψιν, τεκμαιρόμενος μήπως ἐπὶ νεοβρῶτι ὁ πυρετὸς 10 ἐπιπέσῃ, ἀλλ' ἤδη πεπεμμένων τῶν σιτίων. οἶνος καὶ μέλι κάλλιστα κέκριται ἐν ἀνθρώποισιν, ἢν παρὰ φύσιν καὶ ὑγιαίνουσι καὶ ἀσθενέουσι σὺν καιρῷ καὶ μετριότητι προσφέρηται· καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ' ἑωυτῶν· ἀγαθὰ δὲ καὶ συμμισγόμενα, τά τε ἄλλα, καὶ ὅσα γε καὶ ἀξίην λόγου ὠφελείην παρέχει. ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα καὶ νοσέουσι προσφερόμενα, ἰσχυρότερά ἐστι, καὶ δι' αὐτῶν ἀφαιρέοντα τὴν ἀκμὴν, διδόναι· ἢ οὐ φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ μᾶλλον βλάπτει, ἢ ὠφελέει.

adeò vt aluum ab iisdem cibis propter hæc ipsa molliorem & duriorem fieri necesse sit. Ex cibis & potibus & opsoniis, pane excepto & maza, & carnibus, & piscibus, & vino, & aqua, reliqua omnia ad incrementum, & robur, & ad sanitatem parua & imbecilla auxilia conferunt. Parua etiam & imbecilla ab his mala contingunt. Quoscumque febres non continenter detinēt, sed intermittentes inuadūt, his post accessionem cibi exhibendi, coniectura facta ne quando à recenti cibo, sed iam concoctis cibis febris ingruat. Vinum & mel optima hominibus censentur, si pro natura & sanis & debilibus tempestiuè & moderatè exhibeātur. Et bona quidem per sese, & cæteris admixta, tum alia, tum quæcunque effatu dignam vtilitatem exhibent. Quæ sanis conferunt, ægrotis exhibita valentiora sunt, eaque vi ipsorum detracta exhibenda, alioqui ea corpus non ferat, sed magis noceant quàm iuuent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝΤΟΣ ΠΑΘΩΝ.

HIPPOCRATIS DE INTERNIS AFFECTIONIBVS.

Ἢν ἡ τοῦ πλεύμονος ἀρτηρίη ἑλκωθῇ, ἢ τι ῥαγῇ 20 τῶν φλεβίων τῶν λεπτῶν, τῶν κατακρεμαμένων ἐς τὸν πλεύμονα, ἢ τῶν συρίγγων, τῶν διὰ τοῦ πλεύμονος τεταμένων, καὶ συρραγέωσιν ἐς ἀλλήλας, καὶ αἵματος πλησθῶσι, διασπῶνταί τε καὶ καταῤῥήγνυνται διὰ τάσδε τὰς αἰτίας μάλιστα· διὰ ταλαιπωρίην, διὰ δρόμον, διὰ πτώματα, διὰ πληγὰς, δι' ἐμέτους βιαίους γινομένους, διὰ πυρετούς. τάδε οὖν πάσχει. ὁ μὲν πρῶτον, βὴξ ἴσχει ξηρή. ἔπειτα ὀλίγῳ ὕστερον, ἀποπτύει ὁ σίαλον ὕφαιμον. τότε δὲ καθαρόν. ἢν οὕτως μὲν ἐν τάχει παύσηται τῆς νούσου. ἢν δὲ μὴ, προϊόντος τοῦ χρόνου, 30 τὸ αἷμα πλεῖον χωρέει. ἐνίοτε μὲν καθαρόν. ἔστι δὲ ὅτε καὶ ὑπόσαπρον. πολλάκις δὲ καὶ ἡ φάρυγξ λανθάνει αἵματος πιμπλαμένη. ἔπειτα θρόμβους αἵματος ἐκβράσσεται κατ' ὀλίγον καὶ θαμινά. ἐνίοτε δὲ καὶ ὀδμὴ βαρείη ἀπ' αὐτῶν γίνεται. καὶ ἡ φάρυγξ ἔστιν ὅτε τινὸς ἄχνης πίμπλαται. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, κατ' ἀρχὰς μὲν τῆς νούσου, σφόδρα. προϊούσης δὲ βληχρότερον. καὶ ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει. καὶ ὀδύνη ἐνίοτε ἔγκειται ἐν τοῖς στήθεσι. καὶ ἐν τῷ μεταφρένῳ. καὶ ἐν τῇσι πλευρῇσι. καὶ ὁκόταν τὸ αἷμα παύσηται πτύων, σίαλον πολ- 40 λὸν ἀποπτύει ὑγρόν. ἐνίοτε δὲ καὶ γλίσχρον. ταῦτα μὲν οὖν οὕτω πάσχει, μέχρι τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν· μετὰ δὲ ταύτας ἢν μὴ παύσηται τὸ νούσημα, λεπίδας ἀπὸ τῆς ἀρτηρίης ἀποβήσσων ἀποπτύει, οἵας περ ἀπὸ φλυκταινίδων. καὶ ὀδύνη ἐμπίπτει ἐς τὰ στήθεα, καὶ ἐς τὸ μετάφρενον,

PVLMONIS arteria si exulcerata, aut quædam ex tenuibus venulis quæ in pulmonem dependent, rupta fuerit, aut fistulæ per pulmonem distentæ, & inter se confringantur, & sanguine compleantur, (his verò de causis præcipuè diuelluntur & perrumpuntur, vehementi exercitatione, cursu, casu, per plagas, per violentos vomitus & febres) hæc quidem primùm contingunt. Tussis sicca detinet, deinde non multò post sputum subcruentum, interdum verò purum expuit. Quòd si hoc quidem modo morbus desinat, bene habet. Sin minus procedente tempore, copiosior sanguis, interdum quidem purus, quandoque etiam aliquantum putridus procedit. Plærumque verò fauces etiam latenter sanguine complentur, deinde sanguinis grumos paulatim & subinde velut ebullientes reiiciunt. Quandoque verò etiam ab his grauis odor oritur, & fauces interdum tenui quadam lanugine implentur. Et rigor ac febris circa quidem morbi initia vehemens, eo verò progressu leuior prehendit, subindéque corripit. Dolor etiam quandoque in pectoribus, dorso & lateribus vrget. Cùm sanguinem spuere desierit, sputum copiosum liquidum, interdum etiam viscidum expuit. Atque hoc modo afficitur donec dies quatuordecim præterierint. Post hos verò nisi morbus sedetur, squamulas quales, ex pustulis, ab arteria reuulsas tussiendo reiicit, & dolor in pectus, dorsum & latus irruit, præ-

cordiáque ad contactum tanquam ab vlcere dolent. Cùm sic se habeat, huic morbo quàm maximè quies interna conducit. Si quid enim laborarit, tum dolor vehementior, tum tussis magis quàm antea vrget, rigórque ac febris magis detinet. Cúmque sternutauerit, dolor acutus adoritur, dolétque etiam in lecto cùm circumuertitur. Huic cibos quidem eosdem quos suppurato, sed hos non multos, offerre oportet. Opsoniis verò his vtatur, Piscibus quidem squatina, aut pagro, aut galæo magno albo, aut aliis similibus, omnibus cum rhoë & origano conditis. Galli autem carnem assam sine sale edat, aut capræ coctam, vinóque vtatur austero quàm vetustissimo & suauissimo nigro, deambulationibus autem moderatis, præter quàm quòd hæc dum febris detinet fieri non debent. Quòd si febris detinet sorbitione farinæ aut milij vtatur. Si verò cibi exhibeantur, pauci porrigantur, & opsonia per aluum secedentia. Sed si medicamento tibi vtendum esse videatur, eum grano Cnidio, aut tithymalide aliquantulum purgato, & post purgationem, farinæ coctæ pinguis acetabulum exorbendum dato. Deinde quàm maximè vires reficito, quò minimùm gracilis euadat. Gracilem enim esse ad hunc morbum minimè confert. Deambulationes paucæ primùm faciendæ, ne lassitudo inuadat. Fomentum autem subinde adhibendum, quáq; die exhibebitur, sine cibo permaneat, nisi quòd farinæ coctæ acetabulum exorbeat, aquam verò bibat. Postero die minùs quàm pro consuetudine comedat, vinumq; nigrum, suaue, austerum, paucum bibat. De reliquo, bis aut ter die cibos exhibeto, sicque ei sensim exhibeto, donec ventriculum ad pristinum habitum reuocaris. Per febres enim & inediam, si quidē os expetit, ventriculus verò recipere nolit, si confertim recipiat, inflammatur. Verùm paulatim exhibere oportet. Quòd si confertim dederis, parúmque laborarit, ventriculus deambulationibus minimè perfrigeratur, densatis nimirum per quietem cibariis, ideóque febris accedere solet. Et per hyemem quidem minùs, per æstatem verò magis delinquitur. Huic quàm maximè vires reficere conuenit, vt maximè crassus euadat, & deambulationibus modicis luctáque minùs solito vtatur. Primùm parū bibere, deinde paulò plus, nunquam verò multum. Quæ si fecerit, citissimè conualescet. Quòd si ex vehementi labore gracilis euadat, de eo remittat & quietem agat. Hic vbi conualuerit, ad ventum ne celeriter currat, neq; in equum, neq; in currum cōscendat. Vitet autem clamorem & excandescentiam. Periculum enim est ne redeat morbus. Verùm hæc omnia vitanda sunt. At si cibum refugiat, orobum tostum cortice repurgato, deinde tribus diebus aqua maceratum, quotidie alia affusa, aquam diffundito. Postea quarto die excolatum & resiccatum, mox tenuissimè molitū, per incerniculum cribrato. Et lini semen tostum, sesamumq; etiam tostum læuissimè tundito, polentamq; insulsam, purā, tenuem admisceto. Sit autē orobi & polētæ vtriusq; æqualis portio, sesami verò tertia pars, & lini partis vnius dimidiū. Quæ caprino lacte cocta, quàm liquidissima sorbeat.

καὶ ἐς τὸ πλευρόν. καὶ τῶν ὑποχονδρίων ὡς ἕλκος ψαυόμενος ἀλγέει. τούτῳ ξυμφέρει ἡσυχίην ὡς μάλιστα τὸ νόσημα ἔχειν ἔσω, ἢν οὕτως ἔχῃ. ἢν γάρ τι πονήσῃ, ὅ, τε πόνος ὀξύτερος, καὶ ἡ βὴξ μᾶλλον ἢ τὸ πρότερον πιέζει. καὶ τὸ ῥῖγος καὶ ὁ πυρετὸς μᾶλλον ἔχει. καὶ ἢν πτάρῃ, ἡ ὀδύνη ὀξεῖα προσέβαλεν. ἀλγέει δὲ καὶ ἐν τῇ κλίνῃ, ὁκόταν περιστρέφηται. τούτῳ χρὴ προσφέρειν σιτία μὲν τὰ αὐτά, ἃ καὶ τῷ ἐμπύῳ. ταῦτα δὲ οὐ πολλά. τῶν δὲ ὄψων τούτοισι χρέεσθαι· ἰχθύσι μὲν, ῥίνῃς ἢ φάγρου. [4] ἢ γαλεοῦ τοῦ μεγάλου τοῦ λευκοῦ. ἢ τῶν ἄλλων τῶν ὁμοίων, πᾶσιν ἐν ῥόῳ καὶ ὀριγάνῳ ἠρτυμένοις. κρέας δὲ ἐσθιέτω, ἀλέκτορος, ὀπτόν. ἄναλτον. ἢ αἰγὸς ἑφθόν. καὶ οἴνῳ αὐστηρῷ ὡς παλαιοτάτῳ, καὶ ἡδίστῳ μέλανι χρεέσθω. περιπάτοισι δὲ μετρίοισι, πλὴν ταῦτα πυρετοῦ μὴ ἔχοντος. ἢν δὲ πυρετὸς ἔχῃ, ῥοφήματι ἀλεύρου ἢ κέγχρου χρεέσθω. ἢν δὲ σιτία προσφέρηται, ὀλίγα προσφερέσθω. καὶ ὄψα τὰ διαχωρητικά. κἢν φαρμάκου σοι δοκέῃ χρέεσθαι, ὑποκαθῆραι αὐτὸν τῷ κνιδίῳ κόκκῳ, ἢ τῇ τιθυμαλλίδι. καὶ μετὰ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ δοῦναι ξυβλίον ἐκροφεῖν λιπαροῦ. εἶτα ἀνακομίζειν ὡς μάλιστα, ὅκως ἂν ἥκιστα λεπτὸς ᾖ. πρὸς γὰρ τὴν τοιαύτην νοῦσον, οὐ ξυμφέρει λεπτὸν εἶναι. καὶ περιπάτοις ὀλίγοις τὸ πρῶτον ποιέεσθαι, ὡς μὴ κόπος ἐπιλάβηται. πυριῆν δὲ ἄλλοτε καὶ ἄλλοτε. καὶ ἡ πυριηθῇ ἡμέρῃ, ἄσιτος ἔστω πλὴν ἀλεύρου ἑφθοῦ ξυβλίον ἐκροφεέτω. ὕδωρ δὲ πινέτω. τῇ δὲ ὑστεραίῃ, ἔλασσον ἢ ὡς μεμάθηκε φαγέτω, καὶ πινέτω οἶνον μέλανα, ἡδὺν, αὐστηρὸν, ὀλίγον. τὸ δὲ λοιπὸν, δὶς ἢ τρὶς τῆς ἡμέρης, τὰ σιτία διδόναι. οὕτω δὲ δίδου τοῦτο κατ' ὀλίγον, μέχρι καταστήσῃς τὴν κοιλίην. ἐκ γὰρ τῶν πυρετῶν καὶ τῆς ἀσιτίης, ἢν μὲν τὸ στόμα ζητῇ, ἡ δὲ κοιλίη μὴ ἐθέλῃ δέξασθαι, ἀθρόον δεξαμένη, φλεγμαίνει. ἀλλὰ κατ' ὀλίγον διδόναι χρή. ἢν δὲ ἀθρόον δῷς καὶ ὀλίγα πονήσῃ, τοῖσι περιπάτοισιν οὐ διαψύχεται ἡ κοιλίη, ἅτε ἀτρέμα ξυνεστηκότων τῶν βρωτῶν. διὸ καὶ πυρετὸς φιλέει ἐπιγίνεσθαι. καὶ τοῦ μὲν χειμῶνος ἧσσον. τοῦ δὲ θέρεος, κίνδυνος ἐξαμαρτεῖν. τοῦτον ἀνακομίζειν δεῖ ὡς μάλιστα, ὅκως ἂν ὡς παχύτατος ᾖ. καὶ περιπάτοισι μετρίοισι χρεέσθω. καὶ παλαιέτω ἧσσον ἑωυτοῦ. καὶ πονεέτω ὀλίγα, τὸ πρῶτον. ἔπειτα δὲ πλείω. πολλὰ δὲ οὐδέποτε. ταῦτα ἢν ποιέῃ, ὑγιὴς ἔσται τάχιστα. ἢν δὲ λεπτὸς γένηται διὰ ταλαιπωρίην, ἀνιέτω καὶ ἡσυχίην ἐχέτω. οὗτος μήτε πρὸς ἄνεμον δραμὴν ὑγιὴς ἐὼν ὀξέως, μήτε ἐφ' ἵππον, μήτε ἐπὶ ζεῦγος ἀναβῇ. φυλασσέσθω δὲ καὶ βοὴν καὶ ὀξυθυμίην. κίνδυνος γὰρ τὴν νοῦσον πάλιν ἀναλαβεῖν, ἀλλὰ φυλάσσεσθαι χρὴ τούτων ἁπάντων. ἢν δὲ τοῦ σίτου ἀποκλεισθῇ, ὀρόβους φώσας, τὰ κέλυφα ἀποκαθῆραι. εἶτα βρέξας αὐτοὺς ἐν ὕδατι τρεῖς ἡμέρας. ἐφ' ἑκάστην δὲ ἡμέρην ἀποχέειν τὸ ὕδωρ, καὶ ἄλλο ἐπεγχέειν. ἔπειτα τῇ τετάρτῃ ἡμέρῃ ἀπηθῆσαι, καὶ ξηρῆναι. [6] εἶτα ἀλέσας λεπτότατα διασῆσαι. καὶ λίνου καρπὸν φώσας, κόψαι λεῖον. καὶ σήσαμον φώσας, κόψαι λεῖον. καὶ ἄλφιτα ἄναλτα καθαρὰ λεπτά. καὶ τῶν μὲν ὀρόβων καὶ ἀλφίτων, ἴσον ἑκατέρου ἔστω. τοῦ δὲ σησάμου, τρίτον μέρος. τοῦ δὲ λίνου, ἥμισυ μιῆς μερίδος. [7] ταῦτα ἐν αἰγείῳ ἑψήσας, ὡς ὑγρότατα ῥοφεέτω.

μετὰ δὲ ταῦτα, διδόναι αὐτῷ ἐς ἄριστον, σιτία καθαρὰ, καὶ ὄψα ἀπὸ τῶν ἰσχυροτέρων. οἶνον δὲ τὸν αὐτὸν πινέτω. διδόναι δὲ αὐτῷ καὶ τῶν ῥιζέων, τῶν πρὸς ταῦτα τὰ ῥήγματα, τῆς κενταυρείης, ἐπ' οἶνον ἐπιξύων. διδόναι δὲ καὶ τοῦ δρακοντίου ἐπ' οἶνον ἐπιξύων. διδόναι δὲ καὶ τοῦ βηχίου ἐν μέλιτι, καὶ τὸ δρακόντιον ξύων, λείχειν. ἢν δὲ τὸ ἕψημα τὸ ἐν τῷ γάλακτι μὴ φάσκῃ δυνατὸς εἶναι ῥοφέειν, γάλα βόειον ὡς πλεῖστον πινέτω, τρίτον μέρος τοῦ μελικρήτου παραμίσγων. καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται, ἡ δὲ νοῦσος θεραπείης δέεται πολλῆς. χαλεπὴ γάρ. ἢν γὰρ θεραπευθεὶς ὑγιής τε γενόμενος, μὴ ἐν φυλακῇ ἔχῃ ἑωυτὸν, τοῖσι πολλοῖσιν ὑποστρέψασα ἡ νοῦσος, αἰτίη ἀπωλείας ἐγένετο. οὗτος ἢν μὲν ὑπὸ ταύτης τῆς θεραπείης ἰηθῇ, ἀρκέει. ἢν δὲ μὴ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τά τε στήθεα καὶ τὸ μετάφρενον. ἢν γὰρ τύχῃς καύσας, ἐλπὶς ἐκφυγέειν τὴν νοῦσον. Ἢν δὲ ἀρτηρίη σπασθῇ ἤ τις τῶν φλεβῶν τῶν τεινουσῶν εἰς τὸν πλεύμονα, τάδε πάσχει. κατ' ἀρχὰς μὲν τῆς νούσου, βὴξ ἴσχει ὀξείη. καὶ ῥῖγος. καὶ πυρετός. καὶ τὸ σίαλον ἀποπτύει, πουλύ τε καὶ λευκὸν, καὶ ἀφρῶδες. ἐνίοτε δὲ ὕφαιμον. καὶ ὀδύνη τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἴσχει. αὕτη ἡ νοῦσος ἰσχυροτέρη τῆς πρόσθεν. καὶ μέχρι μὲν δέκα ἡμερέων τῶν πρώτων, τοιαῦτα πάσχει. ἔπειτα οἱ πολλοὶ τῇ ἑνδεκάτῃ, πῦα ἀποπτύουσι παχέα βιαίως. ἡμέρῃ δὲ καθαρώτερα ἀποπτύει, ἢν φεύξιμος ᾖ, καὶ τῇ ὀδύνῃ ἧσσον πονέει, καὶ ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μέλλῃ πολυχρόνιος ἡ νοῦσος ἔσεσθαι, τότε πῦα πολλῷ πλείονα ἀποπτύει, καὶ ὁ ἄλγος πόνος ἐν τῷ σώματι, πολλῷ ἔνι πλείων. αἱ δὲ θέρμαι βληχρότεραι ἔχουσιν, ἢ τὸ πρίν. τοῦτον ἢν λάβῃς κατ' ἀρχὰς ὑποκαθῆραι κάτω, ὅπως σκαμμωνίης ἢν ἀπύρετος ᾖ. μετὰ δὲ τὴν κάθαρσιν, προσφερέσθω ταῦτα ἃ καὶ πρόσθεν. καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἡσυχίην ἔχων ὡς μάλιστα τῷ σώματι, καὶ μαλθακῶς κοιμάσθω. ταῦτα μὲν κατ' ἀρχὰς ποιεέτω, μέχρι τῶν δέκα ἡμερέων. ἢν δὲ ἔμπυος γένηται, τὰ αὐτὰ ἃ καὶ ὁ πρόσθεν ποιεέτω. ἢν δὲ ὑγιὴς γένηται, τῶνδε χρὴ ἀπέχεσθαι, σιτίων καὶ ποτῶν ὀξέων, καὶ δριμέων, καὶ ἁλικῶν, καὶ λιπαρῶν. ταλαιπωρίης δὲ ἀπέχεσθαι, καὶ τῶν αὐτῶν ὧν καὶ ὁ πρόσθεν. ταῦτα ἢν ποιέῃ, τάχιστα τῆς νούσου ἀπαλλαγήσεται. ἢν δέ τι τουτέων οὐ ποιήσῃ, κινδυνεύσει πάλιν ὑποστρέψαι. καὶ ἡ νοῦσος κάκιον ἔχει. καὶ γὰρ οἱ πολλοὶ πλευμορρωγέες ἐόντες διατελέουσιν, ἕως ἂν ἀποθάνωσι. τοῦτον ἢν μὴ παραχρῆμα τις ἰήσηται, ὑποστρεψάσης τῆς νούσου, οὐκ ἂν μετὰ ταῦτα ἔχοις ὠφελῆσαι, ἢν μὴ τάδε ποιήσῃς. γάλακτι βοείῳ παχύνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. ἢν γὰρ τύχῃς καύσας, ὠφελήσεις. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτέων ἁμαρτάδων γίνεται, ὧν καὶ ἡ πρόσθεν. Πλευμονὶς δὲ γίνεται, ἀπὸ τῶνδε μάλιστα. ὁκόταν ὁ πλεύμων αἷμα ἑλκύσας ἐφ' ἑωυτὸν, ἢ φλέγμα ἁλμυρὸν μὴ ἀπῇ πάλιν, ἀλλ' αὐτοῦ ξυστραφῇ καὶ ξυμπαγῇ, ὑπὸ τουτέων φύματα φιλεῖ γίνεσθαι ἐν πλεύμονι καὶ ἐμπυοῦσθαι. οὗτος τάδε πάσχει. κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νουσήματος, βὴξ ὀξείη ξηρὴ ἴσχει, καὶ ῥῖγος, καὶ πυρετὸς, καὶ ὀδύνη ἐν τοῖσι στήθεσι καὶ ἐν τῷ μεταφρένῳ ἐγκέεται. ἐνίοτε δὲ καὶ ἐν τῇ πλευρῇ. καὶ ὀρθόπνοιη σφοδρὴ ἐμπίπτει. οὗτος μέχρι μὲν τεσσαρεσκαίδεκα ἡμερέων, τοιαῦτα πάσχων διατελέει. πολλάκις δὲ καὶ πλείονας ἢ δεκατέσσαρας ἡμέρας.

Post hæc autem in prandium cibos puros, & ex opsoniis valentiora in prandium ei exhibeto, & vinũ idem bibat. Centaurij etiam radices vino intritas ad eiusmodi ruptiones facientes ei exhibeto. Dracontij etiam radices vino intritas dato, & bechij radicem cum melle, & dracontium derasum delingendum. At si quod in lacte decoctum est se sorbere posse neget, lac bubulum quàm plurimum, aquę mulsę tertia parte admixta bibat, sicq; citissimè conualescet. Hic autem morbus, cùm sit difficilis, multa curatione indiget. Cùm enim quis curatus & sanus factus fuerit, nisi sui curam habuerit, plęrisque reuertens morbus, interitus causam attulit. Qui siquidem hac curatione sanatus fuit, satis est. Sin minus, vbi eum lacte crassiorem reddideris, in pectore & dorso inurito. Si enim vstio bene successerit, morbum euadendi spes est. At verò si arteria aut vena aliqua ex his quæ ad pulmonem tendunt, diuellatur, hæc contingunt. Per morbi quidem exordia tussis acuta, rigor & febris detinet, & sputum tum copiosum, tum album ac spumosum, interdúmque subcruentum expuit, dolórque caput & ceruicem occupat. Hic morbus priore est vehementior. Ac decem quidem primis diebus hæc ei contingunt. Deinde plærique vndecimo die pus crassum per vim expuunt. Die verò decimo quarto puriora expuit, si ex eo æger euasurus est, & dolor minus affligit, breuiq; sanus euadit. Quòd si diuturnus morbus futurus est, & multò plus puris expuit, & reliquus dolor in corpore longè maior est, & calores quàm antea leuiores detinent. Hunc si per initia curandum susceperis, scammoniæ succo, si febre careat, per inferiora aliquantulũ purgato. Post purgationem verò eadem quæ priùs exhibeatur, & reliqua eadem quieto quàm maximè corpore assumantur, & molliter dormiat. Et hæc quidem decem primis diebus faciat. Quòd si purulentus extiterit, eadem etiam quæ priùs faciat. Sin verò sanus euaserit, his cibis & potibus abstineat, acidis, acribus, salsis & pinguibus. Labore etiam vehementiore, & iisdem quibus priùs abstineat. Quæ si fecerit, citissimè hoc morbo liberabitur. Sin verò eorũ aliquid non fecerit, periculum est ne morbus reuertatur, & peior detineat. Plærique enim rupto pulmone ad mortem vsq; perseuerant. Hunc nisi quis confestim curet, postea vbi morbus reuersionem fecerit, non erit quo iuuare possis, nisi hæc feceris. Lacte bubulo crassiorem redditũ in pectore & dorso inurito. Si enim vstio tibi prosperè successerit, iuuabis. Hic autem morbus ex iisdem erratis ex quibus etiam prior oritur. Pulmonis inflammatio ex his fere fit. Cùm ad sese pulmo sanguinem aut pituitam salsam traxerit, neque rursus dimiserit, sed ibi collecta & coacta fuerint, ex his tubercula in pulmone gigni solent, & pus intrò colligi. Hic hæc patitur, per initia & totum morbum tussis acuta, & rigor, & febris detinet, dolor in pectore & dorso, interdúmque in latere vrget, veheménsque erectę ceruicis spiratio incidit. Hic ad decimumquartum vsque diem in his perseuerat, plærumque etiam pluribus diebus.

Deinde pus foras erumpit, multumque expuit, sæpe verò velut aranearum tunicas expuit, crebrò etiam subcruentum. Et si quidem pulmo citò repurgetur & gracilis reddatur, perniciem euadit. Sin minus, perseuerat hic morbus & per annum detinet, & quandoque in varias affectiones transit. Huic per initia antequàm pus foras erumpat, hæc admouere oportet. Cùm febris remiserit multa calida lauet, & sorbitionibus multis vtatur, ptisanæ cremorem coctum, melle affuso & cocto sorbeat, vinum dulce album, aut aquam mulsam coctam bibat. Vbi verò pus expuere cœperit, eadem quæ prior purulentus bibat, iisdemque cibis, potibus, & opsoniis vtatur. acidis abstineat, acribus, salsis, pinguibus, venere & crapula, nisi cùm morbo commodum fuerit. Inspecto autem colore, quorũ tibi indigere videatur, curam habeto, reliqua autem eadem faciat. Lac bubulum & caprinum, si anni tempus ferat, bibat, priùs tamen lacte asinino cocto aliquantulum purgetur. Bibat autem quotidie mane lactis asinini excolati poculum trium heminarum mensura, si possit. Si igitur ad hunc modum curatus meliùs habuerit, satis est. At si pus ad pectus nõ erumpat, ipse corpore quàm maximè quietem agendo, & quæ sibi commoda sunt admouendo, suiipsius curam habeat. Si verò ad pectus pus eruperit, qua parte de se tibi significationem præbere videbitur, illic pręcipuè sectione aut vstione facta, pus primùm paucum educito. Reliqua eadem facito quæ in priore purulento scripta sunt. Si varix in pulmone gignatur, per morbi quidem exordia tussis sicca, rigor & febris vehemens admodum inuadit, erectæ ceruicis spiratio detinet. In capite tumor insistit, & supercilia dependere videntur, tumorq; ad faciem, pectus & pedes descendit, sæpe verò in capite fixus est, cumq; dolor detinet, præ dolore oculos attollere non potest, Corpus est subpallidum, & venæ per ipsum feruntur, aut rubræ aut nigræ. Huic quidem cùm sic habeat & dolor maximè vrgeat, primùm quidem sanguinem detrahito, deinde multa & calida lauato, & cùm sitis detinet, cyceonem ex vino nigro austero quàm suauissimo, æquali aqua temperatum, potui exhibeto, quem maxmimè frigidũ bibere oportet. Ptisanę cremore cocto, optimo melle affuso, pro sorbitionibus vtatur. Quæ primis quatuordecim diebus offerenda sunt. Quòd si diutiùs morbus detineat, dolórq; maior in corpore & viriũ impotentia adsit, huic sanè sic habenti ea exhibeto, quę ei qui pulmonem purulentum habet, cùm quatuordecim dies præterierint. Oritur hic morbus ex vehemẽtiore labore & bile atra. Cùm venæ cauæ quæ in pulmonem pertingunt, sanguine aut bile atra refertæ fuerint, venulæ nimirũ in angustiis interceptæ, inter sese confringuntur, cumq; exitum nõ habeant, dolorem & flatum in pulmone excitant. Hic morbus cùm sit difficilis multa curatione indiget, alioqui ægrum non relinquere, fereq; multos ad mortem vsq; comitari solet. Si inflammatio in pulmone oriatur, oritur autẽ præcipuè ex vinolentia & piscium capitonum & anguillarum ingluuie, qui pinguedinem hominis naturæ maximè infensam habet.

ἔπειτα ῥήγνυται πῦα καὶ ἀποπτύει πολλόν. πολλάκις δὲ ἀποπτύει καὶ οἷον ἀραχνίων χιτῶνας. πολλάκις δὲ καὶ ὕφαιμον. κἢν μὲν ἀποκαθαρθῇ καὶ ἀπισχνωθῇ ἐν τάχει ὁ πλεύμων, ἐκφυγεῖν τὸν ὄλεθρον. ἢν δὲ μὴ, προσέχει ἐνιαυτὸν ἡ νοῦσος, καὶ μεταβάλλει, ἄλλοτε ἀλλοῖα πάσχων. τούτῳ χρὴ κατ᾽ ἀρχὰς μὲν πρὶν ἢ τὰ πῦα ῥαγῆναι, προσφέρειν τάδε. ὁκόταν αὐτὸν ὁ πυρετὸς, λούειν πολλῷ θερμῷ, καὶ ῥοφήμασι πολλοῖσι χρέεσθαι. πτισάνης χυλὸν καθεφθὸν μέλι παραχέας ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω. καὶ οἶνον πινέτω γλυκὺν λευκόν. ἢ μελίκρητον ἑφθόν. ὁκόταν δὲ ἄρξηται πῦα ἀποπτύειν, πινέτω τὰ αὐτὰ, ἃ καὶ ὁ πρόσθεν ἔμπυος. καὶ σιτίοισι καὶ ποτοῖσι καὶ ὄψοισι τοῖς αὐτοῖς χρέεσθω, ἀπεχόμενος ὀξέων, καὶ δριμέων, καὶ ἁλυκῶν, καὶ λιπαρῶν, καὶ λαγνείης, καὶ θωρηξίων, ἢν μὴ τῇ νόσῳ προσφέρῃ. ἐς χρῶμα δὲ ὁρέων, μελετᾶν, ὁκοίων δὴ τινων δοκέει σοι δεῖσθαι. τὰ δὲ ἄλλα τὰ αὐτὰ ποιείτω. πινέτω δὲ καὶ γάλα βοὸς καὶ αἰγὸς τὴν ὥρην. πρόσθεν δὲ ὑποκαθαρθήτω γάλακτι ὀνείῳ ἑφθῷ. πινέτω δὲ καὶ τὸ ἵππειον γάλα σεσακκισμένον ἑκάστης ἡμέρης ἕωθεν τρικότυλον κύλικα, ἢν ᾖ δυνατός. ἢν μὲν οὕτω μελετώμενος ῥηΐσῃ, ἅλις. καὶ ἢν μὴ ῥαγῇ τὰ πῦα ἐς τὰ στήθεα, αὐτὸς ἑωυτὸν θεραπευέτω ἡσυχίην ἔχων τῷ σώματι ὡς μάλιστα, καὶ τὰ ξύμφορα προσφέρων ἑωυτῷ. ἢν δὲ ῥαγῇ τὰ πῦα ἐς τὰ στήθεα, ὅπῃ ἂν σοι δοκέῃ ἀποσημαίνειν, ἐκεῖσε μάλιστα ταμὼν ἢ καύσας, ἀφιέναι τοῦ πύου ὀλίγον τὸ πρῶτον. τὰ δὲ ἄλλα ποιέειν τὰ αὐτὰ, ἃ καὶ ἐπὶ τοῦ πρόσθεν ἐμπύου γινομένου γέγραπται. Ἢν ἐν πλεύμονι κιρσὸς ἐμφύηται, βὴξ ξηρὴ ἐπιλαμβάνει, καὶ ῥῖγος, καὶ πυρετὸς κατ᾽ ἀρχὰς μὲν τῆς νόσου, πάνυ σφόδρα. ἔχει δὲ καὶ ὀρθόπνοιη. καὶ ἐν τῇ κεφαλῇ ἐνέστηκε. καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι. καὶ οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον, καὶ ἐς τὰ στήθεα, καὶ ἐς τοὺς πόδας. πολλάκις δὲ καὶ ἐς τὴν κεφαλὴν ἐρείδει. καὶ ὑπὸ τῆς ὀδύνης ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορᾶν. τό, τε σῶμα ὕπωχρος. καὶ αἱ φλέβες δι᾽ αὐτοῦ τείνουσιν, ἢ φλόγιαι, ἢ μέλαιναι. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καὶ ὁ πόνος μάλιστα πιέζῃ, πρῶτον μὲν αἷμα ἀφαιρέειν. ἔπειτα λούειν πολλῷ καὶ θερμῷ. καὶ ὁκόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς ἡδίστῳ ἴσον ἴσῳ κεράσας. ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν. ῥοφήμασι χρέεσθαι πτισάνης χυλῷ καθεφθῷ, μέλι χρηστὸν παραχέας. Ταῦτα χρὴ προσφέρειν ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων τῇσι τεσσαρεσκαίδεκα. ἢν δὲ ἐπὶ πλέον ἡ νοῦσος ἔχῃ, ὅ, τε πόνος πλείων ᾖ ἐν τῷ σώματι, καὶ ἀδυναμίη ἐνῇ. τούτῳ δὴ οὕτως ἔχοντι, ταῦτα προσφέρειν, ἃ καὶ ἐν τῷ πυοῦντι τὸν πλεύμονα, ὁκόταν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης. Ὁκόταν τὰ κοῖλα φλέβια τὰ τείνοντα ἐν τῷ πλεύμονι, πλησθῇ αἵματος ἢ χολῆς μελαίνης, ξυρρήξηται τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσι καὶ ἐπειλημμένα, καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ πλεύμονι. αὕτη ἡ νοῦσος χαλεπή. καὶ θεραπείης δεομένη πολλῆς. εἰ δὲ μὴ, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα. καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει. Ἢν φλεγμονὴ ἐν πλεύμονι γένηται, γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης ἰχθύων κεφάλων, καὶ ἐγχελύων. Ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν τοῦ ἀνθρώπου.

Ἢν δὲ τὸ νόσημα ἐληλύθῃ ἀπὸ φλέγματος, ὁκόταν μιχθῇ τῷ αἵματι, ἐπιρρυῇ ἐπὶ τὸν πλεύμονα. προσπίπτει δὲ καὶ ἐκ κρεοφαγίης, καὶ ἐξ ὑδάτων μεταβολῆς. τάδε οὖν πάσχει. βήσσει ἰσχυρῶς: καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν καὶ πολλόν. πολλάκις δὲ καὶ παχὺ καὶ λευκόν, [14] οἷον ἀπὸ βράγχου. καὶ ὀδύνη πιέζει ὀξείη, ἐς τὰ στήθεα, καὶ τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰ πλευρά. καὶ ἐρυγγάνεται ὀξύ. καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων, [15] οἷον γαστὴρ βυλλίζει. καὶ ἐμέει λάπην ὀξείην. καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς χαμαί, ζέει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέοντι. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρή. καὶ ἤν τι θέλῃ λιπαρὸν φαγέειν, μύζει περὶ τὰ σπλάγχνα, καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκη ἔχει, ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι. ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γένηται, βρέμει ἡ κοιλίη, καὶ στρέφει, καὶ βορβορύζει. τοῦτον ὁκόταν οὕτως ἔχῃ καὶ δοκέῃ καιρὸς εἶναι, προσφέρειν ὧδε μελέτην. μίξας μέλι, καὶ γάλα, καὶ ὄξος, καὶ ὕδωρ, ταῦτα ἐγχέας ἐς χυτρίδα χλιαίνειν. καὶ ὀριγάνου κλωνίοισι τοῦ κεφαλοειδέος ταράσσειν. ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν. ἢ λαβόμενος τῆς γλώττης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος. εἶτα κελεύειν συνειληθέντα ἡσυχίην ἔχειν. ἔπειτα ἢν ἔμετος ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως. ἢν δὲ μὴ ἐπέλθῃ, [16] καταματευόμενος πτερῷ, ἐμεέτω· καὶ ἤν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ ποιεέτω. ῥάων γὰρ ἔσται οὕτω ποιῶν. πινέτω δὲ τοῦτο γυμνασάμενος ἢν οἷός τε ᾖ, καὶ λουσάμενος πολλῷ θερμῷ. ἢν δὲ μή, ἀλλὰ λουσάμενος. ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρῴιος νῆστις πινέτω [17] ἐν μελικρήτῳ ἢ οἰνομέλιτι ὀποῦ σιλφίου ὁκόσον ὄροβον· καὶ σκόροδον τρωγέτω, καὶ ῥαφανίδας νῆστις. καὶ ἄκρητον οἶνον ἐπιρροφανέτω μέλανα, ἢ λευκὸν αὐστηρόν. πινέτω δὲ καὶ ἐπὶ σίτῳ, καὶ μετὰ τὸν σῖτον. σιτίοισι δὲ ξηροῖσι καὶ κρέασι κυνείοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. οὗτος ἢν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηταί τι, ἢν δὲ μή, ἄνω αὐτὸν καθαίρειν ἐλλεβόρῳ. μετὰ δὲ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν, μέλι παραχέας. οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα. [18] ἢν δὲ μὴ κατ' ἀρχὰς παραλύηται τῇ νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη. ἢν δὲ μὴ καυθῇ, ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ' ἕως γήρως προσέχει. πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ. ἀλλὰ χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης. καὶ ὀρρὸν καὶ γάλα τὴν ὥρην πινέτω βοός, καὶ αἰγός, καὶ ὀνείου, καὶ ἱππείου. οὕτω γὰρ ἂν ῥήϊστα διάγοι. ἡ δὲ νοῦσος χαλεπή. Ἐὰν πλεύμων ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ. τόδε τὸ οἴδημα μάλιστα ἀπὸ αἵματος γίνεται, ὅταν ἐς ἑωυτὸν ὁ πλεύμων ἑλκύσῃ αἷμα καὶ ἔχῃ ἀναλαβών. τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. τάδε οὖν ἀπ' αὐτοῦ πάσχει. βὴξ ἐμπίπτει ξηρή. καὶ ῥῖγος. καὶ πυρετός, καὶ ὀρθόπνοιη. καὶ ὁ πόνος ἰσχυρὸς ἐν τοῖσι στήθεσι. [19] καὶ τὰς ἀνοίγει, ὡς ἵππος δραμών. καὶ τὴν γλῶτταν ἐξαίρει, ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος τοῦ ἐν τῷ καύματι καιόμενος. καὶ οἴδημα κατέχει τὰ στήθεα,

Iam verò ortum habuit hic morbus ex pituita, cùm sanguini permixta ad pulmonem affluxerit. Incidit etiam ex carnis esu, & aquæ mutatione. Hæc igitur ei contingunt. Vehementer tussit, & sputum liquidum & copiosum expuit, plærunque etiam crassum & album, velut ex raucedine. Dolor acutus vexat in pectore, dorso, laterum inanitatibus & costis acidum eructat, & ex pectore ac pulmonibus velut ex ventre quid murmurat, pituitam acidam vomit, sique quod vomitione reiectum est in terram effundas, eam tanquam infusum acetum radit, & dentes stupescunt. Rigor, febris, & sitis vehemens detinet, & si quid pingue comedere velit, in visceribus strepitus editur, vomitus cietur, & totum corpus torpor occupat. Vbi verò euomuerit, paulò meliùs habere videtur, deinde sub vesperam diei, venter strepit, contorquetur, & murmur edit. Huic cùm sic habuerit & tempestiuum videbitur, curationem istam adhibeto. Mel, lac, acetum, & aquam simul mixta & in ollam infusa tepefacito, & origani capitati surculis agitato, tepefactum potui exhibeto, aut apprehensa lingua sensim per fistulam infundito, deinde vestibus conuolutum quietem agere iubeto. Postea si ei vomitus incidat, promptè vomat, quòd si non incidat, ex leui per pennam attrectatione vomat, & si quid pituitæ vomuerit, idem per dies quinq; facito. Sic enim meliùs habebit. Hoc autem post exercitationem si possit, bibat, & post calidæ multæ balneum, sin minùs, saltem post balneum. Vbi verò dies quinque præterierint, mane ieiunus ex aqua mulsa, aut mulso, laseris succum orobi quantitate bibat, & allium ac radiculas ieiunus edat, & vinum merum nigrum, aut album austerum insuper sorbeat. Bibat autem cum cibo & post cibum. Cibis autem siccis & carnibus catulinis coctis vtatur, si rigor & febris non prehenderit. Hic si ex eiusmodi in os infuso aliquantulum purgetur, sat est, sin minùs eum sursum per veratrum purgato. Post purgationem verò, farinæ coctæ melle affuso duo acetabula sorbenda dato, & vinum idem aquosum bibat. Quòd si per initia morbi curationi non adfueris, vbi eum lacte crassiorem reddideris, in pectore & dorso inurito, sic enim præcipuè morbo liberari poterit. At nisi vstus fuerit, permanet, neque ferè deserit, sed ad senium vsq; perseuerat, plærunque verò ad mortem vsque comitatur, nisi primis quadraginta diebus intereat. Verùm quàm maxima diligentia opus est, & serum ac lac bubulum, caprinum, asininum & equinum, si tempus ferat, bibat. Sic enim facillime vitam degere poterit. Hic autem morbus difficilis est. Si pulmo ex erysipelate in tumorem sublatus fuerit, qui tumor potissimùm ex sanguine oritur, cùm pulmo attractum ad se sanguinem receperit ac cõtinuerit. Hic autẽ morbus potissimùm æstatis tempore cõtingit. Hęc igitur ex eo patitur, tussis sicca accidit, rigor, febris, & erectæ ceruicis spiratio, dolor vehemens in pectore, nares nõ aliter quàm equus ex cursu aperit, linguamq; vti canis æstate animæ ardore incensus exerit, tumor pectus occupat,

vox parua, rubor in facie, pruritus toto corpore, præ dolore decubitum ferre non potest, sed præ anxietudine seipsum disiicit. Hic intra diem septimum perit. Per initia tamen cùm sic habuerit his curandus est. Betis aqua frigida imbutis & corpori adhibitis, corpus quidem refrigerato, recenti præcipuè dolore, aut lintea aqua frigida intincta & expressa admoueto. Et si quidem sic morbus habuerit, satis est. Sin minùs, terram figulinam frigidam ex cataplasmate imponito, & sub dio dormiat. Hoc enim modo curatus, crebrò septimum diem euadet. Cùm verò septem dies præterierint, & perseuerauerit dolor, dolentem intus partem oleo linito, eadémque præcipuè tepefactoria quæ in morbo laterali adhibeto. Et potionem ei ex peplio, & peplo, & grano cnidio, ad purgationem propinato. A purgatione lenticulæ acetabulum sorbendum dato, & aquam bibat. Postero verò die ipsum multa calida, capite excepto, lauato, deinde origanum aqua mulsa maceratum propinato, potionibúsque quam calidissimis vtatur. Cibi iidem qui morbo laterali correpto exhibeantur, nisi febris detineat. Hic morbus grauis & ex quo pauci euadunt. Si pectus & dorsum dirupta fuerint, disrumpuntur autem potissimùm ex vehementi labore, hæc ei contingunt. Tussis acuta detinet, interdum subcruentum sputum expuit, crebrò rigor & febris inuadit, in pectore & dorso dolor est acutus, lateri lapis incumbere videtur, & à dolore vsque stimulatur, non secus ac si quis acu pungat. Hunc cùm sic habuerit, confestim lacte impinguatum, in pectore & dorso inurito, & sic citissimè sanus erit. In reliquo verò quieto maximè corpore viuat. Si quid enim laborarit, aut in currum, aut in equum ascenderit, aut humeros oneri suppositos fatigarit, periculum erit ne rursus morbus reuertatur. Quòd si contingat, periculum est ne corrumpatur. Morbus enim reuersionem faciens magis quàm ab initio vrget. At si vstus non fuerit, iisdem sorbitionibus, potibus & cibis quibus purulentum curato. Ad summum, quietem agens accommodatis cibis vescatur. Sic enim curatus citissimè conualescet. Morbus autem grauis est. Si in latere tuberculum oriatur, & purulentus euadat æger, hæc patitur. Rigor, febris, & tussis sicca multos dies detinet, latus dolet, dolórque ad mammam, iugulum & scoptula operta impetu fertur. Hic cùm sic habuerit, primis decem diebus sorbitionibus vtatur, ptisanæ cremore percocto, affuso melle, vbi sorbitio cocta fuerit. Vino verò vtatur albo, dulci, aut austero, aut aquoso. Et crebrò vinum sorbentem expuere iubeto, somnúmq; donec vndecim dies præterierint, ꝓhibeto. Post quos dies cibis quàm maximè paucis vtatur, carnibus catulinis aut gallinaceis calidis ex iusculo probè apparatis, & iusculũ sorbeat. Sorbitionibus ante cibum vtatur, neque sitiat quoad latus suppuratũ euaserit. Suppuratur autẽ ferè diebus quadraginta aut paulò ante. Suppuratũ latus dignoscas vbi neq; pus expuerit, neq; vomitione reiecerit.

καὶ φθέγγεται βραχέως. καὶ ἐρύθημα ἐν τῇ ὄψει. καὶ κνησμὸν φέρει ἐν τῷ σώματι. καὶ ὑπὸ τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ' αὐτὸς ἑωυτὸν ῥιπτεῖ ἀλύων. οὗτος ἐν ἑπτὰ ἡμέρῃσι θνήσκει. ἢν δὲ κατ' ἀρχὰς ὁκόταν ὧδε ἔχῃ, ἰᾶσθαι. ἐν τεύτλοισι ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς πόνον νέον. ἢ ῥάκια βάπτων ἐν ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. κἢν μὲν οὕτω ῥηΐσῃ, ἢν δὲ μὴ,[20] κεραμικῇ γῇ ψυχρῇ καταπλάσσειν. καὶ ἐν τῇ αἰθρίῃ κοιμᾶσθαι.[21] οὕτω δὲ μελεδωνώμενος, πολλάκις ἂν φύγῃ τὰς ἑπτὰ ἡμέρας. ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἡ ὀδύνη προσέχῃ, χρίειν ἐλαίῳ τὸ πονέον μέρος ἔσω. καὶ χλιάσματα μάλιστα προστιθέναι τὰ αὐτὰ, ἃ καὶ τῇ πλευρίτιδι. καὶ πίσαι αὐτὸν ἐς ὑποκάθαρσιν τοῦ πεπλίου, καὶ τοῦ μηκωνίου, καὶ τοῦ κόκκου τοῦ κνιδίου. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι. πινέτω δὲ ὕδωρ. τῇ δὲ ὑστεραίῃ, λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς. ἔπειτα πίσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας. ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρεέσθω. σιτία δὲ προσφερέσθω, τὰ αὐτὰ ταῦτα, ἃ καὶ ὁ ὑπὸ τῆς πλευρίτιδος ἐχόμενος, ἢν μὴ πυρετὸς προσίσχῃ. αὕτη ἡ νοῦσος χαλεπὴ καὶ παῦροι ἐκφυγγάνουσιν. Ἢν δὲ στῆθος καὶ τὸ μετάφρενον ἀναρραγῇ. ἀναρρήγνυνται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης, καὶ τάδε πάσχει. βὴξ ἴσχει ὀξεῖα. καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλά, καὶ ἐν τῷ στήθει, καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξείη ἔνεστι, καὶ τῇ πλευρῇ δοκέει οἷον λίθος ἐγκέεσθαι.[22] καὶ κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερέως, ὡς εἰ βελόνη τις κεντοίη. τοῦτον ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα[23] γάλακτι πιήνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. καὶ οὕτω τάχιστα ὑγιὴς ἔσεται. τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα διαιτήσθω. ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἅμαξαν ἀναβὰς, ἢ ἐφ' ἵππον, ἢ τοῖς ὤμοισιν ἀχθοφορέων ταλαιπωρήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος. καὶ ἢν γένηται, κίνδυνος διαφθαρῆναι. ἡ γὰρ νοῦσος ἡ ὑποστραφεῖσα μᾶλλον πιέζει ἢ κατ' ἀρχάς. ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν αὐτὸν ἰᾶσθαι οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτήμασι καὶ σιτίοισι. τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα διαχρέεσθαι τοῖσιν ἐπιτηδείοισιν. ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσεται. ἡ δὲ νοῦσος χαλεπή. Ἢν ἐν πλευρῇ φῦμα φύηται καὶ ἔμπυος γένηται, τάδε πάσχει. ῥῖγος ἴσχει καὶ πυρετὸς. καὶ βὴξ ξηρὴ, πολλὰς ἡμέρας, καὶ ἀλγέει τὸ πλευρὸν καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. οὗτος ὁκόταν οὕτως ἔχῃ ἐν μὲν τῇσι πρώτῃσιν[24] ἡμέρῃσι δέκα, ῥοφήμασι χρεέσθω. πτισάνης χυλὸν καθεφθῶν, μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ ῥόφημα ᾖ. οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ, ἢ αὐστηρῷ, ὑδαρεῖ. καὶ ῥοφέοντα πλεονάκις τοῦ οἴνου, ἐκπτύειν κελεύειν. καὶ τοῦ ὕπνου κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν. μετὰ δὲ ταύτας τὰς ἡμέρας, σιτίοισιν ὀλιγίστοισιν ὡς μάλιστα χρεέσθω. κρέασι σκυλακείοισιν, ἢ ἀλεκτρυονίοισι θερμοῖσι. διαζωμεύεσθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥοφανέτω. καὶ τοῖσι ῥοφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου. καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ πλευρόν. πυΐσκεται δὲ μάλιστα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν. τοῦτο δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρόν. πύον γὰρ οὐκ ἀποπτύεται, οὐδὲ αἱμέεται.

τοῦτο

τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημαίνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν. ἔπειτα, ἀφιέναι τὸ πύον κατ' ὀλίγον, καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου. καὶ αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύου. ἔπειτα, μοτῶσαι. καὶ αὖθις τῇ τρίτῃ, καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι, δὶς τῆς ἡμέρης ἀπαρύειν, ἕως ἂν ξηρανθῇ. διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσδέηται. καὶ πινέτω ὀλίγον μὴ πολλὸν, ἤν τε οἶνον, ἤν τε ὕδωρ. τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς, ὡς πλεῖστον ἐς μέλι ἀποβάπτων. ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὐτὴν λεπτὴν ποιήσας ἐς τὸ μέλι τε μίξας, λείχειν διδόναι ὡς πλείστην. καὶ μηδὲ ῥιγούτω. καὶ τοῖσι λουτροῖσι λούσθω. καὶ μαλθακῶς κοιμάσθω. οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις. ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος, τὸ θάλπος, τὸν ἥλιον. καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω, μετὰ τὸν σῖτον, ὅκως ἂν μὴ κόπος λάβῃ τὸ σῶμα. ταῦτα ποιέων, ὑγιὴς ἔσται. τούτων τῶν νούσων ἃς ἂν καύσῃς, [25] ἐπὶ τὰ καύματα πράσα τρίψας πολλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν, καὶ καταλιμπάνειν μίαν ἡμέρην. Τρεῖς δὲ εἰσὶ φθίσιες. πρώτη αὕτη μὲν γὰρ ἀπὸ φλέγματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πλησθεῖσα, νοσήσῃ καὶ θέρμη ἐγγένηται, συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι, ὥστε ὑποχωρῆσαι. ἔπειτα ὁκόταν παχυνθῇ καὶ συσσαπῇ καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγγίνεται. καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλμυροῦ ἐόντος καὶ σαπροῦ. πάσχει δὲ τοιάδε. πυρετὸς δέχεται βληχρὸς ἐπιλαμβάνειν, καὶ ῥῖγος, καὶ πονέει τὰ στήθεα, καὶ τὸ μετάφρενον. ἐνίοτε δὲ βὴξ πιέζει ὀξείη. καὶ ἀποπτύει τὸ σίαλον, πουλὺ, καὶ ὑγρὸν, καὶ ἁλμυρόν. ταῦτα μὲν κατ' ἀρχὰς τῆς νούσου πάσχει. προϊούσης δὲ, [26] τό τε γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων. ταῦτα δὲ οἰδέει. καὶ οἱ πόδες, καὶ οἱ ὄνυχες ἕλκονται. ἐκ δὲ τῶν ὤμων λεπτὸς, καὶ ἀσθενὴς. [27] ὁ φάρυγξ, ὡς χνόου πίμπλαται. καὶ συρίζει ὡς διὰ καλάμου. καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος. καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτοῦ φθειρόμενος φαῦλος θνήσκει. μελετᾶν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν. πρῶτον μὲν πῖσαι ἐλλέβορον. κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ. ἢ πεπλίῳ. ἢ τῷ κόκκῳ τῷ κνιδίῳ. ἢ τῇ τιθυμαλλίδι. ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν, ἢ βόειον. ἢ αἴγειον. πινέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον. τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. σιτία δὲ καὶ ὄψα διδόναι μήτε λιπαρὰ, μήτε κνισώδεα, μήτε λίην δριμέα. τεκμαιρόμενος δὲ τὸ νούσημα, ταῦτα ποιέειν δεῖ. καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία τεκμαιρόμενος μὴ ῥιγῶν. τοῦ δὲ χειμῶνος, παρὰ πυρὶ τὴν οἴκησιν ποιεέσθω. οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. κἢν δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον.

Hunc cùm sic habuerit, vbicunque tumor de se significationem ediderit, secato aut inurito, deinde pus paulatim emittito, & postquam exhauseris, linamentum ex lino crudo imponito, quo postridie rursus educto, pus sensim exhaurito, mox linamento indito, rursus tertio die cæterisque diebus, bis die donec exiccatum fuerit extrahito. Et cibos & opsonia cùm receperit exhibeto, parum non multum, siue vinum, siue aquam, bibat. Origanum verò tenellum quàm plurimum melle intinctum edat. Quòd si tenellum non habeat, sed siccum, tritum & melle admixto læuigatum quàm plurimum exhibeto. Frigus non sentiat, balneis lauet, & molliter dormiat. Hunc morbum si sic curaueris, citissimè sanaueris. Cùm verò sanus euaserit, frigus, calorem & solem vitet, & modicis deambulationibus vtatur post cibum, vt ne corpus lassitudine teneatur. Quæ cùm fecerit conualescet. Ex his morbis quibus vstionem adhibueris, statim post vstionem porrum multum tritum loco inusto ex cataplasmate imponito, & diem vnum sinito. Tabis tres sunt species. Prima ipsa quidem ex pituita oritur, cùm caput pituita plenum morbo affectum fuerit, & calor intus subortus fuerit, in capite pituita computrescit, vt quæ moueri nequeat, vt secedat. Deinde cùm crassiores venulæ redditæ fuerint, computrefactæ & supra modum impletæ, fluxio in pulmonem contingit, quam vbi pulmo susceperit, confestim morbo afficitur, cùm à pituita salsa & putrida mordeatur. Hæc igitur patitur. Febris lenta initio inuadit, & rigor, & pectoris ac dorsi dolor, interdum verò vehemens tussis vrget, & sputum copiosum, liquidum & salsum expuit. Et hæc quidem per morbi exordia contingunt, in progressu verò totum corpus extenuatur, exceptis cruribus. Hęc autem intumescunt, & pedes vnguesque contrahuntur, ab humeris extenuatur & debilitatur. Fauces sono implentur, & velut per arundinem sibilum reddunt, sitis vehemens per totum morbum vexat, multaque mouendi impotentia corpus occupat. Hic vbi ad hunc habuerit modum, intra annum mala tabe perit. Quàm maxima autem cura adhibenda est, vt vires reficiantur. Primùm quidem veratrum propinandum, & per inferiora purgandum epithymo, aut peplio, aut grano cnidio, aut tithymalide. Eaque quater in anno exhibenda sunt, bis sursum, bis deorsum. Lac etiam asininum coctum, aut bubulum, aut caprinum, vt aliquantulum purgetur exhibeto. Lac etiam bubulum crudum, aquæ mulsæ tertia admixta parte bibat, per dies quadraginta quinque, vnà etiam admixto origano. Eius autem caput, admoto ad nares medicamento, priùs purgato. Cibaria & opsonia neque pinguia, neque nidorulenta, neque valde acria exhibeto. Hæc autem morbi consideratione adhibita faciēda, & ad cibos deambulationibus vtendum, adhibita ratione, ne frigeat. Per hyemē verò iuxta ignē in mansionē faciat. Vinum bibat austerū, nigrum quàm vetustissimum & suauissimum, sed modicum. Quòd si tibi videatur, ante medicamentum fomentum admoueto, & ad hunc modum medicamentū exhibeto.

Si verò exhibere nolis, post adhibitum fomentum, vomitum ex cibis, velut ante scriptum est, promoueto. Deambulationibus, si conferant, vtatur. Quòd si non contulerint, corpus quàm maximè quiescat. Hic ad hunc modum curatus, per morbum facillimè deget. Morbus autem lethalis est, ab eaque pauci euadunt. Tabes altera ex vehementi labore oritur. Eadem vt plurimùm quæ prior patitur. Hic verò morbus priore magis intermittit, & per æstatem remittit. Sputum crassius quidem priore expuit, & tussis senes præsertim vrget, & dolor in pectore vehementior, eique velut lapis incumbere videtur. Dolor etiam dorsum occupat, eiusque color nimio humore permadescit, & si quid laborarit, flatus & anhelatio detinet. Hic ex hoc morbo in tribus ferè annis moritur. Iisdem verò quibus etiam priorem curato. Hic morbus multis ad tres annos perseuerat, verùm moriuntur, est enim grauis morbus. Tabes tertia, ex qua hæc contingunt. Eius spinalis medulla sanguine plena existit. Tabescit etiam eodem modo à venis cauis, quæ pituita aquæ speciem referente, & bile implentur. Eadem autem patiuntur ex quibuscunque tabes contingat. Homo confestim niger & subtumidus euadit, partes sub oculis cauæ (ὑπόπυα dictæ), pallidæ sunt, venæque per corpus distentæ pallidæ, quædam verò valdè rubræ sunt, præsertim tamē manifestæ apparent sub axillis, pallidum expuit, cumque ei ingruit, suffocatur, interdumque cùm tussire vult, non potest, interdum verò ex strangulatu & tussiendi cupiditate copiosam bilem euomit, quandoq; etiam pituitam, plærunq; verò etiam cibos cùm comederit. Cumque vomuerit, leuior videtur, deinde rursus pauco interiecto tempore, iisdem affligitur doloribus. Hic acutiùs quàm cùm sanus esset loquitur, rigor & febris cum intermissione & sudore inuadit. Hunc cùm ad hunc modum habuerit, cibis, sorbitionibus, potionibus, medicamentis, cæterisque omnibus quibus priores curato. Hic autē morbus ferè annos nouē perdurat, deinde contabescēs perfert, pauci verò ex eo euadunt, cùm sit grauis morbus. Quòd si voles eum hunc in modum curato. Primùm quidem fomentum adhibeto, eoque adhibito, postridie aquæ mulsæ semicongium, pauco aceto affuso potui exhibeto, idque vnico spiritu bibere iubeto. Deinde multis eū stragulis diutissimè cōuoluito. Quòd si non perferat, sed vomere velit, euomat. Si verò post aliquod tempus vomitus non detineat, aquæ tepidæ magno calice insuper ebibito, ex leui per pennam attrectatione vomat. A vomitu cùm bene habuerit, per hunc diem quiescat. Cœnę tempore, mazam paucam in cœna sumat, salsamento & porro pro opsonio vtatur, quæ quàm plurima edat, vinūq; dulce bibat. Reliquo verò tempore toto die statim prima luce multa calida lauet, & post balneum frigus vitet, verùm decumbens diutissimè dormiat. Expergefactus à somno, eo die viginti stadia, vt minimùm, obambulet.

ἢν δὲ μὴ βούλῃ διδόναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς καὶ πρόσθεν γέγραπται. τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω· ἢν δὲ μὴ ξυμφέρωσιν, ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. οὗτος οὕτω μελετώμενος,[28] ῥήϊστα ἂν διάγοι τῷ νουσήματι. ἡ δὲ νοῦσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσι. Φθίσις δευτέρα. Γίνεται δὲ ἀπὸ ταλαιπωρίης. τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπὶ τὸ πλεῖστον, ἃ καὶ ὁ πρόσθεν. ἡ δὲ νοῦσος διαπαύει αὕτη μᾶλλον τῆς προτέρης.[29] καὶ τοῦ θέρεος ἀνίησι. τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν τῆς πρόσθεν. καὶ βὴξ πιέζει μάλιστα τοὺς γεραιούς, καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι. καὶ δοκεῖ οἷόν περ λίθος ἐν αὐτοῖσιν ἐγκέεσθαι. πονεῖ δὲ καὶ τὸ μετάφρενον. καὶ ἡ χροιὴ διύγρος αὐτέου ἐστί. καὶ ἤν τι πονήσῃ, φῦσα καὶ ἆσθμα ἴσχει. οὗτος ἐκ ταύτης τῆς νούσου, ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. μελετᾷν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. αὕτη ἡ νοῦσος παρέχει τοῖσι πολλοῖσι, μέχρι τριῶν ἐτέων, ἀλλ' ἀποθνήσκουσι. ἡ γὰρ νοῦσος χαλεπή. Φθίσις τρίτη. Ὑπὸ ταύτης, τάδε πάσχει. ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος, αἵματός τε μεστὸς γίνεται. φθίνει δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν. αὗται δὲ φλέγματος ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς.[30] πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ' ὁκοτέρων ἂν φθίνῃ. καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίνεται καὶ ὑποιδαλέος. καὶ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ὑπόπυα, ὠχρά. καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι, ὠχραὶ διατετάνυνται. ἔνιαι δὲ σφόδρα ἐρυθραί. μάλιστα δὲ δῆλαι, αἱ ὑπὸ τῇσι μασχάλῃσι. καὶ ἀποπτύει ὠχρά. καὶ ὅταν αὐτέῳ ἐπίῃ, πνίγεται, καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος. ἐνίοτε δὲ ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν, ἀθρόον ἤμεσε χολήν. ποτὲ δὲ λάπην. πολλάκις δὲ, καὶ τὰ σιτία, ὅταν φάγῃ. καὶ ὁκόταν ἀπεμέσῃ, δοκεῖ κουφότερος εἶναι. εἶτ' αὖθις ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι κέεται. οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων. καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων, ἐπιλαμβάνει ἱδρώδης. τοῦτον ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ ῥοφήμασι, καὶ ποτοῖσι, καὶ φαρμάκοισι, καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετᾷν, ὥσπερ τοὺς πρόσθεν.[31] ἡ δὲ νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθεόμενος. παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς. χαλεπὴ γὰρ ἡ νοῦσος. ἢν δὲ βούλῃ, ὧδε ἰᾶσθαι αὐτόν. πρῶτα μὲν πυριῆσαι. καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ διδόναι αὐτῷ πίνειν, μελίκρητον ἡμίχουν καὶ ὄξος παραχέαι ὀλίγον.[32] καὶ κέλευε ἀπνευστὶ τοῦτο πίνειν. ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν, πολλὰ καὶ ὡς πλεῖστον χρόνον. ἢν δὲ μὴ ἀνέχηται ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω. ἢν δὲ μὴ ἔμετος ἔχῃ χρόνου ἤδη γινομένου, ἐπιπιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐμεέτω καταματώμενος πτερῷ. ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. ὁκόταν δὲ ὥρη δείπνου ᾖ, δειπνεέτω μάζαν ὀλίγην. καὶ ὄψον ἐχέτω, τάριχος καὶ πράσα. ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα. οἶνον δὲ πινέτω γλυκύν. τὸν δὲ λοιπὸν χρόνον, λουέσθω πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ. καὶ μετὰ τὸ λουθῆναι, φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς, εὑδέτω ὡς πλεῖστον χρόνον. ὁκόταν δὲ ἀναστῇ εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον, ταύτῃ τῇ ἡμέρῃ.

τῇ δὲ

τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι, πέντε σταδίους ἄλλους προσβάλλων βαδιζέτω ἑκάστης ἡμέρης προσελθὼν, ἄχρις ἂν ἀφίκηται εἰς τοὺς ἑκατὸν σταδίους. τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων, καὶ ἀπὸ κράμβης, χοεῖς ἑκάτερα ἑψήσας, ἀπηθῆσαι χωρὶς ἑκατέρου. εἶτα ξυμμίξας ἅμα,[33] ξυνεψεῖν τὸ στέαρ, τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς· ἐν ἀμφοτέροισιν ἑψῆν διελών. ὁκόταν δὲ μέλλῃ πίεσθαι πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν, ἅλας παραβαλεῖν· πρὸς δὲ τὸν τῶν τεύτλων, μέλι παραχέειν.[34] ἔξον δὲ χοεῖς ἑκάτερον πίνειν, ἢ μέλι παραχέας πρὸς τὴν ἑτέρην κύλικα, πίνειν· πρὸς δὲ τὴν ἑτέρην, ἅλας. ἐκπίνειν δὲ χρὴ πάντα τὸν χυλόν. ταῦτα μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας. τῷ δὲ δευτέρῳ μηνὶ, ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς, ἑφθὰ, ἄλλο δὲ μηδέν. οἶνον δὲ πινέτω λευκὸν, αὐστηρόν. καὶ ὁδὸν ὁδοιπορεέτω, μὴ ἔλασσον σταδίων τριήκοντα, πρὸ τοῦ δείπνου, μετὰ δὲ τὸ δεῖπνον, δέκα. καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. ταῦτα ἢν ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. τῷ δὲ τρίτῳ μηνὶ,[35] κυκεῶνα ἀνθινὸν πινέτω. σελίνου ῥίζας, καὶ ἄνηθον, καὶ πήγανον, καὶ μίνθην, καὶ κορίανον, καὶ μήκωνας, ἁπαλὰς, καὶ ὤκιμον, καὶ φακὸν, καὶ ῥοιῆς γλυκείης, καὶ οἰνώδεος χυλόν. εἶναι δὲ χρὴ τῆς γλυκείης, διπλασίας. εἶναι δὲ χρὴ καὶ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον, καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον, καὶ ὕδατος κοτύλης ἥμισυ.[36] ἔπειτα ἄνθεα τρίψας λεῖα, διεῖναι τούτῳ τῷ κεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα. ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον. καὶ ἄλφιτον ἴσον. καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι.[37] ταῦτα ξυγκυκήσας ἐκπιέτω. ἔπειτα διαλιπὼν ὀλίγον χρόνον, ἀριστάτω ἄρτον. καὶ ὄψον ἐχέτω, τέμαχος νάρκης, ἢ ῥίνης, ἢ γαλεοῦ, ἢ βατίδος. καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθά. καὶ παχυνέτω ἑωυτὸν, ἡσυχίην ἄγων ὡς μάλιστα. καὶ πυριῆν διὰ δεκάτης ἡμέρης ἐς ἑωυτὸν ἡσυχῇ. τῷ δὲ τετάρτῳ μηνὶ, πυριῆν διὰ πέμπτης ἡμέρης ἀτρέμα. καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον. ὄψα δὲ χρεέσθω, τυροῖσι καὶ κρέασιν ὀλίγοισιν, οἰοῖς ἑφθοῖσιν. ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται. ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς, τῇ πρώτῃ ἡμέρῃ, ἀπὸ δέκα σταδίων βαδιζέτω. καὶ καθ' ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι, καὶ περιπατεέτω τῆς ἡμέρης, ὀγδοήκοντα σταδίους,[38] μετὰ τὸ δεῖπνον, εἴκοσι. ὄρθρου, τριήκοντα. τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω, μάζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα. καὶ ὄψον ἐχέτω, σελάχια. καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων. ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος, καὶ ἐγχέλυος, καὶ μελανούρου. ἐσθιέτω δὲ νάρκην, καὶ ῥίνην, καὶ βατίδα, καὶ γαλεὸν, καὶ τρυγόνα, καὶ βατράχους. τῶν δὲ ἄλλων, μηδέν. ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα ἐπειδὰν θέλῃ καθευδῆσαι πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα. καὶ μεθ' ἡμέρην, τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. καὶ ὁδοιπορεέτω τῆς ἡμέρης, ἑκατὸν πεντήκοντα σταδίους.[39] μετὰ τὸ δεῖπνον, εἴκοσιν. ὄρθρου δὲ τεσσαράκοντα. οὗτος οὕτως θεραπευόμενος, γίνεται ἐν ἐνιαυτῷ ὑγιής. Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ, τὰ εἰς τὸν μυελὸν τείνοντα, καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου

Reliquis autem diebus, alia quinque superiecta stadia ambulet, quotidie addens, donec ad centum stadia peruenerit. Aluum autem in die aliquantulum purgare oportet, betæ & brassicæ succis vtrisque separatim coctis, ita vt vtriusque congio percolato, deinde admixto adipis ex renibus libræ quadrante & simul cocto, amborum coctionem diuidas, & vbi bibere volet, ad brassicæ quidem succum salem adiicias, ad betæ verò succum mel affundas. Licet autem separatim vtrunque bibere, aut melle ad alterum poculum affuso, bibere, ad alterum verò sale iniecto. Totum diem succum ebibere oportet, & hæc quidem triginta diebus facere. Mense autem secundo panem edat, & carnes suillas pingues coctas, aliud verò nihil. Vinum album austerum bibat, & ante cœnam non minùs quàm triginta stadia deambulet. Post cœnam verò, decem, neque frigeat, verùm vestibus cooperiatur. Quæ si fecerit, faciliùs morbum feret. At tertio mense cyceonem florulentum bibat, apij radices, anethum, rutam, mentham, coriandrum, papauer tenerum, ocimum, lentem, & mali punici dulcis ac vinosi succum. Sit autem dulcis duplum, & vtriusque succi simul heminæ dimidium, ac vini nigri suauis, austeri, heminæ dimidium, aquæ etiam hemina dimidia. Deinde flores leuiter tritos hoc permixto diluito, & in calicem infundito, postea iniecto farinæ acetabulo, & polentæ æquali mensura, caseique caprini veteris pari orobis portione, hæc simul commixta ebibat. Postea pauco tempore interiecto, panem in prandio sumat, & pro opsonio torpedinis frustulum, aut squatinæ, aut galei, aut raiæ. Et carnes suillas coctas edat, & quàm maximè quietem agendo crassiorem sese reddat, ac decimo quoque die sibi ipse placidè fomentum adhibeat. Quarto autem mense quinto quoque die leuiter foueatur, & quàm plurimum opsonium edat. Pro opsonio vtatur caseis & paucis carnibus ouillis coctis. Stadia velut antè dictum est, deambulet. Primo verò quarti mensis die, decem stadia ambulet, additione quotidie facta, donec ad stadia octoginta perueniat. Et per diem octoginta obambulet, ante cœnam triginta, post cœnam viginti, manè triginta. Reliquo tempore maza & pane victitet, vtraque comedens. Pro opsonio habeat pisces cartilaginei generis; & carnes omnes, præter bubulam & porcinam edat. Piscibus his abstineat, mugile, anguilla, & melanuro. Torpedinem autem edat, squatinam, raiam, galeum, pastinacam & ranas, præterea nullos. Quòd si hæc tibi innoxia videantur, cyceonem etiam bibat, posteaque cùm dormiturus est, vini nigri, suauis & veteris duarum heminarum calicem, & per diem eodem vino in cibo vtatur. Quotidie centum quinquaginta stadiorum iter conficiat, ante cœnam nonaginta, post cœnam, viginti, manè quadraginta. Hic sic curatus per annum conualescit. Medulla spinalis potissimùm resiccatur, cùm venulæ quæ ad eam tendunt obstructæ fuerint, quique à cerebro est

aditus. Ob corporis autem vitium ita afficitur & ægrotat. Reſiccatur etiam maximè ex actu venereo. Hæc igitur ei contingunt. Dolor acutus in caput irruit, in ceruicem, in lumbos, & lumborum muſculos, crurumque articulos, ita vt flectere nequeat, ſtercus per aluum non demittitur, ſed ſiſtitur, & vrinam non niſi ægrè reddit. Hic per morbi quidem exordia quietiorem vitam degit. Quantò autem longius tempus morbo acceſſerit, tantò maior omnia dolor occupat, & crura velut ab aqua intercute intumeſcunt, vlcera ex lumbis erumpunt, & alia quidem ſaneſcunt, alia verò proueniunt. Huic ita habenti hippophaës ſucco, aut grano cnidio caput purgato, primùm probè admodum foto corpore. Veſperi verò poſt purgationem, ptiſanæ duo acetabula, melle affuſo ſorbeat, vinum album, molle bibat. Poſtridie lactis aſinini decocti, melle affuſo, heminas octo ei ebibendas porrigito. Quòd ſi aſininum deſit, bubuli aut caprini decocti tres ſemicongios affuſo melle. Et ſi anni tempus ferat, lactis potu vtatur, per quinque ac quadraginta dies, cum lacte eruum aſſumens. Cibis & opſoniis quàm maximè aluum ſubducentibus vtatur, vinum bibat album, molle, Mendeſium. Cùm autem craſſiſſimus euaſerit, ad eius lumbos ex vtraque vertebrarum parte quatuor cruſtas inurito, & ad dorſum vtraque ex parte quindecim, & in ceruice inter magnos neruos, duas. Si enim vſtio probè tibi ceſſerit, ſanum reddes. Eſt autem morbus grauis. Quatuor ex renibus oriuntur morbi. In primo ſic æger affligitur, dolor acutus in renem, lumbos, & teſtem ad renis regionem ingruit, frequenter vrinam reddit, & paulatim vrina ſupprimitur, ſimulque cum ea arena egreditur, & cùm per vrinæ fiſtulam arena exit, vehementem in ea dolorem exhibet. Vbi verò cùm vrina exiit, remittit dolor, deinde rurſus iiſdem vexatur doloribus. Cùm autem vrinam reddit, colem præ dolore confricat. Plærique verò Medici cùm morbum non noſcant, ſi arenam videant, veſicam calculo laborare exiſtimant. Hæc autem minimè, ſed ren calculo laborat. Hic morbus ex pituita oritur, cùm eam ren in ſe receptam non rurſus dimittit, ſed illic in toſum indureſcit, fiuntque calculi parui, velut arena. Huic cùm ſic habuerit, ſcammoniæ ſucco, aut radice ipſa, totum corpus, priùs tamen adhibito fomento, aliquantulum purgato. Poſt hæc potionibus, eduliis & balneis curato, iiſdem medicamentis quæ in ſtranguria exhibentur. Cùm dolor vrget, multa calida lauato, & qua parte præcipuè dolor eſt, tepefactoria admoueto. Vbi verò intumuerit & extuberarit, ſub hoc tempus iuxta renem ſecato, & extracto pure, arenam medicamentis vrinam ciemtibus curato. Si enim ſectus fuerit, euadendi ſpes eſt, aliòqui morbus hominem ad mortem vſque comitatur. In ſecundo renum morbo, dolores quidem vehementes, velut in priore, vrgent. Oritur

ἔφοδος. διὰ κάκωσιν δὲ τοῦ σώματος, τάδε πάσχει καὶ νοσέει. αὐαίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. τάδε οὖν πάσχει. ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος. καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν. καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται. καὶ δυσουρέεται. ἔστι κατ' ἀρχὰς μὲν τῆς νούσου, ἡσυχέστερον διάγει. ὅκως δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον. καὶ 10 τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὕδερου. [40] καὶ ἕλκεα ἐκφλυνδάνει ἀπὸ τῆς ὀσφύος. καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται. τὰ δὲ ἄλλα, φύεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ καθῆραι τὴν κεφαλὴν, [41] τῷ ἱπποφαέος ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ, πυριήσας πρότερον τὸ σῶμα, εὖ μάλα. τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν, πτισάνης δύο ὀξύβαφα ῥοφεέτω μέλι παραχέας. οἶνον δὲ λευκὸν πινέτω, μαλθακόν. τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας ὀκτὼ κοτύλας ἐκπιεῖν. ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρία ἡμιχόεα, παραχέας 20 μέλι. καὶ τὴν ὥρην γαλακτοποτεέτω [42] ἐν ὀρόβῳ τῷ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω, ὡς διαχωρητικωτάτοισιν. οἶνον δὲ πινέτω λευκὸν μαλθακὸν Μενδήσιον. ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφὺν ἑκατέρωθεν τῶν σπονδύλων τέσσαρας ἐσχάρας. καὶ ἐς τὸ μετάφρενον, δεκαπέντε ἑκατέρωθεν. καὶ ἐς τὸν αὐχένα δύο, μεταξὺ τῶν τενόντων. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή. Αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. ἀπὸ τῆς πρώτης, τάδε πάσχει. ὀδύνη ὀξείη ἐμπίπτει εἰς τὸν 30 νεφρὸν, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρόν. καὶ οὐρέει πυκνά. καὶ στύφει κατ' ὀλίγον τὸ οὖρον. [43] καὶ ἅμα τῷ οὔρῳ προσέρχεται ψάμμος. καὶ ὁκόταν ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ. ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν. ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῆν τὴν κύστιν. καὶ ταύτην μὲν οὔ, τὸν δὲ νεφρὸν, λιθιῆν. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁ- 40 κόταν ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα, μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ. τοῦτο γίνεται λίθια λεπτὰ, οἷον ψάμμος. τοῦτον ὁκόταν οὕτως ἔχῃ τῷ ὀπῷ τῆς σκαμμωνίης, ἢ αὐτῇ τῇ ῥίζῃ πυριῆσαι. πρότερον δὲ ἅπαν τὸ σῶμα ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν, ἅλας δὲ παρεμβαλὼν, διδόναι πίνειν. μετὰ δὲ ταῦτα τοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι μελετᾶν, διδοὺς τὰ αὐτὰ ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν. καὶ ἐξελὼν τὸ πύος, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι. ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν· ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ συναποθνήσκει. Δευτέρη νοῦσος νεφρῶν. Αἱ μὲν ὀδύναι, ἰσχυρῶς πιέζουσιν ὡς ἐν τῇ προτέρῃ. γίνεται

δὲ ἐκ

δὲ τὸ νούσημα ἀπὸ ταλαιπωρίης. ὁκόταν ῥαγῇ τὰ φλέβια, τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. ἔστιν ὁκόταν ταῦτα πάθῃ· ἐξουρέει αἷμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ νουσήματος. [44] ἔπειτα πύον προϊόντος τοῦ χρόνου. ἔστιν ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται. ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν. ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρός, [45] ἀποιδέει παρὰ τὴν ῥάχιν, τοῦτον ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν. καὶ ἢν μὲν τύχῃς ταμών, τὸ διάχρημα ὑγιέα ποιήσεις. ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται εἴσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ. καὶ ἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πύα, ἐλπὶς ἐκφυγεῖν. ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, [46] κινδυνεύσει καταφθαρῆναι. μελετᾶν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν. καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. αὕτη δὲ ἡ νοῦσος χαλεπή. καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου φθίσιν νεφρῖτιδα κατέστησαν. Τρίτη νοῦσος νεφρῶν. Τὸ μὲν οὖρον προέρχεται, οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. γίνεται δὲ τὸ νούσημα, ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια συρρυῇ τὰ τείνοντα ἐς τὸν νεφρόν. καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν. ὑπὸ οὖν τῆς ἑλκώσιος, τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. αἱ δὲ ὀδύναι, ἔχουσιν ἐν τῇ ὀσφύϊ, καὶ ἐν τῇ κύστει, καὶ ἐν τῷ περινέῳ, καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ' ὀλίγον χρόνον. ἔπειτα ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου. καὶ ἐς τὸ λεπτὸν τῆς γαστρὸς ἔστιν ὅτε ὀδύνη ἐμπίπτει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην, ἐπιθύμῳ, ἢ τῆς σκαμμωνίης ῥίζῃ. πίνειν διδόναι τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα. καὶ ῥοφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας. καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω, ὡς διαχωρητικωτάτῃ. καὶ οἶνον πινέτω λευκὸν μενδαῖον μελίχρουν, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεκρημένον. αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει. καὶ τὴν ὥρην ὀρροποτεέτω, καὶ γαλακτοποτεέτω. ἐς κάθαρσιν μὲν τῷ ὀρρῷ, τὴν δὲ γαλακτοποσίην ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον. Τετάρτη νοῦσος νεφρῶν. Τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος. ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα. γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. ἔστι τάδε πάσχει. ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὴν ὀσφῦν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ παραπλήσια γυνὴ ὠδίνουσα. καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακεῖσθαι, ἀλλ' ἄγαν πονέει. καὶ τοῦ κενεῶνος δοκέει κατακρεμᾶσθαι ὡς ἀπορηγνύμενα. ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, οὐκ ἀλγέει. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι αὐτοῦ, ἀεὶ ψυχρά. τὸ δὲ οὖρον μόλις προέρχεται [47] ὑπὸ τῆς φλεγμασίης καὶ παχύτητος τοῦ οὔρου. καὶ ἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως ἂν καταστῇ, [48] ὄψει τὸ ὑφεστηκὸς παχύ, οἷον περ ἄλευρον. καὶ ἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυρρον αὐτὸ ὄψει. ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ νούσημα, λευκὸν καὶ παχὺ ἔσται. καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτόν, ἢ ὀλίγῳ πλέονα,

autem morbus, cùm ex vehementiore labore venulæ quæ ad renem ferũtur ruptæ fuerint, deinde ren sanguine repleatur. Hoc casu, per initia morbi, sanguinem vnà cum vrina reddit, deinde pus progressu temporis. Hic si corpore quieuerit, citissimè conualescit. Si enim quodammodo laboret, dolores multò magis detinebunt. Vbi igitur ren purulentus fuerit, ad spinam intumescit. Hunc cùm ita habuerit, quà parte tumor est, altissima quidem sectione ad renem secato. Quòd si quidem sectionem assecutus fueris, confestim sanum reddes. At si aberraueris, periculum est ne vlcus ea quæ fit per linamenta curatione indigeat. Si verò vlcus coaluerit, renis venter intrò pus colligit. Et si quidem pus intrò rumpatur, & ad intestinum rectum feratur, euadendi spes est. Quòd si alterum renem attingat, periculum est ne pereat. Medicamentis autem & iisdem omnibus quibus priorem curato, eandemque victus rationem teneat. Hic autem morbus molestus est, ex eoque plures ad renum tabem deueniunt. In tertio renum morbo, vrina bubularum carnium assatarum succo similis egreditur. Oritur autem morbus ex atra bile, quæ cùm ad venulas, quæ ad renem feruntur, confluxerit, cumque constiterit, eas renemque exulcerat. Ex vlcere igitur tale quid cum vrina prodit. Dolores autem in lumbis, vesica, interfœmineo, & in rene ipso pauco tempore detinent. Deinde remittit dolor, rursusque ex breui interuallo acutus inuadit, & in tenuem ventris partem nonnunquam incidit. Huic cùm ita habuerit, ventrem epithymo, aut scammoniæ radice aliquantulum purgato, eadem quæ stranguria laboranti potui exhibeto, cumq; dolor detinuerit, tepefactoriis potissimùm loco dolenti admotis, copiosa calida lauato, pro sorbitione farinam coctam affuso melle sumat, reliquaque victus ratione quàm maximè aluum subducente vtatur, vinumque bibat album Mendæum, melle permixtum, aut aliud album suauissimum probè dilutum. Hic morbus non ferè deserit. Si anni tempestas ferat, serum & lac bibat, serum quidem ad purgationem. Lactis autem potione vtatur quinque & quadraginta diebus, si anni tempus ferat. Quæ cùm sic feceris, morbum meliore statu constitues. Quartus renum morbus, qui ex bile & pituita æstatis potissimùm tempore oritur, quinetiam ex venere morbus oritur, atque hunc in modum afficitur æger. Dolores eum ad lateris mollitudinem & inanitatem vrgent, & ad lumbos lumborúmque musculos, neque secus afficitur quàm mulier partus doloribus conflictata, neq; decubitum in sanam partem ferre potest, sed valde laborat; ex lateris inanitate quædam velut abrupta suspensa esse videntur. At si pronus iaceat, non dolet, eius pedes & tibiæ semper frigent. Vrina autem ob pituitæ copiam & crassitudinem vix egreditur. Quòd si quidem depositam quoad resederit, pauco tempore siueris, quòd subsidet crassum velut farinam videbis. Ac si quidem bilis superauerit, ipsum subfuluum videbis. Si verò ex pituita morbus fuerit, album & crassum erit. Ac primùm quidem in annum, aut paulò longius

aut breuius tempus talia perseuerant. Quòd si producatur morbus, tum magis laborat, & purulentus euadit. Cumque purulentus extiterit & intumuerit, quà præcipuè parte intumuerit ad renem secato, & pus emittito. Et siquidem sectio prosperè cesserit, confestim sanum reddes. Hunc cùm sic habuerit, iisdem omnibus quibus antea curato. Et per morbi exordia purgare oportet, & ante alui subductionem fomento adhibito, crebris balneis lauare. Inungatur verò & caleat potiùs, neque frigeat, à soleque & veneris vsu abstineat. Quæ cùm feceris, si non citissimè sanescat, nihil noui accidit, cùm morbus sit admodùm difficilis. At si absque medicamentis curari desideret, per victus rationem crassiorem reddere oportet, siue hoc morbo, siue aliquo ex prioribus laboret, vbi cibos, quos comedere consueuit, in decem partes diuiseris, deinde parte vna subtracta reliquas comedat. Pro opsonio carnem suillam tritam habeat, & eo die decem stadia obambulet. Postero autem die & tertio, parte vna addita minùs edat, & vno quoque die decem aut plura stadia obambulet. Cùm verò ad vltimam cibi partem peruenerit, ad centum stadia iter faciat, & vnam solam partem edat, eoque die centum stadia deambulet. A cœna verò viginti, mane quadraginta. Vinum Mendæum album, austerum bibat, istaque per tres menses faciat. Reliquo deinde tempore subductis deambulationibus plures cibos comedat, additione eodem quo detraxeris modo facta. Deambulationem verò ad decimum vsque diem subducat, deinde quàm maximè quiescat, cibisque puris vescatur, & quàm maximè pinguibus opsoniis, dulciaque omnia ei conferunt. Oleribus autem & acidis omnibus abstineat, acribusque & iis quæ flatum excitant. Calida quoque multa lauet, & frigus vitet. Quæ cùm fecerit, citissimè sanus euadet. Ex renum morbo inuadit magnus venarum cauarum morbus, quæ à capite iuxta iugulares, per spinam ad talum exteriorem, & intermedium pollicis locum feruntur. Oritur autem hic morbus ex pituita quidem & bile, cùm ad venas confluxerint. Venæ autem cùm sanguine refertæ sint, si quid alieni ad eas peruenerit, malè afficiuntur. Sic igitur afficitur. Si dextra parte morbus est, per exordia ex coxendicis acetabulo dolorem exhibere incipit. Quò autem longiùs tempus processerit, & productum fuerit, eò grauior dolor ad inferiora descendit, cumque ad malleolum pedis externum, & pollicis intermedium peruenerit, rursus ad caput fertur, vbique in eo vlcus constiterit, vehementer vrget, sibiq; caput disrumpi videtur, oculi pituita totumque corpus implentur. Huic cùm ita habuerit, medicamentum ex cucumeris agrestis succo paratum, aut thapsiæ radicem, aut veratrum, aut scammonij succum propinato. Post purgationem verò eadem quæ superioribus offerto. Quòd si hac curatione non sedetur, vbi lacte crassio-

ἢ ὀλίγῳ ἐλάσσονα χρόνον τοιαῦτα πάσχων διατελέει. ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται. καὶ ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιστα ἀποιδέῃ, τάμνειν ἐς τὸν νεφρὸν καὶ ἀφιέναι τὸ πύον. καὶ ἢν μὲν τύχῃς τάμνων, παραχρῆμα ὑγιέα ποιήσεις. τοῦτον ὁκόταν οὕτως ἔχῃ, [49] τοῖσιν αὐτοῖσι πάθεσι θεραπεύειν, οἷσι καὶ τὸ πρόσθεν καὶ κατ' ἀρχὰς τῆς νούσου. δεῖ τε καθῆραι καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι καὶ τοῖσι λουτροῖσι πυκνὰ λούειν. ἀλειφέσθω δὲ καὶ θαλπέσθω μᾶλλον. μὴ δὲ ῥιγούτω. καὶ τοῦ ἡλίου ἀπεχέσθω. καὶ μὴ λαγνευέτω. ταῦτα ἢν ποιέῃ καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν. ἡ νοῦσος γὰρ ὡς χαλεπή. ἢν δὲ βούληται ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχῦναι ποιῆσαι ἀπὸ διαίτης, ἤν τε ταύτην τὴν νοῦσον κάμνῃ, ἤν τε τῶν προτέρων τινά, τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν ἤγουν δέκα μερίδας. ἔπειτα μίαν ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω. ὄψον δὲ ἐχέτω, κρέας ὑὸς τετριμμένον. καὶ περιπατεέτω δέκα σταδίους ταύτης τῆς ἡμέρης. τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν δέκα ἡμερέων [50] προστιθεὶς μερίδα, ἔλασσον ἐσθιέτω. καὶ περιπατεέτω δέκα σταδίους ἢ πλείους ἑκάστης ἡμέρης. ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου, καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω καὶ ἐσθιέτω τὴν μίαν μερίδα μούνην. καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκατὸν σταδίους. [51] μετὰ δὲ τὸ δεῖπνον, εἴκοσι. ὄρθρου δὲ τεσσαράκοντα. οἶνον δὲ πινέτω, μενδαῖον, λευκὸν, αὐστηρόν. ταῦτα δὲ ποιεέτω, τρεῖς μῆνας. ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, καὶ τῶν σιτίων, πλείω ἐσθιέτω· τὸν αὐτὸν τρόπον ὥσπερ ἀφῄρει, οὕτω δὴ προστιθείς. τὸν δὲ περίπατον ἀφαιρείτω, μέχρι τῶν δέκα ἡμερέων. ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα. καὶ εὐωχείσθω σιτία τε καθαρὰ, καὶ ὄψα ὡς πιότατα. καὶ τὰ γλυκέα πάντα, ξύμφορα αὐτῷ. λαχάνων δὲ καὶ ὀξέων πάντων, ἀπεχέσθω καὶ τῶν δριμέων. καὶ ὁκόσα φῦσαν παρέχει. λουέσθω τε πολλῷ καὶ θερμῷ. καὶ μὴ ῥιγούτω. ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται. Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει. ἡ δὲ νοῦσος μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος, ἐς τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς, καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας συρρυῇ. αἱ δὲ φλέβες αὗται, αἵματος εἰσὶ πλήρεες. ἢν οὖν τι παρέλθοι ἀλλοῖον ἐς αὐτὰς, νοσοῦσι. τάδε οὖν πάσχει. ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ ἄρχεται τὴν ὀδύνην παρέχουσα, ἐκ τῆς κοτυληδόνος τοῦ ἰσχίου, κατ' ἀρχάς. ὁκόσῳ δὲ πλείων ὁ χρόνος παρέῃ καὶ ἀπομηκύνεται, ἥ τε ὀδύνη ὀξυτέρη κατέρχεται κατωτέρω. καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι. καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ, πιέζει ἰσχυρῶς. καὶ δοκεῖ ὁ ἄνθρωπος διαρρήγνυσθαι τὴν κεφαλήν. καὶ οἱ ὀφθαλμοὶ φλέγματος πληθοῦνται, καὶ τὸ πᾶν σῶμα. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι, ἢ θαψίης ῥίζαν, ἢ ἐλλέβορον, ἢ ὀπὸν σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχ-

ιας, χαι-

νας, καῦσαι κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν, τέσσαρας ἐσχάρας. καὶ ἐς τὴν κοτυληδόνα τοῦ ἰσχίου τοῦ δεξιοῦ, τρεῖς. καὶ ὑπὸ τὸν γλουτὸν, δύο. καὶ ἐν τῷ μέσῳ τοῦ μηροῦ, δύο. καὶ ὑπὲρ τοῦ γούνατος, μίαν. καὶ ὑπὲρ τοῦ σφυροῦ, μίαν. ἐπὴν οὕτω καυθῇ, οὐκ ἀφίησιν οὔτε ἄνω οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. ἢν δέ κου ἡ ὀδύνη ὀφθῇ, ῥαγεῖσα. ἢν μὲν σκήψῃ ἐς τὸ σκέλος πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται. ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός. ἢν δὲ ἐς τὴν κύστιν καὶ προσχωρέῃ ἅμα τῷ οὔρῳ αἵματος μάλιστα, τεσσαράκοντα ἡμέρας. ἀλλὰ χρὴ ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδό- 10 ναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ἢν κου ἡ ὀδύνη ἀλισθῇ, καῦσαι. καίειν δὲ χρὴ τὰ μὲν σαρκώδεα σιδηρίοισι. τὰ δὲ ὀστώδεα καὶ νευρώδεα, μύκησι. πλὴν ταῦτα πρότερον τούτων χρὴ ποιῆσαι. ἢν κατ᾽ ἀρχὰς τῇ νούσῳ προσβάλῃς, ἐς μὲν τὸ ποτὸν χρὴ διδόναι, οἶνον λευκὸν Μενδαῖον, ὑδαρέστερον ὡς πλεῖστον μεθ᾽ ἡμέρην. καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμορραγήσῃ κατὰ τὰς ῥῖνας. ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιστον ἡμέρας ῥέει δέκα καὶ τρεῖς. ὅταν δὲ αὗται αἱ ἡμέραι διέλθωσι, μηκέτι μεθυσκέσθω, μηδὲ ὅταν ἄρξηται ἅπαξ ῥέειν. πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶ- 20 νον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ τὸ αἷμα. ἤδη δέ τισι παυσαμένου τοῦ αἵματος, ἐρράγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πύα. ἢν γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πίνειν. ἐπὴν οὕτω μελετώμενος, καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ, καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή. Ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός. τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν. ἐς δὲ τὸν σπλῆνα ὀδύνη σκήψει ὀξεῖα εὐθὺς, καὶ κατ᾽ ἀρχὰς τοῦ νοσήματος. καὶ ἢν μὴ ξυνίῃ τὸ παραχρῆμα πρὶν κατασκήψῃ 30 ἀλλ᾽ ἢ ἐς τὸν πνεύμονα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα. καὶ ὅκου ἂν ἄλλη ὀδύνη κατασκήψῃ, καῦσαι. καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταὐτομάτου, τοῖσι πολλοῖσι μετὰ δυοκαίδεκα ἔτη, ἡ νοῦσος αὖθις ὑποστρέφει. καὶ ἢν λάβηται τοῦ σπληνὸς, τοῖσιν πολλοῖσιν ὕδερον ἐποίησεν. ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὸν πρόσθεν. καὶ ἢν δοκέῃ, καῦσαι ὥσπερ δὴ καὶ τὸν πρότερον. ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν. ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν τηκόμενος θνήσκει. ἡ γὰρ νοῦσος χαλεπή. 40 Περὶ δὲ τοῦ φλέγματος, τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, καὶ φημὶ τὰς ἰδέας αὐτοῦ πολλὰς εἶναι. καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον. οὗ καὶ ἡ ἴησις ῥάων. ἐμέτους γὰρ δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον, ἡμέρας δύο ἢ τρεῖς προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰωθῇ τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν. ἢν δὲ μὴ, τοιαύτῃ διαίτῃ χρεέσθω. πρῶτον λουέσθω πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι. καὶ ἐσθιέτω μάζαν φυστήν. καὶ ἄρτον ἐξοπτὸν ἕωλον. ἕλκει γὰρ αὖ μᾶλλον ταῦτα τὸ φλέγμα. ὄψοισι δὲ χρεέσθω, καὶ λαχάνοισι δριμέσι. καὶ τὰ λιπαρὰ καὶ τὰ γλυκέα καὶ ὀξέα. ταῦτα πάντα ἐπιτήδεια ξυμμεμιγμένα προσφέρεσθαι, καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρεέσθω. καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυκινὰ, οἶνον γλυκύν. καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς,

rem reddideris, scapulam dextram inferiorem quatuor crustis inurito, coxendicis dextræ acetabulum tribus, inferiores nates duabus, & mediū femur duabus, genu superius vna, & malleolum superiore parte vna. Cùm sic vstus fuerit, neq; sursum, neq; deorsum morbum progredi dimittit. Quòd si aliquam in partem dolor affatim & cum impetu irrūpere visus fuerit, si quidem priùs, quàm vstus fuerit, in crus decumbat, claudus erit; si in caput, surdus aut cœcus. Si verò in vesicam, simul cum vrina aliquid quadraginta ferè diebus progreditur. Sed si in vesicam cum impetu irruperit, eadem medicamenta quę in vrinæ stillicidio exhibenda sunt, & si aliqua in parte dolor coaceruatus fuerit, vstio facienda. Vrendæ verò sunt carnosæ quidem partes ferramentis, osseæ verò & carnosæ fungis, præterquàm quòd ante hæc ista facienda sunt. Si morbi initio accesseris, vinum Mendęum album dilutius quàm plurimùm per diem potui exhibere oportet. Et inebrietur quoad sanguis ex naribus plurimus erumpat. Cùm autem fluere cœperit, minimùm tredecim diebus fluit: vbi verò hi præterierunt, non ampliùs inebrietur, neq; vbi semel fluere cœperit. In cibo tamen paulò plus vini bibat, vt sanguis fluat. Iam verò quibusdam sedato sanguine, ad vesicam cum impetu irrupit, & sanguis cum pure prodiit. Si igitur cum impetu irruperit, eadem medicamenta quæ stranguria laboranti exhibeto, & de eodē plus propinato. Hic si hoc modo curetur, ciboséq; per aluum subeuntes & opsonia assumat, citissimè sanus euadet. Morbus autem grauis est. Alius ex vena sinistra. In reliquis quidem eadem multitudine quæ etiam prior patitur, sed in lienem confestim & per morbi exordia dolor acutus decumbit. Quòd si non statim perceperit priùs quàm decumbat, sed ad pulmonem feratur, lienis capite apprehenso, quàm citissimè crustis octo inurito, & quocunque alius dolor decubuerit, vrito, sicq; confestim sanescet. Quòd nisi vstus fuerit, sponte autem sanus euadat, plerisque post duodecimum annum rursus morbus reuertitur, & si lienem occuparit, multis aquam intercutem facit. Sed confestim velut priorem curare, & si videatur sanè etiam similiter vt priorem inurere oportet, si dolor in iisdem articulis constiterit. At nisi hunc in modum curatus fuerit, de cætero contabescens perit, cùm morbus grauis sit. De pituita autem idem quod de bile sentio, eiusque multas esse formas assero: Et partim quidem vulgaris est, partim verò recentissima, cuius etiam facilis est curatio. Vomitus enim post cibum duobus aut tribus diebus inducere oportet, insuperque prandere & quiescere, si prioribus diebus semel cibum sumere & vehementibus laboribus vti consueuerit. Aliôqui hac victus ratione vtatur. Primùm cùm vomitum inducere volet, multa & calida lauet, & mazam melle & oleo subactam, & panem exassatum hesternum edat. Hęc enim magis pituitam trahent. Opsoniis & oleribus acribus vtatur, pinguia, dulcia & acida, hæc omnia permixta cōmodè porrigi possunt, & oleribus omnibus viridibus vtatur, in cibo vinū dulce, paucū crebrò bibat, in fine placentam,

mel & ficus comedat, cúmque cœnabit, pocula largè ebibat, cúmque iam oppletus fuerit, paulùm dormiat, deinde vbi experrectus fuerit, vini aqua tepida temperati magno epoto poculo vomat. Magis enim pituitam & humorem ex carnibus attrahit, corpusque magis exiccat. Vomat autem quoad ficus euomuerit, quæ posttemæ euomuntur. Atque hæc quidem eo die facienda. Postero verò die, sese ad cœnam vsque contineat, & panem ex furfure à pura farina non separato cœnet, pro opsonio valentiora sumat, vinum verò nigrum, austerum bibat. Hæc igitur popularis pituitæ medela est. Quòd si comedere & bibere potest, cibisque delectatur, deinde crurum grauitatem sentiat, etiamsi color immutatus fuerit, pituitam quæ hunc vexat in ventriculo esse dicendum. Verùm cùm sic habuerit, melle, vino dulci, & oleo, nitroque ouilis tali magnitudine permixtis, ventrem per infusum subluere oportet. Hæc enim ad alui infusum pro hominis natura mitissima sunt. Cuiusque autem modum esse oportet, vini quidem heminam, olei dimidiam, & mellis tantundem. At si alui infusum nolis, humido fomento admoto, perhumectum hominem reddere oportet. Hac enim fortassis ratione stercus subduci poterit, cùm hæc ex ciborum resiccatione ei contingant. Si quis igitur cibos valde succulentos comedat, ab his fortasse non ita vehementer afficiatur, & si quandoque afficiatur, parua curatione indigeat. Hac vsus curatione citissimè hunc sanum reddideris. At si vetustior pituita ferè contigerit, quæ pituita alba vocatur, sic afficitur. Hominem magis grauat, formamque à vulgari alienam pallidiorem habere videtur, corpus vniuersum laxo tumore intumescit, facies rubet, os resiccatur, sitis detinet, & cùm comederit, crebra ei spiratio contingit. Hic eodem die interdum quidem meliùs habet, interdum verò de repente dolet, & mori videtur. Huic si venter quidem sua sponte commotus fuerit, sanitati erit proximus. At si aluus sponte turbata non fuerit, cneoro dato, vel hippophaë, vel grano cnidio, vel Magnesio lapide, purgare oportet, & post purgationem lenticulæ acetabulum vnum sorbendum vel duo dato. In lenticula autem allium incoquatur. Betæ etiam pinguis non condîtæ acetabulum, polenta super aspersa dandum. Vinum autem bibat nigrum austerum & valens. Postero verò die mane stadia viginti obambulet. Vbi autem redierit, panem exassatum paruum comedat, & pro opsonio allium coctum habeat, viniqúe eiusdem meracioris parũ bibat, deinde stadia triginta ambulet, cumqúe tempestiuum fuerit, quantum prandere consueuerat cœnet, pro opsonio potissimùm quidem pedes suillos, aut capita habeat, sin minùs, gallinaceis carnibus, aut suillis tritis vtatur. Piscibus verò, scorpio, aut dracone, aut cuculo, aut callionymo, aut gobio, aut aliis piscibus qui similem vim habeant. Ex oleribus alliis solis vtatur, neque vllo alio. Hæc autem quàm plurima comedat, tum cruda, tum assa, & cocta, in dies semper additione facta, & pro ciborum ratione ex paruo interuallo plus laboret. Hic morbus potissimùm per æstatẽ oritur ex aquæ potu,

καὶ μέλι καὶ σῦκα. καὶ ὁκόταν δειπνήσῃ, πινέτω λάβρως τὰς κύλικας. καὶ ὁκόταν ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον, εἶτα ἐπεγερθεὶς ἐμεέτω, πιὼν οἴνου μεγάλην κύλικα, [57] καὶ χλιαρῷ ὕδατι κεκρημένην. ἕλκει γὰρ μάλιστα τὸ φλέγμα ἐκ τῶν σαρκῶν καὶ τὸν χυμόν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα. ἐξεμεέτω δὲ ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ. ὕστατα γὰρ ταῦτα ἐξεμέεται. ταῦτα μὲν τῇδε. τῇ δὲ ὑστεραίῃ, συνεχέτω ἑωυτὸν μέχρι δείπνου. καὶ δειπνεέτω [58] ἄρτον αὐτοπυρίτην, τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις. ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν, καὶ ἥδεται τοῖσιν σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο. καὶ ἡ χροιὴ μετηλλαγμένη ᾖ, τούτῳ φαίη ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. ἀλλὰ χρὴ ὁκόταν οὕτως ἔχῃ, μέλιτι καὶ οἴνῳ γλυκεῖ, καὶ ἐλαίῳ, [59] καὶ νίτρου ὁκόσον οἷος ἀστράγαλος παραμίξας, κλύζειν. ταῦτα γὰρ τῇ φύσει τοῦ ἀνθρώπου εὐμενέστατα εἰς τὸν κλυσμόν. μέτρον δὲ χρὴ ἑκάστου εἶναι. τοῦ μὲν οἴνου κοτύλην. ἡμικοτύλιον δὲ ἐλαίου. καὶ μέλιτος ἴσον. ἢν δὲ μὴ κλύζειν βούλῃ, δίυγρον χρὴ τὸν ἄνθρωπον ποιῆσαι, πυριήσαντα ἐν ὑγρῇ τῇ πυριῇ. τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθείη ἡ κόπρος. ὑπὸ γὰρ τῆς ὑποξηράνσιος τῶν σιτίων, ταῦτα πάσχει. ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐκ ἂν ἴσως πάσχῃ ταῦτα οὕτω σφόδρα, ἢν δὲ καὶ πάσχοι ποτέ, ὀλίγης ἂν ἰήσεως δέοιτο. τοῦτον οὕτως ἰώμενος, τάχιστα ἂν ὑγιέα ποιήσεις. Ἢν δὲ τύχῃ παλαιότερον ἐὸν φλέγμα, λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα, πάσχει τάδε. βαρύνει τὸν ἄνθρωπον μᾶλλον, καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκέεται ὠχροτέρην. καὶ οἰδέει οἰδήματι πᾶν τὸ σῶμα, καὶ τὸ πρόσωπον ἐρεύθει. καὶ τὸ στόμα ξηρόν. καὶ δίψα ἐπέχει. καὶ ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ. ἐντὸς τῆς αὐτῆς ἡμέρης, ποτὲ μὲν γίνεται ῥάων, ποτὲ δὲ πονέει ἐξαπίνης, καὶ δοκέει ἀποθανέεσθαι. τούτῳ ἢν μὲν ἡ γαστὴρ αὐτομάτως ταραχθῇ, [60] ἐγγυτάτω ὑγιὴς ἔσται. ἢν δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ διδόντα τοῦ κνεώρου, ἢ τοῦ ἱπποφαέος, ἢ τοῦ κνιδίου κόκκου, [61] ἢ τῆς μαγνησίης λίθου. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι ὀξύβαφον ῥοφέειν, ἓν ἢ δύο. συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα. καὶ τεύτλου λιπαροῦ ἀνδεύτου ὀξύβαφον, ἐπὶ ἀλφίτων ἐπιπάσσοντα. πινέτω δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. τῇ δὲ ὑστεραίῃ, περιπατείτω σταδίους εἴκοσι τὸ ἑωθινόν. ἐλθὼν δὲ φαγέτω ἄρτον μικρὸν ἐξοπτον, καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά. καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον. εἶτα βαδιζέτω σταδίους τριήκοντα. καὶ ὁκόταν ὥρη ᾖ, δειπνεέτω ὁκόσον καὶ εἴθιστο ἀριστᾶν. ὄψον δὲ ἐχέτω μάλιστα μὲν, πόδας ἢ κεφαλάς. εἰ δὲ μὴ, ἀλεκτρυόνος κρέασιν, ἢ ὑὸς τετριμμένοισι χρεέσθω. ἰχθύων δὲ, σκορπίῳ, ἢ δρακοντίῳ, ἢ κόκκυγι, ἢ καλλιωνύμῳ, ἢ κωβιῷ, ἢ τῶν ἄλλων ἰχθύων, ὁκόσοι τὴν ἴσην δύναμιν ἔχουσι. λαχάνοισι δὲ χρεέσθω, σκορόδοισι μούνοις, καὶ ἄλλῳ τῶν λαχάνων μηδενί. ταῦτα δὲ ὡς πλεῖστα τρωγέτω, καὶ ὠμὰ, καὶ ὀπτὰ, καὶ ἑφθὰ, αἰεὶ πλείω ἑκάστης ἡμέρης. καὶ ταλαιπωρεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ ἐξ ὀλίγου πλέον. τοῦτο τὸ νούσημα μάλιστα γίνεται, θέρεος ὥρῃ ἀπὸ ὑδροποσίης,

ἐπὶ δὲ τῇ

ἔπι δὲ καὶ ὕπνων πολλῶν. κρίνεται δὲ ἐν τριήκοντα ἡμέρῃσιν, εἰ θανάσιμον, ἢ οὔ. ταῦτα μὲν ποιεέτω, ὁκόταν αἱ τριάκοντα ἡμέραι παρέλθωσιν. ἐν δὲ τῇσι πρώτῃσι τῶν ἡμερέων, ῥοφήμασι διαχρεέσθω, φακῇ ἑφθῇ, [62] ἐπωξεστέρῃ τῷ ὄξει. καὶ πτισάνῃ ὀξείῃ. πινέτω δὲ χλιαρὸν μελίκρητον, ἀλφίτων ἐπιπάσσων ὀλίγα, [63] ἵνα γένηται ὠργισμένον τὸ σῶμα ἢ πρὸς τὴν φαρμακοποσίην. καὶ εὑδέτω ὑπαίθριος ταύτας τὰς ἡμέρας. καὶ ἢν τοι δοκέῃ τοῦ αἵματος ἀφελεῖν ἀπὸ τῆς ὀσφύος, σικύην προσβαλεῖν, καὶ τὰς ἐν τῇ ὀσχῇ φλέβας σχάσαι τὰς παχυτάτας. ἐὰν οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται. Περιίσταται ἀπὸ φλέγματος μάλιστα ἐς ὕδερον, τρόπῳ τοιῷδε. ἡ πιμελὴ συντήκεται, καὶ γίνεται ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ φλέγματι ἐόντος, ὕδωρ. γνώσῃ δὲ τοῦτο, ὅς τις δυνατός ἐστιν ἰῆσθαι καὶ ὅς τις μή. ἕως γὰρ αὖτις ἐπὶ τῷ ἤτρῳ ἔχει πιμελήν, ἀδύνατόν ἐστιν ἰηθῆναι. γνώσις δὲ τούτοισι μάλιστα, εἰ ἔνεστι πιμελὴ ἐπὶ τῷ ἤτρῳ, ἢ οὔ. ἢν μὲν πυρετοὶ ἐπιγίνωνται καὶ μὴ δύναται ἀνίστασθαι, καὶ ὁ ὀμφαλὸς ἔξω ἐξίσχῃ πεφυσημένος, φάναι μηκέτι ἐνεῖναι πιμελήν, καὶ ἰήσιμον εἶναι. [64] τούτῳ ξυμφέρει τὴν κοιλίην ξηραίνειν. διδόναι μὲν ἄρτον αὐτοπυρίτην, [65] δίωλον θερμόν. ὄψον δὲ λαγωοῦ κρέας. [66] καὶ κυνὸς τελείου. καὶ οἰός. καὶ ὑὸς ὡς ὀπτά. καὶ ἀλεκτρυόνος ὀπτὰ θερμά. καὶ πολύποδας ἐσθιέτω ἑφθῶν, ἐν οἴνῳ μέλανι αὐστηρῷ. οἶνον δὲ πινέτω μέλανα ὡς παχύτατον καὶ στρυφνότατον. ἰχθύων δὲ χρεέσθω, κωβιῷ, δράκοντι, καλλιωνύμῳ. κόκκυγι. σκορπίῳ. καὶ ἄλλοισι τοῖσι τοιούτοισι, πᾶσι ἑφθοῖσι, ἑώλοισι, καὶ ψυχροῖσιν. ὡς ξηρότατοι γὰρ οὗτοι μάλιστά εἰσι. καὶ ἐς τὸν ζωμὸν μὴ ἐμβαπτέσθω. καὶ ἄναλτοι ἔστωσαν οἱ ἰχθύες. λαχάνων δὲ χρεέσθω, ῥαφανοισι καὶ σελίνοισι. ὀπτήτω δὲ φακῆν τῷ ὄξει ἐπωξεστέρην, καὶ ἐσθιέτω. καὶ περιπατεέτω καθ᾽ ἡμέρην. καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθρου καὶ ὀψίος εὑδέτω. καὶ πρωῒ ἐξεγειρέσθω. κἢν μὲν ὑπὸ τούτων καθίστηται, ἅλις. ἢν δὲ μή, πίσαι αὐτὸν κνεώρου, ἢ ἱπποφαέος τοὺς ὀπούς. ἢ κνίδιον κόκκον. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δύο ὀξύβαφα ἐπιρροφεέτω. καὶ ἄρτον μικρὸν καταφαγέτω. οἶνον δὲ πινέτω μέλανα, στρυφνὸν ὀλίγον. πινέτω δὲ φάρμακον δὶς τῆς ἡμέρης, ἕως ἂν λαπαρὸς γένηται. ἢν δὲ τὸ οἴδημα καθεστήκῃ ἐν τῇ ὀσχῇ, καὶ τοῖσι μηροῖσι, καὶ τῇσι κνήμῃσι [67] καταχαράσσειν χρὴ ὀξυτάτῳ μαχαιρίῳ πολλὰ πυκνά. ταῦτα ἢν ποιέῃς ταχὺ ὑγιέα ποιήσεις. Ὕδερος. Ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. ὁκόταν θέρεος ὥρῃ διψήσας, ὕδωρ πουλὺ πίῃς. ἐπειδὴ ἐκ τοῦδε γίνεσθαι φιλέει μάλιστα. καὶ ὁ πνεύμων ἐκπλησθῇ, ἀφίησιν αὖθις ἐς τὰ στήθεα. καὶ ὁκόταν ἐν τοῖσι στήθεσι γένηται, καῦμα παρέχει σφόδρα ὥστε τήκειν τὴν πιμελήν, τὴν ἐπὶ τῇσιν ἀρτηρίῃσιν ἐνεοῦσαν. καὶ ἢν ἅπαξ ἄρξηται τήκεσθαι, τὸ στέαρ πουλὺ πλέον, ἐν ὀλίγῳ χρόνῳ τὸν ὕδερον ἐποίησε. γίνεται δὲ καὶ ἢν φύματα ἐν τῷ πλεύμονι ἐμφυῇ, καὶ πλησθῇ ὕδατος, καὶ ῥαγῇ ἐς τὰ στήθεα. ὡς δὲ γίνεται καὶ ἀπὸ φυμάτων ὕδερος, τόδε μοι μαρτύριον, καὶ ἐν βοΐ, καὶ ἐν κυνί, καὶ ἐν ὑΐ. μάλιστα γὰρ τῶνδε τετραπόδων ἐν τούτοισι γίνεται φύματα ἐν τῷ πλεύμονι ἅπερ ἔχουσιν ὕδωρ. διαταμὼν γάρ, γνοίης τάχιστα. ῥεύσεται γὰρ ὕδωρ. δοκέει δὲ καὶ ἐν ἀνθρώπῳ γίνεσθαι τοιαῦτα πολλῷ μᾶλλον ἢ ἐν προβάτοισιν,

ad hæc etiam ex multo somno. Iudicatur autem triginta diebus, lethalis sit néćne. Quibus transactis hæc quidem faciat. Primis autem diebus sorbitionibus vtatur, lenticula cocta, aceto permixto acidiore reddita, & ptisana acida. Bibat verò aquam mulsam tepidam, modica polenta inspersa, quò sanè corpus emollitum sit ad medicamentorum potionem, & per hosce dies sub dio dormiat. Quòd si visum fuerit sanguinem è lumbis detrahere, cucurbitulam admoueto, & venas in scroto crassissimas pertundito. Hic ad hunc modum curatus citissimè sanus euadet. Ex pituita ad aquam intercutem hoc modo deuenitur. Colliquatur pinguedo, & à pituitæ ardore aqua fit. An verò quis sanari possit, nécne, ex hoc cognosces. Quandiu enim quis in imo ventre pinguedinem habet, curari non potest. Pinguedo autem in imo ventre insit, nécne his potissimùm dignosces. Si quidem febres aduenerint, & erectus stare nequeat, & vmbilicus inflatus foris promineat, pinguedinem non ampliùs inesse dicito, eumque sanari posse. Huic ventrem siccare confert, pane quidem exhibito ex furfure à pura farina non separato, hesterno, calido. opsonio verò, leporis carne, canis, & ouis ac suis maximè assata, & galli assa & calida. Polypos etiam vino nigro austero incoctos edat. Vinum bibat nigrum quàm crassissimum & acerbissimum. Piscibus vtatur gobio, dracone, callionymo, cuculo, scorpio, aliisque id genus, coctis omnibus, minimè recentibus, & frigidis. Hi enim ferè quàm siccissimi sunt. Nullo iure ad intinctum vtatur, & insulsi pisces sint. Oleribus vtatur, radicula & apio. Lenticulam tostam multo aceto temperatam edat, singulis diebus, & à cœna, & mane deambulet, vesperi dormiat, & mane exurgat. Ac si quidem ex his in integrum restituatur, satis est, sin minùs, ei cneori aut hippophais succum, aut granum cnidium propinato, & post purgationem duo lenticulæ acetabula insuper sorbeat, & paruum panem comedat. Vinum autem bibat nigrum, acerbum, paucum. Medicamentum autem bis die, donec emollitus sit, bibat. Quòd si in scroto & femoribus, ac tibiis tumor laxus exortus fuerit, peracuto scalpello multis & erebris vulnusculis pertundito. Quæ vbi feceris citò sanum reddes. Aqua inter cutem ex his oritur, vbi æstatis tempore siti pressus copiosam aquam biberit, quandoquidem inde ferè gigni solet, & pulmo expletus rursus in pectus dimiserit, tumque in pectore extiterit, vehementem ardorem excitat, ita vt pinguedinem quæ in arteriis inest liquefaciat. At si semel pinguedo liquefieri cœperit, longè citiùs aquam intercutem efficit. Gignitur etiam vbi tubercula in pulmone exorta fuerint, & aqua repleta in pectus eruperint. Aquā autem intercutem etiam ex tuberculis oriri, mihi argumento sunt boues, oues & sues. In his enim ferè quadrupedibus pulmonis tubercula oriuntur, quæ aquam continent. Sectione namque facta citissimè cognoueris cùm aqua effluet. Talia autem multò magis etiam in homine quàm pecoribus fieri videntur,

quantò morbosa magis etiam victus ratione vtimur. Plærique verò exortis tuberculis purulenti etiam extiterunt. Hęc igitur per morbi initia contingunt. Tussis sicca, & fauces stridulam quandam asperitatem habere videntur, rigor & febris, erectæque ceruicis respiratio contingit, corpus & pedes intumescunt, vngues contrahuntur, & quandiu quidem in superiore ventre aqua intercus extiterit, acutus dolor detinet, cùm verò ad inferiorem ventrem deuenerit, meliùs habere videtur. Deinde progrediente tempore, impleto ventre eadem quæ priùs patitur. Interdum verò ad latus intumescit, & quâ parte secandum sit indicat. Quòd si non indicet, multa calida lotum, humeris comprehensum concutito, deinde quonam latere magis fluctuet auscultato. Quod cùm intellexeris, tertiam ab vltima costam ad os vsque secato, deinde terebra acuta vlteriùs perforato, cumque perforata fuerit, paucam aquam educito. Qua educta, penicillum ex lino crudo in vulnus immittito, & mollem spongiam superapponito, deinde ne penicillus decidat deligato. Per duodecim autem dies, semel die aqua educẽda, post duodecimum verò diem, decimotertio die tota aqua educenda, & de cætero, si suscitetur aqua emittenda, venterque cibis siccis resiccandus. Succum laseris drachmæ pondere apparatũ, & aristolochiæ tali ceruini magnitudine frustulum derasum, & lentium eruique torrefactorum polentam, vtriusque purgatæ chœnicis dimidium, hæc melle & aceto subigito. Deinde sexaginta pastillis formatis, vnum tritum quotidie vini nigri austeri quàm suauissimi heminę dimidio maceratum, mox ieiuno potui exhibeto. Reliquam verò victus rationem & exercitationem eandem quam priùs habere iubeto. Et si pudenda ac femora intumuerint, audacter specillo pertundito. Hunc si eo modo curaueris, citissimè sanum reddes. Aqua intercus ab hepate, quę tunc quidem oritur, cùm ad hepar pituita accesserit, eamque hepar exceperit, & humectum redditum fuerit. Confestim igitur ardorem huic præbet, & flatum excitat. Deinde verò procedente tempore aqua impletur, posteaque corporis morsus contingit, in tibiis & pedibus tumor est laxus, hepar durum redditur ac intumescit, & clauiculæ extenuantur. Huic cùm ita habuerit, per morbi exordia, vbi hepar doluerit, origanum tritum cum laseris succo, erui quantitate, in vini albi hemina dimidia maceratum, potui exhibeto, & lactis caprini poculum quatuor heminarum, tertia aquæ mulsæ admixta parte. Primis autem decem diebus cibis abstineat. Hi nanque morbum, lethalis sit, nécne diiudicant. Ptisanæ succum melle affuso coctum sorbeat. Vinum verò albũ Mendæũ, aut aliud suauissimũ aquosum bibat. Vbi autem dies decem præterierint, cibos puros assumat, & pro opsonio galli carnes assas calidas habeat. Catulinis etiam coctis vtatur: pisce verò, galæo & torpedine assatis, vinum autẽ idem bibat. Ac siquidem ex his sedetur, satis est. Sin minùs, vbi certè crassissimus euaserit,

ὁκόσῳ καὶ τῇ διαίτῃ ἐπινοσωτέρῃ χρεόμεθα μᾶλλον. ἐγένοντο δὲ πολλοὶ καὶ ἔμπυοι φυμάτων ἐγγενομένων. τάδε οὖν κατ' ἀρχὰς τῷ νουσήματι ἐπιγίνεται, βὴξ ξηρὴ, [68] καὶ ὁ φάρυγξ δοκέει κέρχνειν. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιγίνεται, καὶ ὀρθοπνοίη. καὶ ὁ χρὼς ἐποιδαλέος. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται. καὶ ἕως μὲν ἂν ἐν τῇ ἄνω κοιλίῃ ὁ ὕδερος, ἔστιν ὁ πόνος ὀξύς. ἐπὴν δὲ ἐς τὴν κάτω κοιλίην ἔλθῃ, δοκέει ῥάων εἶναι. ἔπειτα προϊόντος τοῦ χρόνου, οἷάπερ πρόσθεν, πιμπλαμένης τῆς κοιλίης. ἔστι δ' ὅτε καὶ ἀποιδέει πρὸς τὸ πλευρὸν, καὶ δηλοῖ ᾗ χρὴ τάμνειν. ἢν δὲ μὴ ἀποδηλοῖ, λούσας πολλῷ καὶ θερμῷ, τῶν ὤμων λαβόμενος, σεῖσον. εἶτ' ἀκροᾶσθαι ἐν ὁκοτέρῳ ἂν τῶν πλευρέων μᾶλλον κλύζηται. ξυνεὶς δὲ, τάμνειν τὴν πλευρὴν τὴν τρίτην, ἀπὸ τῆς νεάτης μέχρι τοῦ ὀστέου. εἶτα τρυπῆσαι ἄκρῳ [69] τρυπάνῳ τρυγλητηρίῳ. καὶ ὁκόταν τρυπηθῇ, ἀφεῖναι τοῦ ὕδατος ὀλίγον. καὶ ὁκόταν ἀφῇς, μοτῶσαι ὠμολίνῳ. καὶ ἄνωθεν ἐπιθεῖναι σπόγγον μαλθακόν. εἶτα καταδῆσαι ὅπως μὴ ἐκπέσῃ ὁ μοτός. ἀφιέναι δὲ χρὴ δυοκαίδεκα ἡμέρας τὸν ὕδρωπα, ἅπαξ τῆς ἡμέρης. μετὰ δὲ τὰς δυοκαίδεκα ἡμέρας, τῇ τρισκαιδεκάτῃ ἅπαν ἀφιέναι τὸ ὕδωρ. καὶ τὸν λοιπὸν χρόνον ἢν ὑποτείνηται ὕδατος ἀφιέναι. καὶ τὴν κοιλίην τοῖσι σιτίοισιν ἀποξηραίνειν. τάδε δὲ δεῖ μετὰ τὴν τμῆσιν διδόναι. σκευάσας ὀποῦ σιλφίου δραχμῆς σταθμὸν, καὶ ἀριστολοχίης [70] κνῆσαι ὁκόσον ἀστράγαλον ἐλάφου. [71] καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων ἄλφιτα καθαρὰ ὁκόσον ἡμιχοίνικον ἑκατέρων, ξυμφυρῆσαι ταῦτα μέλιτι καὶ ὄξει. εἶτα πλάσαι [72] κόλληκας ἑξήκοντα, καὶ καθ' ἑκάστης ἡμέρης τρίβων ἕνα, διεὶς οἴνου μέλανος ἡμικοτυλίῳ, αὐστηροῦ ὡς ἡδίστου. εἶτα διδόναι νήστει πιεῖν. τὴν δὲ ἄλλην δίαιταν καὶ ταλαιπωρίην, τὴν αὐτὴν κελεύειν διαιτᾶσθαι, ἣν καὶ τὸν πρόσθεν χρόνον. καὶ ἢν οἰδήσῃ τὰ αἰδοῖα καὶ τοὺς μηροὺς θαρσέως καταχᾶν. τοῦτον ἢν οὕτω μελετᾷς, τάχιστα ὑγιῆ ποιήσεις.

Ὕδερος ἀπὸ τοῦ ἥπατος. Ὁ ἀπὸ τοῦ ἥπατος ὕδερος γίνεται, ὁκόταν ἐς τὸ ἧπαρ φλέγμα ἐπιγένηται. καὶ ἀναλάβῃ τὸ ἧπαρ καὶ ὑγρανθῇ. εὐθὺς οὖν καῦμα τούτῳ παρέχει, καὶ φῦσαν ἐμποιέει. ἔπειτα δὲ χρόνῳ, ὕδατος πίμπλαται. κἄπειτα δηγμὸς ἐς τὸ σῶμα ἐμπίπτει. καὶ οἴδημα ἐν τῇσι κνήμῃσι, καὶ ἐν τοῖσι ποσὶν ἔνεστι. καὶ τὸ ἧπαρ σκληρὸν καὶ οἰδέει. καὶ αἱ κληῗδες λεπτύνονται. τούτῳ ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος διδόναι ἢν ἀλγέῃ τὸ ἧπαρ, ὀρίγανον τρίβων. ὀπόν τε σιλφίου, ὁκόσον ὄροβον, διεὶς ἐν οἴνῳ λευκῷ, ἡμικοτυλίῳ πίνειν. καὶ γάλα αἰγὸς τρίτον μέρος μελικρήτου παραμίσγων τετρακότυλον κύλικα. σιτίων δὲ ἀπεχέσθω τὰς πρώτας ἡμέρας δέκα. αὗται γὰρ κρίνουσι τὸ νούσημα εἰ θανάσιμον ἢ οὔ. ῥοφανέτω δὲ πτισάνης χυλὸν, καθεφθὸν μέλι παραχέων. οἶνον δὲ πινέτω λευκὸν Μενδαῖον, ἢ ἄλλον τινὰ ἡδὺν ὑδαρέα. ὁκόταν δὲ αἱ δέκα ἡμέραι παρέλθωσι, σιτία προσφερέσθω καθαρὰ, [73] καὶ ὄψον ἐχέτω, ἀλεκτρυόνος κρέα ὀπτὰ θερμά. ἐχέτω δὲ καὶ σκύλακος ἑφθά. ἰχθύϊ δὲ γαλαίῳ καὶ νάρκῃ χρεέσθω ὀπτοῖσιν. οἶνον δὲ τὸν αὐτὸν πινέτω. κἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις. ἢν δὲ μὴ, ἐπεὶ γοῦν αὐτὸς ἑωυτοῦ παχύτατος ἐὼν,

καὶ τὸ ἧπαρ

καὶ τὸ ἧπαρ μέγιστον, καῦσαι μύκησιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσαις. καῦσαι δὲ χρὴ ἐσχάρας ὀκτώ. ἢν δὲ ὁ ὕδερος ἐγγένηται, καὶ ῥαγῇ ἐς τὴν κοιλίην, τοῖσιν αὐτοῖσιν ἰῆσθαι, οἷσι καὶ τὰ πρόσθεν φαρμάκοισι καὶ ποτοῖσι, καὶ βρωτοῖσι, καὶ ταλαιπωρίῃσιν. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. ἢν δέ τοι δοκέῃ ἀφίστασθαι τοῦ ἥπατος, καῦσαι ὅκου φαίνεται σιδηρείῳ. καὶ ἀφιέναι τοῦ ὕδατος κατ' ὀλίγον. καὶ ἰῆσθαι ὡς καὶ τὰ λοιπὰ πρόσθεν. ἢν δὲ μὴ ἀπὸ τούτων ὑγιὴς γένηται, φθινόμενος θνήσκει χρόνῳ. ἡ γὰρ νοῦσος χαλεπή, καὶ παῦροι ταύτην διαφυγγάνουσιν. Ὕδερος ἀπὸ τοῦ σπληνός. Ὁ δὲ ὕδερος ὁ ἀπὸ τοῦ σπληνός, γίνεται τὸν τρόπον τόνδε, καὶ ἀπὸ τῆς τοιαύτης προφάσιος μάλιστα, ὁκόταν φάγῃ σύκων χλωρῶν καὶ μήλων ὀπώρην πολλήν. πολλοὶ δὲ ἤδη καὶ ἀπὸ τρυφῆς βοτρύων πολλῶν, καὶ πολλοῦ γλεύκεος, τὴν νοῦσον ἔλαβον. κἢν μὲν οὕτω μέλλῃ ἐς τὸ νόσημα ἐμπεσεῖσθαι, παραχρῆμα ἐν τοῖσι πόνοισιν ἐστίν. ὀδύναι τε γίνονται[74] ἐν τῷ σπληνὶ καθεστᾶσι. μεταπίπτουσι δὲ καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὸν κενεῶνα. καὶ πυρετοὶ ἔχουσιν ἰσχυροί. καὶ μικρόν τι κἢν φάγῃ, ἡ γαστὴρ πίμπλαται. καὶ ὁ σπλὴν ἀείρεται καὶ ὀδύνην παρέχει. τοῦτο ἢν χρονίσῃ τὸ νόσημα, τὸν μὲν ἄλλον χρόνον, ἧσσον πονεῖ. ὁκόταν δὲ ὀπώρη ᾖ καὶ φάγῃ ταύτην, αὐτὴ τοῦ πρόσθεν μᾶλλον πονεῖ. τοῦτον ὁκόταν ὧδε ἔχῃ, κατ' ἀρχὰς μελετᾷν, ἄνω μὲν ἐλλέβορον διδόναι. κάτω δὲ κνέωρον, ἢ ἱπποφαέος ὀπὸν, ἢ κνίδης κόκκον. καὶ γάλα ὄνου, ὀκτὼ κοτύλας μέλι παραχέων. κἢν μὲν ἀπὸ τουτέων καθίστηται, ἅλις. ἢν δὲ μὴ, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ οἰδέῃ μάλιστα, καῦσαι μύκησι τὰς κεφαλὰς ἀπολαβών. ἢ σιδηρείοισι μετὰ φυλακῆς, πολλῆς, καὶ τηρήσιος, ὅκως μὴ πόρσω διακαύσῃς. ταῦτα δὲ κατ' ἀρχὰς ποιέειν τοῦ νοσήματος, καὶ τήνδε τὴν δίαιταν προσφερέσθω, πυρετοῦ μὴ ἔχοντος.[75] ἄρτῳ μὲν χρεέσθω πυρίνῳ ὀπτῷ,[76] ἢ τῶν σκληρῶν πυρῶν, διπυρίτῃ. ὄψον δὲ ἐχέτω[77] τάριχος γαδειρικὸν, ἢ σαπέρδην. καὶ κρέας τετριμμένον οἰός. καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα ἐσθιέτω. καὶ πινέτω οἶνον αὐστηρὸν κῷον ὡς μελάντατον. τῶν δὲ γλυκέων ἀπεχέσθω. ἢν δὲ ἐξανίστηται καὶ δύνηται, παλαιέτω ἐπ' ἄκρων τῶν ὤμων. καὶ ταλαιπωρεέτω[78] περιόδοισι πολλοῖς δι' ἡμέρης. καὶ ὦν χρεέσθω ἅπερ εἴρηται. Ἢν δὲ ὕδερος γένηται, ἰῆσθαι κατὰ ταῦτα καὶ τοῖσιν αὐτοῖσιν, οἷς καὶ τοὺς πρόσθεν. ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται· θέρεος ὥρῃ, ἢν ὁδοιπορέων ὁδὸν μακρὴν, ἐπιτύχῃ ὀμβρίῳ ὕδατι καὶ στασίμῳ, καὶ πίνῃ αὐτοῦ ἐπὶ σπάδην, πολλόν. ἢν οὖν αἱ σάρκες ἀναπίωσι καὶ σχῶσιν ἐν ἑωυτῇσι τὸ ὕδωρ, ὑποχώρησις δὲ μὴ γίνηται μηδαμῇ, τάδε πάσχει. ἢν μὲν ᾖ ἐν τῇ σαρκὶ, καῦμα παρέχει, ἔν τε τῇ κοιλίῃ καὶ ἐν τῷ σώματι. ὥστε τὸ στέαρ τὸ ἐπιὸν τῇ κοιλίῃ, τήκεται. ἕως μὲν ἂν βαδίζῃ, οὐδὲν δοκέει κακὸν ἔχειν. ὁκόταν δὲ παύσηται βαδίζων καὶ ὁ ἥλιος δύῃ, παραχρῆμα τὸν πόνον παρέχει πουλύν. προϊούσης δὲ τῆς νούσου, λεπτύνεται σφόδρα. ἢν δὲ καὶ ἀσιτίη ἐπιγίνηται, πολλῷ πλέον λεπτύνεται.[79] ἢν δὲ τὰ σιτία μὲν ἐσθίειν δύνηται ταλαιπωρέειν δὲ ἀδυνάτως ἔχῃ καὶ ἐπὶ πλέον σίνεται, τοῖσι πολλοῖσι τουτέων καὶ οἴδημα καθίσταται ἐς ὅλον τὸ σῶμα.

& hepar maximum, fungis inurito. Sic enim citissimè sanum reddideris. Octo autem crustis inurere oportet. At si aqua intercus in ventre suboriatur, & in eum erumpat, iisdem medicamentis & potibus, & cibis, & exercitationibus, quibus priores curato: vinum verò austerum nigrum bibat. Quòd si ab hepate decedere tibi videatur, vbi apparuerit ferramento inurito, & aquam paulatim educito, velutque reliquos priores curato. Si verò ex his non conualescat, tandem consumtus perit. Morbus enim grauis est, & ex quo pauci euadunt. Aqua intercus ex liene. Aqua verò intercus ex liene ad hunc modum & ex hac potissimùm causa oritur, cùm quis ficus virides & poma multa comederit. Plærique verò ex multo racemorum cibo & musto copioso, in morbum inciderunt. Siquidem igitur in morbum collapsurus est, confestim doloribus conflictatur. Acuti tum dolores ex liene excitantur, & ad humerum, iugulum, mammam, ilia transeunt, & febres vehementes detinent, venterque etiamsi parum quid comederit, impletur, lien attollitur, & dolorem præbet. Hic morbus si inueterauerit, reliquo quidem tempore minùs dolet, cùm verò pomorum tempus aderit, eaque comederit, magis quàm antea dolet. Hunc ita habentem per exordia curato, veratro supra exhibito, infra verò cneoro, hippophaës succo, aut grano cnidio, & lacte asinino ad heminas octo, melle affuso. Quòd si quidem ex his restituatur, satis est. Sin minùs, vbi lien magnus fuerit, & maximè intumuerit, capitibus apprehensis fungis inurito, aut ferramentis, multa cautione & obseruatione adhibita, ne vlterius peruras. Hoc per morbi exordia facito, istamque victus rationem exhibeto. Si febris non detineat, pane quidem vtatur triticeo tosto, aut ex duro tritico, secundò ignem experto. Pro opsonio salsamentum Gaditanum, aut saperdam habeat, & carnem ouillam tritam acida & salsa omnia comedat, vinumque austerum Coum quàm nigerrimum bibat, dulcibus verò abstineat. Quòd si exurgat validusque sit, summis humeris luctetur, & multos ambitus in die laborando cõficiat, ac ea quæ dicta sunt in cibo sumat. Quòd si aqua intercus fuit, per eadem & iisdem quibus etiam priores curato. Ex his verò aqua intercus oritur, si quis per æstatis tempus ex longo viæ itinere in aquam pluuiam & statariam inciderit, eamque auidæ copiosam biberit. Si igitur carnes aquam combibant & in se contineant, nusquam autem secedat, hæc contingunt. Siquidem in carne fuerit, ardorem ventri & corpori exhibet, proindeque pingue quòd in ventre est colliquefit. Hic quoad iter fecerit, nihil mali habere videtur, cùm autem ab itinere cessarit, solque occiderit, confestim multum laborem exhibet, progresso verò morbo admodum extenuatur, siq; etiam cibi fastidium contingat, multò magis extenuatur. Quòd si cibos quidẽ edere possit, exerceri autem nequeat, magis etiam læditur, horum plærisque laxus tumor etiam toto corpore excitatur.

Et extenuato quidem color liuidus existit, & venter magnus, sitis vehemens detinet, eiusque viscera præ calore exiccantur. Temporis verò progressu ad edendum quidem promtus existit, & quicquid quis exhibuerit comedit, & bibit, nihilque dolet. Quòd si tumor laxus detineat, ei color pallidus existit, venæque nigræ crebræ per corpus distenduntur, ex re quauis irascitur & tristitia afficitur, quamuis noui nihil contingat, venter nimio humore perhumescit, intumescit, ac pellucet velut laterna, procedenteque tempore cibos repudiat, sed videntur cucumeris agrestis odorem præ se ferre præ fastidio. Huic cùm sic habuerit, cneorum, aut hippophais succum, aut granum cnidium exhibeto. Hæc verò medicamenta sic exhibere oportet. Cneorum quidem sexto die, hippophaës verò succum, octauo, & granum cnidium decimo. Eáq; dare oportet quoad expurgetur & exinanitus sit. Intermediis verò diebus eadem quę prior in cibo sumat. Potissimùm verò eius aquæ ex qua in morbum incidit quàm plurimùm propinato, vti eius ventrem commoueat, & multum demittat. Sic enim præcipuè sanum reddes. Quòd si tibi visum fuerit, crebrò aluum infuso subluito, ex cneoro trito ad dimidiam heminam, mellis tertia heminę parte admixta, & betæ succo ad quartam heminæ partem diluto, deinde sic infuso subluito. Et lactis asinini cocti postero die affuso melle octo heminas exhibeto, aut addito sale propinato. Post purgationem iisdem quibus etiam prior vtatur, & interpositis diebus, cibis & potionibus iisdem vtatur, eodemque modo deambulationibus. Sic curatus breui hoc morbo liberabitur intra tertium aut sextum mensem. Quòd si negligentia aliqua adfuerit, neque confestim curatus fuerit, citò moritur. Extenuatus quoque iisdem ad curationem vti debet. Priùs autem eius corpus fomentis adhibitis præhumectare oportet, medicamentis vt magis obaudiat. Verùm confestim curatio adhibenda, aliòqui plærisque morbus ad senectutem deducitur. Quem verò voles ex his morbis eiusmodi infuso subluere oportet. Ad heminas duas vini albi, & mellis heminam dimidiam, olei heminam dimidiam, adde nitri Ægyptij torrefacti quadrantem, & succi foliorum cucumeris agrestis tusorum & expressorum heminam. His omnibus mixtis, in ollulam quandam infusis & feruefactis, sic per infusum subluito. Morbus hepaticus. Hic morbus oritur ex atra bile, cùm ad hepar confluxerit. Ingruit autẽ potissimùm autumno, in anni mutationibus. Hoc igitur modo afficitur æger. Dolor ei grauis ad hepar irruit, & ad postremas costas, ad humerum, ad iugulum, & ad mammam, vehemensque strangulatus detinet. Interdum etiam bilem liuidam vomitione reiicit, rigor & leuis febris primis diebus tenet, ad contactum hepar dolet, illius color est subliuidus, eúmq; cibi quos antea comedit strangulant, & in ventrẽ irruẽtes incendunt & tormina excitant. Hæc quidem per exordia patitur. At procedente morbo tum febres dimittunt, tum à paucis cibis impletur. In hepate verò solus dolor remanet:

καὶ τῷ μὲν λεπτῷ ἡ χροιὴ πελίνη γίνεται. καὶ ἡ γαστὴρ μεγάλη. καὶ δίψα ἔχει ἰσχυρή. καὶ τὰ σπλάγχνα αὐτέου ξηραίνεται ὑπὸ τῆς θέρμης. τοῦ δὲ χρόνου προϊόντος ἐς μὲν τὸ ἐσθίειν πρόθυμος ἐστι, καὶ ἐσθίει ὅ,τι ἄν τις διδῷ. καὶ πίνει, καὶ ἀλγέει οὐδέν. ἢν δὲ τὸ οἴδημα κατέχῃ, ἡ χροιὴ γίνεται τουτέῳ ὠχρή. καὶ διὰ τοῦ σώματος φλέβες διατετάμεναι μέλαιναι πυκναί. θυμοῦται δὲ καὶ λυπέεται ἐπὶ παντὶ, οὐδενὸς νεωτέρου ἐόντος. [80] ἡ δὲ γαστὴρ ὕδρωψ καὶ μεγάλη [81] ὥσπερ λαμπτὴρ. καὶ τοῦ χρόνου προϊόντος, τὰ σιτία οὐ προσίεται. ἀλλὰ δοκέει αὐτῷ ὄζειν σικύου ἀγρίου ἀπὸ τῆς βδελυγμίης. τούτῳ ὁκόταν οὕτως ἔχῃ, διδόναι τοῦ κνεώρου, ἢ τῆς ἱπποφαέος τὸν ὀπὸν, ἢ τὸν κνίδιον κόκκον. ταῦτα δὲ τὰ φάρμακα, οὕτω διδόναι χρή. τὸ μὲν κνέωρον δι᾽ ἕκτης ἡμέρης. τὸν δὲ τῆς ἱπποφαέος ὀπὸν, δι᾽ ὀγδόης. τὸν δὲ κνίδιον κόκκον, διὰ δεκάτης ἡμέρης. διδόναι δὲ τὰ αὐτὰ χρὴ, ἕως ἂν ἐκκαθαρθῇ, καὶ λαπαρὸς γένηται. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, ἐν ᾧ χέειν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. μάλιστα δὲ τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι ἀφ᾽ οὗ καὶ τὸ νόσημα ἔλαβεν, ὡς πλεῖστον, ὅκως ταράξῃ αὐτέου τὴν κοιλίην καὶ ὑποχωρήσῃ σφόδρα. οὕτως γὰρ μάλιστα ὑγιέα ποιήσεις. ἢν δὲ σοι δοκέῃ, καὶ κλύζειν θαμινά, τοῦ κνεώρου τρίψας, ἥμισύ τε ποιήσας, μέλιτος παραμίξας τρίτον μέρος κοτύλης διδόναι. [82] καὶ τεύτλου τέταρτον κοτύλης. εἶθ᾽ οὕτω κλύζειν. καὶ ὀνείου γάλακτος ἑφθοῦ τῇ ὑστεραίῃ διδοῦναι, ὀκτὼ κοτύλας μέλι παραχέων, ἢ ἅλας παραβαλὼν, πίνειν. καὶ μετὰ τὴν κάθαρσιν, τοῖσιν αὐτοῖσι χρέεσθω, οἷσι καὶ ὁ πρόσθεν. καὶ τὰς μεταξὺ τῶν ἡμερέων, σιτίοισι καὶ ποτοῖσι τοῖσιν αὐτοῖσι χρέεσθω, καὶ τοῖσιν περιπάτοισιν ὁμοίως. οὕτω θεραπευόμενος, ἐν τάχει τῆς νούσου ἀπαλλαγήσεται τρίμηνος ἢ ἑξάμηνος. ἢν δὲ ἀμελείη τις ἐγγένηται καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀποθνήσκει. καὶ τὸ καταλεπτυνόμενον, τοῖσιν αὐτοῖσι χρῆσθαι πρὸς ἴησιν. προσυγραίνειν δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα [83] ὅκως ἂν μᾶλλον τῶν φαρμάκων ὑπακούῃ. ἀλλὰ χρὴ παραχρῆμα μελετᾶν. ἢν δὲ μὴ, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος. κλύζειν δὲ χρὴ καὶ τοῖσδε, ὁκοτέρην ἂν βούλῃ τῶν νούσων. οἴνου λευκοῦ δύο κοτύλας λαβὼν, καὶ μέλιτος ἡμικοτύλιον. καὶ ἐλαίου ἡμικοτύλιον. νίτρου τεταρτημόριον. [84] αἰγυπτίου ὀπτοῦ, σικύου ἀγρίου τῶν φύλλων τρίψας καὶ ἐκπιέσας τοῦ χυλοῦ κοτύλην. ταῦτα μίξας πάντα, ἔς τι χυτρίδιον ἐγχέαι, καὶ ἐπιζέσας οὕτω κλύζειν.

Νοῦσος ἠπατῖτις. Ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης ὁκόταν ἐπιρρυῇ ἐς τὸ ἧπαρ. προσπίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. τάδε οὖν πάσχει. τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ. καὶ ὑπὸ τὰς πλευρὰς, καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῖδα, καὶ ὑπὸ τὸν τιτθόν. καὶ πνῖξ ἔχει ἰσχυρή. καὶ ἐνίοτε ἀπεμέει πελιδνὴν χολήν. καὶ ῥῖγος καὶ πυρετὸς τὰς πρώτας ἡμέρας ἐλαχρότερος ἔχει. καὶ ψαυόμενος, ἀλγέει τὸ ἧπαρ. καὶ ἡ χροιὴ ὑποπέλιδνος αὐτέου. καὶ τὰ σιτία [85] ἃ πρόσθεν ἐβεβρώκει, πνίγει αὐτόν. καὶ προσπίπτοντα, καίει καὶ στρέφει τὴν κοιλίην. ταῦτα μὲν πάσχει κατ᾽ ἀρχάς. τῆς δὲ νούσου προϊούσης, οἵ τε πυρετοὶ ἀφιᾶσι, καὶ ἀπ᾽ ὀλίγων σιτίων πίμπλαται. ἐν δὲ τῷ ἥπατι, ἡ ὀδύνη μούνη λείπεται.

καὶ αὐτὴ

καὶ αὐτὴ ποτὲ μὲν ἰσχυρὴ, ποτὲ δὲ ἥσσω διαπαύουσα. ἐνίοτε
δὲ ὀξεῖην λαμβάνει. καὶ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν.
τούτῳ ξυμφέρει ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, τά τε ἄλλα
καὶ μάλιστα καὶ τὰ χλιάσματα προστιθέναι ταῦτα, ἃ καὶ τῇ
πλευρίτιδι. ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ καὶ
θερμῷ. μελίκρητόν τε διδόναι πίνειν καὶ οἶνον λευκὸν γλυκὺν,
ἢ αὐστηρὸν, ὁκότερον ἂν ξυμφέρῃ. καὶ ῥοφήματα ταῦτα, ἃ καὶ
τῷ ὑπὸ πλευρίτιδος ἐχομένῳ. πρὸς δὲ τὴν ὀδύνην τάδε
χρὴ διδόναι πίνειν. ἀλεκτορίδος ᾠοῦ ἑφθοῦ τὸ ὑγρὸν τρίψας,
τοῦ δὲ χυλοῦ τοῦ στρύχνου ἡμικοτύλιον, καὶ μελίκρητον ἐν
ὕδατι πεποιημένον, ἥμισυ ἡμικοτύλιον, τούτοισι διεὶς, δι-
δόναι πίνειν, καὶ παύσει τὴν ὀδύνην. διδόναι δὲ καὶ ἑκάστης ἡμέ-
ρης, ἕως ἂν ἡ ὀδύνη παύσηται. πινέτω δὲ καὶ σιλφίου ὀπὸν, ὁ-
κόσον ὄροβον. καὶ ὀρίγανον τρίβων, διεὶς οἴνῳ λευκῷ. καὶ οὕ-
τως πίνειν νῆστις. ἐπιπινέτω δὲ, καὶ τὰ ἐν τῇ πλευρίτιδι δι-
δόμενα φάρμακα, εἵνεκα τῆς ὀδύνης. πινέτω δὲ καὶ γάλα
αἰγὸς, τρίτον μέρος μέλιτος παραμίσγων. τοῦ δὲ γάλακτος
ἔστω τέσσαρες κοτύλαι. τοῦτο ἕωθεν πινέτω ὁκόταν τὰ ἄλλα
μὴ πίνῃ. σιτίων δὲ ἀπεχέσθω, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται
δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι. ταύτῃσι γὰρ δηλοῦται, εἰ θανά-
σιμος, ἢ οὔ. ἢν δὲ καὶ πνῖγμα προσίστηται, τάδε χρὴ διδόναι, ὅ-
κως ἂν ἀπεμέσῃ. μέλι. καὶ ὕδωρ. ὄξος. ἅλας. ταῦτα μίξας
ἐγχέας ἐς χυτρίδιον καινόν. εἶτα χλιαίνειν καὶ ταράσσειν ὀρι-
γάνου κλωνίοισι τῆς κεφαλωτῆς ξὺν τῷ καρπῷ. ὁκόταν δὲ
χλιανθῇ, ἐκπίνειν διδόναι χλιαρόν. εἶτα περιβαλὼν ἱμά-
τια ἐᾶν, περιστείλας ἕως ἂν ἱδρώσῃ μάλιστα. καὶ ὁκόταν ἔμε-
τος αὐτὸν ἔχῃ, ἐμεέτω προθύμως, καταματιλλόμενος
πτερῷ. ἢν δὲ μὴ δύνηται ἐμέσαι, ἐπιπιὼν μελικρήτου
χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμεέτω. καὶ ἤν τι ἀπε-
μέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιέειν, ἐπὶ
τέσσαρας ὥρας. ὠφελήσει γάρ. μετὰ δὲ τὴν νούσου τὴν κρίσιν, με-
λετᾶν σιτία ὀλίγα διδοὺς καθαρά. κἢν μὲν ἄρτον φιλέῃ
ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω. ἢν δὲ
μάζαν, ἄφυκτον ἐσθιέτω,[86] πρότερον προφυρήσας. ὄψον
δὲ ἐχέτω, κρέα σκυλακίου ἑφθὰ, ἢ πελειάδος, ἢ ἀλεκτορίδος
νεοσσοῦ, ἑφθοῖσι πᾶσιν. ἰχθύων δὲ, γαλαίῳ, νάρκῃ, τρυγόνι τε,
[87] καὶ βατίσι τῇσι μικρῇσι, πᾶσι ἑφθοῖσι. λουέσθω δὲ καὶ ἡμέρης
ἑκάστης, καὶ τὸ ψῦχος φυλασσέσθω. καὶ περιπατεέτω ὀλίγα,
τέως ἐν ἀσφαλείῃ. ταῦτα δὴ ἢν φυλάσσηται, οὐκ ὑποτρο-
πιάσαι τὴν νοῦσον δέος πάλιν. καὶ γὰρ ἡ τοιαύτη νοῦσος, χαλεπὴ
ἐστὶ καὶ χρονίη. Ἄλλη ἡπατῖτις. αἱ μὲν ὀδύναι πιέζουσι κατὰ
τὰ αὐτὰ ἐς τὸ ἧπαρ. καὶ ἡ χροιὴ διαφέρει τῆς πρόσθεν.[88] σιδιο-
ειδὴς γάρ ἐστιν. ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἐμπίπτει.
γίνεται δὲ ἀπὸ κρεοφαγίης βοείων κρεῶν, καὶ ἐξ οἰνοφλυγίης.
ταῦτα γὰρ πάντα τὴν τοιαύτην τοῦ ἔτεος ὥρην, πολεμιώτατα τῷ
ἥπατι. καὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. τάδε οὖν
πάσχει. ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, καὶ οὐκ ἐκλείπουσιν οὐδε-
μίην ὥρην, ἀλλ᾽ αἰεὶ μᾶλλον πιέζουσιν. ἔστι δ᾽ ὅτε καὶ ἐμέει χο-
λὴν ὠχρήν. καὶ ὁκόταν ἐμέσῃ, ἐπ᾽ ὀλίγον δοκέει ῥάων εἶναι. ἢν δὲ
μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα. καὶ οἱ πόδες οἰδέουσι. ταῦτα πάσχει, ποτὲ μὲν
σφόδρα ποτὲ δὲ, ἧσσον. ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν ἐν ᾗσι κρίνεται τὸ νόσημα, ὅτε πόνος ἐλαττόνως ἔχῃ, ἢν ἀναμάρτη-

isque interdum quidem vehemens, interdum etiam minor quiescit. Quandoque verò morbus inuadit, frequenterq; de repente æger animam efflauit. Huic conferunt cùm dolor detinet, tum alia, tum ea etiam tepefactoria quæ in lateris dolore adhibetur. Vbi dolor remiserit, multa calida loto, aquam mulsam & vinum album dulce, aut austerum, quodcunque conducere videbitur, propinato, easdemque sorbitiones quas lateris dolore correpto. Ad dolorem autem hęc potui exhibenda. Oui gallinacei decocti liquorem tritum, tum succi solani heminæ dimidium melle affuso, tum aquæ mulsæ semiheminæ dimidium, hæc aqua commixta & subacta potui exhibeto, & dolorem sedabunt. Quotidie autem exhibenda quoad sedatus fuerit dolor. Laseris etiam succum orobri quantitate, & origanum tritum vino albo dilutum, eodem modo ieiunus bibat. Medicamenta verò etiam quæ in lateris morbo ad dolorem exhibentur, insuper bibat. Lac quoque caprinum ad quatuor heminas, tertia mellis parte admixta bibat. Hoc mane bibat, cùm alia non biberit. Cibis abstineat quoad morbus iudicatus fuerit, quod fere intra dies septem contingit. In his enim lethalis sit nécne manifestè deprehenditur. Quòd si etiam strangulatus vrgeat, hæc vti reuomat exhibere oportet, mel, aquam, acetum & sales. Hæc permixta in ollulam nouam affusa, postea tepefacta, & origani capitati ramulis cum semine agitata, tepida ebibenda dato. Deinde vestibus obuolutum donec maximè exudet finito, cumq; vomitus prehenderit, leui ex penna attrectatione alacriter vomat. At si vomere nequeat, aquæ mulsæ tepidæ duarum heminarum poculo insuper epoto, ad hunc modum vomat. Et si bilem aliquam aut pituitam vomitione reiecerit, rursus idem post horas quatuor faciendum, profuerit nanque. Post morbi autem iudicationem, paucis cibis puris exhibitis curato. Et si quidem panem edere cõsueuerit, panem calidum & quàm maximè purum edat. Si verò mazam, eam quæ non tosta est comedat, antea tamen subactam. Pro opsonio carnes catelli coctas habeat, aut columbi, aut pulli gallinacei, iisque omnibus vtatur. Piscibus verò, galæo, torpedine, pastinaca, & paruulis batidibus coctis. Lauet singulis diebus, frigus vitet & parum obambulet, quoad in tuto sit. Quæ sanè si obseruentur, verendum nõ est, vt rursus morbus reuertatur. Huiusmodi enim morbus difficilis est & diuturnus. Alius hepaticus morbus, in quo dolores quidem eodem modo ad hepar vrgent, & color à priore differt, cùm malicorium referat. Contingit autem repẽte æstatis tempore. Oritur verò ex carnis bubulæ esu, & nimio vini potu. Hæc enim omnia isto anni tempore iecori sunt infensissima, & bilẽ maximè ad hepar propellunt. Sic igitur afficitur, dolores acuti ingruunt, neq; hora vlla deserũt, sed semper magis vrgent. Interdum etiam bilem pallidam vomit, & vbi vomuerit meliusculè habere videtur. Quòd si vomitione non reiecerit, bilis ad oculos decumbit, & admodum pallidi fiunt, pedesq; intumescunt. Atque hæc interdum quidem valdè, interdum verò minus affligunt. Vbi autem dies præterierint, quibus morbus decernit, si nihil deliquerit, dolor minus detinet,

eandem quam priùs victus rationem Instituere oportet. Nam si intempestiuè inebriatus fuerit, aut rebus venereis vsus fuerit, quidve aliud minimè commodum fecerit, confestim ei hepar durum euadit, intumescit, & ex dolore pulsat. Ac si qua in re festinarit, de repente hepar totumque corpus dolet. Huic cùm sic habuerit, primique dies præterierint, fomentum admoueto, deinde scammonio aliquantulum purgato. Quòd si vẽter incensus fuerit, alui infusum quod probè ducat, ex iisdem quę priùs exhibeto. Post alui infusum, lacte asinino cocto aliquantulum purgato, eiusq; heminas octo melle affuso propinato. Lactis etiam caprini poculum quatuor heminarum mensura, aquæ mulsę triente commixto, mane exhibeto. Lactis quoque caprini cocti heminas duas dato, aquę mulsæ tertia parte ammixta, aut solo melle affuso. Lac etiam equinum eodem quo asininũ modo exhibeto. Quòd si hac curatione morbus cesserit, satis est. Sin minùs, internam dextri cubiti venam secato, & sanguinem emittito. Si verò lacte asinino tibi purgandus non videatur, lactis bubuli crudi heminas duas, tertia mellis parte admixta, singulis diebus ad dies decem exhibeto, deinde aliis duodecim diebus aquæ mulsæ sextante affuso, potui exhibeto. De cætero verò, lac ipsum ad duas heminas, donec pinguior euadat, exhibendum. At si ne sic quidem sedetur, cùm hepar plurimùm intumuerit, maximeq; prominuerit inurere oportet. Per buxeos autem fusos oleo feruenti intinctos vstionem facito, eosque donec rectè habuerit, vstioq; perfecta fuerit, admoueto. Aut per fungos octo crustas inurito. Si enim vstio successerit sanum reddes, ac deinceps faciliùs deget. At si vstio minimè successerit, de cætero nisi per alia remedia conualescat, consumptus perit. Morbus alius hepaticus in quo cætera quidem multitudine eadem quæ prioribus contingunt, color verò nigricat. Bilis quæ est in hepate, pituita & sanguine referta, velut ratione colligimus, disrumpitur, cumq; disrupta fuerit, citissimè ad insaniam deducitur, indignatur, & imprudẽter loquitur, more canis latrat, vngues puniceo sunt colore, oculis cernere non potest, pili capitis erecti manent, & febris acuta inuadit. Huic eadem quæ prioribus admouere oportet, plærique verò intra vndecim dies moriuntur, paucíq; euadunt. Lienis morbus primus. Gignitur autem eiusmodi morbus, ob bilem solis calore commotam, cùm eam ad se lien traxerit. Hunc igitur in modum affligitur. Febris acuta per initia succedit, progresso verò morbo dimittit, nisi quòd lienem ipsum semper calor occupat, dolorq; acutus subinde in lateris mollitudinem ad ventrem incidit. Cibos autem per exordia expetit quidem, non autem admodum demittit. Procedente verò morbo, color pallidus euadit, dolor vehemens ingruit, & iugula extenuantur, neque cibum velut per initia facilè admittit, & pauco impletur. Lien subinde eodem die magnus, & interdum minor euadit. Cùm sic habuerit, huic veratrum deorsum purgans propinato, tum grano cnidio subter purgato. Post purgationem autem vesperi lenticulæ acidioris acetabulum sorbendum

τος ᾖ, διαιτᾶσθαι χρὴ ταύτῃ τῇ διαίτῃ, ἣν καὶ πρόσθεν. ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν, ἢ λαγνεύσῃ, ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, τὸ ἧπαρ παραχρῆμα γίνεται σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ὑπὸ τῆς ὀδύνης. καὶ ἤν τι σπεύσῃ, πονέει ἐξαπίνης τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι. εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ. ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, κλύσαι ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν, ὅ,τι ἄξει καλῶς. καὶ μετὰ τὸν κλυσμὸν, ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθῆραι, ὀκτὼ κοτύλῃσι. μέλι δὲ παραχέων, διδόναι πίνειν. διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων τὸ ἑωθινὸν, τετρακότυλον κύλικα. διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, ἢ αὐτὸ μόνον μέλι παραχέων. διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. κἢν μὲν ὑπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις. ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος τὴν εἴσω φλέβα, καὶ ἀφιέναι τοῦ αἵματος. ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γάλακτι ὑποκαθῆραι [89] ἢ βοείῳ. καὶ γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης, ἐπὶ ἡμέρας δέκα. εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι. τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι ἕως ἂν ἀναπιανθῇ, δύο κοτύλας. ἢν δὲ μὴ δὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ γένηται, καὶ ἐξέχῃ μάλιστα. καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον. προστιθέναι δὲ, ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν, καὶ κέκαυσται. ἢ μύκησιν ὀκτὼ ἐσχάρας καῦσαι. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, καὶ τὸ λοιπὸν χρόνον ῥᾷον διάξει. ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γινόμενος, φθειρόμενος ἀποθνήσκει. Ἡπατῖτις ἄλλη. Τὰ μὲν ἄλλα, πλῆθος τὰ αὐτὰ πάσχει τῇσι πρόσθεν· ἡ δὲ χροιὴ μέλαινα. τοῦ δὲ ἥπατος ἡ χολὴ, φλέγματος καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμεθα, διαρρήγνυται. καὶ ὁκόταν διαρραγῇ, τάχιστα μαίνεται. καὶ ἀγανακτέει. καὶ διαλέγεται ἀσύνετα. καὶ ὑλακτέει ὡς κύων. [90] καὶ οἱ ὄνυχες φοινίκεοι εἰσί. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρᾶν. καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ ὀρθαὶ ἵστανται. καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ, ἃ καὶ τοῖσι πρόσθεν. οἱ δὲ πολλοὶ ἀποθνήσκουσιν ἐν τῇσιν ἕνδεκα ἡμέρῃσι. παῦροι δὲ διαφυγγάνουσιν. Σπληνὸς νοῦσος πρώτη. γίνεται δὲ ἡ τοιαύτη νοῦσος, διὰ θερμασίην τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ᾽ ἑωυτὸν χολὴν ὁ σπλήν. τάδε οὖν πάσχει. πυρετὸς ὀξὺς ἐπιγίνεται κατ᾽ ἀρχάς. προϊούσης δὲ τῆς νούσου ἀφίησι, πλὴν κατ᾽ αὐτὸν τὸν σπλῆνα. τοῦτο δὲ αἰεὶ θέρμη ἔχει, καὶ ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει ὀξεῖη, καὶ ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κοιλίην. [91] τὰ δὲ σιτία κατ᾽ ἀρχὰς προσίεται μὲν, [illegible] δὲ οὐ μάλα. προϊούσης δὲ τῆς νούσου, ἥ τε χροιὴ ὠχρὴ [illegible] ὀδύνη ἰσχυρὴ ἐμπίπτει. καὶ αἱ κληῗδες λεπτύνονται. [92] καὶ τὰ σιτία οὐχ ὁμοίως προσίεται, ὥσπερ κατ᾽ ἀρχάς. καὶ ἀπὸ ὀλίγου πίμπλαται. ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε μέγας τῆς αὐτῆς ἡμέρης, καὶ ἄλλοτε ἐλάσσων γίνεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πῖσαι ἐλλέβορον κάτω, ὑποκαθῆραί τε τῷ κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, [93] φακῆς δοῦναι ῥυφεῖν [illegible] ὀξυτέρης.

ὀξυτέρης. καὶ τεύτλων φυλλίων λιπαρῶν, ἄλφιτα περιπάσας. τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ, ἄρτον μικρὸν διδόναι. ὄψῳ δὲ, φακῇ χρεέσθω. καὶ ὕειος κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον. οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον κατ' ὀλίγον. καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατεέτω ἐν τῇ σκιῇ. τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρεσθαι. σιτίον μὲν ἄρτον αὐτόπυριτην. ὄψον δὲ ἐχέτω, κρέας κυνὸς μέζονος. ἢ αἰγὸς, ἢ οἰὸς τετριμμένον. καὶ τάριχος γαδειρικὸν, ἢ σαπέρδην. καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω, καὶ τὰ στρυφνά. πινέτω δὲ 10 οἶνον κῶον ὑπόστρυφνον ὡς μελάντατον. τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω, καὶ κνισσωδέων. καὶ σίλφιον μὴ προσφερέσθω. μηδὲ σκόροδα. μηδὲ κρέας χοίρεον. μηδὲ κεστρέα, [94] μηδὲ νέαρον, μηδὲ τάριχος, μήτε ἔγχελυν. μήτε λάχανον. μηδὲ ἑφθὸν ἄνευ ὄξους. τῶν ὠμῶν δὲ, ῥαφανῖδι χρεέσθω. καὶ σελίνῳ, ἐς ὄξος βάπτων, καὶ οἴνῳ ἄλφιτα φυρῶν, ἐσθιέτω. καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον. ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμενος, ἐσθιέτω θερμόν. διδόναι δὲ καὶ ἰχθύων, σκορπίον, δράκοντα, κόκκυγα, κωβιὸν, καλλιώνυμον. τούτους ἑφθοὺς καὶ ψυχροὺς διδόναι. διδόναι δὲ καὶ ἃ μέλλει 20 τὸν σπλῆνα λεπτύνειν ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ, ἢ ἰξοῦ τὰ φύλλα. [95] ἢ αἰγὸς κέρας. ἢ ἄγνου καρπόν. ἢ πήγανον. ἢ ἡδυόσμου ῥίζην. τούτων τρίβων ὅ,τι ἂν βούλῃ, [96] διδόναι ἐν οἴνῳ αὐστηρῷ, νήστει. ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν πρίειν ξύλα τριήκοντα ἡμέρας. καὶ ἀπ' ἄκρων τῶν ὤμων παλαιέτω. καὶ περιπατεέτω δι' ἡμέρης. καὶ ὄψιος εὑδέτω. πρώϊος δὲ ἐγειρέσθω. καὶ σιτίων χρεέσθω ἃ προείρηται. ἢν δὲ μὴ ὑπὸ τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι, δέκα ἐσχάρας μεγάλας, ὁκότ' ἂν μέγιστος ᾖ ὁ σπλὴν καὶ ἐξηρμένος μάλιστα. ἢν γὰρ τύχῃς καύσας ὡς δεῖ, ὑγιέα ποιήσεις, πλὴν οὐκ 30 ἐν τάχει. ἡ δὲ νοῦσος δέεται θεραπείης. χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ. Ἄλλη νοῦσος σπληνός. γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ' ὧν καὶ ἡ πρόσθεν. πάσχει δὲ ὑπὸ τούτου τοῦ νοσήματος, τάδε. ἡ γαστὴρ φυσᾶται. μετὰ δὲ καὶ ὁ σπλὴν οἰδεῖ, καὶ σκληρός ἐστι. καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα. ἡ δὲ χροιὴ, τρέπεται, καὶ ὁρᾶται μέλας, ἐπώχρος, [97] σιδιοειδής, καὶ ἐκ τοῦ ὠτὸς κακὸν ὄζει. καὶ τὰ οὖλα κακὸν ὄζει. καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται. καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖα περ ἐπινυκτίδες. τὰ δὲ γυῖα λεπτύνεται. καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. τοῦτον ὁκό- 40 ταν οὕτως ἔχῃ, μελετᾷν τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι, καὶ ποτῷ. καὶ ταλαιπωρίῃσι, καὶ τοῖσιν ἄλλοισι πᾶσι. καὶ κλύζειν ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν ἐν τούτοισι, μέλιτος ἡμικοτύλιον, καὶ νίτρου αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰός. ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι τέσσαρσι κοτύλῃσιν. εἶτα οὕτω κλύζειν. ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίσηται, καῦσαι αὐτοῦ τὸν σπλῆνα ὡς τὸ πρόσθεν. καὶ ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις. ἄλλη νόσος σπληνός. γίνεται μὲν τοῦ ἔτεος, ἔαρος ὥρῃ μάλιστα. ἀπὸ δὲ αἵματος. ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην. καὶ ὀδύναι ὀξεῖαι ἐς τὸν σπλῆνα ἐμπίπτουσι, καὶ ἐς τὸ στῆθος, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν ὠμοπλάτην. ἡ δὲ χροιὴ τοῦ σώματος, μολιβδοειδής. καὶ ἀμυχὰς ἐν τῇσι κνήμῃσι λαμβάνει. καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐ-

exhibeto, & betarum pinguium acetabulum, polenta inspersa. Postero verò & tertio die, paruum panem exhibeto, pro opsonio, lenticula vtatur, & carne suilla trita cum lenticula cocta. Vinum austerum, nigrum, meracius paulatim bibat, & per hosce dies quietem agat, nisi quòd intus in vmbra paulùm obambulet. Reliquo verò tempore hæc exhibere oportet, in cibo quidem panem ex furfure à pura farina non separato. Pro opsonio carnem canis maiusculi, aut capræ, aut ouiculæ tritam habeat, & salsamentum Gaditanum, aut saperdam, acidaque & salsa omnia, acerbaq; exhibeãtur. Vinum Coum, subadstringens quàm nigerrimum bibat, dulcibus, pinguibus, & nidorosis abstineat. Laser minimè exhibeatur, neque allium, neque caro porcina, neque mugil, neque recens, neque sale condîtus, neque anguilla, neque olus vllum coctum sine aceto. Ex his quæ cruda eduntur, radicula & apio aceto intinctis vtatur, polentam edat vino subactam, & vinũ meracum sorbeat. Quòd si lubeat, panem etiam in vino comminutum, calidum comedat. Ex piscibus verò scorpium, draconem, cuculum, gobium, callionymum, eosq; coctos & frigidos exhibeto. Danda etiam singulis diebus quæ lienem extenuare valent, asphodeli semen, visci folia, aut fœnum græcum, aut viticis semen, aut rutam, aut menthæ radicem. Ex quibus quod voles tritum ex vino austero ieiuno exhibeto. Quòd si validus fuerit, triginta diebus vt ligna secet cogito. Summis humeris lucta se exerceat, interdiu obambulet, vesperi dormiat, mane verò surgat, & quæ dicta sunt in cibo sumat. At si ne his quidem meliusculè habeat, lienẽ per fungos, cùm maximè tumidus & sublatus fuerit, decem crustis inurito. Si enim, vt conuenit, vstio successerit, sanũ reddes, non tamen breui. Hic autem morbus curatione indiget, grauis enim est & diuturnus, nisi confestim curatio adhibita fuerit. Alius lienis morbus ab iisdem quidem ex quibus & prior oritur, eoque modo hoc morbo afficitur. Venter inflatur, postea verò lien intumescit, durus est, eique dolores acuti contingunt. Color autem immutatur, & niger cernitur, pallidus & qui malicorium forma referat, & aure & gingiuis grauis odor exhalat, eæq; à dentibus discessionem faciunt, & in tibiis vlcera qualia pustulæ nocturnæ erumpunt, membra extenuantur, neque stercus per aluum demittitur. Hunc ita habentem iisdem medicamentis ac eduliis, & potu, exercitationeque, ac reliquis omnibus curato, cumque stercus non demittatur, his aluum subluito. Mellis heminæ dimidium, & nitri Ægyptij ouilli tali quantitatem, ex betarum coctarum decocto ad quatuor heminas terito & diluito, deinde hoc infuso subluito. Quòd si his morbus non sedetur, eius lienem velut in priore inurito, & si vstio successerit, sanum reddes. Alius lienis morbus, in anno quidem, veris maximè tempore, ex sanguine tamen oritur. Cùm enim sanguine lien refertus fuerit, in ventrem erũpit, & in lienem dolores acuti, in mammam, iugulum, humerum & sub scapulam irruunt. Totius corporis color est plumbeus, leues cutis lacerationes in tibiis habet, ex quibus magna vlcera ori-

untur. Quæ primùm per inferiora secedunt, cruenta sunt & æruginosa, venter durus obrepit, & tanquam lapis existit. Hic morbus superioribus magis lethalis est, ex eoq; pauci euadunt. Hunc ita habentem iisdem quibus priorem curato, nisi quòd medicamentum sursum purgans minimè dederis. Rursum verò cocco cnidio purgato. Postero die quoque lactis equini co-cti heminas octo melle affuso exhibeto. Sin minùs, la-cti bubulo aut asinino cocto ad duos congios, mel in altero poculo miscere, & alternatim bibere oportet. Sub vesperum post purgationem eadem quæ priori exhibeto, postq; medicamentum, si visum fuerit, sanguinem ex interiore sinistri cubiti vena detrahito. Per reliquos autem dies ieiuno singulis diebus lactis bubuli quatuor heminas, tertia muriæ parte ammixta, exhibeto. Cibis, potibus, & reliquis aliis iisdem quibus priorem curato. Hic, velut superiores, venere & vinolentia abstineat. Quòd si tibi visum fuerit, etiam cùm crassissimus & maximus lien extiterit, inurito. Et si opportunè vstio successerit, sanum reddes. At si sub hac curatione non conualescat, tandem contabescés perit, cùm admodum grauis sit hic morbus. Alius lienis morbus, qui etiam vere potissimum cõtingit, cùm lien in se pituitam exceperit, confestimq; tumidus & durus extiterit, deinde rursus subsidit. Et cùm quidem sublatus fuerit, dolores acuti ingruunt, vbi verò mollis fuerit, sine dolore est. Cumque morbus inueterauerit, obscurior esse videtur, & assurgit, celeriterque reprimitur. Hîc cùm sic habuerit, per morbi exordia cibos assumere non potest, citò extenuatur, magnaque intemperantia corpus affligitur. Morbus verò nisi confestim curatus, aut sua sponte sedatus fuerit, quinque aut sex intermissis mensibus rursus assurgit, per hyemem autem præcipuè intermittit. Hunc si per exordia in manus sumpseris, decem crustis ad lienem inurito, statimq; sanum reddes. Quòd si non vsseris, iisdem medicamentis, & eduliis, & potibus, ac laboribus, quibus superiores curato. Sic enim celerrimè sanum reddideris. Huius autem color exalbidus, suppallidus, & squalidus existit. Alius lienis morbus ex atra bile potissimùm autumno oritur. Fit autem ex multo olerum esu quæ cruda comeduntur, & aquæ potione. Ad hunc igitur modum afficitur. Vbi morbus prehenderit, lien valdè dolet, rigor & febris inuadit, cibi fastidium detinet, totumque corpus celeriter concidit. Lien autem magnus admodum non euadit, sed durus & ad viscera incumbit, adiacensque strepitum edit. Hunc ita habentem iisdem tum medicamentis, tum cibis, tum laboribus, quibus etiam superiores curato. Ac si se dederit, eum quo alios modo inurito. Hic morbus in plærisque si confestim curatio adhibita fuerit, citò decedit. Morbi regij quatuor. Hic quidem præcipuè per æstatem corripit, bile commota. Bilis igitur sub cute & in capite coit, proindeque statim corporis colorem immutat, pallidumque non secus ac malicorium euadit, oculi pallidi sunt, & sub pilis capitis velut cortex subest, rigor & febris prehendit, vrinam reddit pallidam, in eaq; crassum suppallidum subsidet, mane quandiu ieiunus fuerit,

τέων. καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα τῷ πρόσθεν, αἱματώδεα καὶ ἰώδεα. καὶ ὑπέρχεται ἡ γαστὴρ σκληρή. καὶ ὁ σπλὴν κατὰ λίθος ἐστίν. οὗτος ἢ πρόσθεν θανατωδέστερος, καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. τοῦτον ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεράπευε, οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ δῷς. κάτω δὲ τοῦ κόκκου τοῦ κνιδίου, δοῦναι τῇ ὑστεραίῃ. καὶ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας μέλι παραχέων. εἰ δὲ μή, βοείῳ ἢ αἰγείῳ ἑφθῷ, δύο χοεῦσι μέλι παρὰ τὴν ἑτέρην κύλικα. ἐναλλὰξ δὲ πίνειν χρή. ἐς δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν ταῦτα ἃ καὶ τῷ πρόσθεν, μετὰ τὸ φάρμακον. καὶ ἢν δοκέῃ, τοῦ αἵματος ἀφιέναι ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήστει ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. σιτίοισι δὲ, καὶ ποτοῖσι, καὶ τοῖσιν ἄλλοισι, τοῖσιν αὐτοῖσι θεραπεύειν,[100] οἷσι καὶ τὸν πρόσθεν. ἀπέχεσθαι δὲ λαγνείης[101] καὶ οἰνοφλυγίης, καὶ τοῦτον καὶ τοὺς πρόσθεν. καὶ ἢν σοι δοκέῃ, καὶ καῦσαι ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται. καὶ ἢν τύχῃς καύσας τοῦ καιροῦ, ὑγιέα ποιήσεις. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσεως ὑγιὴς γένηται, φθινώδης χρόνῳ θνήσκει. ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή. ἄλλη νοῦσος σπληνός. Περιπίπτει καὶ αὕτη ἡ νοῦσος, ἔαρος μάλιστα. ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτόν, καὶ μέγας παραχρῆμα γίνεται καὶ σκληρός. εἶτ' αὖθις καθίσταται.[102] καὶ ὅταν μὲν ἐξηρμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν. ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐστι. καὶ ὁκόταν χρονίη γένηται ἡ νοῦσος, ἀμαυροτέρη δοκέει, καὶ ἐπαείρεται, καὶ ταχέως καθίσταται. οὗτος ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος τὰ σιτία οὐ δύναται προσίεσθαι. καὶ ταχέως καταλεπτύνεται, καὶ ἀκρασίην ἔχει τὸ σῶμα πολλήν. τὸ δὲ νόσημα, ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὸν πέντε μῆνας ἢ ἕξ, αὖθις ἐπαείρεται. διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. τοῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ παραυτίκα ὑγιέα ποιήσεις. ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν, καὶ ἐδέσμασι, καὶ ποτοῖσι, καὶ ταλαιπωρίῃσιν. οὕτω γὰρ τάχιστα ὑγιέα ποιήσεις. τούτου δὲ ἡ χροιὴ γίνεται ἔκλευκος,[103] ὑπόχλωρος, καὶ αὐχμηρή. ἄλλη νοῦσος σπληνός. γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης. γίνεται δὲ ἀπὸ λαχανοφαγίης ὠμῶν πολλῶν καὶ ὑδροποσίης. πάσχει οὖν τάδε. ὁκόταν τὸ νόσημα λάβῃ, ἀλγέει τὸν σπλῆνα σφόδρα. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ ἀσιτίη ἔχει αὐτόν. τό, τε σῶμα ξυμπίπτει ταχέως. ὁ δὲ σπλὴν, μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δέ. καὶ παραπίπτει παρὰ τὰ σπλάγχνα, καὶ μυκᾶται περισχείμενος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι ἰᾶσθαι φαρμάκοισι καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν, οἷσιν καὶ τοὺς πρόσθεν. καὶ ἢν σοι παρέξῃ, καῦσαι αὐτόν, τρόπον ὃν καὶ τοὺς ἄλλους. αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται. Ἴκτεροι τέσσαρες. Ὁ μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει χολῆς κινηθείσης. ἵσταται δ' οὖν ἡ χολὴ ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ. ὥστ' εὐθὺς ἀλλοιοῦται τὸ σῶμα, καὶ γίνεται ὠχρὸν ὁκοῖον περ σίδιον. καὶ οἱ ὀφθαλμοὶ ὠχροί. καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας,[104] οἷον φλοιὸς ὕπεστι. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ οὐρέει ὠχρὸν τὸ οὖρον. καὶ ὑφίσταται ὑπ' αὐτῷ παχὺ ὕπωχρον. καὶ τὸ ἕωθεν ἕως ἂν ἄσιτος ᾖ, περὶ τὴν

πρὸς τὴν καρδίην[105] καὶ τὰ σπλάγχνα μύζει. καὶ ὁκόταν τις
αὐτὸν προσφθέγγηται ἢ ἐρωτήσῃ,[106] ἄχθεταί τε καὶ λυπέεται.
καὶ οὐκ ἀνέχεται ἀκροώμενος. ὁ δὲ ἀπόπατος πρόεισιν, ἐκ-
χλόου λευκός. καὶ κάκοδμος. οὗτος ὁκόταν ὧδε ἔχῃ, θνήσκει
μάλιστα ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν. ἢν δὲ ταύτας
διαφύγῃ, ὑγιαίνει. μελετᾶν δὲ αὐτὸν χρὴ ὧδε. ὁκόταν ὁ πυ-
ρετὸς ἀνῇ, λούειν πολλῷ καὶ θερμῷ. πίνειν τε διδόναι μελίκρη-
τον. καὶ ῥοφήμασι διαχρέεσθω, πτισάνης χυλὸν μέλι πα-
ραχέων. καὶ μὴ συνεψεῖν τὸ μέλι, ἕως ἂν αἱ δεκατέσσα-
ρες ἡμέραι παρέλθωσιν. αὗται γὰρ κρίνουσιν ἢν θανάσιμον ᾖ 10
ἢ οὔ. μετὰ δὲ ταῦτα, λούειν δὶς τῆς ἡμέρης, καὶ διωχέειν. τὸ πρῶ-
τον ὀλίγιστον ἅσσα ἂν μάλιστα προσίηται. ἔπειτα πλείω
μέντοι διδόναι. πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι' ἡμέ-
ρης, καὶ ἐάν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι καὶ ἀ-
σθενής, ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν
τῇσιν ἄνω νούσοισιν ἔχει. καὶ ἢν μὲν ἀπὸ τούτων παύσηται,
ἅλις. ἢν δὲ μή, ἐλλέβορον πίσαι. μετὰ δὲ τὴν τοιαύτην κά-
θαρσιν, ἑσπέρης φαγέτω μᾶζαν μαλθακήν, ἢ ἄρτου τὸ
ἐντός. ὄψον δὲ ἐσθιέτω, νεοσσὸν ἀλεκτορίδος ἑφθὸν εὖ ζω-
μευμένον κρομμύῳ, καὶ κοριάννῳ, καὶ τυρῷ, καὶ ἁλί, καὶ σησά- 20
μῳ, καὶ σταφίδι λευκῇ. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρὸν, ὡς
παλαιότατον. τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι. τῇ δὲ ὑστε-
ραίῃ, χυλὸν ἀπ' ἐρεβίνθων λευκῶν, μέλι δὲ χρὴ τῷ χυλῷ
παραχέαι, τούτῳ δὲ χρέεσθω, καὶ ἐκπιέτω δύο κοτύλας τοῦ
τοιούτου χυλοῦ. τῇ δὲ τρίτῃ ἀρξάμενος ἀφ' ἑκάστης ἡμέρης
πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶνδε ἑψήσας. μαράθου ῥίζας
λεπτάς, πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν τὴν
δραγμίδα ἐμβάλλειν καὶ ἕψειν, ἐν δύο χουσὶν ὕδατος. ἕ-
ψειν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ. καὶ ἐρεβίνθων λευκῶν
χοίνικα ἐν δυσὶ χουσί.[107] καὶ τούτου δὲ πιέτω τὸ ἥμισυ. ταῦ- 30
τα ὁκόταν λειφθῇ διηθήσας ἐξαιθριάσαι, καὶ ἀμφότερα
μίξας τούτῳ τῷ ὕδατι, καὶ τὸν οἶνον κρήσας, πινέτω. καὶ αὐτὸ
τὸ ὕδωρ μοῦνον ἢν βούληται, πινέτω ὡς πλεῖστον. καὶ ἄλλο ὕδωρ
μὴ πινέτω. ἢν δὲ τοῦτο τὸ ποτὸν μὴ προσίηται, τόδε σκευάσας
οὕτω διδόναι. ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χο-
ῦσι, διηθῆσαι καὶ ἐξαιθριάσαι. ἔπειτα τὸ ὕδωρ τοῦτο πινέτω
ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε σὺν τῷ οἴνῳ κιρνάς. πινέ-
τω δὲ μὴ ἀθρόον πουλύ, ἀλλὰ κατὰ φοράν, ἡμικοτύλιον, ὅ-
κως μὴ διάρροια αὐτῷ ἐπιγένηται. καὶ διαλιπὼν χρόνον
ὀλίγον, πινέτω. ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν, νήστει ἑκά- 40
στης ἡμέρης, τρίβοντα λεῖα καὶ διέντα. κοτύλην οἴνου παλαιοῦ
λευκοῦ. σελίνου καρπόν. σικύου σπέρμα. μαράθου καρ-
πόν. αἰθιοπικὸν κύμινον. ἀδίαντον. κορίανον τὴν ποίην. ἀστα-
φίδας λευκάς. ταῦτα πίνων κἀκεῖνα, ὠφεληθήσεται, καὶ
τάχιστα ὑγιὴς γενήσεται. ἄλλος ἴκτερος. οὗτος ἐπιλαμβά-
νει χειμῶνος ἐν ὥρῃ, ἐκ μέθης καὶ ῥίγεος. ἄρχεται δὲ τὸ
πρῶτον, ῥῖγος ἐπιλαμβάνειν. ἔπειτα καὶ πυρετὸς κατέχει. τὸ δὲ ὑγρὸν τὸ ἐν τῷ σώματι, πήγνυται ἐν τῷ δέρματι. ἐν τοῖσι
δὲ δείκνυται ὅτι οὕτως ἔχει. πελιδνόν ἐστιν αὐτοῦ τὸ σῶμα καὶ ὑπόσκληρον. καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραί·
μείζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί. τετάνταί τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες. καὶ ἢν τάμνῃ τις τινὰ αὐ-
τῶν, ῥοῦς ἐξελεύσεται τὸ αἷμα ὠχρόν, ἐὰν μὲν ὠχραὶ ἔωσιν αἱ φλέβες. ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσε-
ται. καὶ τὸ ἱμάτιον πρὸς τῷ χρώματι προσκείμενον, οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ. οὗτος πρόθυμός ἐστι πρὸς τὸ πε-

ad cor & viscera strepitus editur, & si quis eum alloquatur aut interroget, ægrè fert & tristatur, neq; audire sustinet. Stercus autem quod procedit, ex pallido albicat, & grauiter olet. Hic cùm ita habuerit, ferè intra dies quatuordecim perit, quos si effugerit, conualescit. Eum autem ad hunc modũ curare oportet. Vbi febris remiserit, multa calida loto aquã mulsam propinato, & sorbitionibus vtatur, ptisanę cremore melle affuso. Mel aũt vnà ne coquito, quoad quatuordecim dies pręterierint. Hi enim lethalis sit nécne decernũt. Postea autem bis die lauato, & in cibo exhibeto primùm pauca quæcũq; maximè expetat, deinde tamen plura porrigito. Vinum album quàm plurimum die bibat, & si procedente tempore pallidus ac imbecillus tibi videatur, à cibis vomitum fieri, velut in superioribus morbis habetur, iubeto. Quòd si quidem his sedetur, satis est, sin minùs veratrũ propinato. Post eiusmodi verò purgationem, vesperi mazam mollem aut panis medullam comedat. Pro opsonio pullum edat gallinaceum percoctum, cum cæpa, coriandro, caseo, sale, sesamo, & vua passa alba probè elixam. Vinũ autem album, austerum quàm vetustissimum bibat. Aluum inferiorem subpurgato, posteroq; die cicerum alborum cremore, melle affuso, vtatur, eiusmodique succi heminas duas ebibat. Tertio verò die singulis diebus hanc aquam ex his decoctam bibere incipiat. Fœniculi radices tenues quantum pugillo, aut tribus digitis comprehẽditur, in duos aquæ congios immittito, & coquito dum dimidium remaneat. Et cicerum alborum chœnicem in duobus aquæ congiis, de quo dimidium bibat. Hæc quæ remãserunt colata sub dio exponito, & ambobus permixtis, vinum hac aqua diluat, & aquam solam si velit quàm plurimã, nec aliam bibat. Quòd si potum istũ auersetur, hunc ita paratum exhibeto. Caricarum albarum chœnicem duobus aquæ congiis decoctum, colato, & cœlo sereno noctũ exponito. Deinde aquam hanc solam si velit, aut vino mixtam bibat, eamq; non affatim multã, sed dimidiæ heminæ copia, vt ne alui profluuium ei superueniat, paucoq; interposito tempore, bibat. Cõferunt & hæc quotidie ieiuno potui exhibita, trita & vini albi veteris hemina diluta, apij semen, cucumeris semen, fœniculi semen, cuminum Æthiopicum, adiantum, coriandrum herba, vuæ passæ albæ. Hæc & illa si biberit, iuuabitur, celerrimeque sanus euadet. Alius morbus regius. Hic ex temulentia & rigore hyemis tempore inuadit. Primùm autem inuadere incipit rigor, deinde etiam febris detinet, & corporis humidũ sub cute concrescit. Ex his autem rem se ita habere manifestum est. Eius corpus liuidum est, & aliquantulum durum, & venæ quæ per corpus distenduntur sunt pallidæ, maiores & crassiores quàm antea, quædam etiam subnigræ subtenduntur. Ex his si aliquem quis secet, sanguis defluet pallidus, si pallidæ sint venæ, si nigræ fuerint, niger defluet. Hic vestem corpori adiacentem præ pruritu ferre non potest, & ad eundum &

ambulandum promptus est, sed pre imbecillitate eius crura labascunt, & magna siti premitur. Hic morbus superiore nō minùs lethalis est, in longius autem tempus progreditur, nisi mox primis dieb. sanescat. Quòd si morbus ad octauum aut nonum diem extendatur, in morbum incidit, morbusque & dolor magis vrget, neq; exurgere potest, & pleriq; intra hoc tempus confestim pereunt. Huic ita habēti, si ad eum initio morbi accesseris, vbi verò septem iam dies præterierint, veratrum propinato. Inferiorem verò aluum per succum, velut in superiore, aliquantulum purgato, aliaq; eadem medicamenta exhibeto. Cantharidas etiā sine alis & pedibus tritas quatuor, & ex vini albi hemina dimidia dilutas exhibeto. Iam verò etiam pauco melle affuso, mox ita propinato, idque bis aut ter in die bibat. Procedente autem morbo balneis & fomētis curato. Quæcunq; expetit edat, vinum album, austerum bibat, reliquaq; eadē accipiat quæ in priore. Hic morbus nisi proba curatio per initia adhibita fuerit, diuturnus est & molestus. Alius morbus regius. Hic popularis appellatur, quòd omni tempore prehendat. Ex repletione autem & temulētia præcipuè oritur, cumque rigore correptus fuerit, cōfestim sanè corpus immutatur & pallidum euadit, & oculi admodum pallidi, sub capillos & vngues progreditur morbus, rigor & febris leuis detinet, corpus debilitatur, caput dolor occupat, pallidamque & crassam vrinam reddit. Hic morbus regius superioribus minùs lethalis est, & diligentia adhibita breui curatur. Huic cùm sic habuerit cubiti venas pertundito, & sanguinem detrahito, deinde fomento admoto veratrum propinato. Tertio verò die asinino lacte rursus deorsum aliquantū purgato. Reliquas autem sorbitiones, potus & cibos eosdem quos priori exhibeto, eius caput crebrò purgato, succatiunculam bibat, eiq; multa calida loto, carnes tritas ex vino albo propinato, & ad reliqua omnia iisdem vtatur, breuiq; cōualescet. Alius morbus regius: ex pituita quidē oritur, præcipueq; per hyemem præhēdit. Huius color albus est, eiusq; pectus pituita plenum est, & saliuam expuit, cumq; exerceat ei singultus cōtingit, & vrinam albam & crassam reddit, in qua velut farina subsidet. Hic morbus minimè est lethalis, breuiq; sanescit. Huic ita habenti granum cnidiū propinato, postq; purgationem succi ptisanæ quatuor heminas affuso melle sorbendas exhibeto. Ventrem verò superiorem per vomitū, velut in superioribus purgato. Sic enim facilimè pituitā ex pulmone & arteriis deduxerit. Quin & oris collutionem ei frequēter apparato. Hic aliquando leuiter febricitat, & horror tenuis contingit. In reliquo, iisdem quibus superiores morbos regios, tum medicamentis, tum fomētis, tum balneis, eduliis, potibus ac sorbitionibus curato. Sic enim potissimùm sanum reddes. Morbus Typhos nomine. Typhos quidem appellatur hic morbus, inuaditq; æstatis tempore, cùm canis sydus oritur, bile per corpus agitata. Statim igitur cùm febres vehementes

φλέεσθαι καὶ φοιτᾶν, ἀλλ' ὑπὸ τῆς ἀσθενείης αὐτοῦ [108] τὰ σκέλεα ὑποφέρεται καὶ διψῇ σφόδρα. [109] αὕτη ἡ νοῦσος, ἧσσον τῆς προτέρης θανασίμη. περιέρχεται δὲ πλείω χρόνον, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν ὑγιὴς γένηται. ἢν δὲ ἡ νοῦσος ἀπομηκύνῃ, καὶ γίνηται ὀγδόη ἢ ἐνάτη, συμπίπτει εἰς νοῦσον. καὶ ἡ νοῦσος, καὶ ἡ ἀλγηδὼν πιέζει μᾶλλον. καὶ ἀνίστασθαι οὐ δύναται. καὶ οἱ πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθείρονται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς μὲν τῆς νούσου ἢν παραλάβῃς, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πίσαι. τὴν δὲ κάτω κοιλίην, χυλῷ ὑποκαθῆραι, ὡς ἐν τῷ πρόσθεν. καὶ τἄλλα τὰ αὐτὰ διδόναι φάρμακα. διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων, καὶ διεὶς οἴνῳ λευκοῦ ἡμικοτυλίῳ. ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον. εἶτα οὕτω διδόναι πιεῖν. τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. προϊούσης δὲ τῆς νούσου, λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. ἐσθιέτω δὲ ὅσα προσίεται. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρόν. καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἃ καὶ τῷ πρόσθεν. αὕτη ἡ νοῦσος, χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ' ἀρχὰς καλῶς μεταχειρισθῇ. ἄλλος ἴκτερος. ἐπιδήμιος ἐστὶ καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει. γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης. καὶ ἐπειδὰν ῥιγώσῃ, εὐθέως οὖν τὸ σῶμα ἀλλοιοῦται καὶ γίνεται ὠχρόν. καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροί. καὶ ὑπὸ τὰς ῥίζας καὶ ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ὑπέρχεται. καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει. καὶ ἀσθενεῖ τὸ σῶμα. καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει. καὶ οὐρεῖ ὠχρὸν καὶ παχύ. ἐστὶ ὁ ἴκτερος, ἧσσον θανατώδης τῶν πρόσθεν. καὶ θεραπεύεται μελετώμενος ἐν τάχει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, σχάσαι αὐτοῦ τὰς ἀγκῶνας καὶ ἀφαιρέειν τοῦ αἵματος. ἔπειτα πυριήσας, πίσαι ἐλατήριον. κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ τρίτῃ, ὀνείῳ γάλακτι. τὰ δὲ ἄλλα ῥοφήματά τε καὶ πόματα καὶ ἐδέσματα, τὰ αὐτὰ διδόναι, ἃ καὶ τῷ πρόσθεν. καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινά. [110] καὶ ἀπὸ χαλαζίου πίνειν, καὶ λούειν αὐτὸν, πολλῷ καὶ θερμῷ. καὶ ξύων τὴν σάρκα, ἐν οἴνῳ λευκῷ διδόναι πίνειν. καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσι χρέεσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσται. ἄλλος ἴκτερος. γίνεται μὲν ἀπὸ φλέγματος, ἐπὶ δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει. καὶ ἡ χροιὴ αὐτέου λευκή. καὶ τὰ στήθεα αὐτέου πλήρεα γίνεται φλέγματος. καὶ πτύει τὸ σίαλον. καὶ ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται. καὶ οὐρεῖ λευκὸν καὶ παχύ. καὶ ὑπὸ αὐτῷ ὑφίσταται, ὁκοῖον ἄλευρον. ἐστὶ ὁ ἴκτερος, ἥκιστα θανατώδης, καὶ ἐν τάχει ὑγιαίνεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πίσαι κνίδιον κόκκον. καὶ μετὰ τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκρυφέειν τέσσαρας κοτύλας. τὴν δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος, κάθαρσιν παρεχέτω ὡς ἐν τῇσι πρόσθεν. οὕτω γὰρ ἂν μάλιστα τὸ φλέγμα ἀπαγάγοι τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν. καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. ἐστὶ δὲ ὅτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ. καὶ φρίκη λεπτὴ ἐπιγίνεται. καὶ τἄλλα μελετᾶν οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους. καὶ φαρμάκοισι. καὶ πυριήσι. καὶ λουτροῖσι, καὶ ἐδέσμασι. καὶ ποτοῖσι. καὶ ῥοφήμασιν. οὕτω γὰρ ὡς μάλιστα ὑγιέα ποιήσεις. [111] Νούσημα ὅπερ καλέεται τῦφος. Τῦφος μὲν τοῦτο τὸ νούσημα καλέεται. ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. εὐθέως οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυ-

ροὶ

ρόν. καὶ καῦμα ὀξύ. καὶ ἀπὸ τοῦ βάρεος ἀσθενείη. καὶ ἀχρηΐη τῶν σκελέων καὶ τῶν χειρῶν. ἄχρεα γὰρ μάλιστα γίνεταί οἱ. καὶ ἡ γαστὴρ ταράσσεται. καὶ τὰ ὑποχωρέοντα δυσώδεα. καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. ταῦτά τε πάσχει. καὶ ἤν τις ἀναστῆσαι θέλη αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι. οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ἀνορῆν δύναται ὑπὸ τοῦ καύματος. καὶ ἤν τις αὐτὸν ἐρωτᾷ, ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. ὁκόταν δὲ μέλλῃ ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ, καὶ φθέγγεται θαρσαλέως. καὶ πιέειν καὶ φαγέειν αἰτέει. καὶ ἢν δῷ τις καταφαγεῖν, ἐν τάχει μεθῆκε τὴν ψυχὴν, ἢν μὴ ἐξεμέσῃ. τούτῳ ἡ νοῦσος αὕτη κρίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἢ δεκατέσσαρσι. πολλοὶ δὲ διαφέρουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας. ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται. καὶ γὰρ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι, δηλοῦται εἰ θανάσιμος, ἢ οὔ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, λουτρῶν μὲν, ἀπέχεσθαι. ἀλείφειν δὲ, οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐς κοίτην. καὶ σιτίων ἀπέχεσθαι. [112] ῥοφήματα δὲ λεπτὰ καὶ ψυχρὰ διδόναι. οἶνον δὲ πινέτω, μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ. ἢν δὲ μὴ, λευκὸν, ὑδαρέα, αὐστηρόν. ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ τοῦ καύματος, ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, ταῦτα δὶς ἢ τρὶς ποιήσας. καὶ ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκεα βάπτων ὕδατι ψυχρῷ προστιθέναι, ᾗ ἂν μάλιστα φῇ καίεσθαι. ἢν δὲ φρίκη ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. οὗτος ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης, αἴφνης κινδυνεύσει καταλιπὼν τὴν ψυχήν. ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς. τὰ αὐτὰ ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ, καὶ ποτῷ, καὶ λουτροῖσιν ὡς τάχιστα. ἡ γὰρ νοῦσος χαλεπὴ, [113] καὶ παῦροι διαφεύγουσιν. ἄλλος τύφος. ἐπιλαμβάνει μὲν τὸ νούσημα πᾶσαν ὥρην. γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα, καὶ τὸ ποτὸν πουλὺ, αἱ σάρκες ἀναπίωσι καὶ πλαδαραὶ γίνωνται, ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ' ἀρχὰς γινόμενος, καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ ἐνίσταται. ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων, καὶ ἐμέει σίαλον. καὶ ἐρεύγεται πυκνά. καὶ ἀλγέει [114] τὰς χώρας τῶν ὀφθαλμῶν, [115] καὶ τὸ πρόσωπον ἀφύει. καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται. ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδέει καὶ ἐς τὰ στήθεα καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει. καὶ ἡ γαστὴρ τετάρακται. [116] καὶ τοῖσιν ὀφθαλμοῖσιν ἐξορέουσι ἰσχυρῶς. καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες. καὶ ἐν τῇ φάρυγγι δοκέει ἐνέχεσθαι. [117] καὶ κέρχνει αὐτόν. πολλάκις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. [118] τοῦτο ὁκόταν οὕτως ἔχῃ, καὶ οὕτως ὁ πόνος πιέζῃ, καὶ ὀρθόπνοια ἰσχυρὴ ἐμπίπτῃ, ἔστιν ὅτε καὶ πολλάκις ἐξαπίνης ὑπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐς ἑπτὰ ἡμέρῃσιν, ἢ ἐν δεκατέσσαρσι. πολλοὶ δὲ διαφέρουσι καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀφῆκε. καὶ δοκέει ὑγιὴς εἶναι. ἀλλὰ φυλάσσεσθαι χρὴ, ἄχρις ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν. ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. τούτῳ ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, χρὴ ῥοφήματα διδόναι, ἄλητον κάθεφθον, μέλι λεπτὸν παραχέων. πίνειν δὲ διδόναι, μέλανα οἶνον κατ' ὀλίγον, ὅκως ἂν βούληται κεκρημένον. σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι.

corripiunt, & grauis ardor, & cum grauitate imbecillitas, crurumq; ac manuum impotentia, quæ nullum ei vsum prestant, venter perturbatur, & quæ ex eo demittuntur grauiter olent, vehementiaq; tormina accedunt. Hoc etiam modo afficitur, si quis eum erigere velit, rectus stare nequit, neque oculis suspicere præ ardore. Et si quis eum interroget, præ dolore respondere non potest. Vbi verò periturus est, tum acutiùs cernit, tum audacter loquitur, & potum & cibum postulat, quem si quis exhibuerit, breui etiam nisi euomuerit, animo linquitur. Huic hic morbus septimo aut decimoquarto die iudicatur. Multi verò etiam ad vigesimum quartum percurrunt. Hos igitur si præterierit, conualescet, his enim diebus lethalis sit nécne declaratur. Hunc ita habentem ad hunc modum curato. Primis diebus balneo quidem abstineat, vino autẽ & oleo tepido in cubili illinito, cibis abstineat, sorbitiones autem tenues & frigidas exhibeto. Vinum, si conferat, nigrum, austerum bibat, sin minùs, album, aquosum, austerum. Quòd si vehemẽs sitis ex ardore vrgeat, vbi confertim potum multum exhibueris, vomere iubeto, idq; bis aut ter facito. Cumque ardor tenuerit, lintea frigida intincta quâ præcipuè parte ardere dixerit, admoueto. At si horror corpus detinuerit, refrigerantia remittito. Hic cùm laborauerit, maximè periclitabitur ne ex huiusmodi dolore de repẽte animã emittat. Verùm ei celeriter ad dolorem eadem medicamenta quę morbo laterali detento exhibenda sunt. Cùm verò surrexerit, cibo, potu & balneis quàm citissimè vires reficiendæ. Morbus enim grauis est, paucíq; euadũt. Alius Typhos. Morbus quidem omni tempore inuadit, ex corporis autẽ humiditate oritur, cùm cibos humidos & copiosum potum carnes exorbuerint, & flaccidę extiterint, ex his potissimùm morbus oritur. Per exordia igitur febris tertiana aut quartana exoriri incipit. Dolor vehemens capiti aduenit, & interdum in corpore intermittit; & saliuã euomit, crebrò ructat, & oculorum regiones dolet, vultus exalbescit & apuæ colorem refert, ad pedes tumor laxus defertur. Interdum verò etiam totum corpus intumescit, & ad pectus & dorsum aliquando dolor excurrit, venter conturbatur, oculis vehementer prospectat, sputũ copiosum & spumosum expuit, quod ad fauces adhærescere videtur, eiq; stridulam vocem facit, plærũq; verò etiã fauces inflãmantur. Hic cùm sic habuerit, sicq; dolor presserit, eiq; vehemens erectæ ceruicis spiratio contigerit, interdum frequenterq; de repente intra septem aut quatuordecim dies animam emittit. Plæriq; verò etiã ad vigesimum quartũ perdurãt, sępè quoque de repente morbus dimittit & sanus videtur. Verùm diligenter obseruare oportet quoad quatuor & viginti dies præterierint, quos si effugerit, vix moritur. Huic ita habẽti primis dieb' pro sorbitione farina decocta tenui melle affuso exhibenda est. Vinũ verò nigrum paulatim potui dãdum, vt voluerit temperatũ. At cibos priusquã hi dies præterierint ne porrigito.

Polypos ex vino coctos edendos dato, & ius sorbendũ, radiculæq; multæ comedendæ. Et nasturtij semen tostum, molitum, & tenuiter cribratum, deinde vino nigro acerbo iniecto bibat, polentamq; tenuem, paucam mane bibẽdam dato. Balneo abstineat quoad hi dies præterierint. Vino & oleo tepefactis in cubili illine & absterge. Pæoniæ seminis grana decem ex vino nigro decocta potui exhibeto, & raporum probè decoctorum iusculum sorbeat, caseo insulso condîtum, papauere, sale, oleo, lasere & aceto. Quòd si medicamentum propinare voles, granũ cnidium propinato. Et post purgationẽ, farinæ coctæ & pinguis duo acetabula sorbenda dato, idemq; vinum bibat. Ac medicamenta sorbitiones & potiones quascunq; dederis, siue singula per se, siue plura simul exhibueris, profuerint, sicq; citissimè sanum reddideris. Morbus autem grauis est, paucíq; euadũt. Alius Typhos. Hic quidem hanc ob causam gignitur, cùm bilis putrefacta cũ sanguine per venas & articulos permixta fuerit, sanguisque coierit, in articulis verò præcipuè consistit, quandoq; etiam in totum corpus decumbit, doloresq; acutos exhibet. Plerįq; enim ex huiusmodi morbo claudi euadunt, vbi bilis in articulis retenta, in tofum obduruerit, dolor verò intermittẽs, per tres & quatuor dies inuadit. Hunc ita habentem ad hunc modum curato. Dolore in corpore obtinente, tepefactoria ex oleo illito parare & admouere oportet. Vbi autem remiserit, veratrũ exhibeto, fotu priùs vniuerso corpori adhibito. Postero autem die serum lactis caprini decoctum ad duos cõgios potui exhibeto, ad alterum congium melle affuso, ad alterũ verò sale iniecto, deinde vicissim alternatis poculis ebibat. Sub vesperum verò post purgationem, lenticulæ acetabulũ sorbeat, & betarum pinguium acetabulum polenta aspersa bibat. Pulli gallinacei carnem, vel columbæ, vel turturis, vel ouiculæ, vel suis pinguis edat. Veratrum autem sexto quoq; die exhibeto, & sicubi in articulis tumor exoritur, nec discedat, admota cucurbitula sanguinem detrahito, cõpunctis per acum triangularem genibus in quibus tumor extiterit, nullo tamẽ alio articulo compuncto. Intermediis autẽ diebus cibum sumat, panem quidem maximè assatum, mazam autem quàm maximè melle & oleo subactam. Pro opsonio autem quàm maximè assa habeat, volucrium verò carnes insulsas. Sin minus etiam cum iure coctas, absq; caseo tamen, sesamo & sale. At piscibus vtatur maximè carnosis, assis tamen ad eundem modum quo carnes coctis, origano conspersis & oleo subunctis. Vinum, si conferat, albũ bibat, quòd si non conferat, nigrũ, & obambulationibus de die, post cœnã & mane se exerceat. Serum autẽ & lac, cùm tẽpus feret, semper bibat. Quòd si tibi visum fuerit, etiam asininũ lac decoctum exhibeto. Et si sanus euaserit, à frigore & æstu sibi caueat, neq; cibis admodũ repleatur. Periculũ enim est ne rursus morb. reuertatur. Sic igitur curatus hic morbus, sex mẽsibus sanatur. Tot enim mensiũ interuallis lethalis sit nécne iudicatur. Qui etiã si confestim curetur, molestus tamẽ est, & plærosq; ad mortẽ vsq; comitatur. Alius ty-

πολύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν. καὶ τὸν ζωμὸν ῥοφάνειν. καὶ ῥαφανίδας τρώγειν πολλάς. καὶ καρδάμου καρπὸν φώσας, ἀλέσαι καὶ σῆσαι λεπτά. εἶτα πινέτω οἶνον μέλανα, ἐπιβαλὼν στρυφνόν. καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι πίνειν ἕωθεν. λουτροῦ δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν. οἴνῳ δὲ καὶ ἐλαίῳ χλιαίνων, διαλείφειν ἐς κοίτην, [119] καὶ ἐκμάσσειν. καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν. καὶ γογγυλίδας διέφθους ποιέων, ῥοφανέτω τοῦ χυλοῦ, ἀρτύσας τυρῷ ἀνάλτῳ, καὶ μήκωνι, καὶ ἁλὶ, καὶ ἐλαίῳ, καὶ σιλφίῳ, καὶ ὄξει. ἢν δὲ καὶ φαρμακοποτῆσαι βούλῃ πῖσαι, τὸν κνίδιον κόκκον πῖσαι. καὶ μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ καὶ λιπαροῦ δοῦναι [120] δύο τρυβλία ἐκροφέειν. οἶνον δὲ πινέτω τὸν αὐτόν. καὶ τῶν φαρμάκων καὶ ῥοφημάτων καὶ ποτῶν ὅ,τι ἂν διδῷς, ὀνήσει, ἤν τε καθ' ἓν, ἤν τε κατὰ πλείω προσφέρῃς. καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή. καὶ παῦροι διαφυγγάνουσιν. ἄλλος τῦφος. γίνεται μὲν καὶ οὗτος διὰ τόδε. ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ, ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι. κατασκήπτει δὲ ἐνίοτε καὶ εἰς τὸ ἄλλο σῶμα. καὶ ὀδύνας παρέχει ὀξείας. καὶ οἱ πολλοὶ ἐκ τῆς τοιαύτης νούσου, χωλοὶ γίνονται, ὁκόταν ἀποληφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ. ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει, καὶ διὰ τριῶν ἡμερέων, καὶ διὰ τεττάρων. τοῦτον ὁκόταν ὧδε ἔχῃ, μελετᾷν οὕτως. τῆς ὀδύνης ἐπικρατούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας. ὁκόταν δὲ λήξῃ, δοῦναι αὐτῷ ἐλλέβορον, πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα. τῇ δὲ ὑστεραίῃ, ὀῤῥὸν αἰγὸς ἑψήσας, δοῦναι πίνειν, δύο χόας, παρὰ τὸν ἕτερον χόα, μέλι παραχέας. παρὰ δὲ τὸν ἕτερον, ἅλας παραβαλών. εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων, πινέτω ἕως ἂν ἐκπίῃ ἅπαν. εἰς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον ῥοφεέτω. καὶ τεύτλων τρυβλίον λιπαρῶν ἄλφιτα παραπάσας, ἐκπιέτω. καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας, ἢ πελειάδος, ἢ τρυγόνος, ἢ οἰὸς, ἢ ὑὸς πῖον τρωγέτω. τὸν δὲ ἐλλέβορον, δι' ἕκτης ἡμέρης διδόναι. καὶ ἤν κου τῶν ἄρθρων ἀποιδίσκηται καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβάλλων, ἀφαιρέειν τοῦ αἵματος. καὶ κεντεῖν ἀκίδι τριγώνῳ, ἐς τὰ γούνατα, καὶ ἐν τοῖσι γούνασιν ἐν οἷς τὸ οἴδημα. τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντήσῃς. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτίον προσφερέσθω. ἄρτον μὲν, ὡς ὀπτότατον. [121] μᾶζαν δὲ, ψαιστὴν ὡς μάλιστα. ὄψα δὲ ἐχέτω ὡς μάλιστα μὲν ὀπτά. ὀρνίθια δὲ, ἄναλτα. εἰ δὲ μὴ, καὶ ἑφθὰ, ἐζωμευμένα, πλὴν ἄνευ τυροῦ, καὶ σησάμου, καὶ ἁλός. ἰχθύεσι δὲ χρεέσθω τοῖσι σαρκωδεστάτοισιν. ὀπτοῖσι δὲ, τὸν ἴσον τρόπον τοῖς κρέασιν ἑψῶν, [122] διόριγανον πάσας, ἐλαίῳ αὐτὰ ὑποχρίσας. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ. ἢν δὲ οὐ ξυμφέρῃ, μέλανα. καὶ ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης. καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθριος. ὀῤῥὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω ἀεί. ἢν δέ σοι δοκέῃ, καὶ ὄνειον γάλα διδόναι ἀφεψήσας. καὶ ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ αὐτὸν εἶναι τοῦ ψύχεος, καὶ τοῦ πνίγεος. καὶ τῶν σιτίων, μὴ λίην ἐμπιπλάσθω. κίνδυνος γὰρ αὖθις ὑποτροπιάσαι τὴν νοῦσον. αὕτη τοιγαροῦν ἡ νοῦσος οὕτω θεραπευομένη, ἐν ἓξ μησὶν, ὑγιὴς γίνεται. ἐν γὰρ τῷ τοσούτῳ μηνῶν τῷ διαστήματι κρίνεται ἤν τε θανάσιμος ἦ, ἤν τε μή, ἢν καὶ παραχρῆμα θεραπεύηται, πλὴν ἡ νόσος χαλεπή. καὶ τοῖσι πλείστοισι συναποθνήσκει. ἄλλος τῦ-

φος.

φος. γίνεται μὲν τὸ νόσημα ἐν ὀπώρης καιρῷ, ὁκόταν τις πλησθῇ παντοδαπῆς ὀπώρης. τοῖσι δὲ πολλοῖσι καὶ ἀπὸ τῶνδε ἐγίνετο ἡ τοιάδε νοῦσος. φαγόντες πλακοῦντος καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλείστως. τὸ γὰρ μέλι τὸ ἑφθὸν, καυματῶδές ἐστι, καὶ προσπλάσσεται τῇ κοιλίῃ. ἔπειτα ὁκόταν κατεψηθῇ ἐν τῇ κοιλίῃ, ἀναζέει. καὶ ἐξαπίνης ἡ γαστὴρ ἀείρεται. καὶ πίμπραται. καὶ δοκέει διαρρήσσεσθαι. ἔπειτα δὲ ἐξαπίνης διάρροια ἐπεγίνετο. καὶ ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας καθαίρεται. καὶ πολλοὶ μετὰ ταύτην τὴν κάθαρσιν ὑγιέες ἐγίνοντο. ὁκόταν οὖν παύσηται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅλας παραβαλών. μετὰ δὲ τὴν κάθαρσιν τοῦ χυμοῦ, ἐς ἑσπέρην, φακῆς τρυβλίον ῥοφεέτω ψυχρῆς ἀνάλτου. [121] σίλφιον δὲ ἐπιζέσθω πολύ. καὶ τεύτλου τρυβλίον, ἀνήδυντου λιπαροῦ, ἄλφιτα παραπάσσων. οἶνον δὲ πινέτω, μέλανα αὐστηρὸν κατ' ὀλίγον. τὸ δὲ λοιπὸν τοῦ χρόνου, τὰ αὐτὰ ποιεέτω. καὶ σῖτα προσφερέσθω, ἄρτον ἐξόπτον. μάζαν τε ψαιστὴν ὡς μάλιστα. τὰς δὲ πρώτας τῶν ἡμερέων, ἄλευρον φαγέτω καθεφθόν, ἀποψύχων, καὶ μέλι παραχέων. οἶνον δὲ πινέτω μέλανα τρυφνόν, ἕως ἂν καταστῇ ἡ νοῦσος, ταῦτα προσφερέσθω. ὁ δὲ ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ, φῦσαν παρέχει, καὶ στρόφον, καὶ ὀδύνην. καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν. καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ αὐτοῦ ἐστι. καὶ ῥῖγος καὶ πυρετὸς ἔχει. τούτῳ ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη, ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται. καὶ ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα ἔσται. ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν, τῷ ἱπποφαέος ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ ταῦτα διδόναι, [124] καὶ τῷ αὐτομάτῳ καθαιρομένῳ. τῇ δὲ ὑστεραίῃ, ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω, διδόναι δὲ αὐτῷ πίνειν τὸν αὐτὸν οἶνον, ὡς ἐν ψυχροτάτῳ ὕδατι. ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτάσθω δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην. καὶ περιπατεέτω πρὸς τὰ σιτία λελογισμένως. ἀπὸ τουτέου τοῦ νοσήματος, πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο. καὶ ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον, εἷσι καὶ τὸν ὑδεριῶντα. ἢν δὲ βούλῃ τοῖσιδε κλύζειν. ἐν μελικρήτου κοτύλῃ [125] ποιῆν θαψίης ἐντρίψας, εἶτα οὕτως ἐγκλύσαι. οὗτος οὕτω θεραπευόμενος τάχιστα ὑγιὴς ἔσται. ἄλλος τῦφος. γίνεται μὲν τὸ νόσημα, ὁκόταν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι σαπῇ, καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. γίνεται οὖν τὸ εἶδος, ὁκόταν τῷ νοσήματι ἔχηται, δίυγρος. ὑπόχλωρος. διαφανής. κύστει ἔοικεν οὔρου, πλὴν οὐκ οἰδέει. ἀλλὰ λεπτὸς [126] καὶ σκελιφρός ἐστι καὶ ἀσθενής. μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληῖδας. καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος. καὶ οἱ ὀφθαλμοὶ ἔγκοιλοι σφόδρα. ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει. [127] ἢν δὲ ἡ χροιὴ τοῦ σώματος μέλαινα ᾖ, τάδε αἴτιά ἐστιν. ἐς τὰ φλέβια καὶ ἐς τὸ δέρμα, ὁκόταν χολὴ μέλαινα ὑπέλθοι, καὶ ἐπὶ τούτοισιν ὁκόταν θέρμη ἐπιγένηται, ἀνάγκη ὑπὸ τοῦ θερμοῦ ξυγκέεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια, [128] ὥστε τὸ αἷμα ἐκχωρέειν κατὰ τὰ φλέβια. τάδε οὖν πάσχει. ἔστι λεπτὸς γίνεται. καὶ κάτισχνος ἰσχυρῶς. καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀραιὰ [129] σκαρδαμύσσει, καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει. [130] καὶ βαρέως τὰ σιτία φέρει ἢ ὑγιαίνων. καὶ λύχνου ἀποσβεσμένου τῇ ὀσμῇ ἥδεται. καὶ ἐξονειρώσσει θαμινά. πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ, ἐξέρχεται ἡ γονή.

phos. Oritur quidem hic morbus fructuum autumnalium tempore cùm quis se iis omnis generis expleuerit. Plærisque verò inde etiam eiusmodi morbus oritur, ex inexplebili placentorum ex sesamo aliorumque ex melle dulciariorum esu. Mel enim coctum in ventriculo ardorem excitat, eique affigitur, deinde vbi in vẽtriculo coctum fuerit efferuescit, venterq; de repente attollitur, incenditur, & disrumpi videtur. Deinde verò alui profluuium de repente contingit, cumque semel fluere cœperit, per multos dies purgatur, multique ab hac purgatione sani euadunt. Cùm igitur sponte purgatio cessauerit, lentium cremoris, addito sale, tres semicongios vt ebibat cogito. Post succi autem purgationẽ, sub vesperum, lenticulæ frigidæ insulsæ acetabulũ multo lasere incocto sorbeat, & betæ non conditæ pinguis, polenta aspersa acetabulum. Vinum nigrum austerum paulatim bibat. Reliquo autem tempore eadem faciat, & cibos assumat, panem exassatum, & mazam quàm maximè melle & oleo subactam. Primis autem diebus farinam coctam & melle affuso refrigeratam comedat. Vinũ bibat nigrum, acerbum, & quoad sedatus fuerit morbus hæc assumat. Qui verò sub autumnalium fructuũ tempus morbo correptus est, flatum exhibet, tormina & dolorem, neque cibaria demittere solet, venterq; ei magnus & durus est, & rigor febrisq; detinet. Huic siquidem venter cõmotus fuerit, viginti (vt minimum) diebus purgatur, cumque purgatio cessauerit, confestim sanus euadit. At si minimè purgatus fuerit, eum hippophaës succo aut grano cnidio purgato. Sub vesperum autem eadem etiam spõte purgato exhibeto. Postridie verò si febris detineat, quietem agat, eique vinum idem ex aqua gelidissima bibendum dato. Quòd si febris minimè detineat, victus ratione vtatur non humida, sed valẽtiore, & ciborum ratione habita deambulet. Ex hoc morbo plærisque iam aqua intercus cõtracta est. Et si visum fuerit aluum per infusum subluere, iisdem quibus in aqua intercute aluum subluito. Quòd si voles ex his infusum parato. Thapsiã herbam in aquæ mulsæ hemina conterito, deinde sic per infusum immittito. Hic hoc modo curatus citissimè sanus euadet. Alius Typhos. Gignitur quidẽ hic morbus cùm corporis humidum putrefactum & plus æquo resiccatũ fuerit. Cùm igitur morbo detentus fuerit, habitu est perhumecto, suppallido, pellucido, & vesicæ vrinę similis apparet, sed nõ intumescit, verùm tenuis est, aridus ac debilis. In corpore autẽ præcipuè clauiculæ extenuantur, & vultus vehementer gracilis est, oculiq; admodũ caui, & hæc quidẽ ex morbo contingũt. Quòd si corporis color niger extiterit, huius rei causa est. Cùm in venas & cutẽ bilis atra subierit, cũq; his calor superuenerit, venulas à calore exuri & resiccari necesse est, ac pinde sanguinẽ per venas excedere. Sic igitur afficitur, hic tenuis & vehemẽter gracilis euadit, oculis rarò nictatur, & muscas in stragulis sectatur, cibis magis grauatur quã sanus, lychni extincti odore gaudet, frequẽter in somnis seminis profluuiũ patitur, & plærũq; inter eundũ ei genitura effunditur.

Huic cùm sic habuerit, vẽtrem superiorem videlicet, veratro nigro purgato, inferiorem verò scammonij succo. At post purgationem, eadem quæ cæteris dato, & serum, lacque bubulum, aut caprinum, si anni tempus fuerit, exhibeto. Lac etiam asininum decoctum vt aliquãtulum purgetur, dato. Ad hunc modum curatus, intra biennium ferè sanus euadit. Cibos quos velit accipiat, quàm plurimum comedat, & pro ciborũ ratione obambulet. Hic morbus viginti annis maiorem prehendit, cumq; prehenderit, nisi per exordia curatio adhibita fuerit, non deserit, quin viginti anni præterierint, sed perseuerat, deinde nõnullis dum curatio adhibetur, decedit. Grauis autem morbus est. Tenuioris intestini morbi aut voluuli. Cõuoluuli appellantur hi morbi, ex hisq; præcipuè oriuntur, si quis calida & humida victus ratione per hyemem vtatur, neq; ciborum ratione facta obambulationibus se exerceat, verùm expletus perpetuò dormiat, deinde de repente longũ iter per frigus conficere cogatur, postea sub ossibus rigor corripiat. Sic igitur afficitur, flatus vniuerso corpore oboritur, eius color plumbũ refert, & perpetuò riget, adeò vt calida ei affusa, minimè calida sentiatur. Corpus autem eius dum lauatur à squalida desquamatur, præsertim verò scrotum, siq; digito corporis partem aliquam comprimas, desidere facies, & tibi vestigium apparebit, non secus ac in farina aqua subacta. Maximè autem in pedibus desidet. Eius autem crura grauantur, & si deambulet, tremunt, siq; per accliuem locum iter faciat, crebrò admodum spirat, vlnæ suspensæ esse videntur, sitis per noctem detinet, cibosq; quoscunque comedit, crudos per aluum demittit. Huic ita habenti, cùm ei fomentum admoueris, cneorum, aut hippophaës succum, aut granum cnidium propinato. Post purgationem autem eadem quę superioribus dato. At postridie lactis asinini cocti congium sale iniecto, bis ebibẽdum dato. Sub vesperum, panem in cœna sumat, pro opsonio habeat ouiculæ carnes coctas, & polypos ex vino nigro coctos, iusculumq; sorbeat, lenticulam ad hunc modum apparatam habeat. Lentis heminæ coctæ, probè lotæ, postea farinam commisceto, & laser derasum & salem iniicito, acetum infundito, & ad hæc allia simul coquito, deinde aqua affusa bis aut ter feruefacta, simul ipsa rudicula agitato, postea detracta refrigerato. Sit autem non valdè crassa, cuique boni odoris gratia pulegium simul coctum iniectum sit. Interiectis autem diebus sexto quoq; die vomitus excitet, subinde tamen ante vomitum & medicamenti potionem fomentum admouere oportet. Tertio quoque die balneum, si cõferat, exhibeatur, sin minus, inungatur, & si possit, pro ciborũ ratione deambulationibus vtatur, & sambuci folia, conyzæq; semper tenellæ decocta, edẽda dato. Hac enim curatione facilimè degет, morbusq; post annũ deseret. Multis verò iam sanatis, post biẽnium morbus reuersus est, eadem curatione curare oportet. Quòd si tertiò reuertatur, tumor quidem non accedit, tenuis tamen & gracilis euadit, & facies extenuari incipit, coloreq; exalbido magis quã priùs existit. Huic interdum aqua intercus in vẽtre suboritur. Si igitur exorta fuerit, eũ minimè secare oportet.

τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην τὴν μὲν ἄνω ἐλλεβόρῳ τῷ μέλανι δηλονότι. τὴν δὲ κάτω, ὀπῷ σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ διδόναι, ἃ καὶ τοῖσιν ἄλλοισι. καὶ ὀῤῥὸν. καὶ γάλα βοὸς, ἢ αἰγὸς διδόναι τὴν ὥρην. διδόναι δὲ καὶ ὄνου γάλα ἀφεψῶν ἐς ὑποκάθαρσιν. οὗτος οὕτω μελετώμενος, μάλιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται. σιτία δὲ ἃ βούλεται προσφερέσθω. ἐσθιέτω δὲ ὡς μάλιστα καὶ περιπατεέτω, πρὸς τὰ σιτία τεκμαιρόμενος. αὕτη ἡ νοῦσος λαμβάνει πρεσβύτερον εἰκοσαέτεος. ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ' ἀρχὰς τοῦ 10 νοσήματος μελετηθῇ, οὐκ ἐκλείπει, εἰ μὴ εἴκοσιν ἔτεα παρέλθῃ, ἀλλὰ παραμένει. ἔπειτα ἐνίοισι μελετωμένοισιν ἐξέρχεται. ἡ δὲ νοῦσος χαλεπή. Εἰλεοί. εἰλεοὶ δὲ τάδε τὰ νοσήματα καλέεται. γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα. ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ χρέεται, καὶ μήτε περιόδοισι ἱκανῇσι πρὸς τὰ σιτία τεκμαιρόμενος. πιμπλάμενος δὲ, εὕδει αἰεί. εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος. εἶτα ῥιγώσῃ ὑπὸ τὰ ὀστέα. τάδε οὖν πάσχει. φῦσα ἐγγίνεται ἐν τῷ σώματι παντί. καὶ ἡ χροιὴ αὐτέου γίνεται μολιβδοειδής. καὶ ῥιγοῖ αἰεὶ, ὥστε οἱ θερμὸν καταχυθὲν, οὐ δοκέεται 20 θερμὸν εἶναι. τὸ δὲ σῶμα λουόμενον αὐτοῦ, λεπίζεται ἀπὸ τοῦ θερμοῦ. μάλιστα δὲ ἡ ὄσχη. καὶ ἐν τῷ δακτύλῳ τοῦ σώματος ὑποπιέζῃς, [131] ἐνθλάσεις. καὶ σημαίνεται σοι ὥσπερ ἐν σταιτί. μάλιστα δὲ [132] ἐν τοῖσι ποσὶν ἐνθλᾶται. τὰ δὲ σκέλεα βαρέα αὐτοῦ. καὶ ἢν περιφοιτήσῃ τρέμει. [133] καὶ ἢν πρὸς αἶπος βαδίζῃ, πνευστιᾷ σφόδρα. καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι. καὶ δίψη ἔχει τὰς νύκτας. τὰ δὲ σιτία ὠμὰ διαχωρέει ἅσσα καταφάγῃ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν, κνεώρου διδόναι πίνειν, ἢ τῆς ἱπποφαέος ὀποῦ, ἢ τοῦ κνιδίου κόκκου. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα διδόναι, ἃ καὶ τοῖσι προσθεν. τῇ 30 δὲ ὑστεραίῃ, [134] ὀνείου γάλακτος ἑφθοῦ χοέα διδόναι, δὶς ἐκπιεῖν, ἅλας παραβαλών. ἐς ἑσπέρην δὲ, δειπνεέτω ἄρτον. ὄψον δὲ ἐχέτω, οἷος κρέα ἑφθά. καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ μέλανι. καὶ τὸν ζωμὸν ῥοφανέτω. καὶ φακὴν ἐχέτω, ὧδε ἐσκευασμένην. κοτύλην φακοῦ ἑψήσας, τρίψαι λείην ἔπειτα ἄλευρον παραμίξαι. καὶ σίλφιον ἐπιξέσαι, καὶ ἅλας ἐμβαλεῖν. καὶ ὄξος ἐπιχέαι. καὶ σκόροδα πρὸς τούτοις συνεψεῖν. ἔπειτα ὕδωρ ἐπιχέας ζέσαι δὶς ἢ τρίς. καὶ τορύνῃ ἅμα αὖθις. ἔπειτα ἀφελὼν, [135] ἑψήσθω. ἔστω δὲ μὴ λίην παχεῖα ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων ἑψομένη τῆς εὐωδίης εἵνεκα. 40 τὰς δὲ μεταξὺ τῶν ἡμερέων, ἐμέτους ποιεέσθω δι' ἕκτης ἡμέρης. πυριῆσθαι δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμέτου καὶ τῆς φαρμακοποσίης. καὶ διὰ τρίτης ἡμέρης. λουέσθω ἢν συμφέρῃ. εἰ δὲ μὴ ἀλειφέσθω, καὶ περιπατεέτω ἢν δύνηται πρὸς τὰ σιτία τεκμαιρόμενος, καὶ ἀκτῆς φύλλα καὶ κονύζης τῆς αἰεὶ ἁπαλῆς ἑψῶν, διδόναι ἐσθίειν. οὕτω γὰρ ἂν μελετώμενος, ῥήϊστα διάγοι. καὶ ἡ νοῦσος ἐκλείπει ἂν ἐνιαυσιαίη. πολλοῖσι δὲ ἤδη ὑγιέσι γινομένοισι, διὰ δύο ἐτέων ἡ νοῦσος ὑποστρέψασα. ἀλλὰ χρὴ ἢν ὑποστρέψῃ, τῇ αὐτῇ ἴησιν ἰᾶσθαι. ἢν δὲ τρίτον ὑποστρέψῃ, οἰδέει μὲν οὐκ ἔτι γίνεται. λεπτὸς δὲ γίνεται καὶ κάτισχνος. ἄρχεται δὲ λεπτύνεσθαι, ἀπὸ τοῦ προσώπου καὶ τὴν χροιὴν ἔκλευκος γίνεται μᾶλλον ἢ τὸ πρόσθεν. τούτῳ ὕδερος ἐνίοτε ἐγγίνεται ἐν τῇ κοιλίῃ. ἢν οὖν ἐγγίνηται, τάμνειν αὐτὸν οὐ χρή. ἀποθανεῖται γάρ.

ται γάρ. θεραπεύειν δὲ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ἀπὸ σπληνὸς ὑδεριῶντα. τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι μελετᾶν, καὶ οὕτω ταχέως ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος δέεται μελέτης πολλῆς. χαλεπὴ γάρ. ἄλλος εἰλεὸς ἰκτερώδης. Ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρην ἐν ἑλώδεσι χωρίοισιν ἐστί. μᾶλλον δὲ ἀπὸ ὑδροποσίης. πολλοὶ δὲ ἤδη τῇ τοιαύτῃ συνεσχέθησαν καὶ ὑπὸ τὸν ἥλιον εἰληθέντες, τὴν κεφαλὴν ἀλγήσαντες. ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς. καὶ γὰρ ὠχρὸς γίνεται, οἷον σίδιον. καὶ οἱ ὀφθαλμοὶ ἔστιν ὅτε ἰκτέρου πίμπλανται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. διδόναι δὲ ἀπ' ἐρεβίνθων λευκῶν ὕδωρ ἑφθῶν πίνειν. καὶ ἐν τῷ οἴνῳ διακιρνᾶν καὶ διδόναι. καὶ τὴν κεφαλὴν αὐτοῦ καθαίρειν[136] τῷ τετραγώνῳ. ἐστὶ δὲ ἧσσον τοῦ προτέρου θανατώδης. καλέεται δὲ εἰλεὸς ἰκτερώδης.[137] Εἰλεὸς αἱματίτης. Τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν. ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νόσημα. τάδε δὲ ἐν τῷ νοσήματι προσγίνεται. ἐκ τοῦ στόματος κακὸν ὄζει, ἀπὸ τῶν ὀδόντων καὶ τὰ οὖλα ἀφίσταται. καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει. ἐνίοτε δὲ καὶ ἐκ τῶν σκελέων ἕλκεα ἐκφλυνδάνει. καὶ τὰ μὲν ὑγιαίνεται. τὰ δὲ ἄλλα προσγίνεται. καὶ ἡ χροιὴ μέλαινα, καὶ λεπτόδερμος. περιφοιτᾶν δὲ καὶ ταλαιπωρέειν[138] πρόθυμος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τούτοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν. καὶ κλύζειν τοῖσδε. σικύου τοῦ ἀγρίου πέντε φύλλα τρίψας λεῖα, καὶ παραμίξαι μέλιτος ἡμικοτύλιον. καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρί, καὶ ἐλαίου, ἡμικοτύλιον. καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας. διδόναι δὲ ἐς ὑποκάθαρσιν ὀνείου γάλακτος ἑφθοῦ, κοτύλας ὀκτώ, μέλι παραχέων. πινέτω δὲ καὶ βόειον τὴν ὥρην, τεσσαράκοντα ἡμέρας. πινέτω δὲ καὶ τὸ ἕωθεν τοῦ βοείου γάλακτος δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγοντας καὶ μεταξὺ τῶν ἡμερέων. αὕτη ἡ νοῦσος, δέεται πολλῆς ἰήσιος. εἰ δὲ μή, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ ἀνθρώπῳ. καλέεται δὲ εἰλεὸς αἱματίτης. Τὰ παχέα καλούμενα νοσήματα. Ἐκ δὲ τῶν παχέων καλουμένων νουσημάτων, τάδε μάλιστα γίνεται. ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, ῥέει ἐς τὴν κοιλίην. καὶ ὁκόταν ἀλισθῇ ἐν τῇ κοιλίῃ, ἀείρεται. ἄνω τε καὶ κάτω διαφέρεται, ὥσπερ κῦμα. καὶ ῥῖγος, καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη κατέσκηψε. καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη καταστῇ, πνίγμα παρέχει. ἐνίοτε δὲ ἐμέει λάπην ὀξείην. ἐνίοτε δὲ καὶ ἁλμυρήν. καὶ ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκέει αὐτῷ εἶναι. ἐν δὲ τῇσι πλευρῇσιν ἐρυθήματα κατέχεται. ἅτε γὰρ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἀλισθέν, προσέπεσεν ἐς τὰς πλευράς. καὶ ἐρυθήματα παρέχει ἐν τῇσι πλευρῇσι. καὶ θερμασίη ἔχει μάλιστα τὰς πλευράς. καὶ τὸ μετάφρενον αὐτοῦ ἔγκυρτον γίνεται. καὶ ὁκόταν πονῇ μάλιστα, οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος. ἀλγέει γὰρ[139] ὅκοιον περ ἕλκος. καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος. καὶ οἱ ὄρχιες ἕλκονται, καὶ ἐς τὴν καθέδρην, καὶ ἐς τὴν κύστιν, θέρμη τις καὶ ὀδύνη ἐμπίπτει. καὶ οὐρέει παχὺ[140] ὅκοιόν περ ὑδρωπιῶντες. καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ῥέουσι. καὶ οἱ πόδες αἰεὶ ψυχροί εἰσι. καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευράς, καὶ τὸ μετάφρενον. καὶ τὸν τράχηλον. πρὸς δὲ τῷ δέρματι[141] δοκέει οἱ τι προσέρπειν.

moritur enim, sed iisdem remediis curare, quibus ex liene aqua intercute laborantem. Hunc maximè quidem vt per initia cures tibi videndum est, sicq; celeriter sanum reddes. Morbus autem cùm grauis sit, multa cautione indiget. Alius conuoluulus auriginosus. Inuadit hic æstatis præcipuè tempore, in palustribus locis, ex aquæ autem potione magis. Plerique verò sub sole volutati cum capitis dolore, eiusmodi iam morbo detenti sunt. Verùm vt priores similiter afficiuntur, colore excepto, pallidus enim existit vt malicorium, & oculi interdum auriginoso colore implentur. Hunc cùm sic habuerit, iisdem quibus superiorem curare oportet. Cicerum etiam alborum decoctum potui exhibendum, & vino permiscendum, eiusq; caput medicamento tetragono purgandum. Hic superiore minùs lethalis, & conuoluulus auriginosus nuncupatur. Conuoluulus sanguineus. Cætera quidem copia eadẽ quæ prioribus contingunt, morbus autem per autumnum oriri incipit, in eoque hæc accedunt. Ex ore malus odor expirat, à dentibus gingiuæ abscedunt, & ex naribus sanguis effluit. Interdum verò ex cruribus vlcera erumpunt, & hæc quidem sanescunt, alia verò exoriuntur, color niger est, cutis tenuis, ad deambulationem & exercitationem alacriter se habet. Hunc ita habentem iisdem quibus superiores curato, & ex his aluum subluito. Cucumeris agrestis foliis quinque tenuiter tritis, mellis heminam dimidiam ammisceto, & salis pugillum, itemque olei heminam dimidiam, & betarum coctarum succi heminas quatuor. Dato etiam ad purgationem per inferiora lactis asinini cocti heminas octo, melle affuso, & lac bubulum, si tempus ferat, quadraginta diebus bibat. Mane quoque lactis bubuli heminas duas bibat, tertia aquæ mulsæ parte etiam interpositis diebus ammixta. Hic morbus multa curatione indiget, aliôqui non decedit, sed hominem ad mortem vsque comitatur. Vocatur autem conuoluulus sanguineus. Morbi qui crassi nuncupãtur. Ex crassis morbis nuncupatis, hi præcipuè oriuntur. Cùm pituita & bilis in corpore mixta fuerit, in ventrem defluit, cumque ibi coaceruata fuerit, attollitur, sursumq; ac deorsum velut vnda discurrit, rigor & febris prehendit, dolor ad caput decumbit, cumq; ad viscera peruenerit, strangulatum adfert. Interdum pituitam acidam, quandoque verò etiam salsam vomit, cumq; vomitione reiecerit, os ei amarum videtur. Latera rubores occupãt, pituita nanq; in ventre existente, sanguis calore coaceruatus ad latera fertur, & in iis rubores excitat, eaq; calor maximè vexat, ipsiq; dorsum incuruatur. Cumque maximè doleat, corporis contactum non sustinet, dolet enim tanquam vlceratum, carnes præ dolore palpitant, testes contrahuntur, & ad sedem ac vesicam calor quidam & dolor irrumpit, crassamque vrinam qualem aqua intercute laborantes reddit, capilli ex capite defluunt, pedes semper frigidi sunt, dolor maximè ad latera, dorsum, & ceruicem vrget, eique ad cutem aliquid adrepere videtur.

Morbus autem interdum quidem vrget, interdum verò remittit. At procedente morbo assiduè magis vrget, cutisque capitis crassa & rubra est. Hic ad sex quidem annos hoc modo affectus perdurat, deinde sudor copiosus & graueolens effunditur, crebrò verò per somnum veneris ludibriis agitatur, illiusq; semen genitale subcruētum prodit & subliuidum. Hic morbus ex solis calore & aquæ potione oritur. Hunc igitur vbi sic habuerit, cneoro exhibito per inferiora aliquātulum purgato, aut grano cnidio, aut nippophaës succo. Lactis etiam asinini cocti octo heminas, melle affuso potui dato. Postero verò die post purgationem eadem quæ aliis porrigito. Primis autem diebus eadem quæ aqua intercute detentus in cibo accipiat, & si validus fuerit, obambulationibus se exerceat. Quòd si inualidus propter febres fuerit, neque cibos comedere possit, lenticulæ sorbitione vtatur, & in potu vino nigro quàm austero. Hic morbus autumno præcipuè & autumnalium fructuum tempore inuadit. Hic si quidem intra sex annos curatus fuerit, benè est, sin minùs, ad decimum vsque annum perseuerat; plærosque verò nisi confestim adhibita curatio fuerit, ad mortem vsq; comitatur. Crassi autē huiusmodi morbi ex bile oriuntur, cùm bilis ad hepar confluxerit, & in capite sedem habuerit. Sic igitur afficitur, iecur intumescit, tuncq; ad septum transuersum expanditur, statimque dolor ad caput, præcipuè verò ad tempora ingruit, neque auribus acutè audit, sæpè verò oculis non videt, horrorque & febris inuadit. Hæc quidem per morbi initia ei cōtingunt, & interdum valdè quidem, interdum etiam minùs intermittunt: quantoq; longiùs morbus processerit, tantò magis corpus dolet, oculorum pupillæ dissipantur, & cœcutit, siq; digitum ad oculos admoueris, non percipit, quòd non videat. Ex eo autem cognosces quòd nō videat, quòd admoto digito nō nictatur, & floccos ex veste stragula detrahit, si quos videat, pediculos esse ratus. Cumq; hepar ad septum transuersum magis explicatum fuerit, delirat, eiq; ante oculos reptilia & cuiusuis generis variæ feræ apparere videntur, & homines armati, cum quibus ipse pugnare videtur, & tanquam pugnas & bella geri videat, eiusmodi loquitur, irruit, & nisi quis eum exire sinat minatur, siq; surrexerit, crura attollere non potest, sed decidit, & eius pedes semper sunt frigidi. Cùm dormit per somnum exilit, & terretur cùm insomnia horrenda viderit. Eum autem in somnis exilire & terreri ex eo cognoscimus, quòd ad mentem cùm redierit, insomnia enarrat, queq; in corpore gessit, & quæ lingua locutus est. Hæc quidem ad hunc modum patitur, interdum verò per totum diem ac noctem voce defectus iacet, cùm multa & conferta respiratione. Cùm delirium quieuit, statim euestigio ad mentem redit, & si quis eum roget, confestim respondet, & omnia quæ dicuntur intelligit, deinde rursus paulò post, in iisdem doloribus decumbit. Hic morbus maximè per peregrinationem contingit, & sicubi deserta loca peragrans, ex viso spectro terrore correptus fuerit. Quin & aliàs etiam prehendit. Cùm

ἡ δὲ νοῦσος ὁτὲ μὲν πιέζει, ὁτὲ δὲ ἀνίησι. προϊούσης δὲ τῆς νούσου, συνεχέστερον πιέζει. καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστιν. ἕως μὲν ἑξ ἐτέων, τοιαῦτα πάσχων διατελέει. ἔπειτα ἱδρὼς τε πουλὺς καταχέεται καὶ κακόδμος γίνεται. πολλάκις δὲ καὶ ὀνειρώσσει. τὸ δὲ λάπισμα ὕφαιμον ὑπόλευκον προέρχεται ὑποπέλιδνον. τοῦτο τὸ νόσημα γίνεται διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. τοῦτον ἐπὴν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν, ἢ τοῦ κνιδίου κόκκου, ἢ τοῦ ἱπποφαέος. δίδου δὲ πίνειν καὶ γάλα ὄνειον ἑψήσας ὀκτὼ κοτύλας, μέλι παραχέων. τῇ δ' ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἅ καὶ τοῖσιν ἄλλοισι. τὰς δὲ πρώτας ἡμέρας, σιτεέσθω τὰ αὐτὰ, ἅ καὶ ὁ ὑπὸ ὕδερου ἑαλωκὼς. καὶ πονεέτω περιόδοισιν ἢν δυνατὸς ᾖ. ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν, καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρεέσθω ῥοφήματι φακῆς. ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μεθοπώρου, καὶ ὀπώρης ἐούσης. ἔστι ἣν μὲν ἰηθῇ ἐν τοῖς ἓξ ἔτεσιν. εἰ δὲ μὴ, προσέχει καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν. πολλοῖσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ. παχέα.[142] τὰ δὲ τοιάδε τῶν νοσημάτων γίνεται ἀπὸ χολῆς. ὁκόταν χολὴ ἐπὶ τὸ ἧπαρ ἐπιρρυῇ, καὶ ἐς τὴν κεφαλὴν καταστῇ. τάδε οὖν πάσχει. τὸ ἧπαρ οἰδέει[143] καὶ ἀναπλοῦται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος. καὶ εὐθέως ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει. μάλιστα δὲ ἐς τοὺς κροτάφους. καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει. πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ. καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν κατ' ἀρχὰς τοῦ νοσήματος αὐτῷ γίνεται, διαλιμπάνοντα ὁτὲ μὲν, σφόδρα ὁτὲ δὲ, ἧσσον. ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ, τε πόνος πλείων ἐν τῷ σώματι. καὶ αἱ κόραι σκίδναται τῶν ὀφθαλμῶν.[144] καὶ σκιαυγέει. καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθάνεται, διὰ τὸ μὴ ὁρῇν. τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρῇ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἢν που ἴδῃ,[145] δοκέων φθεῖρας αὐτὰς εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ[146] μᾶλλον ἀναπλωθῇ πρὸς τὰς φρένας, παραφρονέει. καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν, ἑρπετὰ, καὶ ἄλλοια παντοδαπὰ θηρία, καὶ ὁπλῖται μαχόμενοι. καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι. καὶ τοιαῦτα λέγει,[147] ὡς ὁρέων μάχας καὶ πολέμους. καὶ ἐπέρχεται καὶ ἀπειλέει, ἢν μή τις αὐτὸν ἐῇ ἐξιέναι. καὶ ἀναστὰς οὐ δύναται ἀείρειν τὰ σκέλεα,[148] ἀλλὰ καταπίπτει. καὶ οἱ πόδες αὐτῷ αἰεὶ ψυχροί. καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ φοβέεται ὁκόταν ἐνύπνια ἴδῃ φοβερά.[149] τῷδε δὲ γινώσκομεν ὅτι ἀπὸ ἐνυπνίων ἀναΐσσει, φοβέεται, ἐπὴν ἔννοος γένηται, ἀφηγεῖται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίει, καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν, οὕτω πάσχει. ἔστι δ' ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα, ἀναπνέων πολλὸν τὸ πνεῦμα ἁθρόον. ὁκόταν δὲ παύσηται παραφρονέων,[150] εὐθὺς παραχρῆμα ἔννοος γίνεται. καὶ ἢν ἐρωτᾷ τις αὐτὸν, εὐθὺς ἀποκρίνεται. καὶ γινώσκει πάντα τὰ λεγόμενα. εἶτ' αὖτις ὕστερον ὀλίγῳ χρόνῳ, ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα[151] ἀποδημίῃ. καὶ ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ, καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος. λαμβάνει δὲ καὶ ἄλλως.

ὁκόταν

ὁκόταν οὕτως ἔχῃ, πῖσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας. διδόναι δὲ ἐν οἴνῳ γλυκεῖ, ἢ κλύζειν αὐτὸν ἐν τούτοισι. νίτρου αἰγυπτίου, ὁκόσον ἀστράγαλον οἷος. τοῦτο τρίψαι λεῖον. καὶ παραμίξαι μέλιτος καλλίστου. ἡμικοτύλιον δὲ ἑψήσας[152] ἐν θυείῃ, καὶ ἡμικοτύλιον ἐλαίου, καὶ ἀπὸ τευτλίων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθριάσας. ἢν δὲ βούλῃ ἀντὶ τευτλίου ὄνειον γάλα ἑψήσας, παραμίξαι. ταῦτα μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ, ἤν τε μή. ῥοφήμασι δὲ χρεέσθω, πτισάνῃ καθεφθῇ, μέλι παραχέων. πινέτω δὲ καὶ μέλι καὶ ὕδωρ καὶ ὄξος συγκεράσας ἅμα, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ ἐν δεκατέσσαρσιν ἡμέρῃσι τὸ μακρότατον, ἤν τε θανάσιμον, ἤν τε οὔ. πολλοῖσι δὲ ἤδη ἡ τοιαύτη νοῦσος πεπαυμένη, πάλιν ὑπεστρόπιασεν. ἢν δὲ ὑποστροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι. κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν θανάσιμος, ἢ οὔ. ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πολλοῖσι μελεδαινομένη ἐξέρχεται. ὁκόταν δὲ παύσηται ἡ νοῦσος, διαίτῃ χρεέσθω καλῇ, ἡσύχως προσάγων, ὁκόσα ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ, μήτε διάρροια ἐπιγίνηται. ἀμφότερα γὰρ δοκεῖ κινδυνώδεα εἶναι. λουέσθω δὲ ἑκάστης ἡμέρης, καὶ περιπατείτω μετὰ τὰ σιτία, ὀλίγα. ἐσθῆτα δὲ ἐνειέσθω κούφην, καὶ μαλθακήν. καὶ γαλακτοπιέτω τὴν ὥρην, καὶ ὀρροποτεέτω, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης πολλῆς. Ἑτέρη παχύ. Γίνεται δὲ ἀπὸ φλέγματος σαπέντος. τῷδε δὲ δῆλον ὅτεν γίνεται, ὅτι σαπρόν ἐστιν, ἐρεύγεται ἀπὸ τοῦ τοιοῦδε ἔχον τὴν ὀσμὴν, ὁκοῖον τις ῥαφανίδας φαγών. ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα, ἀπὸ τῶν σκελέων. εἶτ᾽ ἀπὸ τούτων, αὖθις ἐς τὴν κοιλίην. καὶ ὁκόταν ἐν τῇ κοιλίῃ στῇ, αὖθις ἀναδέχει πρὸς τὰ σπλάγχνα. καὶ ὁκόταν ἐπὶ τούτοισι στῇ, μύζει καὶ ἔμετον ἄγει, ἅμα λάπην ἐμέων ὀξείην ὑπόσαπρον. καὶ ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτόν. ἔπειτα ἀπορίη πρὸς τοῖσι σπλάγχνοισιν, ἐνίοτε δὲ καὶ ἐς τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξείη. καὶ τοῖσιν ὠσὶν ὀξέως ἀκούειν οὐ δύναται. οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῆν, ὑπὸ τοῦ βάρεος.[153] ἱδρώς τε πουλὺς καταχέεται κάκοδμος. καὶ μάλιστα ὅταν ἡ ὀδύνη ἔχῃ, καὶ ποιεῖ λωφᾶν τῆς νούσου. ἡ δὲ χροιὴ αὐτοῦ, ἰκτερώδης δείκνυται. αὕτη ἡ νοῦσος τῆς προτέρης ἧσσον μικρὸν θανατώδης. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην, κάτω μὲν τῷ ἱπποφέῳ. ἄνω δὲ τῷ ἐλλεβόρῳ. καὶ τὴν κεφαλὴν καθαίρειν τῷ τετραγώνῳ. καὶ ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ ὀνείῳ ἑφθῷ γάλακτι ὑποκαθαίρειν. τῇ δὲ τρίτῃ, αἰγείῳ ἑφθῷ. ὡσαύτως δὴ καὶ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ. εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν γάλα βόειον. εἴ τε καὶ αἴγειον. τρίτον μέρος μελικρήτου παραμίσγων. πινέτω δὲ τοῦ γάλακτος χοέα. μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω, τῶν φαρμάκων τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ὑπὸ ὕδερος κατεχομένοισι. τὸν δὲ λοιπὸν χρόνον ὁκόταν τὸ γάλα πίνῃ, δειπνεέτω ἄρτον ἔξοπτον. ὄψον δὲ ἐχέτω, ἐν ἰχθύσι μὲν σκορπίον, ἢ καλλιώνυμον, ἢ κόκκυγα,[154] ἢ ῥίνης τέμαχος ἑφθὸν ἐν ἀρτύμασιν. ἐν κρέασι δὲ οἰός. ἢ ἀλεκτρυόνος νεοσσοὺς, ταῦτα ἑφθὰ.

sic habuerit, veratri nigri pondus obolorum quinque ex vino dulci propinato, aut ei ex his infusum iniicito. Nitri Ægyptij tali ouilli quantitatem læuiter terito, & mellis optimi decocti heminam dimidiam in pila ammisceto, & olei tantundem, cum betarum coctarum decocto ad quatuor heminas, per noctem cœlo sereno expositas. Quòd si voles, pro betæ decocto lac asininum coctum admisceto, eaq; permixta, febris detineat nécne, per infusum immittito. Pro sorbitionibus, ptisana decocta melle affuso vtatur. Mel autem, & aquam, ac nitrũ simul permixta bibat, quoad morbus iudicatus fuerit. Iudicatur autem quatuordecim ad summũ diebus lethalis sit, nécne. Multis verò vbi iam quieuerit hic morbus, rursus reuertitur, quod vbi cõtigerit, periculum est ne æger consumptus pereat. Iudicatur autem morbus septem diebus lethalis sit nécne, quos si effugerit, ferè nõ moritur, sed in multis curatus decedit. Cùm verò cessauerit morbus, optima victus ratione vtatur, sensim adiiciens quæ ventriculus suscipiat, vt non exuratur, neq; alui profluuium superueniat. Vtrunq; enim cum periculo coniunctum videtur. Balneo quotidie vtatur, & post cibos moderatè obambulet, vestem leuem ac mollem induat, lac & serum, si anni tempus ferat, per dies quinq; & quadraginta bibat. Quæ cùm fecerit, citissimè sanus euadet. Morbus autem difficilis est, multaq; cura indiget. Alius crassus morbus. Oritur autem ex pituita putrefacta. Ex eo verò vnde oritur putridum esse manifestum est, quòd inde ructus emittatur cum eiusmodi odore, qualem habet qui radiculas ederit. Eiusmodi morbus à cruribus oriri incipit, deinde ab his ad ventrem ascendit, cumq; ad ventrem peruenerit, rursus ad viscera recurrit, & vbi in his constiterit, strepitum edit, & vomitionem ciet, simul pituitam acidam subputridam vomitione reiiciens, quam cùm vomuerit, sibi non constat æger, deinde anxietudo est circa viscera, interdumq; tam grauis dolor repente capiti adhærescit, vt neq; acutè audire, neque præ grauitate videre queat, sudor etiam multus graueolẽs effunditur, præsertim cùm dolor detinet, morbiq; remissionem facit. Color qualis in morbo regio ostenditur, hicque morbus priore paulò minùs lethalis est. Huic ita habenti ventrem inferiorem per hippophaës purgato, superiorem verò per veratrum, caputque tetragono purgato, cumq; per veratrum purgatus fuerit, postridie lacte asinino cocto aliquantulum purgato. Tertio autem die caprino cocto, eodemq; sanè modo quanto & quinto. At reliquis viginti diebus lac bubulum crudum, siue etiam caprinum, tertia aquæ mulsæ parte ammixta, ad congium potui exhibeto. Post inferiorem autem purgationem, eadem quæ aqua intercute detentis medicamenta porrigito. Reliquo tempore cùm lac bibit, in cœna panem exassatum sumat, pro opsonio verò habeat, ex piscibus quidem scorpium, aut callionymum, aut cuculum, aut squatinæ frustum cum condimentis coctum. Ex carnibus verò ouillas, aut pulli gallinacei, easque coctas.

Vinum bibat album, si cōferat, sin minùs, nigrum austerum, deinde obambulet postquam comederit, vt ne frigeat. Huic igitur prædictos cibos, si conferant, exhibeto, sin minùs, sorbitiones ex ptisana & milio. In hoc morbo si triginta dies æger præterierit, sanus euadit. Hi enim lethalis sit nécne decernunt. Est autem difficilis morbus. Alius crassus morbus. Oritur ex pituita alba, in vētre verò colligitur, vbi febres diuturnę corpus occuparint. Hic morbus initium sumit à facie, quæ intumescit, deinde ad ventrē defertur, quò cùm peruenerit, ventrem in magnitudinem attollit, corpusq; velut ab exercitatione lassitudine laborat, in ventre ponderis sensus & dolor vehemēs inest, & pedes intumescunt. Quòd si pluuia in terram effusa fuerit, pulueris odorem nō sustinet. Si verò in pluuia fortè fortuna constiterit, & terræ odorem senserit, de repente concidit. Hic morbus cùm intermittit, diutiùs tamen priore occupat, & tardiùs soluitur. Eum autem iisdem quibus aquam intercutem curare oportet, fomentis videlicet, medicamentis, cibariis, & exercitationibus vehemētibus. Hic morbus per sex annos detinet, deinde probè curatus cum tempore decedit, etiamsi per exordia nō curetur. Est autē molestus morbus, multamque curam postulat. De coxario morbo. Coxendicum autem morbus his ex causis multis pręcipuè oritur, si quis per multum tempus in sole versatus fuerit, & coxendices incaluerint, humorq; qui in articulis inest, ab æstu resiccatus fuerit. Quòd autem resiccetur ac concrescat, id mihi indicio est. Æger enim articulos, pręe dolore qui in eis est, vertere aut mouere non potest, & eò quod digiti constricti sunt. Dolor est ad lumbos præcipuè, & vertebras quæ ad coxēdices obliquæ sitæ sunt, & genua. In inguinibus autē simulq; coxendicibus dolor acutus & æstuosus diu insistit, & si quis eum erigat aut transmoueat, præ dolore quātum potest ingemiscit. Interdum verò etiam conuulsio, & rigor, & febris superuenit. Oritur autem etiam à bile & pituita, oritur quoq; etiam à sanguine, dolorque consimilis est, velut ab omnibus morbis, rigorq; & febris leuis interdum prehēdit. Sed eum qui hoc morbo ex sole tētatur hoc modo curare oportet. Corpus eius adhibito fomento humectato, & cibos & potus, aliaq; exhibenda, tepida & humida, eaque omnia cocta exhibeto. In cibo maza vtatur molli, nullo humore subacta, vinum bibat albū, aquosum, & corpore quietem agat, & quamuis exurgere nequeat, parum tamen quotidie obambulet, neq; frigeat, neque multum lauet. Cumq; tibi probè habere, corpusque humectum esse videbitur, leui adhibito fomēto multum foueto. Magis autem relaxat, & quod in articulis compactum est perhumectat. Postero verò die granum cnidium propinato. Quòd si nō iuuerit, hoc per infusum immittere oportet. Cape cumini triti heminā dimidiam, colocynthida nō dissectam, paruam & rotundam, in pila contusam, & tenuissimè tritam, & nitri Ægyptij rubri, tosti & læuigati minæ quadrantem. Hæc in ollam immittito, & olei heminam affundito,

οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ. ἢν δὲ μὴ, μέλανα αὐστηρόν. εἶτα περιπατεέτω μετὰ τὸ φαγεῖν, ὅκως ἂν μὴ ῥιγώσῃ. τούτῳ ἢν μὲν οὖν ξυμφέρῃ, τὰ σιτία διδόναι ἃ εἴρηται. ἢν δὲ μὴ ξυμφέρῃ, ῥοφήματα διδόναι πτισάνης ἢ κέγχρου. ταύτῃ τῇ νούσῳ ἢν τριήκοντα ἡμέρας παρέλθῃ ὁ νοσέων, ὑγιαίνεται. αὗται γὰρ κρίνουσιν ἢν θανάσιμος, ἢ μή. ἡ δὲ νοῦσος χαλεπή. Ἄλλο παχύ. γίνεται τὸ νόσημα ὑπὸ φλέγματος λευκοῦ. ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν πουλυχρόνιοι κατάσχωσι τὸ σῶμα πυρετοί. ἄρχεται δὲ τὸ νόσημα ἐκ τοῦ προσώπου γίνεσθαι. καὶ οἰδέει τὸ πρόσωπον. εἶτα καθέρχεται ἐς τὴν κοιλίην. καὶ ὁκόταν ᾖ ἐν αὐτῇ, ἀείρει μεγάλην τὴν γαστέρα. καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης. καὶ ἐς τὴν κοιλίην βάρος ἔνι, καὶ πόνος ἰσχυρός. καὶ οἱ πόδες οἰδέουσι. καὶ ἢν χυθῇ ὑετὸς ἐπὶ τῆς γῆς, τῆς κονίος ὀδμὴν οὐκ ἀνέχεται. ἢν δὲ ἑστηκὼς τύχῃ ἐν τῷ ὑετῷ καὶ ὀδμήσηται τῆς γῆς, ἐξαπίνης πίπτει. αὕτη ἡ νοῦσος διαπαύουσα τῆς προτέρης πλείονα χρόνον ἐπιλαμβάνει. καὶ χρονιωτέρη ἀπαλλάσσεται. μελετᾶν δὲ χρὴ ταύτην, ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ὑδεριῶντα, ἤγουν πυριῆσι, καὶ φαρμάκοισι, καὶ ἐδέσμασι, καὶ ταλαιπωρίῃσιν. αὕτη ἡ νοῦσος ἐπιχειρέει μάλιστα ἓξ ἔτεα. εἶτα ἐξέρχεται μελετωμένη καλῶς ἐν χρόνῳ, ἤν γε καὶ μὴ κατ' ἀρχὰς ἰηθῇ. αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης πολλῆς. Περὶ ἰσχιάδος. [155] Ἰσχιὰς δὲ ἀπὸ τῶνδε τῶν ἀφορμῶν γίνεται μάλιστα τοῖσι πολλοῖσιν, ἢν ἔλθῃ ἐν τῷ ἡλίῳ πουλὺν χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσιν ἄρθροισι. [156] ὡς δὲ ἀναξηραίνεται πήγνυται. τόδε δέ μοι τεκμήριον. ὁ γὰρ νοσέων στρέφεσθαι ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἐν αὐτοῖσιν ἀλγηδόνος, καὶ τοῦ ξυμπεπηγέναι [157] τοὺς δακτύλους. ἀλγέει δὲ μάλιστα τὴν ὀσφῦν, καὶ τοὺς σπονδύλους, τοὺς ἐν πλαγίων τῶν ἰσχίων, καὶ τὰ γούνατα. ἵσταται δὲ ἡ ὀδύνη ἐν τοῖσι βουβῶσι πλεῖστον χρόνον ἅμα καὶ τοῖσιν ἰσχίοισιν, ὀξεῖα καὶ καυματώδης. κἤν τις αὐτὸν ἀναστῇ, ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος οἰμώζει ὁκόσον ἂν μέγιστον δύνηται. ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται καὶ ῥῖγος καὶ πυρετός. γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ φλέγματος. γίνεται δὲ καὶ ἀπὸ αἵματος, ὀδύνη παραπλήσιος ὡς ὑπὸ πάντων τῶν νουσημάτων. καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. ἀλλὰ χρὴ ὧδε μελετᾶν τὸν ἀπὸ τοῦ ἡλίου ταύτην τὴν νοῦσον λαβόντα. ὑγραίνειν αὐτοῦ τὸ σῶμα τῇ πυριήσει. καὶ ἀπὸ τῶν σιτίων, καὶ ἀπὸ τῶν ποτῶν, καὶ τῶν ἄλλων τῶν διδομένων, διδόναι χλιαρὰ καὶ ὑγρά. ταῦτα δὲ πάντα ἑφθά. σιτίῳ καὶ μάζῃ χρέεσθω μαλθακῇ ἀτρίπτῳ. οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα. καὶ τῷ σώματι ἡσυχίην ἐχέτω, ἢν καὶ ἀδύνατος ᾖ ἀνίστασθαι, πλὴν ὀλίγα περιπατείτω ἑκάστης ἡμέρης. καὶ μὴ ῥιγούτω καὶ λουέσθω μὴ πολλά. ὁκόταν σοι δοκέῃ καλῶς ἔχειν καὶ ὑγρὸς εἶναι τὸ σῶμα, πυριῆσαι σφόδρα βληχρῇ τῇ πυριῇ. μᾶλλον γὰρ λύσει καὶ διυγραίνει τὸ συμπεπηγὸς ἐκ τῶν ἄρθρων. τῇ ὑστεραίῃ πίσαι τοῦ κνιδίου κόκκου. ἢν δὲ μὴ ὠφελήσῃ, [158] κλύσαι τούτοισι χρὴ αὐτόν. τρίβειν κυμίνου ἡμικοτύλιον, [159] σικύην ἄτμητον τῶν μικρῶν καὶ στρογγύλων ξυγκόψας ἐν τῷ ὅλμῳ. καὶ σήσας ὡς λεπτότατον νίτρου ἐρυθροῦ αἰγυπτίου τεταρτημόριον μνᾶς, ὀπτήσας, τρίψας τε λεῖον, ταῦτα ἐμβάλλειν ἐς χυτρίδα, καὶ ἐγχέαι ἐλαίου κοτύλην

μέλιτος ἡμικοτύλιον. οἴνου λευκοῦ κοτύλην,[160] καὶ σευτλίου χυλοῦ. ταῦτα ἕψειν ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος. εἶτα διηθήσας δι' ὀθονίου, παραμίξαι αὐτοῖσι μέλιτος ἀττικοῦ κοτύλην, ἢν μὴ βούλῃ ξυνεψεῖν τὸ μέλι. ἢν δὲ μὴ ἔχῃς ἀττικὸν κοτύλην τοῦ καλλίστου παραμίξας, ἑψῆσαι ἐν θυείῃ. ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, παραχέαι οἴνου τοῦ αὐτοῦ πρὸς τὸ πάχος τεκμαιρόμενος, ἐν τούτῳ κλύζειν.[161] εἶτα ἐὰν χρὴ, μέχρι τριῶν ἡμερέων καθαίρεσθαι. ἢν δὲ πλείονας ἡμέρας καθαίρηται, τοῦ βοείου ἢ τοῦ αἰγείου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν. εἶτα τεῦτλα λιπαρὰ παρείπασα ἐν ἀρτύμασιν ἄναλτα, δοῦναι ἐσθίειν. ἐκ ταύτης δὴ τῆς νούσου,[162] πολλοὶ χωλοὶ ἐγίνοντο. Ην δὲ ἀπὸ χολῆς ἡ νοῦσος γίνηται, πῖσαι αὐτὸν ἐλλέβορον κάτω, ἢ ὀπὸν σκαμμωνίης. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, πτισάνης χυλὸν, μέλι παραχέων, δύο ὀξυβάφια δοῦναι ἐκροφέειν. τῇ δὲ ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας, γάλακτι ὀνείῳ ἑφθῷ ὑποκαθῆραι. ἐς ἑσπέρην δὲ τεύτλου λιπαροῦ δύο ὀξυβάφια ἐμφαγέτω, ἄλφιτα παραπάσας. οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα, γλυκὺν, καὶ νῦν καὶ μετὰ τὴν τοῦ φαρμάκου κάθαρσιν. ἢν δὲ ἀπὸ φλέγματος νοσέῃ, πῖσαι αὐτὸν τοῦ κνιδίου κόκκου, ἢ τοῦ ἱπποφαέος πυριήσας. μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ χρὴ προσφέρειν, καὶ ῥοφήματα καὶ ποτὰ, καὶ γαλακτοποσίην. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, διαίτῃ χρεέσθω ὡς κουφοτάτῃ. καὶ ἢν μὲν ἀπὸ τούτων ὠφελῆται. ἢν δὲ μὴ, καῦσαι αὐτόν. τὰ μὲν ὀστώδεα, μύκησι. τὰ δὲ σαρκώδεα, σιδηρείοισι πολλὰς ἐσχάρας καὶ βαθείας. ἢν δὲ ὑφ' αἵματος νοσέῃ, πυριῆσαι, καὶ σικύην προσβάλλειν, καὶ φλεβοτομέειν τὰς ἐν τῇσιν ἰγνύῃσι φλέβας. ἢν δέ σοι δοκέῃ, καὶ τοῦ κνιδίου κόκκου πῖσαι αὐτόν. διαίτῃ δὲ χρεέσθω ὡς ξηροτάτῃ. οἶνον δὲ μάλλον μὲν μὴ πινέτω. ἢν δὲ ἄρα καὶ πίνειν θέλῃ, ὡς ἐλάχιστον καὶ ὑδαρέστερον δίδου. καὶ περιπατέειν ὀλίγα κέλευε. ἢν δὲ δυνατὸς ᾖ, πλεῖστα. ξυμφέρει δὲ καὶ τῷ ἀπὸ τοῦ φλέγματος νοσέοντι, τὰ τοιαῦτα ποιέειν. ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ χρὴ περιφέρειν ὡς πυκνότατα, ἀφ' οὗ ἂν νοσέῃ, καὶ ἄπαντα ὁμοίως, ὅκως ἂν ἐντὸς μὴ ξυμφυῇ ὁ χόνδρος. ἢν δὲ ξυμφυῇ καὶ τὰ ἄρθρα ξυμπαγῇ, πᾶσα ἀνάγκη χωλὸν γίνεσθαι τὸν ἄνθρωπον. καὶ ἢν βούλῃ κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων. τοῖσι δὲ δεῖ κλύζειν. ἁλὸς δραχμίδα τρίψας παραμίξαι ἐλαίου κοτύλην. καὶ ἀπὸ κριθέων ἑφθῶν, δύο κοτύλας. εἶτα οὕτω κλύζειν τοῦτον. οὕτω μελετῶν, τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ καὶ χρονίη.[163] Τέτανοι τρεῖς. Ην μὲν ἐπὶ τρώματι τέτανος γίνηται, πάσχει τάδε. αἱ γένυες πήγνυνται. καὶ τὸ στόμα διαίρειν οὐ δύναται. καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται. καὶ τὸ μετάφρενον πέπηγε. καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν. ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν, καὶ τὰ βρώματα ἃ πρότερον ἐβεβρώκει, ἀνὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πυριᾷν δεῖ. καὶ ἀλείψαντα λιπαρῶς, πρὸς τὸ πῦρ ἐκαθεν θάλπειν. καὶ χλιάσματα προστιθέναι, ὑπαλείψας τὸ σῶμα. καὶ ἀψίνθιον,

mellis heminam dimidiam, vini albi & ſucci betæ heminam, hæc quoad probam craſſitudinem habere tibi videantur coquito. Deinde his per linteum excolatis, mellis Attici heminam ammiſceto, niſi mel ſimul coquere velis. Quòd ſi Atticum deſit, mellis optimi cocti heminam in pila admiſceto. Si verò infuſum craſſius fuerit, de eodem vino habita conſuetudinis ratione affundito, eoq; infuſo aluum ſubluito. Deinde ſinito ad tres dies vſque vt purgetur. Quòd ſi pluribus diebus purgetur, lactis bubuli aut caprini heminas tres ebibendas dato, poſtea betas pingues inſulſas cōdimentis aſperſis comedendas præbeto. Ex hoc morbo multi claudi euadunt. At verò ſi ex bile morbus hic originem ſumpſerit, veratrum, aut ſcammonij ſuccum, deorſum purgans ei propinato. Poſt eiuſmodi verò purgationem, ſucci ptiſanæ melle affuſo acetabula duo ſorbēda exhibeto. Poſtero autem aut tertio die, admoto fomento, lacte aſinino cocto aliquantulum purgato. Sub veſperum betæ pinguis polenta aſperſa acetabula duo comedat. Vinum album, aquoſum, dulce, & nunc, & poſt medicamenti purgationem bibat. Si verò ex pituita ægrotet, ei granum cnidium, aut hippophaës, poſt admotum fomentum propinato. Poſt purgationem autem eaſdem ſorbitiones, & potus, & lactis potionem adhibere oportet. Interiectis verò diebus quàm leuiſſima victus ratione vtatur. Et ſi quidem ab his iuuetur, ſat eſt, ſin minùs, ei multas & altas cruſtas, in carnoſis quidem partibus per fungos, in oſſeis verò per ferramenta, inurito. Quòd ſi ex ſanguine ægrotarit, poſt adhibitum fomentum, & cucurbitulam admoueto, & venas in poplite ſecato. Si verò tibi etiam videatur, granum quoque cnidium ei propinato, quàm ſicciſſima autem victus ratione vtatur. Vinum quidem potiùs ne bibat, ſed ſi ſanè bibere velit, quàm minimum & dilutiſſimum exhibeto, & modicum obambulare iubeto, aut ſi poſſit, plurimùm. Ex pituita etiam ægrotanti eadem facere confert. Quòd ſi ſtare nequeat, eum creberrimè in lecto circumferre oportet, quacunque ex cauſa ægrotet, & per omnia ſimiliter, vt ne intus cartilago coaleſcat. Sin verò coaluerit, & articuli concreti fuerint, omninò hominem claudicare neceſſe eſt. Et ſi ei qui ex ſanguine ægrotat velis per infuſum aluum ſubluere, vt pituitam & ſanguinem à coxēdicibus deducas, ex his infuſum parare oportet. Salis pugillum tritum ad olei heminā ammiſceto, & hordei decocti heminas duas iniicito, deinde eiuſmodi infuſum immittito. Hac curatione citiſſimè ſanum reddideris. Morbus autē difficilis admodum & diuturnus eſt. Neruorum diſtentiones tres, Tetani vulgò dicti. Si quidem ex vulnere corporis neruorum diſtentio contingat, ſic afficitur. Maxillæ conſtringuntur, os diducere nequit, oculi lachrymantur & cōtrahuntur, dorſum rigidum eſt, neque crura, neque manus, neque ſpinam inflectere poteſt. Cùm verò lethalis fuerit, potus & cibi quos antè deuorauit, interdum per nares ſurſum feruntur. Huic cùm ſic habuerit fomenta admouere oportet, & pingui inunctum eminus ad ignem calefacere, & tepefactoria inuncto corpore adhibere. Et abſinthium &

lauri folia, aut hyoscyami semen tritum, & thus, deinde vino albo macerata, in ollam nouam infundito, deinde olei quantum vini affundito, quibus calefactis, multùm calidis corpus & caput vngito. Postea reclinatum, perfusione per carnem facta, vestibus albis, mollibus & puris contegito, vt vehemẽter exudet. Aquam mulsam tepidam, si eam quidem bibere possit, per os exhibeto, si verò non possit, per nares infundito. Vinum album, quàm suauissimum & copiosissimum potui dato. Quæ quotidie facienda sunt, donec sanus euadat. Morbus autem difficilis est, & confestim curatione indiget. Distentio in posteriora opisthotonos nuncupata. In distentione ad posteriora (opisthotono dicta) in reliquis eodem vt plurimùm modo afficitur æger. Oritur autem cùm circa posteriores ceruicis tendones, aut ex angina, aut vua, aut locis ad tonsillas purulentis affectus fuerit. Interdum verò etiam ex capite cùm febres superuenerint, conuulsio succedit, quinetiam & ex vulneribus. Hic in posteriora trahitur, & præ dolore, quo circa dorsum & pectus detinetur, lamẽtatur. Hic vehementer conuellitur, vt ægrè quidem qui adsunt eum continere possint, quin ex cubili excidat. Hic frequenter quidem die dolore afficitur, frequenter etiam leuiùs habet. Cùm sic habuerit, ei eadem quæ priori sunt exhibenda. Hic verò morbus, vt longissimè, ad dies quadraginta detinet, quos si effugerit, conualescit. Alia distentio. Hæc distentio minus quàm priores lethalis est, ab iisdem autem oritur. Plærique verò ex casu in posteriora, in morbum inciderunt. Sic igitur afficitur æger. Corpus totum conuellitur, interdum verò ad quancunq; corporis partem fortè contigerit, ea conuellitur. Et primùm quidem circumobambulat, deinde successu temporis, in lectum decidit, rursusque dolor & conuulsio remittit, cumque surrexerit, si fortè paucos dies huc & illuc oberrarit, postea rursus iisdem conflictatur doloribus. Atq; hæc ei contingunt, crebroque mutatur. Si quid comederit, id non nisi ægrè & exustum per inferiora secedit, sed ad pectus cibus defertur, & suffocationem facit. Hunc si eodem quo priores modo curaueris, citissimè sanum reddideris. Infusum autem ex ptisanæ coctæ cremore cum melle in aluum iniicito.

ἢ φύλλα δάφνης, ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας, λιβανωτὸν, εἶτα οἴνῳ λευκῷ διεὶς, ἐγχέαι εἰς χυτρίδα καινήν. εἶτα ἐπιχέαι ἔλαιον ἴσον τῷ οἴνῳ. καὶ θερμήνας ἀλεῖψαι πολλῷ θερμῷ τὸ σῶμα καὶ τὴν κεφαλήν.[164] ἔπειτα κατακλίνας ἐμβάτη, ἀνω τὴν σάρκα ποιήσαντα,[165] καὶ ἀμφιέσαι ἱμάτια λευκὰ μαλθακὰ καθαρά, ὅκως ἂν ἐξιδρώσῃ σφόδρα. μελίκρητον δὲ χλιαρὸν διδόναι, ἢν μὲν δύνηται τοῦτο πίνειν κατὰ τὸ στόμα. ἢν δὲ μὴ δύνηται, ἐγχέειν κατὰ τὰς ῥῖνας. διδόναι δὲ οἶνον λευκὸν πίνειν, ὡς ἥδιστον καὶ πλεῖστον. ταῦτα χρὴ ποιέειν ἑκάστης ἡμέρης ἕως ἂν ὑγιὴς γένηται. ἡ δὲ νοῦσος χαλεπή. καὶ δέεται μελέτης παραχρῆμα. Ὀπισθότονος. Ὁ δὲ ὀπισθότονος, τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτά. γίνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. νοσέει δὲ ἢ ὑπὸ κυνάγχης, ἢ ὑπὸ σταφυλῆς,[166] ἢ ὑπὸ τῶν ἀμφιβραγχίων ἐμπυϊσκομένων. ἐνίοτε δὲ καὶ ἀπὸ τῆς κεφαλῆς πυρετῶν ἐπιγινομένων, σπασμὸς ἐπιγίνεται.[167] ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. οὗτος ἕλκεται ἐς τοὔπισθεν. καὶ ὑπὸ τῆς ὀδύνης ὁ μετάφρενον καὶ τὰ στήθεα ἔχεται καὶ οἰμώζει. σπᾶται σφόδρα, ὥστε μόλις μὲν κατέχουσιν οἱ παρεόντες, ὡς μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. οὗτος πολλάκις μὲν τῆς ἡμέρης πονέει, πολλάκις δὲ κουφότερον διάγει. τούτῳ οὕτως ἔχοντι, ταῦτα χρὴ προσφέρειν, ἃ καὶ τῷ πρόσθεν. ἡ δὲ νοῦσος παρείει τὸ μακρότατον, ἄχρι τεσσαράκοντα ἡμερέων. ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. Ἄλλος τέτανος. Ὁ τέτανος ἧσσον θανατώδης, ἢ οἱ πρόσθεν. γίνεται δὲ ἀπὸ τῶν αὐτῶν. πολλοὶ δὲ καὶ πεσόντες ἐς τὰ ὄπισθεν, ἔλαβον τὸ νόσημα. πάσχει οὖν τάδε. σπᾶται ὅλον τὸ σῶμα. ἐνίοτε δὲ καὶ ὅπῃ ἂν τύχῃ τοῦ σώματος, σπᾶται. καὶ περιφοιτᾷ μὲν τὸ πρῶτον. ἔπειτα τοῦ χρόνου προσιόντος, ἐς τὴν κλίνην πίπτει, καὶ αὖθις ἀνῆκεν ὁ πόνος καὶ ὁ σπασμός. καὶ ἀναστὰς ἂν ἴσως παρέλθῃ ὀλίγας ἡμέρας. ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. ταῦτα πάσχει καὶ μεταβάλλει συχνὸν χρόνον. καὶ ἢν τι φάγῃ, οὐ διαχωρέει κάτω, ἢ μὴ μόλις, καὶ ταῦτα ξυγκεκαυμένα. ἀλλ' ἐν τοῖσι στήθεσιν ἔρχεται τὸ σιτίον. καὶ πνίγα παρέχει. τοῦτον τοῖσιν αὐτοῖσι θεραπεύων, οἷσι καὶ τοὺς πρόσθεν, τάχιστα ὑγιέα ποιήσεις. κλύζειν δὲ τῇ πτισάνῃ ἑφθῇ τῇ λεπτῇ καὶ μέλιτι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΡΘΕΝΙΩΝ.

HIPPOCRATIS DE HIS QVÆ AD VIRGINES SPECTANT, LIBER.

INITIVM mihi ducendũ est in hac tractatione Medica, ab iis quæ perpetuò fiunt. Neque enim fieri potest, vt quis morborum naturam perspectam habeat, quod quidem artis est disquirere, nisi eam in singularibus, a principio ex qua discreti sunt cognoscat. Imprimis quidẽ de morbo sacro appellato, de attoni-

ΑΡΧΗ μοι τῆς ξυνθέσιος τῶν ἀεὶ ἐοντων ἰητρικῆς.[2] οὐ γὰρ δυνατὸν τῶν νοσημάτων τὴν φύσιν γνῶναι, εἴ περ ἐστι τῆς τέχνης ἐξευρεῖν, ἢν μὴ γνῷ τὴν ἐν τῷ ἀμερεῖ, κατὰ τὴν ἀρχὴν ἐξ ἧς διεκρίθη, πρῶτα περὶ τῆς ἱερῆς νούσου καλεομένης, καὶ περὶ τῶν ἀποπλήκτων, καὶ

καὶ περὶ τὰ δείματα, ὁκόσα φοβέονται οἱ ἄνθρωποι ἰσχυρῶς, ὥστε παραφρονέειν, καὶ ὁρῆν δοκέειν δαίμονάς τινας ἐφ' ἑωυτῶν δυσμενέας, ὁκότε μὲν νυκτὸς, ὁκότε δὲ ἡμέρης, ὁκότε δὲ ἀμφοτέρῃσι τῇσιν ὥρῃσιν. ἔπειτα ἀπὸ τῆς τοιαύτης ὄψιος, πολλοὶ ἤδη ἀπηγχονίσθησαν· πλέονες δὲ γυναῖκες, ἢ ἄνδρες. ἀθυμοτέρη γὰρ καὶ ὀλιγωτέρη φύσις ἡ γυναικείη. Αἱ δὲ παρθένοι ὁκόσῃσιν ὥρη γάμου παρανδρούμεναι, τοῦτο μᾶλλον πάσχουσιν ἅμα τῇ καθόδῳ τῶν ἐπιμηνίων, πρότερον οὐ μάλα ταῦτα κακοπαθεῦσαι. ὕστερον γὰρ τὸ αἷμα ξυλλείβεται ἐς τὰς μήτρας, ὡς ἀπορευσόμενον. ὁκόταν οὖν τὸ στόμα τῆς ἐξόδου μὴ εἴη ἀνεστομωμένον, τὸ δὲ αἷμα πλέον ἐπιρρέῃ, διά τε σιτία καὶ τὴν αὔξησιν τοῦ σώματος, τηνικαῦτα οὐκ ἔχον τὸ αἷμα ἔκροον, ἀναΐσσει ὑπὸ πλήθεος ἐς τὴν καρδίην, καὶ ἐς τὰς φρένας. ὁκόταν οὖν ταῦτα πληρωθέωσιν, ἐμωρώθη ἡ καρδίη. εἶτα ἐκ τῆς μωρώσιος, νάρκη. εἶτ' ἐκ τῆς νάρκης, παράνοια ἔλαβεν. ὥσπερ ὁκόταν καθημένου πουλὺν χρόνον, τὸ ἐκ τῶν ἰσχίων καὶ μηρῶν αἷμα, ἀποπιεχθὲν ἐς τὰς κνήμας καὶ τοὺς πόδας, νάρκην παρέχῃ. ὑπὸ δὲ τῆς νάρκης, ἀκρατέες οἱ πόδες ἐς ὁδοιπορίην γίνονται, ἔστ' ἂν ἀναχωρήσῃ τὸ αἷμα ἐς ἑωυτό. ἀναχωρέει δὲ τάχιστα, ὁκόταν ἐν ὕδατι ψυχρῷ τέγγηται ἄνω τῶν σφυρῶν. αὕτη μὲν οὖν ἡ νάρκη, εὐήθης. ταχὺ γὰρ παλίρροος, διὰ τὴν ἰθυτενίην τῶν φλεβῶν. καὶ ὁ τόπος τοῦ σώματος, οὐκ ἐπίκαιρος. ἐκ δὲ τῆς καρδίης καὶ τῶν φρενῶν, βραδέως παλίρροος. ἐπικάρσιαι γὰρ αἱ φλέβες, καὶ ὁ τόπος ἐπίκαιρος, ἔς τε παραφροσύνην καὶ μανίην ἕτοιμος. ὁκόταν δὲ πληρωθέωσι ταῦτα τὰ μέρεα, καὶ φρίκη ξὺν πυρετῷ ἀναΐσσει, πλανήτας τοὺς πυρετοὺς καλέουσιν. ἐχόντων δὲ τουτέων ὧδε, ὑπὸ μὲν τῆς ὀξυφλεγμασίης μαίνεται, ὑπὸ δὲ τῆς σηπεδόνος φονᾷ, ὑπὸ δὲ τοῦ ζοφεροῦ φοβέεται καὶ δέδοικεν, ὑπὸ δὲ τῆς περὶ τὴν καρδίην πιέξιος ἀγχόνας κραίνουσιν, ὑπὸ δὲ τῆς κακίης τοῦ αἵματος, ἀλύων καὶ ἀδημονέων ὁ θυμὸς κακὸν ἐφέλκεται. ἕτερα δὲ καὶ φοβερὰ ὀνομάζει, καὶ κελεύουσιν ἅλλεσθαι καὶ καταπίπτειν ἐς τὰ φρέατα, καὶ ἄγχεσθαι, ἅτε ἀμείνονά τε ἐόντα καὶ χρείην ἔχοντα παντοίην. ὁκότε δὲ ἄνευ φαντασμάτων, ἡδονή τις ἀφ' ἧς ἐρᾷ τοῦ θανάτου ὥσπερ τινὸς ἀγαθοῦ. φρονησάσης δὲ τῆς ἀνθρώπου, τῇ Ἀρτέμιδι αἱ γυναῖκες ἄλλα τε πολλὰ, ἀλλὰ δὴ καὶ τὰ πολυτελέστατα τῶν ἱματίων καθιερῶσι τῶν γυναικείων, κελευόντων τῶν μάντεων, ἐξαπατώμεναι. ἡ δὲ τῆς ἀπαλλαγῆς θεραπείη, ὁκόταν τι μὴ ἐμποδίζῃ τοῦ αἵματος τὴν ἀπόρρυσιν. κελεύω δ' ἔγωγε τὰς παρθένους ὁκόταν τὸ τοιοῦτον πάσχωσιν, ὡς τάχιστα ξυνοικῆσαι ἀνδράσιν. ἢν γὰρ κυήσωσιν, ὑγιέες γίνονται. εἰ δὲ μὴ, ἢ ἅμα τῇ ἥβῃ, ἢ ὀλίγον ὕστερον ἁλώσεται, εἴπερ μὴ ἀνδρωθῶσι. τῶν δὲ ἠνδρωμένων γυναικῶν αἱ στεῖραι μᾶλλον ταῦτα πάσχουσιν.

tis, de terroribus, ex quibus vehementer homines perterrentur, adeò vt desipiant, & interdum quidem noctu, quandoque verò interdiu, vtroque etiam quandoque tempore, dæmonas sibi infestos videre se existiment. Deinde ex huiusmodi visione iam strangulati sunt multi, at mulieres plures quàm viri, quòd muliebris natura animi magis sit demissi & pusilli. At virgines, quibus prope nuptiarum tempus instat vt viro coniungantur, istud sub mensium descensum magis experiuntur, cùm antea his malis non admodum conflictarentur. Postea enim sanguis in vtero continetur, velut qui effluere debeat. Cùm igitur exitui via minimè pateat, copiosior autem sanguis per cibos & corporis incrementum affluat, tunc sanguis effluuio carens, propter copiam ad cor & septũ transuersum resilit. Vbi igitur hæc oppleta fuerint, cor obstupescit, indeque torpor, & ex torpore dementia inuadit. Non secus ac si quis diutiùs sedeat, ex coxis ac femoribus in tibias & pedes depressus sanguis, torporem adfert, ex quo pedes ad ingrediendum impotentes redduntur, donec sanguis ad sese reuerterit, qui celerrimè recurrit, si steterit in aqua frigida, quæ malleolos superet. Hic igitur torpor facilè repellitur. Citò enim propter venarum rectitudinem recurrit, locusque hic corporis inter præcipuos non habetur. At ex corde & septo transuerso tardè recurrit, cùm venæ obliquæ sint, & locus præcipuus, & ad delirium ac insaniam opportunus. Cùm autem hæ partes oppletæ fuerint, etiam horror cum febre irruit, febres inerrantes appellant. Quæ cùm ita se habeant, ob acutam quidem inflammationem insanit, ob putredinem clamat, ob caliginem terretur & timet, ob oppressionem verò quæ circa cor est, suffocationem sibi parant, ob sanguinis autem vitium animus anxietudine & impotentia conflictatur & malum contrahit. Quinetiam alium horrendum in modum appellat, & in puteos desilire ac præcipitare, seseque strangulare iubent, velut hæc præstantiora sint, omnemque vtilitatem excedant. Interdum verò citra spectra, voluptas quædam noctis tanquam boni cuiusdam expetendæ incessit. Redeunte autem ad mentem homine, mulieres cùm alia multa, tum verò etiam pretiosissimas vestes muliebres Dianæ consecrant, à vatibus id iubentibus deceptæ. Verùm ad huius mali liberationem curatio est, si nihil sanguinis effluxum impediat. Equidem virginibus suadeo quibus tale quid accidit, vt citissimè cum viris coniungantur. Si enim conceperint, sanæ euadunt. Quod nisi fiat, vnà cum pubertate, aut non ita multò pòst, his tentabuntur, nisi viro iungantur. Ex mulieribus verò quæ viris iunctæ sunt, sterilibus ista magis contingunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΗΣ ΦΥΣΙΟΣ.

HIPPOCRATIS DE NATVRA MVLIEBRI, LIBER.

De natura muliebri & morbis ista mihi dicenda sunt. Potissimùm quidem in rebus humanis causam esse diuinum numen, deinde mulierum naturas & colores. Quæ enim admodum albæ sunt, humidiores & ad fluxionem magis comparatæ, nigrę verò duriores & adstrictiores. Quæ ad vini colorem vergunt, medium quid inter vtrasque habent. Ad eundem etiam modum in ætatibus contingit, iuuenes quidem humidiores sunt, fereq; copioso sanguine abundant, seniores verò sicciores, paucoq; sanguine redundantes. Mediæ, medium quid inter vtrasque habent. Eum autem qui ista probè tractare volet, primùm quidem à diuino numine initium sumere oportet, postea tum mulierum naturas dignoscere, tũ ætates, & anni tempestates, locaq; vbicunque fuerint. Frigida enim loca ad fluxionem sunt cõparata, calida verò sicca & quieta. Doctrinæ autem initium à suapte natura humido faciendum est. Si hydrops in vteris oboriatur, menses pauciores & deteriores contingunt, deinde de repente deficiunt, venter intumescit, mãmæ siccæ euadunt, & in reliquis malè habet, sibiq; vtero gestare videtur, ex quibus eam aqua intercute laborare cognoscas. Quin & ex vterorum osculo indicium sumitur, ad tactum enim gracile deprehenditur, febrisq; & aqua ipsam inuadit, quoque longiùs tempus processerit, dolor imum ventrem, lumbos, & laterum inanitatem detinet. Hic morbus ex abortione præcipuè oritur, & ex aliis etiam cõtingit. Cùm sic habuerit, calida lauare & tepefacientia admouere oportet, quoad dolor non ampliùs detineat, & medicamentum deorsum purgans propinare. Post medicamentum verò, vteris fomentũ ex stercore bubulo admoueto, deinde quod ex cantharide paratur in subdititio apponito, tribus diebus intermissis, id quod ex felle conficitur. Vno verò die intermisso, per tres dies infusum ex aceto adhibeat. Et si quidem venter mollis euadat, & febres cessent, ac menses suboriantur, cum viro cõiungatur. Sin minùs, eadem rursus facito, quoad menses decurrant, & quibusdam in subdititio appositis vtatur. Intermediis autem diebus, crethmi corticem, & pæoniæ grana nigra, & sambuci fructum ex vino ieiuna bibat, eaq; plurimam mercurialem, alliaque cocta & cruda edat. Cibis mollibus, & polypis, aliisque mollibus vtatur. Quòd si pepererit, conualescit. Si vteri ad hepar processerint, de repente vox deficit, dentes inter se collidit, & color niger euadit. Hæc autem de repente cùm sana est cõtingunt. Hic verò affectus præcipuè virgines vetulas affligit & viduas, quæ iuuenes pepererunt, & viduitatem experiuntur. Cùm sic habuerit, infra manu propulsione facta, sub hepate & præcordiis fascia deligato, oreq; diducto vinum odoratissimum infundito. Naribus graueolẽtibus admo-

Περὶ δὲ τῆς γυναικείης φύσιος καὶ νοσημάτων, τάδε λέγω· μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσιν ἀνθρώποισιν αἴτιον εἶναι. ἔπειτα αἱ φύσιες τῶν γυναικῶν καὶ χροιαί. αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε καὶ ῥοωδέστεραι. αἱ δὲ μέλαιναι, σκληρότεραι καὶ στρυφνότεραι. αἱ δὲ οἰνωπαὶ, μέσον τι ἀμφοτέρων ἔχουσιν. οὕτω δὲ καὶ περὶ τῶν ἡλικιῶν ξυμβαίνει. αἱ μὲν νέαι, ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπιτοπολύ. αἱ δὲ πρεσβύτιδες, ξηρότεραι καὶ ὀλίγαιμοι. αἱ δὲ μέσαι, μέσον τι ἀμφοτέρων ἔχουσιν. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα χειρίζοντα, πρῶτον μὲν ἐκ τῶν θείων ἄρχεσθαι. ἔπειτα διαγινώσκειν τάς τε φύσιας τῶν γυναικῶν καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους οὗ ἂν ἦ. οἱ μὲν γὰρ τῶν τόπων ψυχροὶ ῥοώδεις. οἱ δὲ γε θερμοὶ, ξηροὶ καὶ στάσιμοί εἰσιν. ἄρχομαι δὲ διδάσκειν ἀπὸ τοῦ ὑγροδεστάτου φύσιν. ἢν ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσω καὶ κακίω γίνεται. ἔπειτα ἐξαπίνης ἐκλείπει. καὶ ἡ γαστὴρ ἐπανοιδέει. καὶ οἱ μαζοὶ ξηροὶ γίνονται, καὶ τἄλλα πονηρῶς ἔχει. καὶ δοκέει ἐν γαστρὶ ἔχειν· καὶ τουτέοισι γνώσῃ, ὅτι ὑδεραίνει. σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῶν ὑστερέων. ψαύουσι γὰρ ἰσχνὸν φαίνεται. καὶ πῦρ καὶ ὕδωρ αὐτὴν λαμβάνει. ὁκόσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, ὀδύνη τὴν νειαίραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας ἴσχει. αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ μάλιστα γίνεται. γίνεται δὲ καὶ ἐξ ἄλλων. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν ἡ ὀδύνη μὴ ἔχῃ. φάρμακον χρὴ πίσαι κάτω. μετὰ δὲ τὸ φάρμακον, πυριῆν ἐκ τοῦ βολβίτου τὰς ὑστέρας. ἔπειτα προσθεῖναι, τὸ ξὺν τῇ κανθαρίδι, διαλιπὼν ἡμέρας τρεῖς, τὸ ξὺν τῇ χολῇ. μίαν δὲ διαλιπὼν, τρεῖς ἡμέρας κλυσάτω ἐν τῷ ὄξει. καὶ ἢν μὲν ἡ γαστὴρ γένηται λαπαρὴ, καὶ οἱ πυρετοὶ πεπαυμένοι ἔωσι, καὶ τὰ ἐπιμήνια γίνηται, τῷ ἀνδρὶ ξυγκοιμάσθω. ἢν δὲ μὴ, αὖθις τὰ αὐτὰ ποιέειν, ἔστ' ἂν γίνηται τὰ ἐπιμήνια, καὶ ἐνίοισι προσθετοῖσι χρήσθω. μεταξὺ δὲ ἡμέρας πινέτω τῆς κρήθμου τὸν φλοιὸν. καὶ γλυκυσίδης τοὺς μέλανας κόκκους καὶ τῆς ἀκτῆς τὸν καρπὸν, ἐν οἴνῳ νῆστις. καὶ τὴν λινόζωστιν ἐσθιέτω, ὡς πλείστην. καὶ σκόροδα ἑφθὰ καὶ ὠμὰ. καὶ σιτίοισι μαλθακοῖσι. καὶ τοῖσι πουλύποσι. καὶ τοῖσιν ἄλλοισι μαλθακοῖσιν. ἢν δὲ τέκῃ, ὑγιὴς γίνεται. Ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ ἔλθωσιν, ἄφωνος ἐξαπίνης γίνεται. καὶ τοὺς ὀδόντας ξυνερείδει. καὶ ἡ χροιὴ μέλαινα γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ τὸ τοιοῦτον πάθος, παρθένοισι μάλιστα παλαιῇσι ἐούσῃσι. καὶ χήρῃσιν, αἳ νέαι ἐοῦσαι καὶ τεκοῦσαι χηρεύουσιν. ὁκόταν ὧδε ἔχῃ, τὴν χεῖρα προσώσας κάτω ἀπὸ τοῦ ἥπατος, ἀποδῆσαι ταινίῃ ὑπὸ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διαγαγὼν οἶνον εὐωδέστατον ἐγχέαι, καὶ προσέχειν τὰς ῥῖνας, καὶ ὑποθυμιᾶν

τὰ κακά

τὰ κακώδεα. ὑπὸ δὲ τὰς ὑστέρας, τὰ εὐώδεα.[11] ἐπὴν δὲ ἑωυτῆς φρονήσῃ, πίσαι φάρμακον κάτω. καὶ μεταπίσαι γάλα ὄνου. ἔπειτα πυριῆσαι τὰς ὑστέρας εὐώδεσι καὶ προσθεῖναι τὰ ἔξω τῇ βουπρήστιδι τῇ δὲ ὑστεραίῃ, νέτωπον. διαλιπὼν δὲ δύο ἡμέρας,[11] κλύσαι τὰς ὑστέρας, εὐώδεσι. τῇ δὲ ὑστεραίῃ προσθεῖναι τὴν γλήχωνα. διαλιπὼν δὲ μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασι.[12] ταῦτα ποιέειν τὴν χήρην. τὴν δὲ παρθένον, πείθειν συνοικῆσαι ἀνδρί. πρὸς δὲ τὰς ὑστέρας προσφέρειν μηδέν, μηδὲ τὸ φάρμακον πίνειν. κόνυζαν δὲ καὶ καστόριον διδόναι ἐν οἴνῳ νήστει. καὶ τὴν κεφαλὴν μὴ ἀλειφέσθω τοῖσιν εὐώδεσι, μηδὲ ὀσφραινέσθω.
[13] ἢν προσέλθωσιν αἱ μῆτραι καὶ ἐξέλθωσιν ἔξω, πῦρ ἔχει μάλιστα τὰ αἰδοῖα καὶ τὴν ἕδρην. καὶ τὸ οὖρον στάζει κατ' ὀλίγον, καὶ δάκνεται. ταῦτα πάσχει, ἢν ἐκ τόκου ἐοῦσα[14] τῷ ἀνδρὶ μὴ ξυγκοιμηθῇ. ὁκόταν δὲ οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας, ἐν ὕδατι[15] καταθεὶς, τὴν νειαίρην προσχείσθω. καὶ ὡς ψυχρότατον πρὸς τὰ αἰδοῖα, καὶ τὰ λεῖα καταπλάσσειν. ἔπειτα πίνουσα[16] ὕδωρ, φακὸν, καὶ μέλι, καὶ ὄξος, ἕως ἂν μεταρθῶσιν αἱ ὑστέραι, ἐμείτω. καὶ τὴν κλίνην πρὸς ποδῶν ὑψηλοτέρην κείσθαι. καὶ ὑποθυμιῆν[17] ὑπὸ τὰ αἰδοῖα, τὰ εὐώδεα, καὶ ὑπὸ τὰς ῥῖνας, τὰ κακώδεα. σιτίοισι δὲ χρήσθω, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι.[18] καὶ τὸν οἶνον ὑδαρέα πινέτω, μὴ λευκόν. μὴ λουέσθω δὲ μηδὲ μετ' ἀνδρὸς συγκοιμάσθω. ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν,[19] ἐκκρέμαται ὥσπερ ὄσχη. καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας.[20] καὶ ὁκόταν ὁ πόνος ἐγγένηται, οὐ θέλουσιν ἐς χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει[21] ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ τὰς ὑστέρας, ἢ τῷ ἀνδρὶ ἐν τῷ λοχίῳ συγκοιμηθῇ. ὁκόταν δὲ οὕτως ἔχῃ, ψύγματα χρὴ προστιθέναι πρὸς τὰ αἰδοῖα. καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας, σιδίῳ ἐν οἴνῳ μέλανι ἑψήσας τούτῳ περιπλύνας, εἴσω ἀπωθέειν. εἶτα μέλι καὶ ῥητίνην μίξας, ἐγχεῖν. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένη. ἔπειτα σπόγγους ἐπιθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ὁκόταν δὲ οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω. ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν εἰσιέναι. ἢν δὲ μὴ,[22] μακρὰς περιξέσας καὶ θερμήνας, περιπλύνας τε καὶ χρίσας, καὶ δήσας τὴν γυναῖκα πρὸς κλίμακα, κρούειν τὴν κλίμακα κατὰ κεφαλῆς. καὶ τῇ χειρὶ ἐσωθεῖν τὰς ὑστέρας. ἔπειτα ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἀπαλλάξ, καὶ ἐᾶν ἡμέρην καὶ νύκτα οὕτω. καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν. τῇ δὲ αὔριον κατακλίνας, ἐπὶ τὸ ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾶν χρόνον πουλὺν ἕλκειν. ἐπὴν δὲ ἀφέλῃς, μὴ ἀποσχάζειν, ἀλλὰ κατακλίνας, ἐᾶν. καὶ μὴ προσφέρειν ἄλλο, ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ διψῇ, ὕδωρ διδοῦ ψυχρὸν ὡς ἐλάχιστον. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέσθω. ἢν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω,[23] ἕως ἂν τεσσαράκοντα ἡμέραι παρέλθωσιν. ἔπειτα ἀνιστάτω, καὶ περιχωρείτω ὡς ἐλάχιστα. καὶ μὴ λουέσθω.[24] μηδὲ ὑποθυμιήσθω τοῖσι κακώδεσι. καὶ ἐσθιέτω ὀλίγα.[25] ἢν αἱ μῆτραι ἅψωνται, προσέχονται, καὶ ἢν ἅψῃ, ὅψει σκληρὸν ὑπὸ τῇ κενεῶνι. καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα,

tis suffitum parato, subter verò ad vteros odorata apponito. Vbi ad se redierit, medicamentum deorsum purgans propinato, posteaq; lac asininum bibendum dato. Deinde admotis ad vteros fomentis odoratis, medicamenta ex bupresti in subditio apponito, postridie verò netopum. Intermissis autem diebus duobus, vteros per odorata infusa eluito, & postero die pulegium subdito. Intermisso verò die vno, suffitū ex aromatibus parato. Atq; hæc viduam facere imperato, virgini verò vt viro iungatur persuadeto. Vteris verò nihil adhibeto, neque medicamentum bibendum dato, sed conyzam & castorium ex vino ieiunæ exhibeto. Caput odoratis ne vngatur, neque ea olfaciat. Si vteri prociderint & foras prodierint, ignis pudenda præcipuè & sedem occupat, vrina paulatim stillat ac mordet. Hæc contingunt si recens à partu cum viro concubuerit. Cùm sic habuerit, myrti baccis & loti ramentis in aqua decoctis, eaq; deposita, imum ventrem, & quàm frigidissima pudenda perfundito, & leuiter trita ex cataplasmate apponito. Deinde vbi aquā biberit, lenticulam, mel & acetum, vomat quoad vteri subleuati fuerint. Et lecto à pedibus excitato iaceat, pudendisq; suffitum ex graueolētibus admoueat, naribus verò ex odoratis. Cibis autem quàm mollissimis & frigidis vtatur, & vinū aquosum album bibat, non lauet, neq; cum viro dormiat. At verò si penitus extra pudenda prociderint, velut scrotum propendent, & dolor imū ventrem & lumbos prehendit, progressuq; temporis ad locū suum redire nolunt. Morbus autem inuadit, cùm partui vicina vteris laborarit, aut puerperij purgamentis euntibus viro condormierit. Cùm sic habuerit, refrigerantibus pudendis admotis, quod foris est vino nigro in quo malum punicū coxerit repurgatum & ablutum, intro retrudito, deinde mel admixta resina infundito, supinaque sursum sublatis & extentis pedibus iaceat, postea appositas spongias ex lumbis religato. Cùm verò ita habuerit, cibis quidem abstineat, potu autē quàm paucissimo vtatur, quoad septem dies præterierint. Et si quidem sic intro redierint, satis est, sin minùs, summis vteris derasis & calefactis, ablutis & illitis, alligataque ad scalam muliere, scalam ad caput cōcutito, & manu vteros intro trudito, postea eius cruribus alternatim simul colligatis, sic per diem & noctem sinito, & paucum ptisanę succum frigidum, nihilque aliud exhibeto. Postero autem die reclinatæ coxendici cucurbitulam quàm maximam adhibeto, multoq; tempore trahere sinito. At postquā detraxeris, cutem ne pertundito, sed recumbere sinito, nihilq; aliud quàm succum exhibeto, quoad dies septem præterierint. Quòd si sitiuerit, aquā frigidam quàm paucissimam dato. At vbi dies septem præterierint, cibis quā mollissimis & paucissimis vtatur. Quòd si aluum deiicere velit, recumbēs deiiciat, quoad dies quadraginta pręterierint. Deinde surgat & quàm minimùm ambulet, neq; lauetur, neq; suffitū ex graueolentibus adhibeat, & parum comedat. Vteri si adhæserint, inniuntur, & si attigeris duritatem sub lateris inanitate deprehēdes, dolor imum ventrem inuadit,

& laterum mollitudinem, & lumbos, dolorq; ad crus fertur, neq; extendere poteſt. Plærunq; verò pus colligunt, & linamentorum curatione indigentes, niſi vras, aut ſeces, fluore pereunt. Vbi ſic habuerit, medicamentum deorſum purgans propinato, multaq; calida lauato & foueto, cumq; recens lota, aut fota fuerit, iubeto vt quæ ſenſim admota manu eam contrectarit, os locellorum detrahat, ſuffitumq; ex myrrha calonia affuſo roſaceo ſubter paret. Bibat autem pœoniæ grana nigra quinq;, ex vino odorato, caſtorio admixto, & in ſanam coxam recumbat, eiq; baccarim, aut oleum albũ admoueat, allia plurima, tum cruda, tum cocta edat, ſuccum ſorbeat, cibiſq; mollibus vtatur. Vbi autem dolor ſedatus fuerit, in ſanam coxam abduces, deinde ex vrina, lauro aſperſa, fomentũ parato, & à fomento cyclaminum adhibeto. Poſtero verò die lotæ ſuffitum ex aromatis admoueto. Præcipuè autem ex hoc morbo infœcundæ redduntur. Si vterorum os complicatum fuerit, menſes non ſuboriuntur. Si verò ſuboriantur, pauci ſunt & vitioſi, & vbi cum viro congreditur, dolet, dolorq; imũ ventrem & lumbos detinet. Quòd ſi digito contrectet & perquirat oſculum, nõ comparet. Vbi ita habuerit, fomentum ex vrina humana adhibeto, & à fomẽto lenticulæ decocto lauetur. Deinde poſt lotionem vnguẽto Ægyptio vteri foueantur. Quòd ſi ad nares odor peruenerit, eam ſanam fore ſpes eſt. Cumq; dormire volet, oleum Ægyptium ex lana in ſubdititio apponito. Poſtero verò die num magis directi fuerint cõſiderato, poſtea odoratis foueto, & purgantia quę minimè mordeãt ſubter apponito, poſtq; ſubdititia æquali aceti parte admixta eluito. Cùm verò mẽſes adfuerint, ieiuna & illota, poſt ſuffitum virum adeat. Ex hoc autem potiſſimũ morbo ſteriles euadunt. Si vteri ad coxendicem emineãt, tum menſes non eunt, & dolor ad imum ventrem & lateris inanitatem peruenit, ac ſi digito cõtigeris, os in coxendice deprehendes. Cùm ita habuerit, calida lauato, & allia quàm plurima comedenda dato, & lac ouillum impermixtum bibat. Et poſtquã impermixtum comederit, deinde fomento adhibito medicamentum deorſum purgans exhibeto. Poſtquã autem purgata fuerit, rurſus vteros ex fœniculo & abſinthio ſimul pexmixtis foueto. Vbi verò recens fota fuerit, os digito abſtrahito, poſtea ſcillam in ſubdititio apponito, poſt hoc autem intermiſſione facta, quod cum narciſſino conficitur. Quòd ſi tibi perpurgata videatur, netopum ſubter apponito, poſteroq; die vnguentum roſaceum. Primo autem menſium die à ſubdititiis ceſſato, poſtridie verò vbi defecerint, incipito. In menſibus autem ſi quidẽ ſanguis erumpat, ſatis eſt, ſin minùs, cantharidas quatuor, reſectis pedibus, alis, & capite bibat, pœoniæq; nigra grana quinq;, & ſepię oua, liniq; ſemen ex vino. Quòd ſi dolor & vrinæ ſtillicidium detinuerit, in calida deſideat, & aquã mulſam aquoſam bibat. Si verò ſub primũ diem purgata non fuerit, rurſus bibat quoad purgatio adſit, quæ vbi adfuerit, ieiuna virum adeat. In purgatione mercurialem edat, & polypos coctos, cibiſq; mollibus vtatur.

καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. καὶ ἐς τὸ σκέλος ὀδύνη ἐμπίπτει. καὶ ἐκτείνειν οὐ δύναται. πολλάκις δὲ καὶ ἐκπυΐσκονται ἔμμοτοι γινόμεναι. καὶ ῥεόμεναι ἀποθνήσκουσιν, ἢν μὴ καύσῃς ἢ τάμῃς. ὁκόταν δὲ ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ, καὶ πυριῆν. καὶ ὁκόταν νεόλουτος ἦ, ἢ νεοπυρίητος, κελεύειν [26] περιαπαλάσσεσθαι, ἀφελκύσαι τὸ στόμα τῶν ὑστερέων. καὶ ὑποθυμιῆν καλωνίην σμύρναν [27] ῥόδινον περιχέων. πινέτω δὲ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας τοῦ καστορίου ξυμμίσγων ἐν οἴνῳ εὐώδει. 10 [28] καὶ κατακείσθω ἐπὶ τοῦ ὑγιέος ἰσχίου. καὶ προστιθέσθω βάκκαριν ἢ λευκὸν ἔλαιον, πρὸς τὸ ὑγιὲς ἴσχιον. καὶ ἐσθιέτω σκόροδα πλεῖστα, καὶ ὠμὰ, καὶ ἑφθά. καὶ τὸν χυλὸν ῥοφείτω. καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, [29] ἀπάξεις, ἐπὶ τὸ ὑγιὲς ἴσχιον. ἔπειτα πυριῆν τῷ οὔρῳ, [30] περιπάσσοντα τῆς δάφνης. καὶ ἐκ τῆς πυριῆς προστιθέναι τὸ κυκλάμινον. τῇ δὲ ὑστεραίῃ λουσαμένην, ὑποθυμιᾶσθαι τοῖσιν ἀρώμασι. μάλιστα δὲ ἐκ ταύτης ἄτεκνοι γίνονται.

Ἢν ὑποπλιχθῇ τὸ στόμα τῶν μητρέων, τὰ ἐπιμήνια οὐκ ἐγγίνεται. ἢν δὲ ἔλθῃ, ὀλίγα καὶ πονηρά. καὶ τῷ ἀνδρὶ ὁκόταν 20 ξυνίῃ, ἀλγέει καὶ ὀδύνη τὴν νειαίραν γαστέρα ἴσχει, καὶ τὰς ἰξύας. [31] καὶ ἢν ἀφάσσῃ τῷ δακτύλῳ, καὶ σκέπτηται τὸ στόμα, οὐ δῆλόν ἐστιν. ὁκόταν ὧδε ἔχῃ, πυριῆν χρὴ τῷ ἀνθρωπίνῳ οὔρῳ. ἐπὴν δὲ πυριήσῃ, λουσάσθω ἀπὸ τοῦ φακίου. ἔπειτα λουσαμένην, πυριάσθω τῷ αἰγυπτίῳ μύρῳ τὰς ὑστέρας. καὶ ἢν ἐς τὰς ῥῖνας ἀνέλθῃ ἡ ὀδμὴ, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι. καὶ ὁκόταν μέλλῃ καθεύδειν, προστιθέσθω τὸ αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. τῇ δὲ αὔριον σκέψασθαι, ἢν τι μᾶλλον ὀρθῶνται. ἔπειτα πυριῆν εὐώδεσι, καὶ προστιθέναι ἃ μὴ δήξεται καθαρτήρια. καὶ μετακλύζειν μετὰ τὰ προσθετὰ, ἴσον τὸ ὄξος μί- 30 σγων. ὅταν δὲ τὰ ἐπιμήνια ἔλθῃ, ἐκ νήστιος οὖσα καὶ ἀλουτήσασα, καὶ θυμιησαμένη, τῷ ἀνδρὶ συνέστω. μάλιστα δὲ ἐκ ταύτης τῆς νούσου ἄφοροι γίνονται.

Ἢν αἱ μῆτραι πρὸς τὸ ἰσχίον διαθέωσι, τά τε ἐμμήνια οὐκ ἔρχεται. καὶ ὀδύνη ἐς τὴν νειαίραν γαστέρα φοιτᾷ, καὶ ἐς τὸν κενεῶνα. καὶ ἢν ἀφάσσῃ τῷ δακτύλῳ, ὄψει τὸ στόμα ἐν τῷ ἰσχίῳ. ὅταν ὧδε ἔχῃ, λούειν θερμῷ. καὶ σκόροδα διδόναι ἐσθίειν ὡς πλεῖστα. καὶ γάλα οἷος πινέτω [33] ἄκρητον. καὶ ἐπειδὰν δὲ καταρροφήσῃ ἄκρητον, ἔπειτα πυριήσας δοῦναι φάρμακον κάτω. ἐπειδὰν δὲ καθαρθῇ, αὖθις πυριῆν τὰς ὑστέρας, τῷ μαράθῳ καὶ τῷ ἀψινθίῳ 40 συμμίσγοντας. ἐπὴν δὲ νεοπυρίητος ἦ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ. ἔπειτα προσθεῖναι τὴν σκίλλαν. μετὰ δὲ τοῦτο ξὺν τῷ ναρκισσίνῳ διαλιπών. ἢν δέ σοι δοκέῃ κεκαθάρθαι, νέτωπον προστίθεσθαι. τῇ δὲ ὑστεραίῃ, ῥόδινον μύρον. παύσασθαι δὲ τοῦ προστιθέναι τῇ πρώτῃ τῶν ἐπιμηνίων. ἄρχεσθαι δὲ τῇ αὔριον, ἐπὴν ἀπολίπῃ. ἐν τοῖσιν ἐπιμηνίοισιν, ἢν μὲν τὸ αἷμα καταρραγῇ. εἰ δὲ μὴ, πινέτω κανθαρίδας τέσσαρας, ἀποκόψασα τοὺς πόδας καὶ τὰ πτερὰ, καὶ τὴν κεφαλήν. καὶ γλυκυσίδης κόκκους τοὺς μέλανας. καὶ σηπίης ᾠά. [34] σπέρμα λίνου, ἐν οἴνῳ. καὶ ἢν ὀδύνη ἔχῃ, καὶ ἢν στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω. καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαρθῇ ὑπὸ τὴν πρώτην, αὖθις πινέτω, ἔστ' ἂν ἔλθῃ. ἐπὴν δὲ ἔλθῃ, ἀσιτήσασα ξυνέστω τῷ ἀνδρί. ἐν δὲ τῇ καθάρσει τὴν λινόζωστιν ἐσθιέτω. καὶ πουλύποδας ἑφθούς. καὶ σιτίοισι μαλθακοῖσι χρήσθω.

τῇ

τῆς δὲ νόσου ἀπαλλάσσεται, ἐὰν ἐν γαστρὶ σχῇ. [35] Ἢν ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα. καὶ ῥῖγος καὶ ὀδύνη τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας ἔχει. ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα ἀνέρχεται καὶ λιποψυχέει. ταῦτα πάσχει ἀρχομένης τῆς νόσου. ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ κοῖλα τοῦ προσώπου ἐξερυθραίνεται. ὁκόταν οὖν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας, προσθεῖναι τὴν κυκλάμινον. πινέτω δὲ ὃ ξὺν τῇ δαδὶ, ἔστ' ἂν τὸ ῥεῦμα κινηθῇ. ἐξαλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων, ἔλαιον χήνειον. καὶ σμύρναν. καὶ ῥητίνην χλιαρήν. [36] καὶ ἐμπλαζέσθω ὡς μάλιστα, καὶ πρὸ τοῦ σιτίου, ἐσθιέτω ἑφθὸν τὴν λινόζωστιν. καὶ σκόροδα. καὶ πράσα. καὶ κράμβης τὸν χυλὸν ῥοφείτω. καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. θαλασσίοισι δὲ μᾶλλον. καὶ λουέσθω θερμῷ. τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται. [37] Ἢν αἱ μῆτραι φλεγμήνασαι πληθῶσι, φῦσα ἐγγίνεται· καὶ τὰ ἐπιμήνια λευκὰ [38] ἀπέρχεται, φλεγματώδεα. ἔστι δ' ὅτε καὶ αἷμα λεπτὸν, ὑμένων ἔμπλεον. καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι. καὶ ὠχρὴ καὶ λεπτὴ γίνεται. ἐρέσθαι οὖν χρὴ αὐτὴν τὸ ῥέον ἢν δάκνῃ τε καὶ ἐξελκοῖ. καὶ ἢν μὴ δάκνηται, ἀπὸ τοῦ ἐγκεφάλου φάναι εἶναι τὸ ῥεῦμα. [39] εἰ δ' οὖν, ἀπὸ τῆς κοιλίης. ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμείτω ἀπὸ τοῦ φακοῦ. ἔπειτα ἐλλεβόρῳ καθῆραι. ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι. ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκῇ, φάρμακον πίσαι κάτω. σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων. τὰ δὲ δριμέα προσφέρειν, ὡς σύμφορα, ἢν μὴ τὰ αἰδοῖα ἡλκωμένα ᾖ. ψυχρὰ δὲ ἀμείνω. καὶ λουέσθω ὀλίγον, πλὴν μὴ θερμῷ, μηδὲ τὴν κεφαλήν. πινέτω δὲ νῆστις, ὑπερικὸν. λίνου σπέρμα. ἐλελίσφακον, ἐν οἴνῳ ὑδαρεῖ. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν ὀλύνθων. καὶ μετακλύζειν τοῖσι στρυφνοῖσιν. ἡ δὲ νοῦσος χαλεπή. [40] Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐμμήνια οὐ χωρεῖ παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα. καὶ ὁκόταν νῆστις ᾖ, ἔμετος αὐτὴν λαμβάνει. ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ σιτία. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας καὶ λειποψυχίη ἴσχει. ἡ δὲ γαστὴρ, ὅτε μὲν σκληρή. ὅτε δὲ μαλθακή ἐστι. καὶ φυσᾶται, καὶ μεγάλη γίνεται. καὶ δοκέει ἐν γαστρὶ ἔχειν. [41] ἢν δὲ ἀφασσήσῃ, κενεὸν γίνεται τὸ πλήρωμα. ταύτῃ μέχρι μὲν τῶν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, οἷον τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ ὕδατος. καὶ ὁ ὀμφαλὸς ἐξίσχει. καὶ ἢν ἐσαφάσσῃς τὸν δάκτυλον, εὑρήσεις τὸ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης. καὶ ὅπου ἐφαίνη τὰ ἐπιμήνια, ὀλίγα καὶ πονηρά. καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται. καὶ οἱ πόδες οἰδέουσιν. ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ προστιθέναι πρὸς τὰς ὑστέρας, ὁκόσα καθαίρει μὴ δάκνοντα. καὶ μετὰ τὴν πρόσθεσιν, κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον. καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ τὸν χυλὸν ἐπιβάλλουσα ἄλητον. καὶ ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω. ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστιν. [42] Ἢν ἐρυσίπελας δὲ ἐν τῇσι μήτρῃσιν ἐγγένηται, οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον, καὶ ἐς τὰ σκέλεα καὶ τὴν ὀσφῦν. ὅσῳ δ' ἂν πλείων ὁ χρόνος ἐγγένηται, οἰδεῖ καὶ ἡ γαστήρ. καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει, καὶ ἀσθένεια. ὑπὸ δὲ τῆς ὀδύνης, οὐ δύναται ἡσυχάζειν, ἀλλὰ ῥιπτεῖ ἑωυτήν.

Morbo autem liberabitur vbi conceperit. Si ex partu minimè purgata fuerit, venter & crura intumescunt, rigor & dolor imũ ventrem & lumbos occupat, quandoq; etiã ad viscera progreditur, & animo deficit. His per morbi exordia afficitur, procedente verò tempore, cauæ faciei partes multùm rubescunt. Cùm igitur ita habuerit, post fomentum vteris admotum, cyclaminũ in subditio apponito. Bibat autem quod cũ tæda conficitur, quoad fluxus emotus fuerit. Vterorũ autem ori pingue anserinum, myrrham & resinam tepidam illinito & quàm maximè inducito. Ante cibum mercurialem coctam, allia & porrum edat, & brassicæ succum sorbeto, cibisq; mollibus vtatur, marinis autem potiùs & calida lauet. Pinguibus verò & dulcibus abstineat, quoad conualescat. Si vteri pituita redundantes fuerint, flatus intus oritur, & menses albi pituitosi prodeũt, interdum verò etiam sanguis tenuis, pelliculis plenus, neq; præ humiditate cũ viro vult congredi, pallidaq; & gracilis euadit. Interrogare igitur eã oportet num quod defluit mordeat & exulceret, & si nõ mordeat, ex cerebro defluere asserito, si verò mordeat ex ventriculo. Sin igitur ex ventriculo fuerit, post lenticulæ decoctum vomat, deinde veratro purgato, postea in nares indito. Vbi verò superior ventriculus tibi perpurgatus videbitur, medicamentum deorsum purgans propinato. Cibis pinguibus & dulcibus abstineat, acres verò exhibeto, vt qui conueniant, nisi pudenda exulcerata fuerint, præstant autem frigidi. Parum lauet, neq; tamen calida, neq; caput. Ieiuna verò hypericum, lini semen, saluiam ex vino diluto bibat. Vbi autem fluxus cessarit, grossorum succo eluito, deinde acerbis. Morbus autẽ grauis est. Si vteri inflammatione laborent, menses prorsus non eunt, vel praui & pauci, cumq; ieiuna fuerit, eam vomitus prehendit, vbi verò quid ederit, cibos vomitione reiicit, dolorq; imum vẽtrem & lumbos detinet, animiq; deliquium occupat. Venter autem interdum quidem durus, interdum autem mollis est, flatu distenditur, & magnus euadit, seq; vtero gestare existimat. Quòd si attrectaris, tumor ille euanescit. Huic velut vterum gestanti, tumor paulatim ad decem vsq; mẽses increscit. Cùm verò præterierint decem menses, venter aqua impletur, & vmbilicus extat. Quòd si immisso digito attrectaris, os vteri gracile in seq; considens deprehendes. Vbi menses comparent, pauci & praui prodeunt, ceruix & claniculæ extenuantur, & pedes intumescunt. Cùm sic habuerit, medicamentum deorsum purgans propinato, & ad vteros quæ purgent neque mordeant in subditio apponito, post quæ vteros æquali aceti acerrimi portione admixta eluito, mercurialem edito, succũq; farina iniecta cũ decocta fuerit sorbeto. Hic autem morbus periculo proximus est. Si erysipelas in vteris suboriatur, tumor à pedibus exorsus, ad crura & lumbos fertur, quoq; lõgiùs tempus processerit, venter etiã intumescit, rigor, febris, & imbecillitas prehẽdit, neq; prę dolore quiescere potest, sed seipse disiicit.

Dolor verò ab imo ventre ad lumbos sursum fertur, deinde sursum progreditur ad præcordia, pectus & caput, seq; mori putat, cumq; remiserit, manus, interdumq; etiam inguina, crura & poplites inuadit, liuida euadit, & exiguo quandoq; tempore meliusculè habere videtur, deinde rursus iisdem afficitur, corpus pustulis refertum est, in facie rubores exoriuntur, vehemens sitis detinet, & fauces arescunt. Hic morbus si prægnanti oboriatur, perit, alioqui curatione adhibita sanescit. Cùm igitur sic habuerit, si dolor detineat, refrigerãtia porrigere ventremq; mouere oportet. Quòd si vtero habeat, cibis & potionibus vtatur, quibus fœtus minimè perdatur. Si verò aluus nõ deiiciat, per infusum subluito. Verùm si vtero nõ habeat, medicamentum purgans potui exhibendum. Cibis quàm paucissimis, mollissimis & frigidis vtatur, mercurialem & sambucum comedat, & neq; salsa, neque pinguia, neq; acria, velut origanum, aut thymum, aut rutam. Vbi autem febris & strangulatio dimiserit, tumorq; minimè substiterit, medicamentum valentius deorsum purgans postea propinato. Ex hoc autem morbo paucæ euadunt. Si vteri præter naturam dehiscant, & menses plus iusto copiosi, & glutinosiores, & frequentes eant, neq; genitura intus manet. Quòd si digito contigeris, os dehiscens deprehendes, febris, rigor, & dolor imum vẽtrem & lumbos corripit. Hic morbus ex fluxu sanguineo prehendit, qui exoritur cùm menses de repente suppressi eruperint. Cùm dolor maximè detinet, tepefactoria in subdititio adhibeto, ex iisque fomentum vteris admoueto, & medicamentum deorsum purgans propinato, quæq; minimè mordeant subdito, & cum acerbis post subdititia colluito, minimumq; lauet. Cibis autem quàm maximè siccis vtendum. Quibus factis nisi conualescat, medicamentũ ex quo per superiora & inferiora purgetur propinato. Cùm mẽses commouebuntur, cùmque cessarint, eandem victus rationem adhibeto. Hic autem morbus lethalis est. Si vteri ad medios lumbos fuerint, dolor imum ventrem, deinde crura detinet, cumq; ventris onus deponit, acutiores dolores suboriuntur, stercusq; non nisi vi progreditur, vrina guttatim fertur, & animo linquitur. Cùm sic habuerit, adalligata vesicæ fistula, flatum in vteros immittito, & fomentum admoueto, aut calida multa lauato, subter pudenda suffitum ex graueolentibus parato, subter nares verò ex bene odoratis. Vbi autem dolor cessarit, lenticulæ decocto prius potui exhibito, medicamentum sursum purgãs, ex quo ventriculus emoueatur, propinato. At postquam vteri ad suam sedem redierint, medicamentum deorsum purgans, postea etiam lac propinato. Deinde fomento ex vino ad vteros admoto, medicamenta quæ ex lauro cõficiuntur immittito, & quæ non mordeant, admixto aceto in subditio apponito, postea suffitum ex aromatis parato. Steriles autem & claudæ ex hoc morbo euadũt. Cùm fluor albus subortus fuerit, vrina qualis asini apparet, & dolor imum ventrem, lumbos ac laterum inanitates detinet, crura ac manus intumescunt, oculorũ caua eleuantur, & oculi humescũt, color auriginosus & albus redditur, cumq; deambulat anhelatione corri-

ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαίρης γαστρὸς, ἐς τὰς ἰξύας. ἔπειτα ἄνω ἔρχεται [43] ὑπὸ τὰ ὑποχόνδρια, καὶ τὰ στήθεα, καὶ τὴν κεφαλήν. καὶ δοκέει ἀποθανεῖσθαι· ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας· ἔστι δ' ὅτε καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα, καὶ τὰς ἰγνύας, [44] καὶ πελιὸς γίνεται. καὶ ὀλίγον ποτὲ χρόνον, ῥάων δοκέει εἶναι, ἔπειτα αὖθις τὰ αὐτὰ πάσχει. καὶ ὁ χρὼς φλυκταινῶν καταπίμπλαται. καὶ τὸ πρόσωπον ἐρυθήματα φύει. καὶ δίψα ἔχει ἰσχυρή. καὶ ὁ φάρυγξ ξηρός. [45] αὕτη ἡ νοῦσος ἐπὴν κυοφορεούσῃ ἐγγίνεται, ἀποθνήσκει. ἢν δὲ μὴ, μελεδαινομένη ὑγιαίνει. ὁκόταν οὕτως ὧδε ἔχῃ, προσφέρειν δεῖ ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν. καὶ ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισι καὶ ποτοῖσι χρῆσθαι, [46] ὅκως τὸ ἔμβρυον διαφθείρηται. ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν. ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πιεῖν. καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι μαλθακωτάτοισι, καὶ ψυχροῖσι. καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὴν ἀκτῆν. καὶ μήτε ἁλυκὰ, μήτε λιπαρὰ, μήτε δριμέα. οἷον ὀρίγανον, ἢ θύμον, ἢ πήγανον. ἐπὴν δὲ τὸ πῦρ ἀφῇ, καὶ τὸ πνῖγμα, καὶ μὴ καταστῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπῖσαι κάτω. τὴν δὲ νοῦσον ταύτην ὀλίγαι διαφεύγουσιν. Ἢν αἱ μῆτραι παρὰ φύσιν χάσκωσι. καὶ τὰ ἐπιμήνια πλέω τοῦ δέοντος ἔρχεται. καὶ γλισχρότερα καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ ἐμμένει. καὶ ἢν ἅψῃ τῷ δακτύλῳ, εὑρήσεις κεχηνὸς τὸ στόμα. καὶ πῦρ, καὶ ῥῖγος, καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. αὕτη ἡ νοῦσος λαμβάνει ἐκ ῥόου αἱματώδεος. γίνεται δὲ ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἰσχόμενα ῥαγῇ. κἢν ἡ ὀδύνη μάλιστα ἔχῃ χλιάσματα προστιθέναι, [47] καὶ ὁκόταν πυριῇ τὰς ὑστέρας, καὶ πῖσαι φάρμακον κάτω. καὶ προστιθέναι ὅσα μὴ δήξεται. καὶ κλύζειν μετὰ τὰ προσθετὰ ἐν στρυφνοῖσι. καὶ λούεσθαι ὡς ἥκιστα. σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι. ἢν δὲ ταῦτα παθοῦσα ὑγιὴς μὴ γένηται, φάρμακον πῖσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαίρηται. ὁκόταν τὰ ἐπιμήνια κινέηται, καὶ ὁκόταν παύηται, [48] δίαιτα τὸν αὐτὸν τρόπον. ἡ δὲ νοῦσος θανατώδης.

[49] Ἢν αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ἔωσιν, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, [50] καὶ τὰ σκέλεα ὕστερον. καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἐγγίνονται ὀξύτεραι, [51] καὶ ὁ ἀπόπατος προσέρχεται, καὶ τὸ οὖρον στάζει καὶ λιποψυχέει. ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας πρὸς κύστιν, φυσῆσαι τὰς ὑστέρας, καὶ πυριῆσαι, ἢ λοῦσαι πολλῷ θερμῷ. καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα, τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, φάκιον προπίσας, φάρμακον πῖσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη κινηθήσεται. ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χωρίον, φάρμακον πῖσαι κάτω, καὶ γάλα μεταπῖσαι. ἔπειτα πυριήσας τὰς ὑστέρας οἴνῳ, τὰ ἀπὸ δάφνης ἐμβάλλειν. καὶ προστιθέναι, ἃ μὴ δήξεται, ξυμμίσγων τὸ ὄξος. ἔπειτα ὑποθυμιῆν τοῖσιν ἀρώμασι. ἄτοκοι δὲ καὶ χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται. Ὁκόταν δὲ λευκὸς ὁ ῥόος ἐγγένηται, [52] οἷον οὖρον φαίνεται. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ οἰδήματα τῶν τε σκελέων καὶ τῶν χειρῶν. καὶ τὰ κοῖλα αἴρεται. καὶ οἱ ὀφθαλμοὶ ὑγροί. καὶ ἡ χροιὴ ἰκτερώδης καὶ λευκὴ γίνεται. καὶ ὁκόταν πορεύηται, ἀσθμαίνει.

ὁ δὲ

ἢ δὲ νοῦσος γίνεται, ἢν φύσει ἐοῦσα φλεγματώδης, πυρεταίνῃ, καὶ χολὴ κινηθεῖσα, μὴ καθαρθῇ. ἢν μὲν οὖν ἡ κοιλίη ὀξέη, διάρροιαι γίνονται. ἢν δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος γίνεται. ταύτην ἐπὴν διάρροια ἔχῃ, τρίβων μήκωνος λευκῆς τὸ λέπυρον, τὸ ἴσον τῆς πυρρᾶς, καὶ ἀχλάδης τὸν καρπὸν τρίβων ἐν οἴνῳ κεκρημένῳ, ἄλφιτα ἐπιβαλὼν, ποταίνια πινέτω. ἢν δὲ θέλῃς σίδην ἐς σποδὸν ἐγκρύψας, ἐν οἴνῳ πινέτω, καὶ ἄλφιτον ἴσον, καὶ ἄλητον ἐπιβαλών. ὡς ἥκιστα δὲ λουέσθω. σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσι. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον πισαι, ὑφ' οὗ τὰ ἄνω καθαίρεται. καὶ γάλα ὄνειον πινέτω. ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω, ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, καὶ ἐξαιθριάσας ἄκρητον οἴνου μίσγων ὕδατι τὸ τέταρτον μέρος. ἑσπέρης δὲ ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον. ἐπὴν δὲ γένηται δεκαταίη, ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην, καὶ τοῦ ὕδατος. ὅσον δὲ ἀφέλῃς, τοσοῦτον χλιερὸν ἄρτι ἠμελγμένου, πινέτω τὴν μοίρην. τὴν δὲ αὔριον, δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν εἴη αὐτῇ ὀλίγου κεκρημένου ἄκρητον. καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν, ἀφαιρέων τὸ δέκατον μέρος. καὶ τοῦ ῥοφήματος προστιθέσθαι πλέον. ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη πίνουσα τὴν δεκάτην μοίρην τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοίρην, πινέτω δέκα ἡμέρας. καὶ σιτίοισι χρήσθω. καὶ οὕτως γίνονται αἱ ξύμπασαι[16] ἡμέραι, μ'.

[17]Ἐστ' ἢν διαβάλλῃ τοὺς τόκους φύσει ἄτοκος ἐοῦσα, τὸ μὲν πρῶτον ὑπολείπει τὰ ἐμμήνια, καὶ γίνεται ἐλάσσω, καὶ τὸν χρόνον ὑπερβάλλει ἐν ᾧ ἐγίνετο πρόσθεν. ἔπειτα ἐξαπίνης ἐγίνετο πολλὰ, καὶ καθαρὰ, καὶ ἰσχυρά. καὶ ἢν μὲν οἱ ἅπαξ γενόμενα εἴη, τὸ λοιπὸν κατὰ λόγον ἐν γαστρὶ ἴσχει. ἢν δὲ μὴ, τὸ πρῶτον γίνεται, καὶ δεύτερον, καὶ τρίτον τοῦ μηνός. ἔπειτα τελευτήσει ἐξ ἑωυτοῦ ὁ ῥόος. ὠχρή τε καὶ λεπτὴ γίνεται.[18] φάρμακον οὖν χρὴ πιπίσκειν, ἄνω καὶ κάτω. καὶ γάλα μεταπιπίσκειν ὄνειον, ἢ ὀῤῥόν. ἔπειτα μετὰ ταῦτα πυριήσαντα, καθῆραι τὰς ὑστέρας φαρμάκῳ ὃ μὴ δήξεται, ἔπειτα κλύσαι σὺν τῷ ὄξει. ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. ποιέειν δὲ ταῦτα, ὅκως τῇ προτέρῃ τῶν ἐπιμηνίων[19] ἢ πεποιημένα. καὶ μὴ γένηται ἄλουτος καὶ ἄσιτος. κυκεῶνα ἄναλον παχὺν πίνουσα. καὶ ὑποθυμιάσθω τοῖσιν ἀρώμασι, μέτωπον προσχέασα, καὶ μύρον ῥόδινον. ἔπειτα τῷ ἀνδρὶ ξυνίτω.

[20]Ἢν αἱ κοτυληδόνες φλέγματος περίπλεαι γένωνται, τὰ μὲν ἐπιμήνια καλῶς ἐπιγίνονται, καὶ ἐν γαστρὶ ἴσχει. διαφθείρει δὲ ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀποῤῥήγνυται. γνοίης δὲ ὧδε. ὑγρὴ γίνεται, καὶ ἀποῤῥέει μυξῶδες, καὶ γλίσχρον, καὶ οὐ δάκνει. καὶ τοῖσιν ἐμμηνίοισιν ἐπὴν παύσηται τοῦ ῥεύματος καθαιρομένη, καὶ δύο ἡμερέων καὶ τριῶν μύξαι ἔρχονται, καὶ ἀπὸ τῶν ὑστερέων. ταύτην δεῖ κλύσαι, τῷ ἀπὸ τῶν ὀλύνθων. καὶ δὶς ἢ τρὶς μετακλύσας στρυφνοῖσι, τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα. καὶ τὰ μαλθακὰ πυριῆν. καὶ κλύζειν μετὰ τὰ προσθετὰ, ἴσον τὸ ὄξος μίσγων. καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι τοῖσιν ἀρώμασι. ἔπειτα δὲ ἀσιτεῦσα καὶ ἀλουτεῦσα,[61] συνευναζέσθω τῷ ἀνδρί.[62] Ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα. καὶ δοκέει ἐπικεῖσθαί οἱ βάρος, καὶ τὰς ἰξύας πονέει, καὶ τοὺς κενεῶνας.

pitur. Hic morbus oritur, si naturâ pituita abundans, febricitarit, bilisq; commota minimè purgata fuerit. Si igitur ventriculus coacescat, alui profluuia contingunt, quod si ad vteros vertatur, fluxus oritur. Hâc vbi alui profluuium detinuerit, papaueris albi & rubri æquali portione corticem tritum, & spinæ fructum ex vino aqua temperato, polenta recenti immissa bibat. Quòd si velit, mali punici putamen cinere cõtectum, pari polentæ & farinæ portione iniecta, ex vino bibat, quàm minimùm verò lauet. Cibis maximè siccis & frigidis vtatur. At vbi fluxus cessauerit, medicamentũ ex quo superiora purgẽtur propinato, & lac asininum bibat. Cùm verò deorsum purgata fuerit, lac bubulũ ad quadraginta dies, si possit, bibat, & impermixtum cœlo sereno expositũ, vini quarta portione ad aquam ammixta. Sub vesperam autem vbi ebiberit, sorbitionem ex alica sumat. Vbi verò ad diem decimum peruenerit, lactis & aquæ decimam partem subtrahito. Quantam autem subduxeris, tantam recenter mulcti tepidi portionem bibat, postero verò die duas portiones, vt in decem portionibus pro modico diluto sit meracum, & ad dies quatuor bibat decima parte subtracta, & ampliore sorbitione adhibita. Cùm autẽ decimam lactis portionem quatuordecim diebus biberit, tertiam aquę partem affusam ad decem dies bibat, & cibis vtatur. Sicq; dies exeũt in totum quadraginta. Vbi quæ natura sterilis existit partus eiicit, primũ quidem menses deficiunt, & pauciores contingunt, tempusque quo priùs apparebant superant, deinde de repente copiosi, puri & vehemẽtes decurrunt. Et si quidẽ ei semel defluxerint, deinceps pro ratione in ventre habet, sin minùs, primò, secundò, ac tertiò in mense decurrunt, postea per se fluxus desinet, pallidaq; & gracilis euadit. Medicamentum igitur sursum & deorsum purgans propinandum, & lac asininum, aut serum postea bibendum, deinde post hæc admoto fomento, vteri medicamento quod minimè mordeat purgandi, postea aceto colluendi, deinde suffitus ex aromatis parandi. Hæc autẽ facito, vt primo mensium die facta sint, & vt neq; illota, neq; sine cibo maneat, cyceonem insulsum crassum vbi biberit, suffitum ex aromatis asperso netopo & vnguento rosaceo sibi paret, deinde virum adeat. Si acetabula pituita referta fuerint, menses quidem probè eunt, & vtero gerit, fœtum autem vbi validior fuerit, corrumpit. Neq; enim detinere potest, sed disrumpitur. Hunc autem in modum nosces. Humida redditur, & mucosum glutinosumq; defluit, neq; mordet. Et vbi à fluxu purgari desierint, cum mensibus per duos aut tres dies muci ex vteris procedunt. Hanc grossorum decocto colluere oportet, & vbi bis aut ter acerbis postea collueris, deinceps medicamentum ex quo pituita purgetur in subdititio apponito, mollia fomenta admoueto, & post subdititia pari aceti portione admixta eluito, & euntibus mẽsibus suffitũ ex aromatis parato. Deinde à cibo & lotione abstinens, cùm viro dormiat. Cùm menses latuerint, dolor imũ ventrem detinet, eiq; pondus incũbere videtur, lumbi & laterum inanitates dolent.

At vbi ad præcordia irruperint, suffocant, cumq; frequenti vomitione acida reiecerint, modico tempore meliùs habet, dolor verò ad caput & ceruicem fertur. Vbi igitur aduenturi sunt, si impetum fecerint, tepefacientia subter apponito, suffitumq; ex graueolentibus apparato, infra verò ex odoratis, castoriumq; & conyzam potui exhibeto. Cùm autem ad inferiora processerint, suffitum per inferiora ex graueolentibus apparato, ad nares autem ex bene olētibus. At vbi dolores quieuerint, medicamentum potui exhibeto, posteaq; lac asininum propinato, deinde succū ex quo vomat dato, & naribus admoueto. Vbi verò purgaueris, fomento ad vteros ex his quæ cū lauro conficiuntur admoto, medicamētum ex narcisso apparatū subter apponito. Tribus autem diebus fomentis intermissis, id quod ex cantharide conficitur in subditio apponito, postero verò die adipem anserinū, deinde tribus intermissis diebus, ex eo quod cū aceto paratur eluito. In purgationibus autē, mercurialem ante cibos edat, cibisq; mollissimis vtatur, & acria comedat, bisq; die calida lauet. Quòd si his factis mēses suo tempore non contingunt, cantharidas propinato, & vbi prodierint, ieiuna illota & suffita cum viro dormiat. Si ea quæ in vtero habet fœtum menstruū aut bimestrem perdit & perferre nequit, gracilisq; præter naturā euadit, huic vteri osculū purgare oportet. Neq; enim priùs fœtum perferre poterit, quàm ipsius vteri crassi & validi redditi fuerint. Quòd si præter naturā crassior euaserit, vtero non concipit. Omentū enim præpingue superincumbēs, vteros comprimit, neq; genituram suscipere sinit. Huic, vbi gracilem reddideris, medicamentū deorsum purgans propinare oportet, & ad vteros quod eos purget & flatus excitet, subter apponere. At si vterorum osculum durum extiterit, aut ceruix, quod immisso digito deprehendes, itēq; si in coxendicem obuersi fuerint. Quod cùm sic habeat, nihil acre exhibeto. Si enim os exulceraris, vbi inflāmatione tentatum fuerit, periculum est ne penitus sterilis euadat. Verùm quæ non mordeant, ex quibus purgetur, subter apponito. Si eam quæ patere nō potest purgare voles, & biliosa aut pituitosa fuerit. Quodnā autem ex his sit cognosces, si suppositæ arenæ, dum menses eunt, in sole sanguinem effusum siccari permittas. Et siquidem biliosa fuerit, sanguis pallidus in summa arena extabit; si verò pituitosa, velut mucus. At certè vtrūlibet fuerit, vbi per inferiora purgaueris, ad vteros subditia adhibeto. Si menses prorsus non eant, si quidem ex dolore contingat, primùm quidem ventrē deorsum purgato, deinde medicamentū à quo sanguis ex vteris purgetur subter apponito. Postea intermisso vno aut altero die, medicamentū ex quo sanguis purgetur in subditio apponito. Reliquo verò tēpore crethmi corticem ex vino tritū bibat. Si vteri osculum plus iusto humidū fuerit, acria vti mordeatur, & inflāmatum admodū durū fiat, subter apponito. Quòd si induratū fuerit, acria adhibeto. Quæ enim mordent, saniē diffundūt, postea mollia subter apponito. Quinetiā ad alios morbos nō minùs apponito. Si puerperæ vteri ad coxendicem aut ad lateris inanitatē incubuerint, ad sanam coxēdicem oleū Ægyptium albū, aut Baccarinum vnguentū admouere oportet, & in sanā coxendicem decumbat.

ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, πνίγουσι, καὶ ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥάων γίνεται ὀλίγον χρόνον. [63] ἡ δὲ ὀδύνη, καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. ἐπὴν οὖν μέλλῃ ἢν προσεξέσσῃ, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν κακώδεα. κάτω δὲ εὐώδεα. καὶ πίνειν διδόναι τὸ καστόριον, καὶ τὸ κόνυζαν. ἐπὴν δὲ κάτω, ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον δοῦναι πιεῖν. καὶ μεταπιπίσκειν γάλα ὄνου. ἔπειτα διδόναι χυμόν, ἀφ' οὗ ἐμέεται. καὶ πρὸς τὰς ῥῖνας προστιθέναι. 10 ἐπὴν δὲ καθάρῃς πυριήσας τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ προσθεῖναι, τὸ ξὺν τῇ ναρκίσσῳ. τρεῖς δὲ διαλιπὼν πυρίας, προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι. τῇ δὲ ὑστεραίῃ, στέαρ χήνειον. ἔπειτα διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τῷ ξὺν ὄξει. ἐν δὲ τοῖσι καθαρμοῖσιν, ἐσθιέτω τὴν λινόζωστιν πρὸ τῶν σιτίων. καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω. καὶ δριμέα τρωγέτω. καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. ἢν δὲ μὴ γίνηται ἐπιμήνια, ταῦτα ποιήσαντα ἐν τῷ δέοντι χρόνῳ, πίσαι κανθαρίδας. καὶ ἐπὴν γένηται, νηστεύσασα, καὶ ἀλουτήσασα, καὶ ὑποθυμιήσασα, συνευνάσθω τῷ ἀνδρί. [64] ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον, [65] καὶ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, ταύτην χρὴ [66] καθήραντα καὶ τὰς ὑστέρας πρὸς τὸ στόμα. οὐ γὰρ δύναται πρότερον διενέγκαι, ἔστ' ἂν αὐτῆς παχεῖαι γένωνται αἱ ὑστέραι, καὶ ἰσχύσωσιν. [67] ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον πολὺ παχὺ, ἀποπιέζει τὰς ὑστέρας, [68] καὶ τὴν γονὴν οὐκ ἐσδέχεται. ταύτην χρὴ λεπτύναντα, φάρμακον πίσαι κάτω. καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὅ, τι καθαίρεται αὐτάς, [69] καὶ φύσας οὐκ ἐμποιεῖ. [70] ἢν δὲ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ἢ ὁ αὐχὴν, τὸν δάκτυλον προσάγων, γνώσῃ. καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἔωσιν ἀπεστραμμέναι. ὁ-30 ταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν δριμύ. ἢν γὰρ ἑλκώσῃς τὸ στόμα ἐπὴν φλεγμαίνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. ἀλλὰ προστιθέναι ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρηται. [71] ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, ἐθέλῃς καθῆραι, καὶ ἢν χολώδης ἢ φλεγματώδης. [72] γνώσῃ δὲ τούτων ὁκότερον, ἢν ψάμμον ὑποβάλλων ἐπὴν τὰ ἐπιμήνια γένωνται, ἐν τῷ ἡλίῳ ἐπιχέας τὸ αἷμα, ἐάσῃς ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπάνω τὴν ψάμμου ἔσται τὸ αἷμα ὠχρόν. ἢν δὲ φλεγματώδης, [73] οἷον μύξα. καὶ δὴ ὁκότερον ἂν εἴη, [74] καθήρας κάτω, 40 πρὸς τὰς ὑστέρας ἐπιθεῖναι προσθετά. [75] ἢν τὰ ἐπιμήνια παντάπασι μὴ γίνωνται. ἢν μὲν ὑπὸ πόνου ᾖ, πρῶτον μὲν τὴν κοιλίην καθῆραι κάτω. ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεται ἐκ τῶν ὑστερέων. ἔπειτα διαλιπὼν ἡμέρην μίην ἢ δύο, [76] ὑφ' οὗ αἷμα καθαίρεται προσθεῖναι. τὸν δὲ ἄλλον χρόνον τὸν φλοιὸν πινέτω τοῦ κρηθμοῦ ἐν οἴνῳ τρίψασα. ἢν ὑγρότερον χαίρῃ τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ δριμέα, ὡς δηχθῇ. καὶ φλεγμῆναι σκληρὸν λίην γένηται. ἢν δὲ σκληρὰ ᾖ, τὰ δριμέα προσφέρειν. δάκνοντα γὰρ διαχεῖ τὸν ἰχῶρα. ἔπειτα μαλθακὰ προστιθέναι. εἰς δὲ τἄλλα νοσήματα, οὐχ ἥκιστα 50 προστιθέναι. [77] ἢν δὲ τὸ ἰσχίον λεχοῖ καταστηρίξωσιν αἱ ὑστέραι εἰς τὸ κενεῶνα, προστιθέναι χρὴ πρὸς τὸ ὑγιὲς ἰσχίον, ἔλαιον αἰγύπτιον λευκὸν, ἢ βακκάριον. καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακεῖσθαι καὶ πυέ-

καὶ πινέτω γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε. καὶ ἀκτῆς καρπὸν ὅσον χηραμίδα. καὶ κάστορος ὅσον κύαμον ἐν οἴνῳ. ἔπειτα λουσαμένη θυμιήσθω. καὶ τοῖσι πότοισι καὶ σιτίοισι χρήσθω μαλθακοῖσι. καὶ λινοζώστει. καὶ τοῖσι δριμέσι πᾶσι χωρὶς ῥαφανίου καὶ κρομμύων. [78] Ὁκόταν πνίγωσιν αἱ ὑστέραι, ὑποθυμιᾶν χρὴ τὰ κακώδεα πάντα. ἤγουν ἄσφαλτον. θεῖον. κέρας. ἐλλύχνιον. φώκης ἔλαιον. καστόριον. ὑπὸ δὲ τὰ αἰδοῖα, τὰ εὐώδεα. ἢν δὲ λεχοῖ αἱ ὑστέραι φλεγμαίνωσι [79] πίμπραται, καὶ πνῖξ ἔχει. ὁκόταν δὲ ὧδε ἔχῃ, διατείνας ὀθόνιον, βρύα θαλάσσια λεπτὰ καταπλάσσειν. ἔπειτα ὠμήλυσιν. καὶ σποδὸν κληματίνην καὶ λίνου σπέρμα. ὄξος καὶ ἔλαιον ἐπιχέας, ἑψεῖν ἕως ἂν οἷον σταῖς γένηται. ἔπειτα καταπλάσσαι ἢν θερμότερον δύνηται ἀνέχεσθαι, τὴν νείαιραν γαστέρα. [80] ἢν δὲ πεπήγωσι, φακοὺς ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἕλκειν τὴν ἀτμίδα ἐς τὸ στόμα καὶ τὰς ῥῖνας προσίσχειν. καὶ κακώδεα ὑποθυμιᾶν. καὶ λινόζωστιν ἐσθίειν καὶ ἐν τῷ χυλῷ ἄλητον ἑφθὸν ῥοφείτω [81] ὅτι τάχιστα, καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης. καὶ σιτία διαχωρητικὰ προσφερέσθω. ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύσαι. ἢν δὲ ἐκ τόκου φλεγμαίνωσιν αἱ μῆτραι, στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα. καὶ ἐπὴν οὗτος θερμὸς γένηται ἕτερον ἐγχεῖν. ἢν δὲ μὴ ᾖ, σχίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας ἐγχέειν. [82] καὶ αὐτῆς τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον ἀποξύσας μακρὸν ἐνθεῖναι. ὕστερον ὕδατι [83] ψιμμύθιον τείβων ἐν εἰρίῳ ἀναπολίζων, προσθεῖναι. ἢν δὲ φρίσσῃ, ἀφαιρέειν. Ἢν γυνὴ ἀσθενέῃ ἀπὸ ὑστερέων. καὶ χολαὶ αὐτὴν πνίγωσι. καὶ δέῃ αὐτὴν καθῆραι κούφως, καὶ τῆς ὀδύνης παύσασθαι. πευκεδάνου ὀπὸν, ὅσον τρεῖς κυάθους δίδου πίνειν. [84] Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ὦσιν ἢ ἐν τοῖς κενεῶσι, ἢν θέλῃς μετακινῆσαι, τρίψας θεῖον καὶ ἄσφαλτον, μέλι ἑφθὸν ἐπιχέας, καὶ ποιήσας βάλανον παχεῖαν, ἐς ἕδρην ἐνθεῖναι. [85] καὶ ἐκ τῶν ὑστερέων ἢν ξηραὶ γένωνται ταῦτα προσθεῖναι ὡς τάχιστα. [86] Γυναικὶ ὅταν ὑστέραι σκληραὶ γίνωνται, καὶ εἰς τὰ αἰδοῖα ἐξίσχωσι, καὶ οἱ βουβῶνες σκληροὶ γίνωνται. καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, [87] καρκινοῦσθαι ἄρχεται. ὅταν οὕτως ἔχῃ, [88] σικύης χρὴ τὸ εἴσω τρῖψαι τὸ ξηρὸν, ὕδατος κοτύλην ἐπιχέας, ἐνιεὶς ἐς τὴν ἕδρην ἐᾶν καθαίρεσθαι μέχρις ἂν καθαρθῇ. Ὁκόταν δὲ γυναικὶ [89] δῷς φάρμακον, συμμίσγειν τῷ φαρμάκῳ, ὅσα ὑστέρας καθαίρει, καὶ ὅσα ἐλαύνει. [90] Ἕτερα ποτὰ καὶ προσθετὰ, δυνάμενα χορίον ἐξάγειν καὶ τὰ ἐπιμήνια καταστάσαι. Κανθαρίδας ε΄ ἀποτείλας τὰ πτερὰ, καὶ τοὺς πόδας, καὶ τὴν κεφαλήν. ἔπειτα τριβόλους τοὺς θαλασσίους σὺν τῇ ῥίζῃ τρίψας ὅσον κόγχην. καὶ τοῦ ἀνθέμου [91] τοῦ χλωροῦ τὸ εἴσω ξηρὸν τρίψας ὅσον κόγχην καὶ σελίνου σπέρμα ἴσον. καὶ σηπίης ὠὰ ιε΄ ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ, δίδου πίνειν. καὶ ἐπὴν ἡ ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω. καὶ μελίκρητον ὑδαρέα πινέτω. Βατραχίου τῶν φύλλων, καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πίνειν. ἐπὴν δὲ ἡ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι, καὶ ψύξας, [92] διδόναι πίνειν. καὶ ὁκόταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιερῷ καθιζέσθω. Ἀδιάντου ὅσον στατῆρα αἰγιναῖον, ἐν οἴνῳ λευκῷ,

Pæoniæ grana nigra quinq; sambuci fructum ad conchæ maioris mensuram, & castorij fabæ quantitatem ex vino bibat, potibus & cibis mollibus vtatur, mercuriali & acribus omnibus, præter raphanum & cepas. In vteri strangulatu graueolentia omnia in suffitu naribus adhibenda, bitumen scilicet, sulphur, cornu, lucernæ funiculus, vituli marini adeps, castorium, pudendis verò odorata. At si puerperæ vteri inflammatione laborent, incenditur, & suffocatio detinet. Cùm sic habuerit, algam marinam tritam in linteolo extento ex cataplasmate adhibeto. Deinde farinam hordeaceam crudam, cinerem sarmentitium, & lini semen, aceto & oleo affuso in massæ subactæ formam decoquito, postea quàm calidissimo imũ ventrem ex cataplasmate linito. Quòd si compacti fuerint vteri, lentibus cum multa mentha in aceto decoctis, vaporem in os naribus admotis attrahat, & ex graueolentibus suffitum adhibeat, mercurialem comedat, & ex succo farinam coctã sorbeat. Quàm citissimè & priùs quàm dolor detineat, medicaměta exhibere oportet quæ vterorum dolorem sedent, & cibos sumat qui aluum deiiciant. At si venter incalescat, per infusum subluito. Quòd si vteri ex partu inflammatione laborent, solani succum in pudenda infundito, & vbi calidus euaserit, alium affundito. Si verò hic nõ adfuerit, lentisci, aut rhamni, aut betæ, aut cucurbitæ succum expressum infundito, & quod in ipsa est medium tenerrimum derasum, in longitudinem indito, demùm cerusam aqua subactam, lana exceptam subdito, si horruerit detrahito. Si mulier vterorum debilitatem, & à bile suffocationem sentiat, eamq; leuiter purgare opus sit, doloremq; sedare, peucedani succum ad tres cyathos potui exhibeto. Si in lumbis aut lateris inanitate vteri extiterint, si emouere velis, sulphur & bitumen tritum affuso melle cocto in glandulam crassam efformato, & in sedem immittito, & si vteri sicci euaserint, hæc quàm celerrimè in subditito apponito. Cùm mulieri vteri duri euadunt, & ad pudenda prominent, inguinaq; indurantur, & ardor in pudendis inest, cancri initia suspecta sunt. Cùm sic habuerit, cucurbitæ interiorem partem terere oportet, & cum suo aquæ hemina affusa in sedem immittere, & donec purgetur sinere. Cùm verò mulieri medicamentũ exhibueris, quæ vteros purgant, quæq; impellunt admisceto. Potiones aliæ & subter apposita, quæ secundas educere & menses detrahere valent. Cantharidas quinq; euulsis alis, pedibus & capite, deinde tribulos mari adiacentes cum radice tritos ad conchæ mensuram, & anthemi lutei interiorem partem tritã quantum concha capit, seminis apij æqualem portionem, & sepiæ oua quindecim, ex vino dulci temperato potui exhibeto, cumq; dolor detinuerit in aqua calida desideat, & mulsam aquosam bibat. Foliorũ ranunculi & floris triti stateris Æginæi pondus ex vino dulci bibat. Et vbi dolor detinuerit, cicer album & vuas passas in aqua decoctas & refrigeratas potui exhibeto, cumque stranguria vexauerit, in aqua tepida desideat. Adiantũ stateris Æginæi pondere, ex vino albo,

æquali aquæ portione temperato, propinato. Violæ albæ semen quantum tribus digitis capere possis, ex vino albo eodem modo temperato, bibendum dato. Violę nigrę radice ex vino macerata ad eundem modum vtatur. Crinanthemum quod in domibus prouenit, ad eundem modum misceto ac propinato. Anchusæ folia ad pugillos duos in vino pari aqua temperato decocta bibẽda dato. Chamæleontis radicem derasam, velut in veratri potione, ex vino aqua temperato decoctam propinato. Brassicæ & porri succũ, vtriq; laseris succo ad tres obolos admixto, vini albi æquali admixta portione, bibendum dato. Oliuas albas priùs quàm oleum insit in tenues partes dissectas siccato, deinde tusas & cribratas, in vinum iniectas, bibendas exhibeto. Hoc & menses detrahit, & secũdas eiicit. Dictamnum Creticum oboli pondere ex aqua potui exhibeto. Quo epoto si secundas eiicere nõ potes, sambuci succum coctum pro fotu iniicito, & cantharidem subter apponito. Hoc etiam fœtum expellit. Vbi verò morsum attulerit, os abluito, & vnguento rosaceo leuiter intincto, in subdititio apponito quoad liberata fuerit. Populi nigræ Creticæ grana nouem trita, ex vino bibenda dato, eo etiam abluatur, si difficulter pariat. Conizam quantum manus capit læuiter tritam, porri succo macerato, netopo quantum conchę maioris testa capit admixto, hæc ex vino bibenda dato. Menses detrahit. Peucedanũ & panacem pœoniæq; radicem ex vino potuĩ dato. Fœtum mortuum & secundas eiicit. Violæ & portulacę semen, hęc contusa & mixta ex vino albo vetusto exhibeto. Menses detrahit. Violę albę semen quantũ tribus digitis comprehenditur, & stercoris caprini globuli quinque aut sex. Hæc vino odoratissimo permisceto, fomẽto priùs ex aqua & oleo immisso. In sedili autem fomentum admoueto, quo adhibito potui exhibeto, & quàm citissimè in cubili reclinato. Brassicam autem edẽdam, & succum sorbendum dato. Violæ albæ semen quantum tribus digitis capitur, ex vino propinato, & in aqua calida desideat. Quòd si non habeat, fœniculi radices contusas, aqua mulsa tepida maceratas exhibeto. Fraxini pilulas circiter decem, ex vino propinato. Hoc valet ad omnem vterorum dolorem, & valde vrinam mouet. Laseris succum orobi quantitate, & nasturtij semen tenuiter trita & permixta ex vino aut lacte canino potui exhibeto. Hoc etiam fœtum eiicit. Medicamẽtum fœtum eiiciens. Ranunculum & elaterij parum aceto mixtum & bene temperatũ propinato. Ad idem. Brassicæ caulem tenerum in extremitate netopo illitum, affricato. Si menses non eant. Terebinthi fructum tritum, vino & aqua maceratum, & percolatum ieiunæ bibendum dato, & calida lauet. Ad menses mouendos. Purpurea grana ieiunæ ex vino potui exhibeto. Ad puerperij purgamenta. Fœniculi semen, & crethmi corticem, & thus ex vino bibenda dato. Tædam quampinguissimam in vino coctam, & pœoniæ grana quinque ex vino trita, in heminę quadrãte potui dato. Mercurialis semen & folia ex vino potui exhibeto. Pœoniæ grana nigra quinq;, & sepiæ oua ex vino propinato. Ad omnẽ puerperam.

ἴσον ἴσῳ κεράσας, δίδου πίνειν. Λευκοΐου καρπὸν ὅσον ἐν τοῖς τρισὶ δακτύλοις λαβὼν, ἐν οἴνῳ λευκῷ τὸν αὐτὸν τρόπον κεράσας, δοῦναι πίνειν. Λευκοΐου ῥίζαν τοῦ μέλανος ἐν οἴνῳ διεὶς τὸν αὐτὸν τρόπον χρήσθω. Κρινάνθεμον δὲ ἐπὶ τῶν οἰκιῶν φυόμενον, τὸν αὐτὸν τρόπον μίξαι καὶ πίσαι. Τῆς ἀγχούσης τὰ φύλλα δύο δραχμίδας ἐν οἴνῳ ἑφθὰ κεράσας ὕδατι ἴσως πίσαι. Χαμαιλέοντος τὴν ῥίζαν ξύσας οἷον ἐλλεβόρου πόσιν[?] ἐν οἴνῳ ἑφθὰ κεράσας ὕδατι πίσαι. Κράμβης καὶ πράσου χυλὸν ἑκατέρου μίξας τὸν ὀπὸν σιλφίου ὅσον τριώβολον[?] οἴνῳ ἴσῳ μίξας λευκῷ πίσαι. Ἐλαίης λευκῆς πρόσθεν, ἢ ἔλαιον ἐνῇ κατακνήσας, ξήρανον. ἔπειτα κόψας καὶ σήσας ἐν οἴνῳ ἐπιβαλὼν, διδόναι πίνειν. τοῦτο καὶ ἐπιμήνια καταστᾷ καὶ χορίον ἐξελάσει. Δικτάμνου κρητικοῦ ὅσον ὀβολὸν, ἐν ὕδατι πιεῖν. χορίον ἢν μὴ δυνάσαι ἐκβάλλειν πιπίσκων, πυριήσας τῆς ἀκτῆς τὸ χυλὸν ἑφθὸν ἐμβαλὼν, καὶ τὴν κανθαρίδα προσθεῖναι. τοῦτο, καὶ τὸ ἔμβρυον ἐξελαύνει. ὁκόταν δὲ δάκνῃ ἀφαιρεομένη ῥόδινον μύρον ἐμβάπτουσα προστιθέσθω, ἐς ἂν ἀποφύγῃ. Αἰγείρου κρητικοῦ κόκκους ἐννέα, τρίψας ἐν οἴνῳ διδόναι πίνειν. τούτῳ δὲ καὶ ἀπολούσασθαι ἢν δυστοκέῃ. Κονύζης ὅσον χεὶρ λείης δεῖναι πράσου χυλῷ. καὶ νέτωπον ξυμμίξας ὅσον χηραμύδα, ταῦτα ἐν οἴνῳ δίδου πίνειν. Ἐπιμήνια καταστᾷ. Πευκέδανον καὶ πάνακες, καὶ γλυκυσίδης ῥίζαν ἐν οἴνῳ δίδου πίνειν. Ἔμβρυον ἐκβάλλει τεθνεὸς καὶ τὰ ὕστερα. Τοῦ ἴου καὶ τῆς ἀνδράχνης τὸν καρπὸν, ταῦτα διακόψας καὶ μίξας, δίδου ἐν οἴνῳ λευκῷ παλαιῷ. Ἐπιμήνια καταστᾷ. Λευκοΐου ὁ καρπὸς, ὅσον τρισὶ δακτύλοις ἐπιλαμβανόμενος. καὶ αἰγὸς σπυράθους ἴσον πέντε ἢ ἕξ. ταῦτα ξυμμίξας οἴνῳ εὐωδεστάτῳ, προπυριάσας ἐς ὕδωρ καὶ ἔλαιον τὴν πυρίην ἐμβαλὼν, πυριῆν δὲ ἐπὶ δίφρου. ἐπὴν δὲ πυριήσῃς, δοῦναι πιεῖν. καὶ ὡς τάχιστα λούσαντα κατακλῖναι. δοῦναι δὲ φαγεῖν κράμβην, καὶ τοῦ χυλοῦ ῥοφεῖν. Λευκοΐου τὸν καρπὸν ὅσον τοῖς τρισὶ δακτύλοις ἐν οἴνῳ δοῦναι πιεῖν, καὶ καθήσθω ἐν ὕδατι θερμῷ. ἢν δὲ μὴ ἔχῃ, μαράθρου ῥίζας κλάσας, ἐν μελικρήτῳ χλιερῷ ἀποβρέχων δίδου. Μελίης ὅσον κόκκους δέκα ἐν οἴνῳ δοῦναι πιεῖν. τοῦτο ἀγαθὸν ἐπὶ παντὸς ἀλγήματος ὑστερέων. καὶ σφόδρα διουρητικόν. Ὀπὸν σιλφίου ὅσον ὄροβον. καὶ καρδάμου καρπὸν τρίψας λεῖα καὶ ξυμμίξας ἐν οἴνῳ, ἢ ἐν κυνὸς γάλακτι, δίδου πιεῖν. τοῦτο καὶ ἔμβρυον ἐξελαύνει. Ἐκβόλιον. Βατράχιον καὶ ἐλατηρίου μικρὸν μίξας ὄξει εὐκρατον πίσαι. Ἐπὶ τοῦ αὐτοῦ. Κράμβης καυλὸν ἁπαλὸν, τὸ ἄκρον χρίσας νετώπῳ τρίψαι. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται. Τερμίνθου καρπὸν τρίψας ἐν οἴνῳ καὶ ὕδατι διεὶς, καὶ διηθήσας, διδόναι νήστει πιεῖν. καὶ θερμῷ λουέσθω. Ἐμμήνια κινεῖν. Φοινικικοὺς κόκκους ἐν οἴνῳ νήστει διδόναι πιεῖν. Λοχεῖα καθαίρειν. Μαράθου καρπὸν καὶ κρήθμου τὸν φλοιὸν, καὶ λιβανωτὸν ἐν οἴνῳ διδόναι πίνειν. Δᾷδα ὡς πιοτάτην ἐν οἴνῳ ἑψήσας, καὶ γλυκυσίδης κόκκους πέντε τρίψας ἐν οἴνῳ, ὅσον τεταρτημόριον κοτύλης, δοῦναι πιεῖν. Λινόζωστιος τὸν καρπὸν καὶ τὰ φύλλα ἐν οἴνῳ δοῦναι πιεῖν. Γλυκυσίδης τοὺς μέλανας κόκκους ὅσον πέντε, καὶ ᾠὰ σηπίων δοῦναι πίνειν ἐν οἴνῳ. Λεχοῖ πάσῃ.

Eis

Oleo ad irionem & polentam affuso aut cocto pro sorbitione vtatur, & cibis quã mollissimis. Scammonium ex lacte muliebri tritum, lana exceptum, in subditirio apponito. Mercurialis folia trita in linteo subter apponito. Artemisiam herbam tritam & rosaceo vnguento imbutam subdito. Albam radicem tenuiter tusam, vnguento rosaceo subactam, subter apponito. Pœoniæ radicem, melle, vnguento rosaceo & Ægyptio subactam, ex lana subter apponito. Farinam non lotam ad eundem modum apponito. Lolij & tritici farinam vnà melle subactam, ex lana subter apponito. Menses & puerperia purgans, quod etiam aquas educit. Radicem struthij læuiter tritam quantum tribus digitis capitur, melle subactam in subdititio apponito. Nascitur autem in Andri littoribus. Vteros repurgant. Mercurialis contusæ & cucumeris agrestis modicum, ex vino tritum, ea melle subacta subter apponito. Leporis pilos vstos, ex vino tritos, melle cocto & aqua subactos potui exhibeto, & calida lauet. Quod partum purgat. Hordeum decorticatum ad dimidij hemichœnicis mensuram in aqua quatuor heminis coquito, vbi ferbuerit bis aut ter sorbendum dato. Puerperij reliquias purgato. Sambuci folia affuso oleo cocta bibenda exhibeto, brassicas etiam coctas & porra edat. Vteros purgans. Rhois folia & fructum ex vino bibendum dato, & irionem ex vino tritum, polenta iniecta propinato. Misy obolos duos ex vino tritos & subactos in subdititio apponito. Lini semen tritum ex vino subactum subdito. Trifolij semen ex vino propinato. Vbi verò vteri ad lumbos incubuerint, polypos coctos & assos edat, & vinum nigrum odoratum, merum quàm plurimum bibat. Aliæ potiones, medicamenta subdititia & purgantia. Rhoem rubrum & vinacea ex aqua coquito, sitanea farina in aquam iniecta, bibendam dato. Farinam in aquam immissam bibendam exhibeto. Mora rubi sicca, læuiter trita, recenti polenta admixta, quantum amborum acetabulum, ex vino odorato aquoso bibat. Terram nigram Samiam ex aqua tritam, astragali quantitate bibendam porrigito. Hypocystidem ex vino præbeto. Ex malis punicis vinosis succo detracto, eo polentam subactam siccato, deinde tenuiter tritam ex vino bibendam dato. Myrti nigræ fructum tritum aqua maceratum, polenta immissa bibendum exhibeto. Mali punici dulcis assati drachmã tritam ex vino propinato. Triticum & hordea trita & torrefacta, ac in farinam redacta, ex vino nigro bibenda dato. Mali punici dulcis interiorem partem, pari aquæ portione admixta, potui exhibeto. Cicutæ quantum tribus digitis capitur, ex aqua bibendum dato. Farinæ sitaniæ & gipsi pares portiones ex aqua mixtas bibendas dato. Mali punici dulcis corticem & malicoria ex vino propinato. Si sanguis ex vteris effluat, viticis folia ex vino nigro potui dato. Ad fluorem & dolorem. Rorismarini radicem ex vino propinato. Vterorum aliæ potiones. Cedri baccas, seseli, cuminum Æthiopicum, casiæ fructum, iuniperi baccas, milium, echinos paruos, melanthium, dauci radicem & semen. Ex aromatis

Εἰς ἐρύσιμον καὶ ἄλφιτον ἔλαιον παραχέας ἢ ἑφθὸν ῥοφείτω. καὶ σιτίοισιν ὡς μαλακωτάτοισι χρήσθω. Σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ ἐν εἰρίῳ ἀναδήσας προσθεῖναι. Λινοζώστιος φύλλα τρίψας, ἐν ῥάκει προσθεῖναι. Τὴν ποίην τὴν ἀρτεμισίην τρίψας, καὶ μύρῳ ῥοδίνῳ δεύσας, προσθεῖναι. Τὴν λευκὴν ῥίζαν λείην κόψας ῥοδίνῳ μύρῳ δεύσας προσθεῖναι. Τῆς γλυκυσίδης μέλιτι δεύσας καὶ μύρῳ ῥοδίνῳ[104] καὶ αἰγυπτίῳ ἐν εἰρίῳ προσθεῖναι. Ἄλητον ἄπλυτον τὸν αὐτὸν τρόπον προστιθέναι. Αἴρων ἄλευρον καὶ πύρινα ἅμα μέλιτι φυρήσας ἐν εἰρίῳ προστιθέναι. [105] Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων καὶ ὕδωρ ἄγει. Στρουθίου ῥίζης λείου κεκομμένου ὅσον τοῖσι τρισὶ δακτύλοισι, μέλιτι δεύσας προσθεῖναι. Φύεται δὲ ἐν Ἄνδρῳ ἐν τοῖς αἰγιαλοῖς. Ὑστέρας ἀποκαθῆραι. Λινοζώστιος κεκομμένης[106] καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ καὶ μέλιτι δεύσας προστιθέναι. Λαγωοῦ τρίχας κατακαύσας, καὶ τρίψας ἐν οἴνῳ καὶ μέλιτι δεύσας ἑφθῷ καὶ ὕδατι δοῦναι πιεῖν. καὶ ἐν ὕδατι θερμῷ λουέσθω. Τόκου καθαρτήριον. [107] Κρίμνον ἐξερείσας, ὅσον ἥμισυ ἡμιχοινικίου ἕψειν ἐν ὕδατος κοτύλαις τέσσαρσιν. ὁκόταν δὲ ζέσῃ, δοῦναι δὶς ἢ τρὶς ῥοφῆσαι. Λοχεῖα καθῆραι. [108] Τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας, ἐπιχέας ἔλαιον δοῦναι πιεῖν. ἐσθιέτω δὲ καὶ κράμβας ἑφθὰς, καὶ πράσα. Καθαρτήριον ὑστερέων. Τοῦ ῥοῦ τὰ φύλλα[109] καὶ τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. καὶ ἐρύσιμον λεῖον ποιήσας ἐν οἴνῳ, καὶ ἄλφιτα ἐπιβαλὼν, δοῦναι πιεῖν. Μίσυος ὅσον δύο ὀβολοὺς, τρίψας ἐν οἴνῳ καὶ φυρήσας, προσθεῖναι. Λίνου καρπὸν τρίψας ἐν οἴνῳ φυρήσας προσθεῖναι. Τριφύλλου τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. Ἐὰν δὲ ἐς τὴν ὀσφὺν ὑστέραι[110] στηρίζωσιν, ἐσθιέτω πουλύποδας ἑφθοὺς, καὶ ὀπτούς. καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. Ἕτερα ποτὰ, προσθετὰ, καὶ καθαρτήρια. Ῥοῦν τὸν ἐρυθρὸν, καὶ γίγαρτα ἑψήσας ἐν ὕδατι, τοῦ σιτανίου ἐμβαλὼν ἐπὶ τὸ ὕδωρ δίδου πίνειν. Ἄλητον ἐφ' ὕδωρ ἐμβαλὼν, δίδου πιεῖν. [111] Μόρα τὰ ἀπὸ τοῦ βάτου ξηρήνας, καὶ τρίψας λεῖα, καὶ ἄλφιτα ποταίνια ἀναμίξας ὅσον ὀξύβαφον ἀμφοτέρων ἐν οἴνῳ εὐώδει καὶ ὑδαρεῖ, πινέτω. Τὴν γῆν τὴν μέλαιναν τὴν Σαμίην ἐν ὕδατι τρίψας ὅσον ἀστράγαλον δίδου πιεῖν. Ὑποκυστίδος ἐν οἴνῳ διδόναι πιεῖν. Σίδας οἰνώδεας ἐκχυλώσας, ἄλφιτα φυρήσας τῷ χυλῷ ξηρᾶναι. ἔπειτα τρίψας ἐν οἴνῳ λεῖον δίδου πιεῖν. Μυρτέων μελαινέων τὸν καρπὸν τρίψας διεὶς ἐν ὕδατι ἄλφιτα ἐπιβαλὼν, δίδου πίνειν. Ῥοιῆς γλυκείης ὀπτήσας ὁλκὴν τρίψας ἐν οἴνῳ, δίδου πίνειν. [112] Πυροὺς καὶ κάχρυας τρίψας, φρύξας τε, καὶ ἄλητα ποιήσας, ἐν οἴνῳ μέλανι δίδου πιεῖν. Ῥοιῆς γλυκείης τὰ εἴσω ξυμμίξας, ἴσῳ ὕδατι δίδου πίνειν. Κώνειον ὅσον τρισὶ δακτύλοισιν ἐν ὕδατι δίδου πίνειν. Ἀλήτου σιτανίου καὶ γύψου τὸ ἴσον μίξας ἐν ὕδατι δίδου πίνειν. Ῥοιῆς γλυκείης τὸν φλοιὸν καὶ σίδια, ἐν οἴνῳ δίδου πίνειν. Ἢν αἷμα ἐξ ὑστερέων ῥέῃ. Ἄγνου φύλλα ἐν οἴνῳ δίδου πιεῖν μέλανι. Ῥόου καὶ ὀδύνης. [113] Κάχρυος ῥίζαν ἐν οἴνῳ διδόναι πίνειν. Ἕτερα ποτὰ ὑστερέων. Κεδρίδας. σέσελι. κύμινον αἰθιοπικόν. κασίης καρπόν. ἀρκευθίδας.[114] κεγχρίδας.[115] ἐχινίδας. μελάνθιον. δαύκου ῥίζαν, καὶ τὸν καρπόν. ἀρώματα

δὲ θύμον. θυμβρίην. ἐρείκην. ὑπερικὸν, μήκωνα λευκήν. κρήθμου ῥίζας, καὶ τὸν καρπόν. μαλάχης ῥίζας. λινοζώστιος καρπὸν, καὶ τὰ φύλλα. κνίδης καρπόν. ἐλελίσφακον. αἴγειρον. δίκταμνον. ψευδοδίκταμνον. ἄμωμον. καρδάμωμον. ἐλένιον. ἀριστολόχιον. καστόριον. ἀδίαντον. δρακόντιον. πευκέδανον. πηγάνου φύλλα, καὶ τὸν καρπόν. σελίνου καρπόν. μαράθου καρπόν. ἱπποσελίνου καὶ τὸν καρπὸν καὶ τὰς ῥίζας. ἱππομαράθου καρπὸν καὶ τὰς ῥίζας. στρουθίου τὸν καρπὸν καὶ τὰς ῥίζας. ὕσσωπον κιλίκιον. ἐρύσιμον. γλυκυσίδην. πάνακες. ὅ, τι ἂν τούτων βούλῃ καὶ ξυμμίσγων, καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφεψῶν ἐν ὕδατι ἢ ἐν οἴνῳ ὡς ἂν βούλῃ, δίδου πίνειν. Ἀγαθὰ καὶ καθαρτικὰ, καὶ τὰς ὀδύνας παύοντα. Τῆς μαλάχης δίδου[116] ἐν ὕδατι τὴν ῥίζην. γλυκυσίδης καρπόν. καὶ κέδρινον ὀλίγον ξυμμίσγων, ἐν οἴνῳ δίδου πίνειν. καὶ παύσεις ὑστέρων ὀδύνας. Ὅταν αἱ ὑστέραι πνίγωσιν. Καστόριον καὶ κόνυζαν ἐν οἴνῳ λευκῷ δίδου πίνειν. ἢν δὲ προσεστήκῃ πρὸς τῇ ῥινὶ,[117] κόκκου τὸ εἴσω τὸ λευκὸν μέλιτι μίξας ἀλείφειν τὴν ῥῖνα. Ἕτερον παῦον ὀδύνας. Μαλάχης τὴν ῥίζαν καὶ μαράθου φλοιὸν καὶ κρήθμου ἐν ὕδατι δοῦναι πιεῖν. Ἀστέρας θαλασσίους τοὺς μέλανας καὶ κράμβην, μίξας ἐν οἴνῳ εὐώδει δοῦναι πιεῖν. Σμύρναν ὅσον τριώβολον. κόριον ὀλίγον. ῥητίνην. γλυκυσίδης ῥίζαν, κύμινον αἰθιοπικόν. ταῦτα τρίψας λεῖα ἐν οἴνῳ λευκῷ διέντα, δίδου πίνειν[118] ἀκροχλιαρὸν ποιήσας. Ὑστέρας ἐλαύνει.[119] Τοῦ κροτωνοειδέος τὴν ῥίζαν, δίδου πίνειν. Ἢν πρὸς τὴν καρδίην προσπεσοῦσαι αἱ ὑστέραι πνίγωσιν. Ἄγνου τὸν καρπὸν καὶ γλυκυσίδης, δίδου ἐν οἴνῳ πίνειν. Προσθετὰ δριμέα αἷμα ἄγοντα. Κανθαρίδας πέντε ξυμμίξας τῷ λιβανωτῷ καὶ τῇ σμύρνῃ, τὸ μέγεθος ποιεῖν, ὅσον κηκίδα μακρὸν ποιήσας. καὶ προσθεὶς εἰρίῳ περιελίξας τε ὀθονίῳ λευκῷ, βρέξας μύρῳ αἰγυπτίῳ λευκῷ ἢ ῥοδίνῳ, πρόσθες. Βούπρηστιν, ἢν μὲν μικρὴ ᾖ, ὅλην. ἢν δὲ μεγάλη, τὸ ἥμισυ ξύμμισγε πρὸς τοῖς ῥηθεῖσι, καὶ τὸν αὐτὸν τρόπον προστίθει. ἢν δὲ μαλακωτέροισιν ἐθέλωσι χρῆσθαι, τὰς βουπρήστιδας ἔμβαλλε ἐς οἶνον. κύμινον αἰθιοπικὸν παρεμβάλλων. καὶ σέσελι. καὶ ἄνισον ἀναζέσαι.[120] ἐς αἱ δὲ καὶ βουπρήστιας ξυμμίξας ὀξύβαφον ἐλαίου, τῶν δ' ἄλλων ἁπάντων ἴσον ἑκάστου.[121] μίξαι δὲ σμύρναν, λιβανωτὸν ὀλίγον. τούτου λαβὼν ὅσον δραχμίδα προσθεῖναι, ὥσπερ ἐν τῷ πρόσθεν προσθήματι.[122] Τοῦ μελανθίου τρίψας μέλιτι, δεύσας τε ἐν οἴνῳ, βάλανον ποιήσας, πρὸς τῷ προτέρῳ προσθέτω. Φιλίστιον τὸν αὐτὸν τρόπον ποιέων προστίθει. Τηλεφίου καρπὸν τὸν ἴσον τρόπον ποιέων προστίθει. Ἀνεμώνης φύλλα τρίψας ἐνθεὶς τε εἰς ῥάκος, καὶ σμύρνης μικρὸν ξυμμίσγειν, καὶ τὸν αὐτὸν τρόπον[123] χρῆσθαι. ἄγει αἷμα. Βάλανον αἰγυπτίην τρίψας. καὶ σούσινον,[124] ὅ ἐστι γῆ αἰγυπτίη. ὕδατι διείς. εἰρίῳ ἑλίξας, προστίθει. Ἕτερον χολὴν καθαῖρον. Σικύης ἐντεριώνην λείην τρίψας, μέλιτι φυρήσας, βάλανον ποιέων προστίθει. Κολοκυνθίδος ἀγρίης τὸ εἴσω[125] λεῖον ποιήσας, μέλιτι φυρήσας, τὸν αὐτὸν τρόπον προστίθει. Ἐλατηρίου πόσιας τέσσαρας, ξυμμίσγων στέαρ χήνειον, καὶ αἴγειον,[126] καὶ ἥμισυ βάλανον ποιέων, προστίθει ἐν τῷ ῥάκει.[127] Θλασπίην ποιέων, μέλιτι φυρέων προστίθει.[128] Συ-

verò, thymum, thymbram, ericen, hypericum, papauer album, crethmi radices & semen, maluæ radices, mercurialis semen & folia, vrticę semen, saluiam, populum nigram, dictamnum, pseudodictamnum, amomum, cardamomum, helenium, aristolochiam, castoreum, adiantum, dracontium, peucedanum, rutæ folia & semen, apij semen, fœniculi semen, hipposelini & semen & radices, hippomarathri semen & radices, struthij semen & radices, hyssopum Cilicium, erysimum, pœoniam, panacen. Horum quodcumq; voles aut cum cæteris mixtum, aut per se ex aqua & vino decoctum, vt voles propinato. Optimè purgant & dolores sedant. Malvę radicem ex aqua dato. Pœoniæ semen & parum cedrini olei admixtum ex vino propinato, & vterorũ dolores sedabit. Ad vteri strangulatum. Castorium & conyzam ex vino albo propinato. Quòd si ad nares prorumpat, grani cnidij interiorem partem albam ammixto melle ad nares alline. Aliud dolores sedans. Maluæ radicem, & fœniculi & crethmi corticem ex aqua propinato. Stellas marinas nigras & brassicam mixtas, ex vino odorato propinato. Myrrhę obolos tres, coriandri parũ, resinam, pœoniæ radicem, cuminum Æthiopicum. Hæc læuiter trita, vino albo macerata, summè tepida propinato. Quod vteros propellit. Ricini radicem potui exhibeto. Si vteri ad cor irruentes strangularint. Viticis & pœoniæ semen ex vino bibendum dato. Hæc subdita acria sanguinem cient. Cantharidas quinq; thure & myrrha ammixta ad gallæ quãtitatem, in longitudinẽ efformato, & lana circumductam, alboq; linteo conuolutam, vnguentoq; Ægyptio albo aut rosaceo imbutam, subdito. Buprestin integram, si parua fuerit, si magna, dimidiam, ad prædicta admisceto, & ad eundem modum subdito. Quòd si mollioribus vti velint, buprestidibus in vinum iniectis, cuminum Æthiopicum, seseli & annisum addito & feruefacito. Ad decem autem buprestes olei acetabulum admisceto, reliquorum omnium singulorum par sit modus. Myrrham autem admisceto & thuris parum. Ex eo pugillo accepto, velut priùs subdititium supponito. Melanthium cum melle tritum, & ex vino subactũ, in glandulam efformato, velut in priore subdititio. Aparinem (philistium dictam) ad eundem modum apparatam subter apponito. Tilephij semen eodem modo apparatum subdito. Anemones foliis tritis & linteo exceptis, pauca myrrha admixta, ad eundem modum vtitor. Quod sanguinem ducit. Glandem Ægyptiam tritam, & ex liliis confectum quod Susinum dicitur, ex terra Ægyptia, aqua dissolutum, & lana conuolutum subter apponito. Aliud bilem purgans. Cucumeris agrestis medullam læuiter tritam, melle subactam, in glandem efformatam, in subdititio apponito. Colocynthidis syluestris interiorem partem læuigatam, melle subactam, ad eundem modum subter apponito. Elaterij potiones quatuor, adipe anserino & caprillo admixto, dimidiam glandulam formato, & ex linteo in subdititio apponito. Thlaspi læuigatum, melle subactum, subter apponito. Fici folia

κρεφυλλίου τὸ πῖος ξύσας, καὶ ξυμμίξας πόσιας ἐλατηρίου δύο, καὶ νίτρου ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας, προστίθει. Ἢν φλεγμαίνῃ. Νίτρον ἐρυθρὸν, σύκου τὸ εἴσω τὸ πῖον, ἴσον ἑκάστου τρίψας λεῖα, ὅσον κηκίδα ποιήσας, προστίθει. Κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, ἐν ῥάκει προστίθει. Τὴν λευκὴν ῥίζαν, τρίψας λείην, μέλι ἐπιχέας, καὶ ἀναζέσας, βάλανον ποιήσας προστίθει. Ὀπὸν σιλφίου, καὶ σῦκον μίξας, βάλανον ποιέων, προστίθει. 130 Σικύης σπέρμα τρίψας τὸν αὐτὸν τρόπον. Χολὴν ταύρου. καὶ νίτρον ἐρυθρόν. νέτωπον. κυκλάμινον. τρίψας τουτέων ὅσον κηκίδα. τοῦ κυκλαμίνου δὲ πλεῖστον, μέλιτι ξυμμίξας προστίθει. 131 Τοῦ κρομμύου τὴν κεφαλὴν καθαρὴν ἐν ὕδατι τρίψας ἐς ῥάκος ἀποδήσας προστιθεῖναι. Σμύρναν. ἅλες. κύμινον. χολὴν ταύρου, μέλιτι ταῦτα φυρήσας, ἐνθέντα πρὸς ῥάκος προστιθεῖναι. 132 Κόκκους ἐκλέξας εἰς τριάκοντα, καὶ τρίμματα μηδικοῦ φαρμάκου τοῦ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι. καὶ τῶν στρογγύλων ἕτερα. ταῦτα τὰ τρία τρίβων ἐν οἴνῳ παλαιῷ, λεῖα δεὶς, γλυκεῖ ἐλαίῳ ἀναφυρέων περὶ τὸ εἴριον περιθεὶς, προσθέσθω, καὶ διανιζέσθω οὔρῳ. Τιθυμάλλου ὀπὸν μέλιτι φυρήσας, ἐς ῥάκος ἐνθεὶς, προστιθέναι. 133 Σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον κατελίξας τοὺς δύο δακτύλους, ἐρίῳ πρόσθες. Ἕτερα μαλθακτικὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ, καὶ αἷμα. ἐπιμήνιά τε ἄγεται, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσεται. 134 Ναρκίσσινον. κύμινον αἰθιοπικόν. λιβανωτόν. ἀψίνθιον. κύπειρον. τῶν μὲν ἄλλων ἴσον ἑκάστου τοῦ δὲ ναρκισσίνου, μοίρας τέσσαρας, ἐπ' ὀθόνιον ὠμόλινον ξυμμίξας, ταῦτα τρίψας, καὶ ποιήσας βάλανον, προστίθει. Κυκλαμίνου μέγεθος ὅσον ἀστραγάλου. καὶ ἄνθος χαλκοῦ, ὅσον κύαμον τρίψας, καὶ μέλιτι δεύσας, καλῶς ποιήσας βάλανον προστιθέναι. Γλήχωνα. σμύρναν. λιβανωτόν. ὑὸς χολὴν μέλιτι φυρήσας, καὶ ποιήσας βάλανον προστιθέναι. Ἕτερα στρυφνά. Ῥοῦν οἴνῳ μέλανι φυρήσας προστιθεῖναι. Κνίκον τὸν αὐτὸν τρόπον ποιήσας, προστίθει. Λωτοῦ πρίσματα τὸν αὐτὸν τρόπον ποιέειν. Ῥοῦν μέλιτι μίξας, προστιθεῖναι. Ἕτερα μαλθακτήρια. 135 Θεῖον. στέαρ. ὠοῦ λέκιθον. ἄλητον. μέλιτι φυρήσας. ταῦτα παραχλιαίνων, τὸ ἀποστάζον εἰρίῳ πρόσθες. Χηνὸς ἔλαιον, καὶ στέαρ μήλειον. κηρὸν λευκόν. ῥητίνην. μύρον ῥόδινον. 136 ῥάκος κατατείλας λεπτὸν προστίθει. Ἐλάφου μυελὸν καὶ στέαρ τήξας ἐν εἰρίῳ πρόσθες. Στέαρ οἴιος ἢ αἰγός. καὶ ὠοῦ τὸ λευκὸν ῥοδίνῳ μύρῳ ἀναφυρήσας εἰρίῳ ἀναστρογγυλίσας πρόσθες. 137 Κλυσμοί. Ὀλύνθους τοὺς χειμερινοὺς ἐμβαλὼν ἕψειν ἐν ὕδατι ὑποκαίων ἡσυχῇ. ἔπειτα ἀποχέας, ἔλαιόν τε ἐπιχέων κλύζειν. Μετακλύζειν δὲ σιδίοισι, καὶ κηκῖδι, καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ ἑψῶν στρυφνῷ. ἀποχέων δὲ κλύζειν. Τρύγα κατακαίων, ἐς ὕδωρ βάλλε. ἔπειτα τῷ ὕδατι κλύζειν. μετακλύζειν δὲ σιδίοις. μύρτοις. ῥοῦ φύλλοις. ἀφεψῶν ἐν οἴνῳ. 138 Σχίνου φύλλα, ἐλελισφάκου, ὑπερεικοῦ ἑψήσας, ἐν οἴνῳ μέλανι. Ἢν ἑλκωθῇ δέ τι τῶν μητρέων. Βούτυρον. λιβανωτόν. σμύρναν. ῥητίνην ὀλίγην, 139 τουτέοισι χρὴ κλύζειν. 140 Πράσα ἑψήσας ἐν ὕδατι, ἀποχέων δὲ ὕδωρ, οἴνῳ μίξας κλύζε. 141 Ἀκτῆς

pinguiora derasa, admixtis duabus elaterij potionibus, & nitri quantum elaterij, melle subactum subdito. Si vterus pituita laboret. Nitrum rubrum, fici interiorem pinguedinem, singulorum æqualem portionem læuigatam, ad gallæ magnitudinem efformatam, subter apponito. Cumini folia ex vino trita, in linteo subdito. Radicem albam tenuiter tritam, melle affuso feruefactam, in glandis formam subter apponito. Laseris succum & ficum simul mixta in glandis formam subdito. Cucumeris agrestis semen tritum ad eundem modum, fel tauri, nitrum rubrum, onetopum, cyclaminum, horum tritorum quantum gallæ magnitudinem, cyclamini verò maximam portionem, melle admixto in subdititio apponito. Cepæ caput purgatũ, ex aqua tritum, in linteo ligatum subdito. Myrrham, salem, cuminum, fel tauri, hæc melle subacta, linteo imposita supponito. Grana decorticata ferè triginta, & tria Indici medicamenti oculorum, quod piper vocatur, & de rotundis altera tria, hæc tria tenuiter trita, ex vino veteri macerata, oleo dulci subacta, lana excepta subdat, & lotio abluatur. Tithymali succum melle subactum, linteo exceptum, in subdititio apponito. Scillæ radicem longitudinis sex digitorum, ad duos digitos lana conuolutam subdito. Emollientia alia aquas purgantia, sanguinem mensesque nisi diuturni fuerint ducentia, & os emollientia. Narcissinum, cuminum Æthiopicum, thus, absinthium, cyperum, aliorum quidem singulorum pares portiones, narcissini autem partes quatuor, ex linteo tenui, mixtas & tritas, in glandulam efformatas subter apponito. Cyclaminum tali magnitudine, & æris florem fabæ quantitate, trita, melle subacta in glãdem probè efformata subter apponito. Pulegium, myrrham, thus, fel suis melle subacta & in glãdis formam redacta subdito. Alia acerba. Rhoem vino nigro subactũ in subdititio apponito. Cnicum ad eundem modum apparatum subdito. Loti ramenta eodem modo apparato. Rhoem melle ammixto subdito. Alia emollientia. Sulphur, adipem, oui vitellum, farinam, melle subacta & leuiter calefacta, quod lana exceperis subdito. Anserinam pinguedinem & adipem ouillum, ceram albam, resinam, vnguentum rosaceum tenui concerpto linteo excepta subter apponito. Cerui medullam & adipem liquefacta, in vellere subdito. Adipem ouillum aut caprinum, & oui candidum vnguento rosaceo subactum, vellere exceptum, subter apponito. Ad colluendos vteros. Grossos hybernas in aquam iniectas lento igne coquito, deinde percolato, & affuso oleo colluito. Postea malicorio, galla, & loti ramentis in vino acerbo coctis colluito, percolatum infundito. Fæcem vini vstam in aquam iniicito, deinde aqua colluito, postea verò malicorio, myrti baccis, rhois foliis ex vino decoctis perluito. Lentisci, saluiæ, hyperici foliis in vino nigro decoctis vtitor. Si quid in vteris exulceratũ fuerit. Butyrum, thus, myrrham, resinam paucam, ex his colluere oportet. Porra in aqua vbi decoxeris, aqua percolata vino ammixto colluito. Sambuci fru-

ctum, anisum, thus, myrrham, vinum, horum succo colluito. Brassica in aqua cocta, in eius cremore mercurialem coquito, pauco lini semine iniecto, postea percolato colluito. Myrrhæ acetabuli quantitatem, thus, seseli, anisum, lini semen, netopum, resinam, mel, anseris pingue, acetum album, vnguentum Ægyptium, horum singulorum parem portionem, vini albi heminis duabus macerato, deinde tepido colluito. Mercurialem vbi in aqua decoxeris, percolaris, myrrhæ acetabulum, thuris, netopi, singulorum æqualem portionem admisceto, tepido colluito. Saluiam & hypericum ex aqua decoquito, & colluito. Sambuci fructum, lauri baccas, vtriusque parem portionem in vino coquito, deinde vino ad collutionem vtitor. Pulegium in aqua cùm decoxeris, oleo ad aquam affuso colluito. Anseris pingui & resina liquefactis colluito. Butyrum pauco cedrino oleo ammixto, cùm melle liquefeceris, his tepidis colluito. Cyperum, iuncum odoratum, calamum aromaticum, hæc pari portione myrrhæ miscentur. Sisymbrio in vino cocto colluito. Apij semen, anisi, seselios semen, melanthium vino coquito colluito. Cedrum Creticam vbi vino decoxeris, colluito. Bryoniam albã & myrrham aqua macerato, colluito. Argenti flore vino & aquæ diluto, colluito. Elaterij potiones duas aqua macerato, colluito. Cucurbitas agrestes duas vino aut lacte cocto macerato, ad quatuor heminas percolato, colluito. Cucumeris agrestis medulla interiore ad palmi quantitatem in aquæ heminis quatuor decocta, melle & oleo affuso colluito. Radicis thapsię potiones duas, mel & oleum aquæ duabus heminis macerato, & colluito. Veratri duas potiones ex duabus aquæ heminis maceratas, tepidum infundito. Si natura pituitosa fuerit. Cneori potionem tritam in aquæ mulsæ heminæ Ægineæ mensura macerato, hoc colluito. Si verò biliosa fuerit. Daphnes potionem, odoratæ drachmæ quantitatem, scammoniæ potionem tritam aqua mulsa, aut aquæ vuæ passæ hemina Attica macerato. Daphnoidis potionem ad eundem modum accommodato, & si biliosa fuerit colluito. Si verò pituitosa fuerit, grana selecta, & succi tithymali potionem sumito, eoque colluito. Ad eundem modum etiam cneorum & peplum adhibeto, & vtrisque ad eundem modum vti oportet. Collutionis autem copia amplior nõ sit quàm duarum heminarum. Suffitum autem hæc contusa faciunt. Gallam suffito, & loti ramenta, oleæ foliis siccis contusis admixta & oleo subacta, ad suffitum adhibeto. In prunas substratas immissis hordei paleis humidis suffitum parato. Super oleariæ amphoræ operculo stœben succendito, & immissis cupressi ramentis suffitũ parato. Scammonium, myrrham, thus affuso vnguento ad suffitum adhibeto. Bitumen admixtis hordei paleis ad suffitum admoueto, aut vituli marini pingue admixtum suffito. Fraxinum, cupressi ramenta, cyperi radicem, vnguento rosaceo aspersa ad suffitum adhibeto. Calamum, cyperum, bryoniam, muscum, admixto simul aniso & apij semine, vnguentoq; rosaceo aspersa, ad suffitum admoueto. Resinam siccam in cinerem cali-

καρπόν. ἄννησον. λιβανωτόν. σμύρναν. οἶνον. τῷ χυμῷ τούτων κλύζειν. Κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυμῷ τῆς κράμβης ἕψει τὴν λινόζωστιν. παρεμβαλὼν λίνου σπέρμα μικρόν. ἔπειτα ἀποχέας, κλύζε. [142] Σμύρνης ὅσον ὀξύβαφον. λιβανωτόν. σέσελι, ἄννησον. λίνου σπέρμα. νέτωπον. ῥητίνην. μέλι. χηνὸς ἔλαιον. ὄξος λευκὸν [143] τὸ αἰγύπτιον, τούτων ἑκάστου τὸ ἴσον τρίψας, διεῖναι οἴνου λευκοῦ κοτύλαις δυσί. ἔπειτα χλιαρῶς κλύζειν. Λινόζωστιν ἐν ὕδατι ἑψήσας, ἀπηθήσας. σμύρνης ὀξύβαφον. λιβανωτοῦ, νετώπου. ἴσον ἑκάστου μίξας, χλιαρῶς κλύζειν. [144] Ἐλελίσφακον καὶ ὑπερικὸν, ἐν ὕδατι κλύζε. Ἀκτῆς καρπὸν, δαφνίδας, ἑκατέρου τὸ ἴσον, ἐν οἴνῳ ἕψει. ἔπειτα τῷ οἴνῳ κλύζε. Γλήχωνα ἐν ὕδατι ἑψήσας, ἔλαιον παραχέας μεθ' ὕδατος κλύσον. Χηνὸς ἔλαιον ῥητίνην ξυντήξας, κλύσον. Βούτυρον. κέδρινον ἔλαιον παραμίξας ὀλίγον, μέλιτι διατήξας, κλύσαι τούτοις χλιαρῶς. Κύπειρον. σχοῖνον, κάλαμον. [145] ταῦτα ἴσα τῇ σμύρνῃ μίγνυται. σισύμβριον οἴνῳ ἑψῶν κλύζειν. Σελίνου καρπόν. ἀννήσου. [146] σεσέλιος σπέρμα. μελάνθιον οἴνῳ ἑψήσας, κλύζειν. Κέδρον κρητικὴν ἐν οἴνῳ ἑψήσας κλύζε. Ἐχέδρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύζε. Ἀργυρείου ἄνθος ἐν οἴνῳ καὶ ὕδατι κλύσαι. Ἐλατήριον ὅσον δύο πόσιας ὕδατι διεὶς, κλύσαι. Κολοκυνθίδας ἀγρίας δύο, ἐν οἴνῳ ἢ γάλακτι ἑφθῷ ἀποβρέξας, ὅσον τέσσαρας κοτύλας ἀπηθήσας, κλύζε. Σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλαις τέσσαρσι, μέλι καὶ ἔλαιον ἐπιχέας, κλύσαι. Τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας καὶ μέλι καὶ ἔλαιον διεὶς, ὕδατος κοτύλῃσι δυσὶ, κλύσαι. [147] Ἐλλεβόρου ὅσον δύο κοτύλας, κλύσαι χλιαρῶς. [148] Θάψιον ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατος διεὶς ὅσον δύο κοτύλας, κλύσαι χλιαρῶς. Σικύης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατος κοτύλῃσι πέντε, ἔλαιον παραμίξας, κλύσαι. Κόκκους κνιδίους ὅσον ἑξήκοντα, [149] μέλι ἔλαιον ὑποδιεὶς κλύσαι. Ἢν φύσει φλεγματώδης ᾖ. [150] Κνεώρου πόσιν τρίψας διεῖναι μελικρήτου κοτύλῃ αἰγινῇ, τούτῳ κλύσαι. Ἢν δὲ χολώδης ᾖ, τῆς δάφνης ὅσον πόσιν [151] τῆς εὐώδεος, ὅσον δραχμήν. Σκαμμωνίης ὅσον πόσιν, τρίψας διεῖναι μελικρήτου, ἢ ἀπὸ σταφίδος ὕδατι, ὅσον κοτύλῃ ἀττικῇ. Δαφνοειδέος πόσιν, κατὰ τὸν αὐτὸν λόγον. ἢν φύσει ἢ χολώδης, τούτῳ κλύσαι. ἢν δὲ φλεγματώδης. [152] κόκκους ἐκλελεγμένους, καὶ τοῦ τιθυμάλλου ὀποῦ, ὅσον πόσιν κλύζειν. ὡσαύτως καὶ κνεώρου καὶ μηκωνίου. ὡσαύτως ἑκατέρου τούτων χρῆσθαι χρή. [153] κλύζε δὲ μὴ κλύσματι πλέον, ἢ δυσὶ κοτύλαις. [154] Ὑποθυμιῆσαι δὲ ἐπὶ κεκομμένα ταῦτα. Κηκίδα θυμιῆν, καὶ πρίσματα λωτοῦ ἐλαίης φύλλοις ξηροῖς, κεκομμένοις, μίξας καὶ φυρήσας ἐλαίῳ ὑποθυμιῆν. Ἄνθρακας ὑποβαλὼν κριθῶν ἄχυρα νοτερὰ ὑποβαλὼν ὑποθυμιῆν. [155] Ἐπ' ἀμφορέως ἐλαιηροῦ τὸ ἐπίθεμα τὴν στοιβὴν ὑποκαίων. πρίσματα κυπαρίσσου ὑποβαλὼν θυμιῆν. Σκαμμωνίην. σμύρναν. λιβανωτόν. [156] μύρον παραχέας, ὑποθυμιῆν. Ἄσφαλτον. κριθῶν ἄχυρα ξυμμίξας, ὑποθυμιῆν. Ἔλαιον φώκης ἀναδεύσας, ὑποθυμιῆν. Μελίην. κυπαρίσσου πρίσματα. κυπαίρου ῥίζαν. μύρον ῥόδινον δεύσας, θυμιῆν. Κάλαμον. κύπαιρον. βρυωνίην. βρύον. σελίνου σπέρμασι. ἄννησα μίξας ὁμοῦ καὶ μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. Ῥητίνην αὔην

ἐπὶ

ἐπὶ αὐτὸ δὲ ἐπιβαλὼν, ὑποθυμιᾶν. Κινάμωμον. σμύρ-
ναν, κασίην, ἴσον ἑκάστου. Κρόκον μίσγοντα, σμύρναν, τὸ
βρύον, ἴσον τῷ κρόκῳ. Κάλαμον[157] κνεώρου. κρόκου. ῥό-
δων φύλλα ἐρυθρὰ τὰ ἡδὺ ὄζοντα τρίψας καὶ ξηρήνας
ξυμμίσγειν τῷ κρόκῳ. καὶ στύρακα ἥμισυ τοῦ κρόκου,
ταῦτα λεῖα ξυμμίξας καὶ ξηράνας, μέλιτι ἑφθῷ δεύ-
σας ὡς ἐλαχίστῳ, τουτέων δὲ πάντων ξυμμεμιγμένων,
ἔστω ἡ θυμίησις, ὀβολὸς ἀττικὸς σταθμός. Ταῦτα θυμιᾶν
ἐπὶ βολβίτου.[158] τὸ δὲ βόλβιτον πλάσσειν, οἷον ὀξύβαφον ἐ-
λαιηρόν. τὸν πυθμένα δὲ ἐχέτω λεπτόν. ἔστω δὲ ξηρόν. τὸ
πῦρ δὲ ἔστω κλημάτινον, ἐφ᾽ οὗ τὸ βόλβιτον κείσεται. ἐν
τῷ ἐκείνῳ περιβᾶσα θυμιήσθω. Χαλβάνην. ῥητίνην.
μάνναν. μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιᾶν. Πανάκεως
καὶ κυπαρίσσου πρίσματα δεύσας μύρῳ αἰγυπτίῳ λευ-
κῷ θυμιᾶν. Κινάμωμον, καὶ νάρδον καὶ σμύρναν μύρῳ
ῥοδίνῳ δεύσας ὑποθυμιᾶν. Λευκοΐου τὸν καρπὸν, κέ-
δρου πρίσματα. καὶ χαλβάνην μέλιτι ἀναφυρήσας,
ὑποθυμιᾶν. Αἰγὸς σπυράθοις, καὶ λαγωοῦ τρίχας ἐ-
λαίῳ φώκης δεύσας, ὑποθυμιᾶν.[159] Φώκης τῆς πιτύης
τὸ δέρμα κόψας λεῖον, καὶ σπόγγον, καὶ βρύα ὁμοῦ λεῖα
μίξας τῷ ἐλαίῳ τῆς φώκης περιπάσας, ὑποθυμιᾶν.
Αἰγὸς σπυράθοις καὶ φώκης τοῦ πλεύμονος, καὶ[160] κέδρου
πρίσματα ὑποθυμιᾶν. Βόλβιτον. κέδρου πρίσματα. καὶ
ἄσφαλτον ὑποθυμιῆν. Ἀκάνθης αἰγυπτίης καρπὸν, καὶ
κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρῆς. Ταῦτα
ποιήσας λεῖα,[161] μύρῳ τε ὀποβαλσάμου δεύσας, ὑποθυ-
μιᾶν.[162] Ἀρώματα ἐς μύρον ἐμβαλλόμενα ὑποθυμιᾶν.
Γίγαρτα κόψας λεῖα.[163] καὶ κεδρίδας. καὶ ῥητίνην πι-
τυΐνην ὁμοῦ μίξας γλυκεῖ ἑφθῷ δεύσας, ὑποθυμιᾶν.
[164] Πυριήσιες. Βόλβιτον κεκομμένον, καὶ σεσησμένον, ὄ-
ξους τὸ ἥμισυ. τοῦ ὀροβίου τὸ ἥμισυ ἐμβαλὼν, πυριᾶν
βληχρῶς. ἐπὴν δὲ πυριήσῃς, φάκιον πίνειν,[165] καὶ ῥο-
φεῖν καὶ ἀπεμεῖν, διδόναι ἄλητον. καὶ ἐπιπίνειν οἶνον. τῇ
δὲ ὑστεραίῃ, κόκκον διδόναι καταπότον. τῇ δὲ ἑτέρῃ δι-
ουρητικόν. ἐρεβίνθους λευκοὺς δύο τρίψας. τῆς δὲ σταφί-
δος τρίτον, ἐπιχέας ἥμισυ ὕδατος ἐνεψεῖν. ἔπειτα ἀπο-
χέας ἐς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ διδόναι πίνειν καὶ
τὸ λοιπὸν ἐλελίσφακον. καὶ τοῦ λίνου σπέρμα τουτέοις ἀμ-
φοτέροις μίξας καὶ ἄλφιτον, διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ
κεκρημένῳ, κοτύλῃσι τέσσαρσιν. Ἐλαίου τρία ἡμικοτύ-
λια. ἀκτῆς φύλλα ὅσον χεὶρ πλείη. Ταῦτα ἑψεῖν ἐγ-
χέας[166] ἐς κρατῆρα θερμὸν πυριᾶν ὀστράκοις θερμοῖς
[167] ἐπὶ δίφρου ἐπικαθίσας περικαλύψας τε ἱματίοις.
τῆς ἀκτῆς φύλλα ὅσον χεὶρ πλείη. καὶ τῆς μυρσίνης
τὸ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἑψήσας καὶ ἀποχέας τὸ ὕδωρ,
ἐμβάλλων κριθῶν ἄχυρα, ἑψήσας ἔμβαλλε εἰς ῥάκος. ἔ-
πειτα τουτέῳ πυριῆν,[168] ὡς ἂν δύνηται θερμότητα ἀνέ-
χεσθαι μάλιστα. Ὄξος. ἔλαιον. ὕδωρ. μέλι κεράσας,
ταῦτα ἀνάζεσον σφόδρα. ἔπειτα λαβὼν κύστιν, χωρέουσαν ὡσεὶ χόα. ἢ ἀσκίον ὡς λεπτοδερμότατον ἐγχέας, καὶ περιε-
λίξας ῥάκει εἰρίῳ, πυριῆν.[169] ὁκόταν δὲ χλιαρὸν τὸ ῥάκος γένηται, ἕτερον περιελίσσειν. τῆς πίτυος τὸν φλοιὸν,
καὶ τοῦ ῥοῦ τὰ φύλλα[170] ἐμβάλλων, ἑψήσας ἰσχυρῶς, ἀποχέας τε τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρα, ἕψε ἔλαιον ἐπιχέας,

dum iniectam suffito. Cinnamomum, myrrham, casiam, æquis singula portionibus admisceto. Vel crocum admixta myrrha, & muscum æquali croci portione. Calamum, cneorum, crocum, rosarũ folia rubra suaue olentia sicca & trita croco admisceto, & styracem dimidia croci portione. Hæc læuigata, mixta & sicca, melle quàm paucissimo cocto subigenda. Ex his omnibus commixtis suffitus materiam oboli Attici pondere conficito. Hi suffitus in stercore bubulo parentur. Stercus autem bubulum in acetabuli olearij formam effingito, quod fundum tenue habeat sicumque sit. Ignis in quo stercus ponitur sit ex vitium sarmentis, cui insidens mulier suffitum accipiat. Galbanum, resinam, mannam, vnguento rosaceo aspersa suffito. Panacis & cupressi ramenta, vnguento Ægyptio albo madefacta suffito. Cinnamomum, nardum & myrrham, vnguento rosaceo irrigata suffito. Violæ albæ semen, cedri scobem & galbanum melle subacta suffito. Caprini stercoris globulos & leporis pilos, vituli marini pingui aspersos, ad suffitum adhibeto. Coaguli vituli marini pelliculam tenuiter contusam, spógiam, muscum, simul tenuiter trita & mixta, vituli marini pingui excepta suffito. Stercoris caprini globulos, vituli marini pulmonem, & cedri ramenta suffito. Stercus bubulum, cedri ramenta, & bitumen suffitui adhibeto. Spinę Ægyptiæ fructum, cedri ramenta, & myrti siccæ folia. Hæc tenuiter trita, & oleo balsamino subacta suffito. Aromatibus in vnguentum immissis suffitum parato. Vinacea tenuiter contusa, cedri baccas, resinam pineam, simul mixta & passo cocto subacta, suffito. Fotus. Stercus bubulum contusum & cribratum, aceti dimidiam portionem, immissa decocti erui dimidia portione, leuiter foueto. Post adhibitum fotum, lenticulæ decoctũ bibendum dato, farinam sorbendam ac reuomendã exhibeto, & vinum superbibẽdum. Postero verò die granum cnidium deuorandum dato, sequenti die quod vrinam cieat. Ciceris albi partes duas tritas, vuæ passæ tertiam partem, aqua ad dimidias affusa decoquito, deinde percolatum per noctem sub dio reponito, postridie bibendum exhibeto. De cætero saluiam, lini semen, polenta his ambobus admixta, bis die ex vini aqua temperati quatuor heminis dato. Olei dimidias heminas tres, sambuci folia quantũ manus plena capit, hæc cocta in craterem calidum effundito, muliere vestibus circumtecta in sedili collocata, testis calidis immissis fomentũ adhibeto. Sambuci folia quantum manus plena capit, & myrti æqualem mensuram in aquã iniectam decoquito, & in percolatam aquam hordei paleas immissas, decoctas in linteũ immittito, deinde ex eo fomentũ quàm maximè calidũ ferre poterit admoueto. Acetum, oleũ, aquã, melle admixto, hæc valde decoquito. Deinde vesica sumpta cõgiũ capiẽte, aut vtriculo ex tenui corio infundito, & tenui panno laneo ad fomentum conuoluito. Cùm verò tepidus pannus fuerit, alium conuoluito. Pini corticem & rhois folia in aquam iniecta vehementer decoquito, in aqua diffusa hordei paleas oleo affuso cõquito,

hæc ſimul cocta, in pannum immiſſa ad fomentum adhibeto. Loti arboris & cupreſſi raméta, affuſa aqua & oleo coquito, quoad ſimul coxerint, deinde in pannum immiſſa ad fomentum adhibeto. Aromata in aquæ chœnicem iniecta decoquito, & in aqua furfures triticeos coquito. Ad eundem modum gallam contuſam & rhamni corticem vehementer decoquito, & triticeos furfures oleo admixto aqua ſubigito, deinde ſemiaſſum panem duas chœnices pendentem conficito, & in panno ligatum ad fomentū adhibeto. Braſſicam & porra decoquito, ſuccum ad eundem modum adhibeto, hordei paleas oleo affuſo ſimul decoquito, in panno ligatum ad fomentum admoueto. Solani & oleæ folia decoquito, ad eundem modum adhibeto. Atque hæc quidem ſi humidis vti volueris, velut ſcripta ſunt fomenta adhibenda. Sin ſiccis vti volueris, panibus exaſſatis & ſemiaſſatis confectis, ad fomentum vtitor. Sed & per teſtacea panno inuoluta, & per pannos ipſos calidos, & per lenticulata vaſa teſtacea pedibus adhibita, aqua feruente infuſa, fomentum admoueto. Iridis radicem tuſam & decoctam, ad eundem modum in fotu adhibeto. Si aqua in vteris ſuborta fuerit, menſes pauciores, deteriores & longiore tempore fluunt, & interdum duobus menſibus aut paulò plus vtero gerit, quo exacto tempore & fœtum corrumpit, multaq; aqua in ea gignitur. Huic lac & meconij ſuccum propinare oportet, quoad fœtus moueri incipiat. Plærumque tamen ante hoc tempus abortione corrumpitur, & ſanguis ex vteris effluit. Hæc autē non magis ex labore quàm aliter ei contingunt. Quòd autem hydrops in vteris inſit id deprehendes, ſi leuiter immiſſo digito contrectaris. Os enim ipſorum gracile, & præ humoris copia euaneſcens comperies. Quòd ſi ei non per initia, ſed cùm iam mouetur fœtus corrumpatur & ſuffocetur, venter imus intumeſcit, & ad contactum velut ex vlcere dolet, febris & dentium fremitus eam prehendit, dolorq; grauis & vehemens ipſa pudenda, imum ventrem, coxendices, laterum inanitates, & lumbos detinet. Cùm ſic habuerit, ipſam calida lauare oportet. Et qua parte dolor prehenderit, ex tepefactoriis quod maximè recipiat admouere tentato, & medicamentum deorſum purgans potui exhibeto. Tempore autem quātum ſatis videbitur interpoſito, & fomento adhibito, cyclaminis aliquantulum panno inditum & ligatum, melleq; ſubactum ad os vterorum ſubter apponito. Et cupreſſi raméta aqua macerata ad eundem modum ſubdito. Id autem breuiore aut longiore tempore ſinendū, quantò magis mordet & vlcerat, & per ſpecillum ſtanneum paratum, & digitum ſimiliter immittendū. Potiones experimento facto quaſcunq; admiſerit propinato, & hoc opportuno præſertim tempore cum viro dormiat. Nam ſi geniturā continuerit, & prægnans facta fuerit, ac pepererit, expurgabitur, & cum ipſo puerperij purgamento quæ priùs in ea ſuberant. Atque ad hunc modum maximè ſana euadet. Si vteri indurati fuerint, os aſperum redditur, & menſes deliteſcunt, & cùm apparuerint, arenæ ſimiles ſunt, eoque tempore genitura non fit.

ὁκόταν δὲ συνεψήσῃς ἐμβαλὼν εἰς ῥάκος, πυριᾶν. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον ἕψε, ἕως ἂν ξυνεψήσῃς. ἔπειτα ἐμβαλὼν εἰς ῥάκος, πυριᾶν. Ἀρώματα ἐς τὸ ὕδωρ ἐμβαλλόμενα ἑψήσας ὅσον χοίνικα, καὶ τῷ ὕδατι πίτυρα πύρινα ἑψήσας, τὸν αὐτὸν τρόπον κηκίδα κόψας, καὶ ῥάμνου τὸν φλοιὸν ἀφεψήσας ἰσχυρῶς, πίτυρα πύρινα φύρησον τῷ ὕδατι, καὶ προσάμιξον ἔλαιον. ἔπειτα ἡμίοπτον ποιήσας ἄρτον ὅσον διχοίνικα, ἐνδήσας ἐς ῥάκος, πυριᾶν. Κράμβην καὶ πράσα ἀφεψῶν τῷ χυλῷ ποίησον τὸν ἴσον τρόπον. Κριθῶν ἄχυρα συνεψῶν, ἔλαιον ἐπιχέας, ἐς ῥάκος ἐνδέων, πυριᾶν. Στρύχνον, καὶ τῆς ἐλαίης τὰ φύλλα ἀφεψῶν, τὸν αὐτὸν ποίει τρόπον. καὶ ταῦτα δὴ ἢν μὲν βούλῃ ὑγραῖσι χρῆσθαι, πυριᾶν, ὡς γέγραπται. ἢν δὲ βούλῃ ξηρῇσι, ἄρτους ποιέων, καὶ ἐξόπτους, καὶ ἡμιόπτους, πυριᾶν. πυριᾶν δὲ καὶ ὀστράκοις εἰς ῥάκος ἐνειλίσσων, καὶ αὖθις τοῖς ῥάκεσι θερμαίνων.[171] καὶ τοῖς φακοῖς τοῖς ὀστρακίνοις, τὸ ὕδωρ ἐγχέων ζεστόν. προστιθέναι δὲ πρὸς τοὺς πόδας, τῆς ἴρεως τὴν ῥίζαν, κόπτων καὶ ἀφεψῶν τὸν αὐτὸν τρόπον πυριᾶν. ἢν ὕδωρ ἐγγένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται, καὶ κακίω, καὶ διὰ πλέονος χρόνου.[172] καὶ κυΐσκεται ἑκάστοτε, ἐπὶ δὴ μῆνα ἢ μικρῷ πλέον. ἐπειδὰν δὲ οὗτος ὁ χρόνος γένηται, καὶ διαφθείρῃ, καὶ ὕδωρ ἐν αὐτῇ γίνεται πουλὺ, ταύτην δὲ χρὴ γαλακτοποτέειν. καὶ τῶν μηκώνων πίνειν, ἕως ἂν κινέεσθαι ἄρχηται τὸ ἔμβρυον. ὡς ἐπιτοπουλὺ δὲ πρὸ τουτέου διαφθείρεται, καὶ ἐξαμβλοῦται. καὶ αἱματώδεις ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ πάσχει, οὐδέν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως. τοῦτο δὲ ἂν γνοίης, ὅτι ὕδρωψ ἔνεστιν ἀφάσσων τῷ δακτύλῳ. ὄψει γὰρ τὸ στόμα αὐτέων ἰσχνὸν καὶ ἀφανιζόμενον ὑπὸ πλείονος ὑγρασίης. ἢν δὲ αὐτῇ μὴ κατ' ἀρχὰς[173] ἀλλ' ἤδη κινουμένου μὴ διαφθείρηταί τε καὶ ἀποπνίγηται. ἥ τε γαστὴρ ἡ νειαίρη ἐπανοιδέει. καὶ ἀλγέει ἁπτομένη ὥσπερ ἕλκος. καὶ πυρετὸς αὐτὴν καὶ βρυγμὸς λαμβάνει. καὶ ὀδύνη ἔχει ἔς αὐτά τε τὰ αἰδοῖα, καὶ τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν ὀσφὺν ὀξεῖά τε καὶ ἀπερχνή. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν θερμῷ. καὶ ὅπῃ ἂν ὀδύνη λαμβάνῃ τῶν χλιασμάτων πειρώμενος[174] ὅ, τι μάλιστα προσδέχηται προστιθέναι. καὶ φάρμακον πῖσαι καθαρτήριον κάτω. διαλιπὼν δὲ χρόνον ὅσον ἂν δοκέῃ σοι καιρὸς εἶναι[175] καὶ πυριήσας, προστιθέναι τῆς κυκλαμίνου. ἀποδήσας ὅσον περ, ἐνθεὶς ἐς ῥάκος. καὶ τῷ μέλιτι δεύων, προστιθέναι πρὸς τὸ στόμα τῶν ὑστερέων, καὶ τῆς κυπαρίσσου καταξύσας, καὶ τέγξας ἐν ὕδατι, προστιθέναι ὡσαύτως. ἐλάσσω δὲ χρόνον καὶ διὰ πλείονος τοῦτο ἔσω μᾶλλον δάκνει καὶ ἑλκοῖ. καὶ μήλην ποιησάμενος κασσιτερίνην, καθιέναι. καὶ τῷ δακτύλῳ ὡσαύτως.[176] καὶ τῶν ποτημάτων πειρώμενος ὅ, τι ἂν προσδέχηται, πιπίσκειν. καὶ ξυγκοιμάσθω τῷ ἀνδρί. ὡς μάλιστα τῶν καιρῶν παρεόντων. ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν, καὶ κυήσῃ, καὶ τέκῃ, ἀποκαθαίρεται.[177] καὶ τὰ πρόσθεν ὑπὸ αὐτῷ ξὺν αὐτῷ. καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο.[178] Ἢν σκιρρωθῶσιν αἱ μῆτραι, τό, τε στόμα τρηχὺ γίνεται, καὶ τὰ ἐμμήνια κρύπτεται. ὁκόταν δὲ προφανῇ ὥσπερ ψάμμος,[179] καὶ ἡ γονὴ οὐ γίνεται ὑπὸ τουτέου τοῦ χρόνου.

ἢν δὲ

ἢν δὲ καὶ ἐσαφάσσῃς τὸν δάκτυλον, τρηχὺ τὸ στόμα εὑρήσεις τῶν μητρέων. ὁκόταν ὧδε ἔχῃ, τὸ κυκλάμινον χρὴ τρίψαντα καὶ ἅλας, καὶ σῦκον ὠμὸν μίσγοντα καὶ ἀναποιοῦντα μέλιτι, προστιθέναι. καὶ πυριήσαντα, κλύσαι τοῖσι καθαρτηρίοισιν. ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβας ἑφθὰς, καὶ τὸν χυλὸν ῥοφείτω. καὶ θερμῷ λουέσθω. Ἢν σκιρρωθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια κρύπτεται, καὶ τὸ στόμα αὐτέων ξυμμύει. καὶ οὐ κυΐσκεται. ὅταν ὧδε ἔχῃ, ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα τρηχύ. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι. καὶ πυρετὸς αὐτὴν λαμβάνει, καὶ βρυγμὸς καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα, καὶ τὸν κενεῶνα, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα ἢν ἐν αὐτῇ διαφθαρὲν σαπῇ τὸ ἔμβρυον. ἔστι δὲ ἧσι καὶ ἐκ τόκου γίνεται. πολλάκις δὲ καὶ ἄλλως. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν, πολλῷ καὶ θερμῷ, καὶ πυριᾷν. ὅταν δὲ νεόλουτος ᾖ καὶ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς, ἀναστομοῦν. καὶ ἀνευρύνειν τὸ στόμα αὐτέων. καὶ τῷ δακτύλῳ ὡσαύτως. καὶ προστιθέναι ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται. καὶ τῶν ποτημάτων ὡσαύτως πιπίσκειν. καὶ θεραπεύειν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρότερον. ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσι, βὴξ ἴσχει καὶ ὀδύνη. ὑπὸ τὸ πλευρὸν, οἷον σφαῖρα. καὶ ἁπτομένῃ πονέει ὥσπερ ἕλκος. καὶ καταφθίνει. καὶ δοκέει περιπλευμονίη εἶναι. καὶ σπᾶται. [180] καὶ φυγὴ γίνεται. καὶ τὰ ἐπιμήνια ὅλως οὐ προφαίνεται, ἐνίῃσι δὲ προφανέντα, οἴχεται. τότε δὲ γινόμενα ἀσθενέα τε καὶ ὀλίγα, ἢ κακίω, ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον, [181] καὶ πίσας αὐτὴν πολλῷ καὶ θερμῷ, καὶ τῶν χλιασμάτων ὅ,τι ἂν μάλιστα προσδέχηται, προσίσχειν καὶ προστιθέναι, ὑφ᾽ ὧν καθαίρεται αἷμα. καὶ λίνου σπέρμα φώξας καὶ κόψας, καὶ σήσας, καὶ τῶν μηκώνων τῶν λευκῶν, [182] καὶ σὺν ἀλφίτοις λεπτοῖς. καὶ τυρὸν αἴγειον, περιξέσας τὸν ῥύπον καὶ τὴν ἅλμην, ταῦτα μίσγειν τοῦ τυροῦ δύο. ἓν δὲ τῶν ἄλλων. τῶν δὲ ἀλφίτων ἑώλων ἀνάλτων, νήστει δίδου πίνειν ἐν οἴνῳ. ἑσπέρης δὲ κυκεῶνα παχὺν μέλι ἐπιχέων, δίδου. καὶ τῶν πομάτων ὅ,τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν [183] καὶ πυριᾷν πυκνά. τῷ θερμῷ δὲ, αἰονᾷν. τῇ κηρωτῇ ἠσυχῇ μαλάσσοντα ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ. καὶ ἀναδεῖν τὸ πλευρὸν ταινίῃ πλατείῃ. καὶ γαλακτοποτεῖν, τὸ βόειον γάλα ὅτι πλεῖστον ἐφ᾽ ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρήσθω, ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος, ἀπεργὴς τε καὶ θανατώδης. καὶ ὀλίγαι καὶ μελεδαινόμεναι διαφεύγουσιν αὐτήν. ἢν τὸ στόμα ξυμμύσῃ, γίνεται ἰσχυρὸν, ὥσπερ ἐρινεὸν καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, [184] ὄψει σκληρὸν καὶ ξυνεστραμμένον. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι. καὶ τὰ ἐπιμήνια ἀποκεκρύφαται. καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου. καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τὸν κενεῶνα. ἔστι δὲ ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω. καὶ λούειν πολλῷ καὶ θερμῷ. καὶ προστιθέναι ἅπερ μαλθάσσει τὸ στόμα. καὶ τὴν μήλην καθιέναι, καὶ ἀναστομοῦν. καὶ τὸν δάκτυλον ὡσαύτως, καὶ αἰονᾷν. ὁκόταν οὖν μαλθακὸν ᾖ, προστιθέναι, ὁκόσα καθαίρει αἷμα. καὶ τῶν ποτημάτων διδόναι πειρώμενος ὅ,τι ἂν προσδέχηται. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ῥοφείτω.

Quòd si etiam digitum ad contrectandum immiseris, os vterorum asperum deprehendes. Cùm sic habuerit cyclaminũ & salem tritum, & ficum crudam permixtam, hæc melle subacta in subdititio apponito, & post fomentum admotum, purgatoriis eluito. Mercurialem autẽ & brassicas coctas comedat, & succum sorbeat, calidaq; lauet. Si vteri tumorem durum senserint, menses absconduntur, & eorum osculum clauditur, neque prægnans fit. Cùm sic habuerit, si digito contrectaris, os asperum deprehendes, neq; digitum intromittit, febris & dentiũ fremitus eam prehendit, dolor imum ventrem detinet, laterum inanitatem & lumbos. Quæ ei contingunt si corruptus in ea fœtus computruerit. Quibusdam verò etiã ex partu, & plærumq; aliter contingit. Cùm sic habuerit, ipsam multa calida lauare, eiq; fomentum admouere oportet. Recens lotę & fotę per specillum immissum os vterorum aperito & dilatato, quod per digitum similiter facito, & subdititia medicamenta, velut in priore scriptum est, adhibeto, potiones eodem modo propinato, eandemq; velut in priore curationem facito. Si vteri ad latera incumbant, tussis & dolor detinet, sub costis velut pila sentitur, & ad contactum dolor velut ab vlcere, contabescit, pulmonis inflammatione tentari videtur, conuellitur, & gibbosa euadit, menses in totum non apparent, quibusdam verò priùs apparentes euanescunt, tumque euntes debiliores, & pauciores, aut deteriores sunt quàm antea, neq; eo tempore genitura intus oritur. Cùm sic habuerit, medicamentum deorsum purgãs propinare oportet, & post potionem calida multa lauare, & tepefactoria quæ maximè admittet, admouere, & in subdititio ea quæ sanguinem purgent apponere. Lini semen tostum, tusum & cribratum, papauer album cum tenui polenta, caseum caprinum sorde & muria derasa, hæc misceto, vt casei partes sint duæ, reliquorum verò vna, & cum polenta vetere insulsa in vino ieiunæ bibenda exhibeto. Sub vesperum autem cyceonem crassum melle affuso exhibeto, & ex potibus quem præcipuè admiserit propinato, & crebrò foueto. Calida autem perfundito, & cerato leuiter emolliendo à latere retrudito, latus fascia lata deligato, & lac bubulum quamplurimum ad dies quadraginta potui exhibeto, cibis verò quàm mollissimis vtatur. Hic morbus vehemens est & lethalis, paucæq; etiam curatæ eum effugiunt. Si vteri osculum conniueat, durum velut caprifici fructus euadit, & si digito immisso contrectaris, durum & conuersum comperies, neque digitum intromittit, menses delitescunt, genituram per hoc tempus non recipit, dolor imum ventrem, lumbos & lateris inanitatem detinet, interdum verò ad superiora instat & suffocat. Cùm igitur sic habuerit, medicamentum deorsum purgans propinato, copiosa calida lauato, & quæ os emolliant in subdititio apponito, immissoque specillo aperito, quod per digitum eodem modo facito, & aqua perfundito. Vbi autem molle fuerit, quæ sanguinem purgant subter apponito, potiones, experimento facto quamcunque admiserit, exhibeto, brassicam comedat, & succum sorbeat.

Si vteri tranſuerſi fuerint, eorum quoque os obliquatum redditur, & menſes interdum ei deliteſcunt, interdum verò vbi antea comparuerint euaneſcũt, neq; ſimiles exiſtũt, ſed deteriores & quàm antea pauciores, neque per id tempus genitura intus manet, dolor imum ventrem, ilia, lumbos, & coxam detinet, eamq; contrahit. Cùm ſic habuerit, medicamentũ deorſum purgans potui exhibendum, & calida lauandum, fomentumq; admouendum. Cùm autem recens fota & lota fuerit, mulier digito ad contrectandũ immiſſo os vterorum dirigat & emendet, & ſuffitus ex odoratis adhibeatur. Ex potionibus quam maximè experimento facto admittet exhibeto. Cibis autem mollibus vtatur, & allia cocta & cruda comedat, viro condormiat, & in ſanam coxam decumbat, alteri autem fomentum adhibeatur. Morbus autem ægrè expellitur. Si vteri inflati fuerint, venter attollitur & flatu diſtenditur, pedes & faciei cauæ partes intumeſcunt, color deformis exiſtit, menſes per hoc tempus non eunt, debilis eſt & anxietate premitur, cúmque ſurrexerit aut progreſſa fuerit, erectæ ceruicis ſpiratio eam detinet, quicquid comederit aut biberit, eam moleſtia afficit, gemit & animum magis deſpondet, quàm prius quam comederit, plærunque etiam præfocatur. Cùm ſic habuerit medicamentum deorſum purgans propinato, calida lauato, & fomentum adhibeto. Interiecto verò tempore aliquo, ex quibus purgetur & mordeatur ſubter apponito, creberrimè etiam totum corpus foueto, túncque ſubter pudenda ſuffitum ex odoratis, ad nares verò ex graueolentibus admoueto, potiones quæ vteros purgent exhibeto, mercurialem edat, & lac bibat, velut in latus allapſu dictum eſt. Morbus autem diuturnus eſt. Alia curatio. Si in vteris ſanguinis grumi fuerint, eorum os tanquam orobis plenum exiſtit, & ſi attrectatis ita ſe habere comperies, menſes non eunt, neque genitura intus manet. Cùm igitur ſic habuerit, cyclaminum detracto cortice, allium, ſales, ficum & mellis parum, hæc trita & ſimul mixta in glandulam efformato, & ad vterorum os in ſubdititio apponito, & ex aliis vterorum ſubdititiis, ea quæ conueniunt, nempe quæ acria ſunt, rodunt, & ex quibus ſanguis purgatur. Potiones quæ vteros purgent exhibeto, & omnibus deraſis, conuoluta circa digitum veſicę cute aut pellicula, os vterorum deradito. Si vteri intorti fuerint, menſes non eunt, neque genitura intus gignitur, dolor imum ventrem, lumbos, & laterum inanitates detinet, & ſi digito immiſſo contrectarit, os vterorum cùm valde receſſerit contingere nequeat. Cùm ſic habuerit, medicamentum ex quo ſurſum ac deorſum, magis tamen deorſum purgetur, exhibendum, oriq; & vtero pręcipuè fomentum admouendum, biſque die calida lauandum, potiones quas maximè recipere expertus fueris, exhibeto, quàm frequentiſſimè cũ viro dormiat, & braſſicã comedat. Si vteri moti ſuo loco minimè maneant, quam verò in partem prolabuntur dolores afferunt, inconſpicui exiſtunt, interdum verò velut ſedes extra prominent.

ἢν παραλοξαίνονται αἱ μῆτραι, καὶ τὸ στόμα αὐτέων λοξὸν γίνεται. καὶ τὰ ἐπιμήνια αὐτῇ, τότε μὲν κρύπτεται, τοτὲ δὲ προφανέντα οἴχεται. καὶ οὐχ ὅμοια γίνεται, ἀλλὰ κακίω τε καὶ ἐλάσσω, ἢ πρὸ τοῦ. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὴν ὀσφὺν, καὶ τὸ ἰσχίον, καὶ ἐφέλκει αὐτό. ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. καὶ λούειν θερμῷ καὶ πυριᾶν. ὁκόταν δὲ νεοπυρίητος ἢ νεόλουτος ᾖ, [185] τὸν δάκτυλον ἐσαφάσσουσα, ἀπορθούτω καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων. καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. καὶ τῶν πομάτων δίδου πειρώμενος, ὅ, τι ἂν μάλιστα προσδέχηται. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι. καὶ σκόροδα ἐσθιέτω, ἑφθὰ καὶ ὠμά. καὶ τῷ ἀνδρὶ συγκοιμάσθω. καὶ ἐπὶ τοῦ ὑγιέος ἰσχίου κατακείσθω. τὸ δὲ ἕτερον πυριάσθω. ἡ δὲ νοῦσος, δυσαπάλλακτος. [186] ἢν φυσηθῶσιν αἱ μῆτραι, ἥ τε γαστὴρ αἴρεται καὶ φυσᾶται. καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ κοῖλα τοῦ προσώπου. ἡ χροιὴ δὲ ἀειδὴς γίνεται. [187] καὶ τὰ ἐπιμήνια οὐ γίνεται τουτέου τοῦ χρόνου. [188] καὶ ἀσθενεῖ. καὶ ἀλύει. καὶ ὁκόταν ἀνίστηται ἢ προσέλθῃ, [189] ἐς τὴν ὀρθόπνοιαν αὐτὴν ἴσχει. καὶ ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπεῖ αὐτήν. καὶ στένει τε [190] καὶ δυσθυμεῖ μᾶλλον, ἢ πρὶν φαγεῖν. πολλάκις δὲ καὶ πνίγεται. ὁκόταν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ τῷ θερμῷ λούειν, καὶ πυριᾶν. διαλιπὼν δὲ χρόνον τινὰ, προστιθέναι ὑφ᾽ ὧν καθαρθήσεται [191] καὶ δηχθήσεται. πυριᾶν δὲ ὡς πυκνότατα τὸ ὅλον σῶμα. τότε δὲ ὑπὸ τὰ αἰδοῖα ὑποθυμιήσθω τὰ εὐώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ κακώδεα. καὶ πόματα δίδου, [192] ὅσα καθαίρει ὑστέρας. καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ τὸ γάλα πινέτω, ὥσπερ ἐπὶ τοῦ πλευροῦ εἴρηται. [193] ἡ δὲ νοῦσος, χρονίη.

[194] Ἄλλη θεραπεία. ἢν θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτέων γίνεται, οἷον ὀρόβων μεστόν. καὶ ἢν ἐσαφάσσῃς, εὑρήσεις ὧδε ἔχον. καὶ τὰ ἐπιμήνια οὐ γίνεται. [195] οὐδὲ ἡ γονὴ κατέχεται. ὁκόταν οὖν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸ φλοιὸν περιλεπίσαντα, καὶ σκόροδον, καὶ ἅλας. καὶ σῦκον. καὶ μέλι ὀλίγον. ταῦτα τρίψας καὶ ξυμμίξας ποιήσας βάλανον, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῶν ἄλλων προσθέτων τῶν μητρέων τὰ προσήκοντα, ὁκόσα δηλαδὴ δριμέα ἐστὶ καὶ ἐσθίει καὶ ὑφ᾽ ὧν καθαίρεται αἷμα. καὶ τῶν πομάτων διδόναι, ὅσα ὑστέρας καθαίρει, [196] καὶ περιξύσας πάντα, καὶ περιειλίξας κύστιος δέρμα ἢ ὑμένα, διαξύειν τὸ στόμα τῶν μητρέων. [197] Ἢν διαστραφῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται. καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ ἢν ἐσαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ᾽ ἀνακεχώρηκεν ἰσχυρῶς. ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι, ὑφ᾽ οὗ καθαίρεται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον. [198] καὶ πυριᾶν τό, τε σῶμα καὶ τὰς μήτρας ὡς μάλιστα. καὶ λούειν τῷ θερμῷ, δὶς τῆς ἡμέρης. καὶ τῶν πομάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, πειρώμενος δίδου. καὶ ξυνευδέτω τῷ ἀνδρὶ, ὡς πυκνότατα. καὶ τὴν κράμβην ἐσθιέτω. ἢν μὴ κατὰ χώρην μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἔνθα δὲ προσπίπτουσιν ὀδύνας παρέχουσι, καὶ ἀφανέες γίνονται. ὅτε δὲ ἐξίσχουσιν [199] ὥσπερ ἕδρα.

ὁκόταν μὲν ὑπτίη κατακειμένη τύχῃ, [200] κατὰ χώρην μένουσιν. ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ, ἢ ἄλλως τι κινηθῇ, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίην ἔχουσι. ταύτην χρὴ ὡς ὅτι μάλιστα ἡσυχάζειν, καὶ μὴ κινέεσθαι. καὶ τὴν κλίνην κέεσθαι πρὸς ποδῶν ὑψηλοτέρην. καὶ τοῖσι αὐτέοισι χρῆσθαι, ὥσπερ ἐν τοῖσιν ἐπάνω. καὶ τοῖς στρυφνοῖσιν αἰονᾶν. καὶ ὑποθυμιᾶν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. [201] καὶ ῥοιὴν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, πίσσαν χλιήναντα ἐν οἴνῳ, ἥτις ἂν μάλιστα ἁρμόζῃ. καὶ μὴ πιέζειν λίαν προσθεῖναι ὡς προσωτάτω. ὁκόταν δέ τι προσθῇς, ἐκ τῆς ὀσφύος ἐπιδῆσαι ταινίην πλατείην ἀναλαβὼν ὡς ἂν μὴ ἐξολισθάνῃ, ἀλλὰ μένῃ [202] καὶ ποιέῃ τὸ δοκέον. καὶ τῶν μηκώνων [203] ξὺν τῷ πυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπλώσει γέγραπται. τῶν πομάτων πειρώμενος ὅ,τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω. καὶ μετὰ ἀνδρὸς ὡς ὅτι μάλιστα κοιμάσθω. [204] ἢν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τά τε ἐπιμήνια γίνεται πλείω. καὶ κακίω. καὶ ὑγρότερα. καὶ διὰ πλέονος χρόνου. καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται, οὐδὲ ἐμμένει, ἀλλὰ πάλιν ἐκχέεται ἔξω. καὶ ἢν ἐσαφάσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων εὑρήσεις ἀναχεχηνός. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐπιμηνίων. καὶ πυρετός, καὶ ῥῖγος, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα μὲν, ἤν τι ἐν αὐτῇ χυθῇ, καὶ διαφθαρὲν σαπῇ. πάσχουσι δὲ καὶ ἐκ τόκων. αἱ δὲ καὶ ἄλλως. ὁκόταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, ὑφ' οὗ ἄνω καθαίρεται. καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ τὰ χλιάσματα προστιθέναι. [205] καὶ τῷ θερμῷ λούειν. [206] καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἐπὶ τῆς προτέρας γέγραπται. καὶ τῶν πομάτων διδόναι, ὅ,τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιᾶν, ὁκόσα ξηραίνει. καὶ τῶν πολυπόδων ἐσθιέτω. καὶ τὴν λινόζωστιν. [207] ἢν λεῖαι ἔωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλείω γίνεται, καὶ κακίω. καὶ ὑγρότερα. καὶ πυκνότερα. καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται. καὶ ἢν ἐσαφάσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα λεῖον. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων. καὶ πυρετός. καὶ ῥῖγος. καὶ ὀδύνη ἐς τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. μάλιστα μὲν ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου. καὶ ἄλλως. ὅταν ὧδε ἔχῃ, θεραπεύειν χρή, ὅκως ἂν ἡ ὀδύνη ἔχῃ. ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται. ἢν αἱ μῆτραι κατὰ γαστέρα νεύσωσι, τὸ ἰσχίον ὀδύνη ἔχει, ὀξεῖα τε καὶ ἀπρεχὴς, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ τὸ σκέλος ἐπισκάζει. ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἐλατήριον. τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. τῶν τε κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα [208] κατατεμὼν πυκνά. καὶ κηκίδα κατακόψας καὶ σήσας. καὶ ὑοσκυάμου τρίτην χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον [209] ἐν χύτρῃ, ὑποθυμιᾶν ἐπὶ τέσσαρας ἡμέρας, τρὶς τῆς ἡμέρης. τῆς δὲ νυκτὸς γάλα βοὸς, καὶ μέλι καὶ ὕδωρ πινέτω. καὶ θερμῷ λουέσθω. Ἢν ἐς τὴν κεφαλὴν τράπωσιν αἱ ὑστέραι, σημεῖον τόδε. τὰς φλέβας τὰς ἐν ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς [210] ἀλγέειν δοκεῖ. ταύτην χρὴ λούειν θερμῷ πολλῷ, καὶ κατὰ τῆς κεφαλῆς. δαφνίνῳ τε καὶ μυρσίνῃ ἐναφεψῶν ἐν τῷ ὕδατι. καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω. [211] καὶ ἐπιθυμιήσθω τὰ εὐώδεα. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ἐπιρροφείτω.

Cùm quidem supinam decumbere contigerit, suo loco manent, vbi verò exurrexerit, aut prona incubuerit, aut aliquantũ mota fuerit, extra feruntur, plærunq; etiam quiescunt. Hanc quàm maximè quiescere minimeq; moueri oportet, lectumque ad pedes altiorem sternere, & iisdem quibus supra vti, acerbis perfundere, suffitum ex graueolentibus subter adhibere, naribus verò ex odoratis. Et malum punicum in medio per vmbilicum perforatum, & picem quę maximè conueniat, in vino tepefactam, neq; admodum expressam, quàm penitissimè in subdititio apponito. Cùm verò aliquid subter apposueris, fascia lata exceptum, ex lumbis ne elabatur religato, sed vt intus maneat, & quod conuenit efficiat, & peplum cum caseo & polenta propinato, velut in vteri ad latus prolapsu scriptum est. Ex potionibus, expertus quam maximè suscipiat, bibendam exhibeto. Cibis verò quàm mollissimis vtatur, & quàm maximè cum viro dormiat. Si vteri plus solito hiarint, menses tum copiosiores, tum deteriores, & humidiores, & per longius tempus eunt, neq; genitura eam attingit, neq; intus manet, sed contra foras effunditur, & si digito immisso vterorũ os contrectaris, dehiscens deprehendes, & imbecillitas propter menses eam prehendit, febrisque & rigor, dolor imum ventrem, laterum inanitates & lumbos detinet. Hæc autem ei quidem præcipuè contingunt, si quid in ea corruptũ computruerit & effusum fuerit, accidit etiam ex partu, & aliis alio modo. Cum igitur ita habuerit, medicamentum ex quo sursum purgetur propinare oportet, & cùm dolor detinuerit, tepefactoria admouere, & calida lauare, intermissoq; aliquo tempore ex infuso colluere, velut in superiore scriptũ est, & potiones quas maximè suscipiat exhibere, ac in suffitu quæ siccant apponere, polypos etiã & mercurialem edat. Si vteri lęues & lubrici extiterint, & menses copiosiores, & deteriores, humidiores & crebriores contingunt, genitura intus nõ manet, sed contrà extra fertur, siq; digitum ad contrectandũ immiseris, os lęue deprehendes, imbecillitas eã propter menses, & febris, & rigor inuadit, & dolor ad imum ventrem, lumbos, & lateris inanitates, pręcipuè quidem si quid in ea corruptum computruerit, & ex partu, aliaq; ex causa. Cùm sic habuerit, vbi dolor detinuerit, curare oportet velut in superiore scriptũ est. Si vteri ad ventrem vergãt, dolor acutus & vehemens coxendicem, lumbos ac lateris inanitates detinet, crúsq; claudicat. Cùm sic habuerit, medicamentum deorsum purgans potui exhibendum, postridie verò suffitus admouendus. Hordei chœnices duas, oleę folia tenuiter cõcisa, gallam cõtusam & cribratam, hyoscyami tertiã chœnicis partem, hæc mixta & oleo ad dimidiam heminam in olla subacta, per dies quatuor ter die ad suffitum adhibeto. Lac bubulum noctu mel & aquam bibat, & calida lauet. Si vteri ad caput vertant, istud erit indicio. Nasi venas & sub oculis dolere existimat. Hanc multa calida lauare oportet, & lauro & myrto in aqua decocto caput etiam lauare, & vnguento rosaceo illinere, ad suffitum odorata adhibeantur, & brassicam comedat, succúmque insuper sorbeat.

Si ad crura & pedes vertantur, inde cognosces, pedum pollices sub vnguibus conuelluntur, & crura ac femora dolor detinet. Cùm sic habuerit eam calida multa lauare oportet. Fomentum quod maximè suscipiet admouere, graueolentia ad suffitum adhibere, ac vnguento rosaceo illinere. Si mulierem ex vteri dolore cibi fastidium, febris & rigor prehendat, pepli albi quintam dimidiæ chœnicis partem, seminis vrticæ parem portionem, & casei optimi derasi chœnicis dimidium, hęc vino veteri simul emollita, deinde cocta, sorbenda dato. Si ex partu fluxus prehendat, cibique in ventre minimè maneant, vuæ passæ nigræ & mali punici dulcis interiora trita, & hœdi coagulum vino nigro macerato & vtitor, & caseo caprino deraso, triticiq; polenta torrefacta iniecta & probè temperata potui exhibeto. Si ex partu sanguinem vomitione reiiciat, hepatis fistula perforata est, dolor ad intestina & cor procedit, & conuellitur. Hanc calida copiosa lauare oportet, & ex tepefactoriis quod maxime suscipiet admouere, & lac asininũ ad dies quinque potui exhibere, post hæc verò lac vaccæ nigrę ieiunæ ad dies quadraginta propinare, sub vesperum autem sesamum tritum. Hic verò morbus cum periculo coniunctus est. Cùm mulier ex longo interuallo non cõceperit, mensesq; apparuerint, tertio vel quarto die alumen tenuiter tritum, vnguento subactum, lana exceptum subter apponito, & tribus diebus positum teneat. Tertio die fel bubulum derasum & linteo impositum, vbi ramentum oleo madefeceris ac subegeris, in subdititio apponito, & tribus diebus detineat, altero verò die virũ adeat. Linum scissum cum calamis fere pugillum tenuiter tusum, per noctem vino albo suauissimo maceratum, postea excolatum in ollula tepefacito, in eo lanam quàm mollissimam intingito, & partim subter apponito, partimq; detrahito. Si vteros purgare voles, primùm quidem ex hordeo oleo madefacto prunis imposito suffitum adhibere oportet. postero verò die carnem ouillam decoquere in hordei decocto per noctem sub dio expositam. Hordei decoctum congij mensuram esse oportet, valdeq; decoquere. Cùm decocta fuerint, exactè tepida edat, & iusculum insuper sorbeat. Postero verò die thus & pulegiũ læuiter tritum, melle subactum, vellere exceptum, triduo subter apponito. Quòd si ad sedem vergant, & alui excrementa secedere prohibeant, dolores lumbos, imũ ventrem, & ilia detinent. Cùm sic habuerit, eam calida lauare oportet, ad lumbos fomentum admouere, ex graueolentibus suffitum adhibere, quæ vteros purgent & pellãt in subdititio apponere, & quod maximè admiserit potui exhibere. Si os vlceratum aut inflammatione tentatum fuerit, myrrham, adipem anserinum, ceram albam, & thus, cum leporis pilis qui sub ventre sunt mixta & trita, in vellere mollissimo subdito. Si secũdæ deuolui nequeant, confestim quidem cibo abstinendum. Viticis autem folia tenuiter trita ex vino & melle, oleo affuso tepefacta, heminæ mensura potui exhibeto.

[212] Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τράπωσι, γνώσῃ ἐν τῷδε. τοὺς μεγάλους δακτύλους τῶν ποδῶν, σπᾶται ὑπὸ τοὺς ὄνυχας. καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν πολλῷ καὶ θερμῷ. [213] καὶ πυριῆν, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι. Ἢν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα, καὶ πυρετὸς αὐτὴν, καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς, ὅσον πεμπτημόριον ἡμιχοινικίου, [214] καὶ κνιδίου καρποῦ τὸ ἴσον, καὶ τυροῦ αἰγείου ὅσον ἡμιχοίνικα ξύσας, ὁμοῦ τε μαλθάξας ἐν οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥοφαίειν. [215] Ἢν ἐκ τόκου ῥοῦς λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψαντα, καὶ ἐρίφου πιτύην διεὶς οἴνῳ μέλανι, χρέο, τυρὸν ἐπιξύσας αἴγειον. καὶ ἄλφιτα πυρῶν πεφωσμένα ἐπιβάλλων, κεράσας εὔκρατον, δὸς πιεῖν. Ἢν αἷμα ἐμέῃ ἐκ τόκου, [216] τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτᾷ, καὶ τὴν καρδίην, καὶ σπᾶται. ταύτην χρὴ λούειν, πολλῷ καὶ θερμῷ. καὶ τῶν χλιασμάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, προστιθέναι. καὶ πιπίσκειν ὄνου γάλα, ἐπὶ ἡμέρας πέντε. μετὰ δὲ ταῦτα μεταπιπίσκειν βοὸς μελαίνης, [217] ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα. ἐς δὲ τὴν ἑσπέρην, σήσαμον τριπτὸν πιπίσκειν. ἡ δὲ νοῦσος ἐπικίνδυνος. Ἢν γυνὴ διὰ παλαιοῦ μὴ κυΐσκηται τῶν ἐπιμηνίων ἐμφαινομένων ὁκόταν ἢ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ εἰρίῳ ἀνασπογγίζων προσθέτω. καὶ ἐχέτω κείμενον ἡμέρας τρεῖς. τῇ δὲ τρίτῃ [218] ξύσας βοὸς χολὴν, καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα καὶ ἀναδεύσας προσθέτω. καὶ ἐχέτω ἡμέρας τρεῖς. [219] τῇ δὲ ἑτέρῃ ἀνδρὶ ξυνευδέτω. [220] Λίνου δὲ σχιστὸν ταύτης τῆς καλάμης ὅσον δραγμίδα κόψας λεπτὰ καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας χλιαίνων ἐν χυτριδίῳ, εἴριον ὡς μαλθακώτατον ἐμβάπτων τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν. Ἢν βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς ἐν ἐλαίῳ δεδευμένας, ἐπ᾽ ἀνθράκων. τῇ δὲ ὑστεραίῃ οἷος χρὴ κρέας ἑψεῖν, κριθιδίῳ ἐξαιθριασμένον. [221] τὸ δὲ κριθίον ἔστω, ὅσον χοέα. καὶ καθεψεῖν σφόδρα. ἐπειδὰν δὲ ἐφθὰ ᾖ, ἀκροχλίαρα κατεσθιέτω. καὶ τὸν ζωμὸν ἐπιρροφείτω. τῇ δὲ ὑστεραίῃ λιβανωτὸν καὶ γλήχωνα λεῖον ποιήσας ἀναδεύσας μέλιτι εἰρίῳ ἀνασπογγίζων, προσθέτω, ἐπὶ τρεῖς ἡμέρας. ἢν δὲ ἐς τὴν ἕδρην τράπωσι, καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύναι ἴσχουσι τήν τε ὀσφῦν, καὶ τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν, τῷ θερμῷ. καὶ πυριῆν τὴν ὀσφῦν. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ προστιθέναι ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. καὶ πιπίσκειν ὅ, τι ἂν μάλιστα προσδέχηται. [222] Ἢν ἑλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκόν. καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ, τῇσιν ὑπὸ τὴν γαστέρα μίξας, καὶ λεῖα ποιήσας ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω. Ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀπέχειν. ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας ἀναχλιήνας, δίδου πιεῖν, ὅσον κοτύλην.

[223] Ἢν

ἢν φλεγμαίνωσιν αἱ ὑστέραι, τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κρίμνοισιν ἑψήσας σητανίοις ἀκρόχλιαρον δίδου ῥοφέειν. ἢν μετακινηθῶσιν αἱ μῆτραι, κριθὸν ὡς ξηρότατον τρίψας, καὶ λειότατον δήσας ἐς ὀθόνιον [224] προσίσχειν λιπαρόν, καὶ προσφέρειν ἄλλο μηδέν. πίνειν δὲ διδόναι [225] πυροὺς τροκτωνίας. [226] καὶ μήκωνα ὀπτήν, καὶ ἐλελίσφακον, καὶ κύπειρον, καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ [227] καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν, [228] διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον. ἢν τὰ ἐπιμήνια μὴ γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα, καὶ πήγανον τρίψας λεῖα, ἔπειτα ἄχυρα ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας ὡς ἂν τέγγηται, ἐξαιθρίασον. ἕωθεν δὲ [229] ποιήσας ὅσον κοτύλην διεῖναι τὴν κράμβην, καὶ τὸ πήγανον, ἔλαιον αὖθις ἐπιχέας καὶ ἀναταράξας δοῦναι πιεῖν. ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐκπιεῖν. ἢν δὲ βούλῃ τῶν ἰχθύων ἑψῶν τῶν εὐωδεστάτων, διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφαίνειν. ἢν ἀφθήσῃ τὰ αἰδοῖα, [230] μύρτα ἑψήσας ἐν οἴνῳ, διακλυζέσθω αἰδοῖα. ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προστιθέναι. ἢν στραγγουρίη λάβῃ, [231] τῆς σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ἐπιθεὶς ἀνθρακιήν, περιθεὶς τὴν σικύην [232] τῆς σμύρνης ἐπὶ τὸ πῦρ ἐπιπάσας καὶ περικαθίσας ἐπὶ τὴν σικύην. καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης, ὡς ἐσωτάτω, ὅκως ἂν ἡ ἀτμὶς ὡς πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται. καὶ τῶν οὐρητικῶν ποτημάτων διδόναι νήστει. [233] ἢν δὲ ἐς τὴν καρδίαν προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφιστῶνται, πράσου καρπὸν τρίψας καὶ γλήχωνος διεὶς ὕδατος κυάθοις τρισί, καὶ ὄξεος λευκοῦ κυάθῳ, καὶ μέλιτος τρίτῳ μέρει κυάθου, χλιαίνων, νήστει δίδου ῥοφαίνειν. ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν [234] καὶ ἐλελισφάκου ὁμοῦ τρίψας, διεὶς ὄξεος λευκοῦ κύαθον. ἐπιχέας τε ἐπὶ οἴνου λευκοῦ κεκρημένου κύλικα, κατελίξας, ἔασον κεῖσθαι. ἕωθεν δὲ ἀπηθήσας, χλιεροὺς πιεῖν δίδου. [235] ἢν ἀνεμέωσιν αἱ μῆτραι. καὶ ἢν ἄνεμος ἐγγίνηται τῇ νηδύϊ, καὶ πόνος ᾖ, ἐλελίσφακον καὶ κύπειρον κόψας τέγξαι τὴν νύκτα, ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν εἰς χύτρην ἐγχέας, κρίμνα πύρινα ἐμβαλών, καὶ ὄξος λευκὸν ὅσον κύαθον, [236] ἐπιχέας ὀπὸν σιλφίου ὅσον κύαθον, ἐμβαλὼν καὶ ἑψήσας ὠμότερον δίδου ῥοφαίνειν. ἢν ἐν τοῖς αἰδοίοισι δυσοσμίη ᾖ, [237] καὶ κίων ἐγγίνηται, καὶ ὀδύνην ἔχῃ, τὴν μὲν ὀδύνην παύσει, σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει, τὴν δὲ δυσοσμίην, ἄννησον τὸν αὐτὸν τρόπον διδόμενον. τὸν δὲ κίονα χρὴ ἀποτάμνειν. ἢν ἕλκεα ἐγγίνηται ἐν τοῖσιν αἰδοίοισι, [238] καὶ κνησμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ, καὶ βάτου, καὶ ῥοιῆς γλυκείης τρίψας, ἐν οἴνῳ τε διεὶς παλαιῷ, [239] ἔπειτα λαβὼν σάρκα ποταινίην προσθεῖναι καὶ καταπλάσαι τοῖσι φύλλοισι, καὶ ἐχέτω τὴν νύκτα. ἕωθεν δὲ ἐξελομένη μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα, τῷ οἴνῳ διακλυζέσθω τὰ αἰδοῖα. [240] ἢν τὴν γονὴν μὴ δέχηται τῶν γυναικείων κατὰ φύσιν γινομένων, ἢ μῆνιγξ ἐπίπροσθεν τούτου γίνεται. γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ τόδε. ἢν ἐπαφάσσῃς τῷ δακτύλῳ, ἅψῃ τοῦ προβλήματος. ταῦτα χρὴ πρόσθεμα ποιήσαντα, ῥητίνην καὶ ἄνθος χαλκοῦ, μέλιτι διεὶς,

Si vteri inflammatione laborauerint, sambuci foliis quàm tenerrimis in tritici setanij farina crassiore decoctis, summè tepidum sorbendum dato. Si vteri transmoti fuerint, hordeum quàm siccissimum, tenuissimè tritum, linteo illigatum admoueto, & pingue aliud nihil adhibeto. Potui autem exhibeto triticum tenerum non tostum, peplum assatum, saluiam, cyperũ & anisum. Hæc tenuiter trita, vino macerata, cum hordei repurgamentis bis die exhibeto, vtraque vice dimidiæ heminæ mensura. Si menses præstituto tempore non eant, brassicæ folia & rutam tenuiter trita, deinde hordei paleas chœnicis mensura maceratas, quoad emollitæ fuerint, per noctem sub die exponito. Manè verò in heminæ mensura, brassicam & rutam macerato, oleo affuso & permixto potui exhibeto, deinde polypũ in vino albo suffocatum comedendum, & vinum ebibendum dato. Quòd si voles pisces odoratissimos coctos comedendos & ius sorbendum exhibeto. Si superficiariæ igne candentes vlcerationes in pudendis fuerint, myrti baccis in vino decoctis pudenda collue. Deinde malè punici dulcis putamina vino decocta, myrrha & resina simul ammixta, vino macerata, linteum imbutum subter apponito. Si stranguria inuaserit, cucurbitam ore & fundo dissecto, prunis subditis circumpositã, myrrha in ignem inspersa, & muliere super cucurbitã collocata, cucurbitæ summum in pudendum quàm penitissimè immittito, vt plurimus vapor ad pudenda deferatur, & potiones vrinam cientes ieiunæ exhibeto. Quòd si ad cor prorumpentes vteri strangulatum inferant, neq; decedant, porri & pulegij semen tribus aquæ cyathis maceratum, aceti albi cyatho addito, & mellis tertia cyathi parte, tepidum ieiunæ sorbendum dato. Si ex partu aut abortione rigor inuadat, iuniperi fructum & saluiã simul trita, aceti albi cyatho macerata, affuso vini albi temperati poculo, inuoluta, & residere permissa, mane verò colata & tepida bibenda dato. Si vteri flatu distẽti fuerint, & flatus in inferiore ventre gignatur, dolorq; fuerit, saluiam & cyperum tusa per noctem macerato, manè percolatum, purum in ollam diffusum, triticea farina crassiore iniecta, & aceti albi cyatho, laseris succo ad cyathi mẽsuram affuso, mixtum & crudius decoctum sorbendum dato. Si in pudendis grauis odor & columella innata fuerit, dolorq; detineat, dolorem quidem sedabit apij semen ex vino ieiunæ exhibitum, grauem autem odorem anisum eodem modo datum. At columellã præcidere oportet. Si vlcera in pudendis innascantur, & pruritus corripiat, oleæ, hederæ, rubi, & mali punici dulcis folia trita, vino veteri macerato, deinde carnem recentem foliis obductam in subditítio apponito, & per noctẽ teneat. Ea verò mane exempta, myrto in vino decocto pudenda colluat. Si genituram non recipiat, mensibus secundum naturã euntibus, membrana ori vteri prętenditur, quod etiam aliis ex causis contingit. Id autẽ cognosces, si digito ad attrectãdum immisso obicem attigeris. Hęc in medicamento subdititio apponẽda, resinam & ęris florẽ melle subigito,

& eo linteum cõspurcatum quàm penitissimè subdito, filo in summo alligato, quod cùm exilierit, myrto in vino decocta, eo tepido colluatur. Si mulierem anhelationes inuadunt, sulphuris fabæ quantitatem, nasturtium pari portione, rutam & cuminum Æthiopicum, hæc tenuiter trita, vino macerata, ieiunæ potui exhibeto. Cibis autem abstinendum, & non crebrò edendum. Si puerpera flatu distenta fuerit, ouillum aut caprinum iecur cinere obrutum edendum dato, meracius ad dies quatuor & vinum vetus bibat. Si lumbis doleat, anisum & cuminum Æthiopicum bibat, calida lauet, & à balneo bibat. Si menses non eũt, testam crassiorem vstam & tenuiter tritam, & origanum anseris pingui decoctum ac læuigatum, testæ in linteo commixtum, tepidum subter apponito. Si vteri conniueant, neque menses comparent, colocynthida agrestem, silphij semen, cuminum Æthiopicum, nitrum, salem Thebaicum, adipem renalem, farinam, myrrham, omnia feruefacta, simul mixta trita, in glãdem formata, subter apponito. Si vteri ad viscera versi strangularint, vinum cedrinum & cuminum Æthiopicum bibat, calida lauet, & à balneo bibat. Si menses non eunt, anseris adipem, netopum, resinam, simul mixta, vellere excepta mulier subter apponat. Si verò plus quàm conueniat prodeant, susinum & raiæ linguam in vellere subter apponat. Si commoti vteri aliquam in partem procumbant, hordeum decorticatum tritum cum paleis, in vinum coniectum, cum cornu ceruino vino subactum, vtero ad suffitum adhibeto. Si secundis liberari nequeat, fœniculum ex vino, & oleo, & melle feruefactum potui exhibeto. Si menses non compareant, eosque euellere voles, triticeam farinam crassius mollitam & hordeũ oleo affuso coquito, deinde comedendum dato. Si vteri inflammatione laborarint, vmbilici veneris folia & porrum cum triticea farina crassius molita, oleo affuso decocta, edenda dato. Si vteri moti aliquam in partem procubuerint, doloremque exhibuerint, oleæ scabiem, lauri & cupressi ramenta aqua decocta, linteo excepta, subter apponito. Si vterus doleat, dolorque ad vesicam pertingat, porri semen, ex aqua tritum, ieiunæ potui exhibeto, & tepefactoria admoueto. Si vteri promineant, eos aqua tepida lotos, oleo & vino illitos, rursus intromittito, ex lumbis religato, & graueolentium suffitum adhibeto. Quòd si vrinam reddere nequeat, post calidæ balneum & fotum, cupressi ramenta ad suffitum admoueto, & potiones vrinam ducentes potui exhibeto. Si fluor muliebris contingat, suffitu ex acerbis adhibito, stercus asininum derasum, in vellere ligatum supter apponito. Sit autem stercus asininum siccum. Si in pudendis vlcera exorta sint, adipem bubulum illinito & apponito, & myrto ex vino decocta colluito. Si ex partu os exulceratum fuerit, rosarum florem tenuiter tritum, vino maceratum, ex leporinis pilis subter apponito, & acerbis colluito. Si vterorum dolor detineat, allij caput integrum, nitrum tostum, cuminum,

ὀθόνιον ἀποδαλώσας προσθεῖναι ὡς ἐσωτάτω ῥάμμα ἐνδήσας ἀπὸ τοῦ ἄκρου. [241] Ὁκόταν δὲ ἐξάλληται τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιαρῷ κλυζέσθω. Ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον, καὶ καρδάμου τὸ ἴσον, καὶ πήγανον, καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα, καὶ διεὶς ἐν οἴνῳ πίνειν διδόναι νῆστιν. δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι, καὶ μὴ πυκνὰ ἐσθίειν. Ἢν ἡ τίκτουσα ἐξανεμωθῇ, ἥπαρ οἰὸς ἢ αἰγὸς ἐς τέφρην ἐγκρύψας, διδόναι ἐσθίειν. [242] ζωρότερον ἐπὶ τέσσαρας ἡμέρας. καὶ οἶνον πινέτω παλαιόν. Ἢν τὰς ἰξύας ἀλγέῃ, ἄνησον, καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. καὶ [243] ἀπόθερμον πινέτω. [244] Ἢν τὰ ἐπιμήνια γίνηται, ὄστρακον παχὺ κατακαύσας, καὶ λεῖον τρίψας, καὶ ὀρίγανον ἑψήσας ἐν χηνὸς ἐλαίῳ λεῖον ποιῆσαι. καὶ ξυμμίξας τῷ ὀστράκῳ ἐν ὀθονίῳ, χλιαρὸν προστιθέσθω. ἢν ξυμμύσωσιν αἱ μῆτραι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυνθίδα ἀγρίην καὶ [245] φύλλον, κύμινον αἰθιοπικὸν, νίτρον, ἅλας θηβαϊκὸν, [246] καὶ νέφριον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην. ἀποζέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιῶν βάλανον, προστιθέσθω. ἢν πρὸς τὰ σπλάγχνα στραφεῖσαι πνίγωσιν, οἶνον κέδρινον, καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. [247] καὶ ἀπόθερμον πινέτω. [248] ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον, καὶ νέτωπον, καὶ ῥητίνην ξυμμίσγουσα ἡ γυνὴ, προστιθέσθω, εἰρίῳ ἀναπλάσσουσα. ἢν δὲ μᾶλλον τοῦ προσήκοντος ἔρχωνται, σούσινον καὶ βάτου γλῶσσαν ἐν εἰρίῳ προστιθέσθω. Ἢν μετακινηθεῖσαι προσπέσωσί που αἱ ὑστέραι, κριθὰς ποιήσας λείας ξὺν τοῖς ἀχύροις [249] προσέσβαλλε. καὶ ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν τὰς ὑστέρας. [250] ἢν μὴ δύνηται ἀποφυγεῖν, μάραθρον ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ μέλιτι ἀναζέσαντα διδόναι πιεῖν. ἢν τὰ ἐπιμήνια μὴ φαίνηται καὶ βούλῃ αὐτὰ κατασπάσαι, πυρῶν κρίμνα καὶ κριθὰς ἑψεῖν, ἔλαιον ἐπιχέαντα. εἶτα διδόναι ἐσθίειν. ἢν φλεγμαίνωσιν αἱ μῆτραι, [251] κοτυληδόνος φύλλα καὶ πράσα κρίμνοις ἑνεψῶν πυρίνοις, ἔλαιον ἐπιχέων, διδοὺς ἐσθίειν. ἢν κινηθεῖσαι που προσπέσωσι, καὶ ὀδύνην παρέχωσιν, [252] ἐλαίης ψώρην καὶ δάφνης, καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι ἐς ὀθόνιον ἐμβαλὼν, προστιθεῖ. [253] ἢν ὑστέρα ἀλγέῃ, καὶ πρὸς τὴν κύστιν ἡ ὀδύνη, πράσου καρπὸν τρίψας ἐν ὕδατι, πιεῖν διδόναι νήστει, καὶ χλιάσματα προστιθέναι. [254] ἢν αἱ μῆτραι προσέχωσι, περινίψας αὐτὰς ἐν ὕδατι χλιαρῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι. καὶ ἀναδῆσαι ἐκ τῶν ἰξύων. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ ἢν μὴ δύνηται οὐρέειν, λούσας θερμῷ καὶ πυριήσας. ὑποθυμιῆν τὰς κυπαρίσσου πρίσματα, καὶ τῶν οὐρητικῶν πομάτων διδόναι πίνειν. ἢν ῥόος γίνηται, ὑποθυμιῆν τοῖς στρυφνοῖσιν, ὀνίδα περιξέσας, ἐνδήσας εἰρίῳ προστιθέναι. ἡ δὲ ὀνὶς ἔστω ξηρή. ἢν ἐν τοῖσιν αἰδοίοισιν ἕλκεα γίνηται, βόειον στέαρ ἐπαλείφειν καὶ προστιθέναι. καὶ τῆς μυρσίνης ἐν οἴνῳ ἀφεψῶν, διακλύσαι. ἢν ἐκ τόκου τὸ στόμα ἑλκωθῇ, ῥόδων ἄνθος τρίψας λεῖον, οἴνῳ δεύσας ἐν λαγωοῖσι θριξὶ προστιθέναι καὶ διακλύζεσθαι τοῖσι στρυφνοῖσι. [255] ἢν τὰς ὑστέρας ἀλγέῃ, σκορόδων μώλυζαν, καὶ νίτρον ὀπτόν. καὶ κύμινον λεῖα ποιή-

λεῖα ποιήσας, μέλιτι δεύων, προστιθέσθω· καὶ τῷ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, στέαρ βοὸς, καὶ βούτυρον, καὶ χηνὸς ἔλαιον, καὶ σούσινον μίξας, διαχρίειν τὰ αἰδοῖα τουτέοισι. καὶ διακλυζέσθω χλιαρῷ ὕδατι. Ἢν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον χλιήνας, ἀποσβέσας, ὑπίσχειν ὑπὸ τὴν ῥῖνα, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ. ἔπειτα σμύρναν διεὶς μύρῳ,[256] εἰρίῳ ἀναδεύσας προστιθέσθω. καὶ πίνειν δίδου ῥητίνην ἐλαίῳ διέντα. Ἢν δὲ χόριον μὴ ὑποχωρέῃ, σμύρναν τρίψας ἐν εἰρίῳ ποιήσας πρόσθεμα προστιθέναι.[257] καὶ τὴν ἴγνυν οἴνῳ διατρίψας δοῦναι πίνειν. Ἢν τὴν κεφαλὴν ἀλγέῃ, καὶ τὴν νειαιρὴν γαστέρα, καὶ τὰς ἰξύας, χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. ταύτῃ γοῦν χρὴ δοῦναι φάρμακον, ὃ καθαίρειν ἄνω τε καὶ κάτω δύναται. καὶ λούειν θερμῷ. καὶ προστιθέναι, ὅσα χολὴν καθαίρει. καὶ ἄνισον. καὶ μελάνθιον διεὶς οἴνῳ, δίδου πίνειν. Ἢν ῥόος ἐγγίνηται. καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, τὸν οἶνον διδόναι πίνειν, καὶ ὑποθυμιῆν ὅσα ξηραίνει καὶ προστιθέναι. Ἢν ῥοῦς ἐγγίνηται, τῶν πράσων ὅσον δεσμίδα τρίψας ἐν οἴνῳ δίδου πίνειν. καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρήσθω. Ἢν ῥοῦς ἐγγίνηται,[258] ἡμιονίδα κατακαύσας, καὶ κόψας λείην, διασήσας τε, διεὶς οἴνῳ, πιπισκέτω. τοῖσι δὲ ἄλλοισι τὸν αὐτὸν τρόπον χρήσθω. Ἢν ῥοῦς ἐγγίνηται, καὶ πολυχρόνιος ἤδη ᾖ,[259] σπόγγον κατακαύσας καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει, πίσον. καὶ ὑποθυμιήσας, ξήραινε καὶ προστίθει ὅ,τι ἂν ἀποστύφῃ. Ἢν καθῆραι τὰς ὑστέρας βούλῃ, νίτρον, κύμινον, σκόροδον. καὶ σῦκα λεῖα ποιήσας, μέλιτι δεύσας προστιθέσθω. καὶ θερμῷ λουέσθω.[260] καὶ ὑπόθερμον πινέτω. Ἢν ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν. καὶ θερμῷ λουέσθω. καὶ ὑπόθερμον πινέτω. Ἢν γάλα ἀποσβεσθῇ, τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεράπευε. πιπίσκειν δὲ δίδου, τὸν καρπὸν τοῦ μαράθρου.[261] καὶ τὰς ῥίζας ἐπτισμένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ. ὁκόταν δὲ ἑφθὰ ᾖ, ψύξας δὸς πίνειν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον, καὶ τὸ ἱπποσέλινον συνεψόμενα.[262] Ἢν γάλα ἀποσβεσθῇ, πράσα τρίψας διεὶς ὕδατι, δοῦναι πίνειν. καὶ θερμῷ λουέσθω. καὶ τῶν πράσων καὶ τῶν κραμβῶν ἐσθιέτω συνεψοῦσα τοῦ κυτίσου τὰ φύλλα, καὶ τὸν χυλὸν ῥοφείτω. Ἢν γάλα ἀποσβεσθῇ πράσα τρίψας, διεὶς ὕδατι δοῦναι πίνειν. καὶ θερμῷ λουέσθω. τὸν ἐλελίσφακον ἕψουσα. καὶ τῶν κεδρίνων ἢ τῶν ἀρκευθίδων παρεμβάλλουσα, ἀποχέουσα τὸν χυμὸν, καὶ οἶνον ἐπιχέουσα, πινέτω ἐς τὰ λοιπὰ ἄλευρον ἐμβάλλουσα. καὶ βολβόν. καὶ ἐλαίου μικρὸν ἐπιχέουσα, ἐσθιέτω. καὶ τῶν δριμέων, καὶ τῶν ὀξέων, καὶ ἁλμυρῶν, καὶ ὠμῶν λαχάνων, πάντων ἀπεχέσθω. τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν. καὶ γὰρ τὸ γάλα καθαίρει. καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. Ἢν βούλῃ γυναῖκα κυῆσαι, καθήρας αὐτὴν, καὶ τὰς μήτρας. ἔπειτα[263] δίδου τὸ ἄνηθον ἐσθίειν νῆστιν. καὶ οἶνον ἐπιπίνειν ἄκρητον. καὶ προστιθέναι νίτρον ἐρυθρόν. κύμινον καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ, πρόσθες. καὶ ὁκόταν τὸ ὕδωρ ἀπορρυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον,[264] καὶ τῷ ἀνδρὶ ξυνευνέτω. Ἢν βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, καθήρας αὐτὴν, καὶ τὰς μήτρας, προστιθέναι τῇσι μήτρῃσι ῥάκος, καταξηράνας ὡς λεπτότατον. καὶ μέλιτι δεύσας, καὶ βαλάνους ποιήσας, ἀποβάπτων ἐς ὀπὸν συκῆς,

hæc læuiter trita, melle subacta, subter apponito, calida lauet, & subcalidum bibat. Si pudenda superficiario vlcere laborẽt, adipem bubulum, butyrum, anserinum adipem, & susinum permisceto, his pudenda inungito, & aqua tepida colluito. Si sursum prorumpentes vteri suffocent, funiculum lucernarium accẽsum extinctum ad nares admoueto, quò fumum attrahat, & myrrham vnguento subactam, vellere exceptam subter apponito, & resinam oleo dilutam bibendam dato. Si secundę non secedant, myrrham tritam in vellere ad subdititium exceptam subter apponito. & in pila ex vino tritam potui exhibeto. Si caput, venter imus & lumbi doleant, bilis vteros infestat. Huic igitur medicamẽtum quod sursum & deorsum purgare potest exhibere oportet calida lauare, & quę bilem purgent in subdititio apponere. Anisum & melãthium vino maceratum bibẽdum præbeto. Si fluor muliebris obortus fuerit, cancris fluuialibus ex vino suffocatis, vinum potui exhibeto, quæq; siccãt ad suffitum & subdititium apponito. Ad idem. Porri pugillum ex vino tritum bibendum dato, siccis & acerbis vtatur. Ad idem. Muli stercus vstum, tenuiter tusum & cribratum, ex vino maceratum bibat, reliquis quoque ad eũdem modum vtatur. Si fluor muliebris obortus iam diu tenuerit, spongiam vstam, tenuiter tritam, vino odoro maceratam propinato, & suffitu adhibito resiccato, quodq; restringat in subdititio apponito. Si vteros purgare voles, nitrum, cuminum, alliũ, ficus, hæc tenuiter trita, melle subacta subter apponito, calida lauet, & à balneo bibat. Si vteri dolor vexet, cyclamini radicẽ ex vino albo ieiunæ propinato, calida lauet, & à balneo bibat. Si lac extinctum fuerit, cętera quidem eodem modo curato, potui autẽ exhibeto fœniculi semen, & radices decorticatas, simulq; butyrum decoquito, cùm verò decocta fuerint, refrigerata potui exhibeto. Optimũ aũt hippomarathrum & hipposelinum simul cocta. Ad idem valet porrum tritum aqua maceratum, potui exhibitum, calida lauet, porrum & brassicam, & simul decocta cytisi folia edat, succumq; sorbeat. Ad idem, porrũ tritum aqua maceratum bibendum dato, calida lauet, saluia decocta, & iniectis cedri & iuniperi baccis, succo diffuso, vinum affundat, bibat, ad reliqua iniectam farinam & bulbum, pauco oleo affuso edat, acribus, acidis, salsis, & omnibus oleribus crudis abstineat. Nasturtium ex vino potum prodest, lac enim purgat, calida lauet, & à balneo bibat. Si voles vt mulier concipiat, ipsam & vteros purgato, deinde anethum ieiunæ comedẽdum dato, vinumq; merum superbibendum, & nitrum rubrum, cuminum, resinam, melle subacta in linteo subter apponito, cumque aqua defluxerit, pessos nigros qui emolliant in subdititio apponito, & cum viro dormiat. Si velis vt mulier concipiat, vbi ipsam vterosque purgaueris, linteum detritum quàm tenuissimum resiccatum in pesso adhibeto, & melle subactum in glandulas efformatum, fici succo imbutum,

quoad os apertum fuerit subter apponito, deinde magis intrò pellito. Vbi autem aqua defluxerit, & vino & oleo colluta fuerit, cum viro dormiat, cumq; dormire volet, pulegiũ ex vino cedrino bibat. Medicamẽtum fœtum ex vteris eiiciens. Cucumeris agrestis succum potionis quantitate in mazam efformatũ in subdititio apponat, cùm antea per duos dies ieiunauerit. Vuę taminiæ agrestis pugillos duos aqua mulsa maceratos potui exhibeto. Medicamẽtum quo fœcunditatẽ explores. Allium caput vnicum habens decoctũ ad vteros subter apponito, postero verò die immisso ad cõtrectandum digito consideret, & si quidem os deprehendat, benè se res habet, sin minus, rursus subter apponat. Aliud ad explorãdam fœcũditatem. Netopum paruâ quantitate vellere inuolutum subter apponito, & videto quemnam odorẽ os redoleat. Medicamẽta in subdititio apposita. Scorpij marini fel in vellere cõuolutũ, & in vmbra siccatũ subdito. Pulegium siccum tenuiter tritum, melle subactũ, in vellere subdito. Cucumeris semen & testam vstam, vino subactam, cum pilis leporinis, in vellere subdito. Alumen Ægyptium lana inuolutũ subdito. Cantharidas vino maceratas in vellere subdito. Artemisiã herbã vino maceratam subter apponito. Melanthium ex vino albo tritum, in vellere apponito. Recens enixę, vnguentũ rosaceum & ceram, in vellere subter apponito. Bulbulum in segetibus nascentem, tritum, vino subactum, in vellere apponito. Vini albi veteris fęcem vstam, vino albo restinctã & tritam, in vellere apponito. Galbanum, netopũ, misy, vnguẽto rosaceo excepta, in linteo subter apponito. Elaterium ferè duarũ potionum quãtitate, & fauum vino subactũ, in linteo subdito. Butyrum & alumen, melle subacta, in linteo supponito. Scammoniæ succum & adipem cum maza permixtum, vino subactum, in linteo subter apponito. Si mulier concipere nolit, misyos fabæ quantitatem aqua maceratam potui exhibeto, & per annum non concipiet. Si periculum facere velis in muliere, prægnans sit nécne, terra erythræa aut rubrica oculos illine, siq; medicamentum intrò subierit, prægnãs est, sin minus, minimè. Si puerperæ pudenda vlcere superficiario laborarint, amygdalis tenuiter tritis, & medulla bouis aqua decocta, modica farina iniecta pudenda illine, & aqua in qua myrti baccæ decoctæ fuerint collue. Si virgo calculo laborarit, radicis Æthiopicæ folium ex vino vetere drachmæ põdere decem diebus exhibeto, deinde ex aqua percolatum diebus viginti, bisq; die multa calida lauet. Cataplasmata. Allium, portulacã, apium, loti & cedri ramẽta, trita simul mixta, aqua mulsa macerata, ex cataplasmate imponito. Rubi folia, myrti folia simul trita, aqua mulsa macerata, cum polenta subacta, in cataplasmate admoueto. Sambuci folia, myrti folia, terebinthi tenerrima germina, ad eundem modum ex cataplasmate imponito. Loti ramenta, mori folia trita, simul mixta, vuæ passæ aqua macerata, ex cataplasmate imponito. Suffitus. Ouis aut capræ pingue siccum ac tusum, & hordeum tostum ac confractum, oleo subactum, ad suffitum adhibeto. Cerui cornu & oliuas oleum nondum habentes, trita simul mixta, ad suffitũ adhibeto. Rhoẽn rubrum

[265] προστιθέναι, μέχρις ἂν στομωθῇ. ἔπειτα δὲ μᾶλλον εἰσωθεῖν. ἐπειδὰν δὲ ἀπορρυῇ τὸ ὕδωρ, διανιζομένη οἴνῳ καὶ ἐλαίῳ, συνευδέτω τῷ ἀνδρί. πινέτω δὲ, καὶ ὁπότην μέλλῃ καθεύδειν, βλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ. Ἐκβόλιον ἐμβρύου [266] καὶ μητρέων. Σικύου ἀγρίου τὸν ὀπὸν, ὅσον πόσιν [267] ἐς μάζαν ἐμπάσσουσαν προσθεῖναι, προνηστεύσασα ἐπὶ δύο ἡμέρας. Σταφίδος ἀγρίης ὅσον δύο δραχμίδας διεὶς ἐν μελικρήτῳ, δοῦναι πιεῖν. Πειρητήριον. Μώλυζαν σκορόδου [268] ἀποξέσας, προσθεῖναι πρὸς τὰς μήτρας. τῇ δ' ὑστεραίῃ, τὸν δάκτυλον διεῖσα καὶ ἐσαφάσσουσα, σκοπείτω. [269] καὶ ἢν μὲν ὀρθὸν τὸ στόμα, εὖ ἔχει. εἰ δ' οὐ, πάλιν προστιθέσθω. Ἕτερον πειρητήριον. Νέτωπον ὀλίγον ἐν εἰρίῳ εἱλίξας, προσθεῖναι. καὶ ὁρῆν ὅθεν ἂν τοῦ στόματος ὄζῃ. Προσθετά. Σκορπίου θαλασσίου τὴν χολὴν ἐς εἴριον ἐνελίξας καὶ ξηρήνας, ἐν σκιᾷ προστίθει. Γλήχωνα ξηρὴν λείην ποιήσας μέλιτι δεύσας, προστιθέναι ἐν εἰρίῳ. [270] Σικύου σπέρμα καὶ ὄστρακον κατακαύσας, οἴνῳ τε δεύσας, ἐν λαγωῆσι θριξὶν, ἐν εἰρίῳ προστιθέναι. Στυπτηρίην αἰγυπτίην εἰρίῳ κατελίξας, προστίθει. [271] Κανθαρίδας οἴνῳ δεύσας ἐν εἰρίῳ προστίθει. Τὴν ἀρτεμισίην ποίην, οἴνῳ δεύσας προστίθει. Μελάνθιον τρίψας [272] ἐν οἴνῳ λευκῷ, εἰρίῳ προστίθει. Νεοτόκῳ. [273] Ῥόδινον μύρον καὶ κηρὸν, ἐν εἰρίῳ προστίθει. [274] Βόλβιτον τὸ ἐκ τῶν πυρῶν τρίψας ἐν οἴνῳ δεύσας, ἐν εἰρίῳ προστίθει. Οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα κατακαύσας [275] καὶ καταδεύσας ἐν οἴνῳ λευκῷ, καὶ τρίψας, ἐν εἰρίῳ προστίθει. Χαλβάνην, καὶ νέτωπον καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ προστίθει. Ἐλατήριον ὡς δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ, ἐν ὀθονίῳ προστίθει. Βούτυρον καὶ στυπτηρίην, μέλιτι δεύσας, ἐν ὀθονίῳ προστίθει. Ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ, συναναμίξας οἴνῳ, δεύσας, ἐν ὀθονίῳ προστίθει. Ἢν μὴ θέλῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι δίδου πίνειν καὶ ἐνιαυτὸν [276] οὐ κυΐσκεται. [277] Ἢν βούλῃ γυναικὸς ἐμπειρηθῆναι εἰ ἔστι παιδίουσα εἴτε καὶ μὴ, τῇ ἐρυθρᾷ λίθῳ, τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι. καὶ ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, παιδίουσα γί[γνεται]. ἢν δὲ μὴ, οὔ. [278] Ἢν παιδίου ἀφθᾷ τὰ αἰδοῖα, ἀμύγδαλα λεῖα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψῶν, καὶ ἄλητον ἐμβαλὼν μικρὸν, διαχρίειν τὰ αἰδοῖα. καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. [279] Ἢν παρθένος λιθιήσῃ, τοῦ φύλλου διδόναι τῆς αἰθιοπικῆς ῥίζης ἐν σταθμῷ, ἐν οἴνῳ παλαιῷ, διδοὺς ἐπὶ ἡμέρας δέκα, τὸ δὲ λοιπὸν διηθῶν ἐν ὕδατι ἐπὶ εἴκοσιν ἡμέραις. καὶ λούειν δὶς τῆς ἡμέρης, πολλῷ καὶ θερμῷ. Καταπλάσματα. [280] Σκόροδον, ἀνδράχνην, σέλινον, λωτοῦ καὶ κέδρου πρίσματα. λεῖα ὁμοῦ μίξας, διεὶς μελικρήτῳ, κατάπλασμα ποιέων, κατάπλασσε. Βάτου φύλλα, μυρσίνης φύλλα, [281] ὁμοῦ λεῖα διεὶς, μελικρήτῳ ξυμφυρήσας ἀλφίτοις κατάπλασσε. ἀκτῆς φύλλα. μυρσίνης φύλλα. τερμίνθου ἀπαλώτατα, τὸν αὐτὸν τρόπον κατάπλασσε. Λωτοῦ πρίσματα. συκαμίνου φύλλα ὁμοῦ λεῖα μίξας, διεὶς ὕδατι ἀσταφίδος κατάπλασσε. Ὑποθυμιήσεις. [282] Οἰὸς στέαρ ἢ αἰγὸς ξηρὸν κόψας, καὶ κριθὰς πεφωσμένας, καὶ ἐρηριγμένας ἐν ἐλαίῳ δεύσας, ὑποθυμία. Ἐλάφου κέρας, [283] καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας, θυμία. Ῥοῦν τὸν ἐρυθρὸν,

καὶ ἀσταφίδα

καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας ὑποθυμία. ἄλφιτον καὶ βόλβιτον[284] καὶ ἄχυρα, ἐλαίῳ δεύσας, ὑποθυμία. Λωτοῦ πρίσματα, καὶ ῥοῦ φύλλα, καὶ κυπαρίσσου ξηρῆς πρίσματα, οἴνῳ μέλανι δεύσας αὐστηρῷ ὑποθυμιῆν. Χαλβάνην. μάνναν. ῥητίνην[285] μύρῳ δεύσας ὑποθυμιῆν. αἰγὸς κέρας, καὶ κηκῖδα. καὶ[286] στέαρ ὑὸς καὶ κεδρίαν, ὑποθυμία. Ὄνων τὴν ἐπὶ τῷ ποδὶ γῆν ξύσας, καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας, ὑποθυμιῆν.[287] Κλυσμοί. Μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι χλιαρῷ κλύζειν. Ῥοῦ φύλλα,[288] καὶ ῥοιῆς, καὶ βάτου, ἐν μελικρήτῳ ἀφεψῶν, ἀποχέων κλύζειν. Τῆς ἀκτῆς τὰ φύλλα[289] καὶ τῆς σχίνου ἀφεψῶν ὕδατι ἀποχέας, ἀκροχλιαρῶς κλύζειν. Μαράθου ῥίζαν κόψας, ἐν ὕδατι ἀφεψῶν, καὶ κράμβης ἐπιχέας ἔλαιον. ἔπειτα ἀποχέας κλύζειν. Οἰνάνθην καὶ κύπειρον, καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν.[290] Μαλάγματι ἐν ὕδατι ζέσας ἀποχέας τὸ ὕδωρ, ἀκροχλιαρὸν κλύζειν. Κυπαρίσσου πρίσματα[291] καὶ ἀμάρακον ἐν γλυκεῖ κεκρημένῳ ὕδατι ἀφεψῶν κλύζειν. Ἕρπυλλον καὶ λευκοίου τὴν ῥίζαν ἀφεψῶν ἐν μελικρήτῳ κλύζειν. Ὑπερικὸν καὶ σχῖνον. καὶ κεδρίδας ἐν ὕδατι ἀφεψῶν, ἀκροχλιαρὸν κλύζειν. Κηρίον, καὶ βούτυρον, καὶ ῥητίνην, καὶ χηνὸς ἔλαιον, ἐν ὕδατι ἀφεψῶν, κλύζειν.[292] Πυριήσιες. αἴρας φώξας καὶ καταλέσας, ἕψε ἐν ὀξυκράτῳ ἀκρατεστέρῳ. ὁκόταν δ' ἑψήσῃς ἐνδήσας εἰς ὀθόνιον, πυριῆν. Φακοὺς φώξας[293] καὶ περιπτίσας, καὶ ποιήσας ἄλευρα χονδρώδη, ὕδατι ἀφεψήσας ἐνδήσας εἰς ὀθόνιον προσθεῖναι. Ὀρόβους τὸν αὐτὸν τρόπον ποιέων, πυριῆν. ἀγαθὸν δὲ καὶ ὁ ἐλελίσφακος τὸν αὐτὸν τρόπον γινόμενος. Ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν τῷ ἀφεψήματι ἄχυρα κριθῶν ἑψήσας ἐς ὀθόνιον, πυρία. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον, πυρία. Ἐλαίης φύλλα, καὶ μυρσίνης καὶ κισσοῦ, καὶ δάφνης ἕψων ἐν ὕδατι ἀποχέας τὸ ἀφέψημα ἕψε ἐν αὐτέῳ ἄχυρα κριθῶν. ἔπειτα ἐνδήσας ἐς ὀθόνιον πυρία. Κυπαρίσσου πρίσματα, καὶ κέδρου, καὶ πίτυρα κριθῶν, ὁμοῦ μίξας ἐν ἀποβρέγματι ἀσταφίδος, φυρήσας καὶ ποιήσας ἄρτον, ὀπτήσας θερμὸν[294] ἐς ῥάκος ἐνδήσας, πυρία. λευκοίου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι, καὶ τῷ ὕδατι φυρήσας[295] πίτυρα πυρῶν ἄρτον ποιήσας θερμὸν, ἐς ῥάκος ἐνελίξας, πυρία. Τὸν ἕρπυλλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πυρίνα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρία. Σπόγγους θερμοὺς προστιθείς. καὶ εἰρίοισι μαλθακοῖσι, καὶ ῥάκεσι ἐρίοισιν, καὶ ὀστρακίοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων, καὶ θυλακίοισι τὸν αὐτὸν τρόπον, καὶ τὸ ἀφέψημα ἐγχέων, πυριῆν. καθαρτήριον.[296] ἢν γυναῖκα μὴ δυναμένην τίκτειν, κυῆσαι θέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσιν καταμηνίοισιν, ἤν τε χολώδης, ἤν δὲ φλεγματώδης ᾖ.

&polentam tostam oleo subactam suffito. Polentam, stercus bubulum, & hordei paleas, hæc oleo subacta, suffitu adhibeto. Loti ramenta, rhois folia, & cupressi siccæ ramenta, vino nigro austero macerata, ad suffitum adhibeto. Galbanum, mannam, resinam, hæc vnguento subacta suffito. Capræ cornu, gallam, suillum adipem, & cedriam suffito. Terram à pedibus asinorum derasam, & stercus asininum, vino nigro macerata suffito. Collutiones. Myrti folia, lauri & hederæ in aqua decoquito, tepido colluito. Rhois, mali punici & rubi folia in aqua mulsa decoquito, collata colluito. Sambuci & lentisci foliis aqua decoctis & percolatis, summè tepido colluito. Fœniculi & brassicæ radice tusa, in aqua decocta, affuso oleo, deinde excolata colluito. OEnāthen, cyperum, & vuas passas in aqua mulsa vbi decoxeris, colluito. Emolliente aliquo in aqua decocto, diffusa aqua, summè tepido colluito. Cupressi ramenta, & amaracum passo aqua temperato vbi decoxeris, colluito. Serpillum & violæ albæ radicem, cùm in aqua mulsa decoxeris, colluito. Hypericum, lentiscum, cedri baccas aqua decoquito, summè tepido colluito. Fauum, butyrum, resinam & anseris adipem aqua vbi decoxeris, colluito. Fotus. Lolium tostū & mollitum in passo meraciore decoquito, decoctum in linteo ligatū fotui adhibeto. Lentem tostam detracto cortice, in farinam crassiorem redactam & in grumos collectam, aqua decoctam, in linteo ligatam apponito. Orobum eodem modo apparatum in fotu admoueto, valet etiam saluia ad eūdem modum apparata. Saluiam & hypericum in aqua decoquito, & hordei paleas in decocto coctas, in linteo ad fomentum adhibeto. Loti & cupressi ramenta, vuę passæ diluto decocta, ex linteo ligata fotui adhibeto. Oleæ, myrti, hederæ & lauri folia, aqua decocta, & in ipso diluto collato hordei paleas decoctas, deinde in linteo ligatas fotui adhibeto. Cupressi & cedri ramēta, ac hordei furfures, simul mixta, & vuæ passæ diluto subacta, in pastillum efformato, hunc assatum, calidum, in linteo ligatum, ad fotum admoueto. Violæ albæ semen & radices aqua decoctas, ex qua tritici furfures subactos in pastillum redigito, calidum linteo inuolutum ad fotum adhibeto. Serpillum in aqua decoctum, furfuribus triticeis in dilutum iniectis, eodem modo fotui admoueto. Spongiis calidis admotis, lanis mollibus, pannis laneis, & vasis testaceis aqua infusa, vtriculisque ad eundem modum diluto infuso ad fotum vtitor. Medicamentum purgans. Si mulierem parere nequeuntem conceptui aptam reddere voles, ad menses animum intendere oportet, biliosane an pituitosa existat. Hoc sic prius cognoueris. Arenam tenuem & siccam soli exponito, cùm menses iam fluant, in sole sanguinem effusum siccari sinito. Ac si biliosa fuerit, in arena siccat⁹ sanguis, pallidus redditur; sin pituitosa, velut mucus. Vtrum igitur horū contingat, vētrem, siue per superiora, siue per inferiora purgatione indigere tibi visum fuerit, purgato, deinde paucis interiectis diebus, vteros. Vteri fotus. Si duri fuerint vteri, neq; cōcipiat,

γνώσῃ δὲ τόδε ὁποτέρη. ψάμμον ἐμβαλὼν εἰς τὸν ἥλιον λεπτὴν, ξηρὴν, ὁκόταν τὰ καταμήνια ἴῃ, ἐν τῷ ἡλίῳ ἀποχέας τοῦ αἵματος, ἔα ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα, χλωρὸν γίνηται. ἢν δὲ φλεγματώδης, οἷον μύξα. τουτέων οὖν ὁκότερον ἂν ᾖ καθήρας τὴν κοιλίην, ἤν τε ἄνω, ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι, εἶτα διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν. Ὑστερέων πυρίαι. Ἢν σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ μὴ κυΐσκηται,

vini quàm suauissimi pari aqua temperati, tria semicongia Attica, radicum feniculi & seminis quartam partem, vnguentiq; rosacei dimidiam heminam. Hęc in ollam magnam nouam vino affuso fundens, ollæ operculum perforato, & arũdine imposita fotũ adhibeto, arũdinem cum operculo tollito. Nisi enim cum operculo abstuleris, exuretur. Post adhibitum fotum, scillam veluti infra scriptum est, subter apponito, tandiuq; apponito, quoad os vteri molle & latum esse dicat. Quòd si exulceratum fuerit, & pustulæ in purgatione exortæ fuerint, si quidem summa labra exulcerentur, anisum & adipem anserinum cum oleo rosaceo tritum, lana inuolutum. carnis bubulæ frustulum pedis pollice crassius, & longitudinis sex digitorum, medicamento illitum, lana conuolutum, & medicamento lana excepto, eius extremo quod foras spectare debet, filo alligato, quod carnis est reliquum in vteros qua parte vlcus est immittito. Menses purgãtia. Si purgatio non decurrat, cucumeris agrestis interiorem partem trium obolorum pondere, artemisię herbæ, thuris obolum tritum, molle ammixto lana inuolutum, ad os vteri per diem quinquies apponito. Vitis pampinum viridem ex melle tritum, lana inuolutum ad eũdem modũ subter apponito. Cupressi fructum, cucumeris agrestis interiorem partem, & thus ex eodem melle tritum, lana conuolutum, ad eundem modum subter apponito. Cupressi fructum & thus ex eodem melle tritum, lana conuolutum, subter apponito. Abrotanum trium obolorũ pondere ex melle tritum, lana conuolutum subdito. Elaterij obolum, & myrrhæ tantundem ex melle tritum, lana inuolutum subdito. Medicamentũ purgans vbi mulier non concipit. Tauri vrinam ad tres heminas collectam sumito, deinde artemisiam herbam, aut parthenium, aut adiantum, & laurum viridem, & cedri ramenta, tenuiter contusa omnia simul misceto. Deinde in effossa scrobe, & accẽsis carbonibus olla imposita, vrinam tauri infundito, immissis iis quæ in pila sunt contusa. Postea circumposita sella, artemisiam herbam, aut hyssopum aut origanum imponito, deinde mulierem collocatã donec sudet foueto. Vbi sudarit, balneo cado artemisia & lauro iniecta lauet. Deinde subdititiũ medicamentum apponito, aut artemisiam, aut bulbulum ex vino albo tritum, lana conuolutum in subdititio apponat. Hæc per tres dies faciat, postea cũ viro dormiat. Subdititium medicamentum ad conceptum faciens. Ex nitro & thure cum melle glandulam confectam subter apponito. Subdititium purgans & emolliens. Caricam coquito donec grana interiora deponat, id expressum læuissimè tritũ, in vellere cum vnguento rosaceo subdito. Aliud acrius. Brassicæ, rutæ, æqualibus vtriusque portionibus tritis ad eundem modum vtitor. Subdititium aliud tum emolliens, tum purgans. Anseris medullam, aut bouis, aut cerui, fabæ quantitate, vnguento rosaceo, & lacte muliebri terito, velut medicamentum emolliens teritur, deinde eo os vteri linito. Aliud tepidum purgatorium. Anseris medullam nucis quantitate, resinæ lentiscinæ aut terebinthinæ tãtundem. His lento igne ex vnguento rosaceo liquefactis, velut ceratũ conficito,

οἶνον ὡς ἥδιστον [297] ἴσον κεράσας, ὥστε τρία ἡμίχοα ἀττικά, καὶ μαράθου ῥίζας. καὶ τοῦ καρποῦ τοῦ μαράθου τετάρτην μοῖραν. καὶ ῥοδίνου ἀλείμματος ἡμικοτύλιον. ταῦτα [298] ἐγχέας ἐς ἐχῖνον κενόν, καὶ τὸν οἶνον ἐπιχέας. τοῦ δὲ ἐχίνου τρυπῆσαι τὸ ἐπίθεμα, καὶ ἐνθέντα κάλαμον πυριῆν. τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθήματι ἀφαιρέεσθαι. ἢν γὰρ ἄνευ τοῦ ἐπιθήματος ἀφαιρέῃς, καυθήσεται. ἐπὴν δὲ πυριήσῃ, τὴν σκίλλαν προστίθεσθαι, ὡς κάτω γέγραπται. προστίθεσθαι δέ, ἔστ' ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα καὶ εὐρύ. [299] καὶ ἢν μὲν ἑλκωθῇ, καὶ φλύκταιναι ὦσιν ἐν τῇ καθάρσει, ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄννησον καὶ χήνειον ἔλαιον ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, ἐς εἴριον ἐνελίξας. [300] σάρκα βοὸς λαβὼν παχυτέρην τοῦ μεγάλου δακτύλου ποδός, μῆκος δὲ ἓξ δακτύλων, χρίσας τῷ φαρμάκῳ, περιελίξας τῷ εἰρίῳ τὸ φάρμακον, ἀναπορίσας, τὸ ἔσχατον τῆς σαρκὸς ὃ μέλλει ἔξω εἶναι, λίνῳ δήσας, [301] ἔνθες τὸ ψιλὸν τῆς σαρκὸς ἐς τὰς μήτρας, ᾗ ἂν τὸ ἕλκος. Γυναικεῖα καθαρτήρια. Ἢν μὴ προβαίνῃ ἡ κάθαρσις, λαβὼν σικύης ἐντεριώνην, ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὀβολὸν τρίψας, ἐν μέλιτι μίξας ἐς εἴριον ἐνελίξας, [302] προσθέτως πρὸς τὸ στόμα τῆς μήτρης, τῆς ἡμέρης πεντάκις τοῦτο ποιῶν. Τὸ ἀμπέλιον τρίβων χλωρὸν ἐν μέλιτι καὶ ἐς εἴριον ἐνελίξας προστιθέναι τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπόν, [303] καὶ σικυώνης ἐντεριώνης, καὶ λιβανωτοῦ τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνελίξας ἐν εἰρίῳ, προσθέτως τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπόν, καὶ λιβανωτοῦ τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνελίξας ἐν εἰρίῳ προσθέτως. ἀβρότονον ὅσον τριώβολον τρίψας, ἐν μέλιτι ἐς εἴριον ἐνελίξας προστίθει. Ἐλατηρίου ὀβολόν, καὶ σμύρνης ὀβολὸν τρίψας, καὶ μέλιτι ἐς εἴριον ἐνελίξας, προστίθει. Ἢν γυνὴ μὴ κυΐσκηται καθαρτήριον. Ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας. ἔπειτα λαβὼν ἀρτεμισίην ποίην, ἢ παρθένιον, ἢ ἀδίαντον, καὶ δάφνην χλωρήν, καὶ κέδρου πρίσματα, [304] κόψον λεῖα ὁμοῦ. εἶτα ὀρύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας, καὶ ἐπιθεὶς χύτραν, ἐγχέαι τὸ οὖρον τοῦ ταύρου, καὶ ἐμβάλλειν τὰ κεκομμένα ἐν ὅλμῳ. ἔπειτα περιθεὶς δίφρον, ἐπιθεὶς τῆς ἀρτεμισίης ποίης, ἢ ὕσσωπον, ἢ ὀρίγανον. εἶτα ἐπικαθίσας τὴν γυναῖκα, πυρίησον ἕως ἂν ἱδρώσῃ. ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ. ἐς τὸ λουτρὸν ἐμβάλλειν τῆς ἀρτεμισίης καὶ δάφνης. εἶτα πρόσθετον ποιῆσαι. ἢ ἀρτεμισίην, ἢ βόλβιον ἐν οἴνῳ λευκῷ τρίψας εἰρίῳ ἐνελίξας προστιθέτω. ταῦτα ποιέειν ἐφ' ἡμέρας τρεῖς. εἶτα κοιμάσθω παρ' ἀνδρί. πρόσθετον κυητήριον. Ἐκ νίτρου καὶ λιβανωτοῦ βάλανον ποιήσας ἐν μέλιτι, πρόσθες. πρόσθετον καθαρτήριον μαλθακτικόν. Ἰσχάδα λαβὼν ἕψησας, ἕως ἂν τὰς κεγχραμίδας ἀποβάλῃ, [305] τοῦτο ἀποπιέσας ὡς λειότατον, προσθέσθω ἐν εἰρίῳ καὶ ῥοδίνῳ μύρῳ. Ἕτερον δριμύτερον. κράμβης, πηγάνου, ἑκατέρου ἴσον τρίψας, χρῆσθαι τὸν αὐτὸν τρόπον. Ἕτερον πρόσθετον μαλθακτικόν τε καὶ καθαρτήριον. Χηνὸς μυελόν, ἢ βοός, ἢ ἐλάφου, ὅσον κύαμον παραχέοντα μύρον ῥόδινον, καὶ γάλα γυναικός, τρίβειν ὥσπερ τὸ μαλθακτικὸν φάρμακον τρίβεται. εἶτα ὑπαλείφειν ἐκ τούτου τὸ στόμα τῆς μήτρης. Ἕτερον χλιαρὸν καθαρτήριον. Χηνὸς μυελὸν [306] ὅσον κάρυον. ῥητίνης σχινίνης, ἢ τερεβινθίνης, ὅσον κάρυον. ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, καὶ ποιήσας ὥσπερ κηρωτήν,

εἶτα ὑπο

εἶτα τουτέῳ χλιαρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης, καὶ τὸν κτένα καταβρέχειν. καταστασιμὸν καθάρσιος καὶ στατικόν. Γλυκυσίδης κόκκους τοὺς μέλανας ἢ ἐρυθροὺς τρεῖς ἢ τέσσαρας τουτέους τρίβοντας ἐν οἴνῳ, δοῦναι πιεῖν. ἢν δὲ μᾶλλον καταστῆσαι θέλῃς τῶν μελάνων κόκκων τῆς γλυκυσίδης τρίψας, τὸν αὐτὸν τρόπον δὸς πιεῖν. Ἕτερον καθαρτήριον καὶ καταστασιμόν. Δαφνίδας εἴκοσι τὰς πλείστας. καὶ σεσέλιος ἥμισυ ὀξυβάφου, τρίψας μετ' οἴνου, πινέτω. Ταύρου χολὴν ὅσον τρία ἡμιωβόλια ἀττικὰ τρίψας, ἐν οἴνῳ δοῦναι πιεῖν νήστει. καὶ περιπλάσσων καταπότια δίδου. ἄλευρον σιτάνιον. σμύρνης ὅσον τριώβολον. κρόκου τὸ ἴσον. καστορίου ὀβολὸν, ταῦτα τρίψαντα, μύρῳ ῥοδίνῳ προστιθέσθω. Ἕτερον καθαρτήριον.[307] κνίδης καρποῦ καὶ μαλάχης χυλὸν ἐν στέατι χηνὸς τρίψαντα, προσθεῖναι. ἢν μὴ καθαρθῇ ἐκ τόκου, τῆς πάλης ὅσον τοῖς τρισὶ δακτύλοις ἐφήσας, μέλιτι ἐγχέαι[308] καὶ συμπλάσαι τὴν κοιλίην, καὶ δοῦναι πιεῖν. Ὑστέρας ἀναστομωτήριον τὸ αὐτὸ καὶ καθαρτικόν. κανθαρίδας τρίβε πέντε, ὄξος λευκὸν παραχέων. καὶ μὴ ὑγρὸν πάνυ ποίει. ἀλλ'[309] ὡς ἐκμάσσεσθαι δάκτυλον. λαβὼν δὲ σύκου λευκοῦ πίονος, αὐτοῦ τῶν κεγχραμίδων καὶ τοῦ δέρματος, διπλάσιον ξυμμίξας μέρος τῆς κανθαρίδος,[310] τρυβλίον ποιήσας, εἰρίῳ λεπτῷ κατελίξας προσθέσθω. καθαρτήριον. Ἢν ἐκ τόκου μὴ καθαρθῇ, τοῦ τριφύλλου[311] ἐν οἴνῳ πίνειν. τοῦτο δὲ καὶ τὰ καταμήνια καταρρήγνυσι, καὶ ἔμβρυον ἐκβάλλει. Μητρέων καθαρτήριον. Ὁκόταν παιδίου ἐναποθανόντος αἷμα ἐμμείνῃ, κολοκυνθίδα ἀγρίην τρίψας ἐν μέλιτι, λειχέτω, ἢ προσθέτω. αἵματος καθαρτικόν. Αἷμα ἐξελάσεις ἐκ μητρέων, λευκοΐου καρπὸν τρίβων λεῖον, οἴνῳ διεὶς, διδόναι πίνειν. αἷμα ὡσαύτως ἐξελάσεις ἐκ μητρέων. Ῥοῦ τὸν καρπὸν, ὁκόταν ἐρυθρὸς ᾖ, τρίβων κόκκους ὅσον τριήκοντα χλωροὺς, καὶ κυνόροδα ἐρυθρὰ περιλέγων, τὸ ἐρυθρὸν[312] διδόναι πίνειν ἐν οἴνῳ. Ὁκόταν τὸ αἷμα ῥαγῇ,[313] προσθετὸν καθαρτήριον. Ἢν τὰ γυναικεῖα μὴ φαίνηται, στύρακα, καὶ ὀρίγανον τρίψας λεῖα, καὶ ξυμμίξας, ἐπίχεον καὶ χηνὸς ἔλαιον, ἔπειτα προστιθέσθω. Προσθετὸν καθαρτικὸν, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ κενοῦν. ἀψινθίου ῥίζαν τρίψας λείην. καὶ περιμίξας μέλι,[314] προσθεῖναι σὺν ἐλαίῳ. προσθετὰ ὑστερέων καθαρτικὰ ἀναστομωτήρια καὶ ὕδωρ ἄγοντα. Σκίλλας ὅσον ἑξαδάκτυλον τὸ μῆκος. πάχος δὲ ὡς ὁ μικρὸς δάκτυλος. τουτέου περιξύσας ὅσον δύο δακτύλους, λεῖον ποιήσας, κατελείξας τὸ λοιπὸν ἐν εἰρίῳ ῥυπαρῷ. καὶ τὸ μὲν ἀπεξεσμένον, πρὸς τὸ στόμα τῶν ὑστερέων ἐᾶν προσκεῖσθαι ἡμέραν καὶ εὐφρόνην. λουσαμένη δὲ καὶ ἀφαιρεομένη, διανιζέσθω ὕδατι εὐώδει.[315] Καθαρτικὸν μαλθακὸν, ὅπερ ὕδωρ ἄγει καὶ φλέγματα. χλωρά τε ὕφαιμα καταμήνια καταστᾷ, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. Μύρον ναρκίσσινον. κύμινον ὃ ἐσθίομεν. σμύρναν τε καὶ λιβανωτόν. ἀψίνθιον, κυπαρίσσινον, ἅλας, ῥόδινον, ἄλειφα. τῶν μὲν ἄλλων, χοῦν ἑκάστων. τοῦ δὲ ναρκισσίνου, τέσσαρας μοίρας. ἐπὶ ὀθόνιον ὠμόλινον[316] ξυμμίξας ἅπαντα καὶ ποιήσας βάλανον, ἢ περὶ τὸ πτερὸν ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον, προσθεῖναι. καὶ ἐᾶν ὅλην ἡμέραν προσκεῖσθαι. εἶτα λουσαμένη καὶ ἀφαιρευμένη, διανιζέσθω ἐν ὕδατι εὐώδει.

deinde eo tepido vteri os inungito, & pectinem perfundito. Purgationem deorsum detrahens & sistens. Pæoniæ grana nigra aut rubra tria vel quatuor, ex vino trita potui præbeto. Quòd si magis detrahere voles, pæoniæ grana nigra trita ad eundem modum bibenda exhibeto. Aliud purgans & detrahens. Lauri baccas viginti ad summum, & seselios acetabuli dimidium, tritum ex vino bibat. Tauri fel trium dimidiorum obolorum Atticorum pondere, ex vino tritum, ieiunæ bibendum dato, & catapotia efformata exhibeto. farinam sitaniam, myrrhæ obolos tres, croci tantundem, castorij obolum, hęc trita cùm vnguento rosato in subditițio apponito. Aliud purgans. Vrticæ semen & maluæ succum cum anseris adipe tritum, subter apponito. Si non purgetur ex partu, farinæ pollinem quantum tribus digitis apprehenditur, melle affuso decoctum, ventri ex cataplasmate imponito, & bibendum exhibeto. Vteros aperiens idem etiam purgans. Cantharidas quinque aceto albo affuso terito, neq; liquidum admodum facito, sed vt pastillus effingi possit, ficus autem albæ pinguis detractis granulis & pelle, duplum ad cantharidas ammisceto, tenuiter tritum, & lana tenui conuolutum, subter apponat. Purgans. Si ex partu minimè purgata fuerit, trifolium ex vino potui exhibeto. hoc etiam menses erumpere facit, & fœtum eiicit. Vteros purgãs. Si puero immortuo sanguis remanserit, colocynthida syluestrem tritam ex melle delingat, aut in subdititio apponat. Sanguinem purgans. Sanguinem ex vteris expelles, violæ albæ semen tenuiter tritum, vino maceratum, si bibendum exhibueris. Sanguinem eodem modo ex vteris expellit. Rhois semen cùm rubrum fuerit, ad grana triginta viridia trita, & rosas caninas rubras, eo quod rubrum est selecto, potui ex vino exhibeto cùm sanguis eruperit. Subdititium medicamentum purgans. Si menses non appareãt, styracem & origanum tenuiter terito, & adipe anserino affuso commisceto, postea subter apponito. Subdititia medicamenta vteros purgantia, aperientia & aquam ducentia. Scillæ frustum sex digitorum longitudine sumito, parui verò digiti crassitudine, cuius duos digitos circumradito & læuigato, reliquo lana sordida conuoluto, ea parte quæ derasa est ad os vterorum apposita, per diem & noctem sinito. Quòd vbi lauerit & detraxerit, aqua odorata perluatur. Purgans & emolliens quòd aquam & pituitam ducit, mensesque pallidos & subcruentos deturbat, nisi diuturni fuerint, & os emollit. Vnguentum narcissinum, cuminum, quod editur, myrrham, thus, absinthium, cupressum, salem, oleum rosaceum, reliquorum quidem singulorum congium vnum, narcissini verò partes quatuor, hęc omnia permixta, tenuissimo linteo excepta, in glandulam efformato, aut pennam tenui panno circundatam & deligatam, ac oleo albo Ægyptio intinctam, subter apponito, & per totum diem sinito. Deinde vbi lauerit & detraxerit, aqua odorata perluatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΠΡΩΤΟΝ.

HIPPOCRATIS DE MVLIERVM MORBIS, LIBER PRIMVS.

AD hunc sanè modum de mulierum morbis sentio. Mulierem quæ nunquam peperit maiore cum molestia & celeriùs ex mensibus profluentibus affici, quàm quæ partum experta est. Vbi enim peperit, venulæ ei ad mensium descensum insunt ampliores. Amplas autem ipsis reddit puerperiorum effluxus, qui purgationis quoddam genus est. Qui cùm vi prorumpit, vicinæ maximè corporis partes, tum ventris tum mammarum affatim effunduntur. Quinetiam corpus reliquum confertim vacuatur. Quòd vnde cōtingat à nobis est commemoratum in pueri natura, cùm partu in lucem editur. Corpore verò vniuersim effuso, venas magis aperiri & ad mēsium profusionem ampliores fieri necesse est, vterosq; magis patere, nimirum puero per eos non sine vi & dolore egresso. Quibus ita constitutis, mulier quæ puerperij purgamenta experta fuerit, cum minore labore purgationem menstruam sustinet. Quòd si mulieri quæ iam peperit affectio aliqua cōtingat, ita vt procedentes menses probè repurgari nequeāt, ea faciliùs quàm si nunquam peperisset, laborē ferat. Assuefacti enim sunt vteri, & corpus ad repletionem accōmodatum, velut quæ vterum gestet, simulq; magna est in corpore amplitudo. Amplior autem fit sanguinis via vbi peperit, vniuersim nimirum euacuato corpore, cumq; corpus amplam capacitatem habeat, minorem sentit molestiam, nisi venæ supra modum impleantur, & nimio dolore afficiantur. At verò ei quæ numquam peperit, cùm corpus ad repletionem minimè assuefactum sit, & validius, solidius, & densius existat, cùm puerperij purgamenta nondum experta sit, vteriq; osculum minimè pateat, maiore cum molestia menses prodeunt, pluresque affectiones incidunt, vt proinde menses intercludantur vbi nunquam pepererit. Atq; ad hunc modū se res habet, velut antè à nobis dictum est. Mulierem rariore & molliore carne esse quàm virum censeo. Atq; cùm id ita se habeat, mulieris corpus celeriùs & magis humorē ex ventre trahit, quàm viri. Si quis enim aquæ in loco humido per duos dies & duas noctes lanas puras imponat, & vestimentum parum densè contextum, æquali cum lanis pondere, iis sublatis & appēsis, longè grauiores lanas quàm vestimentum comperiet. Quòd cùm fit, ab aqua quæ in vase lati oris est, semper sursum aliquid decedit, lanæque cùm raræ sint & molles, eius quod secedit maiorem partem excipiunt. Vestimentum autem, quòd plenum sit & confertim contextum, explebitur, neque multum eius quod decedit excipiet. Ad hunc sanè modum mulier cùm rarior sit, ampliorem ex ventre in corpus humorem & citiùs quàm vir attrahet,

ΤΑ δὲ ἀμφὶ γυναικείων νούσων, ὧδέ φημι. γυναῖκα ἄτοκον ἐοῦσαν, ἢ τετοκυῖαν, χαλεπώτερον καὶ θᾶσσον ἀπὸ τῶν καταμηνίων νοσέειν. ὁκόταν γὰρ τέκῃ, εὐροώτερά οἱ τὰ φλέβια ἐστὶν ἐς τὰ καταμήνια. εὔροα δέ σφιν ποιέει ἡ λοχείη, καθαρσίς τις ἐοῦσα. καὶ ἣν καταρραγῇ τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα, τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταρρήγνυται. καταρρήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα. τοῦτο δὲ γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. καταρραγέντος δὲ τοῦ σώματος, ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίνεσθαι ἐς τὰ καταμήνια. καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων, καὶ βίην καὶ πόνον παρασχόντος. καὶ τουτέων ὧδε ἐχόντων, τὰ καταμήνια ἀκαματώτερον καθαίρεται ἡ γυνή, ἐπὴν λοχείων ἔμπειρος γένηται. εἰ δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο τῇ ἤδη τετοκυίῃ, ὥστε καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηιτέρως τὸν πόνον οἴσει, ἢ εἰ ἄτοκος ἦ. ἠθάδες γὰρ αἱ μῆτραι, καὶ τὸ σῶμα ἐπιτήδειον πληροῦσθαι, ἅτε ἐν γαστρὶ ἐχούσῃ, καὶ ἅμα εὐρυχωρίη πολλή ἐστιν ἐν τῷ σώματι. πλείων δὲ ἡ εὐρυχωρίη γίνεται καὶ τῷ αἵματι, ἐπὴν τέκῃ, οἷα τοῦ σώματος καταρραγέντος. καὶ ἐν εὐρυχωρίῃ ἐὸν τὸ σῶμα, ἀπονώτερον γίνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες καὶ ὑπερπονέωσιν. ἀτόκῳ δὲ ἐούσῃ, τοῦ δὲ σώματος οὐ ξυνήθεος ἐόντος, ἐπὴν πληρωθῇ, καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, ἐπ' ἣν λοχείων ἔμπειρος γένοιτο, καὶ τῶν μητρέων ἀστομωτέρων ἐουσῶν, τὰ ἐπιμήνια ἐπιπονωτέρως χωρέει, καὶ τὰ παθήματα προσπίπτει πλείονα, ὥστε διὰ τοῦτο τὰ καταμήνια ἀποφράσσεται, ἐπὴν ἄτοκος ἦ. ἔχει δὲ ὧδε ὥς μοι καὶ πρὶν εἴρηται. φημὶ τὴν γυναῖκα ἀραιοσαρκοτέρην καὶ ἁπαλωτέρην εἶναι, ἢ τὸν ἄνδρα. καὶ τούτου δὲ ὧδε ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα. καὶ τάχιον καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς ἢ τοῦ ἀνδρός. καὶ γὰρ εἴ τις ὑπὲρ ὕδατος, καὶ διὰ χωρίου ὑδρηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ, καὶ εἷμα καθαρὸν καὶ βεβυσμένον εὐσταθμῶς ἴσον τοῖσιν εἰρίοισιν, ἀνελὼν εὑρήσει στήσας πολλὸν βαρύτερα τὰ εἴρια ἢ τὸ εἷμα. ὅτι δὲ τοῦτο γίνεται, αἰεὶ ἀποχωρέει ἐς τὸ ἄνεκας ἀπὸ ὕδατος ἐν ἀγγείῳ εὐρυστόμῳ ἐόντος. καὶ τὰ μὲν εἴρια, ἅτε ἀραιά τε καὶ μαλθακὰ ἐόντα, ἀναδέξεται τοῦ ἀποχωρέοντος πλέον. τὸ δὲ εἷμα ἅτε πλῆρες ἐὸν καὶ βεβυσμένον, ἀποπληρώσεται τὸ πολλὸν οὐκ ἐπιδεχόμενον τοῦ ἀποχωρέοντος. οὕτω δὴ καὶ ἡ γυνή, ἅτε ἀραιοτέρη ἐοῦσα, εἵλκυσε πλείονα ἀπὸ τῆς κοιλίης τῷ σώματι τὴν ἰκμάδα καὶ θᾶσσον, ἢ ὁ ἀνήρ,

καὶ ἅτε

καὶ ἅτε ἁπαλοσάρκῳ ἐούσῃ τῇ γυναικὶ ἐπὴν πλησθῇ τοῦ αἵματος τὸ σῶμα, ἢν μὴ ἀποχωρήσῃ ἀπ' αὐτέου, πληρευμένων τῶν σαρκῶν καὶ θερμαινομένων, πόνος γίνεται.[11] θερμότερον γὰρ τὸ αἷμα ἔχει ἡ γυνή. καὶ διὰ τοῦτο θερμοτέρη ἐστὶ τοῦ ἀνδρός. ἢν δὲ τὸ πλεῖον ἐπιγινόμενον ἀποχωρέῃ, οὐ γίνεται ὁ πόνος, καὶ ἡ θέρμη ἀπὸ τοῦ αἵματος. ὁ δὲ ἀνὴρ στερεοσαρκότερος ἐὼν τῆς γυναικὸς, οὔτε ὑπερπίμπλαται τοῦ αἵματος ἐς τὸ ἄνω τῆς κοιλίης τόσον, ὥστε ἢν μὴ ἀποχωρέῃ τι τοῦ αἵματος καθ' ἕκαστον μῆνα, πόνον χρὴ ἔσεσθαι. ἕλκει τε[12] ὁκόσον ἐς τροφὴν τοῦ αἵματος. τό, τε σῶμα οἱ οὐκ ἁπαλὸν ἐὸν, οὐχ ὑπερπονέει, οὐδὲ ὑπερθερμαίνεται ὑπὸ πληθώρης ὡς τῇ γυναικί. μέγα δὲ ξυμβάλλεται ἐς τοῦτο τῷ ἀνδρὶ, ὅτι ταλαιπωρέει μᾶλλον τῆς γυναικός. ἡ γὰρ ταλαιπωρεῖν, ἀπάγει τι τῆς ἰκμάδος. Ἐπὴν οὖν γυναικὶ ἀτόκῳ ἐούσῃ, κρυφθῇ τὰ ἐπιμήνια, καὶ μὴ δύνηται ὁδὸν ἔξω εὑρεῖν, ἡ νοῦσος γίνεται. τοῦτο δὲ ξυμβαίνει ἢν τῶν μητρέων τὸ στόμα μεμύκῃ,[13] ἢ ἰθυνθῇ, ἢ ξυστραφῇ τι τοῦ αἰδοίου. ἢν γὰρ τουτέων τι ᾖ, οὐ δυνήσεται ἔξοδον εὑρεῖν τὰ ἐπιμήνια, πρὶν ἢν αἱ μῆτραι ἐς τὴν φύσιν τὴν ὑγιηνὴν μεταστέωσι. γίνεται δὲ τὸ νούσημα τοῦτο μάλιστα ταύταις, αἵτινες[14] στενοχώρους τὰς μήτρας ἔχουσιν, ἢ τὸν αὐχένα πρόσω τοῦ αἰδοίου κείμενον. ἢν γὰρ τουτέων θάτερον ᾖ, καὶ μὴ μίσγηται ἡ γυνὴ τῷ ἀνδρὶ, καὶ κενωθῇ ἡ κοιλίη μᾶλλον τοῦ χρεὼν ὑπὸ τουτέου τοῦ παθήματος, στρέφονται αἱ μῆτραι.[15] οὔτε γὰρ ἰκμαλέαι εἰσὶ κατὰ σφέας οἷα μὴ λαγνευομένης, εὐρυχωρίη τέ σφισίν ἐστιν, ἅτε τῆς κοιλίης κενωτέρης ἐούσης ὥστε στρέφεσθαι· ἅτε ξηροτέρης καὶ κουφοτέρης ἐούσης τοῦ χρεὼν. καὶ ἔστιν ὅτε στρεφομένων σφέων τυγχάνει τὸ στόμα παραστρέφειν ἅτε τοῦ αὐχένος πρόσω τοῦ αἰδοίου κειμένου. ἢν γὰρ ἰκμαλέαι ἔωσιν αἱ μῆτραι[16] ἀπὸ λαγνείης καὶ κοιλίη μὴ κενῶται, οὐ ῥηϊδίως στρέφονται. τοῦτ' οὖν αἴτιον γίνεται ὥστε αὐτὰς ξυμμύειν, οἷα μὴ λαγνευομένης τῆς γυναικός. Ἐν δὲ τοῖσι τριταίοισιν, ἄριστα μὲν πείσεται, ἢν οἱ κατελθόντα ἐξαγάγῃ τὰ προϋπάρχοντα. εἰ δὲ μὴ, πείσεται τάδε ἡ γυνὴ, πνίξ τέ οἱ ἄλλοτε καὶ ἄλλοτε ξυμπεσεῖται. καὶ πῦρ λήψεται ἄλλοτε καὶ ἄλλοτε, καὶ φρίκη, καὶ ὀσφύος ἄλγημα. ταῦτα πείσεται ἐν τοῖσι τριταίοισιν ἐπιμηνίοισιν, ἢν μή οἱ ἐξίῃ. Ἐν δὲ τοῖσι τεταρταίοισιν, ἢν μή οἱ ἐξιόντα, τοῖσι προτέροισιν ἔξοδον ποιήσῃ. καὶ τότε μὲν ταῦτα πονήματα πάντα μᾶλλον πονήσει, καὶ μάλιστα ἐν τῷ χρόνῳ τῶν καταμηνίων. ἔπειτα ἧσσον. πολλάκις δὲ[17] καὶ δοκέει ἄπονος εἶναι. ἔσται δὲ ἐπὶ τοῖσι τεταρταίοισι, καὶ τάδε τὰ σημεῖα. οὐρήσει τε πολὺ παχὺ, ἄλλοτε καὶ ἄλλοτε. καὶ ἡ γαστὴρ αὐτῆς σκληρὴ ἔσται. καὶ μείζων, ἢ τὸ πρόσθεν. καὶ βρύξει τοὺς ὀδόντας. καὶ ἀσιτήσει. καὶ ἀγρυπνήσει. τοιαῦτα πείσεται ἐπὶ τοῖσι τεταρταίοισι καταμηνίοισι. μελεδαινομένη δὲ, καὶ ἐν τουτέοισιν ὑγιαίνει.[18] Καὶ ἐν τοῖσι πεμπταίοισιν, ἢν μή οἱ πολλὰ τὰ ἐπιμήνια κατίῃ, καὶ ὁ πόνος ἰσχυρότερος προσπίπτει. Ἐν δὲ τοῖσιν ἑκταίοισιν, ἤδη ἀνίητος ἔσται. καὶ κατὰ μὲν προτέρα σημεῖα μᾶλλον πονήσει.[19] ἔπειτα δὲ ἐπ' αὐτοῖσι καὶ τάδε.[20] ἀλύξει τε καὶ ῥίψει ἑωυτὴν, ἄλλοτε καὶ ἄλλοτε. καὶ λειποθυμήσει. καὶ ἐμέσει φλέγμα.

cumque molli carne sit, vbi sanguine corpus expletum fuerit, nisi ab eo aliquid decedat, carnibus expletis & concalefactis dolor oboritur. Calidiorem enim sanguinem mulier habet, ideoque viro calidior est. Quòd si plurimùm ex eo quod accedit secedat, neque dolor, neque calor à sanguine oritur. Cùm verò vir carnis sit solidioris quàm fœmina, neque superiore ventre ita sanguine supra modum impletur, vt nisi aliquid sanguinis singulis mensibus decedat, dolorem suboriri necesse sit, trahitque quantum sanguinis satis esse possit ad nutritionem, cumq; corpore non sit molli, neque nimium dolore affligitur, neque vt mulier ex plenitudine supra modum incalescit. Ad id autem multum viro confert, quòd duriter se magis quàm fœmina exerceat. Vehemens enim exercitatio nõnihil humoris deducit. Postquam igitur mulieri quæ nunquam peperit menses delitescunt, neque foras exitum inuenire possunt, hic morbus oritur. Id autem contingit, si vterorum os conclusum aut obtortum fuerit, aut pudendi pars aliqua inuersa. Ex his enim si quid adsit, non ante menses exitum inuenire poterũt, quàm vteri ad pristinam sanitatem redierint. Hic verò morbus iis præcipuè contingit, quæ angustos habent vteros, aut ceruicem extra pudendum sitam. Horum enim alterum si adfuerit, neque mulier viri consuetudine fruatur, venterque plus iustò vacuetur, ex hac affectione vteri inuertuntur. Neque enim vteri in se madescunt, cùm minimè venerem experiantur, amplumq; spatium habent, vt peruertantur, cùm aluus plus quàm conueniat vacua, sicca & leuis existat. Iisq; peruersis interdum contingit vt eorum osculũ distorqueatur, cùm ceruix extra pudenda sita sit. Si enim ex veneris vsu madescant vteri, & aluus minimè vacuetur non facilè peruertuntur. Hæc igitur causa est cur ipsi conniueant, cùm nimirum veneris vsum mulier non experiatur. Intra verò trium mensium spatium si ei decurrentes menses ea quæ priùs inerant eduxerint, perbellè quidem affecta erit, aliôqui in has affectiones mulier incurret. In suffocationem subinde incidet, febrisque ac horror, & lumborum dolor, sæpe inuadet. Atque in has affectiones veniet si intra trimestre spatium mẽses ei non prodierint. Intra verò quadrimestre spatium, nisi progressi menses prioribus viam fecerint, etiam tunc trimestres omnes afflictiones eam magis affligent, maximeque quo tempore menses decurrere consueuerunt, postea minùs. Plærunque verò doloris expers videtur. Erunt etiam in quadrimestri spatio hæc indicia. Vrinam copiosam & crassam subinde reddet, ei venter indurescet, maiorq; erit quàm antea, dentium stridor aderit, ciborum fastidium & insomnia. Atq; ista mulieri contingent, si intra quadrimestre spatium menses non decurrant, curata verò etiã ex his conualescit. Ac intra quintum mensem, nisi ei copiosi menses descenderint, etiam vehementior dolor ingruit. Sexto verò mẽse iam incurabilis erit, & iuxta quidem priora signa magis affligetur. Deinde verò ad hæc ista accedent, anxietate vexabitur, & subinde seipsam iactabit, animo deficiet, pituitam vomitione reiiciet,

vehemens eam sitis corripiet, incenso nimirum ventre ab vteris sanguine redundantibus, ad contactum maximeq; circa pubem dolebit, subindeq; acutè febricitabit, vteri frequenter murmur edent, agitato nimirum & promeante in eis sanguine, neq; pro more venter deiiciet, neque vesica vrinam percolabit. Cùm mulieri vteri ad stomachum qui neruosus est irruerint, & in ventrem prociderint, spinæ & totius dorsi dolore vexatur, lingua eius frænatur, eamque obscuram habet, & animo linquitur. Nonnullis etiam vox deficit, stomachus mordetur, bilis flaua foras prodit, spiritus offensans est, anxietate premitur, seipsam iactat, & incenditur. Postea verò quàm transmoti fuerint, & vesica tenuem ex venis sanguinem trahet, tunc vrina rubra effunditur, & reliquum quidem corpus dolore afficitur, potissimumque ceruix, spina, lumbi & inguina. Cumque eò deuenerit, tum venter attollitur, tum crura & tibiæ, ac pedes, plus æquo intumescunt, & mors instat. Et in ea hunc quidem habent exitum menses sex mensium spatio delitescentes. Quinetiam hæc accidunt. Nonnullis mulieribus cùm copiosi menses duorum mensium spatio in vteris extiterint, vbi intercepti fuerint, ad pulmonem feruntur, eademq; omnia his contingunt, quæ in tabe dicta sunt, neque inde superesse potest. Sed & ista contingunt. Sunt quibus menses purulenti euadunt, vbi duobus aut tribus mensibus moram fecerint, idque præcipuè accidit, si à febre exusti fuerint. Purulentorum autem hæc sunt indicia. Dolores enim ad imum ventrem irruunt, & pulsationes vehementes, neque contactum sustinet. Quòd si meliùs habitura sit, menses ei per pudendum erumpunt, pusque & sanguis fertur, graueolens autem per septem, aut octo, aut nouem dies fertur. Antea verò quo supra dictum est modo afficitur. Vbi autem repurgata fuerit, optimum quidem si nulla oboriantur vlcera. Quòd si vlcera remaneant, maiore opus erit curatione, vt ne vlcera nimio humore diffluant, & grauem odorem contrahant. Infœcunda autem erit, etiamsi meliusculè habeat, si magna in vteris orta vlcera fuerint. Quòd si ei per pudendum non prodeant, futurum est vt menses in pus versi supra inguina per lateris mollitudinem sine tuberculo erumpant, perrupto nimirum hac parte pure, & per eam purulenta grauis odoris procedent. Quòd cùm accidit, minimè superest mulier, & si supersit, perpetuò infœcunda futura est. Per hanc enim partem via facta in posterũ ei menses foras prodeunt, cùm hũc in locum vterorum osculum procubuerit. Accidit id quoque, nonnullis vbi bimestres, aut trimestres, aut diuturniores mẽses extiterint, & ad lateris mollitudinẽ irruperint, minimè purulentis mẽsibus, supra inguina velut tuberculum exoritur, sine vertice, magnum & rubrum. Quòd plærique Medici quid esset ignorantes, dissecuerunt, eoque modo mulieres in periculum coniecerunt. Quòd verò tuberculi speciem refert, hoc modo suboritur. Cùm vterorum osculum ad lateris mollitudinem incumbat, caro sanguinis fructum percipit, impletur, eoque oppleta in molem assurgit.

καὶ δίψα ἰσχυρὴ μιν λήψεται. ἅτε καιομένης τῆς κοιλίης ὑπὸ τῶν μητρέων ἐουσέων πληρέων αἵματος. καὶ ψαυομένη ἀλγήσει. καὶ μάλιστα τὸ ἦτρον. καὶ πυρέξει ἄλλοτε καὶ ἄλλοτε ὀξέως. καὶ βορβορύζουσιν αἱ μῆτραι ἄλλοτε καὶ ἄλλοτε, ἅτε τοῦ αἵματος ἐγκλονεομένου, [21] καὶ διαχωρέοντος ἐν αὐτῇσι. καὶ ἡ κοιλίη οὐ διαχωρήσει κατὰ τρόπον. οὔτε ἡ κύστις διηθήσει τὸ οὖρον. [22] ἐπὴν οἱ αἱ μῆτραι προσπέσωσι πρὸς τὸν στόμαχον νευρώδεα ἐόντα. καὶ ἐς τὴν κοιλίην ἐμβάλλωσιν, ἀλγέει τὴν ῥάχιν, καὶ τὸ νῶτον πᾶν. καὶ τὴν γλῶτταν αὐτῆς χαλινοῦται, καὶ ἀσαφῆ ταύτην ἔχει. καὶ λειποθυμίη. ἔστι δ' ᾗσι καὶ ἀφωνίη. καὶ δάκνεται τὸν στόμαχον. καὶ ξανθὴ ἡ χολὴ ἔξεισι. [23] καὶ πνεῦμα πρόσπλεον. καὶ ἀλύει. καὶ ῥιπτεῖ ἑωυτήν. καὶ ἐμπίπραται. ἐπὴν δὲ μεταστέωσι καὶ εἰρύσει ἡ κύστις τὸ λεπτὸν τοῦ αἵματος τὸ ἀπὸ τῶν μητρέων, τότε τὸ οὖρον διουρέεται ἐρυθρόν, [24] καὶ πονέει μὲν τὸ ἄλλο σῶμα. μάλιστα δὲ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ τὴν ὀσφῦν, τούς τε βουβῶνας. καὶ ἐς τοῦτο ἐλθούσῃ αὐτῇ, ἥ τε γαστὴρ αἴρεται, καὶ τὰ σκέλεα ὑπὲρ τὸ χρεὼν οἰδίσκεται, καὶ αἱ κνῆμαι, καὶ οἱ πόδες, καὶ ὁ θάνατος ἔπεισι. καὶ τελευτᾷ μὲν ταύτῃς οὕτω τελευτᾷ ἐς ἓξ μῆνας τὰ ἐπιμήνια ἀδηλεύμενα. γίνεται δὲ καὶ ταῦτα. Ἔστιν ᾗσι τῶν γυναικῶν ἐπὴν δίμηνα ἢ τὰ καταμήνια ἐν τῇσι μήτρῃσι πολλὰ ἐόντα, ἔρχεται ἐς πλεύμονα, [25] ἐπὴν ἀπολειφθῇ, καὶ πάσχει πάντα, ἅπερ ἐν φθινάδι εἴρηται. καὶ οὐχ οἷόν τε ἐστὶ περιφεύγειν. γίνεται δὲ καὶ τάδε. Ἔστιν ᾗσι διάπυα γίνονται τὰ ἐπιμήνια χρονίσαντα, ἐπὴν γένηται δίμηνα ἢ τρίμηνα. τῇσι δὲ μάλιστα γίνεται, ἢν ξυνκαῇ ὑπὸ τοῦ πυρός. σημεῖα δὲ ἐστιν, ἢν διάπυα ᾖ, ὀδύναι γὰρ ἐμπίπτουσιν εἰς τὸ ἦτρον, [26] ἰσχυραὶ καὶ σφύξιες, καὶ ψαυομένη οὐκ ἀνέχεται. καὶ ἢν μέλλῃ βελτιόνως ἔχειν, ῥήγνυται αὐτῇ τὰ ἐπιμήνια κατὰ τὸ αἰδοῖον. καὶ χωρέει πῦον καὶ αἷμα. ὀζόμενοι δὲ, χωρέει, ἐπὶ ἡμέρας ἑπτὰ, ἢ ὀκτὼ, ἢ ἐννέα. ἐν δὲ τῷ πρὶν χρόνῳ, πονέεται ὡς εἴρηται ἔμπροσθεν. ἐπὴν δὲ ἀποκαθαρθῇ, ἄριστα μὲν ἢν μὴ γένοιτο ἕλκεα. ἢν δὲ ὑπολείπηται ἕλκεα, πλείονος δεήσει θεραπείης, ὅκως τὰ ἕλκεα μὴ μυδήσῃ, καὶ κάκοδμα γίνηται. ἄφορος δὲ ἔσται, καὶ ἢν ῥαΐσῃ, ἢν μεγάλα ᾖ τὰ ἕλκεα γενόμενα ἐν τῇσι μήτρῃσιν. ἢν δὲ μὴ οἱ τὰ κατὰ τὸ αἰδοῖον χωρήσῃ, τὰ ἐπιμήνια διάπυα γενόμενα ἐς τὰ ὑπὲρ τοῦ βουβῶνος ξυμβήσεται κατὰ τὴν λαπάρην ῥαγῆναι, ἄτερ φύματος. [27] ἅτε τοῦ πύου διαρραγέντος, καὶ κείνη χωρήσει πυώδεα ὀδμαλέα. καὶ ἢν τοῦτο γένηται οὐ περιγίνεται ἡ γυνή. ἢν δὲ καὶ περιγένηται, αἰεὶ ἄφορος ἔσται. ταύτῃ γὰρ οἱ τὸ λοιπὸν ἡ ὁδὸς γίνεται, τοῖσιν ἐπιμηνίοισιν ἔξω. τὸ γὰρ στόμα τῶν μητρέων, πρὸς τοῦτο τὸ χωρίον προσπέπτωκε. γίνεται δὲ καὶ τόδε. ἔστιν ᾗσιν ἐπὴν δίμηνα, ἢ τρίμηνα, ἢ χρονιώτερα ᾖ τὰ ἐπιμήνια, καὶ προσπέσῃ πρὸς τὴν λαπάρην, μὴ διαπύων τῶν καταμηνίων ἐόντων, ὡς φῦμα γίνεται ὑπὲρ τοῦ βουβῶνος, ἀκέφαλον, μέγα, ἐρυθρόν. καὶ τῶν ἰητρῶν πολλοὶ ἤδη οὐκ εἰδότες τοῦτο ὅ τι ἐστὶν, ἔταμον, καὶ ἐς κίνδυνον ἤγαγον οὕτως. τὸ δὲ ὡς φῦμα γενόμενον, γίνεται τρόπῳ τοιῷδε. ἐπαυξέεται τοῦ αἵματος ἡ σὰρξ, ἅτε προσεχομένου τοῦ στόματος τῶν μητρέων, τῇ λαπάρῃ. καὶ πίμπλαται ἀπ' αὐτέου, καὶ ἐξαίρεται, ἅτε πληρευμένη τοῦ αἵματος ἡ σάρξ.

καὶ ἔστι

καὶ ἔστιν ὅτε, ἢν μεταστῇ τὸ στόμα τῶν μητρέων, καὶ γένηται κατὰ τὸ αἰδοῖον, καὶ χωρέωσι διὰ τοῦ αἰδοίου τὰ καταμήνια, καθίσταται τὸ ἐξεστηκὸς κατὰ τὴν λαπάρην. διαδιδοῖ γὰρ ἐς τὰς μήτρας. αἱ δὲ, ἔξω ἐχάλασαν. ἢν δὲ μὴ στραφῇ κατὰ τὸ αἰδοῖον τὸ στόμα τῶν μητρέων, διαπυΐσκεται κατὰ τὴν λαπάρην, καὶ ταύτῃ ὁδὸς γίνεται τοῖσι καταμηνίοισι. καὶ οἱ κίνδυνοι οἱ αὐτοί εἰσιν, οἱ καὶ πρόσθεν εἰρημένοι. τρέπεται δὲ καὶ ἐς ἔμετον. ἔστιν ᾗσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται, ἐν τῇσι παρθενίῃσι νούσοισι. καὶ σημεῖα καὶ πόνους τοὺς αὐτοὺς δείκνυσι, τοῖσι ἔμπροσθεν εἰρημένοισιν. [28] ἧσσον γὰρ δὲ ταύτην τὴν ὁδὸν ποιέεται τὰ ἐπιμήνια, τῇσι γυναιξὶν, ἢ τῇσι παρθένοισιν. ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ δοκέει τι ἐγκέεσθαι βάρος, καὶ τὰς ἰξύας [29] ἐκπάγλως πονέει, καὶ τοὺς κενεῶνας. Ἢν δὲ τὰ ἐπιμήνια παντάπασι μὴ ἢ χωρέοντα, γίνεται ὑπὸ τῆς νούσου ἢ παχέα, καὶ γλίσχρα, ἢ κολλώδεα. χρὴ οὖν πρῶτον τὴν κοιλίην καθῆραι, ἄνω τε καὶ κάτω. ἔπειτα τὰς ὑστέρας προσθέτῳ, ἀφ' οὗ αἷμα καθαίρεται. [30] καὶ διαλείποντα ἡμέρας, καὶ πίσαι ὑφ' οὗ αἷμα ἴῃ. πινέτω δὲ καὶ κρῆθμον ἐν οἴνῳ τῷ ἀπὸ δᾳδός. ἢν δὲ οἱ ῥόος μὴ γένηται, ἔσται ὥστε δοκέειν ἐγκύμονα εἶναι. καὶ μισγομένη ἀνδρὶ, ἀλγέειν ὥστε δοκέειν ἐγκέεσθαί τι. καὶ βρῖθος ἐν τῇ γαστρὶ ἐγγίνεται. καὶ ἡ γαστὴρ προσαείρεται, [31] καὶ ἱμείρεται ἠδελφισμένως ὡς ἐν γαστρὶ ἔχουσα. καὶ καρδιώσσει, [32] ἐπὴν αἱ ἡμέραι πεντήκοντα μάλιστα ἔωσι. καὶ πόνος ἔχει, ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς [33] τὸ κατὰ τὸν ὀμφαλὸν, τόν τε τράχηλον, καὶ τοὺς βουβῶνας, καὶ τὴν ὀσφῦν. καὶ ἐπὴν μῆνες δύο ἢ τρεῖς γένωνται, ἔστιν ὅτε ἐρράγη, οἱ κατὰ τὸ αἰδοῖον τὰ καταμήνια ἀθρόα, [34] καὶ δοκέει ὥσπερ σάρκια εἶναι τὰ ἀπιόντα ὡς ἐκ διαφθορέως, καὶ μέλανα. ἔστι δ' ᾗσι καὶ ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι. καὶ δεήσεται προσέχειν τῇ μελέτῃ. πολλῇσι δὲ συμβαίνει, ὥστε δοκέειν ἓξ μῆνας ἔχειν ἐν γαστρὶ, ἢ καὶ ὀλίγῳ ἐλάσσονα χρόνον. καὶ ἡ γαστὴρ προσαείρεται, καὶ τ' ἄλλα οἱ δοκέει γίνεσθαι ὥστε ἐν γαστρὶ ἐχούσῃ. [35] ἔπειτα ἐστὶν ᾗσι διαπυοῦντα, ἐρράγη ὑπὲρ τοῦ βουβῶνος ἅμα τῷ πέμπτῳ ἢ ἕκτῳ μηνὶ, [36] καὶ ὁδὸν ταύτῃ ἐποιήσατο. ἔστι δὲ καὶ ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι [37] καὶ κάτω ὑπὲρ τοῦ βουβῶνος. καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν δὲ καὶ περιγένηται, ἄφορος ἔσται. ἔστι δὲ ᾗσι καὶ κατὰ τὸ αἰδοῖον ῥήγνυται, καὶ χωρέει αὐτέῃ σεσηπότα καὶ πυώδεα. καὶ ἀπὸ τουτέων ἕλκεα ἐγγίνεται ἐν τῇσι μήτρῃσι, καὶ κινδυνεύσει. καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰητρεύειν, προσέχοντα. ἄφορος δὲ καὶ αὕτη γίνεται, ἤν γε καὶ ἰηθῇ. ἢν δὲ μή οἱ ῥαγῇ τὰ καταμήνια διενεχθέντα ἓξ μῆνας, πείσεται πάντα ἅπερ τῇ ἀτόκῳ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα ἐξευρεῖν. καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ, [38] διαρκέσασα καὶ ἐς ὀκτὼ μῆνας, θνήσκει. πολλῇσι δὲ γίνεται ἢν τὰ καταμήνια [39] φλεγματώδεα χωρέοντα ἐπὶ πολλὸν χρόνον, καὶ ἐλάσσονα εἶναι τῶν ὑγιηρῶν. ὑγιὴς δὲ γίνεται ἐν κόσμῳ τῷ προσήκοντι ἰηθεῖσα. ἢν δὲ τὰ ἐπιμήνια γυναικὶ χωρέῃ μὲν, ἐλάσσονα δὲ τοῦ δέοντος χωρέει, ἅτε τοῦ στόματος τῶν μητρέων παρακεκλιμένου ὀλίγον τοῦ αἰδοίου, [40] ἢ ἄρμοι μεμυκότος ἐς τοῦτο,

Quandoque etiam vbi vterorum osculum transmotum fuerit, eoq; in pudendum conuerso, per pudendum menses prodierint, subsidet id quod ad lateris mollitudinem in tumorem sublatum fuerat. In vteros enim transfundit, qui postea foras emittunt. Quòd si os vterorum in pudendum non conuertatur, circa lateris mollitudinem pus colligit, eaque parte mensibus via patet, & in eadem pericula incurrunt, quæ priùs dicta sunt. Vertuntur etiam ad vomitum menses, & quibusdam ad sedem, quemadmodum à me in virginum Morbis dictum est, & signa & labores eosdem habent, qui illic dicti sunt. Hanc autem viam minùs in mulieribus quàm virginibus menstrua affectant. Cùm menses in occulto latent, dolor infimum ventrem infestabit, & pondus quoddam incumbere videtur, lumbi & laterum inanitates stupendum in modum dolent. Si verò menses nullo modo prodeunt, ex morbo crassi, lenti & glutinosi redduntur. Imprimis igitur vẽter sursum ac deorsum repurgandus, deinde vterus medicamento subdititio, ex quo sanguis purgatur, & intermissis aliquot diebus bibendum aliquod medicamentum, ex quo sanguis prodeat. Bibat autem crethmum ex vino tædaceo. Quòd si ne sic quidem ei profluant, continget vt prægnans esse videatur, & in viri congressu doleat, ita vt aliquid incumbere videatur, & pondus aliquod in ventre insit, venter prominet, & desideriis tentatur, perinde ac si vterum gestaret, oris ventriculi morsu afficitur, præcipueq; post quinquagesimum diem, ventrem subinde dolor detinet circa vmbilicum, & ceruicem, & inguina, ac lumbos. Interdum etiam post duos aut tres menses exactos, ei per pudendum menstrua confertim erumpunt, quiq; prodeunt caruunculas referre videntur, velut ex fœtus corruptione, & nigra sunt. Nonnullis verò vlcera quoq; in vteris oriuntur, tumque diligenter animum ad curam intendere oportebit. Plærisque etiam contingit, vt se sexto mense, aut etiam paulò breuiore tempore vterum gestare existiment, venter prominet, reliquaque ei euenire videntur, quæ vtero gerenti. Postea quibusdam simul atq; quintus aut sextus mensis aduenerit, in pus versi mẽses eruperunt, eaque sibi viam fecerunt. In quibusdam autem vlcera in vteris oriuntur, inferiore etiam inguinis parte, & de vita periclitantur, ac si euaserint, steriles erunt. Nonnullis verò per pudendum erumpunt, & purulenti ac putrefacti prodeunt, ab iisque vlcera in vteris excitantur, & periculum imminet, oportetq; vt ne inueterascant diligenti curatione incumbere. Hæc autem etiamsi curata fuerit, sterilis manebit. Quòd si menses ei non erumpant sex mensibus coërciti, vniuersa illi contingent quæ ei quæ nunquam peperit, cùm menses exitum inuenire nequeunt. Ac si quidẽ curata fuerit, conualescet, sin minùs, ad octauum etiam mensem perdurans moritur. Multis verò contingit, si pituitosi mẽses diutiùs prodeant, vt pauciores sint quàm sanis. Sana autem euadit, si conuenienti ordine curetur. Quòd si menses mulieri quidem prodeant, verùm pauciores quàm conueniat ferantur, vteri nimirum osculo paulùm à pudendo deflectente, aut sensim ad ipsum concidẽte,

adeò vt prodeant quidem, ab ipsis autē transitus quos pertranseunt obturentur, vbi in vteros descenderint, moderati sanè sensim foras feruntur, toto sanguine ad osculum incumbente. At posteaquàm dies quibus purgari assueuit præterierint, sanguisq; relictus in vteris coercitus fuerit, neq; alij subeuntes menses conclusum sanguinem expulerint, verùm paulatim semper grauant, primisq; duobus aut tribus mēsibus non admodum subeunt. At verò vbi plures menses extiterint, adhuc magis affligetur, neq; quandiu sic affecta est vtero gestare potest, eamq; febris lenta prehendit, iis potissimùm diebus quibus purgari assueuerat. Ipsum autem intermedio tempore febricitare, & inhorrescere, & stomachi morsu laborare vero est simile, copiamq; in dies crescere. Subinde etiam corpus dolor occupat, præcipueq; lumbos & spinam, & inguina, manuumq; & pedum articulos. Neq; hæc simul dolent, sed subinde alia atq; alia pars, prout secretus sanguis, qui vteris contineri nequit, aliquam in partem suo momento inclinarit, quaque se corporis parte firmarit, ea intumescet, & articulorum corporis vehemens oboritur conuulsio, ex aliisq; antè commemoratis indiciis aliud aliàs ei interdū apparet. Hęc si quidem conuenienti modo curetur, conualescit, aliòqui morbus in septimum mensem, aut etiam longiùs protractus lethalis euaserit, eamq; aliquo articulo mutilauerit, aut aliquas partes ad motionem impotentes reddiderit, si sanguis præ rigore & cibi fastidio quemcunq; in locum irruperit, circa neruos concretionem habuerit. Hic verò morbus iis quæ sine viro sunt magis cōtingit. At si huiusmodi morbi iam commemorati, aut de quibus dicetur, in mulierem iam partum expertam inciderint, longiores erunt minusque molesti. Eadem autem indicia iidemque exitus contingūt, tum ei quæ numquam peperit, tum ei quæ puerperij purgamenta experta est, nisi curetur. Confestim verò curationem instituere oportet, aliòqui statim se morbi produnt. At verò si menses copiosiores quàm par sit & crassiores prodeant, cùm nimirum corpus naturâ latum, & vterorum os prope pudendum situm sit, ad hæc etiam frequenti viri consuetudine vtatur, & liberaliter epuletur, semel omninò aliquando copiosi delati & cumulatè prodeuntes, vterorum os vi sua magis dilatant. Quòd si adhæc nulla accedat vasorum inanitio, sed rursus multa & conferta ferantur, quæ os amplum reddunt, cumque mulier nimirum liberaliter cōuiuetur, venerem appetat, viriq; consuetudine perfruatur, corpus ad vterum facilè cōfluat, confertaq; deferatur, decolor erit quoad sic affecta fuerit. Et si postea morbus aut affectio aliqua incidat, qua corpus conficiatur, simili modo vteri pro consuetudine os amplum habent, corpusq; ad eos facilè transfluit. Posteaq; febris detinet, ciborum fastidio & anxietate premitur, tenuis est & debilis, & lumborum ex mensium profluuio dolor aderit, temporeq; procedente nisi curatio adhibeatur, intermedio tempore omnia eam magis affligent, & periclitabitur vt sterilis euadat, aut vt temporis longinquitate & morbo confecta, si quis alius morbus contingat, ex eo moriatur. Prodeunt autem menses crassiores & copiosiores in intermediis diebus, pauciores verò & tenuiores, cùm incipiunt vel desinunt. In omni autem muliere si sana sit, euntes menses moderata quanti-

ὥστε χωρεῖν μὲν, ἀποφράσσεσθαι δὲ ἀπ' αὐτέων, καὶ αἱ δίοδοι ἃς περαιοῦσιν. ἐπὴν δὲ κατέλθῃ ἐς τὰς μήτρας, τὰ μέτρια τελείως τοῦ αἵματος ἐπικειμένου τῷ στόματι αἰεὶ προσέρχεται δὴ κατ' ὀλίγον. καὶ ἐπὴν αἱ ἡμέραι παρέλθωσιν ᾗσι καθαίρεσθαι μεμαθήκει, καὶ εἰρχθῇ τὸ αἷμα ἐν τῇσι μήτρῃσι τὸ ὑπολειφθὲν, καὶ ἕτερα [41] ἐπικατιόντα ἐπιμήνια μὴ ἐξωθῇ τὸ ἐρχθὲν αἷμα, [42] ἀλλ' αἰεὶ βαρύνῃ κατ' ὀλίγον. ἐς τε τοὺς πρώτους μῆνας, ἢ ἐπὶ δύο, ἢ ἐπὶ τρεῖς, μὴ ἐσίῃ κάρτα. ἐπὴν δὲ οἱ μῆνες πλέονες γένωνται, ἔτι μᾶλλον πονήσει. καὶ οὐκ ἴσχει ἐν γαστρὶ, μέχρις ἂν οὕτως ἔχῃ, καὶ πῦρ λήψεταί μιν μάλιστα τὰς ἡμέρας ἐν τῇσιν καθαίρεσθαι μεμαθήκει, ἢ πεδαμόν. εἰκὸς δὲ ἐστι καὶ τῷ μέσῳ τοῦ χρόνου πυρεταίνειν. καὶ φρίσσειν. καὶ καρδιώσσειν, [43] καὶ ἀνάγειν ἐπὶ τὸ πλῆθος ἀνὰ πᾶσαν ἡμέρην. καὶ ἀλγέει ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφὺν, καὶ τὴν ῥάχιν, καὶ τοὺς βουβῶνας. τά τε ἄρθρα τῶν χειρῶν [44] καὶ τῶν ποδῶν. ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγέει, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν βρίσῃ τὸ αἷμα τὸ ἀποκεκριμένον, [45] καὶ μὴ δυνάμενον εἶναι ἐν τῇσι μήτρῃσι. καὶ ὅπῃ ἂν στηρίξῃ τοῦ σώματος, οἰδηματοῦται. ὅτε γὰρ καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος, καὶ τῶν ἄλλων τῶν προειρημένων, φαίνεταί οἱ ἄλλοτε ἄλλο ἐστὶν ὅτε. αὕτη ἢν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσεται. εἰ δὲ μὴ, ἢ νοῦσος ἑπτάμηνος ἢ καὶ χρονιωτέρη γινομένη [46] θανατώδης εἴη ἂν, ἢ χωλώσειεν. [47] ἢ ἀκρατέα τινα τῶν μερέων ποιήσειεν ἢν ὑπὸ ῥίγεος καὶ ἀσιτίης τὸ αἷμα ἔνθα ἂν ἐπέλθῃ, πήξηται περὶ τὰ νεῦρα. οὗτος δὲ τὸ νόσημα γίνεται μᾶλλον τῇσιν ἀνάνδροισιν. ἢν δὲ [48] μὴ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπέσῃ τὰ εἰρημένα, ἢ ἃ μέλλει εἰρήσεσθαι, πολυχρονιώτερα ἔσται, καὶ ἧσσον ἐπίπονα. τὰ δὲ σημεῖα ταῦτα καὶ τελευταὶ αἱ αὐταὶ γίνονται [49] τῇ τε ἀτόκῳ, καὶ τῇ λεχίων ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται. χρὴ δὲ αὐτίκα τὴν θεραπείην ποιέεσθαι. εἰ δὲ μὴ, ἐπιφαίνεται αὐτίκα τὰ νοσήματα. ἢν δὲ τὰ ἐπιμήνια πλείονα τοῦ δέοντος χωρέῃ καὶ παχύτερα, οἷα τοῦ σώματος φύσει πλατέος ἐόντος, [50] καὶ τοῦ στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε ξυνίῃ πολλὰ, καὶ εὐωχέηται ἐσάπαξ ποτὲ, [51] πολλὰ κατελθόντα καὶ χωρέοντα βύζην, ἐπευρύνει μᾶλλον τὸ στόμα τῶν μητρέων βιασάμενα. καὶ ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγείη, ἀλλ' αὖθις πολλὰ ἴῃ ἀθρέα, καὶ τὸ στόμα εὐρὺ ποιέῃ καὶ τὸ σῶμα, ἅτε εὐωχευμένης ἱμειρομένης τε καὶ συνευδούσης ἀνδρὶ, εὔροον ᾖ ἐπὶ τὰς μήτρας, καὶ ἀθρέα ἐπιφέρηται, ἄχροος τε ἔσται μέχρις ἂν οὕτως ἔχῃ. καὶ ὕστερον τὸ νόσημα ἢ πάθημα ἐπιπέσῃ ὥστε συντηκῆναι τὸ σῶμα, ὁμοίως αἵ τε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοι εἰσὶ, καὶ τὸ σῶμα εὔροον ἐπ' αὐτάς ἐστιν. καὶ μετὰ ταῦτα πῦρ ἔχει, καὶ ἀσιτέει, καὶ ἀλύει, καὶ λεπτὴ, καὶ ἀμενηνὴ, καὶ τὴν ὀσφὺν ἐκ τῶν ἐπιμηνίων πονήσει. καὶ τοῦ χρόνου προϊόντος ἢν μὴ θεραπευθῇ, πάντα μιν μᾶλλον πονήσει, ἐν τῷ μεταξὺ χρόνῳ. καὶ οἱ ἔσται κίνδυνος ἄφορόν τε γενέσθαι, ἢ συντηκεῖσαν ὑπὸ χρόνου τε καὶ τῆς νούσου, ἤν τι οἱ ξυμπέσῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν. χωρέει δὲ τὰ καταμήνια παχύτερα καὶ πλεῖστα τῶν ἡμερέων τῇσιν ἐν μέσῳ. ἀρχόμενα δὲ καὶ τελευτῶντα, ἐλάσσονα καὶ λεπτότερα. Μέτρια δ' ἐστὶ πάσῃ γυναικὶ χωρέειν ἢν ὑγιαίνῃ τὰ ἐπιμήνια ἐλ-

μιωία ἐλθόντα, ὅσον κοτύλαι δύο ἀττικαὶ, ἢ ὀλίγῳ πλέονα, ἢ ἐλάσσονα, ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς. ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων, ἐπίνοσος καὶ ἄφορος ἐστι. τεκμαίρεσθαι δὲ χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ὁρέοντα, καὶ ἐρωτᾶν[55] πρὸς τὸ πρότερον ξυμβαλλόμενον, εἴτε ἐπίνοσος ἀεὶ ζῇ, εἴτε μή. ἢν γὰρ ἐλάσσονας[58] ἢ πλέονας ἡμέρας τοῦ συνήθεος φοιτᾷ, ἢ αὐτὰ ἐλάσσονα, ἢ πλείονα εἴη, ἐπίνοσά ἐστιν, ἢν μὴ ἡ φύσις αὐτῆς νοσηρὴ καὶ ἄφορος ᾖ. ἢν δὲ τοῦτο ᾖ καὶ μεθίστηται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου.[59] καὶ ταχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. ἧσι δὲ ἐν φύσει ἐστὶ πλέονα καθαίρεσθαι τεσσάρων ἡμερέων, καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται. καὶ τὰ ἔμβρυα αὐτέων λεπτά.[60] καὶ ἀμαλδύνεται. ἧσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται, ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι, καὶ εὔχροοι, ἀνδρικαί τε, οὐ μὴν φιλότοκοι εἰσὶν, αἳ δὲ οὐδὲ κυΐσκονται. ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης. γίνεται δὲ μάλιστα τῇσι μὴ ξυνιούσῃσιν ἀνδράσι, καὶ τῇσι γεραιτέρῃσι μᾶλλον, ἢ τῇσι νεωτέρῃσι. κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί.[61] γίνεται δὲ μάλιστα τότε, ἐπὴν κενεαγγήσῃ, καὶ ταλαιπωρήσῃ πλείονα τῆς μαθήσιος. ἀναξηρανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης, στρέφονται, ἅτε κεναὶ ἐοῦσαι καὶ κοῦφαι. εὐρυχωρίη γάρ σφιν ἐστὶν ὥστε στρέφεσθαι, ἅτε τῆς κοιλίης κενεῆς ἐούσης. στρεφόμεναι δὲ, ἐπιβάλλουσι τῷ ἥπατι. καὶ ὁμοῦ γίνονται. καὶ ἐς τὰ ὑποχόνδρια ἐμβάλλουσι. θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα. ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον τοῦ καιροῦ. τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν. ἐπὴν δὲ ἐπιβάλλωσι τῷ ἥπατι, πνῖγα ποιέουσιν ἐξαπίνης ἐπιλαμβάνουσαι τὸν διάπνοον, τὸν περὶ τὴν κοιλίην. καὶ ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ, καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα καταρρέει ἐς τὰ ὑποχόνδρια οἷα πνιγομένης. καὶ ἔστιν ὅτε ἅμα τῇ καταρρύσει τοῦ φλέγματος, ἔρχονται ἐς χώρην ἀπὸ τοῦ ἥπατος, καὶ παύεται ἡ πνὶξ. κατέρχονται δὲ καθέλκουσαι ἰκμάδα καὶ βαρυνθεῖσαι. ψοφος δὲ ἀπ' αὐτέων γίνεται ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν σφῶν αὐτέων. ἐπὴν δὲ ἔλθωσιν ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται, ἢ ἐν τῷ πρὶν χρόνῳ. χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην. ἐπὴν δὲ πρὸς τῷ ἥπατι ἔωσιν αἱ μῆτραι, καὶ τοῖσιν ὑποχονδρίοισι, πνίγουσι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλει, καὶ ψυχρὴ γίνεται. εἰσὶ δὲ αἳ καὶ πελιδναὶ γίνονται. ἡ δὲ καὶ τοὺς ὀδόντας βρύχει. καὶ σίαλα ἐπὶ στόμα ῥέει. καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς Ἡρακλείης νόσου συνεχομένοισιν. ἢν δὲ χρονίσωσι αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. ἔστι δ' ὅτε ἐπὴν κενεαγγήσῃ ἡ γυνὴ καὶ ἐπιταλαιπωρήσῃ, αἱ μῆτραι στρεφόμεναι πρὸς τῆς κύστιος, τὸ στόμα αὐτῆς προσπίπτουσι, καὶ στραγγουρίην ποιέουσιν. ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει. καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη. ἔστι δ' ὅτε καὶ αὐτομάτη. ἔστι δ' ἧσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης, πρὸς ὀσφὺν ἢ πρὸς ἰσχία προσπεσοῦσαι, πόνους παρέχουσιν. ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ᾖ χολώδεα[62] τὰ καταμήνια, ἔγνωσται ἐστὶ τῷδε. μέλανά ἐστι κάρτα. ἔστι δ' ὅτε μέλανα ἢ λαμπρὰ, καὶ κατ' ὀλίγιστα ἔρχεται, καὶ τάχιστα πήγνυται.

tate prodeunt, ad duarum Atticarum heminarũ mensuram, aut paulò plures, aut pauciores, idq; ad biduum vel triduum. Lõgius autem tempus aut breuius, morbum aut sterilitatem portendit. Inspecto verò mulieris corpore considerare oportet, & coniectura ex superioribus facta percõtari, num morbosa nécne semper degat. Si enim paucioribus aut pluribus solito diebus aduenerint, aut parciores aut copiosiores fuerint, morbosi sunt, nisi naturâ morbosa & sterilis ipsa sit. Quòd si sic, & mulier ad meliorem permutetur valetudinem satius est. Postridie autem sanguis qualis è victima, citoque concrescit, si modò mulier valet. At quibus à natura inest vt pluribus quàm quatuor diebus purgentur, & admodum copiosi menses ferantur, eę tenues redduntur, earumq; fœtus tenues sunt, & languidi tabescunt. Quibus verò parcior quàm tribus diebus purgatio contingit, paucique menses prodeunt, eæ crassæ sunt, bene coloratæ, virilesque, neque partus meminerunt, & ne concipiunt ipsæ quidem. At verò si repente suffocatio vrgeat, quæ iis potissimùm contingit quæ viri consuetudine minimè fruuntur, & senioribus potiùs quàm iunioribus, cùm earum vteri leuiores existant. Id verò tum maximè contingit, vbi magna vasorum inanitio, aut solito vehementior labor accesserit. Vehementi labore resiccati vteri conuertuntur. cùm sint vacui & leues. Amplum enim locum quò conuertantur nacti sunt, vacuo nimirum ventre. Conuersi verò iecur appetunt, ei adhærescunt, & ad præcordia impetum faciunt. Vehementiore enim labore plus quã par est resiccati, ad humorem qui sursum est concurrunt ac feruntur. Iecur autem humidum est. Vbi autem hepar appetiuerint, strangulatum afferunt, perspirationem quæ circa ventrem est intercipientes. Interdum etiam simul atque vteri hepar appetere cœperint, pituita è capite velut suffocato ad præcordia defluit, nonnunquam etiam vna cum pituitæ defluxu, ab hepate in locum suum feruntur, suffocatioque cessat. Descendunt autem humore attracto, eoque grauati. Stridor autem ab ipsis concitatur, vbi ad suam sedem feruntur, quò cùm venerint, post illa interdum venter humidior quàm priùs redditur. Iam enim caput in ventrem pituitæ partem demittit. Vbi verò circa hepar & præcordia vteri fuerint, strangulatum inducunt, oculorum alba sursum conuertit mulier, & frigida redditur, nonnullæ etiam liuescunt, quædam etiam dentibus strident, saliua in os confluit, & similes iis fiunt qui morbo Herculeo detinentur. Quòd si vteri circa hepar ac præcordia diutiùs immorentur, mulier suffocatur. Interdum etiam vbi mulier vasorum inanitionem passa fuerit, vehementerque laborarit, vteri ad vesicam conuersi, in eius osculum impingunt, & strangulatum inducunt. Nullum autem aliud habet malum, & si curatio adhibeatur breui conualescit, nonnunquam etiam sponte. Quibusdam verò ex nimio labore & inedia, ad lumbos & coxas irruentes, dolores excitãt. At si mulier sit corpore malè affecto, & menses biliosi decurrant, ex hoc facilè dignoscuntur. Admodũ nigri sunt, interdum verò nigri aut splendidi, parcissimiq; feruntur, & citissimè concrescunt,

amborumq; semen, tum maris, tum fœminæ langui-dũ euanescit, neq; vtero concipit. Per morbi quidem exordia, purgatur diebus quibus consueuit, non pluribus. Procedentibus autem mensibus, pluribus diebus purgatur, & singulis diebus minore quantitate menses apparent. Febres quoque errantes accedunt, cum horrore & cibi fastidio, subindeq; oris ventriculi morsus, tũcq; maximè vexabitur, vbi ei in propinquo menses fuerint. Postquam autem repurgata fuerit, & paulò meliùs habebit quàm antea, postea rursus ad eundem relabetur statum, breui tamen conualescit, si diligens cura adhibeatur. At nisi curetur, progressu temporis eam commemorata omnia valdè affligent, & dolor modò quidem ventris partem vmbilico inferiorem inuadet, modò verò inguina, quandoq; etiam lumbos, & coxendicis commissuram quæ est ad sedem, totamq; eam partem, quãdoq; verò ceruicem. Interdum quoq; vehemens continget strangulatus, eiq; antè oculos caligo obuersabitur & vertigo, velut purgatione sursum missa & resiliente. Corpore enim malè affecto, mulieri pauciores menses contingunt, quibus verò corpus plenum fuerit, his copiosiores menses feruntur. Biliosæ verò cùm menses prodeunt, animi deiectio accidit, & subinde cibi fastidium, anxietas, insomnia, frequẽs ructus, obambulare recusat, animum despondet, neque videre videtur, & metuit. Quòd si curatio adhibeatur, ex his cõualescit, alióqui verò procedẽte tempore magis semper affligetur. Optimè autem cum ea agetur, si biliosa accedat vomitio, si aluus non perturbetur vehementer, & biliosa subeant, muliebreq; profluuiũ non tamen vehemens ei superueniat. Horum enim si quid vehemens in corpus cõfectum inciderit, in periculo versabitur. Quòd si biliosi humoris aliquid, aut id totũ quod molestum est sensim repurgetur, sana euadit. Si verò neq; curetur, neq; horum quicquam cõtingat, mulier moritur. Plærunq; autem ex hoc morbo muliebre profluuium biliosum cõsequitur. Quod si eueniat, primis quidem diebus ei pauca apparebunt, per omnes autem dies omninò copiosiora contingũt. Cùm verò tempus processerit, ferè semper grauis morbus euadit, biliosaque purgatione prodeunte vteri mordentur & vlcerãtur. Ex eo autem etiam adhuc diligenti adhibita curatione conualescit si ei profluuium coërceatur. At si ex vlceribus vteri inflammatione laborarint, lõgè acutior morbus erit, & copiosa, graueolentia, ac purulenta erunt quæ ab vteris prodibunt, & continenter tãquam à carnibus effluẽt, omniaq; priùs commemorata eam magis affligent, efferataq; magis vlcera reddẽtur, donec eam euincant. Quòd si etiam curetur, sterilis erit propter cicatrices. At si mulier malè affecto sit corpore, & pituitosi menses ferantur, id inde dignoscitur. Pelliculosi enim ei apparent, & velut aranearum telæ distenti, aliquantumq; subalbicant. Id autem ei contingit, cũ corpus & caput pituita oppleta fuerint, neq; ea per nares, neq; per sedem, neq; per vrinæ viam subducatur, sed in mensium decursu, & sanguinis perturbatione, vnà cum purgatione foras exeat. Atque cùm hæc ita se habeant, ad duos aut tres quidem menses nihil ægrotat, longiore autem temporis progressu, nisi diligens cura adhibeatur, magis affligetur, & febris

καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρί. καὶ ἀρχομένης μὲν τῆς νούσου, καθαίρεται τὰς ἡμέρας ἃς μεμάθηκε, οὐ πλέονας. προϊόντων δὲ τῶν ἐπιμηνίων, πλείονας ἡμέρας καθαίρεται, καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην ἡμέρην φαίνεται. πυρετοί τε ἐπιγίνονται πλανῆται ὀξέες, ξὺν φρίκῃ καὶ ἀσιτίῃ, ἄλλοτε καὶ ἄλλοτε. καὶ καρδιωγμός. καὶ πονέει μάλιστα ἐπὴν πλησιάζωνται τὰ καταμήνια αὐτέῃ. ἐπὴν δὲ ἀποκαθαρθῇ, καὶ ῥήϊστη ἐπ' ὀλίγον χρόνον [63] παρ' ὃ τὰ πρόσθεν. ἔπειτα δὲ αὖθις 10 ἐς τὸ ὠυτὸ καθίσταται. μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει. ἢν δὲ μὴ θεραπεύηται καὶ ὁ χρόνος προΐῃ, πάντα μὲν μάλα πονέει τὰ πρόσθεν εἰρημένα, καὶ ὀδύνη λήψεται. τοτὲ μὲν τῆς γαστρὸς τὸ κάτω τοῦ ὀμφαλοῦ. τοτὲ δὲ τοὺς βουβῶνας. τοτὲ δὲ τὴν ὀσφὺν [64] καὶ κοχώνην. τοτὲ δὲ τὸν τράχηλον, τοτὲ δὲ πνὶξ προσπεσεῖται ἰσχυρή. καὶ πρὸ τῶν ὀφθαλμῶν ζόφος ἔσται οἱ καὶ δῖνος οἷα τῆς καθάρσιος ἄνω στρεφομένης καὶ ἀϊσσούσης. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσω γίνεται. καὶ ἦσιν ἂν τὸ σῶμα ἔμπλεον ᾖ, τὰ καταμήνια τουτέῃσι πλείονά ἐστι. τῇ δὲ χολώδει τὰ καταμήνια ἢν ἔρχηται, 20 ὀλιγοψυχίη ἐμπίπτει. καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε. καὶ ἀλυσμός. καὶ ἀγρυπνίη. καὶ ἐρυγγάνει θαμινά. καὶ οὐκ ἐθέλει περιπατέειν. καὶ ἀθυμέει. καὶ ἐμβλέπειν οὐ δοκέει. καὶ δέδιεν. καὶ ἢν μελεδαίνηται ἐκ τουτέων, ὑγιὴς ἔσται. ἢν δὲ ὁ χρόνος προΐῃ, ἔτι μᾶλλον πονέει. ξυμβαίη δ' ἂν ἄριστα, ἢν ἔμετος χολώδης ἐπιγένηται. ἢν ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς, καὶ ὑπίῃ χολώδεα, καὶ ῥόος ἐπιγένηται αὐτῇ μὴ ἰσχυρός. ἢν μὲν γὰρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τεταλαιπωρημένον, κινδυνεύσει. ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται. ἢν δὲ μήτε μελεδαίνηται, μήτε μηδὲν τουτέων γέ- 30 νηται, θνήσκει ἡ γυνή. ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόοι ἐμπίπτειν χολώδεα ἐκ τουτέου νοσήματος, [65] ἢν ῥόος γένηται καὶ τὰ μὲν πρῶτα, ὀλίγα οἱ τὰ φαινόμενα ἔσται. [66] ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπὶ πολύ, πλέονα ξυμβαίνει. ἐπὴν δὲ ὁ χρόνος προΐῃ ὡς ἐπὶ τὸ πλέον, καὶ ἡ νοῦσος ὀξείη γίνηται, καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τῆς καθάρσιος τῆς χολώδεος χωρεούσης καὶ ἑλκοῦνται. ἔτι δὲ καὶ ἐν τούτῳ ὑγιαίνει μελεδαινομένη, ἢν οἱ ἐπισχεθῇ ὁ ῥόος. ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, ἔτι ὀξυτέρη ἡ νοῦσος ἔσται. καὶ πολλά τε καὶ δυσώδεα καὶ πυώδεα ἐλεύσεται ἀπ' αὐτέων τῶν μητρέων ἤδη ἀπιόντα καὶ ἐκστάζει, [67] οἷον ἀπὸ κρεῶν. καὶ τὰ πρότερον εἰρημένα ἅπαντα μιν μᾶλλον πονήσει. καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται [68] μέχρι μιν ὑπερνικήσῃ. εἰ δὲ καὶ ἰηθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων. [69] ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἢν φλεγματώδεα τὰ ἐπιμήνια χωρήσῃ. γνωστὸν δέ ἐστιν ἢν χωρέῃ φλεγματώδεα. ὑμενώδεά τε γὰρ φαίνεταί οἱ καὶ ὡς τὰ ἀράχνια διελκόμενα, καὶ ὑπόλευκά ἐστι. τοῦτο δὲ γίνεται, ἢν οἱ τὸ σῶμα καὶ ἡ κεφαλὴ φλέγματος πεπληρωμένα ᾖ, καὶ τοῦτο μήτε καθαίρηται, μήτε κατὰ τὰς ῥῖνας, μήτε κατὰ τὴν ἕδρην, μήτε κατὰ τὴν οὐρήθρην, ἀλλ' ἐν τοῖσι καταμηνίοισι, καὶ ἐν τῇ ταραχῇ 50 τοῦ αἵματος σὺν τῇ καθάρσει [70] ἔξω ἥκει. καὶ ἢν ταῦτα οὕτως ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐδὲν νοσέει. ἐπὴν δὲ ὁ χρόνος πλείων γένηται, καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει, καὶ πυρετὸς ἐπιλή-

ἐπιλήψεται πλάνος, καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε. καὶ καρδιώξει καὶ πονήσει, μάλιστα[71] ἐπὴν πλησιάζῃ τὰ ἐπιμήνια. ὁκόταν δὲ ἀποκαθαρθῇ[72] ῥηΐα ἀπὸ ὀλίγων χρόνων πρὸς τὰ πρόσθεν. ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. καὶ ἢν μὴ μελεδαίνηται, ἀλλὰ χρόνος παρέῃ, γενήσεται πάνθ', ὅσα τῇ χολώδεα ἐχώρεε τὰ καταμήνια,[73] ἄχρις οὗ ὁ ῥόος οἱ εἴχετο.[74] ἕπεται δὲ ταύτῃ, καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ ἄλλα ἅσσα ἐγὼ ἐρέω ὀλίγῳ ὕστερον.[75] καὶ ἢν προσεπιγίνηται αἰεὶ, πορεύεται ἀνὰ πάσας τὰς ἡμέρας, ὁτὲ μὲν ἀθρόα, ὁτὲ δὲ ὀλίγα. καὶ ἔστιν ὅτε, οἷον ἀπὸ κρεῶν ὕδωρ χωρέει. ὁτὲ δὲ οἷον ἰχώρ. καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐγγίνονται. καὶ ξύει τὴν γῆν ὡς ὄξος. καὶ δάκνει τῆς γυναικὸς οἷς ἂν ἐπιψαύσῃ. καὶ ἑλκοῖ τὰς μήτρας. καὶ ἐλθοῦσα ἐς τοῦτο,[76] τὰ μὲν ἄλλα πάσχει ταὐτὰ ὡς ἡ προτέρη. ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει, καὶ τὰ ἕλκεα,[77] οὔτε δυσώδεα, οὔτε μεγάλα, οὔτε πυώδεα, οὔτε ὀδμαλέα ὁμοίως κείνῃ γίνεται. ἀλλὰ ταύτῃ ἧσσον. ἐπιμελεδαινομένη δὲ ὑγιαίνει καὶ παρεληλυθείης τῆς νούσου. καὶ οὐ μάλα ἀποθνήσκει. φορὸς δὲ οὐ δύναται εἶναι ὧδε ἔχουσα. ὁκόσαι δὲ ξυνοικέουσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυνθάνεσθαι χρή,[78] εἴ σφιν ἐπιγίνεται τὰ καταμήνια, ἢ οὔ. καὶ γίνεται πυώδεα, ἢ ψυχρά. ἢν μὲν οὖν φῇ, εἰ αὐτίκα ἀπέεισιν ἡ γονὴ ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ἢ τῇ ἕκτῃ, ἢ τῇ ἑβδόμῃ. ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι ὅταν ξυνιασθῇ, τὸ στόμα οὐκ ὀρθόν ἐστι τῆς μήτρης.[79] ἀλλ' ἰδνοῦται, καὶ οὐ λάζυται τὴν γονήν. ἢν δὲ φῇ δευτεραίη, ἢ τριταίη, ἢ τεταρταίη, ἡ ὑστέρη ἐξυγρασμένη ἐστί. καὶ ἡ γονὴ ἐκπλύνεται. ἢν δὲ ἑκταίη, καὶ ἑβδομαίη, ἡ γονὴ κατασήπεται. κατασαπεῖσα δὲ ἀπέρχεται. τοῦ μὲν οὖν ἀρχὴν μὴ προσδέχεσθαι τὴν γονήν, τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅκως ὀρθὸν ἔσται. τοῦ δὲ καταπλύνεσθαι, δευτεραίη καὶ τριταίη ἡ ὑστέρη καὶ κεφαλή. τοῦ δὲ κατασήπεσθαί τε καὶ ἀπέρχεσθαι καὶ ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. τουτέων ἕκαστα γινώσκειν ὧδε χρή. ὁκοίης δὲ χρήζει καθάρσιος, γνώσηται ὧδε. ὅταν τὰ ἐπιμήνια γίνηται, ῥάκος πτύξας ὅσον σπιθαμῆς, ἐπιτανύσαι[80] ἐπὶ σποδιὴν λεπτήν. κἄπειτα ποιέειν ἐπὶ τούτῳ ὡς ἐπιρρυῇ τὰ ἀπιόντα. εἶναι δὲ δύο τὰ ῥυχία, χωρὶς ἐφ' ἑκάτερα, τὸ μὲν ἡμέρης τε καὶ νύκτωρ. καὶ τὰ μὲν ἡμερήσια πλύνειν χρὴ τῇ ὑστεραίῃ. τὰ δὲ νύκτωρ,[81] ὁκόταν αὐτέοισιν ἡμέρην καὶ νύκτωρ γένηται, ἐπὶ τῇσι σποδιῇσι κειμένοισιν. ἐν δὲ τῇ πλύσει, σκέπτεσθαι ὁκοῖα ἄσσα γίνηται τὰ ῥάκεα πλυθέντα. ὅταν ἐν ἡλίῳ τερσῆται. κράτιστον δὲ ἐν σκοτιαίῳ χωρίῳ. ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλύον, μυξώδεα τὰ ῥάκεα ἔσται. ἢν δὲ δι' ἅλμην τε καὶ χολήν, πυρρά τε καὶ ὑποπέλιδνα. ταῦτ' οὖν ἐσιδὼν, καὶ γνώμῃ σκεθρῇ βασανίσας,[82] ὅλον τε τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δεῖσθαι, ἤν τε καὶ μή. ἀποσκεψάμενος ἐς τὴν χροιὴν, καὶ τὴν ἡλικίην, καὶ ῥώμην, καὶ ὥρην, καὶ οἵῃ διαίτῃ χρέονται.[83] ἰητρεύειν δὲ καὶ τοῦ σώματος παντὸς προνοεῖσθαι, καὶ τὰς ὑστέρας, καὶ τὸ στόμα ἰῆσθαι καὶ ἢν μεμυκὸς ᾖ, ἀναστομῶσαι. ἢν δὲ λοξωθέωσιν, ἐξιθύνειν χρή. ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν. καὶ τἄλλα δρᾶν ἐναντίον. σχεδὸν δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ καταρρῆσαι τὰ ἐμμήνια.[84] ὁκόσῃσι

errabunda prehēdet, cibi fastidio subinde & oris ventriculi morsu vexabitur, præcipueque affligetur cùm mensium tempus instabit. Cùm autem repurgata fuerit, pauco tempore habita superiorū ratione, meliuscule habebit, postea ad eundem statum redit. Quòd si minime curetur, sed tēporis progressus fiat, omnia contingent, quæ cui biliosi menses ferebantur, quoad ei fluxus reprimatur. Ad id verò ferè consequitur profluuium pituitosum, aut alia quæ paulò post explicabo. Quòd si præterea semper accrescat, quotidie decurrunt modò quidem conferta, modò verò pauca. Quandoq; verò velut ex carnibus aqua prodit, quandoque velut sanies, in eaq; multi sanguinis grumi insunt, & tanquam acetum terram abradit, & quacunq; mulierem cōtigerit mordet, vterosq; exulcerat. Quò cùm deuenerit, in cæteris quidē velut prior afficitur, minùs tamē quàm illi caput dolebit, neq; hinc vlcera contingunt tam turpia, neq; tam magna, neque purulenta, neq; tam graueolentia, verùm aliquātò minùs. Diligenti autem cura adhibita conualescit, etiāsi longiùs morbus processerit, neq; ferè moritur. Verùm sic affecta fœcunda esse nequeat. At verò quæ viri cōsuetudine perfruuntur, & nequeunt vterum gestare, interrogandæ sunt an illis menses contingant, nécne, & purulenti sint, aut frigidi. Si quidem igitur ita affirmarit, an protinus genitura effluat, an postridie, an perēdie, aut sexto, aut septimo die. Itaque si confestim post congressum exire responderit, vteri osculum rectum non est, sed obliquatur, neque geniturain prehendit. Quòd si dixerit postero die, aut tertio, aut quarto, vterus nimio humore madet, quo genitura diluitur. Sin sexto & septimo, genitura computrescit, putrefactaq; exilit. Si igitur per initia genitura non excipiatur, imprimis os vteri curandum est vt rectum sit. Si verò postero & tertio die diluatur, vterus & caput curanda sunt. At si computrescat & exiliat, & vterus, & corpus vniuersum nimio humore madens procurādum. Atque hæc singula ad hunc modum dignoscere oportet. Cuiusmodi autē purgatione opus habeat, dignoscetur hoc modo. Cùm mēses eunt, linteum attritum palmi parui magnitudine complicatum in tenui cinere extendito, deinde vt in hoc defluant, quę decurrunt, curato. Sint autem lintea duo, seorsim vtraque, diurnum quidem & nocturnum. Et diurna quidem postero die eluere oportet, nocturna verò vbi per diem & noctem in cinere iacuerint. In ablutione autem considerandum qualia sint detrita lintea, vbi in sole resiccata fuerint, quod tamen vmbratili loco fieri optimum fuerit. Si igitur pituita impedimento fuerit, mucosa erunt lintea detrita. Sin propter salsuginem & bilem contingat, tum fulua, tum sublíuida erūt. Quibus perspectis & accurata mentis acie exploratis, vniuersum quoq; corpus inspicito, multáne purgatione indigere videatur, nécne, ad colorē intentus, ætatem, virium robur, anni tempestatem, & victus rationem qua vtuntur. Curatio verò rectè instituitur, si vbi vniuerso corpori consultum fuerit, vteris etiam & osculo medelam adhibeas. Quòd si conniueat, aperiendum; si vteri in obliquum versi fuerint, dirigendi; si humidi, resiccandi, reliquaque per contraria præstanda. At verò omnibus propemodum eadem curatio adhibenda, nisi cùm menstrua detrahenda sunt. Quibus

enim eunt, iis nihil detrahendum, sed quicquid inest in mensibus vitij id summouendum, si tum pituitosi, tum pelliculosi sunt, & sanie perfusi, tenues aut albi, si grumosi atq; etiam nigri, ac carbunculosi, aut caliginosi, aut acres, salsi, returbidi, purulenti, hæ omnes causæ, quòd vteri conceptum impediant, penitus tollendæ. Quibus igitur pituitosi & membranosi menses sunt, eæ carne abundant, os valdè humidum est, sputum copiosum & glutinosum. Si quid vel acidum, vel acre degustarint, oris saliua liquidior & insulsa erit, & ad quoduis cibi aut potionis genus turbatio cõsequitur, his venter inhibetur & attollitur, nausea adest & multa corporis iactatio, ex capite fluxio demittitur, & omnia obducit, magnamq; adducit humoris copiam, & partes sub oculis liuidæ sunt, & flatu distentæ. His toto corpore fotus adhibendus, & à cibo, & ieiunis frequens vomitus ciendus, quinetiam inferna aluus mollienda, sed leuibus omninò medicamẽtis, & quæ minimùm bilem educãt. Semel tantùm cibus sumendus, frequentiq; exercitatione vtendum, & in victus ratione siccissimo cibo, & potu parcissimo meraciore. Præstiterit autem vt aluus seruetur quæ facilè soluatur. At verò vteros, si huic victus rationi non cesserint, medicamentis subdititiis minimè mordacibus purgare oportet. Semper autẽ ante purgationes præmittendum fomentum, priore quidem loco fomentum ex fœniculis, deinde quod fit per aromatum suffitum. Fotus autem & medicamenta subdititia admoueto ea consideratione adhibita, vt omnia rectè & conuenienter fiant, quo tempore menses eunt. Si igitur pura, sincera & sanguinea appareant, tum virum adeat ineunte purgatione menstrua: prẹstat tamen ea desinente, sed tamen adhuc eunte potiùs quàm penitus cessante. Cùm autem ad virum accessura est, suffitum aliquẽ adhibeat ex odoratis adstringentibus quę in hanc rem parantur, idque per ollæ operculum & arundinem adhibeat, asperso in cinerem calidum medicamento. Quo asperso, operculum & arundinẽ circumponito, eamq; sedentem suffito. Cumq; suffitum capere opus erit, plumbea fistula vtendum, quò adaperto osculo suffitus excipiatur. Deinde postquã surrexerit, rursus in lecto plumbea fistula subdatur, qua deinde subtracta cum viro cõgrediatur. Quòd si quæ à viro emittuntur, non sint ei manifesta, cruribus distentis & alternatim positis quiescat. Ieiuna autẽ esse debet eo ipso die, nisi cyceonem insulsum ex aqua sumere velit. Quod certè faciendum cùm suffitum adhibere volet. Post autem viri cõgressum, si mulier postero die genituram continuerit, neq; altero die exciderit, à cibis & balneis arcenda. Polentam autem insulsam ex aqua bis terq; die bibat. Eaq; victus ratio sex diebus, aut quod præstiterit, septem seruanda: si quæ à viro emittuntur post congressum non exciderint, totoque tempore illota maneat, & studiosè motum vitet. Quòd si deambulare volet, loco adæquato & plano, non accliui, neque decliui, obambulet. Molliter etiam desideat si conceperit, reliquamque eandem victus rationem ad dies triginta obseruet. Bal-

γὰρ γῆς, οὐδὲν δεῖ ταύτησι καθαίρειν. ἀλλ' ὅτι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρή, ὅταν φλεγματώδεά τε καὶ ὑμενώδεα[85] καὶ ἰχωροειδέα καὶ λεπτὰ ἢ λευκὰ καὶ θρομβοειδέα, καὶ ὅταν μέλανά τε, καὶ ἀνθρακώδεα. ἢ ζοφοειδέα. ἢ δριμέα. ἁλμυρά. θολερά. πυώδεα. αὗται πᾶσαι αἱ προφάσιες, ἐξαιρετέαι. κωλύουσι γὰρ λαμβάνειν ἐν γαστρί. ὁκόσα μὲν οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τῶν ἐπιμηνίων ἐστί, καὶ αὗται σαρκώδεές εἰσι. καὶ ταύτησι[86] τὸ στόμα ἔξυγρον καὶ πτύελον πουλύ, καὶ γλίσχρον. καὶ ἢν ὀξέος γεύωνται ἢ δριμέος, τὸ πτύελον ἐν τῷ στόματι, πλαδαρώτερον τε ἔσται καὶ ἄναλον. καὶ πρὸς πᾶν ὅ,τι ἂν φάγωσιν ἢ πίωσιν, ὄχλος. καὶ προσίσταται αὐτέοισιν καὶ αἴρεται καὶ ἡ κοιλίη. καὶ ναυσίη. καὶ ἀλυσμὸς πουλύς. ἀπό τε κεφαλῆς ῥεῦμα καταρρέει, καὶ πάντα ἐπιπλάσσεται. καὶ πολλὴν ὑγρασίην ἐπάγεται. καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. ταύτας χρὴ ὅλας πυριῆν, καὶ πυκνὰ ἐμέειν καὶ ἀπὸ σιτίων καὶ ἀπὸ νηστείης. μαλθάσσειν δὲ τὴν κάτω κοιλίην. φαρμάκοισι δὲ πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει. καὶ μονοσιτέειν, καὶ γυμνάζεσθαι συχνά. καὶ ὡς ξηροτάτῃ τροφῇ διαιτᾶσθαι. καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ. κοιλίην δὲ εὔλυτον ἄμεινον διαφυλάσσεσθαι. τὰς δὲ ὑστέρας χρὴ ἢν μὴ πρὸς ταύτην τὴν δίαιταν ἐνακούωσι, καθαίρειν φαρμάκοισιν, ἀδηκτοῖσι, προσθέτοισι. προπυριῆν δὲ πρὸ τῶν καθαρσίων αἰεί, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν μαράθων. ἔπειτα τῇ ἐκ τῶν θυμιαμάτων. τὰς δὲ πυρίας ποιέεσθαι, καὶ τὰς προσθέσιας τεκμαιρόμενος ὅκως ἅπαντα πεποιήσεται. καὶ κατὰ τρόπον ἔσται, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια εἴη. ἢν μὲν οὖν καθαρά τε καὶ ἀκραιφνέα καὶ ἔναιμα φαίνηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν. ἄμεινον δὲ ἐν ἀπολείπουσι, καὶ ἔτι ἰόντων μᾶλλον ἢ ἀφανέων. ὁπόταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα ὑποθυμιήσθω τι τῶν ὑποθυμιαμάτων τῶν στυπτικῶν. θυμιήσθω δὲ διὰ τοῦ χυτρείου καὶ τοῦ καλάμου ἐπὶ σποδιὴν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον. ὅταν δὲ ἐπιπάσῃ καὶ τὸ χυτρεῖον προσθῆται, καὶ τὸν κάλαμον, καθεζομένην πυριῆσθαι. ὁκόταν δὲ δέῃ αὐτὴν θυμιῆσθαι, τῷ μολυβδίῳ χρῆσθαι. ὡς ἀνεῳγμένῳ τῷ στόματι θυμιῆται. εἶτα ὅταν ἀνίστηται, πάλιν ἐν τῇ κλίνῃ προσθέσθω τὸ μολύβδιον. εἶτα ὑφελομένη τὴν οὕτως ξυνδιαζέσθω τῷ ἀνδρί. καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλα οἱ ᾖ, ἐκτείνασα τὰ σκέλεα καὶ ἐπαλλάξασα ἠρεμείτω. νηστείη δὲ ὀφέλει ἐν ταύτῃ τῇ ἡμέρῃ. πλὴν κυκεῶνα ἢν ἐθέλῃ ἄναλον ἐφ' ὕδατι.[87] τοῦτο δὲ πιέειν τότε, ὁκόταν μέλλῃ θυμιῆσθαι. ἢν δὲ ξυγγινομένη τῷ ἀνδρὶ κατάσχῃ τῇ ὑστεραίῃ τὴν γονήν, καὶ μηδὲ ἐς τὴν ἑτέρην ἀπίοι ἡμέρην, σιτίων μὲν εἰργέσθω καὶ λουτρῶν. πινέειν δὲ ἄλφιτον ἐν ὕδατι ἄναλτον καὶ δὶς καὶ τρὶς τῆς ἡμέρης. αὕτη δὲ ἡ δίαιτα, ἔστω ἡμέρας ἕξ. ἄμεινον δὲ καὶ ἑπτά. ἢν μὴ ἀπίῃ τὰ τοῦ ἀνδρὸς ὅταν ξυγγένηται. ἀλουτείτω δὲ πάντα τὸν χρόνον. καὶ ἀκινητεῖν ἐπιτηδευέτω. ἢν δὲ βούληται περιπατεῖν, περιπατείτω ἐν ὁμαλῷ χωρίῳ καὶ λείῳ. προσάντεος δὲ μηδαμῶς, μηδὲ κάταντες. καθέζεσθαι δὲ ἐπὶ μαλθακά, ἢν ξυλλάβῃ. τὴν δὲ ἄλλην δίαιταν τὴν αὐτὴν ποιέεσθαι, μέχρις ἡμερέων τριήκοντα.

ἀλουτεέ-

μὴ πεπέτω δὲ ἢ καὶ ὅτε δέοι λούεσθαι, ὀλίγῳ καὶ μὴ λίην θερμῷ. τὴν δὲ κεφαλὴν μὴ βρέχειν. σιτίοισι δὲ χρεέσθω καὶ ἄρτοισι, καὶ μάζῃ ἢν γε βούληται. κρεῶν δὲ φάσσῃ, καὶ τοῖσι παραπλησίοισι. θαλασσίων δὲ ὁκόσα κοιλίην ἵστησιν. εἴργεσθαι δὲ λαχάνων δριμέων. οἴνῳ δὲ μέλανι χρεέσθω. κρέασι δὲ ὀπτοῖσι μᾶλλον ἢ ἑφθοῖσι. καὶ τῶν ἡμερέων καὶ τῶν θηρείων. καὶ ταῦτα μὲν, ἢν ξυλλάβῃ, οὕτως χρὴ ποιέειν. ἢν δέ γε μὴ ξυλλάβῃ, ἀλλ' οἴχηται δευτεραῖα ἢ τεταρταῖα τὰ τοῦ ἀνδρὸς ῥεόμενα παμπόλλῳ ὑγρασίῃ, δῆλον ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέραι. θεραπεύειν οὖν χρὴ, κατὰ τὸν ὑφηγημένον τρόπον, μέχρις ἂν ξηραὶ γένωνται. ὁκόταν δὲ δοκέωσι ξηραὶ εἶναι, ἰητρεύεσθαι οὕτως. ἄριστον φάρμακον μαλθακτήριον μὲν κατόπιν τε καὶ ἐς τὸ ἔμπροσθεν, ἄχρις οὗ αὗται κατὰ φύσιν γένωνται. καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλά, ἀλλ' ὀλίγα καὶ εὔχροα, καὶ ὀργᾷ. καὶ ἐν τῇσιν ἄλλῃσιν ἡμέρῃσιν, ἱμείρεσθαι χρὴ τοῦ ἀνδρὸς, ἢν ἄριστα ἔχωσιν αἱ ὑστέραι. ὅταν δὲ ξυγγένηται ἐν τῇσιν ἡμέρῃσι τῇσιν εἰρημένῃσιν, ἢν εὐθετισθῶσιν αἱ ὑστέραι, ἢν κατάσχῃ τε τὴν γονὴν ἡμερέων δέκα, ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα. ἢν δὲ μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι. γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν, ἐπειδὰν ἀκιδναὶ αἱ μῆτραι ἔωσιν ἄτροφοι ὑπὸ πάθεος γίνονται, ἢ ὑπὸ φαρμακείης τε, καὶ πυρίης πολλῆς, οὐ δύνανται φέρειν τὴν γονὴν, πρὶν ἢ ἐθάδες γίνωνται καὶ ἰσχύωσιν. γνωστὸν δὲ τοῖσι δ' ἐστὶν ὧδε. ὁκόταν ἀπίῃ οἱ, ἄπεισι δὲ δευτεραίη ἢ καὶ τεταρταίη, καὶ ἔτι ἀνωτέρω, ἀφέρχεται δὲ παχέα τε καὶ ξυνεστεῶτα οἷα βλένναι, ἢν μὴ κακόν τι ἦ, καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται. ὅταν οὖν τοιαῦτα φανῇ, θεραπεύειν μὲν ἀπόχρη, ὑστερέων. τοῦ δ' ἄλλου σώματος, ἐπιμελείην ἔχειν, ὡς καὶ εὐεξίη τοιαύτη οἱ ἦ. ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἴη καὶ εὔογκον. λουτροῖσιν ὀλίγοισιν, πλείοσι δὲ δριμέων καὶ ἁλμυρῶν εἴργεσθαι. ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων ὧν μεμαθήκει τὰ ἐπιμήνια γίνεσθαι. καὶ αὖθις λιμοκτονέεσθαι. καὶ τὰ ἄλλα ἐπιτελεῖν, ἅσσα εἴρηται. αὕτη μὲν θεραπείη ἀμφὶ τῶνδε. ὅσῃσι δὲ ὅταν ξυγγένωνται αὐτίκα διαρρέει τὰ ἀπὸ τοῦ ἀνδρὸς, ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. θεραπεύειν δὲ δεῖ οὕτως. ἢν μὲν σφόδρα μεμυκὸς ἦ, διαστομῶσαι τοῖσι δᾳδίοισι, καὶ τοῖσι μολιβδίοισι. πυρίην δὲ μαλθακὴν πυριῆν, τῇ ἐκ τοῦ μαράθου. καὶ καθαίρειν προσθέτοισιν οἷα λεπτυνέει τὰς ὑστέρας, καὶ ἐς ἰθὺ καθίστησι. μετὰ δὲ τὰς καθάρσιας τε καὶ πυρίας κλύζειν τοῖσδε ἅσσα ἐναντία τῇ προφάσει. ὅσῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον. γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι. ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυριῆν χρὴ, τῇσιν εὐώδεσι πυρίῃσι. μετὰ δὲ τὴν πυρίην παραψαμένην τῷ δακτύλῳ ἀποσπᾶν τοῦ ἰσχίου. ὅταν δὲ ἀποσπάσῃ, ἐξορθοῦν τοῖσι δᾳδίοισι, καὶ τῷ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον. ὅταν δὲ ἐξορθωμέναι τε, καὶ ἀνεστομωμέναι γένωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν, καὶ τὰ ἄλλα ποιέειν, κατὰ τὸν ὑφηγημένον λόγον. ὅταν ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται. μετὰ δὲ

neo autem abstineat, aut si quando lotione opus fuerit, pauca eaq; non admodum calida vtatur. caput tamen ne madefaciat. In cibo panibus vtatur, & maza, si volet, ex carnibus, palumbo & similibus, marinis, quę aluum sistunt. Inhibendus autem olerum omnium vsus. Vino vtatur nigro, & carnibus assis potiùs quàm elixis, tum cicuribus, tum ferinis. Atq; ista quidem si cōceperit ad hunc modum facienda sunt. Si verò non conceperit, sed postero aut tertio die quæ viri sunt nimio humore diffluentia foras prodeant, vteros humidiores esse constat, quos priùs exposito modo curare oportet, dum sicciores euadant. Cùm verò sicci esse videbuntur, hac arte curandi. Optimum est emolliēs medicamentum, posteriore & anteriore parte adhibitum, donec ad pristinā naturam redeant. Tum rursus virum adeat, cùm non ampliùs multi, sed pauci & benè colorati menses feruntur, & impetu quodam in venerem excitatur. Quinetiam aliis diebus complexu viri frui licet, si vteri bene habeant. Vbi autē prædictis diebus viri complexum experta fuerit, si commodè apparati vteri fuerint, & decem aut duodecim diebus genituram continuerint, tum ne virum adeat. At si non conceperit, vteri autem bene valeant, id enim plerisque contingit, cùm imbecilli vteri ex affectione aliqua alimenti penuria laborant, aut propter frequens medicamentum, aut fotum, non priùs genituram ferre queunt, quàm in consuetudinem venerint, aut robur acquisierint. Quod quibusdā hoc modo cognoscitur. Cū mulieri genitura exciderit, quod fit postero die, aut tertio, aut etiā tardiùs, crassa & velut mucus coacta exeunt, nisi vitium aliquod subsit, aut propter alium vteri morbum genitura dimittatur. Cùm igitur talia visa fuerint, vteros quidē curare non satis est, sed reliqui corporis cura habenda est, quò ei laudabilis huiusmodi habitus comparetur, hoc corpus sit compactum & iusta mole præditum. Balneis paucis, sed multis & leuibus laboribus vtatur, ab acribus & salsis arceatur. Vomitionibus vtatur ante dies quibus menses fieri consueuerunt, & rursus omnimodam abstinentiam adhibeat, ac reliqua quæ commemorata sunt perficiat. Ea quidem his curatio cōuenit. At quibus statim a viri complexu effluunt quæ à viro immissa sunt, his vterorum osculum in causa est. Cui ad hunc modum curatio adhiberi debet. Si quidem admodum conniueat, fistulis tædaceis aut plumbeis aperiendum, mollis quoq; fotus ex fœniculo admouendus. Per subdititia etiam medicamenta purgandum, quæ vteros attenuent, & directos constituant. Post purgationes autem & fotus infundēda quæ causam oppugnent. Quibus verò os detortum in coxendicem prolapsum est (eiusmodi enim quædam cōtingunt quæ vterum impediunt quo minus genituram suscipiat) cùm igitur tale quippiam contigerit, fotus ex odoratis admouendus. Post fotum autem immisso digito leniter contrectata muliere à coxa auellēdum. Quod cùm abductum fuerit tædaceis & plumbeis fistulis, iuxta prædictam rationem dirigendum. Cùm autem directi & aperti fuerint vteri, per emollientia subditia medicamenta repurgandi, reliquaque iuxta præscriptum modum facienda. Cùm vteri plus æquo aperti fuerint, purgatione indigent. Post purga-

tiones autem operæpretium est collutiones & suffitus ex aromatis adhibere. Si verò propiùs accesserint quã conueniat, vomitionibus & suffitibus ex rebus graueolentibus indigent, quoad in suum locum redeant. Præscripta quoque victus ratione vtendum. At si osculum præpingue sit & crassum, eamque ob causam non cõcipit, sinapi coctum ieiuna edat, & vinum merum superbibat. Nitrum etiam rubrum in subdititio medicamento apponat, cum cumino & resina. Præstiterit autem nitrum vino diluere, vnà cum resina, cumino, & vnguento albo. Aut cornu cerui vstum, & hordeaceæ farinæ crudæ duplum cũ vino admisceto. Quòd si his non leuetur, porris decoctis insideat, aut fagum contritam in subdititio apponat, & allia recẽtia comedat, & aqua mulsa superbibita vomat. Quibus autem genitura in vtero immoratur, ibiq; putrescit, & molestiam excitat, atriplicis agrestis semen, vel succum cum melle delingendum dato. Cùm verò grauis odoris fuerint, non concipit. Portulacam igitur cum anserino adipe permisceto, & in subditio apponito. At quibus quæ à viro immissa sunt, sexto vel septimo die putrefacta effluunt, his ab vtrisque contingere est vero simile. Si humor biliosus & salsuginosus affluat, ad hunc modum curationem, per veratrum aut scammonium, aut peplium adhibere oportet. Hæc enim tum sursum, tum deorsum pituitam bilemq; purgant, flatusq; deducũt. Antè purgationes tamen fotibus ex odoratis vtendum, & post fotus per subditia purgato, eodem quo in superioribus modo. At post subditia & purgationes emollientibus vtitor, & in subditio mercurialem, artemisiam herbam, & anemonem, veratrumq; album aut nigrum apponito. Atque hæc quidem per medicamẽta curatio his hoc modo conuenit. Victus verò rationẽ habita totius corporis muliebris ratione, ad id accommodato, siue illa siccior, siue carnosior videatur. Quæ quidem si aridior fuerit, pluribus balneis, opsoniis omnibus elixis, tum marinis, tum carnibus, vino etiam aquoso, oleribus coctis, & pinguibus quibusq; ac dulcibus vtatur. Hæc enim ferè humiditatem tum reliquo corpori, tũ vteris conciliãt. Sin verò humidior fuerit, sic affecti vteri horum nullo indigent, sed contrà, neq; hæc attrectare, neque recenter lauari, neq; suffitum adhibere oportet, cùm hæc quidem periculum creare soleant. Et si humidiores quàm eorum naturæ conueniat extiterint, siccare sanè & suffitum admouere oportebit. Quòd si biliosa ad eos confluant, medicamentum quod bilem purget exhibendum. Sin autem salsuginosa, lac asininum, & vinum, aliaque præsidia. Oportet autem consideratis morborum viribus, & explicatis vt decet causis, ex quibus morbi oriuntur, ad reliqua hac via procedere, & eorum quæ sunt in locis curationem instituere. Et quæ quidem osculorum nimis patẽtium causa à conceptu prohibentur, in his oscula rectè apparare oportet, vt probè sint explicata. Cùm verò nimia humiditatis copia prohibuerit, in hanc intentum esse oportet, vt ne impediat, mulierum rebus omnibus diligenter expensis, siue quid ex toto corpore agitari videatur, siue ex ipsis vteris, siue ab vtrisque. Vteris autem ea cura adhibenda, vt neque humidi sint, neque admodum exarescant. Sed Sicciores quidem, eò copiosiorem succum bonum habent quò aridiores existũt,

τὰς καθάρσιας, κλυσμῶν ἀξιοῦν καὶ θυμιαμάτων. ἢν δὲ ἐγγυτέρω ἔωσι τοῦ δέοντος, ἐμέτων δέονται αἱ ὑστέραι, καὶ πυριῆς δυσώδεος, μέχρις ὅπου ἐς χώρην ἔλθωσι. τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι. ἢν δὲ τὸ στόμα πιμελῶδες ᾖ καὶ παχὺ, καὶ διὰ τοῦτο μὴ κυΐσκηται, νάπυ ἑφθὸν ἐσθίειν νῆστιν, καὶ ἄκρητον ἐπιπίνειν. προσθετὸν δὲ νίτρον ἐρυθρὸν, καὶ κύμινον, καὶ ῥητίνην. ἄριστον δὲ [92] οἴνῳ νίτρον ξυμμίσγειν καὶ ῥητίνῃ, ἅμα καὶ κυμίνῳ, καὶ μύρῳ λευκῷ. ἢ ἐλάφου κέρας καῦσαι καὶ μῖξαι [93] ὠμήλυσιν διπλῆν ἐν οἴνῳ. ἢν δὲ μὴ ῥαΐζῃ, πράσα ἑ-
10 ψεῖν, καὶ ἀμφικαθίζεσθαι. ἢ φηγὸν τρίψασα προστιθέσθω. σκόροδά τε τρώγειν νεαρὰ, καὶ μελίκρητον ἐπιπίνουσα, ἐμεέτω. ὁκόσῃσι δὲ ἐμμένει, καὶ ἐνσήπεται, καὶ ὄχλον ποιέει, ἀνδραφάξιος ἀγρίης καρπὸν, ἢ χυλὸν ξὺν μέλιτι, ἢ ξὺν κυμίνῳ ἐλλικτὸν διδόναι. ὅταν δὲ δυσώδεα εἴη, οὐ κυΐσκεται. ἀνδράχνην οὖν, καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προστιθέναι. ὁκόσῃσι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς κατασηπόμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι παρ' ἀμφοῖν. ἢν ἐπιῤῥοὴ χολῆς καὶ ἅλμης, θεραπεύειν χρὴ ὧδε. ἐλλεβόρῳ ἢ σκαμμωνίῃ καὶ πεπλίῳ. καθαίρουσι γὰρ ταῦτα ἄνω τε, καὶ κάτω
20 φλέγμα, καὶ χολὴν, καὶ φύσας ἄγει. πρὸ δὲ τῶν καθαρσίων τῇσι πυρίῃσι χρῆσθαι ἐκ τῶν θυμιημάτων. ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι, τὸν αὐτὸν τρόπον ὡς ἐν τοῖσι πρόσθεν. καὶ μετὰ τὰς προσθέσιας καὶ καθάρσιας, τοῖσι μαλθακτηρίοισι χρέεσθαι. καὶ τὸ ἐκ τῆς λινοζώστιος πρόσθετον, καὶ ἀρτεμισίης ποίης, καὶ ἀνεμώνης, καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. τὰ μὲν τῶν φαρμάκων ταύτῃσιν, ὧδε χρή. τὴν δὲ δίαιταν ἀποσκεπτόμενον τῆς ἀνθρώπου, ἐς τὸ ὅλον σῶμα ποιέειν, ἤν τε αὐχμηροτέρη δοκέῃ εἶναι, ἤν τε σαρκωδεστέρη. κἢν μὲν αὐχμηροτέρη, λουτροῖσι πλείοσι, καὶ ἑφθοῖσι πᾶ-
30 σι τοῖς ὄψοισιν, εἴτε θαλασσίοισιν, εἴτε κρέασιν. οἴνῳ δὲ ὑδαρεῖ. λαχάνοισί τε ἑφθοῖσι καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι. ταῦτα γὰρ ὡς ἐπὶ τὸ πουλὺ ποιέει ὑγρηδόνα εἶναι, καὶ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐν τῇσιν ὑστέρῃσιν. ἢν δὲ ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία. οὐ χρὴ ψαύεσθαι, οὐδὲ κλύζεσθαι νεοχμῶς, οὐδὲ θυμιῆσθαι. πρὸς γὰρ τὸ κινδυνευόμενον φιλέει ἰέναι. καὶ ἢν ὑπερυγρανθῶσι μᾶλλον τῆς φύσιος, χρὴ δὴ ξηραίνειν καὶ θυμιῆν. ἢν δὲ χολώδεα ἴῃ ἐπὶ σφέας, ὅ, τι χολὴν καθαίρει, διδόναι. ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον, καὶ οἶνον, καὶ τὰ
40 ἄλλα ἀλεξιτήρια. χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας, καὶ ὑφηγεύμενον τὰς προφάσιας ὡς χρὴ ἐξ ὧν αἱ νοῦσοι γίνονται, ἐπὶ τὰ ἄλλα ἰέναι ὧδε, καὶ τὰ ἀμφὶ τὰ χωρία ἰῆσθαι. ὅσαι μὲν διὰ τῶν στομάτων προφανέων τὴν αἰτίην κωλύονται μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐτρεπίζειν τὰ στόματα, [94] ὡς εὐκρινέα ᾖ. ὁκόταν δὲ ἡ ὑγρηδὼν εἴργῃ ταύτην ἔσσεσθαι ὡς μὴ διακωλύῃ, σκεπτόμενον τὰ ὅλα τὰ πρήγματα τῶν γυναικῶν, ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν τε ἀπ' αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ' ἀμφῶ. τὰς δὲ ὑστέρας ὧδε μελεδαί-
50 νειν, ὅκως μήτε ὑγραὶ ἔωσι, μήτε λίην αὖαι οὖσαι. ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως ὅσῳ καὶ αὐχμηρότεραι εἰσι

τοιαῦ-

διότι ἰκμάδι, ὡς πιδηέαι μᾶλλον ἔσονται, ἢ ἰσχνηέαι. τὰς δ' ἐξυγρασμένας καὶ διαβρόχους, ξηραίνειν ὑπὸ πολλὰ ὅπως μὴ ἐν ἰκμοῖς εἴη, καὶ μὴ λίην ἀνεξηραίνηται. αἱ γὰρ ὑπερβολαὶ τουτέων πάνυ φυλακτέαι. λαμβάνειν δ' ἐν γαστρὶ, οὔτε τὴν ὑγρόδεα ἔχουσαν, ἀτὰρ οὐδὲ τὴν αὐαινομένην, ἢν μὴ ἡ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα [96] ὅταν ᾖ ὑπὸ θεραπείης ἔχῃ, ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων. ἄριστον δὲ καὶ ἐπὴν παύσηται. μάλιστα δ' ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρηθῆναι, ἢν δύνηται κυΐσκεσθαι. αὗται γὰρ κυριώταται. ἢν δὲ μὴ αὐτίκα ξυλλάβῃ, τὰ δ' ἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν τὸ κωλύον ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι ἀνδρί. προθυμίην γὰρ σφίσι ποιέει ἡ μελέτη, καὶ ἀναχαλᾶται τὰ φλέβια. καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμορροθῇ κατ' ἴξιν τῷ ἀπὸ τῆς γυναικὸς, τάχιόν περ ἂν κυήσει. καὶ γὰρ τόδε αἴτιόν ἐστιν, ᾗσιν ἤν τε αὐτίκα, ἤν τε ἐν ὑστέρῳ χρόνῳ ἀπίῃ. ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται. ἢν δ' ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύναται εἰρύσαι τὸν γόνον. προσθέτοισι δὲ χρέεσθαι δριμέσι. δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος στερρός ἐστιν ὅτε γίνεται. [97] κατὰ δέ τι ἠδέλφισται. [98] καὶ ἢν σκιρωθῶσιν, ἄριστον τὰ δριμέα προστιθέναι [99] ἃ δήξονται. τὰ γὰρ λεπτὰ καὶ πυρώδεα ἐόντα, τὸν σκῖρον διαχέει. ἢν δὲ λαπαχθῇ ὁ σκῖρος, μαλθακοῖσιν ἰῆσθαι, καὶ ὅ,τι μὴ δήξῃ. [100] ἢν δὲ διὰ πολλοῦ μὴ κυΐσκηται τῶν καταμηνίων μὴ φαινομένων, ὅταν ἡ τριταίη, ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ, εἰρίῳ ἀναποσπογγίζων προστιθέτω, καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ, χολὴν βοὸς αὔην ἐν ἐλαίῳ ἀναζέσας, καὶ ἄχνην ἀναδεύσας, προσθέσθω, καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς. τῇ δ' ὑστεραίῃ ἐξελέσθω, καὶ τῷ ἀνδρὶ ξυνίτω. [101] ἢν γονὴν μὴ δέχηται ἡ γυνὴ τῶν γυναικείων κατὰ φύσιν ἐρχομένων, ἡ μήνιγξ ἐπὶ πρόσθεν ἐστί. γίνεται δὲ καὶ διὰ ἄλλων. [102] γνώσῃ δὲ τῷ δακτύλῳ ἅψει τοῦ προβλήματος. πρόσθετα δὲ ποιῆσαι, ῥητίνην, καὶ ἄνθος χαλκοῦ, [103] ἐν μέλιτι εἰς ὀθόνιον ἀρδαλώσας, πρόσθες, ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου ὡς ἐσωτάτω. ὅταν δὲ ἐξελκύσῃς τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιαρῷ διανιζέσθω. [104] προσελεῖν δὲ τὸν χιτῶνα ἄμεινον. εἰσὶ δὲ γυναῖκες αἵ τινες λαμβάνουσι μὲν ῥηϊδίως ἐν γαστρὶ, ἐξενεγκεῖν δ' οὐ δύνανται, ἀλλὰ σφέων τὰ παιδία διαφθείρονται ἅμα τῷ τρίτῳ μηνὶ, ἢ τῷ τετάρτῳ, οὐδεμιῆς αἰτίης ἐπιγινομένης. οὐδὲ βορῆς ἀνεπιτηδείου. [105] καὶ τοῦτό ἐστιν αἴτιον τὸ εἰρημένον. καὶ μάλιστα ἐπὴν παραμινυθέωσι τῆς αὐξήσεως τῷ ἐμβρύῳ αἱ μῆτραι, ἢ ἡ κοιλίη σφίσι ταράσσεται, ἀσθένεια καὶ πυρετὸς σφοδρὸς καὶ ἀσιτίη ἐμπίπτει τῷ χρόνῳ τούτῳ, ᾧ ἂν τὰ παιδία φθείρωσιν. ἔστι δὲ καὶ τόδε αἴτιον. ἢν αἱ μῆτραι ἔωσι λεῖαι, ἢ φύσει, ἢ ἑλκέων ἐν αὐτῇσιν ἐγγινομένων. ἢν γὰρ λεῖαι ἔωσιν, ἔστιν ὅτε περιεχόντες αὐτοὺς ὑμένες ἧσσον ἢ ὡς διεχόμενοί εἰσιν, [106] ἢ τῶν μητρέων ἀλέων ἐουσέων. εἰδείη δ' ἄν τις τούτων ἕκαστα, εἰ ἐρωτῴη ἀτρεκέως ταῦτα. [107] περὶ δὲ τῆς λειότητος εἰ ἑτέρη γυνὴ ψαύσειεν τῶν μητρέων κενεῶν ἐουσέων, [108] οὐ γὰρ ἁρμόδιον, δῆλον γίνεται. ἢν δ' ἴωσι τὰ καταμήνια ταύτῃσιν, ἀθρόα ἔρχεται, ἔστιν αὐτέων ᾗσι γίνεται, ὥστε ἐκφέρειν τὰ ἔμβρυα. μελεδαινομένῃ δ' ἐλπίδες ἔνεισι τόκου. ἀμφὶ δὲ τῶνδε, ὧδε ἔχει.

vt per eiusmodi humorem pingues potius quàm macilenti euadant. Humore verò nimis redundantes & madidi, eatenus siccādi, vt aliquis humor relinquatur quo perfundātur, neq; nimis resiccentur cùm nimirū nimia horum exuperantia valdè vitanda sit. Concipiendi autem facultatem habet ea quæ neq; humiditate redūdat, neq; etiam exarescit, nisi horum aliquid ex prisca natura insit. Ad virum autem eam accedere oportet, curatione recepta, desinētibus aut incipientibus mensibus, præstiterit tamen etiam vbi desierint. Atq; his potissimùm diebus faciendum est periculum an concipere possit, cùm sint ij maximè opportuni. Quòd si non statim concipiat, cætera bellè habeant, nihil vetat quominus aliis etiam diebus cum viro congrediatur. Hæc enim exercitatio propensiores quodammodo ad id eas facit, venulæq; laxiores fiunt. Ac si quæ à viro prodeunt vnà cum eo quod à muliere emittitur rectà concurrerint, citiùs concipit. Hęc enim ea causa est, quibus vel statim, vel longo post tempore genitura effluit. Ac de iis quidē hæc dicta sint. Si verò humidius vterorum os fuerit, attrahere genitura non possunt. Subter autē appositis acribus vtēdum. Compunctus enim & incēsus stomachus, interdum firmus redditur, quadam verò ex parte cū eo cognationem habet. Quòd si in callū obduruerint, præstiterit acria in subdititio apponere. Mordēt enim quæ tenuia sunt & ignea, & callum liquant. At si callus emollitus fuerit, emolliētibus curato, quæ minimè mordeāt. Quòd si ex longo interuallo non concipiat, non apparētibus mensibus, tertio aut quarto die alumen tenuiter tritū, vnguento dilutum, vellere exceptū subdito, quod per triduum contineat. Quarto verò die fel bubulum aridum, oleo feruefactum, eoq; tenuem lanuginem imbutam in subdititio apponito, quod etiam triduo contineat, quo postridie exempto, cum viro cōgrediatur. Si mulier genituram non recipiat, mensibus secūdum naturam euntibus, membrana prætenditur, quod etiam ex aliis causis contingit. Id autem cognosces, cum digito quod obtenditur cōtigeris. Subditītium medicamentum cōfectum ex resina & æris flore cū melle, eoq; linteolum infectum, quàm maximè intro apponito, eius extremo filo alligato. Quod cùm eduxeris, tepido vino in quo myrtus decocta sit mulier abluatur. Præstiterit autem membranā vndiquaq; abscindere. At verò nonnullæ mulieres facilè cōcipiunt, fœtus tamen perferre nequeunt, sed statim sub tertium aut quartum mensem perdūtur, nulla causa, neq; cibo minimè idoneo accedente. Eiusq; rei prædicta causa est, idq; maximè vbi vteri incrementum fœtui subduxerunt, aut ipsis aluus vehementer conturbatur. Eoq; tempore quo fœtus perdūt, imbecillitas, febris vehemens, cibiq; fastidium accedit. Ad id hæc quoq; causa accedit, si vteri aut à natura, aut ex vlceribus in his subortis lubrici fuerint. Si nanque vteri læuore correpti fuerint, interdum fœtum continentes membranę minùs quàm conueniat adhærescunt, condensatis nimirum vteris. Quæ singula is agnoscat, qui in hæc sedulò inquirat. De læuore autem constabit, si mulier alia (neque enim aliàs deceat) vteros dum vacui sunt contrectarit. Quòd si iis menses eunt, confertim feruntur. Quibusdam etiam contingit vt fœtus maturos ferant. Diligens verò adhibita cura, sperabilem partionem facit. Ac de his sic quidem se res habet.

Si mulierem, quæ antea non poterat, puerperam fieri voles, menses spectādi, an pituitosi sint, an verò biliosi. Inde autem nosces. Arena tenui & sicca dum menses feruntur supposita, in sole sanguinis aliquid infundito, & siccari permittito. Quòd si quidem biliosa fuerit, siccatus in arena sanguis pallidus erit; si verò pituitosa, ad instar muci. Horum quodcunque fuerit, ventrē purgato, siue sursum opus erit, siue deorsum, postea vteros purgato. Si verò voles vt concipiat, hederæ grana septem, aut foliorum succum singulis mēsibus desinentibus menstruis, ex vino veteri potui exhibeto. Ex malicorio etiam in vino odorato meraco cocto glandem efformatam, ad meridiem vsq; subdito, aut alumen Ægyptium tenuiter tritum in vellere ligatum supponito. Quo deinde simul vt sol occiderit detracto, vino odorato eluatur. Hæc autē cessantibus mensibus facienda. Sed & hæc sic se res habet. Vbi repurgatæ mulieres fuerint, tum potissimùm concipiunt, viri cōgressu potitæ, & genitura robur acquirit si tempestiuè liberis operam dederint, virique semen facilè commiscetur, & si temperationem acceperit, cum eo germanam init societatem. Tunc enim maximè vterorum os apertum est, & distētio quædam etiam post purgationes manet, venæq; genituram attrahunt. At contrà priùs tum os vterorum conniuet, tum sanguinis copia magis refertæ venæ, genituram non æquè trahunt. Quòd si genitura continuo cursu defluat, neque mulier viri complexum appetit, neque eo potita concipit, lumborum & coxendicum dolore vexatur, eamq; febris lenta detinet, viriumq; debilitas & animi deliquium accedit, interdumq; vteri sua sede non manent. Si igitur præ copia effluat, eam missam facere optimum. Si verò vterus laxetur, in victus ratione alica vtatur, carne suilla, aut palumbo, aut vino nigro. Potionibus autem his quæ aduersus muliebre profluuium paulò post describentur. Nunc verò de prægnantium morbis dicendum. Mea sententia, si mulieri fœtum duorum aut trium mensium, aut grādiorem vtero gerenti, menses confestim singulis mensibus prodeant, ea vt tum extenuetur, tum debilis reddatur necesse est. Interdum etiā quandiu menses prodeunt, febris corripit, cumq; fluunt, & vbi effluxerint ex virore pallescit, quantumuis parcè fluant. His vteri plus æquo dehiscunt. Vbi enim mulier vterum gerit, sensim à toto corpore sanguis in vteros defertur, & velut in orbem id quod in vteris est circumsistēs, ipsum auget. Si autem vteri plus æquo dehiscant, sanguinem singulis mensibus, sicut prodire consueuit, effluere sinunt, & quod in vteris continetur tenue & debile euadit. Verùm si diligens cura adhibeatur, tum mulier, tum fœtus meliùs habet. Si verò nulla adhibeatur, fœtus corrumpitur. Quinetiam ipsa in periculum venit ne diuturno morbo teneatur, si ei longior quàm conueniat purgatio prodeat. Sed & post corruptionem periculum etiam imminet, vteris nimirum magis apertis. Si verò mulieri vtero gerenti caput pituita redundarit, pituita acris in ventrem fertur, & ex capite in ventrem cum impetu decidit,

[109] Ἢν γυναῖκα μὴ δυναμένην τεκέειν ἐθέλῃς γενέσθαι, χρὴ τοῖσιν ἐπιμηνίοισι σκέψασθαι, ἤν τε φλεγματώδεα, ἤν τε χολώδεα ᾖ. γνώσῃ δὲ τῷδε. ψάμμον ὑποβάλλων λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια γίνηται, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος, [110] καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐν τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν ἔσται. ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁκότερον ἂν ᾖ, καθῆραι τὴν κοιλίην, ἤν τε ἄνω δέῃ, ἤν τε κάτω. ἔπειτα τὰς ὑστέρας καθαίρειν. ἢν δὲ θέλῃς ξυλλαβεῖν, τοῦ κισσοῦ ἑπτὰ κόκκους, [111] ἢ τῶν φύλλων κατὰ μῆνα πίνειν, ἐν οἴνῳ παλαιῷ παυομένων τῶν ἐπιμηνίων, [112] ἑψήσας καὶ σίδιον ἐν οἴνῳ εὐώδει ἀκρήτῳ. καὶ βάλανον ἐκ τούτου ποιήσας, προσθεῖναι ἔς τε μεσημβρίην, ἢ στυπτηρίην αἰγυπτίην τρίψας λείην ἐς εἴριον ἐνδήσας προστίθεσθαι. ἦμος δὲ ἥλιος δύῃ, εἶτα ἀφελκομένη, διαχνιζέσθω οἴνῳ εὐώδει. ποιέειν δὲ ταῦτα, παυομένων ἐπιμηνίων. ἔχει δὲ καὶ τόδε, οὕτως. Ἐπὴν ἀποκαθαρθῶσιν αἱ γυναῖκες, μάλιστα ἐν γαστρὶ λαμβάνουσιν, [113] ἱμερωθεῖσαι, καὶ ὁ γόνος σφίσι ῥώννυται, ἢν μισγέωσιν ὅτε χρὴ, καὶ ὁ τοῦ ἀνδρὸς ῥηϊδίως μίσγεται. [114] καὶ ἢν ἐπικρατήσῃ τῷδε ἠδελφισται. τότε γὰρ μάλιστα τὸ στόμα τῶν μητρέων κέχηνε, [115] καὶ τέταμος ἐστὶ καὶ μετὰ τὰς καθάρσιας, καὶ αἱ φλέβες τὴν γονὴν σπῶσιν. ἐν δὲ τῷ πρὶν χρόνῳ, τό, τε στόμα τῶν μητρέων μέμυκε. καὶ μᾶλλον αἱ φλέβες πλέαι αἵματος ἐοῦσαι, οὐχ ὁμοίως σπῶσι τὴν γονήν. [116] ἢν δὲ γόνος ἀπορρέῃ διίπετης, καὶ ἡ γυνὴ τῷ ἀνδρὶ οὐ ξυμμίσγεσθαι φιλέει, καὶ ξυνεοῦσα οὐ κυΐσκεται, [117] καὶ ἢν ὀσφὺς καὶ τὰ ἰσχία πόνους παρέχωσι, καὶ μὴ πῦρ ἔχῃ βληχρὸν, καὶ ἀδυναμίη καὶ ἀψυχίη ἐπιγίνηται, καὶ ἔστιν ὅτε αἱ ὑστέραι ἐν τῇ σφέων αὐτέων μὴ εἰσὶν ἕδρῃ. ἢν μὲν οὖν ὑπὸ πλησμονῆς ἴῃ, ἐᾶν ἄριστον. ἢν δὲ ὑστέρη χαλάσῃ, δίαιτα χόνδρος, κρέας ὕειον, ἢ φάσσης, ἢ οἶνος μέλας. ποτήματα δὲ ὅσα πρὸς ῥόον γεγράψεται. Νῦν δὲ ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. Φημὶ τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ δίμηνον ἢ τρίμηνον καὶ περαιτέρω, [118] ἢν τὰ ἐπιμήνια διαχωρέῃ αὐτίκα κατὰ μῆνα ἕκαστον, ἀνάγκη λεπτήν τέ μιν γενέσθαι, καὶ ἀσθενέα. ἔστι δὲ ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια. καὶ ἐπὴν χωρέῃ, καὶ μετὰ τὴν χώρησιν χλωρὴ γίνεται, καὶ χωρέῃ δὲ ὀλίγα. ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, [119] παραμεθίασι τε τῆς αὔξης τοῦ ἐμβρύου. κατέρχεται γὰρ ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνὴ ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ' ὀλίγον, καὶ περιϊστάμενον κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν, αὔξει κεῖνο. ἢν δὲ χάνωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ παραμεθίασι τοῦ αἵματος κατὰ μῆνα, ὥσπερ εἴωθε χωρέειν. καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν λεπτόν τε καὶ ἀσθενὲς γίνεται. [120] μελεδαινομένης δὲ τῆς γυναικὸς, ἄμεινον τό, τε ἔμβρυον καὶ αὐτὴ ἡ γυνή. ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον. κινδυνεύει δὲ καὶ αὐτὴ, τὸ νούσημα χρόνιον ἔχειν, ἤν οἱ ἡ κάθαρσις πλέον τοῦ δέοντος χωρέῃ. μετὰ τὴν διαφθορὴν οἷα τῶν μητρέων μᾶλλον ἐστομωμένων, καὶ κίνδυνος ἔσται. Ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης ᾖ, [121] καταβαίνει τὸ φλέγμα δριμὺ ἐς τὴν κοιλίην, [122] καὶ καταρρήσσει ἀπὸ τῆς κεφαλῆς τὴν κοιλίην,

καὶ πῦρ

καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρόν,[123] καὶ παλμοὶ ἔστιν ᾗσιν ἀσθενέες ὑπεκλυόμενοι, ἐπὴν ἀναδιδόντες ὀξέες. ἢν δὲ καὶ ἀσιτίη ἔχῃ καὶ ἀδυναμίη, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον. καὶ αὐτὴ[124] ἐν κινδύνῳ ἔσται ἀπενιωθῆναι, ἢν μὴ μελεδαίνηται. ἐπὴν δὲ ἀποφύγῃ ἅτε τῆς κοιλίης ὑγρῆς ἐούσης αὐτίκα δεῖ καταλαμβάνειν. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, ἐν οἷσι τὰ ἔμβρυα φθείρονται. καὶ γὰρ ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ, καὶ ἀσθενήσῃ,[125] καὶ ἄχθος βιήσηται, ἢ πληγῇ, ἢ πηδήσῃ, ἢ ἀσιτήσῃ, ἢ λειποθυμίη ἔχηται, ἢ πλέονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ, ἢ δειδίσσηται,[126] καὶ πτύρηται, ἢ κεκράγῃ, ἢ ἀκρατήσῃ. καὶ γὰρ καὶ τροφὴ αἰτίη φθορῆς, καὶ πόμα πουλύ. καὶ αὐταὶ δὲ μῆτραι ἔχουσι φύσιας ᾗσιν ἐξαμβλίσκονται, οὖσαι πνευματώδεες, πυκναί, μεγάλαι, μικραί, καὶ ἄλλα ὅσα ἔοικεν. Ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα, τὴν κοιλίην, ἢ τὴν ὀσφὺν πονέῃ, ὀρρωδέειν χρὴ τὸ ἔμβρυον ἀμβλώσῃ ῥαγέντων τῶν ὑμένων, οἳ αὐτὸ περιέχουσιν. εἰσὶ δὲ αἳ διαφθείρουσι τὰ ἔμβρυα, ἢν δριμύ τι ἢ πικρὸν φάγωσι παρὰ τὸ ἔθος ἢ πίωσι, νηπίου τοῦ παιδίου εἴσω ἐόντος. ἢν γὰρ τῷ παιδίῳ παρὰ τὸ ἔθος τι γένηται,[127] καὶ ἢν σμικρὸν ἔτι ᾖ, θνήσκει.[128] καὶ ἢν τοιαῦτα φάγῃ ἢ πίῃ ὡς προείπομεν, ὥστε οἱ ἀνάγκη ταραχθῆναι τὴν κοιλίην, νηπίου ἐόντος τοῦ παιδίου. ἐπαΐουσι γὰρ αἱ μῆτραι τοῦ ῥεύματος χωρέοντος ἐκ τῆς κοιλίης. καὶ ἢν ταλαιπωρήσῃ ἡ γυνὴ πλέονα τοῦ καιροῦ, καὶ οἱ ἡ κοιλίη ἐρχθῇ ἢ καὶ μεγάλη γένηται, ἀπογίνεται καὶ οὕτως τὸ παιδίον, οἷα θερμανθὲν ὑπὸ τῆς ταλαιπωρίης, καὶ πιεζόμενον ὑπὸ τῆς κοιλίης. κάρτα γὰρ τὰ πολλὰ σμικρὰ ἐόντα, ἔστιν ἄγυια. τὰ δὲ καὶ μεγάλα φθείρεται παιδία. ὥστε οὐ χρὴ θαυμάζειν τὰς γυναῖκας,[129] ὅτι διαφθείρουσιν ἄκουσαι. φυλακῆς γὰρ καὶ ἐπιστήμης πολλῆς δεῖ, ἐς τὸ διενεγκεῖν, καὶ ἐκθρέψαι τὸ παιδίον ἐν τῇσι μήτρῃσι[130] καὶ ἀποφυγεῖν αὐτὴν ἐν τῷ τόκῳ.

Εἰ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα τὸ σῶμα φλαύρως ἔχοι, καὶ εἴη χολώδης καὶ ἐπίπονος, καὶ πυρεταίνοι ἄλλοτε καὶ ἄλλοτε, καὶ τὸ στόμα ἐκπικράζοιτο, καὶ χλωρὴ γλῶσσα. ὄμματα ἰκτερώδεα. ὄνυχες χολώδεες. οὖρον δριμύ. ἄλλως τε καὶ εἰ πυρεταίνῃ, ἄλλοτε καὶ ἄλλοτε ταῦτα ξυμβήσεται. ἐπὴν δὲ συμβῇ οἱ καὶ τὴν κάθαρσιν χολώδεα εἶναι πᾶσα ἐλπὶς, καὶ τὰ παιδία ἀσθενέα ἔσεσθαι. ἢν χολώδεα ἀποπατέῃ, κάρτα δὲ γίνεται τοῦτο, ῥηΐτερον διάξει. καὶ ἢν χολώδεα τὰ λοχεῖα ἢ μέλανα ἔῃ, κάρτα καὶ ἐπιπολὺ λίπος ἐπιγίνεται, καὶ ἔρχεται κατ' ὀλίγον, καὶ οὐ ταχὺ πήγνυται. καὶ τὸν μὲν πρῶτον χρόνον ῥηϊτέρως οἴσει, ἔπειτα χαλεπώτερον, καὶ ἐπικαθαίρεται ἐλάσσονα τοῦ δέοντος. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ τὰ λοχεῖα οἱ ἐλάσσονα χωρήσει καὶ πονηρότερα. πείσεται δὲ ταῦτα πάντα,[131] καὶ ἢν τὰ καταμήνια χωρέηται χολώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει. καὶ κινδύνους ἐς τοὺς αὐτοὺς ἥξει ἡ νοῦσος. καὶ σημήϊα. καὶ μεταλλαγάς.[132] εἰ γὰρ ἔμετος ταύτῃσι χολώδης ἢ κατὰ τὴν κοιλίαν κάθαρσις ἐπὶ ταύτῃ γίνεται. καὶ ἑλκοῦνται αἱ μῆτραι. φυλακῆς δὲ πολλῆς δέεται ἡ γυνή.[133] ὅταν οὖν τοιοῦτόν τι γίνηται, ὅκως μὴ θάνηται ἄφορος ἔσται. ἢν δὲ μηδὲν τουτέων γίνηται, καὶ μὴ μελεδαίνηται, ἀλλά οἱ τὰ λοχεῖα κρυφθῇ, θνήσκει ἐν τεσσαράκοντα καὶ μιῇ ἡμέρῃ ὡς ἐπὶ τὸ πολύ. ταύτῃ φάρμακον πῖσαι χολαγόν.

eamq; febris leuis inuadit, quibusdam etiam palpitationes quę aliquantulum exoluuntur, vbi increscunt graues sunt. Quòd si appetentię deiectio & imbecillitas detineat, periculum est ne breui fœtus corrumpatur, ipsaq; nisi sedulò curetur in periculũ vitæ veniet: vbi autem euaserit, nimirũ cùm aluus sit fluida, eam confestim comprimere oportet. Multa quoq; sunt alia ex quibus fœtui corruptionis periculum impẽdet. Si enim quæ vtero gerit ægrotarit, inualida sit, & onus vi sustulerit, aut plagam acceperit, aut saltarit, aut inedia laborarit, aut animo defecerit, si copiosius aut parcius alimentum sumpserit, aut metu correpta & consternato animo fuerit, aut vociferetur, aut intemperanter viuat. Est enim cibus & potus copiosior corruptionis causa. Quin & ipsi vteri ita sunt à natura comparati vt abortionem faciãt, si flatulenti, densi, magni, parui extiterint, aliisq; similibus affectionibus laborarint. Si mulier quæ vterum gestat, ventris aut lumborum dolore cõflictetur, metus est ne ruptis membranis fœtum quem vndique cingunt, abortione eiiciat. Sunt autem quæ si acre quiddam aut amarum præter consuetudinem ederint aut biberint, fœtus perdunt, cũ adhuc tenellus puellus intus existat. Si quid enim puero præter consuetudinem contingat, idque si paruulus adhuc fuerit, moritur. Et si (quemadmodũ diximus) eiusmodi ederit aut biberit mulier, ex quo tenello adhuc puerulo, ventrem ei exturbari necesse sit. Fluentis enim alui molestiam vteri sentiunt. Quòd si mulier plus æquo laborarit, eiq; venter coarctetur aut dilatetur, sic quoq; fœtus perit, cùm nimirũ ex nimio labore incalescat, & à ventre comprimatur. Plærunq; enim cùm admodum sunt exigui, inualidi existunt. Quin & grandiusculi fœtus etiam corrumpuntur, vt proinde mulieres mirari non debeant, si nolentes fœtum corrumpant. Summa enim cura prouidentiaq; opus est, vt in vteris fœtum perferãt & enutriant, eoq; in partu liberentur. Si verò quæ vtero gerit aduersa vtatur corporis valetudine, fueritq; biliosa & doloribus diuexetur, subindeq; febricitet, os amarescat, lingua ex virore sit pallida, oculi velut regio morbo suffusi, vngues biliosi, & acris vrina, eaq; tum vel maximè si febricitet aliâs atq; aliâs ei contingent. Vbi verò biliosa ei purgatio obtigerit, omnino metuendũ erit fœtus etiam imbecillos fore. Si biliosa per aluum egerat (quod quidem ferè contingit) meliusculè deget. Ac si puerperij purgamenta biliosa, aut atra sunt admodum, fereq; pinguedo accedit, sensimq; feruntur, neque citò concrescunt, tumq; primo quidem tempore faciliùs feret, postea molestiùs, minorque quàm conueniat purgatio consequitur. Eodem autem omnino modo afficitur ac ea cui menses feruntur biliosi, neque tamen tamdiu ægrotabit, ad eademq; pericula, signa & commutationes morbus deueniet. Aut enim iis vomitio biliosa, aut per aluum purgatio in hoc morbo contingit, vterique exulcerantur. Multa autem cura mulier indiget. Cùm igitur tale quid contingit, etsi minimè moritur, infœcunda tamen erit. Si verò nihil horum contingat, nec ipsa sedulò curetur, sed puerperij purgamenta ipsi in occulto delitescant, intra vnum & trigesimum diem ferè perit. Huic medicamentum quod bilem educat propinato.

Confert & anisum, & quæcunq; vrinam mouet. Prodest quoque vomitionem ciere, & sudores elicere, aluumq; ptisanæ cremore, melle, ouis, & maluæ decocto eluere. Quibus vterum gerentibus ad septimũ aut octauum mensem, mammarum ventrisq; plenitudo de repente subsidet, mammæque extenuantur, & lac non apparet, puerũ aut periisse, aut viuere & debilem esse asserendum. Si enim vterum gestent, & menses appareant, & abortiones fiant, si copiosi & graueolentes fuerint, aut morbosi fœtus redduntur. Si mulier vtero gerens pituitosa fuerit, caput dolet, subindeq; febricitat, pituita in capite voluitur, & grauitatis sensum habet & frigoris, in corpus secedit & venas, cùm caput repletum fuerit. Plumbi etiam colorem refert, & vomitione pituitam reddit, lingua exalbescit, vrina ferè exalbida redditur, frigida est, perturbatio adest, & ægrè mouetur. Vbi autem pepererit, purgatio pituitosa procedet, & in qua membranulæ & velut araneorum telæ distentæ apparebunt, iisdemq; quidem omnibus afficietur, quibus ea cui menstrua pituitosa ferebantur, minùs tamen diu ægrotabit, morbusque eadem pericula, signa & commutationes habebit. Ei enim vomitus pituitæ continget, & procedentes affectiones eædem ac superiori. Eodem nãq; modo puerperij purgamenta & menses pituitosi dependent, breuiori tamen quàm menses tempore. Ac nisi ea purgatio quę diu moram traxit affatim erumpat, intra quinque & quadraginta dies perit. Quòd si puerperij purgatio pituitosa ei prodierit, diligenti tamen curatione adhibita mulier cõualescet, sed per initia flatu distendetur, si sana euaserit, cùm grauis futurus sit hic morbus. Huic medicamentum quod pituitam educat exhibendum, & lac caprinum coctum cum melle mixtum. Quibus sæpè oblatis si non cedat, nasturtium exhibendum, aut carthamum, aut cneorum, aut polypodium, aut serum, aut ex salibus compositum medicamentum, & quæcunq; pituitam laxãt & foras educunt. Sed si mulier quæ vtero gerit sub commemoratis affectionibus lienosa fuerit, dũ menses fluunt aquę similia & pituitosa dimittit, & procedent puerperij purgamenta aquas referentia, & interdum quidem copiosa, interdum verò pauca venient, idemque contingit ac si aqua ex carnibus reddatur, non secus ac si quis carnes cruentas abluat, quandoque verò paulò crassiora, neq; concrescunt. Eademq; patietur omnia quæ illa cui aquosi menses prodeunt, eademq; pericula & mutationes morbus habebit. Futurum enim est vt fluor aquosus oboriatur, aut purgatio in occulto delitescat, & ad ventrem & crura, aut ad pectus, aut aliquam ex his partibus conuertatur, eademq; pericula imminebunt, quæ priùs dicta sunt. Si grauida intumescat, vrticæ semen quàm plurimum cum melle & vino odorato temperato bis die in potu exhibẽdum. Si prægnantem bilis molestia afficiat, ptisanæ succum exhibeto, rhoë rubro aut mori arboris fructu asperso, frigidum autem sorbendum dato & conquiescet. Si suffocatio de repente in vtero gerentem incidat, quod accidit potissimùm vbi mulier vehementi labore & inedia confecta fuerit, cùm per vehementem exercitationem vteri incalescant,

καὶ ἄννησον παρέχειν. καὶ ὅσα ἐς οὔρησιν. ἐμέειν δὲ, καὶ ἱδρῶτας ἄγειν. καὶ τὴν κοιλίην κλύζειν χυλῷ πτισάνης, καὶ μέλιτι, καὶ ᾠοῖσι, καὶ μαλάχης ὕδατι. Ἢν ἐν γαστρὶ ἐχούσῃσι περὶ τὸν ἕβδομον, ἢ ὄγδοον μῆνα ἐξαπίνης τὸ πλήρωμα τῶν μαζῶν, καὶ τῆς γαστρὸς ξυμπίπτει. καὶ οἱ μαζοὶ ἐξισχνοῦνται. καὶ τὸ γάλα οὐ φαίνεται, φάναι τὸ παιδίον, ἢ τεθνηκὸς εἶναι, ἢ ζώειν τε, καὶ εἶναι ἠπεδανόν. ἢν γὰρ ἔχωσιν ἐν γαστρὶ, καὶ ἐπιφαίνηται τὰ ἐπιμήνια, καὶ τιτρωσμοὶ γίνονται, ἢν πλείονα ᾖ, καὶ κάκοδμα ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται. ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα φλεγματώδης ᾖ, καὶ τὴν κεφαλὴν ἀλγέει καὶ πυρεταίνει ἄλλοτε καὶ ἄλλοτε. καὶ ἐν τῇ κεφαλῇ εἰλέεται τὸ φλέγμα. καὶ βάρος ἔχει καὶ ψύξιν. καὶ ἐς τὸ σῶμα διαχωρέει, καὶ ἐς τὰς φλέβας ὅταν ἡ κεφαλὴ ᾖ πλήρης. γίνεται δὲ καὶ μολίβῳ τὴν χροιὴν ἴκελος. καὶ ἐμέει φλέγμα. γλῶσσα λευκή. καὶ οὔρησις κοινὴ ἔκλευκος. ψυχρή. τάραξις. δυσκινησίη. ἐπὴν δὲ τέκῃ, χωρήσει οἱ ἡ κάθαρσις φλεγματώδης.[134] καὶ φανεῖται ὑμενώδης. καὶ ὥσπερ ἀράχνια διατεταμένα ἐν ταύτῃ ἔσται. καὶ πείσεται μὲν ταῦτα πάντα, καὶ ἢν τὰ καταμήνια ἐχώρεε τὰ φλεγματώδεα. ἐλάσσονα δὲ χρόνον νοσήσει. καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει. καὶ σημεῖα. καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ αὐτῇ, ἔμετον γίνεσθαι φλεγματώδεα,[135] καὶ παθήματα ὅμοια κείνῃ χωρήσαντα. ἐξήρτηται γὰρ τῷ αὐτῷ τρόπῳ τὰ λοχεῖα, καὶ τὰ καταμήνια τὰ φλεγματώδεα.[136] ἐλάσσονα δὲ χρόνον μὲν τῶν καταμηνίων, καὶ ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι.[137] καὶ ἢν οἱ φλεγματώδης ἡ λοχίη κάθαρσις χωρήσει, μελεδαινομένη δὲ ἡ γυνὴ, ὑγιὴς ἔσται.[138] καὶ φυσηθήσεται ἐξ ἀρχῆς ἢν ὑγιανθῇ.[139] χαλεπὸν γὰρ τοῦτο ἔσται νόσημα. ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ,τι φλέγμα ἄξει. καὶ μίσγειν γάλα ἑφθὸν αἴγειον ξὺν μέλιτι. ἢν δὲ πολλάκις μὴ ἐσακούῃ. κάρδαμον, ἢ κνῆκον, ἢ κνέωρον, ἢ πολυπόδιον, ἢ ὀρρὸν,[140] ἢ τὸ ἀπὸ ἁλῶν ξυντιθέμενον διδόναι, καὶ ὅσα φλέγμα χαλᾷ, καὶ ἀνάγει. ἢν δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα σπληνώδης ᾖ ὑπὸ παθημάτων ὧν εἴρηται, ἐν τῇ νούσῳ τῶν καταμηνίων τὰ ὑδρωποειδέα καὶ φλεγματοειδέα ἀφίησι, καὶ τὰ λοχεῖα χωρήσει ὑδρωποειδέα, καὶ ἐλεύσεται ὁτὲ μὲν πολλὰ, ὁτὲ δὲ ὀλίγα. καὶ γίνεται μὲν ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι. ὁτὲ δὲ ὀλίγῳ παχύτερον καὶ οὐ πήγνυται. καὶ πείσεται ταῦτα πάντα,[141] καὶ εἰ τὰ καταμήνια τὰ ὑδατοειδέα χωρέει. καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει, καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ οἱ ῥόοι γενέσθαι ὑδατώδεα. ἢ κρυφθῆναι τὴν κάθαρσιν, καὶ τραπέσθαι περὶ τὴν κοιλίην, καὶ τὰ σκέλεα, ἢ ἐς τὸ στῆθος, ἤ τι τούτων. καὶ κίνδυνοι ἔσονται οἱ αὐτοὶ, οἳ καὶ πρόσθεν εἴρηνται. Ἢν κύουσα οἰδέῃ, κνίδης καρπὸν ὡς πλεῖστον καὶ μέλι, καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι ποτὸν, δὶς τῆς ἡμέρης. ἢν κύουσαν χολὴ λυπέῃ, πτισάνης χυλὸν δίδου ῥοῦν ἐπιπάσσων τὸν ἐρυθρὸν, ἢ τὸν ἐκ τῆς συκαμίνου, ψυχρὸν δὲ ῥοφεέτω καὶ καταστήσεται. Ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης, ἐχούσῃ ἐν γαστρὶ, γίνεται δὲ τοῦτο μάλιστα ἐπὴν ἡ γυνὴ ταλαιπωρέῃ, καὶ ἀσιτήσῃ θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης. καὶ ἐλάσσονος τῆς ἰκμάδος γινομένης τῷ ἐμβρύῳ,

καὶ ἅτε

καὶ ἅτε τῆς μήτρης κενεωτέρης [142] τῆς κοιλίης τῆς χειρὸς ἐούσης, ἴῃσι τὸ ἔμβρυον πρὸς τὸ ἧπαρ καὶ τὰ ὑποχόνδρια, ἅτε ἰκμαλέα ἐόντα. [143] καὶ πνῖξιν ποιήσει ἰσχυρὴν ἐξαπίνης. [144] ἐπιλαμβάνεται γὰρ τὸ διάπνοον τὸ ἀμφὶ τὴν κοιλίην. καὶ ἀναυδίην ἴσχει τὴν γυναῖκα. καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν. καὶ τὰ ἄλλα πάσχει πάντα ὅσα περ εἴρηται. [145] ἢν τινα ἔφθασε τῆς μήτρας πνιγείη, καὶ ἅμα τε ἄρχεται ἡ πνὶξ γίνεσθαι τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικί. καὶ ἀπὸ τῆς κεφαλῆς καταῤῥεῖ φλέγμα εἰς τὰ ὑποχόνδρια, οἷα τοῦ σώματος μὴ δυναμένου τὴν ἀναπνοὴν ἕλκειν. καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ καταβάσει ἴῃ τὸ ἔμβρυον, ἐς χώρην τὴν ἑωυτοῦ, [146] ὅλην τὴν ἰκμάδα ἑλκύσαν, καὶ κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, ὑγιὴς γίνεται ἡ γυνή. ψυσμὸς δὲ γίνεται, [147] λιπόντος τοῦ ἐμβρύου τὴν χώρην τὴν ἑωυτοῦ. καὶ ἡ γαστὴρ ὑγρὴ γίνεται ὡς ἐπὶ τὸ πλεῖον τῆς γυναικός. ἢν δὲ μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχει ἐς χώρην τὴν ἑωυτοῦ, δύο γίνεται ἤδη τὰ πονέοντα τὸ ἔμβρυον· τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς. βαρύνει τε γὰρ καὶ ψύχει ἐπιμένον, καὶ ἡ ἀηθείη τοῦ χωρίου. καὶ κινδυνεύσει, ἤν γε μή τις ἐν τάχει ἐπιτηδειοτέρως διαιτῶν, ἀποπνιγείη γὰρ ἂν ἡ γυνή. καὶ τὰ μὲν ἀμφὶ τούτων ὧδε ἔχει. ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου 20 παρῇ, καὶ ὠδῖνας ἔχῃ, καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τοῦ παιδίου μὴ οἵη τε ᾖ, ὡς ἐπίπαν ἔρχεται πλάγιον, ἢ ἐπὶ πόδας. χρεῶδες δὲ ἐπὶ κεφαλὴν χωρέειν. καὶ ἢν πλάγιον ἴῃ, χαλεπὸν γίνεται τὸ πάθημα. ὡς γὰρ εἴ τις ἐς λήκυθον μικρόστομον πυρῆνα ἐμβάλοι ἐλαίης, οὐκ εὐφυὲς ἐξελθεῖν πλαγιούμενον, οὕτω δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα τὸ ἔμβρυον ἐπειδὰν λοξωθῇ, καὶ γὰρ χαλεπὸν ἐξελθεῖν. [148] χαλεπὸν δὲ καὶ ἢν ἐπὶ πόδας χωρήσῃ καὶ πολλάκις ἢ αἱ μητέρες ἀπώλοντο, ἢ τὰ παιδία, ἢ καὶ ἄμφω. ἔστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν, ἢ ἀπόπληκτον, [149] ἢ διπλόον ᾖ. 30

Ἐπὴν ἐν γαστρὶ ἡ γυνὴ ἔχῃ, χλωρὴ γίνεται πᾶσα, ὅτι αὐτέης τοῦ αἵματος αἰεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην [150] ὑπολείβεται ἐκ τοῦ σώματος, καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον, καὶ αὔξη οἱ γίνεται. καὶ ἐλάσσονος τοῦ αἵματος ἐόντος ἐν τῷ σώματι ἀνάγκη εἶναι χλωρήν. καὶ ἱμείρεσθαι ἀλλοκότων αἰεὶ βρωμάτων. [151] καὶ ἐπὶ κοιλίην αἱματώδεα ἰέναι. καὶ ἀσθενεστέρη γίνεται, ὅτι τὸ αἷμα μινύθει. φημὶ δὲ γυναῖκα ἢν ἐπίτεξ ᾖ πνεῦμα πυκνὸν ἀφιέναι. καὶ ἢν ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστί. καὶ θέρμῃ πιέζονται. μάλιστα δὲ ἀναπνέει πυκνὸν ἐπὴν τόκου πελάζῃ, καὶ τὴν ὀσφὺν τότε μάλιστα πονέει. φλᾶται γὰρ καὶ 40 ἡ ὀσφὺς ὑπὸ τοῦ ἐμβρύου. καρδιώσσει δὲ ἐν τῷ μεταξὺ σύμπαντι χρόνῳ, ἄλλοτε καὶ ἄλλοτε. ἅτε τῆς κοιλίης πιεζομένης ἀμφὶ τὸ ἔμβρυον. μάλιστα δὲ τῆς ὑστέρης. [152] καὶ ἢν τεκούσης ὑστέρη ἐξανεμωθῇ, ἧπαρ οἰὸς, ἢ αἰγὸς, ἐς τέφρην κρύψαι. καὶ μετέπειτα ἑψεῖν, καὶ λαμβάνειν καὶ οἶνον ἢν μή τι κωλύῃ, πίνειν ζωρότερον παλαιὸν, ἐπὶ τέσσαρας ἡμέρας, ἢν πόῤῥωτέρω ᾖ ἀπὸ τοῦ τόκου. ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, ἄνισον καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ τῷ θερμῷ λουέσθω. ἢν δὲ ἆσθμα λάζηται, θείου ὅσον κύαμον, καὶ καρδαμώμου ἴσον, καὶ πηγάνου, καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας, καὶ 50 διεὶς οἴνῳ, δίδου πίνειν νήστει, καὶ σιτίων ἀπεχέσθω πυκνά.

& paucior fœtui suppetit humiditas, cumque vterus nimirum sua cauitate plus æquo inanis existat, fœtus ad hepar & præcordia nimirum humore scatentia recta fertur, vehementemque de repente suffocationem afferet. Perspirationem enim quę circa ventrem fit intercipit, & loquendi impotentia mulierem detinet, oculorum partes albas sursum conuertit, reliquaque vniuersa patitur quæ commemorata sunt, si quæ non prægnans vteri strangulatu laborauerit. Et cùm primùm mulieri vtero habenti suffocatio incipit, pituita etiam in præcordia à capite defluit, corpore nimirum spiritum trahere non valēte. Quòd si vnà cum pituitæ descensu, fœtus à pituita delatus, & secum attracta tota humiditate, in suum locum venerit, mulier conualescit. Excitatur autem stridor, dum fœtus locum suum deserit, mulierísque venter ferè fluidus redditur. Sed si breui ad suum locum fœtus non veniat, tum duo fœtui molestiam afferunt, pituita quæ à capite deorsum delata ipsum grauat, & permanēs refrigerat; & loci insolentia. Tumque is periclitabitur, & mulier suffocabitur, nisi quis breui magis accommodatam victus rationem adhibuerit. Ac de his quidem sic se res habet. Si verò mulieri vterum gerenti iam pariendi tempus instet, ac parturiēdi dolores detineant, diuque in enitendo laboret, is transuersus, aut in pedes ferè exit, in caput autem prodire præstiterit. Quòd si transuersus exeat, grauis euadit affectio. Non secus enim ac si quis in ampullam oleariam angusti oris, oliuæ nucleum immittat, qui transuersus non facilè educitur, eodem planè modo etiam mulieri grauis est affectio vbi fœtus transuersus descendit, sic enim molestè educitur. Graue verò etiam est si in pedes prodeat, & plærunque aut matres, aut puelli, aut ambo etiam perierunt. Id quoque magnopere in causa est cur non facilè exeat, si mortuus, aut syderatus, aut duplicatus fœtus fuerit. Vbi vterum gestat mulier tota pallida redditur, quoniam qui in ea purus est sanguis semper quotidie è corpore aliquantulum stillat, & ad fœtum fertur, eique in alimentum cedit, cumque paucus in corpore sanguis existat, eam pallidam esse necesse est, semperq; abhorrentes cibos appetere, & ad ventrem sanguinea subire. Debilior etiā redditur, quòd sanguis imminuitur. Mea autem sententia mulier vbi partui vicina est, crebrum spiritum emittit, siq; purgatio incipiat, venter plenus est, & à calore vrgetur. Tum verò potissimùm crebrum spiritum ducit, vbi partui proxima est, tumq; præcipuè lumborum dolore affligitur, cùm siquidem lumbi à fœtu collidantur. Toto verò intermedio tempore oris ventriculi dolore subinde premitur, cùm nimirum venter, ac præcipuè vterus, fœtum vndiq; complectatur & comprimat. At si puerperæ vterus flatu impleatur, ouis aut capræ iecur cineribus contectum, deinde coctum, in cibum sumendum, & vinum vetus meracius, si nihil prohibeat, per dies quatuor bibendum, si longiùs absit à partu. Quòd si lumborum dolore conflictetur, anisum & cuminum Æthiopicum bibat, & calida lauet. Si verò frequens anhelatio (asthma vocatur) prehendat, sulphuris fabæ quantitatem, cardamomi, rutæ, & cumini Æthiopici parem modum, hæc trita, vino macerata, ieiunæ potui exhibeto, & cibis frequentibus abstineat.

Si in partu purgatio copiosa decurrat, vterus contrahitur, & vesica & intestinum, neque stercus, neque vrinam continent, sed emittunt. Oua igitur sorbenda dato, & panem subcineritium edendum, & quæ scripta sunt reliqua. Si quæ adhuc in partu est, sicca fuerit, nec nisi ægrè humectetur, oleum bibendum, & loci oleo calido, & maluæ decocto calido perfundendi, & cerato liquido illinendi, adipe etiam anserino cum oleo infuso. Sin autem parere nequeat, resinam, aut cuminum, aut pini corticem ad suffitum adhibeto. Qui in partu, aut ex partu vteri tumores contingunt, eos, vti Medici faciunt, constringere non oportet, verùm præstantissima medicamenta adhibenda, cumini Æthiopici quantum tribus digitis continetur, anisi & seseleos quantum quinque aut sex, radicis pæoniæ, aut etiam seminis concham testæ maioris dimidiam. Hæc ex vino albo grati odoris ieiunæ præcipuè exhibeto. Aut dauci Æthiopici radicem, seseli, pæoniæ radicem, ad eundem modum. Aut hipposelini, aut dauci Æthiopici semen eodem modo, aut crethmi radicem, aut cumini Æthiopici quatuor Atticorum obolorum pondus. Aut piper, anisum, daucum, pæoniæ Atticæ radicem, hæc ex vino albo trita propinato, aut myrtidani duos aut tres surculos, & cuminum Æthiopicum, & pæoniæ radicem, aut etiam lini semen similiter, quod etiam tussientibus pueris in cibo exhibent, cum oui vitello assato, & sesamo torrefacto. Si puerperæ pudenda vlcere superficiario laborent, amygdalas tritas & medullam bubulam aqua decoquito, paucaque farina iniecta pudenda illinito, & myrtillorum decocto eluito. Iam verò de puerperij purgamentis, & his quæ post partum prodire solent, nobis est dicendum. Vbi mulieri aut puerperij purgamenta non expurgantur, aut menses non eunt, aut induratur vterus, & lumborum dolor adest, & laterum quidem inanitates, inguina, femora & pedes acerbè dolent, venter attollitur, & horrores per corpus cum impetu erumpunt, ex his verò febres acutæ oriuntur. Hanc cùm sic habuerit, si quidem febris expers sit, balneis curato, caputque oleo anethino illinito. Maluæ decoctum, aut in id affusum oleum cyprinum, ad insessum, doloris leniendi gratia adhibeto. In omnibus autem morbis in quibus fotus conducit, præstiterit post fotum pingui aliquo perungi. At si febris detinet, à balneo abstinendum, fotibus autem & tepefacientibus imus venter & lumbi curãdi. Ex medicamentis autem quæ ad vterum faciũt, quædam potui sunt exhibenda, admixtis sepiæ ouis & castorio. Deinde farinam cum ruta coctam, aut ptisanæ succum sorbendum dato. Si verò mulieri vna cum puero in partu humor vt conuenit, non effluat, quinetiam si quidem caput in se humorem calore attractum contineat, in partu & paulò antè caput ei dolebit. Quòd si cumulatus in ventrem veniat, vbi commotus fuerit, ipsum cõturbabit, nihilq; vlterius. Succurrendum autem, vt ne corpore malè affecto, succedens inde alui profluuiũ, ipsam affligat. Quòd si ex capite delata fluxio, ad puerperij purgationem se cõuertat, multumq; commoueatur, melius habet. Si verò plus æquo, diligentem curam adhibeto. Sin ad ventrem se cõuertat, facilior vtiq; puello exitus pateat. At si modica purgatio mulieri procedat, vehemens dolor lũbos occupat.

ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλή, [153] ἡ ὑστέρη ξυνέλκεται, καὶ ἡ κύστις, καὶ ἔντερον, καὶ οὔτε τὸ κόπριον κατέχουσι, καὶ τὸ οὖρον, περιίενται δέ. [154] ᾠὰ οὖν ῥοφεῖν διδοῦ. καὶ ἄρτον ἐγκρυφίην τρώγειν, καὶ ἄσσα λοιπὰ γέγραπται. ἢν δὲ ἡ ἐν τόκῳ ἐοῦσα, ξηρὴ καὶ δύσικμος, ἔλαιον πίνειν, καὶ καταιονᾶν τὰ χωρία ἐλαίῳ θερμῷ, μαλάχης ὕδωρ, κηρωτῇ ὑγρῇ διαχρίειν, καὶ ἔγχυτον χηνὸς ἄλειφα ξὺν ἐλαίῳ. ἢν δὲ μὴ δύναιτο τίκτειν, ὑποθυμιᾶν ῥητίνην, ἢ κύμινον, ἢ πίτυος φλοιόν. [155] καὶ τοῦτο ὑποθυμία. ἄσσα δὲ οἰδήματα γίνεται ὑστερικὰ ἐν τόκῳ, ἢ
10 ἐκ τόκου, οὐ χρὴ στύφειν οἷα οἱ ἰητροὶ ποιέουσι. τὰ δὲ φάρμακα ἄριστα προσφέρειν κύμινον αἰθιοπικόν, ὅσον τρισὶ δακτύλοισι. καὶ τοῦ ἀννήσου. καὶ τοῦ σεσέλιος πέντε, ἢ ἕξ. γλυκυσίδης χηραμύδος ἥμισυ τῆς ῥίζης, ἢ καὶ τοῦ σπέρματος. ταῦτα ἐν οἴνῳ λευκῷ ἡδυόδμῳ μάλιστα νήστει διδόναι. ἢ δαύκου ῥίζαν αἰθιοπικοῦ. σέσελι. γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον. ἢ ἱπποσελίνου. ἢ δαύκου αἰθιοπικοῦ καρπὸν ὡσαύτως. ἢ κρήθμου ῥίζαν. ἢ κυμίνου αἰθιοπικοῦ ἀττικὸν τετρώβολον. ἢ πέπερι. ἄννησον. δαῦκος. ἀκταίης γλυκυσίδης ῥίζα. ταῦτα ἐν οἴνῳ τρίβειν, καὶ διδόναι πίνειν, ἢ μυρτιδάνου
20 κλωνία δύο, ἢ τρία. καὶ κύμινον αἰθιοπικόν. γλυκυσίδης ῥίζαν. ἢ καὶ λίνου σπέρμα ὁμοίως. ὃ καὶ τὰ παιδία βηχώδεα ψωμίζουσι, ξὺν ᾠοῦ ὀπτοῦ λεκίθῳ, ξὺν σησάμῳ πεφρυγμένῳ. [156] ἢν παιδίου ἄφθα τὰ αἰδοῖα, ἀμύγδαλα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἕψειν. καὶ ἄλητον ἐμβάλλων σμικρόν, διαχρίειν τὰ αἰδοῖα. καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων. νῦν δὲ ἐρέω ἀμφὶ λοχείων, καὶ τῶν μετὰ τὸν τόκον ἰόντων. ὁταν γυνή, ἢ τὰ λοχεῖα μὴ καθαρθῇ, ἢ τὰ ἐπιμήνια μὴ ἴῃ, ἢ ὑστέρη σκληρὴ ᾖ, ἢ ὀδύνη ἔχῃ τὴν ὀσφῦν, καὶ τοὺς μὲν κενεῶνας, καὶ βουβῶνας, καὶ μηρούς, καὶ πόδας ἀλγέῃ πικρῶς, καὶ ἡ
30 γαστὴρ ἐπαίρηται, καὶ φρῖκαι διὰ τοῦ σώματος διαΐσσωσιν, ἐκ δὲ τουτέων πυρετοὶ γίνονται ὀξέες. ταύτην τὴν οὕτως ἔχουσαν, ἢν μὲν ἄπυρος ᾖ, διαιτῶν λουτροῖσι. λιπαίνειν δὲ καὶ τὴν κεφαλήν, ἐλαίῳ ἀνηθινῷ. ἕψειν δὲ μαλάχην. ἢ ἔλαιον κύπρινον ἐς ὕδωρ ἐγχέειν, καὶ ἐγκαθίζεσθαι παρηγορικῶς. ἐν πάσῃσι δὲ τῇσι νούσοισιν ἐφ' ὧν πυρίη ἀρήγει, ἄμεινον ὕστερον χρίεσθαι καὶ λίπα. ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι: πυρίῃσι δὲ καὶ χλιάσμασι τὴν νειαιρὰν γαστέρα, καὶ τὴν ὀσφῦν θεραπεύειν. διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν προσμίσγοντα ἢ τὰ σηπίης τῶν ᾠῶν, ἢ τοῦ κάστορος. μετὰ δὲ τοῦτο ῥοφέειν διδόναι
40 ἄλητον ξὺν πηγάνῳ ἑφθόν, ἢ πτισάνης χυλόν. ἢν δὲ γυναικὶ μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ [157] μὴ ἴῃ τὸ ὑγρὸν ὡς χρή, ἀλλὰ μένῃ ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ὑπὸ θέρμης εἰρυσθὲν ἐν τόκῳ καὶ πρίν, ὀλίγον κεφαλαλγήσει. ἢν δὲ ἐς τὴν κοιλίην ἔλθῃ ἁλές, ἐπειδὰν συσθῇ, ταράξει αὐτήν, καὶ οὐχὶ πόρρω. ἐπιμφορέειν δέ [158] ὡς μὴ ἐκ τούτου διάρροια ἐπιγινομένη σώματι φλαύρως ἔχοντι, πιέσῃ μιν. ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα ἐς τὴν λοχείην κάθαρσιν τράπῃ, καὶ πολλὰ συσθῇ, ῥηΐζει. ἢν δὲ πλέον τοῦ μετρίου, μελεδαίνειν. ἢν δὲ ἐς τὴν κοιλίην, ῥα-
50 στέρη ἂν ἡ ἔξοδος τῷ παιδίῳ γίνοιτο. εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέοι, πόνος λάζηται ἰσχυρὸς ἰξύας τε,

καὶ τὰ

καὶ τὰ ἀμφὶ τὰ αἰδοῖα πάντα χωρία, καὶ οἰδέει. καὶ οἱ μηροὶ πίμπρανται. καὶ ἐκ τοῦ στόματος καὶ ἐκ τῶν ῥινέων, ῥέει φλέγμα ἰσχυρῶς ὑδαρές. καὶ ἀλγέει κεφαλήν, καὶ πῦρ ἔχει. καὶ φρίκη.[159] καὶ οἰδέει.[160] καὶ οἱ ὀδόντες βρύχουσι. καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται. καὶ ἡ κύστις καὶ τὰ ὄμματα ἀναδινέει. καὶ ζοφοειδὲς ὁρῇ. Γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ κάθαρσις ἐπὴν ἴῃ, οὐκ εὐπετέως χωρέει, οἷα τῶν μητρέων ἐν φλεγμασίῃ γινομένων. καὶ τοῦ στόματος σφέων μύσαντος. περιειλεῦνται δὲ ὁ στόμαχος τοῦ αἰδοίου μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν.[161] ἢν γὰρ τούτων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις. ἢν δὲ μὴ χωρέῃ οἱ κάθαρσις, ξυμβήσεται ὥστε μιν πυρεταίνειν καὶ φρίκην ἔχειν. καὶ τὴν γαστέρα μεγάλην εἶναι. ἢν δὲ ψαύσῃ αὐτῆς, ἀλγέειν πᾶν τὸ σῶμα, μάλιστα δὲ ἤν τις τῆς γαστρὸς ψαύσῃ, καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε. καὶ ὀσφὺν πονέει. καὶ ἀσιτίη, καὶ ἀγρυπνίη, καὶ νυγμός.[162] ἔπειτα ἡμέρῃ πέμπτῃ ἢ ἑβδόμῃ, ἔστιν ὅτε ἡ κοιλίη ταράσσεται, καὶ ὑποχωρέει μέλανα, καὶ κάκοδμα κάρτα, ἄλλοτε καὶ ἄλλοτε, καὶ ὡς ὄνειον οὖρον. καὶ ἢν ὑπέλθοι, δοκέει οἱ ῥηΐτερον εἶναι. καὶ μελεδαινομένη, ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μή, κινδυνεύσει διαῤῥοίης αὐτῇ ἰσχυρῆς ἐπιπεσούσης,[163] καὶ τὰ λοχεῖα οἱ κρύπτεται. ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται, μηδὲ ἡ κάθαρσις χωρέῃ αὐτομάτη, μηδέ οἱ προσφέρηται ἐν τάχει τὰ ἐπιτήδεια, ὁ δὲ χρόνος παρείῃ, ποιήσει πολλὰ τὰ προειρημένα.[164] καὶ ἐπὶ τούτοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς ὁ μόλιβδος. καὶ ὑδερωθῆναι. καὶ ὁ ὀμφαλὸς ἐκστήσεται αὐτῇ, ἀειρόμενος ὑπὸ τῶν μητρέων. καὶ ἔσται μελάντερος τῶν πέριξ. καὶ ἐπὴν ταῦτα γένηται, οὐχ οἵη τέ ἐστι περιγενέσθαι ἡ γυνή. θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως τε καὶ τὰ τοῦ σώματος ἔχωσι, καὶ τὰ τῆς πάθης. μηνὸς δὲ καὶ εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσιν ὡς ἐπὶ τὸ πλέον οὕτω ξυμβαίνει. ἢν δέ οἱ ῥαγῇ κάθαρσις εἴτε καὶ ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη. γίνεται γὰρ καὶ τοῦτο. ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι[165] ἢ βιασθεῖσαι ὑπὸ τοῦ αἵματος ἀλέως ἐξαπίνης κατελθόντος, καὶ ἢν ῥαγῇ ἀποκαθαίρεται δύσοδμα, καὶ πυώδεα. ἔστι δ' ὅτε καὶ μέλανα. καὶ ῥηΐτερον ἔσται. καὶ μελεδανθεῖσα ὑγιαίνεται. γίνεται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσιν οἷα τῶν λοχείων σαπέντων. ἢν γὰρ ἐγγένηται, πλείονος μελεδώνης δεήσεται, ὅκως μή οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται. κίνδυνος δὲ ἢ θανεῖν, ἢ ἄφορον γενέσθαι. σημήϊα δὲ ταῦτα γίνεται, ἢν ἕλκεα ἐνῇ. ἐπὴν χωρέῃ ἡ κάθαρσις,[166] δοκέει ὡς ἄκανθα διὰ τῶν μητρέων ἰέναι. καὶ πῦρ μιν λάζεται[167] μάλιστα τὴν κοιλίην ἐπιλαμβάνειν. ἀλγέει δὲ ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ, ὡς ἕλκεος καθαροῦ νευρώδεος εἰ θίγοις. ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσιν ἐς τὰς μήτρας. καὶ πυρετός. ἔστι δ' ὅτε πρὸς χεῖρα βληχρός. καὶ ἄλλοτε καὶ ἄλλοτε ὑπὸ κακοήθεα χωρέει τὰ λοχεῖα. πυώδεα. δύσοδμα. ταῦτα σημεῖα ἐστίν, ἢν ἕλκεα ἐν τῇσι μήτρῃσι ᾖ, καὶ δέεται πολλῆς μελεδώνης.

omnesque partes pudenda complectentes, & caput intumescunt, femoraque incenduntur, ex ore & naribus pituita valdè aquosa effluit, caput dolet, febris & horror detinet, intumescit, dentes fremunt, venter & vesica ei constringentur, oculos obuertit, & caliginosa cernit. Si mulieri partu liberatæ purgatio non expeditè prodeat, exæstuantibus nimirum vteris, eorumq; osculo conniuente. Vteri autem ceruix in sese vndique concidit, simul ac puellus excessit. Si quid enim horum adfuerit, ei purgatio non prodibit. Si verò ei non procedat purgatio, euenit vt eam febris & horror detineat, & vti venter magnus euadat. Quòd si eam attigeris, totum corpus dolet, pręcipueq; si quis ventrem attigerit, subindeque oris ventriculi morsu conflictatur, lumborũ dolore vexatur, cibi fastidium adest, vigilia & corporis compunctio. Deinde quinto aut septimo die quandoq; venter exturbatur, & nigra, subindeq; admodum graueolentia demittit, & vrina qualis asinina redditur. Quæ si subeant, meliùs illi esse videtur, curaque adhibita breui conualescit, alioqui in periculum veniet ne ei vehemens alui profluuium succedat, & puerperij purgamenta in occulto delitescant. At si venter ei non exturbetur, neq; purgatio sponte prodeat, neque ei citò conuenientia adhibeãtur remedia, tempus autem procedat, a multis commemoratis affligetur, quibus accedet vt in periculum veniat, ne velut plumbum liuescat, & in aquam intercutem incidat, eique vmbilicus ab vteris sublatus prominebit & nigrior quàm circumambientes partes euadet. Quæ vbi euenerint, superesse mulier non poterit. Pereunt autem aliæ alio tempore, prout corpus & affectio se habet. Primum tamen ac vigesimum diem non excedunt, itaque ferè vsuuenit. At si illi vel per medicamẽtum, vel sponte purgatio eruperit (id enim vsuuenire solet vbi vteri a sanguine cum impetu de repente confertim delato, os relaxarint) si inquam erumpat, graueolentia & purulenta repurgantur, interdumq; etiam nigra, tumque melius erit, & adhibita cura conualescet. Vlcera autem in vteris etiam oriuntur, putrefactis nimirum puerperij purgamentis. Quæ si oboriantur, maior cura adhibenda erit, ne illi vlcera increscant & computrescant. In periculum autem incurrit ne moriatur, aut sterilis reddatur. Si verò vlcera in vteris insint, hæc signa sunt. Cùm procedit purgatio, velut spina vterum peruadere videtur, eam ardor corripit, ventremq; potissimùm inuadit. Ad contactum partes infra vmbilicum nõ secus dolent, quàm si vlcus purum neruosum contigeris. Deinde vehementes in vteros dolores subinde incidunt, interdumq; febris admodum mitis, & quandoque deferuntur puerperij purgamenta maligna, purulenta & grauiter olentia. Istáque signa se produnt si vlcera in vteris fuerint, magnáque cura indigent. Atque ij quidem sunt huius morbi exitus. Quòd si puerperij purgatio primis quidem tribus aut quatuor diebus prodierit, deinde ei de repente perdatur, in similes, sed minores quàm superior affectiones incidit, eandémq; subit morbus commutationem, diuturnus tamen & priore lenior erit.

ταύτης μὲν νῦν ἀμφὶ τῆς νούσου, τόσαι τελευταί εἰσιν. ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη, τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ. ἔπειτα ἀπόληται ἐξαπίνης ταύτῃ, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφεά. ἧσσον δὲ καὶ ἢν μεταπίπτῃ ἡ νοῦσος, εἰς τωὐτὸ μεταπεσεῖται. χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης.

Rectè autem instituta victus ratione mulier superest, si citò eius cura suscipiatur. Ac de hoc morbo sic se res habet. Si verò ex partu non purgetur, venter intumescit, lien, & crura, febris detinet, rigor corripit, dolores ad lumbos irrumpunt, interdúmque etiam ad viscera, & perfrigeratur, febrisque detinet, pulsus debiles sunt, interdum verò etiam acuti, modò elati, modò deficientes. Hæc ineunte morbo patitur, & sic se habet, procedente autem tempore, cauæ faciei partes rubescunt. Quibus ita habentibus, cibos leues exhibeto, & si quidem turgeat, medicamentum per inferiora purgans propinato, si biliosa quidem fuerit, quod bilem purget, sin autem pituitosa, quod pituitam. Post hoc vteris fomentum ex odoratis adhibendum, & interdiu emolliens in subdititio apponendum. At si duro corpore fuerit, osculum per totum diem fouendum, & emollientia supponenda, deinde calida lauandum, & fistulæ plumbeæ imponendæ. Post hæc autem salis grana & myrrham in panniculum lacerum illigatam, & picem coctam, in vellere exceptam admixtis aromatis, ita vt par cuiusque sit modus, & paruæ gallæ magnitudinem æquet, per diem & noctem supponito. Deinde verò intermissis tribus diebus ex iisdem foueto. In subdititio autem grana cnidia dempto cortice apponito, quantum ad duas potiones satis erit, & piperis grana tenuissimè trita, oleo Ægyptio albo & melle quàm optimo admixto. Hoc lana obductum & circum pennam inuolutum toto die ac nocte supponito. Et si tibi purgata videatur, sinere præstiterit. Si verò purgatione indigere videatur, duobus intermissis diebus, rursus medicamentum ex cucumere syluestri per diem & noctem supponito. Deinde netopum, rosaceum odoratissimum, & cerui adipem liquatū, per diem vnum in vellere subiicito, & calida copiosa quàm blandissimè fieri poterit lauato. Simulatque verò purgatoriis & calida circum partes affectas expurgata fuerit, anserino adipe & myrrha ac resina tepida, vterorum osculum illinendum & fouendum. Postero verò die, vino & oleo narcissino vteros eluat. Quòd si narcissinum desit, vino solo. Hæc autem vno die ante mensium decursum tibi facienda. Vbi autem menses decurrerint, primis quidem diebus melanthium Cyprium tritum affuso salis grano, hoc lana exceptum in corpore paulùm contineat, & vinum merum odoratum ieiuna insuper sorbeat. Vno autē post mensium cessationem die, supposito medicamento quod ex pulegio conficitur, virum adeat, & si conceperit, conualescit. Cibis autem in purgatione accommodatis vtatur, quibus mercurialem incoquere prodest, & porra, allia, & brassicam admiscere & granum. Iusculum ad tres digitos sorbeat, opsoniis marinis potiùs quàm carnibus vtatur, dulcibus autem & oleosis abstineat. Ieiunæ autem semper bibendum quod ex tæda comparatur, donec expurgetur, idque profluentibus mensibus multum bibat. At si mulieri paulò parciora quàm conueniat puerperij purgamenta ferantur, tanquam angustiore vterorum osculo, iisque peruersis, aut aliqua pudendi parte ab inflammatione

διαφθερομένη δὲ ἡ γυνὴ περιγίνεται,[168] ἢν θέρμοι μελεδαίνηται. ἀμφὶ δὲ τῆς νούσου ταύτης ὧδε ἔχει. Ἢν δὲ ἐκ τοῦ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὰ σκέλεα. καὶ πῦρ ἔχει. καὶ ῥίγεα λαμβάνει καὶ ὀδύναι ἀΐσσουσι πρὸς τὰς ἰξύας. ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα.[169] καὶ ἀποψύχεται. καὶ πῦρ ἔχει. σφυγμοὶ βληχροί. ἔστι δ' ὅτε καὶ ὀξέες, ἄλλοτ' ἀειρόμενοι, ἄλλοτε ἐλλείποντες. ταῦτα πάσχει ἀρχομένης τῆς νούσου, καὶ ὧδε ἔχει. ἢν δὲ προΐῃ τοῦ χρόνου, τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται. ὁπόταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία. κἢν ὀργᾷ, φάρμακον πῖσαι κάτω. ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ, τι φλέγμα. μετὰ δὲ τοῦτο, πυριῆσθαι τὰς ὑστέρας εὐώδεσι. καὶ προσθεῖναι μαλθακτήριον τὴν ἡμέρην. ἢν δὲ στερρὴ ᾖ, τὸ στόμα πυριῆν ἅπασαν ἡμέρην, καὶ τὰ μαλθακτήρια προστιθέναι. ἔπειτα λοῦσαι θερμῷ ὕδατι,[170] καὶ τιθέναι τοὺς μολιβδοῦς. μετέπειτα δὲ ἅλας χόνδρους, καὶ σμύρναν ἐς τρυχίον ἀποδήσας[171] καὶ τὴν πίσσαν τὴν ἑφθὴν ἐν εἰρίῳ, ἡδύσματα ξυμμίξας, ἴσον ἑκάστου ποιέων ἴσον κηκῖδι σμικρῇ. προσκείσθω δὲ ἡμέρην καὶ εὐφρόνην.[172] μετὰ δὲ τοῦτο καταλιπεῖν ἡμέρας τρεῖς. καὶ πυριῆσθαι τοῖσιν αὐτέοισιν. προστιθέναι δὲ[173] καὶ κόκκους ἐκλέψας ὅσον δύο πόσιας, καὶ πεπέρεος τρίψας λεῖα, παραμίξας ἔλαιον αἰγύπτιον λευκὸν, καὶ μέλι ὡς κάλλιστον. τοῦτο ἐμπλάσας ἐν εἰρίῳ,[174] καὶ περιελίξας περὶ πτερὸν προσθεῖναι ἡμέρην ἅπασαν καὶ εὐφρόνην. καὶ ἢν σοι δοκέῃ κεκαθάρθαι ἄμεινον ἐᾶν. ἢν δὲ δοκέῃ δεῖσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν. καὶ αὖθις τὸ ξὺν τῇ σικύῃ ἡμέρην καὶ εὐφρόνην προστιθέναι. κἄπειτα τὸ νέτωπον. καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον. καὶ ἐλάφου στέαρ τήξας εἰρίῳ προστιθέναι μίην ἡμέρην. καὶ λούειν πολλῷ τῷ θερμῷ, ὡς οἷόν τε ᾖ εὐμενές. καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένων τὰ ἀμφιπεπονημένα χωρία, ἐναλειφέσθω τὸ στόμα τῶν μητρέων, χηνείῳ στέατι καὶ σμύρνῃ, καὶ ῥητίνῃ χλιαρῇ, καὶ θαλπέτω. κλυζέτω δὲ τὰς ὑστέρας, τῷ οἴνῳ, καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ, τῇ ὑστεραίῃ. ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μόνῳ. ταῦτα ὅκως σοι πρὸ τῶν ἐπιμηνίων ἡμέρῃ μιῇ πρόσθεν ποιήσηται. ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται,[175] τὰς μὲν ἐν ἀρχῇ ἡμέρας, τρίβουσαν μελάνθιον τὸ κύπριον, καὶ ἅλας χόνδρον ἐπιχέασα εἰρίῳ ἀναφορύξαι τοῦτο,[176] ἐν τῷ σώματι ἐχέτω ἐπ' ὀλίγον. καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιρροφεέτω. ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια τῇ ἡμέρῃ τὸ ξὺν τῇ γλήχωνι προσθεὶς,[177] καὶ πρὸς τὸν ἄνδρα ἴτω. κἢν ἐν γαστρὶ σχῇ, ὑγιὴς γίνεται. σιτίοισι δὲ χρέεσθαι ἐν τῇ καθάρσει.[178] πρὸς τούτοις ἀρήγει ἕψειν τὴν λινόζωστιν. καὶ συμμίσγειν πράσα. σκόροδα. καὶ κράμβην,[179] καὶ κέγχρον. καὶ τὸν χυλὸν ῥοφείτω[180] τρισὶ δακτύλοισι. καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι χρήσθω.[181] τῶν δὲ γλυκέων εἰργέσθω καὶ ἐλαιηρῶν. πινέτω δὲ αἰεὶ νῆστιν,[182] τὸ ἀπὸ τῆς δᾳδὸς, ἔστ' ἂν καθαίρηται.[183] ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, μάλα πινέτω. ἢν δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ γυναικὶ τὰ λοχεῖα οἷα τῶν μητρέων στενοστόμων ἐουσέων καὶ παρεστραμμένων, ἢ τοῦ αἰδοίου ἤ τι μεμυκὸς κάρτα ὑπὸ φλεγμασίης.

γμασίης, ἡ γυνὴ πυρεταίνει ὀξέως. καὶ καρδιώσσει. καὶ ἀλγέει τὸ σῶμα πάμπαν.[184] καὶ σφαδάζει. καὶ ἐς τὰ ἄρθρα τῶν χειρέων καὶ τῶν σκελέων. καὶ τῆς ὀσφύος ἡ ὀδύνη φοιτᾷ, καὶ τὸν ἀμφὶ τὴν δέρην τόπον, καὶ ῥάχιν καὶ βουβῶνας ἀλγήσει, καὶ ἀκρατέα τινὰ τῶν μελέων τοῦ σώματος γενήσεται.[185] ἔπειτα πῦρ ἠρεμαῖον. φρίκη πάνυ φανερή. ἐμέουσι δὲ καὶ φλεγματώδεα, πικρὰ, δριμέα. καὶ ἀμφὶ τῆσδε, ὧδε ἔχει. καί οἱ ξυμβήσεται, ἢν μελεδαίνηται, ὑγιέα γενέσθαι. ἢν δὲ μὴ,[186] χωλὴν, καὶ ἀκρατέα τῶν μελῶν γίνεσθαι τοῦ σώματος.[187] ἄφορος δὲ ἡ νοῦσος οὐ πάνυ. Ἢν μὲν αἱ μῆτραι ἑλκωθῶσι, καὶ τὰ λοχεῖα μὴ παρῇ ὡς χρὴ, πάντα πονήσει. καὶ ἢν μὴ μεγάλα ᾖ τὰ ἕλκεα, μελεδαινομένη ἐν τάχει, ὑγιαίνει. χρὴ δὲ τὴν μὲν μελέτην ἀτρεκέως ποιέεσθαι ἑλκέων τῶν ἐν τῇσι μήτρῃσιν. ἅτε γὰρ ἐν ἁπαλῷ ἐόντα, καὶ εὐεπαισθήτῳ, καὶ νευρώδει τῇ κοιλίῃ. πολλὰ δὲ τὰ κοινωνέοντα. βρέγμα. στόμαχος.[188] γνώμη ἀΐσσεται, καὶ κακοτροπέει, καὶ οὐ ῥηϊδίως ἐθέλει ξυνιέναι. ἢν δέ οἱ αἱ μῆτραι στενόστομοι γένοιατο, καὶ μὴ παραχαλάσωσι τὴν λοχείην κάθαρσιν, φλεγμαίνουσιν. ἢν μὴ μελεδαίνηται ἐν τῷ τάχει, πάντα μὲν μᾶλλον πονήσει. καὶ ὀδμὴ πονηρή. καὶ οἰδίσκεται ἡ ἔξοδος. καὶ ἢν μὴ φλεγμαίνωσιν αἱ μῆτραι, αὐτόματον ἔξεισι κακὸν ὀζόμενον, καὶ πελιδνὸν ἐὸν, ἢ μέλαν ἐὸν θρομβοειδὲς, καὶ ἡ γυνὴ καθαίρεται τὰ λοχεῖα. ἔστι δ' ὅτε οὐκ ἔξεισιν, ἀλλὰ τῇ γυναικὶ θάνατον σημαίνει, ἢν μήτις ἐν τάχει φλέβα τέμῃ, ἢ τὴν κοιλίην μαλθάξειεν. ἄμεινον δὲ καὶ κλύσμα ποιῆσαι. ἢν δὲ εὐέμετος ᾖ, καὶ ἐς ἔμετον ἄγειν. κρέσσον δὲ διουρέειν,[189] καὶ ἰδίειν.[190] τούτων δὲ καιρὸς ὅτε δέοι ἄριστος. Ἢν δὲ ἐκ τόκου γυνὴ καθαρθῇ, ὀλίγῳ πλέονα ὧν χρή. γίνεται γὰρ καὶ τοῦτο, εἴ τε αἱ μῆτραι εὐρύστομοι γένοιατο, καὶ τῶν φλεβῶν τινὲς καταρραγέωσιν, αἳ τείνουσιν ὑπὸ τὰς μήτρας, ὑπὸ βίης τῆς ἐξόδου τοῦ ἐμβρύου. πυρετὸς καὶ ῥῖγος ἕξει αὐτὴν λεπτὸς, θέρμη τε ἀνὰ πᾶν τὸ σῶμα, ἔστι δ' ὅτε καὶ φρίκη καὶ ἀσιτίη.[191] καὶ βδελύξεται πάμπαν. καὶ λεπτὴ ἔσται καὶ ἀσθενὴς, καὶ χλωρὴ, καὶ οἰδαλέος, καὶ ἀσιτεῖ. ἢν δέ τι φάγῃ ἢ πίῃ, οὐ πέσσεται. ἐνίοισι δὲ καὶ κοιλίη, καὶ κύστις καταρρήγνυται. καὶ φρίκη ἔχει μᾶλλον. ἀμφὶ δὲ ταύτης, ὧδε ἔχει. Ἢν δὲ ἐκ τόκου ἐούσης συμφραχθῇ τι τοῦ αἰδοίου. ἤδη δὲ καὶ τοῦτο εἶδον, ἢν ἑλκωθῇ τὸ στόμα τοῦ αἰδοίου, καὶ ἐπειδὰν ἑλκωθῇ ἐν τόκῳ βιασθὲν ὑπὸ τῆς ἐξόδου τοῦ παιδίου, ἐγένετο ἴκελόν τι ἄφθῃ, καὶ ἐφλέγμηνε κάρτα. καὶ τὰ χείλεα ὑπὸ τῆς φλεγμασίης συνέπεσε πρὸς ἄλληλα, καὶ ἐλάβετο ἀλλήλων, ἅτε ἡλκωμένα ἐόντα. καὶ ψύξις δὲ γίνεται, καὶ μεμύκει ἄμφω τὰ χείλεα,[192] ξυνδήσαντα τὸ τῆς καθάρσιος ἀπολελειμμένης. εἰ δὲ ἐχώρεεν ἡ κάθαρσις,[193] οὐκ ἂν ἐμυκώθη τὰ ἕλκεα. νῦν δὲ ἐπιρρεῖ καὶ παχύνεται ἀλλοκότῳ σαρκί. καὶ ἰᾶσθαι δεῖ ὡς τὰ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐς οὐλὰς ἄγειν. τὸ δὲ χωρίον λεῖον ἔστω, καὶ ὁμόχροον[194] εἰ φέρητις.[195] ἐπάγει δὲ ταῦτα ἃ πάσχουσιν αἱ μῆτραι ἀπο-

valde coniuente, mulier grauiter febricitat, oris ventriculi morsu, & totius corporis dolore vexatur, & præ angore stare loco nescit, ad brachiorum, crurum & lumborum articulos dolor ingruit, isque loca quæ sunt circa ceruicem, & spinam & inguina infestabit, & nonnulla corporis membra ad motum impotentia reddentur. Deinde remissa febris & rigor admodum manifestus. Vomitione autem pituitosa, amara & acria reiiciunt. Atque cùm eo statu sit, continget tamen si ei diligens cura adhibeatur, vt ipsa conualescat, alioqui claudicat, & corporis partes ad motum impotentes redduntur. Hic autem morbus non admodum sterilem mulierem facit. Si vlcerati quidem vteri fuerint, neque puerperij purgamenta, vt decet, adfuerint, omnibus partibus dolebit, & nisi magna vlcera fuerint, cura adhibita breui sanitatem recipit. Vlceribus autem in vteris subortis exacta & diligens cura adhibenda est, quippe cùm in molli parte, & bene sensili existant, & in neruosa cauitate, multæque cum ea partes consensionem habeant, sinciput, stomachus, mens concutitur, deprauatur, nec facilè intelligere solet. At si mulieri angustum vterorum osculum fuerit, neque puerperiorum purgationem demiserint, inflammatione tentantur, quæ nisi breui diligenter curetur, omnia eam magis affligent, & teter odor inde promanat, exitúsque intumescit. Quòd si vteri inflammatione tentati non fuerint, suapte sponte malum exit graueolens & liuidum, aut nigrum & grumosum existit, & mulier à puerperij purgamentis expurgatur. Interdum verò minimè exeunt, verùm id mulieri exitium portendit, nisi quis celeriter venam incidat, aut aluum emolliat. Præstat etiam aluum per infusum eluere. Quòd si promptè vomuerit, etiam vomitus ciendus. Satius etiam vrinam & sudorem prouocare. Atque horum, cùm res postularit, occasio optima est. Quòd si mulier à partu paulò ampliùs quàm par sit purgata fuerit, id enim etiam contingit, si vteri lato ore fuerint, aut ex his venis quæ ad vterum tendunt, quædam ex violento fœtus egressu perruptæ fuerint, eam leuis febris & rigor prehendit, calórque toto corpore, nonnunquam etiam horror & cibi fastidium, & in totum execrabitur, extenuabitur, debilis erit, ex virore pallescet, intumescet, & cibos auersabitur, si quid verò comedat aut bibat, non coquitur. Quibusdam autem etiam aluus & vesica cum impetu effunditur, & horror magis detinet. Ac de his sic se res habet. Si verò puerperæ pudendum aliqua ex parte obturatum fuerit (quod etiam iam ipse vidi, vbi os pudendi vlceratum est) & vbi in partu per vim egresso puero exulceratum fuerit, quid contingit superficiario vlceri simile, valdéque inflammatur, & labra ex inflammatione, cùm nimirũ exulcerata sint, in sese concidunt, mutuóque cohærent. Fit autem refrigeratio, & ambo labra conniuent, quæ purgationis reliquias constringunt. Quòd si purgatio prodeat, vlcera non vtique coalescunt. At nunc affluit, & aliena carne incrassescunt. Ea igitur velut quæ in reliquo sunt corpore sananda, & ad cicatricem perducenda. Locus autem lætis sit, & æquabilitatem habens, si cura adhibetur. Iisdem autem malis affligitur mulier quibus vteri qui à puerperij purgamen-

tis minimè repurgantur, & ad hæc pudendi dolor accedit, quod tactu deprehendit sibi obstructum esse, idq; fatetur, & sedulò curata repurgatur, sanáque & fertilis euadit. Quòd si sedulò non curetur, neque ei sua spôte purgatio erumpat, vlcus maius reddit, cúmque nihil demittat, periculum est ne vlcera in cancrum vertant. Si verò in muliere puerperij purgatio ad caput irruat, thoracémque & pulmones (id enim contingit) etiam plerumque confestim moriuntur, si illic detineatur. At si per os & nares probè prodeat, incolumis euadit. Quòd si morbus paulò diuturnior reddatur, eadem vtique mulieri eueniunt, quæ de virgine sunt commemorata, cui cùm primùm menses comparuerint, ad superiora cum impetu prosiliunt. Sed mulier diutiùs supererit quàm virgo, eique leuiores erunt affectiones, quoad pulmo purulentus euadat. Si verò per os nō prodeat puerperij purgatio, sed cum impetu delata sursum vertatur, puerperia in occulto delitescent, neq; pro ratione procedent, tussis & crebræ spirationes (asthmata dicta) eam corripient, oppletóque à sanguine pulmone, latus & dorsum magno dolore affligetur. Cùm tussit, siccum per tussim reiicitur, alias verò spumosum expuitur, at progressu temporis sputum subnigrum & turbidum apparet. Pectus calor maior quàm reliquum corpus detinet, cùm nimirum ipsum sanguis calefaciat. Mulier etiam febricitat, eiq; aluus adstringetur, cibum auersabitur, insomnio & fastidio torquebitur, neque supererit, sed vt plurimùm intra vnum & vigesimum diem morietur. Quòd si purgatio impetu sursum delata per os non exeat, neque ad pulmonem vertatur, ei ad faciem puerperia diuertent, quæ admodum rubicunda erit, & caput ingrauescet, neque id citra dolorem dimouere poterit. Oculi etiam valde rubicundi erunt, & ex ipsis sanguis tenuis effluet. Est vbi etiam nonnullis sanguis ex naribus profluit, qui si effundatur, hoc modo diuturnior morbus euadit. Neque in hoc morbo acutè audire solent, oris ventriculi morsu tentabitur, eructabit, mente erit alienata, & delirationes furiosæ existunt. Quibusdam verò peruersorum oculorum ferocia adest, eámque omnia malè habebunt, non secus ac si ad pulmonem (velut dictum est) purgatio diuertat, præter quàm quòd minimè tussiet, neque talia expuentur, neque dorsum consimiliter dolebit. At cura diligenti adhibita conualescit. Neque verò magna spes est vt superesse queat. Ac si forte supersit, surditas aut in totum cœcitas succedet. Atque is est huius morbi exitus. Si à partu profluuim corripiat, neque cibaria in ventre maneant, vuam passam nigram, & mali punici dulcis granula terere oportet, iisque ex vino nigro dilutis vtitor, caseo caprino deraso, & polenta triticea torrefacta aspersa, hæc probè temperata exhibeto. Quòd si à partu sanguinem vomitione reiiciat, hepatis fistula perforata est, & dolor ad viscera pertingit, córque conuellitur. Hanc calida copiosa lauare oportet, & quæ maximè suscipiet tepefacientia adhibere, lacque asininum diebus septem aut quinque propinare. Post hæc autem lac vaccæ nigræ ieiunæ, si ferre possit, ad dies quadraginta propinandum, vesperi autem sesamum contritum. Hic verò morbus

καθαιρόμεναι τὰ λοχεῖα. καὶ ἐπὶ τουτέοισιν ἄλγει τὸ αἰδοῖον. καὶ ψηλαφῶσα ἔγνω,[196] ὅτι ξυνεπέφρακτο. καὶ ἐφράσατο, καὶ μελεδαινομένη ἀπεκαθήρατό τε, καὶ ὑγιὴς ἐγένετο, καὶ φορός.[197] εἰ δὲ μὴ ἐμελεδήθη, μηδέ οἱ ἡ κάθαρσις ἐρράγη αὐτομάτη, τὸ ἕλκος μέζον ἐποίησε, καὶ μὴ ἀφεῖσα ἐκινδύνευσεν ἐς τὸ καρκινωθῆναι τὰ ἕλκεα. εἰ δὲ ὁρμηθείη γυναικὶ λοχείη κάθαρσις ὡς ἐς κεφαλὴν, θώρηκά τε, καὶ πλεύμονα. γίνεται γὰρ τοῦτο, καὶ θνήσκουσι πολλάκις αὐτίκα ἢν ἴσχηται. εἰ δὲ χωρέοι κατὰ τὸ στόμα, ἢ ῥῖνα, καλῶς,[198] ἐξ αὐτῆς γίνεται. εἰ δὲ ὀλίγον ἡ νοῦσος χρονιωτέρη γίνοιτο, καὶ πάσχοι ἂν ἡ γυνὴ ὁκοῖα εἴρηται ἀμφὶ τῆς παρθένου,[199] ᾗ τὰ ἐπιφαινόμενα πρῶτα ὥρμησεν ἄνω. ἡ δὲ γυνὴ πλέονα χρόνον περιέσται τῆς παρθένου. καὶ βληχρότερα τὰ παθήματα ἔσται οἱ, μέχρις οὗ ὁ πνεύμων[200] διάπυος γένηται. ἢν δὲ μὴ χωρέῃ ἡ λοχείη κάθαρσις κατὰ τὸ στόμα,[201] ἀλλ' ἄνω ὁρμηθεῖσα σκήπτωσι. κεκρύψεται τὰ λοχεῖα, καὶ οὐ χωρήσει κατά γε δίκην. καὶ βὴξ ὑπολήψεται, καὶ ἄσθματα, καὶ πληρευμένου τοῦ πλεύμονος ὑπὸ τοῦ αἵματος, πονήσει τὸ πλευρὸν κάρτα, καὶ τὸ μετάφρενον. καὶ ὅταν βήξῃ, ξηρὸν ἀποβήσσεται. ἐνίοτε δὲ ἀφρῶδες πτύεται. τοῦ δὲ χρόνου προϊόντος, πτύαλον ἐπιφαίνεται ὑπομέλαν ἐὸν, καὶ θολερόν. καὶ τὰ στήθεα πῦρ ἔχει,[202] τοῦ ἄλλου σώματος πολλὸν οἷα αἵματος θερμήναντος αὐτό. καὶ πυρεταίνει ἡ γυνή. καὶ ἡ γαστήρ οἱ στεγνὴ ἔσται. καὶ ἀσιτήσει. καὶ ἀγρυπνήσει. καὶ βδελύξεται. καὶ οὐ περιγίνεται, ἀλλὰ θνήσκει ἐν μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά. ἢν δέ οἱ κάθαρσις ἀνορμήσασα κατὰ τὸ στόμα μὴ ἔλθῃ, μηδὲ εἰς τὸν πνεύμονα σκήπτῃ, τρέψεταί οἱ ἐς τὸ πρόσωπον τὰ λοχεῖα. καὶ ἔσται ἐρυθρὸν κάρτα, καὶ ἡ κεφαλὴ βαρείη. οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνου ἄτερ. καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται, καὶ ἐκ σφῶν αἷμα ῥεύσεται λεπτόν. καὶ ἐκ τῶν ῥινῶν ἔστιν οἷσιν αἷμα ῥεῖ. καὶ ἢν τοῦτο ἴῃ, ὧδε χρονιωτέρη ἡ νοῦσος γίνεται, τοῖσί τε οὔασιν οὐκ ὀξέως ἐστὶ τὸ ἀκούειν ἐν τῇ νούσῳ. καὶ καρδιώξει. καὶ ἐρεύξεται.[203] καὶ ἀλλοφρονήσει. καὶ παράνοιαι γίνονται μανιώδεες. ἔστι δὲ ᾗσι θράσος ὀμμάτων ἰλλωδέων, καὶ τἄλλα πάντα ποιήσει, ὅκως καὶ ἐς τὸν πλεύμονα ὡς εἴρηται, ἢν ἡ κάθαρσις σκήπτηται, πλὴν οὐ βήξει, οὐδὲ πτύσεται τοιαῦτα. οὐδὲ τὸ μετάφρενον ἀλγήσει ὁμοίως. μελεδαινομένη δὲ ὑγιαίνει. οὐ πολλαὶ δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι. ἢν δὲ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται οἱ, ἢ τύφλωσις τὸ ἐπίπαν. ἀμφὶ τῆσδε τῆς νούσου ὧδε τελευτῇ.[204] Ἢν ἐκ τόκου ῥόος λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μένῃ, ἀσταφίδα χρὴ μέλαιναν, καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρίψαι.[205] οἴνῳ δεύσας ἐν μέλανι χρῶ, τυρὸν ἐπιξύσας αἴγειον. καὶ ἄλφιτα πύρινα πεφρυγμένα ἐπιπάσαι, καὶ εὔκρητον δίδου.[206] Ἢν δὲ αἷμα ἐκ τόκου ἐμέσῃ, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φοιτᾷ. καὶ τὴν καρδίην σπᾶται. ταύτην χρὴ λούειν πολλῷ θερμῷ. καὶ τῶν χλιασμάτων ἃ μάλιστα προσδέχεται, προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἑπτὰ ἡμέρας ἢ πέντε. μετὰ δὲ ταῦτα πιπίσκειν βοὸς μελαίνης γάλα ἀσιτεύουσαν, εἰ οἵη τε εἴη ἡμέρας μ. ἐς δὲ τὴν ἑσπέρην, σήσαμον τετριμμένον πιπίσκειν. ἡ δὲ νοῦσος, κινδυνώδης.

κινδυνώδης. τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ γενέσει τοῦ παιδίου τῇ ἐν τόκῳ, καὶ τὰ ἄλλα παραπλησίως. Ἢν γάλα σβεσθῇ, πράσα τρίψας, διεὶς τῷ ὕδατι, δίδου πίνειν, καὶ ἐν θερμῷ λουέσθω. καὶ εἰς βρῶσιν πράσα καὶ κράμβην ἐσθιέτω. συνεψεῖν δὲ καὶ κυτίσου φύλλα. καὶ τὸν χυλὸν ῥοφέειν. πιπίσκειν δὲ καὶ τοῦ χυλοῦ τοῦ μαράθου. καὶ τὸν ἀπὸ τῶν μαραθρείων ῥιζῶν. καὶ κριθὰς ἐπτισμένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ, καὶ ψύξας, δίδου πίνειν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον. καὶ τὸ ἱπποσέλινον. καὶ κύτισος. ὁμοῦ ταῦτα πάντα γάλα πουλὺ ποιέει, καὶ αὔξει. σκυρίαι αἶγες, τυροὶ δὲ μάλιστα ἀγαθόν. ἀλλὰ καὶ τὸ ἐλελίσφακον ἑψεῖν. ἢ ἀπὸ τῶν ἀρκευθίδων, ἢ κεδρίδων ἀποχέας τὸν χυλὸν, καὶ οἶνον ἐπιχέας, πινέτω. καὶ ἐς τὰ λοιπὰ ἔλαιον ἐπιχέας ἐσθιέτω. καὶ τῶν δριμέων καὶ τῶν ἁλμυρῶν, καὶ ὀξέων καὶ ὠμῶν λαχάνων, πάντων εἰργέσθω. τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν. καὶ γὰρ τὸ γάλα καθαίρει. καὶ τῷ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω, καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν. καὶ ὁ χυλὸς τοῦ τεύτλου γάλα πουλὺ ποιεῖ πινόμενος. καὶ σησάμου ἀπ' αὐτοῦ. καὶ κριθέων τριμηνιαίων ἐμβαλὼν ἐς θυίαν, τρίψας πάντα δι' ὀθονίου τὸν χυλὸν ἐπιχέας, καὶ ἐκχυλίσας, παραμίξας δὲ καὶ μέλι, ἢ ἀμαμηλίδας, εἶτα ἐπ' οἴνῳ μέλανι διδόναι πίνειν. Ὅταν γυνὴ τέκῃ, καὶ τῶν ὑστέρων μὴ ἀπαλλαγῇ, διδόναι ἄμεινον, ὑφ' ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, σκόροδα ἑφθά, ἢ ὀπτὰ ἐν οἴνῳ, καὶ ἐλαίῳ μετὰ πουλυποδίων, καὶ σηπιδίων. ἐπ' ἀνθράκων δὲ ὅ, τι ἂν βούληται τουτέων. καστόρεα δὲ, ἢ νάρδον πινέτω. πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ, νῆστις, ἢ ἄνευ οἴνου. ἢν δὲ μὴ γλυκὺς ὁ οἶνος ᾖ, ἄμεινον μέλι παραμίσγειν. κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ. καὶ λινόζωστιν. καὶ τῶν σπερματίων τι πίνειν τῶν ὑστερικῶν. [207] Ἢν δὲ θρομβωθῇ, καὶ πόνος ἐν νειαίρῃ τῇ γαστρὶ γίνηται, διδόναι πράσα ἑφθά. [208] καὶ ὅσα ἄγρια καὶ ἥμερα. λιπαρὰ δὲ ποιέειν ἅπαντα, λούεσθαι δὲ καὶ διὰ τρίτης ἡμέρης ἐν εὐδίῃ. τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον. καὶ μετὰ τὸ λουτρὸν ὑπαλείφειν ἄμεινον. μὴ πολλῷ θερμῷ χρῆσθαι. Ὅταν τὸ ὕστερον μὴ αὐτίκα ἀπίῃ μετὰ τὸν τόκον, τῆς νειαίρης γαστρὸς γίνονται πόνοι ἐν κενεῶσι. καὶ ῥίγεα, καὶ πυρετοί. κἢν ἀπαλλάσσηται τὸ ὕστερον, ὑγιαίνει καὶ ἡ γυνή. σήπεται δὲ πουλύ. ἀπαλλάσσεται δὲ ἑκταίη, ἢ ἑβδομαίη, ἢ καὶ ἀνωτέρω. ἐπὶ τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν ἐγὼ γράψω. καὶ πνεῦμα κατέχειν. ἄριστον δὲ πάντων οἶδα, ἀρτεμισίην βοτάνην. καὶ δίκταμνον. λευκοίου ἄνθος. καὶ ὀπὸν σιλφίου, κράτιστον ἐν ὕδατι πινόμενον ὅσον κύαμος ἑλληνικός. καὶ ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτέειν. κἄπειτα πέταλα τοῦ ἄγνου τρίψας ἐν οἴνῳ, καὶ μέλιτι, [209] καὶ ἔλαιον ἐπιχέας, χλιήνας, δίδου πίνειν ὅσον κοτύλην, καὶ ἔξεισιν. [210] Ἢν δὲ γυναικὶ τὸ χορίον ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι, τοῦτο δὲ ὧδε γίνεται. ἢν ῥαγῇ βίῃ ὁ ὀμφαλὸς, ἢ ἀμαθίῃ ἀποτάμῃ [211] ἡ ὀμφαλιτόμος, τὸν ὀμφαλὸν τοῦ παιδίου πρόσθεν ταμοῦσα, πρὶν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων, [212] αἱ μῆτραι τε ἀνασπῶσιν ὕστερον ἄνω, ἅτε ὀλισθηρὸν ἐὸν, καὶ χεόμενον, καὶ κατέχουσιν ἐν ἑωυτῇσι. τέταται γὰρ τὸ χορίον, ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου. καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων. ἢν

periculo non caret. Quonam autem pacto lac gignatur, à me dictum est in puelli generatione ex partu, aliaq; eodem modo. Si lac deficiat porra trita & aqua macerata potui exhibeto, calida lauet, & in cibo porra & brassicam comedat. Cytisi autē folia incoquito, & decoctum sorbeat. Quin & fœniculi necnon radicis illius decoctum propinato, & hordeum decorticatum vnà cum butyro coctum & refrigeratum, potui exhibeto. Ad hoc etiam conducit hippomarathrum & hipposelinum, & cytisus, quæ simul omnia lac copiosum reddunt & augent. Capræ Scyriæ, præcipuéque casei, ad id conducunt. Sed & saluiam coquito. Aut ex iuniperi baccis aut cedri fructu expressum succum, vino affuso bibat, & reliqua affuso oleo edat. Ab acribus, acidis, salsis, & omnibus oleribus crudis arceatur. Cardamum etiam ex vino potum ad id valet, lac enim etiam expurgat. Calida lauet, & à balneo bibat. Viticis etiam semen ex vino potui præbeto. Quin & betæ succus propinatus lac copiosum facit. Post eum sesamum, & hordeum trimestre in pilam coniectum, trita omnia, succo per linteolum transcolato & expresso, melle admixto & amamelidis, deinde ex vino nigro bibenda dato. Cùm mulier peperit, neque secundis est liberata, ea dare præstiterit ex quibus puerperij purgamenta potissimùm expurgantur, allia cocta, aut assa, ex vino & oleo, cum paruis polypis & sepiolis. In prunis verò quicquid istorum volueris. Castorium autem aut nardum bibat. Ruta etiam ieiunæ ex vino nigro dulci bibenda, aut sine vino. Quòd si vinum dulce desit, mel admiscere commodius. Brassicam vnà cum ruta & mercuriali decoctam assumat, & ex seminibus vtero dicatis aliquod bibat. At si puerperia in grumos concrescant, & dolor in infimo ventre oboriatur, porra cocta exhibeto, quęcunque syluestria & satiua erunt, pinguia autem omnia facito. Tertio verò etiam quoque die clementiore cœlo lauandum. Iis enim frigus est aduersum. Post balneum autem inungere præstat, neque multa calida vti. Si secundæ statim à partu non discesserint, imi ventris dolores in lateris inanitate suboriuntur, & rigores, ac febres. Quòd si secundæ exierint, mulier etiam sanescit. Plærùmque verò putrescunt, sexto tamen aut septimo die, aut etiam posteriùs exeunt. Huic medicamenta quæ præscribam exhibere oportet, & spiritum continere. Omnibus autem præstare nouimus artemisiam herbam, & dictamnum, ac albæ violæ flores. Et laseris succus ad fabæ Græcæ quantitatem ex aqua potus pręstantissimè valet. Quòd si his secūda excludi nequeat, cibis abstinendum. Deinde agni casti folia ex vino & melle trita, & affuso oleo tepefacta, ad heminæ mensuram potui exhibeto, & foras prodibunt. At si mulieri in vteris partus inuolucrum relictum fuerit, id hoc modo contingit. Si vi abruptus vmbilicus fuerit, aut si per imprudentiam eius quæ vmbilicum secat, priùs quàm fœtus inuolucrum ex vteris prodierit, sectus fuerit, vterique secundas nimirùm lubricas & madentes sursum attrahunt, & arctissimè complectuntur. Fœtus enim inuolucrum ex puelli vmbilico protenditur, & ex vteris postremus exit vmbilicus. Si

enim priore loco exiret, non vtique per ipsum ad puellum alimentum permearet, cùm ex eo propendeat. Cùm verò quæ prægnans est fœtum menstruum aut bimestrem corrumpat, secundæque foras prodire nequeant, ipsa autem extenuata sit, huius corpus sanè purgare & opimum reddere oportet. Neque enim putrefacti fœtus exeunt, nisi vteri robusti & bene compacti fuerint. Si mulieri fœtus inuolucrum intus remanserit, nisi vteri amplo ore fuerint, parcior quàm conueniat purgatio prodit, venter durus & magnus euadit, frigus detinet & febris acuta, dolor totum corpus, præcipuè verò ventris partem vmbilico inferiorem occupat, pondusque in vteris ac tormina non aliter quàm fœtu existente sentiuntur. Diligenti tamen cura adhibita, breui putrefactam fœtus inuolucrum eiicit, sanaque euadit. Si ex partu vlceratus vterus fuerit, rosarum floribus medendum, quinetiam adstringentium decocto colluendus. At si os vlceratum & inflammatione tentatum fuerit, myrrham, adipem anserinum, ceram albam, thus, cum pilis leporinis qui sub ventre sunt mixta, & læuior trita, in vellere subdito. Si ex partu vteri inflammationem conceperint, febris leuis corpus detinet, & oculorum caligo adest. Ventrem verò incendium nunquam deserit, siti & coxendicum dolore vexatur imus venter vehementer intumescit, & aluus turbatur, deiectio mala est & graueolens, vehemens febris inuadit, cibi fastidium detinet, & ad sinciput dolor pertingit, neque ventriculi stomachus potus & cibos attrahere, neque etiam coquere potest. Ac nisi confestim curentur, plurimæ intereunt, venter autem in causa est. Sambuci folia quàm tenerrima, in farina crassiore tritici sitanij decocta, perquam tepida sorbenda dato, aquam mulsam vinumque aquosum exhibeto. Ad imum ventrem cataplasmata refrigerantia imponenda, & cibus quàm paucissimus sumendus, venter sistendus, & capiti medendum. Ad præcordia quoque & vterorum sedem cataplasmata adhibenda. Cùm sedes aut alia quædam pars doluerit, iuniperi baccas, aut lini & vrticæ semen terito, & potui exhibeto. Si ex partu dolor est, resinam terebinthinam, mel, & vinum tepidũ sorbitione exhibeto. Quòd si vteri inflammatione laborent id sedabit. Quòd si nulla vteri parte dolor est, amygdalas amaras terito, & oleæ tenera folia, & anisum, & erysimum, & origanum, ac nitrum. Ex his mixtis & ad læuorem tritis, vterorum collyria conficito. At si inflammatio cum dolore detinuerit, ad rosarum folia, cinnamomum, cassiam, in vnum ad læuorem trita, netopum affundito. Et pastillis drachmæ vnius pondere confectis, ollæ fictili recenti igne candenti, superinsidente muliere & vestimentis contecta, in vterum suffitum immittito. Hoc dolores sedabit. Si verò vteri ex partu laborauerint, febris leuis detinet, interiore autem parte imus venter velut igne accensus est, interdúmque ad coxam vsque intumescit, dolor etiam infimum ventrem & laterum inanitates occupat. Quæ per aluum secedunt, biliosa sunt & graueolentia, ac nisi sistatur, de repente perit. Sic igitur affectę aluũ refrigerare oportet, ea cautione adhibita

γὰρ πρότερος ἐξίοι, δι' αὐτοῦ οὐκ ἂν διέλθοι τῷ παιδίῳ ἡ τροφὴ, ὅτι ἐξήρτηται ἐξ αὐτέου. Ὁκόταν δὲ ἐν γαστρὶ ἔχουσα φθείρῃ τὸ ἔμβρυον μηνιαῖον, ἢ διμηνιαῖον, καὶ τὰ ὕστερα ἐξιέναι μὴ δύνηται, ἢ δὲ λεπτὴ, ταύτης χρὴ τὴν καὶ αὐτὰ καθῆραι τὸ σῶμα καὶ πιᾶναι. οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι, καὶ εὐπηγέες. Ἢν γυναικὶ τὸ χορίον ἐλλειφθῇ, [213] ἢν μὴ εὐρύστομοι αἱ μῆτραι ἔωσιν, χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ. καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη. καὶ ψύξις ἔχει. καὶ πυρετὸς ὀξύς. καὶ πόνος καθ' ἅπαν τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ. καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσι.[214] καὶ στροφὴ ἕως ἐμβρύου ἐόντος. καὶ μελεδανθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπὸς, καὶ ὑγιαίνεται. [215] Ἢν ἐκ τόκου ἡ μήτρη ἑλκωθῇ, ῥόδων ἄνθη ἰῆσθαι. διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν.[216] ἢν δὲ ἑλκωθῇ τὸ στόμα, καὶ φλεγμήνῃ, σμύρναν[217] καὶ στέαρ χηνὸς, καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν, λαγωοῦ θριξὶ, τῇσιν ὑπὸ γαστέρα μίσγειν, καὶ προστιθέναι ἐν εἰρίῳ λεῖα ποιοῦντα. Ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὕστεραι, πυρετὸς ἴσχει τὸ σῶμα βληχρὸς, καὶ ἀχλύς. ἐκ δὲ τῆς κοιλίης, οὐδέποτε ἐκλείπει τὸ πῦρ. καὶ διψῇ. καὶ τὰ ἰσχία ἀλγέει. καὶ οἰδέει τὴν γαστέρα τὴν νειαίρην ἰσχυρῶς. καὶ ἡ κοιλίη ταράσσεται. ὑποχώρημα δὲ κακὸν, καὶ ὀζόμενον. καὶ λάζεται τὸ πῦρ σφοδρόν. καὶ ἀσιτίη ἔχει. καὶ κατὰ τὸ βρέγμα ὀδύνη, καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος ποτὰ καὶ σιτία. καὶ ἀδυνατέει πέσσειν. καὶ ἢν μὴ θεραπεύωνται εὐθέως, αἱ πλεῖσται θνήσκουσιν. ἡ κοιλίη δὲ αἰτίη.[218] τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖσιν ἑψήσας σιταν[ί]οισιν, ἀκροχλίαρον ῥοφέειν. διδόναι τε καὶ μελίκρητον, καὶ οἶνον ὑδαρέα. καὶ τὸ ἦτρον καταπλάσσειν τοῖσι ψυκτικοῖσι. σιτίον δὲ ὡς ἐλάχιστον ἐσθίειν. καὶ τὴν γαστέρα ἵστασθαι. καὶ τὴν κεφαλὴν ἰῆσθαι, ὑποχόνδριον δὲ καταπλάσσειν καὶ τὸν μητρέων τόπον. Ὁκόταν ἀλγέῃ τὴν ἕδρην, ἢ ἄλλο τι, ἀρκεύθου καρπὸν,[219] ἢ λίνου σπέρμα καὶ κνίδης τρίβειν, καὶ διδόναι πίνειν. ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην, καὶ μέλι. καὶ οἶνον χλιαρὸν διδόναι ῥοφέειν. καὶ ἢν φλεγμήνωσιν αἱ μῆτραι, τοῦτο παύσει.[220] ἢν δὲ μὴ ἀλγέῃ τι τῶν μητρέων, ποτὸν ἀμυγδάλας τρίψας πικρὰς,[221] ἐλαίης τε τὰ ἁπαλὰ φύλλα. καὶ ἄννησον, καὶ ἐρύσιμον, καὶ ὀρίγανον, καὶ νίτρον, ταῦτα μίξας, καὶ τρίψας λεῖα, κολλούρια ποιέειν μητρέων. ἢν φλεγμήνωσιν καὶ ὀδύνη ἔχῃ ῥόδων φύλλα, κινάμωμον, καὶ κασσίην τρίψας ἐν ταὐτῷ λεῖα ἐπιχεῖν, νέτωπον.[222] καὶ ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον χυτρίδιον καινὸν διάπυρον ποιήσας, προσκαθίσας, καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας. τοῦτο ὀδύνας παύσει. ἢν δὲ ἐκ τόκου αἱ ὕστεραι πονήσωσι, βληχρὸν ἔχει τὸ πῦρ. ἔσωθεν δὲ ἡ κοιλίη ἡ νειαίρη πυριφλεγέεσθαι δοκεῖ. καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀποιδέει. καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ ἐς τοὺς κενεῶνας, καὶ τὰ ὑποχωρέοντα χολώδεα καὶ κάκοδμα. καὶ ἢν μὴ στῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. Ὁκόταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ

φρίξῃ.

φρίξῃ. πινέτω δὲ ἢν μὴ ἵστηται, [223] τὸ ἀπὸ τῶν κρίμνου. τρωγέτω [224] ἄρτον ἄλητον. ῥοφέειν δὲ σίδης οἰνώδεος τὸν χυλὸν, κεράσας ὕδατι. [225] ἐπίπασσε δὲ λεκίθῳ, φακὸν, [226] καὶ τούτῳ ἕψειν, μίσγων φακὸν, καὶ κύμινον, καὶ ἅλας, καὶ ἔλαιον, καὶ ὄξος. τοῦτο διδόναι ῥόφημα ψυχρόν. καὶ φακῆν ὀξείην. [227] καὶ ἐπιπίνων οἶνον οἰνώδεα πράμνιον. τῶν δὲ ἄλλων σιτίων ἀπέχεσθαι χρὴ ἔστ' ἂν ὁ πυρετὸς λυθῇ. ἢν δὲ δοκέῃ καὶ λουέσθω. ἢν δὲ ἀσθενὴς ἔχῃ, [228] πίνειν διδοῦ τὰ ἄλφιτα. ἢν δὲ ἀκυδνοτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ. σιτίον δὲ προσφέρεσθαι κοῦφον, [229] ὅ, τι μὴ ἐκινήσεται ὅταν τὸ πῦρ μεθῇ. ἡ δὲ νοῦσος, ὀξείη τε καὶ θανατώδης. Ην δὲ φλεγμήνωσιν αἱ ὑστέραι λεχοῖ, [230] πίμπλαται ἡ κοιλίη, καὶ μεγάλη γίνεται, καὶ πρὸς τὰ ὑποχόνδρια πνὶξ ἔχει. ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσι, κόψαι δὲ ἐν ὅλμῳ καὶ ξυμμίσγειν ὠμήλυσιν, καὶ σποδιὴν κληματίνην, καὶ λίνον φώξαντα. βαλεῖν δὲ ταῦτα [231] καὶ ἀναφορύξαι ὄξει καὶ ἐλαίῳ. ποιεῖν δὲ οἷον κυκεῶνα παχύν. ταῦτα ἕψειν, [232] ὡς ἂν στέαρ γίνεσθαι. καὶ τούτῳ καταπλάσσειν ὡς θερμοτάτῳ. καὶ ἢν χρήζῃ [233] ἐγκαθιννύσθαι. Ην δὲ λεχοῖ φλεγμήνωσιν, αἱ ὑστέραι οἰδέουσι. καὶ ὁκόταν τὰ λοχεῖα ἐμμείνῃ, κρύβδην τείνονται. [234] γίνονται δὲ ἐπὴν πυκνωθῶσιν ὑπὸ ψύχεος. ταύτῃσιν ἢν μὲν ἐπιψύχωνται, ἀλεαίνειν. [235] ἢν δὲ περιφλεγέες ἔωσιν, καὶ τὸ ψῦχος ἀφῇ, προσθετὸν ποιέειν, ὅ, τι φλεγμασίῃ ἐναντιοῦται. καὶ λούειν ἅμα καὶ πυριῆν, καὶ φάρμακα προσάγειν, ὧν ἂν ἐγὼ γράψω. ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα, καὶ ἐς τὰς ῥῖνας. [236] ἢν δὲ πνίγωσι, φακοὺς ἕψειν ἐν ὄξει, καὶ ἁλὶ, καὶ ὀριγάνῳ πολλῷ. καὶ ὁλκὴν ποιέεσθαι. [237] καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ ἐν τῷ χυλῷ λεπτὸν ἄλητον ῥοφεέτω. ὅτ' ἂν τάχιστά τε καὶ πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης, καὶ σιτία διαχωρητικὰ προσφερέσθω. [238] καὶ ἢν ἡ γαστὴρ φλεγμαίνηται, ὑποκλύζειν ὅτι τάχος. Ην αἱ μῆτραι φλέγματος ἐμπλησθῶσι, φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι. καὶ τὰ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκὰ, φλεγματώδεα. ἔστι δ' ὅτε αἷμα λεπτὸν, ἀκραιφνὲς, ὑμένων ἀνάπλεον. [239] καὶ ἔστιν ᾗσιν κυρκανᾶται. καὶ τρεῖς τοῦ μηνὸς ἐπιφαίνεται. καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, οὐδ' ὀργᾷ τοῦτο δρᾷν. καὶ λεπτὴ γίνεται. ὀδυνῶνται δὲ τὴν νειαίρην γαστέρα, τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. [240] καὶ εἰ δάκνοι τὸ ῥέον, καὶ ἑλκοῖ [241] τὰ ἀμφίδεα, χρόνιον φαίνει τὸ ῥεῦμα. καὶ ἢν μὴ πολὺ εἴη, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι. ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι, καὶ φάρμακον πίσαι κάτω. [242] σιτίων δὲ εἰργέσθω δριμέων, ἢν δὲ βαρύνηται, καὶ ψύχηται, καὶ νάρκην ἔχῃ, γάλα διδόναι, καὶ οἶνον εὐώδεα. πινέτω δὲ νῆστις ὑπερικὸν, [243] λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ εὐώδει ὑδαρεῖ. καὶ κλύσαι τὰς ὑστέρας, [244] τῷ οἴνῳ ξὺν τῇ τρυγί. καὶ ἢν ἑλκωμέναι ἔωσι, διαλιπόντα ἡμέρας δύο, ἢ τρεῖς, [245] κλύσαι τρὶς, ξὺν τῷ κόκκῳ. μετὰ δὲ τοῦτο, στρυφνοῖσι. ἢν δὲ ἑλκωμέναι ἔωσι, νιπτέσθω τῷ ἀπὸ τῆς μυρσίνης, καὶ δάφνης ἀφεψήματι. καὶ ἐγχριέσθω τῷ ξὺν τῷ ἀργυρέῳ ἄνθει,

ne perhorrescat. Bibat autem, si non sistatur, farinæ crassioris decoctũ, panis farinam comedat. Mali autem punici vinosi succum aqua temperatum, sorbendum dato, lentium autem lomento aspergito. Quo decocto, lentem, cuminum, salem, oleum, & acetum misceto, hoc frigidum sorbendum dato, & lenticulam aceto conditam, vinum Pramnium generosum superbibendo. Aliis autem omnibus cibis abstinendum, quoad febris soluta videatur. Quòd si visum fuerit, etiam lauet. Si verò imbecilla fuerit, polentam bibendam dato, sique debilior, ex aqua frigida. Cibus offerendus leuis, qui minimè vacuet, vbi febris remiserit. Hic autem morbus acutus est & lethalis. At si recens enixæ vteri inflammatione laborent, venter incenditur & intumescit, & suffocatio ad præcordia detinet. Sic affectæ muscum marinũ, quem in pisces iniiciunt, in pila contusum, farina hordeacea cruda admixta, sarmentitio cinere, & lini semine tosto, ex cataplasmate admoueto. His autem agitatis, & aceto oleóque subactis, mixturam quandam crassam conficito eáque donec velut in farinæ massam coëant coquito. Hoc quàm calidissimum in cataplasmate apponito, & si opus est, ad insessum adhibeto. Si recens puerperæ vteri inflammationem conceperint, intumescunt, cumque puerperij purgamenta restiterint, clam distenduntur, quod accidit, cùm frigore densati fuerint. Hos, siquidem perfrigescant, calefacito. At si cõflagrarint, & frigus dimiserit, medicamentum subdititium quod inflammationi aduersetur subiiciendum, simúlque lauandum & fotu vtendum, & medicamenta quæ describam adhibenda, venterque in os & nares attrahendus. Quòd si strangulatus accesserit, lentes cum aceto, sale, & origano multo decoquito, & vt appositi medicamenti nidorem attrahat facito. Mercurialem etiam comedat, & in eius succo coctam farinam sorbeat. Quàm celerrimè autem, & priusquam dolor detineat, medicamẽta exhibeto quę vterorum dolorem sedent, & cibi aluum subducentes assumendi, & si venter inflammetur, quàm citissimè per infusum subluendus. Si vteri pituita redundent, in iis flatus suboriũtur, & menses prodeunt pauciores, albi, pituitosi, interdumque sanguis tenuis, purus, membranis plenus, nonnullis etiam conturbatur, terque mense comparet, neq; præ nimia humiditate viri congressum expetit, neque ad venerem exercendam incitatur, & extenuatur. Dolor autẽ imum ventrem, lũbos & inguina occupat. Quòd si quod effluit mordeat, & summas osculi vteri oras vlceret, diuturnam fore fluxionem asserendum. At si minimè copiosa fuerit, lenticulæ decoctum cum veratro, vt vomat exhibeto. Deinde in nares infundito, & medicamentum deorsum purgans propinato, & cibis acribus abstineat. Quòd si grauitate & frigore prematur, & torpor detineat, lac & vinum odoratum exhibeto. Hypericum autem, lini semen, & saluiam, ex vino odorato aquoso ieiuna bibat, & vteros vino vnà cum fæce eluat. Quòd si vlcerati fuerint, duobus aut tribus diebus intermissis, ter ex grani Cnidij decocto colluito, post hæc verò ex adstringentibus. Si verò adhuc vlcerati fuerint, myrti & lauri decocto abluito, & medicamento ex argenti flore illinatur,

Grauis autem hic morbus est, paucęq; ex eo euadunt. Si vteri acetabula pituita oppleta fuerint, menses pauciores contingunt, & si vterum gestet, vbi fœtus robustior euaserit, eum corrumpit. Neq; enim confirmatur, sed elabitur. Ex eo autem cognoscas quòd humida redditur, quodq; effluit, mucosum & viscidum fit, qualia ex aluo feruntur, nec mordent, & in mensium cursu, vbi sanguis purgari desierit, per duos aut tres dies mucosa ex vtero effluunt, horrórque & calor minimè acutus detinet, præterquàm quòd nō deserit. Hanc grossorum decocto, à quibus aqua depurgatur, bis vel ter colluito. Vbi autem purgata fuerit, deinceps adstringentibus vtatur. Mollia subdititia medicamenta, ex quibus pituita purgatur supponito, & vteros lauri decocto foueto, decoctoq; cum aceto colluito, & cùm mēses cessarint, suffitum ex aromatibus adhibeto. Postea cibo & balneo abstinendum. Mulier autem virum adeat, & cibos vinúmq; parcè assumat, calidè se contineat, laneis tegumentis crura obuoluat, oleóque illinat. Si aqua intercus in vteris innascatur, menses pauciores & praui cōtingunt, & ante tempus deficiūt. Venter imus intumescit, & mammæ solidæ flaccescunt, & in reliquis malè habet, vteróque gestare videtur. Atque ex his quidem aquam esse intercutem cognoscas. Quin & vterorum ore sui notas edit. Ad contactum enim gracile & humidum apparet, rigórque & febris inuadit. Quoque longiùs tempus processerit, dolor imum ventrem, lumbos, laterum inanitates & inguina occupat. Morbus hic ex abortione contingit & aliis de causis, cúmque menses delituerint. Hanc copiosa calida lauato, & si dolor detineat, tepefacientia admoueto. Vbi autē quieuerit, medicamentum deorsùm purgans propinandum, & vteri medicamento ex stercore bubulo fouendi, deinde medicamentum ex cantharide in subdititio apponendum, & biduum aut triduum intermittendum, & si robur adsit Netopo vteri colluendi. Quòd si venter mollis reddatur, febres cessent, & pro ratione menses procedant, cum viro etiam dormiat, & in subdititiorum vsu persistat, & die intermisso crethmi corticem, & pæoniæ grana nigra quinque, sambucique fructum ex vino ieiuna bibat, mercurialem quamplurimam, alliaq; cruda & cocta comedat. Sub somnum mollibus & polypis, cæterisque mollibus vtatur, & opsoniis marinis potiùs quàm carnibus. Quæ si pepererit, cōualescit. Si aqua intercus in vteris oriatur, menses pauciores & deteriores contingunt, & diuturniores, iustoq; parciores, aut paulò copiosiores eunt, venter, quæque supra pubem sunt, tibiæ & lumbi intumescunt. Vbi autem longum intercesserit temporis interuallum, & vterum gestarit, fœtum perdit & eiicit, vnáque cum eo aqua effunditur, feréque mulier moritur. Sanguis autem corrumpitur, & aquosus fit. Huic quoad fœtus moueri possit, lac & pepli infusum potui exhibeto. Vt plurimùm autem ante hoc tempus corrumpitur, & abortione reiicitur, vteriq; sanguine & aqua diffluunt. Hæc autem nihilo frequentiùs ex labore quàm aliis de causis contingunt. Aquam autem esse intercutem dignoscas licet,

ἡ δὲ νοῦσος χαλεπή. καὶ ὀλίγαι ἐκφεύγουσι. [246] Ἢν δὲ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίνονται ἐλάσσονα. καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπεὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. οὐ γὰρ ῥώννυται, ἀλλ' ἀπορρεῖ. γνοίης δ' ἂν τῷδε. ὑγρὴ γίνεται. καὶ τὸ ἀπορρέον μυξῶδες. καὶ γλίσχρον οἷα ἀπὸ κοιλίης φέρεται. καὶ οὐ δάκνει. καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο ἡμέρας καὶ τρεῖς [247] βλένναι ἴασιν ἐκ τῶν ὑστερέων. καὶ φρίκη ἔχει. καὶ θέρμη οὐκ ὀξεῖα, πλὴν οὐκ ἐκλείπει. ταύτην κλύσαι [248] ἀπὸ τῶν ὀλύνθων ἀφ' ὧν ὕδωρ ἀπὸ ἣν καθαίρεται, καὶ δὶς καὶ τρίς. ἐπὴν δὲ καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω. προστιθέναι δὲ τὰ μαλθακά, ὑφ' ὧν καθαίρεται φλέγμα. καὶ πυριῆν τὰς ὑστέρας τῷ ξὺν τῇ δάφνῃ. [249] καὶ κλύζειν τῷ ξὺν τῷ ὄξει. καὶ θυμιῆν ἐπὴν παύσηται τὰ ἐπιμήνια τοῖσιν ἀρώμασι. κἄπειτ' ἀσιτεῖν χρή, καὶ ἀλουτεῖν. ξυνίτω δὲ τῷ ἀνδρί. καὶ σιτία, καὶ οἶνον ὀλίγα λαμβάνειν. καὶ ἀλεαίνειν. [250] καὶ εἰρινοῖς ἀμφὶ τὰ σκέλεα ἑλίσσειν, καὶ ἐλαίῳ ἀλείφειν. Ἢν δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα, καὶ πονηρὰ γίνεται, καὶ προαπολείπει. καὶ ἡ νειαίρη γαστὴρ οἰδεῖ. [251] καὶ οἱ μαζοὶ στερροί, καὶ μαλθακοί. καὶ τὸ γάλα πονηρόν. καὶ δοκεῖ ἐν γαστρὶ ἔχειν. καὶ ἐν τούτοισι γνώσῃ ὅτι ὕδερός ἐστι. σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῇσιν ὑστέρῃσιν. ψαυούσῃ γὰρ ἰσχνόν, καὶ ὑγρὸν φαίνεται. καὶ ῥῖγος, καὶ πῦρ λαμβάνει. ὅσῳ δ' ἂν [252] ὁ χρόνος πλείων γίνηται, ὀδύνην ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τοὺς βουβῶνας. αὕτη ἡ νόσος ἐκ τρωσμοῦ γίνεται. καὶ ἐξ ἄλλων δὲ προφασίων. καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ, λούειν χρὴ πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι ἢν ὀδύνην ἔχῃ. ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πίσαι κάτω. καὶ πυριῆσαι τῷ ξὺν τῷ βολίτῳ τὰς ὑστέρας. ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι. καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς. καὶ ἢν ῥώμη ἴσχῃ, νετώπῳ κλύσαι. καὶ ἢν ἡ γαστὴρ λαπαρὴ γένηται, καὶ οἱ πυρετοὶ παύωνται, καὶ τὰ καταμήνια προχωρέει κατὰ λόγον, καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω. καὶ ἐν τοῖσι προσθέτοισι μενέτω, [253] καὶ μεσηγὺς ἡμέρης πινέτω κρηθμοῦ φλοιόν. γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε. καὶ ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις. καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην. καὶ σκόροδα ὠμὰ καὶ ἑφθά. καὶ τοῖσι μαλθακοῖσι πρὸς ὕπνον χρήσθω. [254] καὶ πολύποσιν. καὶ τοῖσιν ἄλλοισι μαλθακοῖσι. καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι. καὶ ἢν τέκῃ ὑγιαίνει. Ἢν ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται, καὶ κακίω, καὶ διὰ πλείονος χρόνου. [255] καὶ κοτὲ μὲν ἐλάσσονα, ἢ μικρῷ πλείονα ἴῃ. καὶ οἰδεῖ ἡ κοιλίη, καὶ τὸ ἐπικτένιον. καὶ αἱ κνῆμαι, καὶ ἡ ὀσφύς. ἐπὴν δὲ συχνὸς χρόνος γένηται, καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει, καὶ ἐκβάλλει. καὶ ὕδωρ ξὺν αὐτῷ χέεται. καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπιτοπολύ. τὸ δὲ αἷμα φθείρεται. καὶ ὑδεροῦται. ταύτην γαλακτοποτεῖν, καὶ μήκωνος πίνειν ἔστ' ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται. [256] ἔτι δὲ πρὸς τούτου, ὡς ἐπιτοπουλὺ διαφθείρεται, καὶ ἐξαμβλοῦται. καὶ αἵματος, καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως. τοῦτο δ' ἂν γνοίης ὅτι ὕδρωψ ἐστίν,

εἰ ἀφάσσοι

καὶ ἀφάσσων τῷ δακτύλῳ ὄψει τὸ στόμα αὐτῶν ἰσχνὸν, καὶ περίπλεον ὑγρασίης. ἢν δὲ ἐν αὐτῇ τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη δίμηνον, διαφθείρεταί τε, καὶ ἀποπνίγεται. ἥ τε γαστὴρ ἡ νειαίρη ἐπανοιδέει, καὶ ἁπτομένῃ ἀλγέει ὡς ἕλκος. καὶ πυρετὸς μέγας αὐτὴν, καὶ βρυγμὸς λαμβάνει,[257] καὶ ὀδύνη ἰσχυρὴ τοῦ αἰδοίου. καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ τοὺς κενεῶνας, καὶ τὴν ὀσφὺν ὀξεῖά τε καὶ συνεχής. ὅταν οὕτως ἔχῃ, λούειν τε αὐτὴν θερμῷ, ἢν ὀδύνη ἔχῃ, καὶ χλιάσματα προστιθέναι, πειρεόμενον ὅ, τι ἂν μάλιστα προσδέχηται, καὶ φάρμακον καθαρτήριον κάτω. διαλιπεῖν δὲ χρόνον,[258] ὅσον αὐτῇ δοκέῃ ἱκανὸς εἶναι. καὶ κλύσαι, καὶ πυριῆσαι. καὶ τὴν κυκλάμινον ἐς ῥάκος μέλιτι δεύων, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῆς κυπαρισσίου καταξύσας, καὶ τέγξας ἐν ὕδατι, προσθεῖναι ὡσαύτως. ἐλάσσονι δὲ χρόνῳ. καὶ διὰ πλείονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει,[259] καὶ ξαίνει. καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι. καὶ τῷ δακτύλῳ ὡσαύτως. καὶ τὰ πόματα ὅ, τι ἂν μάλιστα προσίηται, πιπίσκειν. καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παρεόντων. ἢν γὰρ συλλάβῃ τὴν γονὴν,[260] καὶ κυήσῃ, ὑποκαθαίρεται, καὶ τὰ πρόσθεν ὑπιόντα ξὺν αὐτοῖσι, καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο. Ἢν δὲ γυνὴ ὑδρωπιήσῃ,[261] οἱ αὐτοῦ σπληνὸς ὑδατώδεος, καὶ μεγάλου ἐόντος, γίνεται δὲ ὁ σπλὴν ὑδατώδης, ἀπὸ τοῦδε τοῦ παθήματος. ἐπὴν πῦρ ἔχῃ, καὶ μὴ ἀφίῃ[262] τὸν ἄνθρωπον. καὶ δίψα μιν λαμβάνῃ καρτερή, καὶ πίνῃ. καὶ μὴ ἀπεμέσῃ. τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν, διουρέεται. τὸ λοιπὸν δὲ,[263] ὁ σπλὴν λαμβάνει, διασπῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε ἀραιὸς ὢν καὶ σπογγοειδὴς, κείμενός τε κατὰ τὴν κοιλίην. καὶ ἢν τούτων οὕτως ἐχόντων μὴ ἱδρώσῃ, μηδὲ ἡ κοιλίη χαλᾶται, αἴρεται ὁ σπλὴν ὑπὸ τούτου. καὶ μᾶλλον ἢν ὕδωρ ᾖ τὸ ποτόν. καί μιν ἤν τις ἐπαφήσαιτο μαλθακὸς ὡς χνοῦς ἐστιν. ἔστι δ' ὅτε ἀντίτυπος γενόμενος. ἀερθεὶς δὲ καὶ πιμπλάμενος, ἐκδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι. καὶ μάλιστα ἐς τὸ ἐπίπλοον, καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι. καὶ τοῖσι σκέλεσι. ἕτερον γὰρ ἑτέρῳ διεκδιδοῖ ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ, καὶ μὴ δύνηται κατέχειν.[264] ἐπιγίνεται δὲ ἀπὸ τοῦ ὕδρωψ αἰεί, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν φύσει ἀραιὸς ὢν καὶ μανός.[265] γίνεται δὲ ἐνίαις ἀρχὴ αὕτη τῆς νούσου καὶ ἄτερ πυρετοῦ. ἢν καῦμά τι τῇ κοιλίῃ ἐνσταίη[266] οἷα φλέγματος ἐς αὐτὴν κατιόντος. καὶ ἢν ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ. μηδὲ ἡ κύστις μηδὲ ἡ κοιλίη διηθέωσιν οὖρον τε καὶ κόπρον κατά τε δίκην. μηδὲ ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος. ἢν δὲ ὑδρωποειδὴς ᾖ, ἔρχεται τὰ καταμήνια πολλὰ ἐξαπίνης. ὅτε δὲ ὀλίγα. καὶ γίνονται ὅτε μὲν ὡς ἀπὸ κρεῶν ὕδωρ ὡς εἴ τις αἱματώδεα ἀποπλύνειεν. ὅτε δὲ ὀλίγῳ ἰσχυρότερα. καὶ οὐ πήγνυται. καὶ ἆσθμα μιν λαμβάνει, πρὶν ἢ τὰ καταμήνια χωρέειν. καὶ ὀδύνη ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπὴν τι γλυκὺ φάγῃ. καὶ ἡ γαστὴρ ἐπαίρεται, καὶ μεγάλη ἔσται.

si digito ad contrectandum immisso, ipsorum os gracile & humore redundans deprehenderis. Quòd si in ipsa fœtus non circa initia, sed iam bimestris, tum corrumpatur, tum suffocetur, venter imus in tumorem attollitur, & ad contactum velut vlcus dolet, ingensque febris eam & dentium fremitus inuadit, & dolor vehemens pudendum, & imum ventrem, & ilia, idemque acutus & assiduus laterum inanitates & lumbos occupat. Cùm ita affecta fuerit, si dolor adsit, eam calida lauato, & tepefacientia admoueto, periculo facto quodnam maximè ipsa admit-10 tat, medicamentúmque deorsum purgans exhibeto. Intermissione autem temporis quanta ei satis esse videbitur facta, etiam colluito & foueto, & cyclaminum melle subactum, tenui linteo exceptum, vterorum ori subdito, & cupressi ramenta aqua madefacta eodem modo supponito. Idque quò plus mordet aut lacerat breuiore, aut longiore tempore faciendum. Et paratum specillum stanneum digitúmque eodem modo intromittito. Potiones etiam quascumq; maximè approbat propinato, & opportunitate maximè captata cum viro dormiat. Si enim genituram comprehenderit & prægnans fuerit, quæ etiam intus in-20 erant, vna cum ipsis delata, per inferiora expurgabuntur, eáque præcipuè ratione conualescere poterit. Si verò ex aquoso & magno liene mulier in aquam intercutem labatur, lien aquosus ex eiusmodi affectione euadit. Cùm vehemens febris hominem detinuerit, neque dimiserit, sitisque valida corripuerit, & biberit, neque vomitione quicquam refuderit. Quod enim ad vesicam defertur, per vrinam redditur. Lien verò quod est reliquum, ex ventre ad sese raptum suscipit, cùm sit rarus & spongiæ similis, & prope ventrem situs. Hisque ita se haben-tibus, si neque exudarit, neque venter demittatur, ex eo splen attollitur, idque magis si aqua epota fue-30 rit. Ac si quis ipsum attractet, mollis est velut lanæ tormentum, interdúmque etiam durus ac renitens. In tumorem autem sublatus & oppletus, per venas in corpus transmittit, præcipuéque in omentum & partes ventrem ambientes, & crura. In corpore enim vbi in vnaquaque parte plus quàm par sit, aut quàm cõtinere possit affuerit, altera ad alteram transmittit. Ex eo verò semper hydrops subsequitur, vbi lien natura rarus & laxus ad sese trahere consueuerit. Quibusdam verò hoc morbi principium etiam citra febrem contingit, si incendium quoddam internum in ventre adfuerit, velut pituita in ventrem 40 delata, idque si in siti mulier sibi minimè temperet, neque vesica, neque aluus, tum vrinam, tum stercus, vt æquum est, transmiserint, neque idonea vtatur victus ratione. Quòd si hydrope laboret, copiosi menses de repente, quandoq; etiam pauci descendunt, & nonnunquã velut aqua ex carnibus fiũt, velut si quis cruentas carnes abluerit, interdũ etiam paulò vehementiores, ac neq; concrescunt. Eam crebra spiratio (asthma dicta) priùs quàm menses prodeant inuadit, & splenis dolor, idq; magis si quid dulce ederit, venterque in tumorem attollitur, & magnus redditur.

Ac vbi plus solito comederit, venter affligitur, & subinde lumbi dolent, ipsamque febris intra paucos dies occupat. Cúmq; repurgata fuerit, optimè, pro superiorum ratione, habere videtur, postea in eundem relabitur statum. Quòd si (vt cõuenit) diligens cura adhibeatur, conualescet. Alioqui & fluor muliebris apparet, & continuò per totum corpus velut sanies quędam sensim profluet, tumque diligentiore cura opus est. Si verò fluor non succedat, sed vteri per hæc quæ priùs inerant menses non relaxarint, & venter ei magnus reddetur, & pondus tanquam prægnanti inerit, & in eius ventre velut pueri motus sentietur, vteris nimirum aqua oppletis, & in iis aqua agitata. Subinde enim in iis aqua tanquam in vtre fluctuat, & pars sub vmbilico ad contactum dolet, iugulum, thorax, facies atque adeò oculi extenuantur, & papillæ attolluntur. Nonnullis quidem venter & crura aqua replentur, quibusdam verò horum alterum. Quòd si ambo impleantur, nulla de mulieris vita spes superest. Si verò horum alterum, est quoque spes reliqua exigua, si diligenter curetur, neq; admodum fuerit affecta. Diuturnus autem est hic morbus. Hæc autem omnia his quæ nondum pepererunt magis contingunt, plærumq; etiam his eueniunt quæ partum expertæ sunt. Sunt autem (vt dictum est) periculo proxima, & ferè acuta & grauia, quæque adeò non facilè quis intelligat, quòd cùm mulieres morbo affliguntur, interdum tamen se ægrotare nesciunt, priusquàm seniores effectæ, morbos qui menstruorum ratione proueniunt expertæ fuerint. Tum verò & necessitas, & temporis diuturnitas, eis morborum causam declarat. Atque adeò interdum dum non intelligunt quanam ex causa ægrotent, immedicabiles morbi euadunt, priusquã Medicus ab ægrotante rectè morbi causam ediscat. Eas enim etsi cognoscant, enunciare pudet, turpéque sibi esse ob imperitiam & inscitiam reputant. Simul etiam Medici falluntur, cùm morbi causam non exactè inuestigant, sed tanquam viriles curent, & multas vidi ab eiusmodi affectionibus consumptas. Verùm confestim exactè morborum causa peruestiganda est. Multum enim muliebres morbi & viriles curatione discrepant. Si verò vteri vlcerati fuerint, vnà cum pure sanguis expurgatur, grauis odor contingit, & dolor acutus lumbos, inguina & infimum ventrem inuadit, isque sursum ad laterum inanitates, costas & scapulas peruenit, interdumque ad iugulum pertinet, morsumque percipit, & vehementem capitis dolorem, mensque alienatur. Temporis autem successu tota intumescit, eamque debilitas, animi deliquium, febris leuis & perfrigeratio occupat. Præcipuè verò crura intumescunt. Morbus hic ex abortu prehendit, si qua corrupto & intus putrescente puello, non expurgata fuerit, totumq; corpus incendium occupat. Inuadit etiam ex fluoribus muliebribus, sique ad eos acria & biliosa confluxerint, mordent. Si ita se habere offenderis, cùm dolores quidem detinent, multa eaque calida lauare oportet, & tepefacientia qua parte dolor detinet admouere.

καὶ ἐπὴν πλέονα τοῦ μετρίου φάγῃ, πονεῖ τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε. καὶ πῦρ μιν ἐπιλαμβάνει δι᾽ ὀλίγου. ἐπὴν δὲ ἀποκαθαρθῇ, ῥήϊστον δοκέει πρὸς τὰ πρόσθεν. ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. καὶ ἢν μελεδαίνηται, ὡς χρὴ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ, καὶ ὁ ῥόος ἐπιφαίνεται, καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ᾽ ὀλίγον οἷον ἰχώρ, ἐπιμελείης πλείονος δέεται. ἢν δὲ μὴ ῥόος ἐπιγένηται, ἀλλ᾽ αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥ τε γαστὴρ οἱ μεγάλη ἔσται, [267] καὶ βεῖθος ἐνείη ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ. καὶ δοκέει ὡσεὶ παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι. ἅτε τῶν μητρέων ὕδατος οὐσέων πεπληρωμένων, καὶ τοῦ ὕδατος κινουμένου. ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ, καὶ ἀλγεῖ ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ. καὶ αἱ κληῗδες, καὶ ὁ θώρηξ, καὶ τὸ πρόσωπον, καὶ τὰ ὄμματα καταλεπτύνεται, καὶ αἱ θηλαὶ αἰείρονται. ἔστι δὲ ᾗσι μὲν ἥ τε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος. ᾗσι δὲ ἐς θάτερον τουτέων. καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὴν ἄνθρωπον. ἔστι δὲ ἢν θάτερον, τούτων ἐλπίδες ὀλίγαι ἢν μελεδαίνηται, καὶ μὴ λίην τετρυχωμένη ᾖ. χρονίη δὲ αὕτη ἡ νοῦσος. γίνεται δὲ πάντα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν, γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν. ἐπικίνδυνα δὲ εἰσὶν ὡς εἴρηται, καὶ τὸ πουλὺ ὀξέα, καὶ μεγάλα, καὶ χαλεπὰ ξυνιέναι, διὰ τοῦθ᾽ ὅτι αἱ γυναῖκες μετέχουσι τῶν νούσων. καὶ ἔσθ᾽ ὅτε οὐδὲ αὐταὶ ἴσασιν ὅτι νοσέουσιν, πρὶν ἢ ἔμπειροι νούσων γένωνται, ἀπὸ καταμηνίων, καὶ ἔωσι γεραίτεραι. [268] τότε δὲ σφέας ἥ τε ἀνάγκη, καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων, καὶ ἔστιν ὅτε τῇσι μὴ γινωσκούσῃσιν ὑφ᾽ ὅτου νοσεῦσι φθάνει τὰ [269] νοσήματα ἀνίητα γενόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ᾽ ὅτου νοσέει. καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι. καί σφιν δοκέουσι αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης καὶ ἀνεπιστημοσύνης. ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου. ἀλλ᾽ ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι. καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τῶν τοιούτων παθημάτων. ἀλλὰ χρὴ ἀνερωτᾷν αὐτίκα ἀτρεκέως τὸ αἴτιον. διαφέρει γὰρ ἡ ἴησις πολλὸν, τῶν γυναικείων νοσημάτων, καὶ τῶν ἀνδρώων. Ἢν δὲ αἱ μῆτραι ἑλκωθῶσιν, αἷμα καὶ πῦα καθαίρεται. καὶ ὀσμὴ βαρείη γίνεται. καὶ ὀδύνη ὀξεῖα λαμβάνει ἐς τὰς ἰξύας. καὶ ἐς τοὺς βουβῶνας. καὶ ἐς τὴν νειαίρην γαστέρα. καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς πλευρὰς, καὶ ἐς τὰς ὠμοπλάτας. ἔστιν ὅτε δὲ καὶ ἐς τὰς κληῗδας ἀφικνέεται. καὶ δάκνεται. καὶ κεφαλὴν ἀλγέει σφοδρῶς. καὶ παραφρονεῖ. τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα. καὶ ἀσθενείη μιν λαμβάνει. καὶ λιποψυχίη. καὶ πυρετὸς λεπτὸς, καὶ περίψυξις. ἀνοιδίσκεται δὲ μάλιστα τὰ σκέλεα. ἡ δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἥτις ἂν διαφθαρεῖσα τὸ παιδίον ἐγκατασαπὲν [270] μὴ ἐγκαθαρθῇ. καὶ τὸ σῶμα πᾶν πῦρ ἔχει. λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων. [271] καὶ ἢν ἐπὶ σφέας δριμέα ἀνῇ καὶ χολώδεα δάκνει. ἢν οὕτως ἐχούσῃ ἐπιτύχῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τὸ πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ.

καὶ ἢν μὲν ἄνω ὀδύναι ἔωσι, καὶ ἰσχυρὴ ἐστὶν ἡ γυνὴ, πυριῆσαι ὅλην, καὶ φάρμακον διδόναι κάτω πίνειν. καὶ ἐπὴν ὥρη [271] ᾖ τοῦ ἔτεος ὀρρὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε ἢν δυνατὴ ᾖ. ἢν δὲ μὴ ᾖ ὀρρὸς, ὄνου γάλα ἑψεῖν. καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας. μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδασιν ἀνακομίσαι αὐτὴν, καὶ σιτίοισιν ἐπιτηδείοισι. κρέασι μηλείοισιν, ἁπαλοῖσι, νέοισι, καὶ ὀρνιθείοισι, καὶ τεύτλῳ, καὶ κολοκύντῃ. ἀπεχέσθω δὲ τῶν ἁλμυρῶν, καὶ δριμέων, καὶ τῶν θαλασσίων πάντων, καὶ κρεῶν χοιρείων. καὶ βοείων. καὶ αἰγείων. ἄρτους δὲ ἐσθιέτω. ἢν δὲ ἀψυχίαι ἔχωσι, καὶ μὴ ἰσχύῃ, 10 καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. εἰσὶ δέ τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι, πιπίσκουσι γάλα, ὅτι κεφαλὴν ἀλγοῦσιν. οἱ δὲ ὕδωρ, ὅτι λειποθυμοῦσι. τἀναντία δὲ οἶμαι, εἰ κεφαλὴν ἀλγέουσι, καὶ φρενῶν εἴη ἅψις ἁρμόσον ὕδωρ, ὅτε δὲ δάκνεται καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσιν εὐμενές, ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας. πρῶτα μὲν τῷ ἀπὸ τῆς τρυγός. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τρεῖς ἢ τέσσαρας, κλύζειν τῷ σὺν τῷ κραμβίῳ χλιαρῷ. καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς, κλύσαι τῷ σὺν τῷ πικερίῳ. καὶ ἢν ταῦτα ποιήσαντι ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν τῷ 20 σιδίῳ. ἐπὶ δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος. καὶ κηκῖδα. καὶ σμύρναν. καὶ λιβανωτὸν, καὶ τῆς αἰγυπτίου ἀκάνθου τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην. καὶ χρυσοκόλλην. καὶ λεπίδα. καὶ λωτοῦ πρίσματα. καὶ κρόκον. καὶ στυπτηρίην αἰγυπτίην κατακεκαυμένην. τούτων ἓν ἔστω ἴσον ἑκάστου. τὴν δὲ στυπτηρίην, καὶ τὴν κηκῖδα, καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν πάντων. τρίψας δὲ καὶ ξυμμίξας, πάντα λεῖα διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ. ἔπειτα ἑψεῖν, ἔστ᾽ ἂν παχὺ γένηται οἷον τὸ μέλι. τούτῳ δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, νίψασα μέντοι ὕδατι χλιαρῷ. ἑψεῖν δὲ ἐν τῷ ὕδατι 30 [272] καὶ κισθὸν. καὶ ἐλελίσφακον. καὶ ἐπὴν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾷον εἶναι, προπίνειν γάλα ἑφθὸν αἴγειον, μίην ἡμέρην. ἔπειτα διδόναι, γάλα βόειον, τὸν αὐτὸν τρόπον οἷον ἐπὶ τῇσι προτέρῃσι. μετὰ δὲ τὴν γαλακτοποσίην, παχύναι σιτίοισιν ὡς μάλιστα, καὶ ποιέειν ὅκως ἐν τῇ γαστρὶ ἔχῃ. [273] ὑγιὴς γὰρ γίνεται. ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι καὶ ἄτοκοι γίνονται. τῇσι δὲ γεραιτέρῃσιν, οὐ πάνυ τι. πίνειν δὲ μετ᾽ αὐτὰ φάρμακα, λίνου σπέρμα ἀποπεφωσμένον. καὶ σήσαμον. καὶ κνίδης καρπόν. καὶ γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδει μέλανι 40 [274] κεκρημένῳ. ἢν αἱ μῆτραι ἑλκωθέωσιν, καὶ αἷμα καὶ πῦον ῥέοι καὶ ἰχώρ. σηπομένων γὰρ τῶν μητρέων, νόσημα ἀπ᾽ αὐτέων γίνεται. καὶ ἡ γαστὴρ ἡ νειαίρη ἐπαίρεται, καὶ λεπτὴ γίνεται, καὶ ἀλγέει ψαυομένη, ὡς ἕλκος. καὶ πῦρ ἔχει [275] καὶ βρυγμὸς αὐτήν. καὶ ὀδύνη ὀξείη καὶ συνεχὴς, ἔς τε τὰ αἰδοῖα, καὶ ἐς τὸ ἐπίσιον, καὶ ἐς τὴν γαστέρα τὴν νειαίρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας. ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν, ἐκ τόκου, [276] ἢν ἐν αὐτῇσί τι διασαπῇ. καὶ ἐκ τρωσμοῦ. καὶ ἄλλως ἀπὸ ταὐτομάτου. ταύτῃσιν ἢν ἐπιτυγχάνῃς, λούειν ἐν ὕδατι πολλῷ καὶ θερμῷ. καὶ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, τοιαῦτα τὰ χλιάσματα προστιθέναι, καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ. καὶ κλύζειν, τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχόμενον. τῶν δὲ μαλακωτέρων, διαμίσγε ὅκως δοκέει σοι καιρὸς εἶναι. τοῦ τε λίνου τὸν καρπὸν κόψας, καὶ τῆς ἀκτῆς, συμμίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρέω.

Quòd si dolor ad superiores partes pertingit, validaq; sit mulier, totam foueto, eiq; medicamentũ deorsum purgans bibendum exhibeto. Et si anni tempestas tulerit, serum lactis decoctum quinque diebus, si forte possit, superbibendum dato. Sin serum desit, lac asininum coctum per tres aut quatuor dies potui præbeto. Post lactis potum, eam aquis & cibis accommodatis reficito, carnibus ouillis tenellis, iuuenibus & anniculis, betaq; & cucurbita. Abstineat autẽ salsis, acribus, & marinis omnibus, itemq; porcinis carnibus, bubulis & caprinis. Panes autem comedat. Quòd si animi 10 deliquia detineant, neque sit valida, & perfrigeretur, sorbitionem assumat. Nonnulli verò sic capite dolentibus lac propinãt, quòd capitis dolore vexentur, quidam verò aquam quòd animo linquantur. Ego contrà, si capite doleant & mentis læsio adsit, conuenire aquam existimo, cùm verò morsus & acrimonia inest, his lac bene facit. Cùm verò tibi validior esse videbitur, vteros colluito, primùm quidem medicamẽto ex fæce, post hæc tribus aut quatuor intermissis diebus, brassicæ decocto tepido colluito, ac rursus tribus intermissis diebus, decocto cum butyro. Quòd si his factis vteri sanitati restituantur, medicamento quod ex malicorio paratur colluito. Vlcera autem argenti flo- 20 re, galla, myrrha, thure, spinæ Ægyptiæ fructu, œnanthe syluestri, chrysocolla, squama æris, loti ramento, croco & alumine Ægyptio vsto illinito. Quorum singulorũ vna sit æqualis portio, alumen autem, & galla, & crocus, omnium portionem æquent. Trita verò & ad læuorem permixta omnia, vino albo dulci diluito, deinde ad mellis crassitudinem decoquito. Hoc vt illinatur bis quotidie exhibendũ, vbi priùs aqua tepida lota fuerit, in qua cisthum & saluiam decoxeris. Ex quibus vbi tibi meliùs habere videbitur, die vno lac caprillum coctum propinandũ, deinde lac bubulum eodem quo in superioribus modo exhibendum. Post 30 lactis potum, cibis quàm maximè incrassandum, & vt concipiat procurandũ, sanitati enim restituetur, ferè autem ex hoc morbo euadunt, & steriles redduntur. Hæc verò sanioribus raro accidunt. Post ea medicamenta lini semẽ torrefactum, sesamum, vrticæ semen, pœoniæ radicem amaram tritam, ex vino odorato nigro aqua temperato bibat. Si exulceratis vteris sanguis cum pure & sanie effluat (hic enim morbus ex his putrescentibus oritur) vẽter imus intumescit, & extenuatur, cõtactuq; velut vlceratus dolet, febris & dentium fremitus eam detinet, dolorq; acutus & assiduus ad pudenda, pubem, infimum ventrem, lateris inani- 40 tatem, & lumbos vrget. Morbus autem præcipuè quidem ex partu inuadit, si quid in ipsis dilaniatum computruerit, itemq; in abortione, & aliàs sua sponte. Sic affectam vbi nactus fueris, multa calida lauato, & quà parte dolor detinuerit, eiusmodi tepefactoria & spongiam ex aqua calida supponito, acria & acerba vitando eluito, emollientibus admixtis prout opportunum tibi videbitur. Et ex lini semine & sambuci fructu, cum melle mixto, medicamẽto comparato, eo vtitor.

Calida lauato, & sumpta spongia aut lana molli, aqua calente imbuta, pudenda & vlcera repurgato. Deinde vino meraco rursus imbuta spongia aut lana, ad eundem modum vtitor. Postea hoc medicamento quoties opportunum tibi videbitur, inungito. Deinde resina & adipe suillo simul mixtis, hoc medicamento sæpe interdiu & noctu inungito. Post quæ lini semen torrefactum, contusum & cribratum, papaueris albi semen & farinam tusam & cribratam, & casei caprilli tosti, sorde & salsugine derasa, amarum cum polentæ polline permisceto. Deinde vnam medicamenti portionem & casei, & polentæ, sub auroram ieiunæ, ex vino austero temperato propinato. Et ista quidem tantisper dum copiosior sanguis effluet, & acuti dolores detinuerint, paulumq; intermiserint, facito. Vbi autem vlcus imminutum fuerit, & dolores leues longioreq; tempore occupant, medicamenta ex quibus per inferiora potius quàm per superiora repurgari debeat propinato, intermisso tanto tempore, quantum necessarium videatur. Mulierq; in alta sella reclinata, lenibus fomentis fouenda est, si occasio crebrò postulare videatur. Quibus factis sana euadit. Hic autem morbus lentior est & lethalis, & ex quo paucæ euadunt. At si vehementer vlcerati fuerint, sanguis cum pure expurgatur, & grauis odor adest. Cúmque dolor prehenderit, quæ circa profluuium contingũt, velut partus dolores affligunt, temporisq; successu crura & pedes intumescũt. Ac huic tanquam hydropi Medici medelam adhibent, cùm tamen non sit eiusmodi. Huius curam cùm susceperis, imprimis calida lauato & calefacito, acribusque & emollientibus, ac adstringẽtibus ex aqua & vino colluito. Tum Cratæogoni & polycnemi cum melle decocto, lana imbuta pudenda perlinenda, & resina cum melle & adipe suillo illinenda. Propinandum etiam lini semen & sesamum torrefactum, cum caseo caprillo, & polenta omnibus admixta. Hæc autem ieiunæ ex vino propinanda. Ad vesperum autem magna mellis copia affundenda, istaque quoad sanguis purgabitur, & dolores acuti detinuerint vsurpanda. Cùm verò parciùs prodierit, & dolores leuiores diutiùs detinuerint, medicamentum deorsum purgans ex intermissione propinandum. Quibus factis conualescit, generationis tamen spes nulla adest. Quæ in vteris exulcerationes, ex abortione, aut alia de causa oriuntur, eæ omnes quocunq; curationis genere opus esse videatur, habita totius corporis ratione curandæ sunt, siue ex toto mulieris corpore petẽdam esse curationem existimaueris, siue ex ipsis vteris. An verò ab ipsis vteris, hoc pacto dignosces. Quæ quidem ab ipsis vlcerationes fiunt, purulentam & consistentem purgationem reddunt, quæ verò non ab ipsis, tenuem & sanie permixtã. In quibus igitur fluxiones sunt tenues, eas quidem medicamento curare oportet, & exhibere quod sursum ac deorsum purget, imprimis verò sursum. Quòd si quidem post medicationem fluxiones pauciores & mitiores fuerint, aut intermittant, rursus ad eundem modũ medicamentum purgãs exhibeto.

λοῦσον δὲ ὕδατι θερμῷ. καὶ λαβὼν σπόγγον, ἢ εἴριον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα. εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἴριον, τὸν αὐτὸν τρόπον χρέω. ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι. ἔπειτα ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ τῷ φαρμάκῳ [277] διαλείφειν πολλάκις μεθ' ἡμέρην, καὶ τῆς νυκτός. μετὰ δὲ ταῦτα λίνου σπέρμα φώξας καὶ κόψας, καὶ σήσας, μήκωνα λευκὴν κόψας ἐν ἀλφίτοισι καὶ σήσαι, καὶ τυρὸν αἴγειον ὀπτὸν ἀποξύσας τὸν ῥύπον καὶ τὴν ἅλμην, [278] καὶ τὸ πικρὸν συμμίξας, καὶ πάλην ἀλφίτου, εἶτα ἓν τοῦ φαρμάκου μέρος, καὶ τοῦ τυροῦ, καὶ τοῦ ἀλφίτου τοῦτο διδόναι πίνειν ἐξ ἠοῦς νήστει ἐν οἴνῳ αὐστηρῷ κεκρημένῳ. ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι, [279] καὶ τὸ γυναικεῖον ὅ,τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. καὶ μέχρι μὲν ἂν τὸ αἷμα πολὺ ῥέῃ καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι ταῦτα ποιέειν. ἐπὴν δὲ τὸ ἕλκος ἔλασσον ᾖ, καὶ ὀδύναι βληχραὶ περιλαμβάνωσι, καὶ διὰ πλέονος χρόνου, φάρμακα πιπίσκειν ὑφ' ὧν μέλλει καθαίρεσθαι κάτω μᾶλλον, ἢ ἄνω. διαλείπειν χρόνον, ὁκόσον ἂν δοκέῃ ἐπίκαιρος εἶναι. καὶ πυρίην βληχρῇσι πυρίῃσι, ἀνακαθίζοντα ὑψόθι, ἢν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. ταῦτα ποιεῦσα ὑγιὴς γίνεται. ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, καὶ διαφεύγουσιν αὐτὴν παῦραι. ἢν δὲ ἑλκωθῶσι σφοδρῶς, αἷμα καὶ πῦον καθαίρεται. καὶ ὀδμὴ γίνεται βαρεῖα. καὶ ὁκόταν ἡ ὀδύνη περιλάβῃ ὡς ὑπὸ ὠδῖνος τὰ περὶ τὸν ῥόον γίνεται. καὶ ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι, καὶ ἰῶνται τοῦτο οἱ ἰητροὶ ὡς ὕδρωπα. τὸ δὲ οὐκ ἔστι τοιοῦτον. Ταύτην ἢν λάβῃς, λούειν πρῶτα θερμῷ. καὶ χλιαίνειν. καὶ κλύζειν δριμέσι, καὶ μαλθακοῖσι καὶ στρυφνοῖσιν, ὕδατί τε καὶ οἴνῳ. [280] καὶ πολύκαρπον. καὶ πολύκνημον. καὶ μέλι ἕψων ὁμοῦ. εἶτα εἴριον εἰς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα. καὶ ῥητίνην καὶ μέλι, καὶ συὸς ἔλαιον ἐγχρίειν. καὶ πιπίσκειν λίνου καρπόν. καὶ σήσαμον φώξας, καὶ βούτυρον, καὶ τυρὸν αἴγειον. [281] καὶ ἄλφιτον ἐν ἅπασι πιπίσκειν ἐν οἴνῳ νήστιν. ἐφ' ἑσπέρην δὲ, μέλιτι ἐπιχέων πουλύ. καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται, καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι, τοῦτο ποιέειν. ὅταν δὲ οἱ ἔλασσον ἴῃ, καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλέονος χρόνου, φάρμακον πιπίσκειν κάτω, καὶ διαλείπειν. ταῦτα ποιέουσα, ὑγιὴς γίνεται. γονὴ δὲ οὐκ ἔνι. Ὅσα δὲ ἑλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν ἀπὸ τρωσμοῦ, ἢ ὑπὸ ἄλλου τινὸς, ταῦτα χρὴ ἀποσκεπτόμενον εἰς τὸ ὅλον σῶμα θεραπεύειν πάντα, [282] ὁκοίης ἂν δοκέῃ δέεσθαι θεραπείης. ἤν τε σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ἢ αὐτόθεν πως θεραπευτέον εἶναι. ἢν τε ἀπ' αὐτέων. γνώσῃ δὲ εἰ ἀπ' αὐτέων τῶν ὑστερέων. τὰ μὲν ἀπ' αὐτῶν τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει, πυώδεα τέ καὶ ξυνεστηκυῖαν. τὰ δὲ μὴ ἀπ' αὐτέων, λεπτήν τε καὶ ἰχωροειδέα. ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, [283] ταύτας μὲν χρὴ θεραπεύειν ἐν φαρμάκῳ. καὶ διδόναι καὶ ἄνω καὶ κάτω. πρῶτον δὲ ἄνω. καὶ ἢν μὲν μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνεται, [284] καὶ εὐπετέστερα ἢ διαλείποντα αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον.

μετὰ δὲ

μετὰ δὲ τὴν φαρμακείην δίαιταν, δίαιτα τοιαύτη, ἐξ ὁποίης ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος. ἔσται δὲ ἢν αὐτὴν πυριῇς δι' ἡμέρης τρίτης ἢ τετάρτης, ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν πυριῶν εὐθύς. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας, διαιτᾶν ἀλουσίῃσί τε καὶ ὑδροποσίῃσι, καὶ ἀρτοσιτίῃσιν. ὄψῳ δὲ μηδενί, ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι. λαχάνῳ δὲ μηδενί. ὅταν τὸν ἔμετον παρασκευάζῃς, τότε χρείην ἔχῃς λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι. καὶ σιτίων πολλῶν, καὶ ὄψου ὁκοίου ἂν βούλωνται. καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος. καὶ λούειν ἐκ τῶν πυριῶν, πολλῷ θερμῷ. αὕτη μὲν ἡ θεραπείη τῶν τοιουτοτρόπων ῥευμάτων. ἄμεινον δὲ ἄμφω φαρμακεύειν, καὶ ἐμέειν, καὶ ἄνω ἕλκειν. δίαιτα δὲ ξηραντικὴ κρέσσων, καὶ ἀλουσίη. τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε. πρῶτα μὲν πυριᾶν ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα. ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι. ἢν μὲν σηπεδὼν ἐν τοῖς ἕλκεσιν ᾖ, καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι. ἢν δὲ μηδὲν τοιοῦτον, ὑδαρεστέρῳ. μετὰ δὲ τὴν ἰλὺν, ὕδατι. ἐν δὲ τῷ ὕδατι, ἐναφεψεῖν μυρσίνην καὶ ἐλελίσφακον. μετὰ δὲ τοῦτο, οἴνῳ κλύζειν [286] ἀκρήτῳ λευκῷ χλιαρῷ. ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα. κλύζειν οὖν χρή, ὑδαρεστέρῃ τῇ ἰλύϊ, καὶ οἴνῳ μέλανι. μετὰ δὲ τὸν οἶνον, πιμελὴν ὕος τήξαντα νεαρὴν ἔλαιον παραμίξαντα, ἢν μὲν ᾖ, χηνός, ἢν δὲ μή, ἄλλου τοῦ, μάλιστα ὄρνιθος. εἰ δὲ μή [287] τὸ ἐκ τῶν ἐλαιῶν παλαιόν, τούτῳ χλιαρῷ κλύζειν. μετὰ δὲ τὸν οἶνον ἐς ἑτέρην κλυσῖν ἐγχέαντα ἐς τὸ στόμα. [288] καὶ ἢν μὲν ἑλκώμενα, μοτοὺς ποιοῦντας τῶν μαλθακτηρίων προστιθέναι. καὶ ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα κελεύειν αὐτὴν νίψασθαι ὕδατι χλιαρῷ, τοιούτῳ οἵῳ περ ἐκλύζετο. ἢν δὲ πρὸς τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω δὲ γίνηται καὶ δάκνῃ σφοδρῶς, καὶ τὰ ἀπορρέοντα χολή τε εἴη καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω ἑλκοῖ, μεταβάλλειν χρὴ τὴν δίαιταν, καὶ ἐξυγραίνειν πᾶσαν, ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται. καὶ ἥκιστα δηκτικά, λουτροῖσι θερμοῖσι πολλοῖσι, μάζῃ, λαχάνοισιν ἑφθοῖσι πᾶσι λιπαροῖσιν. ἰχθύσι τοῖσι σελάχεσιν, ἐν κρομμύοισι καὶ κορίοισιν ἕψοντα [289] ἐν ἅλμῃ γλυκείῃ. ἐσθίειν δὲ λιπαρῶς κρέασιν ἑφθοῖσι πᾶσι, πλὴν βοὸς καὶ αἰγός. τούτοισι γὰρ διέφθοισιν ἐν ὄξει καὶ μαράθοισιν. οἴνῳ μελιχρόῳ, κιρρῷ, ὑδαρεῖ. πλείονι γαλακτοποσίῃ μετ' οἴνου γλυκέος. τὰ δ' ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. αὕτη μὲν νῦν περὶ τῶν τοιούτων ἡ θεραπείη. ὅτῃ δὲ πυώδεά τε καὶ ξυνεστῶτα, ἀπίσι, τούτων τὸ μὲν ὅλον σῶμα οὐδὲν δεῖ κινέειν. κλύζειν δὲ καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι. κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν, οἷς πρόσθεν εἴρηται τὸν αὐτὸν τρόπον. γεγράψεται δὲ καὶ ἄλλα κλύσματα. Ἑλκῶν ἴησις. Ἐλάφου στέαρ χλωρὸν προσθετόν. κλύζειν δὲ χρὴ αὐτίκα [290] οἴνῳ στραιῷ. κάλλιστον δὲ ψιμυθίῳ ἢν ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ. σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι, καὶ μὴ δριμέσιν. ἢν δὲ ῥυπαρώδεα ᾖ καὶ νενεμημένα, [291] καὶ τὸν πλησιαίτατον χῶρον δάκνῃ, καθαίρειν,

Post medicationem autem eam victus rationem præscribito, ex qua maximè sicca mulier euadat. Quod continget, si tertio vel quarto quoq; die toti corpori fotus adhibueris, & ab iis confestim vomitiones citaueris. Post vomitiones autẽ & fotus, victus rationem instituito, vt illota permaneat, aquę potu & pane in cibo vtatur, opsonio verò nullo, præterquàm vino nigro meraciore, olere etiam nullo. Cùm verò vomitionem paras, tum vsus est vt multis & acribus oleribus impleas, multis etiam cibis & opsonio quodcunq; libuerit, necnon etiam vino aquoso copioso impleas, & à fotu multa calida lauet. Atq; hac curatione ad huiusmodi fluxiones vtẽdum. Præstat tamen in vtrisq; medicamenti purgantis potione vti, vomitiones ciere & sursum trahere. Melior quoq; est desiccans victus ratio, sine vllo balnei vsu. Ad vteros verò hanc curationem adhibeto. Primùm quidem aqua in qua sambuci folia incoxeris foueto, deinde post fotum smegmate ex vini fæce colluito. Si quidem putredo in vlceribus adfuerit, & quæ prodeunt graueolẽtia sint, smegmate meraciore, sin autẽ nihil tale adsit, dilutiore. Post fotum autem aqua, in qua myrtũ & saluiam incoquito. Post hoc, vino mero, albo, tepido colluito. Cùm verò à collutionibus mordetur, tum pura reddita iam sunt vlcera. Fęce igitur vini dilutiore, & vino nigro colluere oportet. Post vinum, adipem suillum recentem liquefacito, anseris pinguedinem, si adsit, admisceto, sin minùs, aliam quandam, præcipueq; gallinaceam. Quæ si nõ adfuerit, vetustam aliquam pinguedinem sumito, eaq; tepida colluito. Post hæc autem vinũ per alteram collutionẽ ad os vteri infundito. Quòd si vlceratum fuerit, penicillos ex emolliẽtibus factos subdito. At si admoti ardorem excitarint, mulieri detrahere iussæ, ei vt aqua tepida lauet quali colluebatur imperato. At si ad hanc victus rationem fluxiones minimè decedant, minores tamen sint & vehementer mordeant, quæq; effluunt biliosa fuerint & salsa, neq; interiora tantùm, sed & exteriora vlcerent, commutata victus ratione, toto corpore humectãda erit, quò fluxiones quàm dilutissimæ & quàm minimùm mordaces euadant, balneis multis calidis, maza, oleribus coctis pinguibus omnibus, piscibus cartilaginei generis, cùm cepa & coriandro in muria dulci coctis vtatur. Cùm pinguedine autem multa coquendi sunt. Carnibus omnis generis, excepta bubula & caprina. His enim cum aceto & fœniculo decoctis vti licet. Vino mellito, fuluo, aquoso, liberaliore lactis potione cũ vino dulci. In reliquo, quę ad collutiones spectat, iuxta commemoratam rationem facienda. Atq; ea quidem nũc est exposita huiusmodi fluxionum curatio. In quibus autem purulenta & compacta defluunt, in his quidem totum corpus nullo modo mouere oportet, sed collutionibus vti, & ex his totam curationem instituere. Ex collutionibus autem eædem quæ antea dictæ sunt, nunc perficiẽdæ, eodemq; modo. Describentur verò etiam à nobis aliæ paulò pòst. Hæc etiam vlceribus medentur. Ceruinus adeps recens in subditio appositus. Colluere tamen quàm primùm sapa oportet. Optimum etiã cerusam affundere, si vlcera adsint, & narcissinum oleum. Cibis etiam mollissimis & minimè acribus vtendum. Quòd si sordida fuerint & serpant, proximumque locum mordeant, purgato,

carnemq; nouam producito, eamque ad cicatricem perducito. (facilè enim relaxátur, & ad malignitatem deueniunt) crebroq; lauato. At si mulier ex abortione vulnus accipiat, aut ex acribus subditis medicamentis exulcerentur vteri, (qualia multa mulieres semper dum sibi medentur sentiunt) fœtusq; corruptus fuerit, neq; mulier expurgetur, verùm ei vteri vehementi inflammatione laborent, & conniueant, neq; purgationem, nisi priùs emisso sanguine qui est in fœtu, effluere sinant. Hæc siquidem curetur, breui conualescit, sterilis tamen est. Quòd si ei sponte puerperij purgamenta eruperint, vlceraque curata fuerint, sic quoq; sterilis erit. Si verò ei quidem purgatio contingat, vlcera verò minimè sedulò curentur, periculum est ne putredinosa existant. At si ei iam morbo attritæ purgatio continenter eat, moritur. Quòd si in partu fœtu non secundum naturam prodeunte, vteri etiam vehementer exulcerati fuerint, eadem patientur quæ illa cui ex fœtus corruptione vteri vlcerati fuerint. Siq; ex fœtus corruptione aut ex partu vteri vlcerati fuerint, easdem commutationes eosdemq; exitus morbus habet. Ac si omnia puerperij purgamenta emiserint, minor labor erit, nisi grandia vlcera fuerint. Quæ si diligenter curetur, breui conualescit. Ad curationem autem citò animum attendere oportet, si vlcera in vtero fuerint. Nimirum enim cùm tenello loco existant, celeriter increscunt, breuiq; putrescũt. Vlcera verò curato nõ secus ac ea quæ in reliquo corpore exoriuntur, studendo vt inflammatio arceatur, repurgentur, impleantur, & ad cicatricem perducantur. Aqua autem non vinum potui dandum, cibique pauci non multi exhibendi. Qui verò fœtus per abortiones liberari nequeunt, quòd nimirum ij toti, aut eorum partes maiores existãt, aut minores, sed transuersi & imbecilles, si quidem eiusmodi sint secundum naturam, vbi priùs calida multa laueris, ex his quæ recensebo medicamentum aliquod exhibeto. Quòd si exitu affectato non facilè discedant, cùm sint secundum naturam, iis sic habẽtibus sternutatorium aliquod adhibeto. Naribus autem apprehensis, & ore compresso sternutandum, quò quàm maximè fieri poterit, efficax sternutatio reddatur. Concussionibus etiam vtendum quas hoc modo parare possis. Lecto alto, firmo & substrato, mulierem supinam reclinato. Pectus autem & axillas, & brachia, fascia aut loro lato & molli velut cingulo comprehensa, ad lectum alligato, & crura recuruata malleolis vinculis iniectis contineto. Quæ cùm adornaueris, mollium virgultorum aridorum fascem, aut aliquid huius persimile, tam bellè disponito, vt lectum in terram proiectum, non sinat pedibus qui ad caput sunt terram attingere. Tum eam manibus lectũ apprehendere iubeto, & lectũ à capite sublimem habere, vt in pedes propẽdeat, ea cautione adhibita, vt ne mulier præceps feratur. Hæc autẽ dum ita parata fuerint, & lectus in sublime erectus, à posteriore parte virgulta arida ponenda, & quàm maximè dirigẽda, vt dum lectus proiicitur, pedes terram minimè attingant, sed intra virgulta arida contineãtur. Ab vtroque verò pede hinc & illinc vir vnus eum attollat, vt lectus rectà decidat, plano & æquabili momẽto, ne quid in eo diuellatur. Concutiẽdum autem maximè simul ac partionis dolores vrgẽt.

καὶ νέαν σάρκα φῦσαι, καὶ ἐς οὐλὰς ἄγειν τὴν σάρκα.[292] ῥηϊδίως γὰρ ἀναχαλᾶται, καὶ κακοήθεα γίνεται. καὶ λούειν συχνῶς. Ἢν δὲ γυνὴ ἐκ τρωσμοῦ τραῦμα λαμβάνῃ, ἢ προσθέτοισι δριμέσιν ἑλκωθῇ τὰς μήτρας, οἷα πολλὰ γυναῖκες ἀεὶ δρῶσί τε,[293] καὶ ἰητρεύουσι, καὶ τὸ ἔμβρυον φθαρῇ, καὶ μὴ καθαίρηται ἡ γυνή, ἀλλά οἱ αἱ μῆτραι φλεγμαίνωσιν ἰσχυρῶς, καὶ μεμύκωσι, καὶ τὴν κάθαρσιν οὐχ οἷαί τε ὦσι παραμετιέναι, εἰ μὴ τὸ πρῶτον αἷμα τὸ ἐν τῷ ἐμβρύῳ. αὕτη ἢν μὲν ἰητρεύηται, ἐν τάχει ὑγιὴς ἔσται. ἄφορος δέ. ἢν δέ οἱ ῥαγῇ αὐτόματα τὰ λόχια, καὶ τὰ ἕλκεα ὑγιανθῇ, καὶ ὧδε ἄφορος ἔσται. ἢν δέ οἱ ἡ μὲν κάθαρσις γίνηται, τὰ δὲ ἕλκεα μὴ μελεδαίνηται, κίνδυνος σηπεδονώδεα εἶναι. ἢν δέ οἱ κάθαρσις ἴῃ τετρυχωμένῃ, θνήσκει. κἢν ἐν τῷ τόκῳ κάρτα ἑλκωθέωσι καὶ αἱ μῆτραι τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἐόντος, πείσονται ταὐτὰ τῇ ἐκ διαφθορῆς ἑλκωθείσῃ τὰς μήτρας. καὶ μεταλλαγὰς καὶ τελευτὰς τὰς αὐτὰς ἡ νοῦσος ἴσχει, ἤν τε ἐκ διαφθορῆς, ἤν τε ἐκ τόκου αἱ μῆτραι ἑλκωθῶσι. καὶ εἰ τὰ λόχια πάντα παρείησαν, ἧσσον πονήσει, ἢν μὴ μεγάλα ἕλκεα εἴη, καὶ μελεδαινομένη, ἐν τάχει ὑγιαίνει. χρὴ δὲ τὴν μελεδώνην προσέχειν ἐν τάχει,[294] ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἔνι, ἅτε γὰρ ἐόντα ἐν ἁπαλῷ, ταχὺ αὔξεται, καὶ σαπρὰ ταχὺ γίνεται. ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν ἄλλῳ σώματι ἀφλέγμαντα χρὴ ποιέειν, καὶ ἀνακαθαίρειν, καὶ ἀναπιμπλάναι, καὶ ἐς ὠτειλὰς ἄγειν. διδόναι δὲ ὕδωρ εἰς πόσιν. οἶνον δὲ μή. σιτία παῦρα, πολλὰ δὲ μή. Ὁκόσα δὲ τρωσμῶν γινομένων, μὴ ἀπαλλάσσεσθαι δύναται, μεζόνων ὅλων τε ἢ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, ἢ ἐλασσόνων καὶ πλαγίων καὶ ἀδυνάτων τὰ τοιαῦτα, ἢν μὲν κατὰ φύσιν εἴη, διδόναι τῶν φαρμάκων τι, ὧν ἐγὼ φράσω. προλούοντα θερμῷ παμπόλλῳ. κἢν ἐθέλοντα προϊέναι μὴ εὐλύτως ἀπίῃ, κατὰ φύσιν ἐόντα, τῇσι τοιαύτῃσι τοῦ πταρμικοῦ προσφέρειν. ἐπιλαμβάνειν δὲ τὸν μυκτῆρα, καὶ πταρνύσθαι. καὶ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς ὡς ὅτι μάλιστα ἐνεργήσῃ. χρῆσθαι δὲ καὶ σεισμοῖσι. σείοις δ' ἂν ὧδε. Κλίνην λαβεῖν ὑψηλὴν ῥωμαλέην, καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα ὑπτίην. τὰ δέ γε στήθεα, καὶ τὰς μασχάλας, καὶ τὰς χεῖρας, περικαταλαμβάνειν ταινίῃ, ἢ ἱμάντι πλατεῖ μαλθακῷ πρὸς τὴν κλίνην, καὶ ζωννύειν. καὶ τὰ σκέλεα ξυγκάμψαι καὶ κατέχειν τοῖν σφυροῖν. ὅταν δὲ εὐτρεπίσῃς[295] φρυγάνων φάκελον μαλθακῶν, ἤ τι τῷδε ἐοικὸς εὐτρεπίζειν ὅσον τὴν κλίνην οὐ προσψαύσεται ἐπὶ τὴν γῆν ῥιπτουμένην, ὥστε ψαῦσαι τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς. καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ τὴν κλίνην. καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάρροπος ᾖ ἐπὶ πόδας, φυλασσόμενος ὅκως μὴ προπετὴς ἔσται ἡ ἄνθρωπος. ὅταν δὲ ταῦτα ἐνεργῆται, καὶ μετάρσιος ᾖ ἡ κλίνη, ἐκ τοῦ ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα. κατορθοῦσθαι δὲ ὡς μάλιστα ὅκως δὲ οἱ πόδες μὴ ψαύωσι τῆς γῆς, ῥιπτουμένης τῆς κλίνης, τῶν φρυγάνων ἔσωθεν ἐόντων. αἴρειν δὲ δύο ἑκατέρου τοῦ ποδὸς ἄνδρα, τῇδε καὶ τῇδε, ὡς καὶ ἰθὺ πέσηται ἡ κλίνη, ὁμαλῶς καὶ ἴσως, καὶ μὴ σπασμὸς ᾖ. σείειν δὲ ἅμα τῇ ὠδῖνι μάλιστα.

καὶ ἢν μὲν ἀπαλλάσσηται αὐτίκα πεπαῦσθαι. εἰ δὲ μὴ, διαλείποντα σείειν. καὶ αἰωρέειν ἐπὶ κλίνης φερομένην. ταῦτα μὲν οὕτως ποιέεσθαι, ἢν ὀρθά τε καὶ κατὰ φύσιν ἀπαλλάσσηται. χρὴ δὲ κηρωτῇ ὑγρῇ προαλείφειν. ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων, ἄριστον τόδε. καὶ μαλάχης ὕδωρ καταιονᾶν, [297] καὶ βουκέρας ἢ πτισάνης πυρίνης μᾶλλον χυλός. χρὴ δὲ ἄχρι βουβῶνος ἕδρην καὶ αἰδοῖον πυριῆν. καὶ ἐνίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσι μάλιστα, [298] καὶ μηδὲν ἐν νόῳ ἕτερον ἔχειν. τὴν δὲ ἰητρεύουσαν τὰ στόματα μαλθακοῖσιν ἐξανοίγειν. καὶ ἠρέμα τοῦτο δρᾷν. ὀμφαλὸν δὲ ξυνεφέλκεσθαι τὸ ἔμβρυον. ὅσα δὲ διπλόα πλύσεται καὶ ἔγκειται ἐν τῷ στόματι τῶν ὑστερέων. ταῦτα δὲ ἤν τε ζῶντα, ἤν τε τεθνεῶτα ᾖ, προωθέοντα ὀπίσω πάλιν στρέφειν, ὅκως κατὰ φύσιν ἴῃ ἐπὶ κεφαλήν. ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, ἀνακλίναντα χρὴ ὑπτίην ὑπὸ τὰ ἰσχία, ὑποστορέσαι τι μαλθακόν. καὶ ὑπὸ τοὺς πόδας τῆς κλίνης, ὅκως ὑψηλότεροι ἔσονται οἱ πρὸς ποδῶν πόδες, συχνὰ ὑποτιθέναι χρὴ ἅσσα. καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς ἔστω. προσκεφάλαιον δὲ μηδὲν ὑπέστω τῇ κεφαλῇ, προμηθεόμενος ταῦτα. ὅταν δὲ ἀπωσθῇ τὸ ἔμβρυον, καὶ περιειλῆται τῇδε, καὶ τῇδε, [299] κατὰ φύσιν καθίστασθαι. καὶ τὴν κλίνην καὶ τὰ ἰσχία ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς κλίνης καὶ τοὺς λίθους, καὶ τὸ ὑπὸ τῶν ἰσχίων. πρὸς κεφαλὴν δὲ ὑποθεῖναι ὑποκεφάλαιον, τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν. ὅσα δὲ ζῶντα τῶν ἐμβρύων, τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω προβάλλεται, ἢ καὶ ἄμφω, ταῦτα χρὴ ὅταν τάχιστα προσημαίνῃ τὴν ἔξοδον, εἴσω ἀπωθέειν τῷ προειρημένῳ τρόπῳ. καὶ στρέφειν ἐπὶ κεφαλήν. καὶ ἐς ὁδὸν ἄγειν. καὶ ὅσα πλύσεται τῶν ἐμβρύων πεπτωκότα, ἢ ἐς τὸν κενεῶνα, ἢ ἐς ἰσχίον ἐν τῷ τόκῳ, χρὴ ταῦτα ἀπορθοῦσθαι, καὶ στρέφειν. καὶ προσκαθίζεσθαι ἐς ὕδωρ θερμόν, [300] ἄχρις ἂν ἰαίνηται. Ὁκόσα δὲ τεθνεῶτα τῶν ἐμβρύων, ἢ τὸ σκέλος, ἢ τὴν χεῖρα ἔξω ἔχει, ταῦτα ἄριστα μὲν ἢν οἷόν τε ἀπώσασθαι εἴσω καὶ ἄμφω ταῦτα ἐπὶ κεφαλὴν στρέφειν. εἰ δὲ μὴ οἷόν τε ᾖ, ἀνοιδίσκηται δὲ, τάμνειν ὧδε τῷ τρόπῳ, σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ ξυμφλάσαι, ἵνα μὴ θραύσῃ [301] τῷ πιέστρῳ. καὶ τὰ ὀστέα ἕλκειν [302] ὥστε ὀλίγον [303] ἢ τῷ ἑλκυστῆρι παρὰ τὴν κληῖδα καταθέντα ὡς ἂν ἔχηται ἕλκειν, μὴ κατὰ πουλὺ, ἀλλὰ κατ' ὀλίγον ἐξανιέντα, καὶ αὖθις βιώμενον. ὅταν δὲ ταῦτα ἔξω εἰρύσῃς, ἐν δὲ τοῖσιν ὤμοισιν ἐνῇ, τάμνειν τὰς χεῖρας ἄμφω ἐν τοῖσιν ἄρθροισι μετὰ τῶν ὤμων. καὶ ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ ἰέναι καὶ τὰ ἄλλα εὐπετῶς ἕλκειν. ἢν δὲ μηδὲν ἀκούσῃ, τὸ στῆθος πᾶν μέχρι τῶν σφαγέων σχίζειν. φυλάσσεσθαι δὲ ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς, [304] καὶ ψιλώσῃς τι τοῦ ἐμβρύου. ἔξεισι γὰρ ἡ γαστὴρ, καὶ τὰ ἔντερα, καὶ κόπρος. ἢν δέ τι τούτων ἐκπέσῃ, πρᾶγμα ὀχλωδέστερον ἤδη γίνεται. ξυμφλάσαι δὲ τὰ πλευρὰ, καὶ τὰς ὠμοπλάτας ξυνάγειν. καὶ ῥηιδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην. ἢν γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ ἐμβρύου τρῆσαι τορηνέως. ἔξεισι γὰρ φῦσα μόνον ἀπὸ τῆς γαστρὸς, καὶ εὐπετέως οὕτω χωρήσει. ἢν δὲ ἐκπεπτώκῃ ἡ χεὶρ, ἢ τὸ σκέλος τεθνεῶτος τοῦ ἐμβρύου, ἢν

Quòd si fœtus quidem decesserint, confestim cessandum, aliòqui per interualla concutiẽdá, & suspensa in lecto continenda. Hæc igitur ad hunc modum facienda, vbi rectè & secundum naturam decedunt. Cerato autẽ liquido priùs illinere oportet. Id autem in omnibus eiusmodi circa vterum affectionibus est optimum, & maluæ ac fœnigræci decoctum ad perfundendum, aut potiùs ptisanæ triticeæ cremor. fouere etiam sedem & pudendum ad inguina vsq; oportet, & insessus parandi, idq; tum vel maximè, cùm vehementes parturiendi dolores vrgebunt, nihilq; aliud animo agitandum. Eam verò quæ manus medicas adhibet, oscula emollientibus dilatare oportet, idque sensim facere, vmbilicum verò vnà cum fœtu extrahere. Qui verò conduplicãtur fœtus & in vterorum osculum incumbunt, eos siue viuos, siue mortuos, retrò protrusos iterum vertere oportet, vt in caput prodeant secundum naturam. Cùm autem retrò protrudere aut vertere voles, supinæ reclinatæ molle quiddam coxis substernere oportet, atq; etiam lecti pedibus aliquid supponere, quò altiores à pedibus decumbentis esse queant. Quinetiam vt coxæ capite sint altiores, nullum verò capiti ceruical subsit, ad ea prospiciendum. Cùm verò retro protrusus fœtus huc & illuc circumagatur, sublatis lapidibus pedibus lecti suppositis, & eo quod coxis subditũ fuerat, & lectum & coxas in pristinum statum restituito, capitiq; puluinar supponito, istaq; ad hũc modum curato. At verò qui brachium, aut crus, aut vtrunq; viui fœtus foras emittunt, eos oportet simul ac de exitu significationem fecerint, priùs commemorato modo intrò retrudere, in caput obuertere, & in viam adducere. Nec non eos fœtus qui complicati in partu, in lateris inanitatem, aut in coxam illapsi sunt, dirigere ac conuertere oportet, prætereaq; in aquam calidam sedentẽ collocare, donec perfundatur. Quibus verò mortuis aut crus, aut brachium foras prominet, hæc quidem optimum fuerit, intro si fieri possit retrudere, & vtraque in caput conuertere. Sin minùs hoc fieri possit, sed intumescant, ad hunc modum secato. Caput gladiolo dissectum, instrumento quod confringat (πίεστρον dicitur) cõminuito, & officula per ossium volsellam, extrahito, aut vnco attractorio ad clauiculam vti firmiter adhæreat immisso, non confestim, sed paulatim remittendo, & rursus adurgendo extrahito. Vbi hæc foras extraxeris, & in humeris hæserit, vtraque brachia cum humeris ad ipsos articulos secato. Cumq; ea abstuleris, si fieri quidem possit vt exeant, reliqua etiam promtè extrahito. Quòd si nihil cedit, pectus totum ad iugulum vsque dissecato, ea tamen cautione, vt ne ad ventrem sectione penetres, & aliquam in fœtu eius partem denudes. Excidit enim vẽter & intestina, atque etiam stercus. Et si quid horum excidat, maius negotium facessit. Costas autem contundito, & scapulas conducito, posteaque reliquus fœtus facilè prodibit, nisi iam circa ventrem intumescat. Si quid enim eiusmodi euenerit, fœtus ventrem leuiter perforare præstiterit. Flatus enim tantùm ex ventre erumpit, atque ita facilè prodibit. At si mortui fœtus brachium aut crus foras exciderit, vtraque si

fieri quidem possit, intrò retrudito, & fœtum rectè cõstituito, idq; mihi videtur optimum. Si verò id fieri nequeat, quicquid foris prominet, quàm penitissimè fieri poterit resecato, & reliquum manu altè immissa protrudito, & fœtum in caput vertito. Cùm autẽ puellum inuertere aut excindere voles, vngues è tuis manibus resecato. Gladiolus autẽ quo excindes, incuruus sit potiùs quàm rectus. Cuius caput circumtegito, digito indice leniter pertractando, eumq; præmittendo, veritus ne vterum attingas. At molæ cõceptus hæc causa est. Vbi copiosi mẽses extiterint, & paucum ac morbosum semen conceperint, & minimè genuinus conceptus gignitur, & venter tanquam vtero gerentis impletur. Nihil autem in ventre mouetur, neq; in mammis lac innascitur, pectus verò turgescit. Hæc igitur biennium, sæpe etiam triennium sic affecta est. Et si quidem vna caro nascatur, mulier perit. Neq; enim superesse potest. Sin verò multæ, copiosus ei sanguis & carnosus per pudendum erumpit. Quòd si id moderatè fiat, seruatur, aliôqui profluuio correpta perit. Atq; ea quidẽ est huius morbi cõditio. Discernere autem oportet plenitudine, quodq; in vẽtre non moueatur. Mas enim tertio mense, fœmina verò quarto motionem habere cõsueuit. Vbi igitur elapso tempore non mouetur, profectò morbus est. Est & huius rei magnum argumentum, quòd lac in mammis non gignitur. Hanc potissimùm quidem curato, imprimisq; totius corporis fotibus, deinde per infusum sedem eluito, quo copiosus sanguis erumpat. Fortassis enim muliere à medicamento concalefacta, fœtum ipsum commoueris, cùm quid concretũ esse putetur. Quinetiam per infusum vteros eluito, quò sanguinem educas. Sin minùs, subdititiis medicamentis vehemẽtissimis ex bupresti vtitor, & dictamnum Creticum ex vino propinato; aliôqui verò castoris etiam testem. Eiq; cucurbitulam parte postica ad laterũ inanitatem admoueto, copiosumq; sanguinem detrahito. Idq; facito quàm maximè adhibita illarum conditionis ratione. Atq; hæc quidem de morbis ex puerperiorum purgamentis obortis dicta sunt. In quibus non parua insunt pericula. Acuti enim sunt, & qui citò transmutantur, grauiusq; affliguntur quæ primùm pariunt, q̃ quæ iam partionem expertæ sunt. Ferũtur autẽ puerperij purgamenta mulieri quæ prospera fruitur valetudine satis abundè, primùm Atticę heminæ & dimidiæ mensura, aut paulò copiosiora, deinde ad huius rationem pauciora quoad desinant. Feruntur autem velut sanguis è victima, si sana est mulier (vt diximus) & sana futura est, citoq; cõcrescit & expurgatur. Post partionem quoq; mulieri sanæ plærunq; contingit, vt puella edita longissima purgatio fiat per duos & quadraginta dies. Periculi tamen expers est, quæ diebus quinque & viginti purgatur. Puero aũt edito, diebus triginta, vt lõgissima fit purgatio, etsi extra periculum est quę fit diebus viginti. Ac in his quę fœtus corrumpunt, pro horum dierũ ratione purgatio contingit, & iuniorib. quæ abortionẽ faciunt, paucioribus diebus, senioribus verò, pluribus. Eędem autem sunt puerperij purgamẽtorum affectiones, tum ei quæ fœtus corrupit, tũ ei quę peperit, si menstruum fœtũ corruperit,

μὲν δυνατὸν ᾖ, εἴσω ἀπῶσαι ἀμφῶ, καὶ εὖ στρέψαι τὸ ἔμβρυον, ταῦτα ἄριστα. εἰ δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποτάμνειν ὅ, τι ἂν ἔξω ᾖ, ὡς ἂν δύνηται ἀνωτάτω, [305] καὶ τὸ λοιπὸν ἐσμασάμενος προσωθῆσαι καὶ στρέψαι τὸ ἔμβρυον ἐπὶ κεφαλήν. ὅταν δὲ στρέφειν, ἢ κατατέμνειν μέλλῃς τὸ παιδίον, τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι, τὸ δὲ μαχαίριον ᾧ ἂν κατατάμνῃς, καμπυλώτερον ἔστω, ἢ εὐθύτερον. καὶ τὴν κατὰ κεφαλὴν ἀμφικαλύπτειν, [306] τῷ λιχανῷ δακτύλῳ ἐσμαστευόμενον, καὶ ὁδηγεῦντα, καὶ ὀρρωδέοντα, ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης. Περὶ δὲ μύλης κυήσιος, τόδε αἴτιον. ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδη ξυλλάβωσιν, [307] οὔτε κύημα ἰθαγενὲς γίγνεται. καὶ ἡ γαστὴρ πλήρης ὥσπερ κυούσης. κινέεται δὲ οὐδὲν ἐν τῇ γαστρί, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσι ἐγγίγνεται. [308] σφριγᾷ δὲ τὸ στῆθος. αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία, οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται. οὐδὲ γὰρ οἵη τέ ἐστι περιγενέσθαι. ἢν δὲ πολλαί, ῥήγνυται αὕτη ἡ κατὰ τὸ αἰδοῖον, αἷμά τε πολύ, καὶ σαρκώδεα. καὶ ἢν μετριάζῃ, σώζεται. ἢν δὲ μή, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νούσημα τοιοῦτόν ἐστι. κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν, τρίμηνον. τὸ δὲ θῆλυ, τετράμηνον τὴν κίνησιν ἔχει. ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινέηται, δηλονότι τοῦτο ἐστί. ἔστι δὲ τόδε τεκμήριον μέγα. ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίγνεται. [309] ταύτην μάλιστα μὲν ἰῆσθαι. καὶ πρῶτα μὲν πυριῆσαι ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι, ὅκως αἷμα καταρραγῇ πουλύ. καὶ γὰρ ἴσως ἂν κινήσαις τὸ ἔμβρυον, δοκεῦν εἶναι τὸ ξυνεστηκός, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως ἂν αἷμα ἀγάγῃς. εἰ δὲ μή, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι. καὶ πιπίσκειν τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ. εἰ δὲ μή, καὶ τὸν κάστορος ὄρχιν. καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα. [310] προσβάλλε δὲ καὶ ὅτι μάλιστα τεκμαιρόμενος τὰ κατ' αὐτάς. Καὶ τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων γενομένων εἴρηται. εἰσὶ δὲ οἱ κίνδυνοι ἐν αὐτοῖσιν οὐ σμικροί. ὀξέα γάρ ἐστι καὶ ταχὺ μεταλλάσσοιτα, καὶ μᾶλλον πονοῦνται αἱ πρωτοτόκοι, ἢ αἵ τινες εἰσὶν ἔμπειροι τόκων. [311] χωρέει δὲ τὰ λόχια τῇ ὑγιηρῇ γυναικί, ἱκανὸν ὅσον ἀττικὴ κοτύλη, καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλέονα. ἔπειτα ἐπὶ ἐλάσσονα κατὰ λόγον τούτου, μέχρις ἂν παύσηται. χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείων, ἢν ὑγιηρή, ὡς ἔφην, γυνὴ ᾖ, καὶ μέλλῃ ὑγιαίνειν. [312] καὶ ταχὺ πήγνυται, καὶ καθαίρεται. καὶ μετὰ τὸν τόκον, ὡς ἐπὶ τὸ πλέον τῇ ὑγιηρῇ ξυμβαίνει. ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρας τεσσαράκοντα καὶ δύο τὴν χρονιωτάτην κάθαρσιν. ἀκινδύνως δέ ἐστι, καὶ εἴκοσι πρὸς τῇσι πέντε ἡμέραις καθαιρομένην. ἐπὶ δὲ τῷ κούρῳ ἡμέρας τριήκοντα ἡ κάθαρσις γίγνεται ἡ χρονιωτέρη. ἀκίνδυνος δὲ καὶ εἴκοσιν ἡμέρας γενομένη. καὶ τῶν διαφθαρεισῶν τὰ ἔμβρυα κατὰ λόγον ἡ κάθαρσις γίγνεται τούτων τῶν ἡμερέων. καὶ ἐπὶ τῇσιν νεωτέρῃσι φθαρεῖσιν ἐλάσσονας ἡμέρας. ἐπὶ δὲ τῇσι γεραιτέρῃσι πλέονας. παθήματα δὲ ταῦτα ἐστὶ περὶ λοχείων [313] φθαρείσῃ τε τὸ ἔμβρυον, καὶ τεκούσῃ, ἢν ἐμμήνιαιον φθείρῃ τὸ παιδίον

καὶ κινδυνεύ-

καὶ κινδυνώδεές εἰσιν αἱ φθείρουσαι μᾶλλον. αἱ γὰρ φθοραὶ τῶν τόκων, χαλεπώτεραί εἰσιν. οὐ γάρ ἐστιν οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον, ἢ φαρμάκῳ, ἢ ποτῷ, ἢ βρωτῷ, ἢ προσθέτοισιν, ἢ ἄλλῳ τινί. βίη δὲ πονηρόν ἐστιν. ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι, ἢ φλεγμῆναι. τοῦτο δὲ ἐστὶν ἐπικίνδυνον. Τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου, τοῦ ἐν τόκῳ. ἐπὴν δὲ κυΐσκηται ἡ γυνὴ, καταμήνια οὐ μάλα χωρέει, πλὴν ἔστιν ᾗσιν ὀλίγα. τρέπεται γὰρ ἐς τοὺς μαστοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ, ἀπό τε τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ ἐκθλίβεται. καὶ ἀνάγκη ἐστὶ, καὶ τὸ ἄλλο σῶμα κεκενῶσθαι μᾶλλον, καὶ ἧσσον πλῆρες γίνεσθαι τοῦ αἵματος, τοῦτο οὕτως γίνεται. εἰσὶ δὲ αἵτινες φύσει ἀγάλακτοί εἰσι, καὶ σφέας ἐπιλείπει τὸ γάλα πρὸ τοῦ χρόνου. αὗται δὲ φύσει στερεαί εἰσι, καὶ πυκνόσαρκοι. καὶ διὰ τοῦτο οὐ διέρχεται ἐπὶ τοὺς μαζοὺς ἀρκοῦσα ἰκμὰς ἀπὸ τῆς κοιλίης, πυκνῆς τῆς ὁδοῦ ἐούσης. Ἐπιμήνια κατασπᾶται. ἐλατηρίου δύο πόσιας. ξυμμίσγεται δὲ καὶ στέαρ ὄιος ἀπὸ τῶν νεφρῶν, [314] ὅσον τὸ ἐλατήριον μὴ ἄγαν θρύπτεσθαι. ποιέειν δὲ δύο προσθετά. [315] ἢ μελάνθιον, τὸ ἐκ τῶν πυρῶν τρίψας, ὕδατι φορύξαι. καὶ προσθετὰ δύο ποιῆσαι. προστιθέναι δὲ ταῦτα, πρὸ τῶν ἡμερῶν ᾗσι μέλλει ἐπέρχεσθαι. ποιέει δὲ μὴ ἐξερχόμενα, ῥίγεα καὶ πυρετούς. Μαλθακὰ ὑφ' ὧν καθαίρεται [316] ὕδωρ καὶ ψάμμος. καὶ ἄγει ἐπιμήνια, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. [317] Νάρκισσον, σμύρναν, κύμινον, καὶ λιβανωτὸν, ἀψίνθιον, κύπερον, ἴσον ἑκάστου. ναρκίσσου δὲ, μόνον μοίρας τέσσαρας, [318] ἐπικτένιον ὠμόλινον, ξυμμίξας ταῦτα, τρίβειν ὀρίγανον ἑψημένον σὺν ὕδατι, καὶ ποιέειν βάλανον, καὶ προστιθέναι. ἢ καὶ κυκλαμίνου μίσγειν ὅσον ἀστράγαλον. καὶ ἄνθος χαλκοῦ, [319] ὅσον κύαμον τρίψας, μέλιτι δεῦσαι. καὶ ποιῆσαι βάλανον. καὶ προστιθέναι. ἢ γλήχωνα. ἢ σμύρναν. λιβανωτόν. ὑὸς χολήν τε, καὶ βοὸς ἐν μέλιτι ἀναταράσσειν, καὶ ἀναπλάττειν βάλανον. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται. Χηνὸς ἔλαιον, καὶ νέτωπον, καὶ ῥητίνην [320] ξυμμίσγουσα, προστιθέτω εἰρίῳ ἀναλαμβάνουσα. Πρόσθετον καθαρτικὸν μαλθακόν. Ἰσχάδα λαβὼν, [321] διέφθον ποιέειν. καὶ ἀποπιέσας, τρίβειν ὡς λειότατον. εἶτα προσθεῖναι ἐν εἰρίῳ. καὶ ῥοδίνῳ μύρῳ. τὸ δριμὺ κράμβης πηγάνου ἑκατέρου ἥμισυ τρίψας, τὸν αὐτὸν τρόπον χρέο. Καθαρτικόν. Χηνὸς μυελὸν, [322] ἢ βοὸς, ἢ ἐλάφου ὅσον κύαμον παραχέοντα μύρον ῥόδινον. καὶ γάλα γυναικὸς, τρίβειν ὡς φάρμακον τρίβεται. εἶτα ἐν τούτῳ ἀλείφειν τὸ στόμα τῶν μητρέων. Ἕτερον πρόσθετον [323] μαλθακόν. Χηνὸς μυελὸν, ὅσον κάρυον, κηρὸν ὅσον κύαμον. ῥητίνης σχινίνης, ἢ τερεβινθίνης ὅσον κύαμον, ταῦτα τήξας σὺν μύρῳ ῥοδίνῳ, ἐπὶ πυρὸς μαλθακοῦ, ποίησον ὡς κηρωτήν. εἶτα τούτῳ χλιαρῷ ἐναλείφειν τὸ στόμα τῶν μητρέων. καὶ τὸ κτένα καταβρέχειν. Ἕτερον καθαρτικόν. Ἄλευρον σιτάνιον. σμύρνης τριώβολον. κρόκου τὸ ἴσον. καστορίου ὀβολόν. ταῦτα τρίψας μύρῳ ἰρίνῳ προστιθέσθω. ἢ κνίδης καρπὸν, καὶ μαλάχης χυλὸν, καὶ χηνὸς στέαρ [324] ἅμα συμμίξαντα προσθεῖναι. [325] Πρόσθετον ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνωνται. Στύρακα καὶ ὀρίγανον, τρίψας λεῖον, καὶ συμμίξας ἐπίχεαι χηνὸς ἔλαιον, καὶ προστίθει.

periclitantur tamen magis quæ fœtum corrumpunt. Abortiones enim maiorem molestiam quàm partiones afferre solent. Neq; enim citra violentiam abortio contingit, siue ex medicamento, siue potione, vel cibo, vel subdititiis medicamentis, vel ex re alia quapiam contingat. Vis autē mala est. Hoc enim casu periculum est ne vterus vlceretur, aut inflammationem contrahat, quod est periculi plenissimum. Lac autem quomodo gignatur à nobis dictum in puelli natura qui partu editur. Vbi autem prægnans est mulier, ei menses ferè prodire non solent, prȩterquàm nonnullis pauci. Quod enim ex cibo ac potione in sanguine est dulcissimum, ad mãmas vertitur, & velut exugendo trahitur. Reliquumq; corpus magis vacuari, minusq; sanguine redundare necesse est. Quod hoc modo cōtingit. Sunt autem quædam quæ natura lac non habent, easq; lac ante tempus deficit. Eęq; à natura solidam & densam carnem habent, ideoq; cùm via densa sit, neq; ex ventre ad mammas satis humoris defertur. Quod menses detrahit. Elaterij quantum ad duas potiones satis sit sumito, cui ouiculæ adeps ex renibus admiscetur, pari cum elaterio copia, minimè conterito, duas glandes subdititias parato. Aut melanthium ex tritico terito, aqua subigito, & glandes duas subdititias conficito. Has autem paucis antè diebus quàm prodire debeant supponito. Cùm verò non prodeũt, rigores & febres excitant. Emolliētia ex quibus aqua & arena purgatur, menses etiam, nisi diutiùs restiterint, educunt, & vteri osculum emolliunt. Narcissi, myrrhæ, cumini, thuris, absinthij, cyperi, singulorum æquales portiones, narcissi verò solùm quadruplum sumito, cui lini crudi lanuginem pectini insidentem ammisceto, hęc cum origani decocto terito, glandem effingito & supponito. Aut etiam cyclaminum ad astragali magnitudinem admisceto, & æris florem ad fabæ quantitatem tritum melle excipito, glandem efformato & supponito. Aut pulegium, vel myrrham, thus, suillum fel & bubulum cum melle agitatum, glandulam effingito. Si menses non eant, anseris adipem, netopum, resinam, simul permixta & lana excepta, mulier in subdititio apponat. Medicamentum subdititium purgans & emolliens. Caricas probè percoctas & expressas læuissimè terito, deinde in vellere cum vnguēto rosaceo subdito. Acrius efficies si brassicæ & rutę vtriusq; dimidio trito, ad eundem modum vtaris. Purgans. Anseris, aut bouis, aut cerui medullæ ad fabæ magnitudinem, vnguentum rosaceum & lac muliebre affundito, in medicamenti formam terito, vteri osculum inungito. Aliud subdititium emolliens. Anseris medullam nucis quantitate, ceram fabæ magnitudine, resinæ lentiscinæ & terebinthinæ fabæ magnitudinem. His cum vnguento rosaceo lento igne liquatis, velut ceratum conficito, deinde ex eo tepido os vteri inungito, pubem perfundito. Aliud purgans. Farinam sitaniam, myrrhæ obolos tres, croci tantundem, castorij obolum, hæc ex vnguento irino trita in subdititio apponito. Aut vrticæ semen, & maluæ succum cum adipe anserino simul permixta supponito. Aliud subdititium purgans si menses non appareant. Ad styracem & origanum tenuiter trita & permixta anseris adipem affundito, & supponito.

Aliud subdititium purgans, quod tum vteros purgat, tum sanguinem vacuat. Absinthij radicem tenuiter tritam, cum melle & anserino adipe admixtã, in pesso apponito. Aliud subdititium purgans. Detractis à bupresti capite, pedibus & alis, quod est reliquum terito, & ficus interiorem partem admisceto. Sit autem duplum quod in ficu pingue est. Hoc vteros inflat, & viribus defectis est optimum. Aut mercurialis folia ad læuorem trita in pesso supponito. Hoc tenuem biliosam purgationem educit. Idem etiã artemisia quod mercurialis prestat, & efficaciùs purgat. Veratrum nigrum ex aqua tenuiter tritum, etiam aquam velut è carnibus educit. Et verò alumen & resina hoc idem efficit. Cyperus, absinthium, aristolochia, cuminum, sal, mel, hæc omnia simul trita in pesso subdito. Veratrum etiam ex vino dulci, cum farina lolij & tritici melle subactum, in vellere subiicito. Medicamenta subdititia vbi quę deuorãtur minimè purgarint. Mercurialem, myrrham, violam albam, cepam acerrimam, melanthium, & mentham (si ferre possit) simul mixta in pesso apponito. Subdititia medicamenta acria sanguinem ducentia. Cantharidas quinque exceptis pedibus & capite, & myrrham & thus simul commisceto, melle addito. Deinde oleo rosaceo aut Ægyptio intinctum per diem supponat, & vbi morsum senserit detrahendum, rursusq; in lac muliebre & vnguentum Ægyptium immergendum. Hoc autem per noctem supponendum, & aqua odorata perluendum, & adeps supponendus. Conuenit & buprestis si parua fuerit, detractis alis pedibus & capite, si verò magna, non erunt hæc admiscenda, quę cum cantharidibus, sed per se ponenda, & similiter in pesso admouenda. Quòd si leuiore opus fuerit, ad buprestim vinum admisceto, & cuminum Æthiopicum, tum vuam passam, tum anisi & seseleos pollinem, ex vino feruefacto affusoque tenuiter tritum in pastillos drachmæ vnius pondere effingito, & his myrrha & thure admixtis, subdititia medicamenta supponito. Eodem autẽ modo quo cum cantharidibus faciendum. Melanthium ex tritico tenuiter tritum, ac melle subactum, in pesso apponito. Aut hoc ipsum melanthium cum melle tritum in glandem effingito, circum pennam verò obducito. Medicamentum subdititium efficax. Mandragoræ & cucurbitæ agrestis succũ cum lacte muliebri in pesso subiicito, aut vini albi veteris fæcem siccam vstam & vino restinctam. Cucurbitam etiam agrestem, mercurialem, nitrum & erysimum. Citiùs detrahit & mandragoræ radix, cantharis, serpillum, lauri baccæ, vnguentum irinum, laurinum. Tithymali succum permisceto & agitato, & visco detracto ad orobi magnitudinẽ exhibeto. Ex his subdititium medicamentum conficito optimum. Quòd si copiosius profluat, vino per se proluat, aut æris vsti aliquid dilutum, tepidum lana exceptum, in pesso subdito. Conceptum iuuans. Cedriæ acetabulum, adipis bubuli tenuiter triti drachmas quatuor, his simul cõtritis pessos effingito. ieiunæ subdito, & decumbens ieiuna toto die permaneat. Bis autem supponantur, mane & vesperi, post mensium cursum, & post cœnam lauet, & cum viro dormiat. Aut melanthium cõtusum in linteo ligatum, anserino adipe iniecto, supponendum dato. Aliud cõceptum iuuans, quod mu-

Ἕτερον καθαρτικὸν πρόσθετον, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ αἷμα ἐκκενοῦν. ἀψινθίου ῥίζαν τρίψας λείην, μέλιτι καὶ ἐλαίῳ χηνὸς μίξας, προστίθει. Ἕτερον πρόσθετον καθαρτικόν. [326] Βουπρήστιος ἀφελεῖν κεφαλὴν, καὶ πόδας, καὶ πτερά. τὰ δὲ ἄλλα αὐτοῦ τρίβειν, καὶ ξυμμίσγειν τοῦ σύκου τὸ ἔνδον. διπλάσιον δὲ τοῦ σύκου, ὃ πῖον ἔσω. τοῦτο φυσᾷ τὰς ὑστέρας. τοῦτο [327] καὶ τῇ ἀπαυδησάσῃ ἄριστον, ἢ λινοζώστιος τὰ φύλλα λεῖα πρόσθετα ποιεῖν. τοῦτο λεπτὴν ἀλλὰ χολώδεα κάθαρσιν. καὶ ἡ ἀρτεμισίη ποιεῖ ὡς ἡ λινόζωστις, καὶ καθαίρει κρέσσον. ἑλλέβορος μέλας ἐν ὕδατι λεῖος, ἀλλὰ καὶ ἐκ τῶν σαρκῶν, οἷον ἀπὸ κρεῶν ὕδωρ. καὶ στυπτηρίη δὲ, καὶ ἡ ῥητίνη, τὸ αὐτὸ δρᾷ. κύπειρος. ἀψίνθιον. ἀριστολοχία. κύμινον. ἅλες. μέλι. ταῦτα πάντα [328] ἐν τῷ αὐτῷ τρίβειν, καὶ προστιθέναι. καὶ ἑλλέβορος ἐν οἴνῳ γλυκεῖ μετὰ ἀλεύρου αἰρῶν, καὶ πυρίνων μέλιτι φυρηθεὶς ἐν εἰρίῳ προστιθέσθω. Πρόσθετα [329] ἐὰν μὴ τὰ καταπότα καθαίρῃ. Λινόζωστιν, σμύρναν, λευκόϊον, κρόμμυον ὡς δριμύτατον. καὶ μελάνθιον, καὶ τὸ ἡδύοσμον ἐὰν ὑποφέρῃ, συμμίξας προστίθει. Πρόσθετα δριμέα ἄγοντα αἷμα. Κανθαρίδας πέντε πλὴν τῶν ποδῶν, καὶ τῶν κεφαλῶν. καὶ σμύρναν, καὶ λιβανωτὸν ἅμα συμμίσγειν. καὶ μέλι μετ' αὐτῶν. ἔπειτα βάψας ἐς ἄλειφα ῥόδινον, ἢ αἰγύπτιον, προστιθέσθω τὴν ἡμέραν. καὶ ἐπὴν δάκνηται, ἀφαιρέεσθαι, καὶ βαπτίζειν πάλιν ἐς γάλα γυναικὸς, καὶ μύρον αἰγύπτιον. προστίθεσθαι δὲ τοῦτο, ἐς νύκτα, καὶ διανίζεσθαι ἐν ὕδατι εὐώδει. προστιθέναι δὲ στέαρ. ἁρμόζοι δ' ἂν βουπρηστις. ἐὰν μὲν σμικρὴ ἦ, ἄνευ πτερῶν, καὶ ποδῶν, καὶ κεφαλῆς. [330] ἐὰν δὲ μεγάλη ἦ, μὴ συμμίσγειν ταῦτα ἃ καὶ τῇσι κανθαρίσιν, ἀλλὰ μόνον τιθέναι, καὶ προστιθέναι ὁμοίως. ἐὰν δὲ μαλθακωτέρου δέηται, τῇ βουπρήστει μίξαι οἶνον καὶ κύμινον αἰθιοπικόν. ἀσταφίδα τε καὶ πάλην σεσέλιος, καὶ ἀνίσου, καὶ ἀναζέσαι τὸν οἶνον. ἀποχέας δὲ, τρῖψαι λεῖον. [331] καὶ πλάσαι φθοΐσκους ὅσον δραχμιαίους. τούτων προστιθέναι σμύρναν καὶ λιβανωτὸν μίσγοντα. ποιεῖν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῇσι κανθαρίσι. μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον μέλιτι φυρῶντα προστιθέναι. ἢ αὐτὸ τοῦτο τὸ μελάνθιον τρίβοντα μετὰ τοῦ μέλιτος ποιεῖν οἷον βάλανον. πτερὸν δὲ περιπλάσσειν. Πρόσθετον ἐνεργόν. Ὀπὸν μανδραγόρου, καὶ κολοκύντης ἀγρίης ξὺν γάλακτι γυναικείῳ πρόσθες, ἢ τρύγα ξηρὴν οἴνου παλαιοῦ λευκοῦ, καίειν. καὶ οἴνῳ σβέσαι. καὶ κολοκύντην ἀγρίην, λινόζωστιν. νίτρον, καὶ ἐρύσιμον, θᾶσσον κατασπᾷ. καὶ μανδραγόρου ῥίζα. κανθαρίς. ἕρπυλλος. δάφνης καρπός. μύρον ἴρινον, δάφνινον. τιθυμάλλου τὸν ὀπὸν μίσγειν, καὶ ἀνακινεῖν, καὶ τὸν ἰξὸν ἀφαιρέειν. καὶ διδόναι ὅσον ὄροβον. καὶ πρόσθετον ποιῆσαι, ἄριστον. εἰ δὲ πλεῖον ἴοι, οἴνῳ προσκλυζέσθω. ἢ ὅπλου χαλκοῦ ἐκλιεὶς, χλιερὸν ἀναλαμβάνειν εἰρίῳ, καὶ προστιθέναι. Κυητήριον. Κεδρίης ἐμβάφιον. στέατος βοείου δραχμὰς τέσσαρας, λεῖα τρίψας, καὶ ἐς τὸ αὐτὸ τρίψας πεσσοὺς ποιέων, προστίθει νήστει. καὶ προσκείμενον, ἐχέτω δι' ὅλης ἡμέρης. προστιθέσθω δὲ δὶς, πρωῒ καὶ δείλης, μετὰ τὰ καταμήνια, καὶ μετὰ τὸ δεῖπνον λουέσθω, καὶ κοιμάσθω σὺν τῷ ἀνδρί. ἢ μελάνθιον φλάσαι. καὶ ἐς ῥάκος ἐνδῆσαι, καὶ χηνὸς ἔλαιον ἐμβάλλειν. καὶ δοῦναι προσθέσθαι. Ἕτερον κυητήριον. Γυ-

ναικεῖ-

μήτρα θεραπεύσαι, ὥστε ξυλλαβεῖν ἐν γαστρί. οὖρον λα-
βὼν παλαιὸν, [332] καὶ σιδήρου σκωρίην ὅσην διπλᾶ ἐς τὰ
θρύμματα. ἔπειτα καθίσας τὴν γυναῖκα ἐπὶ δίφρου,
συγκαλύψας καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν ὑπο-
θεῖσα ἐς πόδας πύελον, ἐμβάλλειν κατὰ τρία διάπυρα τὰ
τῆς σκωρίης θρύμματα. ἔστω δὲ τὸ παλαιὸν τοῦτο οὖρον,
ὅσον χοῦς. καὶ ἐν τούτοις πυριᾶν αὐτὴν, ὅσον [333] τριήκοντα
πυρίας. ἐπὴν δὲ πυριήσῃς, σμῆχε τὴν κεφαλὴν τῷ οὔ-
ρῳ, ἕως ἂν πυριῆται ἐναποσβεννύων πάλιν τοὺς λίθους, καὶ τὴν
πυρίην πάλιν. [334] θερμήνας δὲ μετὰ ταῦτα, λοῦε κατὰ κεφα-
λῆς ὡς πλείστῳ. ἕψων δὲ ἐν τῷ ὕδατι πόλιον. καὶ τὸ ἄγνου ὡς
πλεῖστα. ταῦτα δὲ ποίεε ἡμέρας ἑπτά. τρὶς δὲ ὑποθυμιῆν.
τούτων ἑκάστην πυρίην πρὸ τοῦ σμήχεσθαι. χριέσθω δὲ
ἐκ τοῦ λουτροῦ, ἐλαίῳ δαφνίνῳ. μετὰ δὲ τὸ δεῖπνον, φαγοῦσα
κρόμμυα ἐμβάπτουσα ἐς μέλι, καὶ μελίκρητον χλιαρὸν,
ὅσον κοτύλας τέσσαρας πιοῦσα. ἔπειτα ἐπὴν φάγῃ σμι-
κρὸν ἐπισχοῦσα, ἀπεμεέτω. καὶ ἀνακλιθεῖσα ὑπτίη, τοῦ πη-
γανίου ἐχέτω, καὶ ἐν τοῖσιν ὠσὶ καὶ ἐν τῇσι ῥισί. καὶ ἄρτον
ζυμίτην, ὅσον ἕκτον μέρος χοίνικος, ἐς ζωμὸν ἐνθρύψαι ὄρ-
νιθος, ἔχοντα σελίνου ὅσον χήμην προσφερέσθω. καὶ πά-
λιν δίδου τὸ ἴσον ἐπὶ τῷ δείπνῳ. τὸ αὐτὸ δὲ ποίεε τὰς ἑπτὰ ἡ-
μέρας. ἔπειτα δὲ τὴν κοιλίην κλύζε ἡμέρας ἑπτά. ἔστω δὲ
κλύσμα, ῥητίνης δραχμαὶ τέσσαρες. μέλιτος ὀξύβαφον.
[335] τῶν πλατέων ἔλαιον ἴσον. [336] πιτύρων σητανίων χυλός.
νίτρου ἀφρός. ὠὰ λεπτά. ἔστω δὲ τὸ κλύσμα, κοτύλαι ὀκ-
τώ. τούτων αἱ τρεῖς πτισάνης χυλοῦ. κλυζέτω δὲ πλαγίην.
καὶ λουέσθω ὀλίγον. προστίθεσθαι δὲ καὶ βαλάνους ἑπτὰ τῆς
ἡμέρης. κατεχέτω δὲ, ἐς ἂν καταταχῇ. ἔστωσαν δὲ λι-
βάνου. νίτρου. χαλβάνης. μέλιτος ἑφθοῦ. σίτῳ δὲ χρήσθω
τῷ αὐτῷ. ὑποθυμία δὲ, ὄνου τρίχας λευκοῦ. καὶ λύ-
κου κόπρον. ἐπίβαλλε δὲ ὡς πλεῖστα ἐπὶ ἀνθρακιήν.
καὶ περικαθίσας αὐτὴν, καὶ περιστείλας, θυμία, φυλασ-
σόμενος μὴ κατακαύσῃς. ἢν δὲ γυνὴ μὴ δύνηται τίκτειν
πρόσθεν τίκτουσα, νίτρον. καὶ ῥητίνην. καὶ σμύρναν. καὶ κύ-
μινον αἰθιοπικόν. καὶ μύρον τρίβειν ἐν ταὐτῷ, καὶ προσ-
τίθεσθαι. ἢ γλήχωνα ξηρὴν, ἐν ὀθονίῳ προστιθέσθω. πίνειν
δὲ τὴν γλήχωνα, ἐπὴν εὕδειν μέλλῃ. Ἕτερον κυητήριον.
Διαιτᾶν δεῖ τὴν γυναῖκα ἥτις δέεται κυήσιος. καὶ διδόναι
αὐτῇ ἅπερ δέχοιτο, καὶ ἐσθίειν καὶ πίνειν. τῷ δὲ ἀνδρὶ τῆς
γυναικὸς, τὰ ἄλλα πλὴν σκορόδου, καὶ κρομμύων, καὶ ἔ-
τνους. καὶ ὀποῦ σιλφίου. καὶ ὅσα φυσητικά. τούτων δὲ ἀπε-
χέσθω. Ὁμοίως ἔγχυτον κυητήριον εἰ μὴ κυΐσκεται. Γά-
λα γυναικὸς κουροτρόφου. σίδης νεαρῆς τοὺς κόκκους τρί-
ψας, καὶ ἐκπιέσας τὸν χυλὸν, καὶ χελώνης θαλασσίης τὸ
περίνεον κατακαύσας τρίψας, ἔγχεαι εἰς τὸ αἰδοῖον. Ὁ-
μοίως ἔγχυτον κυητήριον μὴ κυούσῃ. Γάλα καὶ ῥητίνην,
καὶ σίδης γλυκείης χυλόν. ταῦτα ξὺν μέλιτι μίξας ἐγ-
χεῖν πάντα. Κυητήριον. Βολβοῦ τοῦ λευκοῦ καρπὸν, ἢ τὸ
ἄνθος τρίψας ξὺν μέλιτι, ἐν εἰρίῳ ἑλίξασα, προσθέσθω πρὸς τὴν μήτρην ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ, μαλάχην ἀ-
γρίην τὴν πλατύφυλλον τρίψασα, μίξαι γυναικὸς γάλακτι. καὶ εἰς εἴριον ἑλίξασα, προσθέσθω. εἶτα κοιμάσθω μετ᾽
ἀνδρός. προρροφεέτω δὲ γλήχωνα ἐπ᾽ ἀλεύρῳ ἑφθήν. καὶ πινέτω γλήχωνα [337] ἐν οἴνῳ λεπτήν. [338] ἢν δὲ τούτου μὴ ἐσακούῃ

lieri ad curationem adhibeto vt concipiat. Vrinam veterem sumito, & ferri scoriam, quæ in duo fragmēta diuidi possit. Postea muliere in sella collocata, toto corpore & capite circumtecto, & pelui ad pedes subiecta, tria circiter scoriæ fragmenta candētia iniicito. Sit autem hæc vetus vrina ferè congij mensura. Et in his eam foueto, triginta ferè immissis in fomentū candentibus scoriæ frustulis. Postquàm fomentum adhibueris, vrina caput cōfricato, tantisper dum fotus adhibetur lapidibus ignitis iterum extinctis, iterumque calefacto fomento. Post hæc autem caput plurimùm lauato, aqua in qua polium & viticis multa folia decoxeris, idq; diebus septem facito. Ter autem in singula hæc fomenta suffitus admouendus priùs quàm caput detergeatur. A balneo verò inungatur oleo laurino. Post cœnam autem vbi cepas melle intinctas cōederit, & mulsam tepidam ad quatuor heminas biberit, deinde vbi comederit, paulumq; continuerit, vomitione reiiciat, supinaq; reclinata rutam in auribus & naribus contineat. Panem quoq; fermentatum ad sextam chœnicis partē, ex iure galli gallinacei, quod apij chemam habeat contritum in cibum offerto, & rursus tantundem in cœna dato, idemq; per septē dies facito. Deinde verò aluum ex infuso per dies septem eluito. Constet autem infusum ex drachmis quatuor resinæ, mellis acetabulo, Platęensium oleo pari mensura, furfurum tritici sitanij cremore, nitri spumo, & ouis tenuibus. Infusi autem cremor heminæ octo, ex his tres cremoris ptisanæ. In latus autem decumbenti infusum adhibeto, parumq; lauato. Septem verò glādes die subdito, easq; quoad colliquescant contineat. Constent autem thure, nitro, galbano, & melle cocto. Cibo verò eodem vtatur. Suffitum autem ex asini albi pilis & lupi stercore adhibeto. Ex quibus magnam copiam in prunas iniicito, & muliere in sella collocata & circumtecta suffitum adhibeto, ea cautione vt ne aduras. Si quæ priùs peperit parere nequeat, nitrū, resinam, myrrham, cuminum Æthiopicum, & vnguentum simul trita in pesso supponito. Aut pulegium siccum in linteo supponito. Sed & pulegium bibat, cùm dormire volet. Aliud conceptum iuuans. Mulieri quę conceptionis indiget, victus ratio perscribenda, facta eius cibi & potus potestate quam lubenter admittet. Mulieris autem viro alia quæq; exhibeto, præter allia, cepas, legumina fresa, laseris succum, & ea quę flatum gignunt. Ab his verò abstineat. Infusum similiter conceptum iuuans, si non cōcipiat. Lac mulieris marem lactantis, mali punici recentis grana trita & expressum succum, & testudinis marinę perineum adustum, tritum, in pudendum infundito. Aliud quod similiter infunditur non concipienti. Lac, resinam, & dulcis mali punici succum, hæc cum melle permixta omnia infundito. Ad conceptum faciēs. Bulbi albi semen aut florem ex melle tritum, vellere conuolutum per triduum supponat. Quarto verò die maluā agrestem quæ lato est folio, cum lacte muliebri tritam & lana cōuolutam supponat, deinde cum viro dormiat. Ante autem pulegium cum farina coctum sorbeat, & pulegium tenue ex vino bibat. Quòd si hæc refugiat,

conyzæ odoratæ contusæ succum expressum, & vino mixtum ieiuna bibat. Aliud conceptum iuuans. Asparagi semen eodem modo ex vino bibat. Aliud ad cõceptum. Chorion mulieris, & vermium qui in carne gignuntur capita contrita, & alumen Ægyptium anserino adipe dilutum, in vellere ad vteri osculum supponat. Aliud ad idem. Æruginem, æris florem, vtriusq; semiobolum, thuris masculi, aluminis scissilis, fructus vitis agrestis, gallæ, myrrhæ, malicorij, resinę, polij, singulorum obolum ex melle tritũ bis die supponat. Quòd si fortè acrius fuerit, anserinum adipem, & nitrum tostum admisceto, vinumq; eius robore vitato exhibeto. Aliud conceptum iuuans. Vermis ex carnibus qui caudam habeat tres aut quatuor partes sumito, & origanum ex melle læuissimè tritum, penitiùs ad vteri os apponito. Aliud ad conceptum. Portulacam tritam cum adipe anserino, myrrha, porri semine, & felle bubulo, lana cõuolutam ad vteri os apponito. Si menses quidem copiosi eant, neque tamen concipiat, floris æris obolos duos, & aluminis scissilis tantundem, ex melle læuissimè trita, deinde lana excepta, vbi mulier lanam in linteo filo deligarit, sibi interea penitissimè subdat, sic tamẽ vt filum foras emineat. Deinde vbi probè purgata fuerit, abstrahat, & vino odorato in quo myrti folia decoxerint, proluatur, & virum adeat. Subdititium ad conceptum. Mel, myrrham, myricæ fructum, resinam liquidam, anserinum adipem, omnia simul trita in vellere conuoluta subiicito. Subdititium ad cõceptum, quod vterum, si quando conniueat, neq; concipere queat, valde dilatare potest, & aquas expurgare. Anchusam paruam sumito, lentiscum, cuminum, cyperum, cucumerem agrestem, nitrũ rubrum, sal Ægyptium, & anchusam magnam. Hæc omnia læuissimè trita, linteo cernito. Mel sumito, lento igne decoquito, & vbi deferbuerit, ceram & resinam admisceto. Deinde commixtis omnibus oleum affundito, & ab igne detractum, tepidum lana in orbem cõuoluta exceptum, quoad purgata fuerit, in vterum subdito. Aliud conceptum iuuãs. Si velis vt mulier concipiat, præter ea purgatoria quib. vtitur etiã ad virũ accedere oportet. Et decem lauri baccas nigras, thuris pugillos tres, & cumini pusillum, ex melle trita, lana succida cõuoluta, semel die ei subdito, semel autẽ auferat per quatuor dies, & postea per eos dies cibo sibi temperet. Conceptum præpediens. Si concipere non cõueniat, mysi fabæ quantitatem aqua dilutam potui exhibeto, & per annum (penè dixerim) non concipiet. Quæ ęgrè parienti partionem accelerãt. Lauri radicem derasam, aut baccas ad dimidium acetabulum cõcalefactas ex aqua potui exhibeto. Partionem accelerat. Dictamnum ad duos obolos tritum ex aqua calida bibat. Aut abrotoni drachmã, & cedri baccas, & anisum, ex vini dulcis veteris cyatho trita, affuso aquæ cyatho, potui exhibeto. Hoc prodest ante part⁹ dolores exhibitũ. Aut dictamni obolũ, myrrhæ obolũ, anisi obolos duos, nitri obolum.

λαβὼν κόνυζαν εὔοδμον ξυγκόψας, καὶ ἐκθλίψας τὸν χυλὸν, καὶ μίξας οἴνῳ, πινέτω νῆστις. Ἕτερον κυητήριον. Ἀσπαράγου καρπὸν, πινέτω ὁμοίως ἐν οἴνῳ. Ἕτερον κυητήριον. Χορίον γυναικὸς καὶ τῶν εὐλέων τὰς κεφαλὰς τρίψας, διεὶς στυπτηρίην αἰγυπτίην ἐν χηνὸς στέατι, ἐν εἰρίῳ προσθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. Ἕτερον ἐπὶ τοῦ αὐτοῦ. Ἰὸν χαλκοῦ, ἄνθος ἡμιωβόλιον ἑκατέρου, λιβανωτοῦ ἄρσενος. στυπτηρίης σχιστῆς. οἰνάνθης ἀμπέλου, κηκίδα, σμύρνης, σίδιον, ῥητίνην. πόλιον ἀνὰ ὀβολὸν ἑκάστου ἐν μέλιτι τρίψας, προσθέσθω, ἐπὶ τρεῖς ἡμέρας [339] δὶς τῆς ἡμέρας. ἢν δὲ ἴσως δριμύτερον ᾖ, παραμίσγειν χηνὸς στέαρ. καὶ νίτρον ὀπτόν. διδόναι δὲ οἶνον, φυλάσσοντα τὸ ἐν αὐτῷ μένος. Ἕτερον κυητήριον. Σκώληκα ἥτις ἔχει τὴν κέρκον λαβὼν ἀπ' αὐτῆς τρεῖς ἢ τέσσαρας μοίρας, καὶ ὀρίγανον λεπτὴν, τρίψας ἐν ῥοδίνῳ μύρῳ, προσθέτω [340] πρὸς τὸ στόμα τῆς μήτρης. Ἕτερον κυητήριον. ἀνδράχνην τρίψας μετὰ στέατος χηνὸς καὶ σμύρνης, καὶ πράσου σπέρματος. καὶ βοὸς χολῆς ἐν εἰρίῳ ἐνελίξας, τιθέναι πρὸς τὸ στόμα τῆς μήτρης. Ἢν τὰ μὲν καταμήνια γίνωνται πολλὰ, οὐ συλλαμβάνῃ δὲ, χαλκοῦ ἄνθος ὀβολοὺς δύο, καὶ στυπτηρίης σχιστῆς ὡσαύτως τρίψας λεῖα ἐν μέλιτι, εἶτα ἐν εἰρίῳ ἀναπλάσας, ἐνδήσασα ἡ γυνὴ τὸ εἴριον [341] ἐς ὀθόνιον λίνεον, προσθέσθω ἕως ἔσω αὐτῆς. τὸ δὲ λίνον ὑπερεχέτω. εἶθ' ὅταν καλῶς καθαρθῇ, ἀφελέτω. καὶ οἶνον ἀναζέσας εὐώδεα, μυρσίνης φύλλα ἐμβαλὼν, τούτῳ προσκλυσάσθω. καὶ ἴτω πρὸς τὸν ἄνδρα. κυητήριον προσθετόν. Μέλι, σμύρναν, μυρίκης τὸν καρπόν. ῥητίνην ὑγρὴν, χηνὸς ἄλειφα τρίψας ἅπαντα ὁμοῦ αὐτῷ ἐν εἰρίῳ ἐνελίξασα προστιθέσθω. κυητήριον προσθετὸν σφόδρα ἀναστομῶσαι μήτρην δυνάμενον ὅταν μεμύκῃ, καὶ μὴ δύνηται κυῆσαι, καὶ ὕδωρ ἐκκαθῆραι. Λαβὼν ἀγχοῦσαν τὴν μικρὴν, καὶ σχῖνον, καὶ κύμινον, καὶ κύπειρον. καὶ ἀγρίην κολοκύντην. καὶ νίτρον ἐρυθρόν. καὶ ἅλας αἰγύπτιον. καὶ ἀγχοῦσαν τὴν μεγάλην. Ταῦτα πάντα λεῖα ποιήσας, διὰ ὀθονίου διηθῆσαι. λαβὼν δὲ μέλι, ἕψειν ἐπὶ πυρὶ μαλθακοῦ. ἐπειδὰν δὲ ζέσῃ, παράμιξον κηρὸν. ῥητίνην. ἔπειτα ξυμμίξας πάντα ἔλαιον ἐπιχέας καὶ ἀφελὼν, χλιαρὸν [342] εἴριον ἐγκυλίνδων ἐνελίξας, προστιθέτω τῇ μήτρῃ, μέχρις ἂν καθαρθῇ. Ἕτερον κυητήριον. Ἢν γυνὴ βούληται κυῆσαι, καὶ τοῖσι καθαρτηρίοισιν ἥτις χρῆται, καὶ δεῖ πρὸς τὸν ἄνδρα ἰέναι, καὶ δαφνίδας μελαίνας δέκα. λιβανωτοῦ δὲ δραχμίδας τρεῖς. καὶ κυμίνου ὀλίγον τρίψας ἐν μέλιτι, ἐς εἴριον πινῶδες ἐγκυλίσαι ἅπαξ τῆς ἡμέρης, τῇ αὐτῇ προστιθέσθω. καὶ ἀφαιρέσθω ἅπαξ ἕως ἡμερῶν τεσσάρων, καὶ ἔπειτα αὐτὴ [343] τὰς αὐτὰς ἡμέρας. [344] ἀτόκιον. Ἢν μὴ δέῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι, πίνειν διδόναι. καὶ ἐνιαυτὸν ὡς ἔπος εἰπεῖν οὐ κυήσεται. Ὠκυτόκια δυστοκούσῃ. Δάφνης ῥίζαν ξύσας, ἢ τοὺς κόκκους ὅσον ἥμισυ ὀξυβάφου ἐφ[illegible] δὸς πιεῖν θερμήνας. Ὠκυτόκιον. Δικτάμνου ὅσον δύο ὀβολοὺς τρίψας ἐν ὕδατι θερμῷ, πινέτω. ἢ ἀβροτόνου δραχμὴν, [345] καὶ κεδρίδας, καὶ ἄννησον ἐντρίψας ἐν γλυκέος οἴνου κυάθῳ, παραχέας ὕδατος παλαιοῦ κύαθον, δὸς πιεῖν. τοῦτο καλὸν δίδοται ἢν πρὸ τῶν ὠδίνων δοθῇ, ἢ δικτάμνου ὀβολόν. σμύρνης ὀβολόν. ἀννήσου δύο ὀβολούς. νίτρου ὀβολόν.

Ταῦτα τρί-

ταῦτα τρίψας ἐξ γλυκέος οἴνου. ἐπιχέας κύαθον,[346] καὶ ὕδατος θερμοῦ κυάθους δύο, δὸς πιεῖν. εἶτα λοῦσον θερμῷ. Ὠκυτόκιον. Ῥητίνην τερμινθίνην. μέλι. ἔλαιον διπλάσιον τούτων. οἶνον εὐώδεα ὡς ἥδιστον. ταῦτα συμμίξας, χλιήνας, διδόναι ἐκπιεῖν πλεονάκις.[347] καταστῆσαι δὲ χρὴ, καὶ τὰς μήτρας ἢν φλεγμαίνωσιν. Ἕτερον ὠκυτόκιον. Τοῦ σικύου τοῦ ἀγρίου ὅστις αἰεὶ λευκὸς τὸν καρπὸν ἐμπλάσας κηρῷ. εἶτα εἰρίῳ ἑλίξας φοινικῷ, περίαψον περὶ τὴν ὀσφύν. [348] ἢν δὲ ἡ κύουσα πουλὺν χρόνον ἐπέχῃ, καὶ μὴ δύνηται τεκεῖν, ἀλλ' ὠδίνῃ πλείους ἡμέρας. νέη δὲ ἦ καὶ ἀκμάζῃ, καὶ πουλύαιμος, τάμνειν χρὴ τὰς ἐν τοῖσι σφυροῖσι φλέβας, καὶ ἀφαιρέειν τοῦ αἵματος, πρὸς τὴν δύναμιν ὁρῶν. καὶ μετὰ ταῦτα λοῦσαι θερμῷ, ἀπὸ φλοιῶν δάφνης. πιεῖν δὲ δοῦναι ἄγνου καρπὸν, καὶ δίκταμνον κρητικὸν ἴσον ἑκατέρου ἐν οἴνῳ λευκῷ ἢ ἐν ὕδατι. προσθετὸν δὲ ποιήσας προσθὲς χαλβάνην, καὶ δαφνίδας, καὶ ῥόδινον ἔλαιον, ἐν εἰρίῳ ἑλίξας. Ὠκυτόκιον. Τῆς δρυοπτέριος τὴν ῥίζαν τρίψας ἐν οἴνῳ, δὸς πιεῖν. καὶ ἀδίαντον τρίψας, ἐν ἐλαίῳ διεὶς ἀλείφειν[349] ἐν οἴνῳ ἀκρήτῳ. Λεχοῖ. τὰ λοχεῖα καθαίρει ἄμεινον. Χελώνης θαλασσίης ἧπαρ χλωρὸν ἔτι ζώσης, ἐν γάλακτι γυναικείῳ τρίβειν. καὶ ἰρίνον μύρον. καὶ οἶνον ἀναδεύσας καὶ προστιθέναι. ἢ λινόζωστιν τρίψας ἐν εἰρίῳ πρόσθες. ἢ ἀρτεμισίην τρίβων ὁμοίως ἐν εἰρίῳ προστιθέναι.[350] καὶ λινοζώστιος, καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ τε καὶ μέλιτι δεύσας προστιθέναι. Ἐκ τόκου καθαρτήριον λοχείων.[351] Πυροὺς τριμηνιαίους ἐρείκειν ὅσον ἥμισυ χοίνικος ἑψῆσαι ἐν ὕδατι κοτύλῃσι τέσσαρσιν. ὅταν δὲ ζέσῃ δὶς ἢ τρὶς δοῦναι ῥοφῆσαι. ἕτερον. Τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας ἐν ὕδατι ἐπιχέαι, καὶ πίνειν. τρωγέτω δὲ καὶ κράμβας ἑφθάς. καὶ πράσα. καὶ μάραθρον. καὶ ἄννησον. καὶ πουλύποδας.[352] καὶ καράβους, ἢ τοῦ ῥοῦ τὰ φύλλα. καὶ ἐρύσιμον ἐν οἴνῳ.[353] ἄλφιτα ἐπιπάσσειν δοῦναι πίνειν[354] ἥμισυ, ὅσον δύο ὀβολοὺς τρίψας ἐν οἴνῳ φρύξας προστιθέναι. Καθαρτήριον ἐπιμηνίων, καὶ λοχείων. μάλιστα καὶ ὕδωρ ἄγει[355] καὶ τὰ ἄλλα. Στρουθίου ῥίζαν λείου κεκομμένου ὅσον τοῖσι τρισὶ δακτύλοισιν ἐν μέλιτι δεύσας, προσθεῖναι. φύεται δὲ, τὸ ἐν Ἄνδρῳ ἐν τοῖσιν αἰγιαλοῖσιν. ἕτερον καθαρτήριον ὁμοίως. Ἐρύσιμον ἕψειν ἐν ὕδατι. καὶ ἐπιχέειν ἔλαιον ὅταν ἀναβλύσῃ,[356] καὶ ψύχειν, καὶ ὑποθυμιῆν. ἀγαθὸν δὲ καὶ τὸν χυλόν. καὶ σιτίοισι μαλθακοῖσι χρῆσθαι. Λοχεῖα καθαίρει. ἐρύσιμον τρίβειν ἡσύχως, καὶ ἀναφυσᾶν θέλε τὸ κέλυφος. ὅταν δὲ καθαρὸν ποιήσῃς, τρίβειν λείως. καὶ ὕδωρ σταλάζειν. καὶ ἅλας, καὶ ἔλαιον μίσγειν. ὅταν ἐπιπάσσῃς ἄλφιτα, ἕψε, καὶ ῥοφείτω.[357] Ἢν μὴ κάτω ἡ κάθαρσις, ἢ λοχείη μὴ γίνηται, λαβὼν σικύης ἐντεριώνης ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὅσον ὀβολὸν, τρίψας καὶ ἐν μέλιτι μίξας, ἐς εἴριον ἐνελίξας, προσθὲς πρὸς τὸ στόμα τῆς μήτρης, νυκτὸς ἀεὶ, καὶ ἡμέρης, ἄχρις ἡμερῶν πέντε τοῦτο ποιέειν. ἢ τὸ ἀμπέλιον τρίβειν χλωρὸν, καὶ μέλιτι μίσγων ἐς εἴριον ἐνελίξας, προστιθέναι τὸν αὐτὸν τρόπον. ἢ τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ ῥοδίνῳ διεὶς, καὶ μέλιτι ἐς εἴριον ἐνελίξας.

Hæc ex vino dulci trita, affuso cyatho, & aquæ calidæ cyathis duobus, potui exhibeto, deinde calida lauato. Partum facilem reddens. Resinam terebinthinam, mel, oleum ad duplam horum portionem, vinum odoratum quàm suauissimum. Hęc simul mixta tepida crebrò bibenda dato. Quinetiam vteri si inflammati fuerint, sibi restituẽdi sunt. Aliud facilem partum faciẽs. Cucumeris agrestis albi fructũ cera obductum, deinde lana punicea cõuolutum, ad lumbos alligato. Quòd si prægnans diutiùs immoretur & parere non possit, sed pluribus diebus partus doloribus discrucietur, sit autem iuuenis & ętate florens, multoq; sanguine redundet, venas in malleolis secare oportet, & virium habita ratione sanguinem detrahere. Post hæc calẽte corticis lauri decocto lauare. Viticis autem semen & dauci Cretici, vtrunq; pari portione, ex vino albo aut aqua potui exhibeto. Subdititium verò medicamẽtum parato, galbanum, lauri baccas, & oleum rosaceum, lana inuoluta in pesso subdito. Partum accelerans. Filicis quernæ radicem ex vino tritam propinato, & adiantum tritum oleo dilutũ cum vino mero inungendum. Quod puerperæ puerperij purgamenta probè repurgat. Testudinis marinæ adhuc viuentis iecur recens, in lacte muliebri tritum, vnguẽto irino & vino subactum, in subditio apponito. Aut mercurialem tritã in vellere subdito, aut artemisiam tritam similiter ex lana supponito. Aut mercurialis & cucumeris agrestis modicum tritum, vino & melle subactum, in pesso admoueto. Puerperij purgamenta ex partu expurgans. Triticum trimestre detracto cortice fractum ad dimidiam chœnicem, in aquę heminis quatuor decoquito, cùm autem deferbuerit, bis aut ter in sorbitione exhibeto. Aliud. Sambuci foliis in aqua decoctis, aquam in potum fundito. Brassicas autem coctas edat, porra, fœniculum, anisum, polypos & carabos. Aut rhois folia & erysimum ex vino polẽta aspersa, in potum dato. Aut misy duorum obolorum pondus tritum, ex vino maceratum, in pesso subdito. Quod menses & puerperij purgamenta pręcipuè expurgat, aquam etiam & alia educit. Struthij radicem læuiter contusam, ad pugillum vnum, melle subactam in pesso supponito. Producitur autem præcipuè in Andri insulæ littoribus. Aliud quod similiter purgat. Erysimũ in aqua decoquito, & vbi efferbuerit oleum affundito & refrigerato, ex eoque suffitum adhibeto. Conducit etiam succum adhibere, & mollibus cibis vti. Hoc puerperij purgamenta expurgat. Erysimum leuiter terito, & corticem flatu expellito, cùm autem purum reddideris, ad læuorem terito, & instillata aqua salem & oleum ammisceto, & farina aspersa decoquito, & sorbendum exhibeto. Si menstrua purgatio deorsum non feratur, aut puerperialis substiterit. Cucumeris agrestis interiorem partem ad tres obolos sumito, artemisię herbę & thuris obolum, hæc trita & melle admixto, lana inuoluta in subditio ad vteri osculum apponito, idque noctu semper & interdiu dierum quinque spatio facito. Aut vitis pampinum recentem tritum, cum melle mixtum lana inuolutum, ad eundem modum, in pesso supponito. Aut cupressi fructum & thus tritum, simulque rosaceo & melle subactum, lana conuolutum in

subdititio apponat. Aut abrotoni drachmam, & cucumeris agrestis interiorem partem oboli pōdere trita, & thus cum melle, lana cōuoluta in pesso subiicito. Aut claterij obolum, & myrrhæ tantundem, ex melle trita, lana cōuoluta in subdititio apponat. Aut cupressi fructum, & cucumeris agrestis interiorem partem, & thus cū melle mixta, lana obuoluta, in pesso subiiciat. Medicamentū purgans si ex partu non purgetur. Trifolium ex vino albo potui exhibendum. Idem etiam in subdititio apposit̄ū menses vt erumpant efficit, & fœtum expellit. Vteros purgās cùm extincto puero sanguis intus remanserit. Cucumerem agrestem tritū ex melle delingat, aut in subdititio apponat. Ad omnē puerperij purgationem si non probè respōdeat. Erysimum affusa polenta & oleo decoquito, vbi decoctum fuerit sorbitione accipiat, & cibis quàm mollissimis vtatur. Aut scāmonium ex lacte muliebri tritum, vellere exceptum, in pesso subdito. Aut glycyrrhizam melle subactam cum vnguēto rosaceo aut Ægyptio in vellere supponat. Aut farinam lotam similiter in subdititio apponat. Bibat autem crethmi semen & seseleos, ac rutæ semen, aut succum, ita vt vtriusq; obolos duos simul tritos ex vino meraco exhibeas, si non febricitet. Subdititium medicamētum secundas relictas eiiciens. Priùs autem ex decocto foliorum sambuci fomētum admoueto, & subdititium ex cantharide subiicito. Hoc debilibus medetur. Quòd si vellicet & mordeat, eo confestim ablato, lanam rosaceo intinctam subiiciat. Subdititium quod secundas educere valet, mēses fœtumq; syderatum detrahere. Cantharidas quinque alis auulsis, cruribus & capite, deinde tribulum marinum cum radice & foliis contusum, ad conchæ mensuram, & chamomelli & seminis apij æquales portiones, & sepiæ oua quindecim, ex vino dulci diluto in pesso subdito. Cumq; dolor detinuerit, in aquæ calidæ solio desideat, & aquam mulsam aquosam & vinum dulce bibat. Quinetiam eius contriti staterē Æginensem ex vino dulci propinato. Quòd si dolor detinuerit, cicera alba & vuas passas in aqua coquito, refrigeratum decoctum potui exhibeto, vbi stranguria vexarit, etiā in aqua tepida desideat. Hoc secūdas expellit. Cucumeris agrestis succum in mazam subactū in subdititio apponito, vbi priùs per biduum cibo abstinuerit. Hoc nullum inuenias præstantius. Medicamentum ad explorandam fœcunditatem. Allium caput habens vnicum decoctum, per horam in subdititio apponito. Aliud fœcunditatem explorans. Netopi modicum lana cōuolutum in pesso subiicito, & videto num eius odor ad os perueniat. Subdititia medicamenta. Fel scorpij marini lana exceptum, & in vmbra siccatum, in pesso subdito. Aut pulegium siccatum & melle subactum, in vellere subiicito. Aut æris florem cum melle linteo illigatum in subdititio apponito. Aut cucumeris agrestis semen, & testam combustam, ex vino & pilis leporis subactam, in vellere supponito. Aliud subdititium. Alumen Ægyptium lana exceptum, in subdititio apponito. Aut cantharidas tritas, vinoq; subactas supponito. Aut artemisiam herbam vino maceratam, in subdititio apponito. Aut melanthium ex vino contritum in vellere subdito. Aut bulbulum ex tritico tritum, vinoque maceratum supponito. Aut vini albi veteris fæcem

προστιθέσθω. ἢ ἀβρότονον ὅσον δραχμὴν, καὶ σικύης ἐντεριώνην ὅσον ὀβολὸν τρίψας, καὶ λίβανον ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας προστιθέναι. ἢ ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης, τρίψας ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας προστιθέσθω. [358] ἢ κυπαρίσσου καρπὸν καὶ σικύης ἐντεριώνην, καὶ λιβανωτὸν μέλιτι μίξας, ἐν εἰρίῳ προστιθέσθω. [359] Καθαρτήριον, ἢν ἐκ τόκου μὴ καθαρθῇ. Τοῦ τριφύλλου ἐν οἴνῳ λευκῷ πίνειν. καὶ τὰ καταμήνια καταῤῥήγνυσι τοῦτο καὶ προσθετὸν, καὶ ἔμβρυον ἐκβάλλει. Μητρέων καθαρτικὸν, ὅταν τοῦ παιδίου ἀποθανόντος αἷμα ἐμμείνῃ. Κολοκύντην ἀγρίην τρίψας ἐν μέλιτι λειχέτω. ἢ προστιθέσθω. [360] Λοχείης πάσης, ἢν μὴ καλῶς ἴῃ. ἐρύσιμον ἕψειν, καὶ ἄλφιτον, καὶ ἔλαιον ἐπιχέας, ὅταν ἢ ἑφθὸν ῥοφεέτω. καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρεέσθω. ἢ σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ εἰρίῳ ἀνασπογγίσας, προσθεῖναι. [361] ἢ τὴν γλυκυῤῥίζην μέλιτι δεύσας καὶ ῥοδίνῳ μύρῳ ἢ αἰγυπτίῳ, ἐν εἰρίῳ προσθέσθω. [362] ἢ ἄλητον πλυτὸν ὁμοίως προστιθέσθω. πινέτω δὲ κρήθμου καρπὸν, καὶ σεσέλιος, πηγάνου καρπὸν, [363] ὀπὸν, ἑκάστου ὀβολοὺς δύο τρίβειν ὁμοῦ καὶ ἐν ἀκρήτῳ ἢν μὴ πυρεταίνῃ διδόναι. Προσθετὸν ἐκβόλλον χορίον ἀπολελειμμένον. [364] Τῆς ἀκτῆς τὰ φύλλα, προπυριῆν δὲ καὶ προστιθέναι τὸ ξὺν τῇ κανθαρίδι. [365] οὗτος καὶ ὅσα ἡ πεδίλω ἰᾶται. ἢν δὲ ἀμύσσῃ, καὶ δάκνῃ, αὐτίκα ἀφαιρέειν. καὶ ἐς ῥόδινον εἴριον ἀποβάπτουσα προσθέσθω. [366] Προσθετὸν δυνάμενον χορίον ἐξάγειν, καὶ ἐπιμήνια καταστᾶσαι, καὶ ἔμβρυον ἀπόπληκτον. Κανθαρίδας πέντε ἀποτίλας τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλὴν. εἶτα τρίβολον θαλάσσιον κόψας σὺν τῇ ῥίζῃ, καὶ τοῖσι φύλλοισιν ὅσον κόγχην, [367] καὶ τὸ λευκάνθεμον, καὶ σελίνου σπέρμα τὸ ἴσον, καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν τῷ οἴνῳ γλυκεῖ κεκρημένῳ [368] προσθεῖναι. καὶ ἐπὴν ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ μελίκρητον ὑδαρὲς πινέτω. καὶ οἶνον γλυκύν. [369] καὶ τοῦ τετριμμένου ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ πίνειν γλυκεῖ. ἐπὴν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους, καὶ σταφίδας ἑψήσας ἐν ὕδατι ψύξαι, καὶ διδόναι πίνειν, ὅταν ἡ στραγγουρίη ἔχῃ, καὶ ἐν ὕδατι χλιαρῷ ἐγκαθήσθω. Ἐκβόλιον ὑστέρων. Σικύου ἀγρίου τὸν ὀπὸν [370] ὡς μάζιον ἐμπλάσασα προστιθέναι προνηστεύσασα ἐπὶ δύο ἡμέρας, οὐκ ἂν εὕροις τούτου ἄμεινον. Πειρητήριον. Μώλυζαν σκορόδου ἀποζέσας προσθεῖναι ὥρην. Ἕτερον πειρητήριον. Νέτωπον ὀλίγον εἰρίῳ ἐνειλίξας προσθεῖναι. καὶ ὁρῶν, εἰ διὰ τοῦ στόματος ὄζηται. Προσθετά. Σκορπίου θαλασσίου τὴν χολὴν ἐν εἰρίῳ λαβὼν, καὶ ξηρήνας ἐν σκιῇ προστιθῇ. ἢ γλήχωνα ξηρήνας, καὶ ἐν μέλιτι δεύσας, ἐν εἰρίῳ προστιθέναι. ἢ ἄνθος χαλκοῦ ἐν μέλιτι ἐς ὀθόνιον ἐνδήσας, προσθεῖναι. ἢ σικύου σπέρμα, [371] καὶ ὄστρακα καταπλύσας, ἐν οἴνῳ τε δεύσας, ἐν λαγωοῦ θριξὶν εἰρίῳ προστιθέναι. ἄλλο προσθετόν. Στυπτηρίην αἰγυπτίην ἐν εἰρίῳ ἐνειλίξας προσθεῖναι. ἢ κανθαρίδας τρίψας, οἴνῳ τε δεύσας, [372] προστιθῇ. ἢ τὴν ἀρτεμισίην τὴν ποίην, οἴνῳ δεύσας προστιθῇ. ἢ μελάνθιον τρίψας ἐν οἴνῳ, ἐν εἰρίῳ προστιθῇ. ἢ βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ τε δεύσας, προστιθῇ. ἢ οἴνου παλαιοῦ λευκοῦ τὴν τρύγα κατακαύσας,

κατακαῦσαι, καὶ καταςβέσαι οἴνῳ λευκῷ, καὶ τρίψαι, καὶ προσθεῖναι ἐν ὀθονίῳ. ἢ χαλβάνην καὶ νέτωπον, καὶ μίσυ, ἐν ῥοδίνῳ μύρῳ ἐν ὀθονίῳ. ἄλλο προσθετόν. Ἐλατηρίου δύο πόσιας, καὶ κηρίον ἐν οἴνῳ διʼ ὀθονίου προσθεῖναι. ἢ βούτυρον, καὶ ςυπτηρίην μέλιτι δεύσας ὁμοίως. ἢ ὀπὸν σκαμμωνίης, καὶ στέαρ ἐν μάζῃ ξυμμίξας, οἴνῳ τε δεύσας, [373] διʼ ὀθονίου προσάγειν. [374] ποτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξάγειν. κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείῳ, ἐν ὀθονίῳ προστιθέσθω. ἐπὶ τοῦ αὐτοῦ. Σίλφιον ὅσον κύαμον ἐν οἴνῳ διδόναι πίνειν. ἕτερον ἐκβόλιον. Ὑπὸ τὰς μασχάλας λαβὼν, σείειν ἰσχυρῶς. ποτὰ δὲ διδόναι, ἄγνου πέταλα ἐν οἴνῳ, ἢ δίκταμνον κρητικὸν, ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν, καὶ διδόναι. ἢ κονύζης τῆς δυσόσμου, ὅσον χεῖρα πλείην δίδοναι πράσου χυλοῦ. καὶ νέτωπον, [375] ὅσον χήμην ἀδρήν. ταῦτα ἐν οἴνῳ δοῦναι πίνειν, τρίψαντα λεῖα. ἢ δᾶδα πιοτάτην ξὺν γλυκεῖ οἴνῳ ἕψειν, ἐπιχέας ὅσον τρεῖς κυάθους. καὶ χαλβάνην ὅσον τριώβολον. καὶ σμύρναν ἑψήσας, ἐπὴν δὲ παχὺ γένηται, δὸς πίνειν χλιερόν. [376] ἢ πράσου χυλὸν, καὶ σμύρναν, καὶ οἶνον γλυκὺν ὁμοῦ. [377] ἢ ἀνδράχνης καρπὸν λέαινε. δίδου δὲ ἐν οἴνῳ λευκῷ παλαιῷ. [378] ἢ αἰγείρου κρητικῆς κόκκους ἐννέα τρίψας ἐν οἴνῳ πινέτω. [379] ἢ βατραχίου βοτάνης ἐκ τῶν φύλλων, καὶ τοῦ ἄνθεος τετριμμένου, ὅσον δραχμὴν αἰγιναίην, ἐν οἴνῳ πίνειν γλυκεῖ. ἢν δὲ ἔτι ἐνέχηται τὸ χορίον, [380] λεβηρίδος ὅσον ὀβολὸν τρίβειν ἐν οἴνῳ, καὶ πίσαι. ἢ σελίνου ῥίζαν, καὶ μύρτα ἑψέτω, πίνειν δὲ ἡμέρας τέσσαρας. ἢ κύμινον αἰθιοπικόν. καὶ τὸ καστόριον, ὁκόσον ὀβολόν. καὶ κανθαρίδος μικρόν. ταῦτα ἐν οἴνῳ διδόναι πίνειν. ἢ μαράθρου ῥίζαν ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα πιπίσκειν. ἢν τὸ χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας ἐν εἰρίῳ προσθέσθαι. πίνειν δὲ ἄμεινον. ἢ κονύζης ὅσον χανδάνει χεὶρ, πράσου τε χυλὸν, καὶ νέτωπον ξυμμίξαι ὅσον χηραμύδα, ταῦτα ἐν οἴνῳ πινέτω. [381] Χορίον ἐξάγει. καὶ ἐπιμήνια καταρρήγνυσι. καὶ τὸ ἔμβρυον ἡμίεργον ἕλκει. κανθαρίδας πέντε, ἀποτίλας τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον τὸ θαλάσσιον κόψας ξὺν τῇ ῥίζῃ, καὶ τοῖσι φύλλοισιν, ὅσον κόγχην, καὶ τὸ ἀνθέμον τὸ χλωρὸν τρῖψον, ἴσον πλῆθος. καὶ σελίνου σπέρμα. καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ ταῦτα ὁμοῦ, καὶ ἐπὴν ὀδύνην ἔχῃ, πίνειν. καὶ ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω. πινέτω δὲ μελίκρητον ὑδαρές. καὶ γλυκὺν οἶνον λευκόν. Ὕστερον δύναται ἐκβάλλειν. [382] Ὀλοκωνίτιδος τῆς γλυκείης ῥίζα. ἔστι δὲ, ὡς ὁ βολβός. σμικρὸν δὲ ὡς ἐλαίη. ταύτην τρίβειν ἐν οἴνῳ καὶ διδόναι πίνειν. ἢν μὲν ᾖ σμικρὰ, δύο. ἢν δὲ μείζω, μία ἀρκεῖ. προσμίσγειν δὲ τῶν σπερμάτων, κύμινον αἰθιοπικόν. καὶ σέσελι μασσαλιωτικόν. [383] ἢ φύλλον τὸ λιβυκὸν, ξηρὸν ἡμιχοίνικον σὺν οἴνου κοτύλῃσι τρισὶν, ἕψειν καὶ ἄγειν ἐς τὸ ἥμισυ. καὶ ἀπὸ τούτου πινέτω. ἄλλο. Λύγου καρπὸν, σεσέλιος ἴσον. [384] σμύρνης τρίβειν ὁμοῦ. καὶ σὺν ὕδατι διδόναι πίνειν. Ἐκβόλια. ἄγνου λευκῆς νέης ὅσον ὀξύβαφον. ἐν οἴνῳ λευκῷ εὐώδει δὸς πίνειν, τρίψας λεῖον. ἕτερον. καστορίου, ἢ σαγαπήνου ὀβολόν. ἀσφάλτου δραχμὴν μίαν. νίτρου δύο. πάντα τρίψας ἐν γλυκεῖ οἴνῳ,

combustam, vinoque albo restinctam & tritam, in linteo supponito. Aut galbanum & netopum, & misy ex vnguento rosaceo in linteo subdito. Aliud subditi-tium. Elaterij quantum duæ potiones, & fauum ex vino in linteo subdito. Aut butyrum & alumen melle subactum, eodem modo. Aut scammonij succum & adipem in mazam commixta, vinoq; subacta, ex linteo introducito. Potiones quæ secundas vtero detentas educendi vim habẽt. Colocynthidis agrestis partem interiorẽ ex lacte muliebri tritam, in linteo subdito. Ad idem. Silphium fabæ quantitate ex vino propinato. Aliud fœtum etiam excludens. Mulierem ex axillis comprehensam vehementer concutito. In potu verò agni casti folia ex vino dato, aut dictamni Cretici obolum ex aqua tritum exhibeto. Aut conyzæ fœtidæ manipulum porri succo dilutum, netopo ad plenæ chemæ mensuram addito, hæc læuiter trita ex vino propinato. Aut tædam pinguissimam vino dulci ad tres cyathos affuso decoquito, addito galbano ad tres obolos & myrrha. Decoctum vbi crassitudinem acceperit, tepidum potui exhibeto. Aut porri succum & myrrham, cum vino dulci simul. Aut portulacæ semen ad læuorem terito, ex vino autem albo veteri exhibeto. Aut populi nigræ Creticæ grana nouem ex vino nigro bibat. Aut ranunculi herbæ folia, & floris triti drachmæ Æginẽsis pondus, ex vino dulci bibendum. Quòd si secunda adhuc intus adhæserit, membranæ vernationis anguinæ obolum ex vino tritum propinato. Aut apij radicem, & myrti baccas decoctas, per dies quatuor in potu assumat. Aut cuminum Æthiopicum & castorium oboli pondere, & cantharidis parum, hæc ex vino bibenda exhibeto. Aut fœniculi radicem ex vino cum oleo & melle feruefactam propinato. Si secunda non decedat, conyzam tritam in vellere subiicito, bibere autem præstat. Aut conyzę quantum manus capit, porri succo & netopo conchæ maioris quantitate admixto hæc ex vino bibat. Hoc secundam educit, menses deturbat & fœtum imperfectum extrahit. Cantharidas quinque, alis, cruribus, & capite auulsis, deinde tribuli marini cum radice & foliis contusi conchæ quantitatem, & chamæmelum recens tritum æquali copia, apij semen, & oua sepiæ quindecim, hæc omnia ex vino dulci diluto permixta, cùm primùm dolor detinuerit potui exhibenda. Quinetiam in aqua calida desideat, aquam verò mulsam dilutam, & vinum dulce album bibat. Secundam expellere valet holoconitides dulcis radix, quæ bulbum refert, & parua est velut oliua, hanc ex vino tritam potui exhibeto. Quæ si exigua quidem fuerit, duæ exhibendæ, sin maiuscula, vna satis est. Ex seminibus autem cuminum Æthiopicum & seseli Massiliense admisceto. Aut folium Libycum siccum ad dimidiam chœnicẽ ex vini cyathis tribus decoquito, ex eo ad dimidias decocto bibat. Aliud. Viticis semen, seselios ęqualem portionẽ & myrrham simul trita ex aqua potui exhibeto. Quæ fœtus expellunt. Agnum albũ recentem acetabuli quantitate, ex vino albo grati odoris læuiter tritum potui exhibeto. Aliud. Castorij aut sagapeni obolum, bituminis drachmã vnam, nitri duas, hæc omnia ex vino dulci trita,

& olei hemina dimidia, ieiunę ad duos obolos bibenda exhibeto, & calida probè lauato. Aliud quod easdē habet vires. Echinos marinos tres integros ex vino grati odoris læuiter tritos, potui exhibeto. Aliud. Menthæ paruum fasciculum, rutæ, coriandri, & cedri aut cupressi semen, ex vino odorato potui exhibeto. Et ex echinis, si adsint, sæpiusculè sorbitionem accipiat, ad eundem deinde modum calida lauet. Aliud eodem modo. Anisum, cedri baccas, apij semen, cuminum Æthiopicum, seseli, cuiusque acetabuli dimidium ex vino albo læuiter tritum bibendum dato. Aliud similiter faciens. Dictamni fasciculum, seminis dauci drachmas duas, & melanthij tantundem, ex vino albo læuiter tritum in potum exhibeto, & calida multa lauato. Danda autem hæc ad vim morbi respectu habito. Aliud. Galbanum oliuæ magnitudine ex oleo cedrino tritum in subdititio supponat. Hoc etiam fœtum perdere, & secundam morantem detrahere valet. Aliud quod infusum secundas eiicit. Cùm fœtus ex frigore mortuus computruerit, si ventus frigidus fuerit, crocum læuiter tritum drachmæ pondere, ex anserino adipe in vterum infundito, ibiq; diutissimè sinito. Potio ad id probè conducens. Conyzam grati odoris læuiter tritam, ex vino odorato aut syrmæa potui exhibeto, & calida lauato. Alia similis potio ad puerum & vitia quæ intus sunt. Æruginem tritam cum melle & syrmæa potui exhibeto. Aliud subdititium fœtum mortuum expellens. Æris limatam scobem molli linteo exceptam, ad os vteri apponito, & iuuabis. Testam recentem cum adipe anserino tritam sibi supponat. Aliud subdititium. Nitrum cum resina decoctum, in glandem efformatum, gallinaceo adipe inuolutum, in subdititio apponito. Aliud subdititium. χάελεν vulgo est nūcupata herba, huius radicem non lōgo tempore ad vmbilicum admoueto. Aliud. Cucurbitam agrestem, & murium stercus lęuiter cōtrita, in subdititio apponito. Aliud quod alligatur. Resinam & gallinaceum adipem simul trita & mixta ad vmbilicum & ventrem alliget. Aliud subdititium. Hederæ albæ fructum & cedri scobem tritam & in glandulas efformatam sibi supponat. Aliud. Testudinis marinæ cerebrum cum croco Ægyptio, & sale Ægyptio tritum & commixtum, in glandes formatum sibi supponat. Suffitus fœtum eiicere & ventris sanguinem educere valens. Salicis foliis in ignem coniectis suffitum parato, & circumlocatam mulierem tantisper sinito, dum fumus ad vterum penetrarit. De abortionis curatione. Vbi mulier abortionem fecerit, neque puer exierit, siue computruerit ac intumuerit, siue aliud quid tale contigerit, porri & apij succum ex vtrisque collectum, & per linteum expressum, olei rosacei heminam, adipis anserini quadrantem, resinæ obolos tres in oleo liquatos, hæc omnia, muliere à pedibus excitata, in vterum infundito, & vt decumbens quàm diutissimè detineat iubeto, deinde per quatuor dies in sella collocato, & puer putrefactus foras prodit. Sin minùs salem Ægyptium sumito, & cucurbitam agrestem viridem, ex melle commixtam & tritam edendam præbeto, qua sumpta in hanc & illam partem commoueatur. Salem Ægyptium & muscerdam,

καὶ ἐλαίου ὅσον ἡμικοτύλιον, δὸς πιεῖν νήστει, ὀβολοὺς δύο. καὶ λοῦσον θερμῷ, καλῶς. ἄλλο ὁμοίως ἔχον. ἐχίνους θαλασσίους τρεῖς τρίψας ὅλους λείους ἐν οἴνῳ εὐώδει, δὸς πιεῖν. ἄλλο. Μίνθης δεσμίδα μικρὴν, καὶ πηγάνου, καὶ κορίου, καὶ κέδρου, ἢ κυπαρίσσου σπέρμα, ἐν οἴνῳ εὐώδει δὸς πιεῖν.[385] τῶν ἐχίνων, ἢν ἔχῃ, ῥοφεέτω ἐπὶ τὸ πλεῖστον. ὡσαύτως ἔπειτα λοῦσον θερμῷ. ἄλλο ὁμοίως. ἄννησον, κεδρίδας, σελίνου καρπὸν, αἰθιοπικὸν κύμινον, σέσελι, ἑκάστου ἥμισυ ὀξυβάφου δὸς ἐκπιεῖν οἴνῳ λευκῷ τρίψας λεῖον. ἄλλο ὁμοίως. Δικτάμνου δεσμίδα, καὶ δαύκου καρποῦ δραχμὰς δύο. καὶ μελάνθιον ἴσον ἐν οἴνῳ λευκῷ, τρίψας λεῖον, δὸς πιεῖν. καὶ λοῦσον θερμῷ πολλῷ. διδόναι δὲ[386] πρὸς τὴν ἰσχὺν τοῦ νοσήματος. ἄλλο. Χαλβάνην ὅσον ἐλαίην τρίψας ἐν κεδρίνῳ ἐλαίῳ, προστιθέσθω. τοῦτο δύναται διαφθείρειν καὶ ἐκβάλλειν[387] τὸ νοχελές. ἄλλο ἐκβόλιον ἐγχυτὸν ὑστέρων.[388] Ὅταν σαπῇ νεκρωθὲν ὑπὸ ψύχεος, ὅταν ἄνεμος ψυχρὸς ᾖ, κρόκον τρίψας λεῖον, ὅσον δραχμὴν, ἀλκὴν ἐν στέατι χηνὸς ἐγχέαι, καὶ ἐᾶν ὡς πλεῖστον χρόνον. Ποτὸν συμβάλλον πρὸς τόδε καλῶς.[389] κόνυζαν τὴν ἡδύοσμον τρίψας λείην ἐν οἴνῳ εὐώδει, ἢ ἐν συρμαίῃ, διδόναι πιεῖν, καὶ λούειν θερμῷ. ἄλλο, ὁμοίως ποτὸν, τοῦ παιδίου, καὶ τῶν ἐνόντων κακῶν, ἰὸν χαλκοῦ ξὺν τρίψας ξὺν μέλιτι, καὶ συρμαίῃ, δὸς πιεῖν.[390] ἄλλο πρόσθετον ἐκβόλιον ἢν ἀποθνήσκῃ. Χαλκοῦ ῥινήματα ἐνθεὶς ἐς ὀθόνιον μαλθακὸν, προσθεὶς πρὸς τὸ στόμα τῶν μητρέων, καὶ ὠφελήσεις. Ὄστρακον νέον, καὶ στέαρ χήνειον τρίψασα προστιθέσθω. ἄλλο πρόσθετον. Νίτρον ἑψήσας ξὺν ῥητίνῃ, καὶ ποιήσας βάλανον, βάπτων ἐς ὄρνιθος στέαρ προστίθει. ἄλλο πρόσθετον. Χάελεν τὸ ἐπονομαζόμενον, τούτου ῥίζαν πρὸς τὸν ὀμφαλὸν προσθεὶς μὴ πουλὺν χρόνον. ἄλλο. ἀγρίην κολοκύντην, καὶ μυῶν ἀπόπατον τρίψας, λεῖα προστίθει. ἄλλο ἐπίδετον. Ῥητίνην καὶ στέαρ ὄρνιθος τρίψας ἅμα, καὶ μίξας, ἐπιδησάσθω ἐπὶ τὸν ὀμφαλὸν καὶ τὴν γαστέρα. ἄλλο πρόσθετον. Τοῦ κισσοῦ τοῦ λευκοῦ τὸν καρπὸν, καὶ κέδρου πρίσμα τρίψασα, καὶ βαλάνια ποιήσασα, προστιθέσθω. ἄλλα. Χελώνης θαλασσίης τὸν ἐγκέφαλον, καὶ αἰγύπτιον κρόκον, καὶ ἅλας αἰγύπτιον τρίψας, καὶ ξυμμίξας ποιέειν βαλάνους, καὶ προστιθέσθω. ἐκβόλιον θυμίαμα, δυνάμενον καὶ αἷμα γαστρὸς ἐξελάσαι. Ἰτέης φύλλα ἐπὶ πῦρ ἐπιθεὶς θυμιῆν, καὶ περικαθίσας τὴν γυναῖκα ἐᾶν ἄχρις ἂν ὁ καπνὸς ἐς τὰς μήτρας εἰσίῃ. περὶ ἰάσιος ἐκτρωσμοῦ. Ὅταν ἡ γυνὴ ἐκτρώσῃ, καὶ τὸ παιδίον μὴ ἐξίῃ, ἤν τε σαπῇ, καὶ οἰδήσῃ, ἢ ἄλλο τι πάθῃ τοιοῦτον, πράσα καὶ σέλινα ἐκθλίψας τὸν χυλὸν διὰ ῥάκεος ἀμφοτέρων ἐπισυνάξας, καὶ κοτύλην ῥοδίνου ἐλαίου, καὶ στέαρ χηνὸς ὅσον τεταρτημόριον, ῥητίνης τε ὀβολοὺς τρεῖς κατατήξας ἐν ἐλαίῳ, καὶ ποιήσας τῶν ποδῶν ὑψηλοτέρην, ἔγχεον ἐς τὰς μήτρας. καὶ ἐχέτω κειμένη χρόνον ὅτι πλεῖστον. ἔπειτα κάθισον ἡμέρας τέσσαρας καὶ ἐξέρχεται τὸ ἀποσαπὲν παιδίον. ἢν δὲ μὴ, λαβὼν ἅλας αἰγυπτίους, καὶ κολοκύντην ἀγρίην χλωρὴν μέλιτι μίξας, καὶ τρίψας δοῦναι φαγεῖν. καὶ ἐπὴν φάγῃ, κινεέσθω τῇδε καὶ τῇδε.[391] ἅλας αἰγυπτίους. καὶ μυόχοδα

καὶ ἀγρίην κολοκύνθην. καὶ μέλιτος ὅσον τεταρτημόριον ἐπιχεῖν ἡμίεφθον. λαβὼν ῥητίνης δραχμὴν μίαν, ἐμβάλε ἐς τὸ μέλι. καὶ τὴν κολοκύνθην καὶ τὰ μυόχοδα, συντρίψασα πάντα καλῶς, καὶ ποιήσασα βαλάνους πρὸς τὴν μήτρην προστιθέσθω, ἕως ἂν δοκέῃ καιρὸς εἶναι.[392] ἕτερον ἐκβόλιον, ὃ δὲ παιδίον βλητὸν γινόμενον, ἐκβάλλει. ἐλξίνην ἐν οἴνῳ τρίψας πότισον. ἕτερον ποτὸν ἐκβολῆς, ὃ δὲ παιδίον ἐκβάλλει πελιδνόν.[393] Τοῦ ἐκτόμου τὰς ῥίζας τρίψας λεπτὰς, καὶ τοῖσι τρισὶ δακτύλοισι, καὶ σμύρνης ὅσον κύαμον ἄρας ἐν οἴνῳ γλυκεῖ πίπισκε. ἐκβόλιον. Κορίαννον σὺν τῇ ῥίζῃ, καὶ νέτωπον προσθεμένη, περιπατείτω. ἔγχυτον ἐμβρύου ἢν ἀποθάνῃ παιδίον ὥστε ἐκβάλλειν. κρόκον τρίψας, ἐπίχεε χηνὸς ἔλαιον. καὶ διηθήσας, ἔγχεε ἐς τὰς μήτρας. καὶ καταλιμπάνειν ὡς πλεῖστον χρόνον. ἔμβρυον ἀκίνητον φθεῖραι καὶ ἐκβαλεῖν. Στυπτηρίης σχιστῆς δραχμὴν μίαν. σμύρνης ἴσον. ἐλλεβόρου μέλανος τριώβολον τρίψας λεῖα ἐν οἴνῳ μέλανι, βαλάνια ποιεῖν. καὶ προστιθέναι ἄχρι, ἄχρις ἂν κατ' ὀλίγον ἀπολυθῇ. Κλυσμοὶ καθαρτικοὶ μητρέων, ἢν ἐκ τόκου ἑλκωθῶσι, ἢ φλεγμασίης. Ὀλύνθους χειμερινοὺς ὕδωρ ἐπιχέας καὶ ζέσας, ἀφεῖναι καὶ καταστῆναι. εἶτα ἔλαιον ἐπιχέαι χλιερὸν καὶ μῖξαι. κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον. πάντα δὲ τὰ κλύσματα[394] μὴ πλέω τούτων κλύζειν. καὶ σιδίοισι καὶ μάννῃ.[395] ἐν οἴνῳ μέλανι αὐστηρῷ ἑψημένῳ. εἶτα ἀποχέας τὸν οἶνον, τούτῳ κλύζε. Ἄλλος κλυσμός. Τρύγα οἴνου κατακαύσας,[396] τῆξον. καὶ ἐν ὕδατι κλύσον. εἶτα σίδια. μύρτα. σχοῖνον εὐώδεα. φακοὺς ἑψήσας ἐν οἴνῳ, ἀποχέας τὸν οἶνον, κλύζε. Ἄλλος κλυσμός. Βούτυρον. λιβανωτόν. ῥητίνην.[397] μέλιτι τήξας ἐν τῷ αὐτῷ, οἶνόν τε ἐπιχέας, κλύζε χλιερῷ. ἢ ἀκτῆς καρπὸν ἑψήσας ἐν ὕδατι ἀποχέας δὲ ὕδωρ, τρίψας ἐν τῷ αὐτῷ, σέλινον, σμύρναν, ἄννησον, λιβανωτόν. ἐπιχέας τε καὶ οἶνον ὡς εὐώδεα, ἴσον τῷ ὕδατι, διηθήσας τε δι' ὀθονίου χλιήνας, κλύσαι. Ἄλλο. Κράμβην. καὶ λινόζωστιν. καὶ λίνου σπέρμα. καὶ χλωρὸν δὲ λίνον ἑψήσας, ἐν ὕδατι ἀπηθήσας, κλύσαι τῷ ὕδατι. μυρσίνης τῶν φύλλων ὀξύβαφον, σμύρνης, ἀννήσου, μέλι, ῥητίνην, μύρον αἰγύπτιον, τρίψας πάντα, καὶ ἑνώσας, ἐπιχέας τε, καὶ οἴνου λευκοῦ ὡς εὐωδεστάτου κοτύλας δύο, διηθήσας, χλιήνας, κλύσον αὐτῷ. ἢ δάφνης καρπὸν, καὶ γλήχωνα ἑψήσας ἐν ὕδατι, μύρον τε ῥόδινον ἐπιχέας τούτῳ κλύζε χλιήνας. ἢ χηνὸς στέαρ τῇ ῥητίνῃ μίξας,[398] ἐπιχέας τε πρὸς τοῦτο οἶνον, καὶ χλιήνας κλύσαι. ἄλλο. Βούτυρον, καὶ κέδρινον ἔλαιον, ἐν μέλιτι ὀλίγῳ χλιήνας κλύσον αὐτῷ.[399] ἢ δάφνης καρπόν. ἢ βάλλειν μέλι. βούτυρον. σχοῖνον. κάλαμον εὐώδεα. βρύον θαλάσσιον, καὶ ἑψῆσαι ἐν οἴνῳ. εἶτα ἀπηθῆσαι, καὶ οὕτω κλύσαι. ἢ σελίνου καρπόν. σεσέλιος. σμύρναν. ἄννησον. μελάνθιον, ἐν οἴνῳ ἀπηθήσας τὸν οἶνον κλύσαι. ἢ κέδρον ἑψήσας ἐν οἴνῳ, κλύσαι τῷ οἴνῳ. ἢ κισσὸν ἑψήσας ἐν ὕδατι κλύσαι τῷ ὕδατι.[400] ἢ ἐλατήριον, ἢ κέστρον δύο πόσιας, ἑψεῖν ἐν ὕδατι, καὶ ὅσον δύο κοτυλῶν κλύσαι χλιερῶς. ἢ σικύης ἐντεριώνης ὅσον δάκτυλον ἑψήσας, ἐν κοτύλῃσι δύο ὕδατος, ἐπὶ δὲ ὕδωρ ἐπιχέας μέλι καὶ ἔλαιον τούτῳ κλύσαι. ἢ θαψίης ῥίζης ὅσον δύο πόσιας τρίψας λεῖον, ἐπιχέας τε μέλι καὶ ἔλαιον, διεὶς ὕδατι χλιερῷ ὅσον δυσὶ κοτύλῃσι κλύσαι. ἢ

cucurbitam agrestem, mellis quadrante affuso, resinę drachmam vnam in mel immitte, & cucurbitam & muscerdam, omnibusque vt decet contritis, glandes efformatas ad vterum quandiu tempestiuum videbitur opponito. Aliud fœtum excutiens, quod etiam puerum veluti sidere tactum eiicit. Helxinem ex vino tritam propinato. Alia potio eiectoria, quæ puellum sugillatum extrudit. Radicum veratri nigri tenuiter tritarum pugillum vnum, & myrrhæ fabæ quantitatē, ex vino dulci propinato. Aliud quod expellit. Coriandrum cum radice & netopum vbi in subdititio apposuerit, deambulet. Infusum ad fœtū, quod puellum immortuum eiicit. Crocum tritum affuso adipe anserino, & excolatum in vterum infundito, & quàm diutissimè relinquito. Ad fœtum immotum corrumpendum & eiiciendum. Aluminis scissilis drachmam vnam, myrrhæ tantundem, veratri nigri obolos tres, ex vino nigro tenuiter trita in glandulas efformato, & propiùs supponito quoad sensim dissoluatur. Collutiones vteros purgantes si ex partu aut inflammatione exulcerati fuerint. Grossos hybernas affusa aqua decoctas, excolato & deponito, deinde oleum tepidum affundito & permisceto. Duabus autem ad summum heminis colluito. Omnes verò collutiones ex quibus infusa parantur, mensuram istam non excedant. Malicorium & mannam in vino nigro austero decoquito, deinde vino diffuso, ex eo colluito. Alia collutio. Vstam vini fœcem aqua liquefacito, ex ea colluito. Deinde malicoriū, myrti baccas, iuncum odoratum & lentes in vino decoquito, vino diffuso, eo colluito. Alia collutio. Butyrum, thus, resinam, cū melle simul liquefacito, vinoque affuso, tepido colluito. Aut sambuci fructum in aqua decoquito, eaque percolata, apium, myrrham, anisum, thus simul terito, vinoq; odorato pari cum aqua mensura affuso, & per linteum excolato, tepido eluito. Aliud. Brassicā, mercurialem, lini semen, & ipsum linum viride in aqua decoquito, eaque percolata eluito. Foliorum myrti acetabulum, myrrham, anisum, mel, resinam, vnguentum Ægyptium, tritis omnibus & vnitis, viniq; albi quàm odoratissimi heminis duabus affusis, percolato tepido eluito. Aut lauri baccis & pulegio in aqua decocto, & vnguento rosaceo affuso, eo tepido eluito. Aut anserino adipe resinæ permixto, & ad hoc affuso vino, tepido colluito. Aliud. Butyrum & oleum cedrinum, cum pauco melle tepefacito, ex eo eluito. Aut lauri baccis, aut melle, butyro, iunco & calamo odorato, muscoq; marino in vinum coniectis & decoctis, deinde percolatis, sic quoque eluito. Aut apij semen, seseli, myrrham, anisum, melanthium, in vino coquito, vinum percolatum per infusum immittito. Aut cedro in vino decocto, vino eluito. Aut hedera in aqua decocta, decocto eluito. Aut elaterij, aut betonicæ quantum ad duas potiones satis est, in aqua decoquito, & decocti tepentis duabus heminis colluito. Aut cucumeris agrestis interiore parte ad digiti magnitudinē in aquæ duabus heminis decocta, affuso ad aquam melle & oleo, ex eo colluito. Aut radicis thapsiæ quantum ad duas potiones satis est, læuiter trita, & affuso melle aquæ duabus heminis diluto, tepido colluito. Aut ve-

ratro nigro quantum ad duas potiones satis sit, vino dulci & aqua dissoluto, colluito. Aut granis cnidiis circiter sexaginta læuiter tritis, affuso melle, oleo, & aqua colluito. Collutio corroborans si vlcera pura fuerint. Grossos hybernas terito, & affusa aqua per diem totã macerato, & oleo affuso colluito. Aut malicorio & loti arboris ramentis in vino nigro decoctis. Cùm autem impura fuerint, ex iisq; sordes ferentur, fæce vini vsta ex vino & aqua colluito. Aut malicorio, rhoë coriaria, myrti & rubi foliis in vino nigro decoctis colluito. Collutiones ad inueterata vlcera. Brassicæ succo decocto eluito. Et mercurialem itidem, & paucum nitrum rubrũ ammisceto, myrrhæ acetabulum, thus, seseli, anisum, apij semẽ, netopum, resinam, mel, adipem anserinum, acetum album, & vnguentum Ægyptium. Hæc omnia simul læuiter terito, deinde vini albi duabus heminis diluito, tepido colluito. Aut mercurialem in aqua decoquito & percolato, aut myrrhę acetabulum, thus, seseli, netopũ, cuiusq; pari portione addita, tepido colluito. Aut saluia & hyperico in aqua decoctis, ex ea colluito. Aut sambuci fructum & lauri baccas, vtrorumq; pares portiones in vino decoquito, deinde cum vino colluito. Aut pulegij decocto eluito, aut adipe anserino cum resina liquato, similiterq; cedrini olei modico affuso, & cum melle dissoluto, tepido colluito. Aut argenti florem, vino, melle & cera liquatum, cyperum, iuncum odoratum, & calamum (quæ sanè etiam vnguento admiscentur) & iridem, ac muscũ in vino decoquito, & colluito. Aut apij semen, anisum, seseli, myrrham, melãthium in vino decoquito. Aut Creticam cedrum in vino decoquito, decocto abluito. Aut hederam Creticam in aqua decoquito. Hæc facienda si vulnus adfuerit, & myrrha aqua dissoluta colluito. Aut elaterij potiones duas ex aqua infundito. Aut cucurbitas agrestes duas in vino aut lacte cocto, ad quatuor heminas maceratas, percolatas infundito. Aut cucumeris agrestis parte interiore, palmæ magnitudine in aquæ heminis quatuor decocta, melle & oleo affuso, opus istud efficito. Aut thapsiæ radice quantum ad duas potiones satis sit, vino dulci cum aquæ duabus heminis macerata, tepidè colluito. Aut veratri quantum ad duas potiones satis sit, in vini dulcis heminis duabus diluito. Aut Thlaspios acetabulo vnà cum melle ammixto, ex aquæ heminis duabus diluito, tepido vtitor. Aut cucumeris agrestis palmi magnitudine, & cneori quantũ vnica potione satis sit, in aquæ heminis quinque decoctis, melle & oleo affuso colluito. Aut granis cnidiis circiter sexaginta, ex melle & oleo cum aqua dilutis, perluito. Si ex partu alui profluuio correpta fuerit, vuam passam nigram bibat, & mali punici dulcis interiorẽ partem, hœdiq; coagulum. Hæc vino nigro diluta, & caseo caprino polentaq; triticea cõspersa, potui exhibeto. Triticum autem leuiter torrefacito. At si ex partu sanguinẽ vomitione reddat, huic hepatis fistula vulnerata est. Hęc lac asininum bibat, deinde bubulum (quod facilè fit) per dies quadraginta, etiamq; sesamum, quoad bene habeat. Lac autem ieiuna bibat. Si ex partu sedis dolor adsit, iuniperi baccas & lini radicem decoquito, decoctum quatuor diebus bibendum dato. Lactucæ

ἐλλεβόρου μέλανος, ὅσον δύο πόσιας, διεὶς οἴνῳ γλυκεῖ καὶ ὕδατι κλύζειν. ἢ κόκκους κνιδίους ὅσον ἑξήκοντα τρίψας λείους, ἐπιχέας τε μέλι, καὶ ἔλαιον, καὶ ὕδωρ κλύσαι. κλυσμὸς κρατυντήριος, ἢν ἕλκη ἢ καθαρά. ὀλύνθους χειμερινοὺς τρίβειν, καὶ ἐπιχέειν ὕδωρ. βρέξαι δὲ ὅλην ἡμέραν, καὶ ἔλαιον ἐπιχέειν καὶ κλύσαι. ἢ σιδίοισι καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ μέλανι ἑψεῖν. ὅταν δὲ ἀκάθαρτα ᾖ, καὶ φέρηται, τρύγα καίειν οἴνῳ καὶ ὕδατι κλύζειν. ἢ σιδίῳ ῥόῳ βυρσοδεψικῇ μυρσίνης φύλλοισι καὶ βάτου, ἐν οἴνῳ μέλανι ἑψεῖν καὶ κλύζειν. [401] Κλύσματα πρὸς τὰ παλαιὰ ἕλκη. Χυλῷ κράμβης ἑψημένης κλύζειν. καὶ λινόζωστιν ὁμοίως. καὶ νίτρου τὸ ἐρυθρὸν παραμίσγειν ὀλίγον. σμύρνης ὀξύβαφον. λιβανωτόν. σέσελι. ἄννησον. σελίνου σπέρμα. νέτωπον. ῥητίνην. μέλι. χηνὸς στέαρ. ὄξος τὸ λευκόν. μύρον τὸ λευκὸν αἰγύπτιον. ταῦτα πάντα ὁμοῦ τρίβειν λεῖα. εἶτα οἴνῳ διεὶς λευκῷ κοτύλῃσι δυσὶ χλιηρῶς κλύζειν. ἢ λινόζωστιν ἑψεῖν ἐν ὕδατι καὶ ἀπηθεῖν, ἢ σμύρνης ὀξύβαφον. λιβανωτόν. σέσελι. νέτωπον. ἴσον ἑκάστου χλιηρῶς κλύζειν. ἢ ἐλελίσφακον, καὶ ὑπερικὸν, ἐν ὕδατι ἑψήσας, κλύζειν τῷ ὕδατι. ἢ ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑκατέρων ἐξ ἴσου ἑψεῖν ἐν οἴνῳ. εἶτα τῷ οἴνῳ κλύζειν. ἢ γλήχωνος τῷ ὕδατι κλύσαι, ἢ χηνὸς ἔλαιον ἐν ῥητίνῃ τήξας, ὁμοίως κέδρινον ἔλαιον παραχέας ὀλίγον, καὶ μέλιτι διατήξας, κλύζειν χλιηρῶς. ἢ ἀργύρου ἄνθος ἐν οἴνῳ καὶ μέλιτι καὶ κηρῷ τηκτόν. καὶ κύπειρον, καὶ σχοῖνον, καὶ κάλαμον, [402] ἅτινα δὴ καὶ ἐς μύρον μίσγεται. [403] καὶ ἶριν, βρύον, ἐν οἴνῳ ἑψεῖν, κλύζειν. ἢ σελίνου καρπὸν. ἄννησον. σέσελι. σμύρναν. μελάνθιον [404] ἐν οἴνῳ ἑψῆσαι. ἢ κέδρον κρητικὴν ἐν οἴνῳ ἑψεῖν. [405] καὶ κλύζειν ἐν ὕδατι. καὶ κισσὸν κρητικὸν ἐν ὕδατι. [406] ταῦτα δρᾷν εἰ ἕλκωσιν, καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύσαι. ἢ ἐλατηρίου ὅσον δύο πόσιας ἐν ὕδατι κλύσαι. ἢ κολοκυνθίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ ἐν γάλακτι ἑφθὰς, ἀποβρέξας ἐπὶ τέσσαρας κοτύλας, καὶ ἀπηθέειν, καὶ κλύζειν. ἢ σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλῃσι τέσσαρσι, μέλι τε καὶ ἔλαιον ἐπιχέαντα, [407] ἐνεργεῖν. [408] ἢ τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς σὺν ὕδατος κοτύλῃσι δύο, κλύσαι χλιηρῶς. ἢ ἐλλεβόρου ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς ὡσεὶ δύο κοτύλῃσι. ἢ θλάσπιος ὅσον ὀξύβαφον μέλιτι συμμίξας ὕδατι διεὶς ὅσον δύο κοτύλῃσι, χρῆσθαι χλιηρῷ. ἢ σικύης ὅσον παλαιστὴν. καὶ κνεώρου ὅσον μίαν πόσιν ἑψήσας ὕδατος κοτύλῃσι πέντε μέλι παραχέας καὶ ἔλαιον, κλύσαι. ἢ κόκκους κνιδίους ὅσον ἑξήκοντα εἰς μέλι, ἢ εἰς ἔλαιον σὺν ὕδατι διεὶς, κλύσαι. Ἢν ἐκ τόκου διαῤῥοίη ληφθῇ. Πινέτω ἀσταφίδα μέλαιναν. [409] καὶ σίδης γλυκείης ῥοιῆς, τὸ ἔσωθεν. καὶ πιτύην ἐρίφου, ταῦτα διεὶς οἴνῳ μέλανι. καὶ τυρὸν αἴγειον [410] καὶ ἄλφιτα πύρινα ἐπιπλάσσειν, καὶ δοῦναι πίνειν. τοὺς πυροὺς δὲ ἐπ' ὀλίγον φῶξαι. ἢν δὲ ἐκ τόκου αἷμα ἐμέῃ, ταύτῃ ἡ σῦριγξ τοῦ ἥπατος τέτρωται. πινέτω γάλα ὄνου. ἔπειτα βοὸς, [411] μέχρις τεσσαράκοντα ἡμέρας. καὶ σήσαμον τετριμμένον, ἄχρις ἂν εὖ ἔχῃ. πινέτω δὲ γάλα νῆστις. [412] ἢν ἐκ τόκου τὴν ἕδρην ἀλγέῃ, ἀρκεύθου καρπὸν, λίνου ῥίζαν ἑψεῖν, καὶ πίνειν ἡμέρας τέσσαρας. καὶ θριδα-

καὶ σπέρμα τρίψας σὺν χηνείῳ ἀλείφατι ἐσθιέτω. ἢν δὲ ἐκ τόκου αἱ μῆτραι φλεγμήνωσι, στρύχνου χυλὸν ἐγχέειν, ἢ τεύτλου, ἢ ῥάμνου. ἢν ἐκ τόκου δὲ σκέλος ὑπὸ ὑστερέων χωλωθῇ, ἀνίστασθαι δὲ μὴ δύνηται, πίνειν [413] ὑοσκυάμου καρπὸν, ὅσον κογχαμίδα ἐν οἴνῳ μέλανι ἡμέρας τρεῖς. παραφέρεται δὲ ὁ πίνων. λύσις γάλακτος ὀνείου πίσαι ὅσον κύλικα. ἔπειτα τοῦ φαρμάκου, ὑφ᾽ οὗ τὸ φλέγμα καθαίρεται. σανδαράκῃ δὲ καὶ κηρωτῇ, καὶ λαγωοῦ θριξὶ, θυμιήσθω τρεῖς ἡμέρας. περὶ φλεγμονῆς ἐκ τόκου. ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, στρύχνου χυλὸν ἐγχέαι, αἰδοίων ἔσω, [414] ἢ σελίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης [415] χυλὸν ἐκπιέσας αὐτόν. [416] ἢ ἀκτῆς τὸ μέσον καὶ ἁπαλώτατον περιξέσας μακρὸν, ἔνθες. [417] ἢ ἀψινθίου ἐν ὕδατι τρίβειν. εἰρίῳ δὲ ἀναποσπογγίσας. ἢν δὲ φρίξῃ, ἀφαιρέειν. ἢ κοτυληδόνος φύλλα, καὶ πράσα ἕψειν ἐν πυρῶν κριμνοῖσιν, ἔλαιον ἐπ᾽ αὐτοῖς χέας [418] δίδου. [419] χολῆς καθαρτικὰ ἐκ μήτρης. σικύης τῆς ἀγριωνίης λείην τρίψας, καὶ μέλιτι φυρήσας βάλανον ποιέων, προστίθει. φάρμακον δὲ χρὴ διδόναι, καὶ ἄνω καὶ κάτω καθαίρειν. καὶ λούειν τῷ θερμῷ. προστιθέναι δὲ ἄννησον, ἢ μελάνθιον, ἢ κολοκυνθίδος ἀγρίης τὸ ἔνδον λεῖον ποιέειν. καὶ μέλιτι φυρῶν. καὶ προστιθέναι ἐλατηρίου, ὅσον πόσιας τέσσαρας. ξυμμίξας στέαρ χήνειον, ἢ αἴγειον, [420] βάλανον ὑπομηκεστέρην προστιθέναι, ἢ νίτρον, καὶ κύμινον, καὶ σκόροδον, καὶ σῦκον, λεῖα πάντα ποιήσας, καὶ μέλιτι δεύσας, προστίθεσθαι. θερμῷ δὲ λουέσθω. καὶ ἀπὸ λουτροῦ πινέτω. ἢ θλάσπιν λείην ποιέων, καὶ μέλιτι φυρῶν προστιθέναι. ἢ σύκου παλαιοῦ τὸ πῖον ξύσας ξυμμίσγειν πόσιας ἐλατηρίου δύο, καὶ νίτρον ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας, προστίθει. ἢ πευκεδάνου ὁκόσον τρεῖς κυάθους, δίδου πίνειν. καὶ ἄννησον. καὶ μελάνθιον διεὶς ἐν οἴνῳ δίδου πίνειν [421] ἐλατηρίου πόσιας τέσσαρας, μίξας στέατι μηλείῳ. ἀφαιρομένη δὲ ἀπονιζέσθω ὕδατι εὐώδει, ἠρέμα στύφοντι. ἢ ἐλατηρίου πόσιας τρεῖς, ξὺν μηλείῳ στέατι, βάλανον περὶ πτερὸν ποιέειν. ἢν δὲ ἀφέληται, διανιζέσθω ὕδατι εὖ ἱκανῷ. [422] ἢ θλάσπιος ὅσον πόσιν ξὺν μέλιτι δίδου. κλυσμὸς ἢν χολώδης ᾖ. ἐλατηρίου ὅσον δύο πόσιας ὕδατι διεὶς ἐπιχέαι ἔλαιον ναρκίσσινον. καὶ κλύζειν χλιαρῷ. ἢ κολοκυνθίδας ἀγρίας δύο ἀποβρέξας [423] ἐν οἰνογάλακτι ἑφθῷ ὅσον τέσσαρας κοτύλας, τὴν μὲν μίαν ἀπηθέειν, καὶ ξυμμίσγειν ἔλαιον ναρκίσσινον, καὶ κλύζειν. [424] ἄλλος κλυσμὸς, χολώδης καὶ φλεγματώδης. σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι μίξας καὶ ἔλαιον ἄνθινον, κλύζειν. φλέγμα καὶ χολὴν καθαῖρον. κόκκους κνιδίους ἑξήκοντα, μέλι τε καὶ ἔλαιον ἄνθινον μίξας, κλύζειν ἐν ὕδατι. [425] ἢ κνήωρον ἑψήσας ἐν ὕδατι ποτῷ. ἐν πέντε κοτύλῃσιν ἀποχέας δύο κοτύλας, συμμίξαι μέλι καὶ ἔλαιον ἄνθινον σὺν ναρκισσίνῳ καὶ κλύσαι. κλυσμοὶ καθαρτήριοι. ὄλυνθοι χειμερινοὶ καυθέντες, καὶ βραχέντες ἐν ὕδατι. ἀποχύσαντα τὸ ὕδωρ, ἔλαιον ξυμμίσγειν, καὶ κλύζειν, καὶ μετακλύζειν σιδίοισι. κηκίδι. λωτοῦ πρίσμασι. ἐν οἴνῳ δὲ μέλανι χρὴ ἕψειν. ἢ τρύγα καίων, χρῆσθαι σὺν ὕδατι. μετακλύζειν δὲ τούτοισι, τοῖσι τῆς μυρσίνης φύλλοισι, καὶ ῥόου τῇ βυρσοδεψικῇ. ἕψειν δὲ οἴνῳ μέλανι

etiam semen cum anserino adipe tritum comedat. Si ex partu vteri inflãmationem conceperint, solani succum, aut betæ, aut rhamni per infusum immittito. Si ex partu crus claudum ab vteris redditum fuerit, neq; recta stare queat, hyoscyami semen conchæ maioris mensuram, ex vino nigro tribus diebus bibat. Leuem autem mentis emotionem, quæ ex eius potu cõtingit, soluit lactis asinini calix in potum exhibitus, deinde medicamentum ex quo pituita purgatur. Suffitus autem per triduum paretur ex sandaracha, cerato, & pilis leporis. De inflãmatione ex partu. Si ex partu vteri inflammationem cõceperint, solani succum intra pudẽda per infusum immittito, aut apij, aut rhamni, aut betæ, aut cucurbitæ succũ ipsum expressum. Aut sambuci partem mediam tenerrimam in longitudinẽ derasam, indito. Aut absinthium ex aqua tritum & lana exceptum, si verò inhorrescat, auferto. Aut vmbilici veneris folia, & porra, ex crassiore tritici farina decoquito, oleoq; insuper affuso exhibeto. Quæ bilem ex vtero purgant. Cucumeris agrestis partem internam læuiter tritam, melle subactã, & in glandem efformatam subdito. Medicamento autem exhibito sursum & deorsum purgare oportet, & calida lauare. Anisum verò & melanthium in subdititio apponito. Aut colocynthidos agrestis interiorem partem læuigatam & melle subactam, in pesso apponito. Elaterij quantũ ad quatuor potiones satis sit, adipe anserino aut caprillo admixto, in oblongiorem glandem efformatum supponito. Aut nitrum, cuminum, allium, ficum, omnia læuiter trita & melle subacta in subdititio apponito. Calida autẽ lauet, & à balneo bibat. Aut thlaspim læuiter tritã, melle subactam in pesso apponito. Aut veteris ficus abrasam pinguedinem, cum elaterio quantum ad duas potiones satis sit admisceto, & pari cum elaterio nitri portione, melle subactum in subdititio apponito. Aut peucedanum ad tres cyathos potui exhibeto. Et anisum & melanthium vino macerata bibenda dato. Aut elaterium quãtum ad potiones quatuor satis sit, ouillo adipe ammixto sibi supponat, qđ vbi detraxerit, aqua odorata eluatur, quæ leuiter adstringat. Aut elaterium quãtum ad tres potiones satis sit, cum adipe ouillo, circum pennam in glandẽ componito, eaq; detracta aqua sufficiẽti eluatur. Aut thlaspis quantum potione datur, cũ melle exhibeto. Collutio si biliosa fuerit. Elaterio quantum ad duas potiones satis sit aqua macerato, oleũ narcissinum affundito, & tepido colluito. Aut colocynthidas agrestes duas vbi œnogalacte cocto ad quatuor circiter heminas maceraueris, vnam quidem percolato, & ammixto oleo narcissino colluito. Alia collutio biliosa & pituitosa. Cucumeris interiore parte palmi magnitudine aquæ potabilis quatuor heminis decocta, melle & oleo anthino ammixto, ex ea colluito. Pituitã & bilem purgans. Grana cnidia sexaginta in aqua decoquito, melle & oleo anthino admixto, ex ea colluito. Aut cnestro in quinque aquæ potabilis heminis decocto, duabus percolatis, melle & oleo anthino cũ narcissino ammixto, colluito. Collutiones purgantes. Grossis hybernis vstis & aqua maceratis, ad aquã excolatam oleo ammixto colluito. Postea malicorio, galla, loti ramẽtis perluito, quæ in vino nigro decoquere oportet. Aut vini fæce vsta & aqua vtitor. Deinde his colluito, myrti foliis, & rhoë coriaria in vino nigro odo-

rato decoctis. Postea etiam lētisci foliis, hyperico, saluia, in vino nigro odorato decoctis colluito. Aut brassicam aqua decoquito, in eaque mercurialem, & nitri rubri exiguū decoquito, ex aqua perluito. Elaterium quantū ad vnam potionem sit satis, cum oleo narcissino aut anthino tepidū per infusum immittito. Quòd si biliosa fuerit, colocynthidas duas in lactis asinini decocti quatuor heminis macerato, deinde oleo narcissino & anthino ammixto colluito. Aut cucumeris agrestis interiorem partem palmi magnitudine, aquę potabilis heminis quatuor decoquito, mel & oleum anethinum affundito. Hęc collutio pituitosæ & biliosæ contulerit. Collutio pituitam detrahens. Granum cnidium cum mādragoræ decocto terito, ex eo enim copiosa & varia fit purgatio. Allij caput vnicū, nitrum, ficus interiorem partem pinguem, hæc æquis portionibus læuiter trita, in glandem gallæ magnitudine efformata, supponito. Aut cumini folia ex vino trita in vellere subdito. Aut terræ albę quantum ad vnam potionem satis sit. Aut radicem albam læuiter tritam, & melle affuso feruefactam, in glandemq; efformatam supponito. Aut laseris succo ficus emollitas, & in glandem efformatas. Profuerit etiam cucumeris agrestis semen eodem modo tritum. Aut fel tauri, nitrum rubrum, netopum, cyclaminum, horum gallæ magnitudinem, cyclamini verò maiorem portionē, hæc melle ammixto quæ curatur sibi supponat. Subdititium cyclamini caput purgatum ex aqua terito, tenui lanugine exceptū subdito. Aut myrrham, salem, cuminum, fel tauri cum melle eodem modo. Aut grana tria decorticata Indici medicamenti oculorum, quod piper vocatur, & rotūdi tria, hæc læuiter trita, & vino veteri tepido diluta, circum volucris pennam in glandis formam obducito, huncq; in modum intromittito. Aut tithymalli succum melle subactū. Aut scillæ radicem longitudine sex digitorum, duorum digitorum crassitudine, lana conuolutam subdito. Aut ipsam scillam sine radice tritam, eodemq; modo lana conuoluito, deinde supponito. Collutio vbi mulier pituitosa fuerit. Veratrum quantum ad duas potiones satis sit, vini albi duabus heminis dissoluito, & permixto colluito. Si purgatione opus habere videatur, porrū incoquere oportet, aut sambuci fructū, aut anisum, thus, myrrham, vinum. His omnibus tritis, ex eorum decocto colluito. Aut brassica in aqua decocta, in eius decocto mercurialē incoquito, & pauco percolato eluito. Aut cnestri quātum ad vnam potionem satis sit, melle dissolutum immittito. Spectandi autem menses sunt, nū biliosi, aut pituitosi fuerint. Aut arenam, tenuem, siccam, loco soli exposito substernito, & vbi menses defluent, sanguinem affundito, & resiccari sinito. Et si quidem biliosi fuerint, sanguis in arena siccatus pallidus redditur, sin pituitosi, velut mucosa conspiciuntur. Si igitur pituitosi fuerint, cnestrum quantum ad potionem vnam satis sit, aquæ mulsæ hemina dissoluito, ex eo colluito. Hoc emolliens medicamentum purgat, aquam & pelliculas educit, & subcruentam saniem. Menses etiam detrahit, nisi diuturniores fuerint, & vterorum osculum emollit. Vnguentum narcissinum, cuminum esculentum, absinthium, cyperum, vnguentum rosaceum, polentam,

εὐώδει. [426] μετακλύζειν δὲ σχοίνου φύλλα, καὶ ὑπερικὸν, καὶ ἐλελίσφακον ἑψήσαντα, σὺν οἴνῳ μέλανι εὐώδει, ἢ κράμβης ὕδατι, καὶ ἐν τούτῳ ἑψεῖν, λινόζωστιν νίτρου ἐρυθροῦ ὀλίγον. καὶ κλύζειν. [427] ἐλατηρίου ὅσον πόσις, σὺν ναρκισσίνῳ ἐλαίῳ, ἢ ἀνθίνῳ, καὶ κλύσαι χλιαρῷ. ἢν δὲ χολώδης ᾖ, κολοκυνθίδας δύο ἀποβρέξαι ἐν γάλακτι ὀνείῳ ἑφθῷ ὅσον τέσσαρσι κοτύλῃσι. [428] καὶ ἀποβρέξαντα κλύσαι. ξυμμίξαι τε ἔλαιον ναρκίσσινον, ἢ ἄνθινον, ἢ τὸ διὰ τῆς σικύης ἐντεριώνης ὅσον παλαιστὴν, ἑψεῖν ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι παραχέαι. καὶ ἔλαιον ἄνθινον. οὗτος ὁ κλυσμὸς φλεγματώδει καὶ χολώδει ξυμφέρει. κλύσμα ἕλκον φλέγμα. [429] Κόκκον τρίβειν τὸν μανδραγόρου ξὺν ὕδατι. κάθαρσις γὰρ παμπόλλη τε καὶ πλουτοίη ὑπὸ τούτου γίγνεται. [430] σκορόδου μώλυζαν. νίτρον. σύκου δὲ ἔνδον τὸ πῖον. ἴσον ἑκάτερα λεῖα ὁκόσον κηκίδα ποιέειν τὸ μέγεθος, καὶ προστιθέναι. ἢ κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, εἰρίῳ προσθέσθαι. [431] ἢ γῆς λευκῆς ὅσον πόσιν. [432] ἢ λευκὴν ῥίζαν τρίβειν λείην, καὶ μέλι ἐπιχέας, καὶ ἀναζέσας, βάλανόν τε ποιήσας προστιθέναι. ἢ ὀπὸν σιλφίου μετὰ σύκων μαλθάσσειν. καὶ βάλανον ποιέειν. ἀγαθὸν δὲ καὶ σικύης σπέρμα, τρίβειν ὁμοίως. ἢ χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν. καὶ νέτωπον, κυκλάμινον. τούτων ὅσον κηκίδα. τῆς δὲ κυκλαμίνου πλείονα μοῖραν μέλιτι ξυμμίξασα ἡ θεραπευομένη, προστιθέσθω. προσθετόν. [433] κυκλαμίνου τὴν κεφαλὴν καθαίρειν ὕδατι τρίψας. καὶ εἰς ἄχνην ἀναφορύξαντα προστιθέναι. ἢ σμύρναν, ἅλας, κύμινον. χολὴν ταύρου ξὺν μέλιτι ὁμοίως. [434] ἢ κόκκους ἐκλέψαι ὅσον τρεῖς ἰνδικοῦ φαρμάκου, τοῦ τῶν ὀφθαλμῶν, ὃ καλέεται πέπερι. καὶ τοῦ στρογγύλου τρία. ταῦτα δὲ λεῖα τρίβειν, καὶ οἴνῳ παλαιῷ χλιαρῷ διεὶς. βαλάνιον περὶ πτερὸν ὄρνιθος τρίψαι. καὶ ὧδε προσάγειν, ἢ τιθυμάλλου ὀπὸν μέλιτι ἀναδεύσας, ἢ σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον, ἑλίξας τοὺς δύο δακτύλους ἐν εἰρίῳ προσθέσθαι. ἢ αὐτὴν τὴν σκίλλαν ἄνευ ῥίζης τρίβειν, καὶ ὡσαύτως ἑλίσσειν εἰρίῳ. εἶτα προστιθέναι. κλυσμὸς ἢν φλεγματώδης γυνὴ ᾖ. ἐλλεβόρου δύο πόσιας, ἐν οἴνῳ διιέναι γλυκεῖ, ὅσον δύο κοτύλας. καὶ κλύζειν μίσγοντα. ἢν καθάρσιος δέηται, [435] πράσα δεῖ ἑψεῖν, ἢ ἀκτῆς καρπὸν, ἢ ἄννησον. λιβανωτόν. σμύρναν. οἶνον. ταῦτα πάντα τρίβειν, καὶ τῷ χυλῷ τουτέων κλύζειν. ἢ κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ ταύτης ἑψεῖν τὴν λινόζωστιν καὶ [436] σμικρὸν ἀποχέας, ἀποκλύζειν. ἢ κνήστρου πόσιν, ἐν μέλιτι διεὶς, ἐνιέναι. σκέπτεσθαι δὲ χρὴ τὰ ἐπιμήνια, ἤν τε χολώδεα ἤν τε φλεγματώδεα ᾖ. ἢ ψάμμον ἐς τὸν ἥλιον ὑποθεῖναι λεπτὴν, ξηρήν. καὶ ὅταν τὰ καταμήνια ἴῃ, τοῦ αἵματος ἐπιχέαι, καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδεα ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίγνεται. ἢν δὲ φλεγματώδεα, οἷον μύξαι ὁρῶνται. ἢν οὖν φλεγματώδεα ᾖ, [437] κνήστρου ὅσον πόσιν διιέναι, καὶ σὺν μελικρήτου κοτύλῃ κλύσαι. καθαρτικὸν μαλθακόν. [438] ὕδωρ ἄγει, δέρματα. καὶ ἰχῶρα ὕφαιμον. καὶ καταμήνια κατασπᾷ ἢν καὶ μὴ πολυχρόνια ᾖ. καὶ ὑστέρων στόμα μαλθάσσει. μύρον ναρκίσσινον καὶ κύμινον ὃ ἐσθίεται. σμύρναν τε καὶ λιβανωτόν. [439] ἀψίνθιον κύπειρον. ῥόδινον ἄλφιτα. [440] ἢ ταῦτα

ταῦτα

τούτων δὲ ἴσον τῶν ἄλλων ἑκάστου, τοῦ δὲ ναρκισσίνου τέσσαρας
μερίδας, ἐπὶ κτένιον ὠμοῦ λίνου ξυμμίξας, πάντα τρί-
ψον. καὶ ποίησον βάλανον περὶ πτερόν, ῥάκος λεπτὸν περι-
θεὶς, καταδήσας. καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον,
καὶ προστιθέναι, καὶ ἐᾶν ὅλην τὴν ἡμέρην. λουσαμένη δὲ καὶ
ἀφαιρευμένη, διανιζέσθω τῷ ὕδατι τῷ εὐώδει. ἕτερον
καθαρτικόν. ὕδωρ ἄγει, καὶ δέρματα. καὶ μύξας. καὶ ἰχῶρα
ὕφαιμον. Σμύρναν. ἅλας. κύμινον. χολὴν ταύρου. ταῦτα
συμμίξας, καὶ μέλιτι φυρήσας, καὶ ἐς ῥάκος ἐνθεὶς, προσ-
θεῖναι. ἡμέρην δὲ ὅλην ἐντίθεσθαι. εἶτα λουσαμένη καὶ ἀ- 10
φελομένη, διανιζέσθω ὕδατι τῷ εὐώδει. ἄλλο. Ἅλες. κύ-
μινον. χολὴν ταύρου, μέλιτι ἀναφυρέειν, καὶ προστίθεσθαι.
καὶ σίλφιον τῷ σύκῳ μίξαι, καὶ προστίθεσθαι, εἶτα ἀλεί-
ψαι μύρῳ ῥοδίνῳ. ἢ κόκκους κνιδίους ἐκλέψαντα, [441] πόσιν τρί-
ψαντα, καὶ βάλανον ποιέειν. ἢ σκόροδον. καὶ νίτρον ἐρυθρὸν
καὶ σῦκον. τούτων ἑκάστου ἴσον μίξας μέλιτι, δοῦναι προσ-
τίθεσθαι. καὶ ἐπὴν ἀφέλῃ, ἐλάφου στέαρ προστίθεσθαι,
τήξας ἐν οἴνῳ. ἢ πεπέρεως κόκκους πέντε, σὺν ἐλατηρίῳ
ὀλίγῳ. ἐνστάζων δὲ γυναικὸς γάλα, ἐν εἰρίῳ, [442] ἐς μύ-
ρον ἀποβάψας. προστιθέναι δὲ καὶ ἀφελεῖν ὡσαύτως. ἢ σύ- 20
κου δὲ πιότατον ξὺν ἐλατηρίου πόσει. καὶ νίτρου ἐρυθροῦ δὲ
ἴσον. καὶ μέλιτος ἴσον ὡσαύτως. ἢ χολὴν ταύρου, καὶ νίτρον ἐρυ-
θρόν. νέτωπον. κυκλάμινον ἴσον ὡσαύτως. [443] κηκίδα ἐν
μέλιτι. ἢ χολὴν ταύρου, ἐς αἰγύπτιον ἔλαιον βάψασα,
προστιθέσθω καὶ ἀφαιρουμένη ῥοδίνῳ. ἢ σικύης τῆς μακρῆς τὴν
ἐντεριώνην, τὸ σπέρμα ἐξελὼν σὺν γάλακτι γυναικὸς κου-
ροτρόφου, [444] καὶ σμύρναν ἄκρητον, καὶ μέλι ὀλίγον, καὶ μύρον
αἰγύπτιον, τρίβειν καὶ προστιθέναι. ἢ τῆς ἐντεριώνης σικύης
αὐῆναι. κόψαι δὲ ἄνευ τοῦ σπέρματος, καὶ μέλι ἐμβαλεῖν, καὶ ἀ-
ναζέσαι. καὶ βάλανον ποιέειν ὑπομήκεα, καὶ βάπτειν ἐς ἔλαιον 30
λευκόν. ἢ τὴν ἀγρίην κολοκύντην ὡσαύτως. [445] καὶ ἐλατηρίου
τρεῖς πόσιας ἐν σταιτὶ τρίβειν, καὶ βάλανον ποιέειν. [446] ἄλλο ὁ-
μοίως. κόκκους ἐκλέψας τρεῖς, [447] τοῦ ὅσον πόσιν ἑψήσας, καὶ μέ-
λι περιχέαι καὶ προσθέσθαι. [448] ἢ ῥόδινον ἄλειφα. ὅσαι δὲ βάλα-
νον προστίθενται ἐμπήξαντα χρὴ περιτιθέναι ἐς τὴν βάλανον,
ἔπειτα ῥάκος περιθεῖναι λεπτὸν ἐν εἰρίῳ βάψασα ἄλειφα
αἰγύπτιον προστίθεσθαι. ἄγει δὲ μάλιστα [449] καὶ δέρματα ἀφαι-
ρεῦνται. προσθετὰ καθαρτικὰ ἰσχυρά, [450] ὕδωρ ἄγειν δυνά-
μενα, καὶ μύξας, καὶ δέρματα μᾶλλον τῶν πρόσθεν. τοῦ πεπέ-
ρεος κόκκους τέσσαρας τῶν μεγίστων, ἢ καὶ τῶν μικρῶν εἰ δέοι, ἐ- 40
λατηρίου πόσει συμμίξας, τρίβε λεῖα, ἐνστάζων γυναι-
κὸς γάλα, καὶ μέλι ὀλίγον ἀναφυρήσας, τοῦτο ἐς εἴριον μαλ-
θακὸν καθαρὸν περὶ πτερὸν περιελίξας ῥάκεα, καὶ κατα-
λαβὼν προστιθέναι ἐς λευκὸν ἄλειφα αἰγύπτιον βά-
πτων. προσκείσθω δὲ ἡμέρην. καὶ ἐπὴν ἀφέληται, προσ-
τιθέσθω δὲ στέαρ τοῦ ἐλάφου. [451] προσθετὰ καθαρτικὰ, ἢν
μὴ ποτὰ καθαίρῃ. λινόζωστιν τρίψας καὶ σμύρναν προστι-
θέναι. προσθετὰ ὁμοίως καθαρτικὰ, χορία δυνάμενα
ἐκβάλλειν, καὶ καταμήνια κατασπᾶν, καὶ ἔμβρυον ἀποπλη-
κτον ὑπεξαγαγεῖν. [452] κανθαρίδας πέντε, ἀποτίλας καὶ τὰ 50
πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλήν. εἶτα τρίβολον τὸν θαλάσσιον κόψας τῇσι ῥίζῃσι, καὶ τοῖσι φύλλοισι

horum cuiusque pares portiones, narcissini verò quadruplum. Hæc omnia terito admixta tenui lini crudi lanugine, quæ pectini adhæreſcit, & tenui linteo circum pennam inuoluto, deligato, in glãdem effingito, & in oleum album Ægyptium intinctum ſupponito, & tota die ſinito. Vbi verò lauerit & detraxerit, aqua grati odoris perluatur. Aliud purgans medicamẽtum, aquam educit, & pelliculas, mucos, & ſubcruentam ſaniem. Myrrham, ſalem, cuminũ, fel tauri, hæc ſimul mixta & melle ſubacta, tenui linteo impoſita, ſubiicito, totumque diem intus ſinito, deinde vbi lauerit, eo ablato aqua odorata perluatur. Aliud. Salem, cuminum, fel tauri melle ſubigito & ſubiicito. Et ſilphium cum ficu miſceto & ſupponito, deinde vnguento roſaceo perfundito. Aut grana cnidia cortice purgata, & quantum vna potione ſatis ſit trita, in glandem fingito. Aut allium, nitrum rubrum & ficum, cuiuſq; pares portiones, melle admixto in peſſo ſubiicienda dato. Et vbi detraxerit, ceruinum adipem vino liquatum ſupponito. Aut piperis grana quinque, cum pauco elaterio, muliebri lacte paulatim inſtillato, in vellere vnguento intincto ſubiicito, eodemq; modo detrahito. Aut quod in ficu eſt pinguiſſimũ, & elaterium ad potionem vnam, & nitri rubri cum melle ęqualẽ portionem, ad eundem modum. Aut fel tauri, nitrum rubrum, netopũ, cyclaminum, æqualibus portionibus, ex melle velut gallæ magnitudinem fingito. Aut fel tauri oleo Ægyptio intinctũ ſupponat, quo detracto, roſaceo illinatur. Aut cucumeris agreſtis longi exempto ſemine interiorem partem, ex lacte mulieris maſculum alentis, & myrrham puram, mellis exiguum, & vnguentum Ægyptium, terito & ſupponito. Aut cucumeris agreſtis partem interiorem deſiccatam, abſque ſemine contundito, & iniecto melle decoquito, & glandem oblongam effingito, oleoq; albo intingito. Aut cucurbitam agreſtem ad eundem modum. & elaterij quantum ad tres potiones ſatis ſit, cum farina aqua ſubacta terito, & in glandem efformato. Aliud ſimiliter. Tria grana cnidia detracto cortice ad potionem vnam, decocta affuſo melle ſupponito, aut vnguento roſaceo perfundito. Quæcunque autem ſibi glandem ſupponunt, cùm priùs omnia in glandem coacta fuerint, deinde tenue linteum lanæ obducere oportet, & vnguento Ægyptio glandem intinctã ſubdere. Hæc autem præcipuè pelliculas educunt & auferunt. Medicamenta ſubdititia vehementer purgantia, quæ magis quàm ſuperiora aquas, mucoſa, & pelliculas educere queunt. Piperis grana maiuſcula quatuor, aut parua, ſi opus videatur, ad elaterij potionem admixta, læuiter terito, & lacte muliebri inſtillato, cum pauco melle ſubactum, id ex lana molli pura circum pennam linteo tenui conuolutum, vnguento albo Ægyptio intinctum ſupponito. Per diem autem adhæreat, deinde vbi detractum fuerit, ceruinum adipem ſubdat. Subditìtia medicamenta purgantia, ſi potiones non purgent. Mercurialem cum myrrha tritam in peſſo ſupponito. Medicamenta ſubditìtia quæ ſimiliter purgãt, ſecundas eiicere valent, mẽſes detrahere, & fœtum ſyderatũ foras propellere. Cãtharidas quinq; alis auulſis, cruribus & capite, deinde tribulum iuxta mare naſcẽtem, cum radicibus & foliis tundito,

& enanthemi viridis interiorem partem, cùm pari seminis apij mole terito, additis sepiæ ouis quindecim, ex vino dulci dilutis. In aqua calida desideat, & aquã mulsam aquosam bibat, vinumq; dulce. Et intriti stateris Æginensis pondus ex vino dulci bibat. Vbi verò dolor detinuerit, cicerum alborum, & passularum ex aqua decoctum, refrigeratum propinato. Cùm stranguria prehenderit, in aqua calida desideat, & vinum dulce bibat. Quod in omni morbo aperire & purgare potens est. Myrrha modica, saluia & aniso contritis vtitor. Purgans medicamentum quod infœcundã purgare valet. Si vteri osculum rectè habuerit, fotum ex stercore bubulo sicco, tuso & excusso ad quatuor chœnicas exhibeto. Aceti autem heminas decem addito, & vrinæ bubulæ tantundem, & marinæ salsuginis heminas viginti. Hoc diutiùs leniter foueto. Deinde vbi elota fuerit, ex lenticulę decocto epoto, & melle cum aceto mixto ebibito, vomat. Et pro sorbitione farinam exhibendo, vinumq; vetus sereno cœlo per noctem expositum insuper bibendum. Cibo verò eo die abstineat. Postero autem die granum cnidium deuorãdum exhibeto, & tertio die medicamentũ quod vrinam ciet, passulas & cicera alba ad duas chœnices, affusis aquæ tribus semicongiis. Deinde percolatum sereno cœlo per noctem exponito, & postero die bibendum dato. Quinetiam subdititiis medicamentis vtitor. Medicamẽtum quod infusum menses purgat. Stercus bubulum in conchæ maioris formam effingito, cupressi ramenta subigito & commisceto, in sole siccato, in id suffimenta iniicito. Ad similem affectionem. Si menses non eunt, spinæ albæ contrita folia & percolata, ac tepida infundito. Linimentum purgans, quod vteros expurgare potest. Porri & cardamomi semen tritum, vino & lacte cocto maceratum, imo ventri illinito. Emolliens linimẽtum. Aquam autem, mucos & pelliculas educit, & puerperij purgamenta deturbat, nec exulcerat. Myrrhæ optimæ partem dimidiam, & salis granum similiter, & picem aromatibus condîtam, hæc læuiter contusa commisceto. Sit autem ad salem & picem dimidia. Hanc contusam in tenue linteum ad gallæ magnæ quantitatem iniicito. Sint autem duo lintea, vti vnum interdiu, alterum noctu contineat, quoad colliquescat. Calida autem lauetur, deinde vbi detraxerit, perluatur aqua odorata. Medicamentum infœcundam purgans, si os bene habeat. Si infœcundam cures, stercus bubulum sole exiccatum, & excussum ad quatuor chœnicas Atticas, adiectis aceti heminis decem, erui farinę chœnice, & aquæ marinæ heminis viginti, hæc tepida diu in fotu adhibeto, deinde lẽticulæ decocto propinato, & melle ac aceto admixto vomat, farinã sorbitione sumat, & vinum odoratum insuper bibat. Cibo autem eo die abstineat, postero autem die grana cnidia deuoranda dato, tertio verò die medicamentum vrinam ciens. Si verò voles, vinum album & cicera alba ad duas chœnices, affusis tribus aquæ semicongiis. Ex eo detracto dimidio, reliquum cœlo sereno noctu exponendum, & sequenti die paulatim bibendum, & subdititiis medicamentis vtendum. Si voles vt mulier concipiat, ipsam & vteros purgato, deinde ieiunæ farinam eden-

καὶ τὸ χλωρὸν τὸ ἔξω τρίψας ἴσον ὄγκον καὶ σελίνου σπέρματος, καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ. καὶ [453] ἐν ὕδατι θερμῷ καθιζέσθω. καὶ μελίκρητον ὑδαρὲς πινέτω, καὶ οἶνον γλυκύν. [454] καὶ τοῦ τετριμμένου, ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πίνειν. ἐπὴν δὲ ὀδύνην ἔχῃ, λευκοὺς ἐρεβίνθους, καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι, καὶ ψύξας, διδόναι πίνειν. ὅταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιαρῷ καθιζέσθω, καὶ οἶνον πινέτω γλυκύν. [455] Πάσης νούσου δυνάμενον καὶ ἀναστομῶσαι καὶ καθῆραι. σμύρναι ὀλίγην. καὶ ἐλελίσφακον. καὶ ἄννησον τρίψας, χρῶ. [456] καθαρτικὸν δυνάμενον ἄτοκον καθῆραι. [457] ἢν τὸ στόμα τῶν μητρῶν ὀρθῶς ἔχῃ, πυρίην βόλβιτον ξηρὸν κόψας, καὶ διασήσας τέσσαρας χοίνικας. ὄξεος δὲ κοτύλας δέκα. καὶ οὔρου βοείου ἕτερον τοσοῦτον. καὶ θαλάσσης ἅλμης κοτύλας εἴκοσι. [458] πυρίην δὲ βληχροῖσι πουλὺν χρόνον. εἶτα λουσαμένη φάκιον πιοῦσα, καὶ μέλι καὶ ὄξος μεμιγμένον πιοῦσα, ἐμεσάτω, καὶ ῥοφέειν ἄλευρον, διδόναι καὶ ἐπιπίνειν οἶνον εὐώδεα παλαιὸν ἐξηθριασμένον. σίτου δὲ μὴ γευέσθω τῇ τοιαύτῃ ἡμέρῃ. τῇ δὲ δευτέρῃ, κόκκον διδόναι καταπότον. τῇ δὲ τρίτῃ, διδόναι διουρητικόν, ἀσταφίδας καὶ ἐρεβίνθους λευκούς, [459] δύο χοίνικας, καὶ ἐπιχέαι ὕδατος τρία ἡμιχόεα. ἔπειτα ἀποχέας, πρὸς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν. καὶ τοῖσι προσθέτοισι χρέεσθαι. [460] ἔγχυτον καθαρτικὸν καταμηνίων. [461] βόλβιτον πλάσαι ὅσον σκαφίδα. φυρῆν δὲ, καὶ ξυμμίσγειν τοῦ κυπαρίσσου τὰ πρίσματα. ξηραίνειν δὲ ἐν τῷ ἡλίῳ, καὶ ἐς τοῦτο τὰ θυμιήματα ἐμβάλλειν. εἰς ὅμοιον πάθος. [462] ἢν τὰ καταμήνια μὴ ἴῃ, ἀκάνθης λευκῆς τὰ φύλλα τρίψας, καὶ ἐξηθήσας, καὶ ἐπιχλιήνας ἐγχέειν. κατάχριστον καθαρτικὸν ὥστε μήτρας καθαίρειν. πράσου σπέρμα καὶ καρδαμώμου τρίψας, ἐν οἴνῳ τε διεὶς καὶ γάλακτι ἑφθῷ, διαχρίειν τὴν νειαίρην γαστέρα. [463] κατάχριστον μαλθακτήριον. ὕδωρ δὲ ἄγει καὶ μύξας καὶ δέρματα. καὶ λοχεῖα φέρει, καὶ οὐχ ἑλκοῖ. σμύρνης ὡς ἀρίστης ἥμισυ. καὶ ἁλὸς χόνδρον ὁμοίως, πίσσαν ἡδυντὴν φλάσας, μίξας τε λεῖα. ἔστω δὲ τὸ τῆς σμύρνης τὸ ἥμισυ τοῦ ἁλὸς, καὶ τῆς πίσσης ἐμβάλλειν ἐς ῥάκος τῆς πεφλασμένης, μέγεθος ὅσον κηκίδα μεγάλην. δύο δὲ ἔστω. ὡς τὸ μὲν ἡμέρας ἔχειν, τὸ δὲ εὐφρόνης ἔστ᾽ ἂν καταταχῇ. λουέσθω δὲ θερμῷ. εἶτα ἀφαιρέουσα, διανιζέσθω ὕδατι εὐώδει. [464] καθαρτικὸν ἄτοκον καθῆραι, ἢν τὸ στόμα ὀρθῶς ἔχῃ. ἢν ἄτοκον θεραπεύῃς, βόλβιτον αὖον ἡλίου, διασήσας ὅσον τέσσαρας χοίνικας ἀττικάς. ὄξεος δὲ κοτύλας δέκα. καὶ ὀροβίου χοίνικα. καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆσαι ἀλέα πουλὺν χρόνον. [465] ἔπειτα φάκιον πιπίσαι. καὶ μέλι καὶ ὄξος μίξαι, καὶ ἐμεέτω. καὶ ῥοφεέτω ἄλητον. καὶ ἐπιπινέτω οἶνον εὐώδεα. σίτου δὲ μὴ ἁπτέσθω ταύτῃ τῇ ἡμέρῃ. τῇ δὲ ὑστεραίῃ, κόκκον διδόναι καταπότον. τῇ δὲ τρίτῃ διουρητικόν. ἐὰν δὲ βούλῃ, λευκὴν ἀσταφίδα καὶ ἐρεβίνθους λευκοὺς δύο χοίνικας, ἐπιχέας ὕδατος τρία ἡμιχόεα. ἀφελεῖν δὲ τὸ ἥμισυ. εἶτα ἐς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν ἐκ τούτου κατ᾽ ὀλίγον, καὶ τοῖσι προσθέτοισι χρέεσθαι. [466] ἢν βούλῃ γυναῖκα κυῆσαι, καθῆραι αὐτὴν καὶ τὰς μήτρας. [467] ἔπειτα δίδου ἄλητον ἑφθὸν πι-

στι

τι, καὶ οἶνον ἐπιπίνειν ἄκρητον. καὶ προστιθέναι νίτρον ἐρυθρόν. καὶ κύμινον. καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ προσθέτως. καὶ ὅταν τὸ ὕδωρ ἀπορρυῇ, τοὺς μέλανας πεσσοὺς, προστιθέσθω μαλθακτήριον. καὶ τῷ ἀνδρὶ συνευνάσθω. [468] ἢν δὲ τὸ στόμα μεμύκῃ, προστιθέσθω καὶ ὀπὸν συκῆς, μέχρι ἐὰν ἀναστομωθῇ. καὶ ὕδατι αὐτίκα ἀπονίζεσθαι. ἴρηκος δὲ ἄφοδον τρίβειν ἐν οἴνῳ γλυκεῖ, καὶ πίνειν νῆστιν. καὶ τηνικαῦτα συνευναζέσθω τῷ ἀνδρί. ἢ ὁκόταν τὰ καταμήνια παύηται, χηνὸς ἢ ἀλώπεκος ἄφοδον ἐν ῥοδίνῳ μύρῳ τρίβειν. καὶ τὸ αἰδοῖον χρίεσθαι καὶ συνευνάζεσθαι. ἢν ἕλκεα ᾖ δριμέα, καὶ ἢν φλεγμαίνῃ, χρῶ τῷδε κλύσματι. χηνὸς ἔλαιον. καὶ ῥητίνην μίσγε. καὶ διεὶς ὕδατι χλιαρῷ, κλύσαι. ἢ μέλιτι βούτυρον μίξας, τῆξαι καὶ κλύσαι. ἢ ἐχεβρώσιος ξύσαι, ὅσον σκαφίδα μικρὴν, καὶ σμύρνην, καὶ μέλιτος ὁμοίως. ταῦτα διεῖναι ἐν οἴνῳ μέλανι εὐώδει, καὶ κλύζειν χλιαρῷ. [469] ἢν ἑλκωθῇ ἢ φλυκταινῶν ἀνάπλεα ᾖ ἐν τῇ καθάρσει ἄκρα τὰ χείλεα. σάρκα βοὸς, ἢ πικέριον, ἢ χήνειον ἄλειφα. καὶ ἄννησον. ἢ κόκκον, ἢ σποδὸν κυπρίην, τρίψαι ταῦτα πάντα. καὶ περιαλεῖψαι τὴν σάρκα. καὶ προστίθεσθαι. ἢν ἕλκεα φύηται καὶ ὀδαξᾶται. βοὸς σάρκα, στέαρ ἐπαλείφειν. καὶ τὴν σάρκα προστιθέναι. καὶ ἐγκλύζειν ἢν ῥυπαρὰ ᾖ, [470] καὶ πυρίην συκῆς ἀπὸ ῥίζης. καὶ μετέπειτα καὶ πίους, ἐν γλυκεῖ πινέτω. [471] ἢν ἐν τοῖσιν αἰδοίοισι τὰ ἕλκεα φύηται. βόειον στέαρ ἐπαλείφειν καὶ μυρσίνην ἐν οἴνῳ καθεψῶν, διακλυζέτω τῷ οἴνῳ, ἢ ἐλαίας φύλλα, καὶ βάτου καὶ ῥοιῆς, καὶ ὁ οἶνος ἤτω πράμνιος. ταῦτα δὲ οὕτως ποιέειν, καὶ περσέης φύλλα τοῦ δένδρου δηλαδὴ, λεῖα τρίψαι, καὶ πρὸς τὰ αἰδοῖα τιθέναι, ἢ ἀνήθου καρπὸν καὶ σελίνου τρίψας, ἐπίχριε. ἢν ἀφθήσῃ τὰ αἰδοῖα πῶς δεῖ ἰᾶσθαι. σάρκα βοὸς ὡσεὶ δύο παλαιστῶν τὸ μῆκος, [472] πάχος δὲ ὡσεὶ στελαιὸς προστιθέσθω μέχρις ἑσπέρης. τὴν δὲ νύκτα αἴρειν. τῇ δὲ ὑστεραίῃ πάλιν προστίθεσθαι μέχρι μεσημβρίης. καὶ ἐπιπινέτω οἶνον γλυκὺν, μέλιτι τὸν οἶνον ξυμμίσγουσα. κλύσμα ἢν ἡλκωμέναι ἔωσιν αἱ μῆτραι, καὶ ἢν στραγγουρίη ἐπιλάβῃ. [473] πράσα. ἀκτῆς καρπόν. σέσελι. ἄννησον. λιβανωτόν. σμύρναν. καὶ οἶνον ἴσον τῷ χυλῷ τούτων, μίξας ταῦτα καὶ ἀναζέσας, ψύχειν, καὶ μετρίως κλύζειν. ἢ μέλι. βούτυρον. [474] μυελόν. καὶ κηρὸν ἐνιέναι καὶ χρῖεσθαι. Ἃ ὅσα ἐν αἰδοίῳ ἕλκεα ἔνι καὶ φύεται. [475] φύλλα ἐλαίης, καὶ βάτου καὶ κισσοῦ, καὶ ῥοιῆς γλυκείης, τρίβειν λεῖα. διεὶς δὲ οἴνῳ παλαιῷ, εἰρίῳ προστίθεσθαι τῇ νυκτὶ πρὸς τὰ αἰδοῖα. καὶ καταπλάσσειν ἐν τούτοισιν. ὅταν δὲ ἡμέρη γένηται, εἰρύσαι. ἀφεψεῖν δὲ μύρτα ἐν οἴνῳ, καὶ διακλύζεσθαι. ἢ χηνὸς ἔλαιον, καὶ ῥητίνην τῆξαι καὶ κλύσαι. ἢ βούτυρον. καὶ κέδρινον ἔλαιον μέλιτι παραμίσγειν μικρὸν, καὶ κλύζειν. [476] ἕλκεα ἐν μήτρῃσι ἀποξηραίνει. ἀργύρου ἄνθος ἐν οἴνῳ τρίψαι καὶ κλύσαι. ἢ βούτυρον μετὰ μέλιτος κλύσαι. ἢ ἐχέβρωσιν, καὶ σμύρναν, καὶ μέλι οἴνῳ διιέναι. οἴνῳ δὲ μέλανι χλιαρῷ, καὶ κλύζειν τῇ ὑστεραίῃ. ἢ σχίνου φύλλα ἑψήσας ἐν ὕδατι τουτέῳ μετακλύζειν. Ἄλλο, ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων. βούτυρον, λιβανωτὸς, σμύρνη, ῥητίνη, μυελὸς ἐλάφου. τουτέοισι κλύζειν. ἢ φακὴν ἕψειν ἐν ὕδατι, καὶ ἀποχύσας τὸ ὕδωρ

dam,& vinum meracum inſuper bibendum exhibeto, nitrumque rubrum in ſubditio admoueto. Et cuminum ac reſinam melle ſubactam ex linteo ſupponito. Cumq; aqua effluxerit, ſubditios talos nigros ad emolliendum ſubiicito,& viro condormiat. Quòd ſi os conniueat, fici quoq; ſuccum in ſubditio ſibi ſupponat, quoad reſeratum fuerit,& protinus aqua eluatur. Accipitris verò ſtercus ex vino dulci tritum ieiuna bibat, tumq; viro condormiat. Aut vbi menſtrua deſierint, anſeris aut vulpis ſtercore, & roſaceo vnguento trito, pudendum illinat, & viro condormiat. Si vlcera acria fuerint,& inflammatione laborẽt, hac collutione vtitor. Anſerinum adipem & reſinam miſce, iis aqua tepida dilutis colluito. Aut melle cum butyro mixto liquefacto colluito. Aut bryoniæ albæ radicis deraſæ conchæ minoris quantitatem, cum myrrha & melle ad eundem modum admiſceto, his ex vino nigro odorato ſolutis, & tepidis colluito. Si dum purgatio fertur ſumma labra exulcerata & puſtulis referta fuerint, carnis bubulæ fruſtum ſumito, butyrum aut anſerinum adipem, aniſum, aut granum cnidium, aut ſpodium Cyprium, his omnibus tritis carnem obductam in peſſo ſubdito. Si vlcera oriantur & mordeant, carnem bubulam adipe oblitam ſupponito. Ac ſi ſordida fuerint, infuſum & fomẽtum ex mori radice adhibeto, deinde etiam pinguedinis aliquid ex vino dulci bibat. Si in pudendis vlcera oriãtur, bubulo adipe linito, aut myrto in vino decocta, vino colluat, aut oleæ,& rubi,& mali punici foliis decoctis. Sit autem vinum Pramnium. Atq; hæc quidem ad hunc modum facienda. Et Perſeæ arboris videlicet folia lęuiter terito,& pudendis in ſubditio admoueto. Aut anethi & apij ſemen contritum illinito. Si pudenda ſuperficiariis vlceribus laborarint, ad hunc modum curare oportet. Carnem bubulam longitudinis ferè duorum palmorum, & craſſitudinis manubrij, ad veſperam vſq; in peſſo ſubdito; ſub noctem tollito. Poſtero verò die rurſus ad meridiem vſque ſubdito, & vinum dulce cui mel admixtũ ſit inſuper bibat. Collutio ad vlceratos vteros,& ſi ſtranguria prehenderit. Porrum, ſambuci fructum, ſeſeli, aniſum, thus, myrrha,& vinum æquali ad horum decoctum menſura. His mixtis & feruefactis, ac modicè refrigeratis colluito. Aut mel, butyrum, medullam & ceram intromittito,& illinito. Ad vlcera quæ in pudendis ſunt & pullulant, oleæ, rubi, hederæ,& mali punici dulcis folia, læuiter trita, vino veteri diluta, in vellere noctu pudendis apponito,& cataplaſmate admoueto. Cùm verò dies illuxerit, detrahito,& myrti baccis vino decoctis colluat. Aut anſerino adipe & reſina liquefactis colluito. Aut butyro & cedrino oleo cum pauco melle ammixto colluito. Hæc vterorum vlcera exiccant. Argenti florem ex vino terito, & colluito, aut butyro cum melle. Aut bryoniam albam & myrrham, cum vino melle macerato. Vino verò nigro tepido poſtero die colluito. Aut lentiſci foliis in aqua decoctis, ex ea poſtea colluito. Aliud ad vterorum os vlceratum. Butyrum, thus, myrrha, reſina, medulla cerui, ex his colluito. Aut lenticulam in aqua decoquito, & cum

ea percolata colluito. Cùm verò aqua ex vteris fluxerit, & vlcera morsum intulerint, anserino adipe & ouo illinito. Aut ouillum adipem & suillum, & lentem ex vino coquito, & ex eo pari aqua temperato colluito. Hoc etiam vlcera in pudendo perfundẽda. Mannam thuris, rubum, & pini corticem apponito, & horum decocto perluatur. Medicamẽtum fœtum mortuum eiiciens. Galbanum oliuæ magnitudine, linteo conuolutum, oleo cedrino intinctum, ad os vteri in subdititio apponito. Aliud. Calamum odoratũ & cucumeris agrestis interiorem partem ex adipe anserino terito, vmbilicum verò & imum ventrem obligato, & ex eo exiguo in lanam instillato, ad vterorũ os in subdititio apponat, & ab eo paulatim detrahitur. Aliud. Rubiam tusam & cedri ramenta, aqua affusa cœlo sereno nocte exponito, deinde sub auroram ad dolores exhibeto. Aliud. Laseris drachmę vnius quantitatem, & succi porri acetabulũ, cedrini olei dimidio cyatho paruo admixto potui exhibeto. Aliud. Fel tauri oboli aut dimidij oboli pondere, ex vino tritum exhibeto, aut farina aqua macerata obductum deuorãdum dato. Aliud. Cancros fluuiatiles quinque, lapathi & rutæ radicem, & furui fuliginem, omnia simul trita, & aqua mulsa permixta, & cœlo sereno per noctem exposita, ieiuna tertio quoque die bibat. Aliud. Cucumeris agrestis partem interiorem læuiter tritam, cedrina pice subactam, lana conuolutam, filo circum pennam deligatam, intrò sibi subdat. Pars autem pennæ crassiuscula, foris ex lana paulum extet, vbi verò sanguis apparuerit, detrahatur. Veratri nigri surculum, sex digitos lõgum, lana obuolutum, ita vt eius extremum nudum relinquatur, deinde intrò quàm penitissimè sibi supponat, cùm verò extremum sanguine infectum fuerit, detrahatur. Aliud. Veratrum nigrum, cantharidas & conyzam ex aqua terito, & in glandẽ mollem sex ferè digitos longam efformatam exiccato, & vbi indurueritlana obuolutam supponat, extremum verò cedria illinatur, & nudum maneat, cumq; sanguis apparuerit, detrahatur. Fœtum eiiciens. Fœtum intus mortuum aut syderatum eiicit ranunculus & elaterij exiguum, ex aceto meraciore commixtum, & potui exhibitum. Aut brassicæ tener cauliculus, extrema parte netopo illitus, intromittatur.

ἐν τούτῳ κλύζειν. ὅταν δὲ ὕδωρ ἐκ τῶν ὑστερέων ῥέῃ, καὶ ἑλκέα ᾖ, καὶ δάκνηται, χηνὸς στέαρ, καὶ ὠὸν διαχρίεσθαι. ἢ οἴιος στέαρ, ἢ συός. καὶ φακὸν ἐν οἴνῳ ἕψειν. καὶ κεκρημένον ἴσον τῷ ὕδατι τουτέῳ κλύζειν. τὰ δὲ ἐν τῷ αἰδοίῳ ἕλκεα ἐν τούτῳ καταιονᾶν. ἐπιπάσσειν δὲ μάνναν. βάτον. πίτυος φλοιόν. καὶ τῷ ὕδατι τούτων νίψασθω. διεκβόλιον ἢν ἀποθάνῃ τὸ ἔμβρυον. χαλβάνης ὅσον ἐλαίην ἐνελίξας ἐς ὀθόνιον κέδρινον ἐμβάψασα, προστιθέσθω πρὸς τὸ στόμα τῶν μητρέων. ἕτερον. κάλαμον εὐώδεα, καὶ σικύης ἀγρίης ἐντεριώνην τρίψαι ἐν χηνείῳ στέατι. ἐπίδησον δὲ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον. καὶ σμικρὸν ἀπ' αὐτέου ἐνστάξασα ἐς εἴριον προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. καὶ ἐκ τούτου κατ' ὀλίγον ἑλκέσθω. ἄλλο. Ἐρυθρόδανον κόψας, καὶ κέδρου πρίσματα. ὕδωρ τε ἐπιχέας τίθεσο τὸν αἰθρίην. εἶτα πρωῒ δὸς πρὸς τὰς ἀλγηδόνας. ἄλλο. Σιλφίου ὁκόσον δραχμὴν μίαν, καὶ πράσου χυλὸν ὁκόσον ὀξύβαφον,[477] παραμίξαι κέδρινον ἔλαιον ἥμισυ κυάθου μικροῦ δὸς πιεῖν. ἄλλο. ταύρου χολὴν ὅσον ὀβολὸν, ἢ ἡμιωβόλιον τρίβων ἐν οἴνῳ, δός. ἢ σταιτὶ περιπλάσσας[478] ὧν πάλιν καταπιεῖν δίδου. ἄλλο. καρκίνους ποταμίους πέντε. καὶ λαπάθου καὶ πηγάνου ῥίζαν. καὶ αἰθάλην ἀπὸ τοῦ ἰπνοῦ τρίψασα ὁμοῦ πάντα, καὶ ἑνώσασα ἐν μελικρήτῳ, ὑπαίθριον θεῖσα, πινέτω νῆστις[479] ἐκ τρίτου. ἄλλο. σικύης ἀγρίης ἐντεριώνην τρίψας λείην ἐν κεδρίνῃ πίσσῃ ἐς εἴριον ἐνελίξας. προσδήσας πρὸς τὸ πτερὸν λίνῳ,[480] προσθέσθω δὲ ἔσω. τοῦ δὲ πτεροῦ τὸ σκληρὸν, προεχέτω μικρὸν ἔξω ἐκ τοῦ εἰρίου. ὅταν δὲ αἷμα φαίνηται, ἀφαιρέεσθω. ἄλλο. Ἐλλεβόρου μέλανος λαβὼν[481] ῥαβδίον ὅσον ἓξ δακτύλων, περιείλιξον ἐν εἰρίῳ. τὸ δὲ ἄκρον ἔα ψιλὸν εἶναι. εἶτα προσθέσθω εἴσω ὅτι μάλιστα. ὅταν δὲ αἱματωθῇ τὸ ἄκρον, ἀφαιρέεσθω. ἄλλο. Ἐλλέβορον μέλανα. καὶ κανθαρίδας. καὶ κόνυζαν τρίψας ἐν ὕδατι, καὶ ποιήσας βάλανον μαλθακὸν, ὅσον ἑξαδάκτυλον, ξήραινε. κἀπειδὰν σκληρὸν γένηται, εἰρίῳ περιελίξασα προσθέσθω. τὸ δὲ ἄκρον κέδρῃ χρισάτω,[482] καὶ ἔστω ψιλόν. ὅταν δὲ αἷμα φαίνηται, ἀφαιρέεσθω. ἐκβόλιον. ἢν ἔμβρυον τεθνεὸς ἔνδον ᾖ, ἢ ἀπόπληκτον, βατράχιον καὶ ἐλατήριον μικρὸν μίξαι ἐν ὄξει ἀκρήτῳ, καὶ δοῦναι πιεῖν. ἢ κράμβης ἁπαλὸς καυλὸς, κατὰ τὸ ἄκρον νετώπῳ χριόμενος ἐμβαλλέσθω.

Notha quædam ad calcem lib. I. de morbis Mulierum adiuncta.

TVssis infantuli remedium. Thapsia cum polenta in os indita. Aliud. Oui assati vitellum, cum sesamo albo tosto, sale & melle delingendum præbeto. Ad pueri aluum soluendam. Lanam succidam melle intinctam indito. Quòd si adultior iã fuerit, ceparum interiores partes ex melle tritas indito. Si lac deficiat, farinam sitaniam elotam, melle & oleo ammixto tepidam infundito. Puerorum crebram spirationem (ἆσθμα dictam) sedat thus ex vino dulci, & balnei abstinentia. Medicamẽtum quod purget. Glandulas conficito ex mellis hemina, anisi acetabulo, bituminis drachmis duabus, felle bubulo, myrrhæ drachmis tribus, elaterio quantum ad potionem satis sit. Hæc admixto anserino adipe, æneo vase coquito. Vbi vti voles, glandes adipe anserino molli illinito, lana verò o-

Νόθα, τῇ τελευτῇ τοῦ πρώτου περὶ γυναικείων βιβλίου προσκείμενα.

Βῆχος[483] παιδίου. θαψίην ἐπ' ἀλφίτοις ψωμίζειν. ἕτερον.[484] ὠὸν ὀπτήσαντα, τὴν λέκιθον ἐξελόντα τρίψαι καὶ σήσαμον λευκὸν πεφρυγμένον, καὶ ἅλες, ἐν μέλιτι ἐκλείχειν. τὴν κοιλίην λῦσαι τοῦ παιδίου. εἴριον ἄπλυτον ἐς μέλι βάψας ἐνθεῖναι. ἐὰν δὲ γεραίτερον ᾖ,[485] κρομμύων τὰ ἔσωθεν τρίψας ἐντιθέναι. ἐὰν δὲ γάλα μὴ ᾖ, σητάνιον ἄλευρον ἐκπλύνας μέλι καὶ ἔλαιον μίξας χλιαρῷ[486] κλύσαι. ἄσθματος παιδίων λιβανωτὸν ἐν οἴνῳ γλυκεῖ[487] καὶ λουτροῦ ἀποσχέσθαι. καθαρτήριον. βαλανίδας ποιέειν κοτύλην μέλιτος. ἀνίσου ὀξύβαφον. ἀσφάλτου δύο δραχμάς, χολὴν βοὸς, σμύρνης τρεῖς δραχμάς. ἐλατηρίου... ἕψειν ἐν χαλκῷ, μίσγειν ἔλαιον χηνός. καὶ ὅταν μέλλῃς χρῆσθαι, ἀλείφειν τὰς βαλάνους[488] στέατι χηνείῳ μαλακῷ. εἰρίῳ δὲ

ἐλαίῳ δὲ χρῆσθαι, τῷ οἴῳ. [489] ἐλαίῳ δὲ, σχινίνῳ. τούτῳ μίσγειν κινναβάρει. Ἔμετον λύει. Ὠκίμου χυλὸς ἐν οἴνῳ λευκῷ. Ἕτερον. Ἀλήτου σητανίου κεχυλισμένου τὸ ὕδωρ. ἢ ῥοιᾶς γλυκείας καὶ ὀξείας ἀποχυλώσας. εἶτα μέλιτι μίξας. [490] Τὸ σηπτικὸν ὧδε ποιέεται. ἐλλέβορος μέλας. σανδαράκη. λεπὶς χαλκοῦ, ἴσον ἑκάστου τρίβειν χωρίς. ὅταν δὲ λεῖον ᾖ, διαμίξαι μιᾶς μερίδος διπλάσιον τίτανον, ἀναδεύσας, κεδρίνῳ χριέτω. [491] ὀπτὸν φάρμακον ὧδε ποιέεται. ἄνθος κεκαυμένον καθαρῶς. ἄχρις ὅτου φοινικοῦν γένηται, τρίψας λεῖον, τούτῳ χρῶ. Τὸ μέλαν φάρμακον. Λεπίς. ἄνθος. χωρὶς τρίβειν ἑκάτερον. ὅταν δὲ λεῖον τρίβῃς, οὕτω μίσγε. ποιέειν δύο ἢ τρία εἴδη τοῦ φαρμάκου. τὸ μὲν ἰσχυρότατον, τὸ ἄνθος, τριτημόριον τῆς λεπίδος. τὸ δὲ δεύτερον, τεταρτημόριον. τὸ δὲ τρίτον, πεντημόριον. τοῦτο τὸ φάρμακον ἐπὶ πάντα ἁρμόζει. Διάχριστον πρὸς τὴν συνάγχην. κάχρυα. σταφὶς ἀγρία, ἀψίνθιον, ἐλατήριον, μέλι. Ἐν τοῖς ποδαγρικοῖς ὀδυνήμασι τὰ ἀφιστάμενα καταπλάσσειν [492] ὕδατι φυρέοντα λεῖον. καὶ μὴ λούειν τριῶν ἡμερέων. ὅταν δὲ λούσῃς, αὖθις νίτρον ὠμὸν τοῦ ἐρυθροῦ τρίψαντα. καὶ μέλι ὀλίγον. τούτῳ ὥσπερ αἰεὶ χρέεσθαι. [493] καὶ τὸν ἴσον χρόνον ἐς κύθραν ἐμβάλλειν λείους. εἶτα, συπληρεῖν. εἶτα καταλείψας ἀποσκεῖν, νύκτα καὶ ἡμέρην τὴν ἕδρην ἐμβαλεῖν ἀσαφίδι λείη, τετριμμένη, ξηρῇ, ἐναλείφοντι τὴν ἕδρην. τὰ πεπυρωμένα διάχριε. ἀνδράχνην [494] ἐν σταιτί. θρίδακος τῆς ἐρυθρῆς, ὁπόσον ὁλκήν, λύει πᾶσαν ἐν ὕδατι. σταθμὸς ἡμιωβόλιον ἀττικόν. Ὀφθαλμικά. [495] Χαλκός. οἰὸς χολὴ, αἰγὸς, σμύρνα, ταῦτα λύεται. πάντα ὁμοῦ τρίψας λεῖα, οἴνῳ διιέναι λευκῷ. ἔπειτα ἐς κάλαμον ἐμβαλὼν, ξηρῷ χρῆσθαι. [496] Ἔμπλαστρον. Μίσυ κατασκευάσας, τρίβε ἐν ἴγδῃ. ξυμμίσγειν δὲ αὐτῷ σποδὸν χρυσίτιν πεπλυμένην. ἔστω δὲ τῆς σποδοῦ, τρία. τοῦ μίσυος, ἕν. τὸ μίσυ κατάκαιε ἐς μᾶζαν, φυλασσόμενος, ὅκως μὴ ἐκρυῇ. ὀπτώμενον γὰρ ἐξυγραίνεται. ὅταν δὲ καλῶς ὀπτὸν ᾖ, φοινίκεον γίνεται. Ἔμπλαστρον. Ψιμύθιον τὸν αὐτὸν τρόπον μισγόμενον τῷ μίσυϊ ὠπτημένῳ, ὥσπερ ἐν τῇ χρυσίτιδι σποδῷ, τὸ μίσυ γίνεται. Ἕτερον ἔμπλαστρον ἰσχυρότερον τούτου. Σποδὸς κυπρία ἐκ τοῦ ἀσβόλου πεπλυμένου. καὶ ψιμύθιον. καὶ μίσυ ὀπτόν. εἶναι δὲ δύο μοίρας τῆς σποδοῦ [497] τοῦ ψιμυθίου. ἐν τούτῳ μίσυος ὑγρὸν. ἀνεμώνης τὰ φύλλα κόψαντα, ἐκπιέσαι. καὶ ἐς τὸν ἥλιον θεῖναι ἐν χαλκῷ ἐρυθρῷ κατακαλύψαντα, ὅκως μηδὲν ἐμπέσηται. ὅταν δὲ παχὺ ᾖ, [498] διαπλάσσειν φθοῖς. εἶτα ξηραίνειν. ὅταν δὲ ξηρανθῇ, κατακαίειν ὡς δυνατὸν μάλιστα. εἶτα ἐπειδὰν ψυχθῇ, τρίβειν λεῖα. καὶ μίσγειν σποδῷ πεπλυμένῃ τῇ ἐκ τοῦ ἀσβόλου ἴσον. εἶτα τῷ διασάζων νέτωπον, μικρὸν τρίβειν. εἶτα μέλιτι διιέναι. εἶτα ξηρήνας [499] ἐς χαλκῆν κυψέλην(?) τούτῳ χρῶ. Ξηρὸν μαλακόν. Σποδὸς κυπρία, χαλκῖτις ἄπλυτος, λεῖα τετριμμένη. καὶ ἄνθος χαλκοῦ. [500] ταῦτα ἴσα μίσγειν, καὶ τρίβειν λεῖα. Ἕτερον ξηρόν. Σποδὸς κυπρία. χαλκῖτις διατετριμμένη. καὶ σποδὸς χρυσῖτις ἄπλυτος [501] ἀναφεψεῖται τὸ χρύσιον ταύταις ἀλλήλαις διατρίβειν. Ἕτερον ξηρόν. Σποδὸς πεπλυμένη. [502] χρυσῖτις, καὶ ἀφρὸς χαλκοῦ ἴσα λεῖα. Ἕτερον. Ὀμφακὸς χυλός. καὶ σποδὸς κυπρία.

uilla vtitor, oleo autem lentiscino, cui cinnabarim admiscere poteris. Vomitum tollit ocymi succus ex vino albo. Aliud. Farinæ setaneæ percolatū decoctum, aut mali punici dulcis & acidi expressus succus, postea melle ammixto. Medicamentum quod exedit sic cōficitur. Veratrum nigrum, sandaracham, æris squamam, singula æquali portione seorsim terito. Vbi autem læuiter tritum fuerit, ad vnam partem dupla calce admixta, cedrino oleo subacta illinito. Exurēs medicamentum ad hunc modum paratur. Æris flos sincerè combustus quoad ruber euadat, eo læuiter trito vtitor. Nigrum medicamentum. Squamam, æris florem, vtrunque seorsim terito, læuiter tritum sic permisceto. Duo aut tria medicamenti genera conficito. Vnum quidem vehementissimum, quod æris florem ad squamam tertiam habet partem. Alterum quod quartam habet partem, tertium verò quod quintam. Hoc medicamentum ad omnia adaptatur. Medicamentum quod illinitur ad anginam, roris marini semen, staphis agria, absinthium, elaterium, mel. In podagricis doloribus tumores nitro læuiter trito aqua subacto, velut cataplasmate obducito, tribus diebus ne lauato. Cùm verò laueris, rursus nitro crudo rubro, cum pauco melle trito, eo velut semper vtendum. Igne ambusta illine portulaca cum farinæ massa aqua subacta, & lactuca rubra ad drachmam vnam. Id dolorem omnem tollit ex aqua semioboli Attici pondere. Ophthalmica medicamenta. Ærugo, fel capræ, myrrha, hæc omnia soluuntur, simul trita, læuigata, vino albo diluito, deinde in arundinem coniecta, sicca ad vsum adhibeto. Quod puluere inspergitur. Misy præparatum in pila terito, chrysitidis cinerem lotum admisceto. Sint autem cineris partes tres, & misyos vna. Misy in maza comburito, ea cautione ne effluat. Liquescit enim dum torretur. Probè verò vstum punicei fit coloris. Aliud. Cerusa ad eundem modum cum misy vsto admiscetur, velut fit in chrysitidis cinere, & in misy transit. Aliud isto vehementius. Spodium Cyprium ex fuligine lotum, cerusa, & misy vstum. Spodij autem ad cerusam duas partes esse oportet, & misyos vnam, foliorum anemones contusorum succum exprimito, & ad solem in æris rubri vase cooperto, ne quid incidat, exponito. Cùm verò crassum euaserit, pastillos formato, deinde siccato. Cùm verò desiccatum fuerit, quàm maximè poteris vrito, deinde refrigeratum læuiter terito, & ad parem spodij ex fuligine loti portionem admisceto, deinde netopo instillato paulùm terito, mox melle diluito, postea resiccatum in capsula ærea, ad vsum reponito. Aridum molle. Spodium Cyprium, chalcitis illota læuiter trita, flos æris, hæc æquali portione misceto, & læuiter terito. Aridum aliud. Spodium Cyprium, chalcitis læuiter trita, & cinis chrysitidis illotus, hæc inter se diligenter terito. Aliud aridum. Spodium vstum, chrysitis, & æris spuma æqualibus portionibus læuigata. Aliud. Vuæ immaturæ succus, & spodium Cyprium.

Vuæ immaturæ grandioris ſuccum, ex linteo in vaſe æris rubri exprimito, aceti albi acerrimi tertia parte admixta, ſicque in Sole decoquito, & quinquies die verſato. Cùm verò craſſus ſuccus euaſerit, chalcitidis cypriæ cinerem læuiter tritum iniicito & permiſceto. Cumq; ſex vel ſeptem diebus ſuccus in Sole poſitus fuerit, ad ſucci heminam Atticam, cineris drachmas octo iniicito. Quòd ſi acrius voles, cineris minùs, ſin lenius, plus adiicito. Poſt hęc reſiccato, quoad paſtilli formari queant. Deinde ad fumum intus ſuſpenſum, tamdiu reſiccato quoad teſtaceum euadat, ne cùm teritur in ſeſe coeat, mox ſic vtitor, & loco minimè humido reponito. Aliud aridum. Spodium, chalcitis aceto albo ſubacta, deinde paſtillos confectos reſiccato, cumq; reſiccatũ fuerit læuiter terito, eo quidem oculum illinere optimum, vinumq; vetus dulce ſimul incoquito. Ad albuginem. Populi nigræ lachrymam, lac muliebre, his permixtis vtitor. Ad oculi lachrymã & dolorem. Mali punici dulcis expreſſum ſuccum in vaſe æreo coquito, & nigrum velut picem reddito, æſtate Soli exponito, deinde liquido ſublinito. Si lachrymabũdus ac lippus oculus fuerit. Cùm vua alba, valde matura & gracilis in vite fuerit, decerptam excolato, deinde in Sole ſiccato. Cùm ſiccum fuerit deradito, æruginis ſemioboli Attici pondus admiſceto, poſtea eo ſublinito. Hoc oculis inſpergitur. Plumbũ & ſpodium æquis portionibus, myrrhæ decima pars, papaueris ſucci exiguum, vinum vetus, aridis tritis vtitor. Scillæ, ſpodij, ceruſæ, chartæ combuſtæ pars tertia, myrrhæ pars decima. Si voles pilos è corpore euellere, vitis lachryma cum oleo inungito. Quòd ſi oculum depilare voles, vbi decerpſeris inungito, & cum tenui cuticula diſcedet, ruborq; & boni coloris erit. Ad læuitatem inteſtinorum, lentes & triticum ſetanium ad duas chœnices aqua macerato, deinde cùm hæc mollia euaſerint, vt edi poſſint, in pila aut mortario læuigato, poſtea aquæ heminis ſex affuſis vehementer agitato. Quod à rutro diſcedet in ollam effundito, melle pauco affuſo coquito, vbi vehementer coctum fuerit, torrefactum edendum dato. Quòd ſi ſitiat, vinum quàm vetuſtiſſimũ bibat, eo vtatur quoad conualeſcat. Si quis grauedine detineatur, myrrham læuiter tritam melle admixto linteo excipito, nares confricato. Alui infuſum pituitam educens. Thapſiæ quantũ potione vna ſatis ſit, aut vuæ paſſæ grana quadraginta, aut grani cnidij, aut cneſtri quantum ad vnam potionem ſatis ſit, mellis autem ſemiheminam admiſceto, aut olei tantundem aqua marina diluito, in qua furfures aut ptiſana decocta fuerit, quoad pinguis euaſerit. Aut adipem betæ ſucco liquato, & nitri drachmas decem admiſceto, aut ſali acetabulum plenum in aquam marinam immittito. Quòd ſi bilem educere voles, ſucci laſeris quantũ vna potione ſatis ſit, elaterij ſeſquidrachmam, colocynthidis agreſtis drachmæ põdus terito, & iiſdem quibus priùs diluito. Si verò vehemẽtiùs ducere voles, cucumeris agreſtis interiorem partẽ, ad drachmæ quadrantem, aquæ dimidia hemina maceratã in aluum infundito, & ſi in exitu mordeat, poſtea ptiſanæ cremore colluito.

τὴν ὄμφακα ἀκμάζουσαν χρὴ ἐκπιέσαι τὸν χυλὸν δι' ὀθονίου ἐς χαλκεῖον ἐρυθρὸν, καὶ μίξαι ὄξεος τρίτον μέρος λευκοῦ ὡς ὀξυτάτου. καὶ οὕτως καθεψεῖν ἐν τῷ ἡλίῳ. καὶ ἀναταράσσειν πεντάκις τῆς ἡμέρης. ὅταν δὲ παχὺς γένηται ὁ χυλὸς,[503] σποδὸν τῆς κυπρίης τῆς χαλκίτιδος λείην ἐμβαλεῖν καὶ ἀναμίξαι. ὅταν δὲ ἑκταῖος ἢ ἑβδομαῖος ᾖ ὁ χυλὸς ἐν τῷ ἡλίῳ κείμενος, ἐς κοτύλην ἀττικὴν τοῦ χυλοῦ τῆς σποδοῦ δραχμὰς ὀκτώ. ἐὰν δὲ βούλῃ δριμύτερον εἶναι, ἐλάττω τὴν σποδόν. ἐὰν δὲ μαλθακώτερον, πλέω. μετὰ δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ δυνατὸν διαπλάσαι φθοῖς. εἶτα ἐγξηραίνειν, κρεμάσας ἄνω ὑπὲρ καπνοῦ. καὶ οὕτως ξηραίνειν, μέχρις οὗ ὀστρακώδεες γένηται, ὥστε τριβόμενοι[504] μὴ ξυντρέφεσθαι. εἶθ' οὕτως χρῶ. κείσθω δὲ, ὅκου ἰκμάδα μὴ ἕξει. ἕτερον ξηρόν. Σποδός. χαλκῖτις ὄξει πεφυραμένη λευκῷ. εἶτα φθοῖς ποιήσας. ξήραινε δέ. ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν, ὑπαλείφειν ὀφθαλμὸν μὲν ὡς κάλλιστον, καὶ οἶνον παλαιὸν γλυκὺν, ἑψεῖν ὁμοῦ.[505] Πρὸς ἄργεμον. αἰγείρου δάκρυον. γάλα γυναικεῖον μίξας χρῶ. ἐὰν ὀφθαλμὸς δακρύῃ, καὶ ὀδύνην ἔχῃ. Ῥοιῆς γλυκείης τὸν χυλὸν ἐκπιέσας, ἐν χαλκέῳ ἑψεῖν, καὶ μέλαιναν ὥσπερ πίσσαν. ἐὰν θέρος ᾖ, ἐς τὸν ἥλιον τιθέναι. εἶτα ὑγρῷ ὑπαλείφειν. Ἐὰν δὲ δακρύῃ[506] καὶ γλαμυρὸς ᾖ ὁ ὀφθαλμός. ὅταν ἡ σταφυλὴ ἡ λευκὴ, πέπειρος ἰσχυρῶς, καὶ ἰσχνὴ ἐπὶ τῇ ἀμπέλῳ ᾖ.[507] δρέψας ἐξηθῆσαι. εἶτα ξηραίνειν ἐν τῷ ἡλίῳ. ὅταν δὲ ξηρὸν ᾖ, ἀποξῦσαι. μίξαι ἰοῦ ἡμιωβόλιον ἀττικοῦ σταθμοῦ. εἶτα τούτῳ ὑπαλείφειν. καταπαστόν. Μόλιβος καὶ σποδὸς ἴσα. σμύρνης δέκατον μέρος, ὀποῦ μήκωνος σμικρόν. οἶνος παλαιός. ξηρὰ τρίψας, χρῶ.[508] Σκίλλα καὶ σποδοῦ τρίτον μέρος, καὶ ψιμυθίου τρίτον μέρος χάρτου κεκαυμένου, μέρος δέκατον σμύρνης.[509] Εἰ βούλει ἐκ τοῦ σώματος τρίχας ἀπελάσαι. δακρύῳ ἀμπέλου ἀλείφειν ἐλαίῳ. ἐὰν δὲ καὶ τοῦ ὀφθαλμοῦ βούλῃ, ἀποδρέψας ἀλείφειν. καὶ ἄπεισι σὺν λεπτῷ δέρματι. καὶ ἔσται ἐρυθρὸς, καὶ εὔχροος. Λειεντερίης. Φακοὺς πυροὺς σιτανίους ὅσον δύο χοίνικας βρέξας. ἐπειδὴ μαλθακοὶ ὦσιν[510] διατρωγόμενοι, ἰσχυρῶς ποιῆσαι λείους ἐν ὅλμῳ, ἢ ἐν θυΐᾳ. ἔπειτα ἐπιχέαι ὕδατος κοτύλας ἕξ. καὶ ἀνακινῆσαι ἰσχυρῶς.[511] ὅτι δ' ἂν ἀπέλθῃ, ἐγχέας ἐς χύτραν, ἑψεῖν, μέλι ὀλίγον παραχέας. ἐπειδὴ ἑφθὸν ἰσχυρῶς γένηται, φρύξας διδόναι ἐσθίειν τοῦτο. ἐὰν δὲ διψῇ, οἶνον πινέτω ὡς παλαιότατον. τουτέῳ χράσθω, ἄχρις ἂν ὑγιὴς γένηται. Ἐὰν δὲ κόρυζαν ἔχῃ, σμύρναν τρίψας λείαν. καὶ μέλι μίξας, ὀθόνιον ποιήσας, τὰς ῥῖνας τρίβειν. Κλυσμὸς φλέγμα ἄγων. Θαψίης πόσιν. ἢ ἀσταφίδος ὅσον τεσσαράκοντα κόκκους. ἢ κνιδίου πόσιν. ἢ κνήστρου. μίσγειν δὲ μέλιτος ἡμικοτύλιον, ἐλαίου ἴσον, διιέναι θαλάσσῃ. πίτυρα ἀναφεψήσας. ἢ πτισάνην μέχρις οὗ λιπαρὰ γένηται. ἢ στέατος. ἢ τεύτλου χυλοῦ. παραμίσγειν δὲ νίτρου ὅσον δέκα δραχμάς. ἢ ἁλὸς τρυβλίον πλέον ἐς θάλασσαν. Ἐὰν δὲ θέλῃς χολὴν ἄγειν. Ὀποῦ πόσιν. ἐλατηρίου, ὁλκὴν καὶ ἥμισυ. κολοκυνθίδος ἀγρίας δραχμὴν σταθμόν. διιέναι τοῖς αὐτοῖς οἷς καὶ πρότερον. ἐὰν δὲ σφοδρότερον θέλῃς ἄγειν. σικύης ἐντεριώνην, τεταρτημόριον δραχμῆς ἀποβρέξας ἐν ὕδατος ἡμικοτυλίῳ, τουτέῳ κλύσαι. καὶ ἐὰν ἐξιὼν δάκνῃ, μετακλύσαι πτισάνης χυλῷ.

ἑτέρη

ἕτερον. Γάλακτι ἑφθῷ ὀνείῳ, ἢ ἐν τεύτλου χυλῷ τρισὶ κοτύλαις, ἐναποβρέχειν τὴν σικυώνης ἐντεριώνην, ἐπιμίσγειν ἅλας, καὶ μέλι, καὶ ἔλαιον. μετακλύζειν δὲ πτισάνης χυλῷ. Κολοκυνθίδος δραχμὴν τρίψας, καὶ προβρέξας ἐν γάλακτι ὀνείῳ, μίσγειν τὰ αὐτά. σικυώνης δραχμὴν, ἐλατηρίου πόσιν. [112] θύμβρης ὅσον τοῖς τρισὶ δακτύλοις, μέλι, ἔλαιον, διιέναι θαλάσσῃ. ἐὰν δὲ κόπριον θέλῃς ἀγαγεῖν, μηδὲν πίνειν φάρμακον. ποιεῖν δὲ ἄλλοισι χρέω. Δυσεντερίης κλυσμός. ἐν οἴνῳ σίδια ῥοιῆς γλυκείης ἑψήσας ὡς πλεῖστα, ἕψειν δὲ, μέχρις οὗ τὸ ἥμισυ λειφθῇ. μίσγειν δὲ ἔλαιον τεταρτημόριον κοτύλης, [113] ἑκατέρου τὸ ἕτερον. λιβανωτοῦ τέταρτον δραχμῆς. μύρου ῥοδίνου ἡμικοτύλιον. πτισάνης χυλός. θάλασσα ἑφθή. ἐλλεβόρου δύο πόσιας τρίψας. ὕδατος διεὶς ἡμικοτύλιον, ἐλαίου ἴσον, [114] κλύζειν χυλῷ, ἐγχέας ἐς σκαφίδα. μῆλα κυδώνια κατατάμνειν, καὶ ἐᾶν ἐμβρέχεσθαι. ἐπειδὰν δὲ τὸ ὕδωρ τὴν ὀσμὴν ἔχῃ, διδόναι πίνειν. πτισάνης λέκυθον ἐμβαλὼν ἐς χόα ὕδατος ἕψε μέχρι λιπαρὸς γένηται. [115] ψύξας δὲ τὰ μῆλα ἢν κατατάμνῃ. κηρίον, καταβρέξαι δὲ ἐν ὕδατι, καὶ ἅμα τρίβειν, ὅταν ὑπόγλυκυ ᾖ, καὶ διηθήσας, ἐμβάλλειν σελίνου φύλλα. ἕτερον. ἀσταφίδα λευκὴν ἐς ὕδωρ ἐμβαλὼν. καλαμίνθην, ἢ κηρίον, ἀνατρίβειν ἐς ὕδωρ ὑπόγλυκυ.

Aliud. In lacte asinino cocto, aut in succo betæ ad tres heminas, cucumeris agrestis interiorem partem macerato, sale admixto, melle & oleo, postea verò ptisanæ cremore colluito. Cucurbitæ agrestis drachmam tritam, & prius lacte asinino maceratam, hæc eadem misceto. Cucumeris agrestis interioris partis drachmam, elaterij quantum vna potione satis sit, salis pugillum, mel, oleum, aqua marina diluito. At si stercus educere voles, nullum medicamẽtum propinato, verùm aliis vtitor. Ad intestinorum difficultatem infusum. Mali punici dulcis cortices in vino plurimũ decoquito, quoad dimidiũ remaneat, olei heminæ quadrante admixto, & thuris drachmæ quadrante. Vnguenti rosacei heminæ dimidium, ptisanæ cremor, aqua marina cocta. Veratri quantum ad duas potiones satis sit terito, aquæ hemina dimidia diluito, olei æquali portione admixta, decocto in scaphulam effuso colluito. Mala cydonia dissecta aqua macerari sinito, cumq; aqua odorem habuerit, potui exhibeto. Ptisanæ lomentum in aquæ congium immissum decoquito, dum pingue euadat. Mala dissecta decoquito, fauum mellis aqua macerato, simul terito, vbi subdulcis fuerit percolato, apij folia immittito. Aliud. Vuam passam albam in aquam immissam, calaminthem, aut fauum mellis in aqua subdulci conterito.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS DE MVLIERVM MORBIS, LIBER SECVNDVS.

Ῥόος λευκὸς ἐν τῇσι γεραιτέρῃσι τῶν γυναικῶν μᾶλλον γίνεται, ἢ ἐν τῇσι νεωτέρῃσι. ῥόος πυῤῥὸς ἐν ἀμφοτέρῃσι. ῥόος ἐρυθρὸς ἐν τῇσι νεωτέρῃσι. καὶ ῥόος ἐρυθρὸς μὲν γίνεται, ἐκ πυρετοῦ. μᾶλλον δὲ ἐκ τρωσμοῦ. γίνεται δὲ καὶ ἐξ ἀπολήψιος ἐπιμηνίων, ὅταν ἀποκλεισθέντα ἐξαπίνης καταρραγῇ. γίνεται δὲ καὶ ἐκ τόκων καὶ ἐκ πυρετῶν, αἷμά τε ῥέει πάμπολυ. καὶ θρόμβοι ἐκπίπτουσι. καὶ ὀδύνη γίνεται τῶν κληίδων, καὶ τῶν τενόντων. καὶ νάρκη τοῦ σώματος. ἀπόψυξίς τε τῶν σκελέων. ἐνίοτε δὲ καὶ ἡ ῥὶς ἐκχεῖ ἐς τοὺς ὀδόντας, ἢν πλέον ἢ τὸ αἷμα ἀπίῃ. καὶ ἱδρὼς καταχεῖται πουλύς. πρὸς δὲ τούτοις, καρδιωγμοί τε γίνονται. καὶ περιψύξιες. καὶ πυρετοὶ ἀκρητόχολοι, καὶ κνησμώδεες. καὶ τῆς αὐτῆς ἡμέρης πολλάκις ῥιγέουσι. καὶ αὖθις ἱδροῦσι. καὶ ἄλλοτε μὲν ἀπὸ τῶν ἄνω χωρίων σπασμοὶ γίνονται σφίσιν. ἄλλοτε δὲ ἀπὸ τῶν κάτω. καὶ ἐς τοὺς βουβῶνας ὀδύναι αἱ ὀξεῖαι ἐμπίπτουσι καὶ ἰσχυραὶ, φοιτέουσαι ὥσπερ ὠδῖνες. ἐνίοτε δὲ καὶ στραγγεύειν. καὶ τὸ στόμα ξηρόν. καὶ δίψα πιέζει. καὶ ἡ γλῶσσα, τρηχεῖα. καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν, οἱ μεγάλοι. [2] καὶ ἐς τὰς γαστροκνημίας αἰεὶ παρὰ μηροὺς ξυντείνει. καὶ τῆς ὀσφύος περιωδυνίαι. καὶ τῶν χειρέων ἀκρασίη.

FLVOR albus senioribus magis quàm iunioribus contingit, fuluus vtrisque, ruber iunioribus. Et fluor quidem ruber ex febre quidem oritur, magis verò ex abortione. Quinetiam ex mensium suppressione contingit, cùm retenti subitò magna copia proruperint. Contingit verò etiam ex partu, & ex febribus, & sanguis magna copia affluit, grumi sanguinis excidunt, dolor iuguli & ceruicis tendonum suboritur, & corporis torpor, crurum perfrictio. Interdum verò si copiosior sanguis effluxerit, nasus etiã in dentes effundit, sudorque multus effluit. Ad hæc quoque oris ventriculi morsus & perfrictiones contingunt, & febres bilem sinceram effundentes & pruriginosæ, crebroque eodem die rigore corripiuntur, rursusque sudoribus diffluunt. Quandoque etiam ex superioribus locis, quandoq; verò ex inferioribus, eis conuulsiones suboriuntur, doloresq; acuti & vehementes, parturientibus non absimiles, ad inguina veniunt. Interdum verò stranguria detinet, os siccum est, sitis vrget, lingua aspera, pedum pollices contrahuntur, & ad suras femora contendit, lumborum ingentes dolores adsunt, & manuum ad motum impotentia.

His ita contingentibus, tum à clauiculis ad iugula, ad malas & linguam neruorum distentiones fieri cõsueuerunt. Et ex his paulò post in posteriora à tendinibus iuxta spinam & lumbos tendunt, sicq; morbi violentia pereunt. Inchoantibus igitur fluoribus ad hunc modum victus rationem denunciare oportet. Sub diluculum quidem medicamentum aliquod ex his quæ describã, quo potissimùm opus esse videatur, ad fluores potui exhibeto, idq; ter aut quater. Et si copiosus sanguis feratur, victus rationem instituito, si quidem sine febre fuerint, ex cibariis, si verò febricitarint, ex sorbitionibus. Ex sorbitionibus autem maximè conueniunt panicum, lenticula, farina setania cocta, alica decocta sorbilis, zea percocta. Ex potionibus verò polentæ pollen tenuissimus ex aqua, & contusa ex panibus decerpta fragmenta, & tenuis ex hordeo recenti farina aqua macerata, quæ etiam insulsa delingenda. Ex cibariis verò panis exassatus in cinere, pro opsonio autem leporis caro, columbi & palumbis, tum elixa, tum assata, hœdina caro assata, absq; vllo condimento, aceto intincta, capræ aut bouis hepar in cinere assatũ, oui tenue aut vitellus, caseus sine sale. Olus nullum neq; coctum, neq; crudum gustandum, balneis abstinendum, manus ambæ vinculis ex lana succida intorta deligandæ, ita vt laqueum ad superiores cubitorum & poplitum partes supra genua iniicias. Et sublatis mãmis cucurbitulas modò quidem dextra, modò etiam sinistra parte adhibeto. Quod si admotis cucurbitulis suboriatur spirandi difficultas, eas detrahito, sanguinemq; educito. Medicamentis verò subdititiis iis vtitor, quæ describã ad sanguinem sistendum accommodatis. Si quidem ex his fluoribus supersit, copioso abeũte sanguine, tum color apuæ similis, tum facies subtumida est, oculi intumescunt, crura turgescunt, vterus humidus est, semperque præter modum apertus est, & aquosa effluunt, velut carnium crudarum succus. In his si vires validæ fuerint ieiunis vomitiones ciere oportet, & à vomitionibus prandium exhibere. His paucus cibus confert, vinum nigrum meracius, balnei abstinentia, aut frigidę balneum, deambulationes, semel die cibus, omnia siccantia. Quod si per hæc non restituantur vteri, nec considant, neque à fluxionibus vindicentur, adhibita virium corporis ratione, si quidem robusta sit, elleborum dare oportet. Si verò dicto non paruerit, caput purgandum, & post purgationem reliquam victus rationem ad eundem modum adhibeto, velut in his quæ non pariunt. Adhibendæ verò in considerationem etiam sunt mulierum tum naturæ, tum colores, tum ætates, & anni tempestates, & loca, & vẽti. Aliæ quidem frigidæ, aliæ humidæ & fluidæ. Aliæ verò calidæ quidem, sed cciores & stabiles sunt. Nam quæ supra modum albæ sunt, humidiores & fluxionibus opportuniores existunt, nigræ verò sicciores & adstrictiores. Quæ verò colore sunt subfusco & vinoso, medium quiddam inter vtrasq; obtinent. Ad eundem etiam modum circa ætates cõtingit. Iuuenculæ enim humidiores sunt, fereque similiter copioso sanguine abundant. Vetulæ verò sicciores paucum habent sanguinem. Quæ autem in medio sunt positæ, medium quiddam inter vtrasque habent, in ætatis æquilibrio constitutæ. Eum autem qui hæc rectè tractare volet, mulierũ naturas,

ὁκόταν δὲ τοιαῦτα γίνηται, τότε καὶ τέτανοι φιλέουσι γίνεσθαι, ἀπὸ τῶν κληίδων κατὰ τὰς σφαγὰς ἐς τὰς γνάθους, καὶ τὴν γλῶσσαν. ἐκ δὲ τῶν τοιουτέων ὀλίγῳ ὕστερον ὄπισθεν ἀπὸ τῶν τενόντων κατὰ τὴν ῥάχιν ἐς ὀσφῦν, καὶ ὧδε ἀπόλλυνται κατὰ βίην. προλέγειν οὖν δεῖ ἀρχομένων τῶν ῥόων, διαιτῆν τόνδε τὸν τρόπον. πρωῒ μὲν διδόναι πρὸς τοὺς ῥόους φάρμακον πίνειν, ὧν ἂν ἐγὼ γράφω, ὅ τι ἂν δοκέῃ δεῖσθαι μάλιστα. διδόναι δὲ καὶ τρὶς καὶ τετράκις. καὶ ἢν πουλὺ ἀπίῃ τὸ αἷμα, διαιτῆν οὖν. ἢν μὲν ἀπύρετοι ἔωσι, σιτίοισιν. ἢν δὲ πυρεταίνωσι, ῥοφήμασι. ἔστι δὲ τῶν μὲν ῥοφημάτων, τάδε ἐπιτήδεια. ἔλυμος. φακὸς. ἄλητον ἑφθόν. σητάνιον. χόνδρος καθεφθὸς, ῥοφητός. ζεὰ καθεφθός. τῶν δὲ πομάτων, πάλη ἀλφίτου, ἐφ' ὕδατι. καὶ τὰ κλύσματα ἀπὸ τῶν ἄρτων κεχομμένα.[4] καὶ ἄλφιτα πρόσκαια λεπτὰ βεβρεγμένα ἐν ὕδατι, ἃ καὶ ἐλλείχειν ἀμύητα. τῶν δὲ σιτίων, ἄρτος ἐξοπτὸς ἐν σποδιῇ. ὄψον δὲ, λαγῷου κρέας. πελειάδος. φάσσης. καὶ ἑφθὰ καὶ ὀπτά. ἐρίφου τε κρέας ὀπτὸν μηδενὶ πέπερι πεποιημένον ἐς ὄξος ἐμβάπτων. ἧπαρ τε ἐν σποδιῇ ὀπτὸν, αἰγὸς ἢ βοός. ᾠοῦ δὲ λεπτὸν ἢ ὁ λέκιθος. τυρὸς ἄναλτος. λαχάνων δὲ μηδὲ τινος γεύεσθαι, μήτε ἑφθῶν, μήτε ὠμῶν. καὶ λουτρῶν ἀπέχεσθαι. καὶ ἐπιδεῖν τὼ χεῖρε, εἰρίῳ ῥερυπωμένῳ στρέψαντα, καὶ παχετὸν ποιήσαντα ὑπὲρ τῶν ἀγκώνων καὶ τῶν ἰγνύων ὑπὲρ τῶν γουνάτων.[6] καὶ σικύας ἀείρειν, ἐπάρας μαζοὺς ὑπ' αὐτοὺς. ἄλλοτε μὲν ἐς τὰ δεξιά. ἄλλοτε δὲ ἐς τὰ λαιά. ἢν δὲ δύσπνοια γίνηται, πρὸς τὴν προσβολὴν τῆς σικύης, ἀφαιρεῖν τὴν σικύην. αἷμα δὲ μὴ ἀπάγειν, προσθέτοισι δὲ χρῆσθαι, οἷσιν ἂν ἐγὼ γράψω τῶν στασίμων τοῦ αἵματος προσθετὰ ποιέοντα τῇσι τοιαύτῃσι. ἢν μὲν περιγίνηται ἐκ τῶν ῥόων, ἀπιόντος πολλοῦ αἵματος,[7] τό, τε χρῶμα ἀφυῶδες. καὶ τὸ πρόσωπον μετάρσιον. καὶ ἐν τοῖσιν ὑποφθαλμίοισιν οἰδήματα. καὶ τὰ σκέλεα ἐπηρμένα, καὶ ἡ ὑστέρη ὑγρή. καὶ αἰεὶ ἔσονται παρὰ λόγον, καὶ τὰ ἀπιόντα ὑδαρέα, οἷον ἀπὸ κρεῶν ὠμῶν χυμός. τῇσι τοιαύτῃσι χρὴ, ὅταν ἰσχύῃ, καὶ ἐμέτους ποιέειν, καὶ νηστείας. καὶ μετὰ τοὺς ἐμέτους, ἄριστον διδόναι. ταύτῃσι συμφέρει ἡ ὀλιγοποσίη. οἶνος ἀκρητέστερος. ἀλουσίη, ἢ ψυχρολουσίη. περίπατοι. μονοσιτίη. πᾶσα ξηρασίη. ἢν δὲ πρὸς ταῦτα μὴ καθιστέωνται, μηδὲ ξυμπίπτωσιν αἱ ὑστέραι, μηδὲ τῶν ῥευμάτων ἀπαλλάσσωνται, ἀποσκεπτομένοισι χρὴ ἐς τὴν δύναμιν τοῦ σώματος. καὶ ἢν ᾖ δυνατὴ, ἐλλεβορίζειν. ἢν δὲ μὴ ἐπακούσῃ, τὴν κεφαλὴν καθαίρειν. καθήραντα δὲ τὰ λοιπὰ διαίτῃ θεραπεύειν τὸν αὐτὸν τρόπον καὶ περὶ τὰς ἀτόκους. σκεπτέον δὲ καὶ τὰς φύσιας τῶν γυναικῶν, καὶ τὰς χροιὰς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα. αἱ μὲν γὰρ ψυχραί. αἱ δὲ ὑγραί, καὶ ῥοώδεες. αἱ δὲ θερμαὶ μὲν, ξηρότεραι δὲ, καὶ στάσιμοί εἰσιν.[8] αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε, καὶ ῥοωδέστεραι. αἱ δὲ μέλαιναι, ξηρότεραί τε, καὶ στρυφνότεραι. αἱ δὲ οἰνωποὶ, μεσηγύ τι ἀμφοῖν ἔχουσι. καὶ ἀμφὶ τῶν ἡλικιῶν ὡσαύτως ξυμβαίνει. αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι, ὁμοίως ἐπὶ τὸ πολύ. αἱ δὲ πρεσβύτεραι, ξηρότεραι καὶ ὀλίγαιμοι. αἱ δὲ μέσαι, μέσον τι ἀμφοτέρων ἔχουσιν,[9] ἴσαι νῦν ἐοῦσαι. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα διαχειριζόμενον διαγινώσκειν ἑκάστοτε τὰς φύσιας τῶν γυναικῶν,

καὶ τοὺς καιροὺς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα. Ἢν ῥόος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, αἷμα ῥέει πολλόν. καὶ θρόμβοι πεπηγότες ἐκπίπτουσι. καὶ ἡ ὀδύνη ἴσχει ἐς τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν νειαίρην γαστέρα. καὶ σκληρή ἐστι. καὶ ψηλαφωμένη ἀλγέει. καὶ ῥῖγος, καὶ πυρετὸς ὀξὺς λαμβάνει. καὶ ἀσθενείη ἐγγίνεται. καὶ πάντα πλὴν ὤμων καὶ ὠμοπλατέων ἀλγέει. καὶ θέρμη ἔχει. καὶ ἐρύθημα. καὶ τὰ φλέβια σκληρὰ ἀντιτυπέοντα. ἡ δὲ νοῦσος γίνεται μάλιστα ἐκ τρωσμῶν. γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια μὴ γινόμενα ἀπὸ πολλοῦ 10 χρόνου, ἐξαπίνης καταῤῥαγῇ. ταύτην ὁκόταν ὧδε ἔχῃ, ὄλυνθον ξηρὴν κόψας, καὶ διασήσας ἐς ὀθόνιον ἐνδῆσαι, καὶ προσθέσθαι. καὶ ἐπὶ τὴν νειαίρην γαστέρα ψύγματα ἐπιτιθέναι, φυλασσόμενος μὴ φρίξῃ. ἐπειδὰν δὲ ὁ ῥεῦμα στῇ, ἀγριελαίης φύλλα ἑψήσας ἐν ὄξει ὀξυτάτῳ, διανιψάσθω τὰ αἰδοῖα. πινέτω δὲ γίγαρτα.[10] καὶ ῥοιὰν τὴν ἐρυθρὴν ἑψήσας ἐν ὕδατι ὡς ὀξυτάτῳ, ἀλειψάσθω τὰ αἰδοῖα, ὅσον ἡμικοτύλιον. ἢ μόρα τὰ ἀπὸ τῆς βάτου τὰ ἐρυθρὰ ξηράνας. καὶ τρίψας λεῖα μετ' ἀλήτου σητανίου μίσγων ἴσον ἴσῳ, νήστει διδόναι πίνειν. ἢν δὲ θέλῃς ἰσχυρότε- 20 ρον,[11] σητανίου ξυμμίξας δύο μοίρας ἀλήτου ἐπιβαλὼν, πίσαι. καὶ μὴ λουέσθω. σιτίοισι δὲ χρήσθω ξηροῖσι.[12] καὶ οἴνῳ μέλανι οἰνώδει. ἢν δὲ οἰδέῃ πεπαυμένου ἤδη τοῦ ῥόου,[13] φάρμακον πίσαι κάτω. μετὰ δὲ τὸ φάρμακον, τὰς ὑστέρας κλύσαι, τῷ ἀπὸ τῶν ὀλύνθων. καὶ μετακλύζειν στρυφνοῖσιν.[14] ἢν ταῦτα παθοῦσα ὑγρανθῇ, θυμιήσθω ἕως ἂν ἀποξηραίνῃ. ῥόος ἐρυθρός. ῥέει τοιόνδε οἷον αἷμα νεοσφαγές,[15] καὶ θρόμβια διαλείποντα. ἄλλοτε δὲ καὶ ῥόον ἐρυθρὸν[16] ἐκβράσσει. καὶ γαστὴρ ἡ νειαίρη ἐπαίρεται. καὶ λεπτύνεται.[17] καὶ φυσᾶται. καὶ σκληρύνεται. καὶ ἀλγέει ψαυομένη ὡς ἕλ- 30 κεος. καὶ πῦρ ἔχει. καὶ βρυγμός. ὀδύνη τε ἐς ταῦτα τὰ αἰδοῖα. καὶ τὸ ἐπίσιον. καὶ ἐς τὸν κενεῶνα. καὶ τὰς ἰξύας.[18] καὶ τένοντα. καὶ κοιλίην. καὶ στῆθος. καὶ τὰς ὠμοπλάτας, καὶ ἄλλα πάντα ἀλγέει. καὶ ἀδυναμίη. καὶ ὀλιγοψυχίη ἔχει.[19] καὶ ὁ χρὼς τρέπεται. καταρχὰς τῆς νούσου τάδε ἐπιλαμβάνει. ἢν δὲ μηκύνῃ ταῦτα πάντα, ἐπὶ μᾶλλον ἀσθενεῖ. καὶ δῆλος ἡ νοῦσος. καὶ τὰ κοῖλα ἐπαείρεται. καὶ οἱ πόδες οἰδέουσιν. ἡ δὲ νοῦσος λάζεται ἐκ τόκου μάλιστα. ἤντι ἐν αὐτῇ διακινηθὲν μὴ ἴῃ, ἀλλ' ἐνσάπηται καὶ τρηχυνθῇ τὸ ἔμβρυον. ταύτην κατ' ἀρχὰς ἢν ἐπιτυγχάνῃς, 40 σπόγγον καταβρέχοντα προστιθέναι ὁκόταν ἡ ὀδύνη. καὶ ὀθόνιον λεῖον μαλθακὸν[20] καθεψῶν, ὕδατι τέγγοντα ψυχρῷ, ἐπὶ γαστέρα ἐπιβάλλειν. καὶ ὕδατι ψυχρῷ καταχεῖν. καὶ τὴν κλίνην ἀπὸ ποδῶν ὑψηλοτέρην εἶναι. καὶ στορέσαι ὧδε. καὶ τῶν γυναικείων πειρώμενος,[21] ὅ,τι ἂν μᾶλλον προσίῃ, πιπίσκειν. τοῦ σελίνου τὸν καρπὸν φῶσαι. καὶ σῆσαι. καὶ κόψαι. καὶ ἐρύσιμον ὡσαύτως. καὶ μήκωνος καρπὸν σὺν ἀλφίτοισι σήσας. καὶ κνίδης καρπὸν ὡσαύτως. καὶ τῆς ψώρας ἀγριελαίης. καὶ κικίδα. καὶ πήγανον. καὶ ὀρίγανον. καὶ γλήχωνα ἐν ἀλφίτοις σῆσαι, καὶ φυρῆσαι.[22] καὶ κρίμνα ἐπ' ἀλφίτων ἁδρὰ, φῶξαι, καὶ πύεινα καταλέσας. καὶ τυρὸν αἴγειον προξέσαντα τὸ αἶσχος. καὶ τῶν μὲν ἄλλων ἴσον ἑκάστου μίσγε. ὀρίγανον δὲ καὶ πήγανον, καὶ ψώρας καὶ κικίδος ἥμισυ, ταῦτα πίνειν νῆστιν πρὶν προσκινήσιος.

& temporum opportunitates, & ætates, & anni tempestates, & loca, & ventos, semper dignoſcere oportet. Si fluor in vteris gignatur, copioſus ſanguis fluit, & grumi concreti excidunt, dolor ad lumbos, laterum inanitates, & imum ventrem detinet, qui durus eſt & contactus dolet, rigor & febris acuta prehendit, imbecillitas innaſcitur, omnia preter humeros & ſcoptula operta dolent, calor & rubor detinet, venæque duræ ſunt ac renitentes. His morbus ex abortionibus præcipuè oritur. Quinetiam contingit cùm menſes diu retenti de repente affatim proruperint. Huic ita habenti groſſum ſiccam, contuſam & cribratam, in linteo ligatam, in ſubditițio apponito, & imo ventri refrigerantia admoueto, ea cautione ne inhorreſcat. Poſtquàm autem fluor conſtiterit, oleæ agreſtis foliis in acerrimo aceto decoctis, pudenda perluat. Bibat autem vinacea, aut rhoë rubro in aceti acerrimi hemina dimidia decocto, pudenda abluat. Aut mora rubi rubra, ſiccata & tenuiter trita, cum farina ſetanea, æquali portione mixta, ieiunæ potui exhibeto. Quòd ſi vehementius voles, ſetaneæ farinæ duas partes iniectas & ammixtas propinato, neque lauet. Cibis autem vtatur ſiccis, & vino nigro generoſo. Si verò intumuerit, ſedato iam fluore, medicamentum deorſum purgans propinato. A medicamenti potione vteros groſſorum decocto, poſtea etiam acerbis colluito. Si ſic affecta adhuc humecta fuerit, ſuffitum quoad exiccet adhibeto. In fluore rubro ſanguis qualis recenter iugulatæ victimæ fluit, & per interualla ſanguinis grumi, quandoque verò etiam fluorem rubrum eiicit, venter imus attollitur, extenuatur, inflatur, induratur, ad contactum velut vlceratus indoleſcit, febris & dentium fremitus detinet, dolor eſt ad ipſa pudenda, pubem, lateris inanitatem, lumbos, tendinem, ventrem, pectus, & ſcapulas, reliquáque omnia dolent, impotentia & animi demiſſio detinet, & color vertitur. Hæc circa morbi initia inuadunt. Quòd ſi hæc omnia producantur, longè magis debilitatur, & manifeſtus eſt morbus, cauitates ſub oculis aſſurgunt, & pedes intumeſcunt. Hic autem morbus ex partu præcipuè prehendit, ſi quid in ipſa vellicatum non exierit, ſed intus computruerit, fœtúſque exaſperatus fuerit. In hanc ſi circa initia incideris, cùm dolor adfuerit, ſpongiam madefactam admoueto, & linteum rarum, molle deraſum, aqua frigida imbutum ventri iniicito, frigidáque perfundito, lectúmque à pedibus excitatum ſic ſternito, medicamentúmque aliquod ex his quæ mulieribus debentur, facto eius periculo quodnam lubentiùs aſſumat, propinato. Apij ſemen toſtum contundito & cribrato, & irionem eodem modo, & peplij ſemen cum polenta cribratum, & vrticæ ſemen ſimiliter, & oleaſtri ſcabiem, gallam, rutam, origanum, pulegium cum polenta cribratum ac ſubactum, & farinæ hordeaceæ craſſiores partes toſtas, & farinam triticeam commolitam, caſeúmq; caprinum abraſis ſordibus, aliorum quidem ſingulorum parem portionem miſceto, origani verò & rutæ, & ſcabiei & gallæ dimidium, hæc mane ieiunæ antequam moueatur potui exhibeto.

Miscenda autem sunt ad vsum, si acria prodeant, & in Cyceone danda. Sit autem medicamenti pars vna, casei vna, polentæ vna. Sub vesperam autem melle ammixto potui exhibenda. Et hæc quidem facienda quoad morbi exordia fuerint, & multus sanguis pauco intermisso tempore fluxerit, grauésq; dolores tenuerint. Sin verò parcior sanguis & breuiore tempore fluxerit quę sanè deorsum aut sursum secedũt propinato, pudendáque lenibus fomentis, vt semper occasio tulerit, foueto. Et zeam vnà cum cortice contusam, & caprifici grossos siccatas, tusas & cribratas, & oleæ folia similiter, singulorum æquales partes ex cataplasmate admoueto. Lácq; bubulum, aut coctum, aut crudum propinato, vt opportunum esse videbitur, ad id quod probè habet attendendo. Nam languidus & lethalis hic morbus esse videtur, paucæque ex eo euadunt. Cùm mulieri sanguis fluit ex locis sub articulis, hæc ex partu aut labore corrupta est. Hoc fluorem esse muliebrem quidam Medici existimant, est verò aliud quiddam. Hoc quidẽ ex articulis aliud quiddã est, & ex lumbis, & ex coxendice glutinosum simul cum sanguine defluit. Illud verò ex vteris & cauitate venarum, purus sanguis. Huic per inferiora suffitus parandus. Zeæ contusæ semisextarium pauco aceto subigito, vt ne penitus vteros humectes, etiam sulphuris semiobolum ad zeas contritas admixtum, & aceto subactum per noctem ponito. Mane verò accenso multo igne, ea quæ dolia olearia obturant, admixtis fulloniis sordibus, & serpentis semine imponito. Ablato verò multo igne, excitato potissimùm fumo vrito. Sellam autem pertusam esse oportet, in qua mulier circumtecta, ne quid perspiret, consideat. Medicamentum verò cum aceto paratum, & serpentis semen, in ignem inspargito. Quinetiam myrrha admixta efficax est, quæ etiã suffitu cruorem ex pudendis abstergit. Quod si satis esse videatur, erysimi semẽ torrefactum, tritum ex vino exhibeto. In fuluo fluore copiosum & graueolens tanquam ex ouo aspectu inuiso effluit, vteri inflammatione laborant, dolor ex lumbis & inguinibus erumpit, quæ prodeunt copiosa sunt, & nisi liberetur, celeriter fluẽtia. Quin & si tempus accedat, quæ restant quàm maximè putrefacit. Rigor eam prehendit, & tãquam carnium assatarum succus effluit, & vnà cum his febres vehementes & rigores corripiunt. Ex huiusmodi fluoribus multæ pereunt, paucæ verò euadunt. Et si quidem initio in manus sumpseris, ad hunc modum curare oportet. Si quidem febre careãt & viribus valeant, veratrum exhibendum. Ex quo intermissis tribus aut quatuor diebus, medicamentum deorsum purgans exhibẽdum. Post purgationem autem hęc victus ratio institui debet, vt quæ fluunt copiosa sint & leuia. Mane quidem ieiunæ medicamentũ aliquod ex his quæ ad fluorem describam exhibendum, aut vino inspersum bibendum. Post autem exhibitum medicamentum, alia ad curationẽ victus ratio instituenda, vteri verò ad hunc modum curandi. Si quidem inflammatione laborent aut conniueant, fomenta emollientia quoad vterorum os molle euadat, admouere oportet. A fomentis, collutiones quibus opus esse videbitur, siue magis purgantibus, siue magis emollientibus, infundendæ.

κιρνάναι δὲ χρὴ καὶ ἐς χρῆσιν. ἢν δριμέα ἴοι, καὶ κυκεῶνι διδόναι. ἓν μὲν τοῦ φαρμάκου μέρος ἔστω. ἓν δὲ τοῦ τυροῦ. ἓν δὲ τῶν ἀλφίτων. ἐς ἑσπέρην δὲ τοῦ μέλιτος ξυμμίσγοντα πιπίσκειν. καὶ ἄχρι μὲν ἂν ἀρχῆς ἔχηται τῇ νούσῳ, καὶ τὸ αἷμα συχνὸν ῥέῃ,[23] καὶ διαλείπων ὀλίγον χρόνον, καὶ ὀδύναι ὀξεῖαι ἴσχωσι, ταῦτα χρὴ ποιέειν. ἢν δὲ τὸ αἷμα ἔλασσον ῥυῇ, καὶ δι᾽ ἐλάσσονος χρόνου, πιπίσκειν ἃ δὴ κάτω ὑποχωρέει, ἢ ἄνω. καὶ πυριῆν τὰ αἰδοῖα βληχροῖσι πυριήμασιν, ὡς ἂν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. καὶ ζειὰς ἑψήσαντα ξὺν τοῖσι κελύφεσι. καὶ ὀλύνθους ἐρινεοὺς αὐήναντα κόψαι. καὶ σῆσαι. καὶ ἐλαίης φύλλα ὁμοίως ἴσον ἑκάστου καταπλάσσειν. καὶ γάλα πιπίσκειν βόειον, ἢ ἑφθὸν. ἢ ὠμόν. καὶ πρὸς τὸ ὀρθῶς ἔχον ὁρᾶν, ὡς ἂν καιρὸς δοκέῃ εἶναι. καὶ ἡ νοῦσος δοκέει βληχρὴ εἶναι καὶ θανατώδης. ὀλίγαι δὲ τῆς τοιαύτης νούσου διαφυγγάνουσιν. ὁκόταν γυναικὶ αἷμα ῥέῃ,[24] ὑπὸ τῶν ἄρθρων, ὑπὸ τόκου διεφθορυῖα, ἢ ἀπὸ τοῦ πόνου. οἴονται δὲ ἔνιοι τοῦτο τῶν ἰητρῶν, ῥόον εἶναι. τὸ δέ ἐστιν ἑτεροῖον. τοῦτο μὲν ἐκ τῶν ἄρθρων ἐστὶν ἑτεροῖον, κἀκ τῆς ὀσφύος καὶ ἰσχίου, κολλῶδες ἅμα τῷ αἵματι. κεῖνο δὲ ἀπὸ ὑστερέων καὶ κοίλων φλεβῶν, καθαρὸν αἷμα. ταύτην χρὴ ὑποθυμιῆν,[25] ζειὰς κατερρήξαντα, ὅσον ἡμίεκτον, ὄξει φυρῆσαι ὀλίγῳ, ὅκως μὴ κάρτα πολὺ ὑγραίνῃς τὰς μήτρας. καὶ τοῦ θείου ὅσον ἡμιωβόλιον μίξας πρὸς τὰς ζειὰς τετριμμένας, καὶ τῷ ὄξει φυρήσας, τὴν νύκτα τιθέναι. πρωῒ δὲ πῦρ πολλὸν κατακαύσας, ἐπιτιθέναι[26] βύσματα ἀπὸ ἐλαιηρῶν κεραμίων. καὶ ἀπὸ τοῦ κνάφου τοῦ κναφέων ξυμμίσγειν καθαρσίων, καὶ τοῦ καρποῦ τοῦ ὄφιος. ἀφαιρέειν δὲ τὸ πολλὸν τοῦ πυρὸς,[27] καὶ καίειν. καπνιῆν δὲ μάλιστα. δίφρον δὲ χρὴ ὀπήεντα εἶναι, καὶ ἀμφιέζεσθαι τὴν γυναῖκα περιεσταλμένην εἵμασιν, ὡς μὴ διαπνέῃ. ἐπὶ δὲ τὸ πῦρ ἐπιπάσσειν τὸ ξὺν τῷ ὄξει. καὶ τοῦ καρποῦ τοῦ ὄφιος. καὶ σμύρνα δὲ μισγομένη, ἐνεργόν. καὶ παύει τὰ αἰδοῖα τῷ θυμιῆν τὸν αἱμάσσεσθαι. ἢν δὲ ἅλις ἔχῃ, ἐρυσίμου καρπὸν πεφωσμένον τρῖψαι, καὶ ἐν οἴνῳ διδόναι. Ῥόος πυρρὸς ῥέει, οἷον ἐξ ὠοῦ εἰδεχθέος πουλύ τε καὶ δυσώδμον. καὶ φλεγμαίνουσιν αἱ ὑστέραι. καὶ ὀδύνη ἐκ τῆς ὀσφύος καὶ τῶν βουβώνων. καὶ τὰ ἐξερχόμενα πολλά. καὶ ἢν μὴ ἀπαλλάσσηται, ταχὺ ῥέοντα. ἀλλ᾽ εἰ καὶ χρόνος ἐγγένηται, τὰ λείποντα σήπει, ὡς οἷόν τε μάλιστα. ῥιγέει γὰρ, καὶ οἷον ἀπὸ κρεῶν ὀπτῶν, χυμὸς ἐπιρρέει. ἅμα δὲ τουτέοισι, πυρετοὶ ἰσχυροὶ, καὶ ῥίγεα. ἐκ δὲ τῶν τοιούτων ῥόων, αἱ μὲν πολλαὶ, ἀπόλλυνται. ὀλίγαι δὲ διαφυγγάνουσι. ἢν μὲν ἐν ἀρχῇ παραλάβῃς, θεραπεύειν ὧδε χρή. ἢν μὲν ἀπύρετοι ἔωσι, καὶ ἰσχύωσιν, ἐλλεβορίζειν. ὅταν δὲ γένηται διαλιπόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, κάτω πῖσαι φάρμακον. μετὰ δὲ τὴν κάθαρσιν, διαιτᾶν ὀφείλεις ὧδε. ὅκως τὰ ῥεύματα ὑδαρέα ἔσται,[28] καὶ λεπτά. πρωῒ μὲν νῆστιν διδόναι τῶν φαρμάκων, ἢ πίνειν ἐπ᾽ οἶνον ἐπιπάσσων, ὧν ἂν ἐγὼ γράψω, πρὸς ῥόον. μετὰ δὲ τὸ φάρμακον, ἐν τῇ ἄλλῃ διαίτῃ θεραπεύειν. τὰς δὲ ὑστέρας, θεραπεύειν ὧδε. ἢν μὲν φλεγμαίνωσι, καὶ ξυμμεμύκωσι, πυριῆν χρὴ, μαλθακτικοῖσι πυρίῃσι, μέχρις οὗ τὸ στόμα τῶν μητρέων μαλθακὸν γένηται. μετὰ δὲ τὰς πυρίας, κλύζειν τῶν κλυσμάτων ὁκοίοισιν ἂν δοκέῃ δεῖσθαι. ἤτοι καθαρτικωτέροισιν, ἤτε μαλθακωτέροισι.

μετὰ δὲ

μετὰ δὲ τοὺς κλυσμοὺς, μαλθακτήρια προστιθέναι.[29] ἢν δὲ μὴ εὔλυτον τὸ στόμα γίνηται, πυρίῃ καὶ μαλθάσσειν προσθέτοισιν, ὧν ἂν ἐγὼ γράφω, μέχρις ἂν ἀναστομωθῇ. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται τὰ ῥεύματα, καθαίρειν τὴν κεφαλὴν, καὶ οὕτως διαιτῆν. ἢν μὲν ἄπυρος ᾖ, ὄνου γάλα πίνειν. λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι καὶ ἀγρίοισι, πλὴν σκορόδων, καὶ πράσων, καὶ κράμβης, καὶ ῥαφανίου τῆς μακρῆς. θαλασσίων δὲ, βάτῳ τῇ λείῳ. σκορπίῳ. γόγγρῳ. νάρκῃ. ἐγχέλυϊ. ψήσσῃ. κωβιῷ. ἕψειν δὲ χρὴ ἐν κρομμύοισι, καὶ κοριάννοισιν. ἐν ἅλμῃ γλυκείῃ καὶ λιπαρῇ, διεφθα. κρεῶν δὲ, μάλιστα μὲν συός. δεύτερον δὲ,[30] ἀρνοδ, ἢ οἴος ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι. καὶ τοῖσι ζωμοῖσιν, οἴνῳ λευκῷ[31] μελιχρῷ, ἢ ὑδαρεῖ. λουέσθωσαν ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι μηδὲ πολλοῖσιν. ἢν δὲ πρὸς ταύτην τὴν δίαιταν, τῆς μὲν ἑλκώσιος καὶ τῆς φλεγμασίης ἀπηλλάσσωνται, ὑγραὶ δὲ ὦσιν αἱ μῆτραι, ἀντὶ μὲν λουτρῶν ἀλουσίῃσιν.[32] ἀντὶ δὲ κιρρῶν οἴνων, μέλασιν. ἀντὶ δὲ ὑδαρεστέρων, ἀκρητεστέροισιν. ἀντὶ δὲ ἀλφίτων, ἄρτοισι. ἀντὶ δὲ ἰχθύων, κρέασιν ὀπτοῖσι. καὶ σιτίοισι πᾶσι τοῖσι ξηραντικοῖσιν, οἷσιπερ ἐπὶ τῇσι διαρροίῃσι χρεόμεθα. κλυσμῶν ἀπηλλάχθαι τούτων, πλὴν οἴνου καὶ ὕδατος. θυμιῆσθαι δὲ τοῖσι στυπτικοῖσιν. ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. ἢν δέ τις νεῆνις ᾖ, ἐμέτους νηστείας. πυκνὰ δὲ ἐπεμέειν. καὶ μετέπειτα ἀριστίζεσθαι μικρόν. αὕτη ῥόων τῶνδε τυγχάνει δίαιτα. Ῥόος λευκός. ῥέει λευκὸν, ὡς ὄνου οὖρον. καὶ ἐν τῷ προσώπῳ οἰδήματα. καὶ τὰ ὑποφθάλμια οἰδέει ἄμφω. ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν. καὶ τὸ λαμπρὸν ἄπεστι.[33] καὶ γλαμυροὶ οἱ ὀφθαλμοὶ καὶ ἀμβλυώσσοντες. καὶ τὸ χρῶμα ἀφυῶδες, καὶ φλυκταινοειδὲς, καὶ ἡ γαστὴρ ἐπηρμένη ἐς ὕδερον ἡ νειαίρη. καὶ ἐν τῇσι γνάθοισι κατὰ μικρὸν, ἐρυθρώδεά τε καὶ σμικρὰ καὶ ὑδαρέα καὶ πονηρά. καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα. καὶ ἢν πιέζῃς τῷ δακτύλῳ,[34] ἐμπλάσσεται ὥσπερ ἐν σταιτί. καὶ τὸ στόμα σιέλου ἐμπίπλαται. καρδιωγμοί τε ὁκόταν νήστιες ἔωσιν, ἢ καὶ ἐμέωσιν ὕδωρ ὀξύ. καὶ ἢν πρὸς ἄναντες πορεύηται ταχὺ ἆσθμα ἔχει. καὶ πνῖξ. καὶ σκελέων ἀπόψυξις. καὶ γουνάτων ἀκρασίη. καὶ ἐν τῷ στόματι ἄφθαι. καὶ ὑστέρη παρὰ λόγον αἰρέονται. καὶ ἐμπέπτωκεν ἐν τῷ στόματι βαρείη ὥσπερ μόλιβδος. καὶ διὰ τῶν μηρῶν διατείνουσιν ὀδύναι. καὶ ἀποψύχεται πάντα τὰ κάτω, τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρξάμενα, ἄχρι ποδῶν. καὶ τὰ θέναρα ναρκῶσι. ἐπιβαίνειν οὐ δύναται. τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τοῦ νοσήματος. αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν. οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τοῦ αὐτομάτου λύσιν γένηται. ταύτῃσι χρὴ ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ἄσσα χολὴν ξανθὴν μὴ καθαίρει. ἀλλὰ τὰ οὐρητικὰ ταύτῃσι ξυμφέρει πινόμενα. καὶ κεφαλῆς καθάρσιες. καὶ ἀλουσίαι. καὶ τὸ λευκὸν ἐπίθυμον πίνειν. καὶ περίπατοι. καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. ταῦτα δρῶσαι, ὑγιέες μὲν παντελῶς οὐ γίνονται, εὐπετέστεροι δὲ διάγουσι. Ῥόου λευκοῦ θεραπείη. καθαίρεται λευκὸν ὑπόχλωρον. καὶ ὅταν οὐρέῃ δάκνει. καὶ ἀμύσσει. καὶ ἑλκοῖ τὰς ὑστέρας καὶ πυρετὸς ἔχει ὀξύς. καὶ θέρμη πολλή. δίψα.

Post collutiones, emollientia in subdititio apponenda. Quòd si os non facilè soluatur, fomentis & subdititiis quæ ego describam emolliendum, quoad apertum sit. Quòd si ex his fluxiones minimè sedentur, caput purgandum, sicque victus ratio instituenda. Si quidem febris expers sit, lac asininum bibendū, oleribus coctis & domesticis & agrestibus vtendum, allio excepto, porro, brassica & raphano longo. Ex marinis autem raia læui, scorpio, congro, torpedine, anguilla, passere, gobio. Incoquendi autem sunt cum cepis & coriandro, in muria dulci & pingui, & probè cocti assumendi. Carnibus autem vtendum suillis maximè, deinde verò agninis aut ouillis, elixis potiùs cum iure, quàm assis. Vino albo, mellito, aut aquoso. Balneis excepto capite, non admodum calidis, neque multis. Quòd si sub hac victus ratione vteri humecti fuerint, & ab vlceratione quidem & inflammatione liberentur, pro balneis, his abstinendum, pro vinis fuluis, nigris vtendum, & pro dilutioribus, meracioribus, pro polenta, panibus, pro piscibus, carnibus assatis, cibisque omnibus desiccantibus, quibus in alui profluuiis vtimur. Collutionibus omnibus, præterquam vino & aqua abstinendum. Suffitus autem ex adstringentibus parandi. Optimum est vt concipiat. Quòd si iuuencula fuerit, frequentes vomitus ieiunæ prouocandi, deinde paulùm prandendum. Atque ista victus ratio his fluoribus est accommodata. In fluore albo effluit quid album velut asini vrina, facies intumescit, & partes sub oculis vtrisque, oculi quales hydrope laborantibus, & aspectu deformes, a quibus splendor abest, gramiosi & caligantes, corpus colore apuam referens & pustulosum, venter imus in tumorem sublatus, in maxillis sensim excitantur rubores parui, aquosi & maligni, & in cruribus tumores, quos si digito presseris, nota affigitur, non secus ac in farinæ massa aqua subacta, os saliua plenum est, cùm ieiunę fuerint, aut veluti aquam acidam vomitione reiecerint, oris ventriculi morsus sentiuntur. Quòd si ad accliuem locum processerint, frequens spiratio & suffocatio celeriùs corripit, crurum perfrictio, & genuum impotentia, in ore superficiaria vlcera (ἄφθαι dictæ) suboriuntur, vterus præter modum dehiscit, & in osculum grauis velut plumbum decumbit. Dolores ad femora se extendunt, & inferiores omnes partes, ab imo ventre inchoando, ad pedes vsque, perfrigerantur, plantæ torpescunt, neque incedere possunt. Has ab his morbis vindicare difficile. Nam & cum ætate longiùs progrediuntur, & labores consenescunt, nisi secunda aliqua fortuna sponte contingat, quæ solutionem afferat. In his quidem quod redundat, medicamentis quæ bilem non purgant est exhauriendum. Quin & quæ vrinas mouent potui exhibita his conducunt, & capitis purgationes, balnei abstinentia, epithymum album epotum, obambulationes, & omnis victus ratio desiccans. Quæ cùm fecerint, non prorsus quidem conualescunt, faciliùs tamen degunt. Fluoris albi curatio. Album & subpallidum expurgatur, cúmque vrinam reddit, morsum & lancinationem percipit, vterus exulceratur, febris acuta detinet, calor multus, sitis & insomnia, &

mente alienantur. Cùm quid festinàter egerit, ipsam crebra spiratio (ἆσθμα dicta) detinet, & mēbra soluuntur. Huic peplum album propinare conuenit, & vrticæ semen præstat etiam mali punici dulcis radicem & folia, & rhoëm, & gallam. Hæc ex vino acerbo propinanda, & mali punici succum admixto caseo caprino, zeas & grossos hybernas, oleæ folia, & eiusdem scabiem ad suffitum subter apponito, cum cortice cucumeris agrestis ad tertiam partem addito, reliquis verò æquali portione. Sorbitiones ex oleribus coctis, amygdalis & sesamo assumat, pensilibus gestationibus & vehiculis vtatur, neque quiescat. Alius fluor. Copiosum effluit quale ouillum lotium, colore album, totaque intumescit, in tibiis tumidæ quædam laxæ & rubicundæ cutis eminentiæ exurgunt, sique digito contrectaris, in tibiis & pedibus fossularum vestigia infiguntur, si quid ederit, impletur ac intenditur, cúmq; in viam se dederit, & opus aliquod confecerit, crebra & frequens spiratio dolórque ipsam prehendit, colórque interdum albus & suppallidus. Huic si vires valeant, iuuenis sit, cæteráque compareant, per initia medicamentum sursum & deorsum purgans exhibeto, capútque per ea quę pituitam purgant, si pituita redundarit, purgato, si verò bile, per ea quæ bilem. Et si anni tempus ferat, neque natura lienosa fuerit, sique aliquid ex supra dictis affuerit, serum decoctum quamplurimo tempore potui exhibeto, sub vesperam autem vinum dulce aquosum, si opus sit, cibum verò ne attingat. Si vcrò imbecilla fuerit, paucissimam sorbitionem assumat, neque lauet. Vbi autem tibi opportunum esse videbitur, à potu cesset, & post purgationem cibis vtatur, à pinguibus sibi temperans, acribus, dulcibus, salsis, & oleribus acribus. Piscibus vtatur saxatilibus, & carnibus ouillis, gallinaceis, & leporinis, pane fermentato, aut hordeo fresо. Oleribus etiam coctis vtatur, & agrestibus esui aptis, & domesticis, acribus exceptis, maneque & à cibo obambulet. Ex quibus si tibi fortior esse videatur, vteros ex fæce vini colluito, tribúsque aut quatuor intermissis diebus, postea acerbis eluito, & mora iniecta, si quidem sicca fuerit, quiescito. Quòd si natura biliosa aut pituitosa fuerit, ex victus verò ratione & potione medicamentorum emaciata, vires colligere nequeat, lac bubulũ per quadraginta dies, calidum ex vacca assumat. Pituitosam tamen præstiterit cibis quampaucissimis vti, quamdiu lac biberit, cuius mensura sit sex heminarum Atticarum. Initium autem à duabus faciendum, & singulis diebus vnam addat, donec ad sex perueniat, paulatimque ad minorem quantitatem descendat, & post lactis potum, cibis & victus ratione reficito. At post lactis potionem, mane ieiuno stomacho adiantum siccum, contusum, per cribrum excussorium transmissum bibat, ex vino nigro odorato temperato exhibitum. At si morbus reuertatur, hanc totam foueto, rursusque medicamentis per inferiora purgato, posteáque vteros colluito, si quidem natura pituitosa fuerit, per granum cnidium, aut thapsiæ radicem. Si verò biliosa, per scammonię succum, & colocynthidem agrestem.

γρυπνίη. καὶ ἔκφρονες γίνονται. καὶ ὅταν σπουδάσῃ, ἆσθμά μιν ἔχει. καὶ τὰ γυῖα λύονται. ταύτην δέον μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, ἄμεινον καὶ ῥοιῆς γλυκείης ῥίζαν, καὶ φύλλα, καὶ ῥόον, καὶ κικίδα. ταῦτα ἐν οἴνῳ στρυφνῷ διδόναι πιπίσκειν. καὶ ῥοιῆς χυλὸν. καὶ ξυμμίσγειν τυρὸν αἴγειον. ὑποκάπνιζε δὲ ζειὰς, καὶ ὀλύνθους χειμερινούς. καὶ ἐλαίης πέταλα. καὶ ψώρας τῆς αὐτῆς. [35] καὶ σικύης λέμματα τρίτον μέρος. τὰ δ' ἄλλα ἴσα, καὶ τῶν ἑφθῶν ῥοφεῖν. καὶ τὰ διὰ ἀμυγδάλων. καὶ σησάμου ῥοφήματα, καὶ αἰωρέεσθαι, καὶ ὀχέεσθαι, καὶ μὴ ἠρεμεῖν. Ῥόος ἄλλος. Καταῤῥέεται οἷον προβάτου οὖρον πολὺ, χροιὴ λευκὴ, καὶ οἰδέει πᾶσα. [36] καὶ ἐν τῇσι κνήμῃσι πομφοὶ ἀνίστανται. καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλάσσεται βοθρώδεα. καὶ ἢν τι φάγῃ, ἐμπίπλαται καὶ φλεγμαίνει, καὶ ἐπὴν ὁδοιπορήσῃ καὶ ἔργον τι δράσῃ, ἆσθμά μιν λαμβάνει καὶ πόνος. καὶ ἡ χροιὴ λευκὴ ἐνίοτε ὑπόχλωρος. ταύτῃ ἢν ἰσχύῃ, καὶ ἢν νέη καὶ τ' ἄλλα φαίνηται, καταρχὰς δίδου ἄνω φαρμακὸν ἢ κάτω. καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν φλεγματώδης ᾖ, δι' ὧν φλέγμα καθαίρεται. ἢν δὲ χολώδης, δι' ὧν χολή. καὶ ἢν ὥρη ᾖ τοῦ ἔτεος, καὶ μὴ φύσει ᾖ σπληνώδης, [37] καὶ ἢν τι τῶν εἰρημένων, ὀῤῥὸν διδόναι, ἀφεψῶν δὲ καὶ πίνειν ὡς πλεῖστον χρόνον. καὶ ἐς ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα. ἢν δέῃ. σίτου δὲ μὴ ἅπτεσθαι. ἢν δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλαχίστῳ. καὶ ἀλουτείτω. ἐπὴν δέ σοι καιρὸς δοκέῃ εἶναι, τῆς πόσιος παυέσθω. καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρέεσθω. ἀπεχομένη λιπαρῶν, καὶ δριμέων, καὶ γλυκέων, καὶ ἁλμυρῶν. καὶ λαχάνων δριμέων. χρῆσθαι δὲ ἰχθύσι πετραίοισι. καὶ κρέασι μηλείοισιν, ἢ ὀρνιθίοισιν, ἢ λαγωοῖσιν. ἄρτῳ σιτώδει. [38] ἢ ἐρικτοῖσι. καὶ λαχάνοισιν ἑφθοῖσι χρέεσθω. καὶ ἀγρίοισι [39] βρωκτοῖσι, καὶ ἡμέροισιν ἄτερ δριμέων. καὶ περιπατείτω πρωῒ, καὶ ἀπὸ τοῦ σίτου. ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιεόντι [40] ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί. τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας διαλείπων μετέπειτα στρυφνοῖσι κλύσαι. καὶ ἐπισχόντα, ἢν μὲν ᾖ ξηρὴ, ἡσυχίαν ἄγειν. καὶ ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης. ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαμβάνειν, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον, θερμὸν ἀπὸ βοός. τὴν δέ γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχίστοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτέῃ. ἔστω δὲ μέτρον, ὅσον ἓξ κοτύλαι ἀττικαί. ἄρχεσθαι δὲ ἀπὸ δύο. καὶ προστιθέτω κοτύλην ἑκάστης ἡμέρας, ἄχρις ἂν ἓξ γένωνται. κἀκ τοῦ κατ' ὀλίγον ἐπὶ τὸ ἔλασσον. καὶ μετὰ τὴν γαλακτοποσίην, ἀνακόμιζε σιτίοισιν. καὶ διαίτῃ. καὶ μετὰ τὴν τοῦ γάλακτος πόσιν, πινέτω πρωῒ νῆστις, ἀδίαντον ξηρὸν ὡς κοψάτω καὶ [41] διασήσας δι' ἄκρης αἰρῆς τοῦτο διδόναι ἐν οἴνῳ μέλανι εὐώδει κεκρημένῳ. ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην. καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω. καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας. ἢν μὲν φύσει φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης. ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ.

ἐμβαλὼν

ἐμβαλὼν γὰρ ἀπ' αὐτέης καὶ δύο κοτύλας ἐπιχέας ὕδατος, ἀφεψεῖν. καὶ τὸ ἥμισυ τουτέω συμμίσγειν μέλι καὶ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον. ἔστω δὲ τοῦ μὲν μέλιτος, τεταρτημόριον κοτύλης. τοῦ δὲ ἐλαίου, μέτρον ἡμιόλιον καὶ τοῦ μέλιτος. μετακλύζειν δὲ τῷ μέλιτι καὶ τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ θυμιῆσθαι. καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας. ἀδίαντον δὲ πινέτω. [42] καὶ ἢν ἐν γαστρὶ λάβηται, ὑποστρέφει. καὶ ὑποστρεφομένης τῆς νούσου, ἀπόλλυται. [43] ὁκόταν γεραιτέρας λαμβάνῃ ἡ νοῦσος αὕτη, καὶ κατασήπονται αἱ ὑστέραι, ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι. Ῥόος ἄλλος. Καθαίρεται οἷόν περ ἐξ ᾠοῦ ὠμοῦ, χλωρὸν ὑπόλευκον. καὶ ἑλκοῖ τὸ αἰδοῖον. καὶ οἰδίσκεται τούς τε πόδας, καὶ τὰς κνήμας. καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει. καὶ οἱ ὀφθαλμοὶ ὑγροί, γλαμυροί. καὶ ἢν βαδίζῃ, ἆσθμά μιν λαμβάνει. καὶ ἀσθενείη γίνεται. ἢν δὲ φύγῃ ἡ νοῦσος φλεγματώδης ἦν. καὶ ἢν μὴ καθαρθῇ, πυρεταίνει λάβρως χολῆς κινηθείσης. γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον, ἢ νεωτέρας. ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πίνειν, ὅ,τι φλέγμα καὶ χολὴν ἴηται. ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ, καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον. καὶ ἢν μὲν ᾖ δυνατή, ἐλλεβόρῳ καθαιρέσθω. ἢν δὲ μή, ὅ,τι χολὴν καὶ φλέγμα ἄγει. μετὰ δὲ τὰ φάρμακα ὀρρὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας, ξὺν ἁλὶ ὀλίγῳ. ἐπιτρωγέτω δὲ ἡδύοσμον. ἑσπέρην δὲ σίτου μὴ ἁπτέσθω. ῥοφεέτω δὲ ὀλίγον καὶ ἐπιπινέτω οἶνον γλυκὺν ἢν χρῄζῃ. ἢν δὲ μὴ παρῇ ὀρρὸν, γάλα τε ὄνειον ἀφεψῆσαι, καὶ διδόναι τέσσαρας ἡμέρας. ἑσπέρην δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. ἢν δὲ ἡ φύσις σπληνώδης, ἢ πνευματώδης λειφαιμος, μήτε ὀρρὸν, μήτε γάλα πινέτω. ἢν δὲ μὴ κατωτερικοῖσι καθαίρειν. καὶ ἐπειδάν σοι δοκέῃ καιρὸς εἶναι, κλύσαι τὰς μήτρας. πρῶτον μὲν τῷ ἀπὸ τῆς τρυγὸς δὶς, ἢ τρίς. μετὰ δὲ τοῦτο, τοῦ ὀποῦ τῆς σκαμμωνίης. οἶνον δὲ ἐπιχέαι γλυκὺν, ὅσον κοτύλην ἀττικήν. καὶ ἐλαίου τέταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου. μετακλύσαι δὲ τῇ ὑστεραίῃ, οἴνῳ κοτύλῃ. καὶ μέλιτι τετάρτῳ κοτύλης. καὶ ῥητίνης τρίτην μοῖραν μέλιτος. ἔλαιον δὲ ἴσον μέλιτι. ἢν δὲ τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρέοντα ᾖ φλεγματώδεα, κλύσαι. καὶ αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέσσαρας. ἔπειτα ἐκλέψαι τοῦ κόκκου δύο πόσιας. [44] κλύζειν δὲ τοῖσιν αὐτέοισιν. ἢν δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης, πόσιν μίαν. καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν. ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρέοντα πρὸς τουτέοις τοῖς κλυσμοῖς. καὶ ἢν γίνηταί τι αἱματῶδες, οἷον ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσι. καὶ ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ, τὸ στόμα τῶν ὑστερέων σκληρὸν εἶναι, καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον, τῷ ξὺν τῷ πικερίῳ, ἔστ' ἂν ἀποξηρανθῶσιν αἱ ὑστέραι, καὶ δοκέῃ ὑγιὴς εἶναι. τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν, πινέτω ἀκτῆς καρπὸν, καὶ λαγωοῦ πιτύην. καὶ μήκωνος τὸ κέλυφος, καὶ κνίδης καρπόν. ῥοιῆς τε γλυκείης τὸν φλοιόν. τρίβων ἴσον ἑκάστου. ἄλφιτον δὲ ξυμμίσγειν, καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει, νῆστις. σιτίοισι δὲ χρεέσθω, μαλθακοῖσι μὴ ἁλμυροῖσι, μηδὲ δριμέσι.

Hanc enim in vas coniectam, duabus aquæ heminis affusis decoquito. Huius decocti dimidio, mel, & oleum narcissinum, vel anthinum ammisceto. Sit autem mellis heminæ quadrans, olei verò mensura ad mel sesquialtera. Postea autem, melle & vino, & oleo solo colluito, suffitúmque adhibeto, & trium aut quatuor dierum mora interposita, adiantum bibat. Quòd si vtero conceperit, morbus reuertitur, quo casu mulier perit. Cùm autem seniores hic morbus inuaserit, vteri computrescunt, paucæque admodum euadunt. Fluor alius in quo expurgatur quale quid ex ouo crudo pallidum subalbidum, vlcúsque in pudendis excitat, pedes & tibiæ intumescunt, cauæ sub oculis partes in tumorem attolluntur, oculi humidi sunt & gramiosi, siq; incedat, crebra anhelatio eam inuadit, & imbecillitas contingit. Quòd si euaserit, morbus pituitosus fuerit, nisique repurgata fuerit, bile vehementer commota febricitat. Seniores autẽ hic morbus quàm iuniores magis inuadit. Cùm autem sic habuerit, si quidem admodum intumescat, medicamentum deorsum purgans potui exhibeto, quod pituitæ & bili medeatur. At si non valde intumescat, eámque pituita vrgeat, medicamentum sursum purgans exhibeto, & si quidem valida fuerit, veratro purgetur, sin minùs, medicamentum quod bilem & pituitam educat exhibendum. Post medicamenta autẽ plurimis diebus serum coctum cum pauco sale potui exhibeto, & mentham insuper edat. Vesperi verò cibum ne attingat, paucam autem sorbitionem assumat, & vinũ dulce, si opus sit, superbibat. Quòd si serum non adfuerit, lac asininum decoquito, & quatuor diebus exhibeto. Vesperi verò eadem facito, si febris per noctem non detineat. At si natura lienosa, aut flatuosa sanguine defecta fuerit, neq; serum, neque lac bibat, alioqui per medicamenta deorsum purgato, & vbi opportunum tibi fore videbitur, vteros colluito, primùm quidem bis aut ter medicamento ex vini fæce parato. Post hoc autem scammoniæ succo, dulci vino ad heminam Atticam affuso, & olei heminæ quadrante, maximè quidem narcissini. Postero verò die vini hemina colluito, adiecto mellis quadrante, & resinæ tertia mellis parte, olei verò & mellis æquales sint portiones. Quòd si quæ à collutione secedunt, pituitosa feruntur, rursus colluito, trium aut quatuor dierum mora interposita. Postea granum cnidium detracto cortice, quantum ad duas potiones satis sit infundito, & iisdem colluito. Postquam autem quæ secedunt his collutionibus expurgata fuerint, & si quid crueti, velut ab vlcere, contigerit, acerbis deinde colluito. Posteaq; si ipsa interrogata, os vterorum durum esse, ac dolore detineri dixerit, ad eundem modum ex eo quod cum butyro paratur colluito, quoad vteri resiccati fuerint, & sana esse videatur. Intermediis autem collutionum diebus, sambuci fructum bibat, & leporis coagulum, pepli corticem, vrticæ semen, mali punici dulcis corticem, tritis cuiusque æqualibus partibus. Polenta autem ammixta & adianto, ex vino odorato ieiuna bibat. Cibis vtatur mollibus, neq; salsis, neque acribus.

Carnes piscibus meliores, volucrium videlicet aut leporinæ, & calida non multa lauet. Quòd nisi fluor leuamentũ faciat, sed relinquatur, & vteri humectentur, medicamento ex malicorio súffitum admoueto, posteáque virum adeat, & si vtero conceperit, conualescit. At seniores se recolligere non possunt, sed præ virium imbecillitate pereunt. Alius fluor. Fluit subpallidum & glutinosum quale quid ex ouo, venterq; in tumorem exurgit, durúsq; euadit, & ad contactum dolet, dentibus stridet, febris detinet, dolor pubem occupat, pudenda, imum ventrem & lumbos, animi deliquium adest, anxietudines, perfrictiones, & sudor copiosus, pulsus ad manum leniter ferientes, languidi, deficientes, confestimq; pereũt. Quòd si superstes euadat, color ei immutatur, & velut fauus existit, cutisque corporis digito pressa emollitur, in eaque nota infigitur, velut in farinæ massa aqua subacta, pedesq; & crura in tumorem attolluntur. Morbus autem contingit præcipuè, si quid his in partu vellicatum fuerit, neque intus computruerit. Iis verò quæ prouectæ iam sunt ætatis magis contingit, neq; huiusmodi morbus admodum mitis est. Alius fluor. Qualis ex assatis carnibus humor purgatur, & pudendum vlceratur, & quamcumque aliam corporis partem stillando attigerit. Et rigor, febris acuta, crebra, magna, simulque horror corripit. Dolores autem in omnibus fluoribus similes. Hæc tota intumescit, & partibus vmbilico inferioribus, & cruribus, colorque auriginosus euadit. Huiusmodi autem fluor ex eo contingit, cùm sanguis exturbatus aliquantum biliosus extiterit, neque purgatus fuerit. Cùm sic habuerit, medicamentũ bibendum exhibẽdum, si quidem valida fuerit, ex veratro, si verò debilis fuerit, ex radice & elaterio, & postremò lac caprinum, aut medicamentum quod deorsum bilem & pituitam purget exhibeto. Vteros autem medicamento ex brassicæ succo colluito. Mentham autem bibat, hypericum, lini semen, singula ex vino nigro austero, hæc ieiunæ bibenda præbeto. Si verò vlceratum pudẽdum fuerit, postea butyro colluito, deinde medicamentum purgans potui exhibeto, vlceraque butyro, resina, myrrha, & argenti flore linito, myrti autem & saluiæ ex aqua decocto tepido perluatur. Cibis autem vtatur neque salsis, neque acribus, vt ne mordax vrina reddatur, & marinis abstineat, carnibus bubulis, ouillis, porcinis, reliquis verò carnibus coctis vtatur. In cibo panem assumat, & vinum odoratum, vetus, nigrum bibat. Quibus factis si non conualescat, totam foueto, & postero die medicamẽtum sursum purgans exhibeto, deinde ex intermissione, rursus deorsum purgans. Et si quidem fluor perseueret, post medicamenta decoctum serum quotidie potui præbeto, sub vesperam verò sorbitionibus vtatur, vino verò dulci, albo. Quòd si serum desit, lac asininum coctum diebus quatuor bibat, vesperi autem iisdem vtatur. Post hæc autem lac bubulum calidũ per dies quadraginta bibat, & per diem nihil (vt ita dicam) edat. Id enim est optimum cùm ab huiusmodi lacte purgetur, nutriatur, fluorque obtundatur. Vesperi in cœna auicularũ carnem assam paucam sumat, & panis subcinericij parum. Vinum verò nigrum, vetus,

κρέα δὲ ἀμείνω ἰχθύων. ἤγουν ὀρνίθεια, ἢ λαγῷα. καὶ λουέσθω θερμῷ μὴ πολλῷ. ἢν δὲ μὴ λωφήσῃ ὁ ῥόος, ἀλλ' ὑπολείπηται, καὶ ὑγράζωνται αἱ ὑστέραι, θυμιῆσαι τῷ ξὺν τῇ σιδίῳ. καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω. κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. αἱ δὲ γεραίτεραι, οὐ δύνανται ἀναφέρειν, ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης. Ῥοῦς ἄλλος. Ῥέει ὑπόχλωρον οἷον ἐξ ᾠοῦ. καὶ γλίσχρον. καὶ ἡ γαστὴρ αἴρεται ἡ νειαίρη. καὶ σκληρὴ γίνεται. καὶ ἢν ψαύσῃς, ἀλγέει. καὶ βρύχει. καὶ πῦρ ἔχει. καὶ ὀδύναι ἐς τὸ ἐπίσιον. καὶ ἐς τὰ αἰδοῖα. καὶ ἐς τὴν νειαίρην γαστέρα. καὶ ἐς τὰς ἰξύας. καὶ λιποθυμίη. ἀλυσμοί τε καὶ περιψύξιες, καὶ ἱδρὼς πουλύς. [45] σφυγμοὶ πρὸς χεῖρα ψαίροντες. βληχροὶ ἐκλείποντες. καὶ αὐτίκα ὄλλυνται. ἢν δὲ περιῇ, καὶ ἡ χροιὴ οἱ τρέπεται, καὶ γίνεται οἷον περ κηρίον, καὶ ὁ χρὼς τῷ δακτύλῳ πιεζόμενος μαλθάσσεται, καὶ ἐμπλάσσεται, οἷον περ ἐν σταιτί. καὶ οἰδέουσιν οἱ πόδες, καὶ τὰ σκέλεα. ἡ δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν αὐτῇσι τι διασπασθῇ, ἢ ἐνσαπῇ ἐν τῷ τόκῳ. αἱ δὲ ἀφηλικέστεραι μᾶλλον πάσχουσιν. οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσος ἐστὶν εὐήθης. Ἄλλος ῥόος. Καθαίρεται οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμός, καὶ ἑλκοῦται τὸ αἰδοῖον, καὶ ὅπῃ ἂν ἄλλῃ τοῦ χρωτὸς ἐπιστάξῃ. καὶ ῥῖγος, καὶ πῦρ ὀξὺ πυκινόν, μέγα. καὶ φρίκη ὁμοῦ λάζεται. ὀδύναι δὲ ἐν πᾶσι τοῖσι ῥόοισιν οἷαι. αὕτη πᾶσα οἰδίσκεται καὶ τὸ κάτω τοῦ ὀμφαλοῦ. καὶ τὰ σκέλεα. καὶ ἡ χροιὴ ἰκτεριώδης γίνεται. ὁ δὲ τοιοῦτος ῥόος γίνεται ἀπὸ τοῦδε. [46] ἐπειδὰν τὸ αἷμα ἐξαραθὲν ὑπόχολον γένηται, καὶ μὴ καθαρθῇ. ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν. ἢν μὲν ἰσχυρὴ ᾖ, ἐξ ἐλλεβόρου. ἢν δὲ ἀσθενής, ῥίζαν τε καὶ ἐλατήριον. καὶ ὕστερον χρόνῳ, γάλα αἰγός. ἢ κάτω φάρμακον, ὅ,τι χολὴν καὶ φλέγμα καθαίρει. κλύσαι δὲ τὰς ὑστέρας, τῷ ξὺν τῷ κραμβίῳ. πίνειν δὲ ἐλελίσφακον. ὑπερικόν. [47] λίνου σπέρμα. ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ. νήστει δὲ διδόναι πίνειν. ἢν δὲ ἡλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τῷ πικερίῳ. ἔπειτα φάρμακον πίσαι. καὶ ἐπιχρίειν τὰ ἕλκεα πικερίῳ. ῥητίνῃ. σμύρνῃ. ἀργύρου ἄνθος. διανιζέσθω δὲ ὕδατι ἀπὸ μυρσίνης, καὶ ἐλελισφάκου χλιηρῷ. σιτίοισι δὲ χρήσθω, μήθ' ἁλμυροῖσι, μήτε δριμέσιν, ὡς μὴ δακνῶδες τὸ οὖρον γίνηται. καὶ τῶν θαλασσίων εἰργέσθω. καὶ κρεῶν βοείων καὶ οἴων. καὶ χοιρείων. τοῖς δ' ἄλλοισι κρέασι χρέεσθαι ἑφθοῖσι. καὶ σιτείσθω ἄρτον, καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα. ἢν δὲ ταῦτα ποιέῃ, καὶ μὴ ὑγιὴς γίνηται, πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι τῇ ὑστεραίῃ ἄνω. ἔπειτα διαλιπὼν αὖθις, κάτω. καὶ ἢν μὲν μένῃ ὁ ῥόος, μετὰ τὰ φάρμακα, ἀφεψήσας ὀρρόν, νέμειν ἑκάστης ἡμέρης πίνειν. ἑσπέρης δὲ ῥοφήμασιν. οἴνῳ δὲ γλυκεῖ λευκῷ. ἢν δὲ μὴ ᾖ ὀρρός, γάλα ὄνου ἑφθὸν πινέτω, ἐπὶ τέσσαρας ἡμέρας. ἑσπέρης δὲ τοῖσιν αὐτέοισι χρήσθω. μετέπειτα δὲ πι. ἐπὶ τεσσαράκοντα ἡμέρας, γάλα βοὸς θερμόν. καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω, ὡς ἔπος εἰπεῖν. ἄριστον γὰρ τοῦτο. καὶ γὰρ καθαίρεται καὶ τρέφεται καὶ ἀμβλοῦται ὑπὸ τοῦ τοιοῦδε γάλακτος. ἑσπέρης δὲ δειπνείτω, κρέας ὄρνιθος ὀπτὸν ὀλίγον. καὶ ἄρτον μικρὸν ἐγκρυφίην. ἐπιπίνειν δὲ οἶνον μέλανα παλαιὸν εὐώδεα.

εὐώδεα. ἔστ' ἂν τὸ γάλα πίνῃ, ἢν πολλὰ ἴῃ, καὶ ταράσσηται τὸ δριμύ. καὶ ἢν ταῦτα ποιήσασα ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ὅσαι δὲ γεραίτεραί εἰσιν ἐνίοτε ὑποστρέφει ἡ νοῦσος, καὶ ἀπόλλυνται. τῇσι δὲ νέῃσιν, οὐ θανατώδης. χρονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη. τὸ δὲ τοιοῦτον, ῥέει ὕφαιμον, οἷον τὸ ἀπὸ κρεῶν ὀπτῶν χυμός. καὶ δάκνει ὡς ἅλμη. καὶ ἐσθίει καὶ ἐξελκοῖ τὰ αἰδοῖα. καὶ ἡ ὑστέρη ἀνελκοῦται κατὰ τὰ πέριξ. καὶ τοὺς μηρούς, καὶ τὰ ἄλλα. ἐπειδὰν ἐπιστάξῃ ἐπὶ τὰ ἱμάτια βάπτεται. καὶ δυσέκπλυτα ἐμμένει. καὶ ἡ γαστὴρ ἐπαίρεται, καὶ σκληρὴ γίνεται. καὶ ἀλγέει ἢν ψαύσῃ. [48] καὶ θέρμη ἔχει εἰς τὰ αἰδοῖα, καὶ ἐς τὴν ἕδρην, καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ κενεῶνας, καὶ ἰσχία, καὶ ἰξύας, ἀδυναμίη. καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει. καὶ τὰ κοῖλα ἐπανίσταται. καὶ οἱ πόδες οἰδέουσι. καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. ἡ δὲ νοῦσος λάζεται ἐπὴν διακναιθῇ τι τοῦ ἐμβρύου, ἢ ἐκτρώσῃ ἐν τόκῳ. χρὴ δὲ πυριῆν, καὶ θυμιῆν καὶ πιπίσκειν. ταῦτα πάντα καὶ ἴσχει τὸν ῥόον. καὶ ὄνειον γάλα καὶ τὰ ἄλλα προσάγειν, καὶ ἐμέειν ἢν δέῃ. ἢν δὲ ἄπυρος ᾖ, καὶ βληχρὸς ἔχῃ, ἄμεινον ξηρὴ πυρίη. [49] Ὁκόταν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, καὶ τῇδε λήγει ὁ πνιγμός. κεφαλὴν βαρύνει. [50] ἄλλῃσι δὲ ἄλλῃ πῇ τέκμαρ ἴσχεται. σημήϊον δὲ τόδε. τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ, καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἀλγέειν φασί. καὶ κῶμα ἴσχει. [51] καὶ ἀφρίζει ὅταν ῥάϊσῃ. ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ. ἢν δὲ μὴ ἐπακούῃ, ψυχρῷ. καὶ κατὰ κεφαλῆς δάφνην τε καὶ μυρσίνην ἑψῶν ἐν τῷ ὕδατι. καὶ ψύχων καὶ ῥοδίνῳ μύρῳ [52] τὴν κεφαλὴν χριέσθω. καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. τὰ δὲ κακώδεα, ὑπὸ τὰς ῥῖνας. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ πρὸς τὴν καρδίαν προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι, [53] καὶ ἀνάσσυτος ἴῃ ὁ ἀὴρ βιώμενος [54] ἀλυθύει καὶ ἐμέει. καὶ ἔστιν ᾗσιν αὐτίκα ἑλκυσθεῖσα κάτω χωρέει, καὶ φῦσα ἔξεισιν. ἡ μὲν ἐμέει, ἀφρώδεα. ἡ δὲ παῦλα γίνεται. ᾗσι δὲ οὐκ ἀφίστανται, πράσου τὸν καρπὸν, καὶ μήκωνα τρίψας, διεὶς ὕδατος κυάθοις τρισὶ δίδου πίνειν. καὶ ὄξους λευκοῦ ἀρήγει πόσις κύαθος. ἢ ἀρκεύθου καρπὸν, καὶ ἐλελίσφακον ὄξος σὺν τοῖς εἴδεσιν, ἢ οἶνον. ἀλεαίνεσθαι δὲ χρὴ ἢ ἄλειφα χηνὸς, κηρωτὴν ἐρρητινωμένην. καὶ πίσσαν ἐν αὐτέῳ τῆξαι. καὶ προσθετὰ ποιέειν. ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσιν, πνίγουσιν. [55] ἐπὴν ἐνθάδε τὸ στερεὸν ᾖ τοῦ πάθεος, καὶ ἐπιλαμβάνει ἔμετος πυρώδης δριμὺς, καὶ ῥᾷον γίνεται ὀλίγον χρόνον. καὶ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον ὀδύνη διαμπερὴς, χλιάσματα προστιθέναι ἢν ἄνω πνίγωσιν. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοδμα ἐκ προσαγωγῆς. [56] ἢν γὰρ ἀθρόως ἱστῶνται αἱ ὑστέραι, ἐς τὰ κάτω, καὶ ὄχλος γίνεται. εὔοδμα δὲ κάτω. καὶ πίνειν διδόναι τὸ καστόρειον. καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, ὑποθυμιῆν τὰ εἰδεχθέα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ἢν δὲ αἱ ὀδύναι παύσωνται, φάρμακον πῖσαι κάτω. καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢ ὀρρὸν, ἢν μὴ σπληνώδης ᾖ ἀπὸ γενέσιος.

generoſum inſuper bibat, quoad lac biberit, ſi copioſa eant, & acre aliquid commoueatur. Quòd ſi his factis concipiat, conualeſcit. Quæ verò ſeniores ſunt, his quandoq; morbus reuertitur, ac pereunt, iuuenculis autem minimè lethalis eſt. Diuturna autem eſt ſanioſi fluoris curatio, in quo tale quid ſubcruentum fluit, qualis ex aſſatis carnibus ſuccus, ac velut muria mordet, pudenda rodit & exulcerat, vterus in ambitu exulceratur, & circum femora aliaſq; partes. Si in veſtimenta deſtillarit, ea inficiuntur, nec niſi ægrè eluuntur, venter attollitur & durus euadit, contactus dolet, calor pudenda occupat, ad ſedem dolor eſt, ad imum ventrem & laterum inanitates, coxēdices & lumbos, debilitas adeſt, & color velut auriginoſus mutatur. Quòd ſi cum tempore morbus ꝓgreſſum faciat, hæc omnia multò magis inuadunt, oculorum cauitates attolluntur, pedes & crura à lumbis intumeſcunt. Hic autem morbus corripit, cùm quid in abortione aut partu de fœtu dilaceratum fuerit. Fomenta autem admouenda, & ſuffitus adhibendi, propinandaq; omnia quæ fluxum reprimunt, & lac aſininum aliaq; porrigēda, & vomitus ſi opus ſit ciendus. Si verò febris expers fuerit, aut debilis detinuerit, fotus ſiccus melior eſt. Cùm vteri ad caput conuerſi fuerint, eaq; in parte ſuffocatio deſinit, caput grauitate afficit, aliis verò alia quapiam parte finis continetur. Hoc autem indicio eſt. Narium venas & quæ ſub oculis ſunt ſibi dolere conquerūtur, & ſopor detinet, & ſpumeſcit cùm meliuſculè habet. Hæc copioſa calida lauanda, ſi verò non auſcultet, frigida, & circa caput lauri & myrti ex aqua decoctum refrigeratum apponendum, caputq; vnguento roſaceo illinatur, & ſubter ſuffitus ex odoratis admoueatur, naribus verò ex graueolentibus, braſſicam edat, ſuccúmque ſorbeat. Si verò vteri ad cor procedentes ſtrangulatum inducant, & ſurſum impulſus aër violenter feratur, anxietate vexatur, & vomit. Quibuſdam autem ſtatim tractus vterus deorſum procedit, & flatus extra fertur. Hæc quidem ſpumoſa vomit, huic verò quies contingit. At quibus non abſcedit, porri ſemen, & peplum tritum tribus aquæ cyathis dilutum potui exhibeto. Prodeſt etiam aceti albi cyathus potu exhibitus. Aut iuniperi ſemē, & ſaluia, aceto aut vino ad res huiuſmodi ammixto. Calefieri autem oportet, aut anſerinum adipem, ceratum reſinatum, & picem ſimul calefacere, & glandes ſubdititias conficere. Cùm autem ad præcordia allapſi fuerint, ſtrangulatū inducunt. Tunc cùm morbus in ſummo fuerit, & vomitus feruidus acris prehendit, & pauco tempore leuiùs habet, dolorque caput & collum in totum occupat, tepefactoria admoueto, ſi ſupra ſtrangularint, ſub naribus verò, ſenſim progrediendo, graueolentia in ſuffitu adhibeto (ſi enim vteri confertim ad inferiora conſiſtunt, etiam turbatio oritur) infra verò quæ ſunt grati odoris, & caſtorium ac conyzam potui dato. Vbi autem ad inferiora tracti fuerint, intuiſa in ſuffitu ſubter adhibeto, naribus verò odorata. Ac ſi dolores ceſſarint, medicamentum deorſum purgans propinato, poſteáque lac aſininum, aut ſerum bibendum præbeto, niſi ab ortu lienis affectibus obnoxia fuerit,

aut sanguine defecta, aut decolor, aut aures tinnientes habuerit, quibus cognatione quadam à iuuentute morbi in consuetudinem venerint. Superiorem autem ventrem ne moueto, oculorum enim caliginem sentient, aut circa fauces molestia aliáque aderunt, ptisanæ verò succum exhibeto. Quòd si prompta sit ad vomitionem, etiam vomat. Collutio autem ex narcisso optima, subdititium verò ex cantharidibus paratum. Si vteri ad præcordia institerint, strangulatur velut sumpto veratro, & non nisi erecta ceruice spirat, & vehementes oris ventriculi morsus fiunt, quædam etiam saliuam acidam interdum vomitione reiiciunt, & os aqua impletur, cruráque perfrigescunt. Ex nisi breui vteri à præcordiis discesserint, voce deficiunt, partésque circa caput & linguam torpor detinet. Ad vteros quidem subdititium ex lana quàm penitissimè in fistulam intrusa apponito, eámq; pennæ circumuolutam, aut vnguento albo, aut Ægyptio, aut myrteo, aut baccarino, aut amaracino intingito. Naribus verò medicamentum nigrum, ad caput paratum, specillo exceptum obducito. Quod si desit, laseris succo nares linito. Aut penna aceto intincta, nares purgato, easque illinito, aut excitato sternutamento apponito. Cùm autem osculum & interior via occlusa fuerit, castorium ex vino potui præbeto, nares verò phocæ adipe linito. Lanam in subdititio appositam quoad vteri sibi restituti fuerint finito, vbi autem dolor quieuerit, detrahere oportet. Quòd si ea detracta rursus reuerterit, eodem rursus modo lanam apponito, naribus verò suffitum adhibeto, capræ nigræ, aut ceruino cornu deraso cineri calido insperso, vt fumo potissimùm excitato, nidorem per nares sursum quoad eius fieri maximè poterit attrahat. Suffitum etiam admoueto ex phocæ adipe in testa prunis imposita, capite obuelato & superimminente, vt odor penitissimè penetret, & instillato adipe ipsa occluso ore sursum nidorem maximè attrahat. Atque hæc facienda si vteri ad superiora ferantur. Si vteri ad hepar vertantur, de repente mulier voce deficit, & dentes consectos habet, & color liuidus euadit. De repente autem sic afficitur cùm sana existit. Contingit autem præcipuè vetulis virginibus & viduis, quæ etiam partum expertæ viduæ permanent. Contingit verò maximè infœcundis, & iis quæ ex partu steriles existunt. Neque enim puerperij purgatio fertur, neque intumescit vterus, neque mollis redditur, neq; vomunt. Cùm sic habuerit, tumorem ab hepate manu leuiter ad inferiora repellito, fascia præcordia deligato, & vteri osculum aperito. Vinum autem quàm odoratissimum dilutum infundito, cùm oportuerit etiam naribus fœtida suffitu admoueto, ad vteros verò odorata, & quæ ad suffitum sunt accommodata. Ac vbi sanaueris, medicamentum deorsum purgans potui exhibendum, quod bilem purget, si quidem biliosa fuerit, si verò pituitosa, quod pituitam. Deinde lac asininum decoctum propinandum, vterus odoratis fouendus, & medicamentum quod cum bupresti conficitur in subdititio apponendum, postero vero die Netopum, ac rursus duobus intermissis diebus, vterus odoratis colluendus, deinde vnius diei intermissione facta, aromata ad suffitum adhibenda.

ἢ λείφαιμος, ἢ ἄχροος. ἢ τὰ οὔατα ἠχώδεα ἔχῃ, διὰ συγγένειαν[57] ἧσιν ἐθάδες ἀπὸ νεότητος αἱ νοῦσοι. τὴν δὲ ἄνω κοιλίην μὴ κινέειν.[58] ἀμβλυώσσουσι γὰρ, ἢ ἀμφὶ τὴν φάρυγγα ὄχλοι, καὶ τἄλλα. διδόναι δὲ πτισάνης χυλόν. ἢν σφόδρα δὲ καὶ εὐεμὴς ᾖ, καὶ ἐμεέτω. κλυσμὸς δὲ ἄριστος, ὁ διὰ ναρκίσσου. προσθετὸν, τὸ διὰ κανθαρίδων. ἢν προσστῶσιν αἱ ὑστέραι πρὸς τὰ ὑποχόνδρια, πνίγεται ὡς ὑπὸ ἐλλεβόρου. καὶ ὀρθόπνοος γίνεται. καὶ καρδιωγμοὶ ἀτεναρεῖ. αἱ δὲ καὶ ἐμέουσιν ἐνίοτε, σίελον ὀξύ. καὶ τὸ στόμα ὕδατος ἐμπέπλησται. καὶ τὰ σκέλεα ἀποψύχονται. αἱ τοιαῦται κἢν μὴ ταχὺ ἀφιστῶνται ἀπὸ τῶν ὑποχονδρίων, ἄναυδοι γίνονται. καὶ τὰ ἀμφὶ τὴν κεφαλὴν, καὶ τὴν γλῶσσαν νάρκη ἔχει. πρὸς μὲν τὰς ὑστέρας, προσθεῖναι εἴριον πρὸς τὸν αὐλὸν, ὡς ἔνι μάλιστα τοῦ πτεροῦ περιελίξας βάψαι, ἢ λευκῷ, ἢ αἰγυπτίῳ,[59] ἢ μυρσίνῳ, ἢ βακχαρίνῳ, ἢ ἀμαρακίνῳ. ἐς δὲ τὰς ῥῖνας, τοῦ φαρμάκου, τοῦ μέλανος, τοῦ τῆς κεφαλῆς λαβόντα τῇ μήλῃ ἐμπλάσαι. ἢν δὲ μὴ ᾖ τοῦτο, τῷ ὀπῷ διαλεῖψαι τὰς ῥῖνας. ἢ πτερὸν ὄξει βάψαι,[60] καὶ καθῆραι. διαλεῖψαι δὲ τὰς ῥῖνας, ἢ τοῦ πταρμικοῦ προσθεῖναι.[61] ὅταν δὲ κλυσθῇ τὸ στόμα, καὶ ἡ ἐναυλίη, δοῦναι πίνειν τοῦ καστορείου ἐν οἴνῳ. τὰς δὲ ῥῖνας διαλεῖψαι ἔλαιον φώκης. τὸ δὲ εἴριον ἐᾶν προσκεῖσθαι, μέχρις οὗ καταστέωσιν.[62] ὅταν δὲ παύσηται, ἀφελέσθαι χρή. ἢν δὲ ἀφαιρεθέντος αὖθις ἀναχωρήσωσι, τὸ εἴριον αὖθις προσθεῖναι τὸν αὐτὸν τρόπον. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν, κέρας μέλαν αἰγὸς, ἢ ἐλάφου, κνήσας ἐπιπάσσων ἐπὶ σποδιὴν θερμὴν, ὅκως μάλιστα θυμιήσηται. καὶ εἰρυσάτω τὴν ὀδμὴν ἄνω διὰ τῶν ῥινῶν, ὡς ἂν δύνηται μάλιστα. θυμιῆν φώκης ἔλαιον ἐπ' ὄστρακον ἐπιτιθέντα, ἄνθρακας περικαλύψαι. καὶ τὴν κεφαλὴν ὑπερίσχειν, ὡς μάλιστα ἡ ὀσμὴ ἐσίῃ. καὶ ἐπιστάζειν τοῦ λίπεος. καὶ ἄνω ἑλκέτω τὴν ὀδμήν. τὸ δὲ στόμα ξυμμεμυκέναι. ἢν ἄνω προσπίπτωσι, ταῦτα χρὴ ποιέειν.[63] Ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ τράπωσιν, ἄφωνος ἡ γυνὴ ἐξαπίνης γίνεται.[64] καὶ τοὺς ὀδόντας ξυνερήρεισται. καὶ ἡ χροιὴ πελιδνὴ γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ μάλιστα, παρθένοισι παλαιῇσι, καὶ χήρῃσιν ὁκόσαι καὶ τοκήεσσαι χηρεύουσι. γίνεται δὲ μάλιστα τῇσιν ἀφόροισι πάμπαν καὶ στείρῃσιν αἳ ἐκ τῶν τόκων εἰσίν. οὐ γὰρ γίνεται ἡ λοχείη κάθαρσις. καὶ οὐκ ἀνοιδίσκεται ἡ ὑστέρη. οὐδὲ μαλθάσσεται. οὐδὲ ἐμέουσιν. ὅταν ὧδε ἔχῃ, τῇ χειρὶ ἀπωθέεσθαι ἀπὸ τοῦ ἥπατος παρηγορικῶς τὸ οἶδος ἐς τὸ κάτω, καὶ ἀποδῆσαι ταινίῃ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διανοίγειν. οἶνον δὲ ὡς εὐωδέστατον κεκρημένον ἐγχέειν, ὅτε χρὴ καὶ προσίσχειν πρὸς τὰς ῥῖνας τὰ κάκοδμα, καὶ ὑποθυμιῆν. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα, καὶ ὅσα θυμιητά. καὶ ἐπὴν ἰήσῃ, φάρμακον πίσαι κάτω χρή. ἢν μὲν χολώδης ᾖ, ὅ,τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ,τι φλέγμα. κἄπειτα πιπίσκειν γάλα ὄνου ἑφθόν. καὶ τὰς ὑστέρας πυριῆσαι εὐώδεσι. καὶ προστίθεσθαι τὸ ξὺν τῇ βουπρήστει. τῇ δὲ ὑστεραίῃ, νέτωπον. διαλιπὼν δὲ πάλιν ἡμέρας δύο, κλύσαι τὰς ὑστέρας εὐώδεσιν. ἔπειτα διαλιπὼν μίην ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασιν.

ταῦτα ποιέειν τὴν χήρην. ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. τὴν δὲ παρθένον, πείθειν ξυνοικέειν ἀνδρί. [65] πρὸς δὲ τὰς ῥῖνας, ἀείρειν, μηδὲ τὸ φάρμακον πίνειν νῆστιν. τὸ καστόριον καὶ κόνυζαν δὲ ἐν οἴνῳ ὡς εὐωδεστάτῳ πίνειν ἐς εἴκοσιν ἡμέρας. καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθαι εὐώδεϊ. μηδὲ ὀσφραίνεσθαι μηδὲ τῶν εὐωδέων. Ἢν δὲ αἱ μῆτραι φλεγμαίνωσι παρὰ τὸ πλευρὸν, τῷ ψαύσῃ σκληρὸν φαίνεται. καὶ ὅταν προσπέσωσι τὰ ὑποχόνδρια, πνίγουσι. καὶ ἐμέει φλέγμα ὀξύ. [66] καὶ τοὺς ὀδόντας αἱμωδέειν ποιέει. ἐπὴν δὲ ἐμέσῃ, ῥᾷον ἔχειν δοκέει. ὅταν δὲ κάτω ὁρμήσωσιν, ἀφίσταται ἀπὸ τῆς 10 γαστρὸς, ἄλλοτε ἄλλῃ. μάλιστα δὲ ἐς τοὺς κενεῶνας ἐστὶν ὅτε ἐμπίπτουσι, καὶ ἐς τὴν κύστιν, καὶ στραγγουρίη ἐπιλαμβάνει. καὶ ἐς τὴν ἕδρην, καὶ δοκέει ἀποπατεῖν. καὶ τὰ ἐπιμήνια πρότερον ἢ ὕστερον τοῦ μεμαθηκότος γίνεται. ἢ οὐκ ἐπιφαίνεται ταύτῃ αὐτίκα. ταύτης τῆς νούσου, ἢν τὰ ἄνω πνίγωσι, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν τὰ κακώδεα πρὸς τὰς ῥῖνας. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα. καὶ πίνειν κόνυζαν τὴν θηλείην. καὶ καστόριον ἐν οἴνῳ νῆστιν. ἐπὴν δὲ τῇ φύσει καθιστέωσι θυμιῆσαι ἠρεμέως. πινέτω δὲ διουρητικά. ταῦτα ποιέειν, ἕως ἂν αἱ ὀδύναι ἔχωσιν. ἐπὴν δὲ 20 παύσωνται, πυριήσας ὅλην, ἔπειτα πίσαι φάρμακον κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ,τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ,τι φλέγμα ἄγει. καὶ πιπίσκειν γάλα ὄνειον, ἢ ὀῤῥὸν αἴγειον ἑφθῶν. ἢν δὲ σπληνώδης ᾖ, μὴ πιπίσκειν τὸ γάλα. μηδὲ τὸν ὀῤῥόν. καὶ ἐν τοῖσι καθαρμοῖσι, σιτίοισι χρέεσθαι μαλθακοῖσι, καὶ ὑποχωρητικοῖσιν. ἰχθύες δὲ ἀμείνους κρεῶν. καὶ πυριῆν τὰς ὑστέρας, ἢ καθαίρειν προσθετοῖσι. καὶ κλύσαι αὐτάς. καὶ ὑποθυμισαμένη, παρὰ τὸν ἄνδρα ἴτω. λύσις δὲ τῆς νόσου, ἐπὴν λάβῃ ἐν γαστρί. [67] Ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσιν, βὴξ ἴσχει. καὶ ὀδύνη 30 ἐπὶ τὸ πλευρὸν, καὶ προσίσταται σκληρὴ ὡς σφαῖρα, καὶ ἁπτομένη πονέει, ὡς ἀπὸ ἕλκεος. καὶ καταφθίνει. καὶ δοκέει οἱ περιπλευμονίη εἶναι, καὶ εἰρύεται. καὶ κυφὴ γίνεται. καὶ τὰ ἐπιμήνια οὐ φαίνεται. ἐνίῃσι δὲ καὶ ἀπόλλυνται προφανέντα. τότε δὲ γινόμενα ἀσθενέα καὶ ὀλίγα καὶ κακίονα. καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ φάρμακον χρὴ πίσαι κάτω ἐλατήριον, καὶ λούειν πολλῷ θερμῷ. καὶ τῶν χλιασμάτων, ἃ ἂν προσδέχηται, προσίσχειν καὶ προστιθέναι, ὑφ᾽ ὧν καθαίρεται τὸ αἷμα. καὶ λίνου σπέρμα φῶσαι, κόψαι, καὶ σῆσαι, καὶ μήκων ὁ λευκὸς, ὠφε- 40 λέουσι. καὶ ἐλελίσφακος σὺν ἀλφίτοισι λεπτοῖσι. καὶ τυρὸν αἴγειον, ἐπιξύσας τὴν ἅλμην. ταῦτα μίσγε. [68] μίαν μοῖραν τυροῦ, καὶ τῶν ἀνάλτων ἀλφίτων μοῖραν. καὶ νῆστιν πίνειν δίδου, ἐν οἴνῳ. ὅταν δὲ ἑσπέρη ᾖ, κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου πίνειν. [69] καὶ τῶν ποτημάτων, ἃ δεῖται πιπίσκειν, καὶ πυριῆν πυκνά. καὶ τῷ θερμῷ καταιονᾶν. καὶ τῇ κηρωτῇ ἡσύχως, καὶ μαλθακῶς, καὶ ὁμαλῶς ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ τὰς μήτρας. καὶ ἀναδεῖν τὰ πλευρὰ ταινίῃ πλατείῃ. καὶ γαλακτοποτέειν βόειον γάλα ὡς πλεῖστον, ἐπὶ ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρῆσθαι, ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος, [illegible] τε, καὶ θανατώδης. καὶ ὀλίγαι φεύγουσιν ὧδε μελεδαινόμεναι. [70] Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἐνῶσιν, ἢ ἐν τῷ κενεῶνι, καὶ ἴῃ πνεῦμα μετάρσιον. καὶ πνῖγος ἔχῃ. καὶ ἆσθμά μιν λάζηται πυκινὸν,

Hæc viduæ facienda, optimum est autem si concipiat. Virgini verò vt viro iungatur persuadeto. Naribus nihil adhibendum, neque medicamentum ieiunæ bibendum. Castorium & conyzam ex vino quàm odoratissimo diebus viginti bibat, neque caput odorato inungat, neque odorati aliquid olfaciat. Si vteri ad latus inflammatione laborent, tangenti durum apparet, & cùm præcordia attigerint, strangulant, pituitam acidam vomit, quæ dentes stupore afficit. Postquàm vomuerit, meliusculè habere videtur. Cùm verò ad inferiora impetu feruntur, interdum ad alias ventris partes discedunt, præcipuè verò quandoque ad laterum inanitates feruntur, & ad vesicam, stranguriáque prehendit, & ad sedem, ventrisq; onus deponere videtur, mensésque solitò citiùs aut tardiùs contingunt, aut huic non confestim apparent. In hoc morbo si ad superiora strangulatus inducatur, tepefacientia admouenda, & naribus suffitus ex graueolentibus adhibendus, vtero verò ex odoratis, & conyza fœmina cum castorio ex vino ieiunæ bibenda. Vbi autem ad pristinam naturam redierint placidè suffitus adhibendi. Bibat quæ vrinam ducunt, eaque faciat quoad dolores detinuerint. Vbi autem cessarint, totam foueto, deinde si quidem biliosa fuerit, medicamentum deorsum purgans, quod bilem ducat, potui dato; si verò pituitosa, quod pituitam, & lac asininum, aut serum caprinum decoctum propinato. At si lienosa fuerit, neque lac, neque serum propinato. Et in purgationibus cibis mollibus & aluum deiicientibus vtatur. Pisces autem carnibus sunt meliores, vterisque fomentum admoueto, eósque per subdititia purgato & colluito, & postquam suffitum admouerit, virum adeat. Soluitur autem morbus vbi vtero conceperit. Si vteri in latera incumbant, tussis & ad latus dolor detinet, dorúsque tanquam pila insistit, & contactus dolet velut viceratus, videturq; affectus esse similis pulmonum inflammationi, in gibbum contrahitur, menses nō comparent, quibusdam etiam vbi comparuerint disperduntur. Tunc autem prodeunt imbecilli, pauci & praui, neq; per hoc tempus fit generatio. Cùm sic habuerit, medicamentum deorsum purgans propinato, multa calida lauet, tepefacientia quæ lubens suscipit admoueto, eaq; ex quibus sanguis purgetur in subdititio apponito. Lini semen torrefactum, tusum, cribratum, papauer album prosunt, & saluia cum tenui polenta, & caseus caprinus muria derasa. Hæc permixta, vt casei pars sit vna, & polentæ insulsæ pars vna, ieiunæ ex vino potui præbeto. Cùm autem vespera aduenerit, cyceona crassum affuso melle potui exhibeto, & potiones quibus opus erit propinato, crebrò foueto, calida perfundito, per ceratum vteros leniter, molliter & æqualiter à latere depellito, latus fascia lata religato, & lac bubulum magna copia per dies quadraginta potui exhibeto. Cibis autem quàm mollissimis vtatur. Morbus autem vehemens est & lethalis, paucæque sic curatæ euadunt. At si vteri in lumbos & lateris inanitatem decubuerint, sitque sublimis spiratio, suffocatio detineat, crebráque eam anhelatio corripiat,

neque moueri vult, thus tritum, aut bitumen, aut cicutam, aut myrrham, melle affuso excipito, glandulam longam ac crassam effingito, & in sedem indito. Si vteri ad medios lumbos sese conuoluerint, imum ventrem dolor detinet, crura contrahuntur, coxendicum iuncturæ ad sedem dolent, cumque ventris onus deponit, dolores acuti detinent, pre violentia exiguum stercus prodit, vrina stridet, & animi abiectio inuadit. Cùm sic habuerit, alligata ad vesicam fistula, oleum calidum in vteros infundere oportet, fomētum admouere, aut multa calida lauare, in oleum & aquam desidere, & suffitum ex graueolentibus ad pudenda adhibere, naribus verò ex odoratis. Postquam autem dolor quieuerit, medicamentum sursum purgans exhibendum, inferiorem verò aluum agitare non oportet. Cùm autem vteri ad suum locum redierint, medicamentum deorsum purgans bibendum dato, & lac asininum, si minimè lienosa fuerit. Deinde fomento admoto vteros medicamento, quod cum lauro paratur perfundito, & subdititium medicamentum purgans quod non mordeat in pesso apponito. Deinde suffitu ex aromatis suscepto, virum adeat. Quòd si concipiat conualescit. Verùm pleræq; infœcundæ & cruribus captæ plærunque redduntur. At quibus osculum aliò inclinat, & in coxendicem incumbit (hæc enim dum fiunt vterum purgari, & genituram liberosq; suscipere prohibent) hāc odoratis fouere oportet, & post fomentū leuiter digito immisso contrectata muliere à coxendice abducere, posteaq; tædulis & plumbea fistula dirigere. Neq; enim celeriter cogetur, vt dictum est. Cùm autem ad naturalem statum redierit, & vteri aperti fuerint, per subdititia mollia purgato, reliquaq; conuenientia facito. Quibus vteri in coxam incidunt, nisi celeriter decidant, rursusque suo loco restituantur, coxæ adhærescentes resiccantur. Os autem obuersum esse & in superioribus detineri necesse est, cumq; obuersum fuerit, conniuere, ex auersione autem & conclusione durum effici, vteriq; os conniuere & læsum esse. At conclusi vteri menses ad mammas remittūt, & ad pectus ascendere cogunt, venter imus attollitur, & inexpertæ vterum gestare sibi videntur, cùm iis eadem qualia prægnantibus ad septimum aut octauum vsque mensem contingant, venterq; pro temporis ratione increscat, pectus attollatur, lacq; gigni videatur. Hoc autē tempore elapso mammæ extenuātur, & minores redduntur, idemq; ventri contingit, & lac conspectū effugit, cumq; ad tempus peruenerit in quo se parituram existimabat, vētris moles euanescit & subsidit. Quæ cùm eueniunt, vteri paruo tempore vehementer contrahuntur, eorumq; osculum deprehendi nō potest, adeò omnia in se contrahuntur ac resiccantur, & in mãmis tubercula dura exoriuntur, quædam quidem maiora, quædam verò minora. Hæc autem minimè suppurant, sed semper duriora fiunt, ex his deinde occulti cancri pullulant. Aduenientibus autē cancris, priùs os amarescit. & quæ comederit omnia amara esse videntur. Ac si quis plura exhibuerit, sumere recusant,

[71] καὶ οὐκ ἐθέλει κινέεσθαι. τρίψας θεῖον, ἢ ἄσφαλτον, ἢ κώνειον, ἢ σμύρναν, μέλι ἐφθὸν παραχέας, ποιέειν δὲ βάλανον μακρὴν. παχείην. καὶ ἐντιθέναι ἐς τὴν ἕδρην. ἢν αἱ μῆτραι εἰλέωσι σφέας ἐς τὸ μεσηγὺ τῶν ἰξύων ὀδύνην ἔχει, καὶ τὴν νειαίρην γαστέρα. καὶ τὰ σκέλεα εἰρύαται. καὶ τὰς κοτύλας ἀλγέει. καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἴσχουσιν ὀξεῖαι. καὶ ὁ ἀπόπατος παρέρχεται ὑπὸ βίης σμικρός. [72] καὶ τὸ οὖρον βρύζει τε, [73] καὶ ὀλιγοψυχίη λαμβάνει. ὁκόταν ὧδε ἔχῃ, χρὴ προσδῆσαι τῇ κύστει αὐλίσκον. καὶ ἐγκλύζειν ἔλαιον θερμὸν ἐς τὰς ὑστέρας. καὶ πυριῆν, ἢ λοῦσαι πολλῷ, καὶ θερμῷ ὕδατι. καὶ ἐς ἔλαιον καὶ ἐς ὕδωρ καθίζειν. ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα, κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, [74] φάρμακον διδόναι ἄνω. τὴν δὲ κάτω κοιλίην, οὐ χρὴ ταράσσειν. ἐπὴν δὲ αἱ ὑστέραι καταστέωσι, φάρμακον πῖσαι κάτω, γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ. ἔπειτα πυριῆσαι, καὶ καταιονᾶν τὰς ὑστέρας, [75] τὸ ξὺν τῇ δάφνῃ προστιθεὶς, προσθετὸν καθαρτήριον ὃ μὴ δήξηται. κἄπειτα θυμιωμένη τοῖσιν ἀρώμασι, παρὰ τὸν ἄνδρα ἴτω. καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ἄτοκοι δὲ πολλαὶ καὶ πηραὶ τὰ σκέλεα πολλάκις γίνονται. ὁκόσῃσι δὲ τὸ στόμα κλίνεται ἑτέρωσε, καὶ προσπίπτει τῷ ἰσχίῳ, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην καθαίρεσθαι, καὶ τὴν γονὴν δέχεσθαι, καὶ μὴ παιδοποιέειν. ταύτην πυριῆν χρὴ, τοῖσιν εὐώδεσι. καὶ μετὰ τὴν πυριὴν [76] παραψαυσαμένη τῷ δακτύλῳ, ἀποστῆσαι ἀπὸ τοῦ ἰσχίου. κἄπειτα ἐξιθύνειν τοῖσι δᾳδίοισί τε, καὶ τῷ μολίβδῳ. οὐ γὰρ βιήσεται θοῶς ὡς εἴρηται. ὅταν δὲ κατὰ φύσιν ᾖ, καὶ ἀνεστομωμέναι γίνονται, προσθετοῖσι μαλθακοῖσι καθαίρειν, καὶ τ' ἄλλα προσηκόντως ποιέειν. ὁκόσῃσιν ὑστέραι προσπίπτουσι πρὸς τὸ ἰσχίον, ἢν μὴ ταχέως ἀφιστέωνται, καὶ πάλιν ἐς χώρην καθιστέωνται, προσαυαίνονται πρὸς τῷ ἰσχίῳ. ἀνάγκη δὲ τὸ στόμα ἀπεστράφθαι, καὶ ἀνωτέρω ἴσχεσθαι. ὅταν δὲ ἀποστραφῇ, ξυμμύσαι. ἐκ δὲ τοῦ ἀπεστράφθαι τε καὶ ξυμμύσαι, σκληρὸν γενέσθαι. καὶ ξυμμύειν καὶ πεπηρωμένον τὸ στόμα τῶν ὑστερέων εἶναι. ἀποκλεισθέντων δὲ ἔπειτα πέμπειν τὰ ἐπιμήνια ἐς τοὺς μαζοὺς, [77] καὶ βεβιωότας τοῦ στήθεος ποιέει. καὶ ἡ γαστὴρ ἡ νειαίρη ἐπῆρται. καὶ δοκέουσιν αἱ ἄπειροι, ἐν γαστρὶ ἔχειν. πάσχουσι γὰρ τὰ τοιαῦτα, οἷάπερ αἱ κύουσαι, μέχρι μηνῶν ἑπτὰ, ἢ ὀκτώ. ἥ τε κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου. καὶ τὰ στήθεα ἐπαίρεται καὶ γάλα δοκέει ἐγγίνεσθαι. ὁκόταν δὲ ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ συνισχναίνονται, καὶ ἐλάσσους γίνονται. καὶ ἡ κοιλίη, τὸ ωὐτὸ πάσχει. καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον. καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ἐδόκεε τίκτειν, ἐπειδὰν ἔλθῃ, ἀποδέδρηκέ τε, καὶ ξυμπίπτει. [78] τοιούτων δὲ γινομένων, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον συνέρχονται. καὶ τὸ στόμα αὐτέων ἐξευρεῖν οὐχ οἷόν τε. οὕτω πάντα ξυμφρύσσονταί τε καὶ ξυναυαίνονται. καὶ ἐν τοῖσι τιτθοῖσι, φυμάτια γίνονται σκληρά. τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω. ταῦτα δὲ οὐ γίνονται ἔμπυα, [79] ἀλλ' αἰεὶ σκληρότερα γίνονται. εἶτα ἐξ αὐτέων φύονται, καρκῖνοι κρυπτοί. μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον τὰ στόματα ἐκπικραίνονται. καὶ ὅ,τι ἂν φάγωσι, πάντα δοκέουσι πικρὰ εἶναι. καὶ ἢν τις πλείω διδῷ, [80] ἀναίνονται λαβεῖν.

[81] καὶ γὰρ

καὶ ἀχεταῖα δρῶσι. παραφρονέει δὲ τῇ γνώμῃ. καὶ ὀφθαλμοὶ σκληροί. καὶ βλέπουσιν οὐκ ὀξέα. καὶ ἐκ τῶν τιτθῶν εἰς τὰς σφαγὰς ὀδύναι διαΐσσουσι, καὶ ὑπὸ τὰς ὠμοπλάτας. καὶ δίψα ἴσχει. καὶ αἱ θηλαὶ καρφαλέαι. καὶ αὐταὶ πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσί. καὶ αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν, οὐκ ἀειρόμεναι. πνεῦμα μινυθῶδες. καὶ οὐκ ὀδμῶνται οὐδέν. καὶ ἐν τοῖσιν οὔασι, πόνος μὲν οὐκ ἐγγίνεται. πῶρος δὲ ἐνίοτε. ὁκόταν οὖν ἐς τόσον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, ἀλλ' ἀπόλλυνται ἐκ τουτέων τῶν νουσημάτων. ἢν δὲ πρότερον ἢ ἐς τόσον ἀφίκεσθαι θεραπευθῇ, καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. θεραπεύειν δὲ τὰς τοιάσδε ὧδε χρή. πρῶτον καὶ ἀπολύτων ἢν ἐπ' ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος εἰς τὸ ἄλλο σῶμα, φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέει δεῖσθαι καθάρσιος. ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα, οὕτως ἰέναι ἐς τὴν τῶν ὑστερέων θεραπείην. ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μηδὲ αἱ προφάσιες ἐντεῦθεν ὁρμῆσθαι,[82] ἀλλ' αἱ ὑστέραι ἐφ' ἑωυτῶν τὸ νούσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε. πυριῆν πρῶτον τὰς ὑστέρας ὧδε. χύτρινον ὅσον δύο ἑκταίας χωρέοντα, κλυσὸν ἐπιθεῖναι καὶ ξυναρτῆσαι, ὅκως παραπνέῃ μηδέν. ἔπειτα δὲ κόψαι τοῦ χανείου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπήν. ἐς δὲ τὴν ὀπὴν, ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχυαῖον, ἐνηρμόσθαι δὲ χρὴ τὸν κάλαμον τῷ χανείῳ καλῶς, ὅκως μὴ παραπνέῃ μηδαμῶς. ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπιθεὶς τὸ κλυσὸν ἐπὶ τὸν χύτρινον, περιπλάσας πηλῷ. ὁκόταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος. μῆκος δὲ, ὅσον χωρέειν τὸν χύτρινον. ἔπειτα χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς. ὁκόταν δὲ διάπυρος γένηται, ἐξελεῖν χρὴ τὰ ξύλα. καὶ τῶν ἀνθράκων οἳ δὴ ἁδρότατοι ἔσονται, καὶ διάπυροι.[83] τὴν δὲ σποδιὴν, καὶ τὴν μαρίλην ἐν τῷ βόθρῳ καταλιπεῖν. ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ, καὶ ἡ ἀτμὶς ἐπανίῃ. ἢν μὲν ἡ λίην θερμὴ ἡ πνοὴ, ἐπισχεῖν. εἰ δὲ μὴ, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου, καὶ ἐνθέσθαι ἐς τὸ στόμαχον. ἔπειτα πυριῆσαι. ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, ἵνα μὴ ὀξείην ποιήσῃς τὴν πυρίην. ἢν δὲ παραβαλλομένων τῶν ἀνθράκων ὀξείη γένηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων. τὴν δὲ πυρίην χρὴ κατασκευάζειν ἐν εὐδίησιν, ὅκου ἄνεμος μὴ προσπνέῃ, μὴ δὲ προσψύξῃ. ἀμφικεκαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν. ἐς δὲ τὸν χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων.[84] καὶ πλείονα μὲν καταθρύπτειν τῶν κατακεκαυμένων. καὶ ὕδωρ ἐπιχέαι, ὥς τε αὐτὰ καταβρέξεται. καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων, οἷον τρεῖς δακτύλους. καὶ ἐπιχεῖν φώκης ἔλαιον. καὶ οὕτως θερμαίνειν. πυριῆν δὲ χρὴ, πουλὺν χρόνον. μετὰ δὲ τὴν πυρίην, ἢν ἡ δυνατὴ, λουσάσθω. τὸ μὲν οὖν ὅλον σῶμα πρὸς ἡδονήν. τὴν δὲ ὀσφὺν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ, πλέον. δειπνεῖν δὲ δοῦναι μᾶζαν, ἄρτον, καὶ σκόροδα ἑφθά. τῇ δὲ ὑστεραίῃ ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην. ἢν δὲ μὴ, πυριῆν ὀπίσω. πυριωμένη δὲ ἢν δύνηται σκέψασθαι, κελεύειν ψαῦσαι τοῦ στόματος, ἢν ἡ πυρίη αὐτέην φύσης ἐμπιπλᾷ τὰς ὑστέρας. ἐμπιπλάμεναι δὲ φύσης, τὸ στόμα ἐκ τοῦ λίην ἀπεστράφθαι, καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθιστᾶσι, καὶ ἀναστομοῦνται.

& cohibenda faciunt, mente alienantur, oculi duri sunt, neque acutè cernunt, ex mammis dolores ad iugulum & scapulas perrumpunt, sitis detinet, papillæ aridæ sunt, ipsæq; toto corpore extenuatæ sunt, nares siccæ & obductæ, neque eleuantur, spiratio est imminuta, & nihil odorātur, in auribus dolor quidem nullus, sed interdum callosa concretio innascitur. Cùm igitur huc vsq; processerint, conualescere nequeunt, verùm ex eiusmodi morbis pereunt. Sin autem priùs quàm huc peruenerit curetur, & menses soluantur, sanescit. Eas autem ad hunc modum curare oportet. Ante omnia quidem si adhuc validam curandam susceperis, habita reliqui totius corporis consideratione, quacunq; tandem purgatione indigere videatur, medicamentum purgans exhibeto. Sic autem constituto corpore, ad vterorum curationem accedito. Quòd si totum corpus minimè agitandum videatur neq; causæ inde moueri, sed vteri per se morbosi sint, ad hunc modum curam auspicari oportet. Imprimis vteri sic fouendi. Ollam duas sextulas capientem sumito, operculū imponito, & ne quid expiret accommodato, deinde operculi fundo pertuso & foramine facto, in foramen arundinem cubitali longitudine indito. Probè autem operculo adaptatam esse arundinem oportet, vt nihil omninò transpiret. His præparatis, operculum luto obductum ollæ imponito. Quibus factis scrobem duorum pedum altitudine, ea verò magnitudine quæ ollam capiat effodito. Deinde ligna incēdere oportet, quoad fossam ignitam totam reddideris. Qua ignita reddita, ligna & prunas videlicet crassissimas & accensas subducere oportet, cinerem autem & suppositam cineri calido fauillam in scrobe relinquere. Vbi olla efferbuerit, vaporq; sursum delatus fuerit, si quidem admodū calidus sit, subsistendum; sin minùs, summa arundinis parte in vteri osculum indita, ei insidendum, postea fomentum admouendum. Quòd si refrixerit, prunas accensas admoueto, ea cautione adhibita, vt ne acutum fomentum reddas. Sin verò admotis prunis plus æquò acutum fomentum reddatur, prunas detrahito, fomentum autem sereno cœlo apparare oportet, vbi ventus non spiret, neq; refrigeret, & vestimentis vndiq; contectam esse. In ollam autem allia sicca iniicienda, eáque minutatim magis fracta, quàm quæ contusa sunt, & aqua quæ tribus digitis excedat, vt macerentur, affundenda, vitulique marini adeps infundendus. Sicque calefacere & fomentum longo tempore admouere oportet. Post fomentum autem, si valida fuerit, totum quidem corpus voluptatis gratia lauet, plurimùm autem lumbos & partes vmbilico inferiores. In cœna autem maza, panis & allia cocta exhibenda. Postero verò die si quidem à fomento exoluta fuerit, is dies intermittendus, alioqui rursus fomentum adhibendum. Adhibito fotu osculum contingere iubeto, vt considerare possit num fomentum ipsum vteros flatu compleuerit. Impleti enim flatu vteri, osculum valde obuersum & in coxam incumbens, velut directum magis restituunt & aperiuntur.

Cùm igitur eiusmodi fomentum id efficere possit, in hunc modum adhibendum. Vbi autem fomentum admouebis, allia immittenda, & vituli marini adeps affundendus, idq; faciendum quoad vteri inflati, osculumq; sursum validè tractum esse videatur. Ex hoc enim fotu hæc contingent. Post fomenta eadem quæ priùs quàm foueretur adhibenda. Cùm autem emoti & facilè solubiles vteri fuerint, fomentum ex fœniculi radicibus adhibendum. Alia olla ad eundem modum apparanda, radices fœniculi probè lotæ, contusæ in ollam immittendæ, & aqua affusa fomentum eodem modo admouendum. Post hæc lauandum, & sub vesperam in cœna maza sumenda. Quòd si panem volet, bulbulos & sepiolas paruas, hæc vino & oleo incoquenda, & esui præbenda. Inter fouendum osculum contingere tentandum, aut per fomentum vteri proximè adducendi. His ad dies quinq; vel sex fomentum admouendum, hominis habita ratione. Et si quidem exoluatur aut debilis reddatur, quãtum opus est temporis interponere, alioqui si non exoluatur, per totum diem fomentum adhibere. Post fomenta verò talos subdititios ex tæda pinguissima supponere tentandum. Sint autem oleo illiti, & sex digitorum longitudine facti, quinque vel sex numero, forma in acutum tendente. Ex his alius alio sit paulò breuior, crassitudo verò quantum digiti indicis, forma autem digito similis in summo tenuissima, sensim ad crassitudinem ducta. Læuissimi autem & rotundissimi conficiendi, animaduersione facta vt ne vllum fissum adsit. Supponendus autem primùm tenuissimus, quo subdito quiescat, obseruatione facta ne excidat. Ac primùm summam partem supponito, deinde semper magis simulq; tædulam obtorquendo, etiam intrò trudito. Cúmque paruam partem admiserit, in ea parua parte subsistendum, cautione adhibita ne excidat, deinde rursus eodem modo protrudendum, quoad vterorum osculum ad quatuor digitos intrò subierit. Quem cùm admiserit, alter post hunc, simul ac priùs appositum abstulerit, velut osculo adhuc recto & aperto, antequàm subsidat apponatur. Quod continget, si hic quidem detrahatur, alter verò supponatur. Plumbum autem oportet in similem formam crassissimi pessi tædacei ducere, quod cauum sit, vt quid contineat, & plumbi capacitatem eo modo fabricatam esse, quali ad vlcera fabricatur, vt penicilli os læue sit ac minimè vulneret. Hæc autem velut tædaceos pessos formato. Hoc modo efformatum penicillum plumbeum, adipe ouillo trito impleto, atque vbi præparatus fuerit, tædaceam quidem glandulam subducito, plumbeam autem imponito. Quòd si subditus plumbeus pessus eadem exhibeat, is eximendus, tædaceus verò rursus apponendus, & plumbeus in aquam frigidam intinctus, deinde rursus apponendus, & tædaceus detrahendus. Semper autem aliquid adhærere oportet, & interdiu quidem tædam continere præstat, noctu verò plumbum. At si surgere velit, id faciat ea obseruatione adhibita, vt penicillus quiescat, alioqui statim post supponendus.

ὡς δὴ τοιαύτης ἐούσης τῆς πυρίης, καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. ὅταν δὲ πυριήσῃς, ἐμβάλλειν χρὴ τῶν σκορόδων, καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν. ἄχρις δὲ ταῦτα, ἄχρις ἂν δοκῶσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἄνω εἰλκύσθαι ἰσχυρῶς. ποιέει γὰρ τὴν πυρίην ταύτην, τοιάδε ἔσται. δίαιταν δὲ μετὰ τὰς πυρίας, ὡς ὅτε τὸ πρότερον πυριῆτο. ὁκόταν δὲ ἀνακινηθῶσιν αἱ ὑστέραι, [85] καὶ εὔλυτοι γίνωνται, πυριῆν μαράθου ῥίζῃσιν. ἑτέρην τε χύτρινον κατασκευάσαι τὸν αὐτὸν τρόπον. τὰς δὲ ῥίζας τῶν μαράθρων ἀμφιπλύναντα φλάσαι, καὶ ἐς τὴν χύτρινον ἐμβαλεῖν. καὶ ἐπιχέας ὕδωρ, τὸν αὐτὸν τρόπον πυριῆν. μετὰ δὲ ταῦτα, λούειν. καὶ ἐς ἑσπέρην, δειπνεῖν μάζαν. ἢν δὲ ἄρτον βούληται, [86] καὶ βολβίδια καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἑψεῖν καὶ ἐν ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. ἐν δὲ τῇ πυρίῃ, πειρῆσθαι τοῦ στόματος ψαύειν, [87] ἢ πυρίῃ ἄγειν τὰς ὑστέρας ἄγχιστα. ταύτας χρὴ πυριῆν, ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον. κὴν μὲν διαλύηται, καὶ ἀσθενὴς ᾖ, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον. ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. μετὰ δὲ τὰς πυρίας πειρῆσθαι προστιθέναι τῶν προσθέτων, τῆς πάλου δᾳδὸς πιοτάτης. χρίσμα δὲ, λίπα ἔστω. ποιέειν δὲ μῆκος μὲν, δακτύλων ἕξ, πλῆθος δὲ, πέντε ἢ ἕξ. εἶδος δὲ, [88] ὀξύουρα. εἶναι δὲ θάτερον θατέρου, [89] σμικρῷ βραχύτερον. τὸ δὲ παχύτερον, εἶναι ὁκόσον δάκτυλος ὁ λιχανός. καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ ἐξ ἄκρου λεπτότατον. [90] ἀγόμενον δὲ, παχύτερον. ποιέειν δὲ, ὡς λειότατόν τε καὶ στρογγυλώτατον. φυλασσόμενον δὲ, [91] ὅκως σχινδαλμὸς μηδεὶς ἔσται. προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον. ὅταν δὲ προσθῆται, ἀναπαυέσθω, ὅκως μὴ ἐκπέσῃ φυλάσσουσα. προστιθέτω δὲ πρῶτον τὸ ἄκρον. εἶτα καὶ ἀεὶ μᾶλλον ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀποθέειν κυκλόσε τὸ δᾳδίον. καὶ ὁκόταν σμικρὸν προσδέξηται, ἐπέχειν ἐν τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ ἐκπέσηται. εἶτα αὖθις ἀποθέειν ἐς τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων τὸ εἴσω τοῦ στόματος τῶν ὑστερέων γένηται. ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι ὁμοῦ τὸ προσκείμενον ἀφαιρέουσα, ὅκως πρὶν ξυμπεσεῖν τὸ στόμα, προσκείσεται ἔτι ὀρθοῦ ἐόντος, καὶ ἀνεῳγμένου. οὕτως δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα ποιῆσαι τὸ εἶδος τῷ δᾳδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέχῃ. τοῦ δὲ μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον οἷον ἐπὶ τὰ ἕλκεα ἐξελαύνεται, ὅκως τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται, καὶ μὴ τρώσῃ. ποιέειν δὲ ταῦτα, ὡς καὶ τὰ τῶν δᾳδίων. ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἷος τετριμμένου. ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δᾳδίον, ὑφελεῖν· τὸ δὲ μολύβδιον, ἐνθεῖναι. [92] ἢν δὲ τὸ μολύβδιον κλύμα περιέχῃ προστεθὲν, τὸ μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δᾷδα ὀπίσω προστιθέναι. καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρόν. ἔπειτα ὀπίσω προστιθέναι, τὴν δὲ δᾷδα ἀφελεῖν. προσκεῖσθαι δὲ χρὴ ἀεί τι. τὴν ἡμέρην ἄμεινον τὴν δᾷδα ἔχειν. νύκτωρ δὲ τὸ μολύβδιον. ἢν δὲ ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ. ἢν δὲ μή, αὐτίκα κατόπιν προστιθέσθαι. ἢν δὲ

ἢν δὲ τῶν δαιδίων ὧν προστίθεται μηδὲν προσδέχηται, λεπτότερον ποιεῖν, μέχρις οὗ προσδέχηται, ἐκ τουτέων εἰς ἐκεῖνα καθιστάναι [93] καὶ εὐπειθῆσαι. ἢν δὲ τὸ στόμα μηδὲ δύνηται ἀνοίγεσθαι, μηδὲ ὑστέραι ἀγχοῦ προσίωσιν, αὖθις ἐπαναχωρεῖν ἐπὶ τὴν ἀρχαίην ἴησιν. ἀπὸ δὲ τῆς προτέρης, ἐπὶ τὴν δευτέρην. μέχρις ὅτου μαλθαχθῶσι, καὶ πελασάτω προσίωσι. κἀπειδὰν ἀναστομωθῶσι, προστιθέναι προσθετὰ ποιήσαντα. ἔστω δὲ τὸ μέγεθος, ὅσον ἐλαίη. τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ. κἄπειτα θάτερον προστιθέναι. ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, [94] ἅψαι τὸ πρόσθετον τὸ ἐκ τῆς ῥητίνης. ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων, ἐς ἔλαιον ῥόδινον, ἢ ἴρινον. πρὶν δὲ τὸ μολύβδινον προσκεῖσθαι χρή, ὅκως ἐν ὀρθῷ τῷ στόματι [95] ἐνθείσης εἰς τὸ εἴσω τοῦ σώματος. ἔπειτα μαλθακτήρια προστιθέναι. λούεσθαι δὲ θερμῷ, καὶ πρὸ τῶν προσθετῶν, καὶ ὕστερον. καὶ δεῖπνον διδόναι τῶν θαλασσίων τι τῶν εἰρημένων. διδόναι δὲ ὅταν ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος, σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων, καὶ καθαρὸν ᾖ, [96] παύεσθαι τουτέου τοῦ προσθέτου. μετὰ δὲ τοῦτο μαλθακτήρια. [97] ὅταν δὲ ἀποφλεγμήνῃ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τἄλλα ποιεῖν, κατὰ τὸν ὑφηγημένον τρόπον. [98] ὅταν δὲ καλῶς ἔχῃ τὸ σῶμα, ἀναφυσῆν ὡς εἴρηται. καὶ τὸ στόμα δὲ ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε. πρόσθετον ποιήσαντα ξὺν τῷ σύκῳ, προσθεῖναι. ποιεῖν δὲ δύο καὶ ταῦτα. πρὸ δὲ τοῦ προσθεῖναι, πυριῆσαι. καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθου τῇ πρόσθεν εἰρημένῃ. μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ φάρμακον. ὅταν δὲ μέλλῃ προστιθέναι πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω προστιθέναι. τῇ δ' ὑστεραίῃ ἡμέρῃ, μαλθακτήρια ἀρήγει, ἄχρις ἂν φλεγμαίνωσι. μετὰ δὲ τὴν φλεγμασίην, ποιεῖν τὰ ἄλλα κατὰ τὸν ἔμπροσθεν λόγον. ποιεῖν δὲ καὶ περὶ τοῦ προσθέτου τούτου τοιαῦτα, οἷάπερ καὶ περὶ τοῦ προτέρου. κἢν μὲν μείνῃ ἅπαξ προστεθὲν, ἀρκέοντος δοκεῖν εἶναι. φυσῆσαι τὰς ὑστέρας, καὶ πεπαῦσθαι. ἢν δέ τις χρήζῃ, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ πρότερον. μετὰ δὲ ταῦτα ὅταν καλῶς δοκέῃ σοι, καὶ καιρὸς εἶναι, τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιαμάτων. σκευάζεται δὲ τόνδε τὸν τρόπον. κύπερον κόψαντα καταστῆσαι ὅσον σκαφίδα. καὶ κάλαμον μυρεψικὸν, ἕτερον τοσοῦτον. καὶ σχοίνου τῆς μυρεψικῆς ἴσον. καρδάμου τε ἶσον. καὶ κυμίνου αἰθιοπικοῦ. καὶ ἀνήσου. καὶ πηγάνου ξηροῦ. καὶ ὑπερεικοῦ. καὶ μαράθου σπέρμα. ὅταν δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας εἰς τὴν χύτρην οἴνου αὐστηροῦ κοτύλας ἕξ, ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, καὶ ἀναταράξαι. εἶτα ἐπιχέαι, ὅσον τριώβολον ὁλκὴν μύρον αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, [99] ἢ ἴρινον ἄκρον. ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι πυρίην μαλθακὴν τῇ πυρίῃ, πλεῖστον χρόνον. λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριᾶν ἡμέρας δύο ἢ τρεῖς. ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθεμά τι χρὴ ἐπικεῖσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ. μετὰ δὲ τοῖσι δαιδίοισι καὶ τοῖσι μολυβδίνοισι, χρέο. ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν, δύο ἢ τρεῖς. τὰς δὲ μεταξὺ ἡμέρας, λούειν δὶς τῆς ἡμέρης. ἐσθίειν δὲ πράσα ἑφθὰ, καὶ ὠμά. καὶ ῥαφανίδας. καὶ κάρδαμα. καὶ σκόροδα ὀπτὰ καὶ ἑφθά. καὶ τὸ πόμα ἀκρητέστερον.

Si verò ex pessulis tædaceis qui apponuntur nullum admittat, tenuiorem quoad admittat efficito; & ex his ad illa reducito, & vt obediant efficito. Quòd si neq; osculum aperiri possit, neq; vteri prope accedant, rursus ad pristinam curationem reuertendum, à prima ad secundam, quoad emolliantur, & proximè accedant. Atq; vbi aperti fuerint, subdititia medicamenta confecta apponito. Sint autẽ oliuæ magnitudine, atq; horum alterũ apponendum, quoad colliquefiat, deinde alterum supponendum. Cùm verò subdere voles, subdititium ex resina paratum, oleo rosaceo aut irino intingito. Discedit enim ab ore vterorum. At priùs plumbeum pessum apponi oportet, vt recto ore in interiorem eius partem attrahatur. Deinde emollientia in subdititio admouẽda. Ante subdititia autẽ postea q; calida lauet. In cœna autem aliquid ex cõmemoratis piscibus marinis exhibendum. Exhibendum autem duobus aut tribus post apposita subdititia diebus, consideratione adhibita an vterorum osculum bene habeat, purumq; sit. Tumq; ab huiusmodi subdititio quiescendum, post hoc verò emollientia admouẽda. Vbi autem os vterorum inflammatione laborarit, rursus eodem modo medicamenta in subdititio apponẽda, reliquaq; eodem quo dictum est modo facienda. Cùm corpus benè habuerit, velut dictũ est flatus immittẽdus. Quinetiã os & vteros ad hunc modũ inflare oportet. Subdititium medicamentũ ex ficu confectũ apponito. Duo autem eadẽ facito, & antequàm subdas, fomentum ex fœniculo priùs commemoratum admoueto. Post fomentum postero die medicamentum supponito. Cùm supponere voles, postquàm ante omnia subdititia lauerit, sic supponito. Postero autem die emollientia conferunt, quandiu inflammati fuerint. Post inflammationem autem reliqua prædicta ratione facito, eademq; ex hoc subdititio, quæ de priore facito. Quod semel subditum maneat, abundè vteros inflasse videatur, & quiescendum. Sed si quædam opus habuerit, rursus eodẽ quo priùs modo supponendum. Post hæc autem cùm rectè tibi habere & tempestiuum esse videbitur, fomentum ex aromatis propinato. Apparatur autem hoc modo. Cyperum tusum quantum conchæ testa capit, calami odorati tantundem, iunci odorati parem portionem, cardamomi tantundem, & cumini Æthiopici, anisi, rutę siccæ, hyperici, & seminis fœniculi. His apparatis vini austeri albi odoratissimi heminas sex in ollam effundito, cõtusorum quadrantem aspergito ac permisceto. Deinde vnguentum Ægyptium quàm optimum ad trium obolorum pondus affundito, aut amaracinum, aut irinum exquisitum. Quo affuso, agitato, & molle fomentum plurimo tempore adhibeto. Ante fomẽtum autem lauet, & duobus aut tribus diebus foueto. Cùm foueri desierit, operculum aliquod fomento imponere oportet, vt ne transpiret, postea verò tædaceis & plumbeis pessulis vtitor. Cùm autem duobus aut tribus diebus fomentum admoueris, duobus aut tribus aliis intermittito. Intermediis verò diebus bis die lauato. Porrum coctum edat & crudum, raphanos, nasturtium, allia assa & cocta, potus sit meracior.

& priùs commemoratis piscibus marinis vtatur. Vbi intermissi dies præterierint, fomentum adhibere oportet, modica de singulis contusis quãtitate ad prius fomentum inspersa, & vino si opus esse videatur, ac oleo affuso, hoc fotu vti. At postquam à fomentis bene habere videatur, & osculum molle, ac vt conuenit apertum esse, vteriq; prope accedere, post fomentum postero die medicamentum ex myrrha confectum supponẽdum. Duo autem subditititia esse oportet, post purgationem verò postero die emollientia subter apponere, quoad vteri inflammatione liberati fuerint, post hoc autẽ tædaceis & plumbeis pessulis vtendum. Postea autem dierum intermissione, vt videbitur, facta, inflammationis vterorum ratione, & virium corporis coniectura adhibita, rursus velut scriptum est, fomentum adhibendum, si quidem prius fomentum adhuc satis esse videatur, in id immissa, vt priùs, ad suffitum accommodata materia, vinoque & oleo affuso. Sin verò illud inutile esse videatur, aliud denuo apparandum. Oportet autem in vna quaq; subdititij medicamenti appositione, recentissimum medicamentum adhibere, quoad subcruenta purgẽtur, quæ cùm purgata fuerint, quiescendum. Victus ratio hoc modo instituenda. Interrogãda est quibus diebus ei mẽses profluant, à quibus initio ducto, hæc victus ratio præscribenda. Primùm quidem copiosa calida lauet, capite excepto. Cùm cessauerit, caseum acrem & rutam vino nigro æquali aquæ portione temperato dissoluito, deinde polenta aspersa, confestim à balneo potui exhibeto, postea prandium suo tempore præbeto. Mazam aut panem edat, & porra cocta aut cruda, & priùs descripta omnia id genus acria, interdumque leguminis fresi decoctum spuma non detracta, cum multa laseris scobe, & alliis multis incoctis. Pro opsonio vtendum piscibus cartilaginei generis omnibus coctis, cum aceto mulso apparatis, polbidiis & paruis polypis, ex vino & oleo coctis. Laseris semen contritum bibendum, & quamplurimùm in prandio & cœna edendum. Post cœnam cùm quiescere volet lauandum. Hac victus ratione vtatur ad dies quinq; vel sex, post quos mane quidem ieiunæ, sambuci fructum ad baccas sex ex vino meraco exhibeto, & sepię oua decem aut duodecim. Hęc simul lęuiter trita, mane ieiunæ potui præbeto. Post hoc medicamentum, potionem exhibeto, & intermissione aliqua facta lauet. Rutam bibat & caseum, sic eo quo præscriptum est modo prandeat, tardiùs verò cœnet, semperque bis die ipso lauetur. Hæc autem victus ratio ad dies tredecim vel quatuordecim obseruetur. Quibus elapsis, medicamenta deuoranda ex laseris succo fabę magnitudine conficito, eaq; primùm exhibeto, posteaque reliqua quæ præscripta sunt facito. Post hanc autem dierum quinque & viginti victus rationem, cætera quidem eodem modo facito. At ante prãdium cùm prandere volet, quatuor ferè allij nucleos, & caseum acrem astragali magnitudine ante terito, & modica polenta ammixta massam conficito, eamq; primùm comedendam exhibeto, ante cœnam verò meracum sorbeat, sicq; cibum capiat. In reliquis eandem victus rationem seruet. Nouem autem diebus ante

καὶ τοῖσι θαλασσίοισι, τοῖσι προειρημένοισι χρέεσθαι. ὅταν δὲ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων εἰς τὴν πρόσθεν ἀρχουμένην πυρίην. καὶ οἶνον ἐπιχέαι, ἢν δοκέῃ δεῖσθαι, καὶ ἔλαιον, καὶ τούτῳ πυριῆσθαι. ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι, καὶ ἀνεστομωμένον ὡς χρή. καὶ αὗται αἱ ὑστέραι ἐγγὺς, μετὰ τὴν πυρίην τὴν ὑστεραίην ἡμέρην, προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ. προσθετὰ δὲ εἶναι δύο. μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ, τὰ μαλθακτήρια προστιθέναι. καὶ μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι. μετὰ δὲ τοῦτο τοῖσι δᾳδίοισι καὶ μολυβδίοισι χρῆσθαι. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς ἂν δοκέῃς εἶναι τῆς φλεγμασίας ἀποσκεπτόμενον τῶν ὑστερέων. καὶ τὴν δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται. ἢν μὲν δοκέῃ ἔτι ἡ πρόσθεν ἀρχομένη πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον. καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον. ἢν δοκέῃ δὲ αὕτη ἄχρηστος εἶναι ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατασκευάζειν. [100] δεῖ δὲ νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει μέχρις ὅτου ὕφαιμα καθαίρηται. ἢν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. δίαιταν δὲ τῇδε ὧδε ἐχέτω. ἀνερωτᾶν δὲ ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτῇ ἐγίνετο τὰ καταμήνια. ἀπὸ τουτέων ἀρξάμενος δίαιταν τῇδε τῇ διαίτῃ. πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς. ὅταν δὲ παύσηται, δοῦναι τυρὸν δριμὺν, καὶ πήγανον οἴνῳ διέντα μέλανι, ἴσον ἴσῳ κεκρημένον. ἔπειτα αὐτῷ ἄλφιτα ἐπιπάσαντα, δοῦναι πίνειν ἐκ τοῦ λουτροῦ αὐτίκα. εἶτα ἄριστον δοῦναι ἐν καιρῷ. ἐσθίειν δὲ μάζαν ἢ ἄρτον. καὶ πράσα ἑφθὰ, ἢ ὠμά. καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων. καὶ ἔτνος ἐνίοτε. τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν. καὶ σίλφιον πουλὺ ῥινῶντα. καὶ σκόροδα ἐγκαθεψῶντα πολλά. ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσι, ὀξυγλυκέσι [101] βολβιδίοισι, πολυποδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ, [102] φύλλον ἀποτετριμμένον πίνειν. καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπ' ἀρίστῳ, καὶ ἐπὶ δείπνῳ. λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, ὅταν μέλλῃ ἀναπαύεσθαι. ταύτῃ τῇ διαίτῃ μέχρις ἡμερῶν πέντε ἢ ἓξ χρεέσθω. μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωῒ μὲν διδόναι νήστει ἀκτῆς καρπὸν, ὅσον πυρῆνας ἓξ, ἐν οἴνῳ ἀκρήτῳ. καὶ σηπίης ᾠὰ, ὅσον δέκα, ἢ δυοκαίδεκα. ταῦτα τρίψαντα ὁμοῦ λεῖα, πρωῒ διδόναι νήστει πίνειν. μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν. ἐπισχοῦσα δὲ λουέσθω. πίνειν δὲ τὸ πήγανον. καὶ τὸν τυρὸν οὕτως ἀριστᾶν, τὸν προγεγραμμένον τρόπον. δειπνεῖν δὲ ὀψιαίτερον, λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν. ἡ δὲ δίαιτα ἔστω μέχρις ἡμερέων τρεισκαίδεκα, ἢ τεσσαρεσκαίδεκα. ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, καταπότα ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ σιλφίου, ὅσον κύαμον. καὶ διδόναι τοῦτο πρῶτον. μετὰ δὲ τοῦτο, ἄλλα τὰ προγεγραμμένα ποιέειν. ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ ταῦτα. πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾶν, προτρίψαι [103] σκορόδου ἄγλιθας τέσσαρας. καὶ τυρὸν δριμὺν, ὅσον ἀστράγαλον. καὶ ἄλφιτα προσμίξαι ὀλίγα, [104] καὶ ποιέειν μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν. πρὸ δὲ τοῦ δείπνου, ἄκρητον ἐπιρροφέειν. καὶ οὕτω σιτέεσθαι. τὰ δ' ἄλλα τὴν αὐτὴν δίαιταν διαιτῆν. ὅταν δὲ ἐννέα ἡμέραι γένωνται,

ἄλφιτον), [105] καὶ διαλιποῦσα ἐς τὸν χρόνον, διδόναι τοῦτο πρῶτον. καὶ μετὰ τῶν ὠῶν καὶ τῆς ἀκτῆς, κύμινον αἰθιοπικόν. καὶ τοῦ καστορίου ὀβολόν. ὅταν δὲ ἡμέραι λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων, καὶ τῶν καταποτίων. τὸ δὲ ἐκ τῆς δαιδὸς φάρμακον διδόναι λουσαμένῃ νήστει. μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου, διδόναι λινόζωστιν. καὶ κράμβην ὁμοῦ ἑφθὰ ἐν ὕδατι, [106] ἡδύνατα ἐν ὀξυγλυκεῖ καὶ ἁλσί. καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ. ταῦτα διδοὺς τρώγειν. καὶ τῶν χυλῶν ῥοφέειν. καὶ τὸ πόμα ἀκρητέστερον πίνειν. ὄψοισι δὲ χρῆσθαι πολυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ. ἐπὶ δὲ τῷ δείπνῳ, κρέας αἰγός, ἢ οἰός, ἢ ἀρνὸς διεφθα. καὶ πράσα. καὶ τῶν ἄλλων δριμέων, ὅ,τι ἂν βούληται. λουσάσθω δὲ ἀπὸ τοῦ δείπνου. αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας, τὰς ὑστέρας. ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ καταρραγῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς διαιτῆν, ἄχρι τῶν ὑστάτων δύο ἡμερέων. ταύτας δὲ τὰς δύο τῇ προτέρῃ ἡμέρῃ τῆς ὑστάτης προσθετὰ ποιήσας, προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, φαρμάκου τοῦ ἐν τῷ ὕδατι ποιευμένου. προστιθέσθω δὲ προλούσας. σκέψασθαι δὲ χρή, καὶ τὰς ὑστέρας ὅκως ἔχουσι. καὶ αἰεὶ περὶ πάντα τὸν χρόνον ὅκως καλῶς ἕξουσι. καὶ τὸ στόμα ὀρθόν τε καὶ ἐστομωμένον εἴη. [107] καὶ ἢν δοκέωσι πρὸ τῆς προσθέσιος, προπυριηθῆναι. ἢν δὲ καὶ καταρραγῇ τὰ ἐπιμήνια, ἢν μὲν συχνά, ἐλάσσοσι λουτροῖσι χρῆσθαι, καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ. ἢν δὲ ἐλάσσω, πλείοσιν. ἢν δὲ προσημήναντα ἴῃ, αὖθις διαίτῃ τῇ αὐτῇ χρῆσθαι, καὶ θεραπεύειν, ἄχρις ὅτου ἂν φανῇ τὰ ἐπιμήνια. ὅταν δὲ ἅπαξ ἔλθῃ τῇσι τοιαύτῃσιν, ἄριστον ἐν γαστρὶ λαμβάνειν. αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη. ἢν αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκέωνται, [108] σκληρὸν γίνεται ἐπὶ τὸν κενεῶνα. καὶ ὀδύναι νείρης γαστρός. καὶ ἐς αὐτὸν τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας, καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει. [109] καὶ διατείνεται. καὶ ἐκπυΐσκονται, καὶ ἔμμοτοι γίνονται, [110] καὶ ὄλλυνται, ἢν μή τι τάμῃς, ἢ καύσῃς. ὅταν οὕτως ἔχῃ, φάρμακον πῖσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ. καὶ πυριῆν τὰς ὑστέρας. ἐγχέαι τε καὶ οὖρον παλαιόν, καὶ ἀναζέειν. καὶ ἐς τὰ κοῖλα τῆς πυέλου [111] αὐτίκα ἐπίζεσαι, περικαλύψας εἵμασι τὴν γυναῖκα, ὡς μὴ διαπνέῃ. ἐπειδὰν δὲ ἀποψύχηται τὸ οὖρον, [112] ἐμβάλλειν μύδρους διαπύρους ἐς τὸ οὖρον. καὶ πυριῆν μέχρις οὗ φῇ ἀμαυρὰ βλέπειν, καὶ λιποθυμέειν. λοῦσαι δὲ θερμῷ ὕδατι. κἄπειτα ἁψαμένην τῷ δακτύλῳ, ἕλκειν τὸ στόμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ τὰς νύκτας προστίθεσθαι μαλθακτήρια. ἐπὴν δὲ φῇ κατ' ἰθὺ εἶναι, προπυριήσας τοῖσιν εὐώδεσιν, αὖθις προστιθέναι τινὰ μαλθακτήρια. ἀλλὰ καὶ τοὺς μολυβδίους ἡμέρας τρεῖς, ἕνα καθ' ἑκάστην ἡμέραν. μετὰ δὲ ταύτας, τὴν ἐχέδρωσιν, ἢ τὴν σκίλλαν, τρεῖς ἡμέρας. μετὰ δὲ τοῦτο σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα ᾖ, ἤν τε φλεγματώδεα, ἤν τε αἷμα διεφθορὸς ᾖ. καὶ ἢν δέῃ αὐτὴν αἷμα καθῆραι, προστιθέναι, ὅτου ἂν σοι δοκέῃ μάλιστα δεῖσθαι. καὶ μετακλύζειν τουτέοισι. προστιθέναι δὲ τὰ προσθετά, ἔστ' ἂν αἷμα καθαρὸν ἀνάγηται. καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας. ἐλάφου δὲ στέαρ προστιθέσθω τηκτὸν ἐμβάπτων μαλθακὸν εἴριον. ἔπειτα γλήχωνα τὴν

mensium tempus, hoc primùm exhibeto, & cum ouis & sambuco, cuminum Æthiopicum & castorij obolum addito. Cùm verò duo reliqui dies fuerint, ab his quidem omnibus potionibus & deglutiendis medicamentis liberanda, medicamentū verò ex tæda præparatum lotæ ieiunæ exhibendum. Post autem medicamenti potionem, mercurialem & brassicam simul ex aqua cocta exhibeto, aceto mulso, sale, lasere & oleo condita. Hæc in prandio edenda præbeto, & succos sorbitione sumendos, & potum meraciorem bibendum. Pro opsoniis polypodio cocto aut sepiolis vtendum, & hæc quidem prandeat. In cœna verò carnem caprillam, aut ouillam, aut agninam coctam, & porra, aliaq; acria quæcūq; volet assumat. A cœna autem lauet, istaq; victus ratione postremis duobus diebus vtatur. Quòd si ista victus ratione menses detracti nō fuerint, mense sequenti eadem victus ratio ab initio ad duos vsq; postremos dies instituenda. Quorum duorum posteriorum dierum priore, subdititia iuxta superiorem rationē parata supponenda, medicamento ex aqua cōfecto, priùs tamen lota supponat. Attendendum autem ad vteros quomodo se habeant, & vt semper omni tempore bene habeant, & osculum rectum apertumq; sit, & si ita visum fuerit, ante subdititiorum appositionem fomentum admouendū. Quòd si mēses affatim effluxerint, si quidem copiosi fuerint, balneis paucioribus, reliquaq; victus ratione ac curatione vtendum. Si verò pauciores, pluribus. Quòd si paruam de se significationem præbeāt, eadem rursus victus ratione & curatione vtendum, quoad menses appareant. Cū verò semel processerint, his vtero concipere optimū. Atq; hęc est omnium huiusmodi morborum curatio. Si vteri coxam contingant in eamque procumbant, dura ad lateris inanitatem euadit, imi ventris dolor est, & ad ipsam lateris inanitatē, lumbos & crura ingruit ac extenditur, pus colligunt, & ea quę per concerpta fit linamenta curatione indigent. pereuntq; nisi quid seces aut vras. Vbi sic habuerit, medicamentum deorsum purgans propinandū, & copiosa calida lauandum, & vteris fomentum adhibendum, vrinaq; vetus infundenda & feruefacienda, & supra peluis cauitatem mulier vestibus, vt ne quid exhalet, collocanda. Vbi autem vrina refrixerit, massæ ignitæ in vrinam iniiciēdæ, & fomentum adhibendū, quoad se obtusè cernere, & animo deficere dicat. Calida autem lauandum, posteaq; digito immisso contactum osculum in sanam coxam attrahendum, & noctu emollientia subter apponenda. Vbi autem directū esse dixerit, suffitu ex odoratis priùs adhibito, rursus emollientia quædam supponito, quinetiam per tres dies pessulos plumbeos, quotidie vnum, post quos bryoniam albam, aut scillam per tres dies. Deinde verò adhibitis in considerationem mensibus, perpende num biliosi sint, num verò pituitosi, nū etiam sanguis corruptus sit. Quòd si sanguis ei purgādus sit, quodcunq; maximè tibi opus esse videbitur supponendum, posteaque cum his colluendum. Subdititia autem apponēda quoad purus sanguis educatur, eaq; triduo peragenda. Ceruinum autem adipem liquatum, molli lana eo imbuta in subdititio apponat, deinde pulegium

per diem post adhibitum ex odoratis suffitum, sic virum adeat. Quòd si ex partu morbus contingat, postquam ex vrinæ fomento prorsus purgata fuerit, confestim ad odorata veniẽdum, deinde cùm lota fuerit, oleum album Ægyptium, ad sanam coxendicem apponat, & in eam decumbat. At si ne his quidem vteri transmutentur, ieiuna pæoniæ grana nigra quinq; ex vino odorato bibat, & in cibo allia cruda, & assata, & cocta comedat, opsoniis verò quàm paucissimis vtatur. Quòd nisi conualescat, ea sicuti de priore dictum est, purganda. Ex hoc morbo nisi statim concipiant, infœcundæ redduntur. Sed si ad hunc modum habeant, menses non cõtingant, neq; febris succedat, medicamentis primùm per superiora maximè purganda, si verò debilis sit, per inferiora. Et si post medicamenti potionem tibi pituitosa esse videatur, ieiuna, & cum cibo vomat, & vt plurimùm conualescet. Si vteri ad coxendicem decurrant, mẽses cùm crassi sint, non eunt, dolor ad imum ventrem permeat, & ad lateris inanitatem, morsumque percipit. Cùm sic habuerit, copiosa & calida lauanda, eique allia plurima comedenda danda, & lac abundè bibẽdum, deinde vinum merum, tota fouenda, & medicamẽtum sursum purgans exhibẽdum, si verò debilis sit, infra. Quòd si curata fuerit, vteris fomentum ex fœniculo cui absinthium ammixtum sit admoueto. Post recens adhibitum fomentum os vterorum placidè digito in sanam coxam retrahito, tum corpus, tum in ambitu affectas partes emolliẽtibus leniendo, & subdititium aliquod emolliens apponito, postea verò plũbeos pessos, confestimq; scillam, deinde intermisso vno die narcissinum. Vbi tibi pura videbitur, netopum in lana supponat, postero verò die oleum rosaceum. At euntibus mensibus, non subdere præstiterit. Si non eant, cantharidas quatuor, sine alis, pedibus & capite, pæoniæ grana nigra quinque, sepiæ oua, & seminis apii parum ex vino propinato. Et si dolor adfuerit stranguriaque detinuerit, in aqua calida desideat, aquamq; mulsam aquosam bibat. Quòd si non purgetur, rursus medicamẽtum bibat. Si verò prodeat, ieiuna virum adeat. Sed si non prodeat, mulieris vires spectando, dato quod detrahat, tuncq; ad virum accedere tutum est. Si enim concipiat, cõualescit. Si verò multa purgatio prodeat, mercurialẽ edat & polypos teneros coctos, cibisq; mollibus vtatur. Si vteri puerperæ ad coxendicem aut ad lateris inanitatem adhæserint, ad alteram coxendicem oleum Ægyptium album aut rosaceum apponendum, in sanam autem coxendicem decumbere præstat. Bibat etiam pæoniæ grana nigra quatuor, & sambuci fructum in tædis, conchæ testæ maioris quantitatem, & castorium fabæ magnitudine, cibisque mollibus vtatur. Ante cibum conueniet mercurialis cocta velut brassica, ius autem sorbeat, & acria comedat, exceptis raphano, cepa & nasturtio. Optima etiam est lactuca. At quicunque ab vteris morbi contingunt, hoc est cùm vteri loco moti fuerint, ij aliàs aliò irruunt. Quocunque autem irruerint, eò vehementes dolores feruntur.

ἡμέρην θυμιωμένη τοῖσιν εὐώδεσι. καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω. ἢν δὲ ἐκ τόκου ἡ νοῦσος γένηται, κεκαθαρμένης πάμπα ἐκ τῆς πυριῆς τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα. κἄπειτα λυσαμένην, ἄλειφα λευκὸν αἰγύπτιον προστιθέσθω πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ κατακείσθω ἐπὶ τοῦτο. ἢν δὲ μηδὲ πρὸς ταῦτα μεθιστῶσιν αἱ ὑστέραι, πινέτω νῆστις, τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, ἐν οἴνῳ εὐώδει. καὶ ἐπὶ τῷ σίτῳ τρωγέτω σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά. ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν, ἢν μὴ γένηται ὑγιής, ὡσαύτως καθαίρειν αὐτὴν ὡς ἐπὶ τῆς προτέρης. ἐπὶ δὲ ταύτης τῆς νούσου, ἢν μὴ αὐτίκα σχῶσιν ἐν γαστρὶ, ἄφοροι γίνονται. ἢν δὲ ὧδε ἔχωσι, τὰ ἐπιμήνια μὴ γίνηται, μηδὲ πῦρ ἐπιλάβῃ, φαρμάκοισι πρότερον καθαίρειν, ἄνω μάλιστα. ἢν δὲ ἀσθενὴς ᾖ, κάτω. καὶ μετὰ τὴν φαρμακοποσίην, [113] ἢν σοι δοκέῃ φλεγματώδης εἶναι, ἐμεέτω, νῆστίς τε καὶ σὺν τῷ σιτίῳ. καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται. ἢν δὲ αἱ μῆτραι [114] πρὸς τὸ ἰσχίον διαβῶσι, τὰ ἐπιμήνια παχέα ἐόντα, οὐ γίνεται. ὀδύνη δὲ ἐς τὴν νείαιρην γαστέρα ἀφικνέεται. ἀφικνεῖται δὲ καὶ ἐς τὸν κενεῶνα, καὶ δάκνεται. ὁπόταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ διδόναι σκόροδα τρώγειν ὡς πλεῖστα. [115] καὶ γάλα πίνειν ἱκνεομένως. ἔπειτα οἶνον ἄκρητον. καὶ πυριῆσαι ὅλην. καὶ φάρμακον δοῦναι ἄνω. ἢν δὲ ἀσθενεστέρη ᾖ, κάτω. ἢν δὲ ἰηθῇ, πυριῆν τὰς ὑστέρας, μαράθου. ξυμμίσγειν δὲ καὶ ἀψίνθιον. ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ ἠρέμα τῶν ὑστερέων, πρὸς τὸ ὑγιὲς ἰσχίον. παρηγορικῶς [116] μαλθάσσοντα τὸ σῶμά τε καὶ τὰ ἀμφὶ τοῦτο ἐόντα. καὶ προσθεῖναί τι μαλθακτήριον. μετὰ δὲ, μολυβδίδας. καὶ αὐτίκα σκίλλαν, [117] εἶτα ναρκίσσινον μίαν ἡμέρην διαλιπών. [118] ἐπὴν δέ σοι δοκέῃ καθαρή τις εἶναι, τὸ νέτωπον προστιθέσθω ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ, ἔλαιον ῥόδινον. τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μὴ προστιθέναι. ἢν δὲ μὴ ἴωσι, κανθαρίδας τέσσαρας, ἀπτέρους καὶ ἄποδας, ἄτερ κεφαλῆς, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ὠὰ, καὶ σελίνου σπέρμα ὀλίγον [119] ἐν οἴνῳ. καὶ ἢν ὀδύνη ἐνῇ, καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθήσθω. καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαίρηται, αὖτις τὸ φάρμακον πινέτω. [120] ἢν δὲ εἴη ἀσιτήσασα, πινέτω καὶ ξυνίτω τῷ ἀνδρί. ἢν δὲ μὴ γένηται, διδόναι ὅ,τι καθαρσιῆ, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικός, καὶ τότε ἀσφαλὲς φοιτᾶν πρὸς τὸν ἄνδρα. ἢν γὰρ ἴσχῃ ἐν γαστρὶ, ὑγιὴς γίνεται. ἐν δὲ τῇ καθάρσει ἢν ᾖ πολλὴ, λινόζωστιν ἐδιέτω. [121] καὶ πόδας οἷος ἑφθοὺς ἀπαλούς. καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. [122] ἢν ἐς τὸ ἰσχίον αἱ ὑστέραι, ἢ εἰς τὸν κενεῶνα καταστηρίξωσι λεχοῖ, προστιθέναι ἐς θάτερον ἰσχίον, αἰγύπτιον ἔλαιον λευκὸν ἢ ῥόδινον. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι. πίνειν δὲ [123] γλυκυσίδης κόκκους τέσσαρας τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ἐν τοῖσι δᾳσὶν ὅσον χηραμύδα, καὶ καστόρεος ὡς κύαμον. καὶ σιτίοισι χρῆσθαι μαλθακοῖσι. λινόζωστις δὲ αὖ ἁρμόζει πρὸ τοῦ σιτίου ἑφθὴ ὡς κράμβη. ῥοφεέτω δὲ καὶ τοῦ ὕδατος. καὶ τὰ δριμέα τρωγέτω, πλὴν ῥαφανίδος καὶ κρομμύου καὶ καρδάμου. ἄριστον δὲ θριδακίνη. [124] ὁκόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα, λέγω δὲ ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθῶσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ, ὅκου δ' ἂν προσπέσωσιν, ὀδυνήματα καταστηρίζουσιν ὀδυνηρά.

καὶ ἢν

καὶ ἐὰν ἅψωνται τῆς κύστιος, ὀδύνας παρέχουσι. καὶ τὸ οὖρον οὐ δέχονται, οὐδὲ τὸν γόνον ἐπὶ σφέας ἕλκουσι. καὶ ἀμφω ἀλγέει. καὶ ἢν μὴ ταχέως λύσιες γίνωνται, διαπυΐσκονται αἱ ὑστέραι ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ἢν πρὸς αὐτὰ πέσωσι. γίνεται δὲ κατὰ κενεῶνάς τε καὶ βουβῶνας, καὶ ὑπὲρ τοῦ κτενός. χρὴ δὲ ἐν ἀρχῇσιν ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν. καὶ χλιάσματα προστιθέναι, καὶ ἐν ὕδατι θερμῷ εἶναι. ἀγαθὸν γὰρ καὶ ἐν τούτῳ ἐγκαθίζειν, ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῆν. καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν κάτω, καὶ ἄνω ἢν δέῃ, ὁκοτέρου ἂν δέηται. τοῦτο δὲ διαγνώσῃ τῷδε τῷ τρόπῳ. ἢν μὲν ἐς τοὺς βουβῶνας, καὶ κτένα,[126] καὶ κύστιν ἐσχρίμψῃ, αὗται χρήσουσιν ἄνω φαρμακείης. ἢν δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κατωτερικοῦ φαρμάκου. τὰ δὲ νοσήματα ταῦτα πάντα τὰ τοιουτότροπα,[127] γεραιτέρῃσι μάλιστα γίνεται, ἢ νεωτέρῃσι περὶ τὰς ἀπολείψιας τῶν ἐπιμηνίων. γίνεται δὲ καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύωσι πουλὺν χρόνον. ἢν δὲ ἐς τὴν ἕδρην τράπωνται, τὰ ὑποχωρήματα κωλύονται,[128] καὶ ὀδύναι ἴσχουσι τὴν τε ὀσφὺν, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὸν ἀρχόν. ὅταν ὧδε ἔχῃ, λούειν χρὴ μὲν τῷ θερμῷ. καὶ πυριῆν τὴν ὀσφῦν. καὶ ὑποθυμιῆν τὸ κατόπιν κακώδεσι. καὶ προστιθέναι ἅσσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. καὶ πιπίσκειν ὅ,τι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα. ἢν δὲ κατακλίνωνται, ἐς τοὺς βουβῶνάς τε, καὶ οὐρητῆρας, ὀδύναι γίνονται ἰσχυραί. καὶ νάρκη ἐν τοῖσι σκέλεσι, καὶ ὁ οὐρητὴρ ἀποφράσσεται. καὶ τὸ οὖρον οὐ μεθίησι. θεραπεύειν δὲ χρὴ ὧδε. πρὸς μὲν τὰς ῥῖνας προστιθέναι τὰ εὐώδεα καὶ μύρα. πρὸς δὲ τὰς ὑστέρας, τὰ δυσώδεα θυμιᾶν. ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παρορμῆσαι, ἢν ἔχωσί τι φλαῦρον. καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος. καὶ ἀπὸ τοῦ ὀρχεῖσθαι, καὶ πτῆσαι,[129] καὶ κεάσαι, καὶ δραμεῖν πρὸς ἄναντες χωρίον, καὶ πρὸς κάταντες. καὶ ἀπ' ἄλλων ἱκανῶν. [130]ταῦτ' οὖν χρὴ σκέπτεσθαι ἐς ὅλον τὸ σῶμα καθορέοντα, ὅταν παρεόντα λυθῇ νοσήματα.[131] τὰ γὰρ τοιάδε πάντα, ἀνάγκη ἐστὶ τῷ πλέονι, τῷ ἐλάσσονι νοσεῖν. καὶ ἐπειδὰν ἐκλάμψῃ, μάλιστα ταύτῃ τὰ ἐξαπιναῖα δῆλα τῶν νοσημάτων. [132]ὁκόταν οὖν ταῦτα λυθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου, ὁκόσαι ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται, καὶ ἐν τοῖσιν ὑστερικοῖσι.[133] ταῦτα πάντα μετάρσιοι τὰς ὑστέρας ἐν τοῖσι τοιούτοισι καταπεσεῖν χρὴ. θερμὸν ὕδωρ, κατὰ τὰς ὑστέρας τῶν περὶξ χωρίων. καὶ ἐκθερμαίνειν αὐτὰς, καὶ τὰ σκέλεα, ὅταν προσπεπτωκυῖαι ἔωσιν. Ἢν περιστραφῶσιν αἱ μῆτραι ἐκ τόκου κατὰ δεξιὰ, τά τε λοχεῖα οὐ γίνονται. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἴξυας, καὶ τοὺς κενεῶνας. καὶ τὸ δεξιὸν σκέλος βαρύνεται, καὶ νάρκη ἔχει.[134] καὶ οὐ τε ψαύουσα μὴ, καὶ ἐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' ὁρᾷ λείας τε καὶ ὁμαλὰς ἰσχυρῶς. ὅταν δὲ ὧδε ἔχῃ, φάρμακον πῖσαι ὑφ' οὗ καθαίρεται καὶ ἄνω καὶ κάτω. κάτω δὲ μᾶλλον. καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς ὑστέρας μάλιστα προσηνέως. καὶ λούειν τῷ θερμῷ, δὶς τῆς ἡμέρης.[135] καὶ τῶν ποτημάτων, ὅ,τι μάλιστα ἂν προσδέξηται πειρώμενος. καὶ τῷ ἀνδρὶ ξυνευδέτω θαμινά. καὶ τὴν κράμβην ἐσθιέτω.[136] Ἢν αἱ ὑστέ-

Quòd si quis vesicam contingat, dolorem excitant, neq; vrinam recipiunt, neq; ad se genituram trahunt, vtraque dolent, ac nisi celeres solutiones contingant, tandem vteri in locis ad quę decubuerint, suppurant. Quod contingit in laterum inanitatibus, & in inguinibus, & supra pectinem. Sic autē per initia cùm dolor detinuerit, curare oportet, & tepefacientia admouere, & in calida morari. In ea enim desidere bonum est, aut per spongias ex aqua calida expressas fomentum adhibere, aut medicamētum aliquod ex his quæ vtero conueniūt in potu sumere. Quòd si his non soluatur, medicamētum deorsum aut sursum purgans si opus fuerit, vtro tandem indigere contigerit, exhibendum. Istud autem ad hunc modum dignosces. Si quidē ad inguina, pectinem & vesicam vterus impegerit, eæ medicamento per superiora purgante indigent. Si verò ad lateris inanitates & præcordia, medicamento per inferiora purgante. Huiusmodi autem morbi senioribus potiùs quàm iunioribus, in mēsium defectibus contingunt. Accidunt etiam iuuēculis, vbi diutiùs viduæ permāserint. Quòd si ad sedem vteri vertant, alui deiectiones prohibētur, & dolores lumbos, & imum ventrem, ac rectum intestinum detinēt. Cùm sic habuerit, ipsa lauari calida debet, & lumbis fomentum admoueri, posteaq; subter suffitus ex graueolentibus adhiberi. In subdititio quæ vteros purgant & pellunt apponenda, & ex iis quæ conducunt, quæ potissimùm admiserit propinanda. At si ad inguina & vrinæ vias decumbant, dolores vehementes cōtingunt, crura torpescunt, & vrinæ via obstruitur, neque vrinam emittit. Ad hunc autem modum curanda est. Naribus quidem bene olentia & vnguenta adhibenda, graueolentia autem ad vteros in suffitu admouenda. Quælibet autem occasio ad commouendos vteros satis est, si quid vitij habeant. Id enim vel ex pedum & lumborum frigore contingit, & ex saltatione, animi consternatione, lignorum sectione, cursu ad accliuem vel decliuem locum, & ex aliis plurimis. Hæc igitur spectanda sunt, ad totum corpus prospiciendo, vbi præsentes morbi solutionem acceperint. Eiusmodi enim omnia magis aut minùs affligere necesse est. Et postquam eminuerint, hac maximè parte de repente morbi se produnt. Cùm igitur hæc soluta fuerint, altiùs ex toto homine coniectura capiēda est. Quæ crurum perfrictiones aut torpores ex refrigeratione in vterorum morbis contingunt, eæ omnes vteros in altum subleuant. In his vbi prolapsi fuerint calidam ad vteros & ambientia loca affundere, eosq; ac crura excalefacere oportet. Si ex partu vteri in dextram obuersi fuerint, puerperij purgamenta non eūt, dolor imum ventrem, lumbos, & laterum inanitates detinet, crus dextrum grauitas & torpor occupat, neque etiam inclinata mulier vterorum os contingere poterit, sed læues & vehementer planos deprehendet. Cùm ita habuerit, medicamentum ex quo sursum & deorsum, magis tamen deorsum purgetur propinato, totiq; corpori ac pręsertim vteris lene fomentum adhibeto, bis die calida lauato, potiones periculo facto quas lubens admittat exhibeto, frequenter cum viro dormiat, & brassicam edat. Si vteri in sini-

ſtram partem aut coxam inclinarint, dolor acutus & vehemens lumbos, ac laterum inanitates, cruſq; detinet, & claudicat. Cùm ita habuerit, medicamentũ infra agitãs potui exhibere oportet, poſteroq; die ſubter ſuffitũ admouere. Hordei chœnices duas, & oleę folia minutim conciſa, gallam contuſam & cribratã, hyoſcyami tertiam chœnicis partem. Hæc mixta & cum olei hemina dimidia in olla noua agitata per dies quatuor ad ſuffitũ ſubter adhibeto, noctu verò lac bubulum, mel, & aquam bibat, & calida lauet. Si vteri trãſuerſi & obliquati fuerint, eorumq; oſculũ, huic menſes partim quidem deliteſcũt, partim etiã antea comparentes diſcedunt, nec ſimiles inter ſe eunt, ſed praui, & pauciores quàm antea, neq; hoc tempore genitura intus manet, dolorq; imum ventrem, lumbos & coxã detinet, eaq; detrahitur. Cùm ſic habuerit, medicamentum bibere oportet, calida lauare, & fotum adhibere, ſtatimq; à fotu & balneo digito ad leuiter contrectandum immiſſo, mulier os vterorum corrigat & dirigat, & ſuffitum ex odoratis adhibeat. Potionem quoq; exhibeto, quancunq; maximè admittere experientia cognoueris. Cibis autem vtatur mollibus, alliaq; edat & cruda, & cocta, viro condormiat, & in ſanam coxam decumbat, ad alteram fomentum admoueat. Hic autem morbus ægrè diſcedit. Quòd ſi vteri proximè accedant, crebrò vomendum, vteris verò ſuffitus ex graueolentibus adhibendus, donec in priſtinum locum collocati fuerint. Victus autem ratione minimè emolliẽte vtatur. Si vteri extra naturam proceſſerint, pudendum imumq; ventrem igneus calor detinet, vrina crebrò ſenſimq; ſtillat, pudendumq; vehementer mordetur. Hoc autem accidit, vbi recẽter à partu cum viro dormierit. Cùm igitur ita habuerit, myrti baccas & loti ramenta in aqua decoquito, decoctumq; cœlo ſereno per noctem exponito, ſicq; quàm frigidiſſimo pudendum perfundito, & læuiter trita propiùs admoueto. Deinde lẽtium decocto cum melle & aceto epoto vomat quoad vteri ſurſum retrahantur. Lectum autem à pedibus excitare oportet, & ſuffitum pudendo ex graueolentibus adhibere, naribus verò ex odoratis. Cibis vtatur quàm molliſſimis & frigidis, vinumq; album aquoſum bibat, neq; lauet, neque cum viro congrediatur. Si vteri prorſus extra pudenda procidant, penduli ſunt velut ſcrotum, dolorq; imum ventrem, lumbos & inguina prehendit, progreſſuq; temporis in priſtinum locum reuerti nolunt. Prehendit autem morbus cùm recens à partu laborarit, aut adeò defatigata fuerit, vt vteros leniter attigerit, aut in puerperij purgatione cum viro coïerit. Cùm ita habuerit, refrigerantia lenientia pudendis admouere oportet, & quod extra eſt repurgatũ, malicorio in vino nigro decocto abluere & intrò retrudere, deinde mel & reſinam liquefactam, pari cuiuſque portione, in pudendum infundere. Supina etiam pedibus altioribus extentis decumbat, poſtea admotas ſpongias ex lumbis religato. Quamdiu autem ſic habuerit, cibis quidẽ abſtineat, potu verò vtatur quàm pauciſſimo, donec ſeptem dies præterierint. Ac ſi ſic quidem obaudire ac redire conſueuerint, abũdè eſt.

ραι κατὰ τὰ ἀριστερὰ κλιθῶσιν, ἣ τὸ ἰσχίον ὀδύνη ἴσχει, ὀξεῖα τε καὶ συνεχὴς, τάς τε ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος, καὶ ἐπισκάζει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. τῇ δὲ ὑστεραίῃ, ὑποθυμιᾷν. τῶν δὲ κριθέων χοίνικας δύο. καὶ ἐλαίης φύλλα κατακνῆσαι σμικρά. καὶ κηκῖδα κατακόψαι, καὶ κατασῆσαι. καὶ ὑοσκυάμου τρίτον χοίνικος. ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ καινῇ, ὑποθυμιᾷν τέσσαρας ἡμέρας. τῆς δὲ νυκτὸς γάλα βοὸς, καὶ μέλι, καὶ ὕδωρ πινέτω. καὶ τῷ θερμῷ λουέσθω. [137] Ἢν παραλοξαίνωνται αἱ μῆτραι, [138] καὶ δοχμαὶ ἔωσι, [139] καὶ τὸ στόμα ἐφ' ὧν τὰ ἐπιμήνια αὐτῇ τὰ μὲν κρύπτονται, τὰ δὲ προφανέντα οἴχονται, καὶ οὐχ ὅμοια γίνονται, ἀλλὰ κακήθεα, καὶ ἐλάσσονα ἢ πρὸ τοῦ. καὶ ἡ γονὴ οὐκ ἐγγίνηται τουτέου τοῦ χρόνου. καὶ ἡ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸ ἰσχίον, καὶ ἐφέλκεται αὐτό. ὅταν οὕτως ἔχῃ, [140] φάρμακον χρὴ πίνειν, καὶ λούειν θερμῷ. καὶ πυριᾷν. ὁκόταν δὲ νεοπυρίητος ᾖ καὶ νεόλουτος, [141] τῷ δακτύλῳ διαφράξασα, ἀπορθούτω. καὶ παραθυμιέτω τὸ στόμα τῶν μητρέων. καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. καὶ τῶν ποτημάτων δίδου, ὅ,τι ἂν μάλιστα προσδέχηται πειρεόμενος. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι. καὶ σκόροδα ἐσθιέτω, καὶ ὠμὰ, καὶ ἑφθά. καὶ τῷ ἀνδρὶ ξυνευδέτω. καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω. ἐπὶ θάτερον καὶ πυριήσθω. ἡ δὲ νοῦσος δυσαπάλλακτος. ἢν δὲ ἄγχιστα ἔωσιν, ἐμέειν θαμινά. τὰς δὲ ὑστέρας πυριῆσαι, τοῖσι δυσόδμοισι, μέχρι ἂν ἐς χώρην ἱδρυνθῶσιν. διαίτῃσι δὲ χρήσθω μὴ λαπακτικῇσιν. [142] Ἢν αἱ μῆτραι προσίωσιν ἐξωτέρω τῆς φύσιος, πυρετὸς ἔχει τὸ αἰδοῖον, καὶ τὴν νειαίρην γαστέρα. καὶ τὸ οὖρον στάζει θαμινὰ, καὶ κατ' ὀλίγον. καὶ δάκνεται σφοδρῶς τὸ αἰδοῖον. πάσχει δὲ, ἢν ἐκ τόκου ἐοῦσα, τῷ ἀνδρὶ συνευνάζηται. ὅταν οὕτω τόδε ἔχῃ, μύρτα καὶ λωτοῦ ξύσματα ἑψῆσαι ἐν ὕδατι, καὶ θεῖναι τὸ ὕδωρ ἐς τὴν αἰθρίην. προσαιονᾶν δὲ ὧδε, ὡς ψυχρότατον ᾖ τὸ αἰδοῖον. καὶ τρίβων λείως προσέπλασσε. ἔπειτα πίνουσα ὕδωρ φακῶν σὺν μέλιτι καὶ ὄξει, ἐμεέτω, ἐς ἂν αἱ ὑστέραι [143] ἀνελκυσθῶσι. [144] καὶ τὴν κλισίην, ἀνεκὰς χρὴ ποιέειν τὰ ἀπὸ τῶν ποδῶν. καὶ τὸ αἰδοῖον ὑποθυμιᾷν τὰ κακώδεα. τὰς δέ γε ῥῖνας, τὰ εὐώδεα. σιτίοισι δὲ χρέεσθω, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω. καὶ μὴ λουέσθω. [145] τῷ δὲ ἀνδρὶ ξυνερχέσθω. Ἢν παντάπασιν ἐκ τοῦ αἰδοίου ἐκπέσωσιν αἱ μῆτραι, ἐκκρέμανται οἷον ὄσχη. καὶ ὀδύνη λάζεται ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. καὶ ὁκόταν ἐπιγίνηται χρόνος, οὐκ ἐθέλουσιν ἐς τὴν ἑαυτῶν χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ, ἢ ταλαιπωρήσῃ, [146] ὥστε ψαύειν τὰς ὑστέρας. ἢ τῷ ἀνδρὶ συνίῃ ἐν τῇ λοχίῃ καθάρσει. ὅταν ὧδε ἔχῃ, ψύγματα χρὴ προστιθέναι παρηγορικὰ πρὸς τὸ αἰδοῖον. καὶ τὸ ἔξω ἐὸν ἀποκαθάρας, σιδίοισιν ἐν οἴνῳ μέλανι ἑψήσας, τουτέῳ περιπλύναι. καὶ ἔσω ἀπωθέειν. ἔπειτα καὶ μέλι καὶ ῥητίνην ξυντῆξαι ἴσον ἑκατέρου. καὶ ἐγχέειν ἐς τὸ αἰδοῖον. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένους. κἄπειτα σπόγγους προσθεῖσα ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἔστ' ἂν δὴ οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω. ποτῷ δὲ, ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἐπακούειν καὶ ἀπιέναι, ἅλις ἔστω.

ἢν δὲ μὴ,

ἢν δὲ μὴ, ἄκρα περιξέσας [147] τὰ λεῖα τῆς ὑστέρης, καὶ ἀμφιπλύνας, χρίσαι τῇ πισσηρῇ. ἔπειτα πρὸς κλίμακα δῆσαι τοὺς πόδας. τὴν δὲ κεφαλὴν κάτω ἔχειν, καὶ τῇ χειρὶ ἔσω ἀπωθέειν. ἔπειτα λούειν. καὶ ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐναλλάξ. καὶ ἐᾷν νύκτα καὶ ἡμέρην οὕτως. καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης, ψυχρὸν ἄλλο δὲ μηδέν. τῇ δὲ δ' ὑστεραίῃ κατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾷν ἕλκειν πουλὺν χρόνον, καὶ ἐπὴν ἀφέλῃς, [148] μὴ ἀποσχάσῃς, ἀλλὰ κατακλίνας, ἔα, καὶ μὴ προσφέρε μηδὲν, ἀλλ' ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλ- 10 θωσιν. ἢν δὲ δίψα ἔχῃ, ὕδωρ ἐλάχιστον πινέτω. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι. καὶ ἐλαχίστοισι χρεέσθω. ὁκόταν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακεκλιμένη ἀποπατείτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι γένωνται. ἔπειτα κλυζέσθω χλιεροῖσι πυριήσιν. ἄμεινον δὲ θερμοῖς, ὡς ἐξ ἡλίου. καὶ περιπατείτω ὡς ἐλάχιστα. καὶ μὴ λουέσθω. κοιλίην δὲ μὴ λύσῃς. σιτίοισι δὲ, ὀλιγίστοισι χρεέσθω, μήτε δριμέσι, μήτε ἁλμυροῖσι. καὶ θυμιήσθω τὸ αἰδοῖον, τοῖσι κακώδεσι. καὶ ἐπειδὰν ἄρξηται περιπατεῖν, [149] τὴν σφενδόνην φορείτω. Ἢν δὲ ἔξω τοῦ αἰδοίου τὸ στόμα τῶν μητρέων 20 ἐκπέσῃ, οἷα τοῦ αὐχένος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ εὐρέος ἐόντος. γίνεται δὲ τοῦτο μᾶλλον τῇσιν ἀτόκοισι. μάλιστα δὲ γίνεται ἐκ ταλαιπωρίης, ἐπὴν ταλαιπωρήσῃ ἡ γυνή. καὶ αἱ μῆτραι θερμανθῶσι, καὶ ἱδρώσωσιν, ἐκτρέπεται τὸ στόμα αὐτέων διὰ τοῦ αὐχένος, ἅτε ἐν τῷ ὑγροτέρῳ, καὶ ὀλισθηροτέρῳ, καὶ θερμοτέρῳ χωρίῳ γινόμενον, ἢ ἐν τῷ πρὶν χρόνῳ. καὶ ἐπὴν τοῦτο γίνηται, ἰθύκοντα ἔξω πρὸς τὸ ψύχος. καὶ σφέων τὸ στόμα ἔρχεται ἐκτραπέν. ἢν μὲν ἐν τάχει θεραπευθῇ, ὑγιὴς γίνεται. ἄφορος δὲ παντάπασι καταλιμπάνεται. ἢν δὲ μὴ ἐν τάχει, ἔξω ἀεὶ ἔσται 30 οἱ σκληρὸν τὸ στόμα. καὶ ῥεύσεται αὐτόθεν ἰχὼρ ἄλλοτε καὶ ἄλλοτε γλίσχρος καὶ κακόδμος. καὶ ἢν τὰ ἐπιμήνια χωρήσῃ, ἢν ἔτι ἐν τῇ ἡλικίῃ ᾖ, ἐν εὐνῇ εἶναι. χρόνου δὲ γινομένου ἡ τοιήδε νοῦσος, ἀνίητος γίνεται. καὶ ξυγκαταγηράσκουσιν ἔξω τὰς μήτρας ἔχουσαι. [150] Ἢν δὲ αἱ μῆτραι ἐξίσχωσι, περινίψας αὐτὰς ὕδατι χλιερῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι, καὶ ἀναδῆσαι. καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ἢν δὲ πλείονα χρόνον αἱ ὑστέραι ἐξίσχωσι, καὶ περιψύχωνται ναρκωδέως, καταχέειν ὕδωρ θερμὸν πουλὺ, [151] ὅκως διαπυριηθῶσιν, [152] ἢν δὲ ἤδη 40 φυσέωνται, καὶ ὄξεϊ μίσγοντες ξὺν ὕδατι, πυριῆν, ἢ δάφνης, ἢ μυρσίνης, καὶ ἠρέμα προσωθέειν, καὶ κηρωτῇ μύρῳ χρίειν ἢν ἐσακούῃ. ἢν δὲ μὴ, περικλύσαι τῷ ὕδατι, καὶ ὄξεος ὀλίγον χλιήνας καταχέαι. [153] εἶτα ἀλείφειν. ὁκόταν δὲ ξυντακέωσι, περινίψας ὡς λέλεκται ἐνθεῖναι. καὶ τὰ ἄλλα ποιέειν τὰ προειρημένα. ἔλαιον δὲ μὴ προσφέρειν μηδὲ ἄλλο τι πῖον, μηδὲ λίπα ἔχον. [154] Ἢν ὑποπλιχθῇ τι τῶν στομάτων τῆς ὑστέρης, τὰ ἐπιμήνια οὐ γίνονται. ἢ ὀλίγα καὶ πονηρὰ, καὶ ἀλγεινά. καὶ ὁκόταν τῷ ἀνδρὶ ξυνεύδῃ, ἀλγέει. καὶ ὅ, τι ἂν ὁ ἀνὴρ μεθίῃ, ἐκ τοῦ συνουσιασμοῦ ἔξεισι, καὶ οὐ θέλει ψαύεσθαι, οὐδὲ ἕλκει τὴν γονήν. καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ τὸ στόμα τῶν ὑστερέων, [155] δῆλον ψηλαφώσῃ. ὅταν τοίνυν ὧδε ἔχῃ, πυριῆσαι οὔρῳ παλαιῷ. ἔπειτα ἐμεσάτω φακίῳ συμμίξαντα μέλι, καὶ ὄξος. ἔπειτα λουέσθω, ὕδατι θερμῷ. ἔπειτα ἐγχέαντα ἐς φιάλην ἀργυρέην,

Sin minùs, extremas vteri oras derasas & ablutas, picato illinito. Deinde pedibus ad scalam alligatis, capite deorsum collocato, manu intrò retrudito, postea lauato, eiusque cruribus alternatim colligatis, sic per noctem & diem sinito, & paucum ptisanę succum frigidum, aliudq; nihil exhibeto. Postero die reclinatæ ad coxam cucurbitam quàm maximam affigito, diutiùs trahere sinito, & vbi detraxeris, cutem ne pertundito, sed reclinatam sinito, nihilq; præter ptisanæ succum exhibeto, donec septem dies pręterierint. Quòd si sitis detineat, paucissimam aquam bibat. Vbi autem dies septem præterierint, cibis quàm mollissimis & & paucissimis vtatur. Cùm verò aluum exonerare volet, id recumbẽs facito, dum dies quatuordecim præterierint. Pòstea tepidis fomentis colluatur, præstat autẽ vt calida velut ex sole vtatur, & quamminimùm ambulet, neque lauet. Aluum ne solueris, cibis autem paucissimis vtatur, neq; acribus, neq; salsis, & pudendis suffitum ex graueolentibus admoueat, cumq; obambulare cœperit, subligaculum gestet. At si vterorum os extra pudenda procidat, cùm nimirum vterorum ceruix prope pudenda sita & ampla sit, quod magis infœcundis contingit, præcipueq; ex defatigatione vbi plurimùm laborarit mulier, & vteri calefacti exudarint, ipsorum os per ceruicem euertitur, quòd nimirum loco magis humido, lubrico & calido quàm antea existat. Quod cùm contingat, vteri extra rectà ad frigus feruntur, eorumq; os inuersum exit. Siquidem breui curata fuerit, conualescit, sed penitus infœcunda remanet. Sin minùs, os ei durum semper extra erit, indeq; subinde sanies glutinosa & graueolens fluet. Quòd si menses prodeant, & adhuc ea ætate sit, lecto decumbendum. Huiusmodi autem morbus temporis progressu incurabilis redditur, & foras pendulis vteris ad senectutem perueniunt. At si vteri extra promineant, eos aqua tepida ablutos, & oleo ac vino illitos, rursus intrò reponito ac religato, suffitum ex graueolentibus subter adhibeto, ad nares verò ex odoratis. Sed si diutiùs foras promineant, & cum stupore perfrigescant, copiosam calidam vt refoueantur affundito. Quòd si iam flatu distendãtur, etiam aceto ad aquam ammixto, aut lauri aut myrti decocto foueto, placideq; retrudito, & si obaudierit cerato vnguento linito, sin minùs, aqua perluito, pauco aceto tepido affuso, deinde inungito. Vbi contabuerint, ablutos, vt dictum est, intrò reponito, reliquaq; priùs commemorata facito. Oleum autem neq; aliud quid pingue, neq; quod pinguedinem habeat adhibendum. Si vterorum osculi pars quædã in rugas sinuata fuerit, mẽses non eũt, aut pauci, & praui, nec sine dolore, cumq; cum viro dormit, olet, & quicquid ex congressu vir emiserit, exit, neq; attingi patitur, neq; genituram attrahit. Dolor imum ventrem & lumbos detinet, neque vterorum os contrectatum apparet. Cùm igitur ita habuerit, fomentum ex veteri vrina adhibeto, deinde ex lenticulę decocto admixto melle & aceto vomat, mox calida lauet. Postea in phialam argenteam

aut æneam oleo albo Ægyptio & sale infuso, obuelata mulier circum phialam consideat. Et siquidem olei odor per os subierit, ipsam parituram affirmato, posteroq; die sanam fore, tuncq; bono animo esse iubeto, ac vbi dormire volet oleum Ægyptium ex vellere in subditítio supponat. Postero verò die prospiciat si quid vterorum os magis directũ sit, quòd si affirmet, per tres dies fomentum ex odoratis adhibeto, & subditítia quæ minimè mordeant supponito, purgatoq; & postea ex odoratis & emollientibus totidem quot antea diebus colluito. Cùm autem menses ierint, ieiuna & illota virum adeat, suffitu ex aromatis adhibito. At plæræque ex huiusmodi morbo, nisi cura adhibeatur, infœcundę redduntur. Si vteri exulcerati fuerint, & quàm maximè foras prodeant, manibus oleo pingui illitis intrò reponito, & myrrhæ sinceræ tres pilulas deuorandas exhibeto, & laurum viridem tritam vino dissolutam bibat, sicq; sanitati redditur. Si pudenda in angustum coarctata fuerint, subdititium imponito. Anisi & apij semen, læuiter tritum, ad pudenda in subdititio apponito. Si suo loco non maneãt vteri, sed modò quidem hanc in partem, modò in illam eant, ita vt dolores excitent, neq; verò comparẽt, interdum autem velut sedes extra procidunt, & vbi quidem supina fuerit, loco manent, vbi verò steterit, aut ex somno surrexerit, aut prona incubuerit, aut alio quodam modo se mouerit, exiliunt, plæruncq; verò etiam quietem agenti. Hanc quàm maximè quietam ac placidam esse, minimeq; moueri oportet, lectumq; à pedibus excitatum esse, & vomitionibus vti. Sursum enim reuellendi sunt, & acerbis perfundẽdi, graueolentiaq; in suffitu subter adhibẽda, naribus verò odorata, & malum punicum mediũ ex vmbilico perforatũ, quodcunq; maximè conuenire videatur, vino tepefactum, si nihil prohibuerit, quàm penitissimè subdendum, deinde lata fascia excipiendũ, & ne elabatur religandum, sed intus maneat, & quod opus est efficiat, & peplium cum caseo & polenta propinandum, quemadmodum in procidentia scriptum est. Potiones etiam, periculo facto quascunq; maximè admittat, potui exhibendæ. Cibis autem quàm mollissimis vtatur, neq; viro cõdormiat, quoad se in locum suum receperint. Si vteri loco suo excidant, hederam siccissimam tenuiter tritam, in linteo ligatam propiùs admoueto, & neque pingue quicquam adhibeto. Potui verò exhibeto triticũ priùs tusum, & papauer album, saluiam, cyperum & anisum, hæc leuiter trita, ex vino macerata, cum hordei purgamẽtis, bis die potui exhibeto, vtraq; potione dimidiam heminam. Si ad crura & pedes se vertãt, sic nosces. Pedum magni digiti sub vnguibus conuelluntur, & dolor crura ac femora detinet, & in femoris neruos incumbit & premit. Cùm sic habuerit copiosa calida crebrò lauanda, & si ferre possit fouenda, & suffitus ex graueolẽtibus subter adhibendus, femoraq; oleo rosaceo inungat. Quòd si de repente voce deficiat, crura, genua, & manus frigidas deprehẽdes, & si vterum attrectaris, suo loco non est, cor palpitat, dentibus fremit, sudor copiosus erumpit,

ἢ χαλκέην, ἔλαιον λευκὸν αἰγύπτιον, καὶ ἅλας, καλυψαμένην δὲ καθέζεσθαι ἀμφὶ τὴν φιάλην. κἢν μὲν ἡ ὀδμὴ αὐτῇ διὰ τοῦ στόματος ἐλαίου, φάναι αὐτὴν τέξεσθαι, [156] καὶ τῇ ὑστεραίῃ ὑγιῆ γενέσθαι. [157] ἢν δὲ ἡ ὀδμὴ, θαρσύνειν. κἀπειδὰν μέλλῃ εὕδειν, προστιθέσθω τὸ αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ, σκεψάσθω ἤν τι μᾶλλον καὶ ἰθὺ ἦν τὸ στόμα τῶν ὑστερέων. καὶ ἢν φῇ εἶναι, πυριῆσαι εὐώδεσιν ἡμέρας τρεῖς. καὶ προστιθέναι προσθετὰ ὁποῖα μὴ ἀναδήξηται. καθαίρειν δὲ καὶ μετακλύζειν εὐώδεσι καὶ μαλθακοῖσιν, ἴσας ἡμέρας τοῖσι πρόσθεν. ὁκόταν δὲ τὰ ἐπιμήνια γένηται, νῆστις εὖσα, καὶ ἀλουτήσασα, παρὰ τὸν ἄνδρα ἴτω, θυμιησαμένη τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ πολλαὶ καὶ ἐκ ταύτης τῆς νούσου γίνονται, ἢν μὴ μελεδανθῇ. Ἢν ἑλκωθῶσιν αἱ μῆτραι, καὶ πρόσω χωρήσωσιν, ἐσωθάτω ἐλαίῳ χείων λίπα τὰς χεῖρας ἐντιθέναι. καὶ δίδου καταπότιον σμύρνης ἀκρήτου, τρεῖς καταπιεῖν σφαιρίδας. καὶ πινέτω δάφνην χλωρὴν τετριμμένην, οἴνῳ διείς. καὶ ὑγιὴς οὕτω γίνεται. [158] Ἢν ἔξουρα ᾖ τὰ αἰδοῖα, πρόσθετον τίθει. ἀννήσου καρπὸν καὶ σελίνου τρίψας λεῖα, πρόσθες πρὸς τὰ αἰδοῖα. ἢν μὴ κατὰ χώρην μένωσιν, ἀλλ' ὁτὲ μὲν ἔνθα, ὁτὲ δὲ ἔνθα ἴωσιν ὡς ὀδύνας παρέχειν, αἱ δὲ ἀφανέες γίνονται. ποτὲ δὲ ἐξίασιν ὡς ἕδρη. καὶ ὁκόταν μὲν ὑπτίη ᾖ, κατὰ χώρην μένουσιν. ὁκόταν δὲ ἀναστῇ, ἢ ἐξ ὕπνου ἐγέρηται, ἢ ἐπικύψῃ, [159] ἢ ἄλλο τι ποιήσῃ κίνημα, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίαν ἐχούσῃ. ταύτην χρὴ ὡς μάλιστα, ἠρεμέειν τε καὶ ἀτρεμέειν, καὶ μὴ κινέεσθαι. καὶ τὸν κλισμὸν κεῖσθαι πρὸς ποδῶν ὑψηλότερον. καὶ τοῖσιν ἐμέτοισι χρέεσθαι. χρὴ γὰρ ἀντισπᾶσθαι ἀνεκάς. καὶ τοῖσι δὲ στρυφνοῖσιν ἀπαιονᾶν, καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. καὶ τὴν ῥοιὴν διὰ τοῦ ὀμφαλοῦ, τρήσαντα μέσην, ἐν οἴνῳ χλιήναντα, [160] ἥτις ἂν ἁρμόζῃ μάλιστα. καὶ μή τι κωλύῃ, προστιθεὶς ὡς ἐσωτάτω. εἶτα ἀναδῆσαι ταινίῃ πλατείῃ, καὶ ἀναλαβεῖν ὡς μὴ ὀλισθάνοι. ἀλλὰ μένοι. καὶ ποιέειν τὸ δέον. καὶ τῶν μηκώνων [161] ξὺν τοῖς πυροῖς, καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν καθάπερ ἐν τῇ προσπτώσει γέγραπται. καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. σιτίοισι δὲ, ὡς μαλθακωτάτοισι χρήσθω. καὶ μετ' ἀνδρὸς μὴ συνευδέτω, [162] ἄχρις οὗ κατὰ χώρην οἰπτέν. [163] Ἢν αἱ μῆτραι ἐκπέσωσι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, ἐνδήσας τε εἰς ὀθόνιον, προσίσχειν. καὶ λιπαρὸν προσφέρειν μηδέν. πίνειν δὲ διδόναι [164] πυροὺς προκόψας. καὶ μήκωνα λεπτήν. καὶ ἐλελίσφακον. καὶ κύπειρον. καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθέων, διδόναι δὶς τῆς ἡμέρης [165] ἐφ' ἑκάτερον ἡμικοτύλιον. [166] ἢν ἐς τὰ σκέλεα καὶ πόδας τράπωνται, γνώσῃ ὧδε. οἱ μεγάλοι δάκτυλοι τοῖν ποδοῖν σπῶνται ὑπὸ τοὺς ὄνυχας. καὶ ὀδύνην ἔχει τὰ σκέλεα, καὶ τὼ μηρώ. καὶ ἕλκεται καὶ θλίβει τὰ ἀμφὶ τὸν μηρὸν νεῦρα. ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ, θαμινὰ, καὶ πυριῆν ἢν δύνηται. καὶ ὑποθυμιῆν τὰ κακώδεα. [167] καὶ τὼ μηρὼ τῷ ῥοδίνῳ ἀλειφέσθω λίπα. ἢν δὲ ἄναυδος γένηται, ἐξαπίνης τὰ σκέλεα ψυχρὰ εὑρήσεις ἂν, καὶ τὰ γούνατα καὶ τὰς χεῖρας. καὶ ἢν ψαύσῃς τῆς ὑστέρης, οὐκ ἐν κόσμῳ ἐστί. καὶ ἡ καρδίη πάλλεται, καὶ βρύχει. καὶ ἱδρὼς πουλύς.

καὶ τὰ ἄλλα

καὶ τ' ἄλλα ὅσα ὑπὸ ἱερῆς νόσου ἐπίληπτοι πάσχουσι.[168] καὶ ὦτα ἀπ' οὔατος ἱδρῶσι. ταύτῃσι καταχεῖν ὕδωρ ψυχρὸν χρὴ πουλὺ κατὰ τῶν σκελέων τι. καὶ ὡς τ' ἄλλα ποιέειν καθάπερ ἔμπροσθεν εἴρηται.[169] ἢν κινηθεῖσαι που προσπέσωσι καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώρην καὶ δάφνης, καὶ κυπαρίσσου πρίσμα ἑψήσας ἐν ὕδατι, ἐς εἴριον ἐμβαλὼν προστιθέναι. ὁκόταν δὲ γυνὴ ἐκ τόκου ἐοῦσα φορτίον ἄρηται, μεῖζόν τι τῆς φύσιος.[170] ἢ πλύνῃ, ἢ κεάσῃ ξύλα. ἢ δράμῃ. ἢ ἄλλα τινὰ τοιάδε δράσῃ, αἱ ὑστέραι ἐκπίπτουσιν παρὰ ταῦτα μάλιστα. ἐνίοτε δὲ πρὸς πταρμόν. οὐ γὰρ βιᾶται, ἢν βίῃ πταρνυμένη, μὴ ἐπιλάβηται τῆς ῥινός. προσκλύζειν χρὴ τὰς ὑστέρας ὕδατι χλιαρῷ. ἔπειτα τεύτλου χυλῷ ἀποζέσαντα ὁμοίως. εἶτα ἀκρήτῳ οἴνῳ μέλανι. ἢν δὲ μὴ ἐσαχωρῇ, μαλθακτήρια ποιέειν χρή. ταῦτα δὲ ποιέειν χρὴ πρότερον, ἢ ψυχθῆναι καὶ ἐνθεῖναι εἴσω παρηγορικῶς. εἶτα ἐκτείνειν τὰ σκέλεα, καὶ ὑπαλλάξαι. καὶ ὑπὸ τὰ αὐτὰ ὑποτιθέναι τι μαλθακόν.[171] ὑπὸ τοῦδε εἴργεσθαι χρή. τὰς τοιαύτας ὡς μάλιστα καὶ τὴν κοιλίην χρὴ φυλάσσειν, ὅκως μὴ ἐκταραχθῇ. πρὸς δὲ τὴν ῥῖνα τῶν εὐωδέων διδόναι. τὰς τοιαύτας χρὴ ἐξ ὑστέρου ἢν μὴ ἀτρεμίζωσιν, ἀλλὰ κινέωνται, ἐλλεβορίζειν. ἢν δὲ μὴ ἐξαρκέωσι, καὶ ἐμέτους ποιέειν. καὶ ἀλουτέειν. σιγῆν τε, καὶ ἠρεμέειν.[172] ἢν ἀνεμωθῶσιν αἱ μῆτραι, ἡ γαστὴρ αἴρεται, καὶ φυσᾷ καὶ σμαραγεῖ. καὶ οἱ πόδες οἰδέουσι. καὶ τὰ κοῖλα τοῦ προσώπου.[173] καὶ ἡ χροιὴ ἀηδὴς γίνεται. καὶ τὰ ἐπιμήνια κρύπτεται. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται ἐν τουτέῳ τῷ χρόνῳ. καὶ ἀσθμαίνει, ἀφρίζει τε, καὶ ἀλύει. καὶ ὅταν ἐγείρηται ἐξ ὕπνου, ὀρθόπνοιην ἔχει. καὶ ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτέην. καὶ στένει.[174] καὶ ἀθυμέει μᾶλλον, ἢ πρὶν φαγεῖν. καὶ πνίγεται. καὶ τὰ νεῦρα ἕλκεται. καὶ αἱ μῆτραι, καὶ αἱ κύστιες ἀλγέουσι. καὶ οὐκ ἔστι ψαῦσαι τῇ χειρί. οὐδὲ τὸ οὖρον προΐενται. οὐδὲ τὴν γονὴν δέχονται. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω. θερμῷ λούειν, καὶ καθίννυσθαι θαμινὰ ὅλον τὸ σῶμα. ἔστι δ' ὅτε καὶ ἄχρις ὀμφαλοῦ πυριῆν. διαλιπὼν δὲ προστιθέναι τὰ ὑφ' ὧν καθαρθήσεται. καὶ μὴ ὀδαξήσεται. ὑποθυμιάσθω δὲ τὰ εὐώδεα ὑπὸ τὰ αἰδοῖα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ κάκοδμα. καὶ ποτήματα δίδου, ἃ καθαίρουσιν ὑστέρας, καὶ ἐλαύνουσιν ἐς χώρην. καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ τὸ γάλα μεταπινέτω,[175] ὡς ἐπὶ τοῦ πλευροῦ γέγραπται. ἡ δὲ νοῦσος οὐ χρονίη.[176] ἢν σκιρρωθῶσιν αἱ μῆτραι, τό, τε στόμα τρηχύνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, ὁκόταν δὲ ἴῃ, ὡς ψάμμος φαίνεται τρηχεῖα. ἢν δὲ καὶ καθάψηται τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὑρήσεις τῆς μήτρης, ὡς πῶρος προσφύεται αἰεί. ὅταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα. καὶ ἅλας. καὶ σῦκον ὁμοῦ μίσγειν.[177] καὶ ἀναποιέειν μέλιτι βαλανίδας. καὶ πυριήσαντα κλύσαι, τοῖσι καθαίρουσιν. ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβην ἑφθήν. καὶ τὸν χυλὸν ῥοφεέτω. καὶ πράσον. καὶ θερμῷ λουέσθω. ἢν αἱ μῆτραι σκιρρωθῶσι,[178] τά τε ἐπιμήνια ἐπιλυγίζονται. καὶ τὸ στόμα αὐτέων ξυμμύει. καὶ οὐ κυΐσκεται. καὶ ὡς ἕτερον ἔστι. καὶ ἢν ψαύσῃς, ὡς λίθος δοκέει κεῖθι εἶναι, καὶ τὸ στόμα τρηχὺ, καὶ πολύρριζον, καὶ οὐ λεῖον εἰδεῖν.[179] καὶ τὸν δάκτυλον οὐκ ἐσίη. ὅς μιν καθορῇ. καὶ πῦρ λαμβάνει περίψυχον. καὶ βρυγμός. καὶ τὰς μήτρας ὀδύνη ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας.

& alia quæ morbo comitiali correpti patiuntur, & auribus exudát. His copiosa frigida cruribus affundenda, reliquaq; velut priùs dictum est facienda. Si commoti vteri aliquam in partem irrumpant, & dolorem excitent, oleæ scabiem, lauri & cupressi scobem in aqua coctam, vellere exceptam, in subdititio apponito. Vbi verò mulier statim à partu onus viribus maius sustulerit, aut cōsternata fuerit, aut ligna secuerit, aut cucurrerit, aut alia quædam eiusmodi fecerit, vteri ob hæc plærunque excidunt, interdum verò ad sternutationem, præcipueq; si per vim excitata sternutatione nares apprehenderit. Vteros aqua tepida proluere oportet, postea betæ succo feruefacto eodem modo, deinde vino meraco nigro. At si his nō cedunt, emollientia facere oportet, eaq; priùs quàm refrigerentur facere, & leniter intrò reponere, cruraq; inter se alternata extendere, & iis molle aliquid subdere. Eæ à potu præcipuè arcendæ, cauendumq; ne venter exturbetur & naribus odorata exhibenda. Postea si non quiescant, sed moueantur, has veratro purgare oportet, ac nisi satis sit, vomitiones ciere, minimè lauare, silere & quiescere. Si vteri inflati fuerint, venter inflatur, attollitur, resonat, pedes & faciei cauitates intumescunt, calor deformis redditur, menses delitescūt, neq; eo tempore genitura intro suscipitur, crebra spiratione laborat, os spumat, & anxietudine premitur, cùm ex somno expergiscitur, spiratio quæ erecta ceruice obitur ipsam detinet, quicquid comederit aut biberit, eam molestia afficit, gemit, & magis animum abiicit quàm priùs quàm edat & suffocatur, nerui cōtrahuntur, vteri & vesicæ dolent, neq; manus contactum admittunt, neque vrinam profundunt, neq; genituram recipiunt. Cùm sic habuerit, medicamētum deorsum purgans propinare oportet, calida lauare, crebroq; toto corpore insidere, interdumq; ad vmbilicum vsque fomentum admouere, intermissione verò facta, ea à quibus repurgetur, neque mordeatur, in subdititio apponere. Suffitus ex odoratis pudēdis adhibeatur, naribus verò ex graueolentibus. Potiones exhibeto quæ vteros purgant, eosque in locum suum pellunt, mercurialem comedat, posteaque lac bibat, velut de latere scriptum est. Morbus autem diuturnus non est. Si in callum induruerint vteri, tum os asperum redditur, tum menses delitescunt, cùm verò eunt, asperi tanquam arena apparent. Quòd si etiam digito attingatur, vteri os asperum deprehendes, velut callus semper adhærescit. Cùm sic habuerit, cyclaminum tritum, salem, ficum, simul misceto, cum melle glandulæ conficiendæ, & fomento adhibito purgantibus colluendum. Mercurialem autem & brassicam coctam edat, & succum sorbeat ac porrum, calidaq; lauet. Si vteri in callum indurescant, tum menses occultantur, tum eorum os conniuet, neq; concipit, & aliud quid esse videtur. Quòd si attigeris, tanquam saxum illic esse videtur; os asperum est, & multas habet radices, non læue aspectu, neque digitum admittit, si quis ipsum penitus inspiciat. Febris cum perfrictione inuadit, & dentium fremitus, dolorq; vteros, imum ventrem, laterum inanitates & lumbos detinet.

Hæc autem ei cōtingunt, si corrupti menses computrescant, interdum verò ex partu, frigore, aut praua victus ratione, & alio modo. Medicamētum igitur propinandum, multaq; calida lauādum, & oleo vtēdum, fomentumq; admouēdum. Post recens balneum aut fotum, immisso specillo eorum os aperiendum & diducendum, quod & digito similiter faciēdum, emollientiaq; velut dictum est in subdititio apponenda, & potiones similiter propinādæ, eodemq; modo curandum. At si vteri tumore duro obduruerint, eorum os durum redditur, & conclusum est, neq; menses eunt, sed pauciores & deteriores sunt, febris & rigor inuadit, dolor ad imum ventrem, lumbos & lateris inanitates irruit. Cùm sic habuerit copiosa calida lauato, & tepefactoria apponito, si dolor detineat, vteris diutius leniter ex decocto cucumeris agrestis fomentum adhibeto, deinde emolliētia in subdititio apponito, idq; tribus diebus facito. Quòd si ad contactum vteri os molle appareat, tribus suppuratoriis linamentis confectis, intortum ex lino crudo linamētum immittito, primum quidem tenue, alterum verò paulò crassius, crassissimum autem parui digiti crassitudine, at digitorum quinq; longitudine, quæ adipe anserino illita supponito, & glandem emollientem, fomēto priùs ex odoratis adhibito. Aut nitri tantillo illinito, vt ne vulneret. (neq; enim pūgere oportet) & per duos dies apponatur, decedit autē velut cortex & cutis crassa. Tribus autem interpositis diebus, cyclaminum cum narcissino subdito. Quòd si ista non purgarint, tum cum multa mentis reputatione, medicamētum quod cum bupresti paratur supponito, & per diem apponatur, & si vehemēter mordeat, glandē extrahito, pudendum aqua calida perluito, & in oleo insidere facito. Postridie verò à balneo, cerui adeps liquatus, cum molli lana subactus, in subdititio apponatur, & si tibi adhuc purgatione indigere videatur, tribus intermissis diebus, supponito quod cū narcissino paratur. postridie verò netopum. Deinde rursus tribus intermissis diebus, vteros odoratis & pinguibus colluito, postridie verò pulegium vno die subdito, & sequēti die ex aromatis fomentum adhibeto. Cibis autē acribus vtatur, & marinis piscibus, aut carnibus. Euntibus autē mensibus castorium bibat, & ieiuna, illota, post adhibitum suffitum & ebibitum cyceonem ad virum veniat. At si vterorum os genituram minimè suscipiat, sed sterile fuerit & clausum, post calidæ balneum, post tres dies glandulam plumbeam, vt dictū est, subdat, emollientibus vtatur, supina recumbat, in aquam calidam insideat, & lanam vnguento imbutam in subdititio apponat, quæ noctu potiùs apponenda est. Ad coxas vestes laneas aut molles lineas apponito, ne corpus in alterutram partē defluat. In mollibus subdititiis, myrrham pinguissimam, picem, ceram & adipem anserinum apponat. Et myrrhæ quidem pars sit dimidia, reliquorum verò dupla, in vellere autē supponito. Duo verò parentur subdititia, ex quibus vnū per diem post balneum lotæ apponatur, alterum verò per noctē, quoad emollitum sit, quod vbi subduxerit, aqua odorata circūabluatur. Vel grana cnidia quindecim cortice detracto sumito. Sit & Indici medicamenti aliquantulū,

πάσχει δὲ ταῦτα, ἢν οἱ διαφθαρέντα τὰ ἐπιμήνια σαπῇ· ἔστι δ' ὅτε καὶ ἐκ τόκου, καὶ ψύχεος, ἢ πονηρῆς διαίτης, καὶ ἄλλως. φάρμακον οὖν χρὴ πιπίσκειν. καὶ λούειν θερμῷ πολλῷ τε ὕδατι καὶ ἐλαίῳ χρίειν. καὶ πυριῆν. ὁκόταν δὲ νεόλουτος, ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς, ἀναστομοῦν. καὶ ἀνευρύνειν τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὁμοίως. καὶ προστιθέναι μαλθακτήρια ὡς εἴρηται. καὶ τὴν ποτὴν ὡσαύτως πιπίσκειν καὶ θεραπεύειν. ἢν δὲ σκληρυνθῶσιν αἱ μῆτραι, τὸ στόμα σκληρὸν γίνεται τῶν ὑστερέων, καὶ ξυμμέμυκε. καὶ τὰ ἐπιμήνια οὐ γίνεται, ἀλλ' ἐλάσσω καὶ κακίω. καὶ ὀδύνη ἐμπίπτει. καὶ πῦρ, καὶ ῥῖγος λαμβάνει ἀμφὶ τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τοὺς κενεῶνας. ὅταν δὲ ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι, ἢν ὀδύνη ἔχῃ, καὶ πυριῆν τὰς ὑστέρας βληχρῶς πουλὺν χρόνον, τῷ ἀπὸ τοῦ σικύου τοῦ ἀγρίου ὕδατι. ἔπειτα προστιθέσθω μαλθακτήρια τρεῖς ἡμέρας, ταῦτα ποιέειν. καὶ ἢν ψαύσῃ αὐτοῦ, μαλθακὸν τὸ στόμα τῶν ὑστερέων φαίνεται, [180] μοτοῦν ὠμολίνῳ καθελκτηρίῳ, τοὺς ἐμπύους μοτοὺς τρεῖς. τῷ μὲν πρώτῳ, λεπτῷ. τῷ δὲ δευτέρῳ, ὀλίγον παχυτέρῳ. ὁ δὲ παχύτατος ἔστω τῷ μεγέθει, ὅσον ὁ σμικρὸς δάκτυλος. μῆκος δὲ πέντε δακτύλων. χρίων χηνείῳ ἀλείφατι. προστιθέναι δὲ, προπυριήσας τοῖσιν εὐώδεσι καὶ βάλανον μαλθακτικήν. [181] ἢ νίτρου ὅσον ἐπαλείφοντα, ὡς μὴ τρώσῃ. οὐ γὰρ κεντέειν δεῖ, καὶ προσκείσθω δύο ἡμέρας. ἀφίσταται δὲ οἷον λοπὸς καὶ δέρμα παχύ. διαλιπὼν δὲ τρεῖς ἡμέρας, τὸ κυκλάμινον [182] τὸ ξὺν τῷ ναρκισσίνῳ. ἢν δὲ ταῦτα μὴ καθαίρῃ, κατὰ νόον πουλὺν [183] προστιθέναι τέως τὸ ξὺν τῇ βουπρήστει. προσκείσθω δὲ τὴν ἡμέρην. καὶ ἐπὴν δάκνῃ ἰσχυρῶς, ἕλκειν τὴν βάλανον. καὶ διανίζεσθαι τὸ αἰδοῖον, ὕδατι θερμῷ, [184] καὶ ἐν ἐλαίῳ ἵζεσθαι. τῇ δὲ ὑστεραίῃ λουσαμένη, ἐλάφου στέαρ τήξασα, καὶ εἰς εἴριον μαλθακὸν ἀναφυρήσασα, προστιθέσθω. καὶ ἢν σοι δοκέῃ ἔτι καθάρσιος δέεσθαι, διαλιπὼν τρεῖς ἡμέρας, προστιθέναι τὸ ξὺν τῷ ναρκισσίνῳ. τῇ δὲ ὑστεραίῃ τὸ νέτωπον. ἔπειτα πάλιν διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τὰς ὑστέρας εὐώδεσι καὶ λιπαροῖσι. τῇ δὲ ὑστεραίῃ, τὴν γλήχωνα προστιθέναι μίαν ἡμέρην. τῇ δὲ ἑπομένῃ, πυριῆν τοῖσιν ἀρώμασι. σιτίοισι δὲ δριμέσι χρήσθω, καὶ τοῖσι θαλασσίοισιν, ἢ κρέασιν. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, πινέτω τὸ κάστορ. καὶ ἀσιτεῦσα ἀλουτείτω θυμιωμένη. καὶ τὸν κυκεῶνα πινοῦσα, παρὰ τὸν ἄνδρα ἡκέτω. ἢν δὲ μὴ ἐνδέχηται τὸ στόμα τῶν ὑστερέων τὴν γονὴν, [185] ἀλλὰ στιφρῶδες ᾖ, καὶ συμμεμυκὸς, προστιθέσθω μολύβδιον, ὡς εἴρηται, τρεῖς ἡμέρας λουσαμένη θερμῷ. καὶ μαλθακτηρίοισι χρεέσθω. καὶ ἀνακείσθω ὑπτίη. [186] καὶ ἐφ' ὕδωρ θερμὸν ἱζέσθω, καὶ εἴριον ἐς μύρον ἀποβάπτουσα, προστιθέσθω. καὶ τὴν νύκτα προστιθέναι δεῖ μᾶλλον. παρατιθέναι δὲ παρὰ τὰ ἰσχία εἵματα ἐρινεά, ἢ μαλθακὰ λίνεα, [187] ὡς μὴ περιρρηδὲς ᾖ τὸ σῶμα. προσθέτοισι μαλθακοῖσι. σμύρναν πιοτάτην, καὶ πίσσαν, καὶ κηρὸν, καὶ στέαρ χηνός. ἔστω δὲ τῆς σμύρνης μὲν τὸ ἥμισυ. τῶν δ' ἄλλων διπλάσιον. ἐν εἰρίῳ δὲ προστίθεσθαι. ἔστω δὲ δύο. προσκείσθω δὲ λουσαμένη, τὴν ἡμέρην τὸ ἕν. τὸ δὲ ἕτερον, [188] ἐς τὴν νύκτα ἔστ' ἂν μαλθακόν. καὶ ἐπειδὰν τοῦτο ὑφέληται, τῷ εὐώδει ὕδατι περινιζέσθω. ἢ ἐκλέψας κόκκους πεντεκαίδεκα. ἔστω καὶ ἰνδικοῦ ποσὸν,

ἢν δοκέῃ

ἢν δοκέῃ εἶναι ἐν γάλακτι γυναικὸς κουροτρόφου, καὶ τρί-
ψειν. παραμίσγειν δὲ καὶ ἐλάφου μυελὸν, καὶ τὰ ἄλλα ὁ-
κόσα εἴρηται. καὶ μέλιτι ὀλίγῳ μίσγειν. τὸ δὲ εἴριον μαλ-
θακὸν καθαρὸν ἔστω, καὶ πρὸς τὴν ἡμέρην προστιθέσθω.
ἢν δὲ βούλῃ ἰσχυρότερον ποιέειν, σμύρνης σμικρόν τι παρα-
μίσγειν. ἄριστον δὲ ᾠοῦ τὸ λευκὸν, καὶ αἰγὸς στέαρ, καὶ μέλι, καὶ
ἔλαιον ῥόδινον τουτέοισιν ἀναφυρῆν. [189] ἔλαιον δὲ παρα-
χλιαίνειν παρὰ τὸ πῦρ, καὶ τὸ ἀποστάζον εἰρίῳ ξυλλέγειν, καὶ
προστιθέναι. [190] ἢ στέαρ ἐρυθρὸν χηνὸς τὸ ἡδὺ, καὶ μύρον ῥό-
δινον, ταῦτα ξυμμίσγειν, καὶ προστιθέναι ἐς εἴριον ἀναδεδευ- 10
κασα. ἄμεινον δὲ χηνὸς ἔλαιον. οἷος στέαρ. κηρὸς λευκός. ῥη-
τίνη. νέτωπον. ἔλαιον ῥόδινον, ταῦτα ὁμοῦ τῆξαι, καὶ μίξαι.
λουσαμένη δὲ προστιθέσθω χλιερὰ εἴσω πρὸς τὸ στόμα τῶν
ὑστερέων. ἢ ἐλάφου μυελὸν, καὶ στέαρ χηνὸς τήξας ῥοδίνῳ, ἢ
ἰρίνῳ ἐλαίῳ ἀναφυρῆν. εἴριον δὲ μαλθακὸν ἄγαν προστι-
θέναι. [191] Γυναικὶ ὁκόταν αἱ ὑστέραι σκληραὶ γένωνται, καὶ ἐς
τὰ αἰδοῖα ἐξίωσι, καὶ οἱ βουβῶνες σκληροὶ γίνονται. καὶ καῦμα
ἐν τοῖσιν αἰδοίοισιν ἔνι, [192] καὶ καρκινοῦται πάντα. ὅταν οὕτω
ὧδε ἔχῃ, σικύος χρὴ τὸ ἔνδον τρῖψαι καὶ κηρίον, ὕδατος κο-
τύλην ἐπιχέων ἐγκαθίζειν ἐς τὴν ἕδρην, καὶ καθαίρεται. ἢν δὲ τὸ στό- 20
μα τῶν ὑστερέων σκληρὸν γένηται ὑπὸ ξηρασίης, [193] καὶ ἐν σχή-
ματι ἡ νοῦσος ἢ, ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσῃ παραψαύ-
σας. καὶ ἢν εἰς τὸ ἰσχίον εἰληθῶσι, μὴ προσφέρειν δριμὺ μη-
δέν. ἢν γὰρ ἑλκωθῇ, ἢ φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄ-
τοκον γενέσθαι. προστίθεσθαι δὲ, ἅσσα μὴ δάξεται, ὑφ' ὧν
καθαίρεται. ὅταν δὲ σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ τῇδε ἀλγέωσι,
προσθετὰ τιθέναι, οἷον ἐλάφου μυελὸν, ἢ χήνειον στέαρ, ἢ ὕ-
ειον. καὶ ἴρινον μύρον ξὺν μέλιτι. καὶ μαλθάσσειν ᾠοῦ τὸ πυρ-
ρὸν καὶ κηροῦ λευκοῦ ὡς ἐπίπλασμα. καὶ κρίθινον, ἢ πύρι-
νον ἄλητον ξὺν ὕδατι καὶ πηγάνῳ ἕψειν. Ἢν αἱ μῆτραι ξυμ- 30
μύωσι, τὰ στόματα σκληρὰ γίνονται σφέων. καὶ τὴν γονὴν οὐκ
ἔτι δέχονται, ἀλλ' αὐτόθεν ἐπὴν ξυνευνηθῇ τῷ ἀνδρὶ, κινέου-
σα τὰ σκέλεα χωρέει. καὶ ὀδύναι τὴν νείαιραν γαστέρα, καὶ τὰς
ἰξύας, καὶ τοὺς βουβῶνας ἔχουσι. καὶ τὰ ἐπιμήνια παντά-
πασιν οὐ γίνεται. ἢν δὲ γίνηται, ὀλίγα καὶ πονηρὰ καὶ ἄχροα. ὁ-
ταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ. μετὰ δὲ τὸ λουτρὸν, διδό-
ναι τοῦ κάστορος ξὺν τῇ γλυκυσίδῃ τῆς ῥίζης. ξυμμίσγειν
χρὴ ἐν οἴνῳ μέλανι εὐώδει. σιτίοισι δὲ διαιτήσθω, ὡς ἡ λε-
χώ. καὶ ἢν δῆλα ᾖ τὰ ἐπιμήνια, ἐπισχεῖν μίαν ἡμέρην, καὶ
πυριῆν ὅλην. καὶ φάρμακον διδόναι ποτόν. ἢν δὲ ἐθάδες 40
ἔωσιν, ἄνω, ἢν δοκῇ δεῖσθαι, ἢ κάτω. γάλα οὕτως ὄνου, ἢ
ὀῤῥὸν προσφέρειν. καὶ πυριῆσθαι βληχρῶς καὶ μαλθα-
κτήρια ὑστέρῃ προσφέρειν. καὶ κυκλάμινον, καὶ ναρκίσσι-
νον. σικύων δὲ τῶν σμικρῶν λαβεῖν τὴν ἐντεριώνην. καὶ
κατακνήσας ἐξελὼν τὸ σπέρμα, παραστάζων γάλα γυ-
ναικὸς κουροτρόφου, τρίβειν, παραμιγνύων σμύρνην ἄκρητον.
καὶ μέλι ὡς κάλλιστον. καὶ ἔλαιον λευκὸν αἰγύπτιον. καὶ ποιεῖν μὴ
ὑγρὸν, ἀλλὰ ξηρόν. τοῦτ' ἐμπλάσαι εἰς εἴριον μαλθακὸν

in lacte mulieris masculum lactantis, si ita visum fuerit, tritum. Admiscenda autem cerui medulla, & quæ dicta sunt cum pauco melle. Sit etiam lana mollis pura, & per diem supponatur. Quòd si vehementius parare voles, myrrhæ pusillũ quid admisceto. Optimum autem oui candidum, adeps caprinus, mel & oleum rosaceum his permiscẽdum. Oleum autem ad ignem tepefacito, quod destillat vellere exceptum supponito. Aut anserinum adipem rubrum suauiter cõditum, & vnguentum rosaceum, hæc permixta vellere excepta supponito. Optimus autem est anserinus adeps & ouillus, cera alba, resina, netopum, oleum rosaceum, hæc simul liquato & misceto. A balneo autem tepida intrò ad vterorum os apponat. Aut cerui medullam, anserinum adipem liquatum, rosaceo aut irino oleo subactum, ex vellere autem admodum molli supponito. Mulieri cùm vteri duri extiterint, & ad pudenda processerint, inguina indurescunt, in pudendis ardor est, omniaq; ad cancrum vergũt. Vbi sic habuerit, cucumeris agrestis interiorem partem & fauum terere oportet, & affusa aquæ hemina, in sedem immittere, vt purgetur. Si vterorũ os ex siccitate induruerit, aut ceruix, vbi digito contrectaris cognosces. Ac si ad coxam voluẽtur, acre nihil adhibeto. Periculum enim est, si vlceretur, aut inflammatione laboret, ne penitus infœcunda reddatur. Et verò quæ non mordent, ex quibus purgetur, in subditio apponito. Cùm autẽ duri fuerint vteri, eaq; parte dolor adfuerit, in subdititio apponito, velut cerui medullã, aut anserinum adipem, aut suillum, & vnguẽtum irinum cum melle, aut oui luteum ex cera alba emollitum ex cataplasmate imponito, & hordeaceam aut triticeã farinam cum aqua & ruta coquito. Si vteri clausi fuerint, ipsorũ ora dura euadunt, neq; ampliùs genituram recipiunt, sed inde vbi cum viro concubuerit ac crura mouerit secedit, dolores imum ventrem, lumbos & inguina detinent, menses nullo modo profluunt, aut pauci, praui & decolôres. Cùm sic habuerit, multa calida lauato. Post balneum verò castorium admixta pæoniæ radice ex vino nigro odorato exhibere oportet. In cibis victus rationem qualem puerpera adhibeat. Quòd si menses conspicui fiunt, diei vnius mora interiecta, totam foueto, & medicamentum potui exhibeto, si verò assuefactæ fuerint, sursum aut deorsum purgans, si indigere videatur. Lac igitur asininum aut serum exhibeto, leniter foueto, emolliẽtia vtero, cyclaminum & narcissinum adhibeto. Cucumerum autem agrestium paruorum medullam, semine detracto concisam, lacte mulieris masculum lactantis affuso terito, myrrha sincera ammixta, & melle quàm optimo, & oleo albo Ægyptio. Hoc medicamento non liquido, sed sicco confecto, lanam mollem puram obducito, & oleo albo Ægyptio intinctam post balneum subter apponat. Subligaculum autem adhibeat, & sub tecto maneat cùm purgabitur. Vbi autem tibi satis esse videbitur, quiescito, aliòqui aliud rursus imponito. Post hoc verò lanam mollem in rotundum conuolutam, netopo iniecto, die vna subter apponito,

καθαρὸν, καὶ ἐμβάψατω ἐν λευκῷ ἐλαίῳ αἰγυπτίῳ, καὶ λουσαμένη προστιθέσθω. ὑποδείσθω δὲ [194] καὶ ἐν σκέπῃ
ἥσθω, ὅταν καθαίρηται. ἐπὴν δέ σοι δοκέῃ ἀρκούντως ἔχειν, παύσασθαι. ἢν δὲ μὴ, αὖθις τιθέναι ἕτερον. μετὰ δὲ τοῦ-
το ἀμφιελίξασα ἐς εἴριον μαλθακὸν, στρογγύλον δὲ ποιέειν. καὶ νέτωπον ἐμβάλλειν. καὶ προστίθεσθαι μίαν ἡμέρην.

postero autem die, oleum rosaceum in vellere, deinde rursus ceruinum adipem, liquatum etiam ipsum in vellere. Semper autem ante subdititia calida lauet, & longo tempore odoratis leuiter foueatur. Postea verò die vno, si quidem pituitosa fuerit, medicamẽto quod cum grano cnidio conficitur, colluito. si verò biliosa, cum scammonia parato. Post hæc autem vtraq; , postridie narcissino cũ vino dulci colluito. Quòd si narcissinũ desit, anthino aut irino præstantissimo. Sit autem olei pars ad vinum tertia. Deinde duobus intermissis diebus, medicamentum cum pulegio apparatũ, vno die supponat. Si verò menses profluant, ieiuna tribus diebus castoriũ cum vino albo odorato bibat. Vbi autem menses desierint ac diu constiterint, lauet, & aqua frigida perfusa, cyceonẽ insulsum bibat. Cibum non attingat, cum viro duobus aut tribus diebus dormiat. Quo autem tempore purgatur, mercurialem aqua decoquito, decoctum exprimito, allium, cuminum, & salem leuiter tritum, & oleum cum his permisceto, & pauco affuso decocto feruefacito, hoc ante cibos edat. Allia cocta & assata quàm plurima sumat. Quòd si mercurialis minimè tenera fuerit, leuiter trita, cum brassica, vt mitescat, coquenda & condienda, & si concipiat, conualescit, omniaq; ritè & ordine procedunt. At si vterorum os conniueat, durum velut caprificus euadit, & si digito cõtrectaris, durum ac conuolutum deprehendes, digitum non intromittit, menses delitescunt, neq; hoc tempore genituram recipit, dolor imum ventrem, lumbos & laterum inanitates detinet, interdum verò sursum instat & suffocat. Cùm sic habuerit, medicamentum deorsum purgans propinare oportet, copiosa cal da lauare, quæ os emolliunt in subdititio apponere, & demisso specillo linitorio aperire, digitoq; similiter lęue reddere. Cùm verò molle fuerit, quæ sanguinem purgant in subdititio apponito, potiones & quodcunq; aliud lubenter admittat, exhibere tentato, mercurialem edat & succum sorbeat. Si vteri conniueant, & menses non appareant, colocynthidem agrestem, cuminum Æthiopicum, nitrum, salem Thebaicum, renum adipem, farinam, myrrham, resinam, hæc omnia simul feruefacta, læuigata, permixta, & in glandem efformata supponito. Si in vteris sanguinis grumi fuerint, eorum os velut orobis plenum existit, & si contigeris ita se habere deprehendes, menses non eunt, neq; quoad ita habuerit genitura intus manet. Cyclaminum cortice detracto, allia, salem, ficum, mel paucum, hæc trita & simul mixta in glandem efformato, & ad os vterorum apponito, aliaq; subdititia, quæ acria sunt & rodunt, quibusq; sanguis purgatur, & potiones, quæ vteros purgent exhibeto. Si præter naturam vteri dehiscant, menses copiosi, glutinosi & crebri feruntur, genitura intus non manet, os dehiscit, neq; genituram attrahere valet, & febris & rigor inferiorem ventrem & lumbos inuadit. Morbus autem ex profluuio sanguineo prehendit, cõtingit etiã vbi menses suppressi de repente affatim eruperint. Victus igitur ratio antea dicta est.

τῇ δ' ὑστεραίῃ, ἔλαιον ῥόδινον ἐν εἰρίῳ. εἶτα πάλιν ἐλάφου στέαρ τήξας καὶ αὐτὸ ἐν εἰρίῳ. λουέσθω δὲ ἐν θερμῷ ὕδατι, ἀεὶ πρὸ τῶν προσθέτων.[195] καὶ πυριήσθω εὐώδεσι βληχρῶς πλεῖστον χρόνον. μετὰ δὲ μίαν διαλιποῦσα ἡμέρην, κλύσαι, ἢν μὲν φλεγματώδης, τῷ ξὺν τῷ κόκκῳ. ἢν δὲ χολώδης, τῷ ἀπὸ τῆς σκαμμωνίης. μετακλύζειν δὲ καὶ ἐπὶ τουτέοισιν ἀμφοτέροισι τῇ ὑστεραίῃ, τῷ ναρκισσίνῳ σὺν οἴνῳ γλυκεῖ. ἢν δὲ μὴ εἴη ναρκίσσινον,[196] ἀνθίνῳ, ἢ ἰρίνῳ, ὡς καλλίστῳ. ἔστω δὲ τοῦ ἐλαίου τρίτη μοῖρα τοῦ οἴνου. ἔπειτα διαλιποῦσα δύο ἡμέρας, προσθέσθω τὸ ξὺν τῇ γλήχωνι ἡμέραν μίαν. ἢν δὲ ἴωνται τὰ ἐπιμήνια, πινέτω νῆστις τὸ καστόριον τρεῖς ἡμέρας, σὺν οἴνῳ εὐώδει λευκῷ. ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐμμήνια καὶ παραμόνιμα ᾖ, λουέσθω. καὶ διαχλιαινομένη ὕδατι ψυχρῷ, κυκεῶνα πινέτω ἄναλτον. σίτου δὲ μὴ ἁπτέσθω. ξυνευνέτω δὲ τῷ ἀνδρὶ, δύο ἡμέρας ἢ τρεῖς. ὁκόσον δ' ἂν χρόνον καθαίρηται, τὴν λινόζωστιν ἕψουσα ἐν ὕδατι, κἄπειτα ἐπὴν ἑφθὴ γένηται, ἐκθλίψαι. ὑποτρίβειν δὲ σκόροδα καὶ κύμινον καὶ ἅλας. καὶ ἔλαιον ἀναμιγνύειν τουτέοισι. καὶ ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ ἀναζέσαι. τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν. σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα. ἢν δὲ ἡ λινόζωστις μὴ ἁπαλὴ ᾖ, λείην ξυνέψειν χρὴ κράμβῃ, καὶ ἡδύνειν, καὶ προσηνέας εἶναι. καὶ ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται. καὶ πάντα οἱ κατὰ κόσμον ἴῃ. Ἢν δὲ τὸ στόμα τῶν μητρέων ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὡς ἐρινεόν. καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, ὁκοῖον σκληρόν τε,[197] καὶ ξυνειλεόμενον. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια κέκρυπται, καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου. καὶ ὀδύνην ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τοὺς κενεῶνας. ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ. καὶ προστιθέναι ὅσα μαλθάσσει τὸ στόμα.[198] καὶ ὑπαλείπτρον καθιέναι. καὶ ἀναστομοῦν τὸν δάκτυλον,[199] καὶ ὡσαύτως λεαίνειν. ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ὅσα καθαίρει αἷμα. καὶ τῶν ποτημάτων διδόναι, καὶ πειρηθῆναι παρέχειν καὶ ὅ, τι ἂν ἄλλο προσδέχηται. τὴν κράμβην δὲ ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω. Ἢν αἱ μῆτραι ξυμμύσωσι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται. κολοκυνθίδα ἀγρίην,[200] καὶ κύμινον αἰθιοπικὸν, καὶ νίτρον, καὶ ἅλας θηβαϊκὸν,[201] καὶ νεφρίδιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ζέσας πάντα ὁμοῦ, καὶ μίξας λεῖα. καὶ ποιήσας βάλανον προστιθέναι. Ἢν θρομβωθῶσιν αἱ μῆτραι, τὸ στόμα αὐτῶν γίνεται, οἷον ὀρόβων μεστόν. καὶ ἢν ἐπαφήσῃ, οὕτως ἔχον. καὶ τὰ ἐπιμήνια οὐ γίνονται, οὐδὲ ἡ γονὴ ἐμμένει.[202] τέως ἂν ὧδε ἔχῃ. τῆς κυκλαμίνου τὸν φλοιὸν περιλέψας, καὶ σκόροδα, καὶ ἅλας, καὶ σῦκον, καὶ μέλι ὀλίγον, ταῦτα τρίψαι καὶ συμμίξαι καὶ ποιῆσαι βάλανον, καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῶν ἄλλων προσθέτων, ὅσα δριμέα τέ ἐστι καὶ καταπλάσσει, καὶ ὑφ' ὧν καθαίρεται αἷμα.[203] καὶ τῶν ποτημάτων ὅσα ὑστέρας καθαίρει. Ἢν παρὰ φύσιν αἱ μῆτραι χάνωσι, τὰ ἐπιμήνια χωρεῖ πλείονα. καὶ γλίσχρα. καὶ θαμινά. καὶ ἡ γονὴ οὐκ ἐμμένει. καὶ τὸ στόμα κεχηνός ἐστι. καὶ οὐχ οἷόν τε εἰρύσασθαι τὴν γονήν. καὶ πῦρ καὶ ῥῖγος λαμβάνει τὴν κάτω κοιλίην, καὶ τὰς ἰξύας.[204] ἡ δὲ νοῦσος λάζεται ἐκ ῥόου αἱματώδεος. γίνονται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια ἐξαπίνης ἰσχόμενα ῥαγῇ. ἡ δίαιτα οὖν πρόσθεν εἴρηται.

χρὴ δὲ

χρὴ δὲ προσθέτοισι θεραπεύειν. ἐν ἀρχῇ μὲν, καθαρτηρίοισιν ἅμα καὶ μαλθακοῖσιν. ἔπειτα ἠρέμα στύφουσι. καὶ σπόγγοισι τὰ κάτω τοῦ ὀμφαλοῦ πυριῆν μυρσίνης ὕδατι, ἢ βάτου, ἢ ἐλαίων φύλλοις ἐναφεψῶν. ἢ ῥόδων, ἢ οἰνάνθης, ἢ ἀμπέλου. [205] ἢν δὲ στόμα τῶν μητρέων ἀναχάνῃ, ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, [206] οὕτω γίνεται τὰ ἐπιμήνια, πλείω καὶ κακίω πάντα. καὶ ὑγρότερα, καὶ διὰ πλείονος χρόνου. καὶ ἡ γονὴ οὐκ ἀπόλλυται, οὐδὲ μένει, ἀλλὰ πάλιν ἔξεισιν. κἢν ἐπιμείνῃ, [207] τὸ στόμα εὑρήσει διαπεπληγός, καὶ ἀδυναμίη ἴσχει ὑπὸ τῶν ἐμμηνίων. καὶ κούφη ἐστὶ καὶ ἄτονος, καὶ προσωτέρω χωρέει. τὰ δὲ κράτεα χαλᾶται. καὶ πῦρ βληχρόν. καὶ ῥῖγος. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρὲν, σαπῇ καὶ παγῇ. πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι. αἱ δὲ καὶ ἄλλως. ὅταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν. καὶ κρισιμωτέρη ἔσται. κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι. [208] καὶ τοῖς ψυχροῖς λούειν. καὶ διαλείποντα κλύζειν. καὶ τῶν πομάτων διδόναι, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει. καὶ πουλύποδας ἐσθιέτω. καὶ τὴν λινόζωστιν. ἢν δὲ μὴ μεμύκωσιν αἱ μῆτραι ὡς χρὴ, καθίννυσθαι ἐν ὕδατι, μυρσίνης ἐναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, ἢ ῥόδων. διαίτη δὲ, ἣ λέλεκται ἐπὶ τοῦ ἐρυθροῦ ῥόου. ἄριστον δὲ οἱ βοήθημα, σιτία. ἔμετοι θαμέες. καὶ λουτρῶν εἴρξεις. ὁκόταν ἀναστομωθῶσι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι, καὶ μὴ μεμύκωσι. [209] καὶ καθάρσιος δέονται, καὶ κλυσμῶν. καὶ θυμιαμάτων. [210] ἢν δὲ λειωθῶσι, τὰ ἐπιμήνια, πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνά. καὶ ἡ γονὴ οὐκ ἐμμένει, [211] ἀλλ᾽ ἡνίκα ἴῃ, οἴχεται. καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ εὑρήσει λεῖον. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων. καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει. ὀδύνη τε ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. μάλιστα δὲ ἤν τι ἐν ἑωυτῇ διαφθαρὲν σαπῇ καὶ ἐκ τόκου, καὶ ἄλλως. ὅταν οὖν οὕτως ἔχῃ. θεραπεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ. ὡς ἐπὶ τῶν πρόσθεν γέγραπται. ἢν αἱ μῆτραι φλεγμήνωσι, [212] τὰ ἐπιμήνια ἐπιλυγίζονται, καὶ ὁ τράχηλος [213] ξυναραχνοῦται. καὶ πυρετὸς ὀξύς. καὶ γνώμης ἀπλόμυθος. καὶ πονηρὰ καὶ ὀλίγα οἱ ἐπιφαίνεται. καὶ ὁκόταν νῆστις ᾖ, ἔμετός τις αὐτὴν ἐπέρχεται. ὁκόταν δέ τι φάγῃ, ταῦτα ἐμέει. καὶ ὀδύνη τὴν νειαίρην γαστέρα ἴσχει, καὶ τὰς ἰξύας. καὶ ἀποψύχει. καὶ περίψυξις δι᾽ ὅλου τοῦ σώματος. [214] ἡ δὲ γαστὴρ τοτὲ μὲν σκληρὴ, τοτὲ δὲ μαλθακή. [215] καὶ ἐμπίπραται. καὶ αἴρεται. καὶ δοκέει ἐν γαστρὶ ἔχειν. ἔστι δ᾽ ὅτε κενεὸν φαίνεται τὸ πλήρωμα τῆς γαστρός. καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος. καὶ ὁ ὀμφαλὸς ἐξίσχει. καὶ τὸ στόμα ἰσχνόν. καὶ ἐξαπίνης ἐφαίνετο τὰ ἐπιμήνια τρύζοντα. καὶ ὀλίγα καὶ πονηρά. καὶ λεπτύνεται τὰς κληῖδας, καὶ τὴν δέρην. καὶ οἱ πόδες οἰδίσκονται, [216] καὶ αἱ πτέρναι μάλιστα. ὅταν ὧδε ἔχῃ, φάρμακον πίσαι, κάτω. καὶ προσθέτοισι πυριῆσθαι τὰς ὑστέρας, ὡς εὐώδεσι τὰς ἡμέρας τοῖσι μολυβδίοισι. καὶ λοῦσαι θερμῷ ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι. καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν δύο πόσιας. κνήστρου ἑψῆσαι [217] κοτύλην ὕδατος, καὶ ἀποχέαντα τὸ ὕδωρ, κλύσαι κοτύλην ὕδατος, ξυμμίξαντα καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθίνου.

Curatio autē per subdititia instituenda, per initia quidem purgantia simul & emollientia, deinde paulatim adstringentia, partesq; infra vmbilicum per spongias ex myrti aut rubi aqua fouendæ, aut oleæ foliorum decocto, aut rosarum, aut œnanthes, aut vitis. Si vterorum os plus quàm in mensibus consueuit, dehiscat, hoc modo menses omnes copiosiores & deteriores, liquidiores & diutiùs eunt, neq; genitura attingit, neque manet, sed contrà foras exit, & si permaneat, os diductum comperit, & imbecillitas propter menses occupat, leuis est & inualida, & vltra procedit. Vires autem exoluuntur, & febris lenta & rigor, dolorque imum ventrem, laterum inanitates & lumbos occupat. His autem præcipuè afficitur, si quid in ea corruptum computruerit, & condensatum fuerit, quædam etiam ex partu afficiuntur, aliȩ etiam alio modo. Cùm igitur sic habuerit, medicamentum potui exhibere oportet, & faciliùs iudicatione soluetur, & si dolor detineat, tepefacientia admouere, frigida lauare, & intermissione facta colluere, potionesque quascunque præcipuè admiserit exhibere, & quæcunque siccant in suffitu admouere. Polypos & mercurialem edat. At nisi vteri velut conuenit claudantur, in aqua myrti, lentisci, vitis aut oleæ foliorum, aut rosarum decocto desidendum. Victus autem ratio quæ dicta est in fluore rubro imperanda. Optimè autem ei auxiliantur sitis, frequentes vomitiones, & baineorum abstinentia. Cùm plus æquo aperti & minimè occlusi fuerint, & purgatione indigent, & collutionibus, & suffitibus. Quòd si læues ac lubrici fuerint, menses copiosiores, deteriores, liquidiores & crebriores decurrunt genitura intus non manet, sed cùm effluxerit, discedit, & si digito os attrectaris, læue deprehendes. Imbecillitas eam propter menses inuadit, & febris & rigor detinet, dolor etiam imum ventrem, lumbos, & laterum inanitates occupat, idq; præsertim si quid in ea corruptum computruerit, & ex partu, atq; alio modo. Cùm igitur ita habuerit, curatio quacunq; parte dolor detinet, quæ in superioribus scripta est adhibenda. Si vteri inflammatione laborarint, menses occultātur, & ceruix tenuibus veluti aranearum telis implicatur, febris acuta est & mentem tentans, menses ei pauci & praui comparent, ieiunæ vomitus quidam ei aduenit: cùm autem comederit, ea euomit, dolor imum ventrem & lumbos detinet, animo deficit, & toto corpore perfrigeratur. Venter autem partim quidem durus, partim verò mollis est, & inflatur ac attollitur, vteroq; gestare se existimat. Quandoque verò ventris moles inanis videtur, venterque aqua impletur, vmbilicus prominulus extat, os extenuatur, de repente menses cum stridore pauci & praui comparent, circa iugulum & ceruicem extenuatur, & pedes præsertimque plantæ intumescunt. Cùm sic habuerit, medicamentum deorsum purgans propinādum, subditia & grati odoris fomenta vtero admouenda. Per diem pessuli plumbei supponendi, & antè appositionem decocto calido minimè mordente lauandum, & post appositionem hac collutione vtēdum. Cnestri potiones duas aquæ hemina decoquito, decocto percolato admixta olei narcissini aut anthini hemina colluito.

Post hæc tribus diebus intermissis, deinde eo quod cũ aceto paratur colluito, & ante cibũ mercurialem cum pauco vino decoctã velut brassicam comedat, & succum sorbeat. Quòd si perseueret, medicaméta ex quibus aqua ex vteris purgetur potui exhibenda. Cibis vtatur panibus & oleribus coctis, mollibus, marinis potiùs quàm carnibus, vel animalium trunculis, coctis, mollibus, vehemẽtibus exercitationibus ante & post cibum vt plurimùm vtendum. Frigida quàm minimùm lauetur, & à dulcibus & pinguibus quibusq; abstineat. Diebus autem inter purgationes mediis, adiantum ex aceto aqua temperato ieiuna bibat. Morbus autem lethalis est, paucæque ex eo liberari possunt. Si ex vteri inflammatione non concipiant, menses occultantur, cumq; ieiuna fuerit, vomit, cùm verò comederit, dolor imum ventrem & lumbos detinet, totus venter modò quidem durior, modò verò mollior redditur, neq; ferè sibi restituitur. Venter magnus euadit, neq; purgatur, sibiq; prægnans esse videtur, & eodem modo quo prægnantes afficitur, & si ventrem attigeris, leuem tumorem velut vtris deprehendes, cumque partionis tempus instare visum fuerit, vteri considunt, & menses pauci & praui decurrunt. Huic medicamentum deorsum purgans propinandum, & quæ purgent in subdititio apponenda, purgata verò sanitati restituitur. Si inflãmationem senserit vterus, contrahitur, quòd si quid corruptum fuerit & recruduerit, febris acuta & magna horrorq; detinet, partes circa pudenda duræ sunt, stupendum in modum afficitur, mordetur, & impetu fertur. Ac si quis immisso digito contrectet, rursus peius habet, & mordetur, caput & sinciput dolore afficitur, caligo & frontis sudor adest, extrema perfrigerantur & tremunt, interdum sopor occupat, audire non solet, neque aliquid vterus efficit, multum est cibi fastidiũ, neq; stomachus, neq; ventriculus omninò cibum attrahit, vociferatur, cum impetu prosilit, dolor est ad pubem, inguina, lumbos, & occulta muliebris pudẽdi loca, celeriterq; moriuntur. Quòd si dolores summam debilitatem inducant, velut spongiis calidis ex aqua & oleo expressis fotus adhibendi, & mollia subdititia supponẽda, ex medulla ceruina, adipe anserino, cera alba, & oui luteo, aut ceratum picatum cum resina subdẽdum. Vino autem aut lacte caprino purgandum, aut iure gallinaceo. Vinum autem & ptisanę cremorem sorbeat. Hoc ad vterorum dolores infunditur. Si dolor solùm vrgens & violentus fuerit, caligo quædam in vteris inest, neque spiritus exit, sed illic vitium manet. Ad hũc igitur modum curare oportet, atriplicis agrestis semen, & betas simul tritas, læuigatas, tepidas, in vteros infundito. Quod vterorum dolores sedat. Vini suauissimi æquali aqua temperati, tres semicongios Atticos, radicũ fœniculi & seminis trientem, olei rosacei heminam dimidiam. His in ollam nouam iniectis, & vino affuso, postea fotum admoueto. Scillam autem etiam in subdititio apponito, quoad os molle & apertum fuerit. Cumque in purgatione pustulæ circa os vteri innatæ fuerint, sic curato. Carnem bubulam aut butyro, aut adipe anserino & aniso læuiter tritis illitam, in pudendum indito. Si erysipelas vteros occupet, pedes, mammæ & corpus intumescunt, dolor ipsam detinet,

μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας τρεῖς. εἶτα κλύσαι τῷ ξὺν τῷ ὄξει. καὶ πρὸ τοῦ σίτου τὴν λινόζωστιν ἕψουσα σὺν οἴνῳ ποσῶ, ἐσθιέτω ὡς κράμβην. καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ ἐπιμένῃ, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. σιτίοισι δὲ χρεέσθω ἄρτοισι καὶ λαχάνοισιν, ἑφθοῖσι, μαλακοῖσι. θαλασσίοισι δὲ μᾶλλον, ἢ κρέασιν, ἢ ἀκροκωλίοισιν ἑφθοῖσι μαλακοῖσι. καὶ ταλαιπωρέειν ὡς πλεῖστα, καὶ πρὸ τοῦ σίτου καὶ μετὰ τὸ σῖτον. καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ. καὶ γλυκέων καὶ λιπαρῶν παντοίων εἰργέσθω. τὰς δὲ διὰ μέσσηγυ τῶν καθαρσίων, ἀδίαντον πινέτω, [218] ἐν ὄξει κεκρημένῳ νῆστις. ἡ δὲ νόσος θανατώδης. ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται. [219] ἢν μὴ ἐν γαστρὶ ἔχωσι φλεγμασίης μητρέων, τὰ ἐπιμήνια ἐπιλυγάζονται. καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμεῖ. ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ ὅλη ἡ κοιλίη, ὁτὲ μὲν σκληροτέρη, ὁτὲ δὲ μαλθακὴ γίνεται. [220] καὶ καθίσταται δὲ οὐ πάνυ. κοιλίη μεγάλη γίνεται, καὶ οὐ καθαίρεται. [221] καὶ οὐ δοκέει κύειν. καὶ πάσχει ὁκόσα περ καὶ αἱ ἐγκύμονες. καὶ ἢν θιγγάνῃς τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ. καὶ ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι. καὶ τὰ ἐπιμήνια ὀλίγα, καὶ κακίονα. ταύτην φάρμακον χρὴ πιπίσκειν κάτω. καὶ προστιθέναι τῶν καθαρτικῶν. καθαρθεῖσα δέ, ὑγιὴς γίνεται. [222] ἢν φλεγμαίνηται ἡ μήτρη, σπᾶται. ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοταίνῃ, πῦρ ἔχει ὀξὺ καὶ μέγα, [223] καὶ φρίκη σκληρή, τὰ ἀμφὶ τὰ αἰδοῖα. ἐκπάγλως τε ἀλγέει. καὶ δάκνεται καὶ ὁρμᾷ. καὶ εἴ τις ἐπαφήσει τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει. καὶ ὀδαξᾶται. καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὸ βρέγμα. καὶ ἀχλύς, καὶ ἱδρὼς μετωπιδαῖος. τὰ ἄκρεα ψύχονται, καὶ τρεμαίνουσι. καὶ κῶμα ἔχει ἐνίοτε. [224] καὶ ἐσακούειν οὐκ ἐθέλει. οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ. ἀσιτίη πολλή. καὶ στόμαχος [225] οὐ πάμπαν εἰρύεται τὴν τροφήν, καὶ ἡ κοιλίη. καὶ βοᾷ, καὶ ἀναΐσσει. [226] καὶ ὀδυνᾶται τὸ ἦτρον, καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰξύας [227] καὶ τὰ παραφύσιας. καὶ ταχὺ θνήσκουσιν. [228] ἢν δὲ αἱ ὀδύναι καταγνῶσιν ὡς σπόγγοισι θερμοῖσιν ἐξ ὕδατος καὶ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσαι. καὶ προσθέτοισι μαλθακοῖσι, μυελὸν ἐλάφου, καὶ χηνὸς ἄλειφα, καὶ κηρὸν λευκόν, καὶ ᾠοῦ τὸ πυρρόν. ἢ κηρωτὴν πισσηρὴν προστιθέναι ξὺν ῥητίνῃ. καθαίρειν δὲ οἴνῳ, ἢ γάλακτι αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος. οἶνον δὲ μὴ πίνειν. καὶ πτισάνης χυλὸν ῥοφεέτω. μητρέων ὀδύνης ἔγχυτον. ἢν ὀδύνη μοῦνον ᾖ σπερχνὴ καὶ βίαιος, [229] ἀχλὺς ἐν τῇσι μήτρῃσιν ἔνι. καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μένει κακόν. δεῖ οὖν οὕτως θεραπεύειν. ἀνδράφαξιος ἀγρίης καρπόν, καὶ τεῦτλα τρίψας ὁμοῦ λεῖα χλιηνάς τε ἔγχεον εἰς τὰς μήτρας. ὑστερέων ὀδύνας παύει. οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, τρία ἡμίχοα ἀττικά, μαράθου ῥίζας, [230] καὶ τοῦ καρποῦ τριημοίριον. καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον. ταῦτα ἐμβάλλειν ἐς χύτρον καινόν, καὶ οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι, προστιθέναι δὲ καὶ σκίλλην, ἔστ' ἂν τὸ στόμα μαλθακὸν ᾖ. [231] καὶ φρακιώδεις. καὶ ὁκόταν ἐν καθάρσει φλύκταιναι ἀνὰ τὸ στόμα τῆς ὑστέρης φύσωσιν, οὕτω θεραπεύειν. σάρκα βοὸς, ἢ πικερίῳ, χηνείῳ στέατι καὶ ἀνήσῳ, [232] τρίψαι λείως τὴν σάρκα. καὶ ἐς τὸ αἰδοῖον ἐντιθέναι. ἢν ἐρυσίπελας ἔχῃ τὰς μήτρας, οἰδέει τοὺς πόδας καὶ τοὺς μαζοὺς καὶ τὸ σῶμα. καὶ πόνος αὐτὴν κατέχει.

καὶ ὀρθόπνοια γίνεται. καὶ ἀλγέει τοὺς κενεῶνας, καὶ τὸ ὑπογάστριον, καὶ τὰ στέρνα, καὶ τὴν κεφαλήν. τρόμος τε ἔχει. καὶ τὰς χεῖρας νάρκη, καὶ τοὺς βουβῶνας. καὶ τὰς ἰγνύας τρέμει. ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι καὶ πελιδναὶ γίνονται. καὶ κουφίζει ὀλίγον χρόνον. καὶ ἡ χροιὴ, μάλιστα δὲ καὶ οἱ μαζοὶ ἀείρονται κατὰ τὴν ὁμοεθνίην. ἀλλὰ γὰρ οὐ πάνυ τι ἀλγέει. καὶ πῦρ καὶ ῥῖγος λαμβάνει. καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται. καὶ δίψα ἰσχυρή. καὶ τὸ ἧπαρ ξηραίνεται. [233] ταῦτα ἢν ἐγκύμονι περιπέσῃ, θνήσκει. καὶ οὐκ ἂν δυνήσεται διαφυγεῖν. ἢν ἐρυσίπελας ἐν τῇσι μήτρῃσι γένηται, οἰδήματα γίνεται πελιωδέστατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα. καὶ ἐς τὰ σκέλεα πάντα, καὶ ἐς τὴν ὀσφῦν. ὅσῳ δ᾽ ἂν ὁ χρόνος πλείων γένηται. καὶ ὁ θώρηξ ἐπαΐει. καὶ οἰδίσκεται. καὶ περιψύχεται πᾶσα. καὶ πῦρ ἔχει μέγα. καὶ ῥῖγος ἐπιλαμβάνει. καὶ πνεῦμα πυκνόν. καὶ λιποθυμίη καὶ ἀσθενείη. καὶ ὀδύνη παντὸς τοῦ σώματος. δυσθυμέει τε, [234] καὶ αἰολᾶται τῇ γνώμῃ. καὶ τὸ πάθος ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης ἐς τὰς ἰξύας, καὶ ἐς τὰ νῶτα, καὶ τὰ ὑποχόνδρια, καὶ τὰ στέρνα καὶ τὸν τράχηλον, καὶ τὴν κεφαλὴν, καὶ τὸν στόμαχον. καὶ δοκέει θανεῖσθαι. ὁκόταν δὲ λύηται ἡ ὀδύνη, [235] νάρκη ἔχει τὰς ἰξύας, καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα. καὶ ἐν τῇσιν ἰγνύῃσι πέλια γίνεται καὶ ὀλίγον χρόνον δοκέει ῥάων εἶναι. ἔπειτα αὖθις πονέεται. καὶ ὁ χρὼς, φλυκταινῶν καταπίμπλαται. καὶ τὸ πρόσωπον ἐρυθήματα λάζεται περιφανέα, καὶ δηλεόμενα. καὶ ὁ φάρυγξ αὖος. ἡ γλῶσσα τρηχείη. αὕτη ἡ νοῦσος, εἰ ἐγκύμονα σχοίη, κτείνει. [236] ἢν δὲ μὴ, ἰητρείην χρὴ προσάγειν. ὄνου γάλα πιπίσκειν καὶ καθαίρειν. ἢν δὲ μὴ λύηται ὧδε, ψύχειν τὴν κοιλίην, ἐν μαλθακοῖσι ψύγμασι. [237] καὶ προσθέτοισι μὴ περισκελέσι. καὶ καθῆραι κούφοις, ἐκ τοῦ κατ᾽ ὀλίγον, καὶ ἐμέειν. ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμβάνειν ἑφθὰ, ξὺν ὀρειγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ. ἢν δὲ τὸ πῦρ μεθίηται, καὶ οἶνον καὶ σιτία διδόναι γλυκέα. [238] πλὴν ὀλίγων, ἀλλὰ παῦραι θεραπεύονται. [239] ὕδερος δὲ γίνεται, ἐν τῇσι μήτρῃσι [240] τὰ ἐπιμήνια χωρέει ἀσώδεα, καὶ ὑδατώδεα. καὶ οὐ πάνυ αἱματώδεα. οἰδέει καὶ ἡ ὑστέρη, καὶ φλέβες καὶ ὅσα ἄγχιστα. καὶ κυΐσκεται. ἔπειτα πνίγεται. οἱ μαζοὶ ῥέουσι. καὶ ἡ νειαίρα γαστὴρ σκληρή ἐστι καὶ οἰδέει. καὶ πᾶς ὁ ἀμφὶ περιὲξ χῶρος. καὶ ἀλγέει. ἤν τις αὐτὴν ψαύσειε πυρετός τε καὶ βρυγμὸς ἴσχει. καὶ ὀδύνη προσέρχεται ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς ἰξύας. καὶ ἐξονειρώσσει. καὶ κάκιον ἴσχει. [241] ταύτην λούειν δὴ θερμῷ καὶ χλιαίνειν. φάρμακον δὲ πιπίσκειν καὶ πυρίῃσι βληχροῖσι. καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προστιθέσθω ἀποδήσασα. καὶ κυπαρισσίου χυλὸν βρέχειν ἐν ὕδατι. καὶ κανθαρίδας τρίβουσα, προστιθέναι ὀλίγον χρόνον. καὶ διὰ πλείονος ἐνεργεῖ. Πρόσθετον ὅσον χήμην κύμινον, ἀσταφὶς λευκή. Ἄλλο. Κνίδης καρπός. ἄρου ῥίζα. τουτέων ὃ βούλει ἐπιεικέως προστιθέναι. ἐπειδὰν ἐκκαθάρῃς κλυζέσθω καὶ ἀφαιρέειν καὶ ἐγκλύζειν τὰ αἰδοῖα. καὶ ξυγκοιμάσθω ἅμα. καὶ ἢν διενέγκῃ τὸ ἔμβρυον, ἐκκαθαίρεται πᾶσα καὶ ὑγιὴς γίνεται. [242] Ἄλλο ὁμοίως ὕδερος μητρέων. Ὕφαιμόν τι ῥέει ἰχωροειδὲς, καὶ καθαίρεται. καὶ δάκνει σφόδρα καὶ ἑλκοῖ ὥσπερ ἅλμη τὰ αἰδοῖα. καὶ τὰ περιέξ. καὶ ὅκου ἂν ἐπιστάξῃ, ἑλκοῖ. καὶ ἡ χροιὴ ἰκτερώδης. τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, ὥσπερ ἐν τοῖσιν ἄλλοισιν ῥόοισιν.

erectæ ceruicis ſpiratio contingit, ad laterum mollitudinem dolor eſt, ad ventris partem inferiorem, pectus & caput, tremor & torpor manus detinet, inguina & poplites tremunt. Quandoque verò in inguinibus liuidæ euadunt, & pauco tempore etiam alleuat hic color. Præcipuæ verò mammæ cognatione quadam attolluntur. Veruntamen non admodum dolet, febris & rigor inuadit, vultus rubet, ſitis vehemens vrget, & hepar reſiccatur. Hæc ſi in prægnantem incidant, perit, neq; liberari poterit. Si eryſipelas in vteris oriatur, tumores maximè liuidi à pedibus exoriuntur, & ad crura tota & lumbos perueniunt. Quò autem longiùs tempus proceſſerit, etiam thorax affectionem ſentit & intumeſcit, tota perfrigeratur, febris magna detinet, rigor denſaq; ſpiratio inuadit, animi deliquium, imbecillitas, totius corporis dolor, animum deſpondet, & mens vacillat. Affectio ex inferiore ventre ſurſum fertur ad lumbos, dorſum, præcordia, pectus, ceruicem, caput, ſtomachum, & mori videtur. Cùm verò dolor ſolutus fuerit, torpor lumbos, inguina & crura occupat, liuores in poplitibus contingunt, & paruo tempore meliùs habere videtur, deinde rurſus affligitur, corpus puſtulis impletur, faciē apparentes & manifeſti rubores inuadunt, fauces reſiccantur, & lingua exaſperatur. Hic morbus ſi prægnantes detineat, interficit. Aliôqui medelā adhibere, & lac aſininū propinare purgareq; oportet. Si verò neq; ſic ſoluatur, vētrem mollibus refrigerantibus medicamētis refrigerato, & ſubdititiis minimè grauib. & leuibus paulatim purgato, & vomitum cieto. Confert autem ſambuci folia cocta cum origano, aut thymo, aut ruta ſumere, ſi verò febris dimiſerit, etiam vinum & cibos dulces exhibere, paucæ tamen curantur. Aqua intercus ſi in vteris oriatur, menſes cum anxietate, aquoſi, neq; admodum cruenti prodeunt, vterus etiam intumeſcit, & venæ, & maximè vicinæ partes, prægnans euadit, deinde ſuffocatur, mammę defluunt, imus venter durus eſt, cumq; eo totus circumambiens locus intumeſcit, doletq; ſi quis eum attigerit, febris & dētium ſtridor detinet, dolorque vehemens lateris inanitates & lūbos occupat, in ſomnis ſemen effundit, & peiùs habet. Hāc calida lauare & tepefactoria apponere oportet, medicamentum autem potui exhibere, & lenibus fouere. Cyclamini obolos tres in linteo deligatos in ſubdititio apponat, & cupreſſi aqua macerati ſuccum, & cantharidas tritas modico tempore ſupponat, id per multum tempus efficax eſt. Subdititium medicamentum. Cumini chemæ menſura, & vua paſſa alba. Aliud. Vrticæ ſemen, ari radix, horum quod lubet leniter ſubdito. Vbi expurgaris, colluatur, eoque detracto pudenda colluito, ſimulque viro condormiat. Quòd ſi fœtum maturum perferat, tota expurgatur & ſana redditur. Eſt & alia ſimilis vterorum aqua intercus, in qua ſanies quædam ſubcruenta defluit & purgatur, pudendaq; ac circumambientes partes vehemēter mordet, & tanquam muria vlcerat, quamcunq; in partē diſtillant, eam vlcerat, & color eſt qualis in morbo regio. In reliquis autem magna copia velut in aliis profluuiis muliebribus expurgatur.

Morbus autem lentus eſt, & aliôqui lethalis euadit. Si vteri exeant, hanc velut quæ fluore albo detinetur curato, lac aſininum propinato, gracilem reddito, & per priùs commemorata medicamenta medelam adhibeto. Quæ delinguntur in aqua intercute. Si aqua ex vteris effluat, ſulphur & anſerinum adipem delingat. Si intra vteros fuerit, flatus exit cum ſtridore, tota intumeſcit, & febris ardorq́; detinet. Ad hæc præ dolore vehementi impetu fertur, neque viri congreſſum admittit, & coitũ valdè auerſatur, neq; ſe erigere poteſt, eiq́; velut pondus quoddã vteris incumbit, caput dolet, anxia & voce defecta eſt. Quòd ſi dolor vrgeat, vociferatur, omniaq́; dolor occupat, & lũbos, & pubem, & ſedem, lotium ſupprimitur, venter ſuffocatur, mori exoptat, præcordia contenduntur, ſtomachus mordetur, os amareſcit, acida & ſincera vomitione reiicit, frequenter eructat, & meliùs habet, aliôqui intumeſcit, & ſi contrectaris, & renititur, & dolet. Vterum igitur aqua mulſa, aceto mulſo, & oleo colluere oportet, cuminumq́; tritum aut aniſum, & lini folia trita, & gallinaceum ſtercus cũ ouis, ex aqua infundere. Subdititiis autẽ & potionibus quas deſcribam vtitor. Inſidendum autem in oleo calido, iniectis aromatis, iunci odorati flore, aut in lauri decocto, aut aqua marina. Optimum autem mollibus collutionibus ventrẽ purgare, aut glandem ex lana illota cum melle ſupponere, velut infanti venter ſoluitur. Qui ſi adultior fuerit, cepam oleo aut melle intinctum ſupponito, aut tauri fel, aut nitrum cum melle, aut mali punici acidi nucleũ, melle & hordeacea farina ammixta. Si mola ex craſſa genitura intus adhęreſcente generatur, ſatureiã ex aceto & aqua tenuiter tritam, id liquidũ potui exhibeto, aut hyoſcyami ſemen læuigatum, & muria, laſeris ſucco & aceto colluito, aut ſi opus ſit ex aqua. Optimum autem aquã mulſam & lentium, aut erui, aut violæ floris decocto immittere. Si verò qualia igne peruſta purgata fuerit, myrtũ decoquito ac perluito, myrrham & netopum in vellere ſubter apponito. Si ventus in vteris fuerit, & mordeat, & qua penetrat calorem igneum excitet, ex ardore intumeſcit, dolet, viri cõgreſſum reſpuit, & coitu admodum grauatur, intus venter diſtẽditur ac intumeſcit, & neq; ſtare recta, neq; erigi poteſt. Cùm ita laborantem deprehẽderis, ventum & geniturã in vteris eſſe ſcito, eamq́; ob cauſam mulierem nũc ægrotare. Mel, ceram, lini folia tenuiter trita, & adipem gallinaceũ, hæc ex vino odorato tepefacta, in vteros per infuſum iniicito. Lini folia bibat, aut ſemen tritum lana inuolutum ad os vteri apponat. Quòd ſi nõ ſatis efficax fuerit, irinum cũ croco illinito, lini folia, adipem gallinaceum, tenuiter trita, lacte muliebri diluta, deraſa ex tenuibus linteis lanugine excepta & illigata ad os vterorũ apponito. Quòd ſi carnoſior pinguedo exoriatur, quod tabefaciat imponito, & modicè extenuato. Quæ enim admodũ extenuantur, raræ ſunt & abortionem faciunt. At ſi vterus ſemen non recipit, ſed emittit, neque calorem in ſe habet, inſtrumentum aliquod fabricandum, cui cùm inſederit, vapor in vterum ingrediatur, circum quod in ambitu veſtes imponendæ. Suffitus autem ex caſia parandus, cinnamomo, myrrha, æquali horum

ἡ δὲ νοῦσος βληχροτέρη τε καὶ ἄλλως θανατώδης ἐστί. [243] ἢν ἐξέλθωσιν αἱ μῆτραι, ταύτην θεραπεύειν, ὡς τὴν ὑπὸ λευκοῦ ῥόου ἐχομένην. καὶ γάλα ὄνειον πιπίσκειν. καὶ ἰσχναίνειν. καὶ ἰᾶσθαι φαρμάκοισι, τοῖσι προειρημένοισι. [244] ὑδέρου ἐκλικτά. ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον χηνὸς ἄλειφα λείχειν. ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, φῦσα ἔξεισι καὶ ψοφεῖ. [245] καὶ οἰδέει πᾶσα. καὶ πῦρ ἔχει καὶ καῦμα. πρὸς τοῖσδε, ἀΐσσει σφόδρα ὑπὸ τῆς ὀδύνης. καὶ τὸν ἄνδρα οὐ προσίεται. [246] καὶ σφόδρα ἄχθεται τῇ ξυνουσίῃ. καὶ ὀρθοῦσθαι ἀδυνατεῖ. καὶ ὡς βάρεα μὴν κέαται ἐν τῇσι μήτρῃσι. καὶ κεφαλὴν ἀλγέει. καὶ ἀλύει. καὶ ἄναυδός ἐστιν. ἢν δὲ ἡ ὀδύνη προσῇ, βοᾷ τε καὶ ἀλγέει πάντα, καὶ ἰξύας, [247] καὶ ἐπίσειον, καὶ τὴν ἕδρην. καὶ τὸ οὖρον εἴργεται. καὶ ἡ κοιλίη πνίγεται. καὶ θανεῖν ἐρᾶται. καὶ ὑποχόνδριον τιταίνεται. [248] καὶ στόμαχος δάκνεται. καὶ τὸ στόμα πικρόν. [249] καὶ ἐμέει ὀξέα καὶ ἄκρητα. καὶ ἐρεύγεται θαμινά. καὶ ῥαΐζει. ἢν δὲ μὴ ἀνοιδίσκεται, καὶ ἢν ἐπαφήσῃ, καὶ ἀντιτυπέει, καὶ ἀλγέει. κλύζειν οὖν χρὴ τὰς μήτρας μελικρήτῳ, καὶ ὀξυμέλιτι, καὶ ἐλαίῳ. κύμινόν τε τρίψαντα, ἢ ἄννησον. καὶ λίνου πέταλα τρίβειν. [250] καὶ ὄρνιθος ἀπόπατον σὺν ᾠοῖς καὶ ἐν ὕδατι ἐνιέναι. προσθέτοισι δὲ οἷς ἂν ἐγὼ γράψω. καὶ ποτήμασι χρέεσθαι. [251] καθίζεσθαι δὲ ἐν ἐλαίῳ θερμῷ, καὶ ἀρώματα ἐμβάλλειν. σχοίνου ἄνθος ἢ ἐν ὕδατι δάφνης ἢ θαλάσσης. ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην. ἢ βάλανον προστιθέναι, [252] ὡς νηπίῳ κοιλίη λύεται. εἴρεον ἄπλυτον σὺν μέλιτι. [253] ἢν δὲ γεραίτερον ᾖ, κρόμμυον ἐς ἔλαιον, ἢ ἐς μέλι καὶ προστιθέναι. ἢ ταύρου χολήν, ἢ νίτρον σὺν μέλιτι, [254] ἢ ῥοιῆς ὀξείης χοίνικα σὺν μέλιτι καὶ ἀλήτῳ κριθίνῳ. [255] εἰ δὲ μύλη ἐμφύεται ὑπὸ πάχεος γονῆς ἐνεχομένης, θύμβραν λείην ἐν ὄξει καὶ ὕδατι, τοῦτο δίδου πίνειν ἔνυγρον. ἢ ὑοσκυάμου τὸν καρπὸν λεῖον, καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει. ἢν δὲ δέῃ σὺν ὕδατι κράτιστον μελίκρητον ἐνιέναι σὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθεος. ἢν δὲ καθαρθῇ, οἷα τὰ πυριφλεγέθεα, μυρσίνην ἕψειν, καὶ διανίζεσθαι, σμύρναν καὶ νέτωπον σὺν εἰρίῳ προστίθεσθαι. ἢν ἄνεμος ἐνῇ ἐν τῇσι μήτρῃσι, καὶ δάκνῃ. καὶ τῇδε διεξιών, πῦρ ποιέει. καὶ οἰδέει καύματι. καὶ ὀδυνᾷ. καὶ τὸν ἄνδρα ἀπαναίνεται. καὶ ἄχθεται σφόδρα τῇ συνουσίῃ. καὶ τείνεται. καὶ οἰδέει τὸ ἦτρον. καὶ οὐ δύναται ὀρθοῦσθαι, ἢ ἰθύνεσθαι. ὅταν οὕτως εὕρῃς, γνῶθι ὅτι ἄνεμος καὶ γονή ἐστιν ἐν τῇσι μήτρῃσι. [256] καὶ ἡ γονὴ διὰ τοῦτο νῦν κάμνει. λαβὼν μέλι. κηρόν. καὶ λίνου πέταλα τρίψας λεῖα, ὄρνιθος στέαρ οἴνῳ εὐώδει χλιήνας, ἐγχέειν ἐς τὰς μήτρας κλυστῆρι. [257] πινέτω δὲ λίνου πέταλα, ἢ τὸν καρπὸν τρίψαι, καὶ ἐς εἴρεον ἐνελίξαι πρὸς τὸ στόμα τῆς μήτρης. [258] εἰ δὲ μὴ ἐνεργεῖ, χρῆσθαι ἴρινον καὶ κρόκον, καὶ λίνου πέταλα, ὄρνιθος στέαρ τρίψας λεῖα, διεὶς γάλακτι γυναικείῳ ἀποσπογγίσας ἄχνην ἀπὸ ὀθονίων λεπτῶν ἐνδῆσαι. προστιθέσθω δὲ πρὸς τὸ στόμα τῆς ὑστέρης. [259] κἢν ἀποφύηται πιμελὴ σαρκωδεστέρη, τηκεδόνα ἐντιθέναι. καὶ λεπτύνειν μέσως. αἱ γὰρ λίην λεπτυνόμεναι, ἀραιαί εἰσι καὶ ἐκτιτρώσκουσιν. εἰ δὲ οὐ δέχεται ἡ ὑστέρη, ἀλλὰ ἀφίησι, καὶ θερμὸν οὐκ ἔχει ἐν ἑωυτῇ, ὄργανον χρὴ μηχανοποιέεσθαι, ἐφ' ὃ ἐζομένης εἰσέλθῃ ἀτμὸς εἰς τὰς μήτρας. ἀμφὶ δὲ τοῦτο, εἵματα κυκλόσε τιθέναι. ὑποθυμιῆν δὲ κασσίῃ. κιννάμωμον. σμύρναν. ἴσον

ἑκάστου

ἑκάστου ἐν οἴνῳ τε φυρῆν στραίῳ τούτων καὶ ἐπιβάλλειν. ὀλίγον τε λούεσθαι. ὀλίγα σιτέεσθαι. ἀρήγει δὲ καὶ πρόσθετον τοιόνδε. σμύρναν ἁπαλὴν ξὺν μέλιτι. ἔστω δὲ προμήκης ὡς βάλανος. καὶ ταῦτα ποιέειν πλειστάκις πρὸς τὴν δύναμιν ὁρέων. καὶ οἱ ἐν σίτῳ πελεκῖνοι τριπτοὶ ξὺν σμύρνῃ ὠφελέουσιν. ἑψεῖν δὲ μέλι σὺν τῇσι δᾳσὶν ἀνακυκλεῖν. καὶ ὅσον αἰγύπτιον κύαμον προστιθέναι. καὶ ταύρου χολὴν. καὶ ῥοὰς ἐρυθρῆς ἴσον κνίζη ποίη. ὅμοιον δ' ἐστὶ σελίνῳ οὔλῳ. φύεται δὲ ἄγχιστα θαλάσσης ἐν χωρίοισι ψαμμώδεσιν. ὀσμὴ δὲ τούτου, δύσοσμος. τοῦτο σὺν μέλιτι καὶ οἴνῳ πρόσθες, [260] ἢ βόλβιον. ἐν πυροῖς δὲ θεωρέεται, αἰγυπτίοισι δὲ μάλιστα, δριμὺ, ὅμοιον κυμίνῳ αἰθιοπικῷ. τοῦτο σκόροδον νίτρον ἐν τῷ αὐτῷ προστιθέναι. προλουέσθω δέ. ὁκόταν γυνὴ τὴν κεφαλὴν ἀλγέῃ, τὸ βρέγμα τε καὶ τὸν τράχηλον, καὶ ἰλιγγιᾷ περὶ τὰ ὄμματα, καὶ φοβέηται καὶ στυγνὴ ᾖ, καὶ οὐρέῃ μέλαινα, καὶ διὰ ὑστέρης ὅμοια. καὶ ἄση ἔχῃ, καὶ δυσθυμίη. μέλαινα χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. θεραπευέσθω δὲ σικύου ἐντεριώνην παλαιὴν ἐπαυσίην. ταύρου χολὴν, ἄνθος χαλκοῦ τρίβειν ξὺν βάκχαρι καὶ προσθετὰ ποιέειν. καὶ φάρμακον πιπίσκειν καὶ λούειν. ὁκόταν δὲ δάκνηται τὰς μήτρας γυνὴ καὶ ἀλγέῃ, καὶ ἀδάξηται. καὶ χολὴν οὐρέῃ ξανθὴν. καὶ ἡ μήτρη χάσκῃ, οἷα καὶ οἱ ὀφθαλμοὶ ἰκτερώδεες, ἴσθι ὅτι χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. ἄριστον γοῦν ἐκκαθαίρειν, τό, τε πᾶν σῶμα, καὶ αὐτὰς προσθέτοισιν, ἃ χολὴν ἄγει. [261] ὁκόταν δὲ ψύχεται ὑστέρη. καὶ βάρος δοκέῃ ἔχεσθαι. καὶ τὸ χρῶμα οὐ λαμπρὸν, καὶ πέπηγεν ἡ ὑστέρη, ὅταν οὕτως ἔχῃ, καθαίρειν ὅ,τι φλέγμα ἄγει. καὶ λεπτύνειν χρή, καὶ πυκινὰ ἐμέειν. ὁκόταν γυναικὶ ὄζῃ κακὸν ἐκ τοῦ στόματος, καὶ τὰ οὖλα μέλανα ᾖ, καὶ πονηρά, κεφαλὴν λαγωοῦ καὶ μύας τρεῖς, κατακαῦσαι χωρίς. καὶ τῶν δύο μυῶν ἐξελεῖν τὴν κοιλίην. ἧπαρ δὲ καὶ νεφρούς, μή. καὶ ἐν θυίῃ λιθίνῃ τρίβειν μάρμαρον, ἢ λίθον λευκὴν, καὶ διασῆσαι. εἶτα μίσγειν ἴσον ἑκάστου, καὶ τοὺς ὀδόντας τρίβειν. χρὴ δὲ καὶ τὰ ἐν τῷ στόματι χωρία κάπειτα εἰρίῳ πινώδεϊ τρίβειν, καὶ διακλύζεσθαι ὕδατι. βάπτουσα δὲ τὸ πινῶδες εἴριον ἐν μέλιτι, ἀνατριβέτω τοὺς ὀδόντας καὶ τὰ οὖλα, καὶ τὰ ἔνδον καὶ τὰ ἔξω. τρίβειν τε ἄνισον. καὶ ἀνήθου καρπόν. καὶ σμύρνης ὁλκῆς ὀβολοὺς δύο, διιέναι οἴνῳ λευκῷ ἀκρήτῳ ἡμικοτυλίῳ, ἐν τούτῳ διακλυζέσθω. καὶ ἐν τῷ στόματι πουλὺν κατεχέτω χρόνον. θαμινὰ δὲ τοῦτο δρᾷν, καὶ ἀναγαργαλίζεσθαι νῆστιν, καὶ μετὰ τὴν τροφήν. ἄριστον δὲ ὀλιγοσιτίη. κράτιστα χρὴ προσφέρεσθαι. τοῦτο δὲ φάρμακον, ὀδόντας καθαίρει, καὶ εὐώδεας ποιέει. καλέεται δὲ ἰνδικὸν φάρμακον. [262] ὁκόταν γυναικὶ ὁ μαζὸς τρηχὺς γίνηται, [263] στύβης καρπὸν, ἢ βάτου ἑψεῖν σὺν ὕδατι καὶ ἐλαίῳ. καὶ τοὺς μαζοὺς καταπλάσσειν. [264] καὶ τεύτλου φύλλα ἐπιρριπτέειν. ἔπειτα ῥάψαι ἐς ῥάκος, [265] ὡς κυρβασίην, τεκμηράμενος ὅσον τὸν μαζὸν ἐγχωρήσῃ, καὶ οὕτως ἐντιθέναι τὸν τιτθόν. ἢν δὲ διαπυῇ, ταμνεῖν. καὶ εἰρίῳ ῥερυπωμένῳ μοτῶσαι. καὶ ἐπιδέειν τὸ αὐτό. μετέπειτα φακοῦ ἑφθοῦ ξὺν ἀλφίτῳ μίξαι, καὶ καταπλάσσειν. ἐπὴν γυναικὸς ἐν τῷ αἰδοίῳ, ἢ ἐν τῷ ἀρχῷ ἀσκαρίδες γίνωνται, λύγου καρπὸς μίσγεται ἢ φύλλα. καὶ βοὸς χολὴ προσμίσγεται ὅσον ὀβολός. κεδρίνῳ δὲ ἐλαίῳ φυρῆν.

cuiusque portione iniecta & sapa subacta, parum etiam lauandum, parumq; cibi sumendum. Conducit etiam subdititium eiusmodi. Myrrham tenellam cum melle in glandulam oblongam ducito, idq; sæpiùs virium ratione habita facito. Iuuant etiam pelecini in tritico nascentes, cum myrrha triti. Mel coctum cum tædis agitatum ad fabæ Ægyptiæ quantitatem subter apponito, & fel tauri, & rhoës rubri parē portionem. Conyza herba apio crispo similis est, ad mare in locis arenosis nascens, cuius odor intolerabilis, hanc cum melle & vino in subdititio apponito. Aut bolbium, quod in triticis præcipuè Ægyptiis cernitur, acre, cumino Æthiopico simile, hoc & allium & nitrum simul permixta, supponito, priùs tamē lauet. Vbi mulierem capitis, sincipitis & ceruicis dolor infestat, & vertigo circum oculos obuersatur, terretur, si mœsta fuerit & vrinæ nigræ, similiaque ex vtero ferantur, anxietas & animi mœror detineat, bilis atra in vteris inest. Curato autem, cucumeris agrestis partem interiorem vetustam & anniculam, fel taurinum, æris florem cum baccharo terito, subdititia conficito, medicamentum propinato & lauato. At vbi mulieri vteri cum dolore morsum sentiunt, & cum pruritu pungitur, bilem flauam cum vrina reddit, vterus dehiscit, & oculi quales morbo regio affectis sunt, bilem in vteris inesse scito. Totum igitur corpus, tum etiam ipsos vteros subdititiis medicamentis quæ bilem educant expurgare optimum. Vbi perfrigeratur vterus, & pondus incumbere videtur, color minimè splendescit, condensatus est vterus, cùm sic habuerit, eo quod pituitam ducit purgare & extenuare oportet, crebroq; vomere. Cùm mulieri os malè oluerit, gingiuæque nigræ & prauæ fuerint, leporis caput & mures tres seorsim vrito, duorum murium ventrem eximito, iecur & renes minimè, & in pila lapidea marmor aut lapidem album terito & cribrato, deinde cuiusque parem portionem misceto, & dentes confricato. Oris autem partes etiam confricare oportet, deinde quoque lana maximè succida & aqua colluere. Lana verò succida melle imbuta, dentes & gingiuas, partesque internas & externas confricet. Anisum autem tritum & anethi semen, & myrrham duorum obolorum pondere, vini albi meri dimidia hemina diluito, hoc colluat, & diutiùs ore contineat, hoc autem crebrò faciendum, ieiunæq; & à cibo os colluendum. Optimum est pauco cibo vti, & valentissimos cibos sumere oportet. Hoc medicamentum dentes purgat, eosque bene olentes reddit. Vocatur autem Indicum medicamentum. Cùm mulieri mamma aspera redditur, stybis semen aut rubi ex aqua & oleo coctum, mammis in cataplasmate obducito, & betæ folia iniicito, deinde ex linteo in pilei acuti aut tiaræ formam cōficito, tanta magnitudine vt mammam capiat, sic mammam immittito. Si verò suppuret, incidito, & curationem per linamenta ex lana succida adhibeto, eandemq; superponito. Postea lenticulam coctam cū polenta mixtam ex cataplasmate admoueto. Vbi in mulieris pudendo aut recto intestino tenues ac minuti lubrici ascarides dicti suboriūtur, viticis semen aut folia cum fellis bubuli obolo permisceatur. Cedrino verò oleo subacta,

& lana ſuccida bene carminata excepta, tertio quoq; die per noctem & diem imponat. Poſtero verò die vbi detraxerit, calida lauet, & alliis coctis & crudis veſcatur, & aſcarides exeunt ac moriũtur. Muria autem colluere oportet. Hæc faciem decoram reddunt. Hepar tauri cum oleo terito, cũ vino autem mero illinito. Fel autem recens corrumpit. Quinetiam ptiſanæ cremor ſimiliter faciem emundat, & ouorũ candidum, & lupinorum & orobi farina, cum ficubus in cataplaſmate impoſita. Braſſicæ etiam radix & ſemẽ. Hæc etiam lentigines tollunt, itemq; alcyonium. Quòd ſi ex puluere facies doluerit, cerato liquido ex roſaceo, aqua frigida affuſa inungito. Hoc faciẽ erugat. Plumbaginem in pila lapidea terito, & affuſa aqua mẽſtrua paſtillos conficito, & vbi ſiccati fuerint, & oleo diſſoluti, faciem rugas ferentem inungito. At ſi capilli defluant, ladanum cum roſaceo, aut anthino vnguento terito, & cum vino illinat, aut cretam cimeliam cum vino, aut roſaceo, aut omphacino, aut acacia. Quòd ſi cum cutis glabritie decidant, cuminum, aut ſtercus columbinum, aut raphanum tritũ inducito, aut cum cepa confricet, aut beta, aut vrtica. Faciei maculas ephelidas dictas erui decoctum tollit, betę ius, ouorum candidum, ptiſana, aut cucumeris agreſtis radix ſicca, cũ vini fæce trita & illita, aut mori folia admota. Aut ſeſamo trito, aut amygdalis amaris defricari. Aut vrticæ ſemen, aut allij cortex illigatus, & lepidium. Quod impetigines omnes aufert. Acetum, thuris pollen, pumex, ſulphur cum aceto, cardamum agreſte vſtum & in cinerem redactum, viperæ exuuium rumicis agreſtis radix, hæc cum aceto vinoſo terito. Quòd ſi puſtulæ adſint, etiam lithargyro vtitor. Potio ad fluorẽ muliebrem rubrum faciens. Cornu cerui vſtum, duplo farinæ hordeaceæ crudæ cõmiſceto, eamq; ad vinum pramnium aſperſam bibat, & ſiſtitur. Alia ſimilis potio. Adianti radicem tritam, & cicer toſtũ, ac lentium lomentum bibendum, & potui exhibendum. Aut farinæ ſetaneę acetabulum, gummi albi dimidiam partem, thuris pollinis tertiam, iunci odorati modicum, aut pini, aut cupreſſi parum, hæc aqua diluta potui exhibeto, de die autem bibat. Aut cornu cerui vrito, & cum farina hordeacea cruda & cedri baccis quinque terito, vinum nigrum auſterum tædaceum ammiſcetur. Aut mali punici dulcis aſſati ſuccus cũ vino nigro potui exhibendus. Aut cupreſſi baccæ tres aut quatuor, myrti baccæ nigræ, aut ſimul, aut per ſeſe, conſiderato corporis muliebris robore, cum vino autẽ propinandæ. Aut caſtorij obolus cum vino auſtero tritus propinandus. Potio ad fluorem muliebrem & quemuis vteri morbum. Pæoniæ ſemen, rhois radices, cuminum Æthiopicum, & melãthium ex vino albo exhibeto, aut ferulam deraſam acetabuli quantitate, & porri ſuccum ex vino albo aqua temperato, quod etiam fluentem ex naribus ſanguinem ſedat. Aut malum punicũ in vino nigro decoquito, & detracto cortice, quod intus eſt tritum cum polentæ polline ex vino nigro potui exhibeto. Aut linum aut eryſimum toſtum, oleæ viridis folia, nigram radicem, peplum plenum, hæc ſimul trita ex vino aqua temperato bibenda dato. Aut coagulum aſininum, mali punici dulcis radicem, gallã, æquis portionibus omnia, & mali pu-

[266] καὶ εἰρίῳ πινόεντι εὐειρωτάτῳ ἀναλαβεῖν. ἐπιτιθέσθω δὲ διὰ τρίτης, νύκτα καὶ ἡμέραν. τῇ δὲ ὑστεραίῃ ἀφελομένη, λουέσθω θερμῷ. καὶ σκόροδα ἑφθὰ, καὶ ὠμὰ ἐσθιέτω. καὶ αἱ ἀσκαρίδες ἐξίασι, καὶ θνήσκουσιν. ἅλμῃ δὲ κλύζειν χρή. [267] πρόσωπον ἀγλαΐζει. ἧπαρ ταύρου τρίβειν ξὺν ἐλαίῳ, ἀλείφειν δὲ σὺν ἀκρήτῳ οἴνῳ. [268] χολὴ δὲ χλωροῦ φθείρει. ἀλλὰ καὶ ὁ χυλὸς τῆς πτισάνης, ὁμοίως λαμπρύνει. καὶ ὠῶν τὸ λευκόν. καὶ ἀλητὸν θέρμων, καὶ ὀρόβων καὶ σύκων καταπλασσόμενα. καὶ κράμβης ῥίζα καὶ σπέρμα. ταῦτα καὶ φακοὺς αἱρεῖ. καὶ ἀλκυόνιον. [269] καὶ κονιορτὸς ἢν λυπῇ τὸ πρόσωπον, κηρωτῇ ὑγρῇ, διὰ ῥοδίνου ποιέειν. καὶ ὕδωρ ψυχρὸν προσχέειν καὶ ῥυτίδας ἐκτείνει. ἐν θυίῃ λιθίνῃ μολύβδαιναν τρίβειν [270] μηνιαῖον ὕδωρ παραχέοντα πλάσαι κυκλίσκους. κἄπειτα ἢν ξηρανθῶσιν, ἐλαίῳ διεὶς, χρίε τὸ τὰς ῥυτίδας φέρον πρόσωπον. ἢν δὲ ῥέωσιν αἱ τρίχες. λαύδανον μετὰ ῥοδίνου [271] ἢ ἀνθίνου μύρου τρίβε. καὶ μετ' οἴνου ἐγχριέτω. [272] ἢ τὴν σμηκτρίδα γῆν ξὺν οἴνῳ, ἢ ῥοδίνῳ, ἢ ὀμφακίνῳ, ἢ ἀκακίῃ. καὶ ἢν μαδίσῃ, κύμινον ἔμπλασσε, ἢ πελειάδων κόπρον, ἢ ῥάφανον τετριμμένην, [273] ἢ κρομμύῳ τρίβειν, ἢ τεύτλῳ, ἢ κνίδῃ. τὰς δὲ ἐφηλίδας λεγομένας αἱρεῖ, ὀρόβιον τεύτλου τε χυλός. ὠῶν τὸ λευκόν. πτισάνη. ἢ σικύου ἀγρίου ῥίζη ξηρὴ, μετ' οἴνου τρυγὸς τριφθεῖσα, ἐπαλειφομένη. ἢ συκῆς φύλλα προστιθέμενα. σησάμῳ τετριμμένῳ σμήχεσθαι, ἢ ἀμυγδάλαις πικραῖς. κνίδης τε σπέρμα, σκορόδων κέλυφος, ἐπιδεόμενον λεπίδιον. λειχῆνας ἐξάγει πάντας. ὄξος. μάννα. κίσσηρις. θεῖον μετ' ὄξους. κάρδαμον ἄγριον καὲν καὶ σποδωθέν. ἐχίδνης λεβηρίδος. καὶ λαπάθου ἀγρίου ῥίζα. τρίβειν δὲ μετ' ὄξους οἰνώδεος. ἢν δὲ φλυκταινοῦται. καὶ λιθαργύρῳ χρέο. ῥόου ἐρυθροῦ ποτὸν ἀγαθόν. ἐλάφου κέρας κατακαύσας ὠμηλύσει κριθῶν ξυμμίξαι διπλασίην, ἐπὶ οἶνον πράμνιον ἐπιπάσσουσα πινέτω, καὶ ἵσταται. ἕτερον ὁμοίως ποτόν. ἀδιάντου ῥίζαν τρίψας, καὶ ἐρεβίνθους φώξας, [274] καὶ λέκιθον, πίνειν ἐν μέλιτι, ὡς ποτὸν διδόναι. ἢ ἀλήτου σητανίου ὀξύβαφον. κόμμεως λευκοῦ ἥμισυ, μάννης τρίτον μέρος, καὶ σχοίνου ὀλίγον. ἢ πίτυος, ἢ κυπαρίσσου διεὶς ὕδατι, δίδου πίνειν. πίνειν δὲ τῆς ἡμέρης. ἢ ἐλάφου κέρας καλακαίειν, τρίβειν τε καὶ ὠμηλύσει σὺν κεδρίσι πέντε. οἶνος σὺν τῇσι δᾳσὶν αὐστηρὸς μέλας μίσγεται. ἢ ῥοιὴν γλυκείην, ὀπτήσας τὸν χυλὸν, ξὺν οἴνῳ μέλανι πίνειν. ἢ κυπαρίσσου καρπὸν ὅσον τρία, ἢ τέσσαρα. καὶ μύρτα μέλανα, καὶ ὁμοῦ καὶ αὐτὰ καθ' ἑαυτὰ, πρὸς ἰσχὺν τοῦ σώματος ὁρέων τῆς γυναικός. ξὺν οἴνῳ δὲ ἡ πόσις γινέσθω. ἢ καστορίου ὀβολὸν, ἐν οἴνῳ τρίβειν αὐστηρῷ μέλανι, καὶ πιπίσκειν. ῥόου καὶ πάσης νόσου ποτὸν ὅσαι ἀπὸ τῶν ὑστερέων γίνονται). γλυκυσίδης καρπόν. [275] καὶ τοῦ ῥοῦ τὰς ῥίζας. κύμινον αἰθιοπικόν. καὶ μελάνθιον ἐν οἴνῳ λευκῷ διδόναι. ἢ νάρθηκα ξύσας, ὅσον ὀξύβαφον. [276] καὶ πράσου χυλὸν, ἐν οἴνῳ λευκῷ κεκρημένῳ, τοῦτο καὶ ἐκ ῥινῶν αἷμα ῥέον παύει. ἢ σίδιον ἑψῆσαι ἐν οἴνῳ μέλανι. καὶ περιλέψαι καὶ τὰ ἔνδον τρίβειν ἐν οἴνῳ μέλανι ξὺν πάλῃ ἀλφίτου πίσαι. ἢ λίνου, ἢ ἐρυσίμου φῶξαι. καὶ ἐλαίης φύλλα χλωρῆς. [277] καὶ μέλαιναν ῥίζαν μήκωνα ἀφραί. ταῦτα τρίψας, ἐν τῷ αὐτῷ οἴνῳ κεκρημένῳ δίδου πίνειν. [278] ἢ τὸ μισσὸν ὄνου, καὶ σίδης γλυκείης ῥίζαν, καὶ κηκίδα ἐξ ἴσου πάντα, καὶ ῥοιῆς

γλυκείης χυλὸν ξὺν οἴνῳ πίνειν. ἢ λαπάθου καρπὸν, ξὺν τῇ κηκίδος ἔξω περιεξυσμένῃ, ταῦτα τρίβειν ἅμα, καὶ μετέπειτα κυκεῶνα. [279] ἢν αἷμα ῥέῃ λαῦρον ἐξ ὑστερέων, ἄγνου φύλλα ξὺν οἴνῳ μέλανι. τὰ στρυφνὰ, ῥόον ἵστησιν, οἴνῳ μέλανι μιγνύμενα. [280] ῥόου καὶ ὀδύνης. κάχρυος ῥίζαν ἐν οἴνῳ μέλανι πίνειν. ἢν δὲ πλεῖον ᾖ, τερμίνθου καρπὸς τριβόμενος. χρὴ δὲ οἴνῳ καὶ ὕδατι διϊέναι, καὶ πίνειν. ἢν ῥόος γίνηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, πίνειν διδόναι τοῦ τοιούτου οἴνου, μετὰ ὕδατος. ἢν δέ τι φέρηται ὁ ῥόος, [281] πρόμαλον φώξας καὶ τρίψας ἐν οἴνῳ, δίδου. ἢ πράσων χυλόν. [282] ἢν δὲ πουλὺς κατέρχηται ὁ ῥόος, ἡμιόνου ὄνιδα κατακαίειν, καὶ λειῶσαι, καὶ ξὺν οἴνῳ διδόναι. ἢν δὲ πολυχρόνιος ὁ ῥόος γίνηται, σπόγγος κατακαεὶς ἀρήγει, τρίβειν δὲ λεῖον τὸν σπόγγον, καὶ σὺν οἴνῳ διδόναι εὐώδει. [283] καταπλάσματα ῥόων. σκόροδα, καὶ ἀνδράχνην, καὶ σέλινον, καὶ λωτοῦ πρίσματα, καὶ κέδρου λεῖα ὁμοῦ μίξαι. διεὶς δὲ ἐν μελικρήτῳ, κατάπλασμα ποιέειν. ἢ βάτου φύλλα καὶ ῥάμνου καὶ ἐλαίης, ὁμοῦ λεῖα μίξαι, καὶ διέναι ἐν μελικρήτῳ. καὶ σὺν ἀλφίτοισι καταπλάσσειν. ἢ ἀκτῆς καὶ μυρσίνης φύλλα καταπλασσε. ἢ λωτοῦ πρίσματα, καὶ συκαμίνου φύλλα, καὶ ῥόδου σὺν ἀσταφίδι. πυριήσιες ῥόων. αἰρῶν ἄλευρα πεφωσμένα, ἕψε ἐν ὀξυκρήτῳ ἀκρητεστέρῳ, [284] καὶ ἐς ὀθόνιον ἐγχρίων πυρία. ἢ φακοὺς φώξας καὶ περιπτίσας ποιέειν ἄλευρα χονδρότερα. καὶ ἐν ὕδατι ἕψειν. καὶ ὁμοίως καταπλάσσειν. ἢ ὀρόβους ὡσαύτως. ἀγαθὸν δὲ καὶ ἐλελίσφακον, ἢ ἄχυρα κριθῶν, ἐν ἀφεψήματι ἐλελισφάκου, καὶ ὑπερικοῦ ἕψειν, καὶ καταπλάσσειν. λωτοῦ πρίσματα, καὶ κυπαρίσσου ἐναφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι ἐς ὀθόνιον ἐπιχρίων πυριῶν. ἢ ἐλαίης φύλλα, ἢ κισσοῦ, ἢ μυρσίνης, ἐν ἀφεψήματι. καὶ μετὰ τούτων, κριθῶν ἄχυρα ἕψειν. ἢ ἀρωμάτων ὕδατι συνέψειν, πίτυρα πύρινα. ἢ ἀσταφίδος ἀποβρέγματι πίτυρα πυρῶν ἕψειν, ἢ λευκοΐου καρπὸν, ἢ τὰς ῥίζας ἀφέψειν. [285] καὶ τῷ ὕδατι ξὺν πιτύροισι πυρίνοισιν ἐπιρριπτεῖν, ἢ τῷ ἀφεψήματι πίτυρα πυρῶν. τοῦτο ποιήσαντα θερμῷ ἐνελιξαμένην εἰρίῳ, πυριήσθω. ἢ τῷ τῆς ἑρπύλλου ἑψήματι, καὶ πίτυρα τὸν αὐτὸν τρόπον. πυριῆν δὲ καὶ σπόγγοισι θερμοῖσι, καὶ εἰρίοισι μαλθακοῖσιν, ἢν περιωδυνέῃ. καὶ τοῖσιν ὀστρακίνοισιν ἀγγείοισιν, ὕδατος ἐγχέων. ἢ ἐν κύστεσιν ἐλαίῳ θερμῷ. κλυσμοὶ ῥόων. μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ, ἐν ὕδατι ἀφέψειν. τουτέῳ κλύζε χλιηρῷ. ἀκτῆς φύλλα, [286] καὶ σχοίνου ἀφέψειν ἐν ὕδατι ἀποχέας ἀκροχλιηρῷ κλύζειν. ἢ οἰνάνθην καὶ κύπειρον καὶ ἀσταφίδα ἀφέψειν ἐν μελικρήτῳ, καὶ κλύζειν. ἢ τήλεος ὕδατι, ἢ βάτου ἀφέψημα, ἢ ἐλαίης χλωρῆς, ἢ κυπαρίσσου, ἢ ἑρπύλλου, ἢ ῥοιῆς, ἢ λευκοΐου ῥίζης, ἢ σχίνου ἀκροχλιηρόν. ἢ τὸ διὰ βουτύρου καὶ ῥητίνης, καὶ χηνείου ἐλαίου. ἢ τὸ διὰ μυελοῦ καὶ στέατος ὑείου. [287] ὑποθυμιήσιες ῥόων. κριθὰς πεφωσμένας ἐς ἀνθρακιὰς, ὑποθυμιῆν, ἢ ἐλάφου κέρας σὺν ἐλαίῃσιν ὀμφακίτισιν, ἢ ῥόον τὴν ἐρυθρὴν. καὶ ἄλφιτα πεφωσμένα ξὺν ἐλαίῳ, καὶ οἴνῳ διπλασίῳ. ἢ ἄχυρα κριθῶν. καὶ βόλβιτον ὁμοίως, ἢ λωτοῦ πρίσματα, ἢ ῥόον, ἢ κυπάρισσον, σὺν οἴνῳ μέλανι αὐστηρῷ,

nici dulcis succum ex vino bibẽdum dato, aut lapathi semen cum gallæ parte exteriore circumrasa. Hæc simul terito, deinde cyceonem confectum porrigito. Si sanguis copiosus ex vteris effluat, viticis folia ex vino nigro exhibeto. Acerba vino nigro commixta, profluuium sistunt. Ad fluorem muliebrem & dolorem. Cachryos radicem ex vino nigro bibendam dato. Quòd si copiosior fuerit, terebinthi fructum tritum ex vino & aqua dilutũ bibere oportet. Si fluor muliebris contingat, cancris fluuialibus ex vino suffocatis, vinũ cum aqua potui exhibeto. Quòd si adhuc fluxus feratur, promalum torrefactum & tritũ ex vino, aut porri succũ exhibeto. Si verò multus fluor decurrat, muli stercus vstum & læuigatum ex vino exhibeto. At si diu fluor detinuerit, spongia vsta confert, quam tenuiter tritam ex vino odorato exhibeto. Quæ ad fluores ex cataplasmate adhibentur. Allia, portulacam, apium, loti & cedri ramenta, læuigata simul admisceto, ex his aqua mulsa dissolutis cataplasma efficito. Aut rubi, rhamni & oleæ folia tenuiter trita simul misceto, aqua mulsa diluito, & cum polenta ex cataplasmate admoueto. Aut sambuci & myrti folia ex cataplasmate adhibeto. Aut loti ramenta, mori & rosæ folia cum vua passa. Fotus ad fluores muliebres. Loliaceam farinam tostam, posca meraciore decoctam, & linteo illitum in fotu adhibeto. Aut lentem coctam, & detracto cortice in farinam crassiorem & in grumos redigito, & in aqua decoquito, eodemq́; modo ex cataplasmate adhibeto. Aut eruum ad eundem modum admoueto. Confert etiam saluiam aut hordei paleas in saluiæ aut hyperici decocto coquere, & ex cataplasmate imponere. Loti & cupressi ramenta, ex vuę passæ infuso decocta, linteo inducta, in fomento adhibeto. Aut oleæ, aut hederæ, aut myrti folia ex decocto admoueto, & cum his hordei paleas coquito. Aut in aromatum decocto simul furfures triticeos coquito. Aut vuæ passæ infuso triticeos furfures decoquito. Aut violæ albæ semen & radices decoquito, in decoctum furfures triticeos inijcito. Aut ex decocto furfurum triticeorum calido lana conuoluta calida foueatur. Aut in serpilli decoctum furfuribus ad eũdem modum iniectis. Fotus verò si dolor vrgeat etiam ex spongiis calidis & lanis mollibus adhibendus, aut ex vasis testaceis & vesicis aqua affusa & oleo calido plenis. Collutiones ad fluores muliebres. Myrti, lauri & hederæ folia in aqua decoquito, tepida colluito. Sambuci & lentisci folia aqua decoquito, percolata summè tepida colluito. Aut œnanthen, cyperũ, vuam passam aqua mulsa decoquito, & colluito, aut fœnigræci aqua. Vel rubi decoctũ, vel oleæ viridis, vel cupressi, vel serpilli, vel mali punici, vel radicis violæ albæ, vel lentisci, summè tepidũ infundito. Vel id quod ex butyro, resina & adipe anserino paratur. Aut quod ex suilla medulla & adipe est paratum. Suffitus ad fluores muliebres. Hordeum tostum prunis impositum ad suffitum adhibeto. Aut cerui cornu cum oliuis immaturis. Aut rhoem rubrum & polentam torrefactam, cum oleo & vino ad duplam portionem. Aut paleas hordei & stercus bubulum eodem modo adhibeto. Aut loti ramenta, rhoem, cupressum, ficcum, ex vino nigro austero, in

suffitu admoueto. Aut galbanũ, aut thuris pollinem, aut resinam vino macerato, aut ceruinum cornu, aut gallam, & sistitur fluor. Alia ad suffitum materia. Scrobem effodere oportet, & vinaceorum duas circiter chœnices Atticas torrefacere, cinerem in scrobem iniicere, & vino odorato asperso irrigare, & mulier sese vestibus conuoluens, circumsedeat & suffitum adhibeat. Aut capræ œsypum dictũ (hoc est sordem ad nates adhærescẽtem) siccam, tusam & tostam, cum hordeo freso oleo subactam, in suffitu adhibeto. Aut hordeum multum, aut eius paleas in prunas iniectas, aut cupressi ramenta vnguento respersa, suffitu adhibeto. Aut cicutam, aut myrrham, aut thus affuso vnguento suffito. Aut bitumen & hordei paleas eodẽ modo. Aut cupressi radicem oleo rosaceo aspersam suffito. Aut calamo iunco odorato, cypero, apij semine, aniso, oleum rosaceum affusum suffitu adhibeto. Ad eundem autem modum resinam subiicito, cinnamomũ, myrrham, cum rubi aut rosarum foliis suaueolẽtibus, pusillo croco addito & styrace. Hæc omnia simul terito, & oboli Attici pondere in cinere sarmentitio, aut in stercore bubulo ad instar acetabuli efformato, suffitu admoueto. Sit autem ignis ex vitis sarmentis succẽsis. Mulierem autem priùs quàm odorem sentiat, superimpositam esse oportet, quandoquidem si odor excitatus fuerit, præstat nõ suffire. Subditítia medicamenta ad fluorem rubrum. Myrrha & bolbium cum melle tritum optimè supponitur. Aut rosæ aqua decoctæ, quas sanè tenuiter tritas, ex vnguẽto rosaceo lana exceptas, in subdititio apponito. Aut loti florẽ aqua decoquito, deinde ex vnguento rosaceo terito, & in vellere ad os vteri admoueto. Aut cyperum, irim, anisum æquis portionibus singula, ex vnguento rosaceo tenuiter trita, intra os vteri iniicito. Aut myrti nigræ foliis ex vino albo pini corticem admisceto, & similiter facito. Aut cupressi fructum & thus, parem cuiusque portionẽ, ex vnguento simul terito & subdito. Si fluorem exiccare opus sit. Calaminthain vino nigro decoquito, & maceratam ex linteo imponito. Aut hyoscyami folia & cicutam simul coquito, similiter porra, maluam, ceram & adipem anserinum admisceto, deinde tepida ad pudenda apponito. Aut vinum merum cum resina & mali punici cortice decocto terito, & ad eundem modum supponito. Aut cnicum ex vino tritũ in subdititio apponito. Aut loti scobem similiter. Aut lentisci folia, aut rhoem melle cocto permixtum subdito. Quòd si non cesset, susinum aut blitum herbam linguæ similem, ex vellere in subdititium pessum efformato. Ad aquę profluuium subdititium medicamentum & infusum. Si mulieri aqua ex pudendis effluat, resinam siccam, myricæ folia, lini semen ex vino terito, ex adipe gallinaceo permisceto, & in pudenda per clysterem infundito. Farinæ purissimæ conchæ testam maiorem, aut amylum in vellere ad os vteri in subdititio apponito. Aliud quod eodem modo infunditur. Vbi aqua ex pudendis effluxerit, myricæ folia, thuriferę arboris fructum & resinam, ex anserino adipe trita, in pudenda per clysterem iniicito. Si ex fluore aquoso circa pubem dolor est. Viticis semen ex melle terito, pubem cataplasmate probè obducito. Si fluor sanguineus, albus, aut qualiscunque fuerit. Sulphur & mandragoram ex vino meraco tritam lana exceptam subdito, & supina dormiat, immotaq; maneat.

ξηρίῳ ὑποθυμιῆν. ἢ χαλβάνην, ἢ μάννας, ἢ ῥητίνην, οἴνῳ δεύσας. ἢ αἰγὸς κέρας, ἢ κηκῖδα. καὶ ὁ ῥόος ἵσταται. ἕτερα θυμιητά. ὀρύξαι χρὴ βόθρον, καὶ φῶξαι ὅσον δύο χοίνικας ἀττικὰς γιγάρτων τῆς σποδιῆς, ἐπιβαλὼν ἐπὶ τὸν βόθρον. οἶνόν τε ἐπιψεκάσαι εὐώδεα. καὶ ἀμφικαθεζομένην, καλλίξασα (?) ἑαυτὴν, θυμιῆσθαι. [288] ἢ τὸ λεγόμενον οἴσυπον αἰγὸς ξηρὰ κόψαι καὶ φῶξαι σὺν κριθέων ἀλεύρῳ (?) ἐλαίῳ φυρήσασα θυμιῆν. [289] ἢ ἀθέρας πλείους κριθέων, ἢ ἄχυρα ὑποβάλλων, ἢ πρίσματα κυπαρίσσου, μύρῳ δεύων, θυμιῆν. [290] ἢ κώνειον, ἢ σμύρναν, ἢ λιβανωτὸν τὸ μύρον περιχέων, θυμιῆν. ἢ ἄσφαλτον καὶ κριθῶν ἄχυρα ὁμοίως. [291] ἢ κυπαρίσσου ῥίζας ἐν ἀλείφατι ῥοδίνῳ περιχέας, θυμιῆν. ἢ καλάμου, σχοίνου, κυπέρου, σελίνου σπέρματι, ἀνήσσου, [292] ῥόδινον ἔλαιον περιχέας. ὁμοίως δὲ καὶ ῥητίνην ὑποβάλλειν, καὶ κιννάμωμον, καὶ σμύρναν σὺν βάτων φύλλοις, ἢ ῥόδων φύλλοις, [293] ἡδυόδμοις, σὺν ὀλίγῳ κρόκῳ καὶ στύρακι. ταῦτα πάντα ἐν ταὐτῷ τρίβειν, καὶ θυμιῆν, ὀβολῷ ἀττικῷ σταθμῷ, ἐπὶ σποδιὴν κληματίνην. ἢ ἐπὶ βολβίτου πλασθὲν ὡς ἐμβάφιον. τὸ δὲ πῦρ κληματίνον ἔστω. ἐπιτιθέναι δὲ ἤδη πρότερον ὡς μὴ ὀδμὴ ᾖ. ἐπεὶ εἰ ὀδμὴ ἔσται, ἄμεινον μὴ θυμιῆν. ῥόου ἐρυθροῦ προσθετά. σμύρνα καὶ βόλβιον σὺν μέλιτι τριφθὲν, προσθετὸν ἄριστον. ἢ ῥόδα ἑψητὰ ἐν ὕδατι, ἀτὰρ δὴ καὶ τρίψας λεῖα ἐν μύρῳ ῥοδίνῳ, ἐν εἰρίῳ ἑλίξας προσθέσθω. ἢ τοῦ λωτοῦ τὸ ἄνθος ἑψῆσαι ἐν ὕδατι, κἄπειτα τρίβειν ἐν ῥοδίνῳ μύρῳ, καὶ ἐν εἰρίῳ πρὸς τὸ στόμα τῆς ὑστέρης προσάγειν. ἢ κύπερον, καὶ ἶριν, καὶ ἄνησον ἴσον ἑκάστου ἐν μύρῳ ῥοδίνῳ λεῖον [294] βάλλειν ἐς τὸ στόμα εἴσω. ἢ μυρσίνης φύλλα μελαίνης, ἐν οἴνῳ λευκῷ πίτυος φλοιὸν παραμίσγειν, καὶ ὁμοίως ποιεῖν. ἢ κυπαρίσσου καρπὸν, καὶ λιβανωτὸν ἴσον ἑκατέρου τρίβειν ὁμοῦ ἐν μύρῳ, καὶ προστιθέναι. ἢν ξηρῆναι δέῃ ῥόον. καλαμίνθην ἐν οἴνῳ μέλανι ἑψεῖν, [295] καὶ ἐς ὀθόνιον βρέξαντα, ἐπιτιθέναι. ἢ ὑοσκυάμου τῶν φύλλων, καὶ κώνειον ἅμα ἑψεῖν. [296] ὡσαύτως πράσα, καὶ μαλάχην, καὶ κηρὸν, καὶ χηνὸς ἄλειφα μίξαι. εἶτα χλιερὸν προστιθέναι πρὸς τὰ αἰδοῖα. ἢ οἶνον ἄκρητον σὺν ῥητίνῃ καὶ σιδίῳ ἑφθὸν τρίβειν, καὶ προστιθέναι ὁμοίως. ἢ κνῆκον σὺν οἴνῳ τρίβων προστιθέναι. ἢ λωτοῦ τὸ πρίσμα ὁμοίως. ἢ σχίνου φύλλα. ἢ ῥοῦν μέλιτι καθεφθῷ μίξας, πρόσθες. [297] ἢν δὲ μὴ λήγῃ, σούσινον, ἢ βλῆτον τὴν βοτάνην ὡς γλῶσσαν [illegible], ἐν εἰρίῳ ποιεῖν προσθετόν. [298] ῥόου ὕδατος, προσθετὸν καὶ ἔγχυτον. ἢν γυναικὶ ὕδωρ ῥέῃ ἐκ τῶν αἰδοίων, λαβὼν ῥητίνην ξηρὴν, καὶ μυρίκης πέταλα, καὶ λίνου καρπὸν, τρίψαι ἐν οἴνῳ, καὶ μίξαι ἐν ὄρνιθος στέατι, καὶ ἐγχέαι ἐς τὰ αἰδοῖα, κλυστῆρι. ἀλεύρου χρὴ ἀμύλου ὡς καθαρωτάτου, [299] ἢ ἄμυλον ἐν εἰρίῳ προστιθέναι πρὸς τὸ στόμα χρή. ἄλλο ἔγχυτον ὁμοίως. ὁκόταν ὕδωρ ἐκ τῶν αἰδοίων ῥέῃ, μυρίκης πέταλα, [300] καὶ λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι ἐγχέαι. ἢν ὑπὸ ῥόου ὑδατώδεος τὸ ἦτρον ἀλγέῃ. ἄγνου καρπὸν τρίψαι ἐν μέλιτι, καὶ καταπλάττειν τὸ ἦτρον καλῶς. ἢν ῥόος αἱματώδης, ἢ λευκὸς, ἢ ὁποῖος. θεῖον [301] καὶ μανδραγόρου τὸ ἄκρητον, ἀναλαβόντα, εἰρίῳ προσθεῖναι. καὶ ὑπτίην εὑδέτω. καὶ ἀκίνητος μενέτω.

ἢ σίδια

ἢ σιδίας ξηρὰ τρίβειν ἐν οἴνῳ πραμνίῳ, καὶ διδόναι πίνειν. ῥόου λευκοῦ ποτόν. κισσοῦ λευκοῦ τὸ σπέρμα, καὶ πίτυος φλοιὸν ἐν οἴνῳ αὐστηρῷ παρέχειν. ἢ ἐλάφου κέρας κατακαῦσαι μοῖραν. ὠμηλύσιος δὲ δύο μοίρας, καὶ κεδρίδας πέντε, τρίβειν ὕδατι, καὶ πίνειν. ὅταν πνίγηται ὑπὸ ὑστερῶν. κάστορα καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς καὶ ἐν ταυτῷ πινέτω ἑκάτερον. ἀσφάλτου ὅσον τριώβολον. ἢ φώκης στέαρ ὅσον δὶς τοῖν δακτύλοιν λαβεῖν. ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος ἐν οἴνῳ εὐώδει διδόναι πίνειν. ὅταν δὲ πνίγωσι καὶ ὁμοῦ βήσσῃ, σανδαράχης ὅσον ὀβολὸν, καὶ θείου ἀπύρου ἴσον, καὶ ἀμύγδαλα πικρὰ καθήραντα συμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει. ἢν δέ γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεῖα[302] ξὺν τοῖσι ἀχύροισι, καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας ὑποθυμιήσθω. ὅταν δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδία, καὶ στόμαχος, καὶ ὑποθυμιῶσι, σμύρνην, ἢ ῥητίνην, ἢ νέτωπον, ἢ καστόρεα,[303] ἢ ὀπὸν σιλφίου πίσαι. ὅταν ὑστέρα πνίξῃ.[304] πνεῦμα δὲ σέβεται. ἄχθος ἄνω καὶ βάρος ἔχει. καὶ γνώμη καταπλήξ. ἀναυδίη. περίψυξις. πνεῦμα περισπαῖον.[305] ὄμματα ἀμαλδύνεται. τὴν κεφαλὴν ξυρεῖν ὅτι τάχιστα, καὶ ταινίῃ ἀποδιωθεῖν ὑπὲρ ὀμφαλὸν δὲ, εἰ δέοι. διδόναι δὲ καστόρειον, καὶ κόνυζαν, καὶ πηγάνου ὕδωρ. κύμινον αἰθιοπικόν. ῥαφανίου σπέρμα. θεῖον. σμύρνην. πρὸς δὲ τὰς ῥῖνας, τὰ κάκοδμα. εὔοδμα δὲ ἐς τὰς ὑστέρας. ἢν δὲ ἀνέχηται[306] καὶ κόκκου τὸ ἔνδον, τὸ λευκὸν μέλιτι δεύσας καὶ μίξας, ἀλείφειν τὴν ῥῖνα.[307] ἢ σχῖνον λεπτὴν ἢν δάκνῃ. ὅταν δὲ ὀδύνη ἔχῃ καὶ πνίγηται, μαλάχης ῥίζαν. ἢ ὀξύμελι. ἢ φλοιὸν μαράθου, καὶ κρηθμὸν ἐν ὕδατι δοῦναι πίνειν. ἄριστον δὲ ἐρυγγάνειν, καὶ ὀρθὴν καθίζειν, ἢ ἐλλεβόρῳ, καὶ πταρμὸν ποιεῖν. καὶ προσίσχειν πρὸς τὰς ῥῖνας. ἢν δὲ ὑπὸ τὰς φρένας δοκέωσιν ἵζεσθαι, ἐξαπίνης ἄφωνος γίνεται, ὑποχόνδρια σκληρά. καὶ πνίγεται. καὶ τοὺς ὀδόντας συνερείδει. καὶ οὐκ ὑπακούει καλεομένη. δεῖ οὖν ὑποθυμιῆν ὑπὸ τὰς ῥῖνας, εἴριον κατακαίων. ἄσφαλτον ἐς πῦρ ἐμβάλλων. καὶ καστόρειον. καὶ θεῖον. καὶ πίσσαν. βουβῶνας δὲ, καὶ μηροὺς, μύρῳ ἔσωθεν εὐωδεστάτῳ χρίειν. ἢ ἀστέρας τοὺς θαλαττίους τοὺς μέλανας, καὶ κράμβην μίξας εὐώδει οἴνῳ, πινέτω. ἢ σμύρνης τριώβολον,[308] κορίανον ὀλίγον. ῥητίνην. γλυκυσίδης ῥίζαν. κύμινον αἰθιοπικόν. ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ, καὶ ὕδατι, ἢ μελικρήτῳ διέντα, πίνειν ἀκροχλίερον. βοηθεῖ δὲ καὶ τὸ πευκέδανον. ἀριστολοχία. κρομμύου δάκρυον. πάνακες ἐν οἴνῳ ἢ ὕδατι, ἀκροχλίερον διδόμενον. ὑστέρας ἐς χώρην ἄγει.[309] τοῦ κρότωνος ῥίζα πινομένη. ἢ κύμινον αἰθιοπικόν. ἢ σέλινον. ἢ μαράθου σπέρμα καὶ ἀνήσου, πέπερι, ἢ σμύρνα. καὶ ὀπὸς μήκωνος πινόμενος. ἢν ἡ καρδία πνίγεται ὑπὸ ὑστέρης ἀναθλίβεται. καὶ πνεῦμα ἔχει. καὶ ἆσθμα. δεῖ τὸν καρπὸν τοῦ ἄγνου καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν. ἢ ἀβρότονον. καὶ πάνακες. καὶ ἀμμωνιακόν. ἢ πήγανον. ἢ ὑπνωτικὸν μηκώνιον. πάλιν οὖν εἰ ὁμοίως ἔχει, μελάνθιον τρίβειν λεῖον. καὶ μέλιτι δεύειν. καὶ ποιῶν οἷον βάλανον. καὶ πρὸς τῷ πτερῷ προστιθέναι. ἢ φιλίστιον ὁμοίως προστίθει. ἢ τηλέφιον, ἢ ἀνεμώνης φύλλα τρίψας,[310] ἐνθεὶς ἐς τρύχινον, καὶ σμύρνην μικρὴν ξυμμίσγειν. ἢν ἐς τὴν ὀσφῦν αἱ ὑστέραι καταστηρίξωσι, μὴ ψαύῃ δὲ τῆς κεφαλῆς ἡ πνίξ,

Aut mali punici cortices ſiccos ex vino Pramnio tritos potui exhibeto. Ad fluorem album potio. Hederæ albæ ſemen, & pini corticem ex vino auſtero præbeto. Aut cornu cerui vſti partem vnam, farinæ verò hordeaceæ crudæ partes duas, cedri baccas quinque ex aqua terito & potui exhibeto. Ad vteri ſtrangulatum. Caſtorium & conyzam ex vino per ſe, & ex eodem vtrunq; permixtum bibat. Aut bituminis trium obolorum pondus. Aut phocæ adipis quãtum bis digito capi poteſt. Radices pæoniæ dimidiam potionem, ex vino odorato potui exhibeto. Vbi verò ſimul cum tuſſi ſtrangularint vteri, ſandarachæ oboli pondus, ſulphuris ignem non experti tantundem, & amygdalas amaras repurgatas tres vel quatuor commiſceto, ex vino odorato exhibeto. Quòd ſi quidem procidant vteri, hordeum tenuiter tritum cum paleis, & cornu cerui oleo ſubactũ, in ſuffitu admoueto. Cùm verò ſurſum fuerint, & cor & ſtomachus opprimitur, ibiq; ſubſtiterint, myrrhã aut reſinam, aut netopũ, aut caſtorium, aut laſeris ſuccum propinato. Cùm vterus ſtrangulatum intulerit, ſpiritus autem coaceruatus ſurſum proruperit, & grauitas detinuerit, mẽs attonita fuerit, ſermo defecerit, totius corporis perfrictio & ſpiratio offenſans adeſt, oculi hebeſcunt. Caput quàm citiſſimè radito, faſcia ſupra vmbilicum, ſi opus fuerit, impoſita retrudito. Caſtorium autem & conyzam, rutæ decoctum, cuminum Æthiopicũ, raphani ſemen, ſulphur, myrrham exhibeto. Ad nares quidem graueolẽtia, ad vteros verò ſuauiter olentia admoueto. Quòd ſi ſuſtinuerit, etiam grani cnidij partem interiorem albam melle ſubactã & permixtam naribus illinito. Aut ſchinum tenuem, ſcillę ſpeciem, ſi mordeat. At cùm dolor & ſtrãgulatio detinuerit, maluæ radicem, aut acetum mulſum, aut fœniculi corticem & crethmum ex aqua bibendum dato. Prętat autem ructum ciere, erectam ſedere, aut veratro naribus admoto ſternutamentum excitare. Si verò ſub ſepto tranſuerſo collocati eſſe videantur, de repente vox deficit, præcordia dura ſunt, ſtrãgulatur, dentes inter ſeſe illidit, neq; vocata audit. Naribus igitur oportet lanam ſuccenſam ad ſuffitum adhibere, bitumine in ignem immiſſo, & caſtorio, & ſulphure, & pice. Inguina verò & femora interiore parte ſuauiſſimo vnguẽto illinere. Aut ſtellas marinas nigras & braſſicã ex vino odorato mixtam bibat. Aut myrrhæ tres obolos, coriãdri parum, reſinam, pęoniæ radicem, cuminũ Æthiopicũ, hęc ex vino albo trita, & aqua, aut aqua mulſa diluta, ſummè tepida potui exhibeto. Iuuat etiam peucedanum, ariſtolochia, cepæ lachryma, panaces ex vino aut aqua exhibitum. Vteros in priſtinum locum reducit ricini radix pota, aut cuminum Æthiopicum, aut apium, aut fœniculi & aniſi ſemẽ, piper, aut myrrha, aut papaueris ſuccus epotus. Si cor ſuffocatur ab vtero comprimitur, & difficilis ac crebra ſpiratio detinet, viticis & pæoniæ ſemẽ ex vino bibere oportet, aut abrotonum, & panaces, & ammoniacum, aut rutam, aut ſomniferi papaueris ſuccum. Si rurſus eodem modo habeat, melanthium læuiter terito, melle ſubigito, & velut glandulam efformatam, penna conuolutam, in ſubditio apponito. Aut philiſtium ad eundem modum ſupponito, aut telephium, aut anemones folia trita, in linteum detritum indita, & pauca myrrha admixta. Si vteri in lumbos incumbant, neq; ie ſuffocatio caput attingat,

Polypos coctos edat, & vinū nigrum odoratum, meracum quàm plurimum bibat. Quando verò tāquam ad viſcera verſi ſtrāgularint, vinum cedrinum, & cuminum Æthiopicum bibat, calida lauet, & odoratos fotus admoueat. Si vteri flatu diſtētæ fuerint, aromata omnia in vnguētum iniiciantur, & laurus, & myrtus, & ſaluia, & cedri ac cupreſſi ramenta. Hæc tuſa & læuigata cribrato, & in vinum odoratum inſpergito, & oleum roſaceum affundito. Si verò trāſmoti vteri oppreſſerint, hordeum cùm repurgaueris, & cornu ceruinum ex vino ſubacta ad ſuffitū adhibeto. Cùm ſurſum procedentes ſtrangulant, ſuccenſum funiculum lucernarium ſub naribus extinguito, quò fuligo & fumus intrò penetret, picemq; & caſtorium, peucedanum & myrrham, vnguento diluta, vellere excepta, in ſubdiditio apponat, reſinam verò oleo diſſolutam bibat. Si valdè ſtrangularint potio exhibenda. Aut teſtudinis marinæ obolos tres, ex vini albi hemina aut cyathis tribus propinato. Aut cedrino oleo in lucernam infuſo, eam accendito, & extinctam naribus admoueto, aut cœnum quàm fœtidiſſimum eodem modo, aut lanam ſuccenſam mulieris naribus ad ſuffitum adhibeto, aut bituminis modicū ex vino albo tritum bibat, aut eryſimi conchæ teſtam & naſturtium ex vino albo bibendum dato, & lauet. Quòd ſi etiam tuſſis adſit, ſandarachæ obolum, ſulphuris ignem minimè experti obolos duos, amygdalas amaras detracto cortice, & caſtorij obolum ex vino odorato permiſceto, & potui exhibeto. Quòd ſi vteri ſtrangulent, & ſtrangulatus ad cor pertingat, osque occluſum fuerit, acetum calidum ſorbendum dato, osq; paxillo aut radio diducito, & vinum inodorum eodem modo infundito, & cum aceto mulſo. Si verò valdè ſtrangularint, & voce defecta fuerit, cepa ex vino tepido trita in nares inſtillata eam excitato. Quòd ſi ad hepar vſq; aſcenderint, ſtrangulatur, vox deficit, nihilq; videt, dentes inter ſe illidit, dura redditur, nihil ſentit, crebrò ſpirat, neq; audit. Hanc manibus ſub præcordiis apprehenſam crebrò illinito, & dētibus paxillo diductis, vinum meracum tepidum, niſi quid impediat, infundito, & plærunq; confeſtim alleuatur. Si verò ad inguina incumbant & adhæreſcant, caprini ſtercoris globulos, & leporis pilos, vituli marini adipe ſubactos, ad ſuffitum admoueto. Aut hederæ fructum, aut folia ſicca, aut corticem, & quercus folia ammixta reſina, oleo ſubigito, & ſuffitu adhibeto. Coaguli vituli marini pellem læuiter tuſam, ſpongiam & muſcum læuigata, vituli marini adipe permixta, ad ſuffitū admoueto. Stercoris caprini globulos, vituli marini pulmonem, & cedri ramenta ſuffito. Quinetiam ſtercus bubulum, aut cornuum bubulorum ſcobem, aut bitumen, aut ſpinæ Ægyptiæ fructum, aut cedri ramēta, & myrti folia ſicca, hæc molli vnguento ſubacta, in ſuffitu adhibeto. Aromata verò multa in vnguentum iniicito. Aut vuarum retrimenta læuiter tuſa, cedriam & reſinam pineam ſimul mixta, paſſo cocto diluta ad ſuffitum admoueto. Fotus vt vteri recedant. Stercus bubulum vſtum, aceti dimidium, & erui ex aqua marina aut dulci decocti ſimiliter dimidium, ſuffitu naribus admoueto, idque leuiter facito, & lenticulæ decocto epoto, vomitum cieto, & farinam ſorbendam,

ἐσθιέτω πολύποδας ἑφθούς, καὶ οἶνον πινέτω μέλανα εὐώδη ἄκρητον ὡς πλεῖστον. ὅταν δὲ ὡς πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον.[311] καὶ οἶνον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. καὶ πυριάσθω τὰ εὐώδεα. ἢν ἐμφυσῶσιν αἱ ὑστέραι,[312] ἡδύσματα πάντα ἐς τὸ μύρον ἐμβάλλεται. καὶ δάφνη. καὶ μυρσίνη. καὶ ἐλελίσφακος. κέδρου τε πρίσματα, καὶ κυπαρίσσου. ταῦτα κόψαι καὶ κατασῆσαι λεῖα. καὶ ἐπ' οἶνον εὐώδη ἐπιπάσσειν καὶ ἐπιχέαι ῥόδινον ἔλαιον. ὅταν δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κριθὰς ξὺν τοῖς πιτύροισι,[313] καὶ πρόσμαλον ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν.[314] ὅταν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἀνάψαι, καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας. λιγνὺς καὶ αἰθαλὸς εἰσίτω. καὶ πίσσαν καὶ καστόρειον. καὶ πευκέδανον, καὶ σμύρναν διεὶς μύρῳ[315] εἰρίῳ ἀναδεύσασα προστιθέσθω. πίνειν δὲ ῥητίνην ἐλαίῳ διέντα. ἢν πνίγωσι λίην, διδόναι ποτὸν, ἢ χελώνης θαλασσίης ὅσον τριώβολον τρίψας ἐν οἴνῳ λευκῷ, κοτύλην, ἢ κυάθους τρεῖς πίνειν.[316] ἢ κέδρον εἰς λύχνον ἐπιχέας ἅψαι τὸν λύχνον. καὶ ἐὰν ἀποσβεσθῇ πρὸς τὰς ῥῖνας προσάγε, ἢ βόρβορον ὡς δυσωδέστατον ὁμοίως. ἢ εἴριον κατακαύσας ὑπὸ τὰς ῥῖνας ὑποθυμιῆν τῆς γυναικός. ἢ ἀσφάλτου ὀλίγον τρίψας ἐν οἴνῳ λευκῷ πινέτω. ἢ ἐρυσίμου κόγχην, καὶ καστόρειον ἐν οἴνῳ λευκῷ, δὸς πιεῖν, καὶ λοῦσον.[317] ἢν δὲ καὶ βήσσῃ, σανδαράχης ὀβολὸν. θείου δύο ὀβολοὺς ἀπύρου. ἀμύγδαλα πικρὰ ἀποκαθήρας, καὶ καστορίου ὀβολὸν μίσγειν σὺν οἴνῳ εὐώδει. καὶ πίνειν δίδου. ἢν δὲ πνίγωσιν αἱ ὑστέραι. καὶ τῆς καρδίας ψαύσῃ τὸ πνῖγμα, καὶ μεμύκῃ τὸ στόμα, ὄξος θερμὸν δίδου ῥοφεῖν. πασσαλίσκῳ ἢ κερκίδι ἄνοιγε. καὶ οἶνον ὁμοίως ἄνοδμον. καὶ σὺν ὀξυμέλιτι. ἢν λίην δὲ πνίγωσι, καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιαρῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας, καὶ ἀνεγείρειν. ἢν δὲ ἄχρις ἥπατος ἀνίωσι, καὶ πνίγηται, ἄφωνος γίνεται. καὶ οὐδὲν ὁρᾷ. καὶ τοὺς ὀδόντας συνερείδει. καὶ σκληρὴ γίνεται. καὶ οὐδὲν φρονέει. καὶ ἀναπνεῖ πυκνά. καὶ οὐχ ὑπακούει. ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν τῇσι χερσὶ, χρίειν θαμινάκις. καὶ τοὺς ὀδόντας διαγαγὼν πασσάλῳ, οἶνον ἄκρητον χλιαρὸν ἐγχέειν, ἢν μή τι κωλύοι. καὶ αὐτίκα ῥαΐζει ὡς τὰ πολλά. ἐὰν ἐγχέωνται ἐς τοὺς βουβῶνας, καὶ ἐρείδωσιν, αἰγὸς σπυράθους, καὶ λαγωοῦ τρίχας, ἐλαίῳ φώκης δεύσας, ὑποθυμία.[318] ἢ τοῦ κισσοῦ τὸν καρπὸν, ἢ τὰ φύλλα αὐαίνειν, ἢ τὸν φλοιὸν, καὶ δρυὸς φύλλα, καὶ ῥητίνῃ μίξας, ἐλαίῳ δεύειν καὶ ὑποθυμιῆν.[319] φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον. καὶ σπόγγον, καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης. καὶ ὑποθυμιῆν αἰγὸς τοὺς σπυράθους. καὶ φώκης πνεύμονα. καὶ κέδρου πρίσματα. ὑποθυμιῆν δὲ καὶ βόλβιτον. ἢ κεράτων ξύσματα βοὸς, καὶ ἄσφαλτον. ἢ ἀκάνθης αἰγυπτίης καρπὸν, καὶ κέδρου πρίσματα. καὶ μυρσίνης φύλλα ξηρὰ μύρῳ μαλθακῷ, ταῦτα δεύσας ὑποθυμιῆν. ἀρώματα δὲ συχνὰ ἐς τὸ μύρον ἐμβάλλειν. ἢ γίγαρτα κόψας λεῖα.[320] καὶ κεδρίαν καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἑφθῷ δεύσας ὑποθυμιῆν.[321] πυριήσιες, ὡς ἀπίωσιν.[322] βολβίτου κεκαυμένου καὶ ὄξεος ἥμισυ. καὶ ὀρόβου θαλάσσης, ἢ ὕδατος ὁμοίως πυρία τὰς ῥῖνας. πυριῆν δὲ βληχρῶς. καὶ φάκιον πιεῖν. ἀπεμέειν δὲ, καὶ ῥοφέειν διδόναι ἄλητον.

καὶ ἐπὶ τὸν οἶνον. τῇ δὲ ὑστεραίῃ, [323] κόκκος ἔσω καταπότον. [324] καὶ οὐρητικὸν δὲ ἀσταφίδα καὶ ἐρεβίνθους δύο τρίψας, σταφίδος τῆς ἀρίστης ἐπιχέας χόα ἕψε. ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν. καὶ τὸ λοιπὸν ἐλελίσφακον. καὶ λίνου σπέρμα. καὶ ἄλφιτον διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλας τέσσαρας. [325] ἐλαίου ἡμικοτύλιον. ἀκτῆς φύλλα χεὶρ πλείη. ταῦτα ἕψειν, καὶ πυρίην θερμήν, ἢ ὀστράκοισι θερμοῖσιν, ἐπὶ δίφρον καθέζεσθαι. ἀμφικαλύπτειν δὲ εἵμασιν. [326] ἢ τῆς ἀκτῆς τὰ φύλλα σὺν μυρσίνῃ ἕψειν. καὶ κριθῶν ἄχυρα ἕψειν. καὶ ἢν οἵα τε ἐστὶ προσφέρειν ὄξος. ἔλαιον. μέλι. ὕδωρ. ταῦτα κεράσας καὶ ἀναμίξας, ἀναζέσας σφόδρα ἐς κύστιν ἐγχέαι. καὶ τῆς πίτυος τὸν φλοιὸν [327] καὶ τῆς ῥοιῆς τὰ φύλλα ἐμβάλλειν ἐς ὕδωρ. ἀφέψειν δὲ ἰσχυρῶς. καὶ ἐμβάλλειν ἐς τὸ ὕδωρ. καὶ κριθῶν ἄχυρα ἕψειν. ἔλαιον ἐπιχέαντα. ἢ λωτοῦ πρίσματα. καὶ κυπαρίσσου ὕδωρ ἐπιχέας καὶ ἔλαιον, ἕψε εὖ μάλα. καὶ πυρίᾳ σὺν ἀρώμασι μύρον ἐγχέειν. καὶ κηκίδα ἐμβάλλειν. καὶ ῥάμνου φλοιοῦ, καὶ πύρινα ἄλφιτα, σὺν ὕδατι. ἢν δὲ περιίσχωσιν ἔξω τὰ νεῦρα, [328] καὶ τὰ καλεόμενα ὄσχοι χαλῶνται, μύρτα. λωτοῦ πρίσματα. βάτου. καὶ ἐλαίης φύλλα ἅμα ἕψειν. καὶ πυριᾶν ἀκροχλιαρῶς, ἢ οἴνῳ μετὰ τουτέων καὶ κακωδέων, ὁμοίως. περιχρίειν δὲ τῷ λευκῷ τοῦ ὠοῦ τὰ ἔξω ὅταν ψύχηται, καὶ πελιδνὰ ἔωσιν ὕδατι θερμῷ. [329] μαλθακτήρια ὑστέρης. οἷος στέαρ, ὠῶν λέκιθος. μέλι. ἔλαιον ῥόδινον. τουτέοις ἀναφυρήσας ἄλητα, διαχλιαίνειν ἐν πυρὶ μαλθακῷ. τὸ ἀποσταζόμενον ἐς εἴριον ἀναμαλάσσειν, καὶ προστιθέναι. ἢ στέαρ οἷος ἡδύ, νίτρον ἐρυθρόν, ἢ χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον ξυντήξας καὶ ἐς εἴριον ἀναφυρήσας, προσθεῖναι. χηνὸς ἄλειφα, ἢ μήλειον στέαρ, κηρὸν λευκόν. νέτωπον. ῥόδινον ἔλαιον. ὡς ἄριστα ταῦτα ἀναμὶξ ποιέειν. καὶ ῥάκεα ἐγκαταπλάσσειν λεπτά. καὶ αὐτίκα λουσαμένη, προστιθέσθω χλιαρὰ πρὸς τὸ στόμα. ἢ ἐλάφου μυελὸν [330] καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ ἀναφυρήσασα εἴριον μαλθακὸν προστιθέσθω. [331] μαλθακὰ προσθετὰ ὕδωρ ἄγει καὶ μύξας, καὶ δερμάτια, καὶ οὐχ ἑλκοῖ. σμύρναν ὡς ἀρίστην. καὶ ἁλὸς χόνδρον, καὶ πίσσαν ἡδυωτὴν, τρίβειν λεῖα, καὶ τιθέναι. ἕτερον προσθετόν. [332] ἐκλέψας κόκκους τριήκοντα, τὸ ἰνδικὸν ὃ καλέουσιν οἱ πέρσαι πέπερι, καὶ ἐν τουτέῳ ἔνι στρογγύλον, ὃ καλοῦσι μυρτίδανον, σὺν γάλακτι γυναικείῳ ὁμοῦ τρίβειν, καὶ μέλιτι διιέναι. ἔπειτα εἴριον μαλθακὸν καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιειλίξας, προσθεῖναι. καὶ τὴν ἡμέρην ἐᾶν. ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρνης ὀλίγον παραμίσγειν, ὅσον τριτημόριον. καὶ εἴριον μαλθακὸν καθαρὸν, [333] ἡμίρρυπον. ἄγει δὲ ἐξ ὑστερέων καὶ τὸ στόμα μαλθάσσει. [334] νάρκισσος. κύμινον. σμύρνα. λιβανωτός. ἀψίνθιον. κύπερος. αὐτὰ ταῦτα καθ' ἑωυτὰ καὶ σὺν ῥοδίνῳ ἐλαίῳ [335] ἢ λευκῷ ἢ αἰγυπτίῳ. προστιθέσθω δὲ λουσαμένη. ἰχῶρα ὕφαιμον δυνάμενον ἄγειν. [336] σὺν τοῖς δᾳσί. μίσγειν σμύρναν. ἅλας. κύμινον. χολὴν ταυρείην. μέλι ἐν εἰρίῳ προστιθέναι. καὶ κυμίνου φύλλα, ἢ δελφισμένα ἐν οἴνῳ. ἢ ὀπὸν σιλφίου, σύκῳ μίσγειν, καὶ βάλανον ποιήσαντα προσθεῖναι. τὸ δὲ αὐτὸ ποιεῖ [337] καὶ συκῆς ῥίζα σὺν μέλιτι. καὶ μετέπειτα χρίειν ῥοδίνῳ. ἐνεργεῖ δὲ καὶ σκορόδου μώλυζα. νίτρον ἐρυθρόν. σύκου πίονος, ἴσον·

insuperq; vinum bibendum dato. Postridie granum cnidium deuoret, & medicamentum sumat quod vrinam cieat, vuam passam & cicerum tritorum partes duas, vuæ passæ optimæ affusum aquæ congium coquito, deinde diffusum cœlo sereno exponito, postridie bibendum exhibeto. De cætero saluiam, lini semen & polentam bis die ex vini aqua temperati heminis quatuor exhibeto. Olei heminam dimidiam, sambuci folia quantũ manus plena capit, hoc decocto calido foueto, aut testis calidis iniectis, muliere in sella sedere iussa, & vestibus circuntecta. Aut sambuci folia cum myrto decoquito, & hordei paleas, & si perferre possit acetum, oleum, mel, aquam, hæc temperata & permixta, valdè feruefacta in vesicam infundito. Et pini corticem, malique punici folia in aquam iniecta, vehementer decoquito, & in decoctum hordei paleas immissas oleo affuso decoquito. Aut loti & cupressi ramenta affusa aqua & oleo probè admodum coquito, & fomento adhibeto. Cum aromatibus vnguẽtum infundito, gallam immittito, & rhamni corticem, & polentam triticeam cũ aqua. Quòd si nerui foras prominent, & quæ scrota vocantur, laxentur, myrti baccas, loti ramenta, rubi & oleæ folia simul coquito, & summè tepido foueto, aut vino cum his & graueolentibus eodem modo. Exteriora verò oui cãdido linito. Cùm autem perfrixerint & liuida fuerint, aqua calida foueto. Quę vterum emolliunt. Ouillum adipem, oui luteum, mel, oleum rosaceum, his farinam subactam molli igne calefacito, quod distillat molli lana excipito, & in subditio apponito. Aut ouillum adipem aromatibus condîtum, nitrum rubrum, aut anserinum adipem, oleum rosaceum, hæc liquata & cum lana subacta supponito. Anserinũ adipem aut ouillum, ceram albam, netopum, oleum rosaceum, hæc quàm optimè simul permixta, & tenuibus conceptis panniculis excepta, confestim vbi lota fuerit, tepida ad os vteri apponat. Aut cerui medullam & adipem oleo rosaceo liquatum, molli lana exceptũ supponat. Subditita mollia quæ aquam, mucos & pelliculas educunt, neq; vlcerant. Myrrham quàm optimam, salis micam, & picem aromatibus cõditam, læuiter terito & apponito. Subditiũ aliud. Grana cnidia triginta detracto cortice, Indicum quod Persæ piper vocant, & quòd inest rotundum (myrtidanum appellãt) cum lana muliebri simul terito, & melle dissoluito, deinde molli & pura lana exceptum, & circum pennam conuolutum supponito, & per diem sinito. Quòd si validius facere voles, paulum myrrhæ admisceto, tertiam videlicet partem, & lanam mollem puram semisuccidam. Ex vteris educit osque mollit, narcissus, cuminum, myrrha, thus, absinthium, cyperus, hæc ipsa per se, aut cum oleo rosaceo, aut albo, aut Ægyptio, lotæ autem supponantur. Medicamentum quod cruentam saniem educere potest. Myrrham cum tædis misceto, salem, cuminum, fel tauri, mel, in vellere supponito. Et cumini folia similiter ex vino. Aut laseris succum cum ficu misceto, & glandem formatam subdito. Idem facit mori radix cum melle, posteaque rosaceo linito. Efficax est & allij caput sine nucleis, nitrum rubrum, & fici pingue æquali portione,

in paruam gallam misceto, glandem conficito, & liquore aliquo intinctã supponito. Deinde lota adipem ceruinum in lana subditum, teneat. Hæc cruenta omnia magis quàm priora educit, & emollit. Piper, elaterium, & ammixto lacte muliebri, cũ his mel, oleum album & adipem ceruinum terito, linteo lacero & attrito excepta subdat. Hoc quoduis humorum genus potenter educit. Fici pingue, elaterij quãtum ad duas potiones satis sit, nitrum rubrum elaterij quantitate, mellis parum, linteo aut vellere exceptum, glandem conficito. Aliud. Netopum, fel tauri, nitrum, cyclaminum, gallam cum melle terito. Postea verò etiam lota adipem ceruinum in subditítio teneat. Aut pulegium & fel tauri tritum circum pennam obducito, & oleo Ægyptio imbutum supponito. Aut cyclaminum tali quantitate cum æris flore. Aut anemones caput cum farina tritum, circum pennam obductum, oleo albo intingito, omnia educit. Cucumeris agrestis oblongi interiorem partem detracto semine, ex lacte tritam, vnà cum his myrrham sinceram, mellis aliquãtulum, & oleum Ægyptium admisceto, molli lana excipito. Aut interiorem cucumeris agrestis partem siccato, & affuso melle terito, glandem conficito. Cùm autem lauerit adipem subdat, aut elaterij potiones tres ex aqua. Emolliẽtia. Oui candidum, farinam, mel, ceram albam, hæc simul calefacito, & quod distillat vellere exceptum subdito. Aut adipem anserinum, ceram albam, resinam, vnguentum rosaceum, aut in glandem formato, aut lana excipito. Fotus ex quibus vteri purgantur, si duri fuerint. Vinum quàm suauissimum ad tres semicongios Atticos pari aqua temperare oportet, fœniculi radicis & seminis quadrantem, rosacei olei heminam dimidiam in olla ponere, cuius operculum foramen habeat, & vinum affundere, & calamo imposito fouere, posteaq; scillam in subditítio apponere. Si dolores repentini vehementer irruant, & animi deliquia adsint. Rosarum folia, cinnamomũ, myrrham puram, netopum, papaueris succum, ex his pastillos drachmæ pondere formatos, amphoræ, frusto candenti imponito, aut ad suffitum vtitor. Aut styracis paululum in oleum iniicito, velut in priore vtitor. Quæ in vnguenta iniiciuntur omnia tundenda & cribranda, styrax autem in stercus bubulum immittenda, & netopo illinendum. Oleum rosaceum quàm optimum, & Ægyptium album affundendũ, ex eo post purgationes suffitum parato. Aut lauri, myrti folia, & cyperi fructum tundito, cum vnguento Ægyptio albo & netopo permisceto, in stercore bubulo ad suffitum adhibeto. Cõfert autem & thuris pollen, cupressi ramẽta, & cyperi radix tusa. Iuncum etiam odoratum aromaticum, cardamum & irim cribrato, his omnibus affuso oleo rosaceo & netopo permixtis, & triticea farina crassiùs molita vtitor. Aut resinã ex recenter compacto fictili suffito, castorio aut aliquo ex aromatibus iniecto. Caput autem oleo rosaceo perfundito, & in aures oleum myrtinũ aut melinum immittito. Aut cicer rubrum & vuas passas decoctas potui exhibeto, & in aqua calida desideat. Et oliuas albas priùs quàm oleum dimittant concidito & siccato, ex vino odorato terito, & acetabulũ Atticum exhibeto.

[338] μίσγειν δὲ κηκίδα μικρὴν, καὶ βάλανον ποιέειν, καὶ ἐμβάπτειν ἔς τι τῶν ὑγρῶν, καὶ προστιθέναι. κἄπειτα λουσαμένη ἐλάφου στέαρ ἐν εἰρίῳ ἐχέτω. αἱματώδεα πάντα μᾶλλον τῶν πρόσθεν ἄγει δυνάμει), καὶ μαλθάσσει. πέπερι, ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα, καὶ τρίβειν σὺν τούτοισι, καὶ μέλι, καὶ ἄλειφα λευκὸν. ἐλάφου τε στέαρ [339] ῥυχνωμένη. σφόδρα δὲ ἄγει παντοῖα. σύκου δὲ πίαρ. ἐλατηρίου δύο πόσιας, νίτρον ἐρυθρὸν, ὅσον δὲ ἐλατήριον. μέλι ὀλίγον ἐν ῥάκει ἢ ἐν εἰρίῳ, βάλανον ποιέειν. ἕτερον. νέτωπον. χολὴν ταύρου. νίτρον, κυκλάμινον. [340] κηκίδα, τρίβειν σὺν μέλιτι. μετέπειτα δὲ καὶ λουσαμένη, [341] στέαρ ἐχέτω, ἢ γλήχωνα. καὶ χολὴν ταύρου τρίψαι περιπλάσσειν πτερῷ. καὶ ἐς ἄλειφα ἐμβάψας αἰγύπτιον, προστιθέναι. ἢ κυκλάμινον ὅσον ἀστράγαλον σὺν χαλκοῦ ἄνθει. ἢ ἀνεμώνης κεφαλὴν, τρίψας σὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν [342] ἐς λευκὸν εἴριον ἐμβάπτεσθαι. ἄγει πάντα. σικύου ἐντεριώνης τῆς μακρῆς ἑλὼν τὸ σπέρμα σὺν γάλακτι, καὶ σμύρναν σὺν αὐτοῖσιν ἄκρητον. [343] τὸ μέλιτι ποσὸν αἰγύπτιον ἔλαιον εἰρίῳ μαλθακῷ ἀναφορύξαι. ἢ τὴν ἐντεριώνην τῆς σικύης ξηραίνειν. καὶ μέλι περιχέαι, καὶ τρίβειν, καὶ βάλανον ποιέειν. ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω. [344] ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν ὕδατι. μαλθακτήρια. ᾠοῦ τὸ λευκὸν. ἄλητον. [345] μελίκρητον λευκὸν. ταῦτα ὁμοῦ χλιαίνειν. καὶ τὸ ἀποστάζον εἴριον ἀναπολήσας, πρόσθες. ἢ χηνὸς ἄλειφα, κηρὸν λευκὸν. ῥητίνην. μύρον ῥόδινον. μυελὸν ἐλάφου τήκειν, ἢ στέαρ οἷος, ἢ αἰγὸς, ᾠοῦ τὸ λευκὸν, ῥόδινον μύρον, ἢ βάλανον ποιέειν, ἢ εἰρίῳ ἀναλαμβάνειν. πυρίαι δι' ὧν ὑστέραι καθαίρονται, ἢν σκληραὶ ἔωσιν. [346] οἶνον χρὴ ὡς ἥδιστον, ἴσον ἴσῳ κεράσαι, ὡς τρία ἡμιχόεα ἀττικά. καὶ μαράθου ῥίζαν, καὶ τοῦ καρποῦ, τεταρτημόριον, καὶ ῥοδίνου ἀλείφατος, ἡμικοτύλιον, ἐς ἐχῖνον ἐᾶσαι, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει. καὶ ἐπιχέαι τὸν οἶνον. καὶ ἐνθέντα κάλαμον, πυριῆσαι. καὶ μετέπειτα τὴν σκίλλην προστίθεσθαι. [347] ἢν ὀδύναι καταΐσσωσιν ἐξαπιναῖοι, καὶ ἀψυχίαι ἔωσι. ῥόδων φύλλα. κιννάμωμον. σμύρναν καθαρὴν. νέτωπον. ὀποῦ μήκωνος. τουτέων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους, [348] ἐπίθες ἐπὶ ῥύφος ἀμφορέως διαφανὲς, ἢ χρέο ὑποθυμιήματι. ἢ στύρακος, [349] ὅσον ἐμβάλλουσιν ἐς τοὔλαιον. ὡς ἐπὶ τῆς προτέρης χρῆσθαι ἅπαντα. [350] ὁκόσα ἐς τὰ μύρα ἐμβάλλεται), κόψαι καὶ καθῆσαι. ἐπιβάλλειν δὲ ἐπὶ τὸν βόλβιτον τὴν στύρακα. καὶ περιχέειν νετώπῳ. ῥόδινον ἔλαιον ὡς ἄριστον. καὶ αἰγύπτιον λευκὸν, θυμία ὑπὸ μετὰ τὰς καθαρσίας. ἢ δάφνης καὶ μυρσίνης φύλλα κόψαι, [351] καὶ κυπέρου καρπὸν, ἐργάσασθαι αἰγυπτίῳ λευκῷ μύρῳ, καὶ νετώπῳ, καὶ ἐπὶ βολβίτῳ θυμία. ἀρήγει δὲ καὶ μάννα. κυπαρίσσου πρίσματα. καὶ κυπέρεος ῥίζα κοπεῖσα. σῆσαι δὲ καὶ σχοῖνον, τὸν εὔοσμον ἢ δύοσμον. καὶ κάρδαμον. καὶ ἴριν. ταῦτα πάντα μίσγειν. περιχέαι δὲ αὖθις, ῥόδινον ἔλαιον, καὶ νέτωπον. καὶ χρέο ἐν κρίμνοισι πυρίνοισιν. ἢ ῥητίνην [352] ἐπὶ νεοπήκτου κεραμίδος θυμία, ἐπιβάλλων καστόρειον, ἢ τι τῶν ἀρωμάτων. τὴν δὲ κεφαλὴν τέγγειν ἐλαίῳ ῥοδίνῳ. ἐς δὲ τὰ ὦτα, μύρσινον ἢ μήλινον, ἢ λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας, δίδου πίνειν. καὶ ἐν ὕδατι θερμῷ καθίζεσθαι. [353] καὶ ἐλαίης λευκῆς πρὶν ἂν ἔλαιον ἀνῇ, κατακνίσαι, καὶ αὐῆναι. καὶ εἰς οἶνον τρίβειν εὐώδεα. καὶ ἐμβάφιον ἀττικὸν διδόναι.

ἢ χλί-

ἢ κανθαρίδων τὰς γαστέρας, ἢ ἀδίαντον, καὶ νίτρον ἐρυθρὸν αἰγύπτιον. ῥίζαν νάρθηκος. καὶ σελίνου σπέρμα λεῖον. ταῦτα διδόναι. ἢν δὲ ἐπιλάβῃ στραγγουρεῖν, ἐν ὕδατι καθιζέσθω. καὶ γλυκὺ πινέτω, [354] ἢν μάλιστα πνίγηται ἐν ὀδύνῃ ὑστερέων. οἶνόν τε ὡς ἥδιστον ἴσον ἴσῳ κεκρημένον, ὡς τρία ἡμίχοα ἀττικά, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τεταρτημόριον, καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον. ταῦτα ἐμβαλεῖν ἐς χύτρον καινόν. καὶ τὸν οἶνον ἐπιχέαντα πυριᾶν. καὶ τὴν σκίλλαν προστιθέσθαι, ἔστ' ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι, [355] καὶ εὐρύ. καὶ ἢν ἑλκωθῇ, [356] καὶ φλυκτίδες πανταχοῦ αὐτῇ ἔωσιν, ἄμεινον στέατος 10 χηνείου ἀλείφατι σὺν λιβανωτῷ θεραπεύειν. Ὑπὲρ ὑστερέων ὀδύνης. Πευκέδανον, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μίξαι ἐν γλυκεῖ οἴνῳ. καὶ χλιήναντα πίσαι. καὶ μήκωνος λευκῆς ῥοφέειν. [357] καὶ κνίδης σπέρμα. [358] Ἄλλη πυρίη. Θυμίην ἢν ὀδύνη ἔχῃ, σίδια ῥοιῆς γλυκείης. λωτοῦ πρίσματα. ἐλαίης φύλλα ξηρὰ κεκομμένα, ταῦτα ἐλαίῳ ἐργάσασθαι χρή, καὶ ἐπὶ βόλβιτον πεπυρωμένον ἐπιρριπτεῖν. ἢ χαλβάνην. σμύρναν, λιβανωτόν, ἔλαιον λευκὸν αἰγύπτιον [359] ἐπὶ οἰναρέων. Ἑτέρη πυρίη ἡ δι' ἀσφάλτου στερεωτέρη. Ἀσφάλτου [360] ῥίζης ξανθίης. λαγωοῦ τρίχας. ἢ πήγανον. κό- 20 ριον ξηρόν, ταῦτα τρίψας πάντα, φθοΐδας πλασάμενον, θυμιῆν. ἢ ἐπὶ πίσσης σανδαράκην κόψας λείην, μίξαι πρίσματα κυπαρίσσου. καὶ μύρον ἐπιχέας, φθοΐδας ποιεῖν, καὶ ἐπὶ πῦρ θυμιῆν, ἢ αἰγὸς κέρας καταπρίσας ἐλαίῳ ἀνακυκῶν ἐπὶ πῦρ θυμιῆν. ἢ ὀρύξας βόθρον, γίγαρτα φρύγειν, καὶ τὴν σποδιὴν ἐμβαλεῖν ἐς τὸν βόθρον. καὶ οἴνῳ εὐώδει νοτίσας τὰ γίγαρτα, περικαθεζομένῃ πυριᾶσθαι. ἔστωσαν δὲ τῶν γιγάρτων [361] δύο μοῖραι. καὶ αὗται δὲ αὖαι ὡς τὰ μάλιστα. [362] ἢν δὲ ὑστέρη ἀλγέῃ ἄχρι κύστιος, πράσου καρπὸν σὺν ὕδατι τρίψαντα πίνειν. ἢ κυκλαμίνου ῥίζαν ἐν οἴνῳ 30 λευκῷ πιπίσκειν νῆστιν. καὶ θερμῷ λουέσθω. [363] καὶ ἀπόθερμον πινέτω νῆστις. καὶ χλιάσματα προστιθέναι. ἢ σκορόδου μόλυζαν, καὶ νίτρον ὀπτόν, καὶ κύμινον, λεῖα ποιήσας μέλιτι δεύων, προστιθέναι. καὶ ἐν θερμῷ λουέσθω. [364] καὶ θερμὸν πινέτω. Ὑστερέων πάσης νούσου θεραπευτικόν. Λίνου τὸ σχιστὸν αὐτῇ τῇ καλάμῃ ὅσον δραχμὴν κόψας λεπτά, καταβρέξαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα. ἔπειτα ἀπηθήσας [365] διαχλιήνας τε ἐρείῳ ὡς μαλθακωτάτῳ ἐμβάπτειν. καὶ τὸ μὲν προστιθέναι. τὸ δὲ ἀφαιρέειν. βοηθεῖ δὲ καὶ κρόκος, ἔτι τε σμύρνα. κάρυα ποντικά. 40 [366] λευκόν τε καθαρὸν ἐν χηνὸς στέατι καὶ μύρῳ ἰρίνῳ προστιθέναι. Ἢν περιωδυνίη ἔχῃ ἐκ προσθέτων καθαιρομένην. [367] μυρσίνης ἐμβάφιον. λιβανωτὸν ἴσον. μελάνθιον. κύπειρον. σέσελι. ἄννησον. [368] λίνον. νέτωπον. μέλι. ῥητίνην. χηνὸς στέαρ. [369] ὄξος λευκόν. μύρον αἰγύπτιον. ἴσον ἑκάστου τρίβειν ἐν οἴνῳ λευκῷ γλυκεῖ, δύο κοτύλησι καὶ κλύζειν χλιεροῖσι κλυσμοῖσιν. Ἢν ὀδύνη ἔχῃ σφοδρά, κανθαρίδες, κύπειρος. κάλαμος. σχοῖνος. καὶ ἶρις. ταῦτα ἐν οἴνῳ μέλανι ἑψῶν, χρέο. Ἕτερος κλυσμός, ἢν περιωδυνίη, καὶ στραγγουρεῖν ἔχῃ. Πράσου χυλόν. ἀκτῆς καρπόν. σέσελι. ἄννησον. λιβανωτόν. σμύρναν. [370] οἶνον χυλῷ σὺν καὶ μίξαι, καὶ κλύσαι. ἢ σμύρνης ὀξύβαφον. λιβανωτοῦ ἴσον. [371] μελανθίου τοῦ πυρίου ἴσον. σέσελι. ἄννησον. σελίνου σπέρμα. νέτωπον. μέλι. ῥητίνην,

Aut cantharidum ventres, aut adiantum, & nitrum rubrum Ægyptium, ferulæ radicem, & apij semen leuiter contusum, hæc exhibeto. Si verò stranguria inuadat, in aqua desideat, & vinum dulce bibat, si maximè strangulетur ex vterorum dolore. Vinum etiam quàm suauissimum, æquali aqua temperatum, ad tres semicongios Atticos, radicum fœniculi & seminis trientem, & olei rosacei heminam dimidiam. Hæc in ollam magnam nouam coniecta, vino affuso ad fotum adhibeto, & scillam in subdititio apponito, dum os molle & amplum esse fateatur. Quòd si exulceretur, & pustulæ in ipso vndiq; innascantur, præstat ex adipe anserino cum thure curationem adhibere. Ad vterorum dolorem. Peucedanum, aristolochiam, panaces, hæc simul ex vino dulci mixta & calefacta propinato, & sorbitione papauer album & vrticę semen accipiat. Alius suffitus. Si dolor detineat, suffitu adhibeto mali punici dulcis corticem, loti ramenta, oleæ folia sicca contusa, hæc oleo permiscere oportet, & in stercus bubulum ignitum inijcere. Aut galbanum, myrrham, thus, oleum album Ægyptium in vitis sarmenta. Alius ex bitumine vehementior. Bitumen, Xanthij radicem, leporis pilos, aut rutam, coriandrũ siccum, hæc omnia trita, & in pastillos formata, suffitu admoueto. Aut ad picem, sandaracham læuiter tusam, & cupressi ramenta permisceto, affusoq; vnguento pastillos cõficito, in ignem coniectos ad suffitum adhibeto. Aut cornu caprini scobem oleo agitatam ex igne suffito. Aut in effossam scrobem torrefactorum vinaceorum cinere iniecto, & vino odorato madefacto, circum assidenti mulieri suffitum excitato. Sint autem vinaceorum partes duæ, ipsæque quàm maximè siccę. Si vterus ad vesicam vsq; doleat, porri semen ex aqua tritum bibendum, aut cyclamini radix ex vino albo ieiunæ propinanda, & calida lauet, & à balneo ieiuna bibat, & tepefactoria adhibeto. Aut allij caput vnicum, nitrum torrefactum, cuminum, hæc læuigata melle subacta in subdititio apponito. Calida lauet, & calidã bibat. Hoc omnem vteri morbum curat linũ scissum cum ipso culmo, ad pugillum vnum tenuiter tusum, vino albo quàm suauissimo per noctem macerato, deinde percolato, & tepefacto lanam mollissimã imbuito, & partim subdito, partim extrahito. Confert etiam crocum ac myrrham, & nuces ponticeas pura & alba lana exceptas, ex anserino adipe & vnguento irino in subdititio apponere. Si vehemens dolor per subdititia purgatam detineat, myrrhæ acetabulum, thuris tantundem, melanthium, cyperum, seseli, anisum, linum, netopum, mel, resinam, anserinum adipem, acetum album, vnguentum Ægyptium, singula pari portione ex vino albo dulci, ad duas heminas terito, tepidis infusis colluito. Si vehemens dolor detinuerit, cantharides, cyperus, calamus, iuncus odoratus & iris, his ex vino nigro decoctis vtere. Collutio alia si vehemens dolor & stranguria detinet. Porri succum, sambuci fructum, seseli, anisum, thus, myrrham, in vinum infundito, & misceto ac colluito. Aut myrrhæ acetabulum, thuris æqualem portionem, melanthij, cyperi tantundem, seseli, anisum, apij semen, netopum, mel, resinam,

anseris adipem, acetum album, vnguentũ Ægyptium, horum singulorum pares portiones vino albo dulci diluito, & ad collutionem adhibeto. Aut mercurialis decoctũ cum myrrha, thure & netopo. Aut saluiam, hypericum in aqua decoquito, ea colluito. Aut lini semen, anisum, melanthium, seseli, myrrham, cassię fructum in vino coquito & infundito. Alia collutio, si dolor post purgationem vehemens fuerit. Sambuci fructum & lauri baccas ex vino nigro coquito & colluito. Aut sambuco in aqua cocta, aqua effusa & vino dulci affuso colluito. Quòd si post collutionem innascatur dolor, aromata quæ in vnguentum immittuntur decoquito, & ad decocti effusi duas heminas adipem anserinum & oleum rosaceum ammisceto, eoq; tepido colluito. Infusum autem in nemine (quod semel dictum sit) duarum heminarum modum excedat. Aut mercurialem in aqua decoquito, & myrti succum ammisceto, aut thus & netopum æquali portione, & tepido colluito. At si vterus doleat, cyclamini radicem ex vino albo ieiunæ propinato, & calida lauet, & à balneo bibat. Si pudenda vlcere feruido laborarint. Myrti baccis cum vino decoctis, calido colluendum, & melilotus apponenda, & pæoniam tritam ex vino coctam supponat. Et myrrham ac resinam simul mixtam, vino subactam, ex linteo imbuto subdito. Et si stranguria prehenderit, pubes fouenda & illinenda. Desidendum autem in rosarum decocto, aut rubi, aut myrti, aut oleæ, vel capreolorum vitis, vel iuniperi baccis, vel saluiæ. At si ventus in vtero innascatur, & continuus dolor suboriatur, neq; flatus exeat cuminum supponat. Saluiam, cyperum tusum, per totam noctem maceratum, mane percolatum, eo quod lucidũ est in vas effuso, triticeam farinam crassiùs molitam vino albo subigito, & laseris succi cyathum, simul mixta decoquito, & subcrudum sorbendum dato. Si columella in pudendis suborta sit, dolor detinet, dolori medetur apij semen, hedera, aut mali punici dulcis triti ex vino veteri decoctum, cum recẽtis carnis frustulo foliis obducto in subdititio supposito. Quæ per totam noctem subdita habeat, deinde vbi detraxerit, vino colluatur.

χηνὸς στέαρ. [372] ὄξος λευκόν. μύρον αἰγύπτιον. τούτων ἴσον ἑκάστου διεῖναι οἴνῳ λευκῷ γλυκεῖ, καὶ κλύζειν. [373] ἢ λινοζώστιος ὕδωρ, ἀφεψήσας σὺν σμύρνῃ, λιβανωτῷ, νετώπῳ. ἢ ἐλελίσφακον, ὑπερικὸν, ἑψεῖν ἐν ὕδατι, καὶ κλύζειν. [374] ἢ λίνου καρπὸν, ἄννησον, μελάνθιον, σέσελι, σμύρναν, κασσίης καρπὸν, ἐν οἴνῳ ἑψεῖν, καὶ κλύζειν. Ἕτερος κλυσμὸς ἢν ὀδύνη ἴσχῃ σφοδρὴ, μετὰ κάθαρσιν. Ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑψεῖν ἐν οἴνῳ μέλανι, καὶ κλύσαι. ἢ ἀκτὴν ἑψήσας ἐν ὕδατι, ἀποχέειν τὸ ὕδωρ. οἶνον δὲ γλυκὺν παραχέας, κλύσαι. ἢν μετὰ κλυσμὸν ὀδύνη ἐγγίνηται, [375] ἑψεῖν τὰ θυώματα ἐς τὸ μύρον ἐμβάλλονται. καὶ ἀποχέαι τοῦ ὕδατος δύο κοτύλας. μῖξαι δὲ ἔλαιον χηνὸς, καὶ ῥόδινον, καὶ κλύζειν χλιαρῷ. πλέον δὲ κλύσμα δύο κοτύλαι μηδενὶ ὡς ἔπος εἰπεῖν. ἢ λινοζώστιν ἑψεῖν ὕδατι, καὶ μῖξαι [376] χυλὸν μυρσίνης. ἢ λιβανωτὸν, νέτωπον ἴσον, καὶ κλύσαι χλιαρῷ. [377] ἢν δὲ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν. καὶ τοῖσι θερμοῖσι λούεσθαι, καὶ ἀπόθερμον πινέτω. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα. [378] Μύρον θερμὸν ξὺν οἴνῳ κλύζεσθαι. καὶ μελίλωτον προστιθέναι. καὶ γλυκυσίδης ἐν οἴνῳ ἑψημένης τετριμμένης, προστιθέσθω. καὶ σμύρναν καὶ ῥητίνην ὁμοῦ μίξας, καὶ διεὶς ἐν οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι. καὶ στραγγουρίη ἢν λάβῃ, πυελίῳ, [379] καὶ χρίειν τὸ ἦτρον. ἐγκαθίζεσθαι δὲ ἐν ῥόδων ἀφεψήματι, ἢ βάτου, ἢ μυρσίνης, ἢ ἐλαίης, ἢ ἑλίκων ἀμπέλου, ἢ ἀρκευθίδων, ἢ ἐλελισφάκου. [380] Ἢν δὲ ἄνεμος ἐγγίνηται ἐν τῇ μήτρῃ, πόνος τε ἐγγίνηται ἀπερχνός. καὶ φῦσα οὐκ ἔξεισιν, κύμινον προστιθέσθω. ἐλελίσφακον, καὶ κύπερον κόψας, καὶ τέγξας τὴν νύκτα ὅλην ἕωθεν ἀπηθήσας, τὸ διαυγές τε ἐς ἄγγος ἐγχέαι. κρίμνα πύρινα ἐν οἴνῳ λευκῷ φορύξαι. καὶ ὀπὸν σιλφίου, [381] ὡς κύαθον, ἐς κρᾶμμα ἑψεῖν, καὶ ὑπωμότερον διδοῦ ῥοφέειν. [382] Ἢν κίων ἐν τοῖσιν αἰδοίοισιν ἐγγίνηται, ὀδύνη ἴσχει. καὶ τῆς μὲν ὀδύνης σελίνου καρπὸς, ἀλέξημα. καὶ κισσὸς, καὶ ῥοιῆς γλυκείης τετριμμένης ἐν οἴνῳ παλαιῷ ξὺν ποταινίῃ σαρκὶ προστίθεσθαι, καὶ ἐπιπλάσαι τὰ φύλλα. τὴν δὲ νύκτα ὅλην ἐχέτω κείμενα. κἄπειτα ἀφελομένη, ἐν οἴνῳ διακλυζέσθω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΦΟΡΩΝ.

HIPPOCRATIS DE HIS QVAE VTERVM NON GERVNT LIBER.

AC de his quæ mulieribus in singulis affectionibus contingunt, antè quidem dictum est, nunc autem quas ob causas mulieres prorsus sint steriles, aut quamobrem nisi curentur parere nequeant, mihi aperiendum. Hanc autem istius rei causam esse assero. Si vterorum os à pudendo penitus auersum fuerit, non concipiunt. Neque enim vteri genituram excipiunt, sed confestim foras prodit. Quod etiam

ΠΕΡΙ μὲν τῶν γινομένων τῇσι γυναιξὶν ἐφ' ἑκάστου τῶν παθημάτων, πρότερον εἴρηται. νυνὶ δὲ ἀποφανέω δι' ἃς αἰτίας ἄφοροι γυναῖκες τὸ παμπάν. καὶ διότι οὐ τίκτουσι πρὶν ἰηθῶσι. φημὶ δὲ τοῦτο αἴτιον εἶναι, ἢν στραφῇ τὸ στόμα τῶν μητρέων παμπάν ἀπὸ τοῦ αἰδοίου, οὐ κυΐσκουσιν. οὐ γὰρ δέχονται αἱ μῆτραι τὴν γονὴν, ἀλλ' ἔξω αὐτίκα ἔρχεται. γίνεται δὲ

τοῦτο καὶ ἢν ὀλίγον παραγραφῇ τὸ στόμα τῶν ὑστερέων ἀπὸ τοῦ αἰδοίου παρὰ φύσιν. καὶ ἢν μεμύκῃ τὸ στόμα τῶν μητρέων πάμπαν, οὐδ' οὕτως δέχονται. οὐδ' ἢν ἄρθμοι μεμύκῃ μᾶλλον ἢ δεῖ. δῆλον δὲ τουτέων ἕκαστόν ἐστι τῶν εἰρημένων. ἢν μὲν γὰρ ἀπεστραμμένον ᾖ πάμπαν, ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν, ἢ ἔρχεται βιαίως, ξὺν νούσῳ. ἢν βιάσηται τὸ αἷμα τὰς μήτρας στραφῆναι κατ' ἤθεα. καὶ ἢν ἀποκαθαρθῇ ἡ γυνὴ ἔστιν ὅτε αὐτίκα ἀποστρέφεται τὸ στόμα τῶν μητρέων ἀπὸ τοῦ αἰδοίου. ἢν δὲ ὀλίγον παρακεκλιμένον ᾖ, ἢ ἄρθμοι μεμύκῃ, χωρέει μὲν τὰ καταμήνια, χωρέει δὲ βιαίως, καὶ κατ' ὀλίγον ἐπὶ πολλὰς ἡμέρας. Ταῦτα δὲ πάντα δῆλα γίνεται, εἰ οὕτως ἔχει ψηλαφώσῃ γυναικί. καὶ ἢν τούτων τι ᾖ, μελεδανθεῖσα ἡ γυνὴ φορὸς γίνεται. ἔστι δὲ καὶ ὅτε αὐτομάτη. τούτων δὲ ἕκαστον διότι γίνεται, εἴρηται δὲ ἐν τοῖσι γυναικείοισι νουσήμασιν. Ἢν δὲ λεῖαι ἔωσιν αἱ μῆτραι, γίνεται δὲ τοῦτο καὶ φύσει ἐνίῃσι, καὶ ἢν ἕλκεα ἐγγενόμενα, μεγάλας οὐλὰς ἐγκαταλίπῃ. καὶ ἢν λεῖαι ἔωσιν, οὐ λαμβάνει ἡ γυνὴ ἐν γαστρί. τὴν γὰρ γονὴν δέχονται μὲν αἱ μῆτραι, ἢν μή τι αἴτιον ἄλλο ᾖ, ξυλλαμβάνουσι δὲ οὔ. ἀλλὰ τὸ σπέρμα ἔξω χαλῶσι. δῆλον δὲ μάλιστά ἐστι ψηλαφώσῃ. καὶ εἰρομένῃ εἴ ποτε ἐν τῇσι μήτρῃσιν ἕλκεά οἱ ἐγένοντο. τὰ δὲ καταμήνια ὑγιηρῶς μὲν ἐν τουτέῳ τῷ νοσήματι χωρέει. ἀνίητος δὲ γίνεται ὡς ἐπὶ πλέον ἡ τοιαύτη. γίνεται δὲ καὶ τὸ τοῦτο αἴτιον, οὐ μὴ συλλαμβάνειν ἐν γαστρί. Ἢν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν ὑπὸ παθήματος τούτων τῶν εἰρημένων, καὶ μὴ ταχὺ ὑγιανθῇ, ἀλλὰ μολυνθῇ. παραμένει γὰρ τὸ ἕλκος ἐπὶ πουλὺν χρόνον, ὥσπερ καὶ τὸ ἐν ὠτίῳ, καὶ ὄζει πονηρὸν ἡ γυνή. καὶ ἔστιν ὅτε ἰχὼρ ῥέει αὐτῇ ἐκ τοῦ αἰδοίου κάκοδμος. καὶ μέχρις ἂν ἔχῃ τὸ ἕλκος, οὐ λαμβάνει ἐν γαστρί. οὐ γὰρ συλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. ταύτῃ τὰ καταμήνια χωρέει ὑγιηρῶς. ἐν ψηλαφήσει δὲ μάλιστα γίνεται δῆλον, καὶ ἐρωτήσει περὶ τῶν εἰρημένων. μελεδανθεῖσα δὲ φορὸς γίνεται. ὀλίγαι δὲ ἐλπίδες εἰσίν. ἢν δὲ τῶν καταμηνίων ἐλλειφθέν τι ἐν τῇσι μήτρῃσιν ἔκρηξιν ἔχῃ, θερμανθὲν δὲ καὶ αὖθις ψυχθὲν περὶ τὸ στόμα, ἢ ὀλίγον ἐνδοτέρω, οὐδ' οὕτω λαμβάνει ἐν γαστρί. ἔργμα γὰρ τὸ ἐπικείμενον, οὐ παρίησι τὴν γονὴν ἰέναι, ὅκου δεῖ. καὶ ἢν μὲν ἐν ἀρχῇ μελεδαίνηται, ὑγιαίνει, καὶ φορὸς γίνεται. ἢν δὲ χρόνος ἐγγένηται, ἄφορος μένει. δῆλον δὲ τὸ πάθημα, ψηλαφήσει μάλιστά ἐστι, σκληρὸν γάρ τι ἐγγίνεται. καὶ ἢν χάνωσι μᾶλλον τοῦ καιροῦ αἱ μῆτραι, οὐδ' οὕτω κυΐσκεται. οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. δῆλον δὲ ἔσται καὶ τοῦτο ψηλαφήσει. καὶ τὰ καταμήνια ἔρχεται ἀλέα, καὶ ἐπ' ὀλίγας ἡμέρας. Γίνεται δὲ καὶ φύσει τὸ πάθημα τοῦτο, καὶ ὑπὸ νοσημάτων τῶν εἰρημένων. καὶ ἢν μὲν φύσει ᾖ, ἀνίητος ἡ νοῦσος. ἢν δὲ μή, οὐχ ὑγιηρὰ χωρέει τὰ καταμήνια, οἷα τῆς γυναικὸς μὴ ὑγιηρῆς ἐούσης, οὐδὲ οὕτω κυΐσκεται. οὐ γὰρ πήγνυται ὑπὸ τοῦ αἵματος νοσεροῦ ἐόντος, ἀλλὰ διαφθείρει τὴν γονὴν, τὸ αἷμα τὸ κακὸν ἀπὸ τοῦ σώματος νοσερὸν ἐόν. διαφθαρεῖσα δὲ ἡ γονὴ, ἐξέρχεται ἔξω τῷ χρόνῳ ἢ ὀλίγῳ, ἢ πολλῷ ξὺν ἰχῶρι. δῆλον δέ ἐστι τῷ σώματι τῆς γυναικὸς, καὶ τοῖσι καταμηνίοισι. χωρέει γὰρ τὰ καταμήνια αὐτῇ, οἷα εἴρηται, ἤν τε χολώδης, ἤν τε φλεγματώδης, ἤν τε ὑδρωποειδὴς ἔῃ. ἐν τάχει δὲ μελεδανθεῖσα, εὔφορος γίνεται. ἢν δὲ μή, οὔ. Ἢν δὲ γυναικὶ μὴ χωρέει τὰ καταμήνια πάμπαν,

contingit ſi os vterorum præter naturam paulùm perverſum ſit. Quòd ſi prorſus conniueat vterorum os, neq; ſic vteri genituram excipiunt ſi plus quàm conueniat recenter conniueat. Quæ commemorata ſingula patent. Etenim ſi prorſus auerſum aut conniuens fuerit, menſes nullo modo, vel non niſi violenter & cum morbo prodeũt, ſi coactus fuerit vterus à ſanguine pro more conuerti. Ac etiamſi mulier repurgata fuerit, interdum & vterorum os à pudendo auertitur. Quòd ſi paulùm declinet, aut de repente conniueat, menſes quidem prodeunt, ſed cum vi, & paulatim per multos dies. Quæ omnia ita ſe habere contrectanti mulieri manifeſta ſunt, & ſi quid ex his cõtigerit, cura adhibita mulier fœcunda redditur, idq; etiam quandoq; ſponte. Quæ ſingula cur contingant, in morbis muliebribus dictum eſt. Si vteri lubrici fuerint (id autem quibuſdã naturâ contingit, & ſi innata vlcera magnas cicatrices intus reliquerint) mulier vtero non concipit. Genituram enim vteri quidem excipiunt, niſi alia quædam cauſa ſubſit, non tamen concipiunt, ſed ſemẽ foras elabi ſinunt. Hoc autem contrectanti manifeſtum eſt, & ei quæ rogatur num aliquando in vteris ei vlcera innata fuerint. Menſes verò hoc in morbo nõ aliter quidem ac ſanis prodeunt, ſed vt plurimùm eiuſmodi mulier incurabilis exiſtit, eaq; cauſa eſt cur vtero non concipiat. Si vlcus ex aliqua harum commemoratarum affectionum in vteris obortũ fuerit, neq; breui ſaneſcat, ſed ſordidum extiterit (longo enim tempore vlcus permanet, velut q; in aure exiſtit, & prauè olet mulier, eiq; interdum ex pudendis ſanies graueolẽs effluit, neq; quamdiu vlcus detinuerit vtero concipit, quòd vteri geniturã non retineant) huic menſes non ſecus ac ſanis prodeunt. Ex contactu autem & interrogatione maximè de prædictis cõſtat. Cura tamen adhibita, etſi parua ſpes eſt, fœcunda tamen euadit. Si verò ex menſibus aliquid in vteris relictum ruptionem fecerit, quod circa os aut paulò interius calefactum fuerit, rurſusq; perfrixerit, neq; ſic vtero concipit. Hoc enim incumbens impedit ne genitura quo opus eſt perueniat. Quòd ſi per initia quidem curetur, cõualeſcit & fœcunda redditur. Si verò tempus acceſſerit, infœcunda manet. Ex contactu autem potiſſimùm affectio patet. Durum enim quiddã innaſcitur. Et ſi plus æquo vteri dehiſcant, neque ſic concipit. Neq; enim ſemen vteri retinent. Sed & hoc quoq; ad contactum manifeſtum fiet, menſeſq; conferti & paucis diebus prodeunt. Hæc affectio verò & naturâ & ex relatis morbis contingit, & ſi quidem à natura fuerit, incurabilis eſt morbus; ſin minus, menſes minimè ſani prodeunt, cùm nimirum mulier ſana non ſit, neq; ſic concipit. Neq; enim à ſanguine morboſo concreſcit, verùm ſanguis morboſus ex corpore delatus, genituram ſeroſam reddit, quæ ſeroſa reddita, tempore modico, vel multo, vnà cum ſanie foras egreditur. Id autem ex melioris corpore & menſibus patet. Menſes enim ei quales dicti ſunt feruntur, ſiue bile, ſiue pituita, ſiue aqueo humore abundarit. Breui autem cura adhibita fœcunditati reſtituitur, alioqui minimè. Si verò mulieri menſes penitus nõ prodeant,

aut propter ea omnia quæ commemorata sunt, ne sic quidem concipit. Neq; enim venæ sanguine refectæ genituram excipiunt, & in vteris aliquid inueterati sanguinis inesse necesse est, quod genituram nutriri prohibet. Quòd si pauciores quàm cõueniat menses prodeunt, neq; sic concipit, propter causas in priore morbo commemoratas, quod & ex percontatione patet. Et si quidem natura pauci menses prodeant, incurabilis existit. Si verò ex aliqua commemoratarum affectionum, cura adhibita breui fœcunda erit. Et si plures quàm conueniat mulieri menses prodeant, neque sic vtero concipiet. Neq; enim vteri euacuato sanguine, propter imbecillitatem genituram apprehendũt, quòd si sanè etiam apprehendant, copiosus sanguis ad mulieris vterum de repente delatus, genituram suffocat. Id autem etiam ex mensibus qui copiosi prodibũt manifestum est. Et si quidem naturâ copiosos menses mulier demittit, infœcunda redditur. At si nõ natura, sed ab aliqua ex commemoratis affectionibus, cura adhibita breui fœcunda erit. Et si vterorum os extra pudendũ exciderit, neq; sic vtero concipit. Os enim durum efficitur, neq; genituram excipit, & intumescit, ideoq; infœcunda pr sus redditur. Quam ob causam autem hæc affectio contingat, manifestum est. Et si menses minimè vt conuenit prodeant, sed deorsum ad sedem cum impetu ferantur, neq; sic vtero concipit. Os enim vterorum à pudendo auersum esse, aut conniuere patet. Quòd si vtero in sedem obuerso, aut conniuente, cura adhibita fuerit, fœcunda redditur. Vtrumq; verò ex percontatione & respõsione manifestum fit. Si enim menses semper sic fuerint, his morbum in causa esse manifestum est. Atq; istæ eiusmodiq; causæ in mulieribus sunt, ob quas nisi curentur, nõ pariunt, & ex quibus prorsus infœcundæ reddũtur, vt proinde mirari mulieres minimè oporteat, si quædam nõ tamen sæpe pariant. Tentamenta quibus exploratur in muliere cõceptus. Si nosse velis an mulier cõceptui sit idonea, butyrum & lac mulieris puerum lactantis potui exhibeto, & si eructauerit concipiet, sin minùs, minimè. Netopum modicũ lana conuolutum subter apponito, deinde mane spectato num eius quod appositum fuit odor ad os peruenerit, quòd si sic, concipiet; sin minùs, non. Aliud ad idem. Si cui mulieri ex subdititiis non admodum vehementibus dolores ad articulos peruenerint, & dentium stridor, tenebricosa vertigo, & oscitatio detinuerit, huic concipiendi maior spes adest, quàm cui nihil horum contingit. Aliud. Allium caput vnicum habens, capite depurgato & deraso in vterum subdito, & postridie spectato num odor ad os perueniat, quòd si sic, cõcipiet; sin minus, minimè. Si mulier nosse velit an conceptura sit, anisum ex aqua quàm tenuissimè tritum bibat, & dormiat. quòd si quidem pruritus circa vmbilicum eam corripiat, cõcipiet; sin minùs, minimè. Prægnantem mulierem, si non aliter, ex hoc tamen cognoſces, quòd oculi contracti, & magis caui videntur, neq; eorum candidum natiuam habet albedinem, verùm liuidius cernitur. Quæ vtero gerunt, in facie maculam habent, quam ἔφηλιν vocant, vbiq; cõcipere cœperint, vinum odio habẽt, & cibos auersantur, oris ventriculi

[8] ἢ ὑπὸ πάντων τῶν εἰρημένων, καὶ οὕτως οὐ ξυλλαμβάνει. αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεις ἐοῦσαι, τὴν γονὴν οὐ δέχονται, καὶ ἐν τῇσι μήτρῃσι αἵματος ἐνεῖναί τι χρονίου παλαιοῦ μὴ χρὴ, μὴ ὅτι ἀποκωλύει τὴν γονὴν τρέφεσθαι. ἢν δὲ ἐλάσσω τὰ καταμήνια χωρέῃ τοῦ δέοντος, οὐδὲ οὕτω κυΐσκεται. αἴτια δὲ ἐν τῇ προτέρῃ νούσῳ προειρημένα. δῆλον δὲ καὶ τοῦτο ἐν τῇ ἐρωτήσει. κἢν μὲν φύσει ὀλίγα χωρέῃ τὰ καταμήνια, ἀνίητος γίνεται. ἢν δὲ ὑπὸ παθήματος τουτέων τινὸς τῶν εἰρημένων, μελεδανθεῖσα, ἐν τάχει [10] φορὸς ἔσται. καὶ ἢν πλείονα τοῦ δέοντος χωρέῃ τῇ γυναικὶ τὰ καταμήνια, οὐδὲ οὕτως ἐν γαστρὶ λαμβάνει. αἱ γὰρ μῆτραι κεκενωμένου τοῦ αἵματος, [11] οὐ ξυλλαμβάνουσι τὴν γονὴν ὑπὸ ἀσθενείης. ἢν δὲ ἄρα καὶ ξυλλάβωσιν, κατελθὸν τὸ αἷμα πολλὸν ἐξαπίνης ἐπὶ τὰς μήτρας τῆς γυναικὸς, ἀποπνίγει τὴν γονήν. δῆλον δὲ καὶ τόδε τοῖσιν ἐπιμηνίοισιν ὁκόταν πολλὰ χωρήσει. καὶ ἢν μὲν φύσει ἡ γυνὴ πολλὰ χαλᾷ τὰ καταμήνια, ἄφορος γίνεται. ἢν δὲ μὴ φύσει, ἀλλ' ὑπὸ παθήματός τινος τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει, φορὸς ἔσται. καὶ ἢν τὸ στόμα τῶν μητρέων ἐκπέσῃ τοῦ αἰδοίου, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. τό, τε γὰρ στόμα σκληρὸν γίνεται, καὶ οὐ δέχεται τὴν γονὴν, καὶ οἰδέει. καὶ ταύτῃ ἄφορος γίνεται τὸ πάμπαν. δῆλον δὲ τὸ πάθημα τοῦτο [12] διότι γίνεται. καὶ ἢν μὴ χωρέῃ τὰ καταμήνια κατὰ τὸ προσῆκον, ἀλλὰ κάτω ὁρμῇ ἐς τὴν ἕδρην, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. δῆλον γὰρ ὅτι τὸ στόμα τῶν μητρέων ἐκτέτραπται ἀπὸ τοῦ αἰδοίου, ἢ μέμυκε. καὶ ἢν μὲν κατὰ τὴν ἕδρην ᾖ ἐστραμμένον τὸ στόμα, ἢ μέμυκε, μελεδανθεῖσα, φορὸς γίνεται. δῆλον δὲ ἑκάτερον ἐστὶ τῇ ἐρωτήσει καὶ ἀποκρίσει. [13] ἢν γὰρ τὰ καταμήνια ἑκάστῳ ὧδε εἴη, ἡ νοῦσος ταύτῃσι δῆλον ὅτι αἰτίη ἐστί. τοσαῦτα καὶ τὰ τοιαῦτα τῇσι γυναιξίν ἐστι, δι' ἃ οὐ τίκτουσι πρὶν ἂν ἰηθῶσι. καὶ δι' ὅσα ἄφοροι γίνονται τὸ πάμπαν. ὥστε θαυμάζειν τὰς γυναῖκας οὐ χρὴ, [14] ὅτε εἰσὶ μὲν, οὐ τίκτουσι δὲ πολλάκις. Πειρητήρια δι' ὧν δηλοῦται ἡ γυνὴ εἰ κυήσει. Γυναῖκα ἢν θέλῃς γνῶναι εἰ κυήσει, [15] σικύην ποιῆσαι ἢ βούτυρον καὶ γάλα γυναικὸς κουροτρόφου διδόναι πίνειν. καὶ ἢν ἐρεύγηται, κυήσει. εἰ δὲ μὴ, οὔ. [16] Νέτωπον ὀλίγον προστίθεσθαι ἐν εἰρίῳ ἐνελίξαντα, κἄπειτα ἕωθεν σκέψασθαι ἢν ὄζῃ διὰ τοῦ στόματος τὸ ἐπιτεθέν. κἢν μὲν ὄζῃ, κυήσει. ἢν δὲ μὴ, οὔ. Ἕτερον πειρητήριον ἐπὶ τοῦ αὐτοῦ. [17] Ἤ τινι ἂν γυναικὶ ἀπὸ τῶν προσθετῶν μὴ λίην ἰσχυρῶν ἐόντων, ἢν ὀδύναι ἐς τὰ ἄρθρα ἀφίκωνται. καὶ βρυγμὸς ἔχει. καὶ σκοτοδινιῆται. καὶ χασμᾶται. ἐλπὶς αὐτὴν κυῆσαι μᾶλλον, ἢ ἥτις τούτων μηδὲν πάσχει. Ἄλλο. [18] Μώλυζαν σκορόδου περικαθήραντα, τὴν κεφαλὴν ἀποκνίσαντα προσθεῖναι πρὸς τὴν ὑστέρην, καὶ ὁρῆν τῇ ὑστεραίῃ, ἢν ὄζῃ διὰ στόματος, καὶ ἢν ὄζῃ, κυήσει. ἢν δὲ μὴ, οὔ. Ἢν θέλῃ γνῶναι ἡ γυνὴ εἰ κυήσει, [19] πινέτω ἄννησον τετριμμένον ἐν ὕδατι ὡς λειότατον, καὶ εὑδέτω. καὶ ἢν μὲν κνησμὸς αὐτὴν λαμβάνῃ περὶ τὸν ὀμφαλὸν, κυήσει. ἢν δὲ μὴ, οὔ. [20] Κύουσαν γυναῖκα ἢν μὴ ἄλλο γινώσκῃς, ἐν τούτῳ γνώσῃ, ὁρῶνται οἱ ὀφθαλμοὶ εἱλκυσμένοι καὶ κοιλότεροι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος. ἀλλὰ πελιώτερα φαίνονται. Ὁκόσαι ἐν γαστρὶ ἔχουσιν, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι. καὶ ἀρχόμεναι συλλαμβάνειν, [21] μίσοινοι γίνονται, καὶ κακόσιτοι. καὶ καρ-

διωγμοῦ

δαγμοῦ μεσταί. καὶ πτυαλίζουσιν. [22] Μίλτον καὶ ἄννησον τρίψαι ὡς λειότατα. εἶτα ἐν ὕδατι διεῖναι καὶ δοῦναι. καὶ ἐᾶσαι ὑπνῶσαι. καὶ ἢν μὲν στρόφος γένηταί οἱ περὶ τὸν ὀμφαλὸν, κύει. ἢν δὲ μὴ γένηται, οὐ κύει. πάντων δὲ τουτέων, ὕστερον πίνειν ἄλητον, καὶ μέλι, καὶ ὀρίγανον ἐν οἴνῳ καὶ ἐλαίῳ. [23] Ὅσαι ἐν γαστρὶ ἔχουσαι, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσιν, ἄρρεν κύουσιν. ὅσαι δὲ εὔχροοι οὖσαι διαμένουσι, θῆλυ ὡς ἐπὶ τὸ πουλὺ κύουσιν. Ἢν αἱ θηλαὶ ἄνω ἔωσιν ἐστραμμέναι, ἄρσεν κύει. ἢν δὲ κάτω, θῆλυ. Λαβὼν τοῦ γάλακτος, φυρῆσαι ἄλητον, καὶ ποιῆσαι ἀρτίσκον. καὶ ὀπτῆσαι ἐπὶ πυρὸς μαλθακοῦ. καὶ ἢν μὲν κατακαυθῇ, ἄρρεν κύει. ἢν δὲ διαχανῇ, θῆλυ. [24] Τὸ αὐτὸ τοῦτο ἐπιτυλίξας ἐν φύλλοισιν ὄπτα. καὶ ἢν μὲν πήγνυται, ἄρρεν κύει. ἢν δὲ διαχυθῇ, θῆλυ. Θεραπεῖαι κυήσιος πειρητήριοι, καὶ παιδογονίης, ἥτις δεῖται. καὶ ἄτεκνος ἐοῦσα. καὶ ἤδη κυοῦσα. [25] οὐ τίκτει δὲ ἀτεκνοῦται. Ἐπὴν ὁ στόμαχος σκληρὸς ᾖ, ὅλος ἢ ἄκρος, καὶ ξυμμεμύκῃ, καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν κεκύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτὸν, ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ᾽ ἑωυτό. ὁπόθεν οὖν ἢ τρηχὺς ᾖ, ἢ πεπωρωμένος. σκληρὸς δὲ γίνεται καὶ ἀπὸ ξυμμύσιος, καὶ ἀπὸ πωρώσιος. Ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται. ἢ φαίνεται πολλῷ ἐλάσσονα, ἢ κακίονα τοῦ δέοντος. καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται. τὰ μὲν ἐπιμήνια καθ᾽ ὑγιείην τοῦ σώματος, καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται, κατά τε τὸ σύμφυτον καὶ τὸ δίκαιον. καὶ ἀπὸ θέρμης καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου οὐ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν πάλιν οὐ δέχεται διὰ τὴν βλάβην, ἥτις ἂν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. Ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, πίνειν δοῦναι φάρμακον. καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρότερον, [26] ἤν τε ἄνω καὶ κάτω, ἤν τε κάτω μοῦνον. καὶ ἢν μὲν ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν πρότερον τῆς καθάρσιος, ἀλλ᾽ ὕστερον. πυριήσας δὲ μεταπῖσαι κάτω. ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας κάτω πῖσαι. ὅταν δὲ δοκῇ καλῶς ἔχειν τὸ σῶμα, μετὰ τοῦτο πυριῆν ἐγκαθίζων τὰς μήτρας αὐτὰς πυκνὰ, ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν. ἐπιβάλλειν δὲ ἐς τὰ πυριήματα, κυπαρίσσου πρίσματα. δάφνης φύλλα κεκομμένα. καὶ λούειν πολλῷ καὶ θερμῷ πολλάκις. ὁκόταν δὲ νεόλουτος, καὶ νεοπυρίητος ᾖ, ἀναευρύνειν τὸ στόμα τῶν μητρέων, μήλῃ κασσιτερίνῃ, [27] καὶ ἀνορθοῦν ὁμοῦ, ἐὰν δέῃ. [28] ἢ μολυβδίνῃ, ἀρξάμενος ἐκ λεπτῆς. εἶτα παχυτέρῃ ἢν προσδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. βάπτειν δὲ καὶ τὴν μήλην ἐν τῷ μαλθακτηρίῳ διειμένῳ ὅ τι δοκέει ξυνοίσειν, ὑγρὸν ποιήσας. Τὰς δὲ μήλας ποιέειν ὄπισθεν πλατείας. [29] εἶτα περὶ ξυλείοισι μακροῖσι προσαρμόσαι, καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον ἑψοῦσα ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ γλυκεῖ δᾷδα πινέτω ὡς πιοτάτην καταχέασα λεπτά. καὶ σελίνου καρπὸν κόψασα. [30] καὶ κυμίνου αἰθιοπικοῦ κάλαμον. καὶ λιβανωτοῦ ὡς κάλλιστον. τούτου πινέτω νῆστις ὁκόσον δοκέει μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ καλῶς ἔχειν. καὶ ἐσθιέτω [31] σκυλάκια σιαλώδεα δίεφθα. καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν τῷ γλυκυτάτῳ. καὶ τοῦ ζωμοῦ πινέτω. καὶ κράμβην ἑφθὴν, καὶ οἶνον λευκὸν ἐπιπινέτω. καὶ μὴ δειπνείτω. καὶ λουέσθω δὶς τῆς ἡμέρης.

morsu torquentur, & os frequenti saliuatione redundat. Minium & anisum tenuissimè tritũ, deinde aqua dilutũ exhibeto, & dormire sinito, & si ei tormina circa vmbilicum suboriantur, prægnans est, alioqui, minimè: post hæc autem omnia, farinam, mel, & origanum ex vino & oleo bibat. Quæ vterò gerẽtes maculam in facie veluti ex Solis adustione (ἔφηλιν vocãt) habent, eæ fœmellam gestant: quæ verò benè coloratæ permanent, marem plærunq;. Si papillæ sursum conuersæ fuerint, marem gestat, si deorsum, fœminam. Sumptam lactis portionem cum farina subigito, & in pastillum formato, & leui igne torrefacito, & si quidẽ exuratur, marem gestat, si verò diffindatur, fœmellã. Hoc idem ipsum super folia emulctum inspicito, & si quidem cogatur, masculũ gestat, si verò diffundatur, fœmellam. Curationes quæ conceptum explorant in ea quæ liberorum procreatione indiget, & liberis caret, & quæ iam antea prægnans effecta, nunc verò nõ parit, vbi vteri stomachus totus, aut extremã sui parte durus, aut conniuens & non rectus fuerit, sed in alterã coxendicem cõuersus, aut in rectum intestinum procubuerit, aut sese contraxerit, aut stomachi labrum in se reductũ fuerit. Quacunq; igitur ex occasione asper & callosus euadit. At ex conclusione & callo durus fit. His menses minimè, aut longè pauciores, aut quàm conueniat deteriores, & per longius tempus apparẽt. Et mẽses quidem pro corporis & vterorũ valetudine exitum habent, & pro connato & iusto eorũ caloris & humiditatis modo, & stomacho nõ admodũ offenso. Rursus autem geniturã ob læsionem nõ recipit, quæcunq; tandem stomachum malè affectum ne recipiat impedit. Huic post fotum vniuerso corpori adhibitũ, medicamentũ purgans bibendum exhibere oportet, facta primũ corporis purgatione, siue sursum & deorsum, siue deorsum solùm. Et si quidem sursum purgãs medicamentum exhibeas, ante purgationem fomentum non admouendum, sed postea. At fomento adhibito, deinde medicamentum deorsum purgans exhibendum. Quòd si sursum purgante medicamẽto minimè opus esse videatur, fomẽto ante admoto per inferiora purgãs bibendũ exhibeto. Vbi autem corpus bene habere visum fuerit, postea crebrò in eo fotu quicunq; tandẽ cõducere videbitur insidendo, vteris ipsis fomẽtum admoueto. In fotus autem cupressi ramenta, & lauri folia tusa immittito, & copiosa calida frequenter lauato. Recenter lotæ & fotæ os vteri specillo stanneo aut plũbeo diducito, simulq; si opus fuerit dirigito, initio à tenui ducto, deinde crassiore si admiserit admoto, quoad probè habere videatur. Specillum autẽ emolliente quodcunq; cõducere videbitur dissoluto & liquido reddito intingito. Specilla lata posteriore parte conficito, deinde paruulis lignis oblongis accommodatis vtitor. Hoc verò tempore tædam pinguissimã in tenuia frustula dissectam, ex vino albo dulci quàm suauissimo decoctam bibat, & apij cuminiq; Æthiopici semen cõtusum, & thus probatissimũ. Ex hoc moderatã quãtitate bibat diebus quibus meliùs habere videbitur, & catulinas carnes pingues percoctas edat, & polypum ex vino dulcissimo coctum, iusculum bibat, brassicam quoque coctam, vinumq; album superbibat, cœna abstineat, & bis die lauet.

Per hoc tempus cibis abstineat, postea si per stomachum ꝓcesserit, & quandã foras purgationem ostenderit, vno aut altero die potionem aliquã bibat, à specillorum vsu desistito, & vteros subdititiis & medicamentis purgare tentato. Cui verò cùm stomachus rectus sit & mollis, & sanus, beneq; habeat, & conuenienti loco situs sit, mẽses nullo modo, aut pauciores, & longiore tempore apparent, minimeq; sani, vbi perscrutatus fueris quonam morbo vteri laborãt, & num corpus aliquid conferat, & inuenta causa ex qua non concipit, cùm sic quidem habuerit, cõuenientem curationem adhibeto, si eam recipiat, initio à validioribus prout opportunum videbitur ducto, & in leuiora desinens, quoad vterus bene à purgatione habere, & stomachus rectè constitutus, & idoneo loco situs esse videatur. Quòd si à medicamento & potione nõ processerit, neq; si moderato tempore biberit, hac potione supersedeat. Vbi verò ex specillorum vsu bene habuerit, os stomachi emollito, & vt dehiscat, viamque subdititio præbeat, per medicamenta, tum ad suffitũ, tum ad emolliendũ accommodata efficito. Cùm autem ex emollitione & suffitu bene habere videbitur, per subdititia medicamẽta vteri purgationem quoad bene habere videatur efficito, progressu à leuibus ad vehemẽtiora facto, rursus autem in leuia odorata desinens. Medicamenta enim valentia ferè stomachum exulcerant, & quominus recto loco cõsistat, & ad genituram suscipiendam bene habeat impediunt, vterumq; siccum reddũt. Si verò mulieri vteri ad conceptum à purgatione offensi esse videantur, eam quàm maximè extenuato, & præter alia gracilem reddito. Vernum autem tempus ad cõceptum prestantissimũ. Vir verò minimè inebrietur, neq; vinum albúm, sed valentissimum & meracius bibat, cibos edat valentissimos, neq; calida lauet, viribus valeat, & sanus sit, & cibis ad hanc rem minimè conducentibus abstineat. At cui mulier expurgata videbitur, & vteri stomachus bene habere, caput lauet & defricet, & nullo prorsus ilinatur, deinde linteo inodoro loto capillis circumposito, reticulo nihil olente loto deliget, primùm subdito linteo, postea galbano ad ignem aut solem calefacto, & probè emollito, ad stomachum in subdititio apposito quiescat. Deinde matutino tempore soluto reticulo & linteo, caput olfaciendum alicui præbeat, & si probè purgata fuerit, olet. Hæc autem ieiuna faciat. Quòd si ei quæ non parit subdideris, nunquam neq; purgata, neq; aliter olebit, neq; si prægnanti supposueris, sic olebit. Quæ verò crebrò prægnans est & facilè concipit, & bona valetudine fruitur, si etiam nõ purgatæ subdideris, ei vertex olebit, nihilque aliud. Cùm verò bene habere cognoueris, ad virũ adeat iubeto. Et mulier quidem cibis abstineat, vir autem minimè temulentus, sed frigida lotus, & qui paucos & conferentes cibos in cõuiuio sumpserit. Quòd si mulier se genituram concepisse nouerit, primo tempore ne virum adeat, sed quiescat. Noscet autẽ si vir se emisisse dixerit, mulier verò propter siccitatem ignoret. Quòd si rursus eadem die vterus genituram reddiderit, humidus erit, quo casu, rursus cum viro congre-

Ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπίθυνται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν, καὶ μήτε κνησμοί τινες λυπέωσι, μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν ἔστ' ἂν ὑπὲρ εἴκοσιν ἡμέρας γένηται. ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν. ἀτρεκὲς δὲ οὐδέν. μέγα γὰρ καὶ φύσις φύσιος, καὶ ἡλικίη ἡλικίης διαφέρει. ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα, ἢ τὸ πρόσθεν. ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον. καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν. ἐπὴν δὲ ὅταν τοῖσι νάρθηξιν δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κέεσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν, καὶ αὖθις μετεπιδῆσαι. δίαιτα δὲ τοῖσιν οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα ἔξω ἐξίσχῃ, ἀρκέει ὑποφαύλη. ἐνδεέστερον δὲ χρὴ διαιτᾶν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλινύοντας. καὶ ὄψοισιν ἁπαλοῖσιν χρῆσθαι ὁκόσα τῇ διεξόδῳ μετριότητα παρέχουσι. οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι. ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ κατηγμάτων ἰήσιος. ὥς τε χειρίζειν χρὴ ὡς ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅτι δ' ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται, ἢ πεπλεόνασαι. ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροί, καίτοι πᾶσα μελέτη, καὶ πᾶσα ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιεύμενα. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω κατεαγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ

ἐπιδεδε-

A ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχῃ ἀναλελαμμένος, τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἄκρην τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ, καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος ᾖ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων. B χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ, τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι.

vinctiq; manus mitella quadam excipiatur, quæ magna sui parte fracturam contineat, hinc verò & inde manus dependeat, huic in superiorem partem os peruerti necesse est. Sin verò ossibus sic fractis, summam manus partem & eam quæ est ad cubiti flexum mitella excipiat, quod autem in cubito est reliquum dependeat, in inferiorem partem os deprauatum erit. Oportet igitur mitella lata & molli, maximam cubiti partem & manus iuncturam æqualiter sublatam esse.

[1] ἐπιδεδέσθαι] Hunc locum longè aliter contra Hippocratis & Galeni mentem omninò sumpsit Caluus.

ἐν τριήκοντα δὲ μάλιστα] Idem scribit Paulus (cap. 100. lib. 6.) cubiti ossa ferè triginta diebus callo firmari. Celsus verò inter vigesimum & trigesimum diem crura brachiaq; sanescere.

μάλα γάρ τι] Hîc communia exemplaria secuti sumus. Sic enim legunt tam scripta quàm publicata omnia. Gal. tamen, μάλα γάρ τι ἡ ἡλικίη διαφέρει legisse videtur, etsi aliàs naturæ meminit, vbi hunc locum adducit, vt Com. 1. in lib. de rat. vict. in morb. ac.

ἐπὴν δὲ λύσης] Post septimum diem iam circumpositis ferulis, deligationis & calidæ perfusionis modũ fusissimis verbis prosequitur Gal. lib. 6. Meth. med. & Paulus lib. 6. Istud autem breuioribus his verbis sic exprimit Celsus. Postea leuiùs aqua calida fouere, quia primò digeri materiam opus est, tunc euocari. Ergo cerato quoq; liquido id leuiter est vngendum, perfricandaq; summa cutis est, laxiusq; id deligandum est. Tertio quoq; die soluendum, sic, vt remota aqua calida, cætera eadem fiant: tantummodo singu- C læ fasciæ, quoties resolutæ fuerint, subtrahantur.

αὖθις μεταπιδῆσαι] Sic meliora legunt exemplaria, quædam etiam ἢ ὀλίγῳ σφόδρον μεταπιδῆσαι, minus rectè.

[8] διαίτῃ δὲ τοιαύτῃσι] δίαιτα ἀποφαύλως mediocrem victum diximus ex Galeno, qui μέτριον & μέσην exponit, subexilem aut prope vulgarem obaudientes, hoc est subexiguum & non validæ materiæ. Celsus in fractis famem primùm esse necessariam scribit, deinde à die tertio humidum cibum, sublata inflammatione paulò pleniorem, eumq; qui carnem alat: per omne tempus vinũ esse alienum. Item primis diebus habendum silentium & quiescendum. Idem primis diebus famem consulit, deinde tum cùm iam increscere callum oportet, liberalius alimentum, longam à vino abstinentiam.

ἡ χεὶρ ἀπαιωρέηται] Erotianus ἀπαιωρέεται hîc legisse videtur, quod ἀποκρέμαται exponit, hoc est suspenditur aut dependet.

ὥσπερ νόμος] Hunc locum explicat Gal. Com. 2. in lib. κατ' ἰητρ. Erotianus autem νόμον δίκαιον, λόγον συμφέροντα exponit, hunc locum procul omni dubio subindicans.

D ὁ δὲ ἄλλος πῆχυς] Sic legunt exemplaria omnia manu scripta. Galenus verò ὅλος πῆχυς. Quædam etiam ἄλλως, minus rectè. Reliqua omnia exemplaria manu scripta μὴ μετέωρος ᾖ legunt: etsi Caluus sine negatione legisse videtur, in eoq; magnam amphibologiam secutus videtur, cùm cubitum sublimem & altum esse voluit, quem suspensum dixisse oportuit. Aut certè negatio adscribenda fuit, ad Hippocratis & Galeni notionem exprimendam.

χρὴ οὖν ἐν ταινίῃ] Celsus. Deligari autem brachium debet, paulùm pollice ad pectus inclinato. Siquidem is maximè brachij naturalis habitus sit, idq; inuolutum mitella commodissimè excipitur, quæ latitudine ipsi brachio, perangustis capitibus collo inijcitur, atq; ita commodè brachium ex ceruice suspensum est.

[9] ἢν δὲ ὁ βραχίων κατεαγῇ, ἢν μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τούτῳ τῷ σχήματι διαδέῃ, ὁ μῦς τοῦ βραχίονος E κατατεταμένος ἐπιδεθήσεται. ἐπὴν δὲ ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε. ξύλον πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον, οἷοι οἱ στειλαιοί εἰσι τῶν σκαφίων, κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. καθίσαντα δὲ τὸν ἄνθρωπον ἀπὸ ὑψηλοῦ τινὸς τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στειλαιὸς ἔχων ξυμμέτρως, ὥστε μόλις F δύνασθαι καθίζεσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι. ἔπειτα θέντα τι ἄλλο ἔφεδρον, καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον, ἢ ἓν ἢ πλείω, ὅκως ξυμμέτρως σχοίη ὕψος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. ἄριστον μὲν σκύτος πλατὺ καὶ μαλθακὸν, ἢ ταινίην πλατείην ἀμφιβάλλοντα, τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, ὅ, τι μετρίως ἕξει κατατείνειν. εἰ δὲ μὴ, τῶν ἀνδρῶν ὅστις ἐρρωμένος ἐν τούτῳ G τῷ σχήματι τοῦ πήχεος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω. ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων, κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον. ῥηϊδίως δὲ κατορθωθήσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις ἢν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ τἄλλα πάντα ὥσπερ πρόσθεν παρῄνεθη, χειριζέτω. καὶ ἐρωτήματα H ταῦτα ἐρωτάτω. καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν. ἢν μετρίως ἔχῃ ἢ οὔ. καὶ διὰ τρίτης ἐπιδείτω, καὶ ἐπὶ μᾶλλον πιεζέτω. καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξιν ἐπιδησάτω. καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τούτου τοῦ χρόνου λυσάτω, καὶ διαθετησάμενος μεταπιδησάτω.

At verò brachio fracto, si quidem manu porrecta distentio adhibeatur, brachij musculus intentus deligabitur, atque vbi vinctus cubitum inflexerit, brachij musculus figurã immutabit. Brachij igitur æquissima distentio hæc est lignum cubitale, aut paulò breuius, cuiusmodi sunt ligonum manubria, ab vtraque parte fune deligatum suspẽsum esse oportet. Homo autem alto quodã sedili collocatus manu superincumbat, sic vt manubrium sub ala ita statuatur, vix vt ille cõsidere possit, sed prope suspẽsus maneat. Tum supposito firmo aliquo, & superdato puluino vno scorteo aut pluribus, ea altitudine quæ obliquè collocato cubito ad rectum angulum respondeat: præstiterit quidem ex corio lato & molli, aut fascia lata superiniecta, graue aliquod pondus, quod modicè intendat, suspendere: Aliôqui vir robustus sic collocatũ cubitum, ad cubiti flexuram vi quadam deorsum deducat. Medicus verò erectus, altero pede altiore loco collocato, ad curationem aggrediatur, & manuum palmis os cõponat. Quod certè facilè fiet. Hæc enim intẽdendi ratio laudabilis est, si quis eã probè vtatur. Postea iniectis circa fracturam fasciarum initiis, ad deligationem accedat, cæteraq; omnia quemadmodum antea monuimus, ad curationem accommodet, easdemq; interrogationes atq; eadem indicia adhibeat, vt intelligat nũ moderatè se habeant, nécne, & tertio quoq; die deligationem admoueat, magisq; comprimat. Septimo aut nono die ferulæ circundandæ. Ac si metus sit os nõ rectè repositum esse, medio spatio soluere, posteaq; vbi rectè collocatum fuerit, religare oportet.

ἢν μέν τις ὑποτανύσας τὴν χεῖρα] ὑποτανύσας ἐκτείνας exponit Erotianus, hunc locum innuens, etsi apud eum ὑποτανύσας legitur.

ὁκοῖοι οἱ σκαλαιοί] σκαλαιὸς manubrium hîc significat, vt & σκαλὸν dicitur foramen securis aut ligonum in quod lignum immittitur, qu & ἡ σκαλὶς magis propriè nominatur. Dicitur & σκαλὸς aut σκαλιὸς Didymo ἡ λαβὴ τοῦ πελέκεως. Codices autem, tum manu scripti, tum p blicati, mendosè συλαιὸς legunt. Ex quo etiam ad Paulum vitium dimanauit lib. 6. cap. 99. Cùm nanque hunc intendendi modu ex Hippocrate describit, ξύλον δὲ σκηλίον vocat, quod columnulæ modo dixerunt Interpretes. Idem quoque 115. & 118. lib. 6. eunde extendendi modum indicans, τὸ σύλιον vocat, baculum instar columnulæ rotundum significans. Sed sanè vtrobique σκαλαιὸν ex Hi pocrate legendum esse apparet. Alios verò intendendi brachij modos apud Paulum videre licet, præcipuéq; ex Sorano, quem fe hodie Chirurgi nostri sequuntur: neq; enim funes aut lora, sed manus tantùm adhibet. Cornelius autem Celsus proprium que-dam intendendi humeri modum describit. Siquidem humerus fractus, non sic, vt membrum aliud intēditur. Quem quidem qū valde obscurus est, & in exemplaribus nostris omninò deprauatus, ideoque multis malè acceptus, integrum apponere operæpr-tium videtur. Homo collocatur alto sedili, medicus autem humiliore aduersus. Vna fascia brachium amplexa, ex ceruice ipsius q læsus est, id sustineat. Altera ab altera parte super caput data, ibi accipit nodum. Tertia vincto imo humero deorsum demittitur, i quoq; capitibus eius inter se vinctis. Deinde ab occipitio ipsius, minister sub ea fascia quam secundo loco posui, correptum, si de ter humerus ducendus est, dextro, si sinister, sinistro brachio, demissum inter femina eius qui curatur, baculum tenet: Medicus si per eam fasciam de qua tertio loco dixi, palmam iniicit dextram, si sinister, sinistram, si dexter humerus ducatur, simulque altera fasciam minister attollit, alteram premit medicus. Quò fit vt leuiter humerus extendatur.

σιδηρῷ δήσαντα] σιδήρῳ habent exemplaria quædam manu scripta Regia, quæ etiam videtur secutus Caluus. Quædam etiam σιρηδίου & vitiosè legunt. Paulus lignum vult per summa de trabe fune suspensum. Et Erotianus σειρῇ τῷ ἱμάντι exponit, hunc certè locu subnotans.

ὥστε μόλις δύνασθαι καθιζῆσθαι τὸν ἄνθρωπον] Sic sanè legunt omnia exemplaria tum manu scripta, tum publicata, quæ sonant (vix vt ei perueniat) hoc est, manubrium ea commoderatione sub ala aptetur, vix vt eò sedens contingat, ac nisi prope sublimis & suspensus. Quæ certè lectio perspicua est. Sed pro καθικνεῖσθαι καθῆσθαι omnes Interpretes legisse videntur, quos etiam secuti sumus. Vitiosa sunt autem exemplaria quæ καθίζεσθαι habent, vt & ea quæ σμικρῷ δὲ ἐόντα μετέωρον εἶναι, pro σμικροῦ δέοντα. Paulus hominem alto sedili collocatum, paulò erectiorem esse vult, quàm in ea figura quæ ὀρθοκαθέδος (quòd in ea erecta ceruice dormiatur) dicitur, aut à recta sessione ὀρθοκαθέδρος. Sic enim quidam legendum existimant.

σκύτινον ὑποκεφάλαιον] Erotianus σκύτιον ὑποκεφάλαιον legit, si modo integra est scriptio, idque exponit δερμάτινον προσκεφάλαιον, ὅπερ καὶ τύλειον. Scorteum puluinum Celsus vocat.

καὶ εὐθετισάμενος καταστησάτω] εὐθετισάμενος καταστρώσας exponit Erotianus apud Hippocr. hoc certè subnotato loco, quod est consternens, probè collocans, tanquam ab εὐθετίζομαι, cùm tamen εὐθετισάμενος legant exemplaria omnia.

Firmatur autem brachij os diebus ferè quadraginta. Quos vbi excesserit, resoluendum, minusq; adstrictis fasciis ac paucioribus vinciendum. Victus quoq; ratio exquisitior quodammodo ac diuturnior quàm antea adhibenda, coniectura ex tumore qui in summa manu est eiusq; viribus, sumpta. Illud præterea animaduertendum, brachium suapte natura in exteriorem partem inclinari, eoq; si malè curetur, distorqueri solere. Quin & reliqua omnia ossa, quâ parte naturaliter distorta sunt, eò, vbi fracta curantur, facilè peruerti consuêrunt. Si qua igitur talis est suspicio, fascia lata brachio circumiicienda, & ad pectus circunducēda. Cumq; quiescere volet, inter cubiti gibbum & costas, splenium quoddam multiplex inuolutum, aut aliud quidpiam eiusmodi, subiiciendū. Hac enim ratione incuruati ossis directio fiet. Ea tamē cautione adhibita, vt ne nimis ad interiorem partem ducatur. Pes autem hominis ex multis & paruis ossibus, non secus ac summa manus, constat. Quæ neque ferè frangi consuêrunt, nisi ab acuto aliquo & graui, vnà quoque carnosæ partis vulnus accedat. Sed de vulneratorum curatione, vbi de vlceribus agetur, dicemus. Quòd si quid suo loco moueatur, aut digitorum articulus, aut aliud quodpiam os ex his quæ primam plantam constituunt, (quam ταρσὸν vocant) in suam quodque sedem compellendum, non secus ac in manu. Curatioq; adhibenda per ceratum, splenia & fascias, nō secus ac in fracturis, ferulis prætermissis, eodem modo comprimendo, ac tertio quoq; die deligando. Interrogandus quoq; is qui vincitur, perinde etiā ac in fracturis, adstrictáne sit, an laxa deligatio. Sanescunt autem perfectè omnia viginti diebus, nisi si quæ cum tibiæ ossibus cōmunionem habent, eiq; è directo respondent. Quo tempore decumbere confert, id tamen non sustinent, qui morbum parui facientes, obambulāt prius quàm

κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλλῃ, λύειν χρή, καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισιν, καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ πρόσθεν διαιτᾶν, καὶ πλείω χρόνον. τεκμαίρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρῶν. προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλέει, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα εἰς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλέει διαστρέφεσθαι. ἐπὴν κατεαγῇ, χρὴ τοίνυν ἐπὴν τοιοῦτό τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι ὃ τουτέῳ ἔοικεν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρή, ὅπως μὴ ἢ ἄγαν ἐς τὸ ἔσω μέρος. ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ μικρῶν ὀστέων σύγκειται, ὥσπερ χεὶρ ἄκρη. κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα, ἐν ἑλκωσίων μέρει εἰρήσεται ὡς χρὴ ἰητρεύειν. ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον, ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται. καὶ ἰητρεύειν δὲ κηρωτῇ καὶ σπλήνεσιν καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων. τὸν μὲν αὐτὸν τρόπον πιέζοντα, διὰ τρίτης δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷά περ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ τοῦ πεπιέχθαι, καὶ περὶ τοῦ χαλαρὸν εἶναι. ὑγιῆ δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσιν τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτέῃ τῇ ἰξύϊ. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον. ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι.

ἐμέωνται. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις αὖθις ὁ πόνος ὑπομιμνήσκει εἰκότως. ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέουσι, φλαύρως ξυναλθώσεται τὰ ἄρθρα τὰ κινηθέντα. διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ. τὰ δὲ κοινωνέοντα τοῖς τῆς κνήμης ὀστέοισιν, μείζω τε τῶν ἑτέρων ἐστίν, καὶ κινηθέντων τούτων πουλυχρονιωτέρη ἡ ἄλθεξις. ἴησις μὲν οὖν ἡ αὐτή. ὀθονίοισι δὲ πλείοσι χρέεσθαι, καὶ σπλήνεσιν. καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐπιδέειν. πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιέεσθαι. ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων, ὕδατι πολλῷ θερμῷ χρέεσθαι. ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ' ἄρθρα σίνεσιν. αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες, ἐν τοῖσιν αὐτέοισιν χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνυόντων, ἅπερ ἐπὶ τοῖσιν πρόσθεν, καὶ τὰς μετεπιδέσιας, ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα, ἢν τολμέωσι κατακεῖσθαι. ἢν δὲ μή, πάσχουσι ταῦτα ἃ καὶ πρότερον, καὶ ἐπὶ μᾶλλον.

sani sint. Ideoq; plærique non integrè conualescunt, sed subinde, non iniuriâ, eos doloris sensus commonefacit. Nam cùm totum corporis onus pedes sustineant, vbi nondum sani deambulant, articuli agitati non rectè curantur, eaque de causa subinde ad tibiam dolores sentiunt. Quæ verò cum tibiæ ossibus communionem habent, tum reliquis maiora sunt, tum agitata longius tempus ad curationem postulant. Curandi tamen eadem est ratio. Plures autem fascias & splenia adhibere oportet, omninoque vtraque parte deligare & adstringere, vt reliqua omnia, eâ potissimùm parte quâ os emotum est, eoque primùm fascias circunducere. At quoties fasciæ soluuntur, calida multa vtendum. Ea nanque in omnibus articulorum læsionibus liberaliter affundenda. Compressiones verò & laxamenta iisdem temporibus fieri, eadem quæ suprà signa ostendunt. Quod & vbi religare expedit, itidem factitandum. Hi autem, si decumbere non grauentur, quadraginta ferè diebus in totum conualescunt. Sin minùs, cum his quæ priùs exposita sunt, tum etiam grauioribus malis afficiuntur.

[10] κρατύνεται δὲ] Paulus quoque lib. 6. brachij & tibiæ os intra quadragesimum diem callo ferruminari scribit. Celsus inter septimum & vigesimum, & quadragesimum, humerum & femina sanescere.

ὁ τοῦ βραχίονος κυρτὸς πέφυκεν] Brachij os extrinsecus quidem magis esse gibberosum, internis verò partibus simum, scribit Gal. cap. 16. lib. 2. de vsu part. eiusq; rationem reddit.

ὅπως μὴ ἡ ἄγαν ἐς τὸ ἔσω μέρος] ἔξω legit Caluus refragantibus omnibus exemplaribus, tum etiam sensu ipso.

[11] ποὺς δὲ αἰθρόπου] Hunc locum adducit Gal. lib. 3. de administr. anatom. & explicat.

ἢν μὴ ξὺν τῷ χρωτὶ] χρώματι legũt exemplaria Regia quædam manu scripta, quòd χρῶμα etiam cutis dicatur & corporis superficies, eaq; etiam dictione vtitur Hippocr. lib. περὶ ἐνυπνίων. χρωτὶ tamen legunt reconditiores membranæ, vt & Galenus.

ἀναγκάζειν μὲν χρὴ] Chirurgi nostri, ad ossium in summa manu cõpositionem, tabella plana ex Pauli præscripto vtuntur, quale quid etiam in manus luxatione præcipit Hippocr. lib. de art. In summo pede, ex Albucasis consilio, pedem læsum solo affigunt, deinde supra os prominens durum aliquid superimponunt, & os prolapsum plantæ pedis calcant ac vrgent, vt vis facta faciliùs in suam sedem compellat. Quod sanè ex Hippocrate quoq; lib. de artic. sumptum videtur.

ὑγιὴς δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσιν] Celsus intra vnum & vigesimum diem ferè sanescere os tali, calcem, manum, plantam, scribit.

ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων] ἀπολύσιας hoc mihi videtur loco exponere Erotianus, ἢ τὰς τῶν ἄρθρων ἀπολύσεις, ἢ τὰς τῶν ἐπιδέσμων λύσεις.

[12] Ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινὸς ἐστήριξαν τῇ πτέρνῃ ἰσχυρῶς, τουτέοισι διίστανται μὲν τὰ ὀστέα. φλέβια δὲ ἐκχυμοῦνται ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δὲ ἐπιγίνεται καὶ πόνος πουλύς. τὸ γὰρ ὀστέον τοῦτο οὐ σμικρόν ἐστιν, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης, κοινωνέει δὲ φλεψὶ καὶ νεύροις ἐπικαιροτάτοισιν. ὁ τένων δὲ ὁ ὄπισθεν τούτῳ προσήρτηται τῷ ὀστέῳ. τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν. ὕδατι δὲ θερμῷ πλείστῳ τουτέοισι χρῆσθαι, καὶ ὀθονίοισι πλείοσιν. ἐπὶ τουτέοισι δεῖ καὶ ἄλλως ὡς βελτίστων καὶ προσηνεστάτων. καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἐὸν τὸ ἀμφὶ τὴν πτέρνην, ἐᾶν οὕτως. ἢν δὲ παχὺ καὶ σκληρὸν οἷα μετεξετέροισι ἴσχουσιν, καταταμεῖν χρὴ ὁμαλῶς καὶ διαλεπτῦναι μὴ διατιτρώσκοντα. ἐπιδεῖν δὲ ἀγαθῶς, οὐ παντὸς ἀνδρός ἐστι τὰ τοιαῦτα. ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ καὶ τὰ ἄλλα τὰ κατὰ τὰ σφυρὰ ἐπιδέεται, ὅτε μὲν περὶ τὸν πόδα περιβαλλόμενος, ὅτε δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ θλάσμα ἐγένετο. καὶ οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τῆς πτέρνης. καίτοι ἢν σφακελίσῃ τὸν αἰῶνα πάντα ἱκανὸν ἀντέχειν τὸ νόσημα. καὶ γὰρ τἄλλα ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος, ἢ ἐν κνήμῃ τρώματος γινομένου, ἐπικαίρου καὶ χρονίου, καὶ κοινοῦ

Qui ab alto desilientes, calci vehementi cum impetu innituntur, iis ossa quidem diducuntur, venulæ, carne circum os collisa, sanguinem effundunt, tumorque ac dolor multus superuenit. Neque enim hoc os exiguum est, subterque è directo tibiæ prominet, & communionem cum venis & neruis magnis habet. Huic quoque ossi posteriore parte tendo annectitur. Curandi autem sunt cerato, spleniis & fasciis, calidaque liberaliter affundenda, & pluribus fasciis vtendum, tum præcipuè etiam quàm optima & lenissima adhibenda. Quòd si cutis quæ calcem ambit naturâ mollis extiterit, sic sinere oportet. Sin crassa & dura, qualis in cæteris cernitur, ea æqualiter incidenda & attenuanda est, neque tamen vulneranda. Ista autem rectè deligare non est cuiusuis. Si quis enim eo modo deuinciat, quo cætera circa malleolos vinciuntur, partim quidem ad pedem, partim verò ad tendinem fascia circumiecta, huiusmodi fasciarum constrictiones, calcem quâ collisio extitit seiungunt, vnde ei syderationis periculum impedet. Quod si accidat, toto æuo perdurat. Nam quæ aliæ sunt syderationes, velut vbi ex decubitu negligenter collocato calce is nigrescit, aut, siue ex insigni & diuturno tibiæ aut fœmoris vulnere, quod calci communica-

tum fuerit, siue ex alio morbo, diu supini ægri decubuerint: eæ tamen iis diuturnæ & molestæ sunt, & quæ sæpe recrudescunt, nisi optima diligentia & longa quiete curentur. Quare quæcunque huiusmodi syderationes contingunt, eæ præter aliam noxiam, corpus quoque in summum discrimen adducunt. Febres enim admodum acutæ superueniunt, assiduæ, cum tremore & singultu, mentem tentantes, & quæ paucis diebus ægrum è medio tollant. Existunt quoque venarum sanguinem fundere solitarum liuores, eæque veluti nauseabundæ sanguinem refundunt, & cancro propter compressionem occupantur. Possunt etiam ista incidere absque alia syderatione. Atque hæc quidem ad vehementissimas collisiones referenda sunt. Plurima tamen leuiter colliduntur, ac neque magnum studium aut diligentiam requirunt, nihilominus rectè tractari debent. Vbi autem vehemēs illisio incumbere videbitur, tum fulcire, tum quæ dicta sunt facere conuenit. Tum verò maxima fasciæ parte ad calcem circumiecta, partim summum pedem, partim medium, interdum etiam quæ ad tibiam sunt, oppositis inter se ductibus obuoluere, tum vicinas partes omnes hinc & inde, velut ante dictum est, vinculis comprehendere, neque vehementem quidem compressionem, sed multas tamen linteorum conuolutiones facere. Præstat autem eodem aut postero die, veratri potionem exhibere, tertioque die soluere, ac rursus deligare. Recrudescat verò nécne morbus, his indiciis cognoscetur. Nanque vbi sanguis è venis refusus, aut quæ nigricant, quæque his vicina sunt, aliquantulum rubescunt aut obdurescūt, periculum est ne recrudescat. Quòd si febre vacet æger, sursum purgante medicamento vtendum, velut dictum est, quod idem etiam conuenit, vbi febris non est assidua. Eo nanque si febris fuerit assidua abstinendum, vt & cibis ac sorbitionibus, potioneque vtendum aquæ non vini, sed aquæ mulsæ acidæ, ὀξύγλυκυ vocant. At si nullus recrudescentis morbi metus est, sugillata & nigrores, circumuicinæque partes, citra duritiem, aliquantulum ex virore pallescunt. Id quod certum est in omnibus sugillatis indicium, non futurum vt vnquam morbus recrudescat. Quæ verò cum duritie liuent, ea certè ne nigrescant periculum est. Ac danda est opera vt pes plærunque reliquo corpore paulò altior collocetur. Sanus autem, si quiescat, intra sexaginta dies euadet.

τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γινομένου. ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια καὶ ὀχλώδεα, καὶ πολλάκις ἀναῤῥηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπευθῇ, πολλῇ δὲ ἡσυχίῃ. ὥστε γὰρ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ. καὶ γὰρ πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι, καὶ ὀλιγημέρεοι, κτείνοντές τε. γένοιτο δὲ ἂν καὶ φλεβῶν αἱμοῤῥόων πελιώσιες, ναυσιώσιες, καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος. γένοιτο δὲ ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρότατα θλάσματα γίγνεται. ταῦτα μέντοι πλεῖστα ἡσυχαίως ἀμφιθλᾶται, καὶ οὐδὲ μὴν πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς χρὴ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιέειν χρή. καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιέεσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα. ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς αὖτις περιβάλλοντα, ἄλλοτε πρὸς τὰ μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ καὶ τὰ πλησίον πάντα, καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται. καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν πίεξιν, πολλοῖσι δὲ τοῖς ὀθονίοισιν. ἄμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ. ἀπολῦσαι δὲ τεταρταῖον καὶ αὖτις μετεπιδῆσαι. σημεῖα δὲ τάδε ἢν παλιγκοτήσῃ, ἢ οὔ. ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γένηται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. ἀλλ' ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ ὥσπερ εἴρηται. καὶ ὅσα μὴ ξυνεχῶς πυρεταίνηται. ἢν δὲ ξυνεχῶς πυρεταίνηται, μὴ φαρμακεύειν. ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων. ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ ὀξυγλυκεῖ. ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν τὰ ἐκχυμώματα, καὶ τὰ μελάσματα, καὶ τὰ περιέχοντα ὑπόχλωρα γίγνεται καὶ μὴ σκληρά. ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσιν ἐκχυμώμασιν, τοῖσι μὴ μέλλουσι παλιγκοταίνειν. ὅσα δὲ σὺν σκληρύσμασι πελιοῦται, κίνδυνος μὲν μελανθῆναι. τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ, ὅκως ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. ὑγιὴς δὲ ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν, εἰ ἀτρεμέοι.

[12] τὸ γὰρ ὀστέον τὸ οὐ σμικρόν ἐστι] Omnia pedis ossa calcem ipsam magnitudine plurimùm excedere scribit Gal. lib. 3. de vsu part. eiusq; rei rationem reddit.

ὁ τένων δὲ ὁ ὄπισθιος] De eo agit Gal. lib. 3. de vsu par. cap. 10. Celsus latum neruum, durum & intentum à posteriore vocat.

περὶ τὸν πόδα περιβαλλόμενος] ἐπιβαλλόμενος legunt exemplaria quædam manuscripta Regia non contemnendæ authoritatis.

ἀλλ' ἐν κατακλίσει] Sic legunt omnia exemplaria, tam manu scripta, quàm publicata, quæ adhuc videre licuit. Caluus tamen ἀνακλίσει legisse videtur.

καὶ πολλάκις ἀναῤῥηγνύμενα] ἀναῤῥηγνύμενα hîc quæ disrumpuntur aut quæ recrudescunt significant, velut τὰ παλιγκοτέοντα dicuntur in fine lib. de artic. vbi ista ferè aliis verbis repetuntur. Vocantur etiam τὰ ἀναῤῥηγνύμενα ἕλκη Paulo, quæ præproperè cicatrice obducta, rursus orta inflammatione disrumpuntur aut recrudescunt.

ναυσιώσιες] ναρκώσιες habent vitiosè omnia exemplaria manu scripta, quæ etiam secutus videtur Caluus. Sed ναυσιώσιες ex Galeno legendum apparet. Suntque ναυσιώσιες in Exegesi, αἱ παρεκχύσεις τοῦ αἵματος, ἃς δὴ καὶ ἐκχυμώσεις ὀνομάζει. μετενήνεκται δὲ ἀπὸ τῶν ἐπὶ ταῖς ναυσίαις ἐμούντων αἷμα τοὔνομα. Neque certè cuiquam dubium est quin hunc locum indicet, eadem quoque ferè expressa explicatione. Dicuntur igitur φλεβῶν ναυσιώσιες venarum nauseæ aut nauseationes, hoc est veluti nauseabundarum venarum sanguinis refusiones.

ἔξω τοῦ ἄλλου σφακελισμοῦ] Sic habent meliores & reconditiores membranæ cum publicatis exemplaribus. Quædam etiam σφακελισμοὶ legunt, vitiosè.

ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι] ἰσχυρὸν τὸ ἔρεισμα hîc quidam iungunt, & vehementem fulciendo illisionem factam intelligunt. Sed nos ἰσχυρὸν ad θλάσμα, & τὸ ἔρεισμα ad sequentia retulimus cum Vidio.

πολλοῖσι δὲ τοῖς ὀθονίοισιν] Sic vetustiora & meliora exemplaria, quædam etiam δὲ omittunt. Alia etiam ἐν πολλοῖσι δὲ legunt.

At verò tibiam duo ossa constituunt, quorum qui-

[13] ἡ δὲ κνήμη δύο ὀστέα ἐστί. τῇ μὲν συχνῷ λεπτότερον τὸ

A ἐστὶ δ' ἕτερον τοῦ ἑτέρου, τῇ δὲ οὐ πολλῷ λεπτότερον. ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς, καὶ ἐπίφυσιν κοινὴν ἔχει. ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται. τὰ δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται, καὶ ἐπίφυσιν ἔχει. καὶ ἡ ἐπίφυσις διάφυσιν. μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον. ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ. ὀλισθαίνει δέ ἐστιν ὅτε τὰ πρὸς τοῦ B ποδὸς, ὅτε μὲν ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα. ὅτε δὲ ἡ ἐπίφυσις ἐκινήθη, ὅτε δὲ τὸ ἕτερον ὀστέον. ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον, ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρῶν, εἰ τολμῴεν ἀτρεμέειν οἱ ἄνθρωποι. ἴησις δὲ παραπλησίη οἵηπερ ἐκείνῳ. τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος ὥσπερ ἐκείνων. ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. ἐς τὰ πλεῖστα μὲν C γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν τείνοντες. ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέειν τὴν κατάτασιν. ἢ γὰρ πλήμνην κατορύξαντα χρὴ, ἢ ἄλλο τι ὅ, τι τούτῳ ἔοικεν, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν. ἔπειτα πλατέσι βοείοισιν ἱμᾶσι περιδήσαντα τὸν πόδα, τὰς ἀρχὰς τῶν ἱμάντων, ἢ πρὸς ὕπερον, ἢ πρὸς ἕτερον ξύλον προσδήσαντας, τὸ ξύλον πρὸς τὴν πλήμνην D ἄκρον ἐνθέντα ἀνακλᾷν. τοὺς δὲ ἀντιτείνειν, ἄνωθέν τε τῶν ὤμων ἐχομένους καὶ τῆς ἰγνύης.

dem vnum altero hac parte longè tenuius, illa verò parte paulò tenuius est. Cohærent autem inter se quâ parte pedem contingunt, communeque habent ossis accrementum: sed in tibiæ directione non cohærent. Ad femur verò adnato quodam osse coniunguntur, quod septum medium habet. Osque alterum quâ parte paruum digitum spectat, paulò longiùs producitur. Ac ossium tibiæ natura sic se habet. Atq; hæc vtraque ossa interdum quidem quâ pedem contingunt, vnà cum adnato osse suis sedibus excidũt, quandoque verò adnatum os dimouetur, quandoque etiam alterum os. Hæc sanè, modò homines quiescant, minùs molestiæ exhibent, quàm quæ in prima manus iunctura existunt. Curatio verò in vtroque assimilis. Nam & hîc per intentionem repositio, velut in illis, molienda. Quanquam eò valentiorem hæc intentionem desiderant, quò validius hac parte corpus est. Vt plurimùm tamen duo viri satis sunt, qui in diuersa contendant: sin minùs, valentiorem intẽtionem moliri procliue est. Aut enim humi defosso rotæ modiolo, aut alia quapiam re huic simili, molle aliquid ad pedem circundare oportet, deinde loris bubulis latis pedem circumuincire, eorumque capitibus aut ad pistillum, aut ad aliud lignum alligatis, lignum, summa eius parte in modiolum immissa, reflectere, quosdam verò à superiore parte humeris apprehensis & poplite, in diuersum extendere.

[13] ἡ δὲ κνήμη δύο ὀστέα ἐστί] ἐστι legunt reconditiores membranæ manu scriptæ. ἔχει etiam habent quædam non ita vetustæ. Cæterùm istud Celsus sic exprimit. Ipsum autem crus est ex ossibus duobus. Etenim per omnia femur humero, crus verò brachio simile est: adeò vt habitus quoque & decor alterius ex altero cognoscatur, quod ab ossibus incipiens, etiam in carne respondet. Verùm alterum os ab exteriore parte supra positum est, quod ipsum quoque sura rectè nominatur. Id breuius supraq; tenuius, ad ipsos talos intumescit.

διάφυσιν] διάφυσις hîc septum illud medium aut interstitium significat, in medio adnati ossis tibiæ inter vtrunque sinum protuberans, quod inferiora femoris tubercula discriminat, eorum grandem sinum subiens. Eminentiam quandam nerueam cartilaginosamq; vocat lib. de Ossib. Gal. inter medios tibiæ sinus assurgentem, quæ inter femoris tubercula, veluti in mediam quandam E rimam aut scissuram inseritur. Hanc certè διάφυσιν minùs rectè expressisse Caluus videtur.

μακρότερον δὲ τὸ ἕτερον] Suræ os breuius & tenuius, nec adeò protensum ac tibiæ os ad genu, tum ipsa res clamat, tum scribit Galenus lib. 3. † de vsu part. & libello de ossib. Celsus etiam alterum os dicit à priore parte positum, cui tibiæ nomen est, longius & in superiore parte plenius, solum cum femoris inferiore capite committitur, sicut cum humero cubitus. Etsi verò inter se comparata vtraque ossa longitudine pari videntur, quod & Iulius Pollux testatur lib. 2. Suræ tamen os qua minimum digitum spectat tantò longius producitur, quantò altius tibiæ os ad femur supra porrigitur. Eamque lectionem ex Galeni mente secuti sumus. Alioqui certè si communis esse adnata appendix censeatur, simpliciter suræ os longius esse dicatur. Quod etiam subindicare videtur Galenus in Comment. † Cap. 13.

ἢ γὰρ πλήμνην] πλήμνην, τροχοῦ χοινικίδα exponit Galenus in Exegesi, vt hîc quoque. Sic enim legendum apparet, cùm tamen πλήμνην le-F gisse videatur. Erotianus quoque πλήμνας, τὰς χοινικίδας τοῦ τροχοῦ δι' ὧν ὁ ἄξων στρέφεται, exponit, idque nouè admodum, cùm non axis, sed rota aut modiolus circum ipsum axem voluatur. Quam expositionem etiam Homeri Scholiastes adscribit Iliad. ε. Hesychius πλήμνας esse scribit τὰς περιεχούσας τὸν ἄξονα χοινικίδας. Eidem etiam πλήμνη, ἡ χοινικὶς τοῦ τροχοῦ ἢ τῆς σύριγγος dicitur, ἀπὸ τοῦ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. Pollux etiam πλήμνην τὸ περικείμενον τῷ ἄξονι dicitur. Vtitur hac dictione Homerus (vt etiam testatur Gal.) Il. ε. (v. 526. πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν. Et Il. ψ. (v. 339.) ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι.

ἢ πρὸς ὕπερον] ὕπερος pistillum dicit, quo hîc pro vecte vtitur Hippocrates ad extensionem faciendam. Est apud Hesychium ὕπερον περιτροπή paroemia, de iis qui eandem rem factitant, neque finem vllum faciunt. Hoc autem totum admodum leuiter attigisse Caluus videtur, vt nec illud ἀνακλᾷν expressisse.

[14] ἔστι δὲ καὶ τὸ ἄνω τοῦ σώματος ἀνάγκῃ προσλαβεῖν. G τοῦτο μὲν ἢν βούλῃ, ξύλον στρογγύλον λεῖον κατορύξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μέσηγυ τῶν σκελέων ποιήσας παρὰ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν. ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν. τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀπωθέειν τὸν γλουτὸν ὡς μὴ περιέλκηται τὸ σῶμα. τοῦτο δὲ ἢν βούλῃ, παρὰ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παρα-H πεπηγμένα, αἱ δὲ χεῖρες παρατεταμέναι φυλασσέσθωσαν. προσεπιλαμβανέτω δέ τις κατὰ τὸ γόνυ, καὶ οὕτως ἀντιτείνοιτο. τοῦτο δὲ ἢν βούλῃ, ἄλλους ἱμάντας περιδήσας, ἢ περὶ τὸν μηρὸν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξ ἆς

Sed & superiori corporis parti, vis hoc modo, si lubet, adhiberi potest. Ligno tereti, læui, altè defosso, pars eius quædam extans media inter crura ad interfœmineum statuatur, ne corpus ad eos qui à pedibus extensionem faciunt, delabatur. Deinde ne in crus quod intenditur inclinet, aliquis à latere assidens, natem repellat, ne corpus circumducatur. Idem quoque fiet si ad vtranque alam ligna affigantur, brachiaque protensa seruentur, alius autem genu apprehenso, ita in diuersa contendat. Quinetiam, si placet, hoc molieris aliis habenis ad genu vel femur alligatis, si alterum rotæ modiolum ad caput defoderis, & habe-

nis ad aliquod lignum quod in rotæ modiolum defixum sit, religatis, contrariam ei quæ ad pedes fit extensionē feceris. Quin si lubet modiolorum loco, subtensa lecto mediocri trabecula, deinde ad eius capita hinc & inde lignis obfirmatis & reflexis, lora intēdere licebit. Quòd si placet, per asellos ab vtraq; parte collocatos, extensionem molieris. Sunt & alia quamplurima distentionum genera. Præstat autem eum qui in magna vrbe medicinam factitat, lignum habere præparatum, in quo vis omnis contineatur, quæ tam in fractis quàm luxatis omnibus restituendis, tum per extensionem, tum per vectis molitionem adhibetur. Ad hoc satis erit lignū longitudine, latitudine & crassitudine, quales columnæ querneæ quadrangulæ fieri assolēt. Abutidè igitur distento crure, articulus iam promptè reponitur. Sublimis enim in directum supra pristinam sedem tollitur. Ergo manuum palmis componere decet, partim supra prominens os vrgendo, partim infra malleolum contra propellendo. Repositum articulum intentum, si fieri potest, deligare oportet, sin lora prohibeant, iis solutis, dum vinculum iniectum sit, in diuersa diducere. Deligandum verò eodem modo, fasciarum initiis qua parte os prominet similiter iniectis, primisque orbibus quamplurimis eodem volutis, & spleniis plurimis ad id adhibitis, illicq; potissimùm adstrictis. Prætereaq; hinc & inde plurimùm vinculo circundandum. Hic verò articulus prima deligatione magis comprimendus, quàm qui in manu est. Iniecto vinculo, pars deligata reliquo corpore superior statuatur. Situs autem is esse debet, vt pes quàm minimè dependeat. At corporis extenuationem talem feceris, prout grauis luxatio fuerit, siquidem nonnulla leuiter, alia multùm luxantur. Omninò magis & diutiùs in crurum quàm brachiorum vulneribus extenuādum est, quippe cùm hæc illis sint maiora & crassiora. Quinetiam corpus quiescere & iacēre necesse est. Soluere verò articulum tertio quoque die, posteaq; deligare, neq; quicquam prohibet, neque vrget. Reliquaq; omnia similem præcedentibus curationem habeant. At si quietus iaceat, satis esse possunt quadraginta dies, dummodo in pristinam sedem ossa reuerterint. Sin quiescere nolit, & crure difficiliùs vtetur, diutissimeq; vinctum gestare cogetur.

τήσας τε τοὺς ἱμάντας ἔκ τινος ξύλου, ὃ ξύλον στηρίξας τὴν πλήμνην, τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. τοῦτο ἢν βούλῃ, ἀντὶ τῆς πλημνέων δοκίδα ὑποτείνας ὑπὸ τὴν κλίνην μετρίην. ἔπειτα πρὸς τῆς δοκίδος, ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων, καὶ ἀνακλῶν τὰ ξύλα, κατατείνειν τοὺς ἱμάντας. ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν, ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι. πολλοὶ καὶ ἄλλοι τρόποι κατατασίων. ἄριστον δὲ ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι ἐσκευασμένον ξύλον ἐν ᾧ πᾶσαι ἀνάγκαι ἔσονται πάντων τῶν κατηγμάτων, πάντων δὲ τῶν ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος. ἀρκεῖ δὲ τὸ ξύλον ἢν ᾖ τοιοῦτον, οἷοι οἱ τετράγωνοι στῦλοι οἱ δρύϊνοι γίνονται, μῆκος καὶ πλάτος καὶ πάχος. ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν. ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. κατορθῶσαι τοίνυν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, τοῖσι μὲν ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα, τοῖσι δὲ ἐπὶ θάτερα κατωτέρω τοῦ σφυροῦ ἀντερείδοντα. ἐπὴν δὲ ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένα ἐπιδεῖν χρή. ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα αὖτις κατατείνειν ἔστ' ἂν ἐπιδήσῃς. ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκός, καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιέεσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο, καὶ τὴν πίεξιν μάλιστα κατὰ τοῦτο. προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πεπιέσθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει, ἢ τὸ ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθέν. τὴν δὲ θέσιν δεῖ ποιήσασθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιέεσθαι, ὁκοίην δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα. τὰ μὲν γὰρ σμικρόν, τὰ δὲ μέγα ὀλισθαίνει. τὸ ἐπίπαν δὲ δεῖ ἰσχναίνειν μᾶλλον, καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν, ἢ ἐν τοῖσι κατὰ χεῖρας. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων. καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν τὸ σῶμα καὶ κατακέεσθαι. μετεπιδῆσαι δὲ τὸ ἄρθρον, οὔτε τι κωλύει τεταρταῖον, οὔτε καὶ ἐπείγει. καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ προειρημένα. καὶ ἢν μὲν ἀτρέμα κατακέεσθαι, ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ ὀστέα αὖθις καθίζηται. ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῷτο μὲν ἂν οὐ ῥηϊδίως τῷ σκέλει, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πολὺν χρόνον.

14 ἀνάγκην προσλαβὼν] Sic legit magna pars codicum. Quidam etiam ἀνάγκην προσλαβὼν habent, vt sit vim extensionis subire aut admittere. ἀνάγκην verò vim etiam exponit Erotianus cùm scribit: ἀνάγκη. Βακχεῖος ἐν τρίτῳ ἀντὶ τῆς βίης φησὶ κεῖσθαι τὴν λέξιν. hunc (opinor) locum denotans.

τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν] Caluus perperam à pedibus extensionem fieri præcipit, cùm in contrariam partem, hoc est ad caput attractionem moliri debeamus.

τὴν κεφαλὴν] Contra Galeni & Hippocratis mentem Caluus habenarum capita dixit, cùm trabeculæ capita & vtraque extrema intelligenda sint.

ὀνίσκους καταστήσας] ὀνίσκους asellos vocant seu axiculos, per quos extensionem molimur. Sic ὄνοι dicuntur οἱ ἄξονες, vt hîc scribit Galenus & in Exegesi. ὄνος etiam dicitur sucula, quæ est machina tractorij generis, vt scribit Budæus, qua vtitur Cato libris de re rustica. Eadem etiam ὄνευος dicitur, vnde & ὀνεύεσθαι & κατονεύεσθαι ex Galeno in Exegesi, δι' ὄνων ἐπιστροφῆς τείνειν, per asellorum circumactionem, aut sucula versata extensionem moliri. Erotiano quoq; ὄνος ὁ ἄξων dicitur, ἴσως διὰ τὸ κυκλικὸν τῆς κινήσεως. ὀνίσκους autem & asellos describit Paulus cap. 117. lib. 6.

ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύει] ἰητρεύειν legunt exemplaria duo Regia manu scripta, reliqua omnia ἰητρεύει.

τὴν δὲ θέσιν δεῖ ποιήσασθαι οὕτως] Sic legunt omnia ferè ac meliora exemplaria. Quædam etiam, τὴν δὲ θέσιν δεῖ ποιήσασθαι, οὕτω δὲ.

At verò vbi ossa suis sedibus non integrè restituuntur, sed aliqua ex parte deficiunt, temporis lapsu coxa, femur & tibia emacrescunt. Ac siquidem intrò luxatio facta est, exteriore parte, si extra, interiore par-

Ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ χρόνῳ λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη. καὶ ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται. ἢν δὲ ἔξω τὸ

A ἔξω, τὸ δ' εἴσω. τὰ πλεῖστα δ' ἐς τὸ εἴσω ὀλισθαίνει. ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα κατεαγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δέεται. τείνειν δὲ τουτέων τῶν ἐπιπώρων ἐνίοισι τῶν προειρημένων τισὶ, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν. ἱκαναὶ δὲ καὶ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν, καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης,

B καὶ τοῦ μηροῦ. καὶ ἢν κνήμης ὀστέα κατεηγῇς κατατείνῃς, καὶ ἢν μηροῦ. καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων ὁκότερον ἂν τουτέων ἐπιδέῃς, οὐ γὰρ ταὐτὰ ξυμφέρει σκέλει τε καὶ χειρί. πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδεθῶσιν ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χείρ. καὶ ἢν ἐκτεταμένα ἐπιδέῃς τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πολὺν χρόνον,

C οὐ γὰρ πολλάκις ἐν τούτῳ εἴθισται, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι. καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιιέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσιν, ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται. σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσιν, καὶ ἐν τῷ ἑστάναι εἴθισται, ὅτε μὲν ἐκτετάσθαι, ὅτε δὲ μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν. καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα, διὰ τοῦτο εὐφορέει αὐτῷ ἐστὶν τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ, καὶ δὴ καὶ

D ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ ἐστὶν ἐν τῷ ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται. ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι, καὶ ἀναστῆναι, ἀλλὰ ἀτρεμέουσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι. διὰ οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος, οὔτε ἡ κατάτασις, οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει ἡ αὐτή. ἢν μὲν οὖν ἱκανὴ ἡ

E κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μάτην πονέεσθαι. καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηδὲν δέον. ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκαίων προσφέρειν, ἥν τινά γε προσχωρέῃ. ὅταν δὲ δὴ ἱκανῶς καταταθῇ, ῥηΐδιον ἤδη κατορθοῦσθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρῶν ἀπευθύνοντα καὶ ξυγκρίνοντα. ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσιν ὀθονίοισιν καταλε-

F λαμμένα. ἤν τε ἐπὶ δεξιὰ, ἤν τε ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ αὐτέοισιν τὰ πρῶτα ὀθόνια. ἀρχέσθω δὲ τὴν ἀρχὴν κατὰ τὸ κάτηγμα καὶ περιβαλλέσθω κατὰ τοῦτο τὰς πρώτας περιβολάς. κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται. τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ πλέω αὐτὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδέῃς, καταθεῖναι ἐφ' ὁ-

G μαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διαστρέφεσθαι ἢ τῇ, ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι. μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λινέον, ἢ εἰρινέον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα, ὑποθεῖναι, ἢ ἄλλο τι, ὃ τούτῳ ἔοικεν.

te attenuatio fieri solet. Plærunque tamen intrò excidunt. Cùm autem vtraq; tibiæ ossa absq; vlcere fracta fuerint, validiorem intensionem requirunt. Ac si pars ossis aliqua plurimùm super alterā efferatur, aliquem ex antè commemoratis intendendi modis adhibere conuenit. Satis tamen esse possunt extensiones quas per homines molimur. Nam & plærūq; duo valentes viri, qui hinc & inde in diuersa contendunt, satis sunt. Intendere autem in directum pro naturali habitu, ac secundum tibiæ & femoris rectitudinem oportet, siue tibiæ fractæ, siue femoris ossa intendas. Quin & vtrūuis deuinxeris, ita extenta vtraq; deliganda sunt. Neq; enim eadem deligationis ratio & cruri & manui confert. Siquidē vbi cubiti & brachij ossa fracta deligantur, manus suspensa excipitur. Ac si ea extenta deligaueris, carniū figurationes in cubiti inflexione immutantur. Nequit enim cubiti flexura longam extensionem ferre, cùm non eo habitu, sed plerunq; incuruata detineri consueuerit. Quin & manu vulnerata, cùm homines obambulare possint, eam ad cubiti flexū incuruare opus habent. Crus verò, cùm obambulando, tum stando, partim quidem extentum, partim verò prope extētum esse in inferiorem partem naturaliter soleat, nec non sanè reliquum corpus vehere debeat, iccirco extensionem facilè ferre, cùm opus est, potest. Quinetiam in cubili plærunq; hoc habitu extentum continetur. At postquam vulneratum est, ad seruilem animi demissionem homines necessitate adiguntur, cùm erigi nequeant, adeò vt neq; inflecti, neq; exurgere eis in mentē veniat, sed eo habitu iacentes quiescant. Has igitur ob causas, neq; intensionis, neq; deligationis eadem figura manui & cruri conuenit. Quòd si satis esse potest extēsio quæ per homines adhibetur, nihil ampliùs frustrà laborādum est. Machinas enim admouere vbi res non exigit, absurdum est. At si satis esse nequit per viros adhibita extēsio, etiam quiddam ex violentis quod commodum sit, admoliri opus est. Distentione abundè facta, ossa facilè componuntur, & ad naturalem statum adducuntur, manuum palmis directa & conuenienter aptata. Composita autem ossa, extenta fasciis deliganda, eò primùm circumiectis fasciis, siue ad dextram, siue ad sinistram ducēdæ sint. Quarū tamen initia qua parte os fractum est iniiciantur, ibiq; primùm obuolutæ, deinceps ad superiorem tibiæ partem deligando tendant, quemadmodum in aliis fracturis dictum est. Fascias verò latiores & longiores, multoq; plures in crure quàm in manu esse oportet. Atq; vbi deuinxeris, supra molle aliquod & æquabile deponere, vt ne in hanc vel in illā partem peruertatur, aut in anteriorem aut posteriorē partem inflectatur. Ad id verò plurimùm confert puluinum lineum, aut laneum, mollem, non durum, medium in longitudinem, aut aliud quid tale cruri supponere.

[15] ὅ δὴ καὶ ἅτε δυνάμενοι] ὅτι δυνάμενοι legisse videtur Caluus, contra omnium codicum fidem & Hippocratis mentem.
ἤν τε ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ] Sic legunt omnia ferè & meliora exemplaria. Quædam verò sic habent, ἤν τε ἐπ' ἀριστερὰ περιφέρει αὐτέοισιν τὰ πρῶτα ὀθόνια.
μέσον κατὰ μῆκος ποιήσαντα] Medium per longitudinem cruri puluinum supponendum esse monet. Quod non satis expressit Caluus, cùm modicè longum dixit.

[16] Περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέ-

H λεα τὰ κατεηγότα ἀπορέω ὅ,τι ξυμβουλεύσω, ἢ ὑποτιθέναι χρὴ ἢ οὔ. ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον οἱ ὑποτιθέντες οἴονται. οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται.

Canales nanque, qui cruribus fractis supponuntur, subiici debeant, nec ne, ambigendum mihi videtur. Prosunt etenim, non tamen quantum existimant, qui eos supponunt. Nam neque in quiete, vt putant,

crus continent, neq; dum reliquum corpus in hanc vel illam partẽ conuertitur, canales prohibent quominus crus sequatur, nisi homo ipse diligenter aduertat, neq; rursus crus vel in hanc vel in illã partem moueri absq; reliquo corpore prohibẽt. Quinetiam durum videtur & asperum lignum subiici, nisi simul molle aliquid in ipsum imponatur. Maximè tamẽ est vsui cùm stratum substernitur, ac dum ad desidendum æger progreditur. Potest igitur cum canali, & sine eo, bene vel malè res confici. Vulgò tamen persuasum est etiã medicum minùs esse culpæ obnoxium, si canalis subiiciatur, etsi minùs id ex arte est. Crus siquidem super re aliqua æquabili & molli omni ex parte rectum iacere oportet, quandoquidem necesse est, ab ea peruersione quæ fit in membri depositione, quocunq; aut quantumcũq; se vertat, deligationem superari. Vinctus autem ad eadem quæ priùs dicta sunt interrogatus respondeat. Nam & vinculũ eiusmodi esse conuenit, & tumorem extremis partibus eodem modo assurgere, eodemq; modo vincula laxari, & tertio quoque die resolui, ac postea deligari, necnon vinctam partem graciliorem esse, vinculaq; arctiora & per plures fascias adhibere, eaque ad pedem laxè obuoluere, nisi fractura ad genu proximè accedat. Intendi quoq; moderatè ac dirigi quoties deligantur ossa debent. Nam si curatio rectè instituatur, tumorq; ex sententia succedat, cũ tenuior ac gracilior vincta pars futura est, tum etiam ossa faciliùs adducẽtur, intentioniq; magis cedent. Septimo autem aut nono, aut vndecimo die, ferulæ, velut in aliis quoque fracturis dictum est, admouendæ.

ὅτε γὰρ τὸ ἄλλο σῶμα τις στρέφοιτο, ἢ ἔνθα, ἢ ἔνθα, ἐπάγουσι καὶ οἱ σωλῆνες μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελέηται αὐτὸς ὁ ἄνθρωπος. ὅτε αὖ τὸ σκέλος αὐτὸ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι, ἢ τῇ ἢ τῇ. ἀλλὰ μὴν ἀσεργέστερόν γε ξύλον ὑποδέεσθαι, ἢν μὴ ὁμοῦ ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐνθείη. χρησιμώτατον δέ ἐστιν ἐν τῇσι μεθυποστρώσεσιν, καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. ἔστιν οὖν σὺν σωλῆνι καὶ ἄνευ σωλῆνος, καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσιν ἐστὶ, καὶ τὸν ἰατρὸν ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται. καίτοι ἀτεχνέστερόν γε ἐστίν. δεῖ μὲν γὰρ ἐφ᾽ ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντῃ πάντως ἐς ἰθύ. ἐπεί τοί γε ἀνάγκη κρατηθῆναι τὰς ἐπιδέσιας ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅποι ἂν ῥέπῃ, καὶ ὁκόσα ἂν ῥέπῃ. ἀποκρινέσθω δὲ ὁ ὑποδεδεμένος ταῦτα, ἅπερ καὶ πρότερον εἴρηται. καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι, καὶ τὸ οἴδημα οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρεα, καὶ τὰς χαλάσιας οὕτως, καὶ τὰς μεταπιδέσιας διὰ τρίτης, καὶ εὑρισκέσθω ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι, καὶ πλέοσι τοῖσιν ὀθονίοισιν. περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἀγχοῦ ἔῃ τοῦ γούνατος τὸ τρῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ᾽ ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα. ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, ἔτι μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔτι δὲ αὖ παραγωγότερα ὀστέα, ἐνακούοντα δὲ τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισι κατήγμασιν εἴρηται.

περὶ γὰρ τῶν σωλήνων] Huius loci meminit Gal. cap. 5. lib. 6. Meth. med. & Com. 3. in lib. κατ' ἰητ. Canalis vsum non omninò improbat Hippocr. vt patet ex lib. κατ' ἰητ. neq; etiam Galenus, qui eum Glossocomo etiam magis accommodatum esse scribit. Celsus quoq; crus aut femur fractum in canalem coniici iubet. † Paulus tamen ex recentiorum opinione omninò canalem reiicit. Parabantur autem canales lignei aut fictiles, aut etiam coriacei, quale quid ferè adhibet Paulus. †Cap. 106. lib. 6.

ἀλλὰ μὴν ἀσεργέστερον] ἀσεργέστερον durum & asperum diximus. Gal. ἀπλευρέστερον ἢ ἀηδέστερον exponit, & Com. in lib. κατ' ἰητ. ἄπορον θλῖβον, vt & paulò pòst dicitur Hippocrati, iniucundum, permolestum, quia comprimat. Sic Paulus canales improbat διὰ τὸ θλιβερὸν τὸ ἀπὸ τούτων σκληρείας. ἀχρηστότατον] Mirum est sanè cõsentire hac in scriptione omnes codices tum manu scriptos tum publicatos, quæ tamen sensui & Galeni explicationi, tam in hoc Commentario, quàm in his quos in lib. κατ' ἰητ. scripsit, repugnat. Neque hoc aduertisse Caluum per quam mirum est. εὐχρηστότατον igitur aut χρησιμώτατον legendum esse procul omni dubio apparet.

πάντῃ πάντως ἐς ἰθύ] Istud absolutam in collocando crure diligentiam denotat, quam etiam non minorem quàm in reliquis omnibus quæ ad curationem pertinent adhiberi commendat Paulus, cùm fractarum partium æqualitas rectè adhibita membri collocatione conseruetur. Omni ergo ex parte & vsquequaq; rectum crus iacere debet. Quò magis Albucasis consilium probatur, qui crure fracto reposito, & quoad eius fieri potest rectè collocato, eius rectitudinem filo perpendiculari ad talos extenso explorat.

ἐπὴν δὲ ἑβδομαῖος, ἢ ἐναταῖος] Sic legunt reconditiora omnia exemplaria & reliquorũ magna pars. Quædam etiã ἢ ἐναταῖος omittunt.

Eæ tamen ne è regione malleolorũ ac supra tendonem qui ex tibia in pedem fertur insideant, adhibẽda cautio est. Tibię verò ossa quadraginta diebus, si rectè curentur, firmantur. Quòd si os aliquod directione indigere suspiceris, aut alicuius exulcerationis metus sit, interiecto tempore vbi resolueris ac probè collocaris, religato. At si alterum tibiæ os fractum sit, imbecilliore quidem intentione opus est, sed nec ea tamen deficere aut supinè adhiberi debet. Ac potissimũ quidem in prima deligatione fracta omnia quãtum conuenit, vel certè quàm celerrimè semper intendenda sunt. Quod enim nõ rectè compositis ossibus vinculo adstrictum fuerit, id maiore dolore locum vrget. Reliqua curatio eadem est. Ex ossibus verò quod ex anteriore tibiæ parte (quæ ἀντικνήμιον dicitur) intrò vergere conspicitur, molestiorem curationem facit, maiorẽq; intentionem postulat, ac nisi ossa rectè componantur, latêre nõ potest. Totũ enim & carnis expers se prodit, eoq; fracto multò tardiùs crure insistere queũt. Quòd

[17] τῶν δὲ ναρθήκων τὰς ἕδρας φυλάττεσθαι κατά τε τὴν τῶν σφυρῶν ἴξιν, καὶ κατὰ τὸν τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἢν ὀρθῶς ἰητρεύηται. ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαί τινος διορθώσιος, ἤ τινα ἕλκωσιν ὀρρωδέῃς, ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα καὶ εὐθετισάμενον μεταπιδῆσαι. ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει, μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνέεται αἰεὶ πάντα τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα. οὐ γὰρ ἢν μὴ κατὰ τρόπον εὐθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ὀδυνηρότερον τὸ χωρίον γίγνεται. ἡ δὲ ἄλλη ἴησις ἡ αὐτή. τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεόμενον ὀχλωδέστερον ἐν τῇ ἰήσει ἐστὶ, καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστιν, καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύναται ἀνὰ τοῦτο κατεηγότος. ἢν δὲ

ἔξω

ἔξω ὀστέον κατεαγῇ, πουλὺ μὲν εὐφορώτερον φέρουσι, πουλὺ δὲ εὐκρυπτότερον, καὶ ἢν μὴ καλῶς ξυνιεθῇ, ἐπίσαρκον γάρ ἐστιν, ἐπὶ πόδας τε ταχέως ἵστανται). τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αἱ τῷ σκέλει καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος, τὸ κατὰ τὸ σκέλος, τὸ πλεῖστον ἔχει τοῦ ὀστέου τὸ ἔσω ὀστέον. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑποχέει τὸ ὕψος τοῦ σώματος, αὕτη δὲ ἔσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ σώματος γίνεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ ἔξωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ εἴσω τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον. ἐν μέν τοι τῷ ἄρθρῳ τῷ κάτω οὐκ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου. ἀνομοίως γὰρ ὁ ἀγκὼν τε καὶ ἡ ἰγνύη κάμπτεται). διὰ δὲ οὖν ταύτας τὰς προφάσιας τοῦ μὲν ἔξωθεν ὀστέου κατεαγότος, ταχεῖαι αἱ ἐπιβάσιες. τοῦ δὲ ἔσωθεν κατεαγότος, βραδεῖαι αἱ ἐπιβάσιες.

si os externum fractū est, tum multò leuiùs ferūt, tum longè faciliùs latet, etiãsi non rectè repositum fuerit, cùm carnosum sit, citoq; pedibus insistunt. Maximam quippe oneris partē os sustinet, quod anterioris tibiæ (quę ἀντικνήμιον dicitur) interiore parte situm est, simulq; vnà cum crure, onus etiã quod cruri è directo impositum est ferēdo, plurimùm laboris subit. Nam femoris caput quod superiorem corporis partem subuehit, interiore cruris parte, non exteriore, idq; è directo anterioris tibię, situm habet. Tū verò reliqua dimidia corporis pars, huc magis suo momento quàm in exteriorem partem inclinat. Adde quòd internum os externo crassius est, non secus ac in cubito, quod in directū minimo digito respondet, tenuius est & longius. At in inferiore articulo non similiter os longius subtēditur. Neq; enim similiter articulus ad cubiti gibbum & poples flectuntur. Eas igitur ob causas exteriore quidem osse fracto celeriter, interiore verò tardius incedunt.

[17] ἐν ποταρέχοντα] Inter vigesimum & trigesimum diem crura brachiaq; Celso sanescunt. οὐδὲ βλακεύειν] βλακεύειν ὀλιγωρεῖν exponit Gal. in Exegesi, quod est negligere, contemnere aut vilipendere. Est & βλακεύειν supinè aut remissè, ignauè & negligēter se in re aliqua gerere. Erotianus etiã βλακεύειν ὀλιγωρεῖν exponit, & τὸ μετὰ νωθρείας ἢ ὀλιγωρείας τι πράττειν, stupidè & remissè aliquid facere. Vnde & βλακικὸν ἀντὶ τοῦ νωθρὸν ἢ ὀλίγωρον poni scribit apud Plat. Idem quoq; βλακεύειν, τὸ ἐπὶ πλεῖστον διατρίβειν, significare scribit, à pisce quodam qui βλακὸς dicitur, ὃς ἐν τῷ συνουσιάζειν δυσαπολύτως ἔχει, quòd qui supinè aut ignauè aliquid agunt, circa id plurimùm commorentur.

ἀλλ' οὐχὶ τῇ ἔσωθεν] Sic legunt omnia exemplaria tum publicata tum manu scripta, sed ἔξωθεν legendū apparet, quod viderunt reliqui interpretes præter Caluum. Significat enim reliquum corporis pondus suo momento in interiorem partem ferri ac vergere, non in exteriorem. οὐχ ὁμοίη ἡ ὑπόστασις] ὑπότασις habent meliora exemplaria manu scripta, quædam etiam ὑπόστασις. Est autē ossis ὑπότασις subtensio aut subiectio, & inferior structura aut compositio. ὑποτεῖναι ὑποθεῖναι exponit Erot. & ὑποτεταμένον τὸ ὑποκείμενον ξύλον.

[18] ἢν δὲ τοῦ μηροῦ ὀστέον καταγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περιπλευτὸς, ὅκως μὴ ἐνδεεστέρως σχήσει. πλεοναχθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥστε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα ὅτι τάχιστα ἂν ἀφιῶσιν οἱ τείνοντες. παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι, κρατήσουσι τῆς ἐπιδέσιος, ἀλλ' οὐ κρατηθήσονται). περὶ οὗ οὖν ὁ λόγος, διατείνειν δεῖ καὶ ἀδιαστρέπτως χρὴ, μηδὲν ἐπιλείποντα. μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γινομένη, καὶ ξυγκρυφθείη ἂν, καὶ οὐ μέγα τὸ σφάλμα. σκέλος δὲ βραχύτερον γενόμενον, χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν. ὥστε λυσιτελέει τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι, ἀμφότερα κατεαγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. ἰσόρροπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μὲν οὖν ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει. καὶ ὑποκρινέσθω ταῦτα ὥσπερ καὶ πρόσθεν, καὶ πονεέτω κατὰ ταῦτα, καὶ ῥηιζέτω, καὶ μελεπιδείσθω ὡσαύτως. καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. κρατύνεται δὲ ὁ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσι. προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι μηρὸς κυφὸς ἐστὶν ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω, καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται). καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν. ὥστε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ, οἷά περ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ γέγραπται). προσεπιδεῖν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον, καὶ τὰς ἴξυας, ὅκως οἵ τε βουβῶνες καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πλιχάδα κρατεόμενον προσεπιδέηται.

At verò si femoris os fractum sit, omni ope annitendum, vt extensio, eaq; non minus q̃ par est, fiat. Superans enim intēsio nullam læsionem afferet. Nam neq; si diducta per vim extēsionis ossa religaris, sic diducta vinculo contineri poterunt, sed cùm primùm intensio remiserit, inter se concurrent. Hîc enim carnes crassæ ac validæ deligationē superant, non ab ea superantur. In eo igitur de quo agitur, intēsio valida fieri debet, sic nullam vt in partem vertatur, nihilq; deficiat. Neque enim sine magno dedecore ac noxia femur breuius redditur. Manus quidem certè breuior celari poterit, neq; id magnum peccatū est. Crus verò breuius redditum, hominem claudū efficiet. Id enim sanū, quod est longius, arguit. Adeò vt ei qui malè curari debeat, vtrunq; crus potiùs, q̃ alterum, frangi sit conducibile. Sic enim seipse æquis in vtranq; partem momentis librauerit. Cùm autem abundè intenderis, ac manuum palmis composueris, eodem quo antea scriptum est modò deligandum est, tum fasciarum initiis velut dictum est iniectis, tum iis ad superiorem partem deductis. Æger etiã ad eadem (vt priùs) respōdeat, iisdemq; partibus doleat, ac leuiùs habeat, & solutis vinculis similiter religetur, ferulęq; eodem modo adhibeantur. Femur verò quinquaginta diebus firmatur. Insuper animaduertendum est femur exteriore potiùs parte quàm interiore, ac magis anteriore quàm posteriore parte incuruari. Ideoque in has partes, vbi rectè non curatur, distorqueri solere. Quinetiam his partibus quàm reliquis minus carnosum est, ita vt cum peruertitur latere nequeat. Si quid igitur eiusmodi suspectūm est, eadem moliri oportet quæ in brachio distorto consuluimus. Pauca præterea lintea ad coxam & ilia in orbem circunducenda, tum vt inguina, tum etiam articulus ad locum inter crura medium (qui πλιχὰς Græcis, hoc est, gressura dicitur) deuinciatur.

Quod cùm aliàs confert, tum vt ne extremæ ferulæ ad partes vinculis carentes admotæ eas lædant. Ferulæ siquidem à nuda parte abundè vtrinque semper recedere debent, in iisq; admouendis ea perpetuò cautio adhibẽda est, vt ne ad ossa in articulis naturaliter prominẽtia, neq; ad neruum qui circa articulum est, imponantur. Tumores verò in poplite, aut pede, aut alia quapiam parte, ex compressione sublati, multis lanis succidis probè carptis, vino & oleo respersis, cerato sublito, deuinciendi sunt, ferulæq; si premant, citò laxandæ. Quin & tumores extenuabũtur, si sursum versus ad ferulas, tenuibus fasciis eos deuinxeris, initio ab imis partibus facto, sursum procedendo. Ita enim celerrimè tumor extenuabitur, & supra priorem deligationem transferetur. Hoc tamen deligationis modo vtendum non est, nisi periculum sit, ne tumor pustulis aut nigritie vitietur. Tale autẽ nihil contingit, nisi fractura valdè cõprimatur, aut depẽdeat, aut manu scalpat, aut aliquid aliud qđ irritet ad corpus offenderit.

καὶ γὰρ ἄλλως ξυμφέρῃ, καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν ἱκανῶς. καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθέεσθαι χρὴ, ὅκως μήτε κατὰ τὸ ὀστέον τῶν ἐξεχόντων παρὰ τὰ ἄρθρα φύσει πεφυκότων, μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται. τὰ δὲ οἰδήματα κατ' ἰγνύην, ἢ κατὰ πόδα, ἢ κατά τι ἄλλο ἐξαιρόμενα ὑπὸ τῆς πιέξιος, εἰρίοισι πολλοῖσι, ῥυπαροῖσιν, εὖ καλεργασμένοις, οἴνῳ καὶ ἐλαίῳ ῥήνας, κηρωτῇ ὑπαλείψαντα καλαδεῖν. καὶ ἢν πιέζωσιν οἱ νάρθηκες, χαλᾶν ταχύ. ἰσχναίνειν δὲ ἄν, εἰ ἐπιδέοις ἐς τοὺς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω ἐπὶ τὸ ἀνεμόμενος. οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο, καὶ ὑπερβαίη ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα. ἀλλ' οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ τὸ οἴδημα φλυκταινώσιος ἢ μελασμοῦ. γίνεται δὲ οὐδὲν τοιοῦτον, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα, ἢ καταπεκρεμμένον ἔχῃ, ἢ κνῆται τῇ χειρὶ, ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς χρῶτα.

[18] ὅκως μὴ ἐνδεεστέρως χρῇσθαι] Potest & ad extensionem referri, & ad femur ipsum, quod infra modum extensum, minus quàm par est fiat, quod faciunt omnes interpretes. Neq; enim ignorari oportet (vt scribit Celsus) si femur fractum est, fieri breuius, quia nunquam in antiquum statum reuertitur. Quod sanè ferè vt plurimùm accidere scribit Auicennas, raramque admodum esse femoris fracti integram curationem. Nos quoad eius fieri poterit vtranque expositionem assequemur, cùm (vt nulla re deficiatur) dicemus. Etsi Galenum sequimur, qui ad extensionem magis rétulisse videtur. Quod etiam paulò pòst sequentia indicant.

ὅτι τάχιστα ἂν ἀφιῶσιν] Sic magna pars codicum legit. Quidam etiam ἂν ἀφίησιν habent, vt & Asulanus. Vitiosa verò sunt exemplaria quæ ἀφρῶσιν pro ἀφιῶσιν habent. περὶ οὗ ὁ λόγος] Totum istud membrum librarij vitio (vt reor) in Cornarij versione deficit.

κρατυνθῇ δὲ ὁ μηρὸς] Paulus cap. 102. lib. 6. πωροῦται ὁ μηρὸς ἕως πεντήκοντα ἡμερῶν. Celsus inter septimũ & vigesimum, & quadragesimum humeros & femina sanescere scribit.

προσξυνιέναι δὲ χρὴ] Hunc locum mihi subindicare videtur Gal. lib. 3. de vsu par. cùm femur curuum exteriore parte, interiore verò resimum à natura fabricatum contendit, itaq; scribit: ταύτην αὐτοῦ τὴν ἰδέαν ὁ Ἱπποκράτης οἶδε, καὶ συμβουλεύει καταγνύντος φυλάττειν καὶ μὴ διαστρέφειν εὐθὺς, καὶ ὅστις ἂν φύσει μηρὸς εὐθύπορος τοῦ δέοντος γένηται βλαισοῦται πάντως κατὰ τὸ γόνυ. καὶ τὰς ἰξύας] ἰξύας τὸ μεταξὺ τῶν ἰσχίων καὶ τῆς ὀσφύος explicat Gal. in Exegesi, hunc nimirum locum denotans. At hîc τὰ τῶν λαγόνων ὀστᾶ, quæ ilia dicuntur, accipi scribit.

τὴν πληχάδα καλεομένην] πληχὰς hîc Galeno τὸ μεταξὺ τῶν δύο σκελῶν χωρίον dicitur, locus inter duo crura medius, quo gradiẽdo gressuum vicissitudines & feminum diuaricationes efficiuntur. Idem quoq; in Exegesi in dictione διαπεπληχμένα, πληχάδα τὸ μεταξὺ τῶν σκελῶν esse scribit. Rufus Ephesius πληχάδα τὸ μεταξὺ ὄρχεων, καὶ ποσθήματος, καὶ μηροῦ vocat. Sic enim pro ὑποσήματος legendum videtur, vt satis ex Iulio Polluce constat, qui πληχάδας esse scribit τὰ μεταξὺ ποσθήματος, καὶ ὄρχεων καὶ μηροῦ. Significat autem πληχὰς aut πλιχὰς gressuram, ἀπὸ τοῦ πλίσσεσθαι, quod βηματίζειν Eustathius exponit, & Hesychius διαβαίνειν. Vnde πλίγμα τὸ βῆμα, & πλὶξ gressum significat, indeq; ἐκπλίσσεσθαι, διαπλίσσεσθαι, aut vt Gal. passim scribit ἐκπλήσσεσθαι, διαπλήσσεσθαι, & Hippoc. διαπεπληγμένα pro διαπεπλιγμένα effert. Sic πληχάδα pro πλιχάδα dicit, & Rufus & Pollux πληχάδα & πληχάδες scripserunt, vt & διαπλήσσειν & ἀμφιπλὴξ, cùm tamen πλίσσεσθαι dicatur, vt & apud Homerum eo versu qui à Galeno passim & à Polluce adducitur ex Od ζ. (v. 318.) εὖ δ' ἐπλίσσοντο πόδεσσιν scribitur. Vbi Scholiastes etiam τὸ πλίχες esse scribit, τὸ ὑπὸ τὰ αἰδοῖα.

παρὰ τὰ ἄρθρα φύσει πεφυκότων] Istud malè vertit Caluus secundumq; articulos natura coniunctos. Id nanq; intelligendum venit de iis ossibus, queǽ in articulis ita naturaliter iuncta sunt, vt quibusdã partibus protuberent & emineãt, à quibus ferulæ recedere debẽt.

καὶ ὑπερβαίη ὑπὲρ τὰ ἀρχαῖα] Istud quoque contra Hippocratis mentem aliter sumpsit Caluus, quam tamen poterat ex Galeno ipso pernoscere.

ἢ καταπεκρεμμένον ἔχῃ] Hæc est omnibus codicibus recepta lectio, sed vitium subesse apparet, & κατακρεμαμένον pro καταπεκρεμμένον legendum esse constat. ἢ κνῆται] κινῆται legisse Caluum apparet, vitiosè tamen.

At si quis canalem femori subiiciat, qui poplitem non excedat, is potiùs lædat quàm prosit. Neque enim corpus, neq; tibiam, sine femore moueri prohibuerit. Quin popliti adhibitus molestiã afferet, & ad id quod minimè est opus impellet. Genu nanq; flecti minimè opus est. Si quis enim aut femore deuincto, aut tibia, genu inflectat, is vinculorũ rationẽ totam perturbabit, tũ necesse erit vt musculi aliàs alio habitu collocẽtur, & ossa fracta dimoueãtur. Imprimis igitur conandum vt poples extendatur. Canalis ergo erit vsui, qui à coxa ad pedem suppositus similiter cõtineat, præcipueq; si ad poplitem cum canali fascia laxa circumiiciatur, velut infantes in cunis fasciari solent. Vbi enim femur in superiorem partem, aut ad latus distorquebitur, ita

[19] σωλῆνα δὲ, εἰ μέν τις ὑποθείη ὑπὸ τὸν μηρὸν ὑποθεὶν, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινέεσθαι. ἀσινέων γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενος, καὶ ὃ ἥκιστα δεῖ τοῦτ' ἂν ἐποτρύνοι ποιέειν. ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν. πᾶσαν γὰρ ἂν τυρβασίην παρέχοι τῇσιν ἐπιδέσεσιν, καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης ὅστις κατὰ τὸ γόνυ κάμπτοι, ἀνάγκη ἂν εἴη τούτῳ τοὺς μύας ἄλλοτε καὶ ἄλλοτε σχῆμα ἴσχειν. ἀνάγκη δ' ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐκτετάσθαι. δοκεῖ ἂν οὖν ὁμοίως ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελέειν ὑποτιθέμενος. καὶ ἄλλως κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦνται. εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον, εὐκαταρκετώτερον εἴη ἂν ξὺν τῷ

σωλῆνι,

A σωλῆνι οὕτως. ἢν οὖν διαμπερὲς εἴη ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος.[20] πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι ὡς εὐθέτως ἔχοι, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ πούς, τῆς ἄλλης κνήμης ἠρμασμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ἢ τοῦ μετρίου ἠρμοσμένη, ἡ δὲ ἄλλη κνήμη ἀπομετεωροτέρη, ἀνάγκη τὸ ὀστέον B τοῦτο κατὰ τὸ ἀντικνήμιον τοῦτο κοιλότερον φαίνεσθαι τοῦ μετρίου, πρὸς δέ ἔτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ἦ, καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι, καὶ αἱ πωρώσιες ἀσθενέστεραι.[21] ταῦτα μὲν δὴ ὅσοισι τὰ μὲν ὀστέα κατέηγεν, ἐξέχει δὲ μὴ, μηδὲ ἄλλως ἕλκος ἐγένετο. οἷσι δὲ τὰ ὀστέα κατέηγεν ἁπλῷ τρόπῳ, C καὶ μὴ πουλυσχιδεῖ, αὐθήμερα ἐμβληθέντα, ἢ τῇ ὑστεραίῃ κατὰ χώρην ἱζόμενα, καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παρασχιδέων ὀστέων ἀπιέναι, ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο, τὰ δὲ ὀστέα κατεηγότα οὐκ ἐξίσχει, οὐδὲ ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παρασχιδέας ὀστέων ἐούσας ἐπιδόξους εἶναι, ἀναπλῶσαι τοὺς τοιούτους.

Cum canali melius detinebitur. Canalis igitur à summo ad imum vsque, aut nullus adhibendus. Cæterùm imę calci magna cura adhibenda, vt tum in tibiæ, tum in femoris fracturis aptè collocetur. Etenim si pes depẽdeat, tibia reliqua obfirmata, ossa in anteriore tibiæ parte gibba apparere necesse est. At si calce plus æquo sublimiùs obfirmato, reliqua tibia aliquantulum depẽdeat, os in anteriore tibiæ parte præter modum cauum apparere necesse est, idque eò magis si hominis calx suapte naturâ grandior fuerit. Cæterùm tardiùs firmantur omnia ossa, imbecillioreq; callo obducuntur, nisi naturalem positũ nacta fuerint, aut in eodem habitu immota permanserint. Atq; ista quidem de ossis fractura, in qua neq; ossa eminent, neq; alioqui vlcus accessit, dicta sint. Quibus verò simplici modo & absq; fragmentis ossa fracta sunt, eodem aut postero die restituta, atque in suas sedes reposita, nec metuitur vt fragmentum aliquod ab osse abscedat: aut etiam quibus vlcus quidem accessit, ossa tamen fracta non eminent, neque fractura eiusmodi est, vt ossium fragmenta expectari debeant, eos simpliciter curare oportet.

[19] σωλῆνα δὲ] Hunc locum adducit & explicat Gal. Com. 3. in lib. κατ' ἰητρεῖον.

ἀσηρὸν γὰρ εἴη] ἀσηρὸν, ἄσης ποιητικὸν, fastidium ac molestiam exhibens, exponit Erotianus, subindicato certo loco quodam qui postea sequitur.

D πᾶσαν γὰρ αὖ τύρβην] τυρβὴν legunt omnia exemplaria, sed τύρβη dicitur Erotiano ταραχὴ, hoc subindicato loco, vt satis apparet: & τύρβην omnes efferunt pro turba & tumultu. Vnde τυρβάζειν & τυρβάζεσθαι pro tumultuari & turbas excitare apud Aristophanem, Scholiastes ταράττειν & ἀναταράττειν exponit. Hic vinculorum ordo & ratio conturbari, confundi & inordinatè permisceri dicitur.

ἢν οὖν διαμπερὲς εἴη] Hunc locum adducit Gal. Com. 3. εἰς τὸ κατ' ἰητρεῖον, vbi εἰ οὖν legit. Is autem loci huius sensus mihi esse videtur, vt canalem toti cruri & qui ab imo ad summum vsque, membrum totum comprehendat, adhibendum suadeat, aut certè nullum. Potest & hic esse sensus, vt interdum canalem adhiberi censeat, interdum etiam nullum, vbi præcipuè noceat. Quam notionem etiam sequitur Caluus, ad eamq; accommodari videntur quæ scribuntur de canali ab Hippocrate lib. κατ' ἰητρεῖον. Quibus quoq; illic Galeni Commentarius suffragatur. διαμπερῆ verò σωλῆνα Galenus exponit, τουτέστι δι' ὅλου τοῦ σκέλους ἀποτεταμένον, & τὸ σκέλος ὅλον ἐν κύκλῳ περιλαμβανόμενον. διαμπερὲς διαμπάξ Erotianus exponit, hunc nimirum locum subnotans. Hesychius δι' ὅλου, πλείως, διαμπάξ, in totum, ab imo ad summum vsque. Quo significato apud Homerum frequens est, vt Il. π. de Sarpedone (v. 39.) ἐπὶ βελέεσσι δ' αἵματι καὶ κονίῃσι ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους. Ibid. (v. 618.) ἔγχος ἐμὸν κατέπαυσε διαμπερές.

E [20] ἢν δὲ ἡ μὲν πτέρνη] Ex Galeno & reconditioribus mẽbranis lego, ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ἢ τοῦ μετρίου ἠρμασμένη. Potest & retineri vulgata lectio in omnibus reliquis codicibus, ὑψηλοτέρη ἢ τοῦ μετρίου ἠρτημένη, vt calcem plus æquo sublimem adaptatum significet. Huncq; sensum prioris membri redditio postulat. At Caluus ἠρτημένη legisse, & cum vitioso Galeni Commentario lapsus videtur, vbi ἠρμασμένης ἀντὶ ἠρτημένης legitur. ἠρτημένης enim necessariò legendum est, aut οὐκ ἠρτημένης, vt res ipsa indicat.

[22] οἱ μὲν μήτε μέγα ἀγαθὸν, μήτε μέγα κακὸν ποιέοντες, ἐπιδέουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινι, ἢ πισσηρῷ ἐπιπέλει, ἢ ἐναίμῳ, ἢ ἄλλῳ τινι ὧν εἰώθασι ποιέειν. ἐπαινέω δὲ F τοὺς οἰνηροῖς σπλήνεσιν ἢ εἰρίοισι ῥυπαροῖς ὁκόσοι ἐπιδέουσιν, ἢ ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται, καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισι συχνοῖσι πειρῶνται ἐπιδεῖν καὶ νάρθηξι κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθὸν τι ποιέει, κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τινι ὀγκηρότερα τὰ σώματα οὐ καιροῦ ταύτῃ γίνεται. γίνοιτο δὲ ἂν καὶ βραχύτερα ὧν ἀμφότερα τὰ G ὀστέα κατέηγεν ἢ πήχεος, ἢ κνήμης.[23] ἄλλοι δὲ αὖ τινες εἰσὶν οἱ ὀθονίοισι τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως, καὶ ἔνθεν καὶ ἔνθεν ἐπιδέουσι τοῖς ὀθονίοισι. κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσι, καὶ ἐῶσιν ἀναψύχεσθαι. ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ εἰρίοισι ῥυπαροῖσι θεραπεύουσιν. αὕτη ἡ ἴησις κακή. καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν, καὶ ἐν τοῖσιν H ἄλλοισι κατήγμασι, καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστι τὸ γινώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα

At quidẽ certè nonnulli, qui neq; multùm prosunt aut obsunt, vlceribus medentur, imposito aliquo medicamento purgãte, aut certè picato, aut medicamẽto quod cruentis vulneribus adhibetur, aut alio quopiam quod cõponere consueuerunt. Ego verò eos qui splenia vino imbuta, aut lanam succidam, vel id genus aliquid deuinciunt, laudo. At vbi vlcera pura euaserint, aut iam coaluerint, tunc pluribus linteis adhibitis deuincire, & ferulis dirigere conantur. Hæc sanè curãdi ratio vt aliquid cõfert, ita neq; multùm lædit. Ossa tamen nõ perinde suis sedibus firmantur, verũ aliquantò plus quàm par sit ea parte corpora intumescunt. Quinetiam breuiora redduntur quibus vtraq; aut cubiti, aut tibiæ ossa fracta sunt. Rursus nonnulli huiusmodi fracturis linteis statim medentur, atq; vtrinque fascias conuoluunt, vlcus verò nudum relinquunt, & perfrigerari sinunt. Deinde ad vlcus adhibito aliquo medicamento purgante, tum spleniis vino imbutis ac lana succida curationẽ instituũt. At praua est hæc curandi ratio, eaq; qui vtuntur, cùm in his, tũ etiam in reliquis fracturis, plurimùm à recta intelligẽtia aberrare probabile est. Inprimis enim cõfert nosse qua ratione fasciæ initiũ iniiciendũ sit, & qua parte maximè cõpri-

mendum, quantū item conferat, si quis fasciæ initium rectè circundet, & qua parte maximè conuenit, comprimat, tum quantum detrimēti sequatur, si neq; quis probè fasciæ initium circumiiciat, neq; qua maximè parte conuenit, sed hinc & inde comprimat. Ac sanè quidem quid ex vtrisq; contingat, in superioribus dictum est, & ipsa quoq; medela eius rei testimoniū adfert. Sic enim deuincto, tumorem ad vlcus assurgere necesse est. Nā si sana carnosa pars hinc atq; hinc deuincta, intermedio quodam spatio relicto, præcipuè iuxta illud intermedium spatiū intumescat, ac decolor reddatur, cur non ista in vlcere cōtingent? Necessario igitur vlcus decolor, ac labris expansis euadet, lachrymosumq; ac minimè suppurans reddetur, & ossa alioqui minimè abscessura, abscessum faciet, nec non vlcus pulsu ac igneo calore affligetur. Coguntur item insuper propter tumorem cataplasmata imponere, qđ etiam iis qui hinc atq; inde deuinciūtur, incommodè cedit, cùm ad reliquum pulsum pondus etiam inutile accedat. Tandem verò vincula resoluunt vbi malum recruduerit, ac de reliquo curationem absq; vinculo persequuntur. Nihilominus autem, etsi aliud vulnus nacti fuerint, eandem curādi rationē adhibent. Neq; enim deligationem hinc & inde adhibitam, & vlceris perfrigerationem, verùm aliud quoddā infortunium causam reputant. Neq; sanè ad tam multa ea de re scribenda adductus essem, nisi mihi liquidò constaret, & inutilem esse hanc deligationem, & à plurimis istam medendi rationem vsurpari, operæq; pretiū futurum vt ista dediscerent. Atq; ea quæ supra sunt exposita, rectè fuisse tradita testantur, quæ vel maximè vel minimùm comprimēdæ sunt fracturæ. Oportet autem (vt breuiter dicam) quibus nulla ossis abscessio futura est, eandem medendi rationē adhibere, quæ vbi quidem ossa absq; vlcere fracta sunt, cùm distētiones aptationesq; ossium, tum etiam eādem deligationem admouere. Vlceri nanq; splenium tenue duplex cerato picato illitum circundandum, proximæq; partes cerato liquido inungendæ. Fasciæ verò reliquaq; aliquantò latiùs scissa esse debent, quā si vlcus non adesset, & quo primùm deligatur, multò latius sit quàm vlcus. Quæ enim vlcere angustiora sunt, vlcus ipsum cingunt, qđ minime conuenit, sed prima conuolutione totū vlcus comprehendēdum, ita vt superiore ac inferiore parte linteum excedat. Linteum igitur è directo vlceri iniiciendum, pauloq; minus, quam si citra vlcus esset, arctandum, deligatioq; quo supra dictum est modo circumagenda. Sint autem semper lintea, ac præcipuè in his, molliora, quàm si integra cutis esset, neq; pauciora quàm prius dictum est, quinetiam aliquantò plura. Ei verò qui deligatus est ita accōmodentur, vt obfirmata non autem appressa videantur, præcipueq; qua parte vlcus est ea obfirmata esse asserat. Eademq; tempora esse debent quibus firmiùs adaptata, & quibus laxiora esse sentiat, velut suprà dictū est. Deinde tertio quoq; die resoluēda, rursusq; deuincienda, eademq; omnia quæ supra faciēda, nisi quòd in totū hæc quàm illa aliquantò minùs cōprimenda sunt. Ac si rationi cōsentanea fiāt, vlceris quidē locus, reliquaq; omnia quę vinculo continentur, semper graciliora deprehēdentur.

πεπιέχθαι, καὶ οἷά τε ὠφελέοντα, ἢν ὀρθῶς τις βάλληται τὰ ἀρχὴν καὶ πιέζῃ ᾗ μάλιστα χρὴ, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν ὁποῖα ἐφ' ἑκατέρων ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ ἰητρική. ἀνάγκη γὰρ οὕτως ἐπιδεομένῳ τὸ οἶδος ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος. ὥσπερ γὰρ εἰ ὑγιὲς χρῶς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθῇ, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἂν, καὶ ἀχροιήσειεν. πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι; ἀναγκαίως ἔχει ἄχροον μὲν καὶ ἐκπεπιεσμένον τὸ ἕλκος εἶναι. δακρυῶδες δὲ καὶ ἀνέκπυον εἶναι. ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι, ἀποστατικὰ γίνεσθαι. σφυγμῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται δὲ διὰ τὸ οἶδος ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπόταν σφιν παλιγκοτέῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δὲ ἧσσον, καὶ ἤν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν. οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν, καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ' ἄλλην τινὰ ἀτυχίην. οὐ μέν τοι γε ἂν ἔγραφον περὶ τούτου τοσαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομαθεῖν. μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα, εἴτε ἥκιστα. χρὴ δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν, ὥσπερ ἂν οἷσιν ὀστέα μὲν κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοντα. τάς τε γὰρ κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίην. ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα, σπλῆνα λεπτὸν διπλόον ἐπιδεθῆναι, τὰ δὲ πέριξ κηρωτῇ λεπτῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερα τινὶ ἐσχισμένα ἔστω, ἢ εἰ μὴ ἕλκος εἶχεν. καὶ ᾧ ἂν πρώτῳ ἐπιδέηται, συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερον. τὰ γὰρ στενότερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος. ὃ δὲ οὐ χρή. ἀλλ' ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος. καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν. βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος. πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχε. ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ ἰσχόντων. μᾶλλον δέ τι δεῖ ἐν τοῖσι τοιούτοισιν, ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἐλάσσω ἔστω τῶν πρότερον εἰρημένων. ἀλλὰ τινὶ καὶ πλείω. ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμόσθαι μὲν, πεπιέχθαι δὲ μή. φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἐπὶ τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον δοκέειν χαλᾶν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. μετεπιδεῖν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσον τινὶ πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γίνηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος. ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον.

καὶ αἱ τι

A καὶ αἵ τε ἐκπυήσιες ἔσονται θᾶσσον ἢ τῶν ἄλλων ἰητρευομένων ἑλκέων. ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμέλανθη καὶ ἐθανατώθη, θᾶσσον περιῤῥήγνυται καὶ ἐκπίπτει ἐπὶ ταύτῃ τῇ ἰητρείῃ, ἢ ἐν τῇσιν ἄλλῃσιν. ἔς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευόμενον. πάντων δὲ τούτων αἴτιον ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα. τὰ μὲν οὖν ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ

B τὰ ἄνευ ἑλκωσίων ὀστέα κατηγνύμενα. τοὺς δὲ νάρθηκας οὐ χρὴ προσδιδέναι. διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισιν πλείω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ὅτε ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες βραδύτερα προστίθενται. ἢν μέντοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προσδιδέναι, ἀλλ' ὥστε καὶ χαλαρῶς προσδιδέναι, προθυμευμένοισιν ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι

C πρότερον γεγραμμένοισιν. τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται, καὶ οἷσιν ὀστέα ἐξίσχει. καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι, ἐπὶ τοῖσιν ἰσχυροτάτοισιν τρώμασιν ἀκριβεστέρην καὶ πολυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν. ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων, καὶ οἷσιν ὀστέα μὲν κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ἦν. ἢν δ' ἐν τῇ ἰητρείῃ ἕλκος γένηται, ἢ τοῖσιν ὀθονίοισιν μᾶλλον πιεχθέντος, ἢ ὑπὸ

D νάρθηκος ἐνέδρης, ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. γινώσκεται μὲν οὖν τὰ τοιαῦτα ἢν ἕλκος ὑπῇ, τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσιν. καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισιν σκληρὸν γίνεται τῶν τοιούτων, καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις, ἐξαείρεται, ἀτὰρ καὶ αὖθις ὑποτρέχει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρὴ, ἢν μὲν ἢ κνησμὸς κατὰ τὰς ὑποδεσμίδας, ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης

E χρῆσθαι. ἢν δὲ τούτων μὲν μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκηται, μέλαν ἐπὶ πολὺ ἢ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων, τῶν δὲ νεύρων προσεκπεσουμένων, τουτέοις οὐδὲν χρὴ ἀναψύχειν πάντάπασιν, οὐδέ τι φοβέεσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ' ἰητρεύειν, τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο. τοῖσι δ' ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν

F τοῖς ἀκραίοις πάνυ χαλαροῖσιν. καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει αἰεὶ ἐς τὸ ἄνω, καὶ πεπιέχθαι μὲν μηδαμῇ, ἡρμόσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δ' ἄλλα ἐπὶ ἧσσον. τὰ δ' ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά. τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω ὅσονπερ καὶ ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο, ἢ ὀλίγῳ ἔλασσον. ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἰσχνὸν τὸ πλύσιον τῇ λευκῇ κηρωτῇ κεχρισμένον. ἤν τε γὰρ σὰρξ, ἤν τε νεῦρον

G μελανθῇ, προσεκπεσεῖται. τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν, ὥσπερ τὰ πυρίκαυστα. μεταπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι. ἀτρεμέειν δὲ ἐπὶ μᾶλλον, ἢ τὸ πρόσθεν, καὶ ὀλιγοσιτέειν. εἰδέναι δὲ χρὴ, εἴτε σὰρξ, εἴτε νεῦρον τὸ ἐκπεσούμενόν ἐστιν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλέον, πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται, πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύ-

H σας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἐπὶ τὸ ἕλκος. καί τι καὶ ἢν ἐκπέσῃ τὸ ἐκπυησόμενον, θᾶσσόν τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον, καὶ θᾶσσον ὠτειλοῦται. πάντα μὴν ἐστὶν ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. προσσυμβάλλεται δὲ καὶ τὰ σχήματα ἢν οἷα χρὴ εἴη,

celerioresque suppurationes erunt quàm in alia vlcerũ curatione. Carunculæ quoq; quæ in vulnere nigrescunt & emoriuntur, celeriùs sub hac curatione abruptæ excidunt, vlcusq; hoc modo quàm aliter curatum maturiùs ad cicatricem deuenit. Horum aũt omnium causa est, quòd pars quidem vulnerata & quæ circum vicinæ sunt graciles redduntur. In reliquis quidem omnibus eadẽ curatio quæ in fracturis absq; vlcere adhibenda, ferulæ tamen neutiquam sunt admouendæ. Proptereaq; hîc quoq; quàm alibi copiosiorib. linteis opus est, tũ quòd minùs cõprimantur, tum quia ferulę tardiùs adhibeantur. Quas tamẽ si admoueris, aduertendũ vt ne è regione vlceris, sed vt laxiores adhibeãtur, neq; vt vlla magna ab iis adstrictio fiat, quod in his quoq; quæ priùs scripta sunt dictum est. Accuratam autem victus rationẽ eamq; longiore tempore iis instituere oportet, quibus circa initia vlcus accedit, & quibus ossa eminent. Ac (vt in summa dicam) quò grauiora vulnera sunt, eò accuratiore & longiore victus ratione vtendum. Eadem autem curatio vlceribus instituenda, quæ quidem ossibus fractis circa initia non insunt, verùm aut ex nimia linteorum compressione, aut ferularum insessione, aut alia quapiam ex causa, sub ipsa curatione oriuntur. Vlcus certè subesse ex dolore & pulsu cognoscitur, tum si tumor qui in extremis partibus est indurescit, appressoque digito exprimitur, citò tamen recurrit. Soluere igitur si quid tale suspiceris oportet: ac si quidem sub primis fasciis, aut alia quapiam deuincta parte pruritus fuerit, cerato picato in alterius vicem vtendum. Quòd si nihil horum quidem contingat, vlcus autem ipsum irritatum nigrum admodum aut sordidum deprehendatur, futurumque sit vt carnes suppurent, neruique insuper excidant, hoc neque ex toto refrigerare, neque quicquam istas suppurationes vereri oportet, sed de cætero quidem eodem modo curare, velut eos quibus circa initia vlcus accessit. Lintea autem admodum laxa tumori qui in extremis partibus existit primùm iniici debent, ac deinde circumagendo sursum semper tendere, ac nullo quidem modo comprimi, verùm ita aptari vt maximè vlceri obfirmata, minùs autem reliquis partibus sentiantur. Hęc autem prima lintea munda, neq; angusta sunto, eaque copia, quanta si cum ferulis deligatio fiat, aut paulò minor. Vlceri verò splenium impositum, cerato albo illitum abũdè est. Caro nanq; aut neruus, vbi nigritiem conceperint, vt præterea etiam decidant necesse est. Neq; enim acribus talia, sed lenibus, velut ambusta, curare oportet. Tertio etiam quoq; die soluere ac rursus deligare cõuenit, ferulas autem non apponere, tũ magis etiam quàm antea conquiescere & cibo abstinere. Animaduertendum quoq; est, vbi aut caro aut neruus excidere debeãt, hoc modo multò minùs latè serpere, multoq; citiùs decidere, ac proximas partes lõgè graciliores fieri, quàm si resolutis linteis, vlcus quopiam ex medicamentis purgantibus nutriatur. Quinetiam si quid suppuratum est exciderit, citiùs sub illa curatione quàm sub alia, tũ carne replebitur, tũ celeriùs cicatrice obducetur. Hęc quidẽ in eo vertũtur omnia, vt rectam & moderatam deligationem instituas. Ad quod etiam insuper conferunt conuenientes habitus,

& reliqua victus ratio, ac linteorum habilitas. Quòd si sanè recenti vulnere deceptus, ossium abscessum futurum non existimaueris, quæ tamen educi debere spes est, nullo modo formidandus est hic curationis modus. Nullum enim magnum incommodum continget, si modò rectam & innoxiam deligationem manu accommodaueris. Sub hac autem curatione os abscessurum indicatur, vbi pus copiosius ab vlcere profluit, & pars affecta impetu ad excretionem ferri videtur. Crebriùs igitur ob redundantem humiditatem religare oportet, cùm & aliàs febres excitentur, & siquidem admodum vinculis comprimantur, tum vlcus, tum proximæ partes graciles efficiuntur.

καὶ ἡ ἄλλη δίαιτα, καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης. ἢν ἄρα ἐξαπατηθῇς ἐν τοῖς νεοτρώτοισι μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δ' ἐπίδοξα ᾖ ἀναπλῶσαι, οὐ χρὴ ὀῤῥωδέειν τὸν τρόπον τῆς ἰητρείης. οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο, ἢν μοῦνον οἷος ἔσῃ τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι. σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης· πύον γὰρ συχνὸν ῥεῖ ἐκ τοῦ ἕλκεος, καὶ ὀργᾷν φαίνεται. πυκνότερον οὖν μετεπιδέεσθαι διὰ τὸν πλαδὸν, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται, καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος, καὶ τὰ περιέχοντα ἰσχνά.

23 ἄλλοι δ' αὖ τινές εἰσιν] Hunc locum integrum adducit Galenus lib. 9. de placitis Hippocr. & Platonis, huiusque etiam memin videtur lib. 4. Comp. pharm. κατὰ γένη, his verbis: οὐ μὴν οὐδὲ ἐκείνου τι χρὴ λήθην ἔχειν, οὗ πρῶτος ὧν ἴσμεν Ἱπποκράτης εὗρεν, ἁμαρτανομένου πάλαι ὑπὸ πάντων τῶν πρὸ αὐτοῦ, νυνὶ δ' ὑπὸ τῶν μὴ μαθόντων μονίμως τὴν τέχνην. οἴονται γὰρ ἄμεινον εἶναι τὸ μὴ ἡλκωμένον μέρος ἄθλιπτον φυλάττειν, ἑκατέρωθεν δ' ἐπὶ τὸ περιβάλλειν τὸν ἐπίδεσμον, ὅπερ εἰς ὅσον ἐστὶ βλαβερὸν ὑφ' Ἱπποκράτους ἐδείχθη. Atque etiam eiusdem leuiter meminisse videtur paulò suprà eodem lib. cap. 2.

ἢ εἰρίοισιν ῥυπαροῖσι] οἰσυπηροῖσι pro οἰσυπηροῖσι aut ῥυπαροῖσι legit Gal. lib. 9. de placitis Hippoc. & Plat. Quod etiam vitium & aliàs crebrò apud Gal. cernitur, vt lib. 11. de simplic. med. fac. & lib. 13. Meth. med. ἄπλυτον ὕσσωπον pro οἴσυπον ponitur. Quin & apud Celsum Plinium hyssopum pro œsypo poni solenne est. At exemplaria manu scripta omnia vt & publicata ῥυπαροῖσι legunt.

καὶ ἐκπεπιεσμένον τὸ ἕλκος] ἐκπεπιεσμένον hîc legit Galenus & lib. de plac. Hippocr. & Plat. quem etiam secuti sumus, & vlcus significat, quod euersa labra habet & protuberantia, velut materia ad ea ipsa expressa & per deligationem ex ipsa inflammatione coacta ideoq; vt euertantur necesse est, quod ἐκτρέπεσθαι τὰ χείλη dixit Galenus. Cùm autem ἐκπεπιεσμένον legant publicati codices cum manu scriptis, inde colligi potest ἐκπεπλισμένον aut ἐκπεπληγμένον facili lapsu legendum esse, vt per translationem vlcus diductum ac expansis labris dicatur, velut digrediens ac diuaricatum, quemadmodum etiam postea scribitur & à Galeno exponitur. ἐκπλίχθαι enim aut ἐκπλίχθαι de cruribus per gressum diuaricatis dici notum est apud Hippocratem. Ad eamq; nostram coniecturam accedit quòd Erotianus ἐκπεπλησμένον ἐξεπλισμένον exponit. Et Galenus in Exegesi ἐκπεπλησμένον ἐκπεπταμένον. Sic enim necessariò legendum videtur, vt postea in dictione σιστρὸς indicatur, quod exponit τὸ ἐκπεπταμένον καὶ διεστηκὸς ἐπὶ πλεῖστον τοῖς χείλεσι, ὅπερ καὶ ἐκπεπλισμένον ὀνομάζεται. Quod de vlcere dictum, vlcus euersum ac plurimùm diductis ac diuaricatis labris significat, proprieque ad hos locos digitos intendit. Eadem certè notione Hippocrati τὸ στόμα μήτρας ἐκπεπλισμένον dicitur, os vteri diductum, expansum, euersum aut disparatum, quod etiam διαπεπληγὸς dicitur lib. 2. περὶ γυναικ. Et lib. περὶ γυναικ. φυσ. διαπεπληγὸς, eodem sensu, hoc est hians & apertum. Qua de re plura scripsimus in nostra Hippocr. OEconomia.

δακρυῶδες δὲ] δακνῶδες legit Gal. lib. 9. de Placit. Hippocr. & Plat. vbi & cætera vitia inde emendari possunt. δακρυῶδες autem legit Erotianus, hunc locum subindicans, & τὸ διυγρὸν καὶ ἰχωρόῤῥουν exponit, humidum & sanie diffluens.

ἐπίκαιρον δὲ τὸ ἀπομάγμα] Caluus documentum, pro dedocumento, librarij vitio posuisse videtur.

κηρωτῇ λεπτῇ χρίειν] Sic legunt omnia exemplaria tum manu scripta, tum publicè exarata. Ideoq; ceratum liquidum cum Celso diximus, quod etiam ὑγρὰ aut λευκὴ vocatur postea, quam lectionem seruarunt omnes interpretes.

κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος] Hunc locum indicat Erotianus, cùm ἴξιν τοῦ ἕλκεος, τοῦ κατάγματος τὸ πέρας exponit, huncque librum περὶ καταγμάτων indicatura inscribit.

ἡρμόσθαι μὲν] Sic legunt omnia exemplaria tum manu scripta tum publicata. ἡρμᾶσθαι tamen legendum suspicor ex Galeno, qui ἡρμᾶσθαι ἐρηρεῖσθαι, ἢ ἡρμόσθαι exponit. Etsi ἡρμόσθαι retineri potest, & à Galeno ἐρηρεῖσθαι & ἐστηρίχθαι exponitur Com. in lib. κατ' ἰητρ. Erotianus etiam ἥρμοσαι, ἕδρασαι & ἐστήρικται exponit. Sed & illic quoque cum cæteris ἥρμασαι potiùs amplector. Nos certè vtriusque scriptionis significationem hîc vt & libro κατ' ἰητρεῖον quantum potuimus nostra interpretatione expressimus, cùm ita accommodata aut aptata esse vincula diximus, vt obfirmata non autem appressa sentiantur.

θᾶσσον περιῤῥήγνυται] Hoc est citiùs ab aliis ex toto recedunt, aut resoluuntur, aut ex toto abrumpuntur & perfringuntur. Sic Celsus de osse dixit: Sed siue totum perfractum est, & ab alio ex toto recessit. Et, hoc genus curationis effecit, vt qua parte fracta ossa tamen inhærent, solidentur: qua parte abrupta sunt, sine vllo tormento, sub medicamento, tempore excidant. (Sic enim legẽdum existimo) περιῤῥήγνυσθαι enim de parte dicitur, quæ ab alia ex toto recedit, perfracta est, aut in totum abrupta, nec cæteris inhæret.

ὅτι ἥσσον πιέζεται] ὅτι τι ἧσσον πιέζεται, ὅτι τι οἱ νάρθηκες &c. lego ex Galeno, etsi omnia exemplaria illam lectionem sequuntur.

ἢν μέν τοι τοὺς νάρθηκας περιτιθῇς] In fracturis quibus cutis quoque vulnus accessit, vbi purgatum vlcus fuerit, & iam caro concreuit, non incommodè ferulæ admouentur, vt scribit Paulus. Quidam etiam circa initia eas apponunt, vlceris locum vitantes, & prout necessitas vrget ac vsus tulerit, ipsas adstringentes aut remittentes. At Galeni consilium est, vt in fracturis cum vlcere quæ in longitudinem membri contingunt, ferulæ circundari possint. In iis verò quæ vlcus transuersum præcipueq; magnum habent, earum vsu interdicit. Quam sanè moderationem etiam ex ipso Hippocrate hausisse videtur. Celsus tamen ferè Hippocratem secutus, in iis ferulis abstinet, deligando fasciis aliquantò quàm vulnus latioribus, laxiùs scilicet, quàm si ea plaga non esset, quantò faciliùs & alienari & occupari cancro vulnus potest, numero potiùs fasciarum id agendo, vt laxæ quoque æquè contineant. Idem quoque in huiusmodi fracturis ferulas & canales (inter quæ vulnus sanescere non potest) reiicit, sed pluribus tãtummodo & latioribus fasciis opus esse scribit. Cæterùm Erotianus vbi ἁπλῶς κατ' ἴξιν exponit, hunc locum certè innuens, ἴξιν τοῦ ἕλκεος, τοῦ κατάγματος τὸ πέρας, fracturæ extremum exponit, aut τοῦ ἕλκεος ἄφιξιν, vlceris rectam processionem, aut in rectum processum, secundum quem tum vinculis iniiciendi, tum etiam ferulas adhibendi ratio iniri debet. Id enim mihi sonare hæc Erotiani alioqui difficilia verba videntur. ἔστι δὲ ἄφιξιν κινηθεὶς, ἤτις ἐστὶ πέρας κινήσεως. Significat enim deligationis vulneri iniiciendæ, aut ferularum apponendarum motum ex vlceris processione desumendum, & ad vulneris extremum sistendum. In quo τὴν κατὰ τὸ μῆκος ἴξιν, quam hîc scribit Galenus, hoc est, secundum lõgitudinem progressum, his obscurissimis verbis mihi innuere videtur, interimque ἴξιν velut ἄφιξιν exponere. Qui certè sensus huic loco vel maximè quadrare videtur. Quod si Erotiani exemplaria satis integra videntur (quæ tamen mihi non parum suspecta sunt) hîc aliam Hippocratis lectionem adhibuisse, & τὴν ἴξιν τοῦ ἕλκεος, ἢ τοῦ κατάγματος τὸ πέρας, legisse videtur.

καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις ἐξαείρεται] ἐξαρύεται hîc quoq; vt suprà lubenter legerim, assentientibus reconditissimis membranis. Vt sensus sit, appresso digito tumorem cedere, exhauriri, exprimi, rursusque citò recurrere. ἐξαρύεται nanque ἐκκενοῦται, ἐκθλίβεται à Galeno exponitur in Exegesi, & Erotiano ἐξαρύεται ἐξαντλεῖται, ἐκπιέζεται. Quam lectionem etiam secutus ex codicibus Italicis Caluus videtur, cùm (repellitur) dixit, eoq; accessit sua interpretatione Vidus Vidius. ἐξαείρεται tamen cæteri omnes codices legunt, tam manu scripti quàm publicati, quod attolli & assurgere significat, vt ex appressu pars quædam propulso humore assurgat, qui deinde

A statim subterfugit. Quam etiam lectionem sequitur Galenus paulò pòst hoc Commentario.

πυτέοις ὅδεν δεῖ ἀναψύχειν] ἀναψύχειν ἕλκος γυμνοῦσθαι exponit Galenus, quod est vlcus nudari aut perfrigerari, hoc est, omissa deligatione fracturis idonea, in vlceris curationem incumbere. Sic Erotianus ἀναψύχειν γυμνοῦν ex hoc loco exponit. Apud Homerum quoque Il. ε. (v. 795.) ἕλκος ἀναψύχων Tydides dicitur, vulnus ad curationem nudans, aut vinculis delaxatis & medicamentis impositis percurans. Hesychius ἕλκος ἀναψύχοντα ἀναπνέοντα exponit, & Homeri Scholiastes καταψυχόμενον, vulnus recreantem aut reficientem, quòd qui perfrigerantur à calore recreantur.

ὅσον περ καὶ ἐν τῇσι νάρθηξιν] Sic omnia habent exemplaria, ἐν τοῖσι νάρθηξιν tamen malim, cùm semper νάρθηκας masculino genere efferat Hippocrates, vt & cæteri omnes.

τὰ δ' ἐπίδοξα ᾖ ἀναπλῶσαι] ἀναπλῶσαι dicũtur ossa quæ spes est educi posse, emergere, recedere, ac velut explicari, vnde ἀνάπλωσις ὀστέου, ossis emersio, exundatio, fluctuatio ac subuectio, cùm purè imbutum fluitat, corrumpitur & decidit, vt ἀνάπλωσις velut ἀνάπλευσις dicatur. Sic ἀνάπλευσις ὀστέων in Cois Præsagiis, est ossis eductio ac emersio, cùm veluti restagnante humore ac pure os inundatur & ex-

B cidit, idque ex translatione, cùm nimius humor in os refluit ac recurrit, vnde syderatum recedit. Sic etiam lib. 4. Epid. οἱ ὀδόντες ἀνέπλευσαν, dentes primores ex vlcere exedente laboranti educti sunt & exundabant, hoc est corrupti deciderant. ἀναπλῶσαι etiam dici potest de osse quod dehiscit ac panditur, explicatur, expanditur, cùm educitur ac emergit. Quidam verò hîc ἀναπλῶσαι legunt, & de vinciendi ratione, quæ simplicibus fracturis accommodatur, intelligunt, vt paulò suprà.

σημεῖον δὲ τόδε] Abscessuri ossis indicia commemorat etiam Prorrh. 2. pus multum profluens, & inflammationis in parte laborantis intensionem, his verbis: γνώσῃ δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν. πύον λευκόν τε καὶ παχὺ, καὶ πουλὺν χρόνον ὑπορρεῖ. ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. τὰ δ' αὐτὰ ταῦτα γίνεται καὶ ὀστέων μελλόντων ἐκπεσεῖσθαι. Paulus quoque cap. 107. lib. 6. testulam ab osse emersuram significare scribit copiosiorem tenuioremque humorem profluentem, & carnem circa vlcus laxam & mollem. Istud verò Celsus suis verbis sic exprimit. Nonnunquam etiam in magno vulnere euenit, vt fragmenta quædam velut emoriantur, neque cum cæteris coe-

C ant. Quod hîc quoque ex modo fluentis humoris colligitur. Quò magis necessarium est, sæpiùs vlcus resoluere atque nutrire.

[24] ὅσα μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες ἔσονται, οὐ μεγάλης μεταβολῆς δέονται, ἀλλ' ἢ χαλαρωτέρως ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πύον, ἀλλ' εὐαπόρρυτον ᾖ, καὶ πυκνότερον μεταπιδεῖν ἔστ' ἂν ἀποστῇ τὸ ὀστέον, καὶ νάρθηκας μὴ προστιθέναι. ὁκόσοισι δὲ μείζονος ὀστέου ἀπόστασις ἐπίδοξος εἴη, ἤν τε ἐξ ἀρχῆς προγνῷς, ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκ ἔτι τῆς αὐτῆς ἰήσιος δεῖται, ἀλλὰ

C τείνειν τὰ ὀστέα τοῦ βραχίονος κατεηγότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. ἐπὴν δὲ κατατείνῃ, οὕτω χρὴ τοῖσι θέναρσι τὰς προσβολὰς ποιέεσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται.

ad contactum manifestus est. Nisi igitur subitò reconditus fuerit, graues vehementesque inflammationes cum febre oriuntur. Quòd si statim occurratur, nullo negotio in suam sedem reponitur. Oportet autem linteo duro conuoluto, non magno, in cubiti flexu transuerso imposito, de repente cubitum inflectere, & manum quam maximè fieri potest ad humeri caput adducere. Hæc igitur reponendi ratio iis quidem sic emotis abundè est. Quinetiam in directum distentio, hunc repositionis modum adaptare potest. Prominentioribus tamen manuum palmis ad brachij partem ad flexuram quidem extantem iniectis, alter in posteriorem partem propellere, alter verò ab inferiore parte iisdem in cubiti eminentiam iniectis, in contrariam partem è regione cubiti impellere debet. Ad hunc quoque luxationis modum adhiberi potest intendendi ratio priùs descripta, qua ossa brachij fracta, vbi deuincienda sunt, extenduntur. Atque vbi distentio facta est, prominentioribus manuum partibus admotis, velut priùs dictum est conformare oportet.

[33] ἐξαπίνης ἐκπάλησις] ἐκπάλησις emotionem & vim qua articuli sua compage luxantur ac veluti eluctantur significat, velut ἐξάρθρωσιν. Sic Hesychio ἐκπαλὲς ἐξάρθρον significat, & articulum sua compage emotum & eiectum, παρὰ τὸ ἐκπάλλεσθαι, quod est ἐκκινεῖσθαι. Vnde & ἐκπάλη quod idem exponit ἐχωλείαθη, ἀπῆσε, ἐξέπεσεν, vt ἐκπαλήσαντες ἐκπεσόντες. Sic ἀποπαλῆσαι, σαλεῦσαι καὶ σφόδρα κινῆσαι exponit Erotianus, & ἐκπαλήσαντος, ἐκπάλσ ἡμένου. Vt hunc locum mihi subnotare visus sit, & ἀποπαλήσῃ pro ἐκπαλήσῃ legisse, vt & ἀποπάλησις ex hoc loco pro ἔκπαλσις Galeno scribitur in Exegesi, vt multis docuimus in nostra OEconomia.

παρὰ τὴν οἰκείαν φύσιν ἐμπίπτει] Sic legunt omnia exemplaria tum manu scripta tum publicè exarata. Sed ἐκπίπτει cum interpretibus

D lego. Neq; tamen Hippocratis mentem mihi videtur assecutus Caluus. Vitiosa etiam sunt exemplaria quæ ἑκουσίας pro οἰκείας legunt.

χρὴ δὲ ὀθόνιον σκληρὸν] Hunc locum sic exponit Paulus lib. 6. ὁ δὲ Ἱπποκράτης τὴν μὲν ἐπὶ τὰ ἔμπροσθεν ἐξάρθρησιν, διὰ τῆς ἀθρόας χειρὸς κάμψεως ἐπανορθοῦται. ὥστε τὸ θέναρ αὐτῆς εἰς τὸν κατ' εὐθὺ ὦμον χρῆσθαι. τὴν δὲ ἐπὶ τὰ ὀπίσω διὰ τῆς ἀπὸ ποδὸς πάλιν ἐπὶ πολὺ γινομένης ἐκτάσεως, ἐπειδὴ καὶ τῆς ἐξαρθρήσεων ἡ μὲν ἐπὶ τὰ ἔμπροσθεν διὰ βιαίας ἐκτάσεως μάλιστα γίνεται. ἡ δὲ ἐπὶ τὰ ὀπίσω, διὰ κάμψεως ὁμοίως βιαίας. Huius quoque repositionis per violentam flexionem meminit Hippocr. lib. de art. & Cornelius Celsus cap. 16. lib. 8.

δύναται δὲ ἐν τούτῳ τῷ τρόπῳ] Huius quoque extensionis meminit lib. de art. Hippocrates. Paulus verò lib. 6. eam explicat, & totum reponendi modum paulò fusiùs exprimit, his verbis: εἰ δὲ ἐπιμένοι τὸ ἐξάρθρημα, καὶ ἰσχυροτέρᾳ κατατάσει χρησόμεθα. ταύτῃ δὲ μάλιστα ἐστιν ἐπὶ τῆς κατὰ φύσιν βραχίονος εἰρημένῃ τῷ Ἱπποκράτει, ἔνθα τὸν ἐλαιοῦ παρελάμβανε. τῶν δὲ νεωτέρων τινὲς οὕτως κατορθοῦσι. δύο κατατεινόντων ὑποθέτων ὡς εἴρηται τὴν χεῖρα, ὁ μὲν ἄνω τῇ μασχάλῃ διαχειρίζων. ὁ δὲ κάτω πρὸς τῷ καρπῷ. ὁ ἰατρὸς κατὰ κρίσιν τοῦ κάμνοντος, τοῖς δυσὶ θέναρσιν ἐπὶ ἄρθρον περιβάλλει τοῦ βραχίονος. καὶ κελεύσας ἱμάντων συνειλιγμένον ἐπίμηκες, ἢ πλατείας ταινίας περιελίσσει ταῖς αὐτοῦ χερσὶν, ἅμα δηλονότι τῷ τοῦ κάμνοντος βραχίονι, καὶ ἀνέλκει ἐπὶ τὰ

E ἔξω ἢ κάτω πρὸς τῇ ἄκρᾳ χειρί. αὐτὸς οὖν ἀκολουθῶν μετὰ πάσης περιπιγνομένης αὐταῖς ἕλκει, ἕως ἂν ἀθρόον τὴν τοῦ ἀγκῶνος διάρθρωσιν. δεῖ δὲ περιαλείφειν ἐλαίῳ τὴν χεῖρα, διὰ τὸ ὀλισθηρὸν ἐπὶ τὸ παρέχειν γίνεσθαι τοῖς τῶν ἰατροῦ θέναρσιν. οὕτω γὰρ ἂν τὰ ἐξεστῶτα τῇ τῶν διατυρομένων χειρῶν βίᾳ πιεζόμενα, εἰς τὸν ἴδιον ἐπανελεύσεται τόπον. Intendendi quoque ac reponendi modum † Corn. Celsus his verbis prosequitur. Extendendi tamen alia atque alia genera sunt, prout nerui valent, aut ossa huc illucve se dederunt. Ac modò manibus solis vtendum est, modò quædam alia adhibenda. Ergo si in priorem partem cubitus prolapsus est, extendi per duas manus, interdum etiam habenis iniectis satis est. Deinde rotundum aliquid à lacerti parte ponendum est, & super id repente cubitus ad humerum impellendus est. Ac in aliis casibus commodissimum est eadem ratione brachium extendere, quæ fracto humero supra posita est, & tum ossa reponere. Sic enim ista apud Celsum legenda censeo, cùm vitiosissimè scripta sint nostris in codicibus. Sunt porrò apud recentiores Chirurgos reponendæ cubiti in priorem partem prolapsionis multa genera, quæ quòd ex multis Chirurgiæ magistris peti possint, in præsens omitto.

† Cap. 16. Lib. 8.

F [34] ἢν δὲ εἰς τοὔπισω βραχίων ἐκπέσῃ, ὀλιγάκις δὲ τοῦτο γίγνεται, ἐπωδυνώτατον δὲ τοῦτο πάντων καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν καὶ ἀκρητοχόλων, θανατωδέων καὶ ὀλιγημερέων, οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ἢν μὲν οὖν αὐτίκα παρατύχῃς, βιασάμενον χρὴ ἐκτανύσαντα τὸν ἀγκῶνα, καὶ αὐτόματον ἐμπίπτει. ἢν δέ γε φθάσῃ πυρετήνας, οὐκ ἔτι χρὴ ἐμβάλλειν. κατατείνειεν γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένου. ὡς

G ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδ' ἄλλο χρὴ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν, ἥκιστα δὲ ἀγκῶνα. ἔστι δὲ καὶ ἄλλα σίνεα κατ' ἀγκῶνα ὀχλώδεα. τοῦτο μὲν γὰρ τὸ παχύτερον ὀστέον ἐστὶν ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου, ὥστε οὔτε ξυγκάμπτειν, οὔτε κατατανύειν ὁμοίως δύνανται. δῆλον δὲ γίγνεται ψαυόμενον κατὰ τὴν ξυγκαμψιν τοῦ ἀγκῶνος παρὰ τὴν διχάδα τῆς φλεβὸς τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον, οὐκ ἔτι ῥηΐδιον ἐς τὴν ἑωυτοῦ

H φύσιν ἀγαγεῖν. οὐδὲ γὰρ ἄλλην οὐδὲ μίαν ῥηΐδιον ξυμφυάδα κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐς τὴν ἀρχαίην φύσιν ἱδρυνθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν διάστασιν.

At si posteriorem in partem brachium exciderit, quod tamen rarò cõtingit, is casus maximos omnium dolores, febresque assiduas, merè biliosas, lethales, & quæ intra paucos dies hominem è vita tollant, inducit. Quibus id accidit, brachium extendere nequeũt. Si ergo statim à principio affueris, vi cubitum intendere oportet, ac spõte in suum locũ restituetur. Quòd si febris præoccuparit, recondi non ampliùs debet. Vi enim adhibita dolor intenderetur. Ac, vt vno verbo dicam, neq; vllus alius articulus, ac minimè omnium cubitus, dum febris adest, in suam sedem compellendus est. Aliæ quoq; graues noxiæ ac molestæ in cubiti gibbo contingunt. Nempe os istud crassius quandoq; ab altero dimouetur, tuncq; neq; curuari, neq; extendi similiter brachium potest. Id autem manifestũ fit, si quis cubiti flexum, quà vena scinditur, & supra lacertum fertur, manu contingat. Quod vbi accidit, non facilè in suam naturam restituitur. Neque enim vlla alia duorum inter se ossium connexio, vbi dimota est, facilè in pristinam sedem reponitur, verùm diductis ossibus eam partem turgidiorẽ esse necesse est.

Qua autem ratione articulus vinciendus sit, in malleoli deligatione dictum est. Interdum verò os cubiti brachio subiectum frangitur, quandoq; etiam cartilaginea eius pars, ex qua tendo in posteriore brachij parte enascitur. Quod cùm fit, febrem & maligna vitia inducit. Articulus tamen suo loco manet, æqualiter enim ipsius basis hac parte excedit. Cùm verò qua parte brachij caput supereminet discesserit, magis vagatur articulus, quàm si penitus transuersus frangatur. Ac (vt vno verbo complectar) minores noxiæ sunt sub ossibus fractis, quàm si iis non fractis, venæ tamen ac nerui insignes iis locis conterantur. Hæc enim magis quàm illa præcipitant, si febre continua incendantur. Verùm huiusmodi quidē fracturæ rarò euenire consueuerunt. Interdum quoq; ipsum brachij caput iuxta productionem frangitur. Idque cùm longè magis noxium esse videatur, iis quæ circa cubitum contingunt multò est leuius. Qua igitur ratione luxata singula in suas sedes reponi potissimumque curari conueniat, scriptum est, quodq; articulum protinus in suum locum compelli, ob celerem neruorum inflammationem, maximè conferat. Etenim si quæ suo loco mota sunt statim recondantur, vnà etiam nerui contendi solent, aliquantoque tempore consuetam tum extensionem tum inflexionem impedire. Hæc autē omnia simili modo curare conuenit, tū quæ franguntur, tum quæ inter se dissident, tum quæ luxātur. Cuncta enim pluribus fasciis & spleniis, ac cerato, haud aliter quàm reliquæ fracturæ, curāda sunt. In his etiam cubiti gibbum talem prorsus habitum habere conuenit, qualis vbi brachium fractum aut cubitus deligabatur. His enim omnibus tam luxationibus, quàm emotionibus & fracturis, maximè communis est habitus, nec non ad eam quæ postea sequitur distentionem, & ad singula extendenda & flectenda. Inde enim similes ad vtraque viæ ineundæ sunt. Præterea hoc habitu ægroto membrum facilè continetur & appensum excipitur. Ad hæc etiam vbi callus firmandus est, si quidem porrecta manu callus obducatur, eum minimè adesse præstaret, cùm magno sit impedimento, parum verò prosit: sin autē manu inflexa callus obducitur, magis ex vsu fuerit. At longè expeditiùs meliusq; fuerit, si manu medio habitu collocata, callus obfirmetur. Ac de habitu quidem hactenus.

ὡς δὴ ἐπιδέειν χρὴ ἐν ἄρθρῳ ἐν τῇ κατὰ σφυρὸν ἐπιδέσει εἴρηται. ἔστι δ' οἷσι κατήγνυται τοῦ πήχεος τὸ ὀστέον τὸ ὑποτεταγμένον τῷ βραχίονι. ὅτε μὲν τὸ χονδρῶδες αὐτοῦ, ἀφ' οὗ ἀποπέφυκεν ὁ τένων ὄπισθεν τοῦ βραχίονος, καὶ ἐπὴν τοῦτο κινηθῇ, πυρετῶδες καὶ κακόηθες γίνεται, τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ. ἴσως γὰρ ἡ βάσις αὐτέου ταύτῃ ὑπερέχει. ὅταν δὲ ἀπαγῇ ταύτῃ ᾗ ὑπερέχει ἡ κεφαλὴ τοῦ βραχίονος, πλανωδέστερον τὸ ἄρθρον γίνεται, ἢν παντάπασιν ἀποκαυλισθῇ. ἀσινέστερα δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαί ἐστιν ταῦτα τὰ κατηγνύμενα τῶν ὀστέων ἐστὶν, ἢ οἷσι τὰ μὲν ὀστέα μὴ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφιφλᾶται ἐν τούτοισι τοῖσι χωρίοισιν. ἐγγυτέρω γὰρ θανάτου πελάζει ταῦτα ἢ ἐκεῖνα, ἢν ἐκπυρωθῇ ξυνεχεῖ πυρετῷ. ὀλίγα μὲν τὰ τοιαῦτα κατήγματα γίνεται. ἔστι δὲ ὅτε αὐτὴ ἡ κεφαλὴ τοῦ βραχίονος κατὰ τὴν ἐπίφυσιν κατάγνυται. οὕτω δοκέω κακοσινώτερον εἶναι πολλῷ, πολλῷ τινὶ εὐηθέστερον τῆς κατ' ἀγκῶνα σινέων ἐστίν. ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων χρὴ ἁρμόσαι ἐμβαλλέειν καὶ μάλιστα ἰητρεύειν γέγραπται, καὶ ὅτι παραχρῆμα ἐμβαλλέειν καὶ μάλιστα ἄρθρον ξυμφέρει διὰ τὸ τάχος τῆς φλεγμονῆς τῶν νεύρων. καὶ γὰρ ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὁμοίως φιλέει τὰ νεῦρα ξυντασιν ποιέεσθαι, καὶ κωλύειν ἐπὶ πόσον χρόνον τήν τε ἔκτασιν ὅσην περ φιλέει ποιέεσθαι, τήν τε ξύγκαμψιν. ἰητρεύειν δὲ πάντα παραπλησίως ταῦτα ξυμφέρει, καὶ ὁκόσα ἄγνυται, καὶ ὁκόσα διΐσταται, καὶ ὁκόσα ὀλισθαίνει. πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι καὶ σπλήνεσιν καὶ κηρωτῇ ἰητρεύειν, ὥσπερ καὶ τἆλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγκῶνος ἐν τούτοισι πᾶσι παντάπασι δεῖ τοιοῦτον ποιέεσθαι, οἷόν περ οἷσιν βραχίων ἐπιδεῖτο καταγεὶς, καὶ πῆχυς. κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασιν, καὶ τοῖσι κινήμασιν, καὶ τοῖσι κατήγμασι τοῦτο τὸ σχῆμά ἐστιν. κοινότατον δὲ πρὸς τὴν ἔπειτα διάτασιν, καὶ τὸ ἐκτανύειν ἕκαστα, καὶ ξυγκάμπτειν. ἐντεῦθεν γὰρ ὁδοὶ ἐς ἀμφότερα παραπλήσιοι. εὐοχώτατον δὲ καὶ εὐανάληπτον αὐτέῳ τῷ κάμνοντι τοῦτο τὸ σχῆμα. ἔτι δὲ πρὸς τούτοις εἰ ἄρα κρατηθείη ὑπὸ τοῦ πωρώματος, μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέσσων ἂν εἴη μὴ προσεοῦσα. πολλῷ μὲν γὰρ κώλυμα εἴη, ὠφελείη δὲ ὀλίγον. εἰ δὲ αὖ ξυγκεκαμμένη, μᾶλλον εὔχρηστος ἂν εἴη. πολλῷ δὲ εὐχρηστοτέρη εἰ τὸ διὰ μέσου σχῆμα ἔχουσα πωρωθείη κρέσσων. τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα.

[34] ἐπωδυνώτατον δὲ τοῦτο πάντων] Lib. de artic. vbi cubitus in posteriorem partem luxatus est, dolores maximè recrudescere scrib cum febre, nausea & meracæ bilis vomitione. Celsus quoque. Si in posteriorem partem cubitus prolapsus est, brachium curuum est, neque extenditur, breuiusque altero est. Interdum febrem vomitumque bilis mouet.

ἢν δέ γε φθάσῃ πυρετήνας] Paulus. δεῖ οὖν αὐτίκα ποιεῖσθαι τὴν ἐμβολὴν πρὸ τῆς φλεγμονῆς. φθάσαντα γὰρ τοῦτο παθεῖν δυσίατα. ποτὲ δὲ καὶ παντελῶς ἀνίατα γίνεται. καὶ μάλιστα εἰ ἐπὶ τὰ ὀπίσω γίγνεται ἡ ἐξάρθρησις. πασῶν γὰρ τῶν κατ' ἀγκῶνα καὶ ἐπωδυνωτέρα καὶ μᾶλλον ἐπικίνδυνός ἐστιν ἡ ἐπὶ ὀπίσω.

ὅταν δὲ ἀπαγῇ] Et istud est ἀπόκλασμα aut ἄπαγμα recentioribus dictum, quod scribit Galenus Comment. 3. in lib. κατ' ἰητρεῖον. Lego autem cum interpretibus, ὅταν δὲ ἀπαγῇ ταύτῃ ᾗ ὑπερέχει ἡ κεφαλὴ τοῦ βραχίονος, contra omnium exemplarium fidem: etsi pro ἀπαγῇ κατα-γῇ quidam legunt. Rursusque, ἢν οἱ παντάπασιν ἀποκαυλισθῇ legendum videtur, contra tamen omnium codicum fidem. Erotianus autem ἀποκαυλισθῇ, ὅ ἐστι καυληδὸν κλασθῇ exponit.

ἀμφιφλᾶται] Sic legunt meliora exemplaria, quædam etiam ἀμφικλᾶται, quæ magis ad Galeni mentem accedere videntur, Com. 3. in lib. κατ' ἰητρεῖον.

οὕτω δὲ δοκέω κακοσινώτερον εἶναι πολλῷ] κακοσινώτατα ἐπιβλαβέστατα, hoc est nocentissima, longè noxia exponit Galenus in Exegesi, Interpretes autem legisse videntur, οὕτω δὲ δοκέον κακοσινώτερον εἶναι πολλῷ, πολλῷ τινὶ εὐηθέστερον, &c.

ὁμοίως φιλέει τὰ νεῦρα] ὅμως pro ὁμοίως videtur legisse maxima pars interpretum. Nos tamen nihil immutauimus, eumq; sensum amplectimur, vt statim extensione facta nerui etiam similiter facilè extendantur, alioqui interposito aliquo tempore, neque extensioni neque inflexioni facilè cedunt ob inflammationem.

35 ἐπιδεῖ

Ἐπιδεῖν δὲ χρὴ τήν τε ἀρχὴν τοῦ ὀθονίου βάλλοντα κατὰ τὸ βλαφθὲν, ἤν τε καταγῇ, ἤν τε ἐκστῇ, ἤν τε διαστῇ. καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιέεσθαι, καὶ ἐρηρείσθω μάλιστα ταύτῃ, ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ ἧσσον. τὴν δὲ ἐπίδεσιν κοινὴν ποιέεσθαι χρὴ τοῦ τε πήχεος καὶ τοῦ βραχίονος, καὶ ἐπὶ πουλὺ πλέον ἑκάτερον ἢ ὡς οἱ πλεῖστοι ποιέουσιν, ὅκως ἐξαρύηται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. προσεπιβαλλέσθω δὲ καὶ τὸ ὀξὺ τοῦ πήχεος, ἤν τε τὸ σίνος κατὰ τοῦτο ᾖ, ἤν τε μὴ, ἵνα τὸ οἴδημα ἐν τῷ περὶ αὐτὸ ξυλλέγηται. φυλάσσειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει, ὅκως μὴ κατὰ τὴν καμπὴν πολλῷ τοῦ ὀθονίου ἠθροισμένον ἔσται ἐκ τῶν δυνατῶν. πεπιέχθω δὲ κατὰ τὸ σίνος ὡς μάλιστα, καὶ τὰ ἄλλα καταλαβέτω αὐτὸν περὶ τῆς πιέξιος καὶ τῆς χαλάσιος. ταῦτα καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἕκαστα ὥσπερ τῶν ὀστέων τῶν κατεηγότων ἐν τῇ ἰήσει πρόσθεν γέγραπται. καὶ αἱ μεταπιδέσιες διὰ τρίτης ἔστωσαν. χαλαρὰ δὲ δοκεέτω τῇ τρίτῃ ὥσπερ καὶ τότε. καὶ νάρθηκας προσπεριβάλλειν ἐν τῷ ἱκνευμένῳ χρόνῳ. οὐδὲν γὰρ ἀπὸ τρόπου, καὶ τοῖσι τὰ ὀστέα κατεηγόσι, καὶ τοῖσι μὴ, ἢν μὴ πυρεταίνῃ. ὡς χαλαρωτάτους δὲ, τοὺς μὲν ἀπὸ τοῦ βραχίονος κατατεταγμένους, τοὺς δὲ ἀπὸ τοῦ πήχεος κειμένους. ἔστωσαν δὲ μὴ παχέες οἱ νάρθηκες. ἀναγκαῖον δὲ καὶ ἀνίσους αὐτοὺς εἶναι ἀλλήλοισιν, παραλλάσσειν δὲ παρ' ἀλλήλους, ᾗ ἂν ξυμφέρειν τεκμαιρόμενον πρὸς τὴν ξύγκαμψιν. ἀτὰρ καὶ τῶν σπληνῶν τὴν πρόσθεσιν τοιαύτην χρὴ ποιέεσθαι, ὥσπερ καὶ τῶν ναρθήκων εἴρηται. πληρεστέρους δὲ ὀλίγῳ κατὰ τὸ σίνος προστιθέναι. τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς φλεγμονῆς τεκμαίρεσθαι, καὶ ἀπὸ τῶν πρόσθεν γεγραμμένων.

Deligare verò oportet primo fasciæ capite ad læsam partem iniecto, siue fracta sit, siue exciderit, siue dehiscat, ibiq́; primas conuolutiones circundare, ita vt ea parte maximè obfirmentur, sed vtrinque minùs. Vinculo quoque cubitus & brachium communiter cōprehendendum, quod vtriusq; multò maiorē partem occupet, quàm plærique soleant, quò quàm longissimè à loco læso in hanc vel illam partem tumor exprimatur. Vinculo insuper eminentia etiam cubiti circundanda, siue ea parte noxia sit, siue nō, vt ne circa ipsam tumor colligatur. Vitandum etiam in vinciendo quoad eius fieri poterit, ne vinculum ad cubiti flexum multum coaceruetur. Compressio quoque quàm maximè qua parte noxia est, facienda, cæteraque, quòd ad vinculi compressionem ac laxamētum attinet, eadem, iisdemque temporibus singula adhibenda, quæ in ossium fractorum curatione priùs scripta sunt. Tum tertio quoque die vincula resoluenda. Tertio item die laxa esse sentiantur, non secus ac in fracturis. Ferulæ quoque suo tempore circundandæ. Nihil enim absurdum est, tam iis quibus ossa fracta sunt, quàm quibus fracta non sunt, adhibere, nisi febris adfuerit. Quàm laxissimæ autem partim quidem ad brachium adaptentur, partim etiam ad cubitum collocentur, neque eæ crassæ. Admoueri quoque eas inæquales necesse est, ac inter se cedentes, quatenus conferat cōiectura ad flexum adhibita. Quin & splenia eadem ratione, qua ferulas diximus, sunt apponenda, sed qua parte vitium est, paulò pleniora. Temporis verò opportunitatem, cùm ex inflammatione, tum ex iis quæ supra scripta sunt, coniicere oportet.

35 ὅκως ἐξαρύηται] Sic lego cùm omnia exemplaria ἐξαρέηται vitiosè legant, etsi ἐξαρύηται malim. ἐξαρύεσθαι autem ἐκκενοῦσθαι, ἐκθλίβεσθαι à Galeno exponi antea scripsimus, & ab Erotiano ἐξαντλῆσαι, & ἐκπιέζεσθαι quod est exhaurire, exprimi & euacuari. Huc verò quadantenus quadrare posse videtur Galeni expositio in Exegesi, cùm scribit ἐξαρύεται quibusdam explicari ἐξορμᾶται ἢ ἐξορμὴν ποιέεται, hoc est cum impetu fertur, aut impetum facit. (Sic enim legere malim, cùm ἁπλῶς habeat omnia exemplaria.) Hoc sensu, vt quàm longissimè à loco læso in hanc vel illam partem tumor exhauriatur, hoc est exprimatur, aut impetu feratur ac depellatur.

ἵνα τὸ οἴδημα ἐν τῷ περὶ] Sic certè legunt quotquot adhuc videre licuit exemplaria tum manu scripta tum publicata. Verùm cum interpretibus ἵνα μὴ lego.

ἀπὸ τοῦ βραχίονος κατατεταγμένους] Sic legit exemplarium bona pars, quædam etiam κατατεταμένους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΡΘΡΩΝ.

HIPPOCRATIS DE ARTICVLIS, LIBER.

Ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθάνον, τὸν ἐς τὴν μασχάλην. ἄνω δὲ, οὐδέποτε εἶδον, οὐδὲ ἐς τὸ ἔξω. οὐ μέντοι διισχυριεῦμαί γε, εἰ ὀλισθάνοι ἂν, ἢ οὔ, καίπερ ἔχων περὶ αὐτοῦ, ὅ,τι λέγω. ἀτὰρ οὐδὲ ἐς τὸ ἔμπροσθεν οὐδέπω ὄπωπα, οὐδὲ τοῦτο ὅτι ἔδοξέ μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰητροῖσι δοκέει κάρτα ἐς τοὔμπροσθεν ὀλισθαίνειν, καὶ μάλιστα ἐξαπατῶνται ἐν τούτοισιν, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας τὰς περὶ τὸ ἄρθρον τε καὶ τὸν βραχίονα. φαίνεται γὰρ ἐν τοῖσι τοιούτοισι πάντάπασιν ἡ κεφαλὴ τοῦ βραχίονος ἐξέχουσα ἐς τοὔμπροσθεν. ἐγὼ δέ ποτε τὸ τοιοῦτον οὐ φὰς ἐκπεπτωκέναι, ἤκουσα φλαύρως ὑπό τε τῶν ἰητρῶν, ὑπό τε τῶν δημοτέων διὰ τοῦτο τὸ πρῆγμα. ἐδόκεον γὰρ αὐτοῖσι ἠγνοηκέναι μοῦνος,

HVMERI articulum vno modo, in alam videlicet, excidere vidi, nunquam autem in superiorem aut exteriorem partem. Non tamen excidat nécne contenderim, licet de eo aliquid dicere possim. Verùm neque in priorem partem vnquam vidi, nec excidere posse existimo. Etsi quibusdam medicis eam in partem plurimùm luxari videtur. Sed maximè falluntur in iis quorum carnes circa articulum & brachium tabes occupauit. In quibus brachij caput in anteriorem partem prominere prorsus videtur. Atque ego cùm aliquando huiusmodi articulum excidisse negarem, eam ob rem tum apud medicos, tum apud vulgum malè audiui. Solus enim ignarus,

alij verò omnes periti sunt habiti, remque ita se habere, vix illis persuadere potui. Si quis ex brachio, superiore humeri parte, carnem detraxerit, ex ea quidem parte quà musculus sursum tendit, tendonem quoq; nudarit, qui iuxta alam & iugulum ad pectus fertur, brachij caput, licet nõ exciderit, anteriore parte multum prominere cõspicietur. Natura enim brachij caput in anteriorem partem pronum est, reliquum verò brachij os in exteriorem partẽ incuruatur. Brachium verò lati scapularum ossis cauo adiacet, vbi ad costas porrigitur. At cùm in anteriorem partem manus tota extenditur, tũc brachij caput rectà cauum lati scapularum ossis spectat, neq; ampliùs anteriore parte prominere videtur. Sed quod in proposita quęstione versatur, nunquam anteriorem in partem prolapsum vidi, neque tamen de eo sic excidat nécne verbis contenderim. Vbi igitur brachium in alam elabitur, cùm multis contingat, complures id in suam sedem reponere norunt. Omnes autem nosse modos quibus medici recondere cõsueuerunt, quaq; ratione his quàm optimè quis vtatur, eruditi est. Modus quoq; optimus adhibendus, vbi validissima vi opus esse conspexeris. Optimus verò ille est, qui postremus paulò pòst adscribetur. Quibus igitur humerus frequẽter elabitur, ij per se vt plurimùm in suã sedem reponere possunt. Immissis enim sub alam alterius manus digitorũ nodulis, articulum sursum propellunt, cubiti verò gibbum ad pectus adducunt. Ad hunc quoque modum medicus in suum locum compellet, si interiore articuli prolapsi parte, sub alam immissis digitis, ipse quidem capite ad summum humerum obfirmato, à costis reducat, genibus verò ad cubiti flexum brachio admotis, ad costas repellat. At qui reponit, manus eũ habere robustas conuenit, aut ipse quidem manibus & capite id præstet, alius verò quidam cubiti gibberum ad pectus adducat. Reponitur quoque humerus, si cubito in posteriorem partem ad spinam reducto, tum altera manu quod in cubito eminet sursum reflectatur, altera verò articulus retro obfirmetur. Hic reponendi modus cum superiore, etsi non sunt secundum naturam, articulum tamen circunducentes in suam sedem compellunt.

οἱ δὲ ἄλλοι πάντες ἐγνωκέναι, καὶ οὐκ ἠδυνάμην ἀναγνῶσαι, εἰ μὴ μόλις ὅτι τόδε ἐστὶ τοιόνδε. εἴ τις τοῦ βραχίονος ψιλώσειε μὲν τὴν σάρκα τὴν ἐπωμίδα, ψιλώσειε δὲ ᾗ ὁ μῦς ἀνατείνει, ψιλώσειε δὲ τὸν τένοντα, τὸν κατὰ τὴν μασχάλην καὶ τὴν κληῖδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτο ἂν ἡ κεφαλὴ τοῦ βραχίονος ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπτωκυῖα. πέφυκε γὰρ ἐς τοὔμπροσθεν προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος. τὸ δ' ἄλλο ὀστέον τοῦ βραχίονος, ἐς τὸ ἔξω καμπύλον. ὁμιλέει δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ᾖ. ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χείρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος κατ' ἴξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γίνεται, καὶ οὐκέτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ νῦν ὁ λόγος, οὐδέποτε εἶδον, οὐδὲ εἰς τοὔμπροσθεν ἐκπεσόν. οὐ ἰσχυρείω γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσῃ ἂν οὕτως, ἢ οὔ. ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. παίδευτον δέ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους οἷσιν οἱ ἰητροὶ ἐμβάλλουσι, καὶ ὡς ἄν τις αὐτοῖσι τοῖσι τρόποισι τούτοισι μάλιστα χρῷτο. χρέεσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς. κράτιστος δὲ ὕστατος γεγραμμένος. ὅσοισι μὲν οὖν πυκινὰ ἐκπίπτει ὁ ὦμος, ἱκανοὶ ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν. ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δὲ ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰητρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου ἐκπεπτωκότος, ὑποτιθεὶς τοὺς δακτύλους ἀναγκάζοι ἀπὸ τῶν πλευρέων, ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον, ἀντερείσιος ἕνεκα, τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν, ἀντωθέῃ πρὸς τὰς πλευράς. ξυμφέρει δὲ κρατερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα. ἢ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτω ποιοίη, ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος. ἔστι δὲ ἐμβολὴ ὤμου, καὶ ἐς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾷν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐρείδειν. αὕτη ἡ ἐμβολή, καὶ ἡ προειρημένη, οὐ κατὰ φύσιν ἐοῦσαι, ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, ἀναγκάζουσιν ἐμπίπτειν.

Magnam esse Italicarum membranarum hoc in libro varietatem, satis indicat Calui versio, quæ per omnia Mochlico similis videtur, plurimaque ex parte diminuta. Eadem quoque in scriptionis ordine & indicatura varietas videtur. Quædam enim membranæ Vaticanæ post librum περὶ φύσιος παιδίου hunc adscribunt, & περὶ ἄρθρων ἐμβολῆς indicaturam faciũt, ea quæ luxa sunt designantem, ac fortè melius περὶ ἄρθρων ἐμβολῆς. Nos Regiarum membranarum manu scriptarum liberalitatem & vetustatem quoad eius fieri potest, amplectemur, istumq; consecutionis ordinem ex Galeno assignabimus, & περὶ ἄρθρων denominationem adscribemus, etsi περὶ τῶν ἐξαρθρημάτων sæpè aliàs inscribitur Galeno.

ὤμου δ' ἄρθρον] Hoc loco ὤμου ἄρθρον excidere dicitur ὁ ἴσως τῷ κατ' ὦμον ἄρθρον, velut τὸ ἰσχίον ἐξίστασθαι scribitur aph. 59. lib. 6. pro τὸ κατ' ἰσχίον ἄρθρον, vt illic scribit Gal. hoc loco subnotato. Sic Com. 2. in hunc lib. Galenus hic ὦμον pro τὸ κατ' ὦμον ἄρθρον positum scribit, vt & illic γνάθον pro τὸ κατὰ τὴν γνάθον ἄρθρον.

οὐ μέν τοι διισχυρείω γε] Sic legunt omnes membranæ scriptæ cum publicatis exemplaribus. Galenus verò ἰσχυρείω, vt postea, legisse videtur, & ἰσχυριστικῶς ἔχω, aut ἰσχυρίσασθαι ἔχω, aut ἐθέλω εἰπεῖν accipere, hoc est, non asseuerauerim, aut contenderim. Est enim ἰσχυρίζομαι aut διισχυρίζομαι verbis contendo & connitor, asseuero, aut affirmo, Gallica phrasi rectè exprimitur (*Ie me fay fort de cela*) Quæ trãslatio aptissimè huc quadrare possit. Versus autem Homericus qui apud Galenum vitiosus est Iliad. ξ. scribitur (vers. 37. hoc modo:

τῷ ῥ' οἵ γ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο.

Ex quo Hesychius ὀψείοντες exponit ἰδεῖν θέλοντες, ὀπτικῶς ἔχοντες, κατοπτεῦσαι βουλόμενοι, παρακολουθοῦντες τοῖς γινομένοις. Hunc porrò locum adducit Galenus l. b. περὶ τῶν ὅλου τοῦ νοσήματος καιρῶν, vbi ἰσχυρείζω legit, his verbis: μακροτέρου δὲ λόγου δεομένου τοῦ σκέμματος, ἔοικα παραλείψειν ἅπαντα, μιμησάμενος Ἱπποκράτην περὶ τοῦ κατὰ τὸν ὦμον ἐκπτώσεως εἰπόντα, οὐ μέντοι ἰσχυρείζω, ἔχω γε περὶ αὐτοῦ, καί τι ἔχω ὅ, τι λέγω. Hîc autem codices manu scripti reconditiores Regij διισχυρεισείω pro διισχυρείω habent, quod certè magis probatur.

A ἐγὼ δὲ ποτὲ τὸ ἐδίδαξεν ἡ φασί] Sic publicati omnes codices legunt, pertinaci admodum vitio, quod etiam ad scriptas membranas redundauit, pro quo φημὶ lego cum interpretibus omnibus.

αὐτῆς ἀναγνῶσαι] Certè ἀναγνῶναι hoc subnotato loco videtur legisse Galenus in Exegesi & Erotianus, cùm μεταπεῖσαι, μεταδιδάξαι exponunt, aut ἀναγνῶσαι ex hoc loco apud Galenum & Erotianum legendum. Cuius etiam fusiorem explicationem adscripsimus in nostra Oeconomia.

ἐπὶ τῷ βραχίονος] Hunc locum adducit Galenus lib. 3. de Administrat. anatomicis, vbi τὸν βραχίονα legit.

ὁμιλέει δὲ ὁ βραχίων] Hîc ὁμιλεῖν adhærere, cohærere, aut inseri & apponi significare videtur, cùm ὁμιλία de ossium cohærentia & συνθέσει dicatur. Quod indicare videtur Erotianus hoc subnotato loco his verbis: ἐν δὲ τῷ περὶ ἄρθρων ἁπλῶς τὴν πρόσθεσιν καὶ γειτνίασιν, ὅτε φησίν. ὁμιλέει δὲ βραχίων τῇ κοτύλῃ τῆς ὠμοπλάτης. Vbi animaduertendum est Erotianum τῇ κοτύλῃ legisse, cùm exemplaria omnia τῷ κοίλῳ habeant. Galenus autem τὸ ὁμιλεῖν pro συνιέναι ἀλλήλοις καὶ τῷ ὁμοῦ εἰλεῖσθαι, hoc est, simul conuenire aut conuersari, velut per quandam

B translationem sumit. Quem etiam in sensum versum Homericum ex Il. σ. (v. 539.) vsurpat. At verò Erotianus huc aliam quadrare significationem, ista etiam nominatim expressa, existimat. Galenus quoque Com. 1. in lib. de Fract. ὁμιλέειν hîc προσκεῖσθαι & ψαύειν, quod est, adiacere & attingere exponit. Verùm idem πλαγίως legit, & ὁπότε πρὸς τὰς πλευρὰς ἢ προτεταμένη ἡ χείρ. Quam lectionem etiam sequitur in Commentario.

ἐμὴν ἰσχυρίζομαι] Humeri articulum in anteriorem partem an elabatur non contendit Hippocrates, neque id videre illi contigit. Paulus quoque lib. 6.* & Auicennas priorem in partem luxari negant. Galenus scribit se semel Smyrnæ in Asia, & Romæ quater eiusmodi luxum vidisse.† Celsus etiam humeri in priorem partem prolapsi hæc signa dedit, summum quidem brachium extenditur, minùs tamen quàm naturaliter, difficiliùsque in priorem partem quàm in posteriorem cubitus porrigitur. Recentiores etiam Chirurgi eam luxationem interdum videri adscribunt. *Cap. 114. †Cap. 15. lib. 8.

ἐθέντες γὰρ τῆς ἑτέρης χειρὸς] Hæc repositio in mollibus & delicatis corporibus fit, cuius meminit Paulus his verbis: ἐπὶ μὲν οὖν παιδίων ἢ

C ἐφ' ὧν προσφάτως καὶ οὐκ ἐπὶ πολὺ γέγονεν ἡ ἔκπτωσις, ἢ τῷ κονδύλῳ τοῦ μέσου δακτύλου καμφθέντος ὑπερέχοντι, τῆς ἰατροῦ χειρὸς, καὶ τῷ τοῦ πεπονθότος τῆς ὑγιοῦς, εἰ μὴ παῖς ἦ, πολλάκις εἰσωλίσθη, ὥς φησιν Ἱπποκράτης.

τὸν αὐτὸν δὲ τρόπον] Huic repositionis modo simile fere quod scribit Celsus. Igitur si in alam humerus excidit, & vel puerile adhuc est corpus, vel molle certè & imbecillibus neruis intentum est, satis est collocare id in sedili, & ex duobus ministris alteri imperare vt caput lati scapularum ossis leuiter reducat, alteri vt brachium extendat: ipsum posteriore parte residentem humerum sub ala eius cogere, simúlque & latum os, & altera manu brachium eius ad latus impellere. Vitiosa autem sunt exemplaria, quæ ἐμβάλλειν τὴν ἑωυτοῦ κεφαλὴν, pro ἐμβάλλων hîc legunt, vt & quæ, εἰ αὐτῆς μὲν, pro ἢ αὐτὸς μέν.

ὅμως ἀμφιβάλλουσαι] Erotianus ἀμφιβάλλουσαι περιστρέφουσαι explicat, hanc repositionem quæ circunducendo fit intelligens. Neque enim dubium cuiquam esse potest quin hunc locum subindicet. Sed forte ἀμφισφάλλουσαι legendum videtur, vt legisse Erotianum suspicor, vt & postea ἀμφίσφαλσις pro περίσφαλσις ponitur. Et in Mochlico de hac humeri luxati repositione verba faciens, εἰς τοὐπίσω περιαναγκάσαι ὡς ἀμφισφαλῆ iubet.

D

[2] Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν, ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι. χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ' ὁκότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ. ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ, τῆς χειρὸς τῆς σιναρῆς, κατατείνειν αὐτὴν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθεῖν, τῇ μὲν δεξιῇ, ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ, ἐς τὴν ἀριστερήν.

E δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι ἐναρμόττον. ἐπιτηδειότατα δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραὶ, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται. ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. κατατεινομένης γὰρ τῆς χειρὸς κοιλαίνεται ἡ μασχάλη, οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντι-

F τεινόμενοι ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης. ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανὸν, ὅταν ἡ σφαῖρα ἐντεθῇ εἰς τὴν μασχάλην περὶ τὴν σφαίρην περιβεβλημένου τοῦ ἱμάντος, καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος, ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου κα-

G θήμενον τῷ ποδὶ προσβαίνοντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. ἡ δὲ σφαίρη ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω, καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος. [3] ἔστι δὲ καὶ ἄλλη ἐμβολὴ, ὡς κατωμίζουσιν ἐς ὀρθόν. μείζω μέντοι εἶναι χρὴ τὸν κατωμίζοντα, διαλαβόντα

At qui calce reponere tentant, ij prope ad naturalem repositionem accedunt. Homine quidem humi supino reclinato, eum qui reponit humi sedere quam in partem articulus exciderit, oportet, deinde affecta manu suis manibus apprehensa, eam extendere, calce verò sub alam immisso, dextro quidem in dextram, sinistro in sinistram, in contrariam partem impellere. In alæ cauum autem immitti rotundũ aliquid, quod congruat, debet. Quam ad rem maximè accommodatæ sunt paruæ admodum pilæ ac duræ, quales multæ è corio sui assolent. Nisi enim quid tale indatur, ad brachij caput calx peruenire nequit. Manu quippe extensa ala cauatur, tendonibus hinc & inde alam aduersum inter se constringentibus. Alius verò ab altera eius qui extenditur parte considens, hominem ad integrum humerum contineat, vt ne dum manus affecta in diuersum tenditur, corpus circunducatur. Demum habenam mollem iustæ latitudinis, quæ pilam sub alam impositam circumeat, & contineat, vtroque capite prehensam, quidam supra caput eius qui extenditur sedens, & os summi humeri pede calcans, in diuersum contendat. Pila autem quam maximè fieri potest intro ad latus, non ad brachij caput, accedat. Est & alius restituendi modus, cùm in erecti & stantis humerum æger sustollitur. Eum autem qui in humerum tollit maiorem esse oportet, apprehensaq; laborãtis manu, sublatum humerum in alam subiicere, deinde velut sedi insidentem aliquantulum conuertere, id in animum inducentem, vt ex humero suo suspensum ala hominem attollat. Ipse verò excitato humero, ea parte se magis, quàm altera attollat, suspensiq; hominis brachium ad pectus suum quam

δὲ τὴν χεῖρα, ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ἐπὶ τὴν μασχάλην ὀξύν. κἄπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρη, ὅπως στοχασάμενον ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον

H ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω, ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω

celerrimè compellat. In eoque habitu vbi hominem suspensum tenuerit, insuper concutiat, quò reliquum corpus ei in contrariam partem, ex aduerso brachij quod continetur, propendeat. Quòd si leuis admodum homo fuerit, huic præterea leuis aliquis puer à tergo appendeat. Atque hi omnes repositionis modi ad palæstram valde sunt accommodati, quòd eò nulla inferri instrumenta desiderent. Quibus tamen alibi quoque quis vti possit.

ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι παρασεισάτω, ὁ τὸν μετεωρήσει τὸν ἄνθρωπον ὡς ἂν ἀντιρρέποι τὸ ἄλλο σῶμα αὐτῷ, ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ πάγχυ κοῦφος ἔῃ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τις που ὄπισθεν τις κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἄλλοι ὀργάνων δέονται ἐπεισενεχθῆναι. χρήσαιτο δ' ἄν τις καὶ ἄλλοθι.

[2] χρὴ δὲ τὸν μὲν ἄνθρωπον] Hic repositionis modus inter efficaciores reponitur, & à Paulo his verbis explicatur, δεῖ λουσάμενον τὸν ἄνθρωπον ἀπαντλήμασι χαλαστικωτέροις χρησάμενον, ὕπτιον ἀνακλίναι χαμαί. καὶ σφαῖραν σύμμετρον ἤτοι δερματίνην, ἢ ἄλλην τινὰ μὴ πάνυ μαλθακὴν, πρὸς μασχάλην ἐφαρμόσαι. καὶ καθίσαντα τὸν ἰατρὸν ἀντιβλέποντα μὲν τῷ κάμνοντι πρὸς τὴν πεπονθυῖαν πλευρὰν, εἰ μὲν ὁ δεξιὸς ὦμος πεπόνθοι, τὸν δεξιὸν πόδα ἐφαρμόσαι τὴν πτέρναν ὑπὸ τῆς προϋποτεθείσης τῇ μασχάλῃ σφαίρας, εἰ δὲ ὁ ἀριστερὸς, τὸν ἀριστερόν. καὶ τῆς πεπονθυίας χειρὸς ἐπιλαβόμενος ἕλκειν ἐπὶ τοὺς πόδας, ἅμα τῇ πτέρνῃ ἀντιβαίνειν τῇ μασχάλῃ, ὑπό τινος ὄπισθεν τῆς κεφαλῆς ἀντιβαίνοντος, πρὸς τὸν ἕτερον ὦμον, ὑπὲρ τοῦ μὴ τὸ σῶμα παρέλκεσθαι.

στρογγύλον τι ἐναρμόσιον] Exemplaria Regia manu scripta quædam ἐναρμοστὸν legunt, quædam etiam ἐναρμόστερον, quemadmodum iam Asulanus. Sic quoque paulò supra κάτω πίνειν pro καταπίνειν legunt exemplaria quædam manu scripta, quæ lectio non aspernanda.

[3] ὡς κατωμίζουσιν ἐς ὀρθὸν] κατωμίζειν is dicitur qui humerum ægroti alæ supponit & ægrum in humerum sustollit, vnde κατωμισμὸς reponendi modus per humeri suppositionem, cùm erecti & stantis humerus ægroti alæ supponitur, aut cùm ægrotus in alterius stantis humerum tollitur & libratur. Sic enim κατωμίζουσιν ἐς ὀρθὸν legunt fere omnia exemplaria, cùm quædam κατωμίζουσιν ἐς ἄνθρωπον habeant, quæ secutus videtur Asulanus & Vidus, κατωμίζειν autem exponit Hippocrates, ὑποτεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ἐπὶ τὴν μασχάλην. Paulus quoque, ὑποβάλλειν τῇ μασχάλῃ τὸν ἑαυτοῦ ὦμον. Qui & hunc repositionis modum dilucidè admodum his verbis exprimit, quæ vitiosissimè leguntur nostris in codicibus: ἔστι δὲ ἕτερος τρόπος ἐμβολῆς ὁ διὰ τοῦ κατωμίζειν. δεῖ γὰρ νεανίσκον, ἢ μακρότερον τοῦ κάμνοντος, γοῦν ὑψηλότερον, ἑστῶτα πρὸς τὴν πεπονθυῖαν πλευρὰν, τοῦ κάμνοντος καὶ αὐτοῦ ἑστῶτος, ὑποβάλλειν τῇ μασχάλῃ τὸν ἑαυτοῦ ὦμον, καὶ ἀνατεινάμενον ἕλκειν τὴν χεῖρα πρὸς τὴν ἑαυτοῦ γαστέρα, ὥστε τὸ ἄλλο σῶμα τοῦ κάμνοντος ὄπισθεν τοῦ κατωμίζοντος μετέωρον κρεμασθῆναι. εἰ δὲ ἐλαφρὸς ὁ κάμνων εἴη, κοῦφός τις ἕτερος παῖς αὐτοῦ ἀποκρεμάσθω. τῆς γὰρ χειρὸς καὶ τοῦ λοιποῦ σώματος ἀντιρρόπως ἑλκομένων ἐπὶ τὰ κάτω, ὁ ὑποβεβλημένος ὦμος τῇ μασχάλῃ ῥᾷστα τὸ ἐκπεπτωκὸς ἄρθρον ἐμβάλλει. Hìc verò pro ὡς κατωμίζουσιν, quæ receptissima est lectio, quidam ὦ κατωμίζουσιν legunt.

Quinetiam qui pistillo in suam sedem compellunt, prope ad naturalem reponendi modum accedunt. Pistillum autem molli quadam fascia conuoluendum, quò minùs elabatur, atq; inter costas & brachij caput subter adigendum. At si breue quidem pistillum fuerit, collocari aliquo sedili homo debet, sic, vt ægrè brachium pistillo circunducatur. ferè autem longius esse pistillum oportet, prope vt stans ex eo dependeat. Deinde brachio quidem & cubito circa pistillum porrecto, ex altera corporis parte manibus ad ceruicem iuxta iugulum iniectis, deorsum quis vrgeat. Hic repositionis modus ferè secundum naturam est, & recondere articulum si probè appparetur, potest. Quin & per transuersum in scala lignum quidam alius huiusmodi modus, atque etiam melior obitur, propterea quòd suspensum corpus in hanc vel in illam partem securiùs ex æquo libretur. Ad id enim quod pistilli formam habet, licet humeri articulus adhæreat, periclitatur tamen corpus ne in hanc vel in illam partem oberret. At supra scalæ gradum deligari rotundum aliquid debet, quod in alæ cauum conuenienter aptetur, insuperq; brachij caput in suam sedem compellat.

[4] Ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον ἀναγκάζοντες, ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον καταπειλῆσθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ὑπολισθάνοι, ὑποβιάζεσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστὼς ὁ ἄνθρωπος, κρέμασθαι μικροῦ δέῃ ἀμφὶ τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸ ὕπερον ἔστω. τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος, καταναγκαζέτω τις ὑπερβάλλων κατὰ τὸν αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶ, καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσῃ αὐτήν. [5] ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη, καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα, τὸ μὲν τῇ, τὸ δὲ τῇ, ἀντισηκωθεὶν μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς ὁ ὦμος, εἰ καὶ καταπεπήγοι, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος, ἢ τῇ, ἢ τῇ. χρὴ μέν τοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τὸ ἄνωθεν στρογγύλον ἐναρμόσιον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσαναγκάσει τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.

[4] ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον] Hunc reponendi modum per manubrium vocat Guido, eumque se assequi posse negat. Paulus verò his apertissimis verbis sic exponit: καὶ διὰ τοῦ καλουμένου δὲ ὑπέρου τοῦτο δρῶμεν. ἔστι δὲ ξύλον ἐπιμήκες, ὀρθὸν ἱστάμενον ἐπὶ τοῦ ἐδάφους ἢ ἐπ' ἄλλου τινὸς στερεοῦ. τοῦτο δὲ εἶναι τὸ ἄνω πέρας περιφερὲς, καὶ μὴ πάνυ παχὺ μηδὲ μὴν λεπτὸν ὑπάρχον, ὑποβεβλήσθω τῇ μασχάλῃ τοῦ κάμνοντος, ἢ ἑστῶτος, ἢ καθημένου, ὅπως ἂν καὶ μήκους ἔχοιτο τὸ ὕπερον. καὶ τῆς χειρὸς τῆς ὑπὲρ ὦμον παρατεταμένης καὶ κάτω ἑλκωμένης. τοῦ δὲ λοιποῦ σώματος ἀντιρρόπως πως ἐπὶ τὰ κάτω, ἢ αὐτομάτως ἢ ἑτέρου τινὸς ἕλκοντος ἡ ἐμβολὴ γινέσθω. Exemplaria porrò quædam manu scripta, περὶ τὰ ὕπερα legunt, cætera verò omnia τὸ ὕπερον.

[5] ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου] διὰ τοῦ κλιμακίου per transuersum aut obliquum in scalis lignum expono, Galenum secutus in Exegesi, qui hunc locum subnotans, κλιμακείου exponit τοῦ πλαγίου ἐν ταῖς κλίμαξι ξύλου, & adscribit quosdam κλιμακίου absque ε legere, quod faciunt nostra omnia exemplaria. κλιμακτὴρ etiam paulò pòst dicitur. Scalam tamen omnes vertunt interpretes, cùm per transuersum lignum repositio fiat, vt & extremo hoc libro κλιμακτὴρ ξύλον πλάγιον dicitur.

χρὴ μέν τοι καὶ ἐπὶ τῷ κλιμακτῆρι] Paulus hunc repositionis modum sic exponit: καὶ ἐν βαθμίδι δὲ κλίμακος τοῦτο ποιητέον, ὥσπερ ἐπὶ τοῦ κατ' ἐναντίον τοῦ βραχίονος ἐλέγομεν καταστάσει. ἐνταῦθα δὲ στρογγύλον τι σῶμα τῇ βαθμίδι προσδεδέσθω, τῇ μασχάλῃ τοῦ κάμνοντος ἐφαρμόζειν δυνάμενον, καὶ τὴν κεφαλὴν τοῦ βραχίονος ὠθεῖν.

Κερατί-

[6] Κρατίστη μέν τοι πασέων ἐμβολέων ἥ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον, ἢ τετραδάκτυλον τὸ ἐπίπαν. πάχος δὲ, ὡς διδάκτυλον, ἢ καὶ λεπτότερον. μῆκος δὲ, δίπηχυ, ἢ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω, μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ἐσχάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευρὰς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχουσαν, ὡς ὑφαρμόσειεν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος. ὀθονίῳ δὲ, ἢ ταινίῃ μαλθακῇ, καταχεκολλήσθω ἄκρην τὸ ξύλον, ὅκως προσηνέστερον ἔῃ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου, ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω, μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα, κατά τε τὸν πῆχυν, κατά τε τὸν καρπὸν τῆς χειρὸς, ὡς ἂν ἀτρεμέη ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιέεσθαι, ὅκως τὸ ἄκρον τοῦ ξύλου, ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο ξύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὅκως ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ, τὸ σῶμα. κατὰ δὲ τὴν μασχάλην, ὁ στρωτήρ. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα. ἐπὶ θάτερα δὲ, τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι, ἐπ' ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παραπολὺ κράτιστος ἐμβολῆς ὤμου, δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος. δικαιόταται δὲ αἱ ἀντιρροπαὶ, ἀσφαλέες δὲ τῷ ὀστῷ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον, ἢ ὡς ἄν τις οἴοιτο πρὶν ἢ κατατετάσθαι δοκέειν. ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ἔῃ ἐν τῷ χωρίῳ ἵνα ἐξεκλίθη, οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει, καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος. τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν; μένειν μέν τοι οὐκ ἄν μοι δοκέῃ κατὰ χώρην, ἀλλ' ὀλισθαίνειν ἂν ὡς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα. πάνυ μὲν ἱκανῶς ἔχει, καὶ περὶ μέγα ἕδος θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα. ἐσκευάσθαι μέν τοι χρὴ τὸ ξύλον, ὥσπερ εἴρηται. ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ. κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβαλέειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα, τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν, καὶ ὑπὲρ δικλείδος θύρης. χρέεσθαι δὲ τοῖσιν ἂν αἰεὶ τύχῃ παρεόντα.

Ex omnibus autem reponendi modis hic optimus. Lignum esto latitudinis ferè quidem quinque aut quatuor digitorum, crassitudinis verò duorum, aut etiam tenuius, longitudinis autem bicubitalis, aut paulò minùs. Cuius alterum extremum rotundum sit & angustissimum ea parte, maximéque tenue. Superciliosam autem habeat eminentiam in summa rotunditatis parte paulùm extantem, qua non latus, sed brachij caput attingit, vt huic supposita, alæ ad costas adaptetur. Lignum quoque quò lenius reddatur, extrema sui parte linteum aut fasciam mollem agglutinatam habeat. Deinde ligni capite sub alam intrò quantũ fieri potest, inter costas & brachij caput impulso, manus tota ad lignũ porrecta, alligari debet; vt ad brachiũ, & ad cubitũ, & ad volã manus quã firmissimè quiescat. Imprimis verò id elaborandũ est, vt ligni summa pars, brachij capite superato, quàm penitissimè alam subeat. Post hæc trabeculæ transuersæ inter duas columnas probè alligatæ, manus vnà cum ligno superimponenda, sic vt altera quidem parte manus, altera corpus, ad alam verò trabecula statuatur. Demum in alteram partem manus vnà cum ligno circa trabeculam deorsum vrgenda, in alteram verò reliquum corpus. Trabecula autem ita altè vinciatur, vt totum corpus sublime summis pedibus insistat. Hæc reponendi humeri ratio longè optima censetur. Iustissimam enim molitionem facit, si vel solùm intrò magis quàm brachij caput lignum immittatur, iustissimæque fiunt in vtranque partem librationes, & ossi brachij securitatem præstant. Recentia igitur opinione citiùs reconduntur, ac priùs quàm extensio facta videatur. Quinetiam vbi inueterauerint, hæc sola repositio restituere potest, nisi iam temporis lapsu caro quidem articuli cauitatem occupauerit, & brachij caput locum in quem declinauit, consuetudine tritum iam sibi fecerit: Enimuerò tamen ita inueteratum brachij luxum reponere mihi posse videtur. Quid non enim iusta molitio moueat? Non tamen loco manere posse existimo, sed vt consueuit prolapsurum. Idem quoque efficies, si per scalam vi admota, eundem reponendi modum adhibueris. Admodum item idonea fuerit sella magna Thessalica, super quam vis adhibeatur, si recens sit luxatio. Paratum tamen lignum velut dictum est, oportet. Sed & ægro in sella in latus collocato, brachium cum ligno, super eam partem, in quam dorso recumbũt, transmitti debet, & in alteram quidẽ partem corpus, in alterã verò brachiũ cũ ligno deorsum impelli. Idem quoq; impulsio super biforem ianuam facta efficit. Iis autẽ prout sese obtulerint, vtendum.

[6] ἄμβην δὲ ἐχέτω] ἄμβην exponit Galenus in Exegesi ὀφρυώδη ἐπανάστασιν, superciliosam & altiorem quandam eminentiam. Hic verò ἐπικειμένην ὀφρὺν ἄμβωνι παραπλησίαν, prominens quoddam supercilium labro simile, quod in extrema ollarum ora apparet ad interiorem cauitatem conuersum, aut in extremo clypeorum ambitu labrum quod crepidinis similitudinem habet. Sic enim Hesychio ἄμβη ἡ τῆς ἴτυος ὀφρὺ dicitur, & apud Erotianum ex quodam, χεῖλος τῆς ἀσπίδος τὸ πρὸς αὐτῇ τῇ ἴτυϊ. Ideóque crepidinem qui-

dam vertunt. Quo nomine totam etiam machinam donant, vt videre est apud Galenum & Erotianum, qui etiam hoc loco ἄμβην τὴν ὀφρυώδη ἐπανάστασιν, post exagitatam multorum opinionem, exponit. Idem etiam Aristophanis Comici locum (vbi τοὺς ἄμβικας λοπάδων, τὰ περὶ τοὺς ἄμβωνας χείλη sumi scribit) in medium adducit, etsi (vt mea fert opinio) corruptè, quemadmodum quoque ap. Galenum. Celsus certè machinam istam Chirurgicam, spatham aut spathulam ligneam vocare videtur, & Hippocratis ἄμβην capitulum rotundum & leniter cauum. His enim verbis machinam istam ac totum repositionis huiusmodi modum describit*. si vastius corpus neruíve robustiores sunt, necessaria est spathula lignea, & quæ crassitudinem duorum digitorum habet, & longitudine ab ala ad digitos peruenit. In qua summa capitulum est rotundũ & leniter cauum, vt recipere particulam aliquam ex capite humeri possit. In ea bina foramina tribus locis sunt inter se spatio distantibus, in quæ lora mollia coniiciuntur. Eáque spatha fascia inuoluta, quo minus tactu lædat, ad alam à brachio dirigitur, sic vt caput summæ alæ subiiciatur. Deinde, loris suis ad brachium deligatur, vno loco paulùm infra humeri caput, altero paulùm supra cubitum, tertio supra manum. Cui rei protinus interualla tunc quoque foraminum aptata sunt. Sic brachium deligatum super scalæ gallinariæ gradum traiicitur, ita altè, vt consistere homo ipse non possit, simúlque in alteram partem corpus demittitur, in alteram brachium intenditur. Eóque fit vt capite ligni caput humeri impulsum, in suam sedem, modò cum sono, modò sine hoc, compellatur. Paulus quoque hunc Hippocratis locum exprimens, & machinam istam ἄμβην vocat, eámque cum toto repositionis modo ita describit: εἰ δὲ διὰ παλαιότητα τοῦ πάθους, ἢ διὰ σκληρότητα σώματος δυσχεραίνομεν περὶ τὴν ἔμβλησιν, χρησόμεθα καὶ τῇ διὰ τῆς καλουμένης ἄμβης μεθόδῳ. ξύλον δέ ἐστιν ἡ ἄμβη, τὸ μὲν μῆκος, ὡς δίπηχυ, πλάτος δὲ τετραδάκτυλον, καὶ πάχος, ὡς διδάκτυλον, ἔχον τὸ ἕτερον πέρας περιφερὲς καὶ εὐπαρείσδυτον τῇ τῆς μασχάλης κοιλότητι, παραπλησίως τῷ τοῦ ὑπέρου πέρατι. τὸ οὖν τὸ πέρας ῥάκει περιδήσαντες, ὅπως ἂν προσηνέστερον εἴη, τῇ κεφαλῇ τοῦ βραχίονος κατὰ τὴν μασχάλην ἐφαρμόσωμεν. ὅλην δὲ τὴν χεῖρα πρὸς τὸ ξύλον ἀποτείναντες, συνδήσωμεν αὐτὴν κατά τε τὸν βραχίονα, καὶ τὸν πῆχυν, καὶ τὸ ἄκρον αὐτῆς. ἔπειτα μὲν ξύλῳ πλαγίῳ μεταξὺ δύο στύλων ὀρθῶν ἐφαρμοσθέντι, ἢ πάλιν ἐν βαθμίδι κλίμακος ὑπερενέγκαντες τὴν χεῖρα σὺν τῷ ξύλῳ, ὥστε τὴν μασχάλην ἐγκαρσίως ἐφαρμόζειν τῇ βαθμίδι. τὴν δὲ χεῖρα κάτω ἕλκοντες ἐάσωμεν ἐπὶ θάτερα τὸ ἄλλο σῶμα μετέωρον κρεμασθῆναι. τηνικαῦτα γὰρ εἰσελεύσεται τὸ ἄρθρον. Vbi animaduertendum est ἄμβην dici Paulo quam ἄμβην vocat Hippocrates.

* Cap. 15. lib. 8.

σρωτῆρα πλάγιον] σρωτὴρ trabeculam aut tignum significat. σρωτῆρα δοκίδα exponit Erotianus hunc locum subindicans, Paulus ξύλον simpliciter vocauit. Dicuntur σρωτῆρες trabeculę aut tigellæ, quæ tignis maioribus insternuntur.

ἐπὶ θάτερα δὲ τὸ ἄλλο σῶμα] Hîc ἄλλο σῶμα vt & paulò pòst τὸ λοιπὸν σῶμα significat, vt & annotat Erotianus ἄλλο ἐπὶ τοῦ λοιποῦ hîc sæpe à Hippocrate poni, his nimirum subindicatis locis.

δικαιότατα μὲν γὰρ μοχλεύει] Hîc iustissimam molitionem vocat, maximè conuenientem & accommodatam ac vtilem, & δικαιοτάτας ἀντιρρόπας maximè æquabiles in vtranque partem inclinationes & librationes. Sic his locis δίκαιον ἐπὶ τοῦ ἴσου καὶ τοῦ συμφέροντος sumit Erotianus, immutata quoque scriptione. Sic enim legit, παρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου, δικαιότατον μὲν μοχλεύειν, ἢν μοῦνον ἐσωτέρω τῆς κεφαλῆς ᾖ τοῦ βραχίονος. δικαιότατον δὲ δι' ἀντιρρόπην ἀσφαλέστατος ἐστιν. Quædam etiam exemplaria manu scripta, ἢν καὶ μόνον ἐσωτέρω ἔτι τὸ ξύλον, vitiosè pro ᾖ legunt vt & Asulanus.

τὸ γὰρ ἂν δικαίη μόχλευσις] Hîc δικαίη ἀντὶ τῆς ἰσχυρᾶς sumitur apud Erotianum, hoc loco subnotato. Sed locus vitiosus videtur, & vbi scribitur δίκαιον ἐπὶ τοῦ ἰσχυροῦ dici, ἐπὶ τῆς ἰσχύος scribendum videtur, vt vim subindicet, aut ἐπὶ τοῦ ὤμου, cùm de humeri repositione agatur.

μεγα ἕδος θεσσαλικόν] ἕδος θεσσαλικὸν exponit Galenus θρόνον καὶ δίφρον οἷον ἐπίκλιντρον ἔχοντα, & Erotianus quoque, qui hoc subnotato loco addit: πᾶς γὰρ δίφρος ἀνακλισμὸν ἔχων, θεσσαλικὸς παρὰ τοῖς παλαιοῖς λέγεται. Meminit & Pollux lib. 10.* sellarum Thessalicarum quatuor pedes habentium & ægre vectarum. ἀνακλισμὸς autem dicitur Hippocrati, ea sellæ pars in quam dorso recumbimus, velut accubitum. Erotianus ἀνακλιντήριον exponit, & Galenus ἐπίκλιντρον, alij ἀνάκλιντρον. Phrynichus Atticos ἀνάκλιντρον non dicere, sed ἐπίκλιντρον scribit, quod ex Aristophane citat Pollux lib. 10.† Sunt qui existiment ἀνάκλιντρα dici posse accubas aut accubitas, aut etiam accubita, quibus vtitur Lampridius in Heliogabalo. ἕδος igitur θεσσαλικὸν videtur sella in quam recumberent intelligi, velut ἀνάκλιτος θρόνος Plutarcho in Romulo, & apud Homerum Il. θ. κλισμός. Illic enim Eustath. θρόνου εἶδος esse vult, quod posteris ἀνάκλιντρον dictum est.

* Cap. 11. † Cap. 7.

Multa quoque alia in arte Medica videre licet, ex quibus quæ vehementia quidem sunt, cùm in sese totum morbi discrimen recipiant, noxia vacant: quæ verò leuiora, noxias & diuturnos morbos pariunt, & magna etiam consensione reliquum corpus afficiunt. Quādoquidem & in costis fractis tale quidpiam contingit. Quibus enim costæ fractæ fuerint, vna aut plures, velut plærisque euenit, ita vt ossa ad interiorem partem minimè perrumpant, neque nudentur, pauci quidem adhuc febre correpti sunt. Sed neque multi etiam sanguinem expuerunt, neque multi pus interiore thorace collegerunt, aut ea quæ fit per linamenta curatione opus habuerunt, aut iis ossa vitiata sunt, hisque simplex victus ratio satis est. Etenim si febre assidua non detinentur, iis inedia deterior est quàm cibus, grauioremq; dolorem & febrem, ac tussim excitat. Modica enim ventris plenitudo costas dirigit, vasorum verò inanitio eas pendulas facit, hæque suspensæ dolent. Ab exteriore autem parte iis quęuis deligatio satis est, sic vt cerato & spleniis, fasciisque leniter appressis, vinculum æquale inducatur, aut etiam laneum quiddam superimponatur. Costa verò viginti diebus callo firmatur. Celeriter nanque his ossibus callus obducitur. At carne circa costas ex plaga, aut casu, aut renixu, aut alia re quapiam eiusmodi contusa, multi iam copiosum sanguinem expuerũt. Ductus enim qui per obtentam vnicuique costæ inanitatem feruntur, & nerui, ex præcipuis corporis partibus ortum ducunt. Vnde etiam multi ex tussi & tuberculis, & pure in thorace collecto, ea quæ per linamenta fit curatione indiguerunt, & ad costæ syderationem deuenerunt. Sed & quibus carne circa costas contusa nihil tale superuenit, tardiùs tamen ij dolore liberantur, quàm quibus costa perfracta est, atque in his casibus dolor locum magis repetit. Proindeq; nonnulli huiusmodi noxias vbi costa perfracta sit, magis negligunt. Quinetiam ij, si modò sapiant, diligentiorem curandi rationem desiderant. Nam & victui subtrahendum,

H ἐν τοῖσι τοιούτοισι σώμασι. μάλα μὲν οὖν μετεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢν πλευρὴ κατεαγῇ αὐτοῖσιν. ἀτὰρ καὶ ἰήσιος ἀκριβεστέρης οἱ τοιοῦτοι δέονται, εἰ σωφρονοῖεν. τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι,

totoque corpore quàm maximè quiescere conducit, & venere abstinendum, tum eduliis pinguibus, & quę faucium asperitatem inducant, tum etiam validis omnibus. Vena quoq; in cubito secanda, & quàm maximè habendum silentium. Supra locum contusum splenia non multiplicia, sed multa, & tota contusione longè latiora inducere, tum cerato sublinere, & linteis latis, fasciisque latis & mollibus deuincire conuenit, modiceque apprimere, vt qui deligatur, neque valde compressum vinculum, neque item laxum esse dicat. Primum autem ab ipso colliso ordiri vinculum debet, ibique maximè firmari. Et à media fascia iniicienda deligatio, ita vt cutis quæ circa costas est, neutram in partem inclinet, sed æquabili momento feratur, singulisque diebus, aut tertio quoque die deligandum. Præstat quoq; aluum leui aliquo medicamento quod eam deiiciat, mollire. Ac decem quidem diebus corpus extenuare, deinde rursus alere & implere. Sed dum extenuamus adstrictior, vbi verò ad pleniorem habitum ducimus, paulò laxior deligatio adhibenda. Quòd si ab initio quidem sanguinem expuat, quadraginta diebus circa curationem & deligationem diligentia adhibenda, alioqui ferè viginti dierum curatio abundè est. Ex magnitudine autem vulneris, temporis ratio est ineunda. At qui huiusmodi contusa parui fecerint, iis etsi nullum deterius malum contingit, at locus certè contusus mucosam magis quàm antea carnem continet. Ac vbi quidpiam huiusmodi intus relinquitur, neque curatione quidem probè exprimitur, deterius certè se res habet, si circa os ipsum mucosum relinquatur. Neq; enim amplius ęquè à carne os attingitur, osque morbis opportunius redditur, multisque iam ob eiusmodi causas ossa longo tempore vitiantur. Quòd si, non quæ iuxta os sunt, sed ipsa caro mucosa sit, sic quoque tamen subinde morborum & dolorum reuersiones fiunt, si quis fortè corpore sit affecto. Iccirco deligatione tum bona, tum valdè accommodata vti conuenit, quoad quæ in contusu facta est humoris effusio, exiccata & absorpta fuerit, & locus integra carne expleatur, ossisq; caro increscat. At quibus malum inueterauit, locusque dolore vexatur, & caro aliquantum mucosa est, iis vstio optimè medetur. Et si quidē caro mucosa sit, ad os vsq; vstio pertingere debet, neq; tamē os ipsum incalescere. Sin verò in intermediis costis fuerit, ne sic quidē in summo adurere conuenit, ea tamen cautio adhibenda, ne adurēdo in vlteriorem partem penetres. Quòd si circa os contusio esse videatur, eaque adhuc recens sit, neq; dum vitiatum os fuerit, si valdè exiguum quidem locum occupet, sic velut dictum est adurere conuenit: sin verò oblongus locus sit qui circa os attollitur, pluribus locis demittendum erit candens ferramētum. De costæ autem syderatione, vbi curationem per linamenta tractabimus, dicetur.

ἀτρεμέειν δὲ τῷ σώματι ὡς μάλιστα, ἀφροδισίων τε ἀπέχεσθαι, βρωμάτων δὲ λιπαρῶν, καὶ κερχνωδέων, καὶ ἰσχυρῶν πάντων. φλέβα τε κατ' ἀγκῶνα τέμνεσθαι, σιγᾷν τε ὡς μάλιστα. ἐπιδέεσθαι δὲ εἰς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχεσι, συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντῃ τοῦ φλάσματος. κηρωτῇ τε ὑποχρίειν, ὀθονίοισί τε πλατέσι, σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσι ἐπιδέειν. ἐρείδειν τε μετρίως, ὥστε μὴ κάρτα πεπιέχθαι φάναι τὸν ἐπιδεδεμένον, μηδὲ αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ φλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα. τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδέειν τε, ἵνα μὴ περιρρεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρέας ἔῃ, ἀλλ' ἰσόρροπον. ἐπιδέειν δὲ, ἢ καθ' ἑκάστην ἡμέρην, ἢ παρ' ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου. καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχναίνειν. ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι. τὴν δὲ ἐπίδεσιν ἐς τὸ ἂν μὲν ἰσχναίνῃς ἐρηρεισμένην μᾶλλον χρέεσθαι. ὁκόταν δὲ ἐς τὸ ἁπαλισμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ. καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ κατ' ἀρχὰς, τεσσαρακονθήμερον τὴν μελέτην καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή. ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη, ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύϊ δὲ τοῦ τρώματος τοὺς χρόνους προστεκμαίρεσθαι χρή. ὅσοι δὲ ἂν ἀμελήσωσι τῶν τοιούτεων ἀμφιφλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτοῖσι φλαυρότερον μέζον γένηται, ὅμως τό γε χωρίον ἀμφιφλασθὲν μυξωδεστέρην τὴν σάρκα ἴσχει, ἢ πρόσθεν εἶχεν. ὁκοῦ δέ τι τοιοῦτον ἐγκαταλείπεται, καὶ μὴ εὖ ἐξιποῦται τῇ γε ἐπιδέσει, φαυλότερον μὲν, ἢν παρ' αὐτὸ τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες. οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό, τε ὀστέον νοσηλότερον γίνεται. σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο. ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ὅμως γοῦν ὑποστροφαὶ γίνονται καὶ ὀδύναι, ἄλλοτε καὶ ἄλλοτε, ἤν τις τῷ σώματι τύχῃ πονήσας. διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρὴ, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ ἀναποθῇ τοῦτο τὸ ἐκχύμωμα τὸ ἐν τῇ φλάσει γενόμενον. αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον. αὐξῆται δὲ τοῦ ὀστέου ἡ σάρξ. οἷσι δὲ ἂν ἀμεληθεῖσι χρονιωθῇ, καὶ ὀδυνῶδες τὸ χωρίον γένηται, καὶ ἡ σὰρξ ὑπόμυξος ἔῃ, τουτέοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ἄχρι τοῦ ὀστέου καίειν χρή, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ἔῃ, ἐπιπολῆς μὲν οὐδὲ οὕτως χρὴ καίειν. φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ φλάσμα, καὶ ἔτι νεαρὸν ἔῃ, καὶ μή πω σφακελίσῃ τὸ ὀστέον. ἢν μὲν κάρτα ὀλίγον ἔῃ, οὕτω καίειν χρὴ ὥσπερ εἴρηται. ἢν μέντοι παραμήκης ἔῃ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς, ἅμα τῇ τῶν ἐμμότων ἰητρείῃ, εἰρήσεται.

.1. ²⁵ ἢ δὲ κένωσις κρεμαστικόν] Sic lib. de rat. vict. in morb. ac. scribit iis qui præter solitum prandium omiserint, κρεμᾶσθαι τὰ σπλάγχνα, quòd (vt scribit Galenus) διὰ τὴν παρὰ τὸ ἔθος ἔνδειαν αἴσθησιν ἴσχουσιν ἀσπερίκτων τῶν σπλάγχνων. Hunc verò locum * Paulus his verbis eleuare videtur: ὅθεν οἱ μὲν φυσώδη τι καὶ πολλὴν παρακελεύονται διδόναι τροφήν, διὰ τὴν ἐκ τῆς ἐμπνευματώσεως καὶ τάσεως ἐπὶ τὰ ἐκτὸς ὤθησιν τοῦ κατάγματος. ἐστὶ δὲ οὐκ ἀναγκαῖον. οὐδὲν γὰρ κοινὸν ὅσον γε πρὸς τοῦτο, ὥσπερ καί τι καὶ τοῖς βελτίοσι, πρὸς τὸ καὶ τὴν φλεγμονὴν ὑπὸ τῆς ἐμφορήσεως αὔξεσθαι. Verùm hic Hippocrates de simplici fractura agit, neque flatulentos cibos, sed modicam repletionem requirit. In hoc quoq; casu Celsus cibis vberioribus vtendum esse præcipit, vt corpus quàm plenissimum fiat, quò meliùs os vestiat, quod illo loco tenerum adhuc iniuriæ sub tenui cute expositum est. *Cap. 96. lib. 6.

A ὁμαλῶς τὴν ἐπίδεσιν ποιέεσθαι] Quædam exemplaria manu scripta ποιέεσθαι omittunt, & ὁμαλῶς τὴν ἐπίδεσιν, ἢ καὶ εἰκῶδές τι προσεπιθεῖναι legunt, quā lectionem secutus est Asul. Celsus hunc mihi locum sic expressisse videtur. Si tota (costa) fracta non est, nec sanguis expuitur, nec febricula sequitur, nec quicquam suppurat, nisi admodum rarò, nec dolor magnus est, tactu tamen is locus leuiter indolescit, abundè est eadem quæ supra scripta sunt, facere, & à media fascia incipere deligare, ne in alterutram partem hæc cutem inclinet. Quibus ex verbis æqualis & plana deligatio indicatur, quæ neutram in partem inclinat, aut quæ leuiter est appressa, & complicatis linteis intertextis complanata, neq; suo compressu cutem in alterutram partem magis cogat aut circunfluere faciat, sed æquabiliter firmet. Quod vinculi genus etiam ex Sorano Paulus his verbis comprobat: διό φησιν ὁ Σωρανός· ἐρίοις μὲν ἐλαίῳ θερμῷ διαβρόχοις ἐσκεπάσθω τὰ μέρη, καὶ διὰ πλυσμάτων ἐκπεπληρώσθω τὸ μεσοπλεύριον, ὥστε τὴν ἐπίδεσιν ὁμαλῶς γίνεσθαι κατ' ἐγκύκλιον περιαγωγήν. Idem quoque vinculi genus vsurpat & describit in ossis pectoris intro cedentis curatione cap. 95. lib. 6. Sed ab Hippocrate paulò pòst accuratiùs explicatur.

κρατύνεται δὲ πλευρὴ] In μοχλικῷ ratione addit his verbis: ἡ δὲ πώρωσις ἐν εἴκοσιν ἡμέρῃσι. χαῦνον γὰρ. Celsus. Ab vno verò & vigesimo die, quo

B vtique os debet esse glutinatum, id agendum. Idem quoq; intra vnum & vigesimum diem costas sanescere scribit.

τὴν πλευρῆς ἑκάστης παραθλιβομένοι] Sic codicum magna pars legit, quidam etiam παραθλιβομένου habent.

καὶ ὑποστροφαὶ μᾶλλον ἴσχει] Hîc codicum pluralitatem secutus sum cum interpretibus. Quædam etiam exemplaria manu scripta sic legunt: καὶ ὑποστροφαὶ μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον, ἐν τοῖσι τοιούτοισι σώμασιν ἢ τοῖσιν ἑτέροισιν. Eaq; secutus est Asulanus.

μᾶλλα μὲν οὖν μεθεξέπροι] Hîc vulgatam & popularem lectionem secutus sum cum magna interpretum parte. Quædam exemplaria sic etiam legunt: μᾶλλον μὲν οὖν μεθεξέπροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢ τὴν πλευρὴν κατεαγῇ αὐτοῖσιν. Quæ lectio significat, nonnullos tamen magis huiusmodi contusa negligere, quàm perfractam costam, etsi maius inde periculum impendeat. Quem sensum secutus est Vidus Vidius.

ἰησιος σκεθροτέρης] σκεθρὸν ἀκριβὲς exponit Hesychius vt & hîc Galenus: σκεθροτέρας ἀκριβεστέρας, & in Exegesi σκεθρῇ ἀκριβεῖ. Erotianus σκεθρὸν ἀντὶ τοῦ ἀκριβῶς λογισμοῦ poni scribit, & interdum ἀντὶ τοῦ δηλοῦ.

C καὶ κερχνώδεων] Hîc κερχνώδη Gal. τραχύνοντα τὴν φάρυγγα exponit, fauces exasperantia, & quæ in gutture asperum, raucum & creperum sonum inducunt. Et Erotianus κερχνώδη τὰ τραχείας ἐπιφανείας ἔχοντα exponit, scribitq; Atticis κερχνώδη ἀγγεῖα dici, τὰ τραχείας ἀνωμαλίας ἔχοντα. Idem quoque καρυκώδη & κερχώδη pro κερχνώδη apud Hippocratem scribi testatur, si modo locus mendo non caret, aut nisi κερχώδη meliùs legatur, vt ex Galeno patet, qui κερχώδεις ἀπὸ τοῦ κέρχειν, etiam apud Hipp. paulò suprà hoc libro legit.

φλέβα τε κατ' ἀγκῶνα] Celsus in tota costa perfracta, vbi casus est asperior, grauiores inflāmationes, & febris & suppuratio, sæpeq; vitæ periculum sequitur, & sanguis spuitur, ab eo brachio quod super eam costam est, sanguinem mittit, aluumq; sine vllo acri ducendam iubet. Per omne autem tempus curationis vitandus clamor, sermo quoque, tumultus, ira, motus vehementior corporis, fumus, puluis, & quicquid vel tussim vel sternutamentum mouet, ne spiritum quidem magnopere continere expedit.

τὴν δὲ ἐπίδεσιν ποιέεσθαι] Celsus duas fascias à mediis orsas minimeque adstrictas ponit. Idem aluum sine vllo acri ducendam præcipit, diutiusq; inedia pugnandum. Huncq; locum totum ferè expressit his verbis. Ergo quotidie quoque resoluetur, donec tum cerato

D aut malagmate possumus esse contenti, & decem quidem diebus extenuabitur fame corpus, ab vndecimo verò ali incipiet. Ideoq; etiam laxior quàm primò fascia circunligabitur, fereq; ea curatio ad quadragesimum diem perueniet.

ὅσοι δ' ἂν ἀμβλύνωσι] Huius loci sic meminisse videtur Celsus. Nonnunquam etiam leuius ipso osse adfecto, & inter initia neglecto, non pus, sed humor quidam muccis similis, intus coit, mollescitq; contra cutis, in qua simili vstione vtendum est.

ἕως ἂν ξηρανθῇ μὲν] Hāc curationem breuiter sic exprimit Celsus. Inter quæ si nullus erit metus suppurationis, plus malagma quàm ceratum ad dirigendum proficiet. (Sic enim apud eum legendum existimo.) Reliqua verò suppurationis curatio ab eo optimè explicatur.

ἢν μέν τοι παραμήκης ἔῃ ὁ μετεωρισμός] μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον dicitur cutis quæ ex cōtuso circa os attollitur, tumet, & abscedit. In suppuratione (Celsus) si latius aliquid abscedet, duobus aut tribus locis erit perforandum. Et qua parte maximè tumebit demittendum erit candens ferramentum.

E [261] Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πλειστάκις. εἰς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις. ἐς δὲ τὸ ὄπισθεν, καὶ τὸ ἔμπροσθεν, ἐκπίπτει μὲν, ὀλιγάκις δέ. οἷσι μὲν οὖν ἂν ἐκβῇ εἰς τὸ εἴσω, μακρότερον τὸ σκέλος φαίνεται, παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δισσὰς προφάσιας εἰκότως. ἐπὶ μὲν γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον, τὸ ἄνω φερό-

F μενον, πρὸς τὸν κτένα ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται. καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, ἐπὶ τῆς κοτύλης ὀχέεται. ἔξωθέν τε αὖ ὁ γλουτὸς κοῖλος φαίνεται, ἅτε εἴσω ῥεψάσης τῆς κεφαλῆς τοῦ μηροῦ. τό, τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν, καὶ ἡ κνήμη καὶ ὁ ποὺς ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδὸς, οἱ ἰητροὶ δι' ἀπειρίην, τὸν ὑγιέα πόδα πρὸς τοῦτον προσίσχουσιν,

G ἀλλ' οὐ τοῦτον πρὸς τὸν ὑγιέα. διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος. πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασυνέσιν ἔχει. οὐ δὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίνεον προσογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημήϊα ταῦτά ἐστιν οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ ὁ μηρός. οἷσι μὲν ἂν οὖν ἐκπεσὸν μὴ ἐμπέσῃ, ἀλλὰ κατα-

H πορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ τοῖς βουσὶ γίνεται, καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεος ἐστί. καὶ ἀναγκάζονται κατὰ τὸν κενεῶνα ἢ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς κυλλοὶ καὶ σκολιοὶ εἶναι.

Femoris articulus vbi coxendice excidit, quatuor in partes promouetur, in interiorem quidem sæpissimè, deinde in exteriorem, interdum verò in posteriorem & anteriorem, sed rarò. Quibus igitur interiorem in partem excessit, iis crus alteri collatum, lōgius duabus de causis meritò apparet. Ossi enim quod à coxendice procedit, & ad superiorem pectinis partem fertur, femoris caput insidet, & articuli ceruix in acetabulo fertur, exterioreque rursus parte nates excauatur, nimirum cùm femoris caput in interiorem partem defluxerit. Summa item femoris pars ad genu, & tibia similiter ac pes, in exteriorem partem ferri coguntur. Pede igitur extra vergente, medici imperiti huic sanum, non hunc sano admouent, ac iccirco crus offensum integro multò longius apparet. Multaque etiam alias in his hallucinatio subest. Sed neq; ad inguen crus flectere, similiter atq; sanum possunt. Quin & femoris caput in interfemineo tactu prominere conspicuum est. Ac his quidem indiciis femur interiorem in partem elapsum esse colligitur. Quibus igitur articulus elapsus fuerit, neque tentatus reponi potuerit, aut neglectus fuerit, ij crus circumuoluendo velut boues ingrediuntur, plurimamq; molestiam sano crure sustinent, coguntūrque ad lateris inanitatem & prolapsum articulum incurui & obliqui esse.

In sano verò crure nates rotunda eminere cogitur. Si quis etenim integri cruris pede in exteriorem partem conuerso incederet, reliquum totum corpus in crus affectum, vt ab eo veheretur, protruderet. At quî fieri potest vt crus affectum corpus sustineat? Cogitur ergo hunc in modum integri cruris pede in interiorem partem, non exteriorem conuerso, ingredi. Hoc enim pacto crus sanum tam eam corporis partem quæ sibi, quàm quæ cruri affecto imminet, maximè sustineat. Incuruati autem ad lateris inanitatem & articulos pusilli apparent, & ad latus cruris integri baculo inniti coguntur. Hac enim parte contrenixu indigent, cùm in eam & nates inclinent & corporis pondus feratur. Inclinari item eos necesse est, cùm manum è regione cruris affecti ad obliquum femur obfirmare cogantur. Neque enim crus affectum corpus sustinere potest, vbi per vices mutanda crura sunt, nisi ad terram appressum contineatur. His igitur figurationum modis vti coguntur, quibus intrò prolapsus articulus minimè reconditus fuerit, nihil prouidente ęgro quonam habitu facillimè consistat, cùm casus ipse edoceat, ex his qui ad manum sunt, eum qui maximè sit accommodatus eligere. Neque enim quibus vlcere pes aut tibia laborat, ij admodum crure incedere possunt, eodemque modo infantes gradiuntur. Affecto nanque crure in exteriorem partē conuerso, gressum faciunt. Ac duplex eis, quo opus habent, commodum accedit. Neq; enim corpus æquè sustinetur eo crure quod incessu extra fertur, atque eo quod intro, cùm ei è directo onus non incumbat, sed multò magis illi quod in incessu supponitur. Huic siquidem tum in ipso ingressu, tum in alterna crurum permutatione, è directo pondus incumbit, quòd eo habitu crus sanum celerrimè supponi queat, si affecto quidem crure, exterius; sano, interius ambulatio fiat. At quòd ad præsentem sermonem attinet, non parui est momenti habitum corpori quàm accommodatissimum per se inuenire. Qui igitur ad perfectum incrementum nondum deuenere, iis si prolapsus articulus non reconditur, femur, tibia & pes breuiora euadunt. Neq; enim iis ossa æquè in longum augentur, verùm breuiora fiunt, ac præcipuè femur. Crusq; totum carne vacuum, minimè torosum, effœminatū, & tenuius redditur, partim quidem quòd sua sede priuetur articulus, partim verò quòd suo munere fungi nequeat, cùm naturalem statum non retineat. Vsus enim quidam nimiam mollitiem, tum etiam id quod in longum augeri prohibet, quodammodo tollit. Grauissimè igitur habent, quibus dum in vtero continentur, elabitur hic articulus. Secundum hos, quibus in summa infantia idem contingit. Minimè verò omnium qui adulti istud perpessi sunt. Ac adulti quidem qua ratione incedant, dictum est. Quos verò adhuc in infantia hic casus detinet, plerique quidem in dirigendo corpore negligenter se gerunt, maleque ad sanum crus conuoluuntur, manu, quæ è regione eius est se ad terram obfirmātes. Quinetiam adulti nōnulli qui hac calamitate vexantur, rectam ambulationem segniter curant. At qui in infantia hanc calamitatem experiūtur, ij si liberaliter educati fuerint, sano quidem crure recto vtuntur, ve-

κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνων πορεύοιτο, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὴν ἔρεισιν ποιέεσθαι· τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν· πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. οὕτω γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ ὑγιές, καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος, καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος. κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα, καὶ κατὰ τὰ ἄρθρα μικροὶ φαίνονται, καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος. δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ τοῦτο οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο. ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν. τὴν γὰρ χεῖρα ἐπὶ κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται, κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τούτοισι τοῖσι σχήμασι ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν εἴσω ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου ὅπως ἂν ῥῇστα ἐσχηματισμένον εἴη. ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥῇστα αἱρέεσθαι. ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ, οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλει πάντες. καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν, ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει. καὶ διπλᾶ κερδαίνουσι, διπλῶν γὰρ δέονται. τό, τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως, ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ εἴσω. οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑποβαινομένου. κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος, ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ, καὶ τῇ μεταλλαγῇ σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, εἰ τῷ μὲν σιναρῷ ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιεῖ, ἐσωτέρω. περὶ οὗ νῦν ὁ λόγος. ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥῇστα τῶν σχημάτων. ὅσοισι μὲν οὖν μήπω τελειουμένοισιν ἐς αὔξησιν, ἐκπεσὸν μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρός, καὶ ἡ κνήμη, καὶ ὁ πούς. οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τὰ τοῦ μηροῦ. ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον, καὶ ἐκτεθηλυσμένον, καὶ λεπτότερον γίνεται. ἅμα μὲν, διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου. ἅμα δέ, ὅτι ἀδύνατον χρέεσθαί ἐστιν, ὅτι οὐ κατὰ φύσιν κέεται. χρῆσις γὰρ μετεξετέρη ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος. ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξήσιος. κακοῦται μὲν οὖν μάλιστα, οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον. δεύτερον δὲ οἷσιν ἂν ὡς νηπιωτάτοισιν ἐοῦσιν. ἥκιστα δὲ τοῖσι τετελειωμένοισιν. τοῖσι μὲν οὖν τετελειωμένοισιν εἴρηται οἵη τις ὁδοιπορίη γίνεται. οἷσι δ' ἂν νηπίοισιν ἐοῦσιν, ἡ ξυμφορὴ αὕτη φαίνεται. οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν ὄρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην. καὶ οἷσιν ἂν τετελειωμένοισιν αὕτη ἡ ξυμφορὴ γένηται. ὁκόσοι δ' ἂν νήπιοι ὄντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιεῖ σκέλει χρέονται ἐς ὀρθόν.

ὑπὸ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι. μετεξέτεροι δὲ, καὶ ὑπ' ἀμφοτέρας τὰς χεῖρας. τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι. καὶ τοσούτῳ ῥηΐους εἰσὶν, ὅσῳ ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ἔῃ. τὸ δὲ ὑγιὲς, ἰσχὺν αὐτέοισιν οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν. θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δὲ ἐπιθηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος, ἢ αἱ ἐκ τοῦ εἴσω ὡς ἐπὶ τὸ πολύ. μυθολογοῦσι δέ τινες, ὅτι αἱ ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν, αὐτίκα νήπιον ἐὸν, ἐξαρθρέουσιν. αἱ μὲν, κατὰ γούνατα. αἱ δὲ, κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γένοιτο, καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρρεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίης ἔργα, ἢ χαλκείης, ἢ ἄλλό τι ἑδραῖον ἔργον. εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα, ὅτι δὲ γίνοιτο ἂν τοιαῦτα οἶδα. εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. κατὰ μὲν οὖν τὰ ἰσχία, μέζον τὸ διαφέρον ἐστὶν, εἰς τὸ εἴσω, ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι. κατὰ γούνατα δὲ, διαφέρει μέν τι, ἔλασσον δέ τι διαφέρει. τρόπος δὲ ἑκατέρου τῆς χωλώσιος ἴδιος ἐστί. γυιοῦνται γὰρ μᾶλλον, οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσιν ἂν εἰς τὸ εἴσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν εἰς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται. ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ εἴσω μέρος, βλαισοὶ μὲν γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται.

rùm ſcipionem alæ quæ ſano cruri reſpondet ſuppoſitum circunferunt. Quidam etiam vtrique alæ ſcipionem ſubiiciunt, crus verò affectum ſuſpenſum detinent, quoq; id breuius eſt, eò leuiùs habent. Sano autem crure nihilo minùs habent roboris, quàm ſi integrum vtrunque eſſet. Eiuſmodi tamen omnibus cruris carnes emolliuntur, eæque vt plurimùm exteriore parte magis quàm interiore. Ferunt autem nonnulli Amazonas maſculam ſuam prolem ſtatim ab infantia, partim ad genua, partim ad coxendices, luxare conſueuiſſe, quò videlicet claudi fierent, ac neq; mares fœminis inſidias tenderent, eiſque ad manuarias operas vterentur, & coriariam, fabrilem, & quoduis aliud ſedentarium opus exercerent. Quæ quidem vera nécne ſint ignoro. At quòd iſta contingant quibus ſtatim ab infantia articuli luxantur, certò ſcio. In coxis quidem certè in interiorémne partem, an in exteriorem elabatur articulus multùm intereſt. In genibus verò intereſt etiam nonnihil, ſed minùs tamen. Suus autem vtrique proprius claudicationis modus ineſt. Breuioribus enim ſunt membris quibus exteriorem in partem prolapſus articulus fuerit. Recti autem minùs ſtant, quibus in interiorem partem exciderit. Eodem quoque modo ſi ad malleolum luxatio contingat, quibus in exteriorem partem excidit, ij quidem vari fiunt, verùm ſtare poſſunt. At quibus in interiorem partem articulus prolapſus eſt, ij valgi quidem efficiuntur, minùs verò ſtare queunt.

[26] ἢν δὲ μηροῦ ἄρθρον] In μοχλικῷ ſcribitur, μηροῦ ἄρθρον ἐκπίπτει κατὰ τρόπους τέσσαρας. ἔσω πλεῖστα, ἔξω δεύτερον. Celſus. Femur in omnes quatuor partes promouetur, ſæpiſſimè in interiorem, deinde in exteriorem, raro admodum in priorem aut poſteriorem. Si in interiorem partem prolapſum eſt, crus longius altero & vaſtius eſt, extra enim pes vltimus ſpectat. Paulus cap. 118. lib. 6. κατὰ τέσσαρας τε τρόπους, μᾶλλον δὲ τόπους, ἡ κατ' ἰσχίον ἐξάρθρησις γίνεται. ἢ γὰρ ἐπὶ τὸ ἔσω, ἢ ἐπὶ τὰ ἐκτὸς, ἢ ἔμπροσθεν, ἢ ὀπίσω μεθίσταται. ἀλλ' ἔσω μὲν καὶ ἔξω συνεχῶς. καὶ μάλιστα πολλῷ συνεχέστερον ἐπὶ τὰ ἔσω. ἔμπροσθεν δὲ καὶ ὀπίσω, κατὰ τὸ σπάνιον.

οὐδὲ μὲν οὐδὲ ξυγκάμπτειν] Paulus: ὅσοις μὲν οὖν ἐπὶ τὰ ἐντὸς ἡ ἐξάρθρησις γίνηται, τούτοις τὸ τε πεπονθὸς σκέλος πρὸς τὸ ὑγιὲς παραβαλλόμενον μακρότερον δείκνυται, καὶ τὸ γόνυ προπετέστερον, καὶ κατὰ τὸν βουβῶνα κάμψαι τὸ σκέλος οὐ δύνανται. καὶ κατὰ τὸν περίναιον ὁ ὄγκος ὑποπίπτει σαφής. ὡς ἐκεῖ τῆς κεφαλῆς ἀποσηριχθείσης τοῦ μηροῦ.

ἢ τε ὁδοιπορείη περιφοράδην] In μοχλικῷ, ὁδοιπορέουσι δὲ περιφοράδην ὡς βόες.

καὶ ὄχλησις] Moleſtiam ſani cruris vocat qua plurimùm laborat in vehendo & ſuſtinendo corporis trunco. Hoc enim pacto crus ſanum, tam eam partem quæ ſibi, quàm quæ cruri affecto imminet, ſuſtinet, vt poſtea ſcribitur. ὄχησις etiam non malè ſcribatur.

κατὰ τὸν κενεῶνα κυλλοὶ] In μοχλικῷ, ἐν τῷ κενεῶνι καμπύλοι dicuntur. Quæ lectio iſtam explanat, indicatq; hîc κυλλοὺς dici incuruos, inflexos ac ſinuatos, quos paulò poſt κοιλαινομένους κατὰ τὸν κενεῶνα vocat. Heſychius quoq; κυλλὸν καμπύλον exponit.

δέονται γὰρ αὐτηκοντώσιος] Hunc locum ſubindicat Galenus in Exegeſi, & αὐτηκοντώσιος exponit, τῆς διὰ τοῦ κοντοῦ ἀντερείσεως, ὅπερ καὶ σκήμπτων καλεῖται, cùm tamen σκίμπων meliùs, aut σκίπων legatur. Idem enim quod paulò pòſt dicitur, ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρειν, ſuppoſito axillis baculo aut ſcipione, qua parte crus affectum eſt, corpus fulcire. αὐτηκοντέειν in μοχλικῷ dicitur, pro διὰ τοῦ κοντοῦ ἀντερείδεσθαι. Sic enim hunc locum refert, κατὰ δὲ τὸ ὑγιὲς πλάγιον ξύλῳ τῷ σώματι αὐτηκοντέουσι.

οἱ μὲν πλεῖστοι καταβλακεύουσι] In μοχλικῷ his verbis exprimitur: οὗτοι καταπηνέουσιν ὀρθοῦσθαι, καὶ εἰλέονται ἐπὶ τὸ ὑγιές. ἢν δὲ ἀναγκάζωνται, σκίμπωνι ἑνὶ ἢ δυσὶν ὁδοιπορέουσι, τὸ δὲ σκέλος αἴρουσι. ὅσῳ γὰρ μεῖον, τόσῳ ῥᾷον.

μυθολογοῦσι δέ τινες] De Amazonibus cur claudos mares efficerent luxata tibia aut coxa, aliam affert rationem Theocriti Scholiaſtes Idyll. 4. αἱ ἀμαζόνες ἐπὰν ἄρρεν γεννήσωσι χωλὸν αὐτὸ ποιοῦσιν, ἵνα μὴ ἀδρότερον αὐτῶν γένηται, καὶ τούτοις ἀνδρωθεῖσι συνιᾶσι. Vnde etiam enatum prouerbium ferunt, ἄριστα χωλοὶ οἰφοῦσιν. Sic enim Scythis Amazonas ad ſeſe allicientibus, & virorum claudicationem exprobrantibus, reſpondiſſe ferunt. Vſurpatur etiam ab Athenæo lib. 13. οὗτος γὰρ ἄριστα χωλὸς οἰφεῖ. Eſt autem οἰφᾶν aut οἰφεῖν τὸ συνουσιάζειν virum agere, & rem veneream cum muliere exercere. Vnde φιλοίφας ἄνθρωπος Theocrito, qui φίλοιφος Heſychio dicitur, vir coitus appetens & veneri deditus, ὁ φιλῶν τὸ συνουσιάζειν, & οἰφολὶς γυνὴ, aut οἰφόλις in venerem prona mulier & libidinoſa, quæ Heſychio καταφερὴς & παχυλῶσα exponitur. Prouerbio autem occaſionem dediſſe videtur, quòd claudi domi ſe perpetuò continentes, muliebria opera diligenter exerceant, aut liberis operam dent aſſiduam. Cuius rei rationem adfert Ariſt. quæſt. Natur. ſect. 10. quęſt. 26. Amazonides autem velut Amazones dicuntur. Sic Virg. Æneid. 1.

Ducit Amazonidum lunatis agmina peltis
Penthesilea furens.

Amazonum autem gentem quam quidam fabuloſam exiſtimant confirmat etiam Hippocrates lib. de aere loc. & aq.

γυιοῦνται γὰρ μᾶλλον] Exemplaria quædam manu ſcripta κυλλοῦνται legunt.

[27] Ἤ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίνεται. οἷσι μὲν οὖν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός εἰσι. τὰ δὲ τῆς κνήμης ὀστέα, αὔξεται μὲν, οὐ πολὺ δὲ ἐνδεεστέρως, αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ' ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξ-

At verò quænam oſſa augeantur, res ſic ſe habet. Quibus quidem ad malleolum tibiæ os loco motum eſt, iis certè pedis oſſa, quòd proximè vulneri iuncta ſint, minimùm augentur. Tibiæ verò oſſa augentur quidem, neque certè multò minore copia, verùm carnes imminuuntur. At cùm articulus ad malleolum ſua ſede ſecundum naturam manſerit, ad genu

verò suo loco emotus fuerit, iis tibiæ os, quòd vulneri sit proximum, nõ æquè augeri, sed breuius reddi consueuit. Pedis autem ossa imminuuntur quidem, verùm non æquè ac paulò antè dictum est, cùm pedis articulus integer maneat. Quòd si eo etiam, sicuti cùm varus est, vti possent, iis adhuc minus pedis ossa imminuerentur. Quibus verò coxendicis articulus luxatur, iis femoris os, quòd proximè vulnus attingat, non æquè augeri solet, sed sano breuius redditur. His tamen neque tibiæ os, neque pedis ossa eodem modo augeri prohibentur. Quod ideò accidit, quòd femoris articulus qui cum tibia committitur, & tibiæ, qui cum pede, sua naturali sede manet: iis tamen totius cruris carnes imminuũtur. Quòd si crure vti possent, etiam magis ossa augerentur, velut priùs quoque dictum est, femore excepto, minusque carne destituerentur, quamuis id multò magis quàm sanis contingat. Cui rei indicio sunt, qui à prima origine, aut antequam ad perfectum incrementum deuenerint, brachio luxato mustellæ cubito præditi euadunt. Hi siquidem os brachij breue, cubitum verò ac summam manum sanis paulò exiliora habent, idque ob antedictas causas, quòd brachium, cùm læso articulo proximum sit, iccirco breuius redditur. Cubitus autem non ideò noxiæ æquè patet, quòd brachij articulus qui ad cubitum est, pristinam naturam retineat. Manusque rursus etiam longiùs à noxia quàm cubitus abest. Has igitur ob causas enumeratas, ossa quædam incremento destitui, quædam etiam incrementum suscipere contingit. Ad pleniorem autem manus & brachij habitum, multùm manus labor profuerit. Qui nanque mustellæ cubito præditi sunt, manuarias operas, quas etiam altera manu præstant, vt plurimùm hac manu suscipiunt, idque nihilo peius quam altera. Neque enim manibus vt cruribus, corporis onus fertur, sed sunt leuia earum opera. Ob exercitationem autem neque in manu, neque in cubito, iis qui mustellæ cubitum habent, carnes imminuuntur. Quinetiam brachium ad pleniorem habitum inde nonnihil iuuatur. At vbi coxendicis articulus à primo ortu, aut etiam in ipsa infantia, sua compage emotus, ad interiorem partem inclinarit, carnes eam ob causam magis quàm in manu imminuuntur, quòd ij crure vti nequeant. Atque hæc ita se habere, quæ paulò pòst dicentur quodammodo testabuntur.

στήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μὲν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶον ἐστίν. εἰ δέ οἱ χρέεσθαι ἠδύνατο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γίνηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα οὐχ ὁμοίως τούτοισιν ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δὲ, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ παρὰ τὴν κνήμην, ἐν τῇ ἑωυτοῦ φύσει μένει, καὶ τὸ τῆς κνήμης, τὸ παρὰ τὸν πόδα. σάρκες μέντοι μινύθουσι παντὸς τοῦ σκέλεος τούτοισιν. εἰ μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, [27] καὶ ἧσσον ἄσαρκα ἦν. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα ἦν. σημεῖον δὲ ὅτι τοιαῦτα ἐστίν. ὁκόσοισι γὰρ τοῦ βραχίονος ἐκπεσόντος, γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι. τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος, διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος γέγονεν. ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακούει τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ παρὰ τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει. ἥ τε αὖ χεὶρ ἔτι τηλοτέρω ἄπεστιν, ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξόμενα οὐ συναύξεται, τό τε ξυναυξόμενον ξυναύξεται. ἐς δὲ τὸ εὐσαρκεῖν τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστί, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τοῦ ἀσινέος. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα. ὅταν δὲ ἰσχίον ἐκπαλὲς γίνηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσιν αἱ σάρκες, διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς, ὅτι οὐ δύναται χρέεσθαι τῷ σκέλει. μαρτύριον δέ τι ἐν ἔσται ἐν τοῖσιν ὕστερον εἰρημένοισιν, ὅτι ταῦτα τοιαῦτά ἐστιν.

[27] καὶ ἧσσον ἄσαρκα ἦν] Sic legunt publicata exemplaria, quædam etiam καὶ ἧσσον, alia κἂν ἧσσον, & nonnulla κἢν ἧσσον eodem sensu.

τὰ πλεῖστα προθυμέονται] Sic legunt publicata omnia exemplaria & manu scriptorum bona pars. Quædam etiam προμηθέονται habent, quæ eos rationem inire aut prospicere ad suscipiendas manuarias operas significant. προθυμέονται autem promptum animum & laborem ac studium ad opus suscipiendum indicat.

ὅταν δὲ ἰσχίον ἐκπαλὲς γίνηται] ἐκπαλὲς Hesychius ἐξάρθρον exponit, hanc Hippocratis dictionem ex hoc loco subnotans, forte que ἐκ τοῦ ἐκπάλλεσθαι dictum videtur, hoc est ἐκκυτᾶσθαι, suaque compage emotum aut prolapsum ac eluxatum articulum significat. Indeque etiam forte ἐκπάλλω deductum est, quod idem Hesychius ἐχωρίσθη, ἀπέση, ἐξέπεσεν, exponit, & ἐκπαλήσαντες, ἐκπεσόντες. ἐκπαλαίειν quoque exponunt ἔξω τοῦ νόμου παλαίειν. Erotianus etiam ἐκπαλήσαντος, ἐκπάλου γενομένου.

At quibus in exteriorem partem femoris caput excessit, iis crus iuxta alterum extensum meritò quidem breuius apparet. Neque enim femoris caput,

[28] Ὁκόσοισι δ' ἂν ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπ' ὀστέον ἡ ἀπό-

βασις

A βάσις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ παρ' ὀστέον παρεγκεκλιμένον τὴν φύσιν ἔχον, ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑποχεούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πληχάδα καλεομένην κοιλότερος καὶ ἀσαρκότερος γίνεται. ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος. ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὀλισθηκυίας. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς ἅτε ὑπεξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα, τῇ τοῦ μηροῦ κεφαλῇ. B τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον, εἴσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη, καὶ ὁ πούς. ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα, τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν. οἷσι μὲν οὖν τελεωθεῖσιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ C σύμπαν σκέλος. ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς. τῷ δὲ στήθεϊ τοῦ ποδὸς βαίνουσιν ἐπὶ τὴν γῆν. ὀλίγον δὲ εἰς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύνανται τὸ σῶμα τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον, ἢ οἷσιν ἂν ἐς τὸ εἴσω μέρος ἐκπεπτώκῃ. ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυ- D κὼς ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται. ἅμα δὲ ὅτι ἄκρος ὁ πούς, οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐκκεκλῆσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα, καὶ τείνει καὶ ἐσωτέρω. ὅταν μὲν οὖν τρίψιν λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείσθη, ἡ δὲ σὰρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίνεται. ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου, ἢν E ἄλλως βούλωνται. δύνανται δὲ ὀχέειν τὸ σῶμα, ἐπὶ τὸ σιναρὸν σκέλος. διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται αἱ σάρκες, ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλύνονται δὲ ἢ πλέον, ἢ ἔλασσον. μᾶλλον δὴ ἔτι ἐκθηλύνονται κατὰ τὸ εἴσω μέρος, ἢ κατὰ τὸ ἔξω, ὡς ἐπὶ τὸ πολύ. τὸ μέντοι ὑπόδημα ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, F οἱ δέ τινες καὶ δύνανται. οἷσι δὲ ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ διεμπέσῃ, ἢ καὶ ὑπὸ νόσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, καὶ ἐκπαλήσῃ, πολλὰ γὰρ τοιαῦτα γίνεται. καὶ ἐνίων μὲν τούτων ἢν ἐπισφακελίσῃ ὁ μηρός, ἐμπυήματα χρόνια καὶ ἔμμοτα γίνεται, καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει, καὶ G οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται, καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τοῦ ὑγιέος. τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται, ἢ τὰ τῆς ἑτέρης, ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται. ὁδοιπορέειν δὲ δύνανται οἱ τοιοῦτοι. οἱ μέν τινες αὐτῶν, τοῦτον τὸν τρόπον, ὥσπερ οἷσι τελεωθεῖσιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν. οἱ δέ, καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί. διαρρέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν, ἀναγκαζό- H μενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα δὲ τοιαῦτα γίνεται ἢν ἐπιμελῶς μὲν παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι, καὶ ὀρθῶς ἐν οἷσι δεῖ, πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην. ἐπιμελέως δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθῶσιν. πλείστης δὲ

velut cùm intrò luxabatur, ossi insidet, sed iuxta os quod natura inclinatum est, in carne humida & cedente firmatur, ideoque breuius apparet. Interiore verò parte ad locum inter crura medium (gressuram & πληχάδα nominant) femur magis contrahitur & gracilius euadit. Exteriore autem parte nates in gibbum magis extumescit, extra nimirum femoris capite elapso. Quin & superior nates apparet, eò quòd hac parte caro femoris capiti cedit. Extrema verò femoris pars ad genu, & tibia & pes introrsum spectare conspiciuntur. Verùm neque inflectere perinde ac sanum crus possunt. Atque hæ quidem sunt extra prolapsi femoris notæ. Quibus igitur iam adultis luxatus articulus reconditus non fuerit, iis crus totum breuius conspicitur, neque ingressu terram calce contingere possunt, sed ima planta terræ insistunt, paululumque summis digitis interiorem in partem tendunt. Atque in his longè meliùs crus læsum corpus ferre potest, quàm quibus in interiorem partem luxatio facta est, partim quidem quòd femoris caput, & articuli ceruix, quæ naturaliter obliqua est, maiori coxę parti subiecta est, partim verò quòd summus pes in exteriorem partem inclinari non cogitur, sed prope ad rectitudinem corporis accedit, & interiorem in partem etiam conuertitur. Quum igitur articulus carnis locum in quem elapsus est consuetudine tritum fecerit, & caro lentorem contraxerit, temporis tractu doloris expers euadit. Tuncque, si velint, absque baculo incedere possunt, & corpus affecto crure sustentare. Iis ergo, eò quòd crure vtuntur, minùs quàm quibus paulò antè dictum est, carnes emolliuntur, idque plus, aut minùs contingit. Ferè autem magis ad interiorem partem quàm exteriorem effœminantur. Ac eorum quidem nonnulli, quòd crus flectere non possint, calceum sibi inducere nequeunt. Quidam etiam id possunt. At quibus in matris vtero hic articulus sua sede emotus fuerit, aut cùm adhuc augentur vi exciderit, neque reconditus fuerit, aut etiam morbo elapsus atque sua compage motus fuerit (horum enim plæraque contingunt) eorum quidem nonnullis, si syderatum femur fuerit, suppurationes diuturnæ & quæ curationem per linamenta desiderent, contingunt, quibusdam etiam ossa nudantur. Eodem verò modo tum quibus syderatur os femoris, tum quibus non syderatur, multò breuius redditur, ac neque velut sanum augeri solet. Huius etiam tibiæ ossa paulò quidem quàm alterius breuiora euadunt, ob easdem causas, quæ etiam antea sunt commemoratæ. Atque hi incedere possunt, nonnulli quidem eo modo, quo quibus iam adultis elapsus articulus reconditus non fuit, quidam etiam toto pede insistunt, inter ambulandum tamen ob cruris breuitatem, vtranque in partem inclinari coguntur. Hæc autem sic contingunt, vbi in his quæ ad corporis habitum spectant, diligenter, & in quibus oportet rectè fuerint à pueris educati, priùs quàm ad ambulationem confirmentur, ac nihilominus etiam diligenter & rectè, vbi confirmati fuerint. Summam verò

curam postulant, quibus in prima infantia hic casus incidit. Si enim ea in infantia negligantur, iis totũ crus prorsus inutile & incrementi expers redditur, ac vniuersi cruris carnes magis imminuuntur quàm sani. At multò sanè minùs quam quibus interiorem in partem exciderit, idque ob vsum & laborem, ita vt statim vti crure valeant, velut etiam de his qui mustelæ cubito prediti sunt paulò antè dictum est. Nonnullis quoque partim quidẽ statim à prima origine, partim verò sub morbo, amborũ crurum articuli exteriorẽ in partem prolapsi sunt. Iis igitur ossa quidem huiusmodi vitiis patent, at carnes minimè effœminãtur. Sed & pleniora crura euadunt, nisi si quid interiore parte paulùm deficit. Eam verò ob causam pleniora sunt, quòd vtroque crure pariter vtuntur. Eodem enim modo inter ambulandum ab vtraque parte iactantur, iiq; valdè prominentibus natibus conspiciuntur, eò quòd articuli suo loco excesserunt. Quòd si neque his ossa vitientur, neq; gibbosi supra coxendices euadant (quosdam enim huiusmodi vitia prehendunt.) Nisi ergo tale quid contingat, de cætero satis salubriter vitam traducunt. Minùs tamen ij reliquo corpore, capite excepto, incrementi suscipiunt.

ἐπιμελείης δέονται οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν, αὕτη ἡ ξυμφορὴ γένηται. ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήϊον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται. αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος. πολὺ μὲν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. ὅτι αὐτίκα δύνανται χρέεσθαι τῷ σκέλει. ὡς καὶ πρόσθεν ὀλίγον ἐπὶ τῶν γαλιαγκώνων εἴρηται. εἰσὶ δέ τινες, ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα. τοῖσι δέ, καὶ ὑπὸ νούσου ἀμφοτέρων τῶν σκελέων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ μὲν ὀστέα ταυτὰ παθήματα πάσχει. αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται. διὰ σαρκὰ δὲ καὶ τὰ σκέλεα γίνονται. πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται. ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα, ἐξέχογλουτοι δὲ ἐπὶ ἰσχυρῶς φαίνονται, διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μὴ δὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται. ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει. ἢν οὖν μὴ τοιοῦτόν τι γένηται, ἱκανῶς ὑγιηρῶς τἄλλα διαφέρονται. ἀναυξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς.

[18] ὅσοισιν δ᾽ ἂν ἐς τὸ ἔξω] Celsus. Si in exteriorem (partem femur prolapsum est) breuius rarumq; fit, & intus inclinatur, calx ingressu terram non contingit, sed planta ima, meliusque id crus superius corpus, quàm in priore casu fert, minusque baculo eget. Sed pro rarum, varum aut macrum legendum esse ex Hippocrate apparet. Paulus sic: ὅσοις δὲ ἐπὶ τὰ ἔξω κατωλίσθησε, τούτοις τἀναντία συμβαίνει σημεῖα. τό τε γὰρ σκέλος βραχύτερον φαίνεται, καὶ κατὰ μὲν τὸ ἀσθενὲς αἰσθητὸν κοιλότατος. κατὰ δὲ τὸ γλουτὸν εἰς ὄγκον ἐπαίρεται, καὶ τὸ γόνυ ἐσώτερον ἐστί. καὶ συγκάμπτειν τὸ σκέλος δύνανται. In quo nequaquam existimandum est Paulum ab Hippocrate dissentire, quòd eos crus flectere posse dicat. Id enim ab eo dictum est ex collatione cum iis quibus in interiorem partem os femoris excidit, quibus caput femoris eo pacto prolapsum musculos adeò comprimit, vt flectentibus cedere nequeant. Quod contrà in iis quibus extra femoris caput prolapsum est, accidit, ideoque hi crus ad inguen flectere queunt. Hippocrates verò non perinde ac sanum crus eos flectere scribit, quòd musculi posteriores tantam extensionem ferre nequeant.

ἐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται εἰσκυκλεῖσθαι] Sic legunt omnia exemplaria, εἰσκυκλεῖσθαι tamen lego cum multis interpretibus, aut ἐκκυκλεῖσθαι legendum, vt summus pes exteriorem in partem excludi aut prominere non cogatur, quemadmodum paulò pòst, τρίβον λαβὼν τὸ ἄρθρον ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείσθη, dicitur, hoc est, articulus carnis locum in quem exclusus aut detrusus est consuetudine & mora tritum faciens. Sic enim ἐξεκλείσθη legendum existimo, aut ἐξεκλίθη, vt partem in quam declinauit aut elapsus est, indicet. Hoc enim verbum in tota luxatorum tractatione sæpiùs vsurpatur.

At quibus posteriorem in partem femoris caput elapsum est, quod paucis contingit, ij neque ad articulum luxatum, neque admodum ad poplitem crus extendere possunt. Atque id multò minùs, quàm quibus hoc vitium iam pridem contigit, quòd hi inguinis & poplitis articulum magis extendere possint. Preterea etiam illud animaduertendum, quod & valdè vtile & magni est momenti, ac plærosque latet, neque sanos poplitis articulum extendere posse, nisi vnà quoque inguinis articulum extendant, præter quàm si pedem valdè sustollant: sic enim posse. Hi ergo neque eodem modo poplitis articulum, sed multò ægrius, flectere possunt, nisi vnà quoque inguinis articulum inflexerint. Multa quoque alia in corpore huiusmodi cognationes habent, & circa neruorum contractionem, & musculorum habitum plurima & cognitu digniora quàm quis existimet, conspiciuntur. Quod etiam in intestinorum natura totiusque ventris, ac in vteri erroribus & contractionibus cernere licet. De quibus aliàs cũ his quæ nunc dicuntur con-

[19] Ὅσοισι δ᾽ ἂν εἰς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσόν, οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην. ἀλλ᾽ ἥκιστα τῶν ἐκπαλαίων, οὗτοι μάλιστα ἐκτανύουσιν καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστιν, καὶ τοὺς πλείστους λήθει, ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα. οὕτω δ᾽ ἂν δύναιντο. οὗτοι τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα, καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης, καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυντάσιας. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἀδελφι-

σμένος τοῖσιν νῦν λεγομένοισι. ὅπου οὐδὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύειν δύναται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκε τὴν τοῦ πυγαίου. ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται. ὅταν δὲ ἐξαρθρήσῃ, καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. ξυγκάμπτειν μέν τοι δύναται, ὅταν μὴ ὀδύνη κωλύοι. καὶ ἡ κνήμη τε καὶ ὁ πούς, ὀρθὰ ἐπιεικέως φαίνονται, καὶ οὔτε τῇ οὔτε τῇ πολὺ ἐγκεκλιμένα. κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρη εἶναι ποτὶ καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου εἰς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος. κατὰ δὲ τὸ αὐτὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ, δοκέει τι ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημεῖα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός. ὅτῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται, καὶ ἡ ὀδύνη παύσηται, καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας. ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται, διὰ τὸ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ πολλῷ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειρᾶται καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τὸ ὀπίσω ἂν πέσοι. ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐπὶ πολὺ εἰς τοὔπισω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος, καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ τῷ στήθει τοῦ ποδὸς καθικνέεται, καὶ οὐδὲ οὕτως ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας, καὶ τῷ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύην ἐπιξυγκάμψῃ. ἐπεὶ τούτοισιν ἀναγκάζεται ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ ξυμβάσει. ἀναγκάζει οὖν καὶ τοῦτο αὐτοὺς ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ, οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκαθερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρός, ἅτε οὐχ ὑφεστῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μέντοι τοῦ ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσι, διὰ τοῦτο ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη. διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέν τοι βούλονται ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέωνται, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλοιντο ἐρείδεσθαι τῷ ποδί, βραχύτερον μὲν τὸ ξύλον ποιητέον, κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς.

Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελείως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν, ἢν μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμίῃ βλαβείη. καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ' ἄλλην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶ. καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων. καὶ ὅσα C κατὰ τοὺς δακτύλους ὀστέα κατεαγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. ἀποκόψιες δὲ τελέαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ, καὶ ἐν χειρὶ, καὶ ἐν κνήμῃ, τοῖσι παρὰ τὰ σφυρά. καὶ ἐν πήχει, τοῖσι κατὰ τοὺς καρποὺς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα γίνεται. ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ, ἢ τεταρταίοισιν ἐοῦσι, πυρετὸς ξυνεχὴς ἐπιγένηται. ἀποσφακελίσιες μέντοι D σαρκῶν, καὶ ἐν τρώμασιν αἱμοῤῥόοισι γινομένοισιν ἢ ἀποσφίγξεσιν ἰσχυραῖς, καὶ ἐν ὀστέων κατήγμασι γινομένοισι, πιεχθεῖσι μᾶλλον τοῦ καιροῦ. καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισιν ἀπολειφθέντα ἀποπίπτει πολλοῖσι. καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων. καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει, καὶ τῶν σαρκῶν, καὶ τοῦ ὀστέου, καὶ οἷσι βραχίονος. ἧσσον δὲ πήχεός τε καὶ κνήμης ἀποπεσούσης, καὶ ἔτι εὐφόρως περιγίνονται. οἷσι μὲν οὖν κατεαγέντων ὀστέων ἀποσφακελίσιες αὐτίκα ἐγένοντο, καὶ με- E λασμοὶ, τούτοισι μὲν ταχεῖαι περιῤῥήξιες γίνονται τοῦ σώματος, καὶ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων προενδεδωκότων. οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μελασμοὶ γίνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσι καὶ τούτοισι. τὰ δὲ ὀστέα βραδέως ἀφίσταται, ᾗ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται, καὶ ἡ ψίλωσις τοῦ ὀστέου. χρὴ δὲ ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελα- F σμοῦ ἔῃ, ταῦτα ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀναλγέα ᾖ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον, προμηθεόμενον ὅκως μὴ τιτρώσκῃ. ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος, καὶ μήπω κυρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι. αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώ- G λεσαν. μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου, ὀγδοηκοσταῖον εἶδον ἀποστάν. ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη. ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω. οὐ γὰρ ἅμα, ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοι τι ποιέειν. κνήμης τε ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖά μοι ἀπέπεσεν, ὅσα ἐψιλώθη αὐτῶν. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν. διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος, καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον. καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπο- H μελανθέντα ἀποθανεῖν τὰ νεῦρα, καὶ τὰς σάρκας, καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας. ἐπεὶ ὅσα μὴ ἰσχυρῶς

At quæcunq; ad digitorum articulos ex toto præciduntur, ea plærunq; sunt innoxia, nisi quis sub ipso vulnere in animi deliquium incurrat, iisq; vlceribus quæuis curatio satis erit. Sed & quæ non ad articulos, verùm ad aliam quandam ossium rectitudinem præciduntur, etiam hæc innoxia sunt, & adhuc cæteris promptiorem curationem recipiunt. Quæ item in digitis ossa fracta cute eminent, non ad articulos: & in pede, & manu, & in tibia nonnullis ad malleolos, & in cubito: quibusdam ad primam palmæ partem, plærunque citra noxiam fiunt, si non protinus animi defectio oppresserit, aut quarto die febris assidua accesserit. Carnium tamen syderationes contingunt, & in vulneribus sanguinem profundentibus, & in valentibus constrictionibus, tum in ossium fracturis plus æquo compressis. In aliis item quæ vinculis violenter intercepta fuerint, plærunque decidunt. Et ex his complures euadunt, nec non quibus in femore carnis & ossis pars aliqua excidit, & quibus in brachio. Minùs autē ex brachio & tibia cùm quid decidat, hi adhuc facilè tolerant & supersunt. Quibus igitur fractis ossibus syderationes & denigrationes confestim contingunt, iis quidem, cùm iam antea ossa cesserint, celeres corporis abruptiones fiunt, & quæ casura sunt, citò decidunt. At quibus integris ossibus denigrationes contingunt, iis quidem carnes celeriter etiam emoriuntur, ossa autem, tum qua parte nigrities terminatur, tum qua nudata sunt, tardè abscedunt. Partes autem corporis quæ infra terminos denigrationis fuerint, vbi iam prorsus emortuæ fuerint, & dolorem non senserint, ad articulos auferendæ, ea cautione vt ne vulnus inferatur. Nam vbi qui exciditur dolet, neque dum qua parte exciditur corpus emortuum fuerit, ne sub dolore animus deficiat, admodum periclitatur. Eiusmodi verò animi defectiones multos iam confestim è medio sustulerunt. Ac femoris quidem os hoc modo nudatum octogesimo die abscedere vidi. Verùm tibia huic homini vigesimo die circa genu detracta fuerat, mea autem sententia etiam citiùs. Neq; enim simul, sed vt consultiùs quid fieret visum est. Tibię verò ossa ex huiusmodi nigritie, quę ex ipsis nudata fuerunt fere ad mediam tibiam, sexagesimo die mihi deciderunt. Curatio sanè quidem curationi præstat, quò maturiùs vel seriùs nudata ossa decidant. Pressus item à pressu, & validitate & imbecillitate differt, quò etiam celeriùs aut tardiùs nerui, carnes, arteriæ & venæ denigratæ emoriantur. Quæ enim non

validè intercepta emoriuntur, ex his nonnulla ad ossium nudationes nō deueniunt, sed in summo magis decidunt, in quibusdam verò neque neruus denudatur, sed magis sumæ partes decidūt. Eas igitur ob caussas, tempus intra quod horum singula iudicatione soluuntur, certo numero comprehendere non licet. At certè eiusmodi curationes suscipiendæ sunt, quippe cùm ad aspectum ipsum magis quàm ad medicationem sint formidabiles. Iisque omnibus leuis medicatio satis est. Ipsa enim per se sola soluuntur. Ea quoque in victu adhibenda diligentia, vt quoad eius fieri poterit, febri aduersetur, & iusto habitu corpus collocetur. Iustus autem hic corporis habitus, vt neque in sublime sublatum sit, neque deorsum spectet, sursum tamen magis, idque præcipuè, quoad circumcirca ex toto abruptum fuerit. Tunc enim profluentis sanguinis periculum impendet. Eam igitur ob caussam vulnera decliuia non collocari, sed contrà debent, quandoquidem procedente iam tempore, atq; vbi vlcera pura fuerint, non ampliùs accommodatus est hic habitus, sed recta positio, interdumque in decline tendens conuenit. Temporis nanque successu horum nonnullis ossis decessiones contingunt, atque ideo fasciis primùm iniectis velut subligaminibus opus habent. In his autem sperandum est fore vt procedente tempore cruentis deiectionibus corripiantur. Nam & plærisque, in his quæ denigrantur, & in sanguinis ab vlcere profusionibus, cruentæ deiectiones superueniunt. Atque id plærunque fit, iam iudicatione absolutis denigrationibus & sanguinis eruptione. Ferturque id impetu largo & vehementi, sed neque multis diebus perseuerat, neque lethale est. Nam neque ij cibos admodum auersantur, neq; aliàs inedia conducit.

ἀπολειφθέντα θνήσκει, ἔνια τῶν τοιουτέων οὐκ ἀφικνέεται ἐς ὀστέων ψιλώματα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει. ἔνια δὲ, οὐδὲ εἰς νεύρων ψιλώματα ἀφικνεῖται, ἀλλὰ ἐπιπολαιότερα ἐκπίπτει. διὰ οὖν ταύτας τὰς προφάσιας οὐκ ἔστιν ἓν οὔνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι ἐν ὁκόσῳ ἕκαστα κρίνεται). προσδέχεσθαι δὲ μάλα χρὴ τὰ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν ἢ τι ἰητρεύειν. καὶ ἰητρείη πρηεῖη ἀρκέει πᾶσι τοιούτοισι. αὐτὰ γὰρ ἑωυτὰ κρίνει μόνον. τῆς τε διαίτης ἐπιμελέεσθαι χρὴ, ὡς κατὰ δύναμιν ἀπύρετος ἔῃ. καὶ ἐν σχήμασι δικαίοισιν εὐθετίζειν τὸ σῶμα. δίκαια δὲ καὶ ταῦτα, μηδὲ μετέωρα ποιέειν, μηδὲ ἐς τὸ κάτω ῥέπειν, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω ποτὶ, καὶ ἐς ἂν τελείως περιῤῥαγῇ. αἱμοῤῥαγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος. διὰ τοῦτο γοῦν οὐ χρὴ κατάῤῥοπα ποιέειν τὰ τρώματα, ἀλλὰ τοὐναντία. ἐπειὸτὰν γε ὁ χρόνος ἐγγένηται πλείων, καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκ ἔτι ταῦτα τὰ σχήματα ἐπιτήδεια ἐστὶν, ἀλλ' ἡ εὐθεῖα θέσις. καὶ ἐνίοτε ἐπὶ τὸ κατάῤῥοπον ῥέποντα. ἀνὰ χρόνον γὰρ ἐνίοισι τούτων ἀποστάσιες ὀστέου γίνονται, καὶ ὑποδεσμίδων δέονται). προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι. καὶ γὰρ ἐπὶ τοῖς μελαινομένοισι τοῖσι πλείστοισι ἐπιγίνεται δυσεντερίη, καὶ ἐπὶ τῇσιν αἱμοῤῥαγίῃσιν ἐξ ἑλκέων. ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ κεκριμένων ἤδη καὶ τῶν μελασμῶν καὶ τῆς αἱμοῤῥαγίης. καὶ ὁρμᾶται μὲν λαύρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται, οὔτε θανατώδης· οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι, οὔτε ἄλλως ξυμφέρει κενεαγγέειν.

[33] ἔνια δὲ οὐδὲ ἐς νεύρων ψιλώματα ἀφικνεῖται] Hæc ita leguntur in omnibus exemplaribus, vt per sanè mirum mihi videatur ista ab omnibus interpretibus esse prætermissa.

ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν] In Mochlico, τὰ γὰρ πλεῖστα φοβερώτερα ἢ κακίω, ἡ ἴησις πρηεῖα.

καὶ ὁρμᾶται μὲν λαύρως] In Mochlico, περὶ κρίσιν λαῦροι μὲν ὀλιγήμεροι δέ. οὐκ ἀπόσιτοι δὲ πάνυ πυρετώδεες, οὐδὲ ἐς κενεαγγητέον.

At femur coxa elapsum, vbi interiorem in partem prociderit, hac ratione reconditur. Hæc quidem proba, & iusta, & secundum naturam repositio est, saneq; ad gloriam ferè comparata, si quis huiusmodi ostentationem affectet. Homo à pedibus ex transuersa mediæ domus trabe, vinculo valido, molli tamen & lato suspendatur, quatuor inter se circiter digitis aut etiam minùs distantibus. Supra genua quoque insuper lorum latum ac molle, quod ad eandem trabem pertingat, circundandum. Crus verò affectum duobus digitis ampliùs quàm alterum intentum esse debet. Caput quoque duos ferè cubitos, aut paulò ampliùs aut minùs, à terra recedat. Manus autem ad latera porrectæ, re aliqua molli alligandæ. Eaque omnia supino decumbenti homini apparanda, vt quàm paucissimo tempore suspensus maneat. Homine suspenso, peritus aliquis, neque imbecillus, cubitum inter femora traiectum, inter caput femoris elapsum & interfemineum medium collocare debet, deinde altera manu ad eam quæ est interposita coniuncta, rectus adstans, repente ad suspensi hominis corpus annexus, subli-

[34] Μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον, ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὀλισθήκῃ. ἀγαθὴ μὲν ἥδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολὴ, καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα, ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι. τοὺς δὲ πόδας διέχειν χρὴ ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων ἢ καὶ ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι, πλατεῖ ἱμάντι καὶ μαλθακῷ ἀνατείνοντι ἐς τὴν μεσόδμην. τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρὴ, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω, ὡς δύο πήχεας, ἢ ὀλίγῳ πλέον, ἢ ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος ἔστω μαλθακῷ τινι. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν. εἶτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ ἐξεστηκυίης. ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν ἐξηρτημένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, με-

A τέωρον αἰωρηθῆναι ὡς ἰσορροπώτατον. αὕτη δὲ ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει κατάτασιν ποιέεται. ὅ, τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης. ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν καὶ ἀναγκάζειν εἰς τὴν ἀρχαίην φύσιν ὀλισθαίνειν. χρὴ δὲ
B πάνυ καλῶς μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα δὲ ὡς ἰσχυρότατον τὸν ἐξαιωρεύμενον εἶναι. ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διαφέρειν ἐστὶ τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι, καὶ δυσέμβλητα. καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου. ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος ὅσον τῇσι χερσὶ
C κατιθῦναι, βραχείης δὲ κιγκλίσιος. πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον, ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πολὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ. χρέεσθαι δὲ οἷσιν ἂν δοκέῃ ἑκάστοτε. εἰρέαται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρέ-
D εσθαι τούτων ὅ τις ἂν παρατύχῃ. δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν, τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ, τοῦ σώματος. ἢν γὰρ εὖ κατατεθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηΐδιον ἱζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ κατόρθωσις. ἀλλὰ γὰρ ἐλλεί-
E πουσιν ἐν τῇ κατατάσει. διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἐῇ μᾶλλον, ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος ἐσκευάσθαι. ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν, μὴ μόνον ἐκ τοῦ περὶ τὸ στῆθος καὶ
F τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν περίνεον βεβλημένῳ, παρατεταμένῳ, ἐπὶ μὲν τὰ ὄπισθεν, παρὰ τὴν ῥάχιν. ἐπὶ δὲ τὰ ἔμπροσθεν, παρὰ τὴν κληῖδα προσηρτημένῳ, πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν· οὕτω διαναγκάζεσθαι. τοῖσι μὲν ἔνθα διατεινομένοισιν. τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίνεον μὴ ἐπὶ τῇ κεφαλῇ
G τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περινέου. ἐν δὲ τῇ κατατάσει κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμὴν, ἐς τὸ ἔξω ὠθέετω. ἢν δὲ μετεωρίζηται ἑλκόμενος, διέρσας τὴν χεῖρα, καὶ ἐπισυναλλάξας τῇ ἑτέρῃ χειρὶ, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω.

mis quàm maximè æquabili libramento appendere. In hac sanè reponendi ratione omnia quibus secundum naturam opus est suppeditantur. Nam & corpus ipsum suspensum suopte pondere extensionem facit, & qui appensus est, simul quidem extendendo caput femoris è regione sui acetabuli sublime ferri cogit, vnaque cubiti osse molitionem facit, & in pristinam sedem retrudit. Vincula autẽ quàm optimè quidem accommodata esse oportet, id certè aduertendo, vt qui sublimis appenditur quàm validissimus existat. Quemadmodum igitur suprà quoque dictum est, multùm homini homo natura præstat, in eo quòd vel facilis vel difficilis repositio fiat. Itemq; cur multùm intersit, suprà cùm de humero ageremus dictum est. Nonnullis enim absque vllo apparatu, sed ex modica intensione, quæ manuum directione fit, leuiq; agitatione femur intrò reuertitur. Multis etiam crus, quà commissura est, inflectentibus, id facta circumactione iam in suam sedem reuertit. At multò sæpiùs euenit, vt non cuilibet cedat apparatui. Quocirca quæ quidem in quauis arte in singulis plurimùm præstãt, scire conuenit, in vsum verò ea adhibere quæ ad singula accommodari videbuntur. Extendendi ergo rationes etiam à me in superioribus dictæ sunt, vt ex his quæcunque suppetet in vsum adhiberi possit. Vehementem enim in diuersas partes extensionem fieri oportet, vt in alteram quidem crus, in alteram verò corpus adducatur. Nam si probè extensio fiat, femoris caput supra pristinam sedem sublime efferetur, sicq; in sublime euectum, non iam facilè prohibeatur, quominus in sua ipsius sede cõsidat, adeo vt etiam quæuis molitio ac directio satis sit. Sed enim parcior extensio fieri consueuit, ideoq; maiorem molestiam repositio adfert. Neque ergo pedibus solùm, verùm etiam supra genu vincula iniici necesse est, quò non magis genu quàm coxendicis articulus deligatione intendatur. Atque hunc in modum ad pedes extensionem apparatam esse conuenit. Sed & neque ad pectus solùm & alas circumiecto vinculo in diuersa contensio fieri debet, verùm etiam loro longo, duplici, valido, leni, ad interfœmineum interiecto, quod posteriore quidem parte iuxta spinam porrigatur, anteriore verò per iugulum ad aliud initium contrà tendat, ita vis adhibenda est, his quidem vna parte, aliis altera distentionem molientibus. Ita tamen ne lorum quòd ad interfœmineum demittitur, supra femoris caput porrigatur, sed inter caput & interfœmineum medium deducatur. In ipsa verò extensione, femoris quidem caput obnixo pugno exteriorem in partem propellẽdum. Quòd si qui trahitur sublimis pendeat, inserta manu, eique altera coniuncta, simul quidem extendendum & in exteriorem partem impellendum. Alius autem femur ad genu leuiter interiorem in partem dirigat. Operæpretium verò esse etiam supra dictum est, vt qui in percelebri ciuitate medicinam factitat, lignum sibi comparet quadrangulum, sex ferè cubitorum, aut paulò maius, latitudine bicubitali, cuius crassitudo dodrantalis satis est. Id præterea hinc & inde in longitudinem sectionem habeat,

ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω. εἴρηται δὲ καὶ πρόσθεν ὅτι ἐπάξιον ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ, ἢ ὀλίγῳ μεῖζον. εὖρος
H δὲ, ὡς δίπηχυ. πάχος δὲ, ἀρκέει σπιθαμιαῖον. ἔπειτα κατὰ μῆκος μὲν, ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν χρὴ,

ne molitio conuenientem altitudinem excedat. Postes insuper asellos continentes, breues, validos, vtraque parte insertos habeat. Tum satis quidem est si in dimidia ligni parte, nihil tamen prohibet quo minus etiam per totum, quinque aut sex fossulæ longæ, quatuor inter se digitis distãtes, incisæ sint. Quibus trium digitorum latitudo eademque altitudo sufficit. In medio verò altè exsculptum cauum in quadratam figuram ad tres ferè digitos, lignum habere oportet, in quod, vbi opus esse videbitur, lignum cauo accommodatum, superiore autem parte teres, defigatur. Defigendumque id, vbi conferre videbitur, medium inter femoris caput & interfœmineum. Quo erecto prohibetur corpus quominus concedat, cùm à pedibus trahitur. Interdum nanque hoc ipsum solum loco extensionis quæ à superiore parte in diuersa adducitur, abundè est. Interdum verò dum crus vtrinque extenditur, hoc ipsum lignum in hanc vel illam partem laxius incumbens, idoneum fuerit vt caput femoris exteriorem in partem molitione impellat. Ea enim de causa excisæ sunt fossulæ, vt ad quam congruere videbitur, demisso vecte ligneo, aut iuxta ipsa articulorum capita, aut in ea penitus impacto, vnà cum extensione, vel externam, vel interiorem in partem, prout conducere videbitur, molitio adhibeatur. Idque siue teretem, siue latum vectem esse expedit, cùm alius aliis articulis magis accommodatus sit. Hæc autem per vectem molitio cum concussione, ad omnes crurum articulos reponendos, perquàm est accommodata. In eo autem quod in quæstione versatur, rotundum vectem esse conuenit. Vbi verò exteriorem in partem prolapsus est articulus, latus est accommodatus. Atque post hæc machinamenta si vis adhibeatur, non videtur mihi vllus articulus repositione frustrari posse. Quanquam etiam alios huius articuli recondendi modos quis inueniat. Etenim si magnum hoc lignum medium & ad latera postes duos pedales habeat, ea altitudine quæ idonea esse videatur, vtraque ex parte vnum, tum lignum transuersum super postes tanquam scalæ gradus imponatur, deinde integro crure inter postes trãsmisso, quod affectum est supra gradum adaptetur. Verumtamen ad altitudinem & ad articulum qua parte prolapsus est, facilè aliquid accommodari debet. Nam & gradus moderato altior constituendus, & vestem multiplicem, prout congruere videbitur, corpori substernere oportet. Post hæc lignum conuenienti longitudine & latitudine, ad malleolos vsque, cruri subiiciendum, sic vt vltra femoris caput, quoad eius fieri poterit, feratur, & ad crus quoties æquum videbitur, alligandum. Deinceps dum crus extenditur, siue id per lignum fiat quod est in pistilli formam, siue per aliquod aliud quod ad extendendum sit idoneum, vna crus supra gradum cum alligato ligno deorsum adurgendum, & ab aliquo homo supra commissuram ad coxam est continendus. Hac enim via simul quidem distensionis vi femoris caput supra cauitatem sublime attolletur, simulque molitione in pristinam

ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη. ἔπειτα φλιὰς βραχείας, ἰσχυράς, ἐνηρμοσμένας, ὀνίσκου ἔχειν ἑκατέρωθεν. ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου, οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καπέτους μακρὰς πέντε ἢ ἕξ, διαλειπούσας ἀπ' ἀλλήλων τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι, καὶ βάθος οὕτως. ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων. καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον. ἐμπηγνύναι δὲ ἐπὴν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστεὸς κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα, τοῖσι πρὸς ποδῶν ἑλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο, ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος. ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἢ τῇ, ἢ τῇ, ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντετμέαται, ὡς καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι, ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρει ἐκμοχλεύεσθαι, ἤν τε ἐς τὸ εἴσω. καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρει εἶναι, ἤν τε πλάτος ἔχοντα. ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δὲ ἐστὶν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ σκέλεα, αὕτη ἡ μόχλευσις σὺν κατατάσει. περὶ οὗ νῦν ὁ λόγος ἐστί, στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι. ἀπὸ τουτέων τῶν μηχανέων, καὶ ἀνάγκαιον οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι, ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχοι κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ποδιαίας, ὕψος δὲ ὅκως δοκέει ξυμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν. ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν, ὡς κλιμακτήρ. ἔπειτα διέρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων. τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσον. ἀτὰρ τι πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον ᾗ ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου. καὶ ἱμάτιον πολύπτυχον ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. προσκαταδεδέσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκοσαχῶς ἂν μετρίως ἔχῃ. κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδεῖ, εἴ τε τουτέων τινὶ τῶν κατατασίων, ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαείροι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης. ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρ-

χαίην

A χείρω φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ, καὶ πᾶσαι κρείσσους τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζοι. ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει.

sedem protrudetur. Hæ omnes commemoratæ cogendi rationes validæ sunt, omnesque, si quis rectè ac probè apparatas habeat, calamitatem superant. Ac quemadmodum antè dictum est, longè imbecilliore extensione, magisq; vulgari apparatu, plærunq; hic articulus reconditur.

[14] κομψευόμενος] Hunc locum subindicat Erotianus κομψευόμενος exponens πανουργευόμενος, ἐπεὶ καὶ οἱ Ἀττικοὶ τὴν πανουργίαν κομψίαν καλοῦσι, καὶ τὸ γρεῖλον κομψὸν, ὡς καὶ Εὐελπίδης. Aristoph. etiam Scholiastes κομψῶς δεινῶς & πανούργως exponit, quoniam antiquis κομψοὶ πανοῦργοι B dicebantur. Potest etiam dici, ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος, qui huiusmodi industriam affectat, aut qui huiusmodi artificio ac industria delectatur.

πρὸς μεσόδμην] μεσόδμη explicatur à Galeno in Exegesi, ἡ καθ' ἕνα οἶκον εἰς δύο μεμερισμένον διοείζουσα τὰ δοκοῦ εἴρξις, οἷον μεσόδμην ἥς ἔσα. τινὲς δὲ καὶ τὸ ὑποκείμενον στέγος μεσόδμην καλοῦσι. (Sic enim legendum esse in nostra OEconomia scripsimus) Dicitur μεσόδμη trabs mediana & transuersa, quæ ab vno pariete ad alterum traiicitur, dicitur etiam & intercolumnium, aut trabes & columnæ quædam, quæ mediam domum separant. μεσόδμαι & μεσόδματα dicuntur Hesychio, τὰ μεσόσυλα, & τὰ τῶν δοκῶν διαστήματα. Varinò verò τὰ μεσόσυλα κατ' Ἀρίσταρχον, καθ' ἑτέρους δὲ τὰ μεταξὺ τῶν δοκῶν, καὶ διαφράγματα μεταξὺ τῶν κιόνων. Est & μεσόδμη ἡ ὀπὴ δι' ἧς ὁ ἱστὸς ἀνείρεται. Foramen in media naui cui malus inditur, ἡ ἱστοδόκη ὅπου τίθεται ὁ ἱστὸς καὶ κλίνεται. Hunc verò repositionis modum vt simplicissimum & minus affectatum, his verbis obscurissimis & nostris in codicibus corruptissimis describit * Paulus. ἔστι δὲ καὶ ἕτερος ἐμβολῆς τρόπος ἄνευ τῆς ἐπὶ τοῦ ξύλου κατατάσεως, ἐπαινούμενος ὑφ' Ἱπποκράτους. δεῖ γάρ φησι τὰς χεῖρας τοῦ κάμνοντος μαλθακῶς προσδῆσαι ταῖς πλευραῖς, καὶ τοὺς πόδας ἀμφοτέρους ἰσχυρῷ ἱμάντι μαλθακῷ, κατὰ τὰ σφυρὰ καὶ ὑπὲρ τῶν γονάτων. ἀπέχοντας ἀλλήλων ὅσον δάκτυλος εἷς. ἀποτεταμένου τοῦ πεπονθότος σκέλους ὑπὲρ τοῦ ἑτέρου, ὡς δύο δακτύλοις. κἄπειτα κρεμάσαι C τὸν ἄνθρωπον ἐπὶ κεφαλῆς, ἀπέχοντα τῆς γῆς ὅσον δύο πήχεις. νεανίσκον δέ τινα ἔμπειρον τοῖς ἑαυτοῦ πήχεσι παρειληφότα τὸν πεπονθότα μηρὸν κατὰ τὸ παχύτατον, ἵνα καὶ ἡ κεφαλὴ τοῦ μηροῦ, ἐξαπίνης ἀποκρεμασθῆναι τοῦ ἀνθρώπου βιαζόμενον. ῥαδίως γὰρ εἰσελεύσεται τὸ ἄρθρον. οὗτος ὁ τρόπος τῆς καταρτισμοῦ, τῶν μὲν ἄλλων ἁπλούστερός ἐστιν, οἷά τε μὴ ἁπτόμενος διὰ πολλῆς παρασκευῆς. ἀλλ' ὡς ἐλεεινὸν αὐτὸν οἱ πολλοὶ παρῃτήσαντο. Quibus in Pauli verbis, vbi crus affectum duobus digitis altero plus intendi præcipit, quidam id ex transuersa tabe suspenso homine fieri contendunt, & ἀποτεταμένου ὑπὸ τοῦ ξύλου legunt, vestis Hippocratis verbis respondeant. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατὺ ἱμάντι καὶ μαλθακῷ ἀνατείνοντα εἰς τὴν μεσόδμην. τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρὴ, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου. Est & alius cruris interiorem in partem prolapsi reponendi modus apud Oribasium libro de Machinamentis (cap. 21. & 37.) cuius etiam meminisse videtur Paulus.

* *Cap. 118. lib. 6.*

ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται] Quædam exemplaria κρεμάσηται legunt.

D τοπλοῖσι δὲ συγκάμψασι τὸ σκέλος] Paulus. εἰ γὰρ εἴη καὶ τὸ πάθος νεαρὸν, καὶ ὁ κάμνων ἔτι νεάζων, ἐνίοτε τὸν μηρὸν διακρατοῦντες καὶ περιφέροντες τῇδε κἀκεῖσε, τὸ ἄρθρον ἐμβεβλήκαμεν. ἐπὶ τῆς εἴσω δὲ γεγενημένης τῆς ἐξαρθρήσεως, καὶ τὸ σκέλος μόνον ἀθρόως τε καὶ ἰσχυρῶς κατὰ τὸν βουβῶνα κάμψαντες ὡς ἔσω πέτω, τὸ δέον ἐξεπράξαμεν.

ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος] Paulus. ἵνα δὲ μή τι τὸ γόνυ πάθῃ, καὶ τούτου ἀνώτερον. Funes autem nexos aut implicitos, aut etiam lora requirit Paulus.

ἀλλὰ καὶ ἱμάντι μακρῷ] Paulus. ἱμάντος δὲ μαλθακοῦ καὶ ἰσχυροῦ τὴν μεσότητα κατὰ τὸν περίναιον ἁρμόσαντες, ἐπὶ τὸν ὦμον ἀνάγομεν, ἔμπροσθεν διὰ τοῦ βουβῶνος καὶ τῆς κλειδὸς. ὄπισθεν δὲ διὰ τοῦ νώτου. Sic enim apud Paulum legendum videtur.

πρὸς τὴν ἀρχὴν αὐτὰ κατατείνοντα] Istud quidem lorum ad iugulum suis capitibus deligari vult. Paulus verò duo lori capita ministro ad vehementiorem vim exhiberi. Oribasius etiam duplicatæ habenæ vel funis medium lana seu linteo circumdatum, ad interfœmineum inseri, eiusque capita super caput adduci iubet. Possunt quoque lori capita ad axis clauum aut ad postem alligari, quò maior etiam à superiore parte extensio fiat.

E ὅκως δὲ ὁ ἱμὰς] Oribasius si interiorem in partem femur exciderit, habenam inter femur integrum & articulum qui restitui debet, adhibendam præcipit, ne si femoris capiti subiecta fuerit, membrum ad inferiorem partem attrahi nõ sinat. Paulus quoq; istud sic exprimit. καταπινομένου γὰρ τοῦ ἀνθρώπου, εἰ μὲν ἐπὶ τὰ ἔσω τὸ ἄρθρον ἐξέπεσε, τὸ μὲν ἱμάντος τοῦ κατὰ τὸν περίναιον τὴν μεσότητα δεῖ μεταξὺ τῆς τοῦ μηροῦ κεφαλῆς καὶ αὐτοῦ τοῦ περιναίου τετάχθαι. ἀναφέρεσθαι δὲ τὸν ἱμάντα, διὰ τοῦ προειρημένου βουβῶνος καὶ τῆς κλειδὸς. νεανίσκον δέ τινα διὰ τοῖς δύο πήχεσι τὸν πεπονθότα μηρὸν κατὰ τὸ παχύτερον αὐτοῦ περιειληφότα, ἕλκειν ἰσχυρῶς ἐπὶ τὰ ἔξω.

ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ] Exemplaria quædam δῆλας legunt vt ad χεῖρας referas. Sed vitiata esse apparet, & ἄλλος δέ τις legendum.

ξύλον κεκτῆσθαι τετράγωνον] Hoc organum quod Hippocrates ξύλον vocat describitur optimè Rufo apud Oribasium libro de * Machinamentis. Scamnum vocat Celsus, vt & recentiores βάθρον. Paulus μέγα ξύλον (vt & hîc Hippocrates) ἢ βάθρον, vt & Galenus in Comment. Huius quoque meminit in Mochlico Hippocrates.

* *Cap. 29.*

F θαλιὴν ἔχειν] Sic legunt quotquot ad huc videre licuit exemplaria. Galenus tamen θαλιὴν παραμήκεα legisse videtur.

ὀνίσκου ἔχειν] Sic legit codicum magna pars tum manu scriptorum tum publicatorum. Quæ lectio etsi ferri potest, quòd φλιαὶ asellorum postes dicuntur, altera tamen magis popularis est, si ὀνίσκους ἔχειν legas, quòd hi postes asellos firment & contineant, sintque hæ φλιαὶ Galeno τὰ διαλαμβάνοντα τοὺς ἄξονας στηρίγματα, & Erotiano τὰ ἑκατέρωθεν τοῦ βάθρου ὄρθια ξύλα ἐν οἷς ἄξονες περιέχονται. Sic enim legendum esse vel ex hoc loco patet, vt antea quoque scripsimus.

ὡς κάπετος μακρὰς] κάπετοι hîc dicuntur Rufo authore, fossulæ quædam & cauitates per totum scamnum excauatæ & incisæ, quatuor digitorum spatio interiecto, latitudine & altitudine trium digitorum. Erotianus κάπετον exponit ὄρυγμα, τάφρον. ἐπὶ μὲν τοι τοῦ ὀρύγου ὄρυγμα δηλοῖ. καπέτους ἐπιμήκεις τάφρους vocat Paulus, vsumque his verbis edocet. ἐγγεγλυφθῶσαν δι' ὅλου σχεδὸν ἐπιμήκεις τινὲς δὴ τάφροι, πλάτος τε καὶ βάθος μὴ πλεῖον δακτύλων τεσσάρων, ἀπέχουσαι δὲ ἀλλήλων μὴ πλεῖον δακτύλων δ'. ὥστε τοῦ μοχλοῦ κατὰ τὸ πέρας ἐπ' αὐτῶν ἀναβαίνοντος, ἐφ' ὅποσα ἂν δέωσι ποιῆσαι τὴν μόχλευσιν.

G ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον] Hoc sic exprimit Paulus. κατὰ μέσον δὲ τοῦ ξύλου ἢ βάθρου ἕτερον ἐμπεπήχθω ξύλον, ὅσον ποδιαῖον τῷ μήκει, πάχος δὲ ὅσον συμμέτρως. ὥστε ὑπὸ τούτου καταπινομένου τοῦ ἀνθρώπου, τοῦτο τὸ ξύλον μεταξὺ φθάσαι τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. ἅμα τε καὶ κωλύσει τὴν ἐπίδοσιν τοῦ σώματος ἑπομένου τοῖς πρὸς ποδῶν ἕλκουσι. καὶ τούτου ὄντος ὁ δὲ χρεία πολλάκις γίνεται τῆς ἄνωθεν ἀντιτάσεως, ἅμα δὲ καὶ καταπινομένου τοῦ σώματος αὐτὸ τὸ ξύλον ἐπὶ τὰ ἔξω τὴν κεφαλὴν ἐκμοχλεύσει τοῦ μηροῦ. Rufus hoc lignum scalmum aut priapiscum vocat, qui in lignum altè in quadratam figuram excauatum demittitur. In Mochlico συλίσκος dicitur.

αὕτη ἡ μόχλευσις σὺν κατατάσει] κατάτασι legunt interpretes quidam. Sed exemplaria omnia σὺν κατατάσει legunt.

στρογγύλος ἁρμόζει ὁ μοχλὸς ἐστί] Post hæc verba in quibusdam exemplaribus adduntur ista, τῷ μὲν τὸ ἔξω ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόζει εἶναι. Quæ nos cum Asulano codice etiam addenda censemus, etsi omittuntur ab omnibus interpretibus. Quæ videtur quoque explicare Galenus in Com. eorumque rationem apponere.

ἀπὸ τούτων τῶν μηχανέων] καὶ ἀνάγκέων lego.

H εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα] Hunc locum integrum sic exprimit Paulus. εἰ δὲ μὴ οὕτως εἰσενεχθείη, τὸ μὲν ἐμπεπηγὸς ὄρθιον ξύλον ἀφαιρετέον. ἐκ πλαγίου δὲ τῆς τούτου θέσεως, ἑκατέρωθεν ἕτερα δύο ξύλα πεπήχθω καθάπερ φλιαὶ, μὴ ἐλάττω ἢ ποδὸς τὸ μῆκος. ἐφαρμοσάτω δὲ τούτοις ἕτερον ξύλον καθάπερ κλι-

μακτὴρ, ὡς εἶναι τὸ σχῆμα τῶν τειῶν ξύλων παραπλήσιον τῷ Η σοιχείῳ, ὅταν μικρῷ κατωτέρω τῶν ἄκρων τὸ μέσον ἐναρμοσθείη ξύλον. κἄπειτα ἐπὶ τὸ ὑγιὲς πλευρὸν κειμένου τοῦ ἀνθρώπου, τὸ μὲν ὑγιὲς σκέλος μεταξὺ τῶν φλιωδεστέρων ἀγάγωμεν ὑπὸ τὴν δὲ βαθμίδα. τὸ δὲ πεπονθὸς ἄνωθεν ὑπεραγάγωμεν ταύτης, ὡς ἐφαρμόζειν αὐτῇ τῇ κεφαλῇ τοῦ μηροῦ, ἐπεστρωμένου πρότερον αὐτῇ πολυπτύχου τινὸς ἱματίου, διὰ τὸ μὴ θλίβεσθαι τὸν μηρόν. ἕτερον δὲ ξύλον ἔχον τὸ μὲν πλάτος σύμμετρον, τὸ δὲ μῆκος, ὅσον ἀπὸ τῆς τοῦ μηροῦ κεφαλῆς ἄχρι τοῦ σφυροῦ, ὑποτιθέμενον ἔσωθεν τῷ σκέλει συνδεδέσθω. γινομένης δὲ τῆς κατατάσεως ἢ δι' ὑπερῴων ὡς ἐπὶ κυφώσεως, ὡς ἔμπροσθεν εἴπομεν, ἢ διά τινων ἄλλων, ἕλκειν ἐπὶ τὰ κάτω τὸ σκέλος μετὰ τοῦ προσδεδεμένου τοῦ ξύλου. ὅπως τῇ βίᾳ ταύτῃ ἡ κεφαλὴ τοῦ μηροῦ ἐς τὸν ἴδιον ἐπανέλθοι τόπον. Sic enim hæc mihi legenda videntur, quæ mendosissimè nostris in codicibus leguntur. Rufus verò postes huiusmodi in medio ligno ad similitudinem literæ Π adaptari vult.

ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος] Oribasius spatham vel lignum habens in summo capitulum rotundum, ac leuiter cauum esse vult, ab interiore parte à summo crure ad imum pertinens, quod super id lignum, quod Π literam refert, cum crure deorsum magna vi adductum, molitionem attrahendo adhibet. Adesse verò alium idoneum necesse est, qui sursum versus compellat.

At verò vbi exteriorem in partem femoris caput luxatum fuerit, eodem quo suprà dictum est modo, ab vtraque parte extensiones faciendæ. Molitio autem per latum vectem vna cum extensione adhibenda, ab exteriore parte ad interiorem adurgendo, ad natem ipsam aut paulò supra vecte apposito. Ad sanam autem coxam iuxta natem, quis manibus obfirmatis, vt ne corpus cedat, aut alio aliquo huiusmodi vecte superiecto, & ex aliqua conueniente fossula firmato, contra obluctetur, ac femoris luxati partem quæ ad genu est, ab interiore parte in exteriorem leuiter deducat. Huic verò luxationis modo suspensio minimè conuenit. Eius enim qui appenditur cubitus, femoris caput è suo cauo protruderet. Huic tamen luxationis modo conuenientem per subiectum lignum molitionem comminiscetur aliquis, si exteriore parte admoueatur. Sed quid plura? Nam si rectè & probè extensio fiat, rectè quoque molitio adhibeatur, quis articulus hoc modo prolapsus non restituatur? Quòd si posteriorē in partem femur prolapsum sit, extendere quidem & in diuersa ducere quo modo dictum est oportet, instratoque ligno multiplici stragulo, quò mollissimum sit, & homine prono reclinato, hunc in modum extensio adhibenda. Vnà autem cum extensione, quomodo in gibbosis spinæ affectibus, per asserem deorsum impellendum est, assere è natium regione, magisque in inferiorem quàm superiorem partem collocato. Incisura verò in pariete ad asserem directa non sit, sed paulùm deorsum spectans & ad pedes inclinata. Hæc reponendi ratio huiusmodi luxato articulo, tum maximè secundum naturam, tum etiam validissima est. Asseris autem loco abundè fortassis fuerit aliquē insidentem, aut manibus annitentem, vel de repente pedibus consistentem, vnà quoque cum extensione sublimem ferri. Ex prædictis verò alia nulla reponendi ratio huiusmodi luxato articulo secundum naturam est.

[35] Ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται τοιουτοτρόπως. τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρὴ, ἅμα τῇ κατατάσει, ἐκ τοῦ ἔξω μέρεος, ἐς τὸ εἴσω ἀναγκάζοντα. κατά τε αὐτὸν ἤδη τὸν γλουτὸν, προθέμενον τὸν μοχλὸν, καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον, κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις τῇσι χερσὶν, ὡς μὴ ὑποείκῃ τὸ σῶμα, ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑποβάλλων, καὶ ἐρείσας ἐκ τῶν καπέτων τὴν ἁρμόζουσαν ἀντικαταχέτω. τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τὸ γόνυ εἴσωθεν ἔξω παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος τοῦ ἄρθρου. ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι ξὺν τῷ ὑποκειμένῳ ξύλῳ μόχλευσιν μηχανήσαιτ' ἄν τις ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέον. ἀλλὰ τί καὶ δεῖ πλείω λέγειν; ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον, οὕτως ἐκπεπτωκός; [36] ἢν δὲ ἐς τοὔπισθεν μέρος ἐκπεπτώκῃ ὁ μηρὸς, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας, οὕτω δεῖ ποιέεσθαι, καθάπερ εἴρηται. ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον πολύπτυχον ὡς μαλακώτατον ἔῃ, πρηνέα κατακλίναντα τὸν ἄνθρωπον, οὕτω κατατείνειν. ἅμα δὲ τῇ κατατάσει, χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον, ὡς τὰ ὑβώματα, κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα, καὶ μᾶλλον ἐς τὸ κάτω μέρος, ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων. καὶ ἡ ἐντομὴ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς, πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι, καὶ ἅμα ἰσχυροτάτη. ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ τῇσι χερσὶν ἐρεισάμενον, ἢ ἐπιβάντα ἐξαπίνης ὁμοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμίη ἐμβολὴ τῶν προειρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος.

[35] ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ] Hunc luxationis modum paucis sic explicat Paulus. εἰ δ' ἐπὶ τὰ ἐκτὸς ἡ ἐξάρθρησις γένηται, κατατάσθω μὲν ὁ ἄνθρωπος ὡς ἀνωτέρω. τὸν δὲ κατὰ πρόσθιον ἱμάντα διὰ τῶν ἀντικειμένων φέρειν μερῶν προσήκει, βουβῶνος φημὶ καὶ κλειδός. τὸν δὲ ἰατρὸν μοχλεύειν ἔξωθεν ἐπὶ τὰ εἴσω, κατὰ τὴν ἁρμόζουσαν τῶν ἐγγεγλυμμένων τάφρων, ἀντιβαίνοντος τῷ μοχλῷ ὑπηρέτου τινὸς πρὸς τὸν ὑγιᾶ γλουτόν. Sic enim mihi locus legi posse videtur, etsi quidam ex Hippocrate hîc multa reponunt. Celsus verò breuiter admodum quod in hac luxatione præcipitur, cæteris casibus accommodat. In cæteris verò casibus (scribit) vbi ossa per vim paululum inter se recesserunt, medicus debet id quod eminet, retro cogere, minister contrà inde coxam propellere.

[36] ἢν δὲ ἐς τοὔπισθεν μέρος] Hunc repositionis modum sic Paulus exprimit. ἐπὶ δὲ τῶν ἐπὶ τὰ ὀπίσω, οὐ δεῖ μὲν ἄχρι μετεώρου καταπίνειν τὸν ἄνθρωπον, ἀλλ' ἐπὶ στερεοῦ κεῖσθαι, καθάπερ καὶ τῶν ἐπὶ τὰ ἐκτὸς ἐξηρθρηκότων. ὥσπερ δὲ ἐπὶ τοῦ κυφώματος ἐλέγετο, ἐπὶ μὲν τοῦ ξύλου ἢ βάθρου πρηνῆ καταπίπτειν τὸν ἄνθρωπον, οὐ κατὰ τῆς ἰξύος ἀλλ' ἐν τῷ σκέλει τεταμένων τῶν δεσμῶν, ὡς ἀρτίως εἴρηται. χρῆσθαι δὲ καὶ τῇ διὰ τῆς σανίδος πλήσει κατὰ τὸ πυγαῖον, ἔνθα καὶ τὸ ἄρθρον ἐξέστηκε. (Sic enim mihi legendus locus videtur.) Oribasius libro de *Machinamentis, paulò diuersum reponendæ istius luxationis modum per spatham recenset.

* Cap. 21. & 38.

H

[37] Ἢν δὲ

A [57] Ἢν δὲ ἐς τὸ ἔμπροσθεν ὀλισθῇ, τὴν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος, ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν, καὶ ὡς εὐπαιδευτότατον ἐνερείσαντα τὸ θέναρ τῆς χειρὸς τῆς ἑτέρης παρὰ τὸν βουβῶνα καὶ τῇ ἑτέρῃ χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα, ἅμα μὲν ἐς τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς B ἐμβολῆς μάλιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματί ἐστιν. ἀτὰρ καὶ ὁ κρεμασμὸς, ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίνεον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιέεται. [58] εὐδοκιμεῖ δὲ καὶ ὁ πειραθεὶς ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβαλέσθαι. καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ C φαυλότητος, καὶ τὰ ἔξω ἐγκεκλιμένα, καὶ τὰ ὄπισθεν ἀσκῷ ἐπειρῶντο ἐμβαλεῖν, οὐ γινώσκοντες ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον, ἢ ἐνέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας, δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα, ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστὸν ἀσκῷ εἰ δέοι χρέεσθαι. διαγινώσκειν δὲ χρὴ, ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω ἐστίν. χρὴ δὲ τὸν μὲν ἀσκὸν D κατατιθέναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίνεον ἀνάγοντα. ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον, ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν. ἔπειτα ἐς ἕνα τῶν πολλῶν τῶν λελυμένων, ἐνθέντα αὐλὸν ἐκ χαλκείου φυσᾶν, καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκόν. τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν E οὖν παρασκευὴ αὕτη ἐστί. σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι, ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γούνατα, καὶ οὐ προσκατατείνουσι. χρὴ δὲ καὶ προσκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πρήγματος ἐπιτυχόντες. εὐφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως. ὅ, τε γὰρ ἀσκὸς ἐμφυσώμενος, οὐ τὰ ὀγκηρέστατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ F μάλιστα ἐκμοχλεύεσθαι. ἀλλὰ κατὰ τὸν ἑωυτὸν, αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως, ἢ κατὰ τὸ μέσον, ἢ ἔτι κατωτέρω. οἵ τε αὖ μηροὶ φύσει γαυσοὶ πεφύκασιν. ἄνωθεν γὰρ σαρκώδεες περὶ ξύμμηροι. ἐς δὲ τὸ κάτω ὑπόξηροι. ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζοι τὸν ἀσκὸν, ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου. εἴ τε οὖν τι σμικρὸν ἐνθήσει τὸν ἀσκὸν, μικρὴ ἡ ἰσχὺς ἐοῦσα, ἀδύνατόν ἐστιν ἀναγκάζειν τὸ ἄρθρον. G εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι, ἐπὶ πολὺ οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους. καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος, ὁ ἀσκὸς φυσητέος. τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν. χρὴ δὲ περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον. εἰ δὲ πολλοῖ-

At si anteriorem in partem luxatum fuerit, idem certè extendendi modus conuenit. Vir autem cùm manibus robustissimus, tum etiam peritissimus, superiore alterius manus parte ad inguen offirmata, eandemque altera manu insuper comprehendens, vnà quidem luxatum articulum deorsum, simulque ad anteriorem genu partem propellat. Hic enim reponendi modus huic luxationi maximè secundum naturam conuenit. Sed & suspendendi ratio prope ferè ad naturam accedit. Eum tamen qui appenditur gnarum esse oportet, vt ne cubiti molitione articulum expellat, sed circa medium interfœmineum & iuxta os sacrum appensionem faciat. Laudandus quoque is est qui per vtrem hunc articulum recondere tentarit. Nonnullos tamē vidi, qui ob ineptiam, tam ea quæ extra, quàm quæ in posteriorem partem erumperent, per vtrem reponere tentarent, neque aduerterēt hoc modo articulum potiùs expelli quàm restitui. Constat certè eum qui primus id excogitauit, quæ intrò luxata fuerunt, per vtrem reponere tentasse. Nosse igitur conuenit vbi vsus expetit, vtre vtendum esse, scire tamen licet multa alia vtre præstantiora esse. Vter autem non inflatus inter femora collocatur, sic vt quoad eius fieri potest, maximè sublimis ad interfœmineum adducatur, tum à patellis genu initio ducto, fascia femora inter se vinciantur, quæ ad eorum mediam partem tendat, deinde imposito folle fabrili in partem ex multis solutam, flatus in vtrem immittitur ac distendi cogitur. Homo verò in latus decumbere debet, & crus affectum superiore parte habere. Atque huiusmodi quidem est apparatus. Plærique tamen deteriùs quàm ego dixi apparant. Neque enim femorum magnam partem, sed genua tantùm deuinciunt, neque præterea intensionem admouent, quæ tamen necessariò adhiberi debet. At nonnulli rem facilem nacti, luxationem etiam restituerunt. Verùm hoc pacto non admodum facilis impulsio est. Inflatus enim vter qua potissimùm parte tumet, articuli caput, quod molitione impelli maximè debet, non attingit, sed ferè tota sui parte medius inter femora, vel circa medium, vel adhuc inferius collocatur. Adhæc femora etiam ipsa curua natura sunt comparata. Superiore enim parte carnosa sese contingunt, inferiore verò in angustum tenuantur. Ita vt etiam femorum natura vtrem ab eo loco expellat, in quem maximè immitti oportebat. Si quis igitur paruum vtrem immittat, fieri nullo modo poterit vt vis exigua articulum impellat. Quòd si vtre vtendum sit, femora inter se magna ex parte colliganda, vnaque cum corporis extensione vter inflandus. In hoc verò repositionis modo vtraque crura extrema parte simul deliganda. At verò in tota arte imprimis quidem tibi allaborandum est, vt quod ægrum est ad sanitatem reducas. Quòd si ea multis modis restitui potest, is qui minimùm habet molestiæ eligendus. Istud enim ad bonum virum & artis peritum spectare magis videtur, si popularem auram non affectes. Verùm (quod ad præsens institutum attinet) tam domestici sunt

σι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι. καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης. H περὶ οὖν οὗ ὁ λόγος ἐστὶν, τοιαίδε τινὲς μὲν κατοικίδιοι

quidam extendendi corporis modi, vt proptè in rem præsentem expediri possint. Nempe quidem si lora mollia & lenia non adfuerint, sed vel ferreæ catenæ, vel rudentes nautici, vel funes, ea vincula qua parte iniici debent, aut etiam amplius, fasciis aut laneorum panniculorum segmentis conuoluenda, tum vinculis vincienda. Homine verò in lecto ex iis quorum est copia firmissimo & maximo bene extēto, lecti pedes, vel à capite, vel qui à pedibus sunt, aut exteriore, aut interiore parte, prout conferre videbitur, ad ianuæ limen offirmandi. Ad alios autem pedes lignum quadratum transuersum, quod ab vno ad alterum pedem pertingat, obiiciendum, ac si id quidem exiguum extiterit, ad lecti pedes deligādum, sin crassum, sine vinculo relinquendū. Post hæc vinculorum capita, tum à capite, tum à pedibus, vtraq; ad pistillum, vel ad aliquod aliud huiusmodi lignum alligentur. Vinculum verò è directo ad corpus, vel paulò etiam supra collocetur. Per pistilla verò quæ erecta existunt, conueniens extēsio fiat, quorum alterum ad limen, alterum ad obiectum lignum offirmatur. Tum sic retro adductis pistillis extensio facienda. Ad hoc autem satis esse poterit scala firmos gradus habens lecto supposita, ad cuius gradus, liminis & ligni appositi loco, pistillis cōuenienter hinc & inde firmatis, eodem modo vinculorum distensio adhibeatur. Femoris item articulus, siue interiorem in partem, siue in priorem luxatus fuerit, hunc etiam in modū reconditur. Scalæ in terram defixæ homine insidente, tum crus quidem integrum leuiter extentum, qua commodum videbitur alligandum, ex affecto autem vas fictile aqua plenum appendendum, aut sporta in quam coniecti lapides fuerint. Est & alius reponendi modus, si interiorem in partem luxatio contigerit. Trabes iusta altitudine inter duas columnas deligatur, cui ab vna parte quæ pro magnitudine natium extet, æger se applicet, obuolutoque pectori stragulo, homo contiguæ trabis parti insideat, tum pectore ad columnā lata quadam habena adducto, demum crus integrum, ne circumoberret, ab aliquo quidem cōtineatur, læso verò pondus quantum conuenire videbitur, vt etiam supra dictum est, appendatur. Imprimis igitur nosse cōuenit, ossium omnium iuncturas, vt plurimùm, ex capite & acetabulo cōstare, ac in quibusdam cauum acetabuli formam referre, in nonnullis verò sinus leuiter esse depressos. Prolapsi autem omnes articuli, maximè quidem protinus dum adhuc sunt calidi, vel certè quàm citissimè recondendi. Nam & qui reponit faciliùs ac citiùs reponet, ægroq; longè minorem molestiam affert, si priusquam locus intumuerit, articulus recondatur. Omnes item recondendi articuli antè emolliri & dimoueri debent. Sic enim faciliùs reuerti solent. In omnibus autem articulorum repositionibus imperanda abstinentia est, præcipuè quidem vbi maximi sunt & repositu difficilimi articuli, minimùm verò vbi minimi & qui facilè reconduntur.

καταστάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ τῶν παρεόντων ὅ,τι εὔπορον εὑρίσκειν. τοῦτο μὲν ἢν τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρείη τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ' ἢ σιδήρεα, ἢ ὅπλα, ἢ σχοινία ταινίῃσι χρὴ ἢ ἐρρήγμασι ξυλίοισι ἐρινεοῖσι περιελίσσειν ταύτῃ μάλιστα, εἰ μέλλοι τὰ δεσμὰ καθέξειν καὶ ἐπὶ ἐπιπλέον. ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι. τοῦτον δὲ ἐπὶ κλίνης χρὴ, ἥ τις ἰσχυροτάτη καὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν ἄνθρωπον. τῆς δὲ κλίνης τοὺς πόδας, ἢ τοὺς πρὸς κεφαλῆς, ἢ τοὺς πρὸς ποδῶν, ἐρηρεῖσθαι πρὸς τὸν οὐδὸν, εἴ τε ἔξωθεν ξυμφέρῃ, εἴτε ἔσωθεν. παρὰ δὲ τοὺς ἑτέρους πόδας παρεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα. καὶ ἢν μὲν λεπτὸν ἐῇ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν δὲ παχὺ ἐῇ, μηδέν. ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν, καὶ τῶν πρὸς τῆς κεφαλῆς, καὶ τῶν πρὸς τοῦ ποδῶν, προσδῆσαι ἑκατέρας πρὸς τὸ ὕπερον, ἢ πρὸς ἄλλο τι τοιοῦτον ξύλον. ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα, ἢ καὶ ὀλίγον ἀνωτέρω. ξυμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα ὡς ὀρθὰ ἑστεῶτα, τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρειδὲν, τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον. κἄπειτα οὕτω τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιεῖσθαι. ἀρκέει δὲ κλῖμαξ ἰσχυροὺς ἔχουσα τοὺς κλιμακτῆρας ὑποτεταμένη ὑπὸ τὴν κλίνην, ἀντὶ τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν προσερηρεισμένα, οὕτω τὴν κατάτασιν ποιεῖσθαι τῶν δεσμῶν. ἐμβάλλεται δὲ μηρὸς καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ, καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα, ἐπικαθῆσαι τὸν ἄνθρωπον. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι ὅκου ἂν ἁρμόσῃ. ἐκ δὲ τοῦ σιναροῦ, εἰς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι, ἢ ἐς σφυρίδα λίθους ἐμβάλλοντας. ἕτερος τρόπος ἐμβολῆς. ἢν ἐς τὸ εἴσω ὀλισθῇ, σφωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων, ὕψος ἔχοντα συμμέτρως. προσεχέτω δὲ τοῦ σφωτῆρος κατὰ τὸ ἐν μέρος ὁ νοσέων, ὅκως τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον, ἐπικαθῆσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προσεχὲς τοῦ σφωτῆρος. εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν στύλον πλατεῖ τινί. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται. ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει, ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν οὖν δεῖ εἰδέναι, ὅτι πάντων τῶν ὀστέων αἱ ξυμβολαί εἰσιν ὡς ἐπιπολὺ ἡ κεφαλὴ καὶ ἡ κοτύλη. ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος. ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσί. ἀεὶ δὲ ἐμβάλλειν δεῖ, πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς παραχρῆμα ἔτι θερμῶν ἐόντων. εἰ δὲ μὴ, ὡς τάχιστα. καὶ γὰρ τῷ ἐμβάλλοντι ῥήϊτερον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν. καὶ τῷ ἀσθενέοντι πολὺ ἀπονωτέρη ἡ ἐμβολὴ, ἢ πρὶν διοιδεῖν ἐστί. δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα ὁπόταν μέλλῃς ἐμβάλλειν, προσαναμαλάξαι καὶ διακιγκλίσαι. ῥᾶον γὰρ ἐθέλει ἐμβάλλεσθαι. παρὰ δὲ πάσας τὰς τῶν ἄρθρων ἐμβολὰς, ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι. ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα καὶ ῥήϊστα.

A 37 ἢν δὲ ἐς τὸ ἔμπροσθεν] Paulus apertissimè hunc luxationis modum sic exprimit: ἐπὶ δὲ τῶν ἐπὶ τὰ ἔμπροσθεν ἐξηρθρηκότων, κατακειμένου τοῦ ἀνθρώπου, ἀνήρ τις ἰσχυρὸς τὸ θέναρ τῆς δεξιᾶς χειρὸς ἐπὶ τοῦ πεπονθότος ἀποθέμενος βουβῶνος, τῇ ἑτέρᾳ συμπιεζέτω, ἅμα τι ἐπὶ τὰ κάτω καὶ πρὸς τὸ γόνατι ποιούμενος τὴν ὤθησιν. Celsus verò in hac luxatione eundem ferè restituendi modum his verbis refert: Neruis extentis vbi in priorem os venit, rotundum aliquid super inguen ponendum, subitoque super id genu adducendum est eodem modo eadémque de causa, qua idem in brachio fit, protinúsque si complicari femur potest, intus est. Sic enim legendus mihi locus ille videtur.

τὴν ὀκκρέμασιν πιέεται] ποιέηται cum interpretibus omnibus lego.

38 εὐδοκιμέει δὲ καὶ ὁ πιεχθεὶς] ἀπορηθεὶς legisse videtur Vidius contra omnium, quos adhuc videre licuit, codicum fidem.

ἐπισεῖσθαι μὲν οὖν χρὴ] Nos hîc publicatorum & manu scriptorum codicum consensum secuti sumus.

ἔπειτα ἐς ἕνα τῶν πολλῶν τὸν λελυμένον] Sic legunt exemplaria omnia. Intelligitur autem pars vtris soluta cùm aliæ omnes vinctæ sint, B ne flatui exitus pateat. Quidam τῶν ποδῶν legunt, vt vtris pedes intelligantur partes extantes, quæ etiam constringuntur ad flatum retinendum, vna libera & soluta ad immittendam follis fistulam.

καὶ ξύμμηροι] ξύμμηροι sunt femora quæ superiore parte carnosiora prope se contingunt ac inter se coëunt, femora in sese contracta. συμμήροις opponuntur οἱ διαβεβηκότες, qui diducta habent femora. ὑπόξηροι verò dicuntur extrema parte tenuata & in angustum tendentia femora. Sic ὑπόξηρα Galenus vocat τὰ πέρατα τῶν κώλων στενώτερον ἔχοντα τὸ εὖρος, Comment. in libro de Fract.

ἀλλ' ἐπὴν ἰσχνὰ ᾖ] ἰσχναὰ legunt codices manu scripti cum Asulano, quam lectionem secutus est Caluus, sed ἰσχνὰ malim, vt sit, vbi inflammationis tempus præteriit, quo tempore, quæ per inflammationem intumescebant partes, dolore irritata fluxione, subsidunt & gracilescunt, eoq; etiam tempore ossa laxiora & ad repositionem accommodata magis existunt, vt scribitur lib. de fract. ἐν γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρεληλύθει, ἢ τὰ ὀστέα χαλαρὰ ἢ εὔθετα κατὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. Hic verò locus ad eos spectat qui primis diebus dolorem mitigantibus medicamentis ad fracturas vtebatur, tertio verò aut quarto die distensionem & deligationem accommodabant, quam curationis rationem improbat Hippocrates lib. de fract. ἥκιστα γὰρ χρὴ (vt scribit) τῇ τρίτῃ καὶ τῇ τετάρτῃ συγκλείειν τὰ πρήγματα, ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, καὶ μηκώσιας δὲ πάσας φυλάσσεσθαι χρὴ, ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, καὶ ὁκόσοισιν ἄλλοισι ῥώμασιν ἡρέθισαι. τὸ ἐπίπαν γὰρ ἡ τρίτη ἢ τετάρτη ἡμέρη ἐπὶ τοῖσι πλείστοισιν τῶν ῥωμάτων τίκτει τὰς παλινδρομίας, καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ, ἢ ὅσα αὖ ἐς πυρετοὺς ἴει. ἢ μάλα πολλοῦ ἄξιον τοῦτο τὸ μάθημα, εἴπερ τι καὶ ἄλλο. Codices verò manuscripti Regij αὐθημερινὰ pro αὐθημεραῖα habent.

ἡ δ' ἐμβολὴ] Istam per vectium molitionem repositionem exponit Hippocrates lib. de fract.

ἢν μὴ ἔχῃ ἀποστήριξιν] ἀποστήριξιν vocat, firmam sedem vbi ossa firmari aut recondi nequeunt, & aliquid repositionem impedit, aut vbi ossa subleuantur, & subnascente carne multoque redundante pure fluctuant, quod in discessuris ossibus manifestum est. ἐν γὰρ καὶ ἀποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν, αὗται μετεωρίζουσιν τὰ ὀστέα, ὡς ἐπὶ τὸ πολύ. Deciduorum verò ossium causas explicat lib. de fract. his verbis: ἀποσπᾶται δὲ τὸ ὀστέον ἐξέχον ἐπὶ τῶνδε τῶν προφασίων χρὴ, ἢν μὴ δύνηται ἐμβιβάζειν. μικροῦ δὲ τινος αὐτοῦ δοκεῖ δεῖν παρῆχθαι, καὶ οἷόν τε ἦ παρεῖναι, ἢν ἀπρεπὲς ᾖ καὶ θραύον τι τῶν σαρκίων καὶ δυσκαταστασίην παρέχῃ. ψιλὸν δὲ τυγχάνῃ ἐὸν, καὶ τὸ τοιοῦτο ἀφαιρέειν χρὴ.

ἀτὰρ καὶ ὡς τὰ ψιλωθέντα] Nudata ossa discedere opus est: ἀφίστασθαι δὲ χρὴ (vt scribitur lib. de fract.) ὅτι περ αἱ ἄσκη βραχύτερα τὰ σώματα ταύτῃ γίνεσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα ἢ περιμαλαγμένα ἰσχύει, καὶ οἷς ὅλως καὶ ὁ κύκλος τοῦ ὀστέου ἀπῇσι.

τὰ δὲ ἄρθρα] Articulorum luxationes non paruo discrimine inter se discrepant, dum magis & minùs contingunt, quippe cùm aliæ multùm præter naturam, aliæ parum recedant, magisque & minùs alterutræ id patiantur. Integer verò locus scribitur lib. de artic. qui alioqui hîc diminutus videtur. ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρέεσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα, ἀνίσως αὐτὰ ἑωυτέοισι ἐκπίπτει καὶ ὀλισθάνει, ἄλλοτε μὲν πολὺ πλείονα, ἄλλοτε δὲ πολὺ ἐλάσσονα. καὶ οἷσι μὲν ἂν πολὺ πλέον ὀλισθῇ ἢ ἐκπέσῃ χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί. καὶ ἢν μὴ ἐμβιβασθῇ, μέζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ σχημάτων. ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλισθῇ, ῥήϊδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ὀστέων γίνεται.

μηροῦ δὲ καὶ βραχίων] Humeri & coxæ articulus simili inter se modo excidunt, & cùm eorum articulorum capita globosa ac rotunda, in cauitates orbicularibus superciliis circundatas inserantur, in iis luxationem omninò, non subluxationem fieri necesse est. Necesse enim est, vt statim vbi è cauitatibus aliquo modo excidunt, extra ipsas omninò elabantur. Sed tamen in his quoque contingit, vt modò multum, modò parum, præter naturam articuli excedant. Istud sic scribitur lib. de fract. τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὅτε μὲν μεῖον, ὅτε δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώτατα ὀλισθάνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη. αἱ γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι, ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι, αἱ δεχόμεναι τὰς κεφαλὰς, ἁρμόζουσαι δὲ τῇσι κεφαλῇσι, διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου. ὀλισθάνοι γὰρ ἂν διὰ τὴν περιφερείην ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ εἴσω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΛΚΩΝ.

HIPPOCRATIS LIBER DE VLCERIBVS.

Ἕλκεα ξύμπαντα οὐ χρὴ τέγγειν, πλὴν οἴνῳ. ἢν μὴ ἐν ἄρθρῳ εἴη τὸ ἕλκος. τὸ γὰρ ξηρὸν τοῦ ὑγιέος ἐγγυτέρω ἐστὶ, καὶ τὸ ὑγρὸν τοῦ μὴ ὑγιέος. τὸ γὰρ ἕλκος, ὑγρόν ἐστι. τὸ δὲ ὑγιὲς, ξηρόν. ἀνεπίδετον δὲ ἐᾶν ἄμεινόν ἐστιν, ὅτι γε μὴ καταπλάσσεται. οὐδὲ καταπλάσσειν ἐνδεχόμενόν ἐστιν ἔνια τῶν ἑλκέων. μᾶλλον δὲ τὰ νεότρωτα τῶν παλαιοτέρων, καὶ τὰ ἐν τοῖσιν ἄρθροισιν. ὀλιγοσιτέειν τε ὡς μάλιστα καὶ ὕδωρ ξυμφέρει πᾶσι τοῖσι ἕλκεσι. μᾶλλον δὲ τοῖσι νεωτέροισι τῶν παλαιοτέρων. καὶ ὅ,τι ἄλλο φλεγμαίνει ἕλκος, ἢ μέλλει. καὶ ὅ,τι σφακελίσαι κίνδυνος. καὶ τοῖσιν ἕλκεσι καὶ φλέγμασι τοῖσιν ἐν τοῖσιν ἄρθροισι. καὶ ὅκου σπασμὸς γενέσθαι κίνδυνος. καὶ τοῖσιν ἐν κοιλίῃ τρώμασι. πάντων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ καὶ μηρῷ κατεαγεῖσι, καὶ ἄλλῳ ὅτῳ κάτηξις γένηται. ἑστάναι δὲ ἐν τῷ ἕλκει ἥκιστα ξυμφέρει. καὶ μᾶλλον ἢν ἐν τῷ σκέλει ἔχῃ τὸ ἕλκος. ἀλλ' οὐδὲ καθῆσθαι οὐδὲ περιέρχεσθαι. ἡσυχίη δὲ καὶ ἀτρεμίη ξυμφέρει μάλιστα. τὰ δὲ νεότρωτα ἕλκεα πάντα ἥκιστα ἂν φλεγμαίνοιεν αὐτά τε καὶ τὰ περιέχοντα. εἴ τις διαπυήσει ὡς τάχιστα. καὶ τὸ πῦον μὴ ἀπολαμβανόμενον ἀπὸ τοῦ ἕλκεος τοῦ στόματος ἴσχοιτο. ἢ εἴ τις ἀποτρέπει ὅκως μὴ δὲ μελλήσει διαπυῆσαι, πλὴν τοῦ ἀναγκαίου πύου ὀλιγίστου. ἀλλὰ ξηρὸν εἶναι ὡς μάλιστα φαρμάκῳ μὴ περισκελέϊ. πυρῶδες γὰρ γίνεται ἐπὴν φρίκη ἐγγένηται. καὶ σφυγμός. φλεγμαίνει γὰρ τὰ ἕλκεα τότε, ὁκόταν διαπυῆσαι μέλλῃ. διαπυεῖ δὲ ἀλλοιουμένου τοῦ αἵματος καὶ θερμανθέντος, ἕως σαπὲν πῦον γένηται τῶν τοιούτων ἑλκέων. ὅταν δοκέῃς δεῖσθαι καταπλάσιος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν. ἀλλὰ τὰ περιέχοντα. ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα μαλαχθῇ. τῶν δὲ ἑλκέων, ὅταν μὲν ἂν ὀξέϊ βέλει διατμηθῇ ἢ διακοπῇ, ἐνδέχεται ἔναιμον φάρμακον. καὶ τὸ κωλῦον διαπυεῖν ἀναξηραῖνον τι. ἢ τις ὑπὸ τοῦ βέλεος ἐφλάσθη καὶ ἐκόπη σάρξ. ταύτην δὲ ἰητρεύειν, ὅκως διάπυος ὡς τάχιστα γένηται. ἧσσόν τε γὰρ φλεγμαίνει, καὶ ἀνάγκη τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας, καὶ σαπείσας, καὶ πῦον γενομένας, ἐκτακῆναι. ἔπειτα βλαστάνειν νέας σάρκας. ἕλκεϊ νεοτρώτῳ παντὶ πλὴν ἐν κοιλίῃ ξυμφέρει, αἷμα ποιέειν, ἀπορρέειν πυκνὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων τῶν περιεχόν-

VLCERA quæcunque ea sint, præter quàm vino madefieri nō debent, nisi si articulos vlcus occupet. Quod enim siccum est ad sanum, quod humidum ad vitiatum propiùs accedit. Est namque vlcus humidum, sanum autem siccum. Præstat autem vinculo abstinere, nisi certè vbi cataplasma imponitur. Neque in quibusdam vlceribus cataplasmate vti licet, idque magis in recentibus quàm vetustis, & iis quæ articulos occupant. Paucus autem cibus & aquæ potio quàm maximè omnibus vlceribus, magis tamen recentibus quàm vetustis confert, tum sicubi in vlcere inflammatio adest, aut metuitur, aut vbi periculum est ne quid vitietur, vel cùm articuli vlcera inflammatione tentantur, aut vbi conuulsionis metus impendet, & venter vulnus accepit: tum verò vel maximè, si caput & femur, vel quæuis alia pars fracturam senserit. Stare autem vlceri minimè conuenit, idque præsertim si in crure vlcus sit, immò neq; sedere, neque ambulare. Verùm quies & ocium plurimùm conducunt. At recentia vlcera omnia, tum ipsa, tum ambientes partes, minimè inflammatione tentantur, si quis quàm celerrimè ad suppurationem adducat, neque pus vlceris osculo interceptum supprimatur, aut si quis inhibeat ne ad pus nisi necessarium idque paucissimum deueniant, sed quàm maximè siccet medicamento non molesto. Igneum namque feruorem concipiunt, vbi horror ac pulsatio accesserit. Inflammatione siquidem tunc vlcera tentantur, ad suppurationem tendunt. Suppurant autem alterato & calefacto sanguine, ita vt putrefactus in huiusmodi vlceribus in pus conuertatur. At vbi cataplasmate opus esse visum fuerit, non ad ipsum vlcus, sed ad ambientes partes admouendum, quò via puri fiat, & quæ induruerunt emolliantur. Quod verò vlcus acuto telo incisum aut dissectum fuerit, medicamentum quod cruentis protinus imponitur, (ἔναιμον Græci vocant) & siccans quoddam quod suppurare vetet, admittit. Quæ caro à telo collisa aut cæsa est, ea ita curanda est, vt quàm celerrimè in pus vertatur. Nam cùm minùs inflammatione tentetur, tum necesse est carnes quæ collisæ cæsæque sunt, putrefactas & in pus versas tabescere, deinde nouas carnes renasci. Omni recens facto vlceri, præter quàm si in ventre sit, ex eo ipso vulnere sanguinem statim plus minúsve effluere expedit. Nam tum ipsum vlcus, tum quæ ipsum ambiunt partes, minùs inflammatione vexantur. Quin & ab inueteratis vlceribus vt crebrò sanguis effluat, prout opportunum videbitur, tam ab ipsis vlceribus quàm à cir-

cumstantibus vlcus partibus, efficere conducit, tum præcipuè si in crure, aut pedis, aut manus digito vlcus sit, magis quàm in alia corporis parte. Exhausta enim sanguinis effluxu, ficciora ac minora euadunt. Eiusmodi nanque vlcera præcipuè quidem sanescere prohibet, tum demum verò reliqua etiam omnia, sanguinis putredo, & quod ex sanguinis mutatione est ortum. Post sanguinis effluxum, in his vlceribus spongiam densam, mollem, incisam, ficciorem, non humidiorem alligare conducit, aut spongiæ folia gracilia superimponere. Oleum verò & quæcunque mollitudinem & olei vim habent medicamenta, huiusmodi vlceribus minimè conferunt, nisi iam prorsus ad sanitatem tendant. Neque recentibus vlceribus oleum, neque mollia, neque pinguia medicamenta conueniunt, tum vel maximè cum vlcus copiosiore purgatione indigeat. Atque, vt vno verbo dicam, olei litu tum æstate, tum hyeme, ad ea quæ huiusmodi medicamenta requirunt, vtendum.

τὸ ἕλκος. δηλῶς τε καὶ ἢν ἐν κνήμῃ ἔῃ τὸ ἕλκος, ἢ ἐν δακτύλῳ ποδὸς, ἢ χειρός. μᾶλλον ἢ ἄλλοθί που τοῦ σώματος. γίνεται γὰρ ἀπορρέοντος τοῦ αἵματος, ξηρότερα καὶ μείονα ἰσχναινόμενα. κωλύει μὲν γὰρ μάλιστα τὰ τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι. ἔπειτα δὲ καὶ τὰ σύμπαντα αἵματος σηπεδὼν, καὶ τὰ ἐξ αἵματος μεταστάσιος γινόμενα. ξυμφέρει δὲ μετὰ τὴν τοῦ αἵματος ἀπόρροιαν, ἐπὶ τῶν τοιούτων ἑλκέων, καὶ σπόγγον ἐπιδεῖν, πυκνὸν καὶ μαλθακὸν τετμημένον, ξηρότερον ἢ ὑγρότερον. ἢ ἐπὶ τῷ σπόγγῳ ἄνωθεν φύλλα ἰσχνὰ τίθεσθαι. ἔλαιον δὲ καὶ ὅσα μαλθακώδεα, ἢ ἐλαιώδεά ἐστι φάρμακα, οὐ ξυμφέρει τοῖσι τοιούτοισιν ἕλκεσιν, ἢν μὴ πάνυ ἤδη πρὸς ὑγιείην τείνῃ. οὐδὲ τοῖσι νεοτρώτοισιν ἕλκεσι ξυμφέρει ἔλαιον, οὐδὲ μαλθακώδεα, οὐδὲ στεατώδεα φάρμακα. δηλῶς τε καὶ ὅτι αἰεὶ δέηται ἕλκος πλείονος καθάρσιος. τὸ δὲ ξύμπαν εἰπεῖν, ἐλαίῳ τὴν χρίσιν ποιέεσθαι, καὶ ἐν θέρει καὶ ἐν χειμῶνι, πρὸς ἃ τῶν τοιούτων φαρμάκων δεόμεθα.

ἕλκος cùm dicatur * Galeno omnis in quacunque parte ex erosione continuitatis solutio, præter eam quæ in osse fit, & τρῶσις nominatur, hoc libro omnium vlcerum curatio, tam eorum quæ causa interna, quàm quæ causa externa excitauit, comprehenditur, Quibus peculiare nomen τραύματος imponitur, etsi sæpe τραῦμα & ἕλκος in eandem appellationis notionem incidunt, ac eam quæ in carne fit vnitatis solutionem significant. Cuius certè omnis curatio propriè hoc libro continetur, & à Galeno libro 3. & 4. Meth. medendi explicatur. Quanquam non desunt qui existiment, hîc recentium, vt libro de vulneribus, inueteratorũ & diuturnorum vlcerum curationem institui, his verbis inducti, quæ ex veteribus membranis Galeni Exegesi adscribuntur, ἕλκεα ἐν τῷ περὶ ἑλκῶν τὰ πρόσφατα Ἱπποκράτης καλεῖ, ἐν δὲ τῷ περὶ τραυμάτων καὶ βελῶν, τὰ χρόνια. Quæ etiam verba ex Scholio quodam in manu scriptis membranis huc adscribuntur. At vlcerum in vniuersum curationem proponit Hippocrates libro 1. περὶ γυναικείων, & paucissimis verbis comprehendit, ἰῆσθαι δὲ τὰ ἕλκεα, ἀφλέγμαντα χρὴ ποιέειν, καὶ ἀνακαθαίρειν, καὶ ἀναπιμπλάναι, καὶ εἰς ὠτειλὰς ἄγειν, διδόναι δὲ ὕδωρ πίνειν. οἶνον δὲ μή. σιτία παχέα. πολλὰ δὲ μή. Quæ sanè verba velut ἐν τύπῳ proposita, in hac vlcerum curatione imprimis sunt animaduertenda. Hunc autem esse germanum Hippocratis fœtum res ipsa clamat, & Galeni monimenta testantur, qui in hunc librum à se scriptos Commentarios sæpiùs inculcat, ac integros ex eo locos libris Methodi medendi explicat. Idem quoque scribit Com. 4. in lib. de artic. hoc in libro curationis scopum ad siccitatem non adeo intendi, vt quæ libro de capitis vulneribus instituitur, ficciorem tamen hîc conuenire, quàm quæ fracturis debeatur. Hunc etiam libellum Erotianus in χειρουργικοῖς numerat, & post libros de artic. collocat.

Lib. de Constit. art.

[1] ἕλκεα ξύμπαντα] Hîc vlcus solum & ἀσυνθετον primùm curandum suscipitur, eiusque sanandi prima indicatio proponitur. ἕλκους γὰρ ᾗ ἕλκος ἐστὶν ἴαμα, τὸ ξηραίνεσθαι μετρίως, vt scribit † Galenus. ᾗ ἕλκος autem addit, vt solius & simplicis vlceris hîc curationem ab Hippocrate institui intelligamus. Est autem vlcus solum ab omni alio affectu liberum, neque vllum symptoma habet adiunctum, & vlcus tantùm est, cui nec cauitas adest, nec dolor, nec sordes, quodque ipsum tantum vlceris sanationem desiderat, cuius (vt scribit † † Galenus) scopus est ἕνωσις, ἢ κόλλησις, ἢ σύμφυσις, ἢ συνέχεια. Quod certè probè præstare vinum potest, quod adstringit & siccat. Est igitur vinum (vt scribit † † † Galenus) ἄριστον φάρμακον ἑλκῶν ἁπάντων ᾗ ἕλκη. Quale autem vinum esse debeat, nempe nigrum & adstringens, ac substantia crassum, indicat Galenus Com. 3. in lib. de fract. & Com. 4. in lib. de artic. vbi etiam in luxationibus cum vlcere, plagulas vino imbutas, aut humidum ceratum adhibet Hippocrates, lanasque sordidas vino & oleo imbuendas, iisque hyeme tepidis perfundendas consulit. τέγγειν autem & ἐπιτέγγειν ἐπιβρέχειν exponit Galenus Com. 4. in librũ de artic. quod est madefacere, perfundere, irrigare. At verò libro de vulner. cap. capitis vlcera scribit, οὐ χρὴ τέγγειν οὐδενὶ, οὐδὲ οἴνῳ. Hoc porro initium explicat Galenus lib. 4. Meth. med.

† *Lib. 4. Meth.* † † *Lib. 3. Meth.* † † † *Lib. 3. Meth.*

τὸ γὰρ ἕλκος ὑγρόν] Demonstratio est ex rei natura vlcus siccantibus indigere. Vlceratæ nanque partes madent, sana & integra cutis sicca est. Ideoque cùm sicca sint quæ sana sunt, siccantibus quæ vlcerata sunt curanda. Quam senis mentem non assecutus videtur Caluus, cùm dixit humidum vlcus sanum non esse.

οὐδὲ καταπλάσσειν ἐνδεχόμενον] Cataplasma cùm leniat, relaxet, pus moueat & resoluat, quibusdam vlceribus ac præcipuè recentibus quæ glutinationem postulant, non admouendum. Et quemadmodum in aure fracta, πάντων καταπλασμάτων, πάσης τε μοτώσιος ἀπέχεσθαι præcipit Hippocrates libro de Fract. sed vel ea medicamenta quæ cruentis adhibentur admouet, vel aliquo alio medicamento mediocriter exiccante curationem aggrediendam præcipit: ita certè in vlceribus quæ siccari postulant, cataplasmate abstinendum. Cataplasmata enim humores superuacuos præcipueque lentos & crassos concludunt, & digeri prohibent. Eadem quoque vt χαλεπὰ & βαρύτατα, & φλαῦρα & ἀποστατικὰ, & μύξας τε ὑποποιέοντα πλείω, χάρτιστα ἐκπυήσιας ἀσηρὰς, cauet [a] Hippocrates. Idem [aa] quoque in fracturis cum vlcere, cataplasmata quę ob inflammationem admouentur, ob inutile pondus, velut incommoda respuit. Cataplasmata autem ea intelligenda, quæ ex oleo, farina & aqua composita, relaxant & resoluunt, partemque quodammodo emolliunt ac effœminant. Alioqui certè lentem ex farina subactum quod siccat & lene est nari & auri fractæ cataplasmate adhibet Hippocrates. Et Galenus similia ferè cataplasmata, quæ ex alica, aceto quoad intumescat, macerata, deinde trita, in palæstra adhibentur, probat Com. 2. in lib. de artic.

[a] *Lib. de Artic.* [aa] *Lib. de Fract.*

καὶ τὰ ἐν τοῖσιν ἄρθροισιν] In articulis cataplasmata cùm emolliant & laxent, non probantur, sed eorum curatio exiccantibus perficitur. Ideoque Hippocrates lib. de artic. ad eorum curationem ea præcipuè ἔναιμα admittit, quæ cùm post longius tempus soluantur, irrigari inter solutiones queunt, qualia sunt, quæ magnam vim exiccandi habent. ὀλιγημερώτατα verò τῶν ἐναίμων, & ὅσα ἰσχὺν ἀγκαταλαμβάνει), vt minùs idonea, cauet. Sic quoque in articulorum curatione, non tantùm cataplasmate, sed omni prorsus vinculo quod appressum & pondus inducit, abstinendum censet his verbis, καταδεῖν δὲ μηδὲν μηδενὶ, μηδὲ περιπλάσσειν. εὖ γὰρ εἰδέναι χρὴ ἐκ πάντων τῶν ἀχθοφορεῖν παν κακὸν τοῖσι τοιούτοισιν ἐστιν.

A καὶ ὅ, τι ἄλλο φλεγμαίνῃ ἕλκος] Ex inflammationis magnitudine oritur gangræna, ex qua deinde σφάκελος & puris corruptio, vt scribit Galenus Com. 4. in lib. de artic.

καὶ φλέγμασι] Articulorum vlcera, ac præcipuè quidem, si luxatio aut fractura adsit, inflammatione, gangræna & conuulsione periclitantur, quibus inedia & vini abstinentia consulendum. φλέγμα autem hîc, vt & aliàs in Progn. flammeum ac igneum præter naturam calorem significat. θερμασίαν τινὰ ἐπιφανῆ exponit Galenus. οὐ γὰρ δὴ τὸν χυμόν γε τὸν φλεγματικὸν ἡγεῖσθαι χρὴ νῦν ὑπ' αὐτοῦ λέγεσθαι, κατὰ τὴν λέξιν ἐν ᾗ φησιν. οἷς δὴ ἂν κατὰ τὸ ὑποχόνδριόν τι φλέγματος ἐγγίνεται. πολλῷ γὰρ ἄμεινον ἀκούειν ἐπὶ τῆς παρὰ φύσιν θερμασίας τῆς φλογώδους εἰρῆσθαι τὸ φλέγμα. Idem quoque φλέγμα τὴν φλόγωσιν indicare scribit in Exegesi, οὐ μόνον τὸν χυμὸν τοῦτον τὸν λευκὸν καὶ ψυχρόν, de quo agitur amplissimè lib. 2. de differ. feb.

καὶ οἷσιν ἐν κοιλίῃ τρώμασι] Hîc κοιλίη, vt & postea, ex Galeni explicatione venter tum superior, qui thorace, tum inferior, qui abdomine circumscribitur, intelligitur. Non paruum autem periculum adferunt tum thoracis tum ventris vulnera, ac præcipuè si B quod interiorum viscerum sit vulneratum.

καὶ οἷσιν ἐν κεφαλῇ καὶ μηρῷ κατεαγεῖσι] In capitis fracturis, propter partis præstantiam, in femore autem, propter ossis magnitudinem, inflammationis metus impendet, ideoque victus tenuis imperandus. Sic lib. de Fract. vbi magna ossa, vt brachij & femoris, fracta sunt & cute eminent, in biliosis naturis mellam aqua dilutam imperat Hippocrates: In aliis verò naturis aquæ potum consulit. Ac si febris adsit, in ea victus ratione diebus quatuordecim, sin minùs, diebus septem perseuerandum monet. Ad summum, in fracturis cum vlcere, tenuem victus rationem multis diebus imperat, tum verò vel maximè si ossa magna fracta sint aut cute emineant. τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι, οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίγνεται, καὶ οἷσιν ὀστέα ἐξίσχει, καὶ τὸ ξύμπαν δὲ εἴρηται, ὅτι τοῖσιν ἰσχυροτάτοισι τρώμασιν ἀκριβεστέρην καὶ πολυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.

ἑστάναι δὲ ἐν τῷ ἕλκει.] Stare & sedere vlceribus inimica sunt, quòd motus sint. Multa nanque ad sensum immota videntur, quæ moueantur tamen. Quod indicat Galenus libro de tremore & palpit. vbi hunc locum his verbis explicat, τοῦτ' οὖν καὶ Ἱπποκράτης διδάσκει εἰπών. ἑστάναι ἕλκεσιν ἥκιστα συμφέρει, καὶ ἄλλως, ἢν ἐν σκέλει ἔχῃ τὸ ἕλκος. οὐδὲ καθῆσθαι. οὐδὲ πορεύεσθαι. ἀλλὰ ἡσυχίην ἔχειν καὶ ἀτρεμίζειν μάλιστα συμφέρει. τὸ γὰρ ἀτρεμίζειν καὶ ἡσυχάζειν, ὡς ὠφελοῦν, ἐπαινεῖ. τὸ δὲ ἑστάναι καὶ καθῆσθαι φησὶν ἥκιστα συμφέρειν, ἕτερόν τι τοῦ ἀτρεμίζειν καὶ ἡσυχάζειν ὑπάρχον. ἐπιπονεῖ γὰρ καὶ τόθ' οἱ μύες βαστάζοντές τε καὶ ἀπὸ τῆς γῆς ἐξαίροντες, καὶ ὀρθοῦντες τὸ σῶμα. διὰ τοῦτο, τοῦ περιπατεῖν οὐδὲν ἧττον τὸ ἑστάναι κοπῶδες, ὡς ἂν καὶ αὐτὸ κίνησις ὄν.

C τὰ δὲ νεότρωτα] Hîc etiam primam omnium sanandorum vlcerum indicationem proponere videtur, nempe exiccationem, atque indicare velle ea omnia vlcera recentia siccari oportere, præter ea in quibus caro collisa est, & quàm celerrimè in pus verti debent. Quæ cùm ad suppurationem per medicamenta calida & humida, qualia sunt cataplasmata, ducantur, exiccationi maximè repugnant. Siccari autem maximè postulant, quæ sine contusione partes vulneratæ sunt, vt etiam postea dicet. Atque ea curatio, vt vlceris propria, maximè inflammationem arcet, si per medicamenta siccantia & quæ pus auertant fiat. Soli nanque ij partium affectus siccandi sunt, in quibus pus fieri prohibemus. Quod etiam postea contendit Hippocrates, eamque sententiam probat D Galenus lib. 4. Meth. In qua certè explicanda, quòd admodum sit obscura, mirum in modum se torquent nonnulli. Mihi certè simplex omninò notio probatur, vt vlcera recentia in quibus pus quàm celerrimè mouendum sit, minimè inflammatione tententur, tum etiam ea in quibus nullæ partes contusæ sunt, ideoque ab his suppurantia summouemus, nec nisi paucum & necessarium pus habent, sed siccantibus medicamentis nutriuntur, maximè idoneis, non asperis aut mordentibus, sed blandis & lenibus: Id enim περισκελὲς φάρμακον significat Galeno lib. 2. Curat. ad Glauconem, vbi huius quoque loci notionem his verbis adumbrat, ἐν δὲ τῷ καθόλου. τοῦτό σε γινώσκειν χρή, παντὸς ἕλκους, εἴτ' αὐτομάτως, εἴτ' ἀπὸ συμπτώματος, εἴτε καὶ τρωθεῖσιν εἴη γεγενημένον, ὡς ξηραίνεσθαι μὲν ἀεὶ βούλεται. φαρμάκῳ δὲ ὡς Ἱπποκράτης φησὶ μὴ περισκελεῖ, τουτέστι μὴ δάκνοντι, μήτ' ἐρεθίζοντι σφοδρῶς, πλὴν ἢ κακόηθές τε καὶ μετὰ σήψεως εἴη. Est & περισκελὴς σκληρός, δυσχερὴς Hesychio, & durum, asperum, intractabilem & molestum significat. Quò magis miror quòd de medicamento vinculum non postulante & de periscelide hîc multa adfert Vidus, & locum istum accipit, aut quòd de crure nescio quid hîc nugatur Caluus. Ea enim Galeni explicatio mihi vel proximè Hippocratis mentem exprimere videtur.

E πυρώδης γὰρ] Istud indicat solam & verè propriam esse vlcerum curationem quæ per siccantia non pus mouentia instituitur, quòd pus μετὰ σήψεώς τινος γίνεται (vt loquitur *Galenus) quæ siccitati maximè repugnat. Putrescentia nanque & suppurantia à calido & humido ita affecta sunt. Cùm autem in puris ex sanguine generatione, pars ferueat & inflammatione tentetur, ac pulset ex aph. 21. lib. 7. necesse est tum dolorem ac vehementem febrem accedere, ex aph. 47. lib. 2. Quæ alteratio cùm partim à natura, partim à calido præter naturam fiat, hîc ab Hippocrate putredo, vt & Galeno Com. 1. in Progn. nominatur. Eidem tamen libro 1. de diff. feb. & lib. 5. de fac. simpl. medic. & Com. 2. in lib. de rat. vict. in morb. ac. πέψις dicitur, vt & πεπασμὸς aph. 7. sect. 3. lib. 6. Mixta autem dicitur quodammodo esse mutatio & media ex ea quæ à natura & quæ præter naturam fit lib. 5. de fac. simp. medic. vt & Com. ad aph. 47. lib. 2. ἡμιμόχθηρος μεταβολὴ vocatur. Qualis verò & quomodo alteratio in suppurantibus fiat, docet Galenus lib. 5. de facult. simp. medic. πυρῶδες autem ἕλκος idem quod πυρετῶδες significat lib. de Fract. & σφυγμῶδες ob inflammationem, quæ ex mala deligandi ratione & compressione orta est. Illic enim πυρετῶδες pro πυρῶδες dici scribit Galenus.

* *Lib. 4. Meth.*

F ὅσα δοκέεις δεῖσθαι] Cataplasmata quæ per ὠμήλυσιν fiebant, cùm calefacerent, humectarent, lenirent, emollirent, puri mouendo erant idonea, sed partibus vlcus ambientibus admouenda sunt, non ipsi vlceri, ne viam puri præcludant. Qua in re multum vulgò peccatur à nostris Chirurgis, qui etiam in omnibus vlceribus vt plurimùm puri mouendo elaborant. Quomodo autem pus mouentia emolliant, & quà ab emollientibus discrepent, docet Galenus lib. 5. de facult. simp. med.

τῶν δὲ ἑλκέων] Hunc locum bis adducit Galenus lib. 4. Meth. med. eumque explicat. Sed primo loco vitiosa sunt nostra exemplaria, vt satis patet. Hîc autem ἀναξηραίνον τι lego ex Galeno.

ἤ τις ὑπὸ τοῦ βέλεος] εἴ τις legit Galenus lib. 4. Meth. Idem verò ferè scribitur libro de vulner. capitis, cùm in vulnere capitis cum colliso statim suppurationem consulit his verbis, κακὸν δὲ καὶ ὑγρὴν τι εἶναι τὴν σάρκα ἐν τῷ ἕλκει, καὶ μυδῶσαν, καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι. ἀλλὰ χρὴ ἔμπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα. οὕτω γὰρ ἂν ἥκιστα φλεγμαίνοι τὰ περιέχοντα τὸ ἕλκος, καὶ τάχιστα καθαρὸν εἴη. ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας καὶ φλασθείσας ὑπὸ τοῦ βέλεος, ὑποπύους γενομένας, ἐκτακῆναι. ἐπειδὰν δὲ καθαρθῇ, ξηρότερον χρὴ γίγνεσθαι τὸ ἕλκος. οὕτω γὰρ ἂν τάχιστα ὑγιὲς γένοιτο ξηρῆς σαρκὸς βλαστούσης καὶ μὴ ὑγρῆς. καὶ οὕτως οὐκ ἂν ὑπερσαρκήσῃ τὸ ἕλκος. Ibidem quoque, ἀνάγκη γὰρ σάρκας τὰς φλασθείσας καὶ κοπείσας πύον γενομένας ἐκτακῆναι.

G ἕλκει νεοτρώτῳ παντί] Hunc locum hunc in modum legendum esse & restituendum ex Galeno lib. 4. Meth. med. satis patet, hicq; indicationem sanandi vlceris ab affectus natura & magnitudine desumi. Quare mirum vehementer subit codices omnes, tum manu scriptos, tum publicatos, quos adhuc videre licuit, vitiatam istam lectionem magno consensu retinuisse, eamque contagionem ad codices Italicos peruenisse, vt satis ex Caluo patet. Quonam enim alio loco quod de inueteratis vlceribus à Galeno ter affertur lib. 4. Meth. hîc verò magno errore omittitur, aptiùs collocabitur? Deinde Galenus etiam ipse statim post ea quæ de recenti vlcere dicta sunt ab Hippocrate, subiungi monet, vt cuiuis sit facile hanc lectionem integram ex his Galeni verbis elicere. ἕλκει νεοτρώτῳ παντί, πλὴν ἐν κοιλίῃ, συμφέρει ἐκ τοῦ τρώματος αἷμα ῥυῆναι αὐτίκα πλέον ἢ ἔλασσον. φλεγμαίνει γὰρ ἧσσον αὐτό τε τὸ ἕλκος, καὶ τὰ περιέχοντα. μετὰ δὲ ταύτην ἐν τῷ περὶ ἑλκῶν γεγραμμένην, ἀναμνησθεὶς ὧν ἐν τοῖς ἄλλοις ἅπασι συγγράμμασι πολλάκις ὑπέθετο, μιμητὴν ἀξιῶν εἶναι τὸν ἰατρόν, οὐ τῆς φύσεως μόνον, ἀλλὰ κἀκείνων ὅσα αὐτόματα ὠφελεῖ, σαφῶς ἂν ἤδη τὴν γνώμην εἰδείης τοῦ παλαιοῦ περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως ἐπὶ τῶν ἰσχυρῶν τραυμάτων. εἰ γὰρ δὴ συμφέρει μὲν αἷμα ῥυῆναι τοῖς τοιούτοις, οὐκ ἐρρύη δέ, τὸ λεῖπον αὐτὸν χρὴ προστιθέναι. δηλοῖ δὲ τοῦτο κἀξ αὐτῶν ὧν ἐπιφέρει.

H

συνάπτων γοῦν τῇ προειρημένῃ ῥήσει τὴν δέ φησι. καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀπορρέειν πυκνὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι, καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων, καὶ ἀπὸ τῶν περιεχόντων τὸ ἕλκος. ἐπειδὴ γὰρ προειρήκει, ἕλκει νεοτρώτῳ παντὶ ξυμφέρει αἷμα ῥυῆναι, γιγνώσκων ὡς εἰ μὴ καὶ τῶν κεχρονισμένων μνημονεύσειεν, οἰήσεταί τις ἐπὶ τῶν προσφάτων μόνων οὕτως αὐτὸν ἀποφαίνεσθαι. διὰ τοῦτο δεόντως προσέθηκε τὸ, ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ἀφαιρεῖν τοῦ αἵματος.

κωλύει μὲν γὰρ μάλιστα] ὑγραίνεσθαι legunt exemplaria omnia, tum manu scripta, tum publicè exarata, eamque lectionem secuti sunt omnes interpretes, vt sanguinis effluxus vlcera huiusmodi madescere prohibeat. Quod etsi verum est, Galeni tamen mihi magis lectio arridet, quàm hîc secutus sum, & pro ὑγραίνεσθαι ὑγιαίνεσθαι legendum esse censeo facili quidem lapsu. Eam enim quæ ab affectus κακοηθείᾳ aut malè affectæ partis natura indicatio sumitur, secutus Hippocrates, vitiosi sanguinis vacuationem ad vlceris curationem moliendam censet. Hic enim huiusmodi inueterata vlcera vel maximè sanescere prohibet, tum demum verò reliqua etiam omnia, nempe quòd putrescat & inflammationem excitet, & in pus transmutetur. Atque ea mihi videtur esse Hippocratis mens à Galeno his verbis lib. 4. Meth. explicata. καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκῶν ξυμφέρει αἷμα ποιέειν ἀπορρέειν πυκνὰ, ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. οὐ τῆς παλαιότητος δήπουθεν ἐνδειξαμένης τὴν θεραπείαν, ἀλλὰ τῆς μοχθηρίας τοῦ αἵματος. ἐπιφέρων γοῦν αὐτὸς ἐρεῖ. κωλύει γὰρ μάλιστα μὲν τὰ τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι. ἔπειτα δὲ καὶ τ' ἄλλα σύμπαντα αἵματος σηπεδὼν, καὶ ὅ, τι ἐξ αἵματος μεταστάσιος γεγένηται. Non me latet alium esse longè Interpretibus sensum, nempe omnia à putrefacto sanguine & in pus verso mala oriri. Sed hic mihi sensus ad Hippocratis mentem, proximè accedere videtur, præsertim cùm Galenum assertorem habeat, & magis sit explicatus. Adde quòd primam & generalem vlcerum sanationis indicationem, nempe exiccationem, semper ab oculos intendit.

ξυμφέρει δὲ μετὰ τὴν τοῦ αἵματος ἀπόρρυσιν] Et id quoque maximè generalem vlcerum curationem spectat. Quò etiam refert Galenus lib. 4. Meth. med. qui οὐ particulam vim negandi hîc habere scribit (vt & aliàs Com. 3. in lib. κατ' ἰητρεῖον ex Homero probat) & siccantia omnia remedia ab Hippocrate adhiberi. Nam & spongia densa, mollis, sicca, & folia gracilia, aut verbasci, aut trifolij, aut betæ, aut tussilaginis, vim siccandi habent. Hîc verò φύλλα συχνὰ Cornarius (vt postea) legisse videtur, pro ἰσχνά.

ἔλαιον δὲ καὶ ὅσα μαλθακώδεα] Hæc quoque ad curationis vlcerum summam indicationem spectant. Sunt autem hîc μαλθακώδεα, quæ mollitudinem & pinguedinem oleique naturam habent, qualia sunt lenientia & mitigantia medicamenta, in quibus pinguedines, adipes, medullæ & resinæ reponuntur. Ceram & ceratum quoque annumerat Galenus Com. 4. in lib. de artic. vbi huius etiam loci meminisse videtur. Sic quoque Galenus lib. 4. Comp. pharmac. general. μαλθακώδη φάρμακα, quæ sunt oleosi generis ab Hippocrate dicta exponit, in quibus adipes, resinas, ceram, sebum etiam & œsypum reponit, nimirum hunc quoque locum subindicans, vbi etiam ea à malacticis distinguere videtur. Capite verò 6. lib. eiusdem μαλθακώδη vocari scribit Hippocrati, medicamenta quæ innatam habent humiditatem, qualis est in pinguibus & oleosis medicamentis, & in ipso quidem oleo & aqua. Olei autem litus, tum hyeme, tum æstate, quomodo in iis quæ huius generis facultatem requirunt, adhibendus sit, docet Hippocrates, eius vsum in lanis sordidis ad luxationes cum vlcere consulens, quem etiam explicat Galenus Com. 4. in lib. de artic.

In magna vlcerum parte inferiorem partem aluum purgare conuenit, tum etiam in vulneribus capitis, & ventris, & articulorum, tum in quibus partis corruptela imminet, itemque in his quæ suturam postulant, & in his quæ exedunt & serpunt, tum alias in his vlceribus quæ inueterauerunt, & quæ deligationem postulant. At neque vbi deligatione vti, aut medicamenta vlceri imponere voles, id priùs quàm vlcus valde siccum reddideris, moliaris oportet, tum verò vtiliter imponas. Sæpiùs verò vlcus spongia abstergendum, itemq; linteum siccum & mundum crebrò adhibendum, tum demum medicamentum quod vtile videatur impositum alligandum, aut sine vinculo relinquendum. Vlceribus plærisque calidum anni tempus magis quàm hyems conducit, præter quàm iis quæ sunt in capite & ventre, magis tamen æquinoctium. Vlcera quæ neq; probè, neq; vt conuenit priùs assiduè repurgata, carnem producere incipiunt, ea plurimùm carne superexcrescunt. Quæ verò probè & vt decet repurgata, semper ad siccius, nisi sint contusa, curatione tendunt, iis ferè caro non excrescit. Quacunque ex parte os aut vstum, aut sectum, aut quauis alia ratione secesserit, in huiusmodi vlceribus cicatrices cauæ fiunt. Non repurgata vlcera, neque si inter se adducantur, coire solent, neque sua sponte coalescunt. Neque item coire solent quorum vlcus ambientes partes inflammatione vexantur, quandiu inflammatio perseuerat. Nec si quæ vlcus ambiunt nigredinem contrahant, aut sanguine putrescente, aut etiam varice sanguinis influxum suppeditante, id genus vlcera coire so[le]nt, nisi vlcus circumstantes partes sanas effeceris.

[2] Ὑποκάθαρσις τῆς κάτω κοιλίης ξυμφέρει τοῖσι πλείστοισι τῶν ἑλκέων καὶ ἐν τρώμασιν ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, καὶ ὅσα σφακελίσαι κίνδυνος. καὶ ὅσα ῥαπτὰ, καὶ τοῖσιν ἐσθιομένοισι καὶ ἑρπιστικοῖσι. καὶ τοῖσιν ἄλλως πεπαλαιωμένοισιν ἕλκεσι. καὶ ὅπη ἂν μέλλῃ ἐπιδεῖν, οὐ χρή. οὐδὲ ἐμπλάσσειν τὰ φάρμακα, πρὶν ἂν πάνυ ξηρὸν ποιήσῃς τὸ ἕλκος. τότε δὲ δεῖ προστιθέναι, ἀνασπογγίζειν δὲ τὸ ἕλκος πολλάκις σπόγγῳ. καὶ αὖθις ὀθόνιον ξηρὸν καὶ καθαρὸν προσίσχων πολλάκις. οὕτω δὲ ἐπιθεὶς τὸ φάρμακον τὸ δοκέον ξυμφέρειν, ἐπιδεῖν, ἢ μὴ ἐπιδεῖν. ἕλκεσι τοῖσι πλείστοισιν, ὥρη ἡ θερμοτέρη ξυμφορωτέρη τοῦ χειμῶνος, πλὴν τοῖσιν ἐν κεφαλῇ καὶ κοιλίῃ. μᾶλλον δὲ ἡ ἰσημερινή. τὰ ἕλκεα ὁκόσα ἂν καθαρθέντα, καλῶς τε καὶ ἐς τὸ δέον ἀεὶ, ἐπὶ τὸ ξηρότερον ποιῆται τὴν βλάστησιν. ταῦτα δὲ οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πολύ. ἣν ὁκόθεν οὖν ὀστέον ἀφίστηται, ἢ καυθὲν, ἢ πριαθὲν, ἢ ἄλλῳ τῳ τρόπῳ, τῶν ἑλκέων τούτων αἱ οὐλαὶ κοιλότεραι γίνονται. ἕλκεα οὐ κεκαθαρμένα, οὐκ ἐθέλει ξυνιέναι, ξυναγόμενα, οὐδὲ αὐτόματα ξυνέρχεται. ὧν τὰ περιέχοντα φλεγμαίνει τοῦ ἕλκεος, ἔστ' ἂν μὴ παύσηται τῆς φλεγμασίης, οὐκ ἐθέλει ξυνιέναι. οὐδὲ ὧν τὰ περιέχοντα τοῦ ἕλκεος μελαίνηται, καὶ αἵματος σηπεδόνι, ἢ καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιρροίην τοῦ αἵματος. οὐδὲ ταῦτα ἐθέλει ξυνιέναι, ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος, ὑγιέα ποιήσῃς.

[2] ὑποκάθαρσις] In vlcerum curatione affectus naturam & magnitudinem ad indicationem plurimùm valere hic locus indicat. Quem in sensum hunc locum Galenus fusissimis verbis explicat lib. 4. Meth. med. Ex quo huius loci integritas sic eruenda est. ὑποκάθαρσις τῆς κάτω κοιλίης ξυμφέρει τοῖς πλείστοισι τῶν ἑλκέων, καὶ ἐν τρώμασιν ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, καὶ ὅσα σφακελίσαι κίνδυνος. καὶ ὅσα ῥαπτὰ, καὶ τοῖς ἐσθιομένοισι, καὶ ἕρπησι, καὶ τοῖσιν ἄλλοισι τοῖσι πεπαλαιωμένοισι. τὰ ἕλκεα, καὶ ὁκοῖα δὴ ἂν μέλλῃ τις ἐπιδεῖν, ὑποκαθαίρειν τὴν κάτω κοιλίην.

καὶ ὅπη ἂν μέλλῃ] Hanc lectionem etsi vitiosissimam retinent constantissimè exemplaria omnia, tum manu scripta, tum publicata. Sed μέλλῃς aut μέλλοις ἐπιδεῖν lego.

A πλέω πᾶσιν ἐν κεφαλῇ] Quòd anni tempus æstate calidum putredinem magis & febres excitet in partibus venis, arteriis ac sanguine redundantibus, quale est caput & venter tum supremus, tum medius, in quo viscera continentur. Ideoque capitis vulneribus febris ad decimum quartum diem hyeme suboritur, eoque tempore diutiùs trahunt ægri quàm æstate, in qua febris septimo superuenit, vt scribit Hippocrates libro de cap. vulner. & testatur Paulus cap. 90. lib. 6. Neque ideo tamen vulnerum capitis curationem aëri frigido committimus, quòd frigidum cerebro & neruis sit aduersum, sed qua arte possumus in aëre calido curationem exercemus linteis calidis & ignita aut candente lamina propiùs capiti admotis.

τὰ ἕλκεα ὁκόσα] Hæc lectio omnibus in codicibus, tum manu scriptis, tum publicè exaratis est diminuta, eaque ex Galeno lib. 4. Meth. med. integra hunc in modum adscribenda: τὰ δὲ ἕλκεα ὅσα μὴ καλῶς καθαρθέντα καὶ ἐς τὸ δέον ἀεί, πρότερον ἄρξεται βλαστάνειν, ταῦτα ὑπερσαρκέει μάλιστα. ὁκόσα δ᾽ ἂν καθαρθέντα καλῶς καὶ ἐς τὸ δέον, ἀεὶ ἐπὶ τὸ ξηρότερον θεραπεύηται, πλὴν εἰ θλασθῇ, ταῦτα οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πολύ. Vlcerum autem generalem curationem nempe siccationem indicat in vlceribus cauis & sordidis, quorum curatio ad siccius sem-

B per tendere debet, præterquàm vbi caro contusa est, quam in pus conuerti necesse est. Quem in sensum hic locus exponitur à Galeno lib. 4. Meth. med. vbi hic locus bis adducitur. Indicatur etiam obiter in vlceribus non satis vt decet abstersis aut repurgatis, minusque quàm conueniat siccantibus medicamentis admotis, carnem excrescere, quod non contingit vbi conuenienter siccantibus medicamentis nutriuntur, & ad sicciora semper curatio promouetur. Quem in sensum ea verba ex Hippocratis & Galeni mente accipienda videntur, ἀεὶ ἐπὶ τὸ ξηρότερον θεραπεύεται. Potest etiam vulgata lectio retineri & sensus constare quem secutus est Cornarius. Sed locus ad Galeni trutinam examinandus mihi visus est.

ἢν ὀστέου] In vlceribus diuturnis in quibus ossis est corruptio & os abscedere necesse est, cicatrices cauas fieri scribit Hippocr. aph. 45. lib. 6. Tam enim cauas cicatrices fieri contingit, quanta est abscessuri ossis crassitudo.

ἕλκεα οὐ κεκαθαρμένα] Vlcerum sordidorum ac diuturnorum, quæque coire non possunt, & cum affectu coniuncta sunt, curatio indicatur, quæ non nisi curato affectu, ac partis natura in pristinum statum restituta, obiri potest. Quem in sensum hunc locum

C adducit Galenus lib. 4. Meth. med. vbi πλὴν ἐπίρρουν simpliciter legit Galenus, exemplaria verò nostra omnia ἐπίρρουν τοῦ αἵματος habent.

[a] Τῶν ἑλκέων τὰ κυκλοτερέα, ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ πάντη ἐπιτάμνειν χρή, τὰ ἀφεστεῶτα, ἢ πάντα, ἢ τὰ ἡμίσεα τοῦ κύκλου, κατὰ μῆκος τῆς φύσιος τοῦ ἀνθρώπου. ἐπὶ παντὶ ἕλκει ἐρυσιπέλατος ἐπιγινομένου, κάθαρσιν δεῖ ποιέεσθαι τοῦ σώματος, ἐφ᾽ ὁκότερα ἂν ξυμφέρει τῷ ἕλκει, εἴτε ἄνω, εἴτε κάτω. ὅτῳ ἂν οἴδημα γένηται περὶ τὸ

D ἕλκος, ἀφλεγμάντου ἐόντος τοῦ ἕλκεος, χρόνῳ ὕστερον, πύου ὑπόστασιν ἴσχει τὸ οἴδημα. καὶ ὅ, τι ἂν τῇ φλεγμασίῃ οἰδήσαν μὴ καθίσταται, τῶν ἄλλων καθισταμένων, ὅσα ἅμα ἤρξατο φλεγμαίνειν καὶ οἰδίσκεσθαι, καὶ τοῦτο κίνδυνος, μὴ οὐ ἅμα ξυνιέναι. ὅσα δὲ πιπτόντων, ἢ ἄλλῳ τῷ τρόπῳ διακόπτεται καὶ θλᾶται, καὶ ἀνοιδίσκεται, τὰ περιέχοντα τὸ ἕλκος, καὶ διαπυήσαντα πῦον ἀπὸ τῶν οἰδημάτων, ἀποχωρέει κατὰ

E τὸ ἕλκος. τῶν τοιούτων ὅ, τι ἂν δοκέῃ δεῖσθαι καταπλάσιος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν. ἀλλὰ τὰ περιέχοντα, ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα λαπαχθῇ. ἐπειδὰν δὲ λαπαχθῇ, καὶ ἡ φλεγμασίη παύσηται. ἔπειτα ἀφεστηκότα σπόγγοις ἐπιδέων προσιστάναι. ἀρχόμενος ἀπὸ τοῦ ὑγιέος ὀλίγον προσχωρέων. ἐπὶ δὲ τῷ σπόγγῳ ἄνωθεν φύλλα ἐπέστω συχνά. ὅ, τι

F δ᾽ ἂν μὴ δύνηται προσπεσεῖν, ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστὶ ταύτην ἐκβάλλειν. ἢν ὑπὸ βαθείῃ σαρκὶ τὸ ἕλκος ἐῇ κατ᾽ ἄμφω, καὶ κατὰ τὴν ἐπίδεσιν, καὶ κατὰ τὸ προσπίεσθαι ὑποκυρτοῦται. τὰ δὴ τοιοῦτον, ἤν τις τάμνειν προσμήλην ἢν ἐνδέχηται διελθεῖν, ἀπὸ τοῦ στόματος τὸ ἕλκος διατέμνειν, ὅπη ἂν δοκέῃ καιρὸς εἶναι. καὶ οὕτως ἴησιν προσφέρειν, ὁκοίης ἂν δοκέῃ προσδεῖσθαι. ὡς δὲ

G τὰ πολλὰ ἐπὶ παντὶ ἕλκει ὅ, τι ἂν κοιλίην ἔχῃ, πρὸς τὸ ἰθὺ καταφανέα ἰδεῖν, οἰδήματος μὴ προσεόντος. ἢν μὲν εἴη ἐν αὐτῷ σηπεδών, ἢ ἡ σὰρξ ὑπέῃ μυδῶσα καὶ σαπρὴ ἔσται, τοῦτο τὸ ἕλκος καὶ τὰ περιέχοντα τὸ ἕλκος, ἰδεῖν μέλανα ὑπόπελια. καὶ τῶν ἐσθιομένων ἑλκέων, ὅπη καὶ ἂν φαγέδαινα ἐνέῃ, ἰσχυρότατά τε νέμεται καὶ ἐσθίει. καὶ ταύτῃ τοῦ ἕλκεος τὸ περιέχον, χροιὴν ἕξει μέλαιναν ὑπόπελιον.

In rotundis vlceribus, si cauitatem nacta sint, quæ abscesserunt, in orbem vndiquaque, aut ex toto, aut ex dimidio circuli, secundum hominis naturalem longitudinem præcidere oportet. In omni vlcere cui erysipelas accessit, corporis purgationem quancunque in partem vlceri conducit, siue sursum, siue deorsum, instituere oportet. Quoties circa vlcus tumor accesserit, absque vlceris inflammatione, in eo temporis progressu pus subsidet. Quod verò ex inflammatione intumuit, neque aliis quæ vnà inflammari & intumescere cœperūt conquiescentibus conquiescit, hoc etiam ne vnà non coalescat metus est. Quæcunque ex casu, aut alio pacto discinduntur, colliduntur, aut circum vlcus intumescunt, iisque suppurantibus pus ad vlcus se recipit, in his, si quis vsus cataplasmatis esse videatur, id non ad vlcus, sed ad ea quæ ipsum ambiunt imponendum, vt pus decedat, & quæ indurata sunt emolliantur. At vbi emollita sunt & inflammatio conquieuit, demum spongiis alligatis ea quæ abscesserunt affirmato, orsus à parte sana paulumque progressus. Super spongiam autem folia multa imponito. Quòd si quid affirmari nequit, cuius causa est caro humida, eam eiicere oportet. Si vlcus in carne altiùs insederit, vtraq; ex causa, tum ex deligatione, tum ex eo quod præterea comprimit, in quendam tumorem assurgit. Hoc sanè si quis secare velit supra specillum immissum, quatenus licet, vt ad effluxum pateat, ab ore vlceris est resecandum, vbicunque videbitur opportunum, sicque quæcunque necessaria videbitur curatio admouenda. Fere autem vlcus omne quod cauitatem habet, in quam rectà conspici possit tumore non præsente, in eo siquidem putredo, aut caro nimio humore marcida & putris subsit, tum ipsum vlcus, tum quæ iuxta sunt, nigra aut subliuida conspicientur. Et inter vlcera exedentia, quacunque in parte phagedæna adfuerit, & valde depascitur & absumit, ea quoque in parte, quæ vlcus circunstant, colorem habebunt nigrum ac subliuidum.

[a] τῶν ἑλκέων τὰ κυκλοτερέα] Indicatio hæc ab vlcerum affectu sumitur & affectæ partis natura. Vlcera enim quæ dura & callosa

H habent labra, callum excindendum indicant, eumque affectum priùs submouendum esse, vt ad sanitatem redeant. Sic enim hunc locum explicat Galenus lib. 4. Methodi med. vbi pro ἐπιτάμνειν περιτάμνειν legit.

ὅτι παντὶ ἕλκει] Et hîc quoque affectæ partis natura ex vitiosi & biliosi succi redundantia attenditur ad vlceris curationem. Quomodo hunc etiam locum explicat Galenus lib. 4. Meth. med. eumque bis illic adducit. Meminit quoque Galenus huius loci Com. in lib. 1. de Humor. si modò verè Galeno adscribuntur Commentarij illi. A

ὅτῳ ἂν οἴδημα] Hîc agitur de tumoribus cum vlcere coniunctis, siue ex inflammatione, siue absque ea orti sint, quos certè priùs curare ac subsidere, quàm vlcus sanescat, oportet. Id cataplasmatis pus mouentibus & malacticis præstari debet. Hunc quoque locum subindicat Galenus lib. 4. Meth. med.

ἐπειδὰν δὲ καταχθῇ] Hîc de tumoribus vlceri coniunctis & suppuratis agens, sedata inflammatione & emollita duritie, abscessus & sinus qui relictus est glutinationem attingit. Quæ enim abscesserunt, cùm ita suspensa sint, vt minimè sese attingant, ita cogenda sunt & comprimenda, vt inter se applicentur, firmentur, & inhærescant, quod προσιστάναι & προσιζῆναι dixit Hippocrates, quod significat affirmare, firmiter collocare & adurgere. In abscessibus enim qui nulla inflammatione, sorde, aut carnis tabo, nulloque humore infestantur, agglutinatio & contactus est necessarius. Quod scripsit Hippocrates lib. κατ' ἰητρεῖον, ἀφεστεῶτα μὲν ὥστε τὰ μετέωρα, τῆς ἕδρης ψαύειν μέν. Quibus innuit vt quæ ita abscesserunt, vt suspensa sint, sedem attingant, sedem scilicet appellans, quod abscedenti corpori est subditum, cui adhærescere, firmari & insidere quod applicatur debet, quod προσιστάναι hîc dicit Hippocrates. Galenus συνεχθῆναι καὶ ἑδρασθῆναι explicat Com. in lib. κατ' ἰητρεῖον. Potest & hîc προσιστάναι inhibere, sistere & compescere significare, vt humorem in abscessibus redundantem per siccantia inhibeat & propellat, eamque in rem spongiam & folia desuper admoueat, quomodo sumpserunt reliqui omnes interpretes. Hîc autem τὰ ἀφεστηκότα dicuntur (vt exponit Galenus) ὅσα κατὰ συνέχειαν τοῦ σώματος, ἰδίᾳ τισὶ μορίοις ἑτέροις, ἢ ἐπιψαύουσιν αὐτῶν, ἐν ᾧ τὰ παρὰ φύσιν ἔχειν, οὐκέτι φυλάττει τὴν ἕνωσιν ἢ τὴν ψαῦσιν. B

ἀρχόμενος ἀπὸ τοῦ ὑγιέος] Hanc vinculi rationem ad sinuum glutinationem idoneam his verbis commendat lib. κατ' ἰητρεῖον ἡ δὲ ἐκ τοῦ ὑγιέος, πλευτὰς δὲ πρὸς ἕλκος, ὡς τὸ μὲν ὑπεὸν ἐξαθέληται, ἕτερον δὲ μὴ ἐπισυλλέγῃ).

ὅ, τι δ' ἂν μὴ δύνηται προσιζῆναι] προσθεῖναι legit Galenus hunc locum adducens lib. 4. Meth. med. ita vt προσθεῖναι pro προσιζῆναι legisse videatur. Quod etiam nostram interpretationem comprobat, vt ea quæ abscesserunt inter se apponere & adhærescere iubeat & adducere, quod dixit ἐν τῷ κατ' ἰητρεῖον ἀφεστεῶτα προσιζῆναι. C

ὑποκυρτοῦται] ὑπεκιρσοῦται legunt Vidius & Caluus, vt sit in varicem attollitur. Sed ὑποκυρτοῦται pro ὑποκυρτοῦται ponitur, quod est in gibbum assurgit & incuruatur. Hîc verò de sinu agitur quem supra immissum specillum, vt fluxui exitus pateat, ab ore secandum esse præcipit, si alioqui exitus non datur.

ἢ ἡ σὰρξ ὑπεῇ μυδῶσα] μυδᾷν de his dicitur quæ superfluo humore madent & diffluunt, ac vligine vitiantur, putrent & marcescunt. Vnde caro μυδῶσα dicitur hebes & fluxa, ex nimio humore contracta, indeque marcida & putris, qualis in vlcere inflammato colligitur. ὑγρὴν καὶ μυδῶσαν vocat lib. de vulner. cap. μύδησιν scribit Isagoges author, κοινὸν ὄνομα τῶν ἐκ σήψεως ἀπολλυμένων, propriè tamen palpebris attribui, vbi humore superfluo redundantes & adipe tumentes assiduè defluunt. μυδᾷν exponunt quidam διυγραίνεσθαι, σήπεσθαι. Hesychius μυδῆσαι, βρεχθῆναι, διαρρυῆναι, σαπῆναι. & μυδαλέον, διάβροχον, τὸ ἐπίδακρυ καὶ κάθυγρον, & μυδαλέας βεβρεγμένας. Item μυδαίνει, σήπει. Sunt qui μυδᾷν pro μαδᾷν sumant. Et in manu scriptis Regiis membranis ex Scholio quodam μυδῶσα, σηπομένη exponitur, deinde adscribitur, μυδᾷν λέγεται τὸ σηπεῖν τὰ στερεὰ σώματα καὶ τὸ μαδᾷν, ὥσπερ τριχῶν ἐκπιπτόντων τῶν σωμάτων. Quod certè sumptum videtur ex Corintho, aut eo qui de Dialectis scripsit. D

ὅτῃ ἂν φαγέδαινα ἐνῇ] Hîc propriè φαγέδαινα ab vlcere exedente distinguitur, vt dicatur φαγέδαινα vlcus tumidum, profundum, vicinas partes erodens, eoque nomine ab herpete differt, qui summam cutem exulcerat, & à nomis, quæ sine tumore exedunt. Phagedænæ autem vlceri tumor coniunctus est, qui vlceris labra circumstat, & cum cute subiectam etiam carnem absumit. Quod his verbis scribit Galenus Com. ad aph. 45. lib. 6. ἀλλ' ἡμῖν ἀρκέσει τῶν μὲν ἐπιλαμβανομένων τι τοῦ πέριξ χωρίου, τὰ μὲν ἕρπητας ὀνομάζειν, ὅσα ἐπιπολῆς ἢ καὶ κατ' αὐτὸ τὸ δέρμα. τὰ δὲ φαγεδαίνας ὅσα καὶ τὴν ὑποκειμένην διαφθείρει σάρκα. Longè verò apertiùs libro de Tumor. præternat. id sic exprimit: τὰ δὲ δι' ἀμφοῖν σὺν θέσει τοῖς ἕλκεσι αὐτοῖς καὶ τοῦ πέριξ ὄγκου, φαγεδαίνας ὀνομάζουσι. ἐπινέμεται μὲν οὖν καὶ ὁ ἕρπης ἀναβιβρώσκων τὰ πέριξ, ἀλλ' ἔστι μόνου τοῦ δέρματος ἕλκωσις. ἡ φαγέδαινα δὲ σὺν τῷ δέρματι καὶ τῶν ὑποκειμένων ἅπτεται. Interdum verò φαγέδαινα generis nomen assumit, & vlcus quod depascitur & vicinum corpus sanum perrodit, quodq; deterius & maius semper efficitur, significat, quemadmodum etiam huiusmodi vlcera phagedænica dicuntur, vt ibidem scribit Galenus, quomodo etiam Definit. Medic. authori φαγέδαινά ἐστιν ἕλκος ἀναβιβρώσκον τὰ ὑπόγυα καὶ παρακείμενα. Oritur autem φαγέδαινα ex vitiosi succi copia & humore bilioso vsto & iam ad melancholiam inclinante, qui sua malignitate & acrimonia vicinas partes arrodit. φαγέδαιναι in cole inter cancri genera reponit Celsus lib. 6. E

Partibus verò circa positis tumore & inflammatione laborantibus, vtiliter cataplasmate imponitur verbascum coctum, & trifolij folia cruda, ac epipetri folia cocta & polium. Eademque hæc omnia si vlcus purgari postulet, purgãdi quidem vim habent. Quin etiam & fici folia & oleæ, & marrubium, quæ omnia incoquere oportet. Inter hæc autem maximè viticem, ficum, oleam, decoquito. Eodemq; modo mali punicæ folia incoquenda sunt. Crudis verò vti licet, maluæ foliis ex vino tritis, item rutæ atque origani viridis foliis. Quibus omnibus lini semen torrefactum ac quàm tenuissimè tritum immisceto. Vbi verò erysipelatis metus vlceribus imminet, glasti folia trita cruda cum lini semine ex cataplasmate imponito, aut lini semen solani aut glasti succo maceratum in cataplasmate adhibendum. Cùm autem vlcus quidem purum fuerit, ipsum verò & ambientes partes inflammatione vexantur, lenticulam ex vino coctam & læuigatam, pauco oleo admixto, ex cataplasmate deligato, & rubi canini folia ex aqua læuigata cataplasmate imponito, superdato linteo tenui, puro,

[4] Καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖς περιέχουσιν. ἡ ἑφθὴ φλόμος, καὶ τῆς τριφύλλου τὰ φύλλα ὠμά. καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθά, καὶ τὸ πόλιον. ἢν δὲ καὶ καθαίρεσθαι δέῃ τὸ ἕλκος, πάντα μὲν καὶ ταῦτα καθαίρει. ἀτὰρ καὶ τῆς συκῆς τὰ φύλλα καὶ τῆς ἐλαίης, καὶ τὸ πράσιον. ἕψειν δὲ ταῦτα πάντα, μάλιστα δὲ τούτων ἕψειν, τὸν ἄγνον, καὶ τὴν συκῆν, καὶ τὴν ἐλαίην, καὶ τῆς σίδης τὰ φύλλα ὡσαύτως ἕψειν. ὠμοῖσι δὲ τοῖσι δεῖ χρέεσθαι. τῆς μαλάχης τὰ φύλλα. τρίβων ξὺν οἴνῳ. καὶ τοῦ πηγάνου τὰ φύλλα. καὶ τῆς ὀριγάνου χλωρῆς. πᾶσι τούτοισι χρὴ τοῦ λίνου τὸν καρπὸν φρύξαντα καὶ κόψαντα ὡς λειότατον, μιγνύναι. ὅκου δὲ ἐρυσίπελας κίνδυνος ἐφ' ἕλκεσι γενέσθαι, τῆς ἰσάτιδος τὰ φύλλα τρίβων, ὠμὰ καταπλάσσειν σὺν τῷ λίνῳ, ἢ τὸ λίνον δεύων στρύχνου χυλῷ, ἢ ἰσάτιδος καταπλάσσειν. ὅταν δὲ τὸ ἕλκος καθαρὸν μὲν ἔῃ, φλεγμαίνῃ δὲ τό τε ἕλκος καὶ τὰ περιέχοντα τοῦ ἕλκεος, φακὸν ἐν οἴνῳ ἑψήσας καὶ τρίψας λεῖον, ἐλαίῳ ὀλίγῳ φυρήσας καταπλάσας ἐπιδεῖν. καὶ τοῦ κυνοσβάτου ἑψήσας τὰ φύλλα ἐν ὕδατι τρίψας λεῖα καταπλάσσειν. ὀθόνιον ὑποτείνας λεπτὸν καθαρὸν F G

A οἴνῳ καὶ ἐλαίῳ τέγξας. καὶ ὅταν ξυνάγειν βούλῃ τὸ κυνοσβάτου τὰ φύλλα, ὥσπερ τὸν φακὸν σκευάζειν. σαυρίδιον. οἶνος καὶ λίνου καρπὸς διαμίγνυται λεπτός. καὶ τόδε, ὁ τοῦ λίνου καρπὸς, καὶ ἄγνος ὠμὸς, καὶ μηλεία στυπτηρίη, ὄξει ταῦτα δευθέντα.

vino & oleo madente. At vbi oras vlceris committere voles, rubi canini folia eo modo quo lenticulam præparato, vel nasturtium (σαυρίδιον dicitur) vinum & lini semen contritum commiscentur. Hoc quoque, lini semen, vitex cruda, & alumen Melinum, hæc aceto macerato.

καταπλάσματα οἰδημάτων] Cùm tumorum omnium præter naturam communis indicatio vacuatio sit, inflammatioque ex humorum affluxu pendeat, breuis ac propria ipsius curatio instituitur per ea quæ affectum ipsum summouent, qualia sunt quæ rarefaciunt, extenuant, digerunt, euacuant, resoluunt & discutiunt, siccandique facultate valent. Quæ enim cataplasmata calefacientia & humectantia phlegmonis adhibentur, ad dolorem demulcendum spectant, symptomaque ipsum, non affectum respiciunt. Quem in sensum hunc locum exponit Galenus lib. 4. Meth. Idem quoque lib. 13. Meth. vbi phlegmones feruor iam subsedit, mitigatoriis cataplasmatis dimissis, ad ea quæ digerunt paulatim transeundum esse censet. Hæc autem omnia quæ hîc recensentur, desiccandi ac digerendi, quædam etiam detergendi vires habent, vt Galenus etiam fatetur.

καὶ τὸ ἐπιπέρου] Sic legunt quotquot adhuc videre licuit exemplaria, tum scripta, tum publicata. Caluus κυπέρου legisse videtur, cùm iunci quadrati folia dixerit. Sed cyperi radices, non folia ad vsum medicum, & vlcera quæ propter nimiam humiditatem ægrè coalescunt, itemque ad oris vlcera, Dioscorides & Galenus commendant. Cornarius κύπρου φύλλα legit, & ligustri folia vertit, quæ absque morsu desiccare scribit Galenus, habereque quiddam digerens cum aquea substantia, modicè calida, tum etiam adstringens quiddam ex terrena substantia frigida, ideoque mistæ esse facultatis. Quorum vsum aduersus phlegmonas & carbunculos, orisque vlcera commendant Dioscorides & Galenus. Hîc autem Galenus ἐπιπέτρου legit lib. 4. Meth. quem secuti sumus. Epipetrum autem Arist. lib. 4. de part. animal. cap. 5. inter plantas annumerat quæ absolutè & per se viuunt, & in Parnaso nasci, diuque viuere clauis suspensum scribit. Plinius cap. 15. lib. 21. Epipetron acinon vocari scribit, quæ certè ocimo & specie & viribus similis est, ideoque siccandi, detergendi, ac digerendi facultate prædita est. Hîc quoque quidam ἐμπέτρου pro ἐπιπέτρου legunt, cuius magna vis est siccandi ac detergendi, pro quo Crithmum & quam Crettam marinam dicunt substituunt, quæ potenter desiccat.

ἀπὸ καὶ τῆς συκῆς τὰ φύλλα] Hæc cataplasmata mixtarum admodum sunt virium. Habent enim aliquid adstringentis, potenter tamen extergent, digerunt, discutiunt & siccant. In quibus sanè marrubium reponitur, quod lib. 5. κατὰ γένη Galenus in Heræ Panacia, solum etiam ad ea vlcera quæ carnem humidam & sordidiorem habent, valere scribit.

μάλιστα δὲ τούτων ἕψειν τὸν ἄγνον] Hoc etiam cataplasma cùm potenter digerat & siccet, incoqui vult, quò magis induratas partes digerat, & acrimoniam ac calorem temperet, quo nomine etiam oleæ folia & mali punicæ adduntur.

D ὁμοίως δὲ λίνου] Hoc præter cætera emollientem & lenientem habet facultatem, & inflammationem discutit, quo nomine eo crudo etiam vtitur. Torrefactum autem lini semen admiscetur, vt excrementitia humiditate deposita valentiùs siccet.

σαυρίδιον] σαυρίδιον ἡ καρδαμὶς βοτάνη ἀπὸ τοῦ κατὰ τὸ σχῆμα ὁμοιότητος, ἡ αὐτὴ καὶ κάρδαμον ὀνομάζεται. Galenus in Exeg. vocum Hippocr. Erotianus quoque hunc locum subindicat cùm scribit, σαυρίδιον ὃν ἔνιοι καρδαμίδα καλοῦσιν, καρδάμῳ ἐοικυῖαν. ἔστι δὲ θερμαντικὴν τὴν δύναμιν.

earum materia, lõgitudine, latitudine & tempore dicamus, quando soluendæ & reliqua eiusmodi. Ac interim de earum substantia dicamus. Ferulas has assumere oportet aut ligna tiliacea, aut si horum nihil reperiatur, arundines vsurpandę. Imponendæ verò sunt post septimam diem, quando inflammationes cessarunt, hoc modo. Oportet post vincula arundines supra imponere, & fasciis tribus eas leniter vincire, vt vna earum pars sit supra, vna etiam infra, & vna media. Illa autem pars in quam os elapsum est, crassiorem habeat ferulam, aut illic splenium imponendum. Non oportet autem arundines in partes extenuatas ferri, aut prope paruulum digitum, sed has aliqua ex parte mancas facere. Quod si necesse sit eas imponere, panniculi sunt illuc iniiciendi, sicque ferulæ supra adhibendæ. Non sunt autem antè viginti dies soluendæ, nisi aliqua acrimonia aut morsus adsit, tunc enim sunt soluendæ & coarctandæ & rursus eodem modo deligandæ. Si verò nihil horum adsit, sed tantummodò sint laxiora vincula, oportet ferulas coarctare & non soluere. latitudo autem sit duorum digitorum cum dimidio. Ita de ferulis habito sermone, venit ad secundum caput, id est ad victus rationem, in qua tres victus species proponit, tenuem videlicet, & mediam, quæ subuulgaris vocatur quibusdam, & præterea pleniorem. Oportet igitur circa initia quando fiunt inflammationes & occupatur illic natura, præbere tenuem victum: procedente verò tempore subuulgari vti oportet: adhuc autem procedente tempore pleniore, vt callus gignatur. hoc est secũdum caput. Tertium est præterea in quo de collocatione sermonem facit, dicitq; oportere linteum iniicere nõ angustum. si enim angustum fuerit, ipsumque ad cubitum solum inieceris, quod extra suspensum erit, labores & molestiam pariet. Si contra in externam partem inieceris, quod ad cubitum suspensum erit, attrahet os fractum & inutilis erit curatio. Quod si secundum fracturam inieceris, quę hinc & illinc suspensa erunt conformationem peruertent. Oportet igitur linteum esse vetus & latum, vt totum cubitum contineat, & ne manus in superiora aut inferiora vergat, sed sit æqualis.

Vbi igitur ad tertium diem ventum erit, qui septimus est à primo quo iniectum fuit vinculum] Tertium diem dicit, aut pro curationis periodo accipit. Tertio enim die & quinto & septimo soluere præcepit, vt sint tres periodi. Aut tertium dixit, à quo continenter soluit, id est, à quinto, quasi sint rursus tres dies, quinta enim, sexta & septima, tres dies efficiunt.

ἐπὴν δὲ τριταῖος γένηται ἢ ἑβδομαῖος ἀπὸ τῆς πρώτης ἐπιδέσιος] τριταῖον λέγει, ἢ κατὰ τὴν περίοδον τῆς θεραπείας. εἴπερ γὰρ λύειν τρίτην καὶ πέμπτην καὶ ἑβδόμην, ὡς τρεῖς εἶναι περιόδους. ἢ τριταῖον λέγει, ἀφ' οὗ ἔλυσε προσεχῶς, τουτέστιν ἀπὸ τῆς πέμπτης, ὡς εἶναι πάλιν τρεῖς ἡμέρας. πέμπτη γὰρ καὶ ἕκτη καὶ ἑβδόμη τρεῖς εἰσιν ἡμέραι.

περὶ βραχίονος.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ἢν δὲ ὁ βραχίων κατεαγῇ] ἐνταῦθα ἐπὶ τοῦ βραχίονος μετέρχεται θεραπείαν. ἀλλὰ ἄξιον ἀπορῆσαι, διατί μὴ περὶ ἄκρας εὐθὺς διείλεκται τῆς χειρὸς ἀλλὰ περὶ βραχίονος διαλέγεται. καὶ λέγομεν ὅτι διὰ τοῦτο παρῆκε τὸν περὶ ἄκρας χειρὸς λόγον, ἐπεὶ πολυειδὴς

De brachio.

Sectio secunda.

At vbi brachium fractum fuerit] Hîc ad brachij curationem transit. Dubitatio autem oritur, cur non statim de summa manu, sed de brachio disseruerit? dicimus ob eam causam sermonem de extrema manu omissum esse, siquidem eius curatio

varia est & multiplex, brachij verò curatio simplex. Quandoquidem autem in brachij mentionem incidimus, agedum quinque de eo in medium proponamus, appellationem, situm, constitutionem, curationem & diætam. Brachium dicitur quod medium est inter acutum ossis processum, quod κόρωνον vocatur, & humeri articulum. Situs autem ex eo est manifestus. Pars enim quæ est intra cubitum & humerum vocatur brachiũ. Constitutio verò eius talis est. Sciendum est igitur superiores & exteriores partes eius gibbas esse, anteriores autẽ & inferiores cauas. Anterius quidem cauum, tum quòd facilè amplexetur, quodque illic situs sit musculus. Inferius verò quòd costæ cùm gibbæ sint, non cogunt, vt pars gibba gibbam contingat: hęc est partis constitutio. Curatio autem hoc modo fiat. Oportet, inquit, ægrum collocare in sublime aliquod solium, deinde suspendere lignum transuersum, & in illud imponere ægri axillam, deinde subsellium demissius subiicere, & illic ægri supremam manum imponere, & cubiti partẽ, ita vt acutus ossis processus κόρωνον dictus suspensus maneat, deinde extremæ parti manus corium subiicere, & tũc supremam partem ossis processus acuti κορώνε dicti latis fasciis circundare oportet, atque ita trahere, & tensionem oppositamque distentionem facere. Quòd si nemo adsit qui trahat, lapides graues suspendito, ita trahunt quidem lapides, in oppositum autem trahit lignum quod trãsuersum positum est, & vna partem conformat, deinde post tensionem oppositamq; distentionem, oportet vt tu modo superiori membrum vincias, vtaris autem ferulis post nonam diem. Nam quũ sit magnum membrum, fiunt in eo magnæ inflammationes. Sed quoniam quæ solent loco moueri ad partes gibbas repere solent. Idcirco te fasciam latam iniicere oportet, & ita brachium comprimere, deinde ne costæ gibbæ existentes peruertantur, oportet te pannum complicatum subiicere. Etenim perspirationem efficit, neq; costæ dolent neque peruertuntur, & deinde ferri in orbẽ circa pectus, & ita deligare ad latus oppositum, istaque est curatio. Victus autem ratione exquisitissima propter multas inflammationes vtendum esse dicit, præterquàm quod oportet tandem permittere vt laxiora sint vincula, vt etiam plenius alimentum exhibeant.

ἐστὶν ἡ ταύτης θεραπεία. ἡ δὲ τοῦ βραχίονος ἁπλῆ. ἐπεὶ δὲ ὅλως βραχίονος ἐμνημονεύσαμεν, φέρε πέντε τινὰ περὶ αὐτοῦ παραλάβωμεν. τήν τε ὀνομασίαν, καὶ τὴν θέσιν, τὴν κατασκευήν, καὶ τὴν θεραπείαν, καὶ τὴν δίαιταν. δεῖ τοίνυν εἰδέναι ὅτι βραχίων λέγεται τὸ μεταξὺ κορώνης καὶ τῆς ὠμοπλάτης. καὶ ἡ θέσις δὲ ἐκ τούτου δήλη ἐστί. τὸ γὰρ μεταξὺ πήχεως καὶ ὤμου μόριον, καλεῖται βραχίων. ἡ δὲ κατασκευὴ ἐστὶν αὐτοῦ τοιαύτη. δεῖ τοίνυν εἰδέναι, ὅτι τὰ ἄνω καὶ ἔξω αὐτοῦ, κυρτά εἰσι. τὰ δὲ πρόσω καὶ ὑποκάτω, κοῖλα. καὶ τὸ μὲν πρόσω, κοῖλόν ἐστι. διά τε τὸ ἐμπαλίζεσθαι εὐκόλως. καὶ διὰ τὸ ἐκεῖ κεῖσθαι τὸν μῦν. τὸ δὲ ὑποκάτω, διὰ τὸ μὴ κυρτὰς οὔσας τὰς πλευρὰς ἀναγκάζειν κυρτὸν κυρτῷ προσομιλεῖν. αὕτη ἡ κατασκευὴ τοῦ μορίου ἐστίν. ἡ δὲ θεραπεία γινέσθω τὸν τρόπον τοῦτον. φησὶ καθίζειν τὸν ἄρρωστον ἐπὶ ὑψηλοῦ τινος καθίσματος. εἶτα κρεμνᾶν ἐγκάρσιον ξύλον. καὶ εἰς τοῦτο δεῖ ἐντιθέναι μασχάλην τοῦ κάμνοντος. εἶτα ὑποτιθέναι ταπεινότερον ὑποπόδιον. κἀκεῖ τὴν ἄκραν χεῖρα ἐπιτιθέναι τοῦ κάμνοντος. καὶ μέρος τοῦ πήχεως ὡς ἐκκρεμνᾶσθαι τὴν κορώνην. εἶτα καὶ σκῦτος ὑποτιθέναι ἐπὶ τὴν ἄκραν χεῖρα. καὶ δεῖ περιβάλλειν πλατέσι λώροις ἐπὶ τὸ ἄνω μέρος τῆς κορώνου. καὶ οὕτως ἕλκειν καὶ ποιεῖν τάσιν καὶ ἀντίτασιν. εἰ δὲ μὴ ἔχοις τοὺς ἕλκοντας, λίθους ἀποκρέμασον βαρεῖς. καὶ οὕτως ἕλκουσι μὲν οἱ λίθοι. ἀνθέλκει δὲ τὸ ἐγκάρσιον ξύλον καὶ συνδιαπλάττεται. εἶτα μετὰ τὸ τεῖναι καὶ ἀντιτεῖναι, δεῖ σε κατὰ τὸν ἀνώτερον τρόπον ἐπιδῆσαι. χρῆσθαι δὲ νάρθηξι μετὰ τὴν ἐννάτην ἡμέραν. μεγάλου γὰρ ὄντος τοῦ μορίου, μεγάλαι γίνονται καὶ αἱ φλεγμοναί. ἀλλ' ἐπειδὴ τὰ εἰωθότα ἐξίστασθαι ἐπὶ τὰ κυρτότερα φιλοῦσι ῥέπειν, διὰ τοῦτο δεῖ σε πλατείας βάλλειν ταινίας. καὶ οὕτως πιέζειν τὸν βραχίονα. εἶτα ἵνα μὴ κυρταὶ οὖσαι αἱ πλευραὶ διαστροφήν τινα ἐργάζωνται, δεῖ σε καὶ ἐκεῖ πτύγμα ὑποβάλλειν. καὶ διαπνοὴν γὰρ ἐργάζεται, καὶ οὐκ ἀλγοῦσιν αἱ πλευραί, οὐδὲ διαστρέφονται. καὶ μετὰ ταῦτα φέρειν πέριξ διὰ τοῦ στέρνου. καὶ οὕτω δεσμεῖν εἰς τὸ ἀντικείμενον πλευρόν. αὕτη καὶ ἡ θεραπεία. διαιτῆσθαι δὲ χρῆσθαι φησὶ διὰ τὰς πολλὰς φλεγμονὰς ἀκριβεστέρῃ. πλὴν ὅτι δεῖ τελευταῖον χαλαρωτέρους ἐᾶν τοὺς ἐπιδέσμους. ἵνα καὶ ἁδροτέραν παρέχηται τροφήν.

De pede.

Pes hominis ex multis minutisq; ossibus] Ex hoc loco ad extremam manum pergere cupiens, de extremo pede differere conatur, ac tanquam de eo etiam summæ manus orationem exercet, quoniam eadem curatio ambobus conuenit, cùm eadem sit constitutio. Qualia enim sunt in manu carpus, metacarpiũ & extrema manus, talia sunt in pede planta, tarsus & extremus pes, & quemadmodum manus viginti & septem habet ossicula. Atq; etiã vt ea in manu obiter recenseamus, habet carpi octo, quatuor metacarpij & quindecim digitorum: eodem modo se res habet in pede. planta habet ossicula quinque, tarsus quatuor, digiti quatuordecim, quoniam magnus digitus duos tãtum habet nodos. Præterea sunt alia quatuor magna ossa,

ΠΕΡΙ ΠΟΔΟΣ.

ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν τε καὶ μικρῶν ὀστέων] ἐντεῦθεν ἐπὶ ἄκραν τὴν ἐλθεῖν χεῖρα βουλόμενος, πειρᾶται καὶ ἄκρου ποδὸς διαλεχθῆναι, καὶ ὡς ἐπὶ τύπου γυμνάζει τὸν περὶ ἄκρας χειρὸς λόγον. διότι ἡ αὐτὴ θεραπεία ἐπ' ἀμφοτέρων ἁρμόζει. καὶ ἡ αὐτὴ γάρ ἐστι κατασκευή. ὅσα γάρ ἐστιν ἐν χειρὶ καρπὸς καὶ μετακάρπιον καὶ ἄκρα χείρ, οὕτω καὶ τῷ ποδί ἐστι, πεδίον καὶ ταρσὸς καὶ ἄκρος πούς. καὶ ὥσπερ ἔχει ἡ χείρ, εἴκοσι ἑπτὰ ὀσταρίδια, καὶ τε ὡς εἰπεῖν μὲν παρ' ἡ χεὶρ εἰκοσιεπτὰ ἔχει ὀστάρια. ἔχει ὀκτὼ τὰ τοῦ καρποῦ, τέσσαρα τὰ τοῦ μετακαρπίου, καὶ δεκαπέντε τὰ τῶν δακτύλων, ὁμοίως ἐστὶ καὶ ἐπὶ τοῦ ποδός. ἔχει πέντε ὀστάρια τὸ πεδίον, καὶ τέσσαρα τὸ ταρσόν, καὶ δεκατέσσαρα οἱ δάκτυλοι. διότι ὁ μέγας δάκτυλος, δύο μόνας ἔχει σκυταλίδας. πρὸς τούτοις εἰσὶ καὶ ἄλλα τέσσαρα ὀστᾶ μεγάλα

A τό, τε καλούμενον σκαφοειδὲς, καὶ ὁ ἀστράγαλος, καὶ τὸ κυβοειδὲς, καὶ ἡ πτέρνα. ἐπεὶ οὖν ὁμοία ἐστὶν ἡ κατασκευὴ χειρός τε καὶ ποδὸς, ὡς ἐπὶ ποδὸς γυμνάζει τὸν λόγον. καὶ βούλεται τὰ ἐξαρθρήματα ἡμῖν αὐτοῦ παραδοῦναι. ὅθεν καὶ ζητοῦσί τινες, εἰ περὶ καταγμάτων διαλέγεται, διὰ τί ἐξαρθρημάτων μνήμην ποιεῖται; καὶ λέγομεν ὅτι ἤδη ὅτι ὡς ἐπίπαν ἐξαρθρήματα γίνεται καὶ οὐ κατάγματα. διὰ τὸ μικρὰ εἶναι τὰ ὀστάρια καὶ
B διαφεύγειν, ἢ διότι καὶ εἰ κάταγμα πάθοι, πάντως καὶ ἐξάρθρημα παρακολουθεῖ ἐπ' αὐτοῦ διὰ τὴν αὐτὴν αἰτίαν. τὰ γὰρ θλῶντα μέρος τοῦ ποδὸς ἢ τῆς χειρὸς, πάντως καὶ τέμνουσι καὶ ἕλκος ποιοῦσιν. ὡς ὢν ποικιλωτέρας οὔσης τῆς θεραπείας. διὰ τοῦτο ποιεῖται τὸν περὶ τούτων λόγον. ἢ καὶ διὰ τρίτην αἰτίαν. μὴ γὰρ ἀνωτέρω λέγωμεν ὅτι ἐξαρθρημάτων μνήμην ποιεῖται, ἐκείνων τῶν ὑπαγομένων τῇ καταγματικῇ ἀ-
C γωγῇ. ὥστε οὖν διὰ τοῦτο ἐξαρθρημάτων μέμνηται. ἐὰν οὖν φησιν ἐξάρθρημα ἐπὶ ποδὸς γένηται, πρῶτον μὲν δεῖ σε πλείοσι τοῖς χαλαστικοῖς χρήσασθαι. διότι πολλά εἰσι νεῦρά τε καὶ μύες. εἶτα τείνειν καὶ ἀντιτείνειν. καὶ κατὰ τὸν προειρημένον ἐπιδῆσαι τρόπον. καὶ οὕτως ἰατρεύεται εἴσω ἡμερῶν εἴκοσιν. ἐὰν μικρὸν ᾖ τὸ ὀστέον καὶ ἡσυχάσῃ ὁ πάσχων. εἰ μὴ γὰρ μὴ ἡσυχάσῃ ἐπειδὴ τὸ βάρος τοῦ σώματος ὁ ποὺς ἀνακουφίζει. ἀνάγ-
D κη ῥευματισμὸν γινόμενον, ἐπὶ πλέον τὰ τοῦ νοσήματος ἐπιτείνεσθαι. εἰ μέντοι μέγα εἴη τὸ ὀστέον, ἐν τεσσαράκοντα ἡμέραις ἰατρεύεται.

ΠΕΡΙ ΠΤΕΡΝΗΣ.

ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινος] μετὰ τὴν τῶν μικρῶν ὀσταρίων θεραπείαν, ἀνέρχεται καὶ ἐπὶ τὴν θεραπείαν τῶν μεγάλων. καὶ πρῶτον περὶ τῆς πτέρνης ποιεῖται λόγον. διότι δυσ-
E χερέστερον πάντων ἐστί. δεῖ δὲ εἰδέναι ὅτι ἡ πτέρνα πολλοῖς ὁμιλεῖ μορίοις. ὁμιλεῖ ἄνω μὲν γὰρ, τῇ κνήμῃ. κάτω δὲ, ἐπὶ μὲν τὸ δεξιὸν μέρος τοῦ δεξιοῦ ποδὸς, τῷ κυβοειδεῖ ὀσταρίῳ. ἐπὶ δὲ τὸ ἀριστερὸν, τῷ σκαφοειδεῖ. ἐπεὶ οὖν πολλοῖς ὁμιλεῖ μορίοις, ἔστι δὲ καὶ μυώδης, εἰ μὴ μέγα εἴη τὸ βιαζόμενον οὐκ ἂν πάθοι. πάσχουσα δὲ, μεγάλα ποιεῖ τὰ συμπτώματα. εἰκότως δὲ καὶ θάνατον ἐπιφέρει. πολλάκις οὖν βιαίως τινὸς πί-
F πτοντος, κάτωθεν μὲν ἀντιβαίνει ἡ γῆ. ἄνωθεν δὲ ἡ κνήμη. καὶ ἐξίσταται τοῦ οἰκείου τόπου ἡ πτέρνα. καὶ τότε διαιροῦνται φλέβες καὶ νεῦρα καὶ ἀρτηρίαι. καὶ διὰ τοῦτο γίνονται σήψεις, νομαί. διαιρουμένων ἀγγείων καὶ ῥευματισμῶν γινομένων. ἔστι δὲ ὅτι ἡ νομὴ φθάνει. ἡ γοῦν ἡ σῆψις, περὶ καρδίαν, καὶ πυρετὸν ἐργάζεται. πολλάκις δὲ περὶ τὴν γαστέρα, καὶ λυγμοὺς ποιεῖ. ἢ περὶ ἐγκέφαλον, καὶ σπασμοὺς καὶ παραφροσύνας ἐργάζεται. ἢ περὶ τὸ
G ἧπαρ. καὶ ἀτροφίαι γίνονται. δεῖ οὖν περὶ τὸ σχῆμα τῆς θεραπείας φροντίζειν. καὶ καθολικώτερον μὲν ὡς ἔστιν εἰπεῖν, δεῖ παραχρῆμα κένωσιν ἢ διὰ φλεβοτόμου ἢ διὰ καθαρσίου ποιεῖν. ἵνα τοὺς ῥευματισμοὺς κωλύσωμεν. δεῖ δὲ καὶ χαλαστικοῦ φροντίζειν. διὸ δεῖ εἰς ζέμα χαμαιμήλων καὶ εἰς ἔλαιον ἀποπυελίζειν τὸν ἄρρωστον. εἶτα τείνειν καὶ ἀντιτείνειν. ἄνωθεν μὲν τὴν

Scaphoidei, astragalus, cyboides & pterna: quandoquidem igitur eadem est constitutio manus & pedis, exempli vice orationem exercet in pede, eiusque luxationes nobis tradere vult. Vnde quærunt nonnulli, cur quum de fracturis disserat luxationũ mentionem faciat? Idq; fieri dicimus, quia hic plerunq; luxationes non fracturas fieri contingat, quoniam ossicula parua sunt & diffugiunt, aut quia etiam si fracturam patiantur, omnino ad ipsam propter eandem causam luxatio etiam consequatur. Quæ enim partẽ pedis aut manus contundunt, omnino secant & vlcus faciunt. Quum sit igitur varia curatio, de iis sermonem habet, aut tertiam ob causam id fit. Nõ enim supra dicamus, quòd luxationum mentionem faciat, quippe cùm disciplinæ de fracturis subiiciantur. Itaque ob eam causam luxationum mentionem facit. Si igitur, inquit, luxatio fiat in pede, primò multis laxantibus vti debes, quia multi sunt nerui & musculi: deinde tendere & contrà distendere, dictoque modo vincire, & ita intra viginti dies curatur si sit os paruum, aut quiescat æger, nisi enim quiescat, quandoquidem per corporis grauitatem alleuat, necesse est fluxionibus obortis morbum plurimum intendi. Si tamen magnum fuerit os, quadraginta diebus curatur.

De Calce.

Quicunque ex superiori loco saltantes] Absoluta curatione ossiculorum, ad ossium magnorum curam accedit, & sermonem à calce orditur, quæ est pars omnium difficillima. Sciendum est enim calcem cum multis partibus societatem habere, supra quidẽ cum sura: infra verò ad dextram dextri pedis partem cum ossiculo tesserali, ad læuam autem cum nauiculari. Quum igitur multis communicet partibus, & sit pars musculosa, nisi magna quædam vis afferatur, non facilè patitur. Quod si patiatur magna gignit symptomata, quæ etiam meritò mortem inferunt. Fit enim plerunque vt si aliquis violenter decidat, infra quidem terra, suprà verò sura resistat, & suo loco calx excedat, tuncque venæ, nerui, arteriæque diuidantur & inde oriantur putredines, vlcera depascentia, diuisis vasis & obortis defluxionibus. Interdum verò præcedit vlcus depascens. Aut igitur putredo in corde febrem excitat, plerunque verò in ventre singultus, aut in cerebro conuulsiones & desipientias afficit, aut in hepate atrophiæ fiunt. Oportet igitur quamprimum de curatione cogitare, & vt in genere quidem dicam, confestim euacuatio siue per sanguinis missionem, siue per catharticum instituenda est, vt defluxiones arceamus. Laxantium autem medicamentorum curam habeas, & ægrum decocto chamæmeli & oleo foueas, deinde tensione oppositaque distentione vtaris, à superiori quidem parte suram, ab inferiori pedem extendens. Ita in optimum situm calcem restitues. postea deligabis, non vt plerique faciunt, vt supra quidem sit arundo, infra autem vinciatur tarsus, & calx nihil habeat. Sed vt calx vinciatur, & non astringatur, quoniam adstrictione & dolore fluxiones procuramus. Sed potius plura adhibeantur vincula,

κνήμην, κάτωθεν δὲ τὸν πόδα. καὶ οὕτως εὐθετίζειν δεῖ τὴν πτέρναν. καὶ τηνικαῦτα ἐπιδεῖν, μὴ ὡς ποιοῦσί τινες. ἵνα ἄνω-
H θεν μὲν ὁ κάλαμος, καὶ ὁ ταρσὸς κάτωθεν ἐπιδέδεται. ἡ δὲ πτέρνα μηδὲν ἔχῃ. ἀλλ' ἵνα καὶ ἡ πτέρνα δέδεται. καὶ μὴ σφίγγειν. ἐπὶ τῇ σφίγξει καὶ τῇ ὀδύνῃ ῥευματισμοὺς ἐργαζόμεθα. ἀλλὰ μᾶλλον δεῖ πλείονας εἶναι τοῖς ἐπιδέσμοις.

vt hac ratione conformationẽ seruemus. Quum verò calx sit angusta, & nulla fiat difflatio, metus est ne vehemens putredo excitetur. Ideò oportet, inquit, scarificationibus valdè tenuibus & superficiariis vti, vt sola cutis diuidatur, easque inter se distare oportet. Ad hæc videndum ne calx lecto incumbat, inde enim putredines orirentur. Verùm intermedium aliquod velut in scrobe elaborare oportet, vt in cauitatem illam calx imponatur. Hîc autem arundinibus non vtendum. Vbi enim adhibeantur, quum pars sit inęqualis? Victu autem etiam tenui vtendum est. Quum ita de iis disseruerit, dicit se cyboidis & scaphoidis ossis nullam mẽtionem facere. Si enim quod difficile erat curatum est, in promptu erit facilium curatio.

Venæ sanguinem effundunt carne circa os attrita] Scimus quid sit θλάσμα, id est collisio, diuisio vasorum, superficie manente indiuisibili. Illa autem diuisio, si superficie indiuisibili manente rubedinem efficiat vocatur μώλωψ id est vibex: si rubedinem non facit, vocatur ἐκχύμωμα, id est effusio. φλάσμα autem ab Ionibus vocatur θλάσμα.

Tumor autem magnus oritur & dolor] Quòd omnem tumorem vocet Hippocrates οἴδημα perspicuũ, sed additione significatur tumoris differentia. Si enim dicat tumorem laxum, propriè οἴδημα est. si durum, scirrhus significatur: si calidum aut feruidum, erysipelas, si tumorem dolorificum, phlegmone, cuius mentionem facit. Hîc enim tumorem dolentem fieri dicit.

Coniungitur enim venis & neruis grandioribus] Rectè dixit (grandioribus) ne existimes eum hîc dicere sola ligamenta affici. Sed addidit istud ἐπικαίροις, vt voluntarios neruos affici indicaret.

Posteriorq́; tendo] Istud os prædictum est. Scire enim oportet illam partem cruris carnosam quæ γαστροκνημία vocatur, fieri à musculis ex genu prodeuntibus & carnosis, ac deinceps procedentibus fit tendo, qui est in calce: adhuc verò procedentibus & conuolutis fit planta pedis inferior τὸ πέλμα vocatum.

Succindere æqualiter atque extenuare oportet] Bifariam locum explicarunt quidam. Nonnulli enim aiunt extenuare accipi pro radere cutem quę est in superficie. Densiorem autẽ intelligo, & ita restat scarificationes adhibere. Alij verò dicunt quòd extenuare ponit pro eo quod est multis & tenuibus scarificationibus ad partes circumadiacentes extenuandas oportere vti.

Quum diuturna resupinatio fuerit] ὑπτιασμὸν hîc vocat ῥευματισμόν, quemadmodũ enim stomachus resupinatus fluxione & vomitu facilè afficitur. Ita reliquæ partes supinæ & iacentes fluxionibus sunt obnoxiæ.

His accedunt venarum sanguinem fundentium, nausea, gangrana] Nauseas vocat ruptiones. Gangræna autem via est ad siderationem quando orta putredine partes nigræ redduntur.

Veratrum eodem die epotum vel certè posteriori] πίσαι dicit pro πιπίσαι. Sed dubitatione dignum, quomodo dicat veratrum exhibendum, & non potius venam secandã. Helleborus enim ad ventrẽ fluxiones defert, & per ventrẽ vacuans ad ipsum fluxiones magis prouocat.

ἵν' οὕτω φυλάξωμεν τὴν διάπλασιν. ἐπεὶ δὲ στενή ἐστιν ἡ πτέρνα, καὶ διαφορήσεως μὴ γινομένης, δέος ἐστὶ μὴ τῆς σήψεως ἐπιταθῇ. διὰ τοῦτο δεῖ φησιν ἀμυχαῖς λεπταῖς πάνυ καὶ ἐπιπολαίοις χρήσασθαι. ὡς μόνον τὸ δέρμα διαιρεῖσθαι. δεῖ δὲ αὐτὰς καὶ ἀλλήλων ἀφεστάναι. πρὸς δὲ τούτοις δεῖ καὶ αὐτὴν τὴν πτέρναν μὴ ἐπικεῖσθαι εἰς τὴν στρωμνήν. ἐπεὶ πάλιν σήψεις γίνονται. ἀλλὰ δεῖ πανταχόθεν ἐπιποιῆσαί τι μεταξὺ ὡς ἐπὶ χώνης. ἵνα εἰς ἐκείνην τὴν ὀπὴν ἐπιτίθεται ἡ πτέρνα. ἐνταῦθα δὲ καλάμοις οὐκ ἔνι χρήσασθαι. πῶς γάρ, ἀνωμάλου ὄντος τοῦ μορίου; δεῖ δὲ καὶ λεπτῇ διαίτῃ χρήσασθαι. οὕτω περὶ τούτων διαλεχθείς, φησὶν ὅτι καὶ περὶ τοῦ κυβοειδοῦς καὶ τοῦ σκαφοειδοῦς οὐδένα ποιοῦμαι λόγον. εἰ γὰρ τὸ δύσκολον ἐθεραπεύθη, πρόδηλός ἐστιν ἡ τῶν σαφῶν θεραπεία.

[16] φλέβια δὲ αἱμασσομοῦται ἀμφιθλασθείσης τῆς σαρκὸς] ἴσμεν τί ἐστι θλάσμα. διαίρεσις ἀγγείων. ἀδιαιρέτου μενούσης τῆς ἐπιφανείας. αὕτη ἡ διαίρεσις, εἰ μὲν τῆς ἐπιφανείας ἀδιαιρέτου μενούσης ἐρύθημα ἐργάσεται, καλεῖται μώλωψ. εἰ δὲ μὴ ἐργάσεται ἐκχύμωμα. φλάσμα δὲ καλοῦσιν οἱ Ἴωνες τὸ θλάσμα.

οἴδημα δὲ ἐπιγίνεται καὶ πόνος πολύς] ὅτι πάντα ὄγκον Ἱπποκράτης οἴδημα καλεῖ. ἀλλὰ διὰ τῆς ἐπιφορᾶς δηλοῖ τὴν διαφορὰν αὐτῶν. εἰ μὲν γὰρ εἴπῃ οἴδημα χαῦνον, τὸ κυρίως οἴδημα καλεῖ. εἰ δὲ εἴπῃ οἴδημα σκληρόν, τὸν σκίρρον. εἰ δὲ εἴπῃ οἴδημα θερμὸν ἢ ζέον, τὸ ἐρυσίπελας. εἰ δὲ εἴπῃ οἴδημα ἐπώδυνον, τὴν φλεγμονήν. περὶ ἧς καὶ ποιεῖται τὸν λόγον. ἐνταῦθα φησὶ γὰρ οἴδημα γίνεσθαι ἐπώδυνον.

[17] κοινωνεῖ δὲ φλεψὶ καὶ νεύροις ἐπικαίροισι] καλῶς εἶπεν ἐπικαίροις. ἵνα μὴ νομίσῃς ὅτι συνδέσμους ἐνταῦθα ἐγκλ μόνους πάσχειν. ἀλλ' εἶπεν ἐπικαίροις. ἵνα δηλώσῃ προαιρετικὰ πάσχοντα νεῦρα.

[17] ὁ τένων δὲ ὁ ὀπίσθιος] τοῦτο προείρηται τὸ ὀστέον. χρὴ δὲ εἰδέναι ὅτι μύες ἀπὸ τῶν γονάτων τούτων προερχομένων καὶ σαρκουμένων, γίνεται ἡ γαστροκνημία. εἶτα προερχομένων γίνεται ὁ τένων ὁ ἐν τῇ πτέρνῃ. ἔτι δὲ προερχομένων καὶ εἰλουμένων, γίνεται τὸ πέλμα τὸ κάτω.

[18] καταπάμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν] διχῶς ἐξηγήσαντό τινες τὸ χωρίον. οἱ μὲν γάρ φασιν, ὅτι διαλεπτύνειν λέγει, ἀντὶ τοῦ ξέειν τὸ περὶ τὴν ἐπιφάνειαν δέρμα. λέγω τὸ πυκνότερον. καὶ οὕτω λοιπὸν ἀμυχὰς παρέχειν. οἱ δέ φασιν, ὅτι διαλεπτύνειν λέγει, ἀντὶ τοῦ πολλαῖς ἀμυχαῖς λεπταῖς εἰς τὸ περιεχόμενα λεπτύνειν δεῖ καὶ χρῆσθαι.

[22] ὑπτιασμοῦ χρονίου γινομένου] ὑπτιασμὸν καλεῖ τὸν ῥευματισμόν. ὥσπερ γὰρ ὑπτιαζόμενος ὁ στόμαχος ῥευματίζεται καὶ ἐμεῖ, οὕτω καὶ τὰ ἄλλα μόρια ὑπτιαζόμενα ῥευματίζεται.

[24] γένοιτο δὲ ἂν καὶ φλεβῶν αἱμορρόων ναυσιώσιες γαγγραινώσιες] ναυσιώσεις φησὶ τὰς ῥήξεις. γάγγραινα δέ ἐστιν ὁδὸς ἐπὶ νέκρωσιν. ὅταν σήψεως γινομένης, μελαίνωνται τὰ μόρια.

[27] ἐλλέβορον πίσαι αὐθημερὸν ἢ τῇ ὑστεραίῃ] πίσαι φησίν, ἀντὶ τοῦ πιπίσαι. ἀλλὰ ἄξιον ἀπορῆσαι πῶς λέγει ὅτι ἐλλέβορον δεῖ παρέχειν. καὶ οὐχὶ μᾶλλον φλεβοτομίᾳ χρῆσθαι. ὁ γὰρ ἐλλέβορος ἐπὶ γαστέρα φέρει τὰ ῥεύματα. καὶ διὰ γαστρὸς κενῶν μᾶλλον ἐπικαλεῖται τὰ ῥεύματα.

A καὶ λέγομεν ὅτι ὅταν λέγῃ Ἱπποκράτης ἀπροσδιορίστως ἐλλέβορον, τὸν λευκὸν λέγει ὡς εἴωθε δι᾽ ἐμέτων. καὶ νῦν καὶ πῶς δραστικῷ κέχρηται; καὶ λέγομεν ὅτι ἐπὶ τῶν χρονίων Ἱπποκράτους ἐρρωμένοι ἦσαν, καὶ ὑπέφερον καὶ τὰ δραστικὰ βοηθήματα. (ἴσχειν.

[28] παλιγκοταίνειν] παλιγκοταίνειν φησὶν, ἀντὶ τοῦ χειρόνως

[28] ὑπέρυθρα γὰρ καὶ ὑπόσκληρα] δῆλον γὰρ ὅτι πολλὴ B ἐπιρροὴ αἵματος γέγονε.

[29] καὶ μὴ οἴνῳ, ἀλλ᾽ ὀξυγλυκεῖ] τινὲς λέγουσιν ὅτι ὀξύμελι λέγει προσφέρειν, διὰ τὸ τέμνειν. ἄλλοι δέ φασιν ὅτι ὀξύγλυκυ λέγει, τὸ ἀπὸ μέλιτος. πολλὰ γὰρ πάσχουσι νεῦρα. τὸ δὲ ὄξος, τοῖς νεύροις πολέμιόν ἐστι.

[30] καὶ τὰ περιέχοντα ὑπόχλωρα γὰρ] ὑπόχλωρα λέγει τὰ ὕπωχρα. ταῦτα γὰρ καλά εἰσι. διότι κόσμον φύσεως δη- C λοῦσι, καὶ τὴν εἰς ποιὸν μεταβολήν.

ΠΕΡΙ ΚΝΗΜΗΣ.

[34] ἡ δὲ κνήμη δύο ὀστέα ἐστί] ἐντεῦθεν ἄρχεται ἐπὶ τὸν περὶ κνήμης λόγον. ἐν ᾧ δεῖ ἡμᾶς ζητῆσαι τήν τε ὀνομασίαν αὐτῆς καὶ τὸ εἶδος. καὶ τὴν κατασκευὴν, καὶ τὰ πάθη, καὶ τὴν θεραπείαν. δεῖ τοίνυν εἰδέναι, ὅτι κνήμη καλεῖται κυρίως μὲν τὸ ὀστοῦν τὸ ἔμπροσθεν ὄν. τὸ γὰρ ἄλλο, περόνη καλεῖται. καὶ D αὕτη μὲν ἐστὶν ἡ ὀνομασία. ἡ δὲ θέσις, δήλη ἐστίν. ὅτι μεταξὺ γόνατός τε καὶ ποδός ἐστιν. ἔχει δὲ τοιαύτην κατασκευήν. δεῖ τοίνυν εἰδέναι ὅτι κατὰ τὸ ἄνω μάλιστα μέρος τῆς περόνης, ἐστὶ παχυτέρα ἡ κνήμη. διαρθροῦται δὲ καὶ πρὸς τὸν μηρὸν, τὸν τρόπον τοῦτον. ἔχει ἡ κνήμη δύο κοιλότητας. ὁ δὲ μηρὸς δύο κυρτότητας. αἵ τινες ἡρμοσμέναι εἰσὶ ταῖς τῆς κνήμης κοιλότησι. ἔχει δὲ καί τινας ἐξοχὰς ἡ κνήμη. αἵ τινες οὐκ ἐῶσιν εὐ- E κόλως γίνεσθαι τὰ ἐξαρθρήματα. οὐ μόνον δὲ ταύταις ἡ φύσις ἠρκέσθη, ἀλλὰ καὶ συνδέσμοις ἔδησε τὸ ἄρθρον. καὶ οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ καὶ τὴν καλουμένην μύλην ἐπέθηκεν, ἥτις ἐπάνω τοῦ γόνατος ἐπίκειται. καὶ οὕτω μὲν ἡ κνήμη εἰς τὰ ἄνω διαρθροῦται. ἀλλ᾽ οἷον ὑποβέβληται. πρὸς δὲ τὸ μέρος τὸ κάτω, οὐκ ἔτι οὕτω λεπτοτέρα ἐστὶν ἡ περόνη τῆς κνήμης. ἔρχεται δὲ ἐκ τῶν ὀπίσω ὡς ἐπὶ τὰ ἔμπροσθεν. καὶ ποιοῦ- F σιν ἀμφότερα τὰ ὀστᾶ δύο ἐξοχὰς, ἀνὰ μίαν φημί. αἵ τινες τὰ σφυρὰ ἐργάζονται, ἅ τινα καταχρηστικῶς οἱ ἰδιῶται ἀστραγάλους καλοῦσιν. ὧν τὸ μὲν, ἔξω κεῖται. τὸ δὲ ἔσω. ἔχει δὲ καὶ ἡ κνήμη κοιλότητά τινα. εἰς ἣν διαρθροῦται ὁ κυρίως ἀστράγαλος. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι κατὰ τὸ μέσον ἡ κνήμη τῇ περόνῃ οὐ κάμπτεται. ἀλλὰ διακένωμά ἐστιν. ἵνα ἀγγείων πάροδος γένηται. αὕτη καὶ ἡ κατασκευή. πάθη δὲ ἴσχει διάφο- G ρα. πάσχει γὰρ καὶ κάταγμα καὶ ἐξάρθρημα. καὶ τέως περὶ τοῦ ἐν τῷ κάτω μέρει τοῦ πρὸς τὸν πόδα ἐξαρθρήματος ἡμῖν παραδίδοι. καὶ οὕτως ἔρχεται ἐπὶ τὴν θεραπείαν. καί φησιν ὅτι δεῖ μετὰ τὴν τάσιν τε καὶ ἀντίτασιν ἐπιδῆσαι. καὶ πλείοσι χαλαστικοῖς χρήσασθαι. οὐ δεῖ δὲ καλάμους βάλλειν. ἀνώμαλον γάρ ἐστι τὸ μέρος ἐκεῖνο. εἶτα δὴ ἀνάρρόπως καὶ ὑψηλοτέρως ἀποτίθεσθαι τὸ σκέλος, ἵνα μὴ ῥευματίζηται; διαίτῃ δὲ λεπτομερεῖ

Respondemus ab Hippocrate, quãdo indefinitè helleborum dicit, intelligi albũ, quo vomitum ciere solet. Nunc verò quomodo tam efficaci medicamento vtitur? dicimus temporibus Hippocratis homines fuisse robustiores, quiq; melius medicamenta eiusmodi valida perferebant.

Recrudescere] παλιγκοταίνειν dicit, pro eo quod est deterius habere.

Subrubicunda sunt & subdura] Manifestũ enim multum sanguinis effluxisse.

Non vino, sed fauorum cremore decocto] Quidã aiunt ab Hippocrate oxymel offerri, quia incidat, alij ὀξύγλυκυ quod fit ex melle, multis enim modis afficiuntur nerui. Acetum autem neruis inimicum est.

Proximæ partes subuirides sunt] ὑπόχλωρα dicit τὰ ὕπωχρα id est quadantenus pallida. Hæc enim pulchra sunt, quia naturæ concinnum ordinẽ & in qualitatem mutationem indicant.

DE TIBIA.

Tibia binis ossibus continetur] Hinc sermonem de tibia orditur, in quo nobis inquirendum de ipsius nomine, specie, cõstitutione, affectibus & curatione. Sciendum igitur vocari propriè κνήμην os illud tibiæ anterius. Aliud enim vocatur περόνη, i. sura, & hæc est denominatio. Collocatio verò manifesta: siquidẽ inter genu & pedem est, & talem habet cõstitutionem. Sciendum igitur in superiori parte περόνης, i. fibulæ tibiã esse crassiorem, articulatur verò ad femur hoc modo. Habet tibia duas cauitates, femur duas gibbositates, quæ quidem tibiæ cauitatibus aptãtur. Habet autem tibia nonnullas eminentias, quæ non facilè luxationes fieri permittunt. Neq; his solis natura est contenta, sed etiam articulum tendinibus colligauit; nec adhuc his contenta, quinetiam molam quam vocant apposuit, quæ supra genu adiacet. Atq; hoc modo quidem tibia cum superioribus articulatur, fereq; substernitur. In inferiori autem parte non amplius ita tenuis sura ac ipsa tibia. Progreditur autem ex posterioribus veluti ad anteriora, & vtraque ossa duas eminentias faciunt, singula videlicet vnam. Quæquidem malleolos constituunt, quos abusiuè imperiti talos vocant, quorum vnus quidẽ extra, alter verò intus iacet. Habet autem tibia cauitatem quandam in quã articulatur, qui propriè talus vocatur. Istud autẽ nosse oportet circa medium crus non flecti ad suram, sed inane esse spatium, vt fiat vasorum transitus. Atq; ista est constitutio. Affectus autem habet varios, fracturis enim & luxationibus afficitur: & hactenus nobis de luxatione quæ fit in inferiori parte pedis tractationem exhibet, sicq; ad curationem progreditur. Et post tensionem & in oppositum factam distentionem deligationẽ faciendam esse dicit, multisq; laxantibus fouẽdam. Non sunt autem arundines apponendæ, siquidem est illa pars inæqualis, deinde ita collocãdum crus vt in altum & sublime vergat, ne fluxionibus tentetur. In eiusmodi autẽ affectibus tenui victu vtendum. Quum autem de tensione & in oppositũ distentione nihil dixerimus, agedũ de iis disseramus, varia enim est in iis tẽsio oppositaq; distentio. Oportet enim, inqt, nisi habeas qui satis sint ad validã tensionem & in oppositam distentionẽ,

H χρήσασθαι ἐπὶ τῶν τοιούτων. ἐπεὶ δὲ περὶ τῆς τάσεώς τε καὶ ἀντιτάσεως οὐδὲν διελέχθημεν, φέρε καὶ περὶ ταύτης διαλεχθῶμεν. ποικίλη ἐστὶν ἐπὶ τῶν τοιούτων ἡ τάσις καὶ ἡ ἀντίτασις. δεῖ γάρ φησιν ἐὰν μὴ ἔχῃς τοὺς ἀρκοῦντας ἀνθρώπους τὸ τεῖναι καὶ ἀντιτεῖναι,

hominem ita collocare, vt inter media ipsius crura lignum rectum in terrã defigatur, ne extensus æger ad anteriora sequatur. Ob eam autẽ causam lignũ, quod Iones πλήμνην vocant, hoc est rotę modiolum, in terram è regione ægri defigere oportet, deinde illuc pistillum intrudere, & ad illud extremum pedem deligare, vt fiat tensio & in oppositum distentio. Alioqui oportet ægro reclinato deinde trabeculam supra & infra perforatam lecto subiicere, moxque deligato ęgro in poplite & pede extremo tensionem & in oppositum distentionem facito. Quòd si hoc non placet, axiculo vtendum. ὀνίσκος enim est lignum in quo rota versatur, quo ad puteos vtuntur. Ab altera ergo parte ligato ægro, ab altera axiculo, extremum pedem trahito, & ita tensionem & in oppositum distentionem facito, & quando animaduertes articulationes ad recta tendere, tum eas reponito.

Hac quidem parte multò tenuius] Id est, in altera parte multò est tenuius vnum os, quasi dicat multò tenuius est altero.

Sed è regione tibiæ non coniunguntur] Hoc est, quòd in totum ossa inter se non coaptãtur. Nam quum in medio inflectantur, non appropinquant se inuicem, quia vt dictum est, illinc vasorum transitus patet.

Appendix verò discrimen] Est enim illic, vt dictũ est, appendix, quæ discrimẽ habet. Discrimen autem vocat insertionem.

Quod à parte minimi digiti] Vbi sura sita est.

Extenuationem autem corporis] Extenuationem victus rationem dicit.

Quacunque autem ossa non perfectè in sua sede se habent] Aliquod paradoxum vult tradere Hippocrates. Ait enim si os aliquod suo loco motum fuerit, neque secundum rationem repositum, vt pote callo genito, osque ad illam partem moueatur, redditur quidem os ea parte in quam emotum est crassius, ex qua verò excessit, tenuius. Quum ita de hoc disseruerit ad tibiæ curationem accedit. Et ait, si os fractum fuerit, tensione & in oppositum distentione vtendum, deinde deligandum modo à nobis sæpius dicto, & circa vndecimam ferulas adhibendas, siquidem rectè omnia fiãt. Sit autẽ positio recta, non angularis, quemadmodum in manu, neq; enim eadem cõsueuit esse positio. Nam in pede recta figura est secundum naturam, quia recti musculi seruantur, & inter quiescendum, sicuti inter operandum, ea figura esse solemus. Postquam de his hoc modo disseruit, ait canalibus esse vtẽdum. Oportet autem eos esse plumbeos vel ligneos. Vtitur verò iis in fractura, ne pars agitetur, neque vincula peruertãtur. Hippocrates autem nihil magnum præstare dicit. Et cùm corpus cõcutitur & quod faciunt canales, id ad vinculorum conseruationem ferulas facere affirmo. Iis autem similiter est vtẽdum, ne existimemur per negligẽtiam istud omittere. Ac si inde error oriatur, culpã in Medicũ conijciũt. Postq̃ de his sic disseruit, ait vbi tibia & sura fractæ sunt pulchrius circunferre suram q̃ tibiam. Nam os suræ est fungosius, neq; conspicuus est in eo lapsus. Sed est tenuius, neq; errores in eo ita sunt conspicui. Ad hæc tibia semper in actione versatur & articulum facit, non autem sura.

καθίσαι τὸν ἄνθρωπον. καὶ μέσον τῶν σκελῶν αὐτοῦ βάλλειν εἰς τὴν γῆν ὄρθιον ξύλον. ἵνα μὴ ἑλκόμενος ὁ πάσχων ἐπὶ τὰ ἔμπροσθεν χωρῇ. διὰ τὴν αὐτὴν δὲ αἰτίαν, δεῖ ξύλον βάλλειν πλήμνην εἰς τὴν γῆν, ἔπειτα ἀντικρὺς αὐτοῦ. εἶτα ἐκεῖ βάλλειν ὕπερον. εἶτα δῆσαι τὸν ἄκρον πόδα εἰς τὸ ὕπερον. ἵνα γίνηται ἡ τάσις καὶ ἡ ἀντίτασις. εἰ δὲ μὴ βούλει οὕτω ποιῆσαι, δεῖ ἐς τὸν ἄρρωστον ἀνακλῖναι. εἶτα βάλλειν ὑπὸ τὴν κλίνην δοκίδα ἔχουσαν ἄνω καὶ κάτω τρήματα. εἶτα δήσας τὸν ἄρρωστον ἀπό τε τῆς ἰγνύος καὶ τοῦ ἄκρου ποδὸς, ποίει τὴν τάσιν καὶ ἀντίτασιν. εἰ δὲ μὴ οὕτω βούλει, ὀνίσκῳ χρῆσαι. ὀνίσκος δέ ἐστι, ξύλον εἰς ὃ ὁ τροχός ἐστιν. ᾧ τινι καὶ εἰς τὰ φρέατα κέχρηνται. δήσας οὖν ἄλλῃ μὲν τὸν ἄρρωστον, ἄλλῃ δὲ τὸν ὀνίσκον, τὸν ἄκρον πόδα ἕλκε. καὶ οὕτω ποίει τὴν τάσιν καὶ ἀντίτασιν. καὶ ὁπηνίκα εἰδῇς ὅτι κατ᾽ εὐθὺ ἦλθον τὰ ἄρθρα, τότε ἔμβαλλε αὐτά.

[34] τῇ μὲν συχνῶς λεπτότερον] τουτέστιν ὅτι ἐπὶ τὸ ἕτερον μέρος συχνῶς ἐστι λεπτότερον τὸ ἓν ὀστοῦν. ἀντὶ τοῦ πάνυ λεπτότερόν ἐστι τοῦ ἑτέρου.

[36] ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται] τουτέστι ὅτι ὅλως οὐκ εἰσὶ τὰ ὀστᾶ ἡρμοσμένα ἀλλήλοις. κατὰ γὰρ τὸ μέσον ἐπικαμπῆ ὄντα, οὐκ ἐγγίζουσιν ἀλλήλοις. διὰ τὸ ὡς εἴρηται πάροδον ἐκεῖθεν εἶναι τῶν ἀγγείων.

[37] καὶ ἡ ἐπίφυσις διάφυσιν] ἔστι γὰρ ὡς εἴρηται ἐπίφυσις ἐκεῖ. ἥτις ἔχει καὶ διάφυσιν. διάφυσιν δὲ καλεῖ τὴν κατάφυσιν.

[38] τὸ κατὰ τὸν σμικρὸν δάκτυλον] ἔνθα ἡ περόνη κεῖται.

[56] τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος] ἰσχνασμὸν τὴν δίαιταν λέγει.

[59] ὁπόσα μὲν τοι τῶν ὀστέων μὴ τελέως ἔχῃ] παράδοξόν τι βούλεται παραδοῦναι ὁ Ἱπποκράτης. φησὶ γὰρ, ὅτι ἐὰν ἐκστῇ ὀστέον καὶ μὴ κατὰ λόγον εἰσενεχθῇ, ἅτε τοῦ πώρου γινομένου, καὶ κινουμένου κατ᾽ ἐκεῖνο τὸ μέρος τοῦ ὀστέου, γίνεται τὸ μὲν, εἰς ὃ ἐξέστη, παχύτερον. τὸ δὲ ἀφ᾽ οὗ ἀπέστη, λεπτότερον. οὕτω περὶ τούτου διαλεχθεὶς, ἔρχεται καὶ ἐπὶ τὴν θεραπείαν τῆς κνήμης. [60] καί φησιν ὅτι ἐὰν καταγῇ ὀστοῦν, δεῖ τεῖναι καὶ ἀντιτεῖναι. εἶτα ἐπιδῆσαι κατὰ τὸν πολλάκις ἡμῖν εἰρημένον τρόπον. καὶ περὶ τὴν ἑνδεκάτην βάλλειν νάρθηκας. ἢν κατὰ λόγον ἅπαντα γίνωνται. ἡ δὲ κατάθεσις ἔστω ἐπ᾽ εὐθείας οὖσα μὴ ἐγγώνιος ὥσπερ ἐπὶ χειρός. οὐδὲ γὰρ ἡ αὐτὴ εἴωθε κατάθεσις εἶναι. ἐπὶ γὰρ τοῦ ποδὸς κατὰ φύσιν ἐστὶ τὸ εὐθὺ σχῆμα διότι καὶ οἱ μύες ἐπ᾽ εὐθείας φυλάττονται. καὶ ἐν τῷ ἀναπαύεσθαι δὲ οὕτω σχηματίζεσθαι θέλομεν. καὶ ἐν τῷ ἐνεργεῖν ὡσαύτως. οὕτω περὶ τούτων διαλεχθεὶς. φησὶν ὅτι δεῖ καὶ σωλῆσι χρήσασθαι. δεῖ δὲ ἢ μολιβδίνους αὐτοὺς εἶναι, ἢ ξυλίνους. κέχρηται δὲ τούτοις κατὰ τοῦ κατάγματος. διὰ τὸ μηδὲ μόριον σαλεύεσθαι. μὴ δὲ τοὺς δεσμοὺς διαστρέφεσθαι. καὶ φησὶν Ἱπποκράτης ὅτι οὐδὲν μέγα ποιοῦσι. καὶ τὸ σῶμα γὰρ σαλεύεται. ποιοῦσι σωλῆνες. νάρθηκας δύνανται ποιεῖν εἰς τὸ φυλάττειν φημὶ τοὺς δεσμούς. ὁμοίως δὲ δεῖ καὶ τούτοις χρήσασθαι. ἵνα μὴ νομισθῶμεν διὰ ῥαθυμίαν τοῦτο μὴ ποιεῖν. κἀντεῦθεν πταίσματος γινομένου, τὴν αἰτίαν τῷ ἰατρῷ περιβάλλουσιν. ἔπειτα τούτων διαλεχθεὶς, φησὶν ὅτι κάλλιόν ἐστι περιοδεύεσθαι κνήμης καὶ περόνης κλασθείσης, τὴν περόνην ἢ περὶ τὴν κνήμην. τὸ γὰρ τῆς περόνης ὀστοῦν, καὶ σομφοδέστερόν ἐστιν. οὐδὲ διαφαίνεται τὰ ἐν αὐτῇ πταίσματα. ἀλλὰ λεπτότερόν ἐστι. καὶ οὐδὲ διαφαίνονται τὰ ἐν αὐτῇ πταίσματα. πρὸς δὲ τούτοις καὶ ἡ κνήμη ἐστὶν ἡ ἐνεργοῦσα καὶ διαρθρουμένη. καὶ οὐχ ἡ περόνη.

A

De Femore.

Si autem femori os fractum sit] Quandoquidem propositum ipsi de femore disserere, operæpretium est nos primò ipsius constitutionem dicere. Sciendum ergo os femoris ad genu duas habere leuiter sinuosas curuitates. Est enim illic neruus χονδρώδης ligamenti vicem obtinens, & super ea omnia ἐπιγονατὶς, quæ etiam mola vocatur. Ista est eius inferior structura. Superior verò est eiusmodi, habet tres curuitates, quarum media quidem vocatur ischium, exterior λαγὼν siue γλουτὸς, id est natis, interior ἥβη, id est pubes, quæ perforata est, quod illac transeant cremasteres. Et hæc est superior structura. Media autem talis est. Supra quidem & extra est curua, intus verò & infra caua. Et pars interior caua est ob complexum, aut quod habeat perspirationem: inferior autem, quia desideat, ne gibbus cum gibbo coniungatur. Deinde postea tensione & opposita distentione vtendum, & modo sæpe dicto curandus æger. Si orta sit inflammatio aut infra aut supra, oportet succidam lanam & vinum cum oleo mixtum immittere, & laxantia atque discutientia omnia, deinde deligãdum vt in superiorem fracturæ partẽ vinculum feratur, ne fluxiones ad fracturam attrahamus.

Quod femur ab exteriori parte obtortum] γαῦσος pro ἐπικαμπὴς, id est incuruum.

Tale quidpiam moliri oportet quale traditum est in brachio] Quo enim modo illic iniectam fasciam in oppositam costam deligabamus, ne ossa ad gibbas partes ferri permitterentur, ad eundem modum & in femore agendum.

Maximam confusionem præbeat] τύρβην dixit ἀντὶ τοῦ διαστροφὴν, id est peruersionem.

Sectio tertia.

Ista igitur iis contingunt, quibus ossa quidem fracta sunt] Hæc speculatio tria continet capita. In primo disseritur de fracturarum compositione. In secũdo verò malè susceptam curationem, & in tertio rectam tradit. Quod ad primum, sciendum est fracturam vel cum vlcere vel sine eo esse. Si cum vlcere aut simpliciter ita fit, aut etiam ossis transmutatio id efficit. Sed istud os aut vulnerauit, & extra eminet, & tum vocatur ἐκβύρσωμα, id est eminentia extra corium: aut non extat, & vocatur simpliciter fractura cum vlcere. Omnia autem ista sunt composita, dico quæ cum vlcere. Sed meliori iure composita vocantur, præsertim quæ sunt cum materiæ affluxu. Sæpe enim humor acris influẽs vlcus excitauit, quando etiam squamarum abscessus fiũt. Si autem fractio sit in multas tenues partes, quòd ἀλφιτηδὸν Græci dicunt, vocatur & ista composita. Hæc est fracturarum diuisio. Mala autem curatio hæc est. Nonnulli enim Medici vlcere cum fractura existente, non vtebantur statim diuisione. Sed vlcus ad cicatricem deducentes, tunc tensione & in oppositum distentione vtebantur, quando obducto callo attritoque in tensione dolores fiebant. Sæpenumero etiam procul ossa inter se distabant, callo non permittente vt ipsa in directum concedant. Si id in manu contingebat, mediocre: si verò in pede, molestum. Pes enim claudus reddebatur. Alij non ita vtebantur.

ΠΕΡΙ ΜΗΡΟΥ.

"ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ] ἐπεὶ πρόκειται αὐτῷ περὶ μηροῦ διαλεχθῆναι, ἄξιον ἐστὶν ἡμᾶς εἰπεῖν πρότερον τὴν κατασκευὴν αὐτοῦ. δεῖ τοίνυν εἰδέναι, ὅτι τὸ πρὸς τῷ γόνατι τοῦ μηροῦ, ἔχει δύο γλωσσοειδεῖς κυρτότητας. ἔστι δὲ ἐκεῖ καὶ νεῦρον χονδρῶδες, σύνδεσμος. καὶ ἐπάνω τούτων ἡ ἐπιγονατίς. ἥτις καὶ μύλη καλεῖται. αὕτη μὲν αὐτοῦ ἐστὶν ἡ εἰς τὸ κάτω κατασκευή. εἰς δὲ τὸ ἄνω, ἔστι τοιαύτη. ἔχει τρεῖς κυρτότητας. ὧν ἡ μὲν μέση, καλεῖται ἰσχίον. ἡ δὲ ἔξω, λαγὼν καὶ γλουτός. ἡ δὲ ἔσω, ἥβη. ἥτις καὶ συντέτρηται διὰ τὸ παριέναι τοὺς κρεμαστῆρας ἐκεῖθεν. αὕτη καὶ τοῦ ἄνω κατασκευή. ἡ δὲ εἰς τὸ μέσον, ἐστὶ τοιαύτη. ἄνω μὲν καὶ ἔξω ἐστὶ κυρτός. ἔσω δὲ καὶ κάτω, κοῖλος. καὶ τὸ μὲν ἔσω, κοῖλον ἐστὶ. διὰ τὸ διαπλέκεσθαι ἢ ἔχειν διαπνοίαν. τὸ δὲ κάτω, διὰ τὸ καθέζεσθαι. μὴ κυρτῷ κυρτὸν προσομιλεῖν. εἶτα μετὰ ταῦτα δεῖ τείνειν καὶ ἀντιτείνειν. καὶ τῷ εἰρημένῳ πολλάκις τρόπῳ θεραπεύειν. δεῖ μέν τοι τοῦτο εἰδέναι, ὅτι ἐὰν γένηται φλεγμονὴ ἢ κατωτέρω ἢ ἀνωτέρω, δεῖ βάλλειν ἔρια ῥυπαρά, καὶ οἰνέλαιον. καὶ πάντα τὰ χαλῶντα καὶ διαφοροῦντα. εἶτα ἐπιδεῖν καὶ φέρειν τῇ ἄνω τοῦ κατάγματος τὸν δεσμὸν εἶναι. μὴ τὰ ῥεύματα εἰς τὸ κάταγμα ἑλκύσωμεν.

"ὅτι μηρὸς γαυσός ἐστι] γαυσός, ἀντὶ τοῦ ἐπικαμπής.

μηχανοποιεῖσθαι οἷάπερ ἐν βραχίονι] ὃν γὰρ τρόπον ἐκεῖ ταινίαν βαλόντες εἰς τὴν ἀντικειμένην δεσμοῦμεν πλευράν, ἵνα μὴ συγχωρῇ ἐπὶ τὸ κυρτὸν φέρεσθαι τὰ ὀστᾶ, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ μηροῦ δεῖ ποιεῖν.

"πᾶσαι γὰρ αἱ τύρβην παρέχοι] ἀντὶ τοῦ διαστροφήν.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Ταῦτα μὲν οὖν, ὅσοισι τὰ μὲν ὀστέα κατέηγε] τρία ἔχει κεφάλαια ἡ παροῦσα θεωρία. καὶ ἐν μὲν τῷ πρώτῳ διαλέγεται περὶ τῆς συνθέσεως τῶν καταγμάτων. ἐν δὲ τῷ δευτέρῳ τὴν θεραπείαν τὴν κακῶς παραλαμβανομένην παραδίδωσι. ἐν δὲ τῷ τρίτῳ, τὴν καλὴν παραδίδωσι θεραπείαν. καὶ πρὸς πρῶτον. δεῖ τοίνυν εἰδέναι ὅτι κάταγμα ἢ μετὰ ἕλκους γίνεται, ἢ χωρὶς ἕλκους. ἀλλ' εἰ μὲν, μετὰ ἕλκους, ἢ ἁπλῶς οὕτως γίνεται, εἰ καὶ μετάστασις αὐτοῦ ὀστέου εἰργάσατο, ἀλλὰ τοῦτο τὸ ὀστέον ἢ ἔρρωσε καὶ ἔμεινεν ἔξω. καὶ καλεῖται τὸ τοιοῦτον ἐκβύρσωμα. ἢ οὐ μένει ἔξω, καὶ καλεῖται ἁπλῶς κάταγμα μετὰ ἕλκους. πάντα δὲ ταῦτα δῆλον ὅτι σύνθετά εἰσι. λέγω δὲ τὰ μετὰ ἕλκους. ἀλλὰ μᾶλλον σύνθετα καλοῦνται. ἀλλὰ καὶ τὰ μετὰ ὕλης ἐπιρρύτου, σύνθετα καλεῖται. πολλάκις γὰρ δριμὺς χυμὸς ἐπιρρέων ἕλκος εἰργάσατο. ὅτε καὶ λεπίδος ἀποστάσεις γίνονται. ἐὰν δὲ καὶ ἀλφιτηδὸν κλασθῇ, καλεῖται καὶ τοῦτο σύνθετον. αὕτη μὲν οὖν ἡ διαίρεσις τῶν καταγμάτων. ἡ δὲ κακὴ θεραπεία, αὕτη ἐστί. τινὲς γὰρ τῶν ἰατρῶν, ἕλκους μετὰ κλάσματος ὄντος, οὐκ ἐχρῶντο παραχρῆμα τῇ διαιρέσει. ἀλλὰ τὸ ἕλκος εἰς ἀφύλωσιν φέροντες, τότε τῇ τάσει, καὶ τῇ ἀντιτάσει ἐχρῶντο. ὅτε πώρου γινομένου καὶ ἐλκομένου ἐν τῇ τάσει, ὀδύναι ἐγίνοντο. πολλάκις δὲ, ἀλλήλων ἀπέχοντα τὰ ὀστᾶ ἔμειναν. τοῦ πώρου μὴ συγχωροῦντος κατ' εὐθὺ αὐτὰ ἐλθεῖν. καὶ εἰ μὲν ἐπὶ χειρὸς ἦν, μέτριον. εἰ δὲ ἐπὶ ποδός, χαλεπόν. χωλὸς γὰρ ἐγίνετο ὁ πούς. ἄλλοι δὲ οὐχ οὕτως ἐχρῶντο.

Sed statim tensionem & oppositam distentionem adhibebant: deinde partes vlceri vicinas vinciebant, & mediam partem nudam dimittebant. Quid inde accidebat? materia circumcirca constrictione facta ad vlcus confluebat, & nudum vlcus aërique expositum remanebat. Frigidum autẽ vlceribus inimicum. Hæc est mala curatio. Bona verò quęnam est? Oportet tendere & in oppositum distẽdere, & latum iniicere vinculum, vt totùm vlcus semel non mediũ tantùm comprehendas, & continuò soluere, laxaq; esse vincula, & ceroto ad vlcus vti. Deinde si inflammatio sit transuersa (vlcus videlicet) in totum arundinibus non vti. Quòd si in directum tendat, vti quidem, supra vlcus verò minimè.

Nec testæ alicuius expectatio est, quæ ab osse abscedat] Pro eo, si non præbeat opinionem ossis abscessuri.

Eadem autem vlcerum curatio] Inde rursus fracturam cum vlcere curare aggreditur. Hoc autem vlcus non fit ob fracturam, sed ob humoris acrimoniã, aut propter coarctationem, aut nõ liberam vinculorum perspirationem, aut propter ferularũ prauam appositionem. Vnde verò constat vlcus fieri debere? Primum ex dolore, postea & morsus contingit & immoderata inflammatio & rubor. Tum igitur oportet ęgrum soluere & fouere atque cerato vti & vino abluere atque eiusmodi: deinde accedere ad fracturam, & ista constringere, vt fluxiones auertamus, atque ita ad superiores partes accedere. Sed aliquando testæ fit abscessio. eaque aut parua est aut magna. At vnde manifestum erit squamę fore abscessum? quòd vlcus sit hians & diductis labris, & quòd feratur os in exteriores partes, & quòd ichores crudi ex eo fluant, vt pote ex humore mordicante. Tunc igitur soluere oportet & abluere & laxè deligare. Si autem squama magna fuerit, tunc diligentia multa adhibenda, vinculum autem transuersim in modum literæ X immittẽdum, & non ligandum. Sufficit enim fotus ex vino admixto oleo. Oportet, inquit, corium subiicere, vt ichores defluãt.

Et videtur ad exitum festinare] ὀργᾷν ἀντὶ τοῦ ἐπὶ τὰ ἔξω φέρεσθαι ad exteriora ferri.

Pellis autem caprina substernenda] ἰξάλην δέρμα vocat.

Si quis autem velit bene & expeditè rẽ agere] Hîc Hippocrates nobis machinas aliquot tradere vult, dicitque eos qui machinas confecturi sunt, tales efficere vt non iuuent. Quidam enim ita consuerunt velut in tibia fracta extremum pedem deligandum esse. Innuentes non debere pedem agitari, sed falsò. Eo enim deligato cùm reliquum corpus conuertitur, æger etiam partem iuxta fracturam sitam peruertit. Alij rursus post septimam diem tensionem & in oppositum distentionem faciunt, alij post quartam. Errant autem vtrique. Quando enim critica est dies, & materia commota, tum etiam illi roboris & facultatis auxilium peruertunt, præterquam quòd minus illi peccant, qui post illud auxilium tensione vtuntur. Cur autem post inflammationum vigorem tensione vsi sunt? Non igitur oportet, inquit, tales machinationes admouere. Verùm siquidem in totum aliud cõmentum dicendum est, tale esto. Oportet duos loculos in farciminum formam consuere, vt vnusquidem infra

ἀλλὰ εὐθέως τάσει καὶ ἀντιτάσει ἐχρῶντο. εἶτα τὸ περὶ τοῦ A ἕλκους ἐπεδέσμουν. καὶ τὸ μέσον ἠφίεσαν γυμνόν. καὶ τί ἐγίνετο; αἱ ὗλαι περισφίγξεως γινομένης, εἰς τὸ ἕλκος συνέρρεον. καὶ γυμνὸν ἔμενε τὸ ἕλκος. καὶ τῷ ἀέρι προσομιλοῦν· τὸ δὲ ψυχρὸν, τοῖς ἕλκεσιν ἐστὶ πολέμιον. αὕτη ἐστὶν ἡ κακὴ θεραπεία. ἡ δὲ καλὴ, ποία ἐστί; δεῖ τεῖναι καὶ ἀντιτεῖναι, καὶ πλατὺν βαλεῖν ἐπίδεσμον. ἵνα ὅλον τὸ ἕλκος ἅπαξ περιλάβῃς. καὶ μὴ κατὰ μόνου τοῦ μέσου αὐτοῦ. καὶ συνεχέστερον λύειν. B καὶ χαλαροὺς εἶναι τοὺς ἐπιδέσμους. καὶ κηρωτῇ χρῆσθαι κατὰ τοῦ ἕλκους. εἶτα μετὰ ταῦτα δεῖ, εἰ μὲν ἐγκαρσία ἐστὶν ἡ φλεγμονὴ, ἤγουν τὸ ἕλκος, μὴ δὲ ὅλως καλάμοις χρῆσθαι. εἰ δὲ ἐπ' εὐθείας ἐστὶ, χρῆσαι μὲν, ἐπάνω δὲ τοῦ ἕλκους μὴ χρήσῃ.

καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις ὀστρακίδων] ἀντὶ τοῦ ἐὰν παρέχῃ δόκησιν ἀποστάσεως ὀστέου. C

[31] ἡ αὐτὴ δὲ ἴησις τῶν ἑλκέων] ἐντεῦθεν πάλιν κάταγμα μεθ' ἕλκους βούλεται θεραπεῦσαι. τοῦτο δὲ τὸ ἕλκος οὐχ ὑπὸ τοῦ κατάγματος γέγονεν. ἀλλὰ ἢ διὰ χυμοῦ δριμύτητα. ἢ διὰ σφίγξιν ἀδιαπνευστίαν τῶν ἐπιδέσμων. ἢ διὰ μοχθηρὰν τῶν ναρθήκων ἀπόθεσιν. καὶ πόθεν δῆλον εἰ μέλλει ἕλκος γενέσθαι. πρῶτον μὲν ἐκ τῆς ὀδύνης. ἔπειτα δὲ καὶ δῆξις γίνεται. καὶ ἄμετρος ἡ φλεγμονή. καὶ ἐρύθημα. δεῖ οὖν λῦσαι D τηνικαῦτα τὸν πάσχοντα, καὶ ἀποντλῆσαι. καὶ κηρωτῇ χρήσασθαι. καὶ οἴνῳ βρέξαι, καὶ τοῖς τοιούτοις. εἶτα ἐλθεῖν ἐπὶ τὸ κάταγμα. καὶ ταῦτα σφίγξαι. ἵνα τὰ ῥεύματα ἀποτρέψωμεν. καὶ οὕτως ἐλθεῖν ἐπὶ τὰ ἄνω. ἀλλ' ἔστιν ὅτε καὶ λεπίδος ἀπόστασις γίνεται. αὕτη δὲ ἐστὶν ἢ μικρὰ ἢ μεγάλη. καὶ πόθεν δῆλον ὅτι λεπὶς μέλλει ἀποστῆναι. ἐκ τοῦ σεσηρὸς εἶναι τὸ ἕλκος, καὶ ἐκ τοῦ ὡς ἐπὶ τὰ ἔξω φέρεσθαι τὸ ὀστέον, καὶ ἐκ τοῦ E ἰχῶρας ῥέειν ἀπέπτους. ἅτε διαβιβρώσκοντος τοῦ χυμοῦ. δεῖ οὖν καὶ τηνικαῦτα λύειν καὶ ἐπιβρέχειν. καὶ χαύνως ἐπιδεσμεῖν. εἰ δὲ μεγάλη εἴη λεπὶς, δεῖ καὶ τότε ἐπιμέλειαν πλείω ποιεῖν. δεῖ δὲ καὶ τὸν δεσμὸν χιαστῶς ἐπιφέρειν καὶ μὴ δεσμεῖν. ἀρκεῖ γὰρ ἐκ τῆς τοῦ οἰνελαίου σφίγξις. δεῖ φησιν δέρμα ὑποβάλλειν. ἵνα οἱ ἰχῶρες ἀπορρέωσι.

καὶ ὀργᾷν φαίνεται] ὀργᾷν, ἀντὶ τοῦ ἐπὶ τὰ ἔξω φέρεσθαι. F

ἰξάλην δὲ χρὴ ὑποτετάσθαι] ἰξάλην, δέρμα λέγει.

εἰ δέ τις μέλλει καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι] ἐντεῦθεν ὁ Ἱπποκράτης μηχανάς τινας ἡμῖν βούλεται παραδοῦναι. καὶ φησιν ὅτι δεῖ τοὺς μέλλοντας μηχανὰς ποιεῖν, σιαύτας ποιεῖν ἵνα μὴ ὠφελῶσι. τινὲς γὰρ ἐπενόησαν, οἷον ὡς ἐπὶ κνήμης κλασθείσης, τὸ ἀκρόποδα δεσμεῖν. αἰνιττόμενοι ὅτι οὐκ ἔχει ὁ ποὺς σαλεύεσθαι. ψευδῶς δέ. δεδεμένου γὰρ αὐτοῦ τὸ ἄλλο σῶμα στρεφόμενον, ὁ κάμνων διαστρέφει G τὸ κατὰ κλάσμα μέρος. ἕτεροι πάλιν εἰσὶν οἳ καὶ μετὰ τὴν ἑβδόμην ποιοῦσι τὴν τάσιν καὶ ἀντίτασιν. ἄλλοι δὲ μετὰ τὴν τετάρτην, πλάζονται δὲ καὶ ἀμφότεροι. ὅτε γὰρ κρίσιμός ἐστιν ἡμέρα, καὶ αἱ ὗλαι ἐκινήθησαν, τότε οὗτοι διαστρέφουσι τὴν βοήθειαν δυνάμεως. πλὴν ὅτι ἧττον πλάζονται οἱ μετ' αὐτὴν τείνοντες. διὰ τί δὲ μετὰ τὴν ἀκμὴν τῶν φλεγμονῶν τῇ τάσει ἐχρήσαντο; H οὐ δεῖ οὖν φησι τοιαύτας παραλαμβάνειν μηχανάς. ἀλλ' εἴ περ ὅλως ἕτερον μηχάνημα, λέγειν δεῖ. ἔστω τοιοῦτον. δεῖ βογαίτια δύο ῥάψαι. ἵν' ὦσιν ὡς ἀλλᾶντες. καὶ τὸ μὲν, ἵνα ἢ κάτω εἰ

A εἰς τὸ σφυρὸν περιειλημμένον. τὸ δὲ ἕτερον, ἄνω δὲ ὡς ἐπὶ τῷ γόνατι. δεῖ δὲ οὕτως τοὺς ἀλλᾶντας ἔσωθεν γεμίσαι. καὶ ἵνα πρὸς τῷ σώματι ὁμαλὸν ᾖ. τὸ δὲ ἄλλο ὑψηλὸν ᾖ. τὸ δὲ ἄνω ὑψηλόν. εἶτα ἐν τούτοις εἶναι δεῖ ἐξοχὰς ὡς ἐπὶ ὠτίων. λέγω δὲ ἐν τοῖς ὑψηλοῖς ἄνω τε καὶ κάτω. ἵνα ἐκεῖ ῥάβδους βαλλόμεναι. ἵνα ἀντιβαίνωσι, καὶ ἐπ' εὐθείας διατείνουσαι τὴν διάπλασιν φυλάττωσι.

B οἷσι δὲ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα] ἐνθεῦθεν ὁ Ἱπποκράτης ἐκβύρσωμα βούλεται τοίνυν θεραπεῦσαι. καὶ φησὶν ὅτι οὐ δεῖ μόνῃ τῇ ἀντιτάσει ἐπὶ τούτου χρήσασθαι. ἀλλὰ καὶ μοχλείᾳ. καὶ ἵνα ἄλλοι τείνωσι, οὐδὲ σιδήρεον ὅμοιον λάβῃς μοχλῷ. καὶ οὕτως ὠθήσῃς καὶ εἰσενέγκῃς τὸ ὀστέον. καὶ τότε τῇ καταγματικῇ καὶ μεθ' ἕλκεος οὔσῃ χρήσῃ ἀγωγῇ. δεῖ δὲ ταῦτα ποιεῖν πρὶν ἢ φλεγμοναὶ γίνωνται. οἷον C ἐν πρώτῃ ἢ δευτέρᾳ. μὴ δὲ γὰρ ἐν τρίτῃ, μηδὲ ἐν τετάρτῃ, μὴ δὲ ἐν πέμπτῃ μάλιστα χρήσῃ. ἀλλὰ μετὰ τὰς φλεγμονάς. εἴ ποτε δὲ σαρκίον ἢ δέρμα ἐμελάνθη, μηδὲν φησὶν ἀπρόσβολον ἵσταται ἀέρι τε καὶ πτύγμασιν. ἵνα μὴ ἀμέσως προσομιλῶσι ταῦτα τῷ ἀέρι. ἐὰν δὲ μὴ δυνηθῇς φησὶν ἀντιβάλλειν τὸ ὀστοῦν, μένον ἵνα σαπῇ καὶ πέσῃ. καὶ πόθεν ἔχω εἰδέναι ἐὰν σήπηται ταχέως καὶ πίπτῃ. ἢ οὔ; καὶ λέ- D γομεν διάφορα σημεῖα. πρῶτον μὲν ὅτι κἀνταῦθα ἰχῶρες φέρονται. καὶ σεσηρότα εἰσὶ τὰ χείλη. καὶ τὸ μὲν ἀνώτερον καὶ ἀσαρκότερον, ἑτοίμως πίπτει. τὰ δὲ ἄλλα δυσκόλως. ἐάν τε εἰς τὸ πεσεῖν βραδύνῃ, ἀπόπριζον αὐτά. εἰ δὲ ὀλίγον ἐξέχῃ. πολὺ δὲ κάτω ἐστί, μένον ἵνα ἰσχνανθῶσιν αἱ σάρκες. καὶ τότε σμίλῃ ἐπιγύμνασον. καὶ ἀποπρίσας πάλιν, χρῆσαι σύνθετον θεραπείαν ὥσπερ ἐπὶ τῶν λεπίδων ἐκέ- E χρησο.

αὕτη μεγάλη ἠμφεία] ἠμφείαν λέγει τὴν θεραπείαν.

ὀνίσκου τε περιαγωγή] ὀνίσκους λέγει τοὺς τροχούς. λέγω δὲ τὰς ἁμάξας.

ὅσοισι δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέχει] ἐπειδὴ ἐν τοῖς προλαβοῦσιν ἐκβύρσωμα ἐθεράπευε, βούλεται καὶ νῦν τὴν συνέχειαν τοῦ λόγου τέλειον τὸν περὶ ἐκβυρσώματος F ἡμῖν παραδοῦναι λόγον. καί φησιν ὅτι γίνεται ἐκβύρσωμα μὲν καὶ εἰς μηρὸν καὶ εἰς βραχίονα. ὅπερ καὶ χαλεπόν ἐστι. διὸ δεῖ παραιτεῖσθαι μᾶλλον εὐλόγου αἰτίας ματτόμενον, καὶ μὴ ἐγχειρεῖν ταῖς τοιαύταις ἰατρείαις. μεγάλα γάρ εἰσι τὰ ὀστέα καὶ δυσκόλως πωρούμενα, οἱονεὶ σφάζουσι τὸν ἄνθρωπον διὰ τὴν πολλὴν αἱμορραγίαν. καὶ φλεγμοναὶ δὲ καὶ σπασμοὶ καὶ πυρετοὶ παρακολουθοῦσιν. ἐν οἷς τὸ πρῶτον συμπληροῦ- G ται κεφάλαιον. δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ φησιν, ὅτι ἐὰν ἐκστῇ γόνυ, εὐκολωτέραν ἔχει τὴν ἴασιν, εἴπερ κορώνος ἐξιστάμενος. διότι καὶ αἱ κυρτότητες μικρότεραί εἰσι. καὶ αἱ κοιλότητες. τὰ γὰρ ὀστέα μεγάλα εἰσὶ καὶ πολυμύελα. ζητοῦσί τινες, διὰ τί ὅλως κοῦφά εἰσι τὰ ὀστέα καὶ μυελὸν ἔχοντα; καί φησιν ὁ Ἀριστοτέλης, ὅτι ἡ φύσις οὐ μόνον ῥώσεως ἐφρόντισεν, ἀλλὰ καὶ κινήσεως. διὰ μὲν οὖν τὴν ῥῶσιν ἐποίησεν αὐτὰ γεώδη, καὶ στερεὰ εἶναι, δίκην ἔχουσι θεμε- H λίου. διὰ δὲ τὴν κίνησιν, ἐπώρωσεν αὐτά. ἵνα μὴ τῷ ἔχειν αὐτὰ κενότητα, βάρους αἴτια τοῦ σώματος γίνωνται. ὅτι γὰρ τοῦτό ἐστιν ἀληθές, δῆλον. φασὶ γὰρ τὰ τῶν ἐλεφάντων καὶ λεόντων ὀστᾶ καὶ πάντων τῶν γενναίων ζώων

ad malleolũ sit conuolutus, alter supra ad genu. Oportet autem ista farcimina intus ita replere, & vt æqualitas corpus contingat, reliquum sublime sit, superiore verò parte sublime. deinde in iis debent esse eminentiæ instar auricularum. In sublimibus, inquam tum supra tum infra, vt in hac virgæ immissæ contra se tendant, & in directum extensæ conformationem seruẽt.

[38] *Quibus ossa fracta & cute excedentia*] hîc Hippocrates vult ἐκβύρσωμα id est eminentiam illam extra corium curare, & ait in eo non sola extensione esse vtẽdum, sed etiam per vectem molitione, & vbi alii tendant. neq; ferrum simile vecti sumes, & ita propelles atq; repones os, & tunc doctrina ad fracturas cum vlcere accommodata vteris. Oportet autẽ ista fieri antequam inflammationes oriantur, videlicet prima aut secunda die. Neq; enim tertia, neq; quarta, neq; maximè quinta vteris, sed post inflammationes. Si autem caro aut cutis nigrescat, nihil, inquit, collocatur quod non defendat aërem & panniculos complicatos, ne ista immediatè aëri exponantur. Si autem os, inquit, non potueris retrudere, expecta donec putrescat & cadat. Qua autem ratione scire potero, vtrum breui necne putrescat & cadat? Dicimus varia signa, primũ quoniam hinc ichores ferãtur, & labra sunt expansa & plurimum diducta, & quod superius est carnisque expers promptè cadit, alia cum maiori difficultate. Si verò cadere moretur, ipsa præcide. Si parum excedat, & maior pars infra sit, expecta donec carnes attenuatæ fuerint, & tũc scalpello os denudato, & præcidens rursus vtere composita curatione, quemadmodum vsus es in squamis.

Hæc curatio maximum momentum habet.] ἠμφείαν vocat θεραπείαν.

Axis versatio] ὀνίσκους vocat τροχοὺς id est orbes. Intelligo autem currus.

καὶ ἐγκεγλευκισμένος μέλας] Sic legunt meliora exemplaria manu scripta quæ secuti sumus. Dicitur autem ἐγκεγλευκισμένος Galeno in Exegesi ὁ ὑπόγειος πεπαυμένος τοῦ γλεύκους εἶναι, vinum quod in cella subterranea reconditum mustum esse desiit, iamque deferbuit, aut ita processit, vt sit vinum factum, vt loquitur † † Varro. Neque verò dubium est quin locus iste in Exegesi subnotetur, etsi pro ἐγκεγλευκισμένος quidam ἐγλευκισμένος legunt. Sed mendosam esse lectionem satis indicat explicatio quam apponunt, ὁ ὑπόγειος πεπαυμένος τὸ λευκὸς εἶναι. Vinum autem diu repositum & conditum, tenuandi, discutiendi & calfaciendi vires acquirit. Cætera exemplaria ἐκλελευκισμένος vitiosè habent. Interpretes autem istud non assecuti sunt. Cornarius in totum præteriit. Caluus verò veratrum nigrum cum farina decoctum vertit, vt ἀληλεσμένος μέλας legisse videatur, aut aliam lectionem affinxisse, quòd μέλας Hippocrati veratrum nigrum simpliciter significet, lib. de rat. vict. in morb. ac. † † *Lib. 1. de re rust. cap. 65.*

G [73] Τῷ Καλλιμέδοντος, ξυνήνεγκε πρὸς τὸ φῦμα ἐν τῷ τραχήλῳ, σκληρὸν ἐὸν, καὶ μέγα, καὶ ἄπεπτον, καὶ ἐπώδυνον, καὶ ἀπόσχασις βραχίονος, λίνου σπόρῳ καταπλάσσειν πεφρυγμένῳ. οἴνῳ λευκῷ, καὶ ἐλαίῳ δεύοντα ἐπιδεῖν. μὴ θερμόν. μὴ δὲ ἑφθὸν ἄγαν. ἢ ξὺν μελικρήτῳ ἑψεῖν, ἄλευρον τήλιος. ἢ κριθῶν, ἢ πυρῶν. [74] Μελισάνδρῳ δὲ

H οὔλου ἐπιβαλόντος, καὶ ὄντος ἐπωδύνου. καὶ σφόδρα οἰδέοντος, ἀπόσχασις βραχίονος. στυπτηρίη Αἰγυπτίη ἐν

[73] Callimedontis filio ad tuberculum in ceruice enatum durum, magnum, immaturum & dolorem excitans, contulit vena secta in brachio, aut lini semen torrefactum vino albo & oleo maceratum cataplasmate impositum & deligatum, neque calidum, neque nimis coctum, aut fœnigræci farina, aut hordei, aut tritici in mulsa decocta. [74] Melisandro cùm magno gingiuæ dolore corriperetur, & valde intumesceret, vena in brachio secta est. Alumine Ægyptio per

initia adhibito reprimere conuenit. [75] Eutychidi cholera morbus in cruribus neruorum distentionem attulit cum inferna alui deiectione. Bilem abundè saturatam, multam, valde rubentem ad tres dies & noctes vomitione reiecit. Post quam bibit, & totius corporis imbecillitate & incontinenti iactatione vexatus est. Nihil continere poterat, ne mali quidem punici succum. Vrinæ suppressio & eius qui ad inferiora est pertransitus adfuit. Vomitione fœx mollis prodiit & deorsum erupit. [76] Aqua inter cutem laborantem sese laboribus exercere conuenit, sudare, panem edere, potu non multo vti, caput calida multa, imò potius tepida lauare. Vino albo, neque multo somno vti prodest. [77] Calligenem quinque & viginti annos natum destillatio malè afflixit, tussis multa, quod defluebat ægrè educebatur, nihil infra sustinebat, quatuor annis perdurauit. Per initia calores tenues aderant, veratrum non profuit, sed modicus cibus, & corpus macerare, pane in cibo & vino nigro in potu vti, obsonia quæ vellet assumere, abstinere acribus, salsis, pinguibus, laseris succo, oleribus crudis, multum deambulare. Lactis potus non contulit, verùm sesamum purū, crudum acetabuli mensura ex vino leni bibere. [78] Timochariti per hyemem destillatio præcipuè in nares defluxit. Vbi venere vsus fuisset, cuncta resiccata sunt, lassitudo, calor & capitis grauitas successit, sudor ex capite multus, qui etiam ex toto corpore defluxit. Erat autem etiam per sanitatem sudoribus obnoxius. Tertio die conualuit. [79] Cleomenis puer per hyemem ciborum fastidio sine febre confici cœpit, cibosque ac pituitam vomitione reiiciebat, duobusque mensibus inappetentia perseuerauit. [80] Coco ex phrenitide gibbus in spina exortus est, neq; vllum medicamentum purgans epotum profuit, sed vinum nigrum & panis in cibo, balneis abstinere, vngi & vnctum confricari, non admodum fouere, neque multo igne, sed moderato. [81] Quos fluxiones in oculos tenues & diuturnæ vexant, si maturæ per nares prodierint, iuuantur. [82] Quibus prægnantibus ex casu, aut conuulsione, aut ictu, labores contingunt, fere intra triduum apparet num abortum facturæ sint. [83] Tesimi coniugi post epotum trigesimo die vltro medicamentum abortum faciens, dolor contigit, vomitus multorum biliosorum, pallidorum, porraceorum, nigrorum. Vbi bibisset tertio die conuulsio prehendit, linguam commanducabat. Quarto die ad eam ingressus sum, lingua erat nigra, magna, oculorum album, rubrum. Quarto sub noctem mortua est. [84] Pythocles aquam ægrotantibus & lac multa aqua permixtum exhibebat, & renutriebat. Pernionum medela est scarificatio, tepefactio, ita vt pedes quàm maximè igne & aqua excalfacias. Oculis nocet lens, itidemque poma dulcia & olera. Lumborum aut coxendicis, aut crurum dolores ex laboribus obortos, aqua marina calida & aceto perfundere oportet, & intincta spongia fouere, & lanis deligare. Origanum

ἀκμῇ παραστέλλειν. [75] Εὐτυχίδῃ ἐκ χολερικῶν, ἔπειτα τῶν σκελέων τετανώδεα ἔληξεν ἅμα τῇ κάτω ὑποχωρήσει, καὶ ζακορέα χολὴν πολλὴν ἤμει, ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτα, σφόδρα ὑπέρυθρον. ὑπὸ δὲ τὸν ἔμετον, ἔπινε. καὶ ἀκρατὴς ἦν καὶ ἀσώδης. οὐδὲν κατέχειν ἠδύνατο οὐδὲ τὸ ἐκ τῶν σιδίων. καὶ οὔρου σχέσις. καὶ τῆς κάτω διεξόδου. διὰ τοὺς ἐμέτους τρὺξ μαλθακὴ ἦλθεν. καὶ κατέρρηξε κάτω. [76] ὑδρωπιώδεα ταλαιπωρέειν. ἱδροῦν. ἄρτον ἐσθίειν. πίνειν μὴ πολύ. λούεσθαι κατὰ κεφαλῆς πολλῷ καὶ θερμῷ, ἀλλὰ χλιαρῷ. ὁ οἶνος λευκός. ὕπνῳ μὴ πολλῷ χρῆσθαι. [77] Καλλιγένει, περὶ πέντε καὶ εἴκοσιν ἔτεα γεγενημένῳ, κατάρρους. ἡ βὴξ πολλή. ἀνῆγε δὲ καταρρέον ὑπὸ βίης. οὐδὲν κάτω ὑπέμενεν. ἔτεα τέσσαρα διετέλεσεν. θέρμαι λεπταὶ ἐν ἀρχῇ ἐγένοντο. ἐλλέβορος οὐκ ὠφέλησεν. ἀλλὰ ὀλιγοσιτίη. ἀλλὰ τὸ συμπιεσθῆναι. ἐσθίειν ἄρτον. οἶνον μέλανα. ὄψα ὁποῖα ἐθέλοι. ἀπέχεσθαι δριμέων. ἁλυκῶν. λιπαρῶν. ὀποῦ σιλφίου. λαχάνων ὠμῶν. περιπατεῖν πουλλά. γαλακτοποσίη οὐ ξυνήνεγκεν, ἀλλὰ σήσαμον πίνειν, καθαρὸν, ὠμὸν, ὅσον ὀξύβαφον, σὺν οἴνῳ μαλθακῷ. [78] Τιμοχάρει τῷ χειμῶνος, κατάρροος μάλιστα ἐς τὰς ῥῖνας ἀφροδισιάσαντι, ἐξηράνθη πάντα. κόπος. θέρμη ἐπεγένετο. κεφαλὴ βαρέη. ἱδρὼς ἀπὸ κεφαλῆς πουλύς. κατέρρει δὲ καὶ κατὰ τοῦ σώματος ὅλου. ἦν δὲ καὶ ὑγιαίνων, ἱδρώδης. τεταρταῖος ὑγιάνθη. [79] ὁ τοῦ Κλεομένεος παῖς χειμῶνος ἀρξάμενος ἀπόσιτος ἄνευ πυρετοῦ ἐτρύχετο. καὶ ἤμει τὰ σιτία. καὶ φλέγμα. μῆνας δὲ δύο, ἡ ἀσιτίη παρηκολούθησεν. [80] τῷ μαγείρῳ ἐν ἀκάνθῃ τὸ κύφωμα ἐκ φρενίτιδος ἐγένετο. φαρμακοποσίη οὐδεμία ξυνήνεγκεν. οἶνος μέλας, καὶ ἀποσιτίη. καὶ λουτρῶν ἀπέχεσθαι. χρίεσθαι τε καὶ ἀνατρίβεσθαι χριόμενον. μὴ σφόδρα θάλπειν, μὴ πολλῷ πυρὶ, ἀλλ' ἠπίῳ. [81] Οἷσι ῥεύματα ἐν ὀφθαλμοῖς λεπτὰ καὶ χρόνια, ἢν πέπονα κατὰ ῥῖνας χωρήσῃ, ὠφελέονται. [82] Ἧσιν ἐν κυήμασιν ἐκ πτώματος, ἢ σπάσματος, ἢ πληγῆς πόνοι ἐπιεικῶς ἐν τῇσι τρίτῃσι δηλοῖ εἰ διαφθείρει. [83] Τῆς Τησίμου γυναικὸς τριηκοσταῖον ἀπόφθαρμα. πιούσῃ τι αὐτόματον, ξυνέβη πόνος. ἔμετος χολωδέων πολλῶν, ὠχρῶν, πρασοειδέων. μελάνων ὅτ' ἔπιε. τριταίῃ σπασμός. τὴν γλῶσσαν κατεμασᾶτο. πρὸς τεταρταίην εἰσῆλθον. ἡ γλῶσσα μέλαινα μεγάλη. τῶν ὀφθαλμῶν τὰ λευκὰ, ἐρυθρά. ἄγρυπνος τεταρταίη ἀπέθανεν ἐς νύκτα. [84] Πυθοκλῆς τοῖσι κάμνουσιν ὕδωρ. γάλα πολλῷ τῷ ὕδατι μιγνὺς, ἐδίδου. καὶ ἀνέτρεφε. Χειμέτλων καταχάν. ἀλεαίνειν. τοὺς πόδας ὡς μάλιστα ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. ὀφθαλμοῖσι πονηρὸν φακή. τοῖσι γε οὕτως ἔχουσιν ἡ γλυκέη ὀπώρη, καὶ λάχανα. τοῖσι περὶ ὀσφῦν, ἢ ἰσχίον, ἢ σκέλεα ἀλγήμασιν ἐκ πόνων, θαλάσσῃ, ὄξει, θερμοῖσι καταιονᾶν, καὶ σπόγγοις βάπτοντα πυριῆν. ἐπικαταδεῖν δὲ εἰρίοισιν. Ὀρίγανος

ὀφθαλμιᾶσι

A ὀφθαλμιῶσι κακὸν πινόμενον, καὶ ὀδοῦσιν. [85] Ἡ ἀπὸ τοῦ κρημνοῦ κόρη πεσοῦσα ἄφωνος, ῥιπτασμὸς αὐτὴν εἶχεν. ἤμεσεν ἐς νύκτα. αἷμα συχνὸν ἐῤῥύη, κατὰ τὸ οὖς τὸ ἀριστερὸν πεσούσης. καὶ μελίκρητον χαλεπῶς κατέπινεν. ῥέγχος εἶχε. πνεῦμα πυκνὸν ὥσπερ τῶν ἀποθνησκόντων, φλέβες αἱ περὶ τὸ μέτωπον τεταμέναι. κλίσις ὑπτίη. πόδες χλιαροί. πυρετὸς πολύς. ποτὲ ὀ-

B ξύς. μάλιστα κατεπλήσσετο. ἑβδόμη φωνὴν ἔῤῥηξεν. αἱ θέρμαι λεπτότεραι περιεγένετο. [86] Ὀνισαντίδης τοῦ ὤμου τὸ ἄλγημα ἔχεν ἐν θέρει γινόμενον ἐξ ἀποστάσιος, ἐν τῇ θαλάσσῃ βρέχειν τὸ σῶμα, καὶ τὸν ὦμον, ὡς πλεῖστον χρόνον. ἐπὶ τρεῖς ἡμέρας οἶνον λευκὸν ὑδαρέα ἅμα πίνειν ἐν τῇ θαλάσσῃ κατακείμενον. καὶ οὐρέειν ἐν τῇ θαλάσσῃ. [87] Ὁ γναφεὺς ὁ ἐν Σύρῳ, ὁ

C φρενιτικός. μετὰ δὲ καῦσιν τρομώδης σκελέων, τὸ χρῶμα, οἷον ὑπὸ κωνώπων ἐγκαλαδαμάσειν. ὀφθαλμὸς μέγας. βραχείη κίνησις. φωνὴ κεκλασμένη. σαφὴς δέ. οὖρον καθαρόν. ὑπόστασιν οὐκ ἔχον. ἦρα διὰ τὴν τῆς θαψίης ὑποχώρησιν ὀκτωκαιδεκαταῖος ἀνῆκε μαλακωθεὶς ἄνευ ἱδρῶτος. [88] Ὁ ἐν Ὀλύνθῳ Νικόξενος ὁμοίως ἑβδομαῖος ἐδόκει χαλάσσειν μεθ' ἱδρῶ-

D τος. ῥοφήματα προσεφέρετο, οἶνον, βότρυν ἐξ ἡλίου. πρὸς ἑπτακαιδεκαταῖον εἰσῆλθον. καυστικὸς ἡ γλῶσσα θερμή. ἔξωθεν οὐ πάνυ ἰσχυρή. ἔκλυσις σώματος δεινή. φωνὴ κεκλασμένη. ἔργον ἀκοῦσαι. σαφὴς δέ. κρόταφοι συμπεπτωκότες. ὀφθαλμοὶ κοῖλοι. πόδες μαλθακοὶ καὶ χλιαροί. κατὰ σπλῆνα ξύντασις. τὸ κλύσμα οὐ πάνυ τι ἐδέχετο. ἀλλ' ἀνεπήδα. ἐς νύκτα ἐπῆλθε

E κόπρος ξυνεστηκυῖα ὀλίγη. καὶ αἵματός τι. οἶμαι ἀπὸ τοῦ κλυσμοῦ. οὖρον καθαρὸν λαμπρόν. κλίσις ὑπτίη. σκέλεα διαγνύμενα διὰ τὴν ἔκλυσιν. παντάπασιν ἄγρυπνος, ἐντὸς τῶν εἴκοσιν ἡ θέρμη ἐμαλάχθη. ἄποτον τὸ ἀπὸ κρίμνου. ἀλλ' ὅ γε ἀπὸ μήλων ὁμοῦ. καὶ σίδης χυλός. καὶ φακοῦ πεφωσμένου ψυχρός. καὶ ἀλεύρου πλύμα ἑφθόν. ψυχρόν. λεπτὸν ῥύφημα. ἐπεγένετο.

F [89] τῶν κναφέων οἱ βουβῶνες ἐφυματοῦντο σκληροὶ καὶ ἀνώδυνοι. καὶ περὶ ἥβην καὶ τράχηλον ὅμοια μεγάλα. πυρετὸς ἔμπροσθεν δέκα. βηχώδεες ἀπὸ ῥηγμάτων. τρίτῳ μηνὶ ἢ τετάρτῳ γαστὴρ ξυνετάκη. θέρμαι ἐπεγένοντο. γλῶσσα ξηρή. δίψα. ὑποχώρησις ἑκάστῳ, χαλεπαί. ἀπέθανον. [90] τὰ χολερικὰ ἐκ κρεοφαγίης. μάλιστα δὲ χοιρείων ὠμοτέρων. καὶ ἐκ ἐρεβίν-

G θων. καὶ μέθης οἰνώδεος παλαιοῦ. καὶ ἡλιώσιος. καὶ σηπίης. καὶ καράβων τε καὶ ἀστακῶν, καὶ λαχανοφαγίης. μάλιστα δὲ πράσων καὶ κρομμύων. ἔτι δὲ θριδάκων ἑφθῶν. καὶ κράμβης. καὶ λαπάθων ὠμοτέρων. καὶ ἀπὸ πεμμάτων, καὶ μελιτωμάτων, καὶ ὀπώρης. καὶ σικύου πέπονος. καὶ οἰνογάλακτος. καὶ ὀρόβων. καὶ ἀλφίτων νέων. μᾶλλον ἐν θέρει τὰ χολερικά. καὶ οἱ διαλείποντες πυρετοί. καὶ οἷσι φρῖκαι ἐπιγίνονται, ἔστιν ὅτε κακοήθεις

H γίνονται, καὶ ἐς νοσήματα ὀξέα καθίστανται. ἀλλ' εὐλαβεῖσθαι χρή. μάλιστα δὲ τὰ τοιαῦτα νοσήματα ἡ πέμπτη, καὶ ἡ ἑβδόμη καὶ ἡ

lippientibus & dentibus potu exhibitum nocet. [85] Puellam quæ ex abrupto loco decidit, vox defecerat, corporis iactatio detinebat, vomitus sub noctem adfuit, sanguis copiosus ex aure sinistra in quam impegerat, effluxit. Mulsam non nisi ægrè absorbebat, stertor detinebat, crebra spiratio velut in morientibus aderat, venæ frontis distendebantur, decubitus erat supinus, pedes calidi, febris multa, interdum acuta, animo erat maximè consternato, septimo die vox erupit, leuiter incalescebat, superstes euasit. [86] Onisantidi per æstatem humeri dolore ex abscessu detento, corpus & humerum quàm diutissimè mari madefacere contulit, simul per tres dies vinum album, aquosum, in mari decumbentem bibere, in eoque meiere. [87] Fullo in Syro phrenitide correptus, pòst vstionem cruribus tremulis fuit, corpore velut à culicibus compuncto, oculus erat magnus, motus exiguus, vox fracta, clara tamen, vrina pura absque sedimento. Animaduertendum est num iccirco quòd per ferulaginem aluus subducta est, decimo octauo die morbus remisit, & absque sudore disparuit. [88] Eodem modo Nicoxeno Olynthi septimo die morbus absque sudore remittere videbatur, sorbitiones assumebat, vinum, vuam insolatam. Ad eum decimo septimo die ingressus sum, lingua ardens, calor forinsecus non admodum vehemens erat, corporis summa exolutio, vox fracta adeo vt non nisi ægrè exaudiretur, clara tamen, tempora collapsa, oculi concaui, molles pedes & tepidi, ad lienem distentio. Infusum per clysterem non admodum admittebat, verùm resiliebat, sub noctem stercus prodiit coactum, paucum, & nonnihil sanguinis, opinor ex infuso. Vrina pura erat, splendida, decubitus supinus, crura diducta ob exolutionem, nihil prorsus dormiebat, intra vigesimum diem calor conquieuit. Potus erat aqua in qua farina crassior macerata fuerat, sed & simul pomorum aut mali punici & lentis tostæ succus frigidus, ac farinæ lotura cocta, frigida, pro tenui sorbitione est exhibita, & superstes euasit. [89] Fullonibus tubercula in inguinibus dura & sine dolore exorta sunt, circaq; pubem & collum magnitudine similia erant, febris antea per decem dies tenuerat, tussi ex ruptionibus conflictabantur. Tertio mense aut quarto venter contabuit, calores superuenerunt, lingua arida, sitis & alui deiectiones molestæ aderant mortui sunt. [90] Cholera morbus ex carnis esu contrahitur, præcipuè verò suillæ crudioris, ex cicere, vinique odorati veteris ebrietate, insolatu, ex sepiæ esu, locustarum & gammarorum, olerum, maximeque porri & ceparum. Quinetiam & ex lactucis coctis, brassica, lapatho crudiore, & ex bellariis, dulciariis, pomis, cucumere, pepone, & potione quæ ex vino & lacte mistis conficitur (οἰνόγαλα vocatur) eruo, polenta recenti. Æstate magis cholera morbus & febres intermittentes vigent, & quibus horrores succedunt. Hæ interdum malignæ fiunt, & ad morbos acutos deueniunt. Sed & ab his cauere oportet. Huiusmodi autem morbos præcipuè quintus dies & septimus &

nonus indicant, præſtat verò ad decimum quartum vſque cautum eſſe. [91] Pherecydæ poſt brumam noctu lateris dextri dolor, etiam antea conſuetus, ceſſauit, pranſus eſt, egreſſus horruit, febris ſub noctem inuaſit, doloris expers fuit, tuſſicula quadam ſicca vexabatur. Vrinæ non multæ, ſedimentum copioſum. Per initia ramentoſa, læuia, diuulſa, poſt quatuor verò dies turbida ſubſidebant, & vrina non decolor, ſedimentum habebat, neque in matella collectio apparebat, vbi refrixiſſet. Tertio die ſponte aluus ſubiit, quarto, parata glande, ſtercoracea & bilioſa deiecit, liquidus erat humorum affluxus, ſomnus ad noctem non admodum, verùm de die aliquantulum dormiebat, ſitis non erat vehemens, cutis circa frontem & reliquum corpus mollis ſemper eminebat, febris ad manus contactum cum aliquo madore ſuperata videbatur, pulſus in fronte admodum obſcurus erat. In corporis conuerſionibus & omnibus alui deiectionibus venarum grauitas aderat, pauco tempore per totum morbum doloris expers fuit, ab exordio anxius, paulatimque vomebat. Septimo die ex ſubdita glande ter deiecit, bilioſum & ſtercoraceum, liquidum admodum & pallidum, iamque nonnihil ſubdelirabat, interdumque circa frontem exiguus mador aderat. Veſtem ſtragulam in faciem coniiciebat, oculos fruſtra, nõ ſecus ac ſi quid intueretur, conuertebat, rurſusque claudebat, ſuaq; ſtragula abiiciebat. Nono die ſudor mane obortus ad pectus vſque, ad mortem perſeuerabat, & febris ac delirium intendebatur, plurimus circa frontem ſudor, ac veluti dirus quidem, coloreque admodum albo. Cutis verò ſub pilis variis notis compuncta erat, præcordia dextra in tumorem ſublata, ex ſeſe bilioſum demiſit. Octauo die veluti culicum morſus apparuerunt, ante exitum tuſſi reiecit veluti ex muco concretos fungos, pituita alba circumuolutos. Exſcreabat autem etiam antea exigua, alba, lactea.

[92] Poſt cœnam per ſomnum quidam horrore correptus, mane ſurrexit capitis grauitatem ſentiens, horruit, vomuit, capitis grauitate laborabat, ſub noctem remiſit fere ad meridiem vſque, rurſus inhorruit, noctem moleſtè tulit. Poſtero verò die febris acuta inuaſit, capitis vehemens dolor, multæ bilis vomitio quę maxima ex parte porracea erat, ceſſarunt omnia, ſub noctem ſomnus, mane perfrigerabatur, ſudor paruus & mador plurima ex corporis parte dimanauit, circa lienem exiguo tempore manu indicabat duritiem doloris expertem quæ confeſtim euanuit, ad noctem peruigilio torquebatur, ſub concionis tempus febris ingraueſcebat, anxietas aderat cum tenebricoſa vertigine, inteſtinorum & capitis dolor, vomitus porraceus, læuis, velut pituita glutinoſus, ſub Solis occaſum cuncta ceſſarunt cum capitis & colli ſudore. Poſt vomitionem ſtercoracea, liquida, bilioſa deiecit, neque nigra, neque abſurda, per noctem & poſterum diem moderatè habuit, ſub noctem iterum peruigilio laborauit. Vomitus ſub crepuſculum cœpit, ſimiliterque poſtero die tenuit, abſque anxietate fuit. Capitis autem dolores poſt ſudorem ceſſarunt,

ἐνάτη δηλοῦσι. βέλτιον δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης φυλάττεσθαι. [91] Φερεκύδη μετ' ἡλίου τροπὰς χειμερινὰς τῆς νυκτὸς, πλευροῦ δεξιοῦ ἄλγημα. καὶ πρότερον εἰθισμένον ἔληξεν. ἠρίστησεν. ἐξελθὼν ἔφριξε. πυρετὸς ἐς νύκτα, ἀνώδυνος. βηχίον ῥέον τι ξηρόν. οὖρα οὐ πολλά. ὑπόστασις πολλή. ξυσματώδεα, μαδαρὰ, διεσπασμένα, ἀπ' ἀρχῆς. μετὰ δὲ τέσσαρας, θολερὰ ὑφίστατο. καὶ τὸ οὖρον οὐκ ἄχροον ὑπόστασιν ἔχον. καὶ τὸ σύστημα οὐκ ἐφαίνετο ἐν τῷ χερνιβίῳ. ψύξιος ἐούσης, τριταίῳ αὐτομάτη κοιλίη ὑπῆλθε. τετάρτῃ βαλάνου γενομένου, κοπρώδεα καὶ χολώδεα διεχώρησεν. ὑγρὸς περίρροος. ὕπνος ἐς νύκτα οὐ πολύς. ἡμέρης δέ τι ἐκοιμᾶτο. δίψα οὐ σφοδρή. τεταρταίῳ μάλιστα ἐς νύκτα, δέρμα περὶ μέτωπον, καὶ τὸ ἄλλο μαλθακὸν ὑποφέρειν αἰεί. πυρετὸς ἐκρατεῖτο πρὸς χεῖρα, καὶ ὑπενότιζεν. ἄδηλος σφυγμὸς σφόδρα ἐν μετώπῳ. φλεβῶν βάρος, ἐν τῇσιν ὑποστροφῇσι, καὶ ἐν τῇσιν ὑποχωρήσεσι πάσῃσιν. ὀλίγον χρόνον διὰ παντὸς, ἀνώδυνος ἀπ' ἀρχῆς. ἀσώδης. καὶ κατὰ μικρὸν ἤμει. ἑβδόμῃ παρὰ βαλάνου ὑπεχώρησε τρὶς, χολῶδες καὶ κοπρῶδες, ὑγρὸν σφόδρα καὶ ὠχρόν. καὶ ἤδη τι ὑποπαρέκρουσε. καὶ νοτὶς ἐπ' ὀλίγον ἔστιν ὅτε περὶ μέτωπον. τὸ ἱμάτιον ἐπὶ τὸ πρόσωπον. τὰ ὄμματα διὰ κενῆς ὡς εἴ τι βλέπων ξυνέστρεφε. καὶ πάλιν κατέμυεν. αὐτοῦ τὸ ἱμάτιον ἀπέβαλεν ἐναταῖος. ἱδρὼς πρωῒ ἀρξάμενος μέχρι στήθεος διετέλει, ἕως ἐτελεύτησε. καὶ ὁ πυρετὸς ἐπέτεινε. καὶ ἡ παραλήρησις. περὶ μέτωπον πλεῖστος ἱδρώς. καὶ οἷον δεινὸν μὲν ἡ ἔκλευκον. τὸ δέρμα δὲ τὸ ὑπὸ τὰς τρίχας ἐσμιγμένον. ὑποχόνδριον δεξιὸν ἐπηρμένον. ὑφῆκεν ἐφ' ἑωυτὸν χολῶδες. ὀγδόῃ ὡς ὑπὸ κωνώπων αἰσθήματα. πρὸ τῆς τελευτῆς ἀνέβηξεν, οἷον ἐκ μύξης, μύκητα ξυνεστηκότα λευκῷ φλέγματι περιεχόμενα. ἐπεχρέμπτετο δὲ καὶ ἔμπροσθεν σμικρά. λευκά. γαλακτώδεα. [92] μετὰ τὸ δεῖπνον ἐν τῷ ὕπνῳ ἔφριξε. πρωῒ ἐξαναστὰς καρηβαρικός. ἔφριξεν ἀπήμεσε, κεφαλὴν ἐβαρύνετο. ἐς νύκτα ἀνῆκε μέχρι μέσου ἡμέρης ἐπιεικῶς. ἔφριξε πάλιν, νύκτα χαλεπῶς. τὴν ἐπιοῦσαν δὲ ἡμέρην, πυρετὸς ὀξύς. κεφαλῆς σφάκελος. ἔμετος χολῆς πολλῆς. ἡ πλείστη πρασοειδής. ἔληξε πάντα. ὕπνος ἐς νύκτα. πρωῒ περιέψυκτο. ἱδρώτιον. νοτὶς ἐπὶ πολὺ τοῦ σώματος κατὰ σπλῆνα. τῇ χειρὶ ἐδείκνυεν ὀλίγον χρόνον, ξύστρεμμα ἀνώδυνον. παραχρῆμα ἐμαράνθη. ἐς νύκτα ἄγρυπνος, περὶ ἀγορὴν παρωξύνετο. πυρετός. ἄση. σκοτόδινος. στρόφος. κεφαλῆς ὀδύνη. ἔμετος πρασοειδής, λεῖος, γλίσχρος ὡς φλέγμα. πρὸς δυσμὰς ἔληξε πάντα. ἱδρὼς κεφαλῆς, τραχήλου. ὑπεχώρησε μετὰ τὸν ἔμετον κοπρώδεα. ὑγρά. χολώδεα. οὔτε μέλανα. οὔτε ἐπεοικότα. νύκτα μετρίως. καὶ τὴν ἐπιοῦσαν ἡμέρην. ἐς νύκτα πάλιν ἄγρυπνος. ἔμετος ὄρθρου ὁμοίως καὶ τὴν ἐπιοῦσαν ἡμέρην αὖθις ἄσης. τῆς δὲ κεφαλῆς, μετὰ τὸν ἱδρῶτα, ἔληξαν αἱ ὀδύναι. ἐς τὴν ἑσπέρην

πάντα

A πάντα ἐχάλασεν. ἐνάτῃ οὐκ ἔτι ἤμεσεν. ἐθερμάνθη μᾶλλον. τοῖσιν ἄλλοισιν οὐκ ἐδόκει πυρεταίνειν. αἱ ἐν κροταφοῖσιν φλέβες ἐπήδων. ἀνώδυνος πάντων. δίψος ἦν αἰεί. ἐναταῖος ἐπὶ θῶκον ἀναστὰς, ἐλειποψύχει σφόδρα. ὑπεχώρησε πρὸς βάλανον ξυσμάτια μέλανα καὶ χολώδεα. χρῶμα κοπρῶδες ὅσον ἀπέσταξεν ἡ φωνὴ κεκλασμένη. ἐν τῇσιν ὑποστροφῇσι βαρύς. B ὀφθαλμοὶ κοῖλοι. δέρμα μετώπου περιτεταμένον. ἄλλως, εὔπνοος, κόσμιος. πρὸς τοῖχον τὰ πλεῖστα ἀπεστραμμένος. ὑγρὸς ἐν τῇσι κλίσεσιν. ἐπικεκαμμένος. ἀτρεμίζων. γλῶσσα λευκή. λείη. περὶ δὲ τὰς δέκα καὶ μετὰ, οὖρα ἐρυθρὰ τὰ κυκλώδεα. ἐν μέσῳ σμικρὸν λευκόν. δωδεκαταίῳ πρὸς βάλανον ὅμοια ἀπέσταξε χολώδεα καὶ ξυσματώδεα. μετὰ τοῦ βαλανείου, λειποψυχίη. ἔπειτα τὸ στόμα ἐπεξηραίνετο. διεκλύζετο C αἰεί. καὶ εἰ μὴ σφόδρα ψυχρὸν ἦν, θερμὸν ἔφασκεν εἶναι τῆς χιόνος ἐπιεικῶς. εἶτα δίψα οὐκ ἐνῆν. τὸ ἱμάτιον αἰεὶ ἀπὸ τῶν στηθέων ἀπεώθει. τὴν χλαμύδα χλιαίνειν οὐκ εἴα. τὸ πῦρ πόῤῥω καὶ σμικρὸν, γνάθων ἀμφοτέρων ἔρευθος. μετὰ ταῦτα ἄκριτος ἀνεθερμαίνετο μίαν ἢ δύο ἡμέρας. καὶ ἔληξεν.

sub vesperum cuncta relaxarunt. Nono die non amplius vomuit, sed magis incaluit, reliquis febris expers videbatur, temporum venæ pulsabant, omninò doloris expers fuit, sitis semper aderat. Nono die vbi ad sellam surrexisset vehementer animo deficiebat, ex immissa glande paucula strigmenta deiecit, nigra & biliosa, quicquid inde destillauit colorem stercoris habuit, vox fracta, dum se conuerteret grauis, oculi caui, frontis cutis circumtensa, alioqui facilè spirabat, compositus erat, ad parietem plurimùm conuersus, in decubitu mollis, incuruus, quiescens, lingua alba, læuis. Ad decimum diem posteaque vrinæ circumquaque rubræ, in medio exiguum quiddam album habentes. Duodecimo ex glande subdita similia destillabant, biliosa & strigmentosa, post glandem animi defectio, postea os resiccabatur, colluebat semper, ac nisi admodum frigida esset aqua calidam esse dicebat, quæ prope frigore ad niuem accederet, postea sitis non aderat. Vestem semper à pectore repellebat, tunicam calefieri nolebat, ignis procul isque exiguus erat, maxilla vtraque rubuit. Post hæc linguam inarticulatam habuit, diem vnum aut duos recalescebat, defecit.

D

[73] τῷ Καλλιμέδοντι] Aliter paulò repetitur hæc historia lib. 5. Epid.

[74] μελισάνδρῳ] Istud quoque repetitur lib. 5. Epid. περιστέλλειν autem ad curationis consilium retuli, vt ad fluxionis impetum inhibendum & coërcendum, alumen Ægyptium per initia rectè adhiberi possit. Ideoque ἐν ἀκμῇ vitiosè pro ἐν ἀρχῇ legitur. Potest etiam ad historiam referri, vt ad cohibendam per initia fluxionem alumen accommodatum fuerit. Interpretes aliter sumpserunt. Caluus περιστέλλειν legisse videtur, & τοῦ ὅλου, pro ἕλου, vitiosa quædam exemplaria secutus. Sic & ἐπιλαβόντες melius quàm ἐπιβαλόντες legitur.

[75] Εὐτυχίδει] Repetitur etiam lib. 5. Epid. Significat autem choleram morbum in cruribus neruorum distentionem attulisse in eamque desiisse, ita vt ἐπὶ τῶν σκελέων ἐς τετανώδεα legendum sit, vt lib. 5. Epid. aut ἐπὶ τὰ τῶν σκελέων. Nam quæ vulgata est E lectio, ἔπειτα τῶν σκελέων τετανώδεα ἔληξεν, tandem crurum distentiones cessasse significat. Choleræ autem morbi intensionem significant suræ musculorum conuulsiones, ac crebræ totius neruosi generis contractiones, vt scripsimus lib. 5. Epid.

οὐδὲ τὸ ἐκ τῶν σιδίων] Vulgatam & omnium codicum fide contestatam lectionem secutus sum. In cholera namque morbo mali granati succus aut spinæ Ægyptiæ, plurimùm confert ad ventriculum roborandum. Melius autem σιδίων legitur, quòd σίδη Hippocrati punicum malum dicatur: σίδιον verò mali punici putamen & corticem, τῆς ῥοιᾶς λέπισμα Dioscoridi significet. Cuius etiam decoctum in huiusmodi morbo ritè exhiberi potest. Quidam ἐκ τῶν σιτίων ex lib. 5. Epid. legunt, vnde lectionem istam defluxisse satis constat.

[76] ἰκτερώδη] Locus haud dubiè corruptus videtur, satisque apparet ὑδρωπώδη legendum ex libro 5. Epid. vbi ista repetuntur, vt mirum videatur interpretes id non animaduertisse. Caluus ἰκτερώδης legit & antecedentibus iunxit. Idem quoque hîc πίνειν omisit, quod omnibus codicibus contestatum est, præcipuusque in aquæ inter cutem curatione scopus videtur.

F [77] οὐδὲν κάτω ὑπέμενεν] Videtur vulgaris esse locutio quam proximè assecuti sumus, nihil infra sustinebat. Quod de aluo lubrica admodum effertur, vt nihil infra subsisteret, vt verterunt interpretes. Mihi verò potiùs de eo dici videtur qui nullum remediorum genus, neque clysteres, neque glandes per inferiora admitteret.

συμπιασθῆναι] A πιάζομαι deductum premi, vexari, & afflictari significare videtur, vt πιεσθεὶς πολέμῳ apud Herodotum bello vexatus dicitur, & Hesychio πιαζόμενος θλιβόμενος exponitur. Idem enim πιάζεσθαι quod πιέζεσθαι significat. Indicare autem hîc videtur corpus labore diuexatum, pressum, aut inedia maceratum, quòd πιέζεσθαι ταλαιπωρεῖν interdum significet, & πιέζεσθαι λιμῷ, νόσῳ, συμφοραῖς dicitur, pro fame laborare, morbo & calamitatibus vexari, opprimi. Indicatur autem obiter in destillationibus inediam & cibi parcitatem plus quàm medicamentum ipsum valere, quod etiam in dies experimur.

[78] Τιμοχάρει] Paulò aliter repetitur hoc exemplum lib. 5. Epid.

G [79] ὁ τοῦ Κλεομένεος] Repetitur etiam hoc exemplum paulò aliter lib. 5. Epid.

[80] τῷ μαγείρῳ] Repetitur etiam lib. 5. Epid. paulò aliter.

[81] οἷσι ῥεύματα] Istud ad curationis consilium referri potest, estque eorum quæ sponte fiunt & naturæ impetu, & ad humorum noxiorum deriuationem spectant, clarissimum exemplum.

[82] ἦσιν ἐν κυήμασιν] Istud sanè diligenter nobis animaduertendum est, ne quosuis intra partionis tempus labores tanquam legitimos aut statos reputemus, nostrisque remediis solicitemus, quod temerè nimis obstetricandi imperitæ mulieres faciunt, fereque fœtum perdunt. πόνοι autem hîc dicuntur labores qui toto gestationis tempore circa fœtum fiunt, vt lib. 2. & 6. Epid. Illud verò ἐπιεικῶς appositè (ni fallor) ad sequentia magis accommodatur, etsi omnes interpretes cum exemplaribus, πόνοι ἐπιεικῶς legunt, & leues labores intelligunt.

[83] τῆς τισίμου] Sic legunt exemplaria recondita manu scripta & publicata, etsi vitiosè pro τῇ τισίμου, quæ secuti sumus ob pluralitatem. Quædam etiam τῇ Σιμοῦ, quæ vera esse lectio videtur, & quam secutus est Caluus. ἀπόφθαρμα autem τριηκοσταῖον dici videtur medicamentum post trigesimum diem conceptum excutiens & abortum faciens, aut circa trigesimum ætatis annum exhibitum, vt lib. 5. Epid. vbi hoc exemplum paulò aliter repetitur, κατὰ τὸ εἰκοσὸν τῆς ἡλικίης ἀπόφθαρμα scribitur, vbi & nomen etiam reticetur.

ἀρχῶν] οὐδὲν etiam ex quibusdam exemplaribus manu scriptis addidit Caluus.

[84] Πυθοκλῆς] Idem repetitur lib. 5. sed mutato ordine quem etiam retinet Caluus.

χειμέτλων] Idem etiam repetitur lib. 5. Epid.

ὀφθαλμοῖσι] Repetitur etiam lib. 5. Epid. verùm vtrobique suspecta est lectio. κακὴ autem vitiosè pro φακὴ habent omnia fere exemplaria. Hanc autem sequuntur lectionem quidam, vt oculos aqua aut igne quàm maximè calefacere eos lædat, vt diximus libro 5. Epid.

ποῖσι περὶ ὀσφύν] Paulò etiam aliter repetitur lib. 5. Epid.

Οεἴχανος] ὀφθαλμοῖσι pro ὀφθαλμῶσι legitur lib. 5. Epid.

[85] ἡ ἀπὸ τοῦ κρήμνου] Hoc exemplum paulò aliter scribitur lib. 5. Epid.

[86] Ονισαπίδης] Quædam exemplaria ὁ Νισαπίδης habent. Ad humeri autem dolorem ex abscessu aquæ marinæ balneum in eaque longam moram consulit, ad partes laxas, imbecillas corroborandas & confirmandas, non secus ac sepæ solemus luxatis aut ex vulnere debilitatis membris ad robur conciliandum, balneorum naturalium, præcipueque aluminosorum & sulphureorum perfusionem imperare.

[87] ὑπὸ κωνώπων ἐγκαταδαμάσθαι] Sic legunt omnia quæ ad huc videre licuit exemplaria tum manu scripta tum publicata. Quæ lectio tamen mihi valde suspecta est, & ἐγκαταδαμασθεὶν malim, vt corpus culicum puncturis & morsibus afflictum & profligatum, hoc est vndique compunctum significaret, vt δαμασθεὶς πληγαῖς verberibus afflictus & perdomitus dicitur.

φωνὴ κεκλασμένη] Hîc φωνὴ κεκλασμένη vox fracta & elisa dici videtur, quæ ex resiccatione aut organorum voci destinatorum conuulsione, eliso quodammodo in faucibus spiritu est intercisa & interrupta. Potest etiam intelligi vox vitiata, peruersa, non rauca & exasperata, sed eliquata & claro aut defœcato sono expressa, qualis acuta, resiccationis & contentionis indicio, vt in phreniticis. Sic κατακλώμεναι φωναὶ in Cois Præsagiis damnantur, voces confractæ, ex vocis organorum conuulsione aut resolutione, præsertim si vires sint accisæ & exolutæ, vt paulò post in Nicoxeno & Pherecyde.

διὰ τὴν τῆς θαψίης ὑποχώρησιν] Thapsiam ferulaginem passim vocat Aurelianus. Radicis autem tum corticem tum succum purgandi vim habere scribit † Dioscorides, & lacteo eius succo ex aqua mulsa poto bilem tum per superiora, tum per inferiora educi. Quia verò vstionis mentio facta est, non malè quis suspicetur ἐσχάρωσιν pro ὑποχώρησιν supponi debere.

† *Cap. 17. Lib. 4.*

[88] οἷον βότρυν ἐξ ἡλίου] Sic fere omnia exemplaria legunt. Recondita tamen οἶνον, βότρυν ἐξ ἡλίου habent, quæ secuti sumus cum interpretibus.

σκέλεα διειωγμένα] Suspicor vitiatam esse lectionem, etsi omnibus exemplaribus tum manu scriptis, tum publicatis est contestata. Apparet enim esse legẽdum διοιγνύμενα aut διεωγμένα, vt crura diducta, aperta, disparata & diuaricata significet, quod virium exolutarum & disiectarum maximum est indicium. διαπεπταμένα dicuntur in Prognost. etsi passim διαπεπλημένα vitiosè & διαπεπλεγμένα scribitur.

ἄποτον τὸ ἀπὸ κρίμνου] Sic legunt exemplaria omnia. Nos tamen interpretes secuti sumus, & ὁ πότος legendum existimamus. Alioqui ἄποτον huiusmodi potiones ingratas aut inutiles ægroto fuisse significat.

[89] τῶν καφίων] Aliter repetitur lib. 5. Epid. hæc historia.

[90] τὰ χολέεια] Repetuntur ista aliter lib. 5. Epid. Caraborum autem & astacorum nomen retinere potuimus ex Plinio, qui hoc in cancrorum genere recenset. Sed carabum locustam †† Gaza, & astacum gammarum apud Aristotelem vertere mauult.

†† *Lib. 9. cap. 31.*

[91] οὖρα οὐ πολλὰ] Exemplaria omnia manu scripta cum Asulano οὖρα πολλὰ legunt, vt & Italica, vt ex Caluo videre est. μαδαρὰ autem ὑφιστάμενα nouè & insolenter admodum sedimenta dicuntur glabra, læuia, rara, hoc est non cohærentia, nec inter se coniuncta, sed disparata & dissoluta.

καὶ τὸ σύστημα] Hunc locum indicare videtur Galenus Comm. 3. in lib. 6. Epid. aliterque legisse, καὶ σύναγμα ἐφαίνετο ἐν τῷ χερνιβίῳ. Vbi primùm aduertendum τὸ χέρνιβον dici Galeno, aliis τὴν χέρνιβα, & ab interpretibus sumi pro manuum ablutione & aqua qua manus in sacrificiis eluebantur, quæ communis est huius vocis notio, cùm tamen vas potiùs hîc significare videatur, vt & apud Homerum Il. ω. ἡ δὲ παρέστη. χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα. Ibi enim vas indicatur χερόνιπτρον aut λέβης ab aliis dictum, Latinis Prolubrum aut pollubrum citante Nonio ex Liuio, qui Homeri Odyssæam verterat. Idem etiam pollubrum Latinè dici Trullam indicat, vt non malè hîc trulla pro matella exponatur in quam ventris onus deponitur. Sic Martialis lib. 9.

Clinicus Herodes trullam subduxerat ægro.

Athenæus lib. 9. Atticos χερνίβιον dixisse scribit. At certè vt hîc manifestò vas indicatur, ita & pro matella in quam vrina deponitur sumi notius est quàm vt demonstratione indigeat. Significatur autem vrinam in matella depositam returbidam, nihil sedimenti dum effunderetur reliquisse, neque collectionem vllam aut concretionem in fundo apparuisse, sed sedimenta ipsa per vrinæ corpus sparsa & conturbata simul quoque effusa fuisse. Quod certè magnam humorum tum agitationem, tum inæqualitatem, tum etiam naturæ perturbationem denotabat. Galenus certè cum affirmatione hunc locum legit, etsi negationem addunt exemplaria omnia. Et quamuis illud οὖρον ὑπόστασιν ἔχον Galeni lectioni suffragari videatur. Id tamen plærunque in huiusmodi returbidis vrinis apparet, vt per vrinæ corpus dispersa sedimenta vnà cum humore effundantur, nondum concoctis aut secretis à natura humoribus, & adhuc vigente humorum & naturæ perturbatione. Quòd si Galeni lectionem sequamur, indicabitur in matula concretionem quandam velut sedimentum, aut enæorema quoddam apparuisse, quod imperfectæ concoctionis rudimenta quædam præseferebat. Atque in eam notionem sumpsisse videtur τὸ σύναγμα in Exegesi Galenus, huicque loco tacitè supposuisse, cùm scribit, σύναγμα ἤτοι ἐπίπαγός τις, ἢ ἐναιώρημα, ἢ ὑπόστασις, ἢ πῶρος. καὶ ἄμεινον οὕτως ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν λέγεται. His enim postremis verbis calculi significationem aut tofi lib. 6. Epid. rectè subintelligi, reliquas verò significationes huic loco probè conuenire indicare videtur.

ὑγρὸς περίρροος] Significat liquidum fuisse humorum affluxum, quo totum corpus veluti per ἔκκρισιν quandã deposito per aluum onere repurgaretur, non secus ac περιρροίας vocauit lib. 1. Epid.

ὑπὸ ρεν αἰεὶ] ὑπερφέρον legisse videntur interpretes. Hîc autem ὑπερφέρειν veluti eminere extare, ac se sustollere significat, quòd rugata cutis contracta & demissa videatur. Prætendi dixit Caluus.

πυρετὸς

A πυρετὸς ἔκρατπτο] Significat febrem ad manus contactum remissam & fractam visam fuisse, quod mador indicauit, & temporum demissa pulsatio, ex cuius magnitudine febris vehementiam antea sæpe significauit. Aliter tamen legit Caluus.

τὰ ὄμματα] Ista sunt delirij ex oculis auguria. Significat autem sæpe frustra oculos conuertisse, velut oculorum aciem intentans, rursusque clausisse. Illud autem καπέμυεν etsi de nictatione intelligi potest, non temerè tamen ad oculos humi defixos referri videtur, quò propius delirium denotet, non secus ac Hesychio κατέμυσον, κατάκυψον (hoc est oculos in terram defige, aut inclinata facie despice) exponitur, etsi κατάμουσον vitiosè scribitur.

ἐναταῖος ἱδρὼς] Istud ad sequentia retuli meliores codices secutus. Caluus ἐναταῖος omisit, quod sanè suspectum est. Sudorem autem mortem denunciantem & exitium significare videtur, superiores partes tantùm, frontem & pectus affligentem, & graueolentem.

B τὸ δέρμα δὲ] ἐσμιγμένον habent omnia fere exemplaria tam manu scripta quàm publicata. Sed ex fidelioribus ἐστιγμένον lego cum Cornario. Significat autem capitis cutem variis notis compunctam fuisse, ac punctis distinctam & veluti variegatam, notisque seu variis maculis notatam, vnde & κατάστικτον ποικίλον Hesychio exponitur, & κατάστικτοι καὶ ποικίλοι οἱ ὄφεις dicuntur serpentes maculis variis seu punctis distincti, veluti maculosum anguem dicit Virgilius Georg. 3. & κατάστικτος χιτὼν tunica varia seu variegata Polluci dicitur. Qua fortassis notione ἐστιγμένον δέρμα variegatam aut variam cutem significare potest. στίγματα verò dicuntur apud veteres punctis variata superficies & punctorum maculis decolorata. Et Hesiodus in Aspide στίγματα vocat puncta seu maculas quibus distincti sunt serpentes ac veluti compuncti.

92 μετὰ τὸ δεῖπνον] Non est dubium quin alterius historiæ sit exordium, refragantibus tamen omnibus fere exemplaribus.

κεφαλῆς σφάκελος] Hîc σφάκελος admodum impropriè sumi videtur pro vehementi & intenso capitis dolore. Post enim capitis grauitatem sæpius repetitam & auctam ex febris intensione, capitis dolor vehemens exortus est. Et Hesychio σφάκελος ἡ ἄμετρος

C ὀδύνη, καὶ ἡ μετὰ σπασμοῦ τῆς χολῆς φορέσεις exponitur, & σφακελίζει ὀδυνᾶται, ἀλγύνεται. Varino quoque σφακελίζειν est ἀλγεῖν μετὰ σπασμοῦ.

ὑπ' ἐποικότα] ἀποικότα legendum videtur contra tamen omnium codicum fidem, neq; absurda, incongrua, aut dissentanea. ἐποικότα tamen etiam tolerari potest, vt etsi neque nigra essent, neque conuenientia tamen.

ἐναταῖος ἐπὶ θῶκον] Exemplaria omnia manu scripta θᾶσσον vitiosè legunt pro θῶκον, vt antea, aut θῶκον quomodo legunt publicati codices.

χῶμα κοπρῶδες] Significat quicquid per glandem subditam demissum fuit stercoraceum fuisse & stercoris colorem habuisse. ἀπέσαξεν autem apposuit, vt & paulò post, de eo quod per liquefactam glandem effluxit ac veluti destillauit.

D μετὰ τοῦ βαλανείου] Sic habent exemplaria omnia: βαλάνου tamen legere malim cum Cornario, vt sit quod antea ἐπὶ θῶκον ἀναστὰς λειποψυχεῖ.

τῆς χιόνος ἐπιεικῶς] Istud sanè suspectum videtur etsi ea in lectione consentiunt omnia exemplaria. Cornarius ægrum leniter niuem gustasse sumpsit, quòd ferè sonat phrasis. Caluus certè aliter. Mihi verò hæc phrasis, etsi insolens est, ita accipi posse videtur vt calidam existimaret aquam quæ prope ad nimis frigiditatem accederet, fereque niuis frigus attingeret. Quòd si τῇ χιόνι ἐποικὼς legas, potes ad membrum superius referre, vt calidam existimaret aquam nisi ad niuis instar valde esset frigida.

93 Ἀνδροθαλεῖ ἀφωνίη. ἄγνοια. παραλήρησις. παυθέντων δὲ τουτέων περιῆν ἔτεα συχνά. καὶ ὑποστροφαὶ ἐγίνοντο. ἡ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρὴ, εἰ μὴ διακλύσαιτο. διαλέγεσθαι οὐχ οἷός τε ἦν. καὶ σφόδρα πικρὴ ἦν τὰ πουλλά. ἔστι δ' ὅτε καὶ περὶ καρδίην ὀδύνη. φλεβοτομίη ἔρυσε ταῦτα. ὑδροποσίη. μελίκρητον. ἐλλέβορον ἔπιε μέλανα. χολῶδες οὐ διήει. ἀλλ' ὀλίγον. τέλει δὲ χειμῶνος κατακλιθεὶς, ἔξω ἑωυτοῦ ἐγένετο. καὶ τὰ τῆς γλώσσης παθήματα ὅμοια. θέρμη λεπτή. γλῶσσα ἄχρως. φωνὴ περιπλευμονική. ἀπὸ τοῦ στήθεος θοἰμάτιον ἀπέρριπτε. καὶ ἐξάγειν ἑωυτὸν ὡς οὐρήσαντα ἐκέλευεν. οὐδὲν δυνάμενος σάφα εἰπεῖν, οὐδὲ ἐὼν παρ' ἑωυτὸν, ἐξῆγον αὐτόν. ἐς νύκτα ἐτελεύτησεν. ἧσι κατέκλινε δύο ἢ τρεῖς ἡμέρας. 94 Ἐγένετο δὲ Νικάνορος πάθος ὁπότε ἐς ποτὸν ὥρμητο, φόβος τῆς αὐλητρίδος ὅτε ἄρξαιτο αὐλεῖν ἀκούσειεν ἐν τῷ συμποσίῳ, ὑπὸ δειμάτων ὄχλοι μόγις ὑπομένειν, ἔφη, ὅτε νὺξ εἴη. ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο. καὶ ταῦτα παρείπετο χρόνον συχνόν. 95 Τιμοκλέης δὲ ὁ μετ' ἐκείνου ἀμβλυώσσειν καὶ λειποσωματεῖν ἐδόκει. καὶ οὐκ ἂν παρὰ κρημνὸν ἔφη παρελθεῖν, οὐ δὲ ἐπὶ γεφύρας. οὐ δὲ τοὐλάχιστον βάθος τάφρου τολμῆσαι ἂν, ὑπὸ δείματος μὴ πέσῃ, διελθεῖν. ἀλλὰ δι' αὐτῆς τῆς τάφρου πορεύεσθαι. τοῦτο χρόνον τινὰ αὐτῷ ξυμβῆναι.

93 Androthali vocis defectio, ignorantia & deliratio aderat, quibus sedatis multis annis superfuit, & in morbum relabebatur. Lingua toto tempore sicca permanebat, ac nisi collueretur loqui non poterat, magnaque ex parte admodum amara erat, interdumque cordis dolor affligebat, quæ sanguinis missio eripuit. Aquæ potu & mulsa vsus est. Veratrum nigrum ebibit, neque biliosum, nisi modicum, prodiit. Demum per hyemem decumbens mente abalienata erat, & lingua iisdem vitiis afficiebatur, calor tenuis erat, lingua decolor, vox qualis pulmonum inflammatione laborantibus, è pectore vestem reiiciebat, seque velut vrinam redditurus educi iubebat, cùm nihil apertè proloqui posset neque apud se esset, eum eduxerunt, sub noctem mortuus est, duobus aut tribus diebus quibus decubuit. 94 Ea erat Nicanoris affectio vt cùm ad conuiuium progrederetur, tibicinæ metu afficeretur: adeo vt cum tibias inflare in conuiuio audiret, præ timore turbaretur neque sustinere posse diceret, si nox esset; de die verò nihil commoueretur, quæ quidem eum multo tempore comitabantur. 95 Damocles verò qui cum illo erat, caligine tentari & exoluto esse corpore sibi videbatur, neque per præruptum locum iter facere, neque verò pontem, ac ne minimè quidem profundam scrobem transmittere audere dicebat, timens ne caderet, verùm per ipsam scrobem adibat, idque illi aliquandiu contigit.

[96] Phœnicis is erat affectus, vt ex oculo dextro plærunque velut fulgor coruscare videretur, non multo verò interposito tempore, ad tempus dextrum grauis dolor exoriebatur, posteaq; totum corpus caput atq; etiam ceruicem peruadebat, capitis pars posterior ad vertebras intumescebat, ceruicis nerui maiores (quos tenontas appellant) contendebantur & circum durescebant. Quòd si caput commouere aut dentes aperire conaretur, non poterat, vt pote admodum distentus. Vomitiones si quando oboriebantur, commemoratos dolores submouebant & lenibant. Sanguinio missis auxilio fuit, & veratri potiones cuiusquemodi humores eduxerunt, præcipueque porraceos. [97] Parmenisco etiam antea animi desperatio accidit, adeo vt vita defungi cuperet, interdum verò rursus securo erat animo. In Olyntho autem aliquando per autumnum voce defectus decumbebat quietè agens, perpusillum quid vixdum dicere aggrediens, quinetiam si quid dixisset, rursus vox deficiebat, somni aderant, interdũ verò peruigilium, & tacita corporis iactatio atque anxietas, manumque præcordiis velut dolorem sentiens admouebat, nonnunquam verò auersus quietè decumbebat, febris autem semper perseuerabat & facilè spirabat. Tandem se ingredientes agnoscere dixit, interdumq; tota die ac nocte cùm potus illi exhiberetur, bibere nolebat, nonnunquam verò accepta repente vrna, totam exhausit aquam. Vrina crassa, qualis in veterinario genere. At circa decimum quartum diem remisit. [98] Cononis ancilla capitis dolore incipiente mente erat abalienata, clamor aderat & eiulatus multus, raroq; quiescebat. Sub quadragesimum diem mortua est. Aliquot verò sub mortem diebus, voce defecta & conuulsione tentata est. [99] Eodem quoque modo & circa eosdem dies mortuus est Timocharis famulus, melancholicis affectibus iisdem (vt videbatur) tentatus. [100] Nicolai filium circa brumam ex compotationibus inhorrescentem, sub noctem febris corripuit, postero die vomitus biliosus, syncerus, paucus adfuit. Tertio verò die frequente adhuc foro, sudore per totum corpus oborto, desiit, statimque rursus incaluit. Ad mediam noctem rigor, febris acuta, die verò eadem hora sudor, rursus statim recaluit, vomitus similis. Quarto die ex mercurialis decocto bene stercoracea & liquida per aluum demisit, subolida tamen & spongiosa, mercurialis iusculo non absimilia. Vrina absque sedimento, non admodum multa, pauca quædam in medio innatantia habebat, præcordiorum sinistrorum & lumborum dolores aderant. Existimabat ex vomitione se facilius ac subinde spirare posse, interdumque geminata respiratione subinde respirabat, lingua albicans erat, dextra parte habens connexionem lupino similem, deinde parum siticulosus erat, peruigil, prudens. Sexto verò die oculus dexter maior conspiciebatur, septimo mortuus est. Verumtamen ante mortem venter intumuit, mortuoque partes posteriores rubore suffusæ sunt. [101] Metonem post Vergiliarum occasum febris prehendit, & lateris sinistri dolor ad iugulum pertingens, isque adeo vehemens vt quiescere nequiret, & inflammatio detinebat, deiectio copiosa erat, biliosa, tribus fere diebus dolor cessauit, calor verò sub

[96] Ὁ Φοίνικος ἐκ τοῦ ὀφθαλμοῦ τὰ πολλὰ τοῦ δεξιοῦ, ὥσπερ ἀστραπὴν ἐκλάμπειν ἐδόκει. οὐ πολὺ δὲ ἐπισχόντι, ὀδύνη ἐς κρόταφον τὸν δεξιὸν ἐγένετο δεινή. ἔπειτα καὶ ἐς ὅλην τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον. οἴδετο ἡ κεφαλὴ, ὄπισθεν τῶν σπονδύλων. καὶ ξύντασις καὶ σκληρότης ἀμφὶ τοὺς τένοντας. εἰ γοῦν ἐπειρᾶτο διακινέειν τὴν κεφαλὴν, ἢ διοίγειν τοὺς ὀδόντας ἠδύνατο, ὡς σφόδρα ξυντεινόμενος. ἔμετοι ὁπότ' ἂν γένοιαντο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας. ἠπιωτέρως ἐποίουν. καὶ φλεβοτομίη ὠφέλησε. καὶ ἐλλέβοροι ἦγον παντοδαπὰ οὐχ ἥκιστα πρασοειδέα. [97] Τῷ Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι καὶ ἵμερος τῆς ἀπαλλαγῆς βίου. ὅτε δὲ πάλιν εὐθυμίη. ἐν Ὀλύνθῳ δέ ποτε φθινοπώρου ἄφωνος κατέκειτο. ἡσυχίην ἔχων, βραχύ τι ὅσον ἄρχεσθαι ἐπιχειρέων προσειπεῖν. ἤδη δέ τι καὶ διελέχθη. καὶ πάλιν ἄφωνος. ὕπνοι ἐνῆσαν. ὅτε δὲ ἀγρυπνίη, καὶ ῥιπτασμὸς μετὰ σιγῆς. καὶ ἀλυσμός. καὶ χεὶρ πρὸς ὑποχόνδρια ὡς ὀδυνωμένῳ. ὅτε δὲ ἀποστραφεὶς, ἔκειτο ἡσυχίην ἄγων. ὁ πυρετὸς δὲ διὰ τέλεος καὶ εὔπνοος. ἔφη δὲ ὕστερον ἐπιγινώσκειν τοὺς ἐσιόντας. πιεῖν δὲ ὅτε μὲν ἡμέρης ὅλης καὶ νυκτὸς, καὶ διδόντων οὐκ ἤθελεν. ὅτε δὲ ἐξαίφνης τὸν στάμνον ἁρπάσας, τοῦ ὕδατος πάντος ἐξέπιεν. οὖρον παχὺ, ὡς ὑποζυγίου. περὶ δὲ τὴν ιδ´ ἀνῆκεν. [98] ἡ δὲ Κόνωνος θεράπαινα ἐκ κεφαλῆς ὀδύνης ἀρξαμένη, ἐκτὸς ἑωυτῆς. καὶ βοὴ. καὶ κλαυθμὸς πολύς. ὀλιγάκις δὲ ἡσυχίη. περὶ ἔτεα τεσσαράκοντα ἐτελεύτησεν. τὰς δὲ ἐπὶ τελευτῆς ἡμέρας, ἄφωνος καὶ σπασμώδης ἐγένετο. [99] Καὶ ὁ τοῦ Τιμοχάρεος θεράπων, ἐκ μελαγχολικῶν δοκῶν εἶναι καὶ τοιούτων, ἐτελεύτησεν ὁμοίως, καὶ περὶ ἡμέρας τὰς αὐτάς. [100] Τῷ Νικολάου περὶ ἡλίου τροπὰς χειμερινὰς, ἐκ πότων ἔφριξεν. ἐς νύκτα πυρετός. τῇ ὑστεραίῃ ἔμετος χολώδης, ἄκρητος, ὀλίγος. τρίτῃ δὲ ἀγορῆς πληθούσης. ἱδρὼς δι' ὅλου τοῦ σώματος. ἔληξε. καὶ ταχὺ πάλιν ἐθερμάνθη. περὶ μέσας νύκτας ῥῖγος. πυρετὸς ὀξύς. ἡμέρης δὲ τὴν αὐτὴν ὥρην ἱδρώς. ταχὺ πάλιν ἐπεθερμάνθη. ἔμετος ὅμοιος. τῇ τετάρτῃ ἀπὸ ὕδατος λινοζώστιος ὑπεχώρησεν εὐκοπρώδεα καὶ ὑγρά. ὑπομύξωρα δὲ σπογγοειδέα, οἷα ὕδωρ λινοζώστιος, οὐκ ἀνόμοια. ὑπόστασις οὐκ ἦν, οὐ δὲ πολὺ τὸ οὖρον. ἐναιωρήματα σμικρά. ἀλγήματα ὑποχονδρίου ἀριστεροῦ καὶ ὀσφύος. ᾤετο ἐκ τοῦ ἐμέτου ἐπαναπνεῖν. καὶ ἐπανέπνει. ἔστι δὲ ὅτε διπλόον. γλῶσσα λευκὴ, ἔχουσα ἐκ δεξιοῦ, οἷον θερμοῦ πρόσφυσιν. ἐπὶ τὴν βραχὺ ἦν διψώδης. ἄγρυπνος. ἔκφρων. ἑκταίῳ δὲ δεξιὸς ὀφθαλμὸς μείζων ἐν τῷ βλέπειν, ἑβδομαῖος ἐτελεύτησε. πλείων ἡ κοιλίη πρὸ τῆς τελευτῆς ἐμετεωρίσθη. καὶ ἀποθανόντι τὰ ὄπισθεν ἐφοινίχθη. [101] Μέτωνι μετὰ πλειάδων δύσιν, πυρετὸς, πλευροῦ ἀριστεροῦ ὀδύνη μέχρι κληΐδος. οὕτω δὲ δεινὴ, ὥστε ἀτρεμίζειν οὐχ οἷός τε, καὶ τὸ φλέγμα κατεῖχεν. ὑποχώρησις πολλὴ, χολώδης. ἐν τρισὶν ἡμέρῃσι σχεδὸν, ἔληξεν ἡ ὀδύνη. ἡ θέρμη δὲ περὶ τὰς ζ´ ἢ θ´.

ζ ἢ θ. βὴξ ἐνῆν. ἀποχρέμψιες ὑπόχολοι οὐ δὲ ἐγένοντο, οὐ δὲ πολλαί. φλεγματώδεες δὲ αἱ βῆχες παρηκολούθεον. σιτίων ἀπεγεύετο. ἔστιν ὅτε ἐξῄει ὡς ὑγιής. ὑπελάμβανον δὲ ἐνίοτε θέρμαι λεπταὶ, ὀλίγον χρόνον. ἱδρώτια ἐγίνοντο ἐς νύκτα. τὸ πνεῦμα ἐν τῇ θέρμῃ πυκνότερον. γνάθων ἔρευθος, περὶ τὸ πλευρὸν βάρος. καὶ ὑπὸ τὴν μασχάλην. καὶ ἐς ὦμον. αἱ βῆχες ἀπεῖχον. φάρμακον ἄνωθεν ἤγαγε χολώδεα. τρίτη, ἀπὸ τοῦ φαρμάκου ἐρράγη τὸ πύον. ἀπὸ δὲ τῆς ἀρχῆς τοῦ ἀρρωστήματος τεσσαρακοστῇ. ἀποκαθῆραι δὲ περὶ πέντε καὶ τριήκοντα ἡμέρας ἄλλας, καὶ ὑγιής. [102] τῇ Θεοτίμου ἐν ἡμιτριταίῳ ἄση. καὶ ἔμετος. καὶ φρίκη ἅμα. ἀρχομένῳ τῷ πυρετῷ καὶ δίψα. προϊόντος ἀρχομένῳ ἐξαίσιον τὸ θερμὸν μελίκρητον πιούσῃ, καὶ ἀπεμεούσῃ, ἥ τε φρίκη καὶ ἡ ἄση ἐπαύσατο. καὶ τὸ ἀπὸ τῆς σίδης ὕστερον. [103] τῇ Διοπείθεος ἀδελφῇ ἐν ἡμιτριταίῳ, δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν. καὶ ξυμπαρείπετο ὅλην τὴν ἡμέρην. καὶ κεφαλαλγίη καὶ τῇσιν ἄλλῃσιν. ὡσαύτως ὑπὸ πληϊάδος δύσιν. ἀνδράσιν σπανιώτερα ἐγίνετο τὰ τοιαῦτα. [104] τῇ Απομότου ἐν ἡμιτριταίῳ περὶ ἀρκτοῦρον, δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν. καὶ ἔμετοι. καὶ πνῖγες προσίσταντο ἅμα ὑστερικαί. καὶ ἐς τὸ μετάφρενον ὀδύναι κατὰ ῥάχιν. ὅτε δὲ ἐνταῦθα οἱ ἴη, ἔληγον αἱ καρδιαλγίαι. [105] τῇ τερπιδέω μητρὶ, τῇ ἀπὸ Δορίσκου διαφθορῆς γινομένης, μηνὶ πέμπτῳ διδύμων ἐκ πλώματος, τοῦ μὲν ἑτέρου αὐτίκα ὡς ἐν χιτῶνί τινι ἀπηλλάγη. τοῦ δὲ ἑτέρου ἢ πρότερον ἢ ὕστερον μ ἡμερέων, ἀπηλλάγη. ὕστερον δὲ ἔλαβεν ἐν γαστρί. ἔτει δὲ ἐνάτῳ ὀδύναι δειναὶ κατὰ γαστέρα ἐπὶ πουλὺν χρόνον ἤρχοντο. ἔστι μὲν ὅτε ἐκ τοῦ τραχήλου καὶ ῥάχιος. καθίσταντο δὲ ἐς ὑπογάστριον καὶ βουβῶνας. ἔστι δ' ὅτε ἐκ γούνατος τοῦ δεξιοῦ. καθίσταντο δὲ ἐς τωὐτό. καὶ ὅτε μὲν κατὰ τὴν γαστέρα αἱ ὀδύναι εἶεν, ἐμετεωρίζετο ἡ κοιλίη. ὅτε δὲ ἐπαύσατο. ξυνέπιπτεν ἡ καρδιαλγίη. πνιγμοὶ οὐκ ἐνῆσαν. ψύξις δὲ τοῦ σώματος ὡς ὕδατι κειμένῳ. κατὰ τὸν χρόνον ἡνίκα ἡ ὀδύνη ἐγίνετο, ὑπέστρεφε δι' ὅλου τὰ ἀλγήματα. ἠπιώτερα τῶν κατ' ἀρχάς. σκόροδα. σίλφιον. τὰ δριμέα ξύμπαντα, οὐ ξυνέφερεν. οὐδὲ τὰ γλυκέα. οὐδὲ τὰ ὀξέα. οὐ δὲ οἱ λευκοὶ οἶνοι. οἱ μέλανες δὲ καὶ λουτρὰ ὀλιγάκις ἀρχομένῃ. καὶ ἔμετοι δεινοὶ ἐπεγίνοντο, καὶ τῶν σιτίων ἀποκλείσιες, καὶ περὶ τὰς ὀδύνας τὰ γυναικεῖα οὐκ ἐφαίνετο. [106] τῇ Κλεομένεος περὶ ζεφύρου πνοὰς, ἐκ ναυσίης καὶ κόπου, πλευροῦ ἀριστεροῦ ὀδύνη. ἐκ τραχήλου ἀρξαμένη, καὶ τοῦ ὤμου. πυρετός. καὶ φρίκη. καὶ ἱδρώς. ἤρξατο δὲ ὁ πυρετὸς καὶ οὐκ ἔληγεν ἀλλ' ἐπέτεινε. καὶ ἡ ὀδύνη δεινή. βὴξ. ἀπόχρεμψις ὕφαιμος. ὠχρή. πολλή. γλῶσσα λευκή. διαχωρήματα μέτρια ὑγρά. οὖρα χολώδεα. τετάρτη ἐς νύκτα, τὰ γυναικεῖα ἦλθε πουλλά. ἔληξεν ἥ τε βὴξ καὶ ἡ ἀπόχρεμψις. καὶ ἡ ὀδύνη. ἡ δὲ θέρμη λεπτή. [107] τῇ Ἐπιχάρμου πρὸ τόκου δυσεντερίη, πόνος. ὑποχωρήματα ὕφαιμα. μυξώδεα. τεκοῦσα παραχρῆμα ὑγιής.

septimum aut nonum. Tussis aderat, exscreationes neque aliquantulum biliosæ, neque copiosæ fiebant, verùm tusses pituitosæ comitabantur, cibos sumebat, interdumque tanquam sanus exibat. Nonnunquam tamen tenues calores exiguo tempore detinebant, sub noctem parui sudores oboriebantur. In calore spiratio crebrior aderat, malarum rubor, lateris grauitas sub axillam & ad humerum pertingebat, tusses aberant. Medicamentum per superiora biliosa eduxit. Tertio post medicamentum pus erupit, quadragesimo verò à morbi initio die. Per alios autem quinque & triginta dies repurgatus est, & conualuit. [102] Theotimi coniugem in semitertiana febre anxietas & vomitus cepit, simulque horror per febris exordia & sitis, progressu temporis per febris initia immoderatus calor. Mulsa epota & vomitione reiecta, & horror & anxietas cessauit, posteaque mali punici succum sumpsit. [103] Diopethis sororem in semitertiana febre sub accessionem vehemens oris ventriculi dolor tenuit, & tota die perseuerabat, huiusmodique oris ventriculi dolor reliquis mulieribus eodem modo aderat. Talia tamen sub Vergiliarum occasum viris rarius contingebāt. [104] Sub Arcturum in febre semitertiana Apomoti coniugem, circa accessionis tempus, vehemens oris ventriculi dolor & vomitus tenuit, simulque vteri strangulatus malè afficiebant, & ad dorsum dolores iuxta spinam erant, ex eoque tempore oris ventriculi dolores cessabant. [105] Terpidæ mater à Dorisco, mense quinto ex casu per abortionem gemellos enixa est, altero quidem velut tunica conclusa statim liberata, altero verò aut prius aut posterius quadraginta diebus, postea autem vtero gestauit. At anno nono vehementes ventris dolores diu tenuerunt interdumq; ex ceruice & spina ortum sumebant, in imo autem ventre & inguinibus consistebat, quandoque verò ex genu dextro exorti, in eundem locum consistebant. Et cùm quidem ad ventrem dolores essent, aluus intumescebat, cùm verò cessarent, oris ventriculi dolor contingebat, strangulatus non aderant. Corpus peræquè frigebat ac si in aqua iaceret. Quo tempore dolor aderat, toto corpore recursabant dolores quàm per exordia leuiores. Nihil allia, laserpitium, aut acria omnia conferebant, neque dulcia, neque acida, neque verò vina alba, verùm nigra, & balnea pauca per initia. Vomitiones vehementes accedebant, & cibi intercludebantur, neque per dolores menses apparebant. [106] Cleomenis vxorem flante fauonio ex nausea & lassitudine lateris sinistri dolor corripuit, ex ceruice & humero initium ducēs, febris aderat & horror, & sudor. Cœperat autē febris neque desinebat, verùm intendebatur, & vehemens dolor erat, tussis, exscreatio aliquantulū cruenta, pallida, multa, lingua albicans, deiectiones moderatæ, liquidæ, vrinæ biliosæ. Quarto die sub noctem menstrua copiosa prodierunt, tussisq; desiit, & exscreatio, & dolor, tenuis tamen calor relictus est. [107] Vxor Epicharmi ante partum intestinorum difficultate laborabat, dolor aderat, deiectiones aliquantulum cruentæ, mucosæ. Vbi peperisset confestim conualuit.

A verbis: ὠνὲς δὲ τῶν νεωτέρων τὸν νωταῖον μυελὸν ἀπὸ δώκαν, ὡς Ἱπποκράτης. τὸν αἰῶνα τις νοσήσας ἑβδομαῖος ἀπέθανε. Celebris est autem apud Hippocratem lib. περὶ τῶν ἐντὸς παθῶν, ἡ τοῦ νωταίου μυελοῦ φθίσις, & φθίσις νωτιὰς tabes dorsalis lib. 2. de morb. quæ septimo die ægrum è medio tollit.

προπιουώτων ἀπεπτον] Mihi valdè suspecta est hæc scriptura & προπτυόντων legendum existimo, vt eos qui primis diebus pus crudum colligunt aut expuunt significet, quibus salsa cum melle exhibenda consulit ad sputum detergendum & concoquendum. Sic lib. 2. de Morb. in tabe ex pulmonis affectu salsa pinguibus & dulcibus permixta concedit. Atq; etiam ista ad tabidos referri videntur, eosq; propius respicere.

[134] πορνείη ἄχρωμος] Inueterata alui profluuia per venerem resiccari scribit [a]Aëtius ex Rufo, his verbis, τὰς διαρροίας χρονίους ἐστιν ὅτε ξηραίνει τὰ ἀφροδίσια. Quod repetit [*]Paulus hoc modo, τὴν κεχρονισμένην διάρροιαν τὰ ἀφροδίσια ἐπιξηραίνουσι. Scriptis quoque est contestatum quendam dysenteria laborantem, ex concubitu cum muliere sanatum. Adeò ridiculum est quod de Achromo meretrice hîc somniat Caluus. [a] *Cap. 8. lib. 3.* [*] *Lib. 1. cap. 35.*

[135] τῇ λεωνίδεω] Videtur hoc exemplum intelligi posse de natura ad mensium profluuium impetum conuertente, quæ deinde aliò cursum auertit, & per nares sanguinem effudit. Sic enim μυκτηρίζειν hîc sanguinis per nares cursum indicare videtur, cùm tamen χλευάζειν, καταγελᾶν, & ἐξουθενοῦν quod est irridere, subsannare, nihili facere, exponant. Aliter tamen sumpserunt interpretes. Illud autem ὁ ἰησὸς οὐ ξυνεῖδεν, οἱ ἰησὸς οὐ ξυνεῖδεν legunt exemplaria quædam cum Aldino.

[136] ὁ φιλοπίμου παῖς] Mirè deprauatum est hoc exemplum vt satis ex asterisco apposito patet, cui neque ab vllis exemplaribus medicina fieri potest. Ita enim in vitium conspirarunt, vt planè conclamatus locus videatur, nec nisi meliorum codicum fide restitui posse. ἦλθεν εἰς ἐμὲ habent exemplaria scripta Regia. In cæteris non est quod inde ad sanitatem erui possit. Credibile est caluariæ os fractum fuisse, vt nullam curationem receperit, tantamq; læsionem fuisse, vt mens ipsa ac cerebri sensationes noxiam acceperint, & ratiocinatio non satis constiterit. ἔρημον autem ἰητρικῆς ὁσίου medica arte & curatione destitutum eleganter dicitur, hoc est deploratum, & cui nulla adferri medela potest, vt & ἔρημοι θεραπείας apud Plutarchum dicuntur, & ἔρημος βοηθείας ab eodem, & ἔρημος τοῦ βοηθήσοντος ab Isocrate dici est annotatum, vt dicuntur à Medicis deserti. Quod sequitur ἐς ἰχῖνα sine dubio suspectum est. Et ridiculum sanè videtur quod de Ichina comminisci videtur Cornarius. Ac videndum num hîc ἐς ἰυγὴν legi possit, vt sensus sit, ad vocem ipsam mentem aut ratiocinationem ipsam non satis constitisse. ἰαχὴ enim & ἰυγὴ vocem aut clamorem significat, qua etiam dictione vsum Hippocratem est annotatum. Qua notione indicabitur ex clamore & vociferatione mentem non satis constantem fuisse. Sed ista est tantùm coniectura, in qua planè non video quod mihi satisfacere possit, præter germanam & legitimam reconditissimorum exemplarium scriptionem, quam ad huc penè desperaui. Idem verò in κρύφημα accidere existimo, idque positum esse pro κρύφια aut κρυφαῖα. Atq; haud scio an κρύφινα legi possit, ex quo in κρύφημα facilis lapsus esse queat, quòd κρυφίνοου Hesychius ἀπόλοου exponat, eumq; qui animi sui sensa aut cogitata celat, significet.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΑΦΟΡΙΣΜΟΙ.

HIPPOCRATIS
APHORISMI.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι, τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ κενεαγγείη, ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως ἔχουσιν. ἢν δὲ μὴ, τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ οὔ.

Ἐν τοῖσι γυμναστικοῖσιν, αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐκ ἔτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι. λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα. μὴ δὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν. σφαλερὸν γάρ. ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί. καὶ πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

Sectio prima.

Vita breuis, ars longa, occasio præceps, experientia fallax, iudicium difficile. Neque verò satis est ad ea quæ facto opus sunt præstò esse, sed & ægrũ, & eos qui præsentes sunt, & res externas, ad id probè comparatas esse oportet.

[2] In alui perturbationib. & vomitionibus quæ spontè eueniunt, si qualia oportet, purgentur, conducit, & facilè tolerant, sin minus, contrà euenit. Itidem & vasorum euacuatio, si qualis debet, fiat, conducit & facilè tolerant, sin minus, contrà fit. Adhibenda igitur consideratio, & loci, & tempestatis anni, & ætatis, & morborum in quibus hæc fieri debent, nécne.

[3] Bene habita athletarum valetudo ad summũ progressa, vbi ad plenitudinis extremum peruenerit, lubrica est, cùm non possit eodem statu permanere, neque quiescere. Quandoquidẽ verò non quiescit, neq; iam potest in melius progredi, reliquum est vt in deterius labatur. His igitur de causis pleniorem illũ corporis habitum haud cunctanter soluere expedit, quò corpus alterius nutricationis initium sumat. Neq; tamen eò deueniendum vt vasa extremè concidant (periculosum enim) sed qualis fuerit eius qui sustinere debet natura, eousq; progrediẽdum. Eadem verò ratione euacuationes ad extremũ deductæ, periculosæ, cõtraq; refectiones ad summũ progressæ, periculosæ.

[4] Tenuis & exacta victus ratio, cùm in morbis longis semper, tum in acutis vbi non admittitur, parũ tuta est. Ac rursus victus qui ad summam peruenit tenuitatem, grauis, si quidem ad extremum perductæ plenitudines graues sunt.

[5] In tenui victus ratione delinquunt ægri, ob quod magis lædũtur. Quodcunq; enim peccatum, in tenui quàm in paulò pleniore victus ratione grauius esse solet. Iccirco etiam sanis parum tuta est tenuis, & certò præscripta ac accurata victus ratio, parũ tuta est, quoniam errata grauiùs ferunt. Eam igitur ob causam tenuis & accuratus victus paulò pleniore maxima ex parte periculosior est.

[6] Ad summos morbos, summæ ad vnguem curationes adhibitæ optimè valent.

[7] Cùm ergo morbus est peracutus, extremos protinus obtinet labores, & extremè tenuissima victus ratione necessariò vtendum. Cùm verò non est, sed pleniorem victum adhibere concessum est, tam à tenui victu se subducere oportet, quàm morbus ab extremis recesserit.

[8] Cùm morbi summa est vehementia, tum vel tenuissimo victu vti necesse est.

[9] At coniectura etiam ex ægro facienda, an cum eo victu satis esse possit ad morbi vigorem vsque, an non priùs ille deficiat, neq; cum tali victu satis esse possit, vel prior morbus deficiat & obtundatur.

[10] Quibus igitur statim vigor adest, iis protinus victus tenuis exhibendus. Quibus verò postea vigor futurus est, iis sub ipsum vigoris tempus & paulò ante cibus subtrahendus. Antea verò vberior cibus exhibendus, quo æger satis esse possit.

[11] In exacerbationibus cibum refugere oportet, exhibere enim noxium. Et quæcunq; per circuitus ingrauescũt, in ipsis accessionibus reformidare oportet.

[12] Morbi & anni tẽpestates, & circuituum collatæ inter se vicissitudines, siue quotidie, siue altero quoq; die, siue etiam per maiora interualla fiant, accessiones & morborum conditiones indicabunt. Quinetiam & per ea quæ mox apparent eadẽ indicantur, quale quid in morbo laterali laborantibus, sputum si statim circa initia subappareat, morbũ breuem, si verò posteriùs videatur, longum futurum denunciat. Vrinæ quoque & alui excrementa, & sudores, vbi apparuerint, iudicatu faciles vel difficiles, & breues vel longos fore morbos indicant.

[13] Senes facilimè ieiunium tolerant, secundum eos qui constãtem ætatem degunt, minimùm adolescentes, ex omnibus verò præcipuè pueri, atq; inter ipsos qui ad actiones obeundas promptiores existunt.

[14] Quæ increscũt plurimum calorem innatum obtinent, plurimo igitur indigent alimento, alioqui corpus absumitur. In senibus verò cùm paucus calor insit, icci rco sanè paucis fomitibus indigẽt, à multis nanque extinguuntur. Eandem etiam ob causam neq; senibus, quòd eorum corpus sit frigidum, febres perinde acutæ contingunt.

[15] Per hyemem & ver ventres natura calidissimi, somniq; longissimi. Per ea igitur tempora copiosiora cibaria exhibẽda, siquidem plurimus est calor natiuus, ideoq; copiosiore indigent alimento. Quod indicant ætates & athletæ.

[16] Victus ratio humida, cùm febricitantibus omni-

A αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί. καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι χαλεπαί.

ἐν τῇσι λεπτῇσι διαίτῃσιν, ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται, μέγα γίνεται μᾶλλον, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. B διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι, σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι, καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν μικρὸν ἁδροτέρων.

ἐς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται.

ὅκου μὲν κάτοξυ τὸ νόσημα, αὐτίκα τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. C ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν. τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου. καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος D πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.

ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾶν. ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου, μικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾶν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

ἐν δὲ τοῖσιν παροξυσμοῖσιν, ὑποστέλλεσθαι χρή. τὸ προστιθέναι γὰρ βλάβη. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, E ἐν τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρή.

τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀνταποδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον ἢν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου, βραχύνει. ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα F καὶ ὑποχωρήματα καὶ ἱδρῶτες, καὶ δύσκριτα καὶ εὔκριτα, καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.

γέροντες εὐφορώτατα νηστείην φέρουσι. δεύτερον, οἱ καθεστηκότες. ἥκιστα, μειράκια. πάντων δὲ μάλιστα, παιδία. τουτέων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν, πλείστης οὖν δεῖται τροφῆς. εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. γέρουσι G δὲ ὀλίγον τὸ θερμόν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται. ὑπὸ πολλῶν μὲν γὰρ ἀποσβέννυται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες. ψυχρὸν γὰρ τὸ σῶμα.

αἱ κοιλίαι χειμῶνος καὶ ἦρος, θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖστον ἔχει. τροφῆς οὖν πλείονος δέονται. σημεῖον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί. H

αἱ ὑγραὶ δίαιται, πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι. μά-

A σι. μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι τοῖσι οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

καὶ οἷσι ἅπαξ ἢ δὶς, καὶ πλείω ἢ ἐλάσσω, καὶ κατὰ μέρος. δοτέον δέ τι καὶ τῷ ἔθει, καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ.

θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι. χειμῶνος, ῥήϊστα. ἦρος, δεύτερον.

τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι, μηδὲν διδόναι, μηδ᾽ ἀναγκάζειν, ἀλλ᾽ ἀφαιρέειν τῶν προσθεσίων B πρὸ τῶν κρισίων.

9 τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίοισι, μήτ᾽ ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ᾽ ἐᾶν. (ξυμφερόντων χωρίων.

10 ἃ δεῖ ἄγειν, ὅκου ἂν μάλιστα ῥέπῃ, ταύτῃ ἄγειν, διὰ τῶν

11 πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμὰ, μηδὲ ἐν ἀρ- C χῇσιν, ἢν μὴ ὀργᾷ. τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.

τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ᾽ ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως, καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν. καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέῃ ὁ νοσέων.

ἐν τοῖσιν ὀξέσι πάθεσιν, ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακίῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε, καὶ εὐ- D φόρως φέρουσι. τὰ δ᾽ ἐναντία, δυσχερῶς.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει θανάσιμον. ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.

ὕπνος, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον γενόμενα, κακόν. (μᾶλλον τῆς φύσιος ᾖ.

E οὐ πλησμονὴ, οὐ λιμὸς. οὐδ᾽ ἄλλο οὐδὲν ἀγαθὸν, ὅ,τι ἂν

κόποι αὐτόματοι, φράζουσι νούσους.

ὁκόσοι πονέοντές τι τοῦ σώματος τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα, νωθρῶς ἐπανατρέφειν δεῖ. τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως.

ἢν ἐκ νόσου τροφὴν λαμβάνων μὴ ἰσχύῃ, σημαίνει ὅτι F πλείονι τροφῇ τὸ σῶμα χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίγνηται, χρὴ εἰδέναι, ὅτι κενώσιος δεῖται.

τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν. (βλάψεις.

τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁκόσῳ ἂν θρέψῃς μᾶλλον, ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίου.

3 τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, G ὑποστροφὰς ποιέειν εἴωθεν.

ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα, εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ.

4 ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

ὅκου φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι φύεται, τὰς ἐκκρίσιας σκέπτεσθαι. ἢν γὰρ χολώδεας ἔωσι, τὸ σῶμα ξυν- H νοσέει. ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίγνωνται, ἀσφαλὲς τὸ

ὅκου λιμὸς, οὐ δεῖ πονέειν. (σῶμα τρέφειν.

bus, tum pueris maximè, atq; aliis qui eiusmodi victu vti consueuerunt, confert.

17 Animaduertẽdi sunt etiam quibus semel aut bis, & quibus copiosior aut paucior, aut per partes cibus offerendus est. Aliquid autem tempori, regioni, ætati & consuetudini concedendum.

18 Per æstatem & autumnum cibos grauissimè ferunt, per hyemem facilimè. Ver post hyemem secundum locum obtinet.

19 Quibus per circuitus accessiones contingunt, nihil dato, neq; cogito, sed de ciborum accessione ante iudicationes detrahito.

20 Quæ iudicationẽ subeunt, aut iam perfectè subierunt, ea neq; moueto, neq; medicamentis, neq; aliis irritamentis innouato, sed sinito.

21 Quæ educere oportet, quò maximè vergunt eò ducito, per loca conuenientia.

22 Cocta medicamento purgante educito ac moueto, minimè cruda, neq; per initia, nisi suopte impetu ad excretionem ferantur, quod ferè non accidit.

23 Quæ prodeunt copia minimè æstimanda, sed vt qualia expedit, prodeant, & æger facilè ferat. Atque vbi ad animi defectionem vsque educere oportet, id etiam faciendum, si æger sufficere queat.

24 In morbis acutis rarò, & per initia medicamentis purgantibus vtendum, idque diligenti ante adhibita circunspectione faciendum.

25 Cùm purgantur quæ purgari decet, confert & facilè tolerant, vbi contrà accidit, difficulter.

Sectio secunda.

1 Quæ in morbo somnus laborẽ facit, lethale; quòd si iuuet somnus, minimè lethale.

2 Vbi delirium somnus sedauerit, bonum.

3 Somnus, vigilia, vtraq; modum excedentia, malum denunciant.

Neq; satietas, neq; fames, neque aliud quicquam bonum, quod supra naturæ modum fuerit.

5 Lassitudines spontè obortæ morbos prænũciant.

6 Quibus pars aliqua corporis dolet, neq; ferè dolorem sentiunt, iis mens ægrotat.

7 Attenuata lõgo temporis interuallo corpora, lentè reficere oportet, at quæ breui, celeriter.

8 Si quis ex morbo cibũ capiens vires non recipiat, copiosiore alimento corpus vti significat. Quòd si cibum minimè capiente istud contingat, euacuatione indigere sciendum est.

9 Cùm quis corpora purgare volet ea ad fluxũ benè comparata faciat oportet.

10 Impura corpora quò plus nutrias, eò magis lędas.

11 Potu quàm cibo refici procliuius est.

12 Quæ per morbos post iudicationem intus relinquuntur, morborũ reuersiones facere consueuerunt.

13 Quibus iudicatio contingit, iis nox accessionem præcedens grauis, quæ verò sequitur plærunque leuior esse solet.

14 In alui fluxionibus deiectionum mutationes, nisi ad prauas commutentur, iuuant.

15 Cùm fauces ægrotant, aut tubercula in corpore exoriuntur, excretiones in cõsiderationem adhibendæ. Si nanque biliosæ sint, corpus simul ægrotat. At si sanorum similes extiterint, securè corpus nutrias.

16 Cùm inedia premit, laborare minimè conuenit.

[17] Vbi copiosior pręter naturam cibus ingestus fuerit, id morbum creat, quod etiam curatio indicat.

[18] Eorum quæ vniuersim & celeriter alunt, celeres quoq; excretiones esse solent.

[19] Morborum acutorum non in totum certæ sunt prænunciationes, neq; salutis, neq; mortis.

[20] Quibus per iuuentutem alui sunt humidæ, iis senescentibus exiccantur, quibus verò in iuuẽtute alui siccæ sunt, iis cùm senes euadunt humectantur.

[21] Famem vini potio soluit.

[22] Morbos ex repletione, vt curat euacuatio, sic eos qui ex euacuatione fiunt, repletio, & in cæteris contrarietas remedio est.

[23] Morbi acuti intra dies quatuordecim iudicatione terminantur.

[24] Quartus septenariorum index est. Octauus alterius septimanæ principium. Vndecimus etiã spectandus dies, siquidẽ alterius septimanæ quartus est. Rursus quoq; spectandus decimusseptimus, is siquidem à decimoquarto quartus est, & ab vndecimo septimus.

[25] Quartanæ æstiuæ ferè breues existũt, autumnales verò longæ, præsertim quæ ad hyemem pertingũt.

[26] Conuulsioni febrẽ aduenire præstat, quàm conuulsionem febri.

[27] Si quæ non pro ratione leuant, iis non oportet fidere, neq; admodum metuere mala quę præter rationẽ eueniunt. Ex his enim multa incerta esse, neq; multũ perdurare, neq; diutiùs perseuerare consueuerunt.

[28] Corpus eorum qui non omninò leuiter febricitant in eodem consistere, & nihil concidere, vel etiam magis quàm ratio postulat extenuari, malum. Illud siquidem morbi diuturnitatem, hoc verò imbecillitatem significat.

[29] Per morborum initia, si quid mouendũ videtur, moueto. Cùm verò vigent, quiescere præstat.

[30] Circa initia & fines omnia sunt leuissima, at circa vigores vehementissima.

[31] Si cui ex morbo cibum probè sumenti corpus nihil proficit, malum.

[32] Vt plurimùm omnes malè habentes, circa initia quidem cibum bene sumentes, neq; quicquam proficientes, ij tandem rursus cibũ auersantur. At qui circa initia quidem vehemẽter cibos fastidiunt, postea verò eos probè assumunt, ij meliùs degunt.

[33] Mente constare, & bene habere ad ea quæ offeruntur, quouis in morbo bonum, contrà verò malum.

[34] Per morbos minore sunt periculo, quorum naturæ, & ætati, & habitui, & anni tempestati, morbus magis cognatus fuerit, quàm quibus in horum aliquo minimè cognatus fuerit.

[35] Quouis in morbo partes quæ sunt ad vmbilicum & imum ventrem crassitudinem habere præstat, valde autem tenues esse & tabefactas, prauum. Ad inferiores autem purgationes hoc etiam parum tutum.

[36] Qui inculpata sunt corporis sanitate dũ per medicamenta purgantia repurgantur, citò exoluuntur, & qui prauo vtuntur cibo.

[37] Qui bene habito sunt corpore ad medicationes molestè habent.

A ὅκου ἂν τροφὴ πλεῖον παρὰ φύσιν ἐσέλθῃ, τοῦτο νόσον ποιέει. δηλοῖ δὲ ἡ ἴησις.

τῶν τρεφομένων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ διαχωρήσιες γίνονται.

[5] τῶν ὀξέων νοσημάτων, οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης.

[6] ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραὶ εἰσὶ, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραὶ εἰσὶ, τουτέοισι πρεσβυτέροισι γινομένοισι, ὑγραίνονται. B

[7] λιμὸν θώρηξις λύει.

[8] ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γίνηται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσιος, πλησμονὴ, καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

[9] τὰ ὀξέα τῶν νοσημάτων, κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. C

[10] τῶν ἑπτὰ, ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος, ἡ ὀγδόη ἀρχή. θεωρητὴ δὲ ἡ ἑνδεκάτη. αὕτη γάρ ἐστι τετάρτη τῆς ἑτέρης ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη μὲν, ἀπὸ τῆς ιδ΄. ἑβδόμη δὲ, ἀπὸ τῆς ἑνδεκάτης. D

[11] οἱ τεταρταῖοι θερινοὶ, τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοὶ, μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ.

τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν. οὐδὲ φοβέεσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια. καὶ οὐ πάνυ τι διαμένειν οὐδὲ χρονίζειν εἴωθεν. E

τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν. τὸ μὲν γὰρ μῆκος νόσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

ἀρχομένων τῶν νόσων, ἤν τι δοκέῃ κινεῖν, κίνει. ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν. F

περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστατα. περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότατα.

τῷ ἐξ ἀρρωστίης εὐσιτέοντι, μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατ' ἀρχὰς μὲν εὐσιτέοντες, καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν. οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες, βέλτιον ἀπαλλάσσουσιν. G

ἐν πάσῃ νόσῳ τὸ ἐρρῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν. τὸ δὲ ἐναντίον, κακόν.

ἐν τῇσι νόσοισιν ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἕξιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ὥρης ἡ νόσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

ἐν πάσῃσι τῇσι νόσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν βέλτιόν ἐστι. τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν. ἐπισφαλὲς δὲ τὸ τοιοῦτον, καὶ πρὸς τὰς κάτω καθάρσιας.

οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι. H

οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

A [38] τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

οἱ πρεσβῦται τῶν νέων, τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. ὅσα δ' ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει.

βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

B οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσι.

λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ, οὐ ῥηΐδιον.

[13] τῶν ἀπαγχομένων καὶ καταλυομένων, μηδέπω δὲ τεθνηκότων, οὐκ ἀναφέρουσιν οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

C [14] οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι γίνονται μᾶλλον τῶν ἰσχνῶν.

[15] τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν, ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν χωρίων, καὶ τῶν βίων ποιέουσι.

δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος, ἀμαυροῖ τὸν ἕτερον.

D περὶ τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου.

ἐν πάσῃ κινήσει τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς, ἄκοπον.

[16] οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνηθέων ἰσχυρῶν τε καὶ νέων, ῥᾷον φέρουσι.

E τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἂν ᾖ χείρω τῶν ἀσυνήθων, ἧσσον ἐνοχλεῖν εἴωθε. δεῖ δὲ καὶ ἐς τὰ συνήθεα μεταβάλλειν.

[17] τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ πᾶν τὸ πολὺ, τῇ φύσει πολέμιον. τὸ δὲ κατ' ὀλίγον, ἀσφαλές. καὶ ἄλλως, ἢν τις ἐξ ἑτέρου ἐφ' ἕτερον μεταβαίνῃ.

F πάντα κατὰ λόγον ποιέοντι, καὶ μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ' ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσιν, νέοι μὲν ὄντες, βέλτιον ἀπαλλάσσουσι, τῶν τὰς ξηρὰς ἐχόντων. ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ, ὡς ἐπὶ τὸ πολὺ, τοῖσιν ἀπογηράσκουσι.

G [18] μεγέθει δὲ σώματος, ἐννεάσαι μὲν, ἐλευθέριον καὶ οὐκ ἀηδές. ἐγγηρᾶσαι δὲ, δύσχρηστον καὶ χεῖρον τῶν ἐλασσόνων.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

[1] αἱ μεταβολαὶ τῶν ὡρέων, μάλιστα τίκτουσι νοσήματα. καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος ἢ θάλψιος, καὶ τἄλλα κατὰ λόγον οὕτως.

[38] Cibus & potus paulò peior, suauior tamen, melioribus quidem, sed minùs gratis, anteponendus.

[39] Vt plurimùm quidem senes iuuenibus ægrotant minùs. At qui ipsis morbi diuturni contingunt, eos ferè ad mortem comitari solent.

[40] Raucedines & grauedines in valdè senibus non coquuntur.

[41] Qui crebrò & vehemẽter citra manifestam caussam animo linquuntur, repentè moriuntur.

[42] Valida quidem apoplexia nullo modo sanatur, leuis verò non facilè.

[43] Ex strangulatis & dissolutis, necdum mortuis, ij minimè ad vitam redeunt, quibus spuma circa os collecta fuerit.

[44] Natura admodũ crassi, celeriùs intereunt quàm graciles.

[45] Ex comitialibus, iuuenes mutatione potissimùm ętatis, & regionum, & victuum, liberationẽ accipiunt.

[46] Cùm duo dolores simul minimè eundem locum occupant, vehementior alterum obscurat.

[47] Dolores & febres contingunt magis circa puris generationem, quàm eo confecto.

[48] Quouis in corporis motu simul ac laborare cœperit, quies confestim lassitudinis est remedium.

[49] Qui solitos labores ferre assueuerunt, etiamsi inualidi sunt aut senes, eos faciliùs ferunt, quàm qui non assueti, quamuis robusti & iuuenes.

[50] Quæ ex longo temporis interuallo assueta sunt, quamuis deteriora, insuetis minùs molesta esse solẽt. Quare ad insolita etiam facienda mutatio.

[51] Confertim & repentè vacuare, vel implere, vel calefacere, vel refrigerare, vel vtcunque aliter corpus mouere, periculosum. Quod siquidem nimium naturæ inimicum. Verùm quod paulatim fit, securũ est, tum vel maximè si quis ab vno ad alterum transierit.

[52] Cùm quis omnia recta ratione facit, neq; tamen pro ratione succedit, non est ad aliud progrediẽdum, si manet quod ab initio visum est.

[53] Quicunq; aluos habent humidas, ij quidem si iuuenes sunt meliùs degunt, quàm qui siccas habent. At in senectute peiùs degunt, cùm ipsis senescentibus ferè resiccentur.

[54] Longa corporis statura, in iuuentute quidem degenda, liberalis nec indecora, in senectute verò inutilis, & breuitate deterior.

Sectio tertia.

[1] Tempestatum anni mutationes potissimùm morbos pariunt, & in ipsis anni tempestatibus magnę mutationes frigoris vel caloris, aliaq; pro ratione ad hunc modum.

[2] Naturæ hæ quidem ad æstatem, aliæ verò ad hyemem bene vel malè habere consueuêre.

[3] Morbi alij ad alias anni tempestates bene vel malè habere consueuêre, & ætates quędam ad anni tempestates, & loca, & victus rationes.

[4] Per anni tempestates, quando eodem die modò calor, modò frigus fit, autumnales morbos expectare conuenit.

[2] τῶν φυσίων, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα, εὖ ἢ κακῶς πεφύκασι.

H [3] τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι. καὶ ἡλικίαι τινὲς, πρὸς ὥρας καὶ χώρας, καὶ διαίτας.

[4] ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γίνηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή.

[5] Austri auditionis hebetudinem & visionis caliginem inducũt, & capitis grauitatem, corpus torpidum & languidũ reddunt, cùm sic inualuerint, ista in morbis patiuntur. Sin aquilonia tempestas fuerit, tusses mouet, fauces exasperat, aluos indurat, vrinam supprimit, horrores excitat, laterũ & pectoris dolores. Cùm sic inualuerit, eiusmodi in morbis expectanda sunt.

[6] Cùm æstas veri similis fuerit, in febribus copiosos sudores expectare oportet.

[7] Per squalores febres acutæ fiunt, & si quidem annus magna ex parte talis extiterit, qualem temporis conditionem effecerit, tales ferè quoq; morbos expectare oportet.

[8] Temporibus bene & ordine constitutis, & tempestiuam tempestiuitatem seruantibus, morbi qui facilè consistant & soluantur, fiunt. In malè verò constitutis, qui neq; facilè consistunt, neq; facilè soluuntur.

[9] Per autumnum omninò morbi acutissimi & maximè exitiales. Ver autem salubertimum & minimè exitiale.

[10] Autumnus tabidis malus.

[11] Quòd autem ad anni tempestates attinet, si quidem hyems plus æquo sicca & aquilonia fuerit, ver autem valde pluuium & austrinum, febres acutas & lippitudines, & intestinorum difficultates ad æstatem oriri necesse est, præcipuè verò in mulieribus & viris natura humidioribus.

[12] At si hyems austrina, & valdè pluuia, & placida fuerit, ver autem plus iusto siccũ & aquilonium, mulieres quidem quibus partus ad ver imminet, ex quauis causa abortiunt. Quæ verò pepererint, imbecillos & morbosos infantes edunt, ita vt vel statim intereāt, vel tenues & valetudinarij viuant. Cæteris autẽ mortalibus difficultates intestinorum, & lippitudines aridæ oriuntur, senioribus verò defluxiones breui interficientes.

[13] Si verò æstas plus æquo sicca & aquilonia, autumnus verò admodum pluuius & austrinus fuerit, capitis dolores ad hyemem oriuntur, & tusses, & raucitates, & grauedines, nonnullis etiam & tabes.

[14] Si verò aquilonius sit & sine pluuiis, iis quidem qui natura sunt humidiore & mulieribus cõmodus, reliquis autem lippitudines erunt siccę, & febres acutæ & diuturnæ, nonnullis verò etiam melancholiæ.

[15] Ex anni autem conditionibus, in totum magnæ siccitates assiduis imbribus sunt salubriores, minusq; lethales.

[16] Per assiduos imbres morbi magna ex parte oriũtur, cùm febres longæ, tum alui fluxiones, putredines, comitiales, apoplexiæ & anginæ. Per magnas autem siccitates, tabitudines, lippitudines, articulorũ dolores, vrinæ stillicidia, & intestinorum difficultates.

[17] At status temporũ quotidiani, aquilonij quidem corpora densant, valentiora, expeditiora, bene colorata, & melius audientia reddunt, aluos exsiccāt, oculos mordent, & si thoracẽ dolor aliquis priùs habuerit, eum magis irritant. Austriñi autem corpora exoluunt & humectāt, grauem auditum, & capitis grauitatem, & vertigines afferunt, oculis & corporibus difficilem motionem inducunt, & aluos humectant.

[5] νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοί, νωθροί, διαλυτικοί. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσιν πάσχουσιν. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραί, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι χρή.

[6] ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.

[7] ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται. καὶ ἢν μὲν ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, οἵην τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

[8] ἐν τοῖσι καθεστῶσι καιροῖσι ἢν ὡραίως τὰ ὡραῖα ἀποδίδωσιν, εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.

[9] ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται τοὐπίπαν. ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.

[10] τὸ φθινόπωρον τοῖς φθίνουσι κακόν.

[11] περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος, πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσιν ὑγροῖσι τὰς φύσιας.

[12] ἢν δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος καὶ εὐδιεινὸς γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες ἧσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν. αἱ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν. ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι καὶ ὀφθαλμίαι ξηραὶ γίνονται. τοῖσι δὲ πρεσβυτέροισι, κατάῤῥοι συντόμως ἀπολλύντες.

[13] ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν χειμῶνα γίνονται. καὶ βῆχες. καὶ βράγχοι. καὶ κόρυζαι. ἐνίοισι δὲ καὶ φθίσιες.

[14] ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν οὖσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ, ξύμφορον. τοῖσι δὲ λοιποῖσιν, ὀφθαλμίαι ἔσονται ξηραί. καὶ πυρετοὶ ὀξέες. καὶ κόρυζαι. ἐνίοισι δὲ καὶ μελαγχολίαι.

τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες.

νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες. καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. [15] ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινώδεες, ὀφθαλμίαι. ἀρθρίτιδες. στραγγουρίαι. καὶ δυσεντερίαι.

αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι, τά τε σώματα ξυνιστῶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὔχροα, καὶ εὐηκοώτερα ποιέουσι. [16] καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι. καὶ περὶ τὸν θώρηκα ἄλγημα ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσιν. αἱ δὲ νότιοι, διαλύουσι τὰ σώματα καὶ ὑγραίνουσιν, καὶ βαρυηκοΐας, καὶ καρηβαρίας, καὶ ἰλίγγους ποιέουσιν. ἐν δὲ τοῖσιν ὀφθαλμοῖσιν, καὶ τοῖσι σώμασι, δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι.

A κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος, καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος οἱ γέροντες. [17] τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσι.

νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται, μᾶλλον δὲ ἔνια κατ' ἐνίας αὐτέων καὶ γίνεται καὶ παροξύνεται.

B τοῦ μὲν γὰρ ἦρος, τὰ μανικὰ καὶ τὰ μελαγχολικά. καὶ τὰ ἐπιληπτικά. καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι. καὶ κόρυζαι. καὶ βράγχοι. καὶ λέπραι. καὶ βῆχες. καὶ λειχῆνες. καὶ ἀλφοί. καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται. καὶ φύματα. καὶ ἀρθριτικά.

τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες. καὶ καῦσοι. καὶ τριταῖοι πυρετοί, καὶ τεταρταῖοι. καὶ ἔμετοι, καὶ C διάρροιαι. καὶ ὀφθαλμίαι. καὶ ὤτων πόνοι. [18] καὶ στομάτων ἑλκώσιες. καὶ σηπεδόνες αἰδοίων. καὶ ἵδρωα.

τοῦ δὲ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλά. καὶ πυρετοὶ τεταρταῖοι, καὶ πλανῆτες. καὶ σπλῆνες. καὶ ὕδρωπες. καὶ φθίσιες, καὶ στραγγουρίαι. καὶ λειεντερίαι. καὶ δυσεντερίαι. καὶ ἰσχιάδες. καὶ κυνάγχαι. καὶ ἄσθματα. καὶ εἰλεοί. καὶ ἐπιληψίαι. καὶ τὰ μανικά. καὶ τὰ μελαγχο-D λικά.

τοῦ δὲ χειμῶνος, πλευρίτιδες. περιπλευμονίαι. λήθαργοι. κόρυζαι. βράγχοι. βῆχες. πόνοι στηθέων. πόνοι πλευρέων. ὀσφύος. κεφαλαλγίαι. ἴλιγγοι. ἀποπληξίαι.

ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε ξυμβαίνει. τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι. ἔμετοι. βῆχες. ἀγρυπνίαι. φόβοι. ὀμφαλοῦ φλεγμοναί. ὤτων ὑγρότητες.

E πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν, οὔλων ὀδαξυσμοί. πυρετοί. σπασμοί. διάρροιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας. καὶ τοῖσι παχυτάτοισι τῶν παίδων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

πρεσβυτέροισι δὲ γενομένοισι, παρίσθμια. σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες. [19] ἄσθματα. λιθιάσιες. ἕλμινθες στρογγύλαι. ἀσκαρίδες. ἀκροχορδόνες. σατυριασμοί. στραγ-F γουρίαι. χοιράδες. καὶ τἄλλα φύματα. μάλιστα δὲ τὰ προειρημένα.

τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλά, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται. τὰ μὲν, ἐν τεσσαράκοντα ἡμέρῃσι. τὰ δὲ, ἐν ἑπτὰ μησί. τὰ δὲ, ἐν ἑ-G πτὰ ἔτεσι. τὰ δὲ, πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ' ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τῇσι θηλέῃσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν.

[20] τοῖσι δὲ νεηνίσκοισιν, αἵματος πτύσιες. φθίσιες. πυρετοὶ ὀξέες. ἐπιληψίαι. καὶ τἄλλα νουσήματα. μάλιστα δὲ τὰ προειρημένα.

H τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα. πλευρίτιδες. περιπλευμονίαι. λήθαργοι. φρενίτιδες. καῦσοι. διάρροιαι χρόνιαι. χολέραι. δυσεντερίαι. λειεντερίαι. αἱμορροΐδες.

[18] Quòd autem ad anni tempora attinet, vere quidem & prima æstate pueri, & his ætate proximi, optimè degunt & maximè valent, æstate verò & quadantenus autumno senes. Reliqua autumni & hyemis parte, qui inter has ætates sunt medij.

[19] In quibusuis anni tẽporibus omnis generis morbi oriuntur, nonnulli tamen in quibusdam tum fiunt, tum excitantur.

[20] Vere quidem insania, melancholiæ, comitiales, sanguinis profusiones, anginæ, grauedines, raucitates, tusses, lepræ, impetigines, vitiligines, & pustulæ vlcerosæ plurimæ, & tubercula, & articulorum dolores.

[21] Æstate autem horum nonnulli, & febres assiduæ, & ardentes, & tertianæ plurimæ, & quartanæ, vomitiones, alui profluuia, lippitudines, aurium dolores, oris exulcerationes, genitalium putredines & sudamina.

[22] Autumno verò etiam ęstiui multi, & quartanæ febres atq; erraticæ, lienes, aquæ inter cutem, tabes, vrinæ stillicidia, intestinorum læuitates, & difficultates, coxendicum dolores, anginę, crebri anhelitus, voluuli, comitiales, insaniæ & melancholiæ.

[23] Hyeme verò morbi laterales, pulmonum inflammationes, lethargi, grauedines, raucitates, tusses, dolores pectorum, laterum & lumborum, capitis dolores, vertigines & apoplexiæ.

[24] Per ætates hæc eueniunt, paruis & recens natis pueris, serpentia oris vlcera, aphthæ dictæ, vomitiones, tusses, vigiliæ, pauores, circa vmbilicum inflammationes, aurium humiditates.

[25] Ad dentitionem verò progressis, gingiuarum stimulantes prurigines, febres, conuulsiones, alui profluuia, idq; præcipuè cùm caninos dentes emittere cœperint, & iis qui maximè crassi sunt, & aluos duras habent.

[26] At iis paulùm ętate progressis, tõsillarum inflammationes, vertebræ quæ ad occipitium est interiorem in partem impulsiones, crebræ anhelationes, calculi, lumbrici rotundi, alij tenues & minuti, in recto intestino orti, ascarides dicti, verrucæ Græcis ἀκροχορδόνες dictæ, satyriasmi, strumæ, & alia tubercula, præcipuè verò prædicta.

[27] Adhuc autem ætate prouectioribus & ad pubertatem progressis, ex iis multa, & febres diuturnæ magis, & sanguinis ex naribus profluuia.

[28] At magna ex parte pueris morbi iudicatione soluuntur, partim quidem intra quadraginta dies, partim verò intra septẽ menses, nonnulli intra annos septem, quidam etiam ad pubertatẽ progressis. Qui verò pueris perseuerarint, neq; circa pubertatem soluti fuerint, aut fœminis circa mensium eruptionem, diu perseuerare consueuerunt.

[29] Adolescentibus autem sanguinis spuitiones, tabes, febres acutæ, comitiales, aliique morbi, præcipuè tamen prædicti.

[30] His verò qui hanc ætatem superarunt, crebri anhelitus, morbi laterales, pulmonum inflammationes lethargi, phrenitides, febres ardentes, diuturna alui profluuia, choleræ, intestinorum difficultates & læuitates, sanguinis per ora venarum quæ in ano sunt profusio, αἱμορροΐδες Græcis dictæ.

[31] At senibus spirandi difficultates, destillationes tussim inferentes, stranguriæ, vrinæ difficultates, articulorum & renum dolores, vertigines, apoplexiæ, mali corporis habitus, totius corporis pruritus, vigiliæ, alui, oculorum & narium humiditates, visus hebetudines, grauedines, auditus graues.

Sectio quarta.

[1] Vterum gerentibus medicamenta purgantia sunt exhibenda, si humor impetu fertur ad excretionem, quarto mense, & ad septimum vsque, his tamen minùs. In minoribus autem & grandioribus fœtibus subtimidè se gerere oportet.

[2] In medicamentorum purgantiũ vsu, qualia etiam sponte prodeuntia vtilia sunt, talia è corpore educere cõuenit, quæ verò cõtrario modo prodeũt, cohibere.

[3] Si quæ purgari decet, purgentur, confert & leuiter ferunt, contrà verò, grauiter.

[4] Æstate quidem superiores ventres potiùs medicamentis repurgato, hyeme verò inferiores.

[5] Sub canis ortum, & ante canis ortũ, molestæ sunt per medicamenta purgationes.

[6] Graciles & facili vomitione vtentes, medicamẽto per superiora purgare oportet, reformidantes hyemẽ.

[7] At difficili vomitione vtentes & modicè carnosos, per inferiora, æstatem reformidantes.

[8] Tabescentes verò, reformidantes per superiora purgationes.

[9] Atra bile abundantes largiùs per inferiora, simili ratione adhibita contraria purgandi via.

[10] In valdè acutis si suopte impetu ad excretionem humor feratur, medicamento purgante eodem die vtendum. Siquidem in his cunctari malum.

[11] Quibus intestina cõtorquentur, circa vmbilicum labores, & lumborum dolor adest, qui neq; medicamento purgante, neq; alia ratione soluitur, in siccum hydropem confirmatur.

[12] Quibus alui intestinorum læuitate infestatur, eos hyberno tempore per superiora medicamento purgare, malum.

[13] Qui veratro sumpto non facilè per superiora purgantur, iis ante potionem corpora copiosiore cibo & quiete præhumectato.

[14] Vbi quis veratrum potione sumpserit, corporum quidẽ motiones magis q̃ somnum & quietẽ inducito. Nam vel nauigatio turbari motione corpora indicat.

[15] Vbi veratrum magis ducere voles, corpus moueto, vbi verò sistere, somnum conciliato, neq; moueto.

[16] Veratrum iis qui sano sunt corpore periculosum, conuulsionem enim inducit.

[17] Si cui sine febre, cibi fastidiũ, oris ventriculi morsus, tenebricosa vertigo contigerit, & os amarulẽtum fuerit, hæc necessariã esse per superiora purgationem indicant.

[18] Dolores supra septum transuersum purgatione indigentes, medicamentum quod per superiora purget necessarium esse indicant. At qui septo transuerso sunt inferiores, per inferiora.

[19] Qui sumpta potione medica dum purgantur non sitiunt, ij purgandi finem nõ faciunt, donec sitiuerint.

[20] Si dolor intestina torquens, & genuum grauitas, & lumborum dolor citra febrem adfuerint, medicamento quod per inferiora purgat opus esse significant.

τοῖσι δὲ πρεσβύτῃσι, δύσπνοιαι, κατάρροοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρυηκοΐαι.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα, εὐλαβεῖσθαι χρή.

ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκόσα καὶ αὐτόματα ἰόντα χρήσιμα. τὰ δὲ ἐναντίως ἰόντα, παύειν.

ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δὲ ἐναντία, δυσχερῶς.

[1] φαρμακεύειν θέρεος μὲν, μᾶλλον τὰς ἄνω. χειμῶνος δὲ τὰς κάτω.

ὑπὸ κύνα καὶ πρὸ κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι.

τοὺς ἰσχνοὺς τοὺς εὐημέας, ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους, κάτω, ὑποστελλομένους θέρος.

[2] τοὺς δὲ φθινώδεας ὑποστελλομένους τὰς ἄνω.

[3] τοὺς δὲ μελαγχολικοὺς, ἁδροτέρως τὰς κάτω. τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν ἢν ὀργᾷ αὐθημερόν. χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν.

[4] ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον, μήτε ὑπὸ φαρμακείης, μήτ' ἄλλως, εἰς ὕδρωπα ξηρὸν ἱδρύεται.

ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν.

[5] πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος, προϋγραίνειν τὰ σώματα ἐν πλείονι τροφῇ καὶ ἀναπαύσει.

ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας, ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει.

ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα. ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει καὶ μὴ κίνει.

ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι. σπασμὸν γὰρ ἐμποιέει.

[6] ἀπυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

[7] τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ἄνω φαρμακείην σημαίνει. ὁκόσα δὲ κάτω, κάτω.

[8] ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν.

ἀπυρέτοισιν ἐοῦσιν, ἢν γένηται στρόφος, καὶ γουνάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

[9] ὑποχωρή-

A ⁹ Ὑποχωρήματα μέλανα οἱονεὶ αἷμα μέλαν ἀπ' αὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ κάκιστα. καὶ ὁκόσοισιν ἂν τὰ χρώματα πονηρότερα ᾖ, μᾶλλον κάκιον. σὺν φαρμάκῳ δὲ ἄμεινον. καὶ ὁκόσῳ ἂν πλείω χρώματα, οὐ πονηρά. Νοσημάτων ὁκόσων ἀρχομένων χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

¹⁰ Ὁκόσοισιν ἐκ νουσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων,

B ἢ ἐκ τρωμάτων, ἢ ἄλλως πως λεπτυνομένων, χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ἐπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

Δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

¹¹ Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ᾖ, κακόν, κάτω δὲ, ἀγαθόν. καὶ τὰ μέλανα ὑποχωρέοντα, κακόν.

¹² Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ, ὁκοῖαι ἂν σάρκες

C ὑποχωρήσωσι, θανάσιμον.

¹³ Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμορραγέει πλῆθος ὁκόθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

¹⁴ Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γενομένης παύεται, καὶ ὁκόσοισι κώφωσις, χολωδέων γι-

D νομένων παύεται.

¹⁵ Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι, ῥίγεα γίνονται, δύσκριτα.

¹⁶ Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ δύσκριτα.

¹⁷ Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα ἀποστάσιες γίνονται.

E ¹⁸ Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τι πονέσῃ, ἐνταῦθα ἀποστάσιες γίνονται.

Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

¹⁹ Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον.

²⁰ Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης

F ἐπιστραφῇ, καὶ μόλις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

²¹ Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι. καὶ πεμπταῖοι. καὶ ἑβδομαῖοι. καὶ ἐναταῖοι. καὶ ἑνδεκαταῖοι. καὶ τεσσαρεσκαιδεκαταῖοι. καὶ ἑπτακαιδεκαταῖοι. καὶ μίῃ καὶ εἰκοστῇ. καὶ ἑβδόμῃ καὶ εἰκοστῇ. καὶ τριακοστῇ πρώτῃ. καὶ τριακοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες,

G νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι καὶ μῆκος νόσου, καὶ ὑποτροπιασμούς.

²² Οἱ ψυχροὶ ἱδρῶτες, ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον. ξὺν πρηϋτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι.

²¹ Nigræ deiectiones, qualis sanguis niger, sponte procedentes, & cum febre, & citra febrem, pessimæ, eoq; peiores quò plures earũ colores deteriores fuerint. A medicamento autem melius, quoq; plures colores fuerint non praui.

²² Per quorumuis morborum initia, bilem atram supra vel infra prodire, lethale.

²³ Quibus per morbos acutos, aut diuturnos, aut vulnera, aut alium quemuis modum extenuatis, bilis atra, aut veluti sanguis niger subierit, ij postridie moriuntur.

²⁴ Intestinorum difficultas si ab atra bile ortum duxerit, lethalis.

²⁵ Sanguis, supra quidem, qualiscunque fuerit emissus, malus, infra, autem si niger deiiciatur, bonus.

²⁶ Intestinorum difficultate vexato, si veluti carunculæ deiiciantur, lethale.

²⁷ Quibus per febres sanguinis copia vndecunq; profluxerit, iis cùm reficiuntur alui humidiores euadunt.

²⁸ Quibus biliosæ sunt deiectiones, hę oborta surditate cessant, & quibus adest surditas, his exortis biliosis deiectionibus finitur.

²⁹ In febribus si rigores contingant sexto die, difficilem habent iudicationem.

³⁰ Quibus accessiones fiunt, quanamcunque hora febris dimiserit, si postero die eadem qua antea hora prehenderit, iudicatio difficilis esse solet.

³¹ Quibus per febres lassitudinis sensus inest, iis ad articulos, potissimumq; circa maxillas abscessus oriuntur.

³² Iis verò qui ex morbis conualescunt, si pars aliqua laborauerit, illic abscessus fiunt.

³³ Sed & si pars quæpiam ante morbum laborauerit, in eam se morbus obfirmat.

³⁴ Si febre vexato, nullo existente in faucibus tumore, repentina accidat strangulatio, lethale.

³⁵ In febre vexato, collum repente peruersum, ac vix deglutire posse, nullo existente tumore, lethale.

³⁶ Sudores febricitantibus boni, qui cœperint tertio die, quinto, septimo, nono, vndecimo, decimoquarto, decimoseptimo, vicesimo primo, vicesimo septimo, tricesimo primo, & tricesimo quarto, ij enim sudores morbos iudicant. Qui verò tales non sunt, laborem, & morbi longitudinem, eiusdemque reuersionem significant.

³⁷ Sudores frigidi in febre quidem acuta oborti, mortem; in mitiori autem, morbi prolixitatem significant.

³⁸ Et vbi in corpore sudor inest, ibi morbum esse enunciat.

³⁹ Et qua corporis parte calor inest aut frigus, ibi morbus est.

⁴⁰ Et vbi toto corpore mutationes contingunt, vt si corpus refrigeretur, rursumq; calefiat, vel color alius ex alio oriatur, morbi longitudinem significat.

Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρώς, ἐνταῦθα φράζει τὴν νοῦσον.

²³ Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρόν, ἐνταῦθα ἡ νοῦσος.

²⁴ Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαί, καὶ ἢν τὸ σῶμα καταψύχηται. ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον

H ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

41 Sudor copiosus de somno citra manifestã causam obortus, corpus copiosiore vti cibo significat. Quòd si cibum non assumenti istud contingat, quòd euacuatione opus sit indicat.

42 Sudor copiosus calidus aut frigidus semper fluens, frigidus maiorem, calidus minorem morbum significat.

43 Febres quæ tertio quoque die vehementiùs affligunt, neque intermittunt, periculosiores. Quocunque autem modo intermiserint, extra periculum esse significant.

44 Quibus adsunt febres longæ, iis tubercula, vel ad articulos dolores innascuntur.

45 Quibus tubercula, aut ad articulos dolores post febres longas oriuntur, ij copiosioribus cibis vtũtur.

46 Si febre non intermittente rigor frequenter incidat, ægro iam debili, lethale est.

47 In febribus non intermittentibus excreationes liuidæ, sanguineæ, graueolẽtes, & biliosæ, omnes malæ, benè autem si prodeant, bonę, tum per alui excretiones, tum per vrinas. At si quid eorum quæ non iuuant per hæc loca excernatur, malum.

48 In febribus non intermittentibus, si partes externæ sint frigidæ, internæ verò vrantur & siti vexentur, lethale est.

49 In febre non intermittente, si labrum, aut supercilium, aut oculus, aut nasus peruertatur, si nõ videat, si non audiat, imbecillo iam corpore, quicquid ex his euenerit, in propinquo mors est.

50 Quando in febre non intermittente difficultas spirandi & delirium contigerit, lethale.

51 In febribus quæ abscedunt si primis iudicationibus non soluantur, morbi longitudinem significãt.

52 Quibus in febribus aut aliis morbis oculi ex voluntate illachrymant, nihil absurdi accidit. At quibus præter voluntatem, absurdius.

53 Quibus per febres ad dentes glutinosus humor obnascitur, iis vehementiores fiunt febres.

54 Quibus tusses siccæ leuiter irritantes in febribus ardentibus diu perseuerant, ij non multùm siti vexantur.

55 Ex glandularum inflammationibus febres omnes malæ præter diarias.

56 Febricitanti si sudor contingat non deficiente febre, malum. Prorogatur enim morbus multamq; significat humiditatem.

57 Si cui conuulsione aut distentione neruorum detento, febris successerit, morbum soluit.

58 Febre ardente detento, si rigor successerit, solutio contingit.

59 Tertiana exquisita septem circuitibus, vt longissimè, iudicatur.

60 Quibus per febres aures obsurduerunt, sanguis ex naribus profluens, aut aluus exturbata, morbum soluit.

61 Febricitantem, nisi diebus imparibus febris dimiserit, reuerti solet.

25 Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης φανερῆς γινόμενος, τὸ σῶμα σημαίνει ὅτι πλείονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσιος δέεται. A

26 Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς, μείζω, ὁ δὲ θερμὸς, ἐλάσσω, νοῦσον σημαίνει.

27 Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης, ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι. B

28 Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

29 Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι, ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

30 Ἢν ῥῖγος ἐπιπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον. C

31 Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες πᾶσαι κακαί. ἀποχωρεῦσαι δὲ καλῶς ἀγαθαί, καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

32 Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον. D

33 Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ ἀσθενέος ἐόντος τοῦ κάμνοντος, ὅ, τι ἂν τουτέων γίνηται, ἐγγὺς ὁ θάνατος.

Ὅκου ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γίνηται καὶ παραφροσύνη, θανάσιμον. E

Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νόσου σημαίνει.

34 Ὁκόσοι ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀρρωστίῃσι κατὰ προαίρεσιν δακρύουσιν οὐδὲν ἄτοπον. ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

35 Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί. F

36 Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ διψώδεες εἰσίν.

37 Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

38 Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει. G

39 Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα.

40 Ὑπὸ καύσου ἐχομένῳ ἐπιγενομένου ῥίγεος λύσις.

41 Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

42 Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

43 Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν. H

44 Ὁκόσοισιν

A [44] Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερέων, κακὸν, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται.

[45] Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι, τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ. ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

B Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν.

Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν, οἱ σπασμοὶ, καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι, ἢ σπασμοὶ, κακόν.

Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακὸν, σπασμὸν γὰρ σημαίνει.

C [46] Ὁκόσοισιν οὖρα παχέα θρομβώδεα ὀλίγα οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν, ὠφελέει, μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

[47] Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ D παρέσονται.

[48] Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον, τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τἄλλα κατὰ λόγον.

[49] Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρά. μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

[50] Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα ὀσφύος ἀλγήματος ἐπιγινομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται. E ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

[51] Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος, οὖρον πολὺ, κάρτα παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

F Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

[52] Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία μικρὰ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

[53] Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

G Ὁκόσοι ἀπὸ τοῦ αὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν, φλεβίου ῥῆξιν σημαίνει.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

[62] Quibus per febres morbus regius ante diem septimum obortus fuerit, malum.

[63] Quibus per febres die septimo, aut nono, aut vndecimo, aut decimo quarto, morbus regius obortus fuerit, bonum, nisi præcordia dextra dura fuerint, alioqui minimè bonum.

[64] In febribus circa ventriculum æstus vehemens, & oris ventriculi morsus, malo est.

[65] In febribus acutis conuulsiones, & circa viscera dolores vehementes, malum.

[66] In febribus per somnos pauores, aut conuulsiones, malo sunt.

[67] In febribus spiritus offensans, malo est, conuulsionem nanque indicat.

[68] Quibus non sine febre vrinæ sunt crassæ, grumosæ & paucæ, si ab iis copiosæ & tenues prodeant, iuuant. Præcipuè verò tales redduntur quibus ab initio, vel non ita multò post, sedimentum inest.

[69] Quibus per febres vrinæ sunt perturbidæ, quales veterini generis, iis capitis dolor vel adest, vel aderit.

[70] Quibus septimo die iudicatio contingit, iis vrina rubram die quarto nubeculam habet, aliaq; pro ratione.

[71] Quibus vrinæ pellucidæ, albæ, malæ, præcipuè verò in phreniticis apparent.

[72] Quibus sublata præcordia murmurant, lumborum succedente dolore, iis alui humectantur, nisi flatus deorsum erumpant, aut vrinæ copia prodeat. Atque hæc in febribus contingunt.

[73] Quibus speratur aliquid ad articulos abscessurum, vrina copiosa & crassa, & alba reddita, abscessu liberat, qualis in febribus cum lassitudinis sensu quarto die quibusdam ferri incipit. Quòd si ex naribus etiam sanguis effluxerit, tum breui admodum solutio fit.

[74] Si sanguis aut pus cum vrina redditur, renum aut vesicæ exulceratio significatur.

[75] Quibus cũ vrina crassa exiguæ carunculæ, aut veluti capilli simul ferũtur, iis à renibus excernuntur.

[76] Quibus cum vrina crassa furfuri similia quædam simul exeunt, iis vesica psora laborat.

[77] Qui sponte sanguinem cum vrina effundunt, iis in renibus venulam ruptam esse significat.

[78] Quibus in vrina arenosæ sunt subsidentiæ, iis vesica calculo laborat.

[79] Si quis sanguinem & grumos cum vrina fundat, & stranguriam habeat, dolorque in imum ventrem & interfœmineum incidat, quæ ad vesicam attinent laborant.

[80] Si quis sanguinem & pus, & squamulas cum vrina fundat, grauisq; odor adsit, vesicæ exulcerationem significat.

[81] Quibus in vrinæ fistula tuberculum innascitur, eo in pus verso & rupto, solutio contingit.

[82] Vrina copiosè de nocte reddita, paucam alui deiectionem significat.

[54] Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ ἐς τὸν περιτόναιον, τὰ περὶ τὴν κύστιν πονεῖ.

Ἢν αἷμα καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

H [55] Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

Sectio quinta.

[1] Conuulsio ex veratro, lethalis.

[2] Conuulsio quæ in vulnus incidit, lethalis.

[3] Ex copioso sanguinis fluxu conuulsio aut singultus contingens, malum denunciat.

[4] Ex profusa purgatione conuulsio aut singultus succedens, malum.

[5] Si ebrium quempiam vox deficiat de repente, conuulsus moritur, nisi eum febris prehendat, aut qua hora crapula solui solet, ad vocem redeat.

[6] Qui neruorum distentione corripiuntur, intra quatuor dies pereunt, quos si effugerint, sanescunt.

[7] Comitiales quibus ante pubertatis annos contingunt, depositionem accipiunt. At quibus quintum & vigesimum annum agentibus fiunt, eos ferè ad mortem vsque comitantur.

[8] Qui morbo laterali laborant, nisi intra dies quatuordecim repurgentur, iis in suppurationem deponitur.

[9] Tabes præcipuè contingit ætatibus quæ sunt ab anno decimo octauo ad trigesimum quintum.

[10] Qui anginam effugiunt, iis in pulmonem vertitur, & intra dies septem intereunt, quos si euaserint suppurati fiunt.

[11] In tabe vexatis, si sputum quod tussi reiiciunt carbonibus infusum grauem odorem emittat, & capilli è capite defluant, lethale est.

[12] In tabidis si capilli è capite defluant, ij succedente alui profluuio moriuntur.

[13] Qui spumantem sanguinem sputo reiiciunt, iis ex pulmone educitur.

[14] Tabe detento succedens alui profluuium lethale.

[15] Qui ex morbo laterali suppurati fiunt, si intra dies quadraginta, ex quo ruptio facta est, repurgentur, liberantur, alioqui in tabem transeunt.

[16] Calidum eo frequentius vtentibus has affert noxias, carnium effœminationem, neruorum impotentiam, mentis stuporem, sanguinis profluuia, animi defectiones, ad quæ mors sequitur.

[17] Frigidum verò conuulsiones, neruorum distentiones, denigrationes, & rigores febriles.

[18] Frigidum ossibus aduersum, dentibus, neruis, cerebro, dorsali medullæ. calidum verò vtile.

[19] Perfrigerata excalefacere oportet, præter ea quæ sanguinem effundunt, aut breui effundent.

[20] Frigidum vlcera mordet, cutem obdurat, dolorem insuppurabilem facit, denigrationes, rigores febriles, conuulsiones, neruorum distentiones.

[21] Quandoque tamen in neruorum distentione absque vlcere, in iuuene quadrati corporis, æstate media, frigidæ copiosa perfusio caloris reuocationem efficit, calor autem hæc sanat.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

[1] Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον.

[2] Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον.

[3] Αἵματος πολλοῦ ῥυέντος κάτω, σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

[4] Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

[5] Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται σπασθεὶς, ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

[6] Ὁκόσοισι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

[7] Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει. ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα καθίσταται.

[8] Φθίσις γίνεται μάλιστα ἡλικίῃσι, τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα ἐτέων.

[9] Ὁκόσοι κυνάγχην διαφεύγουσιν, ἐς τὸν πλεύμονα αὐτέοισι τρέπεται, καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

[10] Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδες.

[11] Ὁκόσοισι φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσιν, οὗτοι διαρροίης ἐπιγενομένης, ἀποθνήσκουσιν.

[12] Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ τοῦ πλεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

[13] Ὑπὸ φθίσιος ἐχομένῳ, διάρροια ἐπιγενομένη, θανατῶδες.

[14] Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται, ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται.

[15] Τὸ θερμὸν βλάπτει ταῦτα πλεονάκις χρεομένοισι. σαρκῶν ἐκθήλυνσιν. νεύρων ἀκράτειαν. γνώμης νάρκωσιν. αἱμορραγίας. λειποθυμίας. ταῦτα οἷσι θάνατος.

[16] Τὸ δὲ ψυχρὸν, σπασμοὺς, τετάνους, μελασμοὺς καὶ ῥίγεα πυρετώδεα.

[17] Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι. νεύροις. ἐγκεφάλῳ. νωτιαίῳ μυελῷ. τὸ δὲ θερμὸν ὠφέλιμον.

[18] Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν, πλὴν ὁκόσα αἱμορραγέειν μέλλει.

[19] Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες. δέρμα περισκληρύνει. ὀδύνην ἀνεκπύητον ποιεῖ. μελαίνει. ῥίγεα πυρετώδεα ποιεῖ σπασμοὺς καὶ τετάνους.

[20] Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις, ἐπανάκλησιν θέρμης ποιέεται. θέρμη δὲ ταῦτα ῥύεται.

[21] Τὸ θερ-

A [21] Τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφαλείην. δέρμα μαλάσσει. ἰσχναίνει. ἀνώδυνον, ῥιγέων. σπασμῶν. τετάνων. παρηγορικόν. τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρείην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι. μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. τουτέων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται. καὶ ἕρπησιν ἐσθιο-

B μένοισιν. ἕδρῃ. αἰδοίῳ. ὑστέρῃ. κύστει. τουτέοισι τὸ μὲν θερμὸν φίλιον καὶ κρῖνον. τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

[22] Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμορραγέειν μέλλει, μὴ ἐπ᾽ αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιρρεῖ. καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα αἵματι νεαρῷ ἐπὶ ταῦτα. ἐπεὶ τάγε παλαιὰ, μελαίνει. καὶ ἐρυσίπελας τὸ μὴ ἑλ-

C κούμενον. ἐπεὶ τόγε ἑλκούμενον βλάπτει.

[23] Τὰ ψυχρὰ οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμια, βηχέων κινητικά. αἱμορροϊκὰ, καταρροϊκά.

[24] Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα, ἄτερ ἕλκεος. καὶ ποδαγρικὰ καὶ σπάσματα, τουτέων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον, ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη δὲ μετρίη ὀδύνης λυτική.

D [25] Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον.

Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη, πολλαχῇ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρείας ἐποίει.

[26] Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ τετράμηνα,

E καὶ ἄχρι ἑπτὰ μηνῶν ἧσσον. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νουσημάτων ληφθῆναι, θανατῶδες.

Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

[27] Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέν-

F των, λύσις.

Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πουλλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγινόμενος ἀγαθόν.

G Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει.

[28] Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μαζοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μαζὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει. καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν. ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

H Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

[22] Calidum suppurationem mouens, non in omni vlcere, maximum securitatis iudicium exhibet, cutem emollit, extenuat, dolorem tollit, rigores, conuulsiones, neruorũ distentiones mitigat, capitis grauitatem soluit, ossium verò fracturis plurimùm confert, sed præcipuè his quæ carne nudata sunt, iisque maximè qui in capite vlcera habent. His etiam quæ à frigore emoriuntur, aut exulcerantur, & herpetibus exedentibus, sedi, pudendo, vtero, vesicę, iis omnibus calidum gratum & iudicationem faciens, frigidum verò inimicum & interimens.

[23] At frigido in his vtendum vnde sanguis profluit, aut paulò post fluxurus est, non supra ipsas partes, sed circa eas vnde profluit adhibito. Et si quæ inflammationes, aut incendiosa quædam ad rubrum & subcruentum ex recenti sanguine vergũt, ad ea admoto. Inueterata nanque denigrat. Erysipelas etiam non vlceratum iuuat, siquidem exulceratum lædit.

[24] Frigida veluti nix & glacies pectori sunt aduersa, tusses mouent, sanguinis eruptiones & destillationes efficiunt.

[25] Articulorum tumores & dolores absque vlcere, & podagricas affectiones, & conuulsa, hæc magna ex parte frigida largè effusa leuat & minuit, doloremque soluit. Moderatus nanque torpor dolorem soluendi facultatem habet.

[26] Aqua quæ citò calescit & citò refrigeratur, leuissima.

[27] Quibus bibendi de nocte appetentia est, iis admodum sitientibus si obdormierint, bono est.

[28] Odoramentorum suffitus muliebria educit, & ad alia plærunque vtilis esset, nisi capitis grauitatem inferret.

[29] Vterum gerentibus purgantia medicamenta exhibenda sunt, si humor impetu feratur ad excretionem, quarto mense, & ad septimum vsque, sed his minùs. In maioribus autem & grandioribus fœtibus subtimidè se gerere oportet.

[30] Mulierem vtero gerentem morbo quopiam acuto corripi, lethale.

[31] Mulieri vterum gerenti vena secta abortionem facit, idq; potissimùm si fœtus grandior fuerit.

[32] Mulieri sanguinem vomitione reiicienti, menstruis erumpentibus solutio contingit.

[33] Mulieri menstruis deficientibus sanguis ex naribus profluens, bono est.

[34] Mulieri vtero gerenti, si aluus multùm profluat, abortionis periculum est.

[35] Mulieri vteri strangulatu vexatæ, aut difficultate partus laboranti, sternutatio succedens bono est.

[35] Mulieri menses decolores, neque semper eadem periodo procedentes, purgationem indicãt esse necessariam.

[37] Mulieri vteri gerenti si mammæ de repente gracilescant, abortionis periculum est.

[38] Mulieri vtero gemellos gerenti, si altera mamma gracilis euadat, alterum abortu edit, & si quidem dextra mamma gracilescat, marem, si verò sinistra, fœminam.

[39] Si mulier quæ neque grauida est, neq; peperit, lac habet, ei menstrua defecerunt.

40 Mulieribus quibus ad mammas sanguis in tumorem colligitur, furor significatur.

41 Si nosse velis num mulier conceperit, ei dormiturae aquam mulsam propinato, & si ventris tormina eam corripuerint, concepit, sin minùs, non concepit.

42 Mulier praegnans, si marem gestat, coloratior est, si foeminam, minùs colorata.

43 Mulieri praegnanti erysipelas in vtero, lethale.

44 Quae praeter naturam tenues vtero gerunt, abortiunt donec pleniores euadant.

45 Quae mediocri corporis habitu praeditae, foetus bimestres aut trimestres absque occasione manifesta abortione excludunt, iis vteri acetabula (Graeci κοτυληδόνας vocant) mucoris plena sunt, neque prae pondere foetum continere possunt, sed abrumpuntur.

46 Quae praeter naturam crassae non concipiunt, iis omentum os vteri comprimit, neque priùs quàm extenuentur, praegnantes efficiuntur.

47 Si vterus qua parte ad coxam incumbit, suppuratus fuerit, eum per linimenta medicamento conuenienti illita curari necesse est.

48 Mares vteri dextra parte, foeminae sinistra magis gestantur.

49 Vt secundae excidant, sternutatorio naribus apposito, eas & os comprimito.

50 Mulieri si voles menstrua sistere, cucurbitulam quàm maximam ad nares appone.

51 Quae vtero gerunt, iis vteri os conniuet.

52 Mulieri vterum gerenti, si lac copiosum è mammis effluat, foetum imbecillum indicat. Quòd si solidae mammae fuerint, valentiorem foetũ significant.

53 Quae foetus corrupturae sunt, iis mammae extenuantur. Quòd si contrà durae euadant, dolor erit vel in mammis, vel in coxis, vel in oculis, vel in genibus, neque foetum corrumpunt.

54 Quibus os vteri durum est, iis conniuere os vteri necesse est.

55 Quaecunque vtero gerentes febribus detinentur, & vehementer extenuãtur citra manifestam causam, eae difficulter & cum periculo pariunt, aut in abortionis periculum incidunt.

56 In fluore muliebri si conuulsio accedat & animi defectio, malo est.

57 Mensibus copiosioribus profluentibus morbi contingunt, & non prodeuntibus ab vtero morbi eueniunt.

57 Ad recti intestini & vteri inflammationem, renesque purulentos stranguria succedit. At iecore inflammatione laborante succedit singultus.

59 Si mulier non concipiat, scire autem expetit num conceptura sit, vestibus vndique obuolutae per inferna suffitum apponito, & si odor quidem ad nares & os vsque per corpus tibi peruadere videatur, ipsam non ex sese infoecundam esse scito.

60 Si mulieri vtero gerenti purgationes eant, foetus vt bene valeat fieri non potest.

29 Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

30 Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ ἀδείπνῳ ἐούσῃ, μελίκρατον διδόναι πιεῖν. κἢν μὲν στρόφος αὐτὴν ἔχῃ περὶ τὴν γαστέρα, κύει. ἢν δὲ μὴ, οὐ κύει.

Γυνὴ ἔγκυος εἰ μὲν ἄρρεν κύει, εὔχροος ἐστίν. ἢν δὲ θῆλυ, δύσχροος.

31 Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

32 Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι δίμηνα πρὶν ἢ παχυνθῆναι.

33 Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσιν. καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ' ἀπορρήγνυνται.

34 Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει. καὶ πρὶν ἢ λεπτυνθῆναι οὐ κύουσιν.

35 Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

36 Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι. τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

37 Ὑστέρων ἐκπτώσιας πταρμικὸν προστιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

38 Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

39 Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

40 Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πουλὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει. ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται, ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως. ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

Καταμηνίων γινομένων πλεόνων, νοῦσοι ξυμβαίνουσι. καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης γίνονται νοῦσοι.

Ἐπὶ ἀρχῷ φλεγμαίνοντι, καὶ ὑστέρῃ φλεγμαινούσῃ, στραγγουρίη ἐπιγίνεται. καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι, στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λύγξ ἐπιγίνεται.

Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτω. κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι' ἑωυτὴν ἄγονός ἐστιν.

41 Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

Ἢν γυναικὶ

Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

42 Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκουσι. καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσι. ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαεῖς. ἐνδείῃ γὰρ τῆς τροφῆς, φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

43 Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων. ἢ γὰρ δι' ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα. ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω. ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον. ἢ διὰ τὴν θερμασίην, τὸ αὐτὸ τοῦτο γίνεται.

44 Γάλα διδόναι κεφαλαλγέουσι κακόν. κακὸν δὲ καὶ πυρεταίνουσι. καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα. καὶ τοῖσι διψώδεσι. κακὸν δὲ, καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι. καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. ἁρμόζει δὲ τοῖσι φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι. διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος. παρὰ λόγον δὲ ἐκτετηκόσι.

45 Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνονται, οὐ μάλα σπῶνται οὐδὲ μαίνονται. τουτέων δὲ ἀφανισθέντων, ἐξαίφνης τοῖσι μὲν ὄπισθεν, σπασμοὶ, τέτανοι. τοῖσι δὲ ἔμπροσθεν, μανίαι. ὀδύναι πλευροῦ ὀξεῖαι. ἢ ἐμπύησις. ἢ δυσεντερία. ἢν ἐρυθρὰ μᾶλλον ᾖ τὰ οἰδήματα.

46 Ἢν τραυμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν, οἴδημα μὴ φαίνεται, κακόν.

47 Τὰ χαῦνα, χρηστά. τὰ ὠμὰ, κακά.

48 Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα, ὠφελέει.

49 Ῥίγεα ἄρχεται γυναιξὶ μὲν, ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν. ἀνδράσι δὲ μᾶλλον ὄπισθεν, ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν ἔχουσι. δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

50 Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται. ἢν δὲ ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται.

51 Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρώτων τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν.

Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

1 Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, μὴ γινομένη πρότερον, σημεῖον ἀγαθόν.

61 Si mulieri purgationes non prodeant, neque horrore, neque febre succedente, ciborum verò fastidia ei accidant, grauidam esse existimato.

62 Quæ frigidos & densos habent vteros, nō concipiunt, neque quę præhumidos habent, si quidem in ipsis genitura extinguitur. Et quæ plus æquo siccas & adurentes, alimenti namque inopia semen corrumpitur. At quæ ex vtrisq; moderatam nactæ sunt temperiem, eæ fœcundæ euadunt.

63 Eadem verò ratio est in maribus, aut enim propter corporis raritatem spiritus foras dissipatur, ita vt ne semen transmittat, aut propter densitatem humor foras non excernitur, aut ob frigiditatem non accenditur, vt ad eum locum cogatur, aut ob caliditatem hoc idem contingit.

64 Lac exhibere capite dolentibus, malum. Malum item & febricitantibus, & quibus pręcordia sublata murmurant, & siticulosis. Malum quoq; & quibus biliosæ sunt deiectiones, quiq́ue febre acuta laborant, & quibus copiosa sanguinis deiectio facta est. At tabidis lac dare conuenit, nō valde admodum febricitantibus, & in febribus lōgis & languidis, dum nullum ex supra commemoratis signis adfuerit, & præter rationem extenuatis.

65 Quibus cum vlceribus tumores conspiciuntur, ij ferè neque conuelluntur, neque in furorem aguntur. At iis de repente euanescentibus, quibus quidem id à tergo incidit, conuulsiones & neruorum distentiones fiunt. Quibus verò à fronte, furores aut lateris dolores acuti, aut puris collectio, aut intestinorum difficultas, si rubri tumores fuerint.

66 Si magnis & prauis existentibus vulneribus tumor non conspiciatur, ingens malum.

67 Molles boni, at crudi mali.

68 Ei qui parte capitis posteriore dolet, recta in fronte incisa vena, prodest.

69 Rigores mulieribus quidem initium ducunt ex lumbis magis, & per dorsum ad caput perueniunt. Quinetiam viris parte corporis posteriore magis, quam anteriore, veluti ex cubitis & femoribus. Quod & indicat cutis raritas, quam etiam pilus ostendit.

70 Qui quartanis corripiuntur, ferè conuulsione non tentantur. Quòd si priùs corripiantur, deinde quartana succedat, liberantur.

71 Quibus cutis obtenditur arida & dura, ij sine sudore moriuntur. At quibus laxa & rara, cum sudore vitam finiunt.

72 Qui morbo regio laborant, non multùm flatulenti sunt.

Sectio sexta.

1 In diuturnis intestinorum læuitatibus, si ructus acidus, qui antea non extitit, succedat, bonum est signum.

[2] Quibus nares natura sunt humidiores, & genitura humidior, ij morbosiore sunt valetudine, at quibus contraria sunt, salubriore.

[3] In longis intestinorum difficultatibus cibi fastidia malum denunciant, & cum febre peius.

[4] Vlcera vndiquaque glabra, maligna.

[5] Dolores & in lateribus & in pectore, & in cæteris partibus, num multum differant, perdiscendum.

[6] Renum & vesicæ vitia in senibus ægrè curantur.

[7] Dolores qui ad ventrem fiunt, sublimes quidem, leuiores; non sublimes verò, vehementiores.

[8] Aqua inter cutem laborantibus orta in corpore vlcera, non facilè sanantur.

[9] Pustulæ latæ rarò pruriginosæ.

[10] Capite dolenti ac vehementer laboranti, pus, aut aqua, aut sanguis, per nares, vel os, vel aures effluens, morbum tollit.

[11] Melancholicis affectibus & renum vitiis succedentes hæmorrhoides (hoc est sanguinis profluuium per ora venarum in ano sanguinem fundere solita) bono sunt.

[12] Diuturnum sanguinis profluuium per ora venarum quæ in auo sunt (hæmorrhoidas dicunt) curanti, nisi vna seruetur, periculum est ne aqua inter cutem, aut tabes succedat.

[13] Singultu detento, si sternutamenta accedant, singultum tollunt.

[14] Aqua inter cutem detento, vbi aqua ex venis in ventrem confluxerit, morbus soluitur.

[15] Longo alui profluuio detento, spontanea accedens vomitio, alui profluuium soluit.

[16] Morbo laterali aut pulmonum inflammatione conflictato, succedens alui profluuium, malum.

[17] Lippitudine laborantem alui profluuio corripi bonum.

[18] Cui vesica persecta fuerit, aut cerebrum, aut cor, aut septum transuersum, aut tenue quoddam intestinum, aut ventriculus, aut iecur, lethale est.

[19] Os cùm persectum fuerit, aut cartilago, aut neruus, aut genæ tenuis particula, aut præputium, neque augetur, neque coalescit.

[20] Si sanguis in ventrem præter naturam effusus fuerit, vt in pus vertatur necesse est.

[21] Insanientibus si varices aut sanguinis profluuium per ora venarum quæ in ano sunt (hæmorrhoides dicuntur) accesserint, insaniæ solutio.

[22] Rupta quæ ex dorso ad cubiti articulos descendunt, venæ sectio soluit.

[23] Metus & tristitia si diu perseuerent, melancholiæ istud indicium est.

[24] Ex tenuioribus intestinis si quod persectum fuerit, minimè coalescit.

[25] Erysipelas foras effusum intrò verti, minimè bonum, at ab interioribus foras, bonum.

[26] Quibus in febribus ardentibus tremores contingunt, delirium soluit.

[27] Qui pus thorace colligunt, aut aqua inter cutem laborant, si vruntur aut secantur, & pus aut aqua confertim effluxerit, omninò intereunt.

A

[2] Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

[3] Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν, αἱ ἀποσιτίαι κακόν. καὶ σὺν πυρετῷ κάκιον.

[4] Τὰ περιμάδηρα ἕλκεα, κακοήθεα.

[5] Τῶν ὀδυνέων ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν μέρεσιν, εἰ μέγα διαφέρωσι καταμαθητέον.

B

[6] Τὰ νεφριτικὰ καὶ ὅκόσα κατὰ τὴν κύστιν, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

[7] Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κοῦφα. τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα.

Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥᾳδίως ὑγιάζεται.

[8] Τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ τι κνησμώδεα.

C

[9] Κεφαλὴν πονέοντι, καὶ περιωδυνέοντι, πῦον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νούσημα.

[10] Τοῖσι μελαγχολικοῖσι, καὶ τοῖσι νεφριτικοῖσι, αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

[11] Τῷ ἰηθέντι χρονίας αἱμοῤῥοΐδας, εἰ μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

D

Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι, λύουσι τὸν λυγμόν.

[12] Ὑπὸ ὕδρωπος ἐχομένῳ τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

[13] Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγινόμενος, λύει τὴν διάῤῥοιαν.

[14] Ὑπὸ πλευρίτιδος, ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ, διάῤῥοια ἐπιγενομένη κακόν.

E

[15] Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

[16] Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

[17] Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται.

[18] Ἢν ἐς τὴν κοιλίην αἷμα χυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

F

Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμοῤῥοΐδων ἐπιγινομένων, μανίης λύσις.

Ὁκόσα ῥήγματα ἐκ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

[19] Ἢν φόβος ἢ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

G

[20] Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

[21] Ἐρυσίπελας ἔξωθεν καταχεόμενον, εἴσω τρέπεσθαι οὐκ ἀγαθόν. ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

[22] Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γίνωνται, παρακοπὴ λύει.

[23] Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται ἐκρυέντος τοῦ πύου καὶ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

H

[24] Εὐνοῦχοι

A 24 Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

25 Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλίπῃ.

Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακοποσίη λύει.

26 Τραυλοὶ ὑπὸ διαρροίης μάλιστα ἁλίσκονται μα-B κρῆς.

Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

27 Ὁκόσοι φαλακροὶ ἔωσι, τουτέοισι κιρσοὶ μεγάλοι οὐκ ἐγγίνονται. ὁκόσοισι δ' ἂν φαλακροῖσι κιρσοὶ γίνονται, πάλιν οὗτοι γίνονται δασέες.

28 Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακόν.

29 Δυσουρίην φλεβοτομίη λύει, τάμνειν δὲ τὰς εἴσω.

30 Ὑπὸ κυνάγχης ἐχομένῳ οἰδήματα γίνεσθαι ἐν τῷ C βρόγχῳ ἔξω, ἀγαθόν.

31 Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως. μὴ θεραπευόμενοι δὲ, πουλὺν χρόνον διατελοῦσι.

32 Σπασμοὶ γίνονται, ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος. οὕτω δὲ καὶ λυγμός.

D Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὸν πόνον.

Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γίνεσθαι, πονηρόν.

E 33 Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

34 Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίνονται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγινομένου ἅλις τὸ οὖρον ῥυῇ.

Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας F γίνεσθαι.

35 Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίνονται, πρὸ τῆς ἥβης ἀπόλλυνται.

Ὁκόσοισι φλεβοτομίη ξυμφέρει, τουτέους προσήκει τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν.

Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγινομένη, ἀγαθόν.

G 36 Ὁκόσα ποδαγρικὰ νοσήματα γίνονται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίστανται.

37 Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

38 Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι κεῖνται, καὶ ῥέγκουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

H 38 Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαρροίης ἐόντι, ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

28 Eunuchi neq; podagra laborant, neq; caluescũt.

29 Mulier podagra non laborat, nisi cùm menstrua defecerint.

30 Puer podagra nõ tentatur ante venereorũ vsum.

31 Oculorum dolores meri potio, aut balneum, aut fomentum, aut venæ sectio, aut medicamentum purgans exhibitum soluit.

32 Balbi longo alui profluuio maximè corripiũtur.

33 Qui acidum eructant, non admodum morbo laterali tentantur.

34 Qui calui sunt, iis varices magni non fiunt. At quibus caluis existentibus varices succedunt, iis rursus capillitium gignitur.

35 Aqua inter cutem laborantibus tussis accedens, malo est.

36 Vrinæ difficultatem venæ sectio soluit. Secandę autem sunt interiores.

37 In angina detento, si tumor in ceruice oriatur, bonum, foras enim morbus vertitur.

38 Quibus cancri occulti oriuntur, eos non curare præstat. Curati nanque citò pereunt, non curati verò diutius perdurant.

39 Conuulsio ex repletione aut vacuatione oritur, ita verò etiam singultus.

40 Quibus ad præcordia dolores citra inflammationem oriuntur, iis febris succedens dolorem soluit.

41 Quibus suppuratum aliquod in corpore existit, neque de se significationem edit, iis ob puris aut loci crassitudinem sui indicium non exhibet.

42 Morbo regio laborantibus iecur durum fieri malum.

43 Lienosi qui difficultate intestinorum corripiuntur, iis post lõgam succedentem intestinorum difficultatem, aqua inter cutem, aut læuitas intestinorum accidit, & moriuntur.

44 Quibus ex stranguria voluulus succedit, intra diem septimum moriuntur, nisi febre accedente copiosa vrina effluat.

45 Vlcera annua quæcunque fuerint, aut longius tempus habuerint, os abscedere est necesse, & cicatrices cauas fieri.

46 Qui gibbosi ex anhelatione & tussi fiunt, ante pubertatem, moriuntur.

47 Quibus venæ sectio & medicamentum purgãs confert, iis vere venam secare, aut medicamentum purgans exhibere conuenit.

48 Lienosis accedens intestinorum difficultas, bono est.

49 Podagrici morbi, intra diem quadragesimum deposita inflammatione subsistunt.

50 Quibus persectum fuerit cerebrum, iis febrem & bilis vomitionem succedere necesse est.

51 Quibus bene valentibus capitis dolores de repente contingunt, statimq; voce deficiũt, & stertunt, intra dies septem pereunt, nisi febris eos prehenderit.

52 Spectare verò oportet quæ etiam ex oculis per somnum subapparent. Etenim si quid ex albo non commissis palpebris subappareat, neq; id ex alui profluuio, aut medicamenti potione contingat, prauum signum est & lethale admodum.

[53] Deliria quæ cum risu fiunt, tutiora. At quæ studio adhibito, periculosiora.

[54] In morbis acutis cum febre, gemebundæ spirationes, malæ.

[55] Podagræ vitia vere & autumno ferè mouentur.

[56] Morborum melancholicorum periculosi decubitus, aut corporis syderationem, aut conuulsionẽ, aut furorem, aut cœcitatem denunciant.

[57] At corporis syderationes contingunt ea ætate maximè quæ est à quadragesimo ad sexagesimum.

[58] Vbi omentum exciderit, computrescere necesse est.

[59] Quibus coxendicis dolore conflictatis, coxendicis articulus suo loco excidit, ac rursus recipitur, iis mucores innascuntur.

[60] Quibus diuturno coxendicis dolore conflictatis, femoris caput suo loco excidit, iis crus tabescit, & claudicant nisi vrantur.

[40] Αἱ παραφροσύναι, αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

[41] Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακαί.

Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ.

[42] Τοῖσι μελαγχολικοῖσι νοσήμασιν, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνουσι.

[43] Ἀπόπληκτοι δὲ μάλιστα γίνονται, ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων, ἄχρις ἑξήκοντα.

[44] Ἢν ἐπίπλοος ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

[45] Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισιν, ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

[46] Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος, καὶ χωλοῦνται ἢν μὴ καυθῶσιν.

Sectio septima.

[1] In acutis morbis extremorum refrigeratio mala.

[2] Caro liuida ex osse ægrotante, malum denũciat.

[3] Ex vomitione singultus & oculi rubentes, malo sunt.

[4] Ex sudore horror, minimè bonus.

[5] Ex furore intestinorum difficultas, aut hydrops, aut vehemens mentis emotio (ἔκστασις dicitur) bono est.

[6] In morbo diuturno ciborum fastidium & syncerae deiectiones, malum denunciant.

[7] Ex multo potu rigor & delirium, malum.

[8] Ex rupto intrò tuberculo, exolutio, vomitio, & animi defectio contingit.

[9] Ex sanguinis profluuio deliratio aut etiam conuulsio, malo est.

[10] Ex morbo tenuioris intestini (ileum dicunt) vomitio, aut singultus, aut cõuulsio, aut deliriũ, malum.

[11] Ex morbo laterali pulmonis inflammatio, malo est.

[12] Ex pulmonis inflammatione phrenitis, malum denunciat.

[13] Ex vehementibus ardoribus conuulsio, aut neruorum distentio, malo est.

[14] Ex ictu in capite accepto, stupor aut desipientia, malo est.

[15] Ex sanguinis sputo, puris sputum malum.

[16] Ex puris sputo tabes & fluxus, vbi verò sputum sistitur, moriuntur.

[17] Ex iecoris inflammatione singultus, malo est.

[18] Ex vigilia conuulsio vel delirium malum.

[19] Ex ossis nudatione erysipelas.

[20] Ex erysipelate putredo aut suppuratio.

[21] Ex vehementi & conspicuo in vlceribus arteriarum percussu, sanguinis eruptio.

[22] Ex diuturno partium quæ ad ventrem attinent dolore, suppuratio.

[23] Ex syncera alui egestione intestinorũ difficultas.

[24] Ex osse persecto delirium, si ad vacuum vsque penetrauit.

[25] Ex medicamenti purgantis potione conuulsio lethalis.

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

[1] Ἐν τοῖσιν ὀξέσι νοσήμασι, ψύξις ἀκρωτηρίων, κακόν.

Ἐπὶ ὀστέῳ νοσοῦντι, σὰρξ πελιδνὴ, κακόν.

Ἐπὶ ἐμέτῳ λύγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

[2] Ἐπὶ νούσῳ πολυχρονίῃ, ἀσιτίη καὶ χολώδεις ὑποχωρήσιες, κακόν.

[3] Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

Ἐπὶ φύματος εἴσω ῥήξιος, ἔκλυσις, ἔμετος καὶ λειποψυχίη γίνεται.

Ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ καὶ σπασμὸς, κακόν.

Ἐπὶ εἰλεῷ, ἔμετος, ἢ λύγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

[4] Ἐπὶ πλευρίτιδι περιπλευμονίη ἐπιγινομένη, κακόν.

[5] Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, κακόν.

Ἐπὶ αἵματος πτύσει, πύου πτύσις κακόν.

[6] Ἐπὶ πύου πτύσει, φθίσις καὶ ῥύσις, κακόν.

Ἐπὴν δὲ τὸ σίελον ἴσχηται, ἀποθνήσκουσιν.

Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος, λύγξ κακόν.

[7] Ἐπὶ ἀγρυπνίῃ σπασμὸς καὶ παραφροσύνη, κακόν.

[8] Ἐπὶ ὀστέου ψιλώσει, ἐρυσίπελας.

[9] Ἐπὶ ἐρυσιπέλατι, σηπεδὼν ἢ ἐκπύησις.

[10] Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμοῤῥαγίη.

[11] Ἐπὶ ὀδύνῃ πολυχρονίῃ, τῶν περὶ τὴν κοιλίην ἐκπύησις.

[12] Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερίη.

[13] Ἐπὶ ὀστέου διακοπῇ, παραφροσύνη ἢν κενεὸν λάβῃ.

Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

A Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων ψύξις, κακόν.

Ἐν γαστρὶ ἐχούσῃ, τεινεσμὸς ἐπιγενόμενος, ἐκτρῶσαι ποιέει.

14 Ὅτι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται, οὔτε συμφύεται.

15 Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια B ἐπιγένηται ἰσχυρή, λύει τὴν νοῦσον.

16 Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ταῦτα καταῤῥεῖ.

Ὁκόσοισι πυρέσσουσιν, ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταί, ὀξεῖαν ἀῤῥωστίην σημαίνει.

C Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν.

Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσι, καὶ μακρὴν ἀῤῥωστίην ἔσεσθαι.

Ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ καὶ ὀξέα σημαίνει.

Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι, τὰ προειρημένα συμ-D βαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μῦας τοὺς ῥαχιαίους γίνονται. ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω. ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς εἴσω τόπους γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον εἴσω.

17 Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον. εἰ δὲ ξὺν πυρετῷ, κακόν. θεραπεύειν δὲ τοῖσι ψυκτι-E κοῖσι καὶ τοῖσι στυπτικοῖσι.

Κατάῤῥοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέραις εἴκοσιν.

Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς περίναιον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

18 Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπό-F πληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

19 Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίνεται.

20 Γυνὴ ἀμφιδέξιος οὐ γίνεται.

G 21 Ὁκόσοι ἔμπυοι καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίνονται. ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες, καὶ δυσῶδες, ἀπόλλυνται.

22 Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίγνονται. ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισιν ἐστίν. ἐὰν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

26 Ex vehementi partium quæ ad ventrem attinent dolore, extremorum refrigeratio, mala.

27 Mulieri vtero gerenti ſi crebra & inanis deſidendi voluntas (tineſmum dicunt) acceſſerit, abortum facit.

28 Os quodcunq; vel cartilago, vel neruus in corpore præciſus fuerit, neq; augetur, neque coaleſcit.

29 Alba pituita vexato, ſi vehemēs alui profluuium ſuccedat, morbum ſoluit.

30 Quibus per alui profluuia ſpumoſa ſunt alui excrementa, iis ea ex capite defluunt.

31 Quibus per febres ſedimenta hordei toſti non exactè moliti craſſioribus fruſtulis ſimilia in vrinis contingunt, longam fore ægritudinem denunciant.

32 At quibus bilioſa ſedimenta, ſupra verò tenuia fuerint, acutum morbum ſignificant.

33 Quibus diſparatæ ſunt vrinæ, iis vehemens eſt in corpore turbatio.

34 Quibus in vrinarum ſummo bullæ conſiſtunt, renum morbum eumq; longum fore ſignificant.

35 At quibus ſumma vrina pinguis eſt & conferta, iis renum morbum eumq; acutum ſignificat.

36 Quibus verò renum vitio affectis, prædicta ſigna contingunt, doloreſq; circa ſpinæ muſculos fiūt, ſi quidem ad loca exteriora ferantur, abſceſſum extra fore expecta. Quòd ſi dolores ad loca interna magis vergant, abſceſſum quoque interius potiùs futurum ſperandum.

37 Qui ſanguinem vomitione refundunt, ſi quidem citra febrem contingat, ſalutare, cum febre verò, malum. Curandum verò refrigerandi & adſtringendi vim habentibus.

38 Deſtillationes in ſuperiorem ventrem, intra vigeſimum diem in pus vertuntur.

39 Si quis ſanguinem & grumos meiat, & ſtranguria laboret, doloŕq; ad interfœmineum, imum ventrem & pectinem pertingat, partes ad veſicam pertinentes malè affici ſignificat.

40 Si lingua de repente incōtinens, aut aliqua corporis pars ſyderata euadat, id atram bilem indicat.

41 Si ſenioribus ſupra modum purgatis ſingultus accidat, non bonum.

42 Si febris non ex bile orta prehenderit, aqua calida & copioſa capiti affuſa, fit febris ſolutio.

43 Mulier ambidextra non fit.

44 Suppurati cùm vruntur aut ſecantur, ſi pus purum & album effluat, euadūt. Quòd ſi ſubcruentum, & cœnoſum, & graueolens fuerit, pereunt.

45 Qui ex purulento iecore aduruntur, ij vbi pus purum fluxerit & album, ſuperſunt, quòd pus in tunica ipſis concluſum ſit. Sin verò qualis amurca fluat, pereunt.

46 Oculorum dolores exhibita meri potione, & copioſæ aquæ calentis balneo, venæ ſectione curato.

47 Aqua inter cutem laborātem ſi tuſſis detineat, deſperatus eſt.

48 Vrinæ ſtillicidium (ſtranguriam vocant) & metiendi difficultatem, vini meri potio & venæ ſectio ſoluit. At ſecandæ ſunt interiores.

Ὀδύνας ὀφθαλμῶν ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ φλεβοτόμει.

H Ὑδρωπιῶντα ἐὰν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

Στραγγουρίην καὶ δυσουρίην, θώρηξις καὶ φλεβοτομίη λύει. τάμνειν δὲ τὰς εἴσω.

49 In angina detento, si tumor & rubor in pectore contingat, bonum, foras siquidem morbus vertitur.

50 Quibus cerebrum syderatione tentatum est, intra tres dies intereunt. Quòd si hos effugerint, sani euadunt.

51 Sternutatio ex capite fit concalefacto cerebro, aut perhumectata capitis inanitate. Aër enim intus contentus extra effunditur. Strepitum autem edit, quòd ei per angustum sit transitus.

52 Quibus iecur vehementer dolet, iis succedens febris dolorem soluit.

53 Quibus sanguinem ex venis detrahere conuenit, iis vere vena secanda est.

54 Quibus inter septum transuersum & ventriculum pituita concluditur, & dolorem exhibet, neq; in alterutrum ventrem viam habet, iis per venas in vesicam pituita versa, morbi fit solutio.

55 Quibus iecur aqua plenum in omentum eruperit, iis venter aqua impletur & moriuntur.

56 Anxietudinem, oscitationem, horrorem, vinum æquali aqua temperatum epotum soluit.

57 Quibus in vrinaria fistula tuberculum innascitur, eo in pus verso & rupto, dolor soluitur.

58 Quibus ex occasione aliqua cerebrum concussum fuerit, eos protinus voce deficere necesse est.

59 Corporibus humida carne præditis famem inducere conuenit, fames siquidem corpora exsiccat.

60 Si febre detento, nullo existente in faucibus tumore, de repente suffocatio succedat, nec nisi ægrè deuorare queat, lethale.

61 Si febre detento ceruix peruertatur, neq; deuorare queat, nullo in ceruice tumore existente, lethale.

62 Vbi toto corpore mutationes, & corpus vniuersum perfrigeratur, rursusq; incalescit, nec subinde calorem commutat, morbi longitudo denunciatur.

Hippocrates ægrotare & delirare existimamus. Adsis vir optime, virum eximium curaturus. Venies non tanquam Medicus, sed velut totius Ioniæ fundator, nos sacratiore muro circumdabis. Vrbem non virum curabis, Senatum ægrotantem, & ne claudatur periclitantem aperies, ipse legum conditor, iudex, magistratus, seruator, & horum artifex aduenies. Hanc in rem te expectamus Hippocrates, hæc nobis eris vbi veneris. Ciuitatum vna non obscura, imò potiùs tota Græcia te orat, vt sapientiæ corpus conserues. Ipsam verò doctrinam apud te legationem obire putato, vt se hac calamitate liberes rogantem. Sapientia certè, vt nobis videtur, omnibus cognata est, & nobis qui ad eam propiùs accessimus, multò magis. Certò scito te à futuro sæculo magnam initurum gratiam, si Democritum veritate, qua eum omnibus præstare posse sperat, non destitueris. Tu enim Æsculapio genere & arte coniunctus es, hic verò Herculis ex fratre nepos, ex quo Abderus, vt profectò aliquando audisti, cuius nomen ciuitas habet. Quare illi etiam grata futura est Democriti curatio. Cùm igitur videas Hippocrates populum & virum egregium ad sensuum stupiditatem delabi, ad nos vt festines rogamus. Mirũ quòd etiam exuberantia bona morbi existunt. Democritus enim quantum sapientiæ acumine valuit, in tantum nunc periclitatur, ne mentis stupore & dementia malè afficiatur. At reliquum Abderitanum vulgus ineruditum, sensu quidem communi fruitur. Quinetiam qui antea imprudentes habebantur, ad sapientis morbum discernendum nunc quidem perspicaciores sunt. Adesto igitur cum Æsculapio patre, cum Herculis filia Epione, cum filiis qui ad Ilium in expeditionem profecti sunt. Adesto nunc Pæonia tecum morbi remedia afferens. Terra vberibus fructibus, radicibus, herbis, & floribus ad depellendam insaniam ferax est, neque ferè vnquam fœcundiùs producent, neque terra, neq; montium iuga, quàm quæ nunc ad Democriti salutem. Vale.

Ἱπποκράτες τοὺς νόμους παραλαμβάνειν. ἴθι θεραπεύσων ἀνδρῶν φέριστε, ἄνδρα ἀείσημον. οὐκ ἰατρὸς, ἀλλὰ κτίστης ἐὼν ὅλης τῆς Ἰωνίης. περιβαλῶν ἡμῖν ἱερώτερον τεῖχος. πόλιν,[15] οὐκ ἄνδρα θεραπεύσεις. βουλὴν δὲ νοσοῦσαν καὶ κινδυνεύουσαν ἀποκλεισθῆναι, μέλλοις ἀνοιγνύναι αὐτὸς νομοθέτης. αὐτὸς δικαστής. αὐτὸς ἄρχων. αὐτὸς σωτὴρ. καὶ τούτων τεχνίτης ἀφίξῃ. ταῦτά σε προσδοκῶμεν Ἱππόκρατες, ταῦτα καὶ γενόμενος ἐλθών. μία πόλεων οὐκ ἄσημος, μᾶλλον δὲ ἡ Ἑλλὰς ὅλη, δεῖταί σου φυλάξαι σῶμα σοφίης. αὐτὴν δὲ δόκει παιδείαν πρεσβεύειν πρὸς σὲ τῆς παρακοπῆς ταύτης ἀπαλλαγῆναι δεομένην. ξυγγενὴς μὲν οὖν ὡς ἔοικε πᾶσιν σοφία. τοῖς δὲ ἐγγυτέρω κεχωρηκόσιν αὐτῆς ὥσπερ ἡμῖν, καὶ μάλα πλέον.[16] εὖ ἴσθι χάριν, καὶ τῷ μέλλοντι αἰῶνι[17] μὴ παρεγκλίπων Δημόκριτον ἧς ἐλπίζει περιστερήσειν ἀληθείης. σὺ γὰρ Ἀσκληπιῷ προσπέπλεξαι γένος καὶ τέχνην. ὁ δὲ Ἡρακλέους ἐστὶν ἀδελφιδοῦς. ἀφ' οὗ Ἄβδηρος, ὥσπου πυνθάνῃ πάντως, ὡ ἐπώνυμος ἡ πόλις. ὥστε κἀκείνῳ χάρις,[18] ἡ Δημοκρίτου γένοιτ' ἂν ἴησις. ὁρῶν οὖν ὦ Ἱππόκρατες εἰς ἀναισθησίαν ἀπορρέοντα καὶ δῆμον καὶ ἄνδρα ἀείσημον, σπεῦδε πρὸς ἡμέας δεόμεθα. φεῦ ὡς καὶ τὰ ἀγαθὰ περισσεύοντα, νόσοι τυγχάνουσιν. ὁ Δημόκριτος γὰρ ὅσον ἐῤῥώσθη πρὸς ἄκρα σοφίης, ἶσα κινδυνεύει νῦν, ἀποπληξίῃ διανοίας, καὶ ἠλιθιότητι κεκακῶσθαι. οἱ δὲ ἄλλοι ὅσοι πολλοὶ δὲ εἰσὶν Ἀβδηριτῶν μείναντες ἐν ἀπαιδευσίῃ, τόν γε κοινὸν κατέχουσι νοῦν. ἀλλὰ νῦν γε φρονιμώτεροι νόσον σοφοῦ κρίνειν, οἱ πρὶν ἄφρονες. ἴθι οὖν μετ' Ἀσκληπιοῦ πατρὸς. ἴθι μετ' Ἡρακλέους, θυγατρὸς Ἠπιόνης. ἴθι μετ' παίδων τῶν ἐπὶ Ἴλιον στρατευσαμένων. ἴθι ναὶ παιώνια νούσου φέρων ἄκη.[19] εὐκαρπίσει δὲ γῆ ῥίζας καὶ βοτάνας ἀλεξιφάρμακα μανίης αὔθη. σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσουσιν, οὔτε γῆ, οὔτε ὀρῶν ἀκρώρειαι, ἢ νῦν Δημοκρίτῳ τὰ πρὸς ὑγείαν. ἔῤῥωσο.

Hippocrates Senatui populoque Abderitarum S.

Ciuis vester Amelesagoras eo die Co appulit, in quem forte inciderat Virgæ assumptio, anniuersaria, vt scitis, nobis festiuitas, & publicus conuentus, pompaq; ad cupressum celebris, quam pro more deducunt qui Deo dicati sunt. Cùm autem & ex verbis, & ex aspectu ipso festinare videretur Amelesagoras, credens, re vera, vrgere negotium, epistolam vestram legi, & miratus sum quòd de vnius hominis salute, non secus ac si vnus esset in ciuitate conturbati essetis. Et certè beati sunt populi, qui viros bonos sua esse propugnacula intelligunt, non turres, non mœnia, sed prudentium virorum prudentia consilia. At verò artes deorum esse munera cùm mihi persuadeam, viros autem naturæ opera, ne indignemini, viri Abderitæ, si naturam, non vos, me vocare existimem, ad opus suum conseruandum, quod periclitatur ne morbo corruat. Quare Naturæ & Diis potiùs quàm vobis auscultans, festino Democritum ægrotantem sanaturus, si sanè hic morbus est, ac non potius (quod

Ἱπποκράτης Ἀβδηριτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Ὁ πολίτης ὑμέων Ἀμελησαγόρης ἦλθεν εἰς Κῶ, καὶ ἔτυχε τότ' ἐοῦσα τῆς ῥάβδου ἡ ἀνάληψις ἐν ἐκείνῃ τῇ ἡμέρῃ, καὶ ἐτήσιος ἑορτὴ, ὡς ἴστε πανήγυρις ἡμῖν. καὶ πομπὴ πολυτελὴς ἐς κυπαρισσὸν, ἣν ἔθος ἀνάγειν τοῖς τῷ θεῷ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐώκει, καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῆς προσόψιος ὁ Ἀμελησαγόρας, πεισθεὶς ὅπερ ἦν ἐπείγειν τὸ πρῆγμα, ἀνέγνων τε ὑμέων τὴν ἐπιστολὴν, καὶ ἐθαύμασα ὅτι περὶ ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πόλις θορυβεῖσθε.[20] καὶ μακάριοί γε δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας, ἐρύματα ἑωυτῶν, καὶ οὐ τοὺς πύργους, οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν[21] σοφὰς γνώμας. ἐγὼ δὲ πειθόμενος τέχνας μὲν εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος, καὶ μὴ νεμεσήσετε ἄνδρες Ἀβδηρῖται. οὐχ ὑμᾶς δοκέω, ἀλλὰ φύσιν αὐτέην καλέειν με, ἀνασώσασθαι ποίημα ἑωυτῆς, κινδυνεῦον ὑπὸ νόσου διαπεσεῖν. ὥστε πρὸς ὑμέων ἐγὼ νῦν φύσει καὶ θεοῖς ὑπακούων σπεύδω νοσέοντα Δημόκριτον ἰήσασθαι. εἴπερ δὴ καὶ τοῦτο νοῦσος ἐστὶν, ἀλλὰ μὴ ἀπάτη συσκιάζεσθε, ὅπερ εὔχομαι.

εὔχομαι. καὶ γένοιτο πλέον τῆς ἐν ὑμῖν εὐνοίας τεκμήριον, ἢ πρὸς ὑπόνοιαν ταραχθῆναι. ἀργύριον δέ μοι ἐρχομένῳ, οὔτ' ἂν φύσις οὔτ' ἂν θεὸς ὑπόσχοιτο. ὥστε μηδ' ὑμεῖς ἄνερες Ἀβδηρῖται βιάζεσθε, ἀλλ' ἐᾶτε ἐλευθέρης τέχνης, ἐλεύθερα καὶ τὰ ἔργα. οἱ δὲ μισθαρνεῦντες, δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας. ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς, ἐκ τῆς πρότερης παῤῥησίης. εἶθ' ὡς εἰκὸς καὶ ψεύσαιντο ἂν, ὡς περὶ μεγάλης νούσου, καὶ ἀρνηθεῖεν ἂν ὡς περὶ μικρῆς. καὶ οὐκ ἂν ἔλθοιεν ὑποσχόμενοι. καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. οἰκτρός γε ὁ τῶν ἀνθρώπων βίος, ὅτι δι' ὅλου αὐτοῦ, ὡς πνεῦμα χειμέριον, ἡ ἀφόρητος φιλαργυρεῖν, [22] διαδέδυκεν. ἐφ' ᾧ εἴθε μᾶλλον ἅπαντες ἰητροὶ ξυνῄεσαν ἐλθόντες ἀποθεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον. ὅτι καὶ μακαρίζεται νοῦσος ἐοῦσα, καὶ κακοῦσα. οἶμαι δ' ἔγωγε καὶ τὰ ψυχῆς νοσήματα πάντα, μανίας εἶναι σφοδρὰς, ἐμποιεῦσας δόξας τινὰς, καὶ φαντασίας τῷ λογισμῷ. ὧν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς, ὑγιάζεται. ἐγὼ δὲ εἰ πλουτέειν ἐξ ἁπάντων ἐβουλόμην ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν εἵνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας, ἀλλ' ἐπὶ τὸν μέγαν ἠρχόμην Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι προσῄεσαν τῆς ἐξ ἀνθρώπων εὐδαιμονίης γεγεμισμέναι. ἰώμην δ' ἂν τὸν ἐκεῖσε λοιμὸν αὐτῶν. ἀλλ' ἀπηρνησάμην ἐχθρῶν Ἑλλάδι χάριν, ἐλευθερῶσαι κακῆς νόσου. κἀγὼ τό γε ἐπ' ἐμοὶ, κατεναυμάχουν τοὺς βαρβάρους. εἶχον δ' ἂν αἰσχύνην, τὸν παρὰ βασιλέως πλοῦτον, καὶ πατρίδος ἐχθρῶν περιουσίην. προσκειμένην δ' ἂν αὐτὰ, ὡς ἑλέπολις τῆς Ἑλλάδος ὑπάρχων. οὐκ ἔστι πλοῦτος, ὃ πανταχόθεν χρηματίζεσθαι. μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐστὶν ὑπὸ δικαιοσύνης οὐ κρυπτόμενα, ἀλλ' ἐμφανέα ὄντα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα εἶναι σώζειν πολεμίους, καὶ φίλους ἰᾶσθαι μισθοῦ. ἀλλ' οὐχ ὧδε ἔχει τὰ ἡμέτερα, ὦ δῆμε. οὐ καρποῦμαι δ' νούσους. οὐδὲ δι' εὐχῆς ἤκουσα τὴν Δημοκρίτεω παρακροισιν. ὃς εἴτε ὑγιαίνει φίλος ἔσται, εἴτε νοσέει θεραπευθεὶς, πλέον ὑπάρξει. πυνθάνομαι δ' αὐτὸν, ἐμβριθέα καὶ στεῤῥὸν τὰ ἤθεα. καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον. ἔῤῥωσθε.

exopto) errore hallucinamini. Ac certè maius fuerit beneuolentiæ vestræ testimonium, si vos ad hanc suspicionem conturbati fueritis. Mihi verò ad vos venienti, non Natura, neq; Deus argentum promiserit. Ac neque vos (viri Abderitæ) per vim obtrudite, sed liberæ artis libera esse sinite opera. Qui autem mercede operam suam locant, hi scientias tanquam ex priore libertate mancipio dantes seruire cogunt. Deinde probabile est eos mentiri posse, velut in magno morbo, & negare vt in paruo, aut vbi promiserint, nō venire, rursusque non vocatos venire. Miserabilis sanè est humana vita, quòd ad eam totam intolerabilis argenti cupiditas, velut hybernus flatus peruaserit, ad quem morbum insania grauiorem curandum, vtinam Medici omnes potiùs concurrerent, quæ tamen beata censetur, cùm morbus sit, & malè affligat. Equidem omnes animi morbos vehementes insanias reputo, cùm opiniones quasdam & visa rationi suscitat, ex quibus sanescit qui per virtutem repurgatur. Ego verò si omnibus modis ditescere voluissem viri Abderitæ, ne decem quidem talentorum gratia ad vos venirem, sed ad Magnum Persarum Regem proficiscerer, vbi vrbes totæ opibus humanis refertissimæ occurrissent, illorum autem pestilentem morbum curassem. Sed regionem Græciæ inimicā malo morbo liberare recusaui. Et ego his quidem totis meis viribus Barbaros nauali prælio superaui. Regias autem opes ignominiæ mihi futuras, & opulentiam patriæ inimicam reportassem, quibus circumaffluens vrbiū Græciæ destructor existerem. Diuitiæ non sunt pecuniæ vndecunque comparatæ. Magna enim sunt virtutis sacra, quæ à iustitia non teguntur, sed in apertum se proferunt. An non reputatis ęquale peccatum esse, hostes seruare, & amicos mercede curare. At non ita se habent res nostræ. Ex morbis quæstum non facio, neque ex animo Democriti dementiam audiui, qui siue sanus sit, amicus est, siue ægrotet, curatus magis amicus futurus est. Eum autem grauibus & firmis moribus esse præditum intelligo, & vrbi vestræ esse ornamento. Valete.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Οἱ τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις, καὶ τὴν ἀπέδοσαν. ἥσθην τε κάρτα, καὶ ξενίην ὑπισχνεομένου σέο, καὶ τὴν ἑτέρην δίαιταν. ἔλθοιμεν δ' ἂν αἰσίᾳ τύχῃ. καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν, χρηστοτέρῃσιν ἐλπίσιν ὡς ἐν τῇ γραφῇ παραδεδήλωται. οὐ μανίην, ἀλλὰ ψυχῆς τινὰ ῥῶσιν ὑπερβάλλουσαν διασαφεῦντος τοῦ ἀνδρὸς, μήτε παίδων, μήτε γυναικὸς, μήτε ξυγγενέων, μήτε οὐσίης, μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος. ἡμέρην δὲ καὶ εὐφρόνην πρὸς ἑωυτῷ καθεστεῶτος, καὶ ἰδιάζοντος. τὰ μὲν πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν, ἢ ὑποσκιάσεσι δενδρέων. ἢ ἐν μαλθακῇσι ποίῃσιν, ἢ παρὰ συχνοῖσιν ὑδάτων ῥείθροις. συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολικοῖς τὰ τοιαῦτα. σιγηροί τε γὰρ ἐνίοτε εἰσὶ, [23] καὶ μονήρεες, καὶ φιλέρημοι τυγχάνουσιν. ἀπανθρωπέονταί τε ξύμφυλον ὄψιν, [24] ἀλλοτρίην νομίζοντες,

Hippocrates Philopœmeni S.

Legati qui cum vrbis vestræ epistola, etiam tuam mihi reddiderunt, quodque tuum hospitium, & reliqua vitæ commoda promitteres, valde lætatus sum. Auspicatò autem veniemus, & vt coniicimus, meliore spe accedemus, cùm velut ex literis accepimus, non insaniam, sed eximium quoddam animi robur vir hic demonstret, qui neq; liberorum, neque vxoris, neque cognatorum, neq; rei familiaris, neque cuiusquam omninò curam habeat, sed dies & noctes solus priuatam vitam degat, in antris plærunq; & solitudinibus, aut in arborū vmbraculis, aut in mollibus herbis, aut iuxta crebra aquarum fluenta. Hæc igitur plærunque melancholicis accidunt. Quandoque enim taciturni sunt, solitarij, desertorum amantes, familiarium conspectum, tanquam alienum, fugiunt.

Neque etiam absurdum est in his qui ad disciplinas studiosè contendunt, omnes alias curas ab vno sapientiæ affectu excuti. Non aliter enim ac ministri & ministræ in domibus tumultuantes ac concertantes, si quando de repente eis hera adfuerit, attoniti conquiescunt, similiter etiam reliquæ animi cupiditates malorum hominibus sunt administræ, at vbi sapientia in conspectum se dederit, tanquam mancipia reliqui affectus discedunt. Non omnes amentes speluncas & quietem expetunt, verumetiam qui res humanas negligunt, ob tranquillitatis desiderium. Cùm enim mens curis externis fracta, corpus recreare voluerit, tunc citò in quietem tradit, deinde erecta & stans circum sese veritatis locum circumspicit, in quo non pater, non mater, non vxor, non liberi, nō frater, non cognati, non ministri, non fortuna, neq; prorsus quicquam tumultum excitat, sed perturbātia omnia reiecta præ timore subsistunt, neque appropinquare audent, pro eorum reuerentia qui illic inhabitant. Illum autem locum inhabitant artes, virtutum omne genus, dij, dæmones, consilia, & sententiæ. In illaq; regione magnus polus stellis plurimùm se mouentibus tanquā corona cinctus est, in quam fortassis Democritus ob sapientiam commigrauit. Deinde cùm eos qui in vrbe sunt non videat, vt qui procul à domo agat, ob solitudinis amorem insanire creditur. Cùm verò Abderitæ Democritum non intelligant, de argento periculum facere student. Tu verò amice Philopœmen hospitium nobis præparato. Neque enim perturbatæ vrbi molestus esse volo, cùm te (vt nosti) veterem & proprium hospitem habeam. Vale.

Οὐκ ἀπεοικὸς δὲ καὶ τοῖσι περὶ παιδείην ἐσπουδακόσι, τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσεως σεσοβῆσθαι. ὥσπερ γὰρ δμῶές τε καὶ δμωΐδες ἐν τῇσιν οἰκίῃσι θορυβέοντες καὶ στασιάζοντες, ὁκόταν ἐξαπιναίως αὐτοῖς ἡ δέσποινα ἐπιστῇ πτοηθέντες ἀφησυχάζουσι. παραπλησίως καὶ αἱ λοιπαὶ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποις κακῶν ὑπηρέτιδες. ἐπὴν δὲ σοφίης ὄψις ἑωυτέην ἐπιστήσῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκεν. ποθέουσιν ἄντρα καὶ ἡσυχίην οὐ πάντες οἱ μανέντες, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονέοντες, ἀταραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ ὁ νοῦς[25] ὑπὸ τῶν ἔξω φροντίδων κοπτόμενος, ἀναπαῦσαι θελήσῃ τὸ σῶμα, τότε ταχέως εἰς ἡσυχίην μετήλλαξε. εἶτα ἀναστὰς ὄρθιος, ἐν ἑωυτῷ περιεσκόπει κύκλῳ, χωρίον ἀληθείης. ἐν ᾧ οὐ πατήρ. οὐ μήτηρ. οὐ γυνή. οὐ τέκνα. οὐ κασίγνητος. οὐ συγγενέες. οὐ δμῶες. οὐ τύχη. οὐχ ὅλως οὐδὲν τὸν θόρυβον ἐμποιησάντων. πάντα δὲ ἀποκεκλεισμένα τὰ ταράσσοντα, ἕστηκεν ὑπὸ φόβου. οὐδὲ πλησιάσαι τολμέοντα, ὑπ' εὐλαβείης τῶν αὐτόθι ἐνοικεόντων. οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο, καὶ τέχναι, καὶ ἀρεταὶ παντοῖαι, καὶ θεοὶ, καὶ δαίμονες, καὶ βουλαὶ, καὶ γνῶμαι. καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστεπται. εἰς ὃ τάχα καὶ Δημόκριτος ὑπὸ σοφίης μετῴκισται. εἶθ' οὐκ ἔτι ὁρέων τοὺς ἐν τῇ πόλει ἅτε τηλοῦ ἐκδεδημηκὼς, δοξάζεται μανίης νοῦσον, διὰ τὸ φιλέρημον. σπεύδουσι δὲ Ἀβδηρῖται,[26] ἀργυρίου ἐξελεγχθῆναι, ὅτι οὐ ξυνίασι Δημόκριτον. ἀλλὰ σύ γε ἡμῖν κατάρτυε τὴν ξενίην ὦ ἑταῖρε Φιλοποίμην. οὐ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλει παρέχειν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον σε ὡς οἶσθα.[27] ἔρρωσο.

Hippocrates Dionysio S.

Avt me Halicarnassi expecta, aut me (ô amice) anteuerte. Necessariò enim mihi Democriti gratia in Abderam abeundum, ad quem ægrotantem vrbs me accersiuit. At mirabilis Dionysi quædam est illorum hominum naturę conuenientia & consensio, qui velut vnus animus, vnà cum ciue suo ægrotat, vt proinde mihi curatione indigere videatur. Equidem non ipsum morbum esse puto, sed nimis exuperantem doctrinam, quæ re vera modum superare non potest, sed ita vulgo existimatur, cùm neque modum exuperans virtus vnquā sit noxia. Quod verò exuperat, propter eorum qui iudicant inscitiam, morbi opinionem prębet. Quisq; autem ex his quæ non habet, quod in alio abundat, modum excedere opinatur. Ita sanè timidus fortitudinem, & auarus animi magnitudinem modum excedere sentit, omnisque defectus virtutis moderationem excessum esse putat. Illum igitur vbi viderimus cum ea quæ nobis inde suppetet prænotione, eiusq; sermonem audiuerimus, meliùs cognoscemus. Tu verò, Dionysi, accedere festina. Volo enim te quoad rediero, in patria nostra commorari, vt rerum nostrarum imprimisque vrbis nostræ curam habeas, quandoquidem nescio quo casu salubris annus est, & pristinam naturam retinet. quare neque multi morbi molesti erunt, verumtamen adesto.

Ἱπποκράτης Διονυσίῳ χαίρειν.

Ἢ περίμενόν με ἐν Ἁλικαρνασσῷ, ἢ φθάσον αὐτὸς ἐλθεῖν ὦ ἑταῖρε. κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον εἰς Ἀβδηρέαν μοι Δημοκρίτου χάριν. ἐφ' ὃν νοσέοντα, μετεπέμψατό με ἡ πόλις. ἀλλ' ἔκτοπός τις ἡ συμπαθείη τῶν ἀνθρώπων Διονύσιε, ὡς μιῇ ψυχῇ ξυννοσεῖ τῷ πολίτῃ. ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ δὲ οἶμαι[28] οὐδὲ νόσον αὐτὴν εἶναι, ἀλλ' ἀμετρίην παιδείης, οὐκ οὖσαν γε τῷ ὄντι ἀμετρίην, ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν. ἐπεὶ οὐδέ ποτε βλαβερὸν, τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νούσου γίνεται τὸ ὑπερβάλλον διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δὲ ἕκαστος, ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον περισσεύειν. ὥς που καὶ ὁ δειλὸς, ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε. καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην. καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκέει τὸ ἀρετῆς ξύμμετρον. ἐκεῖνον μὲν οὖν αὐτὸν εἰδόντες μετὰ τῆς ἐνθένδε προεγνώσιος, καὶ ἀκούσαντες τῶν λόγων αὐτοῦ, ἄμεινον εἰσόμεθα. σὺ δὲ ἔπειξον ὦ Διονύσιε αὐτὸς παραγενέσθαι. βούλομαι γὰρ ἐνδιατρίψαι σε τῇ πατρίδι μου, μέχρις ἂν ἐπανέλθω. ὅκως τῶν τε ἡμετέρων φροντίσῃς, καὶ πρῶτον ἡμέων τῆς πόλιος. ἐπειδὴ οὐκ οἶδ' ὅκως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ, καὶ τὴν ἀρχαίην φύσιν ἔχει. ὥστε οὐδὲ πολλαὶ παρενοχλήσουσι νοῦσοι, πλὴν ὅμως, πάρειθι.

οἰκήσεις

οἰκήσεις δὲ τὴν ἐμὴν οἰκίην παρευκαιρέουσαν, ἅτε καὶ τῆς γυναικὸς μενούσης παρὰ τοὺς γονέας, διὰ τὴν ἐμὴν ἐκδημίην. ἐπισκόπει δὲ ὅμως καὶ τὰ ἐκείνης, ὅκως διάγῃ σωφρόνως, καὶ μὴ τῇ ἀνδρὸς ἀπουσίῃ ἄλλους ἄνδρας νομίσῃ. κόσμιον μὲν γὰρ ἐξ ἀρχῆς ἦν, καὶ γονέας ἀστείους εἶχεν. τὸν δὲ πατέρα ἐκτόπως ἀνδρικόν τε καὶ μάλα μισοπόνηρον παραφυῶς γερόντιον. ἀλλ᾽ ὅμως ἀεὶ χρήζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει τὸ ἀκόλαστον ἐν ἑωυτῇ. ὅπερ εἰ μὴ καθ᾽ ἡμέραν ἐπικόπτοιτο, ὡς τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον οἴομαι ἀκριβέστερον γονέων, εἰς φυλακὴν γυναικός. οὐ γὰρ ὡς ἐκείνοις καὶ τουτέῳ ξυνοικέει πάθος εὐνοίης, δι᾽ οὗ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον, ἅτε μὴ ἐπικλώμενον ἐπ᾽ εὐνοίης. ἔρρωσο.

Domum meam valde peropportunam inhabitabis, cùm mea vxor propter meã profectionem apud parentes maneat, illius tamẽ vitam obserua, quò pudicè degat, & ne ob viri absentiam alios viros vsurpet. Modesta ab initio fuit, & probos habuit parentes, patrem autem mirum in modum virilem, & vehemẽter malos odio prosequentem, ac egregiè senem. Semper tamen eo qui modestè coërceat mulier opus habet. Natura enim insitam intemperantiam habet, quæ nisi quotidie resecetur, velut arbores superuacuis frondibus & inutili fruticatione luxuriat. At ego amicum parentibus diligentiorem in muliere custodienda existimo. Neque enim hic, velut illi, beneuolentiæ affectu cum ea coniunctus est, quo plærunque admonitioni tenebras offundunt. In omni autem re quod sine affectu prudentius est, quòd nimirum beneuolentia frangi non possit.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Οἶδα παρὰ σοὶ γενόμενος ἐν Ῥόδῳ, Δαμάγητε, τὴν ναῦν ἐκείνην, ἅλιος ἐπιγραφὴ ἦν αὐτῇ, πάγκαλόν τινα καὶ εὐπρυμνον, ἱκανῶς τε πεδεπισμένην. καὶ διάβασιν εἶχε πολλήν. ἐπῄνεες δὲ καὶ τὸ ναυτικὸν αὐτῆς, ὡς ὀξὺ, καὶ ἀσφαλὲς, καὶ εὔτεχνον ὑπουργῆσαι. καὶ τοῦ πλοῦ τὴν εὐδρομίην. ταύτην ἔκπεμψον ἡμῖν. ἀλλ᾽ εἰ οἷόν τε, μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτήν. ἐπείγει γὰρ τὸ χρῆμα καὶ φιλότης, μάλα εἰς Ἄβδηρα διαπλεῦσαι πάνυ ταχέως. βούλομαι γὰρ νοσέουσαν ἰήσασθαι πόλιν, διὰ νοσέοντα ἕνα Δημόκριτον. ἀκούεις ποτ᾽ ἀνδρὸς τὸ κλέος, τοῦτον ἡ πατρὶς ἠτίηται μανίῃ κεκακῶσθαι. ἐγὼ δὲ βούλομαι, μᾶλλον δὲ εὔχομαι, μὴ οὕτως αὐτὸν παρακόπτειν, ἀλλ᾽ ἐκείνοισι δόξαν εἶναι. γελῆ φασὶν ἀεὶ, καὶ οὐ παύεται γελῶν ἐπὶ παντὶ χρήματι. καὶ σημεῖον αὐτοῖσι μανίης τοῦτο δοκέει. ὅθεν λέγε τοῖσιν ἐν Ῥόδῳ φίλοισι μετριάζειν ἀεί. καὶ μὴ πολλὰ γελᾶν. μηδὲ πολλὰ σκυθρωπάζειν. ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι. ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξειας. τοῖς δὲ φροντιστής, περὶ ἀρετῆς μερμηρίζων. ἔνι μέντοι τι, Δαμάγητε, κακὸν, παρ᾽ ἕκαστον αὐτοῦ γελῶντος. εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον. καὶ εἴποιμ᾽ ἂν αὐτῷ, Δημόκριτε, καὶ νοσέοντος, καὶ κτεινομένου, καὶ τεθνεῶτος, καὶ πολιορκουμένου, καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἑκάστου τῶν πρησσομένων, ὕλη σοι γέλωτος ὑπόκειται. οὐ θεομαχεῖς δὲ, εἰ δύο ἐόντων ἐν κόσμῳ, χαρᾶς καὶ λύπης, σὺ θάτερον αὐτῶν ἐκβέβληκας. μακάριος τ᾽ ἂν ἦς, ἀλλ᾽ ἀδύνατον, εἰ μήτε μήτηρ σοι νενόσηκεν, μήτε πατὴρ, μήτε τὰ ὕστερον τέκνα, ἢ γυνὴ ἢ φίλος, ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα διασώζηται εὐτυχεῖς πάντα. ἀλλὰ νοσεόντων γελᾷς. ἀποθνησκόντων χαίρεις. εἴ τι πύθοιο κακὸν, εὐφραίνῃ. ὡς πονηρότατος εἶ ὦ Δημόκριτε. καὶ πόρρω γε σοφίης. ἢν νομίζεις αὐτὰ μηδὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν Δημόκριτε, κινδυνεύων καὶ αὐτὸς Ἀβδηρίτης εἶναι. φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν δὴ τουτέων, ἀκριβέστερον ἐκεῖ λεξόμεθα, Δαμάγητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον ὃν ἐπιστέλλω σοι χρονιζέτω. ἔρρωσο.

Hippocrates Damageto S.

Cum apud te Rhodi essem Damagete, nauem illam vidi cui Solis inscriptio inerat, quę mihi perpulchra, puppi probè & idonea carina instructa, multaq; transtra habere visa est. Tu verò eam commendabas, quòd ad nauigandum velox esset, tuta, ad regendum bene fabricata, facilemq; nauigationis cursum haberet. Eam ad nos mittito, sed si fieri possit, non remis, sed alarum remigio instructam. Res enim & amicitia vrget, vt quàm citissimè in Abderam traiiciam. Ægrotantem enim vrbem, propter vnum Democritum morbo affectum curare volo. Si quando de huius viri fama accepisti, hunc patria dementię insimulat. At ego volo, imò verò exopto, illum re vera non delirare, sed eos ita opinari. Ridet semper inquiunt, neque in quouis negotio ridere cessat, hocq; illis insaniæ signum videtur. Quare nostros qui Rhodi sunt amicos moneto, vt semper modum teneant, neque multum rideant, neque multum tetrici sint, sed inter hæc modum teneant, vti his quidem gratissimus esse videaris, illis verò commentationi deditus, de virtute anxiè cogitans. Inest certè Damagete vitij aliquid, quòd ad singula rideat. Si enim immoderantia vitiosa est, quæ perpetua vitiosior. Eum autem sic alloquar, Democrite, si quis ægrotet, si quis interficitur, moritur, & obsidetur, & si quid mali incidit, & quicquid fit, materiam tibi risus præbet. An non bellum Diis indicere videris, si cùm duo sint in mundo, gaudium & tristitia, alterum à te reieceris? Beatus certè mihi videaris, verùm id fieri nequit, si neque mater tibi ęgrotet, neque pater, neque tandem liberi, aut vxor, aut amicus, sed vt propter tuum risum conseruentur, omnia certè tibi prosperè cedũt. Sed quòd cùm ægrotant rides, cùm moriuntur gaudes, si quod malum audieris, exhilararis, maximè improbus es Democrite, longeq; à sapientia aberras, si hæc vitia non existimas. Atra igitur bile vexaris Democrite, & periclitaris ne ipse Abderitanus habearis, prudentior autem fit ciuitas. Verùm de his quidem Damagete illic exactiùs disseremus. Nauis autem etiam hoc tempore quo ad te scribo moratur. Vale.

Hippocrates Philopœmeni S.

CVm cogitabundus & ſolicitus de Democriti ſalute eſſem, illaq; ipſa nocte dormirem, ſub auroræ initium ſomnium mihi viſum eſt, ex quo nihil admodum periculoſi euenturum exiſtimo. Mirandum enim in modum excitatus ſum. Ipſum enim Æſculapium coram præſentem mihi videre videbar, cùm iam ad Abderitanas portas perueniſſemus. At Æſculapius non ea lenitate ac facilitate, qua illius imagines conſpici ſolent, videbatur, ſed habitus erat commoto ſimilis, & aſpectus magis horrendus. Sequebatur autem eum dracones inter reptilia eximij, longoq; tractu feſtinantes horrendum quiddam velut in ſolitudinibus & cauis vallibus ſubſibilantes. Pone ibant comites medicamentorũ ciſtas probè obturatas habentes. Deinde mihi manum Deus porrexit, qua lubenter arrepta, rogabam mecum vti veniret, neq; me in curatione deſereret. Ille verò, nihil inquit mea opera in præſentia indiges, verùm hæc communis tum immortalium, tum mortalium Dea, te nunc hoſpitem deducet. At ego conuerſus, mulierem tum pulchram, tum magnam aſpicio, ſimplici capillorum ornatu, ſplendido cultu, cuius oculorum orbes claro lumine pellucebant, vti ſtellarũ fulgores viderentur. Et Deus quidem diſceſſit, mulier verò illa appreſſa manu me leui quodam paſſu per vrbem perhumaniter complexa deduxit. Vbi verò ad domũ venimus, vbi mihi hoſpitium paratum putabam, velut ſpectrum diſceſſit, dicere viſa, cras te apud Democritum offendam. Qua iam diſcedente, quæſo optima (inquam) quænam es, & quod tibi nomen eſt. Veritas inquit. Quam verò accedentem vides, Opinio eſt (inquit) confeſtimque altera quædam mihi viſa eſt, neque mala hęc quidem, ferociore tamen & faſtuoſo aſpectu, & apud Abderitanos habitat. Experrectus igitur mihi ipſi ſomnium explicaui, quòd ex quo ipſe Deus medendi author diſceſſiſſet, tanquam nullam curãdi habeat materiam, Democritus medico non indigeat, ſed veritas ipſa, quòd ſanus ſit, apud Democritum manet, opinio verò quòd ægrotet, re vera apud Abderitanos habitat. Hæc vera eſſe, vt ſunt, credo Philopœmen, neque ſomnia reiicio, præſertim quæ ordinem conſeruant. Medicina autem & Diuinatio, magnam inter ſe cognationem habent, quandoquidem duarum artium pater eſt vnus Apollo progenitor noſter, qui & præſentes & futuros morbos prædicebat, & ægrotantes & ægrotaturos curabat. Vale.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Συννοῦς καὶ περιφροντικῶς, ὑπὲρ Δημοκρίτεω, αὐτέῃ ἐκείνῃ τῇ νυκτὶ καταδαρθὼν, πρὸς ἐρχομένην τὴν ἕω, ὄναρ ἐφαντάσθην. ἐξ οὗ νομίζω κάρτα μηδὲν ἐπισφαλὲς γενήσεσθαι. ἐκπάγλως γὰρ διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀσκληπιὸν ὁρῇν φαίνεσθαι αὐτέου πλησίον. ἤδη δὲ πρὸς ταῖς τῶν Ἀβδηριτῶν πύλαις ἐτυγχάνομεν. ὁ δὲ Ἀσκληπιὸς, οὐχ ὡς εἰώθεσαν αὐτέου αἱ εἰκόνες, μείλιχόν τε καὶ πρᾶον ἰδέσθαι κατεφαίνετο. ἀλλὰ διεγηγερμένος τῇ σχέσει, καὶ εἰδέσθαι φοβερώτερος: εἵποντο δὲ αὐτῷ δράκοντες, [32] χρῆμά τι ἑρπετῶν ὑπερφυές. ἐπεγόμενοι δὲ καὶ αὐτοὶ μακροῖς τοῖς ἐπισύρμασι, καί τι φρικῶδες ὡς ἐν ἐρημίῃσι καὶ νάπῃσι κοίλῃσιν ὑποσυρίζοντες. οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα [33] περιεσφηκωμένας ἔχοντες, ἤεσαν. ἔπειτα ὤρεξέ μοι τὴν χεῖρα ὁ θεός. κἀγὼ λαβόμενος ἀσμένως, ἐλιπάρεον ξυνέρχεσθαι. καὶ μὴ καθυστερεῖν μου τῆς θεραπείης. ὁ δὲ, οὐδέν τι, ἔφη, ἐν τῷ παρεόντι ἐμεῦ χρηΐζεις, ἀλλά σε αὕτη τανῦν ξεναγήσει θεὸς, κοινὴ ἀθανάτων τε καὶ θνητῶν. ἐγὼ δὲ ἐπιστραφεὶς, ὁρέω γυναῖκα, καλήν τε, καὶ μεγάλην, [34] ἀφελὲς πεπλοκισμένην, [35] λαμπροείμονα. διέλαμπον δὲ αὐτέης οἱ τῶν ὀμμάτων κύκλοι, καθαρόν τι φῶς, οἷαι ἀστέρων μαρμαρυγαὶ δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. κείνη δὲ ἡ γυνὴ πιέσασά με τοῦ καρποῦ μαλθακῇ τινι εὐτονίῃ, διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν, ἵνα τὴν ξενίην ἐδόκεον εὐτρεπέεσθαι, ἀπῄει ὡς φάσμα [36] οἷα εἰποῦσα. αὔριόν σε παρὰ Δημοκρίτεω καταλήψομαι. ἤδη δὲ αὐτῆς μεταστρεφομένης, δέομαι φημὶ, ἀρίστη τίς εἶ, καὶ τίνα σε καλέομεν, ἡ δὲ, ἀλήθεια, ἔφη. [37] αὕτη δὲ ἣν προσιοῦσαν ὁρῇς, καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετό μοι, [38] οὐ κακὴ μὲν οὐδὲ αὐτὴ, θρασυτέρη δὲ ἰδέσθαι, καὶ σεσοβημένη, δόξα ἔφη καλέεται. κατοικέει δὲ παρὰ τοῖσιν Ἀβδηρίτῃσιν. ἐγὼ μὲν οὖν ἀναστὰς, ὑπεκρινάμην ἐμαυτῷ τὸ ὄναρ, ὅτι οὐ δέοιτο ἰητροῦ Δημόκριτος. ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, ὡς οὐκ ἔχων ὕλην θεραπείης. ἀλλὰ ἡ μὲν ἀλήθεια, τοῦ ὑγιαίνειν παρὰ Δημοκρίτεω μένει. ἡ δὲ τοῦ νοσέειν αὐτοῦ δόξα, παρὰ Ἀβδηρίταις ὄντως κατῴκηκε. ταῦτα πιστεύω ἀληθέα εἶναι Φιλοποίμην, καὶ ἔστιν. καὶ οὐκ ἀπογινώσκω τὰ ὀνείρατα. μάλιστα δὲ ὁκόσα τὴν καὶ τάξιν διαφυλάττει. ἰητρικὴ δὲ καὶ μαντικὴ καὶ πάνυ ξυγγενές εἰσιν. ἐπειδὴ καὶ τῶν δύο τεχνέων πατὴρ εἷς Ἀπόλλων, ὁ καὶ πρόγονος ἡμέων, ἐόντας καὶ ἐσομένας νούσους προαγορεύων, καὶ νοσέοντας, καὶ νοσήσαντας ἰώμενος. ἔρρωσο.

Hippocrates Crateuæ S.

SCio te (ô amice) præſtantiſſimum eſſe herbarium, téque propter ſtudium & maiorum gloriam, nihil facultate Crateuæ proauo tuo cedere. Nunc igitur, ſi vnquam aliàs, quantas & qualeſcunque poteris herbas lege, cùm neceſſitas vrgeat, easque ad nos tranſmitte, ad virum curandũ, Abderitam quidem, verùm Democritum toti ciuitati æquiparandum. Eum enim ęgrotare aiunt, & inſania detentum purgatione valde indigere. Ac vt ne medicamentis quidem (vt ſpero)

Ἱπποκράτης Κρατεύᾳ χαίρειν.

Ἐπίσταμαί σε ῥιζοτόμον ἄριστον ὦ ἑταῖρε, καὶ διὰ τὴν ἄσκησιν, καὶ διὰ προγόνων κλέος. ὡς μηδὲν ἀποδεῖν σε δυνάμει τοῦ προπάτορος Κρατεύα. νῦν οὖν εἰ καί ποτε ἄλλοτε, βοτανολόγησον, ὁκόσα τε καὶ ὁκοῖα δύνασαι. ἀναγκαίη γὰρ ἐπείγει. καὶ διάπεμψαί μοι ταῦτα, ἐπ᾽ ἄνδρα, ὅλῃ πόλει ἰσοστάσιον Ἀβδηρίτην μὲν, ἀλλὰ Δημόκριτον. νοσέειν γάρ φασιν αὐτόν. καὶ καθάρσιος μάλα χρῄζειν, ἐντὸς μανίης ἐόντα. μὴ

ἔσθαι. μὴ χρησόμεθα μὲν οὖν τοῖς φαρμάκοις ὥσπερ καὶ πέπεισμαι, ἀλλ' ὅμως εὐτρεπεῖσθαι χρὴ πάντοθεν. τὸ δὲ χρῆμα τῶν βοτανῶν, παρὰ σοὶ πολλάκις ἐθαύμασα. ὡς καὶ τὴν τῶν ὅλων γε φύσιν τε καὶ διάταξιν. καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα, ἐξ ἧς ζῶα, καὶ φυτὰ, καὶ τροφαὶ, καὶ φάρμακα, καὶ τύχη, καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ ἂν εἶχεν οἱ ἐπιβῆ ἡ φιλαργυρίη. οὐδ' ἂν Ἀβδηρῖταί με νῦν δέκα ταλάντοις ἐδελέαζον, ἀντὶ ἰητροῦ μισθωτὸν ἐλέγχοντες. [39] εἰ δὲ ἐδύνασο Κρατεύα τῆς φιλαργυρίης τὴν πικρὰν ῥίζαν ἐκκόψαι, 10 ὡς μηδὲν λείψανον αὐτῆς ἀφεῖναι, εὖ ἴσθι ὡς ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων, μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς νοσεούσας. ἀλλὰ ταῦτα μὲν εὐχαί. σὺ δὲ ἡμῖν τὸ παρεὸν, μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλόφους βοτάνας ῥιζοτόμει. στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσίν. καὶ δριμύτεραι μᾶλλον, διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅτι γὰρ ἕλκουσιν ἐμψυχότερόν ἐστι. πειρήθητι δὲ ὅμως καὶ τὰς παρὰ λίμναις ἐλείους πεφυκυίας ἀνθολογῆσαι. καὶ τὰς ποταμίους, ἢ κρηνίτιδας, ἢ πιδακίτιδας παρ' ἡμῖν καλεομένας, ἃς δὴ ἀσθενέας καὶ 20 ἀτόνους, καὶ γλυκυχύλους εἶναι πέπεισμαι. πάντα δὲ ὁκόσα χυλοί τε καὶ ὁποὶ ῥέοντες ἐν ὑαλίνοισιν ἀγγείοισιν φερέσθωσαν. ὁκόσα δὲ αὖ φύλλα ἢ ἄνθεα, ἢ ῥίζαι ἐν κάδοισι καινοῖσι [40] περιεσφηκωμένοις. [41] ὅκως μὴ διαυγαζόμενα τῇσι πνοῇσι ἐκλείπῃ τὸν τόνον τῆς φαρμακείης, ὥσπερ λειποψυχέοντα, ἀλλ' εὐθὺς ἡμῖν ταῦτα πέμψον. καὶ γὰρ ἡ ὥρη τοῦ ἔτεος ἁρμόδιος. καὶ ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. τέχνης μὲν γὰρ πάσης ἀλλότριον, ἀναβολὴ ἰητρικῆς δὲ καὶ πάνυ, ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ και- 30 ροί. ὧν ἡ παραφυλακὴ τὸ τέλος. ἔλπομαι μὲν οὖν, ὑγιέα εἶναι τὸν Δημόκριτον καὶ δίχα ἰήσιος. εἰ δὲ ἄρα τι σφάλμα φύσεως, ἢ καιροῦ, ἢ ἄλλης τινὸς αἰτίης, γίνοιτο. πολλὰ γὰρ ἡμέας θνητοὺς ἐόντας λάθοι, [42] ἅτε μὴ πάγχυ δι' ἀτρεκίης εὖ ποιέοντας, ἐπὶ τὸ ἄδηλον πᾶσαν χρέος δύναμιν ἠθροῖσθαι. οὐ γὰρ ἀρκέεται ὁ κινδυνεύων, οἷς δυνάμεθα, ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα. καὶ σχεδὸν πρὸς δύο στρατευόμεθα τέλεα, [43] τὸ μὲν ἀνθρώπου, τὸ δὲ τέχνης, ὧν τὸ μὲν ἄδηλον, τὸ δὲ τῇ ἐπιστήμῃ ὥρισται. δεῖ δὲ ἐν ἀμφοτέροισιν τουτέοισι καὶ 40 τύχης. [44] τὸ γὰρ ἀτέκμαρτον ἐν ταῖς καθάρσεσι δεῖ εὐλαβείης ἰόντων. καὶ γὰρ καὶ στομάχου κάκωσιν ὑφορώμεθα, καὶ ξυμμετρίην φαρμακείης πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. ἑτέρην δὲ ἀεὶ καὶ πρὸς ἑωυτὴν ὁρίζουσα οἰκειοῖ. [45] ἐνίοτε δὲ τὸ πᾶν ἀπώλεσε καὶ ταῖς βοτάναις πολλὰ τῶν ἑρπετῶν [46] ἐνιοβόλησε, καὶ περιχανόντα [47] τῇ ἐντὸς αὔρῃ, κάκωσιν ἀντ' ἀλεξήσιος αὐτοῖς προσέπνευσεν. καὶ τού-

vtamur, ſed tamen vndiquaq; inſtructum eſſe oportet. Rem autem herbariam apud te ſemper miratus ſum, vt & rerum vniuerſarum naturam & ordinem, ſanctiſſimumq; terræ ſolum, ex qua animantia, plantæ, alimenta, medicamenta, fortuna, diuitiæque ipſæ promanant. Neque enim alioqui pecuniæ cupiditas haberet vbi conſiſteret, neque me nunc Abderitę decem talentis illectaſſent, & pro Medico mercede conductum deprehendiſſent. Quòd ſi Crateua amaram pecuniæ cupiditatis radicem excindere poſſis, vt ne vllæ eius reliquiæ reſtent, hoc probè teneto, quòd vnà cum hominum corporibus etiam malè affectos purgaremus. Sed hæc quidem in votis habenda. Tu verò nobis, quod præſens eſt, montanas & ex ſummis collibus herbas legito. Nam ob ſoli denſitatem, & aëris tenuitatem, aquoſioribus ſunt ſolidiores & vehementiores. Quod enim attrahunt magis eſt animatum. Tenta tamen vt etiam ex his quæ circa ſtagna aut paludes naſcuntur flores colligas, & eas quæ apud nos fluuiales, aut fontanæ, aut ex aquis ſalientibus ſcatentes vocantur, quas ſanè imbecillas & remiſſas, ac dulcis ſucci eſſe mihi perſuadeo. Succi autem omnes & fluidi liquores, in vitreis vaſis adferantur, ac rurſus folia, flores & radices, in fictilibus nouis probè obturatis, vt ne ventis diſflata vim medicam tanquam animo deficientes deſerant, verùm hæc ad nos confeſtim mitte. Anni enim tempeſtas commoda eſt, & dictæ inſaniæ neceſſitas vrget. Cùm enim ab omni arte aliena ſit procraſtinatio, tum verò maximè in Medicina, in qua dilatio vitæ periculum adfert. Temporum autem opportunitates curationum ſunt animi, earumque obſeruatio finis. Democritum ſanè quidem etiam citra medelam conualiturum ſpero. Si verò aliquod naturæ, aut occaſionis, aut alterius alicuius cauſæ erratum contingat (multa nanque nos mortales latent, cùm non admodum veritate præſtemus) ad id quod obſcurum eſt facultatem omnem congregatam eſſe opus eſt. Neq; enim ei qui in periculo conſtitutus eſt, ſatis ſunt quæ poſſumus, verùm etiam quæ non poſſumus expetit, feréque ad duos fines bellum inferimus, vnum quidem hominis, alterum verò artis. Horum alter quidem obſcurus eſt, alter verò arte circumſcriptus eſt, & in his ambobus fortuna opus eſt. Nulla enim coniectura eorum quæ ad purgationem cum curatione feruntur. Nam & ſtomachum malè affectum ſuſpectamus, & medicationis cõuenientem modum ex ignota natura coniicimus. Neque enim eadem & vna eſt omnium natura, alterum autem ſemper etiam ſibi circumſcribens aſſimilat, interdum verò totum perdit. Quinetiam reptilia multa herbas ſuo veneno inficiunt, & ſuo circum hiatu cum interiore aura, malignitatem pro auxilio ipſis inſpirant. Idque ignorabitur, niſi certè macula quædam, aut inquinamentum, aut ferinus & iniucundus odor, eius rei quæ accidit notam dederit. Deinde ars ipſa propter fortunæ lapſum à via recta aberrat. Certiores autem ſunt per veratrum purgationes, quibus etiam Melampus ad Prœti filias, & Anticyreus in Hercule vſi fuiſſe traduntur. Ac optan-

του ἄγνοια ἔσται, εἰ μή τις ἄρα κηλὶς ἢ σπίλος, ἢ ὀδμὴ θηριώδης καὶ ἀπηνὴς, τοῦ γινομένου ξύμβολον φανείη. εἶθ' ἡ τέχνη διὰ τὸ ξύμπτωμα τῆς τύχης, τῆς κατορθώσιος ἀφήμαρτε. βεβαιότεραι δὲ ἂν ἀεὶ αἱ δι' ἐλλεβόρων καθάρσιες εἰσὶ αἷς καὶ Μελάμπους ἐπὶ τῶν Προίτου θυγατέρων, καὶ Ἀντικυρεὺς ἐφ' Ἡρακλέους, ἱστορέονται κεχρῆσθαι. μὴ χρη-

dum nobis vt nullum ex his in Democrito vsurpemus, sed sapientia efficacissimum & præstantissimum medicamentum illi contingat, & finem imponat. Vale.

Hippocrates Damageto S.

HOc ipsum coniiciebamus Damagete, non delirat Democritus, sed in omnibus sapit, nosque & per nos omnes homines sapientiores reddit. Remisi autem ad te re vera Æsculapij nauem, cui cum Solis signo etiã sanitatem apponito, cùm re vera prospero numine vela fecerit, eoq; die Abderam nauigarit, quo me peruẽturum scripseram. Omnes igitur pro portis congregatos offendimus, nos, vt est verisimile, expectantes, non viros solùm, verumetiam mulieres, atq; etiam senes & pueros, per Deos tristes, itemq; infantes. Hi sanè sic affecti erant, quòd Democritus insaniret, at ille tunc exacta quadam diligentia philosophię incumbebat. Vbi autem me viderunt, paulùm ad se rediisse & bene sperare visi sunt. Philopœmen verò me ad hospitiũ ducere properabat, quod & communiter illis placebat. At ego (viri Abderitæ) inquam, nihil mihi prius faciendum existimo, quàm vt Democritum videã. Quo audito collaudarunt & læti sunt, meq; continuò per forum deduxerunt, alij quidem sequentes, alij præcurrentes, aliaque ex parte alij clamãtes vt seruarem, adiuuarem, medelam adhiberem. At ego bono animo esse iubebam, quòd Etesiarum tempestate fretus, nullum quidem malum, aut certè breui & facilè corrigi posse sperarem. Simulque hæc dicens pergebam, neq; enim procul domus erat, imò neq; tota ciuitas. Adiuimus igitur, cùm iuxta mœnia esset, illucq; me placidè deducunt. Deinde post turrim collis erat altus, longis & densis populis nigris opacus, vnde Democriti domicilium conspiciebatur. Ipseq; Democritus sub vmbrosa & humilima Platano sedebat, in breui & substricta tunica crassa citra humeros desinente (exomide dicta) solus, squalidus, in lapidea sella, pallidus admodum & macilentus, barba promissa. Iuxta eum ad dextrã tenuis aquula per decliuem tumulum decurrens placidè resonabat. Erat autem delubrum quoddam super tumulum illum, Nymphis quidem, quantum coniicere licet, dedicatum, sponte enatis vitibus circumdatum. Hic verò compositè admodum librum super genua habebat, & alij quidam vtraq; ex parte ei adiacebant, crebra autem animalium cadauera, per totum dissecta, accumulata erant. Hic autem interdum contento studio scriptioni incumbebat, interdum multum subsistens, & apud se anxiè cogitans quiescebat. Deinde nõ multò post his peractis, exurgens deambulabat, & animalium viscera attentè inspiciebat, hisq; depositis reuersus rursus desidebat. At verò Abderitæ mihi tristes, nec procul à lachrymantibus oculis assistentes. Vides certe (inquiũt) Hippocrates Democriti vitam, quàm insaniat, neque quid velit, aut quid faciat nouit. Et ex his aliquis cùm adhuc eius insaniã mihi magis demõstrare vellet, altos eiulatus ad instar mulieris liberorũ mortem lamentantis edidit, deinde rursus ingemuit, viatoris personam gerens, qui quod ferebat perdidit.

σφίσιν ἃ δὲ ἡμεῖς ἐπὶ Δημοκρίτεω μηδενὶ τούτων. ἀλλὰ γένοιτο ἐκείνῳ τῶν δραστικωτάτων, καὶ ἐπιεικωτάτων φαρμάκων [48] σοφίη τέλος. ἔρρωσο.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

TΟῦτ' ἐκεῖνο Δαμάγητε ὅπερ εἰκάζομεν, οὐ παρεκόπτε Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρόνεε, καὶ ἡμέας ἐσωφρόνιζε, καὶ δι' ἡμέων πάντας ἀνθρώπους. ἐξέπεμψα δέ σοι φιλότης, ὡς ἀληθέως τὴν ἀσκληπιάδα ναῦν, [49] ἣν προσέθηκες μετὰ τοῦ ἀλίου ἐπίσημον καὶ ὑγιείην. ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι [50] ἰσιοδρόμηκε. καὶ ἐκείνη τῇ ἡμέρῃ κατέπλευσεν εἰς Ἄβδηρα, ᾗπερ αὐτέοις ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας περὶ τὴν πυλῶν εὕρομεν, ὡς εἰκὸς ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνους, ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία, νὴ θεοὺς κατηφέα καὶ τὰ νήπια. οὗτοι μὲν τοι ὧδε εἶχον, ὡς ἐπὶ μεμηνότι τῷ Δημοκρίτῳ. ὁ δὲ μετ' ἀκριβείης τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον ἔδοξαν που σμικρὸν ἐφ' ἑωυτῶν γεγονέναι, καὶ χρηστὰς ἐλπίδας ἐποιοῦντο. ὁ δὲ Φιλοποίμην, ἄγειν ἐπὶ τὴν ξενίην με ὥρμητο. κἀκείνοις ξυνεδόκεε τοῦτο. ἐγὼ δὲ ὦ ἄνδρες, ἔφην, Ἀβδηρῖται, οὐδέν ἐστί μοι προὐργιαίτερον, ἢ Δημόκριτον θεήσασθαι. οἱ δὲ ἐπήνουν ἀκούσαντες, καὶ ἥδοντο, ἦγόν τέ με ξυντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες, ἑτέρωθεν ἕτεροι σῶζε λέγοντες, βοήθει, θεράπευε. κἀγὼ παρῄνεον θαρρέειν, ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, πίσυνος ἐτησίαις ὥραις. εἰ δ' ἄρα καί τινος βραχέος, εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων, ᾔειν, οὐδὲ γὰρ πόρρω ἦν ἡ οἰκίη, μᾶλλον δ' οὐδ' ἡ πόλις ὅλη. παρήειμεν οὖν. πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανεν. καὶ ἀνάγουσί με ἡσυχῇ. ἔπειτα κατόπιν τοῦ πύργου, βουνὸς ἦν τις ὑψηλὸς, μακρῇσι καὶ δασείῃσιν αἰγείροισιν ἐπίσκιος. ἔνθεν τε ἐθεωρέετο τὰ τοῦ Δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ Δημόκριτος καθήμενο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλωτάτῃ πλατανίστῳ, ἐν ἐξωμίδι παχείῃ, [51] μοῦνος ἀνήνυτος ἐπὶ λιθίνῳ θώκῳ, ὠχρικὸς πάνυ καὶ λιπόσαρκος. [52] κείρας τὰ γένεια. παρ' αὐτὸν δ' ἐπὶ δεξιῆς, λεπτόρρυτον ὕδωρ κατὰ πρηνοῦς τοῦ λόφου θέον ἠρεμέως [53] ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ καλῇ εἰκάζοντι, νυμφέων ἱδρυμένον, αὐτοφύτοις ἐπιρρεφὲς ἀμπέλοις. ὁ δ' εἶχεν εὖ κεχρημένη πολλῇ ἐπὶ τοῖν γουνάτοιν βιβλίον. καὶ ἕτερα δέ τινα, ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτέῳ παραβέβλητο. [54] σεσώρευτο δὲ καὶ ζῶα συχνὰ, ἀνατετμημένα δι' ὅλων. ὁ δὲ ὁτὲ μὲν ξυντόνως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει πάμπολύ τι ἐπέχων, καὶ ἐν ἑωυτῷ μερμηρίζων. εἶτα μετ' οὐ πολὺ τούτεων ἐρδομένων, ἐξαναστὰς περιεπάτει. καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπει. καὶ καταθεὶς αὐτὰ μετελθὼν, πάλιν ἐκαθέζετο. οἱ δὲ Ἀβδηρῖται περιεστῶτες με κατηφέες, καὶ οὐ πόρρω τὰς ὄψεις δακρυούσας ἔχοντες, φασίν, ὁρῇς μὲν τοι τὸν Δημοκρίτου βίον ὦ Ἱππόκρατες, ὡς μέμηνεν, καὶ οὔτε ὅ, τι θέλει οἶδεν, οὔτε ὅ, τι ἔρδει; καί τις αὐτέων ἔτι μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἀνεκώκυσεν, εἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀδυρομένῃ. εἶτ' ἀνώμωξεν πάλιν ὑποκρινόμενος [55] παροδίτην ἀπολέσαντά τι ὧν διεχείριζεν.

A καὶ ὁ Δημόκριτος ὑπακούων, τὰ μὲν ἐμειδία, τὰ δ' ἐξεγέλα. καὶ οὐκ ἔτι οὐδὲν ἔγραφεν. τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέσειεν. ἐγὼ δὲ, ὑμεῖς μὲν, ἔφην, ὦ Ἀβδηρεῖται, [56] αὐτόθι μίμνετε. ἐγγυτέρω δὲ αὐτὸς καὶ λόγων καὶ σώματος τοῦ ἀνδρὸς γενηθεὶς, ἰδών τε καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ ταῦτ' εἰπὼν, κατέβαινον ἡσυχῆ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δὲ οὖν διαστηριζόμενος διῆλθον. B ἐπεὶ δ' ἐπλησίαζον, [57] ἔτυχεν, ὅτε ἐπῆλθον αὐτέῳ, ὅ, τι δή ποτε γράφων ἐνθουσιωδῶς, καὶ μετ' ὁρμῆς. εἱστήκειν οὖν αὐτόθι προσμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γραφίου, ἀνέβλεψέ τε εἰς ἐμὲ προσιόντα, καὶ φησί. χαῖρε ξένε. κἀγώ. πολλά γε καὶ σὺ Δημόκριτε ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς οἶμαι, ὅτι οὐκ ὀνόματι προσεῖπέ με, σὲ δὲ ἔφη C τί καλέομεν. ἄγνοια γὰρ τοῦ σοῦ ὀνόματος, ἣν πρόφασις τῆς τοῦ ξένου προσηγορίας. Ἱπποκράτης, ἔφην, ἔμοιγε τοὔνομα, ὁ ἰητρός. ὁ δὲ εἶπεν. ἡ τῶν Ἀσκληπιαδῶν εὐγένεια, πολύ τε σοῦ τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν, καὶ ἐς ἡμέας ἀφῖκται. τί δὲ χρέος ἑταῖρε δεῦρο σε ἤγαγε; μᾶλλον δὲ πρὸ πάντων, κάθησο. ὁρῇς δὲ ὡς ἔστιν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος, ἐπὶ χλωρὸς καὶ μαλθακὸς ἐγκαθίσαι D προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου, πάλιν φησίν. ἴδιον οὖν, ἢ ἐπιδήμιον [58] πρῆγμα διζήμενος δεῦρο ἀφῖξαι. φράζεο σαφῶς. καὶ γὰρ ἡμεῖς ὅ, τι δυναίμεθα, συνεργήσαιμεν ἄν. κἀγὼ, τὸ μὲν κατ' ἀλήθειαν ἔφην αἴτιον, δεῦρο σέο χάριν ἥκω, ξυντυχεῖν σοφῷ ἀνδρί. ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείην τελῶ. ὁ δὲ ξενίῃ τοίνυν φησὶ τὰ πρῶτα κέχρησο ἡμετέρῃ. πειρώ-E μενος δὲ κἀγὼ κατὰ πάντα τοῦ ἀνδρὸς, καίπερ ἤδη μοι καταδήλου μὴ παρακόπτειν ἐόντος, Φιλοποίμενα οἶσθα ἔφην πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ, καὶ μάλα, εἶπεν, τὸν Δάμωνος λέγεις υἱόν. τὸν οἰκέοντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. τοῦτον εἶπον. [59] οὗ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξένος. ἀλλὰ σὺ Δημόκριτε, τῇ κρείσσονί με ξενίῃ δέχευ. καὶ πρῶτόν γε τί τοῦτο τυγχάνεις γράφων φράζε; ὁ δὲ ἐπι-F σχὼν ὀλίγον, περὶ μανίης ἔφη. κἀγὼ, ὦ Ζεῦ βασιλεῦ, φημί. εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ ποίην φησὶ πόλιν Ἱππόκρατες. ἐγὼ δὲ οὐδὲν ἔφην ὦ Δημόκριτε. ἀλλ' οὐκ οἶδα ὅπως προσέπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις; τί γὰρ εἶπεν ἄλλο, πλὴν εἴ τις τε εἴη, ὅκως ἀνθρώποις ἐγγίνεται. [60] καὶ τίνα τρόπον ἀπολωφέοιτο. τά τε γὰρ ζῶα ταῦτα ὁκόσα ἔφη ὁρῇς, τουτέου μὲν τοι γε ἀνα-G τέμνω εἵνεκα, οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν, καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς, ὡς αἰτίη ἐπιτοπολὺ αὕτη πλεονάσασα, ἐπεὶ πάσῃ μὲν φύσει ἐνυπάρχει, ἀλλὰ παρ' οἷς μὲν ἔλαττον, παρ' οἷς δέ τι πλέον. ἡ δὲ ἀμετρείη αὐτέης, νοῦσοι τυγχάνουσιν, ὡς ὕλης, ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγὼ, νὴ Δία, ἔφην, ὦ Δημόκριτε, ἀληθέως γε

Quibus auditis Democritus partim riſit, partim ſubſannauit, nihilq; ampliùs ſcribebat, caput verò crebrò concutiebat. At ego, vos quidem (inquam) viri Abderitæ hîc manete, vbi autem ipſe propiùs acceſſero, & viri verba audiero, corpusq; videro, affectus veritatem cognoſcam, hisque dictis placidè deſcendi. Erat autem præceps locus ille & pronus, vix igitur greſſum retinens permeaui. Vbi verò propiùs acceſſi, fortè in eum incidi cùm ſanè quid diuino furore actus & concitatus ſcriberet. Iſthic igitur conſtiti, tempus opportunum dum ipſe ceſſaret expectans. At ille non multò poſt, depoſito impetu & ſtilo ſcriptorio, me accedentem aſpexit, & Salue, inquit, hoſpes. Et ego, tu quoq; plurimùm (inquam) Democrite hominum ſapientiſſime. Ille verò pudore ſuffuſus (opinor) quòd me nomine non compellaſſet. Te verò (inquit) quonam nomine vocauero? Tui enim nominis ignoratio, occaſio fuit cur te hoſpitem appellarem. Hippocrates (inquam) Medicus vocor. At ille, Aſclepiadarũ (inquit) nobilitas, tuæq; in arte Medica ſapientiæ gloria crebris admodum hominũ ſermonibus ad nos peruenit. Quodnam verò te negocium (ô amice) huc adduxit? Quin potiùs omiſſis omnibus cõſideto. Cernis enim quàm non ſit iniucunda hæc foliis inſtrata ſedes, viridis ad hæc & mollis, & ad inſidendum blandior inuidia obnoxiis fortunæ ſellis. Cùm verò conſediſſem, rurſus inquit, priuatum igitur an publicũ animo agitans negotiũ huc veniſti? eloquere apertè. Ad id enim te pro viribus adiuuabimus. Ego verò, iſta ſanè vera cauſa eſt, huc tui gratia venio, vt te virum ſapientem cõueniam. Occaſionem autem patria dedit, cuius legationem obeo. At ille, Hoſpitio igitur primùm noſtro vtere. Ego verò pertentato per omnia viro, etſi eum minimè delirare iam mihi conſtaret, Philopœmenem, inquam, noſti, ciuem veſtrum? Ille verò, maximè, inquit, Damonis filium dicis, cuius ædes ſunt iuxta fontem Hermaida? Illum ipſum (inquam) cuius antiquus ſum & peculiaris hoſpes. Tu verò Democrite, potiore me hoſpitio excipito, imprimisq; quidnam ſcribas eloquere. Ille verò paulùm moratus, de inſania, inquit. Tum ego, Iuppiter Rex, inquam, peropportunè ſanè cõtra ciuitatem ſcribis. At ille, quam ciuitatem Hippocrates? Nihil inquam ô Democrito, ſed neſcio quo modo mihi excidit. Sed quid de inſania ſcribis? Quidnam verò, inquit, aliud, quàm quid ſit, & quomodo hominibus innaſcatur, & quanam ratione alleuetur. Hæc enim, inquit, quæ vides animantia huius certè rei gratia reſeco, minimè Dei opera odio proſequens, ſed bilis naturam & ſedem inquirens. Noſti enim quòd hæc vbi redundarit, vt plurimùm hominum inſaniæ cauſa eſt. In omni quidem natura ineſt, ſed in aliis quidem minùs, in aliis verò copioſiùs. Huius autem immoderantia morbi exiſtunt, velut materia, partim quidem bona, partim verò mala ſubiecta. Tum ego, per Iouem, inquam, ô Democrite, verè & ſapienter ais. Perinde te beatum iudico, qui tanta quiete foueris, cuius participes eſſe nobis nõ liceat. At eo interrogante, cur Hippocrates non liceat? Quod, inquam, aut agri, aut res familiaris, aut liberi, aut æs alienum, aut morbi,

H καὶ φρονίμως λέγεις. ὅθεν εὐδαίμονά σε κρίνω, τοσαύτης ἀπολαύοντα ἡσυχίης. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρεομένου δὲ διατί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται, ὅτι ἔφην, ἢ ἀγροὶ, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι,

aut mortes, aut serui, aut nuptiæ, aut eiusmodi quædam huius opportunitatem nobis rescindāt. Tum sanè vir ille in solitam affectionem delapsus, & abundè in risum effusus est, & vehemētiùs irrisit, ac de cætero quieuit. At ego, quid sanè Democrite (inquam) rides? num de bonis aut malis quæ dixi? Ille verò adhuc magis ridebat. Quod procul videntes Abderitæ, partim quidem capita, partim verò frontem cedebant, quidā etiam capillos euellebāt. Nam quemadmodū postea narrarunt, copiosiore quàm solitus esset risu vsus fuerat. Tum ego. At verò sapientum optime Democrite (huius enim tui affectus causam deprehēdere cupio) quonā tibi risu dignus visus sum, aut ea quę dicta sunt, vt hoc cognito, causa desistam, vel tu reprehēsus, importunos hos risus summoueas. Tum ille, si (me hercule) inquit, redarguere me poteris, curationem Hippocrates, qualem nullus vnquā feceris. Et quomodo (inquam) optime, reprehensione dignus nō videaris, aut te absurdum non esse putas, si hominum mortem rides, aut morbum, aut dementiam, aut insaniam, aut melancholiam, aut cædem, aut quid peius? Aut contrà, nuptias, aut conuentuum celebritates, aut liberorum natales, aut mysteria, aut magistratus, aut honores, aut aliud quid prorsus bonū? Quæ enim commiseratione digna sunt rides, & de quib. lætari oporteat, ea etiam derides, adeò vti apud te neq; boni, neq; mali vllum sit discrimen. At ille, rectè quidē dicis Hippocrates, verùm risus nostri causam nondū nosti, quam cùm didiceris, certus sum quòd meū risum meliorem vicurationem pro tua legatione patriæ tibique ipsi vicissim reportabis, qua etiā alios prudentiores reddere poteris. Pro quibus fortasse me etiā Medicinam mutuo docueris, vbi cognoueris quanto studio omnes homines ad ea quæ negligenda sunt & nullius pretij facienda cōtendunt, & in his quę risu digna sunt consectandis vitam consumunt. Tum ego, dic per Deos inquam, nunquid omnis mūdus se ægrotare ignorat, neq; habet vnde sui curationem legatione accersat? Quid enim extra eum esse potest? Quo audito, multæ (inquit) sunt Hippocrates mundorum infinitates, noliq; (amice) naturam diuitem vt paruam existimare. Sed hæc Democrite (inquam) suo tempore docebis. Vereor enim ne si quando infinitatem percensueris, ridere incipias. Nunc verò de tuo risu in vita reddendam esse tibi rationē puta. At ille admodū perspicuè in me intuēs, Duas, inquit, mei risus causas existimas, bona & mala. At ego vnum hominem rideo, amentia quidem refertū, rectè factis vacuū, in omnibus consiliis pueriliter agentē, nullius vtilitatis gratia immensos labores tolerātem, terræ fines & infinitos recessus argenti & auri cōparandi gratia immoderatis cupiditatibus peragrantem, & nunquā ab his comparandis cessantem, semper verò ad copiā tumultuantem, ne si ea distituatur, pudore suffundatur, ꝙ felix nō dicatur. Quòd in terræ hiatus inquirens, eorū manibus effodiat, qui partim quidē à terra inani intereunt, partim verò diutiùs hac necessitate detenti, in supplicio tanquā in patria permanent, aurū & argentū perquirentes, pulueris vestigia & ramēta peruestigātes, arenam aliam aliunde excitantes, & terræ venas excindentes,

ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμος, ἢ τοιαῦτά τινα τῆς εὐκαιρίης ἡμῶν ὑποτέμνεται. ἐν ταῦτα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη. καὶ μάλα[61] ἀθρόον τι ἀνεκάγχασε.[62] καὶ ἐπετώθασε. καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. κἀγώ, τί μέντοι Δημόκριτε, ἔφην, γελᾷς; πότερον τὰ ἀγαθὰ ὧν εἶπον, ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα. καὶ ἄποθεν ὁρῶντες οἱ Ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα. οἱ δὲ τὰς τρίχας ἔτιλλον. καὶ γὰρ ὡς ὕστερον ἔφησαν, πλεονάζοντι παρὰ τὸ εἰωθὸς τῷ γέλωτι ἐχρήσατο. ὑποτυχὼν δὴ ἐγώ, ἀλλὰ μὴν ἔφην σοφῶν ἄριστε Δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος, ἢ τὰ λεχθέντα, ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς, διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δέ, Ἡράκλεις, ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις, οἵην οὐδένα οὐδεπώποτε ὦ Ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθείης ἔφην ὦ ἄριστε; ἢ οὐκ οἴῃ ἄτοπος γε εἶναι γελῶν ἀνθρώπου θάνατον; ἢ νοῦσον; ἢ παρακοπήν; ἢ μανίην; ἢ μελαγχολίην; ἢ σφαγήν; ἢ ἄλλο τι χεῖρον; ἢ τοὔμπαλιν γάμους, ἢ πανηγύριας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχάς, ἢ καὶ τιμάς, ἢ ἄλλο τι ὅλως ἀγαθόν; καὶ γὰρ ἃ δέον οἰκτείρειν, γελᾷς. καὶ ἐφ' οἷς ἥδεσθαι χρή, καταγελᾷς τουτέων. ὥστε μήτε ἀγαθόν, μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ ταῦτα μὲν ἔφη εὖ λέγεις ὦ Ἱππόκρατες. ἀλλ' οὐκ οἶσθά πω τοῦ ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δὴ εὖ οἶδ' ὅτι κρέσσονα τῆς πρεσβείης ἀντιφορτισάμενος ἀποίσεις θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι, καὶ ἑωυτέῳ, καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. αὖθις ὧν ἴσως κἀμὲ διδάξεις ἰατρικὴν ἀμοιβηδόν. γνοὺς ὅσην σπουδὴν περὶ τὰ ἀσπούδαστα φιλοτιμεύμενοι περήσουσι τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι τὸν βίον ἀναλίσκουσι, γελώτων ἄξια διοικεῦντες. ἐγὼ δέ φημι. λέγε πρὸς θεῶν, μήποτε γὰρ διαλανθάνει ἅπας ὁ κόσμος νοσέων. καὶ οὐκ ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην. τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ; ὁ δὴ ὑπολαβών, πολλαί γε φησὶν ἀπειρίαι κόσμων εἰσὶν Ἱππόκρατες,[63] καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα ἔφην Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ. εὐλαβοῦμαι γὰρ μήπως καὶ τὴν ἀπειρίην διεξιὼν, γελᾶν ἄρξῃ. ἴσθι δὲ νῦν[64] περὶ τοῦ σέο γέλωτος τῷ βίῳ λόγον δώσων. ὁ δὲ μάλα τρανὸν ἀπιδών με, δύο φησὶ τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα. ἐγὼ δὲ[65] ἕνα γελῶ τὸν ἄνθρωπον. ἀνοίης μὲν γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν πάσαις ἐπιβουλαῖς νηπιάζοντα. καὶ μηδεμιῆς ἕνεκεν ὠφελείας ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους. πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμέτροισιν ἐπιθυμίῃσιν ὁδεύοντα.[66] ἄργυρον κτίζοντα, καὶ χρυσόν. καὶ μὴ παυόμενον τῆς κτήσεως ταύτης. αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται, καὶ οὐδὲ αἰσχύνεται μὴ λεγόμενος εὐδαίμων. ὅτι χάσμα τῆς γῆς ὀρύσσει διζήμενος χερσίν, ὧν οἱ μὲν ὑπὸ σομφῆς[67] ἐπιπιπτούσης τῆς γῆς ἐφθάρησαν, οἱ δὲ πολυχρονίως ταύτην ἔχοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει παραμένουσιν. ἀργύριον καὶ χρυσίον μαστεύοντες, ἴχνη κόνεως, καὶ ψήγματα ἐρευνῶντες. ψάμμον ἄλλην ἀλλαχόθεν[68] ἐγείροντες, καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες.

ἐς περι-

ἐς περιουσίην αἰεὶ βωλοποιέοντες ἐκ γῆς τῆς μητρὸς πολεμίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν, καὶ θαυμάζοντες πατέουσιν, ὅσος γέλως ἐπὶ μόχθου, καὶ κρυφίης γῆς ἐρῶσι τὴν φανερὴν ὑβρίζοντες. κύνας ὠνεῦνται, οἱ δ' ἵππους. οἱ δὲ χώρην πολλὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσιν. καὶ πολλῆς ἐθέλοντες δεσπόζειν, οὐδὲ αὐτέων δύνανται. γαμεῖν σπεύδουσιν, ἃς μετ' ὀλίγον ἐκβάλλουσιν. ἐρῶσιν, εἶτα μισοῦσι. μετ' ἐπιθυμίης γεννῶσιν. εἶτ' ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ, καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα; πολεμοῦσιν ἔμφυλον, ἠρεμίην οὐχ αἱρετίζοντες. ἀντενεδρεύουσι βασιλέας. ἀνδροφονοῦσι. γῆν ὀρύσσοντες, ἀργύριον ζητοῦσιν. ἀργύριον εὑρόντες, γῆν ἐθέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρποὺς πιπράσκουσι. καρποὺς ἀποδόμενοι, πάλιν ἀργύριον λαμβάνουσιν, ἐν ὅσαις μεταβολαῖς εἰσιν, ἐν ὅσῃ κακίῃ; οὐσίην μὴ ἔχοντες, οὐσίην ποθέουσιν, ἔχοντες, κρύπτουσιν, ἀφανίζουσιν. καταγελῶ, ἐφ' οἷς κακοπραγέουσιν. ἐπιτείνω τὸν γέλωτα, ἐφ' οἷς δυστυχέουσι. θεσμοὺς γὰρ ἀληθείας παραβεβήκασι. φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους δῆειν ἔχουσι, μετὰ δὲ ἀδελφῶν καὶ τοκήων, καὶ πολιτῶν, καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων ὧν οὐδεὶς θανὼν δεσπότης ἐστὶν, ἀλληλοκτονεύουσιν. ἀθεσμόβια φρονεῦντες φίλων καὶ πατρίδων ἀπορίην ὑπερορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα. ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι δοκέει λαλεῖν τὸ ἄγαλμα. τοὺς δὲ ἀληθέως λαλέοντας, μισεῦσι. τῶν γὰρ μὴ ῥηϊδίων ἐφίενται. καὶ γὰρ ἤπειρον οἰκεῦντες, θάλασσαν ποθέουσι. καὶ πάλιν ἐν νήσοις ἐόντες, ἤπειρον γλίχονται. καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέεσθαι νικῶνται δὲ καθ' ἡμέρην, ὑπὸ τῆς ἀσελγίης. ὑπὸ φιλαργυρίης. ὑπὸ τῶν παθέων πάντων νοσέουσι. θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. τί δὲ τὸν ἐμὸν Ἱππόκρατες ἐμέμψω γέλωτα; οὐ γὰρ αὐτὸς τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελῆται. οἱ μὲν τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέουσι νήφειν. οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νόσον νοσεῦντες αὐτοί. οἱ δὲ τῶν πλεόντων. ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων. οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις, οὔτε τοῖς ἔργοις. ἐγὼ δὲ ταῦτα μὲν ἔφην χρῆναι Δημόκριτε. οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλων ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ πρήξιες νομοθετοῦσι τὴν ἀναγκαίην. οἰκονομίης τε εἵνεκα, καὶ ναυπηγίης, καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τουτέων δὲ πάλιν φιλοδοξίη χυθεῖσα, ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχήν. σπουδαζόντων μὲν ἅπαντα, ὡς ἐπὶ ἀδιαπτωσίῃ, μὴ κατ' εὐπονούντων δὲ τὴν ἀδηλότητα προορῆσαι. εἴπου γάρ τις ὦ Δημόκριτε γαμέων, ἢ χωρισμὸν, ἢ θάνατον προσεδόκησεν. τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν. ἀλλ' οὐδ' ἐν γεωργίῃ, καὶ πλοίῳ. καὶ βασιλείῃ. καὶ ἡγεμονίῃ. καὶ πάντα ὅσα ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προὔλαβεν πταῖσαι. ἀλλ' ἀγαθοῖσιν ἕκαστος τουτέων ἐλπίσι φέρβεται. τῶν δὲ χειρόνων οὐδὲ μέμνηται. μή ποτ' οὖν ὁ σὸς γέλως τουτέοις ἀνάρμοστος; ὁ δὲ

ad opulentiam ſemper terram matrem tanquam hoſtilem in glebas proſcindunt, quam eandem etiam cum admiratione calcant. Quantum verò rideri debet quòd terram latentem cum labore amant, apertam contumelia afficiunt. Canes emunt, quidam etiam equos, quidam verò multa circumſcripta regione eam ſibi adſcribunt, & cùm multis dominari velint, ſibiipſis imperare nequeunt. Vxores ducere cupiunt, quas paulò poſt repudiant, amant, deinde odio proſequuntur, cum cupiditate liberos ſuſcipiunt, deinde eos adultos abdicant. Quodnam hoc inane ſtudium & rationis expers, nihilq; ab inſania diſcrepans? Bellum inteſtinum gerunt, quietem optabilem non ducũt, regibus viciſſim inſidias tendunt, homines necant, defoſſa terra argentum inueſtigant, argento reperto terram emere cupiunt, terra empta fructum diuendunt, fructibus diſtributis rurſus argentum capiunt. Quibus mutationibus & quãtis vitiis obnoxij? Cùm opes non habeant, eas expetunt, ſi habent, abſcondunt, diſſipant. Eorũ res aduerſas derideo, eorum infortunia intento riſu excipio. Veritatis enim inſtituta violant, cõtentionis ſtudio hoſtiles inter ſe rixas habent. Cum fratribus verò, parentibus, & ciuibus mutuas cædes exercent, idque pro iis poſſeſſionibus quarũ nemo poſt mortem dominus eſſe poteſt. Iniuſtam vitam conſectantes, amicorũ & patriæ inopiam deſpiciunt, indigna & inanimata diuitiarum loco habent, pro vniuerſis facultatibus ſtatuam mercantur, quòd ſimulachrum loqui videatur, eos verò qui verè loquuntur odio habent. Res nõ faciles amore proſequuntur, in continente habitantes, maritima expetũt, rurſusq; inſulas tenentes, continentem affectãt, cunctaq; in ſuam cupiditatem peruertunt. Et in bello quidem fortitudinem laudare videntur, at in dies à libidinum indulgentia & auaritia vincũtur, & affectibus omnibus tenentur. Therſitis autem vitam omnes referunt. Qua verò in re riſum meum Hippocrates reprehendiſti? Neq; enim quiſquam ſuam, ſed alter alterius amentiam deridet, hi quidem ebrios, cùm ipſi ſibi ſobrij videantur, alij amantes, cùm ipſi grauiore morbo laborent, hi verò nauigantes, alij agriculturæ deditos. Neq; enim artibus, neque operibus inter ſe conſentiũt. Tum ego, hæc quidem, inquam vera ſunt Democrite, neq; alia quæpiam oratio ad conuincendam mortaliũ miſeriam commodior eſſe poſſit. Verùm ipſæ actiones hanc neceſſitatem veluti decreto quodam imponũt, ad rei domeſticæ diſpenſationem, nauium fabricationem, & reliquã reipublicæ adminiſtrationem, in qua verſari hominem oportet. Neque enim ad inertiam eum natura procreauit. Ex his rurſus latè ſparſa ambitio, multorum rectè ſentientem animum aberrare coegit, qui ad omnia velut ſine lapſu ſummo ſtudio contendunt, non tamen obſcuritatem præuidere poſſunt. Quis enim (ô Democrite) vxorem ducens diuortium aut mortem cogitat? aut liberos educans, interitum? Sed neque in agricultura & nauigatione, regno, imperio, & omnibus quæ ſunt in vita. Nemo enim ſe oberraturum animo antè percepit, ſed quiſque horum bona ſpe paſcitur, deteriora verò ne meminit quidem. Num igitur tuus hic riſus his minimè conuenit? Tum

Democritus, Tardo, inquit, es admodum ingenio, proculq; à mea sententia peregrinaris Hippocrates, neque tranquillitatis & perturbationis modum propter ignorantiam prospicis. Qui enim hæc ipsa prudenti cogitatione disponunt, ij & facilè liberantur, & meum risum subleuant. Nunc verò velut in rebus vitæ conuenientibus mente capti cæcutiunt, neq; mente ratiocinationis experte, inordinatum impetum facilè addiscunt. Satis enim fuerit hæc admonitio, rerum omnium commutatio, quæ subitis conuersionibus incidens, repentinam & omnimodam rerum velut rotarum agitationem in mentis notione reponit. Illi verò tanquam hæc adaptata sit & firma, affectionum continenter incidentium obliti, aliter alius quæ tristitiam adferunt expetentes, quæ sunt incommoda inquirentes, in multis calamitatibus assiduè versantur. Quòd si quis omnia quæ facit pro viribus mente versaret, vitam ab omni casu immunem seruaret, seipse probè noscens, & suam ipsius cōcretionem apertè intelligens, cupiditatis studium in infinitū non extenderet, sed naturā diuitem & omniū alumnam, per ea quæ abundè suppetunt sequeretur. Quemadmodum autē optimus corporis habitus affectionum periculum denunciat, sic magnus rerum successus lubricus est. Rebus autem in aduersis insignes conspiciuntur. Alij verò antiquorum res minimè oculis subiicientes, prauis suis actionibus pereūt, manifesta velut obscura non prouidentes, cùm tamen longam vitam exemplum habeant eorum quæ fiunt & non fiunt, ex quibus quod futurum est cognoscere oportebat. Hæc est mei risus materia, homines imprudentes, improbitatis suæ pœnas dantes auaritiæ, inexplebilis cupiditatis, inimicitiarum, insidiarum, subdolorum consiliorum, inuidentiæ. Difficile est multorum malorū machinatricem solertiam verbis exprimere, cùm eorum sit infinitas quędam, & in his cum dolosis commentis praua mente inter se conuersentur. Apud eos autem virtutis modus habetur, quod est deterius. Mendacia enim amant, & in his se exercent, voluptatis studium extollunt, legibus minimè parentes. Hic autem meus risus quæ ab his nullo proposito consilio fiunt condemnat, cùm neq; visionis, neq; auditionis participes sint. At solus hominis sensus recta intelligentia eminus splendescēs, quod præsens & futurum est præuidet. Omnia detestantur, ac rursus ad eadem se adiungunt, nauigationem auersantes, nauigāt, agricultura propulsata, rursus agrum colunt, abdicata vxore, aliam inducūt, susceptos liberos sepeliunt, & his sepultis alios procreant, & rursus educāt, senectutem exoptant, cumq; eò peruenerint, gemunt, nulloq; in statu firma mente persistunt. Principes ac reges priuatum beatum prędicant, priuatus regium imperium affectat. Qui rempublicam regit, artificem tanquam periculi expertem laudat, artifex verò illum velut in omnia potentiam exercentem. Rectam enim virtutis viam puram, miniméque asperam, ac inoffensam non cernunt, per quam nullus incedere sustinet. Per inaccessam autem & tortuosam feruntur, & per aspera delati incedunt & offendunt, plærique etiam decidunt, velut si quis persequatur anhelantes, partim sequentes, partim præcedentes contendunt. Et eorum quosdam impudentia fretos nefandi

Δημόκριτος, μάλα ἔφη νωθὴς τὸν νόον ὑπάρχεις καὶ μακρὰν γε τῆς ἐμῆς γνώμης ἀπόδημος Ἱππόκρατες, ἀπραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκεπτέων, δι' ἄγνοιαν. ταῦτα γὰρ αὐτὰ, διανοίῃ φρενήρεϊ διοικέοντες, αὐτοί τε ῥηϊδίως ἀπηλλάσσοντο, καὶ τὸν ἐμὸν ἐλαφρὸν γέλωτα.[75] νῦν δ' ὡς ἐπ' ἀρηρόσι τοῖς ἐν τῷ βίῳ φρενοβλαβέες τετύφλωνται ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δεδιδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν ξυμπάντων μεταβολὴ, ὀξείῃσι τροπῇσιν ἐμπίπτουσα, αἰφνίδιον τροχηλασίην παντοίην ἐννοέουσα. οἱ δ' ὡς ἐπ' ἐρηρυίῃ, καὶ βεβαίῃ ἐκλελησμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων,[76] ἄλλοτε ἄλλος ποθέοντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκαλινδοῦνται πολλῇσι ξυμφορῇσιν.[77] εἰ δέ τις ἐμερμήριζεν κατὰ δύναμιν ἰδίην, τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν, ἑωυτὸν ἐξεπιστάμενος. καὶ ξύγκρισιν ἰδίην σαφῶς καταμανθάνων, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν, ἀόριστον ἐκτείνων. τὴν δὲ πλουσίην φύσιν, καὶ πάντων τιθηνὸν,[78] δι' αὐταρκείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων ἡ εὐεξίη κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων σφαλερόν ἐστιν. ἀείσημοι δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωροῦνται.[79] ἄλλοι δὲ τὰ τῶν παλαιῶν μὴ ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλλοντο. τὰ δῆλα καθάπερ ἄδηλα μὴ προθεωροῦντες. ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες, γινομένων καὶ μὴ γινομένων. ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν καταμανθάνειν. ταῦθ' ὁ ἐμὸς γέλως ἄφρονες ἄνθρωποι. πονηρίης δίκας ἐκτίνοντες. φιλαργυρίης. ἀπληστίης. ἔχθρης. ἐνέδρης. ἐπιβουλίης. βασκανίης. ἐργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν. ἀπειρίη γάρ τις ἐστὶ καὶ τουτέοις δολοπλοκίῃσιν. ἀνθομιλεῦντες, σκολιόφρονες. ἀρετῆς δὲ παρ' αὐτέοις τρόπος ἐστὶ, τὸ χέρειον. φιλοψευδίην γὰρ ἀσκέουσι. φιληδονίην κοσμέουσι. νόμοις ἀπειθεῦντες.[80] ὁ δὲ αὐτέων καταχρίνει τὴν ἀπροαιρεσίην. μήτε ὁρήσιος, μήτε ἀκοῆς μετέχοντας, μούνη δ' αἴσθησις ἀνθρώπου ἀρκέειν διανοίῃ τηλαυγὴς, τό, τε ὂν, καὶ τὸ ἐσόμενον προορεομένη. δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖς αὐτέοις ἐμπελάζονται. ἀρνησάμενοι πλόον, πλέουσι. γεωργίην ἀπωσάμενοι, αὖθις γεωργοῦσιν. ἐκβάλλοντες γαμετὴν, ἑτέρην εἰσάγονται. γεννήσαντες, ἔθαψαν· θάψαντες, ἐγέννησαν. πάλιν τρέφουσι. γῆρας ηὔξαντο. ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσιν. ἐν οὐδεμίῃ καταστάσει βέβαιον ἔχοντες τὴν γνώμην. ἡγεμόνες, καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. ὁ δὲ ἰδιώτης, ὀρέγεται βασιλείης. ὁ πολιτευόμενος, τὸν χειροτεχνεῦντα, ὡς ἀκίνδυνον. ὁ δὲ χειροτέχνης ἐκεῖνον, ὡς εὐπορεῦντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωρέουσι καθαρὴν, καὶ λείην, καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. φέρονται δὲ ἐπὶ τὴν ἀπειθῆ καὶ σκολιὴν τρηχυβατέοντες καταφερόμενοι. καὶ προσκόπτοντες. οἱ δὲ πλεῖστοι ἐκπίπτοντες. ἀσθμαίνοντες ὡς διωκόμενοι. ἐρίζοντες. ὑστερέοντες, προηγεύμενοι. καὶ οὓς μὲν αὐτέων, ἔρωτες ἀπάσταλοι ὑποπεπρήκασιν

[81] ἀλλοτρίης

[81] ἀλλοτρίης εὐνῆς φθορῆ, ἀναιδείης πιστεύοις. οὓς δὲ τῆς φιλαργυρίης νοῦσος, ἄσειστος. οἱ δ' ἀλλήλοις ἀντεπιτίθενται. οἱ δ' ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀνενεχθέντες, βρίθει κακίης, εἰς βυθὸν ἀπωλείας καταφέρονται. κατασκάπτουσιν. εἶτα ἐποικοδομοῦσι. χαρίζονται. εἶτα μετανοοῦσιν, καὶ ἀφαιρεῦνται τὰ φιλίης δίκαια. κακοπραγέοντες εἰς ἔχθρην τὰ ξυγγενείης πολεμοποιεῦντες. καὶ τουτέων πάντων αἰτίη φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι; παρ' οἷς ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν τερπνόν. ἐν δὲ τοῖς θυμοῖς, τί πλεῖον ζώοις ἀλόγοις παραλλάσσουσιν; πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λέων ἐς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῆ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὀρεχθῇ. λύκος δὲ σπαράξας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπλουμένῃσιν, οὐκ ἔχει θοίνης κόρον ὤνθρωπος. καὶ χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης, ἀλόγων τέρμα ἐστίν. ὁ δὲ τὸ διηνεκές, οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα[82] ὅτι ξυμφερόντως ἀποκέκλεισται, μάλιστα δὲ ἢν ῥιψοκίνδυνος ᾖ, καὶ φέρηται κατὰ κρημνῶν, ἢ βυθῶν πελάγεος ἐπιτείνω τὸν γέλωτα; μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμενον τῇ θαλάττῃ ὅτι κατεβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐδαμῶς δοκέω γελῆν, ἐξευρεῖν δὲ κατ' αὐτέων ἤθελον τι λυπηρόν. ἀλλ' οὐδὲ ἰητρικὴν ὑπὲρ τουτέων ἐχρῆν εἶναι,[83] μήτε τεχνώμενον παιήονα φάρμακα. ὁ σὸς πρόγονος ἀσκληπιὸς νουθεσίη σοι γινέσθω. σώζων ἀνθρώποις, κεραυνοῖς ηὐχαρίστηται. οὐχ ὁρῇς ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμὶ, μανίης διζήμενος αἰτίην, ζῶα κατακτείνω καὶ ἀνατέμνω, ἐχρῆν δὲ ἐξ ἀνθρώπου τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος[84] μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ' αὐτέου πάθεα ξυνήθροικεν. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσος ἐστίν. τρεφόμενος ἄχρηστος ἱκέτης βοηθείης. αὐξανόμενος, ἀτάσθαλος, ἄφρων, ἐνδεὴς παιδαγωγίης. θρασὺς, ἀκμάζων. παρακμάζων. οἰκτρός.[85] τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας.[86] ἐκ μητρώων γὰρ λύθρων, ἐξέθορε τοιοῦτος. διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες, ἐν ξυμφορῇσι καὶ μάχῃσι, οἱ δ' ἐν φθορῇσι, καὶ μοιχείῃσι διὰ παντός. οἱ δ' ἐν μέθῃσιν. οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δ' ἐν ἀπωλείῃσι τῶν σφετέρων. ὄφελον δυνάμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσεις ἀνακαλύψαντα μηθὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα. εἶθ' οὕτως ὁρῆν τὰ πρησσόμενα ἔνδον.[87] εἴδωμεν ἂν οὓς μὲν ἐσθίοντας. οὓς δὲ ἐμέοντας. ἑτέρους δ' αἰκίῃσι στρεβλέοντας. τοὺς δὲ[88] φάρμακα κυκῶντας. τοὺς δὲ ξυννοέοντας ἐπιβουλήν. τοὺς δὲ ψηφίζοντας. ἄλλους χαίροντας. τοὺς δὲ κλαίοντας. τοὺς δὲ ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας. τοὺς δὲ διὰ φιλοδοξίην ἐκφρονας. καί γε τινὲς βαθύτεραι πρήξιες, τῶν κατὰ ψυχὴν κευθομένων. καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτέοντες, ἀρνεόμενοι, πενόμενοι,

alieni cubilis corrumpendi amores succendũt, quosdam etiam inordinatus auaritiæ morbus tabefacit, alij mutuas insidias struunt. Alij verò ambitionis studio in aëra subuecti, sceleris grauitate in exitij profundum præcipites deferuntur, diruunt, deinde ædificant, beneficium conferendo gratiam demerentur, deinde pœnitentia ducti, amicitiæ iura violant, maléque afficiendo ad inimicitias deueniunt, & cognationis iura bello appetunt, horúmque omnium auaritia causa est. Quanam in re ab infantibus ludibundis discrepant? quos, cùm mens iudicio careat, quicquid sese forte obtulit, delectat. Quòd ad cupiditates attinet, non multum à brutis animantibus differunt, nisi quòd feræ in eo quod satis est se continent. Quinam enim leo aurum defossum in terram abdidit? Quinam taurus alienum vsurpandi cupiditate, ad prœlium impetu quodam delatus est? Quæ pardalis inexplebilem auiditatem admisit? Sitit quidem aper, sed quantũ aquæ appetit. Lupus verò dilaniato quod sese obtulit necessario alimento, quiescit. At si dies iungantur noctibus, hominem non capit comessandi satietas. Et anniuersariorum temporum ordo, brutis quidem animantibus coitus finem adfert, hic verò insano libidinis stimulo continenter agitatur. Quomodo Hippocrates, eiulantem ob amorem quòd suo commodo priuetur, non derideam? præcipueque si quis nullo habito periculorum delectu per præcipitia & alta maria feratur, intenso risu non excipiam? Non ridebo eum qui nauem multis mercibus onustam demersit, deinde mare incusantem quòd eam plenam submerserit? Equidem hæc minimè ridicula duco, verùm in eos aliquid molesti excogitare cuperem. Sed neque pro his medicinam esse oportuit, neque aliquem qui Pæonia medicamenta conficeret. Cuius rei te admonere debeat tuus ille progenitor Æsculapius, qui pro seruatis hominibus, gratam beneficij recordationem fulminis ictus reportauit. Non vides me quoque huius vitij participem esse, dum in insaniæ causam inquirens, animantia macto ac reseco, quam in hominibus perscrutari oportuit? Nonne vides mundum ipsum inhumanitate redundare, & infinitas aduersus hominem affectiones cumulare? Totus homo ab ipso ortu morbus est. Dum educatur inutilis, auxilium supplex implorat; dum increscit, improbus & demens est, institutione puerili indigens; in ætatis vigore constitutus, audax; ætate marcescens, miserabilis, suos labores per imprudentiam excolens. Talis enim ex materno cruore sanie permixto prorumpit. Proptereaq; hi quidem indignabundi & immodica ira referti in calamitatibus & pugnis, alij in adulteriis & stupris perpetuò versantur, alij in ebrietatibus, alij in rerum alienarum cupiditatibus, alij in suis perdendis. Quòd si possemus nullo intus relicto velamento omniũ habitationes detegere, deinde ita quæ intus aguntur inspicere, hos quidẽ edere videremus, illos verò vomere, alios indignis verberibus torquere, alios venena miscere, alios insidias struere, alios rationibus studere, hos gaudere, illos plorare, hos amicorum accusationem meditari, illos verò nimia ambitione desipere. Et certè quædã sunt in animis altiùs recõditæ actiones. Et in his partim quidem iuuenes, partim verò senes, petentes, denegãtes, pauperes,

rebus affluentes, fame oppressi. Hi luxu grauati, sordidi, vincti, illi verò deliciis gestientes, multos alentes. Alij iugulantes, alij sepelientes, ea quæ habent pro nihilo habentes, speratas possessiones captantes, alij quidem impudentes, alij parci, alij inexplebiles, alij quidem interficientes, alij verberibus afflicti, alij superbè se iactantes, alij inani gloria attoniti. Et hi quidem equis addicti sunt, alij hominibus, alij nauibus, alij lapidibus, aut lignis, alij statuis ex ære, alij picturis. Et alij quidem legationibus, alij rei militaris administrationibus, alij rebus sacris. Alij coronas gestant, alij armati sunt, alij interficiuntur. Et horum singuli partim quidem in pugna nauali versantur, partim in militari officio, partim verò in agricultura. Alij verò in nauibus onerariis, alij in foro, alij in concionibus, alij in theatro, alij in fuga, alij verò aliis quibusdam rebus. Et alij quidem ad voluptatis studium, mollitiem & intemperantiam feruntur, alij ad otium ac desidiam. Cùm igitur tot indigenas & miseras animas videamus, quomodo eorum vitam eiusmodi intemperantiæ deditam ludibrio nõ habeamus? Valde quoque metuo ne artem tuã Medicam ipsi non probent. Propter intemperantiam enim implacidè se habent ad omnia, & sapientiam insaniam existimant. Et certè suspicor plæraque in arte tua, aut per inuidiam, aut per ingratitudinem, palam contumelia affici. Ægrotantes enim simul ac seruati sunt, causam Diis vel fortunæ attribuunt. Plærique verò hoc suæ naturæ assignantes, bene merentem odio prosequuntur, parùmque abest quin indignentur, si eis operam debeant. Multi etiam artis imperitiam præseferentes, cùm sint ignorantes, quod melius est damnant. Calculorum enim suffragia stupidis attribuuntur, neque ægrotantes simul approbare volunt, neq; eiusdem artis socij testimonio confirmare, cùm inuidia obstet. Neq; tu huiusmodi contumelias non expertus es, cùm probè sciam hæc quę in memorabilibus affectionibus fiunt, te per causam aut inuidiam nunquam lubenter conuitiis insectatum. Veritatis enim nulla est cognitio, neque testimonij confirmatio. Quæ cùm diceret subridebat, mihique Damagete diuina quadam specie, prioremq; formam oblitus esse videbatur. Tum ego, Democrite præstantissime, magna hospitalitatis tuæ munera mecum in Co reportabo, cùm multa me sapientiæ tuæ admonitione compleueris. Præco enim tuarum laudum reuertor, quòd naturæ humanæ veritatem inuestigasti & mente complexus es. Accepta autem à te mentis curatione discedo, cùm id tempus postulet, vt corpori cõsulatur. Cras verò ac deinceps, ad eundem locum reuertemur. Quæ cùm dixissem surrexi, ille verò me comitari paratus erat. Cumque quidam, haud scio vnde, accederet, libros tradidit. Et ego ad Abderitas qui me speculãtes expectabãt concitatiore gressu redij. Viri, inquam, Abderitæ, pro vestra ad me legatione magnas habeo gratias. Democritum enim virum sapientissimum vidi, qui solus homines ad sanam mentem reducere potest. Hæc habui Damagete quæ de Democrito tibi læto admodum animo narrarem. Vale.

περιουσιάζοντες, λιμῷ θλιβόμενοι. οἱ δὲ ἀσωτίῃ βεβαρυμένοι· ῥυπόωντες. δέσμιοι. οἱ δὲ τρυφῇσι γαυριῶντες. βρέφοντες, ἄλλοι σφάζοντες. ἄλλοι θάπτοντες. ὑπεροφέοντες ἃ ἔχουσι,[89] περὶ τὰς ἐλπιζομένας κτήσιας ὡρμημένοι. οἱ μὲν ἀναιδέες, οἱ δὲ φειδωλοί, οἱ δὲ ἄπληστοι. οἱ μὲν φονεύοντες. οἱ δὲ τυπτόμενοι. οἱ δὲ ὑπερηφανεῦντες.[90] οἱ δὲ ἐπηρμένοι κενοδοξίῃ.[91] καὶ οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσιν, οἱ δὲ κυσίν, οἱ δὲ λίθοις, ἢ ξύλοις, οἱ δὲ χαλκῷ, οἱ δὲ γραφῇσι. καὶ οἱ μὲν πρεσβείαις, οἱ δὲ στρατηγίαις, οἱ δὲ ἱερωσύνῃσιν.[92] οἱ δὲ στεφανοφορέοντες. οἱ δὲ ἔνοπλοι. οἱ δὴ ἀποκτεινόμενοι. φέρονται δὲ τουτέων ἕκαστοι. οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ στρατείην, οἱ δὲ ἐπ᾽ ἀγροικίην. ἕτεροι δὲ ἐπὶ φορτίδας ναῦς. οἱ δὲ εἰς ἀγορήν. ἕτεροι δὴ ἐπ᾽ ἐκκλησίην. οἱ δὲ ἐπὶ θέητρον. οἱ δὲ ἐς φυγήν. ἄλλοι δὲ ἀλλαχόσε. καὶ οἱ μὲν ἐς φιληδονίην, καὶ ἡδυπαθείην, καὶ ἀκρασίην. οἱ δὲ εἰς ἀργίην καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν[93] καὶ δυστήνους ψυχὰς ὁρέοντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιόνδε ἀκρασίην ἔχοντα βίον αὐτέων; κάρτα γὰρ ἔλπομαι μηδὲ τὴν σὴν ἰητρικὴν ἀνδάνειν αὐτέοισιν. δυσαρεστέονται γὰρ ὑπὸ ἀκρασίης ἅπασι. καὶ μανίην τὴν σοφίην νομίζουσιν.[94] ἤπου γὰρ ὑπονοέω ὡς σαφῶς λωβᾶσθαί σου τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι᾽ ἀχαριστίην. οἵ τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι, τὴν αἰτίην θεοῖς ἢ τύχῃ προσνέμουσι. πολλοὶ δὲ τῇ ἰδίᾳ φύσει προσάψαντες,[95] ἐχθαίρουσι τὸν εὐεργέτην, μικροῦ δεῖν προσαγανακτεῦντες, εἰ νομίζονται χρειοφειλέται. οἵ τε πολλοὶ τῆς ἀτεχνίης ἐφ᾽ ἑωυτέοις ἔχοντες, ἀΐδριες ἐόντες,[96] καθαιρέουσι τὸ κρέσσον. ἐν ἀναισθήτοις γὰρ εἰσιν αἱ ψῆφοι, οὔτε δὴ οἱ πάσχοντες συνομολογεῖν ἐθέλουσιν, οὔτε οἱ ὁμότεχνοι ἐθέλοντες μαρτυρεῖν. φθόνος γὰρ ἐνίσταται.[97] οὐκ ἄπειρος σὺ τῶν τοιουτέων λεγημάτων. σαφέως δὲ εἰδὼς ταῦτα ἐν ἀξιοπαθείῃσι σὲ πολλάκις γινόμενα, καὶ οὐδὲ αἰτίην ἢ βασκανίην φιλοστοργέοντα. ἀρεκέως γὰρ οὐδεμία οὔτε γνῶσις οὔτε μαρτυρείη. ἐπεμειδία δὲ λέγων ταῦτα. καί μοι Δαμάγητε, θεοειδής τις κατεφαίνετο, καὶ τὴν προτέρην αὐτέου μορφὴν ἐκλελησμένος. καὶ φημὶ ὦ Δημόκριτε μεγαλόδοξε, μεγάλας γε τὰς σῶν ξενίων δωρεὰς εἰς Κῶ ἀποίσομαι. πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας. ἀπονοστέω γὰρ σοῦ κῆρυξ ἀληθείης ἀνθρωπίνης φύσιν ἐξιχνεύσαντος καὶ νοήσαντος. θεραπείην δὲ λαβὼν τῆς ἐμῆς διανοίης, παρὰ σεῦ ἀπαλλάσσομαι τῆς ὥρης τοῦτο ἀπαιτούσης, καὶ τῆς τοῦ σώματος ἐπιμελείης. αὔριον δὲ καὶ κατὰ τὸ ἑξῆς, ἐν ταὐτῷ γινόμεθα. ἀνιστάμην ταῦτα εἰπών. καὶ ὃς ἦν ἕτοιμος ἀκολουθεῖν. προσελθόντι δὲ τινὶ οὐκ οἶδ᾽ ὁκόθεν, ἀπεδίδου τὰ βιβλία. κἀγὼ ξυντονώτερον ἠπειξα καὶ πρὸς τοὺς ὄντας Ἀβδηρίτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με, ἄνδρες ἔφην, τῆς πρὸς ἐμὲ πρεσβείης, χάρις ὑμῖν πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μοῦνον δυνατώτατον. ταῦτ᾽ ἔχω σοι περὶ Δημοκρίτου Δαμάγητε φράζειν, γηθοσύνως πάνυ. ἔρρωσο.

Δημόκριτος

Δημόκριτος Ἱπποκράτει εὖ πράττειν.

Ἐπήλθες ἡμῖν ὡς μεμηνόσιν ὦ Ἱππόκρατες, ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ' οἷς ὁ πόνος τῆς ἀρετῆς, μανίη κρίνεται. ἐτυγχάνομεν δὲ τότε, [98] περὶ κόσμου διαθέσιος, καὶ πολογραφίης. ἔτι δὲ ἄστρων οὐρανίων ξυγγράφοντες. [99] γνοὺς δὲ τὴν ἐπὶ τούτοις φύσιν, ὡς εὐχαίρως κάρτα εἴη ἐπιδεδημιουργημένα, καὶ ὡς τηλοῦ μανίης καὶ παραφροσύνης καθέστηκεν, ἐμοῖο μὲν φύσιν ἐπῄνεσας. ἄφρονας δὲ καὶ ἀπηνέας καὶ μεμηνότας κείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδαλμοῖσι διαλλάττοντα ἀνὰ τὸν ἠέρα πλάζει ἡμέας, ἃ δὴ κόσμος ξυνορᾶται, [100] καὶ ἀμειβόντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως, εἰς φῶς ἤγαγεν. μάρτυρες δὲ τουτέων, βίβλοι ὑπ' ἐμοῖο γραφεῖσαι. χρὴ οὖν καὶ σε ὦ Ἱππόκρατες, [101] μὴ τοιουτοτρόποισιν ἀνδράσιν ξυνέρχεσθαι, καὶ ξυνομιλέειν, [102] ὧν νόος ἀκρόπλοος, καὶ ἀβέβαιος καθέστηκεν. εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότα με ἐπότισας ἐλλεβόρῳ, ἦ [103] πινυτὴ μανίη ἂν ἐγεγόνει. καὶ σεο τέχνην κατεμέμψατο, ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς, ἐπισκοτεῖ διανοίαν. μεμηνόσι δὲ κάρτα ὠφελέειν εἴωθεν. ὤνητο γὰρ εἰ μὴ κατειλήφεις με γράφοντα, ἀνακείμενον δὲ, ἢ σχεδὸν περιπατοῦντα, καὶ προσομιλέοντα ἐμαυτῷ, ὅτε μὲν δυσχεραίνοντα, ὅτε δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοις ὑπ' ἐμοῖο. καὶ τοῖς προσομιλέουσι τῶν γνωρίμων, [104] οὐ προσέχοντα. ἐφιστάντα δὲ τὴν διάνοιαν καὶ σκεπτόμενον ἐκπάγλως, ὤνητο ἂν Δημόκριτον, κατά γε ὁμοίως κρίσιν ἐκ τῶν ὁρεομένων, μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰητρὸν, μὴ μόνον ὄψει τὰ πάθη κρίνειν, ἀλλὰ καὶ πρήγματι. [105] τούς τε ῥυθμοὺς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον. καὶ πότερον ἄρχοιτο τὸ πάθος. ἢ μεσάζοι. ἢ λήγοι. καὶ διαφορὴν, καὶ ὥρην, καὶ ἡλικίην παρατηρεῦντα ἰηθέλειν τὸ πάθος, ὁλομελίην τε τοῦ σκήνεος. ἐκ γὰρ τουτέων ἁπάντων, εὐχερῶς τὴν νοῦσον εὑρήσεις. ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον. ἔρρωσο.

Ὁ περὶ μανίης λόγος.

Μ[106]αινομένων δὲ ὡς ἔφην, ἐν τῷ περὶ ἱερῆς νούσου, ὑπὸ ὑγρότητος τοῦ ἐγκεφάλου, ἐν ᾧ ἐστὶ τὰ τῆς ψυχῆς ἔργα. ὅταν ὑγρότερος τῆς φύσιος ᾖ, ἀνάγκη κινέεσθαι. κινευμένου δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν, μήτε τὴν ἀκοήν. [107] ἀλλ' ἄλλοτε ἀλλοῖα ὁρᾶν τε, καὶ ἀκούειν. τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὅσον δὲ ἂν ἀτρεμίσῃ ὁ ἐγκέφαλος, τοσοῦτον καὶ φρονεῖ χρόνον ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου, ὑπὸ φλέγματος, καὶ χολῆς. γνώσῃ δὲ ἑκάτερα, ὧδε. οἱ μὲν γὰρ ὑπὸ φλέγματος μαινόμενοι, ἥσυχοί τε εἰσί, καὶ οὐ βοηταί, οὐδὲ θορυβώδεες. οἱ δὲ ὑπὸ χολῆς, [108] πλῆκται, καὶ κακοῦργοι, καὶ οὐκ ἠρεμαῖοι. ἢν μὲν ξυνεχῶς μαίνωνται, αὗται αἱ προφάσιές εἰσιν. ἢν δὲ δείματα, καὶ φόβοι, ὑπὸ μεταστάσιος γίνεται τοῦ ἐγκεφάλου θερμαινομένου ὑπὸ χολῆς ὁρμήσης ἐπ' αὐτὸν κατὰ τὰς φλέβας, τὰς αἱματίτιδας. ὅταν δὲ ἀπέλθῃ ἡ χολὴ πάλιν ἐς τὰς φλέβας καὶ τὸ σῶμα πέπαυται. ἀνιῆται δὲ καὶ ἀσᾶται, καὶ ἐπιλήθεται παρὰ καιρὸν, ψυχομένου τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος, καὶ ξυνισταμένου

Democritus Hippocrati S.

Ad nos venisti Hippocrates, vt tanquam insanis veratrum exhiberes, à stultis hominibus persuasus, quibus virtutis labor insania reputatur. Tum autem fortè de orbis ornatu, polorum, ac insuper de astrorum cælestium descriptione scribebamus. Cùm autem horum naturam cognouisses, quàm valde aptè essent fabricata, & quàm procul ab insania ac dementia essent posita, naturam quidem meam laudasti, illos verò amentes, immites, & insanos iudicasti. Quæ enim permutata per inane feruntur, & simulachris nos decipiunt, quæ sanè mundus esse conspiciuntur, & vicissitudine quadam sibi succedentia fabricata sunt, ea mens nostra dum naturæ veritatem indagatur, in lucem produxit. Harum rerum testes sunt libri à me conscripti. Minimè igitur Hippocrates cum huiusmodi viris, quorum mens in summo fluctuat & inconstans est, te congredi aut conuersari oportet. Nam si ab his persuasus, mihi tanquam insano veratrũ propinasses, prudentia in insaniam euasisset, artemque tuam velut dementiæ causam increpauissent. Veratrum enim sanis exhibitum, menti tenebras offundit, insanis verò multum prodesse consueuit. Existimo enim quòd si non me scribentem, sed recumbentem, aut fortè deambulantem offendisses & mecum cogitantem, modò quidem ea quæ animo agitarem implacidè ferentem, modò etiam ridentem, & me conuenientibus familiaribus mentem non adhibentem, sed stupendum in modum mente & contemplatione in rem aliquam incumbentem, ex his sanè quæ vidisses, Democritum insaniæ imaginem præseferre oculis tuis iudicasses. Medicum igitur non solùm ex aspectu, sed ex re ipsa affectus iudicare decet, & modulos vt plurimùm, & num morbus incipiat, aut in medio sit, aut in fine, discernere, & considerata temporis & ætatis differentia, ac vniuersa totius corporis natura, affectus curare. Ex his enim omnibus facilè morbum deprehendas. Tuum autem de insania scriptum ad te remisi. Vale.

De insania tractatio.

Insanienti ob humiditatem cerebri, in quo animi sunt officia, cùm humidius quàm pro natura fuerit, moueri necesse est, velut dixi in libello de Morbo Sacro. Quod cùm mouetur, neque visionem, neque auditionem quiescere, verùm alias varia tum videre, tum audire, linguamque ea quæ sigillatim viderit & audierit disserere. Eo autẽ tempore homo sapit, quo cerebrum quiescit. Cerebri verò corruptio ex pituita & bile oritur. Vtrunque hoc modo dignosces. Qui enim ex pituita insaniunt, quieti sunt, neque clamosi, neque tumultuantes. Qui verò ex bile, hi verberant, malefici sunt, neque quiescunt. Et si quidem continenter insaniant, eæ causæ sunt. Terrores verò & metus ex transmutatione fiunt, calefacto cerebro à bile, in ipsum per venas sanguine plenas irruente. Vbi verò bilis rursus in venas & corpus discessit, quiescit. Tristatur verò & æstuat, & plus quàm commodum sit obliuiscitur, dum cerebrum à pituita refrigeratur, &

præter naturam concrescit. Cùm verò de repente cerebrum à bile calefactum fuerit, sanguine in commemoratis venis ebulliente, horrenda vident insomnia, ac velut euigilato facies incenditur, oculi rubent, mensque aliquid mali agitat. Idque etiam in somno contingit. Vbi verò sanguis rursus in venas sparsus fuerit, quiescit. Libro quinto de Morbis vulgaribus quendam recensui in quo vocis defectio cõtingebat, ignoratio, crebra deliria, & morbi reuersiones. Lingua dura erat, ac nisi collueret, loqui non poterat, & plærunque valde amara. Venæ sectio solutionem attulit, aquæ potio, aqua mulsa, & veratri potiones. Hic cùm non diu superuixisset, mortuus est. Erat & alius, quem, cùm ad conuiuium procederet, si tibicinam tibia canentem audiret, timor inuadebat; interdiu verò si audiret, nihil patiebatur.

παρὰ τὸ ἔθος. ὅταν δὲ ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται ὑπὸ χολῆς κατὰ τὰς φλέβας τὰς εἰρημένας ἐπιζέσαντος τοῦ αἵματος ἐνύπνια ὁρῶσι φοβερά. καὶ ὡς ἐγρηγορότος τὸ πρόσωπον φλογιᾷ. καὶ οἱ ὀφθαλμοὶ ἐρυθραίνονται. καὶ ἡ γνώμη ἐπινοεῖ τι κακὸν ἐργάζεσθαι. ταῦτα καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὅταν δὲ τὸ αἷμα σκεδασθῇ πάλιν ἐς τὰς φλέβας, πέπαυται. [109] ἐν δὲ τῷ πέμπτῳ τῶν ἐπιδημιῶν ἱστορήσας, ὡς ἐγίνετο ἀφωνίη. ἄγνοια. παραληρήσιες συχναὶ καὶ ὑποστροφαί. ἡ δὲ γλῶσσα σκληρή. καὶ εἰ μὴ διακλύσαιτο, λαλεῖν οὐχ οἷόν τε ἦν, [110] καὶ σφόδρα πικρὴ, τὰ πολλὰ φλεβοτομίη ἔλυσεν. ὑδροποσίη μελίκρητον. ἐλλεβόρων πόσιες. οὗτος ὀλίγον ἐπιζήσας χρόνον, ἐτελεύτησεν. [111] ἄλλος ἦν ὃς ὅτε εἰς πότον ὁρμῴη φόβος τῆς αὐλητρίδος ἐλάμβανεν, εἰ ἀκούσειεν αὐλούσης. ἡμέρης δὲ ἀκούων οὐδὲν ἔπασχε.

Hippocrates Democrito S.

IN arte Medica quæ rectè fiunt, plærunque quidem hominum vulgus non admodum laudat, sæpe verò Diis attribuit. At si in aliquo repugnans natura eum qui curatur interemerit, numen prætermittens, Medicos incusat. Et ego sanè plus reprehensionis quàm honoris ex arte mihi consecutus videor. Neque enim quantumuis iam senex, ad artis Medicæ summã perueni, neque etiam ipsius inuentor Æsculapius, sed & ipse à sese in multis dissensit, velut eorum qui scripserunt libri nobis tradiderunt. Tua sanè quidem ad nos missa epistola, per veratrum medicationem reprehendebat. Accitus igitur sum Democrite, velut insanientem veratro purgaturus, cùm coniicere non possem, qualis tandem esses. Postquam verò tecum versatus, non per Iouem desipientiæ opus, sed omni prope fauore prosequendum cognoui, magnopere ingenium tuum laudaui, teque præstantissimum naturæ & mundi interpretem iudicaui, eos verò qui me acciuerunt tanquam insanos accusaui, cùm ipsi medicatione indigerent. Quandoquidem igitur casu contigit vt nos vnà conueniremus, rectè feceris si ad nos crebriores literas dederis, & à te conscripta commentaria ad nos transmiseris. Misi autem etiam ad te de veratri vsu libellum. Vale.

Ἱπποκράτης Δημοκρίτῳ εὖ πράττειν.

ΗΤρικῆς τέχνης ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐ πάνυ τάπασιν ἐπαινοῦσιν. θεοῖς δὲ πολλάκις, προσαρτῶσιν. ἢν δέ τι ἡ φύσις ἀντιπρήξασα ἀπολέσῃ τὸν θεραπευόμενον, ἰητροὺς καταμέμφονται, παρέντες τὸ θεῖον. καὶ ἔγωγε δοκέω πλείονα μεμψιμοιρίην, ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι. καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ τῆσδε εὑρετὴς ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς ἐν πολλοῖς διεφώνησε. καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἐπισταλεῖσα ἡμῖν ἐπιστολὴ, κατεμέμφετο περὶ τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν ὦ δημόκριτε ὡς μεμηνότα ἐλλεβορίσων. οὐ καταμαντευσάμενος ὅστις ποτ᾽ εἴης. ὡς δὴ ἐντυχὼν ἔγνων, οὐ μὰ Δία παραφροσύνης ἔργον, ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, κάρτα σὴν φύσιν ἐπῄνεσα. ἄριστόν τε φύσεως ἑρμηνευτὴν, καὶ κόσμου ἔκρινα. τοὺς δὲ εἰσαγαγόντας με, ἐμεμψάμην ὡς μεμηνότας. φαρμακείης γὰρ αὐτοὶ ἔχρηζον. ἐπεὶ δὴ τοίνυν τὸ αὐτόματον ἡμέας [112] εἰς τὸ αὐτὸ συνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον, καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γραφομένων ξυνταγμάτων. ἀπέσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ τοῦ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

Hippocrates De Veratri purgatione.

QVi non facilè per superiora purgantur, iis corpora copiosiore cibo & quiete ante potionem humectanda sunt. Post veratri potionem, corpora magis ad motionem quàm ad somnos adducenda. Quòd verò motio corpora turbet, id indicat nauigatio. Cùm voles vt veratrum magis ducat, corpora moueto. Veratrum carnes sanas habẽtibus periculum creat. Qui in medicamentorum potionibus non sitiunt, purgari non desinunt, priùs quàm sitiant. Ex veratro orta conuulsio lethalis. Immodicę purgationi succedens conuulsio aut singultus, malo est. In alui perturbationibus & vomitionibus sponte obortis, si qualia purgari conuenit, purgentur, tum conducit, tum facilè ferũt, alioqui contra accidit. At velut in Prænotionibus dictũ est, per superiora purgatio accommoda est, ei qui

Ἱπποκράτης Δημοκρίτῳ περὶ ἐλλεβορισμοῦ.

T[113]Οῖς μὴ ῥηϊδίως ἄνω καθαιρομένοις πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα, πλέονι τροφῇ καὶ ἀναπαύσει. ἐπὴν δὲ πίῃ ἐλλέβορον πρὸς τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν μὴ πρὸς ὕπνους. δηλοῖ δὲ ἡ ναυτιλίη. ὅτι κίνησις τὰ σώματα ταράσσει. ἐπὴν βούλῃ μᾶλλον ἄγειν ἐλλέβορον κινεῖ τὰ σώματα. ἐλλέβορος ἐπικίνδυνος τοῖς σάρκας ὑγιέας ἔχουσι. [114] ὅσοι ἐν τῇ φαρμακοποσίῃ μὴ διψῶσι, καθαιρόμενοι οὐ παύονται, πρὶν ἢ διψήσωσι. [115] σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος κακόν. [116] ἐν ταῖς ταραχαῖς τῆς κοιλίης, καὶ τοῖσι ἐμέτοις τοῖς αὐτομάτοις γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσιν. εἰ δὲ μὴ, τοὐναντίον. ὡς δὲ ἔφην ἐν τῷ προγνωστικῷ, [117] κάθαρσις εὐθετεῖ ἡ ἄνω

ἐφ᾽ ἀπυ-

ἐφ' ἀπυρέτῳ. ἀσιτίη ἢ καρδιωγμὸς, ἢ σκοτοδῖνος, ἢ στόμα ἐπιπικρούμενον καθόλου ταῖς ὑπὲρ τῶν φρενῶν ὀδύναις. [118] ἢ δὲ κάτω, ὅπου χωρὶς πυρετοῦ στρόφος, ὀσφύος ὀδύνη. γουνάτων βάρος. καταμήνια δυσεργοῦντα. ὀδύναι ἐν τοῖς ὑπὸ τὸ διάφραγμα. φυλάσσεσθαι δὲ ἐν ταῖς φαρμακοποσίαις [119] τοὺς ἀστείους τὰ σώματα. μάλιστα δὲ τοὺς μέλανας, καὶ ὑγροσάρκους. καὶ τοὺς ὑποξήρους δὲ, καὶ ψελλοὺς, καὶ τραυλούς. [120] ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νόσου, ὡς ἔφην ἐν τῷ περὶ πτισάνης, εὐθέως ἐπιχειροῦσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου, καὶ φλεγμαίνοντος [121] οὐδὲν ὠφελέουσιν. οὐδὲ γὰρ διαδίδωσιν ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιέα ξυντήκουσι. ἀσθενέος δὲ τοῦ σώματος γινομένου, τὸ νόσημα ἐπικρατεῖ, καὶ ἀνιήτως ἔχουσι. [122] ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. μὴ διδόναι δὲ ἐπὶ ἐμπύων, [123] μὴ φαρμακεύειν τοὺς ἀχρόους. τοὺς βραγχώδεας. τοὺς σπληνώδεας. τοὺς ἀφαίμους. τοὺς πνευματώδεας, καὶ ξηρὰ βήσσοντας. διψώδεας. φυσώδεας. ἐντεταμένους ὑποχόνδρια, καὶ πλευρὰς, καὶ μετάφρενα, τοὺς ἀπονεναρκωμένους, καὶ ἀμαυρὰ βλέποντας, καὶ οἷς ἦχοι τῶν ὤτων, [124] καὶ τῆς οὐρήθρας ἀκρατεῖς. μηδὲ τοὺς ἰκτερώδεας, [125] ἢ κοιλίης ἀσθενέας. [126] ἢ αἱμορρώδεας. [127] ἢ ἐν φύμασιν. ἢν δὲ φαρμακεῦσαι δοκεῖ, ἐλλεβόρῳ ἀσφαλὴς ἄνω κάθαρσις. κάτω δὲ μή. κράτιστον δὲ τούτοις [128] διαιτῆν. [129] ὡς δὲ ἔφην ἐν τῷ προρρητικῷ, μὴ φαρμακεύειν μηδὲ τοὺς ἐπανεμοῦντας μέλανα, ἀποσίτους, καὶ παραφόρους, [130] καθεύδειν μικρὰ ὀδυνώδεας. [131] ὄμμα θρασὺ κεκλιμένον ἔχοντας. ἀποιδοῦντας. σκοτώδεας. ἀχρόους, [132] μηδὲ τοὺς ἐν πυρετῷ καυματώδεας, κατακεκλασμένους. [133] ὡς δὲ ἔφην ἐν τῷ περὶ πτισάνης σησαμοειδὲς ἄνω καθαίρει. ἡ πόσις ἥμισυ δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένῳ ξυμμίσγεται δὲ καὶ τοῖς ἐλλεβόροις τὸ τρίτον μέρος τῆς πόσιος, καὶ ἧσσον πνίγει. καθαίρει δὲ καὶ τοὺς ἐν χρονίοις τεταρταίοις, καὶ τοὺς ἐν λιπυριώδει πυρετῷ χρονίους. καὶ ὧν οὐκ ἔστι δίψος, μηδὲ ἀπόκρισις. τούτοις δὲ μὴ πρότερον τῶν τριῶν ἑβδομάδων. ποτὲ δὲ καὶ πλευριτικοὺς, καὶ εἰλεώδεας. ὡς δὲ ἔφην ἐν τῷ περὶ γυναικείων, καθαίρειν καὶ ἢν αἱ μῆτραι καθάρσεως δέωνται.

Ἱπποκράτης πρὸς τὸν υἱὸν Θεσσαλόν.

Ἱστορίης δὲ μελέτω σοι ὦ παῖ. γεωμετρικῆς. καὶ ἀριθμήσιος. οὐ γὰρ μόνον σοῦ καὶ τὸν βίον εὐκλέα καὶ ἐπὶ πολλὰ χρήσιμον ἐς ἀνθρωπίνην μοίρην ἐπιτελέσει. ἀλλὰ καὶ τὴν ψυχὴν ὀξυτέρην τε καὶ τηλαυγεστέρην κατὰ τὸ ἐν ἰητρικῇ ὀνήσασθαι πάντα, ὅ, τι χρήζει. καὶ τοι ἡ μὲν τῆς γεωμετρίης ἱστορίη ἐοῦσα πολυσχήμος τε, καὶ πολυειδὴς. καὶ πάντα μετ' ἀποδείξεως περαινομένη ἔσται χρήσιμη πρὸς τε τὰς τῶν ὀστέων θέσιας καὶ ἐξαρθρήσιας. καὶ τὴν λοιπὴν τῶν μελέων τάξιν. εἰς τὸ γὰρ τούτων πολυτροπίην εὐεπιγνωστότερον. ἐμβολῆ τε ἄρθρων [134] καὶ τῇ τῶν ὀστέων τῶν συνθλωμένων ἀναστροφῇ τε, καὶ ἐκτρυπήσει, καὶ συνθέσει. καὶ ὑποζ-

sine febre cibi fastidio, aut ventriculi morsu, aut tenebricosa vertigine torquetur, aut cui os amarum est, & in summa omnibus supra septum transuersum doloribus. Per inferiora verò, vbi citra febrem tormina detinent, lumborum dolor, genuum grauitas, menses ęgrè prodeunt, & dolores sunt in partibus septo transuerso inferioribus. In medicamentorum autem potionibus, vitandi sunt qui corpore probè valent, præcipuè verò nigri & humida carne præditi, subsicci, balbi & blęsi. At qui per morbi initia inflammationes confestim per medicamēti potionem soluere nituntur, ij de distento quidem ac inflammato nihil auferunt, velut à me dictum est in libro de Ptisana. Crudus enim affectus nihil cedit, quæ verò morbo resistunt & sana sunt, tabefaciūt, imbecillo autem reddito corpore morbus superior euadit, & curari nequeunt. Veratrum autem exhibendum quibus de capite fluxio fertur, at suppuratis minimè dandum. Medicamento minimè purgandi decolores, raucedinosi, lienosi, sanguine defecti, suspiriosi, & sicca tussi vexati, siticulosi, flatulenti, quiq; præcordia distenta habent, & latera, & dorsum, qui stupore affecti hebetiùs cernunt, quibus aures sonant, quiq; vrinam minimè continent, neque qui morbo regio laborant, & aluo sunt debili, quibus sanguis erumpit, aut qui tubercula habent. Quòd si medicamento purgandum videatur, veratro per superiora securè purgato, at per inferiora minimè. His autem præstat victus rationem præscribere. Neque verò, quemadmodum in Prædictis dixi, medicamento purgandi sunt, qui nigra vomitione refundunt, cibos auersantur, delirant, quique dolore vexati parum dormiunt, qui aspectum ferocem obliquè deflexum habent, subtumidi sunt, tenebricosa vertigine vexantur, decolores, neque qui in febre æstuant & confracti sunt. Sesamoides vero (velut dixi libro de Ptisana) per superiora purgat, potum ad drachmam dimidiam, & in aceto mulso tritum. Admiscetur etiam veratris tertia potionis parte, & minùs strangulat. Diuturnas etiam quartanas purgat, & longa febre lipyria laborantes, & eos quibus neque sitis, neque excretio adest, neque tamen ante tres hebdomadas. Interdum etiam morbo laterali & voluulo laborantes. Quinetiam purgandum est, si vteri purgatione opus habeant, velut dixi libro de Morbis mulierum.

Hippocrates ad Thessalum filium.

Geometriæ & Arithmetices cognitioni studium adhibeto mi fili. Neque enim solùm vitam tuam gloriosam & ad multa in rebus humanis vtilem, verumetiam mentem acutiorem & longè splendidiorem ad fructum eorum omnium, quæ in arte Medica vsui sunt, cōsequendum reddet. Quanquam quidem Geometriæ cognitio, cùm multas & varias formas habeat, & omnia cum demōstratione ad exitum perducat, tum ad ossium positus, & articulos suis sedibus emotos, tum etiam ad reliquam membrorum compositionem vtilis futura est. Nam ad horū affectuum variam cognitionem faciliùs perueniet, tum etiam articulorum repositione, tum ossium contritorum resectione, & perforatione, & coaptatione, & substra-

ctione, reliquaque curatione victus, qui locum & os quale sit ex eo emotum cognouerit. Numerorum verò series, tum ad ambitus, tum ad eas mutationes quæ præter rationem in febribus fiunt, & ad iudicandos ægros, & ad morborum securitatem satis futura est. Præclarum enim est, id tibi in re Medica subministrari, quod intensionis ac remissionis partium, quæ ex parte inæquales sunt, facilem tibi absq; errore notitiam præbeat. Quapropter ad huius experientiæ facultatem valde contendito. Vale.

αἱρέσει. καὶ τῇ λοιπῇ θεραπείῃ χρῆσθαι, εἰδότι ὁκοῖον τε χωρίον ἐστὶ καὶ ὃ ἐκ τούτου ἐξορθούμενον ὀστέον. ἡ δὲ τῆς ἀριθμήσιος τάξις, πρός τε τὰς περιόδους, καὶ ἀλόγους τῶν πυρετῶν μεταστάσιας, καὶ τὰς κρίσιας τῶν νοσεόντων. καὶ τῆς ἐν νούσοις ἀσφαλείης[135] ἀρκέουσα ἔσται. μάλα γὰρ σεμνὸν ὑπηρεσίαν ἔχειν ἐν ἰητρικῇ τοιώδε ἥτις ἐπὶ τὰ μέρεα τῆς ἐπιτάσιος, καὶ τῆς ἀνέσιος ὅτων ἄνισα ὄντα τὴν μοῖραν εὔγνωστα παρέχεται, χωρὶς ἀμπλακίης. δεῖ δὴ κάρτα ἐς δύναμιν ἀφικνέεσθαι τῆσδε ἐμπειρίης. ἔρρωσο.

Democritus Hippocrati, De Natura humana.

OMnes artem Medicam nosse conuenit, ô Hippocrates, cùm præclara simul res sit & ad vitam cõducibilis, tum verò vel maximè eruditionis & eloquentiæ peritis. Sapientiæ enim cognitionem Medicinæ sororem & familiarem esse duco. Sapientia siquidem animi perturbationes exhaurit. At Medicina corporum morbos pellit. Mens autem increscit cùm adest sanitas, cuius curam habere eos qui rectè sentiũt præclarum est. Vbi verò corporis habitus dolet, mens ad virtutis exercitationem nullam adhibet diligentiam. Præsens enim morbus animum vehementer hebetat, & intelligentiam in affectus cognationem secum adducit. Humanæ verò naturæ descriptio hãc habet speculationem. Cerebrum quidem in summa corporis parte præsidio locatum est, ad securitatem sibi concreditum, intra membranas neruosas collocatum, supra quod duplicia ossa ad necessitatem adaptata, dominum mentis custodem cerebrum cœperint. Pilorum concinna ratio cutem exornat. Oculorum verò cernendi vis intra multas tunicas insistentibus humoribus velut in cauo delitescens, sub fronte ad moderationem collocata, cernendi causa est. Pupilla sincera palpebræ extremam oram (ἴτροιν dicunt) ad opportunitatis custodiam sustinet. Nares duplices odoratus arbitræ, oculorum viciniam dirimũt. Labra verò os molli suo contactu circumplexa, verborum sensum & exactam articulationem regunt & efficiunt. Mentum autem in extremitatem desinit, & testudinis in modum connexum, dentium clauis coaptatur. At aures opifex ad sermones excipiendos aperuit, in quas cùm sermo subit, certus temeritatis minister euadit. Lingua loquentiæ mater, animi nuncia, gustus custodiæ præfecta, tutis dentium sepimentis munita est. Guttur ac gula iuxta sese coaptata viciniam habent. Illud enim in spiritus viam, hæc verò in ventriculi profundum liberaliter propellendo alimentum demittit. Cor regium locum obtinens, coni formam habens, aduersus omnes insultus thoracem induit. Crebræ autem spiritus cauernæ, aëri peruiæ, spiritum vocis causam pariunt. At hepar quod sanguinem suggerit, & in alimentum transmutat, cum fibris plerunque vena caua alluitur, cupiditatisq; causa est. Bilis pallida in hepate manens, vbi in corpore humano redundat, ipsum corrumpit, eiusque noxius & inutilis est incola. Splen ex aduerso iacet, nul-

Δημόκριτος Ἱπποκράτει περὶ φύσιος ἀνθρώπου.

Χ[136]Ρὴ πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι ὦ Ἱππόκρατες. καλὸν γὰρ ἅμα καὶ ξυμφέρον ἐς τὸν βίον. τουτέων δὲ μάλιστα, τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους. ἰσοίην σοφίης γὰρ δοκέω ἰητρικὴν ἀδελφὴν καὶ ξύνοικον. σοφίη μὲν γὰρ ψυχὴν ἀναρύεται παθῶν. ἰητρικὴ δὲ, νόσους σωμάτων ἀφαιρέεται. αὔξεται δὲ νόος, παρεούσης ὑγείης. ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ φρονέοντας. ἕξεως δὲ σωματικῆς ἀλγεούσης, οὐδὲ προθυμίην ἔχει νόος, ἐς μελέτην ἀρετῆς. νοῦσος γὰρ παρεοῦσα, δεινῶς ψυχὴν ἀμαυροῖ, φρόνησιν ἐς συμπαθείην ἄγουσα. φύσεως δὲ ἀνθρωπίνης ὑπογραφὴ, θεωρίην ἔχει τοιώδε. ὁ μὲν ἐγκέφαλος, φρουρέει τὴν ἄκρην τοῦ σώματος, ἀσφάλειαν ἐμπεπιστευμένος. ὑμέσι νευρώδεσι συνεισκατοικέων. ὑπὲρ ὃν, ὀστέων διπλῶν φύσιες ἀναγκαῖαι ἐπήρμοσται, δεσπότην φύλακα διανοίης, καλύπτουσιν ἐγκέφαλον. τριχῶν δ' εὐκοσμίη, χρῶτα κοσμῶσα. τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν, ἐν πολυχίτωνι φωλεῦον ὑγρῷ, ἐνστασίαις ὑπὸ μετώπων,[137] κέκλεισιν ἵδρυται. θεωρίης δὲ αἴτιον. ἀκριβὴς δὲ κόρη,[138] φύλακα παρσὸν ἀκρεμέης ὑπομένει. διπλοῖ δὲ ῥώθωνες, ὀσφρήσιος ἐπιγνώμονες, διορίζουσιν ὀφθαλμῶν γειτνίην. μαλακὴ δὲ χειλέων ἀφὴ στόματι περιπλυσσομένη, ῥημάτων αἴσθησιν, ἀκριβέα τε διάρθρωσιν παρέσχηκε κυβερνωμένη. γένειον δὲ, ἀκροτελὲς καὶ χελώνειον γόμφοις συνηρμοσμένον. ἐνδοχεῖα δὲ μύθων ὦτα, δημιουργὸς ἀνέῳγεν.[139] οἷς ἐπεὰν ὁ θυμὸς, οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίνεται. λαλιῆς μήτηρ γλῶσσα, ψυχῆς ἄγγελος, πυλωρὸν ἔχουσα τὴν γεῦσιν,[140] ὀχυροῖς ὀδόντων θριγκοῖσι πεφρούρηται. βρόγχος δὲ καὶ φάρυγξ, ἡρμοσμένοι ἀλλήλοις, γειτνιῶσιν. ὁ μὲν γὰρ[141] ἐς κέλευθον πνεύματος. ὁ δὲ, εἰς βυθὸν κοιλίης, τροφὴν προπέμπει. λάβεσιν ὠθεύμενος. κωνοειδὴς δὲ, καρδίη βασιλὶς, ὀργῆς τιθηνὸς, πρὸς πᾶσαν ἐπιβουλὴν[142] ἐνδέδυκε θώρηκα. θαμινὰ δὲ πνευμάτων σήραγγες ἠέρι διοδεύμεναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσι. ὃ δὲ χορηγὸν αἵματος, καὶ μεταβάλλον εἰς τροφὴν, σὺν λοβοῖς πολλάκις κοίλη[143] περίπλοος ἐοῦσα, ἧπαρ ἐπιθυμίης αἴτιον.[144] χλωρὴ δὲ χολὴ πρὸς ἥπατι μένουσα καὶ διαφθορὴ σώματος ἀνθρωπίου ὑπερβλύσασα γίνεται. βλαβερῶς δὲ σώματος ἀνθρωπίνου καὶ ἀνωφελὴς ἔνοικος.[145] σπλὴν ἀπέναντι οὐδὲν πρῆγμα μη-

δὲν αἰτούμενος. μέση δὲ τουτέων, χορηγεῖ παντοδεκτέα κοιλίη· κατασκευάζεται διοικέουσα τὴν πέψιν. [146] ἔνοχα δὲ κοιλίης συνθέσιος δημιουργίην συνδονεόμενα, εἰλεῖται περὶ κοιλίην ἔντερα. λήψεως καὶ ἀποκρίσεως αἴτια. δίδυμοι δὲ νεφροὶ, [147] ἰσχίοισιν ἐνιδρυσμένοι, καὶ ἠμφιεσμένοι δημῷ, οὔρων ἐκκρίσεως οὐκ ἀλλότριοι πεφύκασι. κύκλος δὲ ἁπάσης κοιλίης, ὁ καλούμενος ἐπίπλοος, γαστέρα πᾶσαν ἐμπεριείληφε, μόνου σπληνὸς ἄτερ. ἑξῆς νευρώδης κύστις ἰσχίῳ στόμα ἐνιδρυσμένη συμπεπλεγμένων ἀγγείων, οὔρων ἐκκρίσεως αἰτίη γίνεται. ἡ δὲ γειτνιῶσα ταύτῃ μήτηρ βρεφέων, ἡ δεινὸν ἄλγος τῇ ἐν γυναιξὶ μόχθων μυρίων παραιτίη, [148] μήτηρ πεφώλευκεν. ἡ πυλωρὸς μυχοῖς ἰσχίων βεβῶσα σὰρξ, σφίγγεται νεύροισιν. ἐκ δὲ πλήθεος ἐκχέουσα γαστρὸς φύσιος, [149] ἐκ τόκου προνοίης. ἐκ δὲ σώματος κρεμαστοὶ ἐκτὸς, οἰκίην νέμονται ἔκγονοι κύστιαι ὄρχιες, πουλυχίτωνες ἐόντες. εὔνοον ἥβη ἀπὸ φλεβέων τε καὶ νεύρων πλέγμα, οὔρων ἔκχυσιν ποιεύμενον, συνουσίης ὑπουργὸν φύσιος ὑποδεδημιούργηται. ὄρεξιν ἥβης πυκαζόμενον. σκέλη δὲ καὶ βραχίονες, καὶ τὰ προσηρτημένα τουτέοις ἄκρα, διηκονίης πᾶσαν ἀρχὴν συνηθροισμένα ἔχοντα, νεύρων τε ἀσφαλῆ λειτουργίην τελέουσιν. ἡ δὲ ἀσώματος ἐν μυχοῖς φύσις, ἐξέτευξε πολυτάμορφα σπλάγχνων γένη. ἃ δὴ θάνατος ἐπιστὰς, ὠκέως ἔπαυσε λειτουργίης.

lum negotium exhibens. Horum medius ventriculus omnia ſuſcipiens, chorum ducit & recumbit, coctionem moderans. Inteſtina verò quæ ventris compoſitione continentur, conſtituta vti cum eo agitentur, per ventrem conuoluuntur, eorum quæ aſſumuntur & excernuntur cauſæ. At gemini renes coxis inſidentes, & adipe circundati, ab vrinarum excretione non alieni, natura ſunt comparati. Omentum vocatū toti ventri dominatur, eumque ſolo liene excepto complectitur. Veſica deinceps neruoſa, coxæ ore per complicata vaſa inſidens, vrinarum excretionis cauſa exiſtit. Huic vicina infantium mater, grauis calamitas, ſexcentarum ærumnarum mulieri author vterus deliteſcit. Cuius oſculo caro præficitur, quæ ex imis coxarum receſſibus erumpens, neruis adſtringitur, ex plenitudine naturæ ventris effundens, ex partus prouidentia. Extra corpus penſiles, domum incolunt, ad generationem conditi teſtes, multiplices tunicas habentes. Pubes autem ex venis & neruis ad beneuolentiam contexta, vrinarum effuſionem facit, ad veneris miniſterium à natura condita, pubertatis appetentiam coarctat. Crura & brachia hiſque annexa extrema, totum officij principium coaceruatum habent, totamque neruorum adminiſtrationem perficiunt. Incorporea autem in imis receſſibus natura, viſcerum omne genus fabricauit, quibus ſanè mors inſiſtens, ea celeriter adminiſtratione ſoluit.

Ἱπποκράτους ὑγιεινὸν πρὸς Δημήτριον βασιλέα.

ΙΠποκράτης Κῷος βασιλεῖ Δημητρίῳ χαίρειν. ἡμεῖς καὶ πρότερον σπουδάζοντες ὦ βασιλεῦ περὶ τῆς ἀνθρωπίνης φύσεως ἐν κεφαλαίῳ θεωρῆσαι τὰ μέρη, ταῦτα συγγράψαντες καθάπερ ἠξίωσας, ἀπεστείλαμεν. νῦν δὲ περὶ ὧν δεῖ μάλιστα σπουδάζειν τοὺς ἔμφρονας, ἡμεῖς τὰ μὲν, καὶ παρὰ τῶν προτέρων παρειληφότες, τὰ δὲ, καὶ νῦν αὐτοὶ προσεξευρίσκοντες, γεγράφαμέν σοι. οἷς σὺ τῶν προτέρων ἀρρωστημάτων σημείοις γινομένοις ἐπακολουθῶν, καὶ χρώμενος πλειστάκις, ἄνουσος ἂν εἴης τὸν ἅπαντα χρόνον. ἔστι δὲ, δύο γένη ἀρρωστιῶν ἁπάντων ζώων. ἡ μὲν, κατὰ γένος. ἡ δὲ, κατὰ πάθος, ἀνόμοιαι. τὰς δὲ ἐπιθυμίας τὰς κατὰ τὴν τροφὴν, ἐκ τῶν ὑπεναντίων ὄψει. [150] ξηραινομένων τῶν κενουμένων. τὰ δὲ πλήρη πληρούντων δὲ κενά. τὰς δὲ νούσους ἁπάσας, ἐξ ὑπεναντίων ὄψει καθεστηκυίας καὶ νούσους ὑπὸ νούσων γινομένας. [151] ὑπὸ σπασμῶν πυρετὸς ἐπιγινόμενος, ἵστησι τὸ νόσημα. [152] κεφαλῆς πολλῆς δὲ περιωδυνίας αἷμα κατὰ τὰ ὦτα ῥαγὲν, ἢ κατὰ τὰς ῥῖνας. [153] σπασμοὶ πᾶσι τοῖς μελαγχολικοῖς ἐπιγινόμενοι, παύουσι τὰς μελαγχολίας. καὶ καθόλου μέν ἐστι καὶ ῥίζα τῶν ἀνθρωπίνων νοσημάτων, ἡ κεφαλὴ, καὶ τὰ ἀρρωστήματα τὰ μέγιστα, ἐκ ταύτης παραγίνεται. [154] ἐπικειμένην γὰρ αὐτὴν παντὶ σώματι, ὥσπερ σικύαν τῶν εἰσφερομένων ἁπάντων συμβαίνει αὐτὴν ἕλκειν περιττώματα. καὶ τοὺς λεπτομερέας χυμούς. δεῖ δὲ προσέχειν τὸν νοῦν, ἰδίως τὴν αὐτὸν παρασκευάσαν-

Hippocratis ſalubre conſilium ad Regem Demetrium.

HIppocrates Cous Regi Demetrio, S. Nos cùm antea, ô Rex, operam dederimus vt naturæ humanæ partes in ſumma cōſideraremus, eas ad te conſcriptas velut iuſſiſti miſimus. Nunc verò ea quibus ſummo ſtudio prudentes incumbere debent, partim quidem à maioribus excepta, partim verò etiam nūc per nos inuenta ad te ſcripſimus. Quæ ſi priorum morborum ſignis contingentibus aſſecutus fueris, iiſque ſæpiùs vſus fueris, nullum per omne vitæ tempus morbum experieris. Duo autem ſunt ægrotantium genera, quæ vniuerſa animantia affligunt, vnum quidem genere, alterum verò affectu inter ſe diſſimilia. At alimentorum cupiditates ex repugnantibus deprehendes, dum quæ vacuantur eorum quæ plena ſunt, & quæ implent vacuorum indicationem faciūt. Morbos autem omnes ex ſubcontrariis conflatos deprehendes, & morbos ex morbis oriundos. Conuulſionibus ſuccedens febris morbum compeſcit. Capitis magnos dolores, ſanguis per aures aut nares copioſè prorumpens. Conuulſiones melancholicis omnibus ſuccedentes, melancholias ſedant. Et in ſumma quidem humanorum morborum radix caput eſt, ex eoque maximæ ægrotationes adueniunt. Cùm enim toti corpori incumbat, eorum omnium quæ ingeruntur reliquias & tenues humores non ſecus ac cucurbitulam attrahere contingit. Intendere autem animum oportet, vt ipſi in has partes præpara-

tus peculiariter viuas, & adhibita diligentia tam benè constituto ordine omnia apud te fiant, vt nullum ingruentis morbi incrementum accipiat, & neque rerum venerearum, neque diuersorum eduliorum intemperantia, neq; somnis maximè noxiis minimè exercitato corpore vtaris, sed signa quæ in corpore fiunt secutus, cuiusque corporis occasionem conserues, vt eo qui ingruit morbo euitato, earum medelarum vsu quas præscribo, sine vllo morbo vitium transfigas.

τα εἰς ταῦτα τὰ μέρη. ὅπως μηδεμίαν αὔξησιν λαμβάνοντα, τὰ προσπίπτοντα τῶν ἀρρωστημάτων, διά τε τῆς ἐπιμελείας καὶ τῆς εὐταξίης τῆς παρὰ σοὶ γινομένης. καὶ μήτε ταῖς τῶν ἀφροδισίων ἀκρασίαις, μήτε ταῖς τῶν διαφόρων ἐδεσμάτων,[155] μήτε τοῖς ὕπνοις τοῖς ὑπερκολασικοῖς ἀγυμνάστου ὄντος τοῦ σώματος χρώμενος, ἀλλ᾽ ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γινομένοις ἐν τῷ σώματι, διατηρεῖν τὸν καιρὸν ἑκάστου σώματος. ὅπως αὖ φυλαξάμενος τὸ ἀρρώστημα τὸ μέλλον ἐπιφέρεσθαι, ταῖς θεραπείαις, αἷς αὖ ἐγὼ γράφω, χρώμενος, διατελῇς ἄνουσος ἐών.

Atheniensium Senatusconsultum.

SEnatus Populusq; Atheniẽsium sic censuit. Quandoquidem Hippocrates Cous Medicus, ab Æsculapio oriundus, summam beneuolentiam in seruandis Græcis ostẽdit, cùm peste à Barbaris in Græciam peruadente, demissis per loca suis discipulis medelas indicauit, quibus qui vterentur instantem pestem securè effugere possent, quoque modo Medicina Græcis tradita, eos laborantes tutò seruaret. Quin & exactè a se scripta de re Medica in publicum emisit, cùm multos esse cuperet Medicos, qui seruare possent. Persarum etiam Rege ipsum ad honores suis optimatibus æquales, & munera quæ ipse Hippocrates optáret accersente, Barbari pollicitationes, quòd hostis & communis Græcorum inimicus esset, contempsit. Vt igitur constet populum Atheniensem, Grecis semper vtiliter consuluisse, vtque dignam pro meritis Hippocrati gratiam referat, decreuit populus, vt is magnis mysteriis non secus ac Hercules Iouis filius publicè initiaretur, & corona aurea mille aureorum coronaretur, coronam ipsam Quinquatribus magnis in gymnico certamine præcone proclamante. Et omnibus Coorum liberis liceat, non secus ac Atheniensium, Athenis pubertatem agere, quòd eorum patria eiusmodi virum procrearit. Hippocrates verò vt ciuitatis iure & victu in Prytaneo toto vitæ tempore donetur.

Δόγμα ἀθηναίων.

ΕΔοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν ἀθηναίων. ἐπειδὴ Ἱπποκράτης Κῶος ἰατρὸς ὑπάρχων καὶ γεγονὼς ἀπὸ ἀσκληπιοῦ, μεγάλην εὔνοιαν μετὰ σωτηρίας ἐνδέδεικται τοῖς ἕλλησι. ὅτε καὶ λοιμοῦ ἰόντος ἀπὸ τῶν βαρβάρων ἐπὶ τὴν ἑλλάδα, κατὰ τόπους ἀποστείλας τοὺς ἑαυτοῦ μαθητὰς παρήγγελε τίσι χρὴ θεραπείαις χρωμένοις ἀσφαλῶς διαφυλάξασθαι τὸν ἐπιόντα λοιμόν. ὅπως τε ἰατρικὴ δοθεῖσα τοῖς ἕλλησι ἀσφαλῶς σώζει τοὺς κάμνοντας αὐτῶν. ἐξέδωκε δὲ καὶ συγγράψας ἀκριβῶς τὰ περὶ τῆς ἰατρικῆς τέχνης, πολλοὺς βουλόμενος τοὺς σώζοντας ὑπάρχειν ἰατρούς. τοῦ τε περσῶν βασιλέως μεταπεμπομένου αὐτὸν ἐπὶ τιμαῖς ταῖς κατ᾽ αὐτὸν ἴσαις καὶ δώροις ἐφ᾽ οἷς αὖ αὐτὸς Ἱπποκράτης αἱρεῖται, ὑπερεῖδε τὰς ὑποσχέσεις τοῦ βαρβάρου, ὅτι πολέμιος, καὶ κοινὸς ἐχθρὸς ὑπῆρχε τοῖς ἕλλησι. ὅπως οὖν ὁ δῆμος ἀθηναίων φαίνηται προαιρούμενος τὰ χρήσιμα διὰ παντὸς ὑπὲρ τῶν ἑλλήνων, καὶ ἵνα χάριν ἀποδῷ πρέπουσαν Ἱπποκράτει ὑπὲρ τῶν εὐεργετημάτων, δεδόχθαι τῷ δήμῳ μυῆσαι αὐτὸν τὰ μυστήρια τὰ μεγάλα δημοσίᾳ καθάπερ ἡρακλέα τὸν διός. καὶ στεφανῶσαι αὐτὸν στεφάνῳ χρυσῷ ἀπὸ χρυσῶν χιλίων. ἀναγορεῦσαί τε τὸν στέφανον παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ ἀγῶνι, τῷ γυμνικῷ. καὶ ἐξεῖναι πᾶσι κώων παισὶν ἐφηβεύειν ἐν ἀθήναις[156] καθάπερ παισὶν ἀθηναίων. ἐπειδήπερ ἡ πατρὶς αὐτῶν ἄνδρα τοιοῦτον ἐγέννησεν. εἶναι δὲ Ἱπποκράτει καὶ πολιτείαν, καὶ σίτησιν ἐν πρυτανείῳ διὰ βίου.

Hippocratis oratio ad aram.

VOs alloquor ô multi & multarum vrbium incolæ, summaque dignitate constituti, communi nomine Thessali. Mortales omnes duræ fati necessitati sunt obnoxij, quæ quod velit per vim extorquere potest. Quam etiam ob causam nunc cum prole mea fronde coronatus ad Mineruæ aram supplicanti similis sedeam, quis sim his qui me non norunt enarrare oportet. Hippocrates Medicus Cous, ô viri, graui & honesta de causa meipsum & liberos vestrę multitudini cognoscendos trado. Vos etiam mihi sanè familiares estis, inter quos (re vera) plurimos, & in vestris vrbibus, vt paucis expediam, noti sumus. Nomen verò meum vlteriùs quàm forma processit. Id autem causæ ex arte mea, quæ sanitatem & vitam tuetur, fuisse videtur, quòd non solum hominibus qui ve-

[157] Ἐπιβώμιος.

ΩΠολλοὶ καὶ πολλῶν πολίων οἰκηταί. ἐν ἀξίῃ μεγάλῃ γεγονότες. κοινὸν οὔνομα Θεσσαλοί, πᾶσιν ἀνθρώποισι πικρὴ ἀνάγκη τὰ μεμοιραμένα φέρειν.[158] καρτερεῖ γὰρ βιάζεσθαι ἃ βούληται.[159] ἢ καὶ νῦν ἐγὼ εἴκων ξὺν ἐμῇ γενεᾷ θαλλοὺς στέψας. ἐπ᾽ ἀθηναίης βωμοῦ ἱκέτης ἵδρυμαι, τίς ἐὼν χρὴ λέγειν τοῖς ἀγνοέουσιν. Ἱπποκράτης ὦ ἄνδρες ὁ ἰητρὸς ὁμοίως[160] οὐ διὰ σεμνῆς καὶ καλῆς αἰτίης, ἐμὲ ἑωυτὸν καὶ παῖδας, ὑμῖν ξυνίστημι. γινώσκεσθαι ὦ πλῆθος. καὶ γὰρ δὴ ὦ ἄνδρες οἰκεῖοι ἐν οἷς ὡς εἰπεῖν ἀληθὲς πολλοῖσιν ὑμέων καὶ πολίων ὑμετέρων γινωσκόμεθα ὡς τύπῳ εἰπεῖν. οὔνομα δ᾽ ἰδέης καὶ προσωτέρω κεχώρηκε.[161] δοκέει δὲ τοῦτο ἐκ τέχνης ἐμῆς ὑγιείης τε καὶ ζωῆς, αἴτιον ἀνθρώποισιν. οὐ μόνον τοῖσι τὴν ὑμε-

τέρην

τέρην οἰκέουσιν, ἀλλὰ καὶ πολλοῖσιν Ἑλλήνων, ἐπεὶ ὑμέων γινώσκομαι. ἤδη δὲ ὅτι ἐγὼ ὑπέμεινα τὸ τηλικοῦτον πρῆγμα, ἔργῳ πρῆξαι ἐρέω. Ἀθηναῖοι, ὦ ἄνδρες Θεσσαλοὶ, κακῶς ἔχουσι χρεώμενοι μητρόπολιν ἡμετέρην Κῶ.[162] ἐν δούλης μέρει διαθέντες), τὰ ἐλεύθερα διὰ προγόνων κτήσιος, ἰδιόκτητα ποιεύμενοι. οὔτε ξυγγενείην αἰδεσθέντες, ἥ ἐστιν αὐτέοις ἀπὸ Ἀπόλλωνός τε, καὶ Ἡρακλέους, ἥτις ἐς Αἴνιόν τε καὶ Σούνιον, τοὺς κείνων παῖδας ἱκνέεται.[163] οὔθ' Ἡρακλέους εὐεργεσιῶν εἵνεκεν περιηὸς νόον βαλόμενοι, ἃς ὁ κοινὸς ὑμῖν τε, καὶ ἡμῖν ὀρθῶς ποιέων θεὸς, ἐς ἐκείνους κατέθετο. ὑμεῖς τε ἀλλὰ πρὸς Διὸς ἱκεσίου καὶ θεῶν ὁμογνίων ἐξέλθετε. ἀμύνατε. ἐλευθερώσατε τῆς ἰδίης φιλοτιμίης μηδὲν ἐλλείποντες.

stram regionem incolunt, verumetiam multis Græcis vobis finitimis notus sum. Cur autem tantum negotium peragendum susceperim, iam referam. Atheniensibus malè vertat (viri Thessali) qui Metropolim nostram Co in seruitutem redigentes, libertatem à maioribus acceptam, priuato sibi iure vendicant, neque cognationem reuereri, quę illis est cum Apolline & Hercule, & ad Ænium & Sunium eorum liberos peruenit, neque illis in mentem venit Herculis beneficiorum, quæ vobis & nobis communis ille Deus & bene volens, in illos contulit. At vos per Iouem supplicum curam gerentem, & per penates Deos foras prodite, & vestræ dignitatis memores in libertatem asserite.

[164] Πρεσβευτικὸς Θεσσαλοῦ Ἱπποκράτους υἱοῦ.

Προσήκειν ἡγέομαι ὦ ἄνδρες Ἀθηναῖοι, τὸν καθιστάμενον εἰς ὑμέας, καὶ μὴ γινωσκόμενον πάντη τῷ πλήθει, πρῶτον δηλῶσαι μὲν, ὅς τις, καὶ ὅθεν ἐστί. μετὰ δὲ ταῦτα τῶν ἄλλων λόγων ἅπτεσθαι. ἐμοὶ μὲν πατὴρ, Ἱπποκράτης. ὃν ὑμεῖς γινώσκετε ἐν ἰητρικῇ ἡλίκην δύναμιν ἔχει. οὔνομα δὲ Θεσσαλός. γινώσκομαι δὲ κἀγὼ, οὐκ ἐν ὑστέροισιν ὑμέων, οὐδ' ὀλίγοις. πατρὶς δέ μοι, Κῶς. ἣν ὅπως ὑμῖν οἰκείη ἐστὶν ἐξ ἀρχαίων, ἕτεροι ἐροῦσιν, οἵτινες ἱστορίην ἐξηγήσασθαι δυνατώτεροι. ἦλθον δὲ πεμφθεὶς ὑπὸ τοῦ πατρὸς. τέσσαρας ἔχων εὐεργεσίας εἰπεῖν παρ' ἡμέων εἰς ὑμᾶς γεγενημένας. τὴν μέν τινα παλαιὰν ἐπὶ τῶν προγόνων, κοινὴν ἐς ἅπαντας τοὺς Ἀμφικτύονας, ὧν ὑμέες οὐκ ἐλαχίστη μοῖρα. τὴν δὲ ἑτέρην ἔτι μείζω ταύτης,[165] καὶ διϊκνουμένην ἐς Ἑλλήνων τοὺς πλείστους. καὶ αὗται μὲν φανήσονται τῆς πόλιος, καὶ τῶν προγόνων τῶν ἐμῶν ἐοῦσαι. ἡ δὲ τρίτη, τοῦ πατρὸς ἰδίη. καὶ τηλικαύτη, ὅσην εἷς ἀνὴρ οὐθεὶς ὑμῖν τε καὶ πολλοῖς Ἑλλήνων κατέθετο. ἡ δ' ὑστάτη τῶν τεσσάρων, κοινὴ τοῦ πατρὸς καὶ ἐμή. καὶ οὐκ ἔτι ἐς πλείονας, ἀλλ' εἰς ὑμᾶς αὐτοὺς διϊκνεομένη. ἣ πρὸς μὲν τὰς προτέρας εὐεργεσίας, μικρὴ ἂν φανείη. πρὸς δὲ ἑτέρων χάριτας μετρεομένη, μεγάλη. αἱ μὲν δὴ εὐεργεσίαι τοιαῦται, οὕτως ἔχουσιν ὡς ἔφην εἶναι), ὡς συνελόντι εἰπεῖν. δεῖ δὲ μὴ μοῦνον φάναι, ἀλλὰ καὶ ἀποδεῖξαι ὡς εἰσὶν ἀληθέες. ἀρχὴν οὖν τοῦ λόγου,[166] τὴν ἀρχὴν τῶν ὑπουργιῶν ποιήσομαι. τὰ δὲ ἀρχαιότατα πρῶτα λέξω,[167] ἐν οἷς τάχ' ἄν με καταλάβοιτε μακρότερα καὶ[168] μυθωδέστερα εἰπεῖν, ποθεῖ δὲ πᾶς ἀρχαῖος λέγεσθαι. ἦν γάρ ὁ χρόνος ὅτ' ἦν Κρισαίων ἔθνος. ᾤκεον μὲν περὶ τὸ Πυθικὸν ἱερόν. γῆν δ' εἶχον ἣ νῦν τῷ Ἀπόλλωνι καθιέρωται. καλέεται δὲ τὸ μὲν Κρισαῖον πεδίον ὃ Λοκροὶ παροικέουσι,[169] καὶ ὃ Μέλαινα προσέσφι. τὸ δὲ Κίρφιον ὄρος, ὃ Φωκέες παράκεινται. οὗτοι δὲ οἱ Κρισαῖοι γενόμενοι τότε πολλοὶ καὶ ἰσχυροὶ καὶ πλούσιοι, τουτέοις τοῖς ἀγαθοῖς, ἐπὶ κακῷ ἐχρήσαντο. ἐξυβρίσαντες γὰρ πολλὰ δεινὰ καὶ παράνομα πρήγματα εἰργάσαντο εἰς τὸν θεὸν ἀσεβοῦντες. Δελφοὺς καταδουλούμενοι. προσοίκους λῃϊζόμενοι,[170] γεωργοὺς συλέοντες. γυναῖ-

Thessali Hippocratis filij Oratio.

Consentaneum esse arbitror, viri Athenienses, vt is qui apud vos dicturus venit, cùm multitudini notus non sit, primùm quidem qui nam & vnde sit demonstret, deinde verò reliquam orationem persequatur. Pater certè mihi est Hippocrates, quem quantum habeat in arte Medica facultatem, optimè nostis, nomen verò Thessalus, qui & inter vos non in postremis, nec in paucis sum cognitus. Patria mea Cos est, quæ qua ratione vobis ab antiquo coniuncta sit, cæteri dicent qui in enarranda historia plus valent. Huc autem veni à patre missus, quatuor in vos à nobis collata beneficia commemoraturus. Vnum quidem vetus quoddam, maiorum nostrorum memoria, in omnes Amphictyones commune, quorum vos non minima pars estis. Alterum verò hoc aliquanto maius, quod etiam ad plurimos Græcos permanauit. Et hæc quidem ab vrbe nostra & maioribus nostris profecta deprehendentur. At tertium patris est proprium, & tantum quantum nemo vnquam hominum, tum apud vos, tum apud multos Græcos posuit. Quartum & vltimum mihi cum patre commune est, quod nec iam in multos, sed in vos ipsos redundauit. Quod quanquam cum prioribus beneficiis comparatum, paruum videri queat, ad aliorum tamen beneficia collatum, magnum est. Atque hæc quidem beneficia, vt paucis comprehēdam, quemadmodum dixi, ita se habent. Vera autem esse non solùm dicere, sed etiam demonstrare conuenit. Orationis igitur nostræ exordium ab officiis nostris sumam, ac primùm antiquissima referam, in quibus longiora fortasse & fabulosiora narrare videbor. Quiuis autem vetus dici desiderat. Olim enim Crisæa gens fuit, & circa Pythicum templum habitabat, terram autem quæ nunc Apollini dicata est, incolebat. Crisęus verò campus vocatur, quem Locri accolunt, & in quo sunt Melæna. Cirphius autem mons, cui Phocenses adiacent. Cirsæi verò cùm numerosi essent, potentes & diuites, his bonis insolentiùs abutentes, multa grauia & iniusta perpetrarunt, in Deum etiam impiè se gerentes, Delphos subiugantes, vicinos diripientes, colonos deprædantes, vxores & li-

beros abducentes, & in eorum corpora flagitium committentes. Ex quibus ira commoti Amphictyones, immisso in eorum agros exercitu, iisque prælio superatis, regionem deuastarunt, & vrbes expugnarunt. Vbi qui multa & nefaria perpetrarunt, in miserabiles calamitates inciderunt, neque minores pœnas quàm aliis inflixerant, persoluerunt. Ex quibus fœlicissimi fuerunt, qui hostium manibus perierunt. Deinde qui bello capti sunt, quique ad aliam regionem & vrbes transmissi sunt. Neque enim sua mala ob oculos habuerunt. At qui captiui illic remanserunt, infœlicissimi fuerunt, qui suam regionē incolentes, cum vxoribus & liberis agros & vrbes igne conflagrantes aspexerunt. His autem adhuc peiùs degebant, qui intra mœnia perdurabant, cùm commemorata mala partim quidem videbant, partim verò sciscitando resciscebant, veris maiora audientes, (sic enim contingere solet) & sanè suæ saluti diffidebant. Erat autem illis vrbs prope hunc locum maxima, vbi nunc equestre certamen celebratur, in quam mœnibus extructis aliarum vrbium exules receperunt, inutilibus verò eiectis necessaria comportarunt, & de sustinendo bello cogitabant, sperantes neque hostili manu, neque longa temporis obsidione vrbem capi posse. Amphictyones verò tum reliqua destruxerunt, tum præsidio vrbi imposito, & ad obsidionem comparato, reliquum exercitum per vrbes dimiserunt. Successu verò temporis, cùm pestis castra inuasisset, militibus ægrotantibus, quibusdam etiam morientibus, aliis quoque propter morbum præsidium deserentibus, Amphictyones turbati sunt, & varia inter se consultabant. Sic autem in rebus communibus quodammodo fieri solet. Demum verò morbum indignè ferentes, & bellum desperantes, rem Deo commiserunt, & quid agendum foret interrogauerūt. At ille bellum gerere iussit, & victoriam pollicitus, si Cô peterent, ceruique filium cum auro in subsidium adducerent, idque festinabundi, priùs quàm Crisæi in adyto tripodem diriperent, alioqui vrbem capi non posse. Quibus auditis Co profecti oraculum renunciauerunt. Hærentibus autem Cois & vaticinium ignorantibus, surrexit ex Asclepiadarum genere quidam ex maioribus nostris Medicus inter Græcos eius temporis procul omni dubio præstantissimus, ei nomen erat Nebrus, qui dixit oraculum præcipere vt ad se venirent. Siquidē Deus vobis consuluit, vt Co profecti, Cerui filium in subsidium adduceretis. Hæc equidem est Cos, ceruorum fœtus Nebri appellantur, Nebrus autem mihi nomen est. Quodnam verò subsidium malè habenti exercitui potius fuerit quàm Medicus? Et certè, rectè consentaneum nō existimo, vt eos qui in tantum Græcos diuitiis superant, Deus Co venire iusserit, vti aureos nummos peterent. Verùm oraculum istud in familiam meam venit. Chrysus enim mihi vocatur filiorum meorum natu minimus. Hic autem omninò & specie, & animi virtute (si patri dicere licet) omnibus ciuibus præcellit. Ego igitur, nisi quid aliud vobis videatur, naui actuaria quinquaginta remorum,

κας δὲ καὶ παῖδας ἄγειν ἐόντες. καὶ εἰς τὰ σώματα ἐξυβρίζοντες αὐτῶν· ὧν ἀμφικτύονες, ὀργισθέντες καὶ στράτευμα ἐς τὴν γῆν ἐμβαλόντες αὐτέων, [171] καὶ μάχῃ νικήσαντες, τὴν χώρην ἐδῄουν, καὶ τὰς πόλιας ἐπόρθουν. ἔνθα πολλὰ καὶ ἀνόσια ποιήσαντες, σχετλίως ἀπέτισαν, καὶ οὐ μείω, ὧν ἔπρηξαν τίνοντες. μακάριοι δὲ ἦσαν αὐτέων οἱ ἐν χερσὶ τελευτήσαντες, δεύτεροι δὲ οἱ δορυάλωτοι γενόμενοι, οἵτε ἐς ἑτέρην χώρην καὶ πόλιας ἐπεραιώθησαν. τὰ γὰρ σφέτερα κακὰ, οὐκ εἶχον ἐν ὀφθαλμοῖς. οἱ δὲ αὐτοῦ μείναντες τῶν αἰχμαλώτων, ἀτυχέστατοι ἦσαν, [172] ὅσοι οἰκίζοντο ἐν χώρῃ τῇ ἑωυτῶν, ξὺν γυναιξὶ καὶ τέκνοις, ἀγρούς τε καὶ ἄστεα πυρὶ παραδιδόμενα ἐθεώρεον. ἔτι δὲ τουτέων κάκιον διῆγον οἱ ἐν τοῖς τείχεσι διαρκέοντες, ὁκότε τῶν εἰρημένων κακῶν, ἃ μὲν ἔβλεπον. ἃ δὲ ἐπυνθάνοντο, πλέον ἀκούοντες τῶν ἀληθέων. οὕτω γάρ που ἔθος γίνεσθαι. καὶ δὴ κακὰς ἐλπίδας σωτηρίης εἶχον. ἦν δέ σφι πόλις ἐγγὺς τούτου τοῦ τόπου μεγίστη, ὅκου νῦν ὁ ἱππικὸς ἀγὼν τίθεται. ἧς τὰ τείχη ἐπεσκευάζοντο, καὶ τοὺς ἐκ τῶν ἄλλων πόλεων διαφεύγοντας ἐσεδέχοντο. τὰ δὲ ἀχρεῖα ἐξέβαλον, καὶ τὰ ἀναγκαῖα ἐσεκομίζοντο καὶ διενοοῦντο πολεμέειν, ἐλπίσαντες μήτε ἐφ' ὧν μάχῃ τὴν πόλιν αἱρεθῆναι, μήτε κατὰ μῆκος χρόνου. οἱ δὲ ἀμφικτύονες τὰ ἄλλα τε καθεῖλον, καὶ ἐπὶ ταύτῃ τῇ πόλει φρούριον ποιησάμενοι. καὶ ἐς πολιορκίην σκευάσαντες τὸ ἄλλο στράτευμα, κατὰ πόλιας ἀφῆκαν. προϊόντος δὲ τοῦ χρόνου, [173] καὶ λιμοῦ ἐς τὸ στρατόπεδον ἐμπεσόντος, καὶ τῶν στρατιωτῶν νοσεόντων. τινῶν δὲ καὶ ἀποθνησκόντων, τῶν δὲ καὶ ἐκλιπόντων τὸ φρούριον διὰ τὴν νοῦσον, οἱ ἀμφικτύονες ἐταράσσοντο. καὶ ἄλλοι ἄλλα ἐβουλεύοντο. φιλεῖ δὲ τὰ κοινὰ οὕτω πως γίνεσθαι. τέλος δὲ ἀγανακτέοντες τῷ πάθει, [174] καὶ ἀπογνωσιμαχήσαντες, τῷ θεῷ ἐπέτρεψαν. καὶ ἤρεοντο ὅ,τι χρὴ ποιέειν. ὁ δὲ ἐκέλευσε πολεμέειν, καὶ ὑπισχνεῖτο κρατήσειν, ἢν ἐς Κῶ ἐλθόντες ἐλάφου παῖδα, [175] ἐς ἐπικουρίην ἀγάγωνται. ξὺν χρυσῷ σπεύσαντες, ὡς μὴ πρότερον οἱ κρισαῖοι ἐν τῷ ἀδύτῳ τὸν τρίποδα συλήσωσιν. εἰ δὲ μὴ, τὴν πόλιν οὐχ ἁλώσεσθαι. οἱ δὲ ταῦτα ἀκούσαντες, καὶ ἐλθόντες ἐς Κῶ, τὰ μαντευθέντα ἀπήγγελλον. ἀπορεόντων δὲ τῶν κώων, καὶ ἀγνοεύντων τὸ ἀπομάντευμα, ἀνέστη ἀνὴρ, γένος μὲν Ἀσκληπιάδης. πρόγονος δὲ ἡμέτερος. ἰητρὸς δὲ ἑλλήνων κράτιστος ὁμολογεύμενος, τῶν τότε. ὄνομα οἱ ἦν νεβρὸς, ὅς τις ὀνομάζειν ἔφη τὸ θέσφατον ἥκειν πρὸς ἑωυτόν. εἴπερ ὁ θεὸς οὕτως παρῄνεσεν ὑμῖν, ἐλθόντας ἐς Κῶ, ἐλάφου παῖδα ἐς ἐπικουρίην ἀγαγεῖν. κῶς μὲν γὰρ αὕτη. τὰ δὲ ἐλάφων ἔκγονα, νεβροὶ καλέονται. νεβρὸς δέ μοι οὔνομα. ἐπικουρίη δὲ ἂν ἄλλη τίς προτέρα γένοιτο στρατοπέδῳ νοσέοντι, ἰητροῦ, καὶ μὴν τότε εὐθὺ ἐχόμενον οὐ δοκέω, ὅτι τοὺς τοσοῦτον ἑλλήνων ὄλβῳ ὑπερέχοντας ἐς Κῶ προελθόντας ἔταξεν ὁ θεὸς, νόμισμα χρυσοῦν αἰτέειν. ἀλλὰ τοῦτο τὸ θέσφατον, ἐς τὴν ἐμὴν οἰκίην ἔρχεται. χρυσὸς γάρ μοι κεκλέαται ἀρρένων παίδων ὁ νεώτατος. [176] ἔστι δὲ πάντη καὶ ἰδέην, καὶ ἐς ψυχὴν, ἀρετὴν, ὥσπερ θεὸς λέγει, διὰ πάντων τῶν πολιτῶν. ἐγὼ μὲν οὖν εἰ μὴ ὑμῖν ἄλλο δοκέῃ αὐτός τε εἶμι, καὶ τὸν παῖδα ἄξω, [177] πεντηκόντορον πληρώσας τοῖς ἐμοῖς τελίσμασι,

τελίσμασιν, ὑπηρεσίας τε ἰητρικὰς καὶ πολεμικὰς, ἵνα εἰς ἀμφότερα βοηθῶμεν. ὁ μὲν εἶπε, τοῖς δὲ ἔδοξεν. [178] οἱ δὲ ἀπεστάλησαν. συνανέβησε δὲ ὁ νεβρὸς οὗτος. καὶ καλυδώνιον ἄνδρα, παρ' ἑωυτέῳ τρεφόμενον. ὑπὲρ οὗ τὸ αὐτίκα ὁ λόγος δηλώσει, ὅταν ἡ χρῆσις ἔλθῃ. ὅτε δὴ οὖν ἀφίκοντο οὗτοι οἱ ἄνδρες οὗ τὸ στρατόπεδον ἐπεπέλαστο, ὁ θεὸς ἔχαιρεν. οἵ τε γὰρ θάνατοι τῶν στρατιωτῶν ἔληξαν: καὶ θείῃ τύχῃ ἵππου τοῦ εὐρυλόχου, ὃς ἡγεῖτο τοῦ πολέμου, θεσσαλὸς ἐὼν, καὶ ἄνωθεν ἐξ ἡρακλειδῶν, κρούσαντος τὸν σωλῆνα τῇ ὁπλῇ δι' οὗ τὸ ὕδωρ ἤγετο ἐς τὸ τεῖχος, [179] ὁκότε διακονέεσθαι ἤθελεν, νεβρὸς φαρμάκοισιν ἐμίηνε τὸ ὕδωρ. ἔνθεν αἱ κοιλίαι τῶν κρισαίων ἐφθάρησαν. καὶ μεγάλα δή τι ξυνεβάλετο, πρὸς τὸ ἀγῶναι τὴν πόλιν. καὶ ἐντεῦθεν αἱ γνῶμαι ἐπήρθησαν τῶν πολιορκεόντων, ὡς τοῦ θεοῦ ἐπικουρέοντος ἤδη σαφῶς. προσβολὰς δὲ ποιευμένων, καὶ ἆθλα προτεθέντων τοῖς πρώτοις ἐπὶ τὸ τεῖχος, [180] ἀναβησάσιν, ὁ ἀγὼν ἦν ὁ καρτερώτατος. καὶ ἡ πόλις ἡρέθη. ἀνέβη γὰρ πρῶτος ἐπὶ τὸ τεῖχος χρυσὸς, καὶ κατέλαβε τὸν πύργον. ξυνείπετο δὲ αὐτέῳ ἐκ ποδὸς ξυναγωνιζόμενος, ὁ ἀνὴρ ὁ καλυδώνιος, περὶ οὗ προέλεξα. ὁ μὲν χρυσὸς δόρατι πληγεὶς, ἔπεσε, κατ' ἄκρα ἐκ τοῦ πύργου, ὑπὸ μερμοδέω, τοῦ λύκου δὲ ἀδελφεοῦ, [181] ὃς ἀπέθανεν λευσθεὶς, ὅτε ἦλθεν εἰς τὸ ἄδυτον τὸν τρίποδα συλήσων. οἱ δὴ οὖν πόλιν οὕτως εἷλον. ἥ, τε τοῦ νεβροῦ ἐπικουρείη, σὺν χρυσῷ ὀρθῶς ἀπήντησεν, καὶ κατὰ τὰ ἰατρικὰ καὶ κατὰ τὰ πολεμικά. ὅ, τε θεὸς ἠλήθευσε. καὶ ἃ ὑπέσχετο ἐποίησεν, ἐφ' οἷς οἱ ἀμφικτύονες, τῷ μὲν ἀπόλλωνι ναὸν ἀνέθεσαν, τὸν νῦν ἐόντα ἐν δελφοῖς. ἀγῶνά τε γυμνικὸν καὶ ἱππικὸν πρότερον οὐ τιθέντες, νῦν τιθέασι. [182] τήν τε τῶν κρισαίων χώρην ἅπασαν καθιερώσαντο, δόντι ἃ δέδωκε διδόντες, καθ' ὅ, τι ἔχρησε. τόν τε τοῦ νεβροῦ παῖδα χρυσὸν ἔθαψαν ἐν τῷ ἱπποδρόμῳ. [183] καὶ ξυνέταξαν δημοσίῃ δελφοὺς ἐναγίζειν. ἀσκληπιάδαις δὲ τοῖς ἐν Κῷ ἐδόθη νεβροῦ χάριν, προμήθεια πρὸς μαντείην. καθάπερ τοῖσιν ἱερομνήμοσι. καλυδωνίοις δὲ ἀπ' ἐκείνου τοῦ ἀνδρὸς καὶ ἐκείνης τῆς ὑπουργίης, καὶ νῦν ἐν δελφοῖς προμαντείη, καὶ διασίτησις δέδοται. ἀλλ' ἐπάνειμι ἐπὶ τὰ ἡμέτερα. ὅτι γὰρ ἀληθέα λέγω τοῦ πατρὸς, καὶ ἐμοῦ ἐπελθόντων ἀμφικτύονες ἀνενεώσαντο ταῦτα, καὶ ἀπέδωσαν, καὶ ἐν στήλῃ ἀναγράψαντες ἐν δελφοῖς ἀνέθεσαν, καὶ τούτου μὲν μοι τοῦ λόγου τέλος. ἐνταῦθα καθαρῶς δείκνυσιν τοὺς ἡμετέρους προγόνους ὑμέων εὐεργέτας. τοῦτον δὲ καθέμενος, ἄλλον αἱρήσομαι περὶ τῶν αὐτῶν, οὐ τὸν αὐτόν. ὅτε γὰρ βασιλεὺς ὁ μέγας ξὺν πέρσῃσι, καὶ τοῖς ἄλλοις βαρβάροις ἐστράτευσεν ἐπὶ τοὺς μὴ διδόντας ὕδωρ, καὶ γῆν ἑλλήνων, ἡ πατρὶς ἡ ἡμετέρη εἵλετο μᾶλλον πανδημεὶ ἀπολέσθαι, ὡς μὴ καθ' ὑμέων τε, καὶ τῶν ταῦτα ὑμῖν γινωσκόντων ὅπλα πολέμια λάβῃ, [184] καὶ ἐν νηυσὶ στρατείην ἀποστείλῃ, ἀλλ' ἀνένευσε καλόν τι καὶ ἄξιον πατέρων μεγαλοφρονευμένη, οἳ λέγονται γηγενέες τε εἶναι, καὶ ἡρακλεῖδαι. ἔδοξεν οὖν σφιν τεσσάρων ἐόντων τειχέων ἐν τῇ νήσῳ, πάντ' ἐκλείπειν καὶ ἐς τὰ ὄρεα καταφυγοῦσιν ἀντέχεσθαι σωτηρίης. ὅθεν δή τι

meis ſumptibus auxiliis medicis & bellicis instructa, & ipſe veniam, & filium meum deducam, vt vtroque modo vobis auxilium feramus. Quæ cùm dixiſſet, his qui miſſi fuerant placuerunt. Hic verò Nebrus Calydonium apud ſe educatum, cuius ſtatim, cùm res tulerit, mentio fiet, ſecum nauem conſcendere iuſſit. Cùm igitur ad locũ caſtrorum hi perueniſſent, Deus lætatus eſt. Nam & militum mortes ceſſarunt, cúmque diuina quadam fortuna equus Eurylochi, qui belli dux & Theſſalus erat, & originem ex Heraclide altiùs repetebat, in puluere volutatus, canalem ex quo aqua in vrbem deducebatur, vngula percuſſiſſet, Nebrus eam venenis refecit, ex quo Criſęorum ventres in exitium adducti ſunt, idque multùm certè ad capiendam vrbem contulit. Indeque velut Deo apertè auxilium ferente, obſidentium animi ſublati ſunt. Cùm autem impetum in muros facerent, & his qui in mœnia conſcendiſſent præmia proponerent, validiſſimum certamen fuit, vrbsque capta eſt. Chryſus enim primus in murum conſcendit, & turrim occupauit. Eum autem è veſtigio ſequebatur ſimul dimicans vir ille Calydonius, de quo ante dixi. Chryſus quidem ex ſumma turri decidit, haſta percuſſus à Mermode Lyci fratre, qui cùm tripodem direpturus in adytum veniſſet, lapidibus obrutus periit. Sic igitur vrbem ceperunt, Nebríque auxilium cum Chryſo, tum in Medicis, tum in bellicis rebus bene reſpondit, Deúſque verax fuit, & quæ promiſerat præſtitit. Quibus de cauſis Amphictyones Apollini templum quod nunc Delphis eſt dicarunt, certamenque Gymnicum & equeſtre, quod nunquam antea, nunc conſtituerunt, totámque Criſæorum regionem conſecrarunt, ea qui dederat ob editum oraculum reddentes, Chryſumq; Nebri filium in circo equeſtri ſepelierunt, & ſtatuerunt vt ei Delphi publicè parentarent. Aſclepiadis verò in Co in Nebri gratiam vaticinandi prudentia conceſſa eſt, quemadmodum iis qui ſacrorum rituum memoriæ præfecti ſunt. Calydoniis autem ob illius viri & officij meritum, etiam nunc apud Delphos primæ vaticinandi partes & victus publicus conceduntur. Verùm ad noſtra redeo, quódque vera refero inde patet, quòd cùm pater & ego acceſſiſſemus, Amphictyones hæc renouarunt & confirmarunt, Delphíſque columnæ inſcripta legenda propoſuerunt. Atque huius quidem orationis exitus liquidò oſtendit maiores noſtros de vobis eſſe bene meritos. Ea verò dimiſſa, aliam de iiſdem, non tamen eandem aſſumam. Cùm enim Magnus ille Rex cum Perſis & barbaris, in Gręcos qui eum aqua & terra arcerent, exercitum duceret, patria noſtra maluit cum toto populo perire, vt ne in vos & eos qui vobiſcum ſentirent arma ſumeret & expeditionem naualem mitteret, ſed excelſo animo renuit honeſtum quid & maioribus ſuis dignum ſentiens, qui terra editi & Heraclidæ dicuntur. Ipſis igitur placuit, vt quatuor quæ erant in inſula omnibus relictis vrbibus, in montes confugerent, & ſalutem viribus omnibus retinerent. Ex quo ſanè quid

non mali obtigit, regione deuastata, liberis corporibus in seruitutem abductis, & hostili iure interfectis, vrbeq; & cæteris præsidiis ac templis in cinerē redactis. Quinetiam Artemisię Lygdamis filiæ pro patrum victoria, permissum erat omnia quæ reliqua erant asportare. At enim à Diis (vt res docuit) derelicti non sumus. Sed immanibus exortis tempestatibus naues omnes in periculum adductæ sunt, pleræq; etiā perierunt, & in eius exercitum crebra fulmina deciderunt, insula nostra rarò fulmine appetita. Feruntur etiā Heroum spectra mulieri esse visa, quibus omnibus perterrita, atrocibus cœptis post acerbam confessionem destitit, quę quòd dictu acerba sint, etiam à me dimittantur. Hoc verò loco maioribus etiam meis quæ sint illis valde propria, neq; falsa reddam, Coos nunquam aduersus vos, neque Lacedæmonios, neq; alios Græcos sponte arma sumpsisse, quamuis multi qui simul insulas & Asiam incolunt, bello cum Barbaris, nulla vi coacti, coniuncti essent. Tunc enim vrbi præerant Cadmus & Hippolochus, qui re vera ex nostris sunt maioribus. Nam Cadmus qui Senatum etiam regebat, ex matris meæ maioribus est. Hippolochus verò ex Asclepiadum familia, à Nebro qui Crisæos simul euertit, quartus est. Nos autem Asclepiadæ ex virili stirpe sumus. Proinde præclarū hoc maiorū nostrorū facimus amplecti vos decet. Nunc autē ad Cadmum redeo. Hic certè ornamenti Græciæ adeò studiosus fuit, vt cùm regio Artemisiæ obsidione soluta esset, vt relicta isthic vxore & familia, cum iis qui eadem sentiebant, in Siciliam profectus sit, vti Gelonem eiusq; fratres ab amicitia cum Barbaris contra Græcos contrahenda diuerteret, multáque alia præclara facinora perpetrauit, quæ verbis exaggerare tempestiuum nō est. Ac certè quidem hæc & eiusmodi sunt publica nostrorum in vos & reliquos Gręcos officia, vt me dicendi facultas deficiat. Iam verò eo deuenio vt Hippocratis patris mei beneficium vobis in mentem reducam, quod cum recenseo, verum me dicere sic cōperietis. Cùm pestis ex Barbarorum regione, quæ supra Illyrios & Pæonas sita est, decurreret, cúmque malum ad hanc regionem peruenisset, istarum nationum Reges, pro rei Medicæ fama, quæ re vera vires suas quocúmque extenderat, ad patrem meum in Thessaliam mittunt, qui illic sanè, vt priùs, etiam nunc domum habet, ipsum vt auxilium ferret accersentes. Neque aurum solùm & argentum, reliquásque opes se missuros receperunt, verumetiam si succurreret, quæcunque vellet reportaturum. Ille verò percontatus quænam apud eos peculiares agitationes contingerent, & æstus, ventos, & aëris perturbationes, reliquáque quæ corporum habitus ex præsenti statu agitare queunt. Quæ certè omnia edoctus, eos redire iussit, responso dato se non posse ad illorum regionem proficisci. Quàm citissimè autem potuit, ipsos quidem Thessalos admonere constituit, quibusnam modis ab ingruente malo sibi cauerent, & conscriptam medelam, per vrbes proposuit.

κακὸν οὐκ ἀπεκύησε, χώρης ληϊζομένης, καὶ σωμάτων ἐλευθέρων ἀνδραποδιζομένων, καὶ κτεινομένων ἐχθρῶν νόμῳ, τῆς τε πόλιος, καὶ τῶν ἄλλων ἐρυμάτων, καὶ ἱερῶν[185] καταιθαλουμένων. ἔτι δὲ καὶ τῇ θυγατρὶ τοῦ Λυγδάμιος Ἀρτεμισίῃ κατὰ πατέρων νίκης δοθέντων[186] ἐκσαγηνεῦσαι πάντα ὅσα λοιπὰ ἦν. ἀλλὰ γὰρ ὡς ἔοικε θεοῖς οὐκ ἠμελεύμεθα. χειμώνων δὲ γενομένων ἐξαισίων, αἵ τε νῆες τῆς Ἀρτεμισίης ἐκινδύνευσαν ἅπασαι ἀπολέσθαι. πολλαὶ δὲ ἀπώλοντο. ἔς τε τὸ στράτευμα αὐτέης πολλοὶ κεραυνοὶ ἐνέπεσον, ἀσυνήθεός τι τῆς νήσου κεραυνουμένης. λέγεται δὲ καὶ φάσματα ἡρώων τῇ γυναικὶ ὀφθῆναι. ἃ δὴ πάντα φοβηθεῖσα,[187] ἀπέστη ἔργων δυσχερέων, ὁμολογίην πικρὴν ποιησαμένη. καὶ λίην πικρὴν λέγεσθαι. ὥστε ἀφείσθω. ἀποδώσω δὲ καὶ ἐνταῦθα προγόνοις τοῖς ἐμοῖς κυριώτατα οὐ ψευδέα, τοῦ μήτ᾽ ἐφ᾽ ὑμέας, μήτ᾽ ἐπὶ Λακεδαιμονίους,[188] ἑτέρους ἄλλους Ἑλλήνων, κώοις ἑκούσια ὅπλα λαβεῖν. καίπερ πολλῶν τῶν ὁμοῦ νήσους τε καὶ Ἀσίην οἰκεόντων συνταξαμένων τοῖς βαρβάροις τοῦ πολέμου οὐ βίῃ. οἱ γὰρ προεστῶτες τότε τῆς πόλεως ἦσαν, Κάδμος τε, καὶ Ἱππόλοχος. ἐπ᾽ ἀληθείης δὲ κεῖται προγόνοις ἐμοῖς εἶναι, τόν τε Κάδμον, καὶ τὸν Ἱππόλοχον. ὁ μὲν γὰρ Κάδμος, ὃς καὶ τὴν βουλὴν αὐτὴν ἤρτυσεν, ἔστι τῆς ἐμῆς μητρός. ὁ δ᾽ Ἱππόλοχος ἐξ Ἀσκληπιαδέων τέταρτος ἀπὸ Νέβρου τοῦ Κρισαίους συγκαθελόντος. ἡμεῖς δ᾽ Ἀσκληπιάδαι κατ᾽ ἀνδρογλύφαι. ὥστε καὶ τοῦτο τὸ καλὸν τῶν ἡμετέρων προγόνων προσελέσθαι. ἐπάνειμι δ᾽ ἐπὶ τὸν Κάδμον. οὗτος γὰρ δὴ ὁ ἀνὴρ οὕτως ἔσπευδε τὰ τῶν Ἑλλήνων καλὰ, ὥστε ὁκότε ἔληξεν ἡ χώρη πολιορκεομένη ὑπὸ Ἀρτεμισίης, αὐτὸς καταλιπὼν τὴν γυναῖκα καὶ γενεὴν, ᾤχετο ξὺν τοῖς τὰ αὐτὰ αἱρεομένοις ἐπὶ Σικελίης, ὅπως Γέλωνα καὶ τοὺς ἀδελφοὺς κωλύσῃ φιλίην ξυνθέσθαι κατὰ Ἑλλήνων πρὸς τοὺς βαρβάρους. διεπρήξατο δὲ καὶ ἄλλα πολλὰ καλὰ ἔργα, ἃ μηκύνειν οὐ πρόσκαιρον. αἱ μὲν δὴ δημόσιαι καὶ ἡμέων προγόνων ὑπουργίαι ἐς ὑμέας καὶ ἐπὶ ἄλλους Ἕλληνας, αὗται καὶ τοιαῦται. καὶ γὰρ ἐκλείπει ἡ δύναμις τοῦ λόγου. ἔρχομαι δ᾽ ἤδη οὐκ εἰδόσιν, εὐεργεσίην Ἱπποκράτεος πατρὸς ἐμέο[189] προσσέχεσθαι. λέγων δ᾽ αὖ ἀληθεύοιμι οὕτως. ὁκότε λοιμοῦ ῥέοντος διὰ τῆς βαρβάρου, ἣ ὑπέρκειται Ἰλλυριῶν,[190] καὶ Παιόνων. ὁκότε δὲ ἐπὶ ταύτην τὴν χώρην ἧκε τὸ κακὸν, οἱ τούτων τῶν ἐθνέων βασιλῆες, κατὰ δόξαν ἰητρικὴν, ἡ ἀληθὴς ἐοῦσα, πανταχόθεν ἴσχυεν ἔρχεσθαι, καὶ κατὰ πατρὸς τοῦ ἐμέο, πέμπουσιν ἐπὶ Θεσσαλίης. ἐκεῖ γὰρ δὴ ὁ ἐμὸς πατὴρ καὶ πρότερον καὶ νῦν οἴκησιν εἶχε, καλέοντες αὐτὸν ἐς ἐπικουρίην χρυσοῦ τε καὶ ἀργύρου καὶ ἄλλων κτεάνων.[191] οὐ μόνον ἔφασαν πέμψειν ἔχειν, ἀλλὰ καὶ ἀποίσεσθαι ὁκόσα αὐτὸς ἐθέλῃ ἐπαμύναντα. ὁ δὲ ἐρώτησιν ποιησάμενος ὁκοῖαί τινες ἐν μέρει κινήσιες γίνονται.[192] καὶ τά τε καύματα καὶ ἀνέμους καὶ ἀχλύας, καὶ τἄλλα ἃ πέφυκε τὰς ἕξιας κινεῖν παρὰ τὸ καθεστηκός.[193] ὁκότε δὴ πάντων μαθήσιας ἀνείλετο,[194] τοὺς μὲν χωρεῖν ἐκέλευσεν ὀπίσω, ἀποφηνάμενος[195] μὴ οἷός τε εἶναι ἐς χώρην τὴν ἐκείνων ἰέναι. ὅκως δ᾽ εἶχε ταχέως,[196] αὐτὸς μὲν Θεσσαλοῖς ἤρξατο παραγγέλλειν, ὁκοίοις χρὴ τρόποις κακοῦ τοῦ προσιόντος εὐλάβειαν ποιέεσθαι. καὶ ξυγγράφων θεραπείην ἐξέθηκε περὶ τὰς πόλιας.

ἐμὲ δὲ ἐπὶ μακεδονίης ἐξαπέστειλε. βασιλεῦσι γὰρ ἡρακλειδέων, οἳ ἐκεῖ κατέχουσι, πατρικὴ ξενίη ὑπῆρχεν ἡμῖν. κἀγὼ μὲν ᾔειν ἵνα με ὁ πατὴρ ἐκέλευσεν, ἀπὸ θεσσαλίας, ἀρήξων τοῖς ἐκεῖ. συνετέτακτο δέ μοι ξυμβαλεῖν ἐς πόλιν τὴν ὑμετέρην. ἀδελφεὸν δὲ τὸν ἐμὸν δράκοντα ἐκ παγασέων ὁρμηθέντα, πλοῦν ποιέεσθαι ἐφ' ἑλλησπόντου ἐκέλευσε. παραπλησίην δοὺς ὑποθήκην, ᾗ αὐτὸς ἐχρήσατο. οὐ γὰρ πάντες τόποι τὰ αὐτὰ φέρουσι βοηθήματα. διὰ τὸ μὴ πάντα τὰ περιέχοντα ἐξ ἀέρος, ὅμοια εἶναι. πολύβιον δὲ τὸν τὴν θυγατέρα ἔχοντα, ἐμὴν δὲ ἀδελφεὴν, καὶ ἄλλους τῶν μαθητέων, διέπεμπεν ἐς ἑτέρας ἑτέρων καὶ πρὸς ἀγοράς καὶ ὁδοὺς [197] προσβοηθήσοντας. ὅπως ὅτι πλείστοις ἐπαρήξαι. ὡς δὲ δὴ τὰ κατὰ θεσσαλίην ἤνυσατο, ἐπορεύετο τοῖς ἐχομένοις ἔθνεσι βοηθέων. ἐπὶ πύλας δὲ ἐλθὼν, δωριεῦσι [198] καὶ τοῖς ἄλλοις ὁμοῦ φωκέων ἐπήρκεσε. καὶ ὁκότε δὴ ἐς δελφοὺς ἀφίκετο, ὑπὲρ ἑλλήνων ἱκεσίην ἔθετο τῷ θεῷ. καὶ θύσας ἤνυε τὴν ἐπὶ βοιωτῶν. τοῖς δ' ἐκεῖ [199] ἐπαμύνας ἀνάλογως, ἐν τῇ ὑμετέρῃ ἧκε. καὶ ἱκανὰ ἃ νῦν ἐγὼ ἐπαγορεύω τὰ ὑμῖν σωτήρια ἐκ θυμοῦ πάντως εἶπε. δοκέω δ' ὑμῶν ὅτι ἀληθεύω, πολλοὺς γινώσκειν. οὐ γὰρ πάλαι. ἀλλ' ἔτος ἐστὶ τοῦτο ἔνατον, ἐξ οὗ διελήλυθα, καὶ ἐπὶ πελοπόννησον ἐστελλόμην. καὶ τοῖς ἐκείνην οἰκέουσι βοηθήσων. πάντοθεν δ' ἡμῖν καὶ λόγῳ καὶ ἔργῳ ἀξίη τιμὴ ἀπήντα, ὥστε μὴ μεταμελέεσθαι ὅτι οὐκ ἠλλαξάμεθα χρηματισμοῦ τοῦ ἐξ ἰλλυριῶν, καὶ παιόνων. τὰ δὲ ἐς τὰς ἄλλας πόλιας τὰ παρ' ὑμέων δοθέντα μεγάλα ἦν. ἥτε γὰρ πολιτείη ἡ ὑμετέρη ὑπερῆγε τὰς ἑτέρων. αἱ γὰρ ἀθῆναι ὑψηλοτέρην τιν' τῶν ἄλλων πολίων ἐς δόξαν. καὶ ὁ ἐν τῷ ὑμετέρῳ θεάτρῳ χρύσεος στέφανος ἐπιτεθεὶς, ζήλου πρὸς τὸ ἄκρον ἦγεν. ἀλλὰ καὶ τοῦτο τὸ καλὸν ὑπερβάλλεσθε. μυήσαντες τὰ δήμητρος καὶ κόρης μυστήρια καὶ ὄργια, καὶ τὸν πατέρα καὶ ἐμὲ δημοσίᾳ. [200] τρεῖς μὲν αὗται μοι δὴ δύναντι ἐξελκύειν τε τοῖς λόγοις, καὶ κοινὴν προσέχεσθαι, πόλιός τε καὶ προγόνων, καὶ πατρὸς τοῦ ἐμέο χάριτας ξὺν πολλοῖς ἑλλήνων. τετάρτην δ' ἀναλήψομαι λέγειν ὑπουργίην. ἣν ὡς προεθέμην εἰς ὑμᾶς ἐγὼ καὶ ὁ πατὴρ ὁ ἐμὸς κατεθέμεθα. ὅτε γὰρ ἀλκιβιάδην ἐξέπεμπεν ἐπὶ σικελίης, πολλῇ μὲν δυνάμει, οὐχ οὕτω δὲ πολλῇ ὡς θαυμαστῇ, [201] εἰ γὰρ ὡς ἔργα λόγου, ἐν ἐκκλησίῃ ὑπὲρ ἰητροῦ προσπεσόντος ὃν δέοι ἀκολουθεῖν τῷ στρατεύματι, παρελθὼν ὁ πατὴρ ὑπεδέχετο ἐμὲ ἐπὶ τὰ ὑμέτερα σώματα δώσειν, τοῖς ἰδίοις δαπανήμασι κατεσκευασμένον, καὶ ἄτερ μισθῶν αἰτήσιος ἕως ἂν ὁ στόλος ἀποδημῇ. ἐν ἐλάσσονι τιθέμενος τὸ λυσιτελὲς ἀξιόχρεως ἐὼν, τῆς ὑμέων χρείης ἐσομένης. ἐγὼ γὰρ οὐχ ὅπως ἂν τὰ ὑπάρχοντα κατεδαπάνων. ὁ ἐποίεον ὑμῖν ὑπουργέων. ἀλλὰ καὶ ἐν ἄλλοισι μεγάλοισιν ἔργοισιν ἐπεπάγμην. καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσεσθαι. προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱῷ καὶ ἐν γῇ ὀθνείῃ σαλεύειν καὶ κατὰ θάλασσαν καὶ κατὰ κινδύνους πολεμικούς. καὶ κατὰ ἀρρωστίας. αἳ τοῖς ἐν πλανώδεσι βίοις εἰθισμέναι εἰσὶ μᾶλλον προσγίνεσθαι,

Me autem in Macedoniã misit. Cum Regibus enim Heraclidarum, qui illic regnum obtinent, nobis paterni officij familiaritas intercedit. Et ego quidem ex Thessalia quò me pater ire iussit discessi, auxilium illis laturus. Mihi verò constitutum erat, vt ad vestram vrbem accederem. Draconem autẽ fratrem meum ex Pagasis profectum, Hellespontum nauigare iussit, consimili præceptione instructum quam ipse dederat. Neque enim loca omnia eadem ferunt auxilia, quòd ex aëre ambiente similia non sint omnia. At Polybium cui filiam suam sororem meam locauerat, & reliquos discipulos, ad diuersas vrbes misit, vt ad fora & compita profecti quamplurimis subuenirent. Rebus autem in Thessalia confectis, ad vicinas nationes, vt illis auxilio esset, se conferebat. In Pylas verò profectus, Doriensibus & reliquis simul Phocẽsibus auxilium suppeditauit. Cumque Delphos peruenisset, pro Græcis Deo supplicauit, & sacrificio peracto, ad Bœotos se contulit, iisque simili modo suppetias ferens, ad vos profectus, plurima quæ ad salutem satis essent, quæque ego nunc adiicio penitus ex animo dixit. Quæ autem dico vera esse, multos ex vobis nosse arbitror. Neque enim ita pridem id contigit, sed nonus hic annus agitur, ex quo in Peloponnesum missus profectus sum, iis qui eam incolunt auxilium allaturus. Nobis autem vndique & verbis, & re, dignus honor obueniebat, adeò vt minime nos pœniteat, cum Illyriorum aut Pæonum lucro non commutasse. At quæ à vobis sunt concessa, ad reliquas vrbes collata, magna sunt. Vestra enim respublica reliquis præstat. Athenæ enim ad gloriam nescio quid reliquis vrbibus sublimius habent. Quinetiam corona illa aurea in theatro vestro imposita, ad summum gloriæ culmen ipsum perduxit. Sed & bonum illud cumulastis, dum patrem meque publicè Cereris & Proserpinæ mysteriis ac sacris initiastis. Atque hæc quidem tria sunt tum vrbis, tum maiorũ nostrorum, & patris mei in vos cum multis Græcis beneficia, quę quantum licuit verbis velut fune euoluto extensa, vobis obtendere tentaui. Quartum verò beneficium oratione mea repetam, quod velut proposui, in vos ego paterque meus collocauimus. Cùm enim Alcibiadem vrbs in Siciliam cum multis copiis mitteret, neque tamen tam multis quàm admirandis, siquidem facta spectentur, cumque in concione sermo de Medico incidisset, quem exercitum sequi oporteret, in mediũ progressus pater meus, me quoad classis abesset, suis sumptibus instructũ, citra vllã mercedem, ad curanda vestra corpora daturum recepit, parui suam vtilitatem existimans, quòd certò sciret id vobis vsui fore. Ego enim non tantùm dum vobis inseruio facultates meas insumpsi, verùm etiam aliis magnis operibus pręfectus eram. Idque eorum quæ dicturus sum est minimum. Maluit enim pater in me filio & in terra aliena fluctuare, & maritima ac bellica, morborúmque pericula experiri, quæ iis qui errabundam vitam degunt magis incumbere solent,

quàm iis qui certam vitæ rationem sequuntur. Nouerat enim gratiam gratia remetiri, & non veluti re aliqua empta, & ex manu in manum semel tradita, discedere. Et hæc quidem præstitit. Ego autē cùm illius sim filius, vt vobis auxilium ferrem nihil diligentiæ neque artis prætermisi, meque si quando occasio tulisset vobiscum periculis obieci, neque ad hæc ambo præstanda aut morbus, aut labor, aut maris & hostilis manus metus deterruit. Cuius rei testimonium non ab aliis quibusdam, sed à vobis ipsis petendum est. Quare si quis contradicere velit, confestim surgat, sed me mentiri non existimo. Hæc autem per triennium præstiti, corona verò aurea donatus, & longè honorificentiùs acceptus, domum ad nuptias redij, vt & artis & generis nostri successores relinquerem. Et hæc quidem à ciuitate, maioribus nostris, & patre, à meque, in vos profecta sunt. Dictum etiam est quibus commodis affecti à vobis fuerimus. Multos autem ex vobis mirari arbitror, quorsum hæc à me recenseantur. Vt igitur & vos sciatis, & quæ cupio mihi eueniant, dicendi tempus est. Pater meus & ego (viri Athenienses) à vobis petimus, (hac enim oratione amici & liberi à vobis amicis & liberis impetrare debemus) ne contra patriam nostram arma hostilia feratis. Quòd si deceat, quemadmodum sanè eos decet, qui suæ salutis causa in medium prodierunt, etiam rogamus, ne nos, quos talibus ac tantis honoribus antea dignos censuistis, seruorum loco habeatis. Ad hæc etiam (sic enim dicere conueniet) supplicamus, ne res nostras vobis belli iure subditas possideatis, si nobis longè inferioribus superiores fueritis, sed istud consideretis, quòd alia aliter fortuna citò præcipitat, & quandoque magni paruorum opem implorarunt, potentioresque per debiles salutem consecuti sunt. Manifestum verò arbitror, vt ne clariùs quidem mihi demonstrandum sit, quòd in rebus bellicis ab vno homine, nec ciuitas solùm, verumetiam multæ nationes iam aliquando vtilitatem consequi visæ fuerint, & vbi ars valet, ne nos despiciatis. Neque enim despiciendi sumus, velut huius rei testimonium penes vos est. At principio quidem, Dij illi à quibus nos oriundos gloriamur, Æsculapius & Hercules, ad hominum vtilitatem nati sunt, eosq; ob virtutem qua cùm isthic agerent erant prediti, deorum loco omnes habent. Vrbs autem mea, & ego qui apud vos dico, velut hominum sermones continent, ab eiusmodi originem repetimus. Ex quo sanè etiam pro Græcis vtrosque hac in parte, & in præclarissimo quoque facinore stetisse planum erit. Neque enim res Troianæ fabulis sed factis continentur, in quibus Cos non vna de multis, sed maxima in auxilio ferendo fuit. Sic verò etiam Æsculapij filij, non arte solùm, verumetiam armis Græcis auxilium suppeditarunt. Machaon certè animam in Troade reliquit, velut de his scribentes tradunt, cùm ex equo Priami vrbem intraret. Ne nos sanè vel ex eo quòd contribules sımus, vel ex eo quòd inter auxiliares Græcis auxiliū tulimus, iniquè opprimatis. Non producam longiùs, neq; Crisçorum res, neq; Persarum repetam, quandoquidē ea audiuistis, magisq; sunt in manibus, q̃ nuper cōmemorata.

